# Historia Romana

## ΝΙΚΗΦΟΡΟΥ ΤΟΥ ΓΡΗΓΟΡΑ ΡΩΜΑΙΚΗΣ ΙΣΤΟΡΙΑΣ

ΛΟΓΟΣ Α.

α΄. Τοῖς τῶν πάλαι καὶ μέχρις ἡμῶν γενομένων τοὺς βίους διὰ τῆς ἱστορίας ἀθανατίζουσι πλείστοις πολλάκις αὐτὸς ἐντυγχάνων, 1.4 καὶ θείαις τισὶ προτροπαῖς ἀκούων ὁμολογούντων ἐς τὴν τοιαύτην κεκινῆσθαι ἐγχείρησιν, μέχρι μέν τινος ἄκαιρόν τινα φιλοτιμίαν τῶν ἀνδρῶν κατεγίγνωσκον, κόμπου μεστὰ τὰ λεγόμενα εἶναι οἰόμενος· ἔπειτα δ' ἔδοξαν εἶναί μοι οἱ ἄνδρες ἐπόπται μὲν αὐτῆς ἀληθείας σαφεῖς, θεοῦ δὲ τῷ ὄντι τὸ ἔργον, καθάπερ ὀργάνῳ χρωμένου τῇ τούτων χειρὶ, μικρὰ ἢ μηδὲν ἀποδέον, ὡς ἔπος εἰπεῖν, οὐρανοῦ τε καὶ γῆς, τῶν μεγίστων καὶ πρώτων αὐτοῦ ποιημάτων, πρός γε τὸ τὴν ἀπόῤῥητον δόξαν ἀναγγέλλειν, ὡς ἐφικτὸν, τοῦ θεοῦ. τὰ μὲν γὰρ καθάπερ σιγῶντες κήρυκες τῆς θείας μεγαλουργίας, τὸν ἅπαντα διαγίγνονται χρόνον, αἴσθησιν προκαλούμενα μάρτυρα μόνην. ἡ δ' ἱστορία, ζῶσά τε καὶ λαλοῦσα φωνὴ, καὶ ὄντως ἔμψυχος καὶ διαπρύσιος κήρυξ αὐτῆς, διαπερᾷ τὸν αἰῶνα καθάπερ ἐν πίνακι παγκοσμίῳ δεικνύουσα τὰ προγεγονότα τοῖς ἐπιγιγνομένοις ἀεὶ, ὅσα ποτὲ ἐν ἀλλήλοις καὶ δι' ἀλλήλων οἱ ἐξ αἰῶνος ἐπεπράχεσαν ἐν τῷ βίῳ, καὶ ὅσα ποτὲ πεφιλοσοφήκασι περὶ τῆς τῶν ὄντων φύσεως οἱ σοφοὶ, καὶ τίνα κατείληπται τούτοις, καὶ τίνα μή· καὶ τίσι ποτὲ δυσχερείαις ἄλλοτε ἄλλοι συνηντηκότες, τίνων ποτὲ τῶν ἐκ θεοῦ καλῶν κἀγαθῶν ἐς κόρον ἀπολελαύκεσαν, καὶ πόσαις ποτὲ ταῖς ἀπροσδοκήτοις ἐκεῖθεν εὐεργεσίαις ἐνέτυχον. δοκεῖ δέ μοι καὶ τὴν οὐρανοῦ καὶ γῆς δόξαν ἐνδοξοτέραν διὰ τῆς ἱστορίας καθίστασθαι, καὶ, ἵν' εἴπω, λαμπροτέραν πολλῷ τὴν λαμπρότητα. ποῦ γὰρ ἂν ᾔδεσαν ἄνθρωποι, τῆς ἱστορίας οὐκ οὔσης, ὡς ὁ μὲν οὐρανὸς τὴν 1.5 αὐτὴν ταύτην ἀρχῆθεν ἀεὶ καὶ ἀκίνητον κινούμενος κίνησιν, ἥλιον καὶ σελήνην καὶ πάντας ἀστέρας διηνεκῶς ἐξελίττει πρὸς ποικιλίαν ὁμοίως εὔτακτόν τε καὶ εὔρυθμον, καὶ ὁμοίως τὴν τοῦ θεοῦ διηγεῖται δόξαν ἐφ' ἡμέρᾳ τε καὶ νυκτὶ δι' αἰῶνος· ἡ δὲ γῆ τὴν ἄτρεπτον ταύτην ὁμοίως ἀρχῆθεν ἀεὶ τρεπομένη τροπὴν, τὴν αὐτὴν τοῖς ἀεὶ ἐπιγιγνομένοις ἀνθρώποις γένεσιν καὶ φθορὰν δι' αἰῶνος προδείκνυσιν; ὥστ' εἰ μή τι πλέον, ἀλλ' οὖν οὐδ' ἧττον ἂν καὶ ταύτην θαυμάσειε πᾶς τις, ὅτῳ διάνοια πρόσεστιν ὑγιαίνουσα. ἦ γὰρ ἂν ἐλλιπὲς ἐδόκει τὸ δημιούργημα, μή τινος ἰσχυρίζεσθαι δυναμένου καὶ πείθειν, ὡς καὶ ἄλλαι τινὲς γενεαὶ προϋπῆρξαν ὁμοίως ἀνθρώπων, καὶ πόσαι τινὲς ὑπῆρξαν, καὶ μέχρι πόσου, καὶ τί ποτε ἄρα πεπράχεσαν ἐν τῷ βίῳ, καὶ οἷστισιν ἄρα τοῖς ἐκ θεοῦ τε καὶ οὐρανοῦ καὶ γῆς ἀγαθοῖς κατὰ διαφόρους γενεάς τε καὶ χρόνους ἐνέτυχον. ἀλλὰ νῦν γε πρὸς τούτοις καὶ προφήτας ἕτερον τρόπον τοὺς μετιόντας ποιεῖ, ἐκ τῶν φθασάντων στοχαζομένους τὰ μέλλοντα. τό γε μὴν βραχεῖ τινι τόπῳ καὶ ὡρισμένῳ τῆς οἰκουμένης οἰκοῦντά τινα πέρατα γιγνώσκειν γῆς, καὶ ἄκρα οἰκουμένης, μήκη τε καὶ πλάτη θαλαττῶν, καὶ ὅσοι ποταμοὶ καὶ λίμναι εἰσὶ, καὶ ἰδιοτροπίας ἐθνῶν καὶ τόπων, καὶ διαφορὰς ὡρῶν τε δὴ καὶ χρόνων τῶν ἐν διαφόροις γινομένων μέρεσι τῆς γῆς, καὶ ὅσα ἕτερα τῶν ἀγαθῶν μυρία, τίς χαρίζεται τοῖς ἀνθρώποις, ἢ μόνη γε ἡ τῆς ἱστορίας ἐξάπλωσις; διά τοι τοῦτο καὶ οὐ τούτους μᾶλλον ἠγάπησα τῶν σοφῶν, οὐδὲ τούτους ἐζήλωκα, οἳ κωμικοῖς τισι δράμασι καὶ σκηναῖς τραγι 1.6 καῖς καὶ θωπείαις ἐπιδεικτικαῖς τὴν ἑαυτῶν κατηνάλωσαν γλῶσσαν, ἀλλ' ὅσοι τῶν ὄντων τὴν φύσιν, καθόσον σφίσιν ἐξῆν, ἀκριβώσαντες, καὶ ὅσοι τὰς ἱστορίας ἐκ τῶν καθ' ἕκαστα καὶ ἄλλοτ' ἄλλοις εἰρημένων τε καὶ πεπραγμένων ἔς τε ἀνδρίαν ψυχῆς βλεπόντων καὶ σύνεσιν, κόποις ἰδίοις ξυνειλοχότες, εἰς μεγίστην ὠφέλειαν τοῖς ἑξῆς ἐκδεδώκασι. καὶ μέντοι καὶ οὗτος ὁ πρὸς ἐκείνους πόθος καὶ ζῆλος κἀμὲ τὰ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀκόλουθα πράττειν παρέπεισε, καὶ οὗτος αἴτιος ἐμοὶ τοῦ τοιοῦδε γέγονεν ἐγχειρήματος. ἐπεὶ δ' ὅπερ ὀφθαλμὸς τοῖς ζώοις, τοῦτο τῇ ἱστορίᾳ ἀλήθεια, προπορευομένην ἔχειν ταύτην ἐνταῦθα χρεὼν καὶ ἡμᾶς πρὸ παντὸς, δυοῖν ἕνεκα· ἑνὸς μὲν, ἵνα μὴ, ὅπερ ὡς κανόνα καὶ στάθμην τοῖς ἐσομένοις προυθέμεθα προτιθέναι, τοῦτον στρεβλὸν καὶ νοσοῦντα ἐς τὰ καίρια δείξωμεν· ἑτέρου δὲ, καὶ ἵνα μὴ πρόφασιν δῶμεν τοῖς διασύρειν ἐξ ὀλίγων τὴν ὅλην πραγματείαν ἡμῶν βουλομένοις, καὶ ἐξελέγχειν ὡς οὐδὲν ὑγιὲς κεκτημένην· ὁποῖον δή τι καὶ τῶν ἐφ' ἡμῶν τινες ἐλλογίμων ἐπεπόνθεσαν. ἀπειρίᾳ γὰρ πραγμάτων πλείστῃ συνεζηκότες οἱ ἄνδρες, ἔπειτα οὑτωσί πως ἐς τὸ συγγράφειν ἐμβεβληκότες, ἔλαθον πολλοῖς τισι καταχρησάμενοι ψεύδεσι, καὶ οὕτως ἐς τὸ ἀχρεῖον τὴν αὐτῶν παρασύραντες ἱστορίαν, ὡς καὶ πρόφασιν εὔλογον δεδωκέναι τῷ πολλῷ τὴν σύνεσιν βασιλεῖ Ἀνδρονίκῳ τῷ Παλαιολόγῳ, σὺν οὐδενὶ κόσμῳ διασύρειν καὶ ἐξελέγχειν ταύτην ἐκ τῶν καθ' ἕκαστα· καὶ ταῦτα ἐπὶ τούτων τῶν ἀνδρῶν ἔτι παρόντων, ὧν δήπου ἐκεῖνοι τὰ πλεῖστα κατεψεύσαντο. (Β.) Καὶ ἵνα μιᾷ τῶν τοῦ βασιλέως δημηγοριῶν, ἣν ἐπ' ἐμοῦ διεξῆλθεν, ἐν καιρῷ χρήσωμαι (φανείη 1.7 γὰρ ἂν καὶ ἡμῖν εἰς τὴν παροῦσαν ἐγχείρησιν χρήσιμος)· "1πολλάκις,"2 φησὶν, "1ἐθαύμασα κατ' ἐμαυτὸν γενόμενος, πῶς τῶν ἀνθρώπων τοῖς πλείστοις ἐξὸν ἀστασίαστον καὶ εἰρήνης μεστὸν διαβόσκειν τὸν βίον, καὶ πλείστους μὲν ἔχειν οἳ θαυμάσονται, μηδένας δ' οἳ τὸν τρόπον τούτων μισήσουσιν· οἱ δὲ πρόθυμοι πρὸς τὸ λοιδορεῖν πάντα τινὰ ἀπαντῶσι καὶ γλῶτταν ἑκόντες ἀσκοῦσι πονηρὰν καὶ ἀταμίευτον καὶ ὑβρίζουσαν· καὶ ταῦτα μηδεμιᾶς πολλάκις προκειμένης προφάσεως, ἣ προβαλλομένη τι τῶν δικαίων ἴσως ὑπέκκαυμα ἔσται πρὸς τοιαύτας ἀναφλέγον ὁρμάς. καὶ τούτων μᾶλλον ἐθαύμασα, τοὺς ὁπόσοι ψευδεῖς κατὰ βασιλέων ὁμοῦ καὶ πατριαρχῶν βλασφημίας συῤῥάπτειν καὶ ἀναισχύντως προφέρειν τολμῶσι· καὶ πάντων ἐθαύμασα μάλιστα, τοὺς ὅσοι γραφῇ παρατίθεσθαι τὰς οὕτω ψευδεῖς βλασφημίας αὐτῶν οὐκ ὀκνοῦσι. τὰς γὰρ ἀπὸ μόνης τῆς γλώττης προϊούσας λοιδορίας αὖραι λαβοῦσαι ἐς αἰθέρος ἀβύσσους διασκεδάζουσιν. αἱ δὲ γραφαῖς καὶ βίβλοις ἐντυπούμεναι μονιμώτερον καὶ τυραννικώτερον κατὰ τῶν ὑβριζομένων τὸ κράτος ἐσχήκασι, τὴν ἡγεμονίαν τῆς γραφῆς λαμβανούσης καὶ διὰ μακροῦ πομπευούσης τοῦ χρόνου. οὐκ οἶδα δ' ὁπότερον οὐδ' ἔχω ῥᾳδίως ἐπιγιγνώσκειν οὗ χάριν ταῦτα ἐπείγονται δρᾷν, καὶ τίνος ἕνεκα κέρδους ἐς τοιούτους κρημνοὺς ἑαυτοὺς συνωθοῦσιν. εἴ τε γὰρ ἰδιότητά τινα κακίας ἀποπίμπλαντες ἑαυτῶν ἐπὶ τὰς οὕτω ψευδεῖς βλασφημίας χωροῦσι, κακῶς τοῦτο δρῶσι καὶ λίαν αἰσχρῶς καὶ κατὰ τῆς ἑαυτῶν, ὡς εἰπεῖν, κεφαλῆς. στήλην τε γὰρ τῆς σφῶν 1.8 κακίας τῷ χρόνῳ παρέχουσιν, ὅτι ἐξὸν ἐκ τοῦ λέγειν εὔφημα καὶ πρεσβεύειν ἀλήθειαν, γνωρίζεσθαι τοῖς ἀκούουσιν· οἱ δ' ἐκ τοῦ πλύνειν ἁμάξαις ὕβρεων τοὺς μηδὲν ἀδικήσαντας, δημοσιεύειν εἵλοντο ἑαυτοὺς, παραπλησίως ὥσπερ ἂν εἴ τις, ἐξὸν ἠπειρώτης εἶναι, καὶ βίον ἐπικερδέστερον καὶ ἀκίνδυνον ζῆν, ὅδ' ἐς Ἀτλαντικοῦ πελάγους χειμῶνας καὶ κλύδωνας φέρων ἐμβέβληκεν ἑαυτόν. τὸ δὲ καὶ κακῶν ἀρχέτυπα τοῖς ἐφεξῆς εἰς μίμησιν προτιθέναι τὰ γράμματα, καὶ εἰκῇ καθιστᾷν ἑαυτοὺς αἰτίους τῆς ἐκείνων ἀπωλείας, τοῦτο δὲ ποίων κρημνῶν οὐκ ἐπάξιον, δίδυμα καὶ τριπλᾶ προτεῖνον τἀγκλήματα; ἃ γὰρ ὡς ἀήθη ταῖς ταῖς πολιτείαις καὶ νόθα ἐλαύνειν ὡς ποῤῥωτάτω καὶ ἀποτρέπεσθαι ἔμελλον, δεδιότες οἷς τὰ τοιαῦτα πρόχειρον λοιδορεῖν, καὶ τῶν πόλεων ἐξωθεῖν, ὡς πρὶν τῶν δικαστικῶν Ἀθηναῖοι πινάκων τοὺς ὅσοι παρέγγραπτοι καὶ τῆς σφῶν πολιτείας ἀνάξιοι· ταῦτα ἀσμένως ἤδη δέξαιντ' ἂν πράττειν αὐτοὶ, ὡς καὶ ἄλλοις ἤδη πεπραγμένα καὶ δεδογμένα, καὶ τῶν ὅρων ὄντα τῆς συνηθείας ἐντός. φιλοῦσι γὰρ ὡς τὰ πολλὰ τῶν ἀνθρώπων οἱ τοῖς οἱοισδηποτοῦν ἀτοπήμασιν ἁλισκόμενοι, ἐς ἀρχαιοτέρας εἰκόνας ἀνάγειν τὴν μίμησιν, ἵν' ἐκεῖθεν ὡς ἐξ ὁρμητηρίου κατατρέχωσιν, εἴ τινές ποτ' ἄρ' εἶεν οἱ πρὸς ἐλέγχους ἀποδυόμενοι. εἴτ' οὖν διὰ τοῦτο λοιδοροῦσι καὶ ψεύδονται, οὑτωσί πως



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἑκατέρωθεν ἁμαρτάνουσιν· εἴτ' αὖ διαμονῆς ἕνεκα τῆς αὐτῶν συγγραφῆς, καὶ οὕτω πόῤῥω θέουσι τοῦ σκοποῦ, τὰς κρηπῖδας τῶν αἰτιῶν οὐ πάνυ τοι σφόδρα ὑποτιθέμενοι ἀσφαλεῖς. αὐτοὶ μὲν γὰρ ἴσως εἰδότες 1.9 τὰς τῶν πολλῶν ἀκοὰς, ταῖς τῶν ἄλλων ὕβρεσι μᾶλλον χαιρούσας ἢ τοῖς ἐπαίνοις, καὶ ὡς πολλῷ γε ἥδιον οἱ πολλοὶ τὰς ὡντινωνοῦν διεξέλθοιεν ὕβρεις ἢ τἀγαθὰ, κἂν τὰς μὲν ψεύδη μακρὰ καπηλεύωσι, τὰ δὲ φῶς ἀληθείας ἔχῃ προπορευόμενον, οὕτω τὴν ἱστορίαν αὐτῶν διατίθενται, ἵν' ἐς μακροὺς δῆθεν τοὺς χρόνους χαίροντες διεξίοιεν αὐτὴν οἱ τὸν αἰῶνα κατὰ διαδοχὴν ἀμείβοντες ἄνθρωποι· καὶ οὔτε δίκης ἐπόπτην πρὸ ὀμμάτων διανοίας λαμβάνουσιν, οὔτ' αἰδῶ τῶν καλῶς καὶ δικαίως κρίνειν εἰδότων ἀνδρῶν. τοῦτο δ' οὐ τοσοῦτον οὓς λοιδοροῦσι λυμαίνεται, ἢ αὐτούς γε δὴ τοὺς ὑβρίζοντας, εἴπερ ἄνθρωποι μὲν σωφρονοῦντες ἀτόπους ὑπονοίας κατ' ἐκείνων ταῖς ψυχαῖς ἐμφυτεύσαντες, μυρίοις βριθούσας ὀνείδεσιν, ἐν κακοῖς αὐτῶν ἐσαεὶ μεμνήσονται· θεὸς δ' ὁ τῆς δίκης προστάτης δαψιλεστέραν αὐτοῖς ταμιεύσει τῆς γλώττης τὴν κόλασιν. οὐ μὴν ἀλλ' ἔσθ' ὅτε καὶ δι' ἀμαθίαν τοῦ βελτίονος καὶ ἀπειρίαν πραγμάτων ἅπερ ὁτουοῦν ἠκηκόεισαν, πρὶν βασανίσαι, εἰ τὰ μὲν τῶν εἰκότων τάδ' ἥκιστα, καὶ τὰ μὲν ἔοικεν ἀληθείας οἴκοις ἐνδιαιτᾶσθαι, τάδ' ὑπερόριον ἀληθείας τείνουσι γλῶσσαν, οὕτω ταὖτ' ἐφαπλοῦσι ταῖς ἑαυτῶν συγγραφαῖς καὶ τῷ χρόνῳ, αἰτιώμενοί τε τὰ ἀναίτια, καὶ φάσκοντες ἃ μήτ' ἐγένοντο, μήτε γενέσθαι τῶν δυνατῶν ἦν· οἵας τοῦ Πλάτωνος τὰς ἰδέας ἀκούομεν, καὶ ὅσοι τοὺς τραγελάφους ἐκ τῶν τῆς Ἰνδίας τεράτων ἐς τὰς τῆς Ἀσίας διαβιβάζουσιν ἀκοὰς, ἐκ μὴ ὄντων αὖθις μὴ ὄντα καθιστῶντες, ἵνα μᾶλλον ἐκπλήττωσι τοὺς ἀκούοντας. διὰ ταῦτα τοίνυν ἐλέγξων ἔρχομαι τὰ τοιαῦ 1.10 τα, καθόσον οἷόν τε, τῶν ἐφ' ἡμῶν συγγραφέων. ἄνθρωποι γὰρ οὔτε δραστήριοί τινες τὴν φύσιν, οὔτε πολιτικοῖς τισι πράγμασι συμμίξαντες, ἵνα τινὰ καὶ πρακτικὸν ὀφθαλμὸν ἐκεῖθεν ἑαυτοῖς παράσχοιεν, καὶ κρίσιν ἐμπειρίᾳ πεπορισμένην, ὑφ' ἧς ὁρῶμεν πολλοὺς καὶ τῶν πάνυ νωθροτάτην εἰλοχότων τὴν φύσιν ἀφυπνιζομένους, ὡς εἰπεῖν, καὶ ἀνεγειρομένους ὀψέ ποτε, καὶ ἐς ἀστειότητα μετενηνεγμένους, κἀκείνοις ἤδη ἐγκρινομένους, οἷς βουλὴ καὶ κρίσις ἀνῆπται πραγμάτων, καὶ οἳ γλῶσσαν ἐξήσκησαν ἐκ τῆς τῶν ἄλλων συνδιαιτήσεως, τοῖς προτιθεμένοις πολιτικοῖς ζητήμασιν ἐν καιρῷ γινομένην· ἀλλὰ λόγοις, καὶ τούτοις πλημμελῶς, ἐξέτι νέου δεδωκότες καὶ μόνῃ τῇ τούτων σχολῇ καὶ τριβῇ τοὺς μακροὺς παραλλάξαντες ἡλίους, οὕτω κωφοὶ τῶν ἀεὶ γιγνομένων, τὸν ἅπαντα διεμέτρησαν βίον. εἰ δὲ μηδὲ τούτοις οὑτωσί πως ἐδίδουν, οὐδὲν μέγα τὸ ἐκείνων ὑπῆρχεν ἀντάλλαγμα· οὕτω σκότει καὶ γωνίᾳ μάλα προσήκοντες οἱ ἄνθρωποι οὐκ εὐφυῶς οὐδ' εὐρύθμως ἐς τὴν τῶν λόγων ἐβάδισαν ἄσκησιν. πᾶσα γὰρ ἐπιστήμη καὶ τέχνη καθάπερ θεμελίῳ καὶ βάσει τῇ φύσει τὴν ἑαυτῆς συντέλειαν ἐποικοδομεῖ. ἂν γοῦν ἡ φύσις ὑγιαίνουσα ᾖ, μέγα πρὸς κατόρθωσιν γίνεται τῆς ἐπιστήμης ἐφόδιον· καθάπερ καὶ σίδηρος καὶ χαλκὸς ῥᾳδίως ὑπείκων τῷ χαλκοτύπῳ. ἂν δ' ὁ τῆς φύσεως ἀσθενῶς ἔχῃ θεμέλιος, κάκιστος ἐπίκουρος τοῖς τῆς ἐπιστήμης οἰκοδομήμασι γίνεται, καὶ ἵν' εἴπω πλημμελὴς καὶ ἐπίβουλος σύμμαχος. ὡς νῦν γε καὶ οἱ χρηστοὶ οὗτοι νωθρὸν ὡς 1.11 τὰ πολλὰ καὶ νοσοῦν τὸ συμφυὲς κτησάμενοι φρόνημα, εἰκότως ἄρα καὶ ὃν ἐκ τῆς τέχνης ἐπορίσαντο λόγον σεσαλευμένον ἔφηναν ὁμοῦ καὶ νοσοῦντα τὰ καίρια. ἐγὼ δὲ καὶ τῶν πάλαι σοφῶν ἔστιν οὓς ἐπυθόμην φαμένους, ὡς τοὺς ἀγαθοὺς τῶν ζωγράφων μιμεῖσθαι χρεὼν, ὁπόσοι ἐς τὸ συγγράφειν ὁρμῶσι. καὶ γὰρ κἀκεῖνοι εἴ τι που τοῖς ἀρχετύποις ἐκ φύσεως παρυπέστη πλημμέλημα, εἴτ' ἐς τὸ ἧττον τοῦ δέοντος, εἴτ' αὖ ἐς τὸ πλέον παρασῦρον ἔστιν ἃ τῶν τοῦ σώματος μερῶν, οὐχ ἅπαν ἀκριβῶς ἐναρμόσαι σπουδάζουσι τῇ γραφῇ τῆς εἰκόνος· ἀλλά πῃ μὲν ἐντιθέασιν, ὅσον ἐνδείξασθαι τὴν ὁμοιότητα, πὴ δ' οὔ, ἵνα μήτε τὸ δύσμορφον καὶ αἰσχρὸν ἡ γραφὴ τῆς εἰκόνος ἔχῃ διηνεκῶς, μήτε φύσεως ὄνειδος ἀεὶ τοῖς ὀφθαλμοῖς τοῦ χρόνου προφαίνηται, καὶ γίνηται τοῖς φιλοσκώμμοσι πρόφασις



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

γέλωτος ἅμα καὶ χλεύης. οἱ δὲ σεμνοὶ οὗτοι, εἴτ' οὐκ εἰδότες, εἴτε μισοῦντες τὴν ἀλήθειαν, οὐ μόνον οὐδὲ μικρὰ τῶν ἀληθευόντων ἁμαρτημάτων ὑφελόμενοι, πυθμέσιν ἀφῆκαν σιγῆς, ἀλλὰ καὶ πολλὰ τῶν μήτε πραχθέντων ἢ λαληθέντων ἐφήρμοσαν τῇ ἑαυτῶν συγγραφῇ· οὕτω πικροὶ καὶ ἀφειδεῖς ἀνεφάνησαν τῆς ἀληθείας ἐχθροί. ἢ ποῦ οὐκ ἂν ἀτοπίας ἐλαύνοιεν τοιαῦτα φιλοτιμούμενοι γράφειν, ὧν μήτ' αὐτόπται αὐτοὶ ἐγεγόνεισαν, μήτ' αὐτήκοοι τῶν πραξάντων ἢ καὶ θεασαμένων γενέσθαι ἐσπούδασαν, ἀλλ' ὅσα μεθυούσῃ γλώσσῃ διεξίασιν οἱ τὰ χαμαιτυπεῖα πληροῦντες, καὶ ὅσαπερ αἱ γρᾶες ληροῦσι καὶ τερατεύονται; ἀλλ' ὅτι μὲν οὐκ ἀντιστρατευομένην ἐμοὶ οὐδὲ τἀμὰ συγκυκῶσαν πράγματα τὴν ἑαυτῶν γλῶσσαν οἱ ἄνθρω 1.12 ποι ἔστησαν, οὐδὲ κατὰ τῆς ἐμῆς ὁλοσχερῶς ἐξώπλισαν ἀληθείας, ἡ βίβλος ἐκείνων δηλώσει, σποράδας καὶ ἡμετέρους ἐπαίνους πολλαχῇ περιφέρουσα· ὃ δὴ λαμπρὰν ἐμοὶ καὶ περιφανῆ τὴν παραίτησιν ὑπισχνεῖται, μὴ ἂν ὑποπτεύσειν τῶν πάντων οὐδένα, πρὸς ἄμυναν λέγειν ἐμὲ, καὶ ἐξορύττειν εἴ τις καρπὸς ἀληθείας, τῆς αἰτίας ἐξαιρουμένης περιφανῶς, ἀφ' ἧς ἀκλινῶς βαδιεῖταί τις πρὸς τὰ τοιαῦτα, ἀλλ' εὐνοίας ἕνεκα τῆς τε ἀληθείας καὶ τῶν ὑβριζομένων· τῆς μὲν, ὅτι ἐξοστρακίζοιτο ζηλοῦντα· τῶν δὲ, ὅτι ἀδικοῖντο, φέρειν οὐκ ἀνεχόμενον. τὸ μὲν οὖν πάντα ἐθέλειν διεξιέναι καὶ ἀνατρέπειν καθ' ἕκαστα σχολάζοντος ἔργον ἂν εἴη, καὶ λόγοις καθάπαξ ἐγκεκυφότος. ἄλλως τε οὐδὲ πάνθ' ὅσα γεγράφασι, τοὺς ἄνδρας ψεύδεσθαι ἔφαμεν. τοῦτο γὰρ οὐδὲ τοῖς τὰς Νείλου πηγὰς ἰδεῖν τερατευομένοις προστρίψαιτο ἄν τις ῥᾳδίως, οὐδ' ὅσοι τοὺς Ἀντίποδας καὶ Ἀντοίκους, οἵ τινές ποτ' ἄρ' εἶεν ἐκεῖνοι, τῷ λόγῳ παρεισκυκλοῦσιν. ἀλλὰ πολλῶν ὄντων καὶ διαφόρων ὁπόσα κατεψεύσαντο οἱ ἄνδρες, μέτρι' ἄττα καὶ ὧν πολλοὶ μάρτυρες ἔτι τῷ βίῳ περίεισιν ἐκλεξάμενοι, ταῦτα τῆς ἀληθείας κρινούσης φαιδρῶς ἡμεῖς ἐξελέγξομεν."2 ἀλλ' ὁ μὲν βασιλεὺς τὴν τῆς ἑαυτοῦ δημηγορίας ἐνταῦθά που συνελάσας κατάστασιν, πολὺς ἔπειτα ἐῤῥύη πρὸς τοὺς ἐλέγχους, σύμφωνα φάσκων ἐκείνοις παροῦσιν, οἳ τοῖς ἑαυτῶν διεπράξαντο σώμασιν, ἅττα ὁ συγγραφεὺς διεφθορότα εἰρήκει, καὶ ἥκιστα τῇ ἀληθείᾳ ὁμόλογα. (Γ.) Ἡμῖν δὲ ὁ μὲν περὶ τούτων λόγος ἀναμείνας ἐν τῷ παρόντι, ἔσται δῆλος ἐν τοῖς ἑξῆς, ὅτε καὶ ἡμῖν τὰς αὐτὰς διεξιέναι γένοιτο ὑποθέσεις· ὁ δὲ τῆς μελετηθείσης ἱστορίας ἀρ 1.13 χὴν λαμβανέτω τὰ μετὰ τὴν ἅλωσιν τῆς βασιλευούσης τῶν πόλεων, ἣν ὑπὸ τῶν Λατίνων φεῦ ἐπεπόνθει· καὶ ἅπερ πρὸ τῶν ἡμετέρων μὲν ἐπέπρακτο χρόνων, παρείληπται δ' ἡμῖν ἐκ τῶν, οἳ προβεβηκότες μάλιστα ἦσαν ἐφ' ἡμῶν, ἐπιτροχάδην ῥητέον ἡμῖν· τοῦτο μὲν, ὅτι τὰ πλείω καὶ ἄλλοις εἴρηται· τοῦτο δὲ, καὶ ἵνα μὴ καὶ αὐτοί γε ἁλῶμεν ἔστιν οὗ τῆς ἱστορίας ψευδόμενοι, ἀφηγήσει διεξιέναι πειρώμενοι λεπτῇ τε καὶ ἐξειργασμένῃ, ὧν μὴ αὐτόπται αὐτοὶ γεγενήμεθα. β΄. Τῆς γάρ τοι Κωνσταντινουπόλεως ὑπὸ τῶν Λατίνων ἁλούσης, συνέβη τὴν τῶν Ῥωμαίων ἡγεμονίαν, καθάπερ ὁλκάδα μεγάλην, ἀνέμοις ἀγρίοις καὶ κύμασι θαλαττίοις συνειλημμένην, κατὰ τεμάχια καὶ μέρη πλεῖστα διαιρεθῆναι, καὶ ἄλλον ἄλλοθι κατὰ μόρια, καὶ ὡς ἕκαστοι τύχοιεν, ταύτην διαλαχόντας κληρώσασθαι, ἕως ὀψὲ καὶ μόλις περὶ τὴν Νικαέων μητρόπολιν ἀναγορευθῆναι συμπέπτωκε βασιλέα Θεόδωρον τὸν Λάσκαριν, τριακοντούτη ἤδη τυγχάνοντα. (Β.) Τηνικαῦτα γὰρ οἱ μὲν ἡττηθέντες, οἱ δ' ὑποπεπτωκότι χρησάμενοι σχήματι, τούτῳ προσεῤῥύησαν μάλα ἐθελονταί· πλὴν τοῦ τῆς Κολχίδος κρατήσαντος γῆς Ἀλεξίου τοῦ Κομνηνοῦ, καὶ ὃς κατὰ τὴν Εὐρώπην Θετταλίας τε ἦρξε καὶ ἣν παλαιὰν ὠνόμασαν Ἤπειρον· ὁ ἐξ Ἀγγέλων οὗτος ἦν Κομνηνὸς Μιχαήλ. οὗτοι γὰρ ὅσον πλεῖστον ἦν τῆς βασιλευούσης ἀπῳκισμένοι, καὶ αὐτά γε, ὡς εἰπεῖν, τῆς Ῥωμαϊκῆς ἡγεμονίας τὰ πέρατα λαχόντες ἐκ διαμέτρου, καὶ ἅμα τοῖς τῶν τόπων ὀχυρώμασι σφόδρα τεθαῤῥηκότες, τυραννικώτερον 1.14 ἐπεπήδησαν τῇ ἀρχῇ, καὶ ἴσχυσαν ἄχρι καὶ τήμερον παισί τε καὶ ἀπογόνοις αὐτῶν, καθάπερ τινὰ πατρῷον κλῆρον, αὐτὴν παραπέμψαντες. (Γ.) Ἦρος μὲν οὖν ἐνειστήκει καιρὸς, ὅτε Λατῖνοι



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τὴν βασιλεύουσαν ἐξεπόρθησαν. τριχῆ δ' αὐτὴν διελόμενοι, διενείμαντο κατὰ σφᾶς, ὅ τε κόμης Φλάνδρας Βαλδουῖνος, καὶ ὁ κόμης Πλέης Δολόϊκος· μόνος δὲ Μοντησφεράντας μαρκέσιος ῥὴξ ἀποδέδεικται Θεσσαλονίκης καὶ τῶν ἐπέκεινα· βασιλεὺς δ' ἐξ αὐτῶν ἀνηγόρευτο Βυζαντίδος ὁ Βαλδουῖνος· ὃς εὐθὺς καὶ κατὰ τῶν ἑσπερίων ἐξώρμησε πόλεων, ὅσαι περὶ Θρᾴκην σποράδες εἰσί. καὶ ταύτας μὲν τὴν ταχίστην ἁπάσας αὐτὸς παρεστήσατο. ὁ δὲ Μοντησφεράντης μαρκέσιος μέχρι Θεσσαλονίκης τὴν ἔφοδον ποιησάμενος, καὶ ταύτης γενόμενος ἐγκρατὴς, ῥᾷστα καθάπερ φλὸξ ἐκεῖθεν ἐπενέμετο πάσας τὰς πρόσω κώμας καὶ πόλεις, ἕως καὶ αὐτῆς ἐπέβη τῆς νήσου τοῦ Πέλοπος. τὸν μὲν δὴ ἐνιαυτὸν ἐκεῖνον εὔδρομα τὰ Λατίνων ἐχώρει. ὠνειροπόλουν γε μὴν ἐς τοὐπιὸν ἔτος καὶ αὐτῆς ἐπιβῆναι τῆς ἕω, καὶ ὑποχείρια πάντα ποιήσασθαι τὰ ἐκεῖσε, ὡς μηδὲν ἔτι Ῥωμαίοις ἀρχῆς ὑπέκκαυμα λείπεσθαι. καὶ μὲν δὴ ἦρος ἐπιστάντος, Λατινικὰ στρατεύματα διαπεραιοῦσθαι πρὸς ἕω διὰ μελέτης εἶχον ἅμα αὐτῷ Βαλδουίνῳ. τάχα δ' ἂν καὶ διεπεραιώθησαν, καὶ τὰ ἔσχατα τῆς ἀπωλείας τοῖς ἐπιλοίποις Ῥωμαίοις ἐπήνεγκαν, εἰ μὴ καθάπερ ἦχος μεγάλης βροντῆς ἐξαίφνης ἡ Βουλγαρικὴ φήμη καταῤῥαγεῖσα, τούτους ἐξέπληξέ τε καὶ τὴν τούτων ὁρμὴν ἀνεχαίτισεν. (Δ.) Ὁ γάρ τοι τοῦ πρώτου Ἀσὰν ἀδελφὸς καὶ διάδοχος Ἰωάννης πάντας τοὺς 1.15 ὑπὸ χεῖρα Βουλγάρους στρατολογήσας, ἐπαγόμενος δὲ καὶ μισθοφορικὸν οὐκ ὀλίγον ἐκ τῶν παρὰ τὰ βόρεια μέρη τοῦ Ἴστρου Σκυθῶν, καιρὸν ἔχειν ἔκρινεν ἐπιθέσθαι ταῖς Θρᾳκικαῖς κώμαις καὶ πόλεσιν, ἐν ζάλῃ καὶ θορύβῳ μακρῷ τῶν Ῥωμαϊκῶν τηνικαῦτα πραγμάτων ὄντων, καὶ τῶν Λατίνων ἐν ἄλλοις σπουδαιοτέροις περισπωμένων. ὅθεν ἀνάγκῃ συνειλημμένοι τοιαύτῃ, τὴν οὖσαν Λατινικὴν ἀναλαβεῖν ἔγνωσαν δύναμιν ἅπασαν Βαλδουῖνός τε καὶ οἱ σύν γε αὐτῷ τὴν ἡγεμονίαν διαλαχόντες, καὶ μέχρι καὶ ἐς τὰ τῆς Ὀρεστιάδος ἱππήλατα κατεσπουδασμένην τινὰ τὴν ἐκστρατείαν ποιήσασθαι. οὗ γενομένου, πρὸς μάχην ἑκατέρωθεν ἐκεῖ περιφανῆ τὰ στρατεύματα συνεῤῥάγη, καὶ πολὺς ἀμφοτέρωθεν ἐγίνετο φόνος, εὐρώστως ἀγωνιζομένων ἁπάντων μέχρι καὶ ἐς πολύν τινα χρόνον· ὀψὲ δ' ἐγκλῖναι τοῖς Βουλγάροις συνεπεπτώκει, οὐκ οἶδ' ὁπότερον, εἴτε τὴν τῶν Λατίνων οὐ μάλα γενναίως ἐνεγκεῖν δυνηθεῖσι βαρεῖαν ὅπλισιν, εἴτ' ἐξεπίτηδες παρεξάγειν σφᾶς βουληθεῖσι περὶ τὰ ἔνεδρα καὶ τοὺς λόχους· ᾧ καὶ μᾶλλον τίθεσθαι ἄξιον. ἤδη γὰρ ὡς πορῥωτάτω που τῆς διώξεως γινομένης, ἀνίστανται τῶν λόχων οἱ Σκύθαι· ἐπαναστρέφουσι δ' ὥσπερ ἀπὸ συνθήματος καὶ οἱ Βούλγαροι, καὶ τοὺς πολεμίους παρὰ πᾶσαν ὁμοῦ κυκλωσάμενοι προσδοκίαν, ἐτόξευον, ἠκόντιζον, ἔσφαττον ἀφειδῶς, αἱμάτων καὶ νεκρῶν ἐπλήρουν τὴν γῆν· καὶ πολὺς ἦν τῶν Λατίνων ὁ φόνος, οὐκ ἐχόντων διὰ τὸ βάρος τῆς ὁπλίσεως ἀντέχειν πρὸς τὰς συνεχεῖς ἀντεμβολὰς καὶ ἑλίξεις καὶ κουφοτάτας ἐξελάσεις τῶν Σκυθῶν. ἦσαν δ' οὓς καὶ ζῶντας ἐλάμβανον, μεθ' ὧν ἑάλω ζῶν καὶ ὁ Βαλδουῖνος. ὁ δὲ Πλέης κόμης Δολόϊκος 1.16 ἐπεπτώκει παρὰ τὴν μάχην. ὁ δὲ τῆς Βενετίας δοὺξ Ἐρίκος Δάνδουλος μετ' ὀλίγων πάνυ φυγὰς ᾤχετο, μετὰ μικρὸν δὲ τετελεύτηκε καὶ αὐτὸς ὑπὸ τῶν ἐκ τοῦ πολέμου τραυμάτων. (Ε.) Τὸ μέντοι Βουλγαρικόν τε καὶ Σκυθικὸν πλῆθος, κέρδους ἤδη καὶ πλούτου Λατινικοῦ γευσάμενοι, ἵππων τε καὶ ἁρμάτων λαμπρῶν, ἤλαυνον εἰς τὰ πρόσω προθύμως, μηδένα ἔχοντες ἤδη τὸν ἀντιπαραταξόμενον· ὡς τὰς μὲν τῶν Θρᾳκικῶν πόλεων ἑκοντὶ προσχωρεῖν Ἰωάννῃ, τὰς δὲ πλείους βίᾳ ἁλίσκεσθαι, αὐτάς τε ἀνδραποδιζομένας, καὶ ἄχρι θεμελίων τὰ αὐτῶν ἀποβεβλημένας τείχη. καὶ οὕτω πάντα ῥᾳδίως ὁ Ἰωάννης κατέδραμεν ἄχρι Θεσσαλονίκης καὶ Μακεδονίας, ὁπόσα ἐν κώμαις καὶ πόλεσι καὶ φρουρίοις, μικροῦ Σκυθῶν ἐρημίαν, τὸ δὴ λεγόμενον, ἀποδείξας. γʹ. Ὁ μέντοι βασιλεὺς Ἀλέξιος, ἐπειδὴ φόβῳ τῶν Λατίνων ἔφθη τῆς Βυζαντίδος λάθρα φυγὼν καὶ περὶ τὴν Θρᾴκην πλανώμενος, ἑάλω καὶ αὐτὸς τῷ Μοντησφεράντας μαρκεσίῳ, καὶ ὃν ἐπεφέρετο πλοῦτον ἀφῄρηται, γυμνὸς τοῦ λοιποῦ πορεύεσθαι ἀφεθεὶς, περί τε Ἀχαΐαν καὶ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Πελοπόννησον συχνὸν παρήλλαξε χρόνον πλανώμενος. ὀψὲ δὲ ἀκούσας βασιλεύειν ἤδη τῶν περὶ τὴν ἕω Ῥωμαϊκῶν πραγμάτων τὸν ἐπὶ τῇ θυγατρὶ γαμβρὸν Θεόδωρον τὸν Λάσκαριν, οὐ μόνον Βιθυνίας καὶ ὅσαι παράλιοι τῶν ἐπαρχιῶν ἐπὶ βραχὺ μῆκος ἐκτείνονται, ἀλλ' ἤδη καὶ ἐς πολλήν τε ἀνιέναι μεσόγειον, καὶ ἐπὶ μάλα τοι πλεῖστον μῆκος ἐκτεταμένην κεκτῆσθαι, ἀρχομένην ἀπὸ Καρίας τε καὶ Μαιάνδρου τοῦ ποταμοῦ κατὰ νότον, καὶ διήκουσαν πρὸς βορέαν ἄχρι Γαλατικοῦ πόντου καὶ Καππαδοκίας αὐτῆς· οὐ χεῖρας εὐχαριστηρίους 1.17 ἐξέτεινε πρὸς τὸν εὐεργέτην θεὸν καὶ φιλάνθρωπον, ὃς τῆς πολυαρχίας τὸν σάλον διεσκέδασε, λιμένα τε σωτήριον παρὰ πᾶσαν ἐδεδώκει προσδοκίαν τοῖς ὅσοι Ῥωμαίων ἐξάντεις τοῦ Λατινικοῦ χειμῶνος ἐκείνου καὶ κλύδωνος ἐγεγένηντο, καὶ αὐτῷ παραμυθίας μεγίστης ἐλπίδα, καὶ τῆς μακρᾶς πλάνης καὶ τῶν πολλῶν πόνων ἀνάπαυσιν· ἀλλ' ἐν δεινῷ τὸ πρᾶγμα ἐτίθετο, καὶ πρὸς φθόνου καὶ ζηλοτυπίας ὁδοὺς ἔτρεπε τὸν θυμόν· καὶ ὅλως εἰπεῖν, ἐς μάχας καὶ φόνους αἱμάτων συγγενικῶν ἐπέῤῥωσεν ἑαυτόν. (Β.) Καὶ δὴ περαιοῦται διὰ τοῦ Αἰγαίου πρὸς τὴν Ἀσίαν, καὶ ἄπεισι λαθὼν ἐς τὸν ἄρχοντα τῶν Τούρκων Ἰαθατίνην περὶ τὴν Ἀττάλου τηνικαῦτα διάγοντα, καὶ ἱκέτην ἑαυτὸν ἐκείνῳ καθίζει οἰκτρὸν, ἐπανασώσασθαί οἱ τὴν βασιλείαν δεόμενος, παλαιάς τε ἀναμιμνήσκει φιλίας, ὁποῖαί ποτε πάλαι σφίσιν ἐγένοντο, καὶ τὰ νέα μετὰ συχνῶν τῶν δακρύων δυστυχήματα ἐκτραγῳδεῖ προδεικνύς· καὶ ἐπὶ τούτοις χρημάτων ὑπισχνεῖται σωρούς. ὁ δὲ βάρβαρος ἐνδοὺς μὲν καὶ πρὸς τὰς τῶν χρημάτων ὑποσχέσεις, ὀνειροπολήσας δὲ τά τε ἄλλα, καὶ ὅσα ἐκ τῆς λείας περιγίνεται κέρδη τοῖς ἐπιστρατεύουσι κατὰ τῶν ἀλλογενῶν, ὁμοῦ τάς τε ἑαυτοῦ συναθροίζει δυνάμεις, καὶ τοὺς τὰς μεγίστας ἀπειλὰς κομίσοντας τῷ βασιλεῖ Θεοδώρῳ πρέσβεις ἐξαποστέλλει, εἰ μὴ αὐτίκα τῷ πενθερῷ Ἀλεξίῳ τῶν βασιλικῶν ὑπεκσταίη θρόνων. ὁ δὲ πρῶτα μὲν πρὸς τὴν ἀκοὴν διαταραχθεὶς, τάχιστα δ' ἑαυτὸν αὖθις ἀνειληφὼς, πρὸς τὸν τὰ πάντα δυνάμενον τὰς ἐλπίδας ἀναρτᾷ· καὶ τοὺς μὲν πρέσβεις ἀπράκτους ἐπανιέναι ἀφίησιν· ὁ δὲ ἔργου εἴχετο, καὶ τὸ ἑαυτοῦ συγκροτεῖ στράτευμα, πολλοστὸν μὲν εἴ τις 1.18 πρὸς τὰ Περσικὰ στρατεύματα βούλοιτο παρατιθέναι, καὶ οὐκ ἄξιον ἐς ἀντίπαλον ἐκείνοις μοῖραν κεκρίσθαι· προστιθεμένης δὲ καὶ τῆς ἄνωθεν θείας ἐπικουρίας, πολλῷ τῶν Περσικῶν ὂν πολλαπλάσιον. (Γ.) Ὁ μὲν οὖν βάρβαρος ἄρας τὰς πεζικὰς δυνάμεις, καὶ ὅσαι τῶν ἱππέων, ἧκεν εἰς τὴν παρὰ Μαίανδρον Ἀντιόχειαν, καὶ περικαθίσας ταύτην ἐπολιόρκει, λογισάμενος, ὡς εἰ ταύτης ἐγκρατὴς γένοιτο, ῥᾷστα ἂν ἐκεῖθεν καὶ τὰς ἄλλας παραστήσαιτο πόλεις, ὁπόσαι τὴν Ῥωμαίων διαμετροῦσιν ἀρχήν. ἦγε μέντοι μεθ' ἑαυτοῦ καὶ τὸν βασιλέα Ἀλέξιον, ἐφόδιον εἰς ῥᾳδίαν κατόρθωσιν ὧν ἐβούλετο. ὁ δὲ βασιλεὺς οὐκ ἔκρινε δεῖν κατὰ χώραν μένων περιμένειν τὴν τῶν βαρβάρων ἔφοδον, καὶ ἐς τὸν ἐκείνων καιρὸν μετεωρίζειν τὸν ἑαυτοῦ· θρασυνθῆναι γὰρ ἂν μᾶλλον αὐτοὺς, εἰ τὴν Ἀντιόχειαν καταστρεψάμενοι τῶν ἐκεῖθεν λαφύρων ἐμπλήσαιεν ἑαυτοὺς, καὶ ἅμα ἀμηχάνῳ κατὰ τῆς Ῥωμαίων ὁρμητηρίῳ τῇ τοιαύτῃ χρήσασθαι πόλει· ταῦτ' ἄρα καὶ πάσῃ ταχύνας σπουδῇ, κατ' ἐκείνων ἐκεῖσε χωρεῖ, μηδὲν πλέον ἐπαγόμενος στράτευμα ἢ δισχιλίους ἱππέας, ὧν τοὺς ὀκτακοσίους μισθοφόρους εἶναι Λατίνους φασὶν, ἄνδρας λογάδας καὶ μάχην ὡς ἀληθῶς πνέοντας. καὶ τριταῖος μὲν τὰς περὶ τὸν Ὄλυμπον ὀρεινὰς δυσχωρίας ἀμείβει, αἳ πρὸς πολὺ παρατείνουσαι μῆκος, Βιθυνίαν ὁρίζουσι καὶ ἄμφω τὰς Φρυγίας, τὴν μὲν ἀρκτικωτέραν ποιοῦσαι, τὰς δὲ πρὸς μεσημβρίαν καὶ νότον ἄνεμον βλέπειν παρέχουσαι· ἑνδεκαταῖος δ' ἐκεῖθεν ἐλθὼν, διαπεραιοῦται τὸν Καΰστρον, ὥστε τὸ ἀπροσδόκητον τῆς ἐφόδου καταπλήξεως γέμον τῷ βαρβάρῳ φανῆναι καὶ πάνυ δυσείκαστον, 1.19 οὐκ ἔχοντι συμβαλεῖν πότερον καθεύδοντι τὰ τοιαῦτα συμβαίνει ἀκούειν ἢ γρηγοροῦντι. ὅμοιον γὰρ ἦν ὥσπερ ἂν εἴ τις λέων ἀφῃρημένος ὀνύχων τε καὶ ὀδόντων, ἔπειτα προθύμως ἐφέρετο κατὰ πλήθους ἄρκτων καὶ λύκων. ᾔδει γὰρ ὁ Πέρσης, ὅτι τῆς Ῥωμαίων


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀρχῆς οὔπω πέρυσιν εἰς μυρία διασχισθείσης μέρη, καὶ τῶν μὲν ἄλλων ἄλλοθι διασπαρέντων, τῶν δὲ ξίφους ἔργον Λατινικοῦ γενομένων, τὸ λειπόμενόν ἐστιν ἢ τὸ παράπαν οὐδὲν, ἢ λίαν βραχὺ, καὶ ὅσον μόλις εἰς ἑνὸς ταξιάρχου σύστημα συμπεραίνεσθαι. κἀντεῦθεν οὑτωσί πως γνωσιμαχεῖν αὐτὸν ἐφ' ἑαυτοῦ συνέβαινε, καὶ νῦν μὲν εἰς ὀνείρατος λόγον ἀπάγειν τὴν τῆς βασιλικῆς ἐπελεύσεως φήμην, νῦν δ' εἰς ἀνοίας καὶ κουφότητος ὑποθήκην τῆς τόλμης ἅμα καὶ τῆς ὁρμῆς τὴν ὀξύτητα. ὅμως οὐκ ἀμελητέον ἔδοξεν εἶναί οἱ τὸ πρᾶγμα. ἔφησε γὰρ, ὡς ἔστιν ὅτε καὶ τὸ βραχὺ δεινὸν παρορώμενον μέγαν ἀπέτεκε κίνδυνον, καὶ βραχεῖαι δυνάμεις πολλάκις ὀξύτητι καὶ σπουδῇ χρησάμεναι μεγάλας ὁμοῦ καὶ πολλαπλασίους ῥᾷστα κατηγωνίσαντο, διὰ ῥαστώνην καὶ περιφρόνησιν τοῦ καθήκοντος. δʹ. Καὶ μὲν δὴ ὅσα ἐν σφενδόναις καὶ βέλεσι, καὶ ὅσα ἐν ἀγχεμάχοις δόρασί τε καὶ ξίφεσι στρατεύματα πάντα συνηθροικὼς δυοῖν μυριάδων οὐ μάλα ἐλάττω, καὶ οὕτω παραταξάμενος, ἐδέχετο τὴν τοῦ βασιλέως ὁρμὴν, ἀχθόμενος μὲν τῇ ξυντυχίᾳ, ὅτι στενός τε καὶ δύσιππος ἦν ὁ χῶρος, ἔνθα συῤῥήγνυσθαι τὴν μάχην ξυνέπιπτε, καὶ τοσοῦτον πλήθεσι στρατοῦ πολέμιος, ὅσον ὀλίγοις σύμμαχος· ἐδέχετο δ' οὖν ὅμως. καὶ οἱ μὲν ὀκτακόσιοι τοῦ βασιλέως Λατῖνοι συνασπισμὸν ποιησάμενοι, πρῶτον τὸ 1.20 μέσον διέῤῥηξαν τῆς τῶν πολεμίων φάλαγγος, λίαν εὐῤώστως ἀγωνιζόμενοι καὶ κατακόπτοντες τοὺς ἀνθισταμένους, ἕως διήλασαν καὶ ἐς αὐτὴν τὴν τῶν πολεμίων οὐραγίαν· καὶ συστρέψαντες αὖθις, πάντ' ἔδρων τὰ κράτιστα, ὡς ἀπράκτους ἤδη φαίνεσθαι καὶ τοὺς τῶν Περσῶν σφενδονήτας τε καὶ τοξότας, διὰ τὴν ἀπὸ χειρῶν συμπλοκήν. οἱ δὲ περὶ τὸν βασιλέα ἀλλ' οὐδὲ αὐτοί γε ἠμέλουν, ἀλλὰ καὶ αὐτοί γε κατὰ μέρη ταῖς τῶν πολεμίων συμπλεκόμενοι τάξεσιν, ἔργα γενναῖα καὶ ἀνδρικὰ ἐπεδείκνυντο· ἕως οἱ πολέμιοι συμφρονήσαντες, αὐτοβοεί τε κατὰ τῶν Λατίνων ὁρμήσαντες καὶ κατὰ κύκλον περιελθόντες, οὐκ ἄνευ οἰκείων πολλῶν αἱμάτων μόλις κατέκοψαν, βοηθούμενοι τῇ πολυχειρίᾳ. εἶτα τοῖς ἡμετέροις συμμίξαντες, τοὺς μὲν ἔργον ἀπέφαινον ξίφους, τοὺς δὲ φυγάδας ἐποίουν. (Β.) Ὁ δὲ τῶν Τούρκων ἀρχηγὸς ὁ σουλτὰν Ἰαθατίνης, πάντας ἀφεὶς καὶ παραδραμὼν, αὐτὸν ἐζήτει τὸν βασιλέα· καὶ ὠσάμενος ὁμόσε κατ' ἐκείνου χωρεῖ, μέγα φρονῶν ἐπί τε μεγέθει καὶ ῥώμῃ σώματος· καὶ δὴ φοβερὸς ἐκείνῳ ῥαβδοῦχος ἐπιστὰς, βαρεῖαν κατήνεγκεν ἐπὶ κεφαλῆς τὴν πληγήν. ὁ δὲ βασιλεὺς τὴν πρώτην οὐκ ἐνεγκὼν, ἀλλὰ σκοτοδινίας μεστὸς καταστὰς, πίπτει τοῦ ἵππου. θεῷ δὲ μέλλειν οὐκ ἦν, ἅπαξ ἀναστῆσαι νεκρωθεῖσαν τὴν Ῥωμαίων ἡγεμονίαν βεβουλημένῳ. διὸ δὴ καὶ ἀνήγαγεν αὐτὸν ἐκ λάκκου ταλαιπωρίας καὶ ἀπὸ πηλοῦ ἰλύος, καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας αὐτοῦ· καὶ ὁ νεκροῦ δίκην τοῦ ἵππου πεσὼν, αἰφνιδίως ἀναστὰς, μεστὸς μανικοῦ τινος καὶ ἐνθουσιώδους ὁρμήματος, παραδόξως περιτρέπει τὴν ἀπώλειαν τῷ βαρβάρῳ. τὸ ἑαυτοῦ 1.21 γὰρ αὐτίκα ξίφος γυμνώσας, ἐκθερίζει ῥᾳδίως τοὺς ἐμπροσθίους πόδας τοῦ βαρβαρικοῦ ἵππου, καὶ ῥίψας τὸν ἐπιβάτην σουλτὰν, ἐκτέμνει τὴν αὐτοῦ κεφαλὴν, καὶ κατάδηλον τῷ δόρατι μετεωρίσας ποιεῖ τοῖς τῶν βαρβάρων στρατεύμασι. τοῦτο τῆς τῶν Ῥωμαίων σωτηρίας τε καὶ συστάσεως ἀρχὴ καὶ κατάστασις γίνεται πρώτη, ξύν γε θεῷ τῷ πάντων ταμίᾳ, ὁπόσα τὴν ἀνθρωπίνην ὑπερπέπαικε δύναμιν. οἱ μὲν γὰρ βάρβαροι τρόμου καὶ δέους πληρώσαντες ἑαυτοὺς, προτροπάδην ἔφευγον, τὴν ταχίστην ὀπίσω ἀπαλλαττόμενοι. ὁ δὲ βασιλεὺς παραδόξως μὲν τῶν μεγάλων τούτων κινδύνων ἀπηλλαγμένος, παραδοξότερον δ' αὖθις νενικηκὼς, τροπαιοῦχος τὴν Ἀντιόχειαν εἴσεισι, πολλὰς ἀπονέμων ἐκ μέσης ψυχῆς τῷ θεῷ τὰς εὐχαριστίας. (Γ.) Οἱ δὲ βάρβαροι πρεσβεύονται πρὸς τὸν βασιλέα εὐθὺς καὶ σπονδὰς αἰτοῦνται καὶ λαμβάνουσιν, οὐχ οἷαι βουλομένοις ἐκείνοις ἦσαν, ἀλλ' οἷαι καὶ μάλα ἀσμένῳ τῷ βασιλεῖ· συνείληφε μέντοι ὁ βασιλεὺς τοῖς πολεμίοις συνόντα καὶ τὸν ἑαυτοῦ πενθερὸν, Ἀλέξιον τὸν βασιλέα· καὶ καταγαγὼν αὐτὸν ἐς Νίκαιαν πόλιν, μοναδικὸν περιέβαλε σχῆμα· κἄπειτα ἐπιμελῶς πάντα ὁπόσα



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

χρειώδη αὐτῷ ἐξεπόριζεν. ἐν τούτοις γε μὴν ὁ βασιλεὺς, τελευτησάσης τῆς συζύγου, ἄγεται εἰς δευτέραν γυναῖκα τὴν ἀδελφὴν τοῦ τηνικαῦτα τῆς Βυζαντίδος βασιλεύοντος Ῥομπέρτου· ᾗ καὶ οὐ μακρὸν συνεβίω χρόνον, οὐδὲ παῖδας ἔτεκεν ἐξ αὐτῆς, εἴτ' ἐκ φύσεως στείρας αὐτῆς οὔσης, εἴτε καὶ τῆς μεταβραχὺ τοῦ βασιλέως τελευτῆς, ὥραν παιδοτοκίας οὐ παρασχούσης αὐτῇ. τρία γὰρ ἔτη συνῴκησε ταύτῃ. 1.24 α΄. Ὀκτωκαίδεκα δὲ βασιλεύοντι τούτῳ παρεῤῥύησαν ἔτη, καὶ τὸν παρόντα βίον ἀμείβει, διάδοχον τῆς βασιλείας καταλελοιπὼς τὸν ἐπὶ θυγατρὶ Εἰρήνῃ γαμβρὸν Ἰωάννην τὸν Δοῦκαν. ἄῤῥην γὰρ ἦν αὐτῷ παῖς οὐδείς. καταλέλειπται δὲ ἡ βασιλὶς, μικρὰ τῆς βασιλείας ὀναμένη, τοῦτο μὲν καὶ διὰ τὴν ἀπαιδίαν, τοῦτο δὲ καὶ ὅτι μικρὸν ἐπιβιοῦσα τετελεύτηκε καὶ αὐτή. ὁ μὲν οὖν βασιλεὺς Θεόδωρος ὁ Λάσκαρις, ὀξὺς μὲν ἦν τὴν ὁρμὴν καὶ ἀνυπόστατος· καὶ πλείστας μὲν προκεκινδύνευκε μάχας, πλείστας δ' ἀνώρθωσε πόλεις καλλίσταις οἰκοδομαῖς καὶ πολλοῖς ἀναλώμασιν, ἀνασοβῶν καὶ ἀναχαιτίζων διὰ τούτων τὴν τῶν Λατίνων ὁρμήν. ἀλλ' ἐκιβδήλευεν αὐτὴν, ἀωρίᾳ πολλάκις ἐς τὰ πράγματα χρώμενος. (Β.) Ὁ δὲ γαμβρὸς καὶ διάδοχος Ἰωάννης ὁ Δούκας, σύνεσιν πλουτῶν φυσικὴν καὶ τρόπων εὐστάθειαν καὶ βεβηκὸς ἦθος, κάλλιστα τὴν ἀρχὴν διίθυνε καὶ ἐκόσμει· καὶ τοῖς τε Ῥωμαίων πράγμασι καὶ στρατεύμασι πλείστην ἐν βραχεῖ τὴν ἐπίδοσιν ἐδεδώκει κατὰ τὸ ἑκατέροις ἀνάλογον, μήτε πρὸ βουλῆς ἐργαζόμενος οὐδὲν, μήτε μετὰ τὴν βουλὴν ἀμελῶν οὐδενός· ἀλλὰ πάντα μέτρῳ καὶ κανόνι διδοὺς καὶ καιρῷ τῷ προσήκοντι. ἀλλὰ φαίη ἄν τις εὐστόχως, ὡς καιρὸς ἐκεῖνος τὴν Θεοδώρου τοῦ βασιλέως ὀξεῖαν ἐζήτει ὁρμήν· τοιγαροῦν καὶ ξυνεῤῥύηκεν· ὁ δ' ἐφεξῆς χρόνος τὴν τοῦ βασιλέως Ἰωάννου εὐστάθειαν· τοιγαροῦν καὶ συνέδραμεν. ὁ γὰρ ἐξ οὐκ ὄντων τὰ ὄντα διαπραττόμενος κύριος, προσήκοντας καὶ τούτους εὗρε τοὺς ἄνδρας, ὁπότε φθαρεῖσαν καὶ τεθνηκυῖαν ἀναστῆσαι βεβούληται τὴν τῶν Ῥω 1.25 μαίων ἡγεμονίαν. (Γ.) Ἐν τούτοις μέντοι τοῖς χρόνοις ἦρχε τῶν Βυζαντίων Ῥομπέρτος, ὁ τοῦ πρὸ βραχέος τετελευτηκότος Ἐῤῥῆ ἀδελφιδοῦς. τούτῳ προσεῤῥύησαν οἱ τοῦ βασιλέως Θεοδώρου τοῦ Λάσκαρι ἀδελφοὶ (Ἀλέξιος οὗτοι καὶ Ἰσαάκιος) φθόνῳ στρατηγούμενοι καὶ ζηλοτυπίᾳ μακρᾷ, ὅτι μὴ τῆς βασιλείας οὗτοι διάδοχοι γένοιντο, τοῦ βασιλικοῦ τέως τυγχάνοντες αἵματος οἰκειότεροι, ἢ ὁ κατὰ κῆδος προσαρμοσθεὶς Ἰωάννης· οἳ καὶ χρημάτων δωρεαῖς τε καὶ ὑποσχέσεσι στρατὸν Λατινικὸν συναθροίσαντες, ὁπόσος τῷ Ῥομπέρτῳ τηνικαῦτα παρῆν (πλεῖστος δὲ οὗτος ἦν, καὶ οὐκ ἀγεννὴς τὰ ἐς ὅπλισιν καὶ ἀνδρίαν πολεμικὴν), ἐξίασι κατὰ τοῦ βασιλέως Ἰωάννου τοῦ Δούκα, καθαιρήσοντες ἴσως αὐτὸν τῆς ἀρχῆς, καὶ μεταθήσοντες ταύτην ἐς σφᾶς αὐτούς. καὶ διαβάντες ἐς τὴν Ἀσίαν, τὰς μὲν ναῦς ἀφῆκαν περὶ τὴν Λάμψακον, αὐτοὶ δ' ἀναβάντες εἰς μεσόγειον ἡμέρας ὁδὸν, ὁπόσην Λατίνοις ὑπήκοον πρὸ βραχέος πεποίηκεν ὁ Ἐῤῥῆς, ἀπαντῶσι τῷ βασιλεῖ τὰς Ῥωμαϊκὰς δυνάμεις ὁπλίζοντι κατ' αὐτῶν· καὶ λαμπροῦ συῤῥαγέντος πολέμου, νικῶνται κατακράτος Λατῖνοι, καὶ ἅμα ζημιοῦνται καὶ ὁπόσαι πόλεις περὶ τὴν Ἀσίαν αὐτοῖς ὑπῆρχον τέως ὑπήκοοι. αὐτίκα γὰρ τὸν τῆς Λατινικῆς δουλείας ζυγὸν ἀποῤῥίψασαι, ἑκοντὶ τῷ βασιλεῖ προσεῤῥύησαν. β΄. Ἐν τούτοις ἀνίσταται τῶν Θετταλικῶν βαράθρων νέον κακὸν, ὁ τοῦ Ἀγγέλου Μιχαὴλ ἀδελφὸς Θεόδωρος. διαδεξάμενος γὰρ θανόντος τοῦ ἀδελφοῦ τὴν ἀρχὴν, ἀνὴρ δραστήριος καὶ καινὰ δεινὸς ἐπινοῆσαι πράγματα, καὶ ἀεὶ τοῦ πλείονος ἐφιέ 1.26 μενος, ἐπηύξησε ταύτην ἐς ὅσον πλεῖστον ἦν. ὅσαι γὰρ ἑσπέριαι πόλεις τῇ Λατίνων ἀρχῇ πρὸ μικροῦ δεδουλεύκασι, πάσας, ἐκεῖθεν ἀρξάμενος, ῥᾷστα κατετροποῦτο καὶ μεθίστη πρὸς ἑαυτὸν, ἕως καὶ αὐτὴν ἣ τῆς τῶν Μακεδόνων προκάθηται γῆς ἐχειρώσατο μεγαλόπολιν τὴν Θεσσαλονίκην, ἀποδημοῦντος τηνικαῦτα τοῦ μαρκεσίου περὶ τὴν πατρίδα Λαμπαρδίαν. αὐτίκα δὲ καὶ βασιλείας ἑαυτῷ περιτίθησιν ὄνομα, καὶ χρίεται βασιλικῶς παρὰ τοῦ τηνικαῦτα τὴν τῆς Βουλγαρίας ἀρχιεπισκοπὴν διιθύνοντος. πλείστοις τε γὰρ ἄλλοις αὐτὴν ὁ βασιλεὺς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐκ παλαιοῦ τετίμηκεν Ἰουστινιανὸς, ἑαυτοῦ γεγονυῖαν πατρίδα, καὶ πρώτην ὠνόμασεν Ἰουστινιανήν. καὶ δὴ καὶ αὐτονομεῖσθαι ταύτην ἐς τὸ διηνεκὲς προσετετάχει, πλὴν οὐχ ὥστε καὶ βασιλέας χρίειν Ῥωμαίων· τοῦτο γὰρ ἄλλοις ἐφεῖται παρὰ τῶν νόμων. ἀλλὰ διὰ φόβον ἤδη τοῦ τυραννοῦντος Ἀγγέλου, καὶ πρός γε ἔτι διὰ κουφότητα καὶ ἀφέλειαν τοῦ τηνικαῦτα διέποντος τὴν ἀρχιεπισκοπὴν, ἐς τοσοῦτον ἀτοπίας τὸ πρᾶγμα ἐκκεκύλισται. ὅθεν δὲ τὸ τῆς Βουλγαρίας ἐπώνυμον ὁ τόπος κεκλήρωται, δηλώσων ἔρχομαι. (Β.) Χῶρός τίς ἐστιν ἐς τὰ ἐπέκεινά τε καὶ βορειότερα τοῦ Ἴστρου κείμενος, καὶ ποταμὸς ῥέων δι' αὐτοῦ οὐ μικρός· Βούλγαν αὐτὸν ὀνομάζουσιν οἱ ἐγχώριοι· ἀφ' οὗ δὴ καὶ αὐτοὶ τὸ τῶν Βουλγάρων μετειλήφεσαν ὄνομα, Σκύθαι τὸ ἐξ ἀρχῆς ὄντες. ὀψὲ δ' ἐκεῖθεν οὗτοι μετανάσται γενόμενοι τέκνοις ἅμα καὶ γυναιξὶν, ὁπότε τὸ τῆς εἰκονομαχίας νόσημα κατὰ τῶν εὐσεβούντων ἐπεχωρίαζε, διαπεραιοῦνται τὸν Ἴστρον, πλῆθος ἀριθμὸν ὑπερβαῖνον· καὶ δια 1.27 βάντες ἄμφω τὰς μετὰ τὸν Ἴστρον Μυσίας, καὶ πάντα λείαν Μυσῶν, τὸ θρυλλούμενον, ποιοῦντες τὰ ἐν ποσὶ, καθάπερ ἀκρὶς ἤ τις κεραυνὸς αἰθέριος, οἰκειοῦνται Μακεδονίαν μετὰ τῆς ἐπέκεινα Ἰλλυρίδος, ἀρεσθέντες τοῖς ἐκεῖσε καλοῖς. καὶ βασίλειον ἐνδιαίτημα τούτοις εἶναι ἐς τὸ λοιπὸν νενόμισται αὕτη ἡ πόλις, ἣν ἀρχιεπισκοπὴν ὁ βασιλεὺς τετίμηκεν Ἰουστινιανὸς, καὶ πράτην ὠνόμασεν, ὡς εἰρήκειμεν, Ἰουστινιανήν. εἶτα τῆς προσηγορίας τοῦ ἔθνους ἐκεῖσε διαδοθείσης, Βουλγαρία ὁ χῶρος μετωνομάσθη, καὶ μητρόπολις Βουλγαρίας ἡ πρώτη Ἰουστινιανή. χρόνοις μέντοι ὕστερον ὁ βασιλεὺς Βασίλειος ὁ Βουλγαροκτόνος μετὰ πολλὰς τὰς μάχας τέλος ἐξέτριψε καὶ ἐδουλώσατο τούτους· καὶ τῆς μὲν χώρας τοὺς ἐναπολειφθέντας ἐξορίστους πεποίηκεν ἐν τῇ παρὰ τὸν Ἴστρον κάτω Μυσίᾳ· τὸ δ' ὄνομα, καθάπερ ἄλλο τι μνημεῖον ἐκείνων, ἐναπολέλειπται τῇ ἀρχιεπισκοπῇ. ἀλλ' ἐς τὸ πρότερον ἴχνος τοῦ λόγου φέρε ἐπανακάμψωμεν. (Γ.) Ὁ γὰρ Ἄγγελος Θεόδωρος ἤδη καὶ βασιλεὺς, ὡς εἴρηται, καταστὰς, ἐδῄου τὴν γῆν, προϊὼν καὶ παρεξελαύνων καὶ ὑπερβαίνων ὅρους ἄλλους ἐξ ἄλλων ἀεὶ, ἕως ἤλασε μέχρι καὶ αὐτῶν τῶν Βυζαντίων πυλῶν κατὰ πολλὴν τοῦ κωλύσοντος ἐρημίαν. αἱ γὰρ Μακεδονικαί τε καὶ Θρᾳκικαὶ πόλεις ἐς τέλος ἐξέκαμον, συχνὰς ἐν ὀλίγῳ χρόνῳ καὶ δεινὰς ὑπομείνασαι τὰς αἰχμαλωσίας, νῦν μὲν τῶν Λατίνων, νῦν δὲ τῶν Βουλγάρων, καὶ τῶν Σκυθῶν. τί γὰρ οὐκ ἂν ἔδρασαν ἔθνος αἱμοβόρον οἱ Σκύθαι Χριστιανοῖς ἐπιβρίσαντες ἀπηνῶς; οἱ δὲ Λατῖνοι οὐδὲν ἡμε 1.28 ρώτερον τῶν Σκυθῶν διετέθησαν, ὅτι μὴ καὶ πολλῷ τῷ μέτρῳ τὴν Σκυθικὴν ἀπήνειαν ὑπερέβησαν. καὶ οὐχ ἅπαξ τοῖς ταλαιπώροις ἐξ ἑκατέρων τῶν ἐθνῶν τὰ τῆς δεινῆς ταύτης αἰχμαλωσίας ξυνεπεπτώκει παθεῖν, ἀλλὰ καὶ δὶς καὶ τρὶς καὶ πολλάκις. τὸ δὲ νῦν τοῦτο τοῦ Ἀγγέλου μικροῦ πᾶν, εἴ τι ἐλλέλειπται, προσανάλωσε. καὶ ἦν ἰδεῖν οἰκίας κατεσκαμμένας, τείχη περιῃρημένα, Λήμνια κακὰ, θρήνους Τρωϊκοὺς, πολλῶν καὶ παντοδαπῶν κακῶν πανήγυριν. γʹ. Ἐν τούτοις γε μὴν τοῖς καιροῖς ἦρχε τῶν Βουλγάρων ὁ τοῦ πρώτου Ἀσὰν υἱὸς ὄνομα Ἰωάννης. οὗτος ὁρῶν τὸν εἰρημένον Θεόδωρον τὸν Ἄγγελον οὐδὲ τῶν Βουλγαρικῶν ἀφίστασθαι πραγμάτων βουλόμενον, ἀλλ' ἤδη κἀκείνοις βαρεῖαν καὶ βλάπτουσαν ἐπάγοντα χεῖρα, συμμάχους ἐκ τῶν Σκυθῶν· εἰληφὼς, συῤῥήγνυσιν αὐτῷ πόλεμον ἰσχυρὸν, καὶ νικᾷ καὶ χειροῦται τοῦτον καὶ τοὺς ὀφθαλμοὺς ἐξορύττει, τῆς δίκης ὀψὲ περιελθούσης αὐτὸν, ὧν τε τὴν νόμιμον περιεφρόνησε τῶν Ῥωμαίων βασιλείαν, βασιλείας ἑαυτῷ περιθεὶς ὄνομα· καὶ ὧν τοὺς ὁμοφύλους κακοπραγοῦντας ὑπὸ τῶν Ἰταλικῶν καὶ Βουλγαρικῶν ἐφόδων καὶ δακρύων ἄξια πάσχοντας, οὐκ ἠλέησεν, ἀλλὰ δυστυχήμασι δυστυχήματα προσετίθει καὶ φόνοις φόνους. (Β.) Ἤδη δὲ καὶ ὁ βασιλεὺς Ἰωάννης ἐπὶ μέγα δυνάμεως ηὔξησε τὰ Ῥωμαίων πράγματα, δεξιὸς οἰκονόμος φανεὶς καὶ κυβερνήτης ἄριστος τῆς ἡγεμονικῆς τῶν Ῥωμαίων ὁλκάδος. ναῦς τε γὰρ μακρὰς κατεσκευακὼς οὐκ ὀλίγας, ναυστολεῖ πρὸς τὰς κατὰ τὸν Αἰγαῖον



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

νήσους, καὶ πά 1.29 σας ἐν ὀλίγῳ χρόνῳ λαμβάνει, Λέσβον καὶ Χίον, Σάμον τε καὶ Ἰκαρίαν καὶ Κῶ καὶ ὅσαι ταύταις εἰσὶ προσεχεῖς· οὐ μόνον δὲ, ἀλλὰ διαβὰς καὶ ἐς Ῥόδον, ἐγκρατὴς καὶ αὐτῆς ἀναδείκνυται. ἐπεὶ δ' ὁ μὲν βασιλικὸς στόλος οὕτω θαλαττοκρατῶν ἦν, ἐν δ' Ἀσίᾳ τὰ Περσικὰ στρατεύματα ἔμενεν ἀτρεμίζοντα, τὰ δὲ Λατίνων καταβραχύ τε ὑπέῤῥει καὶ ἀσθενῶς εἶχεν, ἔγνω διαβιβάζειν ἤδη τὰ τῆς Ἀσίας ὅπλα καὶ ἐς τὴν Εὐρώπην ὁ βασιλεὺς, ἐλευθερώσων τὰς ἐκεῖ ταλαιπώρους πόλεις τῆς τε Βουλγαρικῆς καὶ Ἰταλικῆς χειρός. καὶ δὴ διαβὰς τὸν Ἑλλήσποντον ἅμα ἦρι, εἰσβάλλει πρῶτον ἐς τὴν Χεῤῥόνησον, κἀκεῖθεν τὴν ὅμορον ἐπόρθει καὶ ἔκαε χώραν, εἰς ἔκπληξιν τῶν ἐν ταῖς τῶν φρουρίων ἀκροπόλεσι Λατίνων. εἷλε δὲ καὶ πλείστας τῶν παραλίων πόλεων, Καλλιούπολίν τε καὶ Σηστὸν καὶ τὴν τῶν Καρδιανῶν καὶ ὁπόσαι τῶν ἀστυγειτόνων ἦσαν, τὰς μὲν βίᾳ καὶ μηχανήμασι, τὰς δὲ προσχωρούσας ἑκοντί. (Γ.) Ἐν τούτοις δ' ὄντος τοῦ βασιλέως, ἥκουσι πρέσβεις ἐκ Βουλγάρων σπονδῶν τε εἵνεκα, καὶ ἅμα ἐπὶ τῇ θυγατρὶ τοῦ Ἀσὰν Ἑλένῃ τὸν τοῦ βασιλέως υἱὸν Θεόδωρον γαμβρὸν ἐξαιτούμενοι. ταῦτα ἀσμένῳ τῷ βασιλεῖ ἠγγέλλοντο καὶ ἅμα ἐθέλοντι· οὐ γὰρ ἤθελεν ἐν ἄλλοις μείζοσι περισπώμενος ἀντίπαλον ἔχειν αὐτὸν, οὕτω τοῖς παριστρίοις ὁμοροῦντα Σκύθαις, καὶ ἅμα αὐτοῖς, ὁπότε βούλοιτο, ἐπελαύνοντα, καὶ ὅσα ἐν ποσὶ, χειμάῤῥου δίκην, παρασύροντα. ταύτῃ τοι καὶ τελεσιουργὰ τὰ τῆς πρεσβείας εὐθὺς ἦσαν καὶ ἅμα τὰ τοῦ κήδους. καὶ συνελθόντες περὶ Χεῤῥόνησον ὅ τε βασιλεὺς 1.30 καὶ ὁ Ἀσὰν, συζευγνύουσιν Ἑλένῃ τῇ τοῦ Ἀσὰν θυγατρὶ δεκαετεῖ οὔσῃ τὸν τοῦ βασιλέως υἱὸν Θεόδωρον τὸν νέον Λάσκαριν, μήπω ἐς τὸν ἔφηβον παραγγείλαντα. τηνικαῦτα δὲ καὶ ὁ τοῦ Τερνόβου ἐπίσκοπος αὐτονομίαν λαμβάνει διηνεκῆ, τῷ τέως ὑπὸ τὸν ἀρχιεπίσκοπον τῆς πρώτης τελῶν Ἰουστινιανῆς, διὰ τὴν τοῦ ἔθνους ἐκεῖθεν ἀρχαίαν συγγένειαν. (Δ.) Ὁ δὲ βασιλεὺς, θέρους ἐπιγενομένου, τὰς Θρᾳκικάς τε καὶ Μακεδονικὰς περίεισι πόλεις, ἀρξάμενος ἀπ' αὐτῶν, ὡς εἰπεῖν, τῶν Βυζαντίων πυλῶν, καὶ ἐπελάσας ἄχρι Στρυμόνος, καὶ οἰκειοῦται πάσας, ἔτι ἱσταμένου τοῦ φθινοπώρου. καὶ οὕτω πάντα σκοπὸν διαθέμενος, αὐτός τε εἰς Νίκαιαν ἀνεχώρησε, καὶ τὸν στρατὸν ἀφῆκεν ἐς τὰ οἴκοι διαχειμάσοντα. δʹ. Ἐνταυθοῖ δὲ γενομένῳ τῆς ἱστορίας, οὐκ ἀρεστόν μοι ἔδοξεν εἶναι σιγῇ παρελθεῖν τὰ περὶ Σκυθῶν, ἐν τούτοις τοῖς χρόνοις ἐπιδραμόντων Ἀσίαν τε καὶ Εὐρώπην. βιάσεται γὰρ ἡμᾶς ὁ λόγος προϊὼν εἰς τὰ αὐτῶν πολλάκις ἐμπίπτειν διηγήματα, καὶ χρεὼν ἀνακεφαλαιωσαμένους ἡμᾶς, καθόσον οἷόν τε, διαλευκᾶναι τὰ περὶ αὐτῶν, καὶ ἐναργέστερα παραπέμψαι ταῖς ἐφεξῆς ὑποθέσεσιν, ἵνα μὴ αὐτοί γε εἰδότες, εἶτα ἐπὶ τῶν οὐκ εἰδότων ὡς εἰδότων διεξιόντες, ἁμαρτάνειν ποιῶμεν αὐτοὺς ταῖς ἐπιβολαῖς τῶν ἐννοιῶν, καὶ συχνὰ μεταβαίνειν ἐξ ἑτέρων εἰς ἑτέρας ἀναφορὰς, ὥσπερ αἱ κυνηγετικαὶ κύνες, ὁπότε τὰς τῶν λαγωῶν ἰχνηλατοῦσι νομὰς, συχνὰ τὴν ῥῖνα πρὸς ἕτερα ἐξ ἑτέρων ἴχνη μετάγουσαι. (Β.) Ἔθνος ἐστὶ πολυανθρωπότατον, βορειοτέ 1.31 ραν πολλῷ τὴν οἴκησιν ἔχον ἢ κατὰ πᾶσαν τὴν καθ' ἡμᾶς οἰκουμένην, οὐδαμῶς μὲν ἐς ἀκρίβειαν ὑπὸ τὸν ἀρκτικὸν πόλον, παρὰ τοὺς ἀρκτικωτάτους δ' οὖν ὅμως ἐνδιαιτώμενον παραλλήλων ἁπάντων, ὁπόσοι τὴν οἰκουμένην ἅπασαν περιγράφουσιν, ὡς οἱ τὰς παλαιάς τε ἱστορίας συνθέντες παρέδοσαν τοῖς ἐπιγενομένοις ἡμῖν, καὶ αὖ ἡμεῖς, καθόσον ἐξῆν, ἐκ τῆς τοῦ χρόνου ξυνήκαμεν πείρας. τούτους γαλακτοφάγους μὲν καὶ ἀβίους καὶ δικαιοτάτους ἀνθρώπων Ὅμηρος ἔφησεν· ἐν τούτοις γὰρ οὐ μαγείρων μαγγανεία, οὐδὲ τραπέζης ἐπινενόηται πολυτέλεια. φυτηκομίαι δὲ καὶ ἀρόσεις γῆς, οὐδ' ἐν ὀνείροις, ὅ τί ποτέ εἰσιν, ἐφαντάσθησαν. ἀλλὰ τροφὴ μὲν αὐτοῖς ἡ τῆς γῆς αὐτοφυὴς πόα, καὶ τὰ τῶν ὑποζυγίων καὶ τῶν ἄλλων βοσκημάτων αἵματά τε καὶ σώματα. καὶ εἴ τι δὲ τῶν ἀγρίων ζώων καὶ πετεινῶν ἁλωτὸν αὐτοῖς γένοιτο, καὶ τοῦτο δ' αὐτοῖς αὐτοσχέδιός ἐστι τροφή. ἔνδυμα δ' ἀποίητον, τὰ τῶν ζώων δέρματα. ἄργυρος δὲ καὶ χρυσὸς καὶ μάργαρος καὶ λίθος λυχνίτης, ἴσα καὶ κόνις ἐκείνοις ἐστίν. οὐ πανηγύρεις ἐκεῖ καὶ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

φιλοτιμίας θέατρα, οὐδὲ βουλευτήρια περὶ ναυστάθμων καὶ τριηραρχιῶν καὶ ἀγορανομιῶν· ἀλλ' εἰρήνη πᾶσα τὸ ἀπὸ τούτων, καὶ βίος πάμπαν ἀστασίαστος. ὥσπερ γὰρ οἱ τοῖς τῶν ἀνθρώπων σώμασιν ἐπισυμβαίνοντες πυρετοὶ τὰς ἀφορμὰς ἐκ τῆς ὕλης ἔχουσι, καὶ παρὰ τοσοῦτον φλεγμαίνουσι, παρ' ὅσον καὶ ἡ τῆς ὕλης πέφυκε χορηγία· ἐπειδὰν δ' ἀσιτίαι μακραὶ, καὶ ἰατρῶν φαρμακοποσίαι παραλαβοῦσαι τὸ σῶμα, τὴν ὕλην πᾶσαν ἐξαναλώσωσιν, αὐτίκα πέπαυται μὲν ὁ 1.32 πυρετὸς, ἠσθένησε δ' ἡ τοῦ σώματος ἀσθένεια· οὕτω κἀν τοῖς ἀνθρώποις ἐκείνοις, τῶν πραγμάτων οὐκ ὄντων, ἐξ ὧν φιλονεικίαι καὶ ἔριδες φύονται καὶ κατ' ἀλλήλων ἐπιβουλαὶ καὶ χύσεις αἱμάτων ἐπινοοῦνται, οὐδὲ δικαστήρια συγκροτοῦνται λοιπὸν, οὐδὲ βουλευτήρια καὶ ἀναγνώσεις νομίμων, οὐδὲ πιθαναὶ γλῶσσαι, καὶ λόγων διαστροφαὶ, καὶ ἐννοιῶν λαβύρινθοι· ἀλλὰ δικαιοσύνη τις αὐτοφυὴς ἐπινέμεται τούτους καὶ ἀνεπίφθονος αὐτονομία. διὰ μὲν δὴ ταῦτα δικαιοτάτους ἀνθρώπων καὶ Ὅμηρος τούτους ὠνόμασε. (Γ.) Τήν γε μὴν προσηγορίαν αὐτῶν διαφόρως ἡμῖν οἱ πάλαι σοφοὶ διεπόρθμευσαν. Ὅμηρος μὲν γὰρ Κιμμερίους αὐτοὺς καλεῖ, Ἡρόδοτος δὲ ὁ τὰ Περσικὰ συγγραψάμενος Σκύθας πολυειδεῖς, ὁ δὲ Χαιρωνεὺς Πλούταρχος Κίμβρους καὶ Τεύτονας, οὐκ οἴκοθεν μὲν, ὀνομάζει δ' οὖν, ὥσπερ ἀμφιβάλλων καὶ ἀπιστῶν αὐτὸς ἑαυτῷ. τὴν μὲν γὰρ κυρίαν αὐτῶν προσηγορίαν αὐτοὶ ἂν κατὰ τὴν σφῶν αὐτῶν εἰδεῖεν διάλεκτον. οἱ δ' Ἑλληνικοῖς ὀνόμασιν ἐπ' αὐτῶν χρώμενοι, ἄλλοτε ἄλλως, ὡς ἕκαστοι βούλοιντο, τούτους προσαγορεύουσιν, ὁπόσοι ἐκεῖθεν χειμάῤῥου δίκην ἐς τὴν καθ' ἡμᾶς οἰκουμένην ἐπιῤῥέοντες, ἄλλοτε ἄλλους ἐπιλαμβάνουσι τόπους. ὥσπερ γάρ εἰσιν οὐράνια μὲν δείματα θεόθεν τοῖς ἀνθρώποις ἐπισειόμενα πολλάκις, κεραυνοὶ καὶ πρηστῆρες καὶ ὑετῶν πλῆθος, ἐπίγεια δὲ, σεισμοὶ καὶ ῥήγματα γῆς, ἀέρια δὲ, τυφῶνες καὶ λαίλαπες· οὕτω καὶ οὗτοι ταμιεύονται τῷ θεῷ, ἀρκτικά τινα, ὡς εἰπεῖν, καὶ ὑπερβόρεια δείματα, ὥστ' ἀνθ' ἑτέρας μάστιγος στέλλεσθαι καθ' 1.33 ὧν ἂν καὶ ὁπότε ἡ πρόνοια βούλοιτο. τούτων τινὲς πολλάκις ἐκεῖθεν ἀποσπασθέντες, πολλοὺς ἐλυμήναντο χώρους, καὶ πλείστοις ἔθνεσι ζυγὸν δουλείας ἐπήνεγκαν· ὥσπερ ἂν εἰ μεγάλου πελάγους ἀποτομὴ χεθεῖσα κατὰ πρανοῦς πάντ' ἐπικλύζοι καὶ παρασύροι ὁπόσοις ἂν ἐπιδράμοι. (Δ.) Ἀλλ' ἐκεῖθεν μὲν γυμνῆταί τε καὶ ἄσκευοι ἐξιόντες, εἶτα ἀμείβουσι τὴν δίαιταν, μεταλαμβάνοντες τὴν τῶν τόπων ἐκείνων, ἐν οἷς ἱδρύουσιν ἑαυτούς. ὥσπερ γε μὴν οἱ ἐξ ὀρῶν τῶν μεγίστων ἀναῤῥηγνύμενοι ποταμοὶ, καὶ τὸ ῥεῖθρον εἰς τὴν θάλασσαν ἀποπτύοντες, οὐκ εὐθὺς παρὰ τὴν αἰγιαλίτιδα ψάμμον ἐς ἅλμην τὸ πότιμον αὐτῶν ἐξαλλάττουσιν, ἀλλὰ μέχρι πολλοῦ τῆς θαλάττης εἰσρέοντες ἀκοινώνητοι, ἔπειτα ἐσπείσαντο, καὶ τοῦ κράτους τοῖς πλουσιωτέροις παρεχώρησαν ὕδασιν, οὕτω καὶ τούτων οἱ τὴν ἔγγιστα τῆς πρώτης οἰκήσαντες Σκυθικῆς, ἀφ' ἧς τὸ πρῶτον ἐῤῥύησαν, τὴν προτέραν προσηγορίαν ἐφύλαξαν ἔτι ἀκήρατον, αὐτοί γε ὀνομαζόμενοι Σκύθαι, καὶ ἡ τούτους τρέφουσα γῆ Σκυθική. οὗτοι δ' εἰσὶν, ὅσοι τε τὴν ὑπὲρ τὰς πηγὰς τοῦ Ταναΐδος ᾤκησαν γῆν, καὶ ὅσοι τὸν Τάναϊν· ἔπειτα διαβάντες ἐκεῖθεν, ἐξεχύθησαν ἐς Εὐρώπην, τὰ ἐς ζέφυρον ἄνεμον βλέποντα πλευρὰ τῆς μεγίστης Μαιώτιδος διανεμηθέντες. (Ε.) Μετὰ δὲ μακρὰν μακρῶν αὖθις ἐνιαυτῶν περίοδον ἕτεροι, καθάπερ ἐκ μεγάλης πηγῆς τῆς πρώτης ἀποῤῥαγέντες Σκυθικῆς, ἐς δύο σχίζονται μοίρας· καὶ ἡ μὲν, τοὺς πρὸς τῇ Ἀσίᾳ Σαυρομάτας καταστρέψασα, ἔδραμε μέχρι καὶ ἐς θάλασσαν τὴν Κασπίαν, οἳ καὶ τὴν πάτριον ἤδη ἐκλαθόμενοι κλῆ 1.34 σιν Σαυρομάται καὶ Μασσαγέται ἐκαλοῦντο καὶ Μελάγχλαινοι καὶ Ἀμαζόνες· καὶ ὅσα αἱ δουλωθεῖσαι φυλαὶ κατὰ διαίρεσιν εἶχον ὀνόματα, πάντων καὶ οὗτοι κεκοινωνήκασι τούτοις, διὰ τὴν ἐς τὰ ἐκείνων ἤθη δευσοποιόν τε καὶ ἀναπόνιπτον μεταδιαίτησιν. οἱ δ' ἐς τὴν Εὐρώπην ἀποκλίναντες, τὴν παρωκεάνειον πᾶσαν καταδραμόντες ἤπειρον, ἔς τε Σαρμάτας καὶ Γερμανοὺς τὰ ὀνόματα ἤμειψαν καὶ αὐτοί. χρόνῳ δὲ ὕστερον καὶ ἐς τὴν Κελτικὴν ἐμβαλόντες καὶ ταύτην


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

οἰκειωσάμενοι, Κελτοί τε ἤδη καὶ Γαλάται ἐκλήθησαν. ἐῶ λέγειν τοὺς ὀψὲ τοῦ χρόνου τὰς Ἄλπεις ὑπερβαλόντας καὶ κατὰ τῆς Ἰταλίας αὖθις μυριάσιν ἐκστρατεύσαντας πολλαῖς, Τεύτονάς τε καὶ Κίμβρους, αὐταῖς γυναιξί τε καὶ τέκνοις, οἳ καὶ μόλις μὲν, κατεκόπησαν δ' οὖν ὑπὸ τῶν Ῥωμαϊκῶν δυνάμεων, ὑπάτων τηνικαῦτα καὶ στρατηγῶν τυγχανόντων τοῦ τε Μαρίου Γαΐου καὶ τοῦ Κάτλου Λουτατίου. (΄.) Καὶ τί δεῖ λέγοντας διατρίβειν, ὅπου γε καὶ Λιβύης αὐτῆς πολλάκις ἐπέβησαν, τούς τε ἑσπερίους καταστρεψάμενοι Ἴβηρας καὶ τὸν κατὰ τὰς Ἡρακλείους στήλας πορθμὸν διαβάντες; αὐτοὶ μὲν γὰρ, ἐφ' οὓς ἂν ἐπελάσωσι, πάντας ὡς τὰ πολλὰ κατατροποῦνται, καὶ τῶν ἄλλων κυριεύουσι τόπων. τὴν δ' αὐτῶν Σκυθικὴν τῶν πάντων οὐδεὶς ἐξ αἰῶνος φαίνεται δουλωσάμενος. τὸ δ' αἴτιον, ὅτι ἐκεῖνοι τὸν ἁβρὸν καὶ ἐμβριθῆ βίον ἀρχῆθεν ἐξομοσάμενοι, οὔτε σῖτον ἔδουσιν, οὔτ' αἴθοπα οἶνον πίνουσιν, οὗ χάριν οὔτε γῆν ἀροῦσιν, οὔτε ἄμπελον ἐγεώργησαν πώποτε, οὔτε τῶν ἄλλων σπορίμων ἐπιτηδεύουσιν, ὧν οἱ τῆς ἐνδοτέρας οἰκουμένης καθεστήκασι τρόφιμοι. ἃ τοῖς μὲν Σκύθαις ἐθάσιν οὖ 1.35 σιν ἡδέα καὶ ἥκιστα ἐπαχθῆ, τοῖς δὲ πολεμίοις καὶ μάλα πολέμια, οἳ τὰ σκευοφόρα πλείω τῶν μαχίμων ἐπάγονται, καὶ ὅπῃ στρατοπεδεύσειαν, πολλῆς καὶ παντοδαπῆς δέονται τῆς ἀγορᾶς, ἵν' αὐτοῖς τε καὶ τοῖς ὑποζυγίοις ἀνενδεῶς χορηγοῖεν τὰ χρήσιμα. οἱ δὲ τὸν ἄσκευον καὶ κοῦφον ἀσκοῦντες βίον ἀεὶ, ῥᾳδίως τὰς ἐκστρατείας ποιοῦνται, καὶ τριῶν διὰ μιᾶς ἡμέρας πολλάκις δίκην πτηνῶν αἰθερίων περιτρέχουσι γῆν, ἄλλην ἐξ ἄλλης πρὶν ἀκουσθῆναι καταλαμβάνοντες, μηδὲν μὲν ἐπαγόμενοι, πάντα δ' οὖν ἔχοντες, ὅσα πρὸς τὸ νικᾷν ῥᾳδίως ἐφόδια κράτιστα. εἶναι γὰρ ταυτὶ τότε κατὰ πλῆθος ἐξιέναι μικροῦ καὶ ἀριθμὸν ὑπερβαῖνον, τό τε τῆς κινήσεως εὔστροφον καὶ ὀξύτατον, καὶ ὃ τούτων μεῖζον, τὸ τελέως ἀφειδεῖν ἑαυτῶν καὶ κατὰ πρόσωπον δίκην ἀγρίων θηρῶν ἀπαντᾷν ἐς τὰς μάχας. ε΄. Ἀλλ' ἐπανιτέον, ὅπῃ τὸ πρότερον ἴχνος τοῦ λόγου καταλελοίπειμεν. ἤδη γὰρ καὶ Ἰωάννου τοῦ Δούκα τὰ Ῥωμαίων σκῆπτρα διέποντος, μοῖρα Σκυθῶν παμπληθὴς καὶ ἐς πολλὰς ἀναφέρουσα τὸν ἀριθμὸν μυριάδας, ἄνωθεν ἐξ Ὑπερβορέων ἀποσπασθεῖσα κάτεισι μὲν ἀθρόα μέχρι καὶ Κασπίας θαλάττης. ἐν τούτοις δὲ τοῦ ἡγουμένου Σιτζισχᾶν τετελευτηκότος, διείλοντο τὴν ἡγεμονίαν τῶν στρατευμάτων ἄμφω αὐτοῦ τὼ υἱέε, ὅ τε Χαλαοῦ καὶ ὁ Τελεπουγᾶς. καὶ ὁ μὲν Χαλαοῦ πρὸς ἄρκτον ἀφεὶς τήν τε Κασπίαν καὶ Ἰαξάρτην ποταμὸν, ὃς ἐκ τῶν Σκυθικῶν ῥηγνύμενος ὀρῶν, πλατύς τε καὶ βαθύῤῥους διὰ τῆς τῶν Σογδιανῶν χώρας κατιὼν, ἐς τὴν Κασπίαν ποιεῖται τὰς ἐκβολὰς, 1.36 κατῄει διὰ τῆς κάτω Ἀσίας. ἀλλ' ὁ μὲν περὶ τούτων λόγος ἀναμεινάτω· ἀνθέλκει γὰρ ἡμᾶς ἐκεῖθεν ὁ τῆς Εὐρώπης. ὁ γὰρ ἕτερος τῶν υἱέων τοῦ Σιτζισχᾶν, ὁ Τελεπουγᾶς, ὅρους τῆς οἰκείας ἀρχῆς ποιησάμενος πρὸς μεσημβρίαν μὲν τὰς τοῦ Καυκάσου ὑπερβολὰς καὶ ἐφεξῆς τὰ τῆς Κασπίας θαλάσσης πελάγη, ἐπορεύετο διὰ τῆς τῶν Μασσαγετῶν καὶ Σαυροματῶν γῆς, πᾶσαν ὑποποιούμενος αὐτήν τε καὶ ὅσα Μαιώτιδά τε καὶ Τάναϊν τῶν ἐθνῶν παροικοῦσιν. εἶτα ὑπερβαλὼν τὰς πηγὰς τοῦ Ταναΐδος, πολὺς ἐῤῥύη κάτω διὰ τῶν Εὐρωπαίων ἐθνῶν. πλεῖστα δὲ ταῦτα πεφύκασι καὶ παντοδαπά· ὧν τὰ μὲν ἐς μεσόγειον τεμάχιά τε καὶ λείψανα ἦσαν τῶν πάλαι Σκυθῶν, ὅσα ἐς νομάδας καὶ ἀροτῆρας ἐμερίζοντο· τὰ δὲ ὁμοροῦντα τῇ Μαιώτιδι καὶ τὴν τοῦ Πόντου πληροῦντα παράλιον, Ζικχοί τ' Ἀβασγοί τε ἦσαν, Γοτθοί τε καὶ Ἁμαξόβιοι, Ταυροσκύθαι τε καὶ Βορυσθενεῖται, καὶ πρὸς τούτοις ὅσοι τὴν παρὰ τὰς ἐκβολὰς τοῦ Ἴστρου Μυσίαν ἐνέμοντο. (Β.) Οὖννοι δὲ οὗτοι καὶ Κόμανοι ἐκαλοῦντο· ἦσαν δὲ οἳ καὶ Σκύθας αὐτοὺς κατωνόμαζον. οἳ καὶ τὴν βαρεῖαν καὶ ἀνυπόστατον ἔφοδον ἐκπλαγέντες τῶν ἄρτι ἐπιδραμόντων Σκυθῶν, ἔγνωσαν δεῖν ἑαυτοὺς μετανάστας ἐκεῖθεν ποιεῖν. οὐ γὰρ ἐν ἐλπίσιν ὅλως χρησταῖς οὐδενὶ τὸ ἀνθίστασθαι ἦν, ἀλλὰ πάντα ὑπεπτήχει καὶ πόλεις καὶ ἔθνη, καὶ δίκην ἀσταχύων ὡς ἐν ἅλωνι θερινῷ συνετρίβοντό τε καὶ ἐφθείροντο. ὅθεν ἀπογνόντες καὶ οὗτοι τὸν πρὸς τοὺς Σκύθας



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

πόλεμον, δι 1.37 φθέραις ἀντ' ἄλλης σχεδίας κάρφης πεπληρωμέναις τὸν Ἴστρον διέβησαν ἅμα γυναιξί τε καὶ τέκνοις. καὶ οὐ μικρόν τινα χρόνον ἀνὰ τὴν Θρᾴκην πλανώμενοι περιήεσαν, ἀποικίαν ζητοῦντες ἁρμόττουσαν ἑαυτοῖς, χιλιάδες οὐ μείους τῶν δέκα. ἀλλὰ πρὶν αὐτοὺς καταλῦσαι τὴν πλάνην, ὁ βασιλεὺς Ἰωάννης δωρεαῖς μεγαλοπρεπέσι καὶ δεξιώσεσιν ἄλλαις ἐφέλκεται καὶ τοῖς Ῥωμαϊκοῖς καὶ αὐτοὺς ἐγκαταλέγει στρατεύμασι, χώρας ἄλλοις ἄλλας διανειμάμενος εἰς κατοίκησιν, τοῖς μὲν κατὰ Θρᾴκην καὶ Μακεδονίαν, τοῖς δ' ἐν Ἀσίᾳ κατὰ Μαίανδρον καὶ Φρυγίαν. (Γ.) Ἀλλ' ἐπὶ τὴν ἕω πάλιν ἡμᾶς ὁ λόγος διαβιβάζειν ἐπείγεται, καὶ τοὺς Ὑπερβορείους ἐκείνους Σκύθας, οἳ κατὰ τῆς Ἀσίας δίκην ἀκρίδος βαρείας χεθέντες μάλα σφοδρῶς μικροῦ πᾶσαν συνεκύκησάν τε καὶ ἐδουλώσαντο. οὗτοι γὰρ ἐπειδὴ τὰ περὶ τὴν Κασπίαν στενὰ διέβησαν, κατὰ νῶτον ἀφέντες Σογδιανούς τε καὶ Βακτριανοὺς καὶ Ὦξον τὸν Σόγδον ποταμὸν, ὃν μεγάλαι τε καὶ πλεῖσται τρέφουσι πηγαὶ, παρὰ τοὺς πρόποδας τῶν πρόσω μεγάλων ὀρῶν διεχείμασαν, τῶν ἐκεῖσε τῆς χώρας ἐκείνης ἀγαθῶν ἀπολαύοντες, ὅσα τῆς ἄνωθεν λείας ὤναντο. ὄρη δὲ ταῦτά εἰσι πλεῖστα καὶ μέγιστα, ἃ πάντα κατὰ συνέχειαν ἀλλήλων ἐχόμενα ὥσπερ ἓν ἅπαντα γίνονται ὄρος, Ταῦρος ὀνόματι καλούμενον γενικῷ, ᾧ κατὰ μέσον ἀκριβῶς διέζωσται πᾶσα Ἀσία. ἀρχὴ μὲν γὰρ αὐτῶν πρὸς ζέφυρον ἄνεμον τὰ ἔγγιστα τοῦ Αἰγαίου πελάγους· σχίζουσι δὲ ἐκεῖθεν ἐξιόντα ἐς τμήματα δύο τὴν ὅλην Ἀσίαν, ἄχρις ἂν ἐς ἀπηλιώτην ἄνεμον παρ' αὐτὸν τελευτήσωσι 1.38 τὸν Ὠκεανόν. (Δ.) Ἀλλὰ γὰρ ἦρος ἐπιγενομένου, ὅτε πᾶν τὸ πρόσωπον τῆς γῆς τὴν χλόην τῆς πόας ἐνδύεται, τὰ παρὰ τοὺς πρόποδας τῶν ὀρῶν χειμάδια καταλιπόντες οἱ Σκύθαι, καθάπερ αἰπόλια καὶ βουκόλια, κατὰ πλῆθος τὰς κορυφὰς τῶν ὀρῶν ὑπερβάλλουσι, ῥέουσί τε κατὰ τῶν ὑποκειμένων ἐθνῶν καὶ πάντας ἐν λόγῳ λείας ποιούμενοι, καταντῶσιν ἐς Ἰνδικὴν, ὁπόση ἐφ' ἑκάτερα κεῖται τοῦ μεγίστου τῶν ποταμῶν Ἰνδοῦ. καὶ ταύτῃ ζυγὸν ἐπιθέντες δουλείας, οὐκέτι πρὸς ἕω ταύτης ἐπέκεινα ὥδευον διὰ τὸ τραχύ τε καὶ καυματῶδες τοῦ τόπου· ἀλλ' ἐπ' Ἀραχωσίαν τε καὶ Καρμανίαν τὴν ὁρμὴν ἐποιήσαντο· καὶ πάντων ῥᾳδίως ὑποκυπτόντων, ἐπὶ Χαλδαίους ἀφίκοντό τε καὶ Ἄραβας. ἔπειτα ἐς Βαβυλωνίους καὶ Ἀσσυρίους διαβάντες, καὶ Μεσοποταμίαν κατειληφότες, καὶ ταῖς τοῦ τόπου χάρισιν ἀρεσθέντες, ἐκεῖ τὴν μακρὰν καταλύουσι πλάνην, ἔτος που ἤδη τρίτον ἀνύοντες, ἀφ' οὗ τόν τε Ἰαξάρτην διεπεραιώθησαν ποταμὸν καὶ τῶν ἄλλων διέστησαν ὁμοφύλων, τῆς κάτω Ἀσίας κληρούχους τάξαντες ἑαυτούς. (Ε.) Ὥσπερ δὲ πῦρ ἐς ὕλην βαθεῖαν ἐνσκῆψαν, οὐ μόνον ἧς τὸ πρῶτον ἐδράξατο, ταύτην λυμαίνεται μόνην, ἀλλ' εἰ ὁμοίᾳ καὶ πάσῃ τῇ πέριξ ἐντύχοι, ἤδη καὶ πᾶσαν ἐκείνην ῥᾷστα ἐπιβόσκεται· οὕτω καὶ ὁ τῶν Σκυθῶν ἀρχηγὸς τουτωνὶ τὴν τῆς ὅλης Ἀσίας ἐξαίρετον πρὸς ἅπασαν ἀνθρωπίνην ἀπόλαυσιν ἐς οἴκησιν ἀπολέξας ἑαυτῷ, οὐκ ἠρέμησε τοῦ λοιποῦ, οὐδὲ τῶν πέριξ ἀπέσχετο· ἀλλὰ τοὺς ὑπ' αὐτῷ σατράπας καὶ χιλιάρχους διαπεμπόμενος, Πέρσας μὲν πρῶτον καὶ Πάρθους καὶ Μήδους παρεστήσατο· ἔπειτα διὰ τῆς μεγάλης 1.39 ἀνιὼν Ἀρμενίας, ἤλασε πρὸς μὲν ἄρκτον ἄχρι Κολχίδος καὶ τῆς ἐκεῖσε Ἰβηρίας· ἔμελλε δὲ ἤδη ἐς τοὺς ἐπιόντας ἐνιαυτοὺς καὶ διὰ τῆς ἐνδοτέρας ἐλάσαι Ἀσίας καὶ ὅρους τῆς οἰκείας ἀρχῆς ποιήσασθαι τὰς παραλίους ψάμμους, ὅπου θάλασσά τε καὶ ἤπειρος σπένδονται. μηδὲ γὰρ εἶναι τῶν ἀνεκτῶν, ἔξω τι τῆς αὐτῶν ἐλλελεῖφθαι χειρὸς, ὁπόσα τὴν τῆς Ἀσίας ἤπειρον ἅπασαν ἄχρι θαλασσῶν οἰκοῦσιν αὐτῶν. τέως δ' αὐτόθι καταμένειν ἠρεμοῦντες ἐγνώκεισαν, κλήρους ἑαυτοῖς διανείμαντες χωρῶν καὶ πόλεων, διαφόρων τε οἰκιῶν καὶ κτημάτων κτήσεις καὶ καταγωγὰς, πολλὴν ἐμπαρεχομένας τῷ σώματι θυμηδίαν καὶ τρυφήν. (΄.) Χρυσὸς δὲ καὶ ἄργυρος καὶ χρημάτων ποικιλία καὶ πολυτέλεια (πολλὰ δὲ ταῦτα ἐπιχωριάζει κατ' ἐκείνους τοὺς χώρους) οὔπω ἐγινώσκετο τούτοις εἰς ὅ τι χρήσιμα εἴη τοῖς ἔχουσι· διὸ καὶ παρέτρεχον αὐτὰ ἴσα καὶ κόνιν, καὶ ὅσα ἐς ὕλην ἀνόνητον ἔῤῥιπται. ἡ γὰρ φύσις τῶν ἀναγκαίων γίνεται



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

πρῶτον διδάσκαλος· ἂν γοῦν ταῦτα μὴ σπάνις στενοχωρῇ τις, ἀλλ' ἐς πλῆθος ἡ τύχη παρέχῃ προκεῖσθαι, τηνικαῦτα ὡς ἐκ συγκρίσεως προμηθὴς αὖθις ἡ φύσις καθίσταται, κατ' ἐξουσίαν τὸ προσηνέστερον ἐκλεγομένη σαφῶς ταῖς αἰσθήσεσιν. ἂν δὲ κόρος ἐπὶ τούτοις γένηται, συνήγορος οὗτος αὐτίκα καθίζει τοῖς περιττοῖς, καθάπερ τινὰ πλάνην καὶ δέλεαρ μηχανώμενος πρῶτον τὴν αὐτῶν ἐς διάφορα εἴδη ποικιλίαν καὶ σύνθεσιν· κἄπειτα ἐγγοητεύων οὑτωσί πως ἀπόῤῥητον ἡδονὴν, ἵνα μὴ τὸ τῆς περιττότητος ἐμβριθὲς ἐπαχθὲς φαίνηται ἅμα καὶ λυπηρόν. ὡς νῦν γε καὶ οὗτοι μόνοις τοῖς ἀναγ 1.40 καίοις ὄντες ἐθάδες, καὶ τούτοις ἐστενωμένοις, ἔπειτα τοσαύταις τῶν τόπων ἐκείνων χάρισιν ἐντυχόντες, ὁπόσας ἡ Βαβυλωνίων καὶ Ἀσσυρίων φέρει περίχωρος, οὐκέτι τούτων ἀπαλλάττεσθαι ἔκριναν δεῖν, ἀλλὰ χαίρειν εἰπόντες τοὺς μακροὺς ἐκείνους πόνους καὶ περιδρόμους, ἐκεῖσε τοῦ λοιποῦ ποιεῖσθαι καθημένους τὴν δίαιταν. ἐκεῖθεν δ' ὁπόσοις ἐπῆλθον ἔθνεσι, φόρους συντάξαντες ἅπασιν, ἀνὰ πᾶν οὐ διαλείπουσιν ἔτος δασμολογοῦντες καὶ ἐπιτάττοντες ὅσα καὶ δούλοις, καὶ χρηματίζοντες ὡς ἐκ μεγάλου τρίποδος, καὶ θεμιστεύοντες ὁπόσα σφίσι δοκοίη ἐς ἐκείνους καθήκειν. (Ζ.) Τῷ δὲ χρόνῳ τοῖς τῶν Ἀσσυρίων καὶ Περσῶν καὶ Χαλδαίων ὁμιλήσαντες πεπαιδευμένοις ἤθεσιν, ἔς τε τὸ αὐτῶν ἔκλιναν σέβας, τὴν πάτριον ἀθεΐαν ἀφέντες, καὶ τοῖς αὐτῶν κεκοινωνήκασι νόμοις καὶ ἔθεσιν, ὁπόσα τε ἐς ἐσθῆτα καὶ τράπεζαν ἄγει πολυτελῆ, καὶ ὁπόσα τὴν τῆς ἄλλης διαίτης ὑπαγορεύει τρυφήν. ἐς τοσαύτην γὰρ τὴν μεταδιαίτησιν ἤδη παρήλλαξαν, ὥστε πρότερον τὴν μὲν κεφαλὴν παχεῖ τινι πίλῳ καὶ ἀνειμένῳ σκέποντες, τῆς δ' ἄλλης πάσης ἐσθῆτος τὸ εὔδαιμον εἰς δέρματα ζώων ἀγρίων ἐγκλείοντες, καὶ διφθέρας ἀνεπιτηδεύτους, ὅπλοις δ' ὁμοίως χρώμενοι ῥοπάλοις τισὶ, καὶ σφενδόναις, δόρασί τε καὶ βέλεσι καὶ τόξοις αὐτοσχεδίοις ἅπασιν ἔκ τε δρυῶν καὶ τῶν ὁμοίων δένδρων, ὅσα ὄρη καὶ λόχμαι ταῖς ὥραις δουλεύοντα φέρουσιν αὐτοφυῆ βλαστήματα, σηρικοῖς καὶ χρυσοϋφέσιν ὕστερον ἐχρήσαντο τοῖς ὅλοις ἐνδύμασιν· ἐς τοσοῦτον ἀμετρίας ἐξήνεγκαν τὴν ἁβρότητα τῆς τρυφῆς, ἐκ διαμέτρου καθάπαξ στήσαντες ἑαυτοὺς τῆς προτέρας διαίτης. 1.41 ΄. Ἐπὶ τούτων οἱ τὴν ἐντὸς τοῦ Εὐφράτου Ἀσίαν ἔχοντες Τοῦρκοι καὶ οἱ τὴν Κοίλην Συρίαν καὶ Φοινίκην Ἄραβες θόρυβον εἶχον ἐφ' ἑαυτοὺς οὐ μικρὸν, πονηρὸν τοὺς Σκύθας ὁρῶντες γειτόνημα. πρέσβεις οὖν αὐτοκράτορας ὁ τῶν Τούρκων ἡγεμὼν πρὸς τὸν βασιλέα ἐκπέμπει Ἰωάννην περὶ βεβαίων σπονδῶν. ἐδεδίει γὰρ, μὴ περισπώμενος ἐς τὰς τῶν Σκυθῶν μάχας αὐτὸς ὄπισθεν ἔχῃ μεγάλους ἐχθροὺς τὰς Ῥωμαίων δυνάμεις· εἶναι γὰρ αὐτῷ τῶν πάνυ τοι ἀδυνάτων καὶ σαφῆ τῆς οἰκείας ἡγεμονίας ἀπώλειαν, εἰ μόλις ἔχων τὸ θαῤῥεῖν ἀντιπαρατάττεσθαι πρὸς μόνας τὰς Σκυθικὰς ἐφόδους, ἔπειτα πρὸς δύο μερίζειν τὰς ἑαυτοῦ δυνάμεις ἀναγκάζοιτο διὰ τὰς ἑκατέρωθεν μάχας. τοῦτο καὶ τῷ βασιλεῖ πρὸς βουλήσεως ἦν καὶ πάνυ τοι προδεδογμένον, πολλῶν εἵνεκα· ἑνὸς μὲν, ὅτι μηδὲ τούτῳ ἐδόκει συνοῖσον, οὐδ' αὖ κοῦφον καὶ ῥᾴδιον, ὅτι μὴ τῶν μάλα βιαίων καὶ ἐπαχθῶν, μερίζεσθαι πρός τε τὰς τῆς Ἀσίας μάχας, πρός τε τὰς τῆς Εὐρώπης· ἑτέρου δ', ὅτι καὶ μέγα νῦν ἐπιτείχισμα καὶ σφόδρα τοι καίριον γίνεσθαι, μέσους κειμένους τοὺς Τούρκους κατὰ τῶν Σκυθικῶν πολέμων, καὶ τὸν κοινὸν δεχομένους κίνδυνον ἐν τοῖς ἑαυτῶν σώμασι, δίκην προμάχων στεῤῥῶν ἢ προβόλων πετρῶν, ἃς ἐνιαχοῦ τῶν παραλίων μερῶν κατὰ τῶν τῆς θαλάσσης ἀγρίων κυμάτων ἡ φύσις ἐξώπλισε. (Β.) Ταῦτ' ἄρα καὶ πρόθυμός τε καὶ μάλα ἐθελοντὴς τὰς μετὰ τῶν Τούρκων ἐτέλει σπονδάς· καὶ τοῦτο μέγα ὄφελος τοῖς Ῥωμαίων τότε κατέστη πράγμασιν. ἄδειαν γὰρ καὶ ἀνακωχὴν τῶν μακρῶν εἰληφότες πολέμων, ἐς τὴν τῶν οἰκείων κτημάτων καὶ πραγμάτων ἐπέδωκαν ἐπιμέλειαν. 1.42 αὐτός τε γὰρ ὁ βασιλεὺς τοσοῦτο μέρος ἀποτεμόμενος γῆς, ὅση τε ἀρόσιμος καὶ ὅση πρὸς ἀμπελουργίαν εὔθετος, ὅσην ἐξαρκεῖν ἔκρινεν ἔς τε βασιλικὴν τράπεζαν, καὶ ἐς ὅσα ἡ εὐεργετοῦσα καὶ διαρκῶς χορηγοῦσα γνώμη τοῦ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

βασιλέως παρεκελεύετο (γηροτροφεῖα δὲ ἦσαν ταῦτα καὶ πτωχοτροφεῖα, καὶ ὅσα τοὺς ἐκ παντοίων νοσημάτων ἐθεράπευον τραυματίας), ἐπιμελητάς τε τούτοις ἐπιστήσας, ὁπόσοι καλῶς γεωργεῖν τε καὶ ἀμπελουργεῖν ἴσασι, πολλήν τε καὶ ἄφθονον τὴν τῶν καρπῶν ἐτήσιον ἤθροιζε χορηγίαν. οὐ μόνον δὲ, ἀλλὰ καὶ ἵππων καὶ βοῶν καὶ ποιμνίων, ὁμοῦ τε καὶ συῶν ἀγέλας προσεκτήσατο ἐπὶ τούτοις, καὶ παντοίων ὀρνίθων ἡμέρων εἴδη, ἐξ ὧν πολύχους ὁ τῶν γεννωμένων πορισμὸς ἐφαίνετο καθ' ἕκαστον ἐνιαυτόν. τοῦτο δὲ καὶ τοῖς ἄλλοις παρῄνει ποιεῖν, ὅσοι τε τῶν γένει προσηκόντων, καὶ ὅσοι τῶν ἄλλως εὐγενῶν ἦσαν, ἵν' ἕκαστος οἴκοθεν ἔχων τῆς χρείας τὸ διαρκὲς, μήτε χεῖρα τοῖς ἰδιώταις καὶ ἀσθενεστέροις ἐπάγῃ πλεονεκτοῦσαν, καὶ ἅμα καθαρεύουσα ἡ Ῥωμαίων τελέως ἐντεῦθεν ἀδικημάτων ᾖ πολιτεία. καὶ μέντοι καὶ χρόνων ὀλίγων αἱ πάντων ἀποθῆκαι βρίθουσαι τοῖς καρποῖς ἑωρῶντο, αἵ τε ὁδοὶ καὶ ἀγυιαὶ καὶ πᾶσα μάνδρα καὶ σηκὸς ἐστενοχωροῦντο τοῖς κτήνεσι, καὶ ὁπόσαι τῶν ὀρνίθων ἦσαν ἀγέλαι. (Γ.) Συνέβη δὲ τηνικαῦτα τοῖς Τούρκοις ἐπ' εὐτυχίᾳ καὶ τοῦτο Ῥωμαίων, λιμὸς ἰσχυρὸς καὶ σπάνις μεγίστη τῶν χρειωδῶν. καὶ ἦσαν δὲ διὰ τοῦτο μεσταὶ τοῦ τοιούτου γε ἔθνους αἱ ὁδοὶ πᾶσαι, γυναικῶν τε καὶ ἀνδρῶν καὶ ὅσοι ἥβης ἐλλιπεῖς, ἀνιόντων καὶ κατιόντων ἐς τὴν Ῥωμαίων 1.43 χώραν. καὶ ἐκενοῦτο σὺν ἀφθονίᾳ μακρᾷ πᾶς ὁ τῶν Τούρκων πλοῦτος ἐς τὰς Ῥωμαίων δεξιὰς, ὅσος ἐν ἀργύρῳ καὶ χρυσῷ, ὅσος ἐν ὑφάσμασι, καὶ πᾶν ποικίλον εἶδος καὶ τερπνὸν καὶ τρυφῆς μεστὸν πολυτελοῦς. καὶ ἦν ἰδεῖν τὰ πολλῶν ἄξια χρήματα σίτου βραχέος ὤνια προτιθέμενα. τότε καὶ ὄρνις οἱαδηποτοῦν, καὶ πρός γε ἔτι βοῦς τε καὶ ἔριφος, πολλοῦ τινος ἐτιμῶντο. καὶ τούτῳ τῷ τρόπῳ τάχιστα οἱ Ῥωμαίων οἶκοι πλούτου βαρβαρικοῦ πλήρεις κατέστησαν, πολλῷ δὲ πλέον τὰ βασιλικὰ ταμεῖα ἤδη τῇ τῶν χρημάτων ἔβριθον δαψιλείᾳ. καὶ ἵν' ἐν βραχεῖ παραστήσω τὸ πᾶν, οἱ ταῖς τῶν ὀρνίθων ἀγέλαις ἐπιστατοῦντες ὁπόσα τίκτοιεν αὗται ᾠὰ, ἀνὰ πᾶν συναθροίζοντες ἔτος ἐπίπρασκον· ὡς ὀλίγου χρόνου πρὸς τῶν συναχθέντων ἐντεῦθεν χρημάτων στέφανον κατασκευασθῆναι τῇ βασιλίδι, λίθοις καὶ μαργάροις λίαν πολυτελέσι διηνθισμένον, ὃν καὶ ᾠάτον ὁ βασιλεὺς ἐπωνόμασε, διὰ τὸ ἐκ τῆς τῶν ᾠῶν πράσεως κατεσκευάσθαι αὐτόν. (Δ.) Ἓν μὲν δὴ τοῦτο τῆς ἐκείνου βασιλικῆς καὶ πολιτικῆς προμηθείας δεῖγμα· ἕτερον δὲ, ἐπειδὴ ἑώρα τὸν Ῥωμαϊκὸν πλοῦτον μάτην κενούμενον ἐς τὰ ἐξ ἀλλοδαπῶν ἐθνῶν ἐνδύματα, ὅσα τε ἐκ Σηρῶν Βαβυλώνιαι καὶ Ἀσσύριαι ταλασιουργίαι ποικίλως δημιουργοῦσι, καὶ ὅσα χεῖρες Ἰταλῶν εὐφυῶς ἐξυφαίνουσιν, ἐξήνεγκε δόγμα, μηδένα τῶν ὑπηκόων χρῆσθαι αὐτοῖς, εἰ μὴ βούλοιτο, ὅστις ποτ' ἄρ' εἴη, αὐτός τε καὶ γένος ἄτιμος εἶναι· ἀλλ' ἢ μόνοις τοῖς ὅσα ἡ Ῥωμαίων γῆ γεωργεῖ καὶ αἱ Ῥωμαίων ἀσκοῦσι χεῖρες. τῶν γὰρ ἀναγκαίων ἡ χρῆσίς ἐστιν ἀμετάβλητος, 1.44 τὰ δὲ ἐνδεχόμενα ταῖς τῶν ἀρχόντων ἀκολουθοῦσιν ὀρέξεσι· καὶ τοῦτο νόμος αὐτοῖς καὶ τιμὴ, ὃ τοῖς ἄρχουσι δεδογμένον ἐστίν· ὥστε κἀνταῦθα ἦν ἰδεῖν, ἐκεῖνα μὲν ἐν Καρὸς καταστάντα μοίρᾳ τοῦ λοιποῦ, τὸν δὲ τῆς εὐγενείας ὅρον ἐν τοῖς τῶν Ῥωμαίων ἐνδύμασι περικλεισθέντα, τὸν δὲ πλοῦτον οἴκοθεν οἴκαδε, τὸ θρυλλούμενον, φερόμενον. ζʹ. Ἀλλὰ γὰρ ἐφ' ἕτερα ἡμῖν ἀγέσθω ὁ λόγος. τῇ μὲν βασιλίδι Εἰρήνῃ μετὰ τὸ τεκεῖν τὸν παῖδα Θεόδωρον συνέβη, ῥιφεῖσαν τοῦ ἵππου ἐπὶ πολὺ τοῦ πεδίου συρῆναι· ἔτυχε γὰρ ἐπὶ θέαν κυνηγεσίου τινὸς ἄρτι ἐληλυθυῖα μετὰ τοῦ συζύγου καὶ βασιλέως· ὡς ἐντεῦθεν βλαβῆναί τε τὴν μήτραν καὶ μηκέτι τεκεῖν τοῦ λοιποῦ. ἦσάν γε μὴν ἄμφω τὴν βασιλείαν ἰθύνοντες πάνυ σεμνῶς καὶ κοσμίως καὶ πλείστην ποιούμενοι πρόνοιαν τοῦ δικαιοσύνην τε καὶ εὐνομίαν ἀνθεῖν ἐν ταῖς πόλεσι, πλεονεξίαν τε ἀπεῖναι καὶ ἁρπαγήν. (Β.) Ἐδείμαντο δὲ καὶ ναοὺς ἀμφότεροι λίαν περικαλλεῖς, πλείστοις ἀναλώμασι μεγίστας καὶ ποικίλας τὰς τούτων οἰκοδομὰς κατεσκευακότες· ὁ μὲν βασιλεὺς τόν τε περὶ τὴν Μαγνησίαν, εἰς ὄνομα τῆς θεομήτορος Σώσανδρα καλούμενον, καὶ τὸν ἐντὸς τῆς Νικαίας εἰς ὄνομα Ἀντωνίου τοῦ μεγάλου· ἡ δὲ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

βασιλὶς τὸν ἔνδον τῆς παρὰ τὸ ὄρος τὸν Ὄλυμπον κειμένης τῶν Προυσαίων μητροπόλεως, ἐπ' ὀνόματι τοῦ τιμίου προφήτου προδρόμου καὶ Βαπτιστοῦ· κτήματά τε πλεῖστα αὐτοῖς καὶ προσόδους ἐτησίως ἀνενδεεῖς ἐπιχορηγήσαντες, μοναζόντων καὶ 1.45 ἀσκητῶν ἐνδιαιτήματα ἔδειξαν, πλήρη χάριτος καὶ θυμηδίας πνευματικῆς. οὐ μόνον δὲ, ἀλλὰ καὶ νοσοκομεῖα καὶ πτωχοτροφεῖα τοῖς τότε καιροῖς ἐπεδαψιλεύσαντο, καὶ ὅσα τὸν ἐκείνων κατὰ θεὸν ἔρωτα ἔδειξαν ἐναργῶς. (Γ.) Ἀλλ' ἐν τούτοις ἡ μὲν βασιλὶς Εἰρήνη τὸ ζῆν ἐξεμέτρησεν. ὁ δὲ βασιλεὺς καὶ σύζυγος πάνυ βαρέως ἐπὶ μακρὸν τὴν ἐκείνης ἤνυσε στέρησιν· ὀψὲ δὲ μὴ φέρων τὴν μόνωσιν, καὶ δευτέραν ἄγεται σύζυγον. αὕτη δὲ ἦν Ἄννα ἡ ἐξ Ἀλαμανῶν, ἔτι νέα πάνυ τῇ ἡλικίᾳ, ἀδελφὴ τοῦ ῥηγὸς Σικελίας Μαφρέ. εἵπετο δ' ἐκεῖθεν αὐτῇ καθάπερ τροφὸς καὶ παιδαγωγὸς ξὺν πολλαῖς ἄλλαις καὶ γυνή τις ὥραν ἐπαγομένη προσώπου καὶ ὀφθαλμῶν ὡς εἰπεῖν ἄφυκτόν τινα σαγήνην, ὄνομα Μαρκεσίνα· ἣ φίλτροις καὶ καταδέσμοις ἐρωτικοῖς, καὶ ἠθῶν ἀστειότητι κατὰ μικρὸν ὑπηγάγετο καὶ τοὺς βασιλικοὺς ὀφθαλμοὺς καὶ πρὸς τοὺς ἑαυτῆς ἐξέκαυσεν ἔρωτας, ὡς παραθεωρεῖσθαι λαμπρῶς ἤδη τὴν βασιλίδα Ἄνναν. ἐς τοσοῦτον γὰρ ὕστερον ἀτοπίας αὐτὸν οἱ τῆς Μαρκεσίνης ἐξεκύλισαν ἔρωτες, ὥστε καὶ συμβόλοις κοσμεῖσθαι βασιλικοῖς συγκεχώρηκε ταύτην· ὡς τούτων μὲν εἵνεκα μηδὲν ἐνδεῖν τῆς βασιλίδος Ἄννης, τῆς δὲ βασιλικῆς στοργῆς καὶ ῥοπῆς καὶ τῆς τῶν ὑπηκόων αἰδοῦς καὶ ὑποστολῆς, εἰ μὴ πάσης ἀπήλαυεν, ὡς εἰπεῖν, αὐτή γε καὶ μόνη, ἀλλ' οὖν πλείονος ἢ κατὰ τὴν νόμιμον σύζυγον, τὴν βασιλίδα Ἄνναν φημί. (Δ.) Ὅμως συνετός γε τυγχάνων ὁ βασιλεὺς, οὐκ ἄλυπος τὸ παράπαν τὸν βίον διέβοσκεν, οὐδὲ κατηφείας καὶ συντριβῆς τῆς προσηκούσης ἐκτός· ἀλλὰ νύττουσαν εἶχε καθά 1.46 περ τι κέντρον ὀξὺ τὴν συνείδησιν, καὶ καιρὸν ἀνέμενε μετανοίας, καὶ λύσιν ἐζήτει θεόθεν τῆς τοιαύτης παρατροπῆς. δῆλον δ' ἐντεῦθεν τουτί. ἀπιέναι γάρ ποτε τὴν Μαρκεσίναν φασὶ προσκυνήσεως ἅμα καὶ θέας εἵνεκα ἐς τὸν θεῖον νεὼν, ὃν ὁ Βλεμμύδης οἴκοθεν ἐδείματό τε καὶ ἐς ἁγίων καὶ θεοφιλῶν ἀνδρῶν ἀσκητήριον κατεστήσατο, πολλὴν ἐπαγομένην τὴν τρυφὴν καὶ σφόδρα τοῖς βασιλικοῖς σεσοβημένην συμβόλοις καὶ τῷ τῶν ἀκολούθων πλήθει. ἀλλὰ πρὶν τῶν προθύρων αὐτὴν ἐπιβῆναι, τὰς τοῦ νεὼ θύρας ἔνδοθεν κλείουσιν ὁ τῶν θείων ἐκείνων ἀνδρῶν σύλλογος καὶ ταύτῃ τὴν εἴσοδον ἀποκλείουσι, κελεύσει τοῦ καθηγητοῦ Βλεμμύδου. ἀνὴρ δὲ οὗτος πολλαῖς περιηνθισμένος ταῖς ἀρεταῖς, καὶ πολλῇ τῇ σοφίᾳ ἐξησκημένος, ὁπόσην τε Ἑλλήνων ὑμνοῦσι παῖδες, καὶ ὁπόσην οἱ τῆς καθ' ἡμᾶς ἐκκλησίας προστάται καὶ ῥήτορες ἐς ἡμετέραν ὠφέλειαν προὔθηκαν. οὐ γὰρ ἔκρινε δίκαιον ὁ θεῖος ἐκεῖνος ἀνὴρ, βεβήλοις καὶ ἀθεμίτοις ποσὶν ἱερὸν πατεῖν ἔδαφος τὸ ἀνόσιον ἐκεῖνο καὶ ἀναιδὲς γύναιον. πῶς γάρ; ὃς οὐδὲ πρότερον ἔληγε σκώμμασι βάλλων αὐτὴν καὶ γλώττῃ καὶ γράμμασι διασύρων ἀεί. (Ε.) Ἡ δὲ τὰ δεινότατα πάσχειν οἰομένη καὶ τῆς βασιλικῆς ἀνάξια σφόδρα τιμῆς, ἐς θυμὸν ἀνῆπτεν ἑαυτὴν καὶ βαρεῖαν καὶ ζέουσαν ὀργὴν, καὶ μάλιστα ὅτι καὶ πρὸς τῶν κολάκων παροξυνομένη μάλα ἐτύγχανεν. ὅθεν καὶ ἐπανῄει πρὸς τὸν βασιλέα λίαν ὑβριοπαθοῦσα, καὶ πρὸς ἄμυναν ὅλαις ὁρμαῖς αὐτὸν διεγείρουσα, καὶ ἐς τὴν τοῦ βασι 1.47 λέως ὑπόστασιν ἀποφαίνουσα ἀνατρέχειν τὰ τῆς ἀτιμίας ταυτησί. οὐ μόνον δὲ, ἀλλὰ καὶ οἱ περὶ αὐτὴν κόλακες, οἱονεὶ πῦρ πυρὶ καὶ ξύλοις ξύλα προσεπιφέροντες, ἐς ὀργὴν ἀνάπτειν ἠπείγοντο μείζονα ἔτι τὸν βασιλέα, χαριζόμενοι τῷ καιρῷ. ὁ δὲ βασιλεὺς ἔνδακρυς γενόμενος καὶ βύθιόν τι στενάξας καὶ πάσης μεστὸς κατηφείας καὶ κατανύξεως ἐν βραχεῖ καταστὰς, "1ἵνα τί με κολάζειν ἄνδρα δίκαιον συνωθεῖτε;"2 ἔφασκεν· "1εἰ γάρ μοι πρὸς βουλήσεως ἦν ἀτιμίας ὁμοῦ καὶ αἰσχύνης καθῆσθαι ἐκτὸς, ἀκίβδηλον ἂν τὸ τῆς βασιλείας ἐτήρουν σεμνὸν καὶ αὐτός· νῦν δὲ τὰς αἰτίας τῶν ἐμῶν ὕβρεων καὶ τῆς βασιλείας αὐτῆς αὐτὸς παρεχόμενος, προσηκούσας ἀπολαμβάνω λοιπὸν ἐντεῦθεν τὰς ἀμοιβὰς καὶ τῶν πονηρῶν σπερμάτων ἄξια τὰ γεώργια."2 η΄. Ἐπὶ τούτων μέντοι τῶν χρόνων



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἦρχε Θετταλίας καὶ Αἰτωλίας καὶ τῶν πέριξ Μιχαὴλ ὁ νόθος υἱὸς τοῦ πρώτου ἀποστάτου Μιχαὴλ τοῦ Ἀγγέλου. τελευτησάσης γὰρ τῆς ἄλλης συγγενείας ἐκείνου πάσης, περιῆλθεν ἤδη πᾶσα ἡ τῶν χώρων ἐκείνων ἀρχὴ εἰς. ἕνα τουτονὶ τὸν νόθον Μιχαήλ. τούτῳ παῖδες ἐγένοντο Νικηφόρος καὶ Ἰωάννης καὶ Μιχαὴλ καὶ τέταρτος, νόθος ὄνομα Ἰωάννης καὶ οὗτος· οἷς ἐπιμερίζειν ἔμελλε μετὰ βραχὺ καὶ τὴν ἑαυτοῦ ἀρχήν. τέως μὲν οὖν πρέσβεις ἀποστείλας πρὸς βασιλέα Ἰωάννην, ἐζήτει νύμφην ἀγαγέσθαι τῷ ἑαυτοῦ υἱῷ Νικηφόρῳ τὴν τοῦ υἱοῦ τοῦ βασιλέως Θεοδώρου τοῦ Λάσκαρι θυγατέρα Μαρίαν· καὶ ἤνυσε τὸ ζητούμενον. ἐγένοντο γὰρ τηνικαῦτα μνηστεῖαι καὶ συμφωνίαι, οἷαι δὴ καὶ γεγόνασι, συμπαραγενομένης τῷ υἱῷ Νικηφόρῳ καὶ τῆς μητρὸς Θεοδώρας κατὰ τὴν 1.48 ἕω, ἅμα μὲν καὶ πρὸς ἐπίσκεψιν τῆς μνηστευομένης νύμφης, ἅμα δὲ καὶ πρὸς βεβαίωσιν τῶν ἐν τούτοις συμφωνιῶν. ὧν δὴ γενομένων, τὴν νύμφην αὐτόθι παρὰ τὰ οἴκοι καταλιποῦσα, ἐπανέστρεφεν οἴκαδε σὺν τῷ υἱῷ Νικηφόρῳ Θεοδώρα ἡ τοῦ Μιχαὴλ σύζυγος, ἐγγύας λαβοῦσα παρὰ τῶν κηδεστῶν βασιλέων, ἐς τοὐπιὸν ἔτος τοὺς γάμους τελεῖσθαι. (Β.) Βραχὺ τὸ μεταξὺ, καὶ πρὸς κατάλυσιν ἔβλεψε τῶν σπονδῶν αὖθις ὁ Μιχαήλ· καὶ ἄρας τοὺς οἰκείους ὑπερέβαινε χώρους ἐπὶ πονήρῳ τῶν δυτικῶν πόλεων, αἳ τοῖς Ῥωμαίων βασιλεῦσιν ὑπῆρχον ὑπήκοοι· ὡς ἀνάγκην εἶναι ἢ τὸν βασιλέα Ἰωάννην στρατεύειν ἐπ' ἐκεῖνον, ἢ κίνδυνον εἶναι πάσας ὑπὸ τῷ Μιχαὴλ τὰς δυτικὰς γενέσθαι πόλεις. ἦρος οὖν ἐπιγενομένου, πλείστην ὁ βασιλεὺς ἠθροικὼς στρατιὰν, ἔξεισι κατὰ τοῦ ἀποστάτου Μιχαήλ. τῆς δὲ φήμης ῥεούσης καὶ προπορευομένης, αἱ μὲν δυτικαὶ τῶν Ῥωμαίων πόλεις ἀνεῤῥώννυντο πρὸς τὸ εὐθαρσές τε καὶ ἀνδρικώτερον· τὰ δὲ τοῦ Μιχαὴλ ὑπέῤῥει καὶ ὑπεπτήχει. ἐπεὶ δὲ καὶ ὁ βασιλεὺς περὶ Θεσσαλονίκην καὶ Μακεδονίαν ἐγένετο, πάλιν ὑπ' αὐτῷ ῥᾳδίως αἱ πλείους τῶν δυτικῶν ἐγίνοντο πόλεων, ὁπόσας ἡ τοῦ Ἀγγέλου Μιχαὴλ ἔφοδος ἐκλόνησέ τε καὶ πρὸς βραχύν τινα χρόνον παρατραπῆναι πεποίηκε, Καστορία τε καὶ Πρέσπα, καὶ ἐπὶ τούτοις ἕτεραι οὐκ ὀλίγαι. ὅθεν εἰς τὸν ἔσχατον συνελαθεὶς φόβον ὁ Μιχαὴλ πρεσβεύεται πρὸς τὸν βασιλέα καὶ τὰς προτέρας ἀνακαλεῖται σπονδὰς, ἀποδιδοὺς αὐτῷ καὶ φρούρια, τά τε ἄλλα καὶ τὸν Πρίλλαπον, ἔτι τε τὸν Βελεσὸν καὶ τὸ *. ἐτετιμήκει 1.49 μέντοι ὁ βασιλεὺς ἑκατέρους τῷ δεσποτικῷ ἀξιώματι διὰ τὰς τοῦ κήδους μνηστείας, τόν τε Μιχαὴλ καὶ τὸν αὐτοῦ γε υἱὸν Νικηφόρον, ἵνα μηδὲν μεταξὺ ἀνακύπτῃ ἀμφίδοξον, ὁπόσα ψυχάς τε ταράττει καὶ κυκεῶνας ἐγείρει πραγμάτων. ἀλλὰ γὰρ οὕτω τὰ ἐκεῖσε καταστησάμενος ὁ βασιλεὺς ἐπανόδου ἥπτετο, μὴ βουλόμενος ἐκεῖσε τὴν χειμέριον ὥραν διαβιβάζειν. ἦν γὰρ κατὰ τὰς Ἀρκτούρου ἐπιτολὰς ὁ καιρός. (Γ.) Ἐπεὶ δὲ περὶ τὴν Φιλίππων γενόμενος ἡμέρας ἐκεῖσε συχνὰς διατέτριφε, διαβολαί τινες ἀνεφύησαν κατὰ τοῦ Κομνηνοῦ Μιχαὴλ τοῦ Παλαιολόγου, ὅτι βασιλείας ἐφίεται. καὶ ἤγοντο οἵ τε πρώτως τὰ τοιαῦτα διαψιθυρίσαντες φίλοι αὐτοῦ, καὶ οἳ τοὺς κατ' αὐτοῦ ἐλέγχους ἑτέρωθεν προὔτεινον. ἀλλ' ἀνίσχυρα τὰ τῶν ἐλέγχων ἐδόκει καὶ ψευδεῖς αἱ διαβολαὶ, εἴτε καὶ τῇ ἀληθείᾳ ψευδῶν οὐσῶν, εἴτε καὶ τοῦ καιροῦ σχεδιάσαντος οὑτωσί. ὅμως ἔδοξεν ὅρκοις αὐτὸν βεβαιώσαντα ὅτι τε ψευδεῖς αἱ διαβολαὶ, καὶ ὅτι οὐ μήποτε βουληθείη βασιλείᾳ ἐπιχειρῆσαι, ἐλεύθερόν τε εἶναι τοῦ λοιποῦ τῆς ἐντεῦθεν καταδίκης καὶ ὑποψίας ἁπάσης μένειν ὡς πορῥωτάτω, καὶ πρός γε ἔτι τῆς προτέρας ἐφ' ὁμοίου τοῦ σχήματος ἀπολαύειν τιμῆς. καὶ γέγονε τοῦτο. ἐκεῖθεν μέντοι ἀπάρας ὁ βασιλεὺς, αὐτὸς μὲν ἀπῄει διαπεραιωσόμενος τὸν Ἑλλήσποντον· τὸν δὲ στρατὸν διαφῆκεν ἀπιέναι περὶ τὰ οἴκοι διαχειμάσοντας. (Δ.) Πρὸς δὲ τὴν ἕω διαβάντι τῷ βασιλεῖ καὶ περὶ τὴν Νίκαιαν διατρίβοντι νόσος ἐνσκήπτει δεινή· οὐκ οἶδ' εἴτε φρενῖτιν χρὴ προσειπεῖν, εἴτ' ἐπιληψίαν. ἐς γὰρ καρηβαρίαν τινὰ καὶ νάρκωσιν ἐπεπτώ 1.50 κει τοῦ ἡγεμονικοῦ, ὁποῖον καὶ οἱ τὰ περὶ τὸν ἐγκέφαλον οὐχ ὑγιῶς διακείμενοι πάσχουσιν ἐν ταῖς τῶν οὐρανίων φωστήρων συνόδοις, τοῦ περιέχοντος ὑγροτέρου τε ἅμα καὶ ψυχροτέρου τηνικαῦτα



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

καθισταμένου καὶ ἴλιγγον σφίσιν ἐπάγοντος ἐγκεφάλου, ἀδυνάτως ἔχουσι δέχεσθαι τὰς τοιαύτας τροπὰς καὶ μεταβολάς. ἄφωνος δὲ καὶ πλὴν τοῦ ἀναπνεῖν νεκρὸς ἐπὶ τρεῖς ὅλας διατελέσας ἡμέρας, ἀναφέρειν ἔδοξεν αὖθις καὶ τοῦ νοσήματος ἀπαλλάττεσθαι. πλὴν οὐκ ἐς τέλος ἐξοστρακίζειν ἰατρῶν ἐπίνοιαι τὸ πάθος δεδύνηνται· ἀλλ' ὥσπερ ἐμπεφώλευκεν ἐξ ἐκείνου καὶ ἕδραν τινὰ δυσαπόσπαστον ἔσχε· καὶ ἦν τοῦ λοιποῦ νῦν μὲν πάσχων, νῦν δ' ὑγιαίνειν δοκῶν. κατὰ γὰρ ἡμερῶν διαστήματα, νῦν μὲν πλείω, νῦν δ' ἧττω, νῦν μὲν ὑπεχώρει, νῦν δ' αὖθις ἐπεχωρίαζε τὸ δεινόν· καὶ νῦν μὲν ἐν οἴκοις διατρίβοντι, νῦν δ' ἐν ὁδοῖς, προσδοκίας οὐ προηγησαμένης οὐδεμιᾶς, ἐξαίφνης ἐπῄει· καὶ πολλάκις τοῦ ἵππου πεσεῖν διακινδυνεύσαντα δεξάμενοι φοράδην ἐς τὸ ἀρχεῖον ἐκόμισαν. καὶ ἦν τῇ κεφαλῇ τὸ πάθος πολέμιον ὅλον ἐνιαυτὸν, λάθρα καὶ κατὰ μικρὸν ἐς αὔξησιν προβαῖνον ἀεί· ἕως πολλῷ κραταιότερον πάσης ἰατρικῆς ἐπιστήμης γενόμενον ἐξ ἀνθρώπων ἐπεποιήκει γενέσθαι αὐτόν. ἐγένετο μὲν οὖν ἐξ ἀνθρώπων ὁ βασιλεὺς, ταυτησὶ περιγενομένης τῆς νόσου, περὶ τὸ Νύμφαιον τότε ποιούμενος τὰς διατριβάς. ἐτάφη δὲ ἐν τῇ μονῇ τῶν Σωσάνδρων, ἣν αὐτὸς ἐδείματο. ἤνυε δὲ ἔτος, ὁπότε ἐτελεύτα, ἑξηκοστόν· ὁπότε δ' αὐτὸς τὰ τῆς αὐτοκρατορίας ἐνεκεχείριστο σκῆπτρα, ἕβδομον ἤδη καὶ εἰκοστόν· ὡς μόνα τὰ τῆς αὐτοκρατορίας αὐτοῦ γίνεσθαι ἔτη τρία 1.51 καὶ τριάκοντα· ὁπόσα δὴ καὶ ὁ υἱὸς αὐτοῦ καὶ τῆς βασιλείας διάδοχος ἤνυε Θεόδωρος. ὁμοῦ τε γὰρ αὐτὸς ἐξ ὠδίνων εἰς φῶς προήγετο μητρικῶν καὶ ὁμοῦ τὰ τῆς αὐτοκρατορίας σκῆπτρα ὁ πατὴρ ἄρτι ἐδέδεκτο. 1.53 αʹ. Ἐπεὶ δὲ κατὰ κλῆρον πατρικὸν τῆς βασιλείας διάδοχος ὁ υἱὸς αὐτοῦ Θεόδωρος ἔμελλεν εἶναι ὁ Λάσκαρις, παρὰ δὲ τοῦ πατρὸς ἔτι ζῶντος οὐκ ἀνηγόρευτο βασιλεὺς, ἀνηγορεύετο * ἤδη θανόντος ἐκείνου κοινῇ συνδρομῇ τοῦ τε στρατοῦ παντὸς καὶ ὁπόσοι τῶν ἐνδόξων ἦσαν καὶ εὐγενῶν. τὸ μὲν γὰρ ὅτι τὴν βασιλείαν οὐδενὶ τῶν πάντων ἑτέρῳ πλὴν ἢ τῷ υἱῷ καταλιμπάνειν ὁ Ἰωάννης ἐβούλετο, παντί που δῆλον, ὅτι τε πατὴρ ἦν πάνυ φιλόπαις καὶ ὅτι οὐδ' ἄλλῳ οὐδενὶ καταλέλοιπε ταύτην. τὸ δὲ ζῶν ἔτι βασιλέα ἀναγορεύειν αὐτὸν, ἐν ἀδήλῳ κειμένης ἔτι τῆς τῶν ὑπηκόων ἑκουσίου γνώμης καὶ προαιρέσεως, τοῦτο δ' οὐ πάνυ ἐβούλετο. πολλὰ γάρ φησι νεωτερίζειν οἶδεν ὁ χρόνος, ὁπότε μὴ κα 1.54 τὰ λόγον εὕροι τὸν ἑκάστῳ προσήκοντα τὴν τῶν πραγμάτων γινομένην κατάστασιν. ἡ γὰρ νεότης ὀξύῤῥοπόν τι καὶ αὔθαδες οἴκοθεν οὖσα ἀλόγως ἄττει πρὸς πάνθ' ὅσα τὸ βουλόμενον εἰσηγεῖται. ἂν δὲ καὶ βασιλικὴν ἐλπίδα καὶ φήμην προσλάβηται, δι' ἣν καὶ δῆμος ἕπεται μειρακίων τρυφώντων καὶ πάσης ἀτόπου γλώσσης τὰς ἀκοὰς ἐμπιπλώντων, ὅμοιον γίνεται τηνικαῦτα, ὥσπερ ἂν εἴ τις μεθύων ἄνθρωπος καὶ πάντα παράφορα φέρων τε καὶ δεικνὺς, ὁπόσα περὶ λογισμὸν καὶ διάνοιαν καὶ ὁπόσα τὰκ κεφαλῆς ἄχρι ποδῶν, ἔπειτα μεγάλης οἴακας ὁλκάδος ἄγειν ἔμελλε χειροτονεῖσθαι, οὔτε τῶν χειροτονούντων ὀρθῶς κρινόντων, οὔτε τοῦ τὴν χειροτονίαν ἀνειλημμένου οὔτ' ἐς ὅ, τι φέροιτο, οὔθ' ὅ,τι πράττειν χρεὼν εἰδότος. διὰ μὲν οὖν ἕν γέ τι τοῦτο βασιλέα χειροτονεῖν τὸν υἱὸν ζῶν αὐτὸς ἔτι οὐκ ἔκρινε δεῖν, τῇ τε τῆς ἐλπίδος ἀναιρέσει κολάζων τὸ τῆς νεότητος ἄστατον, καὶ ὅτι πολλοὶ διὰ μικροψυχίαν ἐπιθυμίᾳ τῇ τοῦ κλήρου τῇ τῶν πατέρων ἠχθέσθησαν μακροβιότητι· κἄπειτα μὴ περιμείναντες τὸ χρεὼν ἐξέτεμόν τε τῆς πατρικῆς ζωῆς μεταξὺ τὸν δρόμον καὶ τοῦ παρόντος· φθάσαντες ἀπήλλαξαν βίου. καὶ τῶν δήμων δ' οἱ πλείους πολλάκις μὴ καθ' ἑκούσιον γνώμην τὸν εἰς τὸ ἄρχειν ἐληλυθότα προκρίναντες τύραννόν τε αὐτὸν ὠνόμασαν· καὶ μέντοι καὶ ἐς φθόνους καὶ ὕβρεις ὑπ' ὀδόντα καὶ λαθραίας τὰ πρῶτα ἐχώρησαν· εἶτα καὶ εἰς ἐπιβουλὰς καὶ φόνους τὸ τελευταῖον ἐξώκειλαν. (Β.) Διὰ μὲν δὴ ταῦτα καὶ τὰ τοιαῦτα οὐκ ἀνηγορεύετο βασιλεὺς ὁ Θεόδωρος, περιόντος ἔτι τοῦ 1.55 πατρός· ἀνηγορεύετο δ' ὕστερον παρ' ἑκόντων τῶν ὑπηκόων ἁπάντων καθεσθεὶς ἐπ' ἀσπίδος, κατὰ τὸ ἐν τούτοις ἐπικρατοῦν ἔθος. ἔδει δ' αὐτὸν καὶ διὰ πατριαρχικῆς χειρὸς τὸ βασιλικὸν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀναδήσασθαι στέφος. ἀλλ' ἦν τηνικαῦτα ὁ πατριαρχικὸς θρόνος ὠρφανισμένος τοῦ διϊθύνοντος, ἐπεὶ πρὸ βραχέος ἔφθη γενόμενος ἐξ ἀνθρώπων ὁ πατριάρχης Γερμανὸς, ἀνὴρ συνετὸς καὶ ἀρετῇ καὶ λόγῳ τὸν βίον κοσμήσας. σκέμματα τοίνυν καὶ λόγοι προὐτίθεντο περὶ τοῦ τῆς πατριαρχείας ἀναδεξομένου τοὺς οἴακας. καὶ ἦσαν ἐπὶ γλώττης πολλοί τε τῶν ἐπιδόξων καὶ ἄλλοι ἄλλοις. ἐν τοῖς πάντων δ' ἔκειτο στόμασι μᾶλλον ἁπάντων ὁ σοφίᾳ καὶ ἀρετῇ περιώνυμος Νικηφόρος ὁ Βλεμμύδης, ὃς ἐτύγχανε παρὰ τὴν ἑαυτοῦ μονὴν ἀθόρυβον ποιούμενος τότε τὴν δίαιταν καὶ ἀσκήσει τραχείᾳ συντήκων τὸν βίον· οὗ γε μὴ δεξαμένου προὐκρίθη τῶν ἄλλων ὁ μοναχὸς Ἀρσένιος, ὃς τηνικαῦτα τὸν ἀσκητικὸν ἤνυε δίαυλον περὶ ἕν τι τῶν ἀσκητηρίων, ὃ κατὰ τοὺς τῆς Ἀπολλωνιάδος ἵδρυται χώρους, ἀνὴρ περιφανὴς μὲν τὴν καθ' ἑαυτὸν ἀρετὴν, τὸν δὲ τρόπον ἁπλοῦς καὶ μὴ πολλὰς ἐξελίττειν εἰδὼς τὰς λαβυρίνθους περὶ τὸν λογισμόν. ἱερᾶται τοίνυν οὗτος καὶ πατριάρχης χειροτονεῖται κοινῇ τῶν τε ἀρχιερέων γνώμῃ καὶ τοῦ βασιλέως τὰ μέγιστα συναινοῦντος καὶ ἐπικυροῦντος, ὡς ἔθος, τὴν ἀρχιερατικὴν ψῆφον ἐκείνην. ἐπὶ τούτοις ὁ βασιλεὺς παρὰ τοῦ πατριάρχου χρισθεὶς καὶ τὸ στέφος ἀναδησάμενος πρὸς ἐκστρατείαν παρεσκευάζετο. (Γ.) Ἀκούσας γὰρ ὁ τῶν Βουλγάρων ἄρχων, ὅτι ὁ βασιλεὺς ἐτεθνήκει, πρὸς ἀθέτησιν ἔβλεψεν αὐτίκα τῶν μετ' ἐκείνου σπονδῶν, καὶ συνεχεῖς λοιπὸν ἐποιεῖτο τὰς ἐκδρομὰς κατὰ τῶν ἐν Θρᾴκῃ Ῥωμαϊκῶν πολι 1.56 χνίων, ὡς καὶ οὐκ ὀλίγα τῶν περί γε Ῥοδόπην τὸ ὄρος ποιήσασθαι ὑποχείρια. τὸ δ' αὐτὸ καὶ ὁ ἀποστάτης περὶ Θετταλίαν ἐπεποιήκει Μιχαὴλ κατὰ τῶν ὁμορούντων αὐτῷ χώρων καὶ πόλεων, ὁπόσαι Ῥωμαίοις τηνικαῦτα ἦσαν ὑπήκοοι. ἀλλὰ γὰρ πρῶτον ὁ βασιλεὺς ἃς μετὰ τῶν Τούρκων ὁ πατὴρ ἐπεποιήκει σπονδὰς, ταύτας ἤδη καὶ αὐτὸς ἀνανεούμενος ἐπεκύρωσεν, ἵν' εἴη φροντίδος ἁπάσης ἐκτὸς τῶν ἑῴων χάριν πραγμάτων. εἶτα διέβαινε τὸν Ἑλλήσποντον ἐν τούτῳ τοῦ χρόνου, ἐν ᾧ καὶ πλειάδες ἄρχονται ἐπιτέλλειν. ἐπήγετο δὲ καὶ στρατιὰν πολλῷ τῷ μέτρῳ τὴν τοῦ πατρὸς ὑπερβαίνουσαν. οὐ γὰρ μόνον ἐξ ὧν ἔδει συνεκρότει στρατὸν, ἀλλὰ καὶ ὅσοι περὶ τὴν τῶν κυνηγεσίων ὑπηρεσίαν ἐσχόλαζον, πάντας κυνῶν καὶ ὀρνέων ἀπαλλάξας στρατείᾳ συνέλεξεν. (Δ.) Ἐπεὶ δ' ὁ τῶν Βουλγάρων ἄρχων τὴν τοῦ βασιλέως ἠκηκόει βαρεῖαν ἔφοδον, φόβοις ἤδη μεγάλοις τὴν καρδίαν σπαράττεσθαι ἤρχετο συχνούς τε καὶ ἄλλοτε ἄλλους ἀνεκύκλει τοὺς λογισμούς. ἐπεὶ δὲ καὶ πολέμῳ τὴν τῶν πραγμάτων διδόναι κρίσιν ἄπορον ἦν αὐτῷ καὶ σφόδρα τῶν ἀδυνάτων, τοῦτο μὲν, ὅτι στρατὸς ἀντίῤῥοπος οὐκ ἦν αὐτῷ, οὐδ' ἱκανὸς ἀντιπαρατάξασθαι πολεμίων τοσούτῳ πλήθει καὶ ἅμα βαρείᾳ καὶ λαμπρᾷ καταπεφραγμένῳ τῇ ὁπλίσει, τοῦτο δ' ὅτι καὶ βασιλέα ἑώρα νέον καὶ λαμπραῖς ταῖς φιλοτιμίαις ἀνθοῦντα καὶ τελεσιουργοῖς ταῖς ὁρμαῖς χρώμενον ἐς τὰ πράγματα, ἔγνω τὸ συνοῖσον ὀψὲ καὶ τὰς προτέρας ἀνεκαλεῖτο σπονδάς. ἦν γὰρ ἐν ἐλπίσιν αὐτῷ ῥᾷστα τυχεῖν τῆς βασιλικῆς εὐμενείας, ὅτι γαμβρὸς ἦν ἐπ' ἀδελφῇ τούτῳ ὁ βασιλεύς· καὶ ἅμα ᾔδει ὡς καὶ ἡ ἐκ 1.57 Θετταλίας φήμη τοῦ ἀποστάτου Μιχαὴλ βιαίως αὐτὸν ἀνθέλκουσα ἵστατο, τὰ ἐκεῖσε τὴν ταχίστην ἀπελθόντα καταστήσασθαι, πρὶν ὑπὸ χεῖρα γενέσθαι πάντα τῷ Μιχαήλ. ἦν γὰρ οὐ μικρὸν οὐδὲ τοῦτο, δυνηθῆναι πεῖσαι σπείσασθαι αὐτῷ. καὶ μέντοι καὶ πρέσβεις ἀποστείλας ἐς βασιλέα ῥᾷον ἢ κατὰ τὰς ἐλπίδας ἔτυχε τῶν σπονδῶν, ἀποδοὺς πάνθ' ὅσα μετὰ τὴν παρασπόνδησιν εἷλε Ῥωμαίων ὑποτελῆ φρούρια. (Ε.) Καὶ ἵνα μὴ διατρίβωμεν, ἄρτι τοῦ ἡλίου περὶ τροπὰς τυγχάνοντος φθινοπωρινὰς, ἀναλαβὼν τὰ Ῥωμαϊκὰ στρατεύματα εὐθὺ Θετταλίας ὁ βασιλεὺς ἐπορεύετο. ἀλλὰ γὰρ οὔπω Μακεδονία τὰ βασιλικὰ στρατόπεδα ὑπεδέχετο καὶ Θεοδώρα ἡ τοῦ ἀποστάτου Μιχαὴλ γυνὴ ἐφοίτα πρὸς αὐτὸν ἐκτελέσουσά τε τοὺς γάμους τοῦ τε υἱοῦ Νικηφόρου καὶ Μαρίας τῆς τοῦ βασιλέως θυγατρὸς, καὶ ἀποδώσουσα ὅσα παρεξιὼν ὁ ἀνὴρ αὐτῆς ἐν λείας τρόπῳ ὑπηγάγετο μέρη τῆς τῶν Ῥωμαίων ἐπικρατείας. καὶ ἦν ταῦτα μετὰ μικρὸν ῥᾳδίως



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τῷ βασιλεῖ τελεσθέντα καὶ ἡ Θεοδώρα ἀπῄει πρὸς τὸν ἄνδρα Μιχαὴλ καὶ Μαρίαν ἤδη μεθ' ἑαυτῆς ἐπαγομένη τὴν ἐπὶ τῷ υἱῷ νύμφην. β΄. Ἐν τούτοις δ' ἀσχολουμένῳ τῷ βασιλεῖ γράμματα ἐφοίτα παρὰ τῶν Νικαέων. τὴν τοῦ Παλαιολόγου Μιχαὴλ ἐς τοὺς Τούρκους φυγὴν ἀπαγγέλλοντα. αὐτῷ γὰρ ἐξιὼν τὴν τῶν Νικαέων ἡγεμονίαν ἐπέτρεψεν, ἕως ἂν ἐκ τῶν ἑσπερίων αὖθις ἐπανέλθῃ πρὸς ἕω. ὃ δὴ καὶ οὐ μετρίως τὸν βασιλέα λελύπηκε καὶ εἰς ταραχὴν ἐνέβαλε λογισμῶν. ἡ δὲ πρόφασις τῆς φυγῆς τοιάδε 1.58 τις ἐλέγετο. ὁρῶν, φησὶ, κορυφούμενον πολὺν πολλαχόθεν τὸν φθόνον καὶ λόγους φθόνου μεστοὺς λάθρα τὴν ἀκοὴν αὐτοῦ περικλύζοντας καὶ κολάσεις κατ' αὐτοῦ πρὸς τοῦ βασιλέως μελετωμένας καὶ ψιθυριζομένας, οἵας ἄν τις ἐχθροῖς ἀλλοφύλοις ἐπαράσαιτο, μένειν ὅλως ἐφ' ἡσυχίας οὐκ εἶχεν· ἀλλ' ἄναντα καὶ κάταντα φερόμενος μεστὸς ἦν λογισμῶν πολεμίων, τὴν ψυχὴν ὥσπερ αἰχμάλωτον ἀγόντων τε καὶ φερόντων καὶ ἀγεννῶς σπαραττόντων. ἐδεδίει γὰρ τὸ τοῦ βασιλέως πρὸς τὰς τιμωρίας ἀπότομόν τε καὶ ἀπηνὲς καὶ ὀξύῤῥοπον, καὶ ἥμερον οὐδὲν οὐδὲ συμπαθὲς ἐνενόει πρὸς τοῦ βασιλέως αὐτῷ γενησόμενον· ἐπεὶ καὶ μεγάλας διαβολὰς καὶ ἐς ὕψος κορυφωθείσας μακρὸν, ἃς οἱ φθονοῦντες κατ' αὐτοῦ συνεκύκησαν καὶ τὰς τοῦ βασιλέως ἀκοὰς ἐμπεπλήκασιν, οὐ ῥᾴδιον ἔβλεπεν αὐτῷ ἀπολύεσθαι ἐν βραχεῖ. ταύτῃ τοι καὶ ἀπογνοὺς, φυγῇ τὴν σωτηρίαν πορίζεσθαι βέλτιον πάσης ἐτίθει βουλῆς. (Β.) Ἐπεὶ δὲ καὶ ἀπιὼν παρὰ τὸ Ἰκόνιον εὗρε τηνικαῦτα τὸν Σουλτὰν πάσῃ σπουδῇ τὰς ἑαυτοῦ συγκροτοῦντα δυνάμεις, ἵν' ἐπελαύνοντα κατὰ πλῆθος τὰ Σκυθικὰ στρατεύματα δέξαιτο, ὥσπερ τι μέγιστον ἕρμαιον ἔδοξεν ἐκείνῳ καὶ μάλα τοι καίριον. ἐπεὶ γὰρ ἦσαν ὑπ' αὐτῷ πάλαι δεδουλωμένοι Ῥωμαίων συχνοὶ, τούτους εἰς μοῖραν καταλέξας στρατοῦ ὑπὸ στρατηγῷ τῷ Παλαιολόγῳ τάττεσθαι προσετετάχει, Ῥωμαϊκὴν καὶ ξένην ἢ κατὰ τὴν ἐκείνων ἐγχώριον περικειμένους στολήν τε καὶ ὅπλισιν, ἵνα τοῖς Σκύθαις κατάπληξις τὸ πρᾶγμα γένηται, λογισαμένοις χεῖρα συμμαχικὴν ἐκ Ῥωμαίων ἄρτι ἐληλυθέ 1.59 ναι. ὁ δὴ καὶ ξυνέβη. φασὶ γὰρ τοὺς Σκύθας, ὁπότε ξυνῄεσαν εἰς χεῖρας τοῖς Τούρκοις, συστολήν τινα καὶ δέος οὐ μέτριον σχεῖν, ἀλλόκοτον ἐξαίφνης ἰδόντας στρατὸν κατ' αὐτῶν ἐπιόντα. καὶ τάχ' ἂν σὺν οὐδενὶ κόσμῳ φεύγοντες ᾤχοντο κατὰ νώτου λαβόντες διώκοντας, οὓς ἀπονητὶ χειρώσασθαι ἤλπισαν, εἰ μή τις τῶν τῷ Σουλτὰν κατὰ γένος προσηκόντων διά τινα προειληφυῖαν ἀπέχθειαν πολλὴν ἐπαγόμενος στρατιὰν ἑκὼν προσεῤῥύη τοῖς Σκύθαις, ῥηγνυμένης ἤδη τῆς μάχης. τοῦτο γὰρ τὰ τῶν Τούρκων ῥᾶστα ἀνέτρεψε πράγματα, καὶ τὴν πλείονα χώραν αὐτῶν τῇ τῶν Σκυθῶν ὑπέθηκεν αἰχμῇ. (Γ.) Ἀλλ' οὔπω πολὺς παρεῤῥύη χρόνος καὶ γράμματα πολλῆς τῆς βασιλικῆς εὐμενείας μεστὰ καὶ πολλὴν ὑπισχνούμενα τὴν στοργὴν ἧεσαν παρὰ βασιλέως, ἀνακαλούμενα τὸν Παλαιολόγον, ἔνορκον ἔχοντα τὴν ἀσφάλειαν ὧν ὑπισχνοῦντο. καὶ οὕτως ἡ Ῥωμαίων γῆ τὸν Παλαιολόγον αὖθις ἐλάμβανεν, οὐ πρότερον μέντοι πρὶν ἢ καὶ αὐτὸν δοῦναι τὴν ἀσφάλειαν τῆς αὐτοῦ πρὸς τὸν βασιλέα πίστεως βεβαίαν δι' ὅρκων φρικωδεστάτων, ὥστε ἐμμένειν τοῖς ὅροις ἀεὶ τῆς ὑποταγῆς καὶ μὴ ζητεῖν ἐθέλειν ἑαυτῷ βασιλείαν ποτὲ καὶ ἐπανιέναι πρὸς τὰ πρότερον κατ' αὐτοῦ λαληθέντα καὶ βεβαιοῦν αὖθις διὰ τῶν ἔμπροσθεν ἔργων τὴν ἤδη τεθνηκυῖαν ὑποψίαν, ἀλλὰ τηρεῖν καὶ διαβιβάζειν ὁμοίως ἀεὶ τὴν αὐτὴν εὔνοιαν καὶ στοργὴν πρός τε αὐτὸν δὴ τὸν βασιλέα Θεόδωρον καὶ πρὸς τὸν αὐτοῦ γε υἱὸν Ἰωάννην καὶ τοὺς ἐφεξῆς διαδόχους τοῦ τε γένους αὐτῶν καὶ τῆς βασιλείας. καὶ μὲν δὴ ἐπὶ τούτοις αὖθις 1.60 τῷ τοῦ μεγάλου τετίμηται ἀξιώματι κονοσταύλου, καθὰ καὶ τὸ πρότερον· καὶ ἦν τοῦ λοιποῦ λαμπρᾶς τῆς βασιλικῆς κηδεμονίας ἀπολαύων καὶ εὐμενείας. (Δ.) Ἐν τούτοις νοσοῦντα καὶ τὰ τῶν Βουλγάρων ἀγγέλλεται πράγματα. ὁ γὰρ τῶν Βουλγάρων ἄρχων Ἀσὰν, ὁ τοῦ βασιλέως Θεοδώρου γυναικάδελφος, τὸ ζῆν ἐξεμέτρησεν· αὐτῷ δὲ παῖς οὐκ ἦν ὁ διαδεξόμενος, ὡς εἰκὸς, τὴν ἀρχήν· ὡς ἀνάγκην εἶναι λοιπὸν κατὰ δεύτερον, τὸ λεγόμενον, πλοῦν, ἐς τὸν ἐπ' ἀδελφῇ γαμβρὸν τὸν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Μυτζῆν αὐτὴν διαβαίνειν. τοιγαροῦν καὶ ξυνεῤῥύηκεν. ἦν δὲ ὁ ἀνὴρ νωθρός τις καὶ ἄνανδρος καὶ δι' αὐτό γέ τοι τοῦτο πρὸς τὸ καταφρονούμενον ὑποῤῥέων κατὰ μικρὸν, ἐς τὸ παντελῶς ἀκυροῦσθαι ἐκκεκύλισται τὰ δόξαντά οἱ παρὰ τοῦ πλήθους. ἦν δέ τις ἐν Βουλγάροις ἐπίσημος τηνικαῦτα, Κωνσταντῖνος ὄνομα, Τοῖχος ἐπώνυμον, φρονήσεως ἐμβριθείᾳ καὶ ῥώμῃ σώματος πολλῷ τῶν ἄλλων προέχων· ὃς πλημμελοῦσαν ἰδὼν τὴν ἀρχὴν τῶν Βουλγάρων ἐπανίσταται κατ' αὐτῆς· καὶ προσεταιρισάμενος τό, τε δημοτικὸν, καὶ ὅσον ἐν ἐπισήμοις τοῦ ἔθνους καὶ ἔκκριτον, καὶ παρ' ἑκόντων ἁπάντων αὐτῶν τὴν τοῦ κράτους δεξάμενος ἀναγόρευσιν ἐπολιόρκει τὴν Τέρνοβον, ἐν ᾗ τὰ βασίλεια ἦν τῶν Βουλγάρων· ὡς ἀναγκασθῆναι καὶ ἄκοντα τὸν Μυτζῆν φεύγειν ἅμα γυναικί τε καὶ τέκνοις ἐς ὀχυρόν τι καὶ παράλιον φρούριον Μεσημβρίαν καλούμενον. ἐκεῖθεν ἐς βασιλέα μεταχωρεῖ κατὰ τὴν ἐν Ἀσίᾳ διατρίβοντα Νίκαιαν, Ῥωμαίοις ὑπήκοον ποιησάμενος καὶ τὸ τῆς Μεσημβρίας ἐπὶ τούτοις φρούριον· καὶ χωρία τινὰ περὶ Τροίαν καὶ Σκάμαν 1.61 δρον εἰληφὼς παρὰ βασιλέως εἰς ἐπέτειον πρόσοδον ἐκεῖσε τοῦ λοιποῦ διανέπαυεν ἑαυτὸν ἅμα γυναικί τε καὶ τέκνοις. (Ε.) Ὅ γε μὴν Κωνσταντῖνος ὁ Τοῖχος τῆς Βουλγαρικῆς ἀρχῆς ἐγκρατῆ καταστήσας ἑαυτὸν διαπρεσβεύεται πρὸς τὸν βασιλέα, φίλος εἶναι καὶ σύμμαχος ὁμολογῶν, εἰ λάβοι πρὸς κοινωνίαν γάμου μίαν τῶν αὐτοῦ θυγατέρων. ἐζήτει δὲ ταύτην, οὐχ ὅτι γυναικὸς ἐδεῖτο· ἦν γὰρ αὐτῷ καὶ γυνὴ καὶ παῖδες· ἀλλ' ἐπειδήπερ ἀπὸ γένους δίκαιον οὐκ ἦν οὐδὲν αὐτῷ πρὸς τὴν Βουλγαρικὴν ἀρχὴν, ἤχθετο νόθος κατ' αὐτὴν δοκεῖν ὁμοῦ τε καὶ λέγεσθαι. ταῦτ' ἄρα καὶ ἀδελφιδῆν οὖσαν τοῦ πρὸ μικροῦ τετελευτηκότος ἄρχοντος τῶν Βουλγάρων Ἀσὰν τὴν τοῦ βασιλέως εἰδὼς θυγατέρα ἐζήτει τιμῆς τε ἕνεκα τῆς ἑαυτοῦ καὶ βεβαιώσεως ἅμα τῆς ἀρχῆς, ἀπολύσειν ὑπισχνούμενος αὐτίκα τὴν προτέραν ὁμόζυγον. τοῦτ' ἀρεστὸν ἔδοξε καὶ αὐτῷ βασιλεῖ· καὶ Θεοδώραν τὴν αὐτοῦ θυγατέρα κοινωνὸν εἰληφὼς τοῦ τε λέχους καὶ τῆς ἀρχῆς Κωνσταντῖνος ὁ Τοῖχος πέμπει πρὸς Νίκαιαν τὴν προτέραν σύζυγον, ἐχέγγυον πίστεως παρεχόμενος τοῖς Ῥωμαίοις τῆς ἐς τὴν δευτέραν στοργῆς. ( .) Τί ἔτι; ἕκτον καὶ τριακοστὸν ἀπὸ γενέσεως χρόνον ἀμείβοντι νόσος ἐνσκήπτει τῷ βασιλεῖ χαλεπὴ καὶ ὅπλα φάναι θανάτου φοροῦσα· ἣ δὴ καὶ ποικίλας τὰς ἑλεπόλεις κατὰ τοῦ βασιλικοῦ σώματος ἀντιστήσασα οὐκ ἀνῆκε παίουσα καὶ συντρίβουσα, μέχρι καὶ αὐτὴν ἐπήνεγκε τούτῳ τὴν τελευτὴν, ἀλλαξαμένῳ προθύμως τὸ σχῆμα μικρὸν πρὸ τῆς τελευτῆς ἐς τὸ μοναδικὸν τριβώνιον καὶ πολλοὺς ταῖς ἰδίαις χερσὶ διανείμαντι χρημάτων σωροὺς καὶ πολλὰς δακρύων ἐκ μάλα ζεούσης καρδίας ἀφέντι πη 1.62 γάς· δι' ὧν τὰς πληγὰς ἀπέπλυνέ τε καὶ ἐθεράπευεν ἐν ἀνάγκης τοιαύτης καιρῷ τῆς ψυχῆς. γʹ. Ἐμὲ δὲ μικροῦ τὸ τῆς ἱστορίας παρέδραμε καιριώτατον. ἀνὴρ γάρ τις Μουζάλων ἐπίκλην, Γεώργιος ὄνομα, γένους ὢν οὐ λαμπροῦ, διὰ δὲ μόνην ἐπιτηδειότητα γνώσεως καὶ ἠθῶν ἀστειότητα ἐς τὴν αὐτοκρατορικὴν παρεισδὺς οἰκίαν ἐξέτι παιδὸς, ἵν' εἴη δήπουθεν τῷ βασιλεῖ Θεοδώρῳ καὶ αὐτὸς σὺν ἄλλοις πολλοῖς συμπαίστωρ ἡλικιώτης, ὁπότε κἀκεῖνος τὴν τοῦ παιδὸς παρήλλαττεν ἡλικίαν, τοσοῦτον ἁρμόττοντα διέθηκε τάχιστα πρὸς τὰ τοῦ νέου βασιλέως τὰ ἑαυτοῦ ἤθη, ὥστ' αὐτὸς ἦν ἐκείνῳ μόνος τὰ πάντα, προσφυῶς καὶ κατὰ γνώμην καὶ λέγων καὶ πράττων· καὶ τῷ χρόνῳ προβαίνοντες συνηύξανον ἀεὶ καὶ τὴν τοιαύτην διάθεσιν καὶ στοργὴν, ὥστε καὶ τὴν τῶν αὐτοκρατόρων περιζωσαμένῳ ἀρχὴν πάντ' ἦν αὖθις ἐκεῖνος αὐτῷ, ἄριστος γνώμων τῶν ὅσα βουλομένῃ τῇ βασιλικῇ διανοίᾳ ὑπῆρχε, διοικητὴς δεξιὸς τῶν ἐκτὸς, μυστηρίων πιστὸς κοινωνὸς τῶν ἐντός. δι' ἃ δὴ καὶ ἐς τὸ τῶν πρωτοβεστιαρίου τάχιστα ἀνήχθη ἀξίωμα καὶ γυναικὶ συνέζευκται ἣ τῶν καθ' αἷμα προσηκουσῶν ὑπῆρχε τῷ βασιλεῖ. (Β.) Τοῦτον ἐπίτροπον θνήσκων ὁ βασιλεὺς τῶν βασιλικῶν ἀφῆκε πραγμάτων ἅμα τῷ πατριάρχῃ Ἀρσενίῳ, μέχρις ἂν ἐς τὴν ἀνήκουσαν ἡλικίαν ὁ τοῦ βασιλέως φθάσῃ παῖς Ἰωάννης. ἦν γὰρ ἕκτον τηνικαῦτα διανύων ἀπὸ γενέσεως ἔτος ἐκεῖνος,



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τιθηνούμενος ἔτι, καὶ γονέων, εἴπερ ποτὲ, νῦν μάλιστα χρῄζων, ὁ καὶ ἀμφοτέρων στερούμενος. θυγατέρες μὲν γὰρ ἐγέ 1.63 νοντο τῷ βασιλεῖ τελεωτέραν ἄγουσαι ἡλικίαν τέτταρες· ἄῤῥην δ' ἄλλος οὐκ ἦν, πλὴν τούτου δὴ τοῦ βρεφικὴν ἄγοντος ἄρτι τὴν ἡλικίαν Ἰωάννου. ὧν δὴ θυγατέρων τὴν πρώτην φημὶ τὴν Μαρίαν, ὡς ὁ λόγος φθάσας ἐδήλωσεν, εἶχεν ἤδη λαβὼν εἰς γυναῖκα νόμιμον ὁ Αἰτωλὸς Νικηφόρος, ὁ καὶ δεσπότης διὰ τὸ κῆδος παρὰ τοῦ πενθεροῦ καὶ βασιλέως τετιμημένος. τὴν δέ γε δευτέραν τὴν Θεοδώραν εἶχεν ὁμοίως ὁ τῶν Βουλγάρων ἄρχων Κωνσταντῖνος ὁ Τοῖχος, ὡς ἄρα δὴ καὶ τοῦτ' ἔφθημεν εἰρηκότες. ἐλείποντο δὲ ἤδη τὸν αὐτὸν τῆς ὀρφανίας ἕλκουσαι ζυγὸν ἕτεραι θυγατέρες δύω, καὶ ὁ νεώτατος οὗτος παῖς Ἰωάννης· δι' ὃν αἵ τε τοῦ βασιλέως ἔγγραφοι ἐξετίθεντο διαθῆκαι ἐπίτροπον τὸν Μουζάλωνα καθιστῶσαι καὶ πρός γε δὴ φρικώδεις ὁρκωμοσίαι παρὰ πάντων ὁμοῦ μεγάλων τε καὶ μικρῶν ἐτελέσθησαν. ἐτελέσθησαν δὲ οὐχ ἅπαξ, ἀλλὰ πρῶτον μὲν τελευτῶντος τοῦ βασιλέως· ἔπειτ' εὐθὺς μετὰ τὴν αὐτοῦ τελευτήν. (Γ.) Τῶν γὰρ ἐν ἀξιώμασί τινες κἀπὶ γένους σεμνυνομένων λαμπρότητι νεωτερίσασαν οὕτω ταχέως ἰδόντες τὴν τοῦ Μουζάλωνος τύχην διεψιθύριζον πρὸς ἀλλήλους, ἀχθόμενοι τῇ πέρα τούτου τιμῇ, πολλῶν ὄντων ἑτέρων οἱ μᾶλλον ἐκείνου προσήκουσι τήν τε ἐπιτροπὴν τοῦ βασιλικοῦ παιδὸς ἀναδέχεσθαι καὶ ἅμα τὴν τῶν κοινῶν πραγμάτων διοίκησιν ἔκ τε τοῦ προσεχῶς ἐς βασιλέα τὸ γένος ἀναφέρειν καὶ αὖ ἔκ γε τοῦ δεξιωτέρους πολλῷ πεφυκέναι ἐς τὰ τοιαῦτα ἢ κατὰ τὸν Μουζάλωνα, ἄνδρα πολλὰς κεκτημένον τὰς ἀφορμὰς ἐς τὸ περιφρονεῖσθαί τε καὶ μισεῖσθαι παρὰ πάντων, ὡς αὐτοὶ 1.64 διετείνοντο. τό, τε γὰρ μὴ γένους φησὶν εὔκλειαν ἕλκειν ἀπὸ τῶν φύντων, τό, τε συνεργὸν γενέσθαι τῷ βασιλεῖ πολλάκις ἐς τὰς τῶν πολλῶν τιμωρίας, ἱκανὰ ταῦτα μῖσος δεινὸν ἐντεκεῖν ταῖς ψυχαῖς τῶν πολλῶν κατ' αὐτοῦ. εἰ δὲ καὶ βασιλείας ἤρα καὶ ταύτην ὠνειροπόλει, καθώς τινες διαβάλλοντες προὔφερον, τοῦτο δὲ ποίους οὐκ ἂν ἀνῆπτε κακίας πυρσοὺς κατὰ τῆς αὐτοῦ κεφαλῆς; ταῦτα δ' οὐκ ἐλελήθει Μουζάλωνα. δεινὸς μὲν γὰρ ὁ ἀνὴρ καὶ πρότερον ἦν ἐς τὸ συνιέναι τοιαῦτα· τότε δὲ καὶ τῶν πραγμάτων ζεόντων καὶ ἀγωνίαν μεγίστην τῇ τούτου ψυχῇ προξενούντων, συνετώτερος αὐτὸς ἐδόκει πολλῷ ἑαυτοῦ. καὶ δὴ τὴν ταχίστην ἐς βουλευτήριον ἅπαντας μεγιστᾶνας συνηθροικὼς δεξιάν τε ἐδίδου τοῖς ὅλοις καὶ ἀπὸ τοῦ ἥττονος προὔφερε τὴν ὁμιλίαν· καὶ δῆλος ἦν παραχωρήσων ἀσμένως τῷ βουλομένῳ τὴν ἐπιτροπὴν τῶν τε κοινῶν πραγμάτων καὶ αὐτοῦ δὴ τοῦ παιδὸς τοῦ βασιλέως. (Δ.) Ἐπεὶ δὲ πάντες μὲν ὥσπερ ἀπὸ συνθήματος ὁμοῦ παρῃτοῦντο, αὐτὸν προτιμᾶσθαι τῶν ἄλλων ὁμολογοῦντες, ὃν καὶ βασιλεὺς αὐτὸς ὁ τῶν πραγμάτων καὶ τοῦ παιδὸς ἐδικαίωσε κύριός τε καὶ αὐτοκράτωρ, ὁ δὲ Μουζάλων οὐδ' ὁπωσοῦν ἐνεδίδου, ἀλλὰ γενναίως ἀνθίστατο, τήν τε ἡσυχίαν αἱρούμενος καὶ τὸ πρᾶγμα ἀποσειόμενος ὅλαις ὁρμαῖς καὶ κινήσεσι τῆς ψυχῆς διά τε τὸν ὑφέρποντα φθόνον τῷ πράγματι καὶ μάλιστα διὰ τὸν ἐντεῦθεν ὑποφαινόμενόν τε καὶ πλαστουργούμενον κίνδυνον· φρικωδέστεροι τῶν προτέρων ὅρκοι πάλιν ἐγίγνον 1.65 το· καὶ ὤμνυον ἅπαντες ὅσοι τῶν ἐν ἀξιώματι καὶ ὅσοι τοῦ δήμου τοῦ στρατιωτικοῦ· καὶ σφίσι τε αὐτοῖς ἦσαν ἐπαρώμενοι πανωλεθρίαν καὶ ἅπαντι τῷ γένει σφῶν ἕκαστος, εἰ μὴ τοῖς ὅρκοις ἐμμένοιεν ἀσφαλῶς καὶ διατηροῖεν τῷ μὲν Μουζάλωνι τὴν ἐπιτροπὴν, τῷ δὲ τοῦ βασιλέως υἱῷ τὴν βασιλείαν ἀνεπιβούλευτόν τε καὶ ἀπαράτρεπτον μέχρι διαπαντὸς, αὐτῷ τε καὶ τοῖς ἐξ αὐτοῦ γεννηθησομένοις. καὶ οὕτως οἱ μὲν ἀπηλλάττοντο, τὰ δὲ πράγματα ἦσαν αὖθις ὑπὸ τῷ Μουζάλωνι διοικούμενα. (Ε.) Ἀλλὰ τέλειαι μὲν οὔπω παρήλλαττον ἡμέραι ἐννέα, καί τινες τῶν γένει καὶ πλούτῳ προὐχόντων φθόνῳ δεινῷ στρατηγούμενοι τὸν στρατὸν συνεκύκησαν καὶ τὰς αὐτῶν ὥπλισαν δεξιὰς κατὰ τῆς σφαγῆς τοῦ Μουζάλωνος. τοὺς δὲ χθὲς καὶ πρότριτα τελεσθέντας φρικώδεις ὅρκους ἐκείνους καὶ τὰς παλαμναιοτάτας ἀρὰς, φεῦ τῆς ἀρχῆς τῶν κακῶν, λήθης ἀπολαβόντες βυθοὶ καὶ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

πλημμύραι διέφθειραν. ἐννάτη μὲν γὰρ ἡμέρα παρῆν μετὰ τὴν τελευτὴν τοῦ βασιλέως καὶ ἅπασαι τῶν ἐνδόξων συνήεσαν γυναικῶν ἐπὶ τῇ μονῇ τῶν Σωσάνδρων, ἔνθα καὶ τὸ τοῦ βασιλέως τέθαπται σῶμα, τὸ νενομισμένον τελέσουσαι πένθος καὶ τὰ μνημόσυνα. παρῆσαν δ' ὁμοῦ καὶ πάντες ἄρχοντες καὶ ἀρχόμενοι, ἐν οἷς καὶ οἱ τὴν ἐπιβουλὴν ἐξαρτύσαντες ἦσαν· καὶ συνέῤῥει πᾶς ὁ στρατὸς, οἱ μὲν πένθους ἕνεκα, οἱ δὲ φονικὴν ὠδίνοντες ὁρμήν. καὶ τί δεῖ διατρίβειν; ἔτι τῆς ἱερᾶς τελουμένης ὑμνῳδίας, τὰ ξίφη γυμνώσαντες πάντες οἱ στρατιῶται ἔνδον ἐξαίφνης τοῦ νεὼ εἰσεπήδησαν καὶ παρὰ τῇ θείᾳ καὶ ἱερᾷ τραπέζῃ καταφυγόντα τὸν Μουζάλωνα κατέσφαξαν ἀπηνῶς, κἀπὶ 1.66 τούτῳ τοὺς δύο ἅμα ἀδελφοὺς, Ἀνδρόνικόν τέ φημι τὸν μέγαν δομέστικον καὶ Θεόδωρον τὸν πρωτοκυνηγόν· καὶ πρὸς τούτοις τὸν σφῶν ὑπογραμματέα δι' ὁμοιότητα προσώπου τινὰ, συμβὰν οὑτωσί πως, σφαλέντες. καὶ οὕτως αἵ τε γυναῖκες καὶ ὁ λοιπὸς ὄχλος ἀτέλεστον ἀφέντες τὸ πένθος ἄλλος ἐπ' ἄλλῳ συντριβόμενοι διὰ τὸν φόβον ἔφυγον ὅλοις ποσὶν ὅποι τύχοιεν ἕκαστοι. τὸ δὲ ἱερατικὸν ἅπαν καὶ ὁ τῶν μοναχῶν σύλλογος ἔνδον τοῦ ἱεροῦ τεμένους ἑκόντες ἄκοντες συνελαθέντες ὠλίσθαινόν τε καὶ ἔπιπτον ἄλλος ἐπ' ἄλλῳ, τοῦτο μὲν καὶ διὰ τὸ βίᾳ καὶ ῥύμῃ σφοδρᾷ παρ' ἀλλήλων συνωθεῖσθαι, τοῦτο δὲ καὶ ὅτι ἀνέδραστον εἶχον τὴν τῶν ποδῶν βάσιν ἐκ τῶν χεθέντων αἱμάτων. ( .) Ὀλίγαι παρῆλθον ἡμέραι καὶ ὁ πατριάρχης Ἀρσένιος ἐπίτροπος ὢν καὶ αὐτὸς καὶ γινώσκων ὡς εἰ μὴ διαναστaίη νῦν, διὰ τοσούτου θορύβου τῶν Ῥωμαϊκῶν φερομένων πραγμάτων καὶ μέγιστον ἐν ποσὶν εἶναι ὑπισχνουμένων τὸν κίνδυνον τοῦ τε παιδὸς καὶ τῶν ὅλων πραγμάτων, οὐδὲν ἔσται τὸ κωλύον ἐς κακίας ἔσχατα χωρήσειν αὐτίκα τὰ πράγματα· δι' ἃ δὴ τὴν ψυχὴν μεριζόμενος ἐς διαφόρους ὁδοὺς λογισμῶν ἀμφιβόλων οὐκ εἶχεν ὅ, τι πράξειε καίριον. ἦν μὲν γὰρ τὴν πρὸς ἀρετὴν φέρουσαν καὶ κατὰ θεὸν ἀγωγὴν ὁ ἀνὴρ οὐ πολὺ τῶν ἄκρων ἀπολειπόμενος· ἐς δὲ πραγμάτων πεῖραν καὶ πολιτικὴν διοίκησιν καὶ αὐτῶν ὡς εἰπεῖν τῶν ἀπὸ σκαπάνης ὀψὲ τῆς ὥρας ἀπαλλαττόντων ἀπολειπόμενος. οὐ γὰρ θεωρία πνευματικὴ καὶ πρᾶξις πολιτικὴ ὡς τὰ πολλὰ συνεῖναι πεφύκασιν· εὐκτὸν δ' ἂν, εἰ μὴ μαχόμενα τὸ 1.67 πλέον πρὸς ἄλληλα φαίνοιντο, καθάπερ σῶμα καὶ πνεῦμα καὶ αὖ ὅσα τῶν αἰσθητῶν πρός γε τὰ ὑπὲρ αἴσθησιν. ἐμοὶ δ' ἀρέσκει κρᾶσιν ἐξ ἀμφοτέρων ἔχειν, ὅστις ποτέ ἐστιν ὁ βουλόμενος ἄρχειν, καθάπερ κἀν τοῖς μουσικοῖς ὁρῶμεν ὀργάνοις τοὺς αὐτῶν ἐπιστήμονας πράττοντας. οὐ γὰρ ἰσοτόνους τὰς νευρὰς καθιστῶσιν ἁπάσας· ἄμουσον γὰρ τὸ τοιοῦτον καὶ ἐκμελές· ἀλλὰ τὰς μὲν πρὸς τὸ βαρύτερον τείναντες, τὰς δὲ πρὸς τὸ ὀξύτερον, καὶ τὰς μὲν μᾶλλον, τὰς δ' ἧττον, οὕτω ποικίλην τινὰ καὶ ἔμμουσον καθιστῶσι τὴν ἁρμονίαν. τῷ γὰρ μόνῃ προσέχοντι τὸν νοῦν τῇ κατὰ θεὸν θεωρίᾳ ὄρεσι καὶ σπηλαίοις ἐνδιατρίβειν προσήκει, ἀκοινώνητον ὡς τὰ πολλὰ τὸ ἦθος ἀσκήσαντι καὶ πάνυ τοι ἄμικτον καὶ τοῖς πολλοῖς ἠλλοτριωμένον. ὅστις δὲ μετὰ τῆς ἀρετῆς καὶ πολιτικὸν ἤσκησεν ἦθος καὶ χάριεν καὶ κοινωνικὸν καὶ πεῖραν ἔσχε πραγμάτων παντοίων, οὗτος λαὸν ὁδηγεῖν ἐς τὰ βέλτιστα καὶ σωτήρια κράτιστος. ἐπεὶ καὶ ὁ σωτὴρ ἡμῶν καὶ θεὸς, εἰ μὴ τοῖς ἀνθρωπίνοις ὑπέκυπτε πάθεσι καὶ τελώναις συνήσθιε καὶ κοινωνικὸν ἐδείκνυτο ἦθος καὶ τοῖς πᾶσι τὰ πάντα μετὰ τοῦ καθήκοντος ἐγίγνετο λόγου, οὐκ ἂν οἶμαι πρὸς τὰ λυσιτελοῦντά τε καὶ σωτήρια ῥᾳδίως ὅλους ἦγε δήμους καὶ πόλεις. (Z.) Ἀλλ' ἐκεῖσε ἐπάνειμι. διηπορεῖτο μὲν οὖν ὁ πατριάρχης Ἀρσένιος, μέσος ἐναποληφθεὶς τοσούτου θορύβου πραγμάτων, καὶ ἐπεσκοπεῖτο καθ' ἑαυτὸν μὲν ἥκιστα· πῶς γὰρ, πεῖραν πραγμάτων τοιούτων καὶ λογισμῶν λαβυρίνθους οὐκ ἔχων, ὡς εἴρηται· 1.68 ἐσκοπεῖτο δ' οὖν μετὰ τῶν ἐν τέλει τὸ ποιητέον, πρὶν ἐπίβουλον ὁπλισθῆναι σίδηρον κατὰ τῆς κεφαλῆς Ἰωάννου τοῦ βασιλέως υἱέως. ἐλάνθανε δὲ ἄρα πάντως αὐτὸν, ὡς ἡ πεῖραν βαθεῖαν καὶ φρένας ποικίλας οὐκ ἔχουσα σκέψις αὕτη μᾶλλον ἂν εἴη ταχύτερος ὄλεθρος ὑπὲρ οὗ γίνεται, ἢ πάντα ξίφη πολέμια. δηλώσει δὲ προϊὼν ὁ λόγος. δʹ. Ὁ Κομνηνὸς Μιχαὴλ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ὁ Παλαιολόγος, περὶ οὗ πολὺν ἀνωτέρω λόγον ἐποιησάμεθα, ἦν μεταξὺ τῶν ἐν τέλει τῶν ἄλλων ἐπέκεινα, πολλὴν ἐπὶ τοῦ προσώπου φέρων τὴν ἱλαρότητα τήν τε ὁμιλίαν χρηστὸς καὶ τὸ ἦθος ἀστεῖος καὶ πρὸς τούτοις τὴν χεῖρα φιλότιμος. ἃ δὴ πάντα πολλὴν αὐτοῦ τὴν στοργὴν ἀνεῤῥίπιζον ἐν ταῖς ἁπάντων ψυχαῖς· καὶ πάντας ῥᾳδίως ἐφείλκετο, ταξιάρχους, λοχαγοὺς, στρατὸν, στρατηγοὺς, τοὺς ὅσοι τοῦ δήμου, καὶ ὅσοι τῆς συγκλήτου. ἐνῆγε δὴ τούτους καὶ πρόληψις λογισμῶν βασιλείας προσέχειν αὐτῷ καὶ περιφανῶς αὐτοῦ γε ἐκκάεσθαι. ἐνῆγε δ' αὐτοὺς οὐκ οἶδ' ὁποτέρωθεν, εἴτ' ἐκ τῶν προλαληθέντων κατ' αὐτοῦ, εἴτ' ἐξ ὀνείρων καὶ κληδόνων τινῶν. φιλεῖ γὰρ καὶ ταῦτα περιπολοῦντα τὸν βίον πείθειν τοὺς πλείστους, οὐ πάνυ τοι σφόδρα ἀλόγως οὐδ' ἀμαθῶς, οὐδ' ὡσάν τινες φαῖεν ἀπειρίαν νοσοῦντες. πλεῖστα γὰρ καὶ τούτων μαρτύρια καλινδοῦνται παρὰ τοῖς ὅσοι σφίσι προσέσχον τὸν νοῦν. (Β.) Ἦσαν μέντοι καὶ ἀφορμαί τινες ἕτεραι μείζους τῶν ἄλλων, τὴν βασίλειον ταύτην ἀρχὴν ἄνωθεν αὐτῷ μνηστευόμεναι, καθάπερ μεγάλης πηγῆς ἀποῤῥοαί τινες εὐγενεῖς ἐς αὐτὸν κατιοῦσαι. ὧν αὐτός τε καὶ ὅσοι 1.69 τῶν φίλων δρασσόμενοι τοῖς ὑπὲρ αὐτοῦ τοιούτοις λογισμοῖς μέγα παρεῖχον τὸ δίκαιον. ἡ γὰρ τῆς μητρὸς αὐτοῦ μήτηρ Εἰρήνη ἡ πρώτη τῶν θυγατέρων ἦν Ἀλεξίου τοῦ βασιλέως· ὃς ἐπειδὴ γονῆς ἄῤῥενος αὐτὸς οὐκ ηὐμοίρει, ταύτην ἐρυθραῖς ὑποδεδέσθαι κρηπῖσι προσετετάχει, ἵν' εἴη αὐτή τε καὶ ὁ ταύτῃ συζευχθησόμενος τῆς βασιλείας διάδοχος. ὅθεν συζεύξας αὐτὴν Ἀλεξίῳ τῷ Παλαιολόγῳ καὶ δεσπότην αὐτὸν αὐτίκα τετίμηκε καὶ εἰ μὴ φθάσας αὐτὸν ὁ θάνατος ἐξῄρει τοῦ τῇδε βίου, αὐτὸς ἂν ἦν ὁ μετὰ τὸν πενθερὸν Ἀλέξιον βασιλεύς. ἐπεὶ δὲ θανὼν θυγατέρα μόνην καταλελοίπει, ταύτην μετὰ βραχύν τινα χρόνον ἡ μήτηρ ἀνδρὶ συζεύγνυσιν Ἀνδρονίκῳ τῷ Παλαιολόγῳ, ὃν καὶ μέγαν δομέστικον ὁ βασιλεὺς Θεόδωρος τετίμηκεν ὕστερον. ἐκ τούτων ὁ Κομνηνὸς γεγένηται Μιχαὴλ ὁ Παλαιολόγος, διπλοῦς ὡς εἰπεῖν Παλαιολόγος ὢν, πατρόθεν ἅμα καὶ μητρόθεν. εἶχε μὲν οὖν κἀντεῦθεν ἀφορμὰς, ὡς εἴρηται, οὐ μικρὰς ἐς τὴν νῦν προκειμένην ὑπόθεσιν. καὶ ἁπλῶς εἰπεῖν, τοῖς πᾶσι πολλαχόθεν ἐπίσημος ἦν ὁ ἀνὴρ καὶ περίβλεπτος, καὶ ἡ περὶ τούτου φήμη ἠρέμα περιῄει τὰς ἁπάντων κλέπτουσα καὶ γοητεύουσα ἀκοάς. (Γ.) Ὅ γε μὴν πατριάρχης ἀλλ' οὐδ' αὐτὸς πόῤῥω τῶν ἐκεῖνον φιλούντων ἔκειτο· ἀλλ' εἰ μὴ πλέον τῶν ἄλλων, οὐδενὸς μέντοι ἧττον ἐκεῖνον καὶ αὐτός γε ἐφίλει καὶ μυστηρίων αὐτῷ ἐκοινώνει καὶ, τό γε μεῖζον, τὰς κλεῖς τοῦ βασιλικοῦ πρυτανείου μόνῳ ἐπίστευεν, ὁπότε χρημάτων ἐδεῖτο τὰ στρατιωτικὰ πράγματα καὶ ἡ κοινὴ τῶν ἀναγκαίων χρεία ἀπῄτει· 1.70 ὃ δὴ ἀνυσιμώτατον ἐς τὰ λάθρα μελετώμενα καὶ πέρας ὀξύτατον τοῖς ἐκ πολλοῦ θρυλλουμένοις παρέσχεν. ἀδείας γὰρ ἐκεῖνος λαβόμενος τοσαῦτα μεταχειρίζεσθαι χρήματα, ὃ εὔξασθαι μὲν ἐνῆν αὐτῷ, ἐλπίσαι δ' οὐκ ἄν ποτ' ἐνῆν, ὅλαις λοιπὸν ἐξήντλει χοίνιξιν ἐς τὰς δεξιὰς τῶν τε προὐχόντων ἐν γένει καὶ τῶν στρατείαις κατειλεγμένων καὶ ὅσοι καὶ γλώττης πειθοῖ καταδημαγωγεῖν τὸν ὄχλον ἐδύναντο. ἐν οἷς ἦσαν καὶ τοῦ ἱερατικοῦ βήματος οὐκ ὀλίγοι. (Δ.) Ἐντεῦθεν βουλευτήρια συνεχῆ παρὰ τούτων ἁπάντων συνεκροτοῦντο, τὸν πατριάρχην συνωθοῦντα μὴ ἀμελεῖν, ἀλλὰ διανίστασθαι καὶ τὴν ἀνήκουσαν τοῖς ἐνεστῶσι πράγμασι διδόναι προμήθειαν. οὐδὲ γὰρ οὐδὲ μικρᾶς δεῖσθαι ταύτης αὐτὰ, καὶ οἵας ἂν, εἰ παρόψεταί τις, μένειν αὖθις ἐς τὸ καθεστὼς αὐτὰ, ἀλλ' αὐτίκα μάλα διακινδυνεύειν ἀπολωλέναι, καθάπερ μυριοφόρος ὁλκὰς ἐν μέσῳ πελάγει τῶν οἰάκων ἀφῃρημένη, ἢ ὥσπερ οἰκία μεγάλη κατασεισθέντων τῶν θεμελίων. καὶ ἦν ἐπὶ γλώττης αὐτίκα τοῖς πλείοσιν ὁ Κομνηνὸς Μιχαὴλ ὁ Παλαιολόγος, ἱκανὸς ἐμβριθείᾳ συνέσεως καὶ ἐμπειρίᾳ πραγμάτων τοσοῦτον ὄχλον βασιλικῆς ἀναδέξασθαι διοικήσεως, μέχρις ἂν ἐς τὴν προσήκουσαν ἡλικίαν ὁ τοῦ βασιλέως φθάσῃ υἱός. τούτοις σύμψηφον ὁ πατριάρχης ἤδη καὶ ἑαυτὸν ἐποιεῖτο, καὶ ἐκυροῦτο τὰ δεδογμένα λοιπόν. καὶ ἦν ἐπὶ τῶν κοινῶν πραγμάτων ὁ Κομνηνὸς Μιχαὴλ, πλὴν τῶν βασιλικῶν συμβόλων,


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

πᾶσαν τὴν ἐξουσίαν ἀνειλημμένος. αὕτη γίνεται τῷ Μιχαὴλ τῆς εἰς βασιλείαν ἀναγωγῆς ἀρχὴ καὶ κατάστασις πρώτη· ἐντεῦθεν γὰρ ἐξ οὐρίας 1.71 ᾔει τούτῳ τὰ πράγματα καὶ πλήρεσιν, ὡς εἰπεῖν, τοῖς ἱστίοις ἐς τοὺς τῆς βασιλείας ἔπλει λιμένας. (Ε.) Ὀλίγαι παρῆλθον ἡμέραι καὶ δεύτερον συγκροτοῦσι βουλευτήριον οἱ αὐτοῦ σπουδασταὶ, οὐ δέον εἶναι φάσκοντες τὸν τὰ βασιλικὰ καὶ κοινὰ διοικοῦντα πράγματα καὶ πρεσβείας πολλῶν ἀναδεδεγμένον ἐθνῶν μὴ καὶ τῆς βασιλείας ἔγγιστα ἔχειν καὶ τὸ ἀξίωμα τιμῆς ἕνεκα τοῦ τῶν Ῥωμαίων γένους καὶ ἅμα βεβαιώσεως τῶν μεταξὺ γινομένων καταστάσεων. ταῦτ' ἄρα καὶ τὸ τοῦ δεσπότου ἀξίωμα δέχεται παρά τε τοῦ πατριάρχου καὶ τοῦ υἱοῦ τοῦ βασιλέως. ε΄. Ἐν τούτοις μέντοι τοῖς χρόνοις ἀκούσας ὁ τῆς Αἰτωλίας τε καὶ Ἠπείρου κρατῶν Μιχαὴλ ὁ δεσπότης, ὡς ὁ συμπένθερος καὶ βασιλεὺς Θεόδωρος ἐτεθνήκει ἐπ' οὐδενὶ διαδόχῳ τελείῳ τῆς βασιλείας, καὶ ὡς πολὺς ἐντεῦθεν θόρυβος ἐπιχωριάζει τοῖς ἐν τέλει Ῥωμαίων, πάσας τὰς ἔξω φροντίδας ἐκκρούων ἤλπισε μικρὰ πονήσας μεγάλης ἀρχῆς γενήσεσθαι κύριος. μηδὲ γὰρ ἔχειν Ῥωμαίους ὅπως αὐτὸν ἀποσοβήσωσι κατατρέχειν Μακεδονίαν καὶ Θρᾴκην αὐτίκα μάλα βουλόμενον, τῆς οἴκοθεν τέως ἀσχολίας μετὰ πολλοῦ τοῦ κράτους σφίσιν ἐπιτιθεμένης καὶ πᾶσαν φροντίδα πρὸς μόνην ἑαυτὴν ἔξωθεν μεθελκούσης. ὅθεν πολλὴν ἐκ τῆς χώρας αὐτοῦ συνήθροιζε στρατιὰν, πολλαπλασίονα δ' ἔξωθεν αὖ κατὰ συμμαχίαν προσελάμβανε. τὴν γὰρ αὐτοῦ πρεσβείαν ἀσμένως δεξάμενοι τάχιστα ἥκουσιν ὅ, τε Πελοποννήσου καὶ Ἀχαΐας πρίγκιψ γαμβρὸς ἐπὶ Ἄννῃ τῇ θυγατρὶ τυγχάνων αὐτοῦ καὶ ὁ τῆς Σικελίας τότε κρατῶν Μαφρὲ, γαμβρὸς καὶ αὐτὸς 1.72 ἐπὶ Ἑλένῃ τῇ θυγατρὶ τυγχάνων αὐτοῦ, πλῆθος ἐπαγόμενοι στρατιᾶς οὐ πάνυ τοι ῥᾴστα ἀριθμῷ ὑποπίπτειν ἐπαγγελλόμενον. οὐ γὰρ τοσοῦτον συμμαχήσοντες ἧκον τῷ Μιχαὴλ, ὅσον σφίσιν αὐτοῖς περιποιησόμενοι πλάτος ἀρχῆς καὶ πόλεις ἀλλοτρίας. καὶ γὰρ τὴν μετὰ τὸν Ἰόνιον κόλπον εὐθὺς ἄχρι Βυζαντίου πᾶσαν Ῥωμαίων ἀρχὴν ἤλπισαν ἕξειν ἀπονητί· καὶ ὡς ἤδη βεβαίως ἔχοντες κλήρῳ ταύτην κατὰ σφᾶς αὐτοὺς διελάγχανον, πρὶν ἅψασθαι ἔργου. (Β.) Τῆς δὲ λαμπρᾶς ταύτης καὶ θαυμασίας παρασκευῆς ἐν ἀκοῇ καταστὰς ὁ Κομνηνὸς Μιχαὴλ ὁ Παλαιολόγος, ἄρτι τὸ δεσποτικὸν περιεζωσμένος ἀξίωμα καὶ βεβαιοτέραν ἐν τοῖς πράγμασι τὴν τῆς, ἐξουσίας περιπεποιημένος ἀρχὴν, πέμπει μηδὲν μελλήσας τὸν αὐτοῦ ἀδελφὸν Ἰωάννην, σεβαστοκράτορα ὄντα, χεῖρα συχνὴν ἐπαγόμενον. πέμπει δὲ σὺν αὐτῷ καὶ τῶν τῆς συγκλήτου λαμπρῶν οὐκ ὀλίγους συνεργοὺς καὶ συλλήπτορας, ὁπόσοι στρατηγικῆς ἐμπειρίας οὐ πάνυ τοι ἀδαεῖς ὄντες ἐτύγχανον· ἐν οἷς ἦν καὶ Καῖσαρ ὁ ἀμφιμήτριος ἀδελφὸς αὐτοῦ Κωνσταντῖνος καὶ Ἀλέξιος ὁ Στρατηγόπουλος μέγας δομέστικος ὤν· καὶ πρός γε ἔτι Κωνσταντῖνος ὁ Τορνίκιος, ὁ τοῦ σεβαστοκράτορος πενθερὸς, μέγας ὢν πριμμικήριος. ἦν δὲ τηνικαῦτα ὁ χρόνος μικρὸν μετὰ τροπὰς θερινὰς κατ' αὐτὰς δὴ τὰς ὡρίωνος καὶ κυνὸς πλατείας ἐπιτολάς. καὶ δὴ τὴν ταχίστην διαπεραιωσάμενοι τὸν Ἑλλήσποντον ᾔεσαν διὰ Θρᾴκης καὶ Μακεδονίας ὁμοῦ καὶ τὰ ἐκεῖθεν συνεφελκόμενοι πάντα Ῥωμαϊκὰ στρατεύματα, ὁπόσα σποράδην κατὰ πόλεις καὶ κώμας καὶ ἀγροὺς 1.73 ἐσχολακότα τέως διῆγον. μέλλοντος δ' ὅσον οὐδέπω τοῦ ἡλίου τὰς φθινοπωρινὰς ἰσημερίας ἐπιτελεῖν, φθάνουσι περὶ Ἀχρίδαν τε καὶ Δεάβολιν. φρούρια ταῦτα Μακεδονίας, πολλὴν παρασχόμενα τὴν ἀσφάλειαν τοῖς χρωμένοις αὐτοῖς. τούτων μεταξὺ τὸ ἑαυτῶν πηξάμενοι στρατόπεδον ἀκούουσι καὶ τοὺς πολεμίους στρατοπεδεύοντας ἐς τὰ τοῦ Αὐλῶνος ἱππήλατα, ὡς διαιρεῖσθαι τὰ ἀμφοτέρων στρατόπεδα διὰ τοῦ μεταξὺ παρατείνοντος ὄρους καὶ γίνεσθαι τοὺς μὲν Ῥωμαίους ἀρκτικωτέρους, τοὺς δὲ πολεμίους νοτιωτέρους. (Γ.) Οἱ μέντοι πολέμιοι περικαθίσαντες ἐπολιόρκουν τὸ τῶν Βελλεγράδων ὑψηλόν τε καὶ, ὡς εἰπεῖν, ὑπερνέφελον φρούριον, μελέτην ἔχοντες μετὰ τὴν ἐκείνου καταστροφὴν, ὡς ἐξ ὁρμητηρίου λαμπροῦ τινος κεχύσθαι καὶ κατὰ τῆς ἄλλης ἁπάσης δυτικῆς τῶν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Ῥωμαίων ἐπικρατείας, καθάπερ τις πλούσιος ποταμὸς ἐξ ὄρους ὑψηλοῦ τινος ἐς τὸ κάταντες ῥαγδαίως καταῤῥαγείς· μάταιοι τῆς ἀπονοίας, ταῦτα ἐλπίζοντες ἃ δὴ οὐ τελέεσθαι ἤμελλεν. οὐ γὰρ ἴσασιν, ὡς πᾶσα ῥώμη σώματος καὶ πλῆθος ἵππου καὶ ὅπλων ἐπισκευὴ μυρμήκων ἀγέλης οὐδὲν οὐδαμῇ διενήνοχε, μὴ συναιρομένου θεοῦ. διὸ καὶ ἀλαζονείᾳ τὸ πᾶν ἐπιτρέψαντες καὶ οἰήσει οὕτως ἐχώρουν κατὰ Ῥωμαίων. ταῦτ' ἄρα καὶ τοῖς ματαίοις λογισμοῖς ἀνάλογον ἐπηκολούθει τὸ τέλος. οἱ δὲ Ῥωμαῖοι οὐδὲν ἑαυτοὺς λογιζόμενοι πλὴν τῆς θεόθεν ἐπικουρίας θεῷ καὶ τῇ ἐκεῖθεν ἀρωγῇ πᾶσαν τὴν σφῶν αὐτῶν ἐπιτρέψαντες κίνησιν διαγωνίζεσθαι πρὸς πολλαπλασίους ἐθάῤῥησαν· καὶ μέντοι καὶ λαμπρὰν συναιρομένου 1.74 θεοῦ τὴν νίκην εἰργάσαντο, ὡς αὐτίκα εἰρήσεται. (Δ.) Ἐπεὶ γὰρ ἐγγὺς ἤδη τῶν πολεμίων οἱ Ῥωμαῖοι ἐπήξαντο τὰ στρατόπεδα, πέμπουσι δή τινα τῶν μάλα ἐπιτηδείων ἐκπολεμῶσαι καὶ συνταράξαι κατ' ἀλλήλων τὰ τῶν πολεμίων στρατεύματα. οὐ γὰρ ἕν τι τῶν ἀδυνάτων τοῦτό γε ἦν, τοῦ τε τῆς Ἀχαΐας πρίγκιπος καὶ τοῦ ῥηγὸς Σικελίας ἑτεροφύλων ὄντων καὶ οὐχ ὁμογενῶν τῷ Ἀγγέλῳ Μιχαήλ. διαναστὰς οὖν ἐκεῖνος αὐτόθεν αὐτόμολος δῆθεν ἀπῄει νύκτωρ ἐς τοὺς πολεμίους καὶ προσελθὼν λάθρα τῷ τῆς Αἰτωλίας ἄρχοντι Μιχαὴλ τῷ Ἀγγέλῳ, "1ἴσθι,"2 φησὶν, "1ὡς σοί τε καὶ πᾶσι τοῖς ὑπό σε μέγας ἐπήρτηται κίνδυνος σήμερον· ἄμφω γὰρ οἱ σοὶ γαμβροί τε καὶ σύμμαχοι, ὅ, τε πρίγκιψ Πελοποννήσου καὶ Ἀχαΐας καὶ ὁ τῆς Σικελίας ῥὴξ λάθρα διαπρεσβεύονται πρὸς Ῥωμαίους περὶ σπονδῶν ἐπὶ δώροις τακτοῖς. εἴ σοι τοίνυν ζωῆς μέλει, προνοήθητι τὴν ταχίστην σαυτοῦ, πρὶν εἰς πέρας ἐλθεῖν τὰς ἐκείνων σπονδάς τε καὶ συμφωνίας."2 πείθεται ὁ Μιχαὴλ καὶ διαμηνυσάμενος ἡσυχῇ τῶν οἰκείων ὁπόσους αὐτός τε ἐδύνατο καὶ ὁ καιρὸς ἐχορήγει, φεύγων ᾤχετο πρὶν ἢ ἀνατεῖλαι τὸν ἥλιον. καὶ τούτου κατόπιν ἄλλος ἐξ ἄλλου τὴν φυγὴν ψιθυριζομένην ἀκούοντες τοῦ Μιχαὴλ σποράδες ἔθεον ἅπαντες οἱ στρατιῶται, τῇ φυγῇ προλαμβάνειν ἕτερος ἕτερον σπεύδοντες. (Ε.) Ἅμα δ' ἕῳ διεγερθέντες οἱ σύμμαχοι καὶ τὴν μὲν φυγὴν μαθόντες τοῦ Μιχαὴλ, τὴν δὲ τῆς φυγῆς αἰτίαν οὐκ ἔχοντες συμβαλεῖν, ἀχανεῖς ἦσαν. καὶ τὸ μὲν ὅπλα 1.75 κατὰ Ῥωμαίων κινεῖν ἀπηγόρευον, τοῦτο μὲν καὶ ὡς ἀγνοοῦντες τὰ δρώμενα, τοῦτο δὲ καὶ ὡς βραχύτεροι τὸν ἀριθμὸν ἐκ πάνυ πολλῶν καταστάντες. ὅθεν καὶ πρὸς φυγὴν ἤδη ἐτρέποντο προδεδομένους ἑαυτοὺς ὑπὸ Μιχαὴλ λογισάμενοι. τούτοις οὕτω τεταραγμένοις αἰφνιδίως οἱ Ῥωμαῖοι ἐπεισπεσόντες τοὺς μὲν πλείστους ἔργον ἀπέφηναν ξίφους, τοὺς δ' ἄλλους πλὴν ὀλίγων ἐζώγρησαν, μεθ' ὧν ἦν καὶ ὁ πρίγκιψ Πελοποννήσου καὶ Ἀχαΐας. ὁ δὲ τῆς Σικελίας ῥὴξ διέδρα λαθὼν σὺν ὀλίγοις πάνυ τῶν ἑαυτοῦ. 1.78 α΄. Ἀλλὰ τούτων οὕτως ἐκεῖ τελουμένων, ἐπὶ τῆς ἀσπίδος ἐνταῦθα περὶ τὴν Μαγνησίαν καθίσαντες Μιχαὴλ τὸν Παλαιολόγον ἀναγορεύουσι βασιλέα οἱ δόξῃ καὶ γένει προὔχοντες. ὅπερ ἀκηκοὼς ὁ πατριάρχης Ἀρσένιος, κατὰ Νίκαιαν τότε διάγων, ξίφους παντὸς χαλεπωτέραν κατὰ καρδίας τὴν λύπην ἐδέξατο· καὶ ἠρεμεῖν ὅλως οὐκ εἶχε δεδιὼς περὶ τοῦ παιδός. ὅθεν ἀφορισμῷ καθυποβαλεῖν ἐπεχείρησε πρῶτον τόν τε ἀνηγορευμένον καὶ τοὺς ἀναγορεύσαντας. ἔπειτα ἐπέσχε μετριώτερόν τε καὶ βέλτιον ἡγησάμενος ὅρκοις φρικώδεσιν αὐτοὺς ἀσφαλίσασθαι, μήτε τῇ ζωῇ τοῦ παιδὸς ἐπίβουλον χεῖρα ἐπιβαλεῖν, μήτε στέρησίν τινα καὶ παρευδοκίμησιν τῆς αὐτοῦ βασιλείας ἐνθυμηθῆναι. καὶ δὴ γίνεται τοῦτο, Καλανδῶν Δεκεμβρίων ἄρτι ἐπιλαμπουσῶν· οὔπω δ' ὅλος ἀπηρτίζετο μὴν καὶ αὐτὸς ὁ ταῦτα μὲν δεδιὼς, 1.79 ἐκεῖνα δ' ἐμπεδῶν καὶ ἀσφαλιζόμενος ὑπὲρ τοῦ παιδὸς, οἰκείαις χερσὶν ἐπὶ τοῦ ἱεροῦ καταστέφει βήματος Μιχαὴλ τὸν Παλαιολόγον· καὶ τῷ βασιλικῷ κοσμεῖ διαδήματι, ταῖς γνώμαις τῶν ἄλλων ὅσοι τῆς συγκλήτου καὶ ὅσοι τοῦ ἱερατικοῦ καταλόγου συγκαθελκυσθεὶς καὶ αὐτός. πλὴν οὐκ αὐτῷ γε διηνεκῆ τὴν αὐτοκρατορικὴν ἀρχὴν χαρίζεται, ἀλλ' ὡς τῶν πραγμάτων τέως ἀναγκαζόντων διοικεῖν αὐτὸν αὐτὴν, μέχρις ἂν ἐς ἥβην ὁ γνήσιος τῆς βασιλείας κληρονόμος ὁμοῦ καὶ διάδοχος φθάσῃ.



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τότε δ' αὐτὸν ἑκόντα παραχωρεῖν ἐκείνῳ μόνῳ τῶν τε αὐτοκρατορικῶν θρόνων καὶ πάντων ἅμα τῶν βασιλικῶν συμβόλων. καὶ ἐπὶ τούτοις αὖθις ὅρκοι ἐτελοῦντο φρικωδέστεροι τῶν προτέρων. (Β.) Τηνικαῦτά γε μὴν καθάπερ τις ἄριστος οἰωνὸς τῆς αὐτοῦ βασιλείας ἀγγέλλονται τούτῳ τὰ δυτικὰ τῶν Ῥωμαίων τρόπαια, καὶ μετ' ὀλίγον ἥκουσι καὶ οἱ τὰ τρόπαια πεπραχότες αἰχμάλωτον ἄγοντες τόν τε Πελοποννήσου καὶ Ἀχαΐας πρίγκιπα καὶ πλείστους ἄλλους τῶν πολεμίων. κἀκεῖνοι μὲν ἄξια κομίζονται τὰ γέρα καὶ τῶν πόνων τὰ ἔπαθλα. ὁ μὲν γὰρ Σεβαστοκράτωρ ἐς τὸ Δεσποτικὸν ἀνάγεται παρὰ τοῦ βασιλέως ἀξίωμα· ὁ δὲ μέγας Δομέστικος ἐς τὸ τοῦ Καίσαρος· ὁ δὲ Καῖσαρ ἅμα τῷ πενθερῷ τοῦ Δεσπότου ἐς τὸ τοῦ Σεβαστοκράτορος. ἐποίει δ' ἐπίσημον τὴν ἐκ τοῦ πενθεροῦ διαφορὰν, ὅτι ἐν τοῖς κυανοῖς πεδίλοις καὶ χρυσοϋφεῖς αὐτῷ ἐνηρμόζοντο ἀετοί. ὅ γε μὴν πρίγκιψ Πελοποννήσου καὶ Ἀχαΐας ὠνούμενος τὴν ἐλευθερίαν μετὰ τῆς ἑαυτοῦ ζωῆς δίδωσι τῷ βασιλεῖ τῶν ἐν Πελοποννήσῳ πόλεων τρεῖς τὰς 1.80 βελτίους, τήν τε Μονεμβασίαν καὶ τὴν περὶ τὰ Λεῦκτρα Μαίνην, ἣ Ταιναρία πάλαι παρ' Ἕλλησιν ἄκρα ἐκαλεῖτο, καὶ τρίτην τὴν προκαθεζομένην τῆς Λακωνικῆς Σπάρτην. καὶ οὕτως ὥσπερ ἐξ ᾅδου κευθμώνων ἀπροσδόκητος ἐχαρίζετο τοῖς ἰδίοις. ἐγκρατὴς δὲ τῶν εἰρημένων στέλλεται πόλεων ἐν Πελοποννήσῳ Κωνσταντῖνος ὁ ἀμφιμήτριος ἀδελφὸς τοῦ βασιλέως, ὃν, ὡς μικρῷ πρόσθεν εἰρήκειμεν, ἐκ Καισάρων Σεβαστοκράτορα πεποίηκε. καὶ ἀπελθὼν ἐκεῖσε πολλὰς εἰργάσατο νίκας κατὰ τῶν Πελοποννησίων Λατίνων· καὶ πολλὰς ἑτέρας προσεκτήσατο πόλεις ὡς ἐξ ὁρμητηρίων μεγάλων τριῶν ἐκείνων ὁπλιζόμενος πόλεων. (Γ.) Ἐπὶ τούτοις καταλιπὼν τὸν πατριαρχικὸν ὁ Ἀρσένιος θρόνον ᾤχετο ἡσυχάσων ἐς τὸ παράλιον τοῦ Πασχασίου μονύδριον. πρόφασις δ' ἦν τῆς ὑποχωρήσεως ἡ περιφρόνησις Ἰωάννου τοῦ Λάσκαρι τοῦ βασιλέως παιδός. ἔπεμψε γὰρ αὐτὸν πρὸ βραχέος ὁ βασιλεὺς Μιχαὴλ ὁ Παλαιολόγος ἐν Μαγνησίᾳ φυλάττεσθαι, μήποτε νεωτερισμόν τινα δῆθεν πράξῃ παρά τισιν ἔχουσιν εἰς τοῦτο ἐπιῤῥεπῶς ἡ αὐτοῦ γε ἐμφάνεια. καὶ δὴ Νικηφόρος ἀντ' ἐκείνου ἐς τὸν πατριαρχικὸν ἀνάγεται θρόνον, ὁ τῆς Ἐφέσου μητροπολίτης, ὃς ἕνα ἐπιβιοὺς ἐνιαυτὸν ἐτελεύτησεν. (Δ.) Ὁ μέντοι βασιλεὺς σὺν πολλοῖς τοῖς στρατεύμασι διεπεραιοῦτο εἰς Θρᾴκην ἐπίδοξος ὢν ἐσβαλεῖν καὶ ἐς τὰ τῆς Κωνσταντινουπόλεως προαύλια πείρας εἵνεκα πολεμικῆς. καὶ δὴ μετὰ τὴν ἔξω διατριβὴν παρελάσας ἐπολιόρκει πρῶτον τὸ κατὰ τὴν περαίαν τοῦ Γαλάτου ἐπικεκλημένον φρούριον, ὡς ῥᾷ 1.81 δίως ἐντεῦθεν ἁλωσομένης αὐτῷ καὶ τῆς Κωνσταντίνου, εἰ αὐτὸ παραστήσαιτο πρότερον. ἀλλ' ἦσαν ἄρα τὰ τῶν τοιούτων ἐλπίδων αὐτῷ γρηγορούντων ἐνύπνια. πλεῖστα γὰρ τῶν λιθοβόλων μηχανημάτων ἀντιπεριστήσας αὐτῷ καὶ πολλὰς ἐπενεγκὼν, βίας ἑλεῖν οὐ δεδύνηται. ὅθεν ὀχυρώσας τὰ πρὸ τῆς Βυζαντίδος φρούρια καὶ ὁπλίτας ἀφεὶς ἐν αὐτοῖς προσετετάχει συνεχεῖς ἐπιδρομὰς καὶ ἐνέδρας ποιεῖσθαι κατὰ τῶν Βυζαντίων Λατίνων, ὡς μηδὲ προκύπτειν ἐᾶν εἰ δυνατὸν αὐτοὺς τῶν τειχῶν. ὃ δὴ πρὸς τοσαύτην ἤλασε τοὺς Λατίνους πενίαν, ὡς τῇ τῶν ξύλων σπάνει καὶ τὰς τοῦ Βυζαντίου πλείστας καὶ περιφανεῖς οἰκίας καθελεῖν εἰς δαπάνην χρειώδη τοῦ πυρός. ἐντεῦθεν ἐς Νίκαιαν αὖθις ὑποστρέφει· αὕτη γὰρ ἐγεγόνει Ῥωμαίων βασίλειον μετὰ τὴν τῆς Βυζαντίδος πόρθησιν, καὶ ἦν ἐκεῖ διατρίβων ἐφ' ἱκανόν. (Ε.) Ἐν τούτοις μέντοι τοῖς χρόνοις διαβάντες καὶ τὸν Εὐφράτην οἱ Σκύθαι τὴν ἄχρι Παλαιστίνης οἰκειοῦνται Συρίαν καὶ Ἀραβίαν. μηδὲ γὰρ εἶναι τῶν πάνυ ῥᾳδίων πέρας λαμβάνειν τὴν ἀνθρώπων πλεονεξίαν, μέχρις ἂν ἐπιμένῃ τῇ δεξιᾷ καὶ τῇ αἰχμῇ τὸ δύνασθαι. καὶ πολλοῖς ἐκεῖ τοῖς λαφύροις περιτυχόντες βριθούσαις ἐπανήκουσι δεξιαῖς, φόρους ἐτησίους, ὅσα καὶ δούλοις ἀθλίοις, τάξαντες τοῖς ἐναπολειφθεῖσιν Ἄραψί τε καὶ Σύροις καὶ Φοίνιξι. κατὰ μέντοι τὸ ἐπιὸν ἔτος εἰσβάλλουσι καὶ ἐς τὴν ἔνδον Εὐφράτου Ἀσίαν καὶ πᾶσαν ῥᾳδίως καταστρέφουσι καὶ ληΐζονται, ὅρους ποιησάμενοι τοῦ τοιούτου δρόμου καὶ κλόνου πρὸς μὲν ἄρκτους Καππαδοκίαν καὶ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ποταμὸν 1.82 τὸν Θερμώδοντα, πρὸς δὲ μεσημβρίαν τήν τε Κιλικίαν καὶ τὰ μικρὸν μετὰ τὰς ἀρχὰς πολλαχῇ διαιρούμενα μέρη τοῦ Ταύρου, ὃς μέγιστος ἐπεφύκει τῶν κατὰ τὴν Ἀσίαν ὀρῶν. (΄.) Χειροῦνται δ' ἐπὶ τούτοις καὶ τὰ τῶν Τούρκων βασίλεια. καὶ φυγὰς ὁ σουλτὰν Ἀζατίνης ἅμα τῷ ἀδελφῷ Μελὴκ φοιτᾷ πρὸς τὸν βασιλέα Ῥωμαίων Μιχαὴλ τὸν Παλαιολόγον, ἐνέχυρα φέρων πιστὰ μεγάλων ἐλπίδων οὐ πάνυ παλαιᾶς φιλοξενίας καὶ μεγάλης κηδεμονίας ὑπομνήματα· ὁπότε δηλαδὴ καὶ αὐτὸς παρ' αὐτὸν ἧκε, φεύγων τε τοὺς βασιλικοὺς ἐκείνους κινδύνους καὶ πλεῖστα φέρων ἐπὶ τῆς καρδίας τὰ τῶν μεγάλων φόβων ἐκείνων ἴχνη. τούτων ἀνάμνησιν ἐπ' αὐτοῦ ποιησάμενος αἰτεῖ δυοῖν θάτερον· ἢ συμμαχίαν κατὰ τῶν Σκυθῶν, ἢ γῆς Ῥωμαϊκῆς ἀποτομήν τινα καὶ οἱονεὶ κληρουχίαν εἰς κατοικίαν μονιμωτέραν αὐτοῦ τε καὶ τῶν ἅμα αὐτῷ. ἦν γὰρ ἐπαγόμενος γυναῖκα καὶ τέκνα καὶ θεραπείαν συχνὴν, καὶ πρὸς τούτοις πλοῦτον μάλα μακρὸν καὶ πολυτελῆ. τῷ μὲν οὖν βασιλεῖ τὰ Ῥωμαίων κατακερματίζειν στρατεύματα, πολλῶν πολλαχόθεν περικυκλούντων πολέμων, οὐ πάνυ τοι ἀσφαλὲς ἐδόκει. τό, τε γῆς κληροδοσίαν ἀπονέμειν ἀνδρὶ τοσούτῳ, πολλῶν σατραπειῶν ἀρχηγῷ καταστάντι καὶ ἡγεμονικοῦ τινος ἤθους τροφίμῳ, καὶ τοῦτο δὲ οὐκ ἀνύποπτον ἦν αὐτῷ, οὐδ' ἄνευ φόβων μελλόντων. ἀνάγκη γὰρ τοὺς ὑπὸ χεῖρα σατράπας ζητῆσαι τὸν ἀρχηγόν· καὶ τοὺς ἔνθεν κἀκεῖθεν διασπαρέντας καὶ φερομένους οἷα πλανήτας ἐν νυκτὶ ἐπὶ τὸν λαμπαδοῦχον καὶ ὁδηγὸν συνδραμεῖν καὶ χρόνῳ γενέσθαι Ῥω 1.83 μαίοις κακὸν ἀμήχανον· ὅθεν ὡς ἐπὶ τρυτάνης μετεωρίσας αὐτοῦ τὴν ψυχὴν ἦγε καὶ ἔφερεν ἐλπίδων ὥσπερ παράσιτον. β΄. Δύο ἑξῆς ἠνύετο ἔτη, ἀφ' οὗ τῶν τε βασιλικῶν θρόνων ἐγκρατὴς ὁ Μιχαὴλ ἐγεγόνει καὶ τὸ δυτικὸν καὶ Θετταλικὸν ἔπαυσε δόρυ, τὴν μάχην φημὶ τῶν τε Ἀκαρνάνων καὶ Αἰτωλῶν, καὶ τῆς πονηρᾶς ἐκείνης ῥίζης πάλιν ὑπεφύοντο πονηρὰ καὶ ἀκανθώδη βλαστήματα, καὶ πάλιν ὅρκων ἀνατροπαὶ καὶ μάχαι πολεμικαὶ τοῦ ἀποστάτου Μιχαήλ. πέμπει τοιγαροῦν κατὰ τάχος ἐπ' ἐκεῖνον ὁ βασιλεὺς Καίσαρα τὸν Στρατηγόπουλον, δοὺς αὐτῷ καὶ Βιθυνοὺς μὲν ὁπλίτας μικρὸν ὑπὲρ τοὺς ὀκτακοσίους, τοὺς δ' ἄλλους ὁπόσους ἡ χρεία ζητοίη, στρατολογήσειν αὐτὸν ἔκ τε Θρᾴκης καὶ Μακεδονίας. προστάττει δ' αὐτῷ καὶ πάρεργον ὁδοῦ ποιήσασθαι μεθ' ὧν ἐπιφέρεται Βιθυνῶν ὁπλιτῶν τὴν διὰ τῶν τοῦ Βυζαντίου προαστείων διάβασιν, θορύβου τινὸς ἕνεκα τῶν ἐν Βυζαντίῳ Λατίνων καὶ τοῦ μὴ πάνυ σχολάζειν αὐτοὺς καὶ ἀναπεπτωκέναι συγκεχωρῆσθαι κἀπὶ πλεῖστον τῶν τειχῶν παρεξιέναι ὁπότε βούλοιντο, ἀλλ' εἶναι περιδεεῖς ἀεὶ καὶ οἷον ἐν εἱρκτῇ φρουρουμένους. (Β.) Καὶ μὲν δὴ διαπεραιωσάμενος τὴν Προποντίδα ὁ Καῖσαρ στρατοπεδεύει περὶ τὸ Ῥήγιον· ἔνθα περιτυγχάνει τισὶν ἀγοραίοις ἀνδράσι, λόγοις μεγάλοις καὶ ἀποῤῥήτοις τῆς πάντα διοικούσης προνοίας, ἢ πλήθει μὲν ἵππου καὶ στρατιᾶς οὐχ ὑπηρετεῖ πολλάκις, βραχείᾳ δέ τινι δυνάμει καὶ πολλὴν ταῖς ἐλπίσι τρυφὴν χορηγεῖν οὐκ ἐχούσῃ συναίρεται μᾶλλον καὶ νίκας μεγίστας παρέχεται. τῶν μὲν γὰρ τὴν ἐλπίδα κιβδηλεύει τὰ ὅπλα πολλάκις καὶ ἡ τῆς ἄλλης ἴσως παρασκευῆς 1.84 ἀφθονία, καὶ οὐκ ἐᾷ ῥᾳδίως ἄνω φέρεσθαι πρὸς τὸν ζωῆς καὶ θανάτου κύριον, ἀλλὰ κατασπᾷ καὶ βαρύνει καὶ περὶ τὴν γῆν ὡς τὰ πολλὰ καλινδεῖσθαι βιάζεται· τῶν δὲ τοὐναντίον ἡ σπάνις τῶν ἀναγκαίων κουφοτέρους ποιεῖ καὶ οἷον αἰθεροδρομεῖν τε ἀναγκάζει καὶ θερμότερον τὴν ἄνωθεν ἐκκαλεῖσθαι δεξιάν. δι' αὐτό γε μὴν τοῦτο καὶ πολλοὶ μεγάλα ἐλπίσαντες τοὐναντίον ἢ κατὰ τὰς ἐλπίδας ἀπήλλαξαν. ἕτεροι δὲ δι' ἀπορίαν καὶ ἑαυτῶν ἀπογνόντες τροπαίων μεγίστων ἐπέτυχον. ἰδοὺ γὰρ κἀν τῷ παρόντι βασιλεῖς τῶν τριῶν οὐκ ἐλάττους πολλαῖς πολλάκις χιλιάσι στρατοῦ προσβαλόντες τῇ Κωνσταντίνου ἄπρακτοι ἐπανῆκον, οὐδὲ τοῖς τείχεσι καθαρῶς δυνηθέντες ἐγγίσαι. ἀλλὰ ταύτην ὁ Καῖσαρ εἷλεν αἰχμάλωτον, μηδ' ἄχρι χιλιάδος μιᾶς ἐπαγόμενος στράτευμα, μηδὲ τειχῶν ἀμυντήριον ὄργανον οὐδὲν, μηδὲ μηχανημάτων ὄχλον ὁντινοῦν, ἀλλὰ μόνῃ τῇ θείᾳ ἐπικουρίᾳ τὸ πᾶν ἀναρτήσας. εἷλε


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

δὲ οὕτως. (Γ.) Ἐπεὶ γὰρ τοῖς ἀνδράσιν ἐκείνοις ὁ Καῖσαρ ἐνέτυχε, Ῥωμαίοις μὲν οὖσι τὸ γένος, αὐτόχθοσι δὲ Κωνσταντινουπόλεως, κατὰ δὲ χρείαν ἅλωνος καὶ καρπῶν συλλογῆς ἔξω διαιτωμένοις τῆς πόλεως, ἤρετο περί τε τῆς τῶν Λατίνων δυνάμεως ὅση καὶ οἵα, καὶ περὶ ὅσων ἄλλων εἰκὸς ἦν περιεργάζεσθαι στρατηγὸν ἄνδρα καὶ πολλῶν ὀλυμπιάδων τοιούτων μεστόν. οἱ δὲ καὶ τῷ τῶν Λατίνων πάλαι ἀχθόμενοι ζυγῷ καὶ ἄλλως τοῖς ὁμοφύλοις μᾶλλον ἢ τοῖς ἀλλοφύλοις συνδιαιτᾶσθαι ποθοῦντες ἕρμαιον κάλλιστον τὴν τοῦ Καίσαρος ἡγήσαντο ξυν 1.85 τυχίαν καὶ πάντα σαφῶς τε ἀπήγγειλαν καὶ ἐπὶ τούτοις συμφωνίας τῷ Καίσαρι συνετίθεσαν περὶ προδοσίας καὶ δωρεῶν ὑποσχέσεις μεγάλων ῥᾶστα ἐλάμβανον, ὡς ἐφ' ὁμολογουμένῃ τῇ πράξει. οὐ γὰρ μόνον ἀσθενῆ τὴν τῶν Λατίνων δύναμιν ἔφασαν ἤδη τυγχάνειν, ἀλλὰ καὶ ταύτης τὸ πλεῖστον ἀπεῖναι ἐς τὴν τῆς Δαφνουσίας πολιορκίαν. πόλις δὲ αὕτη περὶ τὸν Εὔξεινον πόντον, πολλοῖς κυκλουμένη τοῖς ὕδασι, χιλίους σταδίους διϊσταμένη τῆς Κωνσταντίνου· σφίσι δ' αὖ ῥᾴδιον εἶναι τὴν εἴσοδον νύκτωρ τῷ στρατῷ συσκευάσαι καὶ ἅμα συνάρασθαι μετὰ τῶν φίλων αὐτοῖς καὶ χερσὶ καὶ ὅπλοις καὶ πάσῃ δυνάμει τὴν τῶν ἀντιπάλων ἄμυναν. τήν τε γὰρ οἴκησιν ἔγγιστά που τῆς πύλης κεκτῆσθαι τῆς κατ' εὐθεῖαν βλεπούσης πρὸς τὸν ναὸν τῆς θεομήτορος τῆς πηγῆς, εἴσοδόν τε εἰδέναι λαθραίαν, ἣν παλαιός τις ὑπόνομος ἔλαθεν ὥσπερ ἐξ αὐτομάτου νῦν παρεχόμενος, δι' οὗ πεντήκοντα εἰσιόντας ὁπλίτας νυκτὸς τούς τε φύλακας ἀποκτεῖναι καὶ τὴν πύλην συντρίψαντας ῥᾳδίαν ἤδη καὶ ἅπαντι τῷ στρατῷ πεποιηκέναι τὴν εἴσοδον. (Δ.) Ταῦτ' ἔφασαν οἱ ἄνδρες· καὶ οἴκαδε ἀπιόντες οὐ μάλα συχνῶν ἡμερῶν εἰς πέρας ἦγον τὰ ὑπεσχημένα. καὶ ὁ Καῖσαρ εἴσεισι τὴν Κωνσταντινούπολιν νύκτωρ πρὸς ὄρθρον, καὶ αὐτοῦ που διημερεύσας συντεταγμένος πρὸς πόλεμον τῇ ὑστεραίᾳ πῦρ τε ὑφεῖναι κατὰ τῶν οἰκιῶν κελεύει καὶ τετραχῇ τὴν πόλιν ὑφάψαι, ἵνα διπλοῖς πολεμίοις ὁ τῶν Λατίνων ὄλεθρος εἴη μεμηχανημένος. τὰ μὲν οὖν τῶν Λατίνων βασίλεια ἡ τοῦ παντοκράτορος ὑπῆρχε μονή. ὁ δὲ τηνικαῦτα Κωνσταντινουπόλεως βασιλεύων Βαλδουῖνος, ὁ 1.86 τοῦ πρώτου Βαλδουίνου ἀδελφιδοῦς· Ἐῤῥῆς μὲν γὰρ ἐκεῖνον ὁ ἀδελφὸς διαδέχεται, τὸν δὲ ὁ τῆς ἀδελφῆς Ἰολέντης πρῶτος υἱὸς ὁ Ῥομπέρτος· καὶ τοῦτον αὖ ὁ Ῥομπέρτου δεύτερος ἀδελφὸς Βαλδουῖνος, τέταρτος καὶ τελευταῖος ὢν ἀπὸ τοῦ πρώτου Βαλδουίνου τῆς Κωνσταντινουπόλεως βασιλεύς. οὗτος ἕωθεν ἀναστὰς καὶ ἀκηκοὼς ἔνδον ὄντας τοὺς πολεμίους καὶ ἅμα ἰδὼν ὡς τὸ πῦρ τήν τε πόλιν διέζωσεν ἅπασαν καὶ ὅσον οὐδέπω καὶ αὐτοῦ τῶν βασιλείων γένεσθαι ἔμελλεν ὑπὸ τοῦ πνεύματος ἐλαυνόμενον, πρῶτα μὲν εἰς ὅπλα καὶ πόλεμον ἔβλεψε, συνηθροικὼς εἴ τί που τῶν Λατίνων ὑπῆρχεν ὁπλιτικόν. τάχιστα δ' αὖθις ἐγνωκὼς ἀνηνύτοις ἐπιχειρῶν χαίρειν ἀπεῖπε καὶ σύμβολα βασιλείας καὶ βασιλείαν αὐτήν. ὁ δ' ἁλιάδι τινὶ γυμνὸν ἑαυτὸν ἐμβαλὼν φυγῇ τὴν σωτηρίαν πορίζεται. (Ε.) Ῥέουσα δ' ἡ φήμη φθάνει αὐθήμερον καὶ ἐς τοὺς τὴν Δαφνουσίαν πολιορκοῦντας. οἳ δὴ καὶ ἄραντες ἐκεῖθεν ταχυναυτοῦσιν εἴπερ ποτὲ, καὶ ὁρῶνται τῇ ὑστεραίᾳ τὰ τείχη τῆς πόλεως παραπλέοντές τε καὶ περιπλέοντες καὶ τοὺς ἐκπίπτοντας τῶν Λατίνων σωρεύοντες ὅσον ἐφικτόν. καὶ τοῦτ' ἐξ ἑσπέρας εἰς ὄρθρον ποιοῦντες διετετελέκεισαν, ἅμα δ' ἕω τὰ ἱστία διαπετάσαντες εὐθὺ τῆς Ἰταλίας τὸν ἀπόπλουν ἐποίουν, μακρὰ καὶ αὐτοὶ χαίρειν εἰπόντες τὴν νόθον πατρίδα. τὴν δὴ ταχίστην φθάνει τῶν πεπραγμένων τὰ εὐαγγέλια καὶ ἐς βασιλέα περὶ τὴν Νίκαιαν. ὁ δὲ πιστεύειν οὐκ εἶχε τὰ πρῶτα ῥᾳδίως, ἐννοῶν ὡς πρὸ βραχέος αὐτὸς μὲν ἧκε μυρίαν ἐπαγόμενος αἰχμὴν καὶ μυρίαν ἐπιδειξάμενος μηχα 1.87 νὴν ἑλεῖν οὐδὲ τὸ σμικρότατον ἠδυνήθη τοῦ Γαλάτου πολίχνιον· κἄπειτα παραδόξως ἀκούοι τὴν Κωνσταντίνου, τὸ μέγα θαῦμα τῆς οἰκουμένης, ἁλοῦσαν ῥᾳδίως ὑπ' ὀκτακοσίων ἀνδρῶν. εἶτα καθ' ἑαυτὸν γενόμενος καὶ συνιεὶς ὡς τοῦ θείου ἡ πρόνοια δύναται καὶ τοῖς ξηροῖς διδόναι βλάστην καὶ τοῖς πένησι πλοῦτον καὶ ῥώμην τοῖς ἀσθενέσι καὶ μέγεθος τοῖς μικροῖς, ὥσπερ καὶ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τοὐναντίον, ὁπότε ὁ πλούσιος ἐν τῷ πλούτῳ καυχῷτο τῷ ἑαυτοῦ καὶ ὁ δυνατὸς ἐν τῇ δυνάμει αὐτοῦ, εὐχαριστηρίους ἀνεπέτασε χεῖρας πρὸς κύριον καὶ ὕμνους πολλοὺς διεξεληλύθει τῇ γλώττῃ, μάλα τῇ ὑποθέσει προσήκοντας. ὁ μὲν δὴ βασιλεὺς οὕτω περὶ τὴν ἀκοὴν διέθηκεν ἑαυτόν. τῷ δὲ ἦν ἔργον ἐπιμελὲς λοιπὸν, πάντων ἀφεμένῳ τῶν ἄλλων πραγμάτων ἰέναι πρὸς τὴν βασιλίδα τῶν πόλεων ἅμα τῇ συζύγῳ δεσποίνῃ καὶ τῷ υἱῷ Ἀνδρονίκῳ τῷ νέῳ βασιλεῖ, δεύτερον ἔτος ἄγοντι τῆς ἡλικίας. (΄.) Συχναὶ παρῆλθον ἡμέραι καὶ εἶχε τὸν βασιλέα ἡ τῶν πόλεων βασιλεύουσα· πλὴν οὐ πρότερον εἰσελθόντα αὐτὴν, πρὶν ἢ τὴν θείαν εἰκόνα τῆς ὑπεράγνου θεομήτορος τῆς Ὁδηγητρίας ἐς τὴν οὕτω πως ὀνομαζομένην χρυσῆν πύλην εἰσεληλυθέναι· ἔνθα αὐτῇ τοὺς εὐχαριστηρίους ἀποδόντας ὕμνους οὕτως ἔπειτα εἰσιέναι πεζῇ καὶ βάδην, προηγουμένης τῆς θείας εἰκόνος τῆς θεομήτορος. ἐλθόντα δὲ τὸ πρῶτον οἰκῆσαι παρὰ τὸ ἔγγιστα τοῦ Ἱπποδρόμου παλατίον. τὸ γὰρ ἐν Βλαχέρναις ἠμέλητο ἐκ πολλοῦ, καὶ ἦν τὸ πλεῖστόν γε καπνοῦ καὶ κόνεως ἐμπεπλησμένον. ἦν μὲν οὖν ἰδεῖν 1.88 τὴν βασιλεύουσαν τῶν πόλεων πεδίον ἀφανισμοῦ, μεστὴν ἐρειπίων καὶ κολωνῶν, οἰκίας τὰς μὲν κατεσκαμμένας, τὰς δὲ πυρκαϊᾶς μεγάλης μικρὰ λείψανα. ἀπημαύρωσε μὲν γὰρ καὶ πολλάκις πρότερον τὸ κάλλος αὐτῆς καὶ τὸν κράτιστον κόσμον θυμὸς πυρὸς, ὁπότε Λατίνοις τὸ πρῶτον δουλεύσειν ἔμελλεν. ἔπειτα δ' αὖ δουλωθεῖσα οὐδεμίαν ἐδέξατο παρ' ἐκείνων ἐπιμέλειαν πώποτε, ὅτι μὴ κατάλυσιν παντοίαν ἐφ' ἡμέρᾳ καὶ νυκτὶ, ὥσπερ ἀπιστούντων τῶν Λατίνων τῇ ταύτης ἐς τέλος οἰκήσει, οἶμαι τοῦ θείου τὸ μέλλον φωναῖς ἀλαλήτοις σφίσιν ὑποσημαίνοντος. ἀπημαύρωσε δ' αὐτὴν οὐ μετρίως καὶ τὸ τελευταῖον τοῦτο τὸ πῦρ, ὃ Ῥωμαῖοι δι' ἔκπληξιν τῶν Λατίνων ταῖς οἰκίαις ἐνέβαλον πρότριτα. (Ζ.) Ἔργον μὲν οὖν αὐτίκα τὸ πρῶτον καὶ σπουδαιότατον ἦν βασιλεῖ ταύτην ἀνακαθαίρειν καὶ τὴν πολλὴν ἀκοσμίαν ἐκείνην εἰς εὐκοσμίαν μετάγειν, ὡς ἐφικτὸν ἦν, νεώς τε περιφράττειν, οἳ μήπω τελέως καταπεπτώκεσαν, καὶ τὰς κεκενωμένας οἰκίας ἀνθρώπων πληροῦν. δεύτερον, ἀνακαλεῖσθαι τὸν πατριάρχην Ἀρσένιον, ἐπεὶ καὶ ὁ πατριαρχικὸς τηνικαῦτα θρόνος οὐκ εἶχε τὸν διέποντα. εἶχεν οὖν καὶ ὁ πατριαρχικὸς τῆς Κωνσταντινουπόλεως θρόνος Ἀρσένιον πατριάρχην πῶς μὲν ἄκοντα, πῶς δ' αὖ ἑκόντα· ἄκοντα μὲν διὰ τὰ φθάσαντα σκάνδαλα, ἑκόντα δ' αὖ, ὅτι τε τὴν βασιλεύουσαν ἐπεθύμει καὶ αὐτὸς θεάσασθαι τῶν πόλεων καὶ ὅτι οὐδ' αὐτὸς δόξης ἐρώτων ἀήττητος ὑπῆρχε τελέως. ἄνθρωπος γὰρ ἦν καὶ αὐτός· καὶ καινὸν οὐδὲν, εἰ τῶν μὲν μᾶλλον καὶ μάλα μᾶλλον ἡττωμένων εἰς ἀρχικὴν δό 1.89 ξαν, αὐτὸς ἧττον ἡττᾶτο· ἢ μᾶλλον οὐ τοσοῦτον ἤρα τῶν θρόνων, ὅσον ἄδικον ἡγεῖτο περιφρονεῖν τὸν λαχόντα δίκαιον κλῆρον. τρίτον, ἀντάξιον ἀποδοῦναι γέρας Ἀλεξίῳ τῷ Καίσαρι, ὅτι δι' αὐτοῦ Ῥωμαίοις τὴν τῶν πόλεων βασιλεύουσαν ὁ θεὸς ἐχαρίσατο. τὸ δὲ ἦν θρίαμβον συγκροτηθῆναι πολυανθρωπότατον καὶ περιφανέστατον κελεύσει τοῦ αὐτοκράτορος καὶ ἐπὶ τούτῳ τὸν Καίσαρα πομπεῦσαι διὰ πάσης τῆς πόλεως, οὐ μόνον τοῖς τοῦ Καίσαρος παρασήμοις κοσμούμενον, ἀλλὰ πρὸς τούτοις καὶ στεφάνῳ πολυτελεῖ καὶ μικροῦ δέω λέγειν βασιλικῷ· ὃ δὴ καὶ γέγονε. προσετετάχει δ' ἐπὶ τούτοις ὁ βασιλεὺς διὰ μνήμης καὶ τὸ τοῦ Καίσαρος ὄνομα ἄγεσθαι ὁμοῦ τοῖς τῶν βασιλέων ἐν τοῖς ὑμνητηρίοις καὶ εὐφήμοις ᾄσμασι πανταχῇ τῆς τῶν Ῥωμαίων ἐπικρατείας ἄχρις ἐνιαυτοῦ. γ΄. Καὶ τὰ μὲν τοῦ Καίσαρος εὐτυχήματα τοιαῦτα. ἔθος δὲ τῷ βασκανίας ἀρχηγέτῃ κῆράς τινας ἐπωδύνους καὶ ἀντιπάλους τοῖς ἀγαθοῖς εὐτυχήμασιν ἐπισπείρειν, καθάπερ ἐν σίτου χωρίῳ ζιζάνια, καὶ οὐκ ἄκρατον ἐς τέλος τὸ τῆς εὐφροσύνης καλὸν ἐν τῷ βίῳ συγχωρεῖν τοῖς ἔχουσιν ὡς τὰ πολλὰ περιγίγνεσθαι. διὰ τοῦτο καὶ Φίλιππος ὁ Μακεδονίας τύραννος, τριῶν αὐτῷ ποτε περιγενομένων εὐτυχημάτων ἡμέρας μιᾶς, ὑπερήσθη μὲν τῇ τῆς ψυχῆς διαθέσει, γλῶσσαν δὲ μεγαλοῤῥήμονα τοῖς παρεστῶσι δοῦναι οὐκ ἐξετράπη, οὐδ' ἐπὶ μέγα ἦρε τὴν ὀφρῦν·



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀλλ' εἰδὼς ὡς ταῖς ὑπερβολαῖς τῶν εὐτυχημάτων ὑπερβολικώτερα ἐπιφύονται τὰ 1.90 λυποῦντα, μετριώτερον μὲν διετέθη πρὸς τὰ γεγενημένα, φόβον δ' ἔσχε περὶ τοῦ μέλλοντος μείζονα ἢ κατὰ τὸ μέτρον τῆς εὐφροσύνης· καὶ ἀναστὰς, "1ὦ θεὲ,"2 εἶπε, "1μίξον τι τοῖς ἀγαθοῖς καὶ δυστύχημα μέτριον, μήπου ταῖς ἡδοναῖς συνεπαρθεὶς τῶν μεγάλων καλῶν εἰς μεγάλους ἀπροσδοκήτως ἐμπέσω κρημνοὺς τῶν κακῶν."2 διὰ δὴ ταῦτα καὶ τοῖς τοῦ Καίσαρος εὐτυχήμασι βάσκανον ἐπιῤῥίψαντες ὀφθαλμὸν οἱ πρὸς ταῦτα ἐνησκημένοι Τελχῖνες ἄλυπον οὐδ' αὐτὸν ἀφῆκαν εἰς πέρας ἀφῖχθαι τοῦ βίου· δηλώσει δὲ προϊὼν ὁ λόγος. (Β.) Μετὰ γὰρ τὰ μεγάλα τρόπαια ταυτὶ καὶ τοὺς ἐπινικίους θριάμβους πέμπεται πάλιν ὁ Καῖσαρ παρὰ τοῦ βασιλέως ἐπὶ τὴν προκειμένην ὁδὸν, πολεμήσων τῷ τῆς Ἠπείρου καὶ Αἰτωλίας ἄρχοντι Μιχαὴλ τῷ δεσπότῃ, τοὺς οἰκείους ὅρους παρεξιόντι καὶ κακῶς τὰ Ῥωμαίων διατιθεμένῳ πράγματα, ὡς ὁ λόγος φθάσας ἐδήλωσεν. ὁ δὲ συνηθροικὼς τά τε Θρᾳκικὰ καὶ Μακεδονικὰ στρατεύματα καὶ χεῖρα πεποιηκὼς ἱκανὴν ἐπὶ τὸν ἀντίπαλον ἔρχεται. καὶ μετὰ πολλὰς τὰς τοῦ πολέμου στροφὰς καὶ τοὺς τῆς τύχης κύβους τὰ Ῥωμαίων νικᾶται στρατεύματα· καὶ ὁ Καῖσαρ ἁλίσκεται ζῶν, ὁ τῇ φήμῃ τῶν χθὲς τροπαίων καὶ θριάμβων ἐκείνων βορέαν καὶ νότον ἐγείρας εἰς ἔκπληξιν. οὕτως οὐδὲν ἐν ἀνθρώποις ἀληθὲς, οὐδὲ βέβαιον· ἀλλ' ἐν ἀδήλοις ὥσπερ πελάγεσι συγκυκᾶται καὶ ναυαγεῖ τὰ ἀνθρώπινα, καὶ βαθύς τις πλάνος καταχορεύει τῆς ἀνθρωπίνης ἐμπειρίας καὶ γνώσεως, ἄνω καὶ κάτω σοβῶν καὶ ταράττων πᾶσαν βουλευτηρίων σπουδὴν καὶ δίκην κύβων ἀνατρέπων τὰ δόγμασιν ἰσχυροῖς κυ 1.91 ρούμενα σκέμματα. Κῦρος ὁ Περσῶν καὶ Μήδων καὶ Χαλδαίων ἄρξας ποτὲ μετὰ τὸ τῆς Ἀσίας τὸ πλεῖστον καταδραμεῖν καὶ Βαβυλῶνα τὸ τῆς Ἀσίας κλέος ῥᾷστα καταστρέψασθαι γυναικὶ Μασσαγέτιδι πολέμῳ ξυμβεβληκὼς αἴσχιστα καταστρέφει τὴν τύχην. Ἀννίβας ὁ Καρχηδόνιος, ὁ Λιβύην καὶ Ἀφρικὴν δουλωσάμενος ἅπασαν, μετὰ τὰ Ἰβηρικὰ καὶ Κελτικὰ ἐκεῖνα τρόπαια καὶ τὰς καταδρομὰς τῶν τραχυτάτων Ἄλπεων καὶ τὰς θαυμαστὰς κατὰ Ῥωμαίων νίκας ἑνὸς τῆς Ῥώμης στρατηγοῦ μετὰ βραχὺ καὶ ταῦτα τῆς πατρίδος ἐντὸς τὸ ξίφος ἐνεγκεῖν οὐκ ἠδυνήθη, ἀλλ' ἄρδην ᾤχετο γυμνὸς, γῆν πρὸ γῆς ἐλαύνων ἢ μᾶλλον ἀπηνῶς ὑπὸ τῆς τύχης ἐλαυνόμενος. Μάγνος Πομπήϊος, Ῥωμαίων ὕπατος καὶ στρατηγὸς αὐτοκράτωρ, Ἀσίας ἄχρι Καυκασίων ὀρῶν καὶ Κασπίας θαλάσσης δραμὼν καὶ μυρία καταστρεψάμενος ἔθνη καὶ χρημάτων ἀπείρους τῇ Ῥώμῃ σωροὺς χαρισάμενος ὑπὸ βραχυτάτου τὸ τελευταῖον στρατεύματος ἐν τοῖς ἰδίοις τὸ μέγα κατέλυσε κλέος. κατὰ ταὐτὰ δὲ καὶ ὁ νῦν τῷ λόγῳ προκείμενος Καῖσαρ ὁ χθὲς τὰ μέγιστα κατωρθωκὼς τρόπαια ἀδοξοτέρων ἀγώνων γίνεται παρανάλωμα σήμερον· τοῦ θεοῦ πάντως μυστικώτερον διὰ τῶν τοιούτων λόγον ἀποπληροῦντος, ἵνα τὴν ἑαυτῶν ἐν ταῖς τῶν φαυλοτέρων ἥτταις καταγινώσκοντες δύναμιν τὰς τῶν μεγάλων καὶ ἐξαισίων τροπαίων αἰτίας ἐκ θεοῦ καθαρῶς εἶναι νομίζωμεν. (Γ.) Ἀλλὰ γὰρ οὕτως ἁλόντα τὸν Καίσαρα ὁ Μιχαὴλ αὐτίκα τῷ γαμβρῷ ζητήσαντι πέμπει τῷ τῆς Σικελίας ῥηγὶ Μαφρὲ, ἀντάλλαγμα καὶ λύτρον ἐσόμενον τῆς αὐτοῦ ἀδελφῆς. 1.92 ταύτην γὰρ εἰς γυναῖκα δευτέραν ἠγάγετο μετὰ τὴν τῆς Εἰρήνης τελευτὴν ὁ βασιλεὺς Ἰωάννης ὁ Δούκας, παρὰ Θευδερίχου τοῦ ταύτης πατρὸς καὶ ῥηγὸς Σικελίας λαβών· ἣ δὴ καὶ μετὰ τὴν τοῦ συζύγου τελευτὴν οἴκαδε ἀπιέναι οὐκ ἔχουσα παρὰ Ῥωμαίοις εἶχε τὴν δίαιταν, σωφροσύνης ὥρᾳ τὸν βίον κοσμοῦσα καὶ τρόποις σεμνότητος τὴν τῆς ὄψεως αἴγλην λαμπροτέραν δεικνῦσα. καὶ τοῦτον τὸν τρόπον πάλιν τὸν φίλον ἡ μεγαλόπολις ἐλάμβανε Καίσαρα. καὶ ἐπὶ τούτοις ζητήσας ὁ Αἰτωλὸς Μιχαὴλ ὁ δεσπότης νύμφην ἐπὶ τῷ υἱῷ Νικηφόρῳ τῷ δεσπότῃ χηρεύοντι λαμβάνει τὴν βασιλέως ἀδελφιδῆν Ἄνναν. καὶ ἦν ἡ τοιαύτη συζυγία βεβαίωσις τῶν ἐκεῖθεν σπονδῶν. δʹ. Ὁ μέντοι βασιλεὺς καὶ τῆς Κωνσταντινουπόλεως ἐγκρατὴς ἤδη γενόμενος καὶ ὁρῶν ὡς ἐξ οὐρίας αὐτῷ τὰ πράγματα φέρεται καὶ αἱ τῆς τύχης αὖραι εὐμενῶς ἐπιπνέουσι τῇ αὐτοῦ δεξιᾷ, ἀπὶξ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τῆς βασιλείας ἔχεσθαι ἔγνωκεν ἤδη, καὶ τοῦ λοιποῦ ἔμελεν αὐτῷ ῥιζόθεν πάντα φόβον ἔφεδρον ἐκτεμεῖν, δεδιότι μήπως ὀψὲ τοῦ χρόνου πρόφασιν σχόντες οὐ μικρὰν τὰς βασιλικὰς διαδοχὰς καὶ τοὺς πατρῴους κλήρους οἱ νῦν ὑπ' ὀδόντα καταρώμενοι καὶ ἐν ᾠδῖσι κρύπτοντες τὴν ὀργὴν εἰς ὕψος ἀναῤῥιπίσωσι περιφανὲς τὴν ἐπιβουλὴν καὶ κολοφῶνα κινδύνων αὐτῷ ἐπεγείρωσιν. ὅθεν κατά τινα χρείαν ἐπιδεδημηκότι ἐκ τοῦ παρήκοντος εἰς τὴν βασιλεύουσαν ἐκ Πελοποννήσου Λατίνῳ τινὶ, εὐγενεῖ μὲν, οὐ πάνυ δ' ἐνδόξῳ, ὄνομα δὲ Βελικούρτῳ, Θεοδώραν τούτῳ συζεύγνυσι, τὴν μίαν τῶν τοῦ βασιλέως Θεοδώρου τοῦ Λάσκαρι 1.93 θυγατέρων· καὶ οἴκαδε ἀπιέναι ἅμα αὐτῇ προτρέπεται τοῦτον· τὴν δὲ ἑτέραν ὄνομα Εἰρήνην συζεύγνυσι κόντῳ τινὶ τὴν ἀξίαν, ὄνομα Βιντιμιλίᾳ, ἐκ Γενούας, ἐκ τοῦ παρήκοντος καὶ αὐτῷ τῇ Κωνσταντινουπόλει ἐπιδεδημηκότι καὶ εὐθὺς οἴκαδε ἀπιέναι καὶ αὐτὸν μετ' αὐτῆς ἀφίησι· τὸν δὲ ἀδελφὸν αὐτῶν Ἰωάννην πέμψας στερεῖ τῶν ὀμμάτων, δεκαετῆ ἤδη τυγχάνοντα. καὶ οὕτως ἀνύποπτον καὶ φόβου παντὸς ἐλευθέραν ἑαυτῷ κατεστήσατο τὴν ὅλην τῆς βασιλείας διαδοχήν. (Β.) Ὅ γε μὴν πατριάρχης Ἀρσένιος ἀκηκοὼς τὴν τοῦ Ἰωάννου τύφλωσιν ἐταράχθη καὶ ἀπεπήδησε καὶ ἄνω καὶ κάτω τοῦ οἴκου περιϊὼν ἐβόα θρηνῶν, ἔτυπτεν ἀπηνῶς χερσὶ μὲν τὰ στέρνα, λογισμοῖς δὲ ξιφηφόροις εἰπεῖν τὴν καρδίαν· γῇ καὶ ἡλίῳ τὴν ἀδικίαν προσήγγειλε· τὰ στοιχεῖα πρὸς ἐπικουρίαν ἐπεβοᾶτο τῆς ἀτοπίας· λύσιν τοῦ πάθους ὥρμα ζητεῖν· οὐκ ἔχων δὲ καπνοὺς στεναγμῶν ἐκ τοῦ στόματος σφοδροτάτους ἀνέπεμπεν, οὓς τὰ ξύλα τῆς λύπης ἐκ τῆς καρδίας ἀνέφλεγον. ἐπεὶ δ' ἄπορα καὶ ὅλως ἀπεγνωσμένα τὰ τῆς ἐκδικήσεως ἦν, ἄλλην ἐβάδισε· καὶ πέμψας ἀφορισμῷ μὲν τὸν βασιλέα καθυποβάλλει ἐκκλησιαστικῷ, τὴν δὲ τούτου μνήμην ἐν ταῖς ὑμνῳδίαις οὐκ ἐκώλυσεν ἀναφέρεσθαι, δείσας μή τι περὶ τὴν ἐκκλησίαν νεωτερίσῃ στρατηγούμενος τῷ θυμῷ, καὶ ὅ φησιν ἡ παροιμία καπνὸν φεύγειν ἐθέλων εἰς πῦρ ἐμπεσεῖν ὁ πατριάρχης ἀναγκασθῇ. ὁ δὲ μετρίως τὴν ἐπιτίμησιν ἐνεγκὼν ἐφ' ἱκαναῖς ταῖς ἡμέραις ὑποπεπτωκότι τε διέμεινε χρώμενος σχήματι καὶ λύσιν τῆς ἐπιτιμήσεως ἀναμένων. (Γ.) Ἐπεὶ δ' οὐ προὐχώρει τὰ τῆς 1.94 ἐλπίδος, εἰς ἄμυναν ἔβλεψεν, οὐχ οἵαν καθάπαξ ἡ χεὶρ ὑφηγεῖται τῆς ἐξουσίας· οὐ γὰρ ἀνακεκαλυμμένῃ χρῆται τῇ ἐξουσίᾳ· ἀλλ' ἐκκλησίαν ἀρχιερέων ἀθροίσας εἰς κανονικὴν ἐξέτασιν ἐνεγκεῖν κελεύει τὰ σποράδην παρά τινων ψιθυριζόμενα κατὰ τοῦ πατριάρχου ἐγκλήματα· οἳ τὸ κελευσθὲν ἡδέως, πῶς ἂν εἴποιμι; δεξάμενοι, οἱ τοῖς ἄλλοις φιλαδελφίας ὑπόδειγμα γίνεσθαι παρὰ κυρίου προτεταγμένοι, σύνοδόν τε κατὰ τοῦ πρώτου ἀδελφοῦ συνεκρότουν ἐν τῷ παλατίῳ καὶ εἰς μέσον παράγεσθαι τοὺς κατηγόρους ἐκήρυττον· οἱ δὲ εἰσεπήδων ἄλλος ἄλλον τῇ προθυμίᾳ φθάνοντες· καὶ ἦν ἡ λαληθεῖσα κατηγορία, ὅτι ὁ σουλτὰν Ἀζατίνης τῆς ἱερᾶς τελουμένης δοξολογίας πολλάκις συμπαρῆν καὶ ὡμίλει τῷ πατριάρχῃ ἔνδον τοῦ ναοῦ. καί τοι τῷ τε βασιλεῖ καὶ τοῖς ἀρχιερεῦσιν ἐγνωσμένον ἦν, ὅτι Χριστιανῶν τε ὑπῆρχε γονέων υἱὸς καὶ τῷ θείῳ καὶ αὐτὸς τετελεσμένος βαπτίσματι ἦν· τύχης δὲ φορᾷ χρησάμενος καὶ αὐτὸς, οἷα πολλὰ παρ' ἐλπίδα συμβαίνει, σουλτὰν καὶ ἀρχηγὸς ἐγεγόνει τῶν Τούρκων, τότε μὲν ἐν κρυπτῷ διατηρῶν τὰ τῆς εὐσεβείας καιριώτερα, νῦν δ' ἐν Κωνσταντινουπόλει καὶ τὰς θείας ἀσπαζόμενος εἰκόνας καὶ πάντα ἐς προὖπτον τὰ Χριστιανῶν ἐργαζόμενος ἔθιμα. ἀλλὰ ταῦτα καθάπερ ὅπλα τῷ πατριάρχῃ τυγχάνοντα ὀχυρὰ κατέλυον οἱ μαχόμενοι, πολέμια τυγχάνοντα τῷ σκοπῷ τῆς καθαιρέσεως, καὶ ἀπῆγον ἔς τε τὸ ἀμφίβολον καὶ τὸ ἀφανὲς, κἀκεῖθεν ἐξεκύλιον εἰς τὸ μὴ ὄν. (Δ.) Εἰσκαλεῖται τοίνυν ὁ πατριάρχης ἀπολογησόμενος· οὐκ 1.95 ἀπαντᾷ δὲ, ἀλλὰ παραγράφεται τὴν σύνοδον κελεύσει βασιλικῇ γινομένην καὶ τοῦ ἀντιδίκου προκαθημένου κριτοῦ. ὅθεν ὡς φυγοδικοῦντος αὐτοῦ καθαίρεσιν καταψηφισάμενοι πέμπουσι πρὸς αὐτὸν καὶ ἀποχωρεῖν τοῦ θρόνου κελεύουσι· καὶ ἅμα παρῆσαν οἱ πρὸς ἐξορίαν ἀπάξοντες. ὁ δὲ καὶ τὴν ἡσυχίαν ποθῶν ἐκ πολλοῦ καὶ τοῖς ἐνεστῶσι



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

λίαν ἀχθόμενος πράγμασιν ἄσμενος τοῖς ἀπάγουσιν ἑαυτὸν ἐδεδώκει· καὶ δὴ τριταῖος ἀπήχθη ἐς τὴν Προικόνησον. καὶ ἀνάγεται λοιπὸν εἰς τὸν πατριαρχικὸν θρόνον ὁ Ἀδριανουπόλεως Γερμανὸς, φίλος ὢν ἐκ πολλοῦ τῷ βασιλεῖ· καὶ ταύτην δὴ τὴν τιμὴν ὥσπερ τι κεχρεωστημένον γέρας ἤδη ἀπολαμβάνων. φυγάδι γὰρ ἐν τοῖς ἔμπροσθεν χρόνοις αὐτῷ γενομένῳ πρὸς τὸν σουλτᾶν διὰ τὸν φόβον, ὡς εἴρηται, τοῦ βασιλέως Θεοδώρου τοῦ Λάσκαρι, ἐν τοῖς ἄκροις αὐτὸς ὁρίοις τῶν Ῥωμαίων τότε τὸν μοναδικὸν βίον ἀσκῶν, χαίρων ὑπήντησε καὶ μεγαλοπρεπέσιν ἐχρήσατο δεξιώσεσι πρὸς αὐτὸν καὶ φιλοτίμοις προὔπεμψε τοῖς ἐφοδίοις. ὕστερον δὲ τὴν βασίλειον ἐξουσίαν λαβόντι πρόσεισι καὶ μετὰ πολλὰς τὰς τιμὰς καὶ τὸν τῆς Ἀδριανουπόλεως λαμβάνει θρόνον. ἐκεῖθεν δ' ἀρτίως καὶ εἰς τὸν πατριαρχικὸν ἀναφέρεται. ε´. Κατὰ τοῦτον τὸν χρόνον ἀποστάς τις, Ἰκάριος ὄνομα, τοῦ τῆς Εὐβοίας κρατοῦντος, (ἔστι δ' αὕτη Βενετικῶν ἐπαρχία) ἀποστὰς τοίνυν οὗτος μετὰ τὴν τῆς Κωνσταντινουπόλεως ἅλωσιν καὶ προσεταιρισάμενος οὐκ ὀλίγους καὶ ἄλλους τῶν Εὐβοέων ἄκρας ἐκράτησεν ὀχυρᾶς· ἀφ' ἧς συχνὰ παρακατιὼν ἐληΐζετο τοὺς ὁμοροῦντας ἀγροὺς καὶ τὰς κώμας· ὡς ἐν βραχεῖ τοὺς 1.96 ἀγροίκους πάντας ἐς τοσοῦτον συνελαθῆναι δέους, ὡς μήτ' ἔξω τείχους οἰκεῖν, μήτ' ἄνευ ἡμεροσκόπων ταῖς κώμαις ἐνδιατρίβειν καὶ τοῖς ἀγροῖς. χρόνος οὐ μάλα συχνὸς παρεῤῥύη καὶ ὀχυροῦ τινος πολιχνίου γίνεται ἐγκρατὴς, ὡς ἐντεῦθεν καὶ πρὸς μάχας ἐμφανεῖς παρατάττεσθαι τοῦ τῆς Εὐβοίας κρατοῦντος. δείσας δ' ὅμως μὴ πολὺς ἐπελθὼν ἐκεῖνος χειρώσηται τοῦτον, διαπρεσβεύεται περὶ συμμαχίας πρὸς βασιλέα· καὶ λαβὼν τέως μὲν φρουρὰν τῷ πολιχνίῳ καθίστησιν ἱκανήν· αὐτὸς δ' αὐτόμολος ἥκει πρὸς βασιλέα, ἄλλα τε ὑπισχνούμενος καὶ ἣν στρατιὰν ἱκανὴν ἐκ Ῥωμαίων κομίσηται, μηδὲν εἶναι τὸ κωλύον ὑποχείριον τῷ βασιλεῖ καταστῆσαι τὴν ἅπασαν Εὔβοιαν. (Β.) Ἄπεισι τοίνυν σπουδῇ μετὰ συχνοῦ τοῦ Ῥωμαίων στρατοῦ, πρὶν αἰσθέσθαι τοὺς Εὐβοέας τὴν ἔφοδον. εἰδὼς δὲ τὴν Λατινικὴν ὀφρῦν καὶ ὡς οὐκ ἀνέξεται ὁ τῆς Εὐβοίας ἀρχηγὸς μὴ αἰφνιδίως προάλασθαι τῆς πόλεως στρατὸν ἐπιτρέχοντα βλέπων ἀλλότριον, προλοχίζει νυκτὸς περὶ τὴν πόλιν συχνοὺς ὁπλίτας. ἔπειτα ἐπιφαίνεται πρωΐας αὐτὸς κατατρέχων τὰ κύκλῳ, ὡς ἐν ὅπλοις εὐθὺς ἀναγκασθῆναι γενέσθαι τοὺς ἔνδον τειχῶν εὑρεθέντας Λατίνους ἅμα τῷ σφῶν ἀρχηγῷ, καὶ μάλα τοι λίαν ὀξέως ἀπαντᾷν ἐς τοὺς πολεμίους. ὅθεν αὐτοῖς ἐξαπίνης ὄπισθεν μὲν ἐπιπεσόντες καὶ κυκλώσαντες μετὰ τῶν λόχων οἱ λοχαγοὶ, ἔμπροσθεν δ' αὖ μεθ' ὧν ἐπεφέρετο στρατοπέδων ὁ Ἰκάριος, τὸν μὲν ἀρχηγὸν τῆς Εὐβοίας ζῶντα χειροῦνται καὶ πλείστους ἄλλους ἅμα αὐτῷ· ὅσοι δ' ἐπίλοιποι, τούτους δ' ἔργον ἀπέφηναν ξίφους. (Γ.) Ἄγεται μέντοι παρ' Ἰκαρίου πρὸς βασιλέα δέ 1.97 σμιος ὁ τῆς Εὐβοίας ἀρχηγὸς καὶ βραχύ τι ἐπιβιοὺς ἐτελεύτησεν. ἐτελεύτησε δὲ οὕτως. εἰσελθὼν ἐν τοῖς βασιλείοις καὶ στὰς πρὸ τῆς πύλης ὡς δεσμίῳ χρεὼν καὶ ἰδὼν αὐτὸν μὲν βασιλέα καθήμενον ἐπὶ τοῦ βασιλείου θρόνου, περὶ δ' αὐτὸν πᾶσαν τὴν σύγκλητον μετὰ λαμπροῦ καὶ κοσμίου τοῦ σχήματος ἱσταμένην, τὸν δ' Ἰκάριον, τὸν χθὲς καὶ πρότριτα δοῦλον, νῦν μετὰ λαμπρᾶς μὲν τῆς ἐσθῆτος, σοβαροῦ δὲ τοῦ ἤθους εἰσιόντα καὶ ἐξιόντα καὶ πρὸς οὖς τῷ βασιλεῖ κοινολογούμενον, ἀποῤῥήγνυσιν εὐθὺς τὴν ψυχὴν καὶ πίπτει πρηνὴς ἐπ' ἐδάφους ἐξαίφνης, μὴ δυνηθεὶς ἐνεγκεῖν τὸ τῆς βιαίας τύχης παράλογον. (Δ.) Μετὰ μέντοι τὸ ἐξωσθῆναι τῆς πόλεως τοὺς Λατίνους ἐναπελείφθη χειρωνακτικὸν καὶ ἀγοραῖς ἀσχολούμενον πλῆθος, σύμμικτον ἔκ τε Βενετικῶν καὶ Πισσαίων. ὅθεν οὐκ ἀσφαλὲς οὐδὲ πρὸς εἰρήνην βλέψειν ἐδόκει τὸ καὶ τοὺς ἐκ Γεννούας ἔνδον εἰσοικίζειν τῆς πόλεως. διὰ τοῦτο καί σφισιν ἀντιπέραν περὶ τὸν τοῦ Γαλάτου τόπον ἀπονέμει χωρίον εἰς οἴκησιν, χαρισάμενος αὐτοῖς καὶ τὴν τῆς ἐμπορίας ὑπεσχημένην ἀτέλειαν. πρὶν γὰρ ἁλῶναι τὴν βασιλεύουσαν συνεφώνησε τὴν τοιαύτην αὐτοῖς παρέχειν ἀτέλειαν ὁ βασιλεὺς, εἰ βοηθοῖεν αὐτῷ κατὰ τῶν κρατούντων τῆς πόλεως Λατίνων. ὃ δὴ καὶ πεπλήρωκε νῦν, καὶ ταῦτα



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

δίχα τῆς σφῶν βοηθείας γενόμενος αὐτῆς ἐγκρατής. οἵ γε μὴν κατὰ χρόνους τακτοὺς ἄρχειν ἀποστελλόμενοι τούτων ὁ μὲν ἐκ Βενετίας καλεῖται μπαΐουλος, ὁ δ' ἐκ Πίσσης κούνσουλος, ὁ δ' ἐκ Γεννούας ποτεστάτος· ἅπερ εἰς τὴν Ἑλλάδα φωνὴν μεταγόμενα τὸ μὲν τῶν ὀνομάτων καλεῖται ἐπίτροπος, τὸ δὲ ἔφορος, τὸ δὲ 1.98 ἐξουσιαστής. (Ε.) Ὁ δὲ Βαλδουῖνος διαδρὰς τὸν τῆς Κωνσταντινουπόλεως κίνδυνον καὶ ἀποπλεύσας εἰς Ἰταλίαν ἐκήδευσε τῷ ῥηγὶ τῆς Ἰταλίας Καρούλῳ, νύμφην ἀγόμενος τῷ υἱῷ τὴν θυγατέρα ἐκείνου· ἐλπίζων ἐκείνῳ συμμάχῳ χρησάμενος τὴν Κωνσταντινούπολιν ἀναλήψεσθαι, μάταιος τῆς τε ἐφέσεως καὶ τῶν ἐλπίδων. ὁ γὰρ βασιλεὺς πλεῖστον ἐξήρτυσε ναυτικὸν, ἐμπλήσας τριήρεις ὑπὲρ τὰς ἑξήκοντα ἔκ τε ἄλλων καὶ γένους τοῦ Γασμουλικοῦ. ἦσαν δὲ οὗτοι συντεθραμμένοι τοῖς τε Ῥωμαϊκοῖς καὶ Λατινικοῖς ἔθεσιν, ὡς ἔχειν ἐκ μὲν Ῥωμαίων τὸ ἐσκεμμένως ἐς τὰς μάχας ἰέναι, ἐκ δὲ Λατίνων τὸ εὔτολμον. συνῆν δὲ τούτοις καὶ στρατὸς ἐν τοῖς ὅπλοις θαλάττιος, Λάκωνες ἄρτι προσελθόντες ἐκ Πελοποννήσου τῷ βασιλεῖ, οὓς ἡ κοινὴ παραφθείρασα γλῶσσα Τζάκωνας μετωνόμασεν. ὁ γοῦν βασιλικὸς στόλος οὕτω λαμπρῶς συγκεκροτημένος ἔπλει κελεύσει τοῦ βασιλέως καὶ πλεῖστον ἐνεποίει φόβον καὶ θόρυβον τοῖς Λατίνοις. προσειλήφει δὲ καὶ τὰς ἐν Αἰγαίῳ νήσους μικροῦ πάσας, Λῆμνον καὶ Χίον καὶ Ῥόδον καὶ ὅσαι Λατίνοις ἐδούλευον. ( ́.) Τούτων οὕτως ἀσχολουμένων περὶ τὴν θάλασσαν, ἤρξατο πάλιν παρασπονδεῖν καὶ τὴν ὅμορον χώραν Ῥωμαίων· δῃοῦν ὁ Αἰτωλὸς Μιχαήλ· ὅπερ ἀκουσθὲν εἰς λύπην καὶ ὀργὴν τὸν βασιλέα κεκίνηκεν· ὥστε καὶ τὴν ταχίστην αὐτὸν ἀπελθεῖν ἐκεῖσε δι' ἑαυτοῦ καταστήσοντα τὰ τῶν ἐκεῖσε πραγμάτων νοσήματα. οὗ γενομένου καὶ τοῦ βασιλέως ἐν Θετταλίᾳ τὰς διατριβὰς ποιουμένου ἐφάνη σημεῖον ἐξ οὐρανοῦ, μάντις κακῶν καὶ προάγγελος· τὸ δὲ ἦν κομήτης περιφανὴς περὶ τὸ τοῦ ταύρου δωδεκατημόριον, περὶ 1.99 τὰ ἑωθινά τε καὶ ὄρθρια τῆς νυκτὸς φαινόμενος μικρὸν ὑπὲρ τὸν ὁρίζοντα· καὶ ὅσον ὁ ἥλιος παρήλαυνεν εἰς τὰ ἑπόμενα, τοσοῦτον καθημέραν καὶ αὐτὸς ἐς πλέον ἠρέμα διΐστατο τοῦ ὁρίζοντος, ἕως καὶ αὐτὸ δὴ τὸ μεσουράνημα ἤδη παρήλλαξεν. ὁπότε γὰρ ὁ κομήτης τὰ πρῶτα φαίνεσθαι ἤρξατο, τὴν θερινὴν ὁ ἥλιος ὥραν ἐποίει διϊὼν τὸν καρκίνον. ὁπότε δ' αὐτὸς ἐμαράνθη καὶ ἀφανὴς ἦν, τὰς φθινοπωρινὰς ὁ ἥλιος ἐποίει τροπάς· ὡς γίνεσθαι τὸ ἀπὸ θερινῆς τροπῆς μέχρι τῆς φθινοπωρινῆς τριῶν δωδεκατημορίων διάστημα, ὅπερ ὁ ἥλιος ἤλασε, τοῦ κομήτου περὶ τὸν ταῦρον ἑδραζομένου καὶ ἠρέμα ἑαυτὸν ἀναλίσκοντος. τοῦτο μάντις κακῶν καὶ προάγγελος ἔδοξεν εἶναι τῷ βασιλεῖ· καὶ αὐτίκα χαίρειν εἰπὼν τὰ Θετταλικὰ ὅλῳ ῥυτῆρι τὴν ἐς Βυζάντιον ἤλαυνεν. ἐτάραττε γὰρ αὐτὸν οὐ μετρίως καὶ φήμη τις Σκυθική, μελλόντων αὐτῶν ὅσον οὐδέπω ἐς τὴν Ῥωμαίων ἐσβαλεῖν γῆν. ἀλλὰ πρὶν εἰς Βυζάντιον ἰέναι τὸν βασιλέα, φθάνουσιν ἐς πᾶσαν μικροῦ περιχυθέντες τὴν Θρᾴκην οἱ παρὰ τὸν Ἴστρον οἰκοῦντες Σκύθαι, καθάπερ θάλασσα πλημμυρήσασα καὶ λίαν ἐπὶ πολὺ τοὺς ὅρους ὑπερπηδήσασα. ταχύδρομον γὰρ τὸ τῶν Σκυθῶν ἔθνος καὶ μιᾶς ὁδὸν ἡμέρας πολλάκις ποιεῖται τὴν τῶν τριῶν. ἡ δ' αἰτία τῆς αὐτῶν ἐξελεύσεως τοιάδε τις ἦν. ́. Κωνσταντίνῳ τῷ τῶν Βουλγάρων ἄρχοντι συνοικεῖν ἔφημεν τὴν θυγατέρα Λάσκαρι τοῦ βασιλέως. αὕτη τὴν τοῦ ἀδελφοῦ Ἰωάννου ἀκούσασα τύφλωσιν οὐκ ἠρέμησεν ἐνοχλοῦσα τὸν ἄνδρα καὶ παρωθοῦσα πρὸς τὴν τοῦ πεπραγμένου ἐκδίκησιν· ὅθεν ἐκεῖνος ἐζήτει καιρὸν ἐς τὴν τοῦ ἀδικήματος ἄμυναν. μετεώρου 1.100 τοίνυν τοῦ σκέμματος ὄντος, ὕλην δίδωσι τῇ φλογὶ τῆς ὁρμῆς καὶ ὁ σουλτὰν Ἀζατίνης. τοῦ γὰρ βασιλέως ἀποδημοῦντος, τὴν δίαιταν κατὰ τὸ τῆς Αἴνου παράλιον ποιεῖσθαι πολίχνιον αὐτὸς ἐκελεύσθη, ὡς ἂν καὶ φρουρά τις ἅμα αὐτῷ εἴη λαθραίως, κωλύουσα τὴν ὕποπτον τούτου ἀπόδρασιν. ὃ δὴ τούτῳ δεινὸν ἀφόρητον ὂν διαμηνύσασθαι Κωνσταντίνῳ καὶ αὐτὸν ἀναγκάζει, ἐπιδόξῳ κατὰ Ῥωμαίων ἄρτι ἐξιέναι τυγχάνοντι, καὶ τῆς ἐλευθερίας ἀντιμετρήσειν αὐτῷ ὑπισχνεῖται χρήματα οὐκ ὀλίγα. (Β.) Ταύτας τὰς ἀφορμὰς ἐνέχυρον οὐ μικρὸν ὁ Κωνσταντῖνος λαβών,



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἤδη δὲ καὶ τὸν βασιλέα πρὸς Βυζάντιον ἐκ Θετταλίας ἐπανιόντα μαθὼν, πλείους ἢ δισμυρίους τῶν Παριστρίων Σκυθῶν μεταπέμπεται· μεθ' ὧν τὴν ταχίστην ἐς τὴν Ῥωμαίων εἰσβάλλει γῆν ἐλπίζων βεβαίως καὶ αὐτὸν βασιλέα χειρώσεσθαι ἐντυχὼν ἐπανιόντι. οἱ μὲν οὖν Σκύθαι καθάπερ σαγήνην καθ' ὅλης τῆς Θρᾴκης ἁπλώσαντες ἑαυτοὺς ἤλασαν ἄχρι τῶν παραλίων ψάμμων, ἵνα μήτε κτηνῶν οὐδὲν μήτ' ἀνθρώπων οὐδεὶς μήτε βασιλεὺς αὐτοὺς διαδράσῃ. τἄλλα μὲν οὖν κατὰ γνώμην αὐτοῖς ἀπηντήκει πάντα· βασιλεὺς δὲ μόνος ἀνάλωτος διαμείνας ἔψευσε τῶν ἐλπίδων αὐτούς. τὴν γὰρ αὐτῶν φθάσας ἔφοδον ἔλαθε διὰ τῶν περὶ τὸ Γάνος ὀρῶν ἐς θάλασσαν κατιών· ἔνθα συμβὰν οὑτωσὶ θειοτέρᾳ προνοίᾳ τριήρεσιν ἐνέτυχε δύο Λατινικαῖς ἐς Βυζάντιον μὲν ἀνιούσαις, κατὰ δὲ χρείαν ὕδατος ἐκεῖ που παραπλεούσαις· αἷς ἐμβαλὼν ἑαυτὸν δευτεραῖος ἐς τὴν βασιλεύουσαν ἔρχε 1.101 ται. (Γ.) Τοῖς δὲ Σκύθαις, τοῦ βασιλέως σφαλεῖσι, τοῦ γε σουλτὰν Ἀζατίνη μὴ σφαλῆναι ὑπόλοιπον ἔργον ἦν. ὅθεν σφίσι δρόμος ἀκλινὴς ἐγένετο καὶ πόνος ἅπας ἐς τὸ τῆς Αἴνου πολίχνιον ἐλθόντας αὐτὸν ἀφελέσθαι, ἢ παρ' ἑκόντων τῶν πολιτῶν μόνον αὐτὸν, ἢ μὴ βουλομένων αὐτῶν, αὐτῇ πόλει καὶ αὐτοῖς αὐτόχθοσιν. ἀλλ' αὐτὸν οἱ κατέχοντες δέει τοῦ μὴ πανωλεθρίᾳ φθαρῆναι ἔκδοτον ποιησάμενοι καθ' ἡσυχίαν ἀπαλλάξαι τοὺς πολεμίους ἐπεπράχεσαν. ἦν οὖν ἰδεῖν αὐτοὺς ἐν τῇ ἐπανόδῳ τῶν ὅσοι τὴν Θρᾴκην ᾤκουν πλῆθος μικροῦ πάντα νικῶν ἀριθμὸν συνελαύνοντας δίκην θρεμμάτων· ὡς μόγις που διὰ χρόνου σποράδας ὁρᾶσθαι βοῦς καὶ ἀροτῆρας περὶ Θρᾴκην· οὕτως αὐτὴν ἐς βάθος τῶν οἰκητόρων ἐψίλωσαν ἅμα τοῖς κτήνεσιν. ἀλλ' ὁ μὲν περὶ τοῦ σουλτὰν λόγος ὑπερτιθέσθω τὰ νῦν. εἰρήσεται γὰρ ἡμῖν τὰ ἐκείνου πλατύτερον ἐν τοῖς ἔμπροσθεν. ἡ μέντοι ἐκείνου γυνὴ σὺν τοῖς τέκνοις ἐν φρουραῖς εὐθὺς ἦν· τὰ δ' ἐκείνου χρήματα ἐς τὸ βασιλικὸν ἐκομίζοντο πρυτανεῖον. ὁ δὲ περὶ ἐκεῖνον ὄχλος, ἄνδρες δ' οὗτοι μάλα τοι πλεῖστοι καὶ κράτιστοι τὰ πολέμια, τῷ Χριστιανῶν ἀναγεννηθέντες βαπτίσματι, τῇ Ῥωμαίων συγκατελέγοντο στρατιᾷ. ζʹ. Ἐν τούτοις τοῖς χρόνοις διαπρεσβεύεται πρὸς τὸν βασιλέα ὁ τῆς Αἰγύπτου καὶ Ἀραβίας σουλτὰν φίλος εἶναι Ῥωμαίοις ἐθέλων καὶ ἄδειαν ἔχειν τὸν ἡμέτερον πορθμὸν διαπλεῖν ἐσάπαξ ἀνὰ πᾶν ἔτος τῶν ἐκεῖθεν Αἰγυπτίων οὓς ἂν αὐτῷ γε εἴη βουλομένῳ, κατ' ἐμπορίας τρόπον. τοῦτο λόγου μικροῦ τινος ἄξιον 1.102 δόξαν ἐν ταῖς ἀρχαῖς ἀνεῖται ῥᾳδίως. τοῦ δὲ χρόνου προϊόντος, ὅσον καὶ οἷόν ἐστιν ἀνακαλυφθὲν, κωλυθῆναι οὐκ εἶχε πῆξιν ἤδη συνηθείας καὶ κράτος δυσανταγώνιστον εἰληφός. ἀνάγοντες μὲν γὰρ διὰ μιᾶς τινος ἢ καὶ δευτέρας ἔσθ' ὅτε ὁλκάδος κατ' ἐνιαυτὸν ἐς τοὺς περὶ Μαιῶτιν καὶ Τάναϊν Εὐρωπαίους Σκύθας καὶ λαμβάνοντες ἐξ αὐτῶν τοὺς μὲν αὐτομόλους, τοὺς δὲ πιπρασκόντων τῶν δεσποτῶν ἢ τῶν γονέων ἐξωνούμενοι εἰς τὴν κατ' Αἴγυπτον Βαβυλῶνα καὶ Ἀλεξάνδρειαν ἐπανέρχονται, στρατὸν Σκυθικὸν οὑτωσὶ χαριζόμενοι τῇ Αἰγύπτῳ. μηδὲ γὰρ εἶναι τοὺς Αἰγυπτίους ἀγαθοὺς τὰ πολέμια, ὅτι μὴ δειλοὺς ὡς τὰ πολλὰ καὶ ἀνάνδρους· κἀντεῦθεν στρατολογεῖν ἐξ ἀλλοδαπῆς ἀναγκάζεσθαι καὶ κυρίους ὡς εἰπεῖν ἑαυτῶν τοὺς ἀργυρωνήτους ποιεῖσθαι, πάσης ἀπηλλαγμένους φροντίδος, ὧν ἐν χρείᾳ καθίστανται ἄνθρωποι. χρόνου τοίνυν ἐκεῖθεν οὐ πάνυ συχνοῦ, τηλικοῦτον ἐκ τῆς προφάσεως στρατὸν συνεστήσαντο οἱ κατ' Αἴγυπτον Ἄραβες, ὡς μὴ μόνον τοῖς ἑσπερίοις, ἀλλὰ καὶ τοῖς ἀνατολικωτέροις ἔθνεσι λίαν καθίστασθαι φοβεροί. ἐδουλώσαντο μὲν γὰρ Ἀφρικὴν καὶ Λιβύην ἅπασαν ἄχρι Γαδείρων· ἔπειτα Φοινίκην καὶ Συρίαν καὶ τὴν ἄχρι Κιλικίας παράλιον πᾶσαν, στόματι μαχαίρας τοὺς κατέχοντας παραδόντες, τούς τε ἄλλους καὶ μάλιστα Γαλάτας καὶ Κελτοὺς τοὺς πάλαι πολὺν ἤδη χρόνον κατέχοντας τῶν ἐκεῖσε χωρῶν καὶ πόλεων τὰς βελτίους, οἳ ἐξ ἑσπέρας ἐκεῖσε διέβησαν οὑτωσί πως. (Β.) Ἔστι παρὰ τὴν Εὐρώπην ὄρη πρὸς ὕψος κορυφούμενα μέγιστον, Ἄλπεις καλούμενα, ἐξ ὧν ποταμὸς καταῤῥεῖ 1.103 μέγιστος ἐς Ὠκεανὸν τὸν Βρεττανικὸν, Ῥῆνος καλούμενος. οὗτος μεσημβρινωτέρας ποιεῖ τὰς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἄμφω Γαλλίας καὶ τοὺς ἐν ταύταις οἰκοῦντας ἀνδρικωτάτους Γαλάτας καὶ Κελτούς. τούτοις διάπυρόν τινα ζῆλον ἐν καρδίᾳ βαστάσασιν ὑπὲρ τοῦ σωτηρίου τάφου ἔδοξεν ἀξιόλογον στρατὸν συναθροίσαντες ἀπελθεῖν εἰς τὴν ἐκείνου προσκύνησιν καὶ ἅμα ἐκδίκησιν κἀκεῖθεν ἐξέλασιν, εἰ δυνατὸν, τῶν ἐκεῖ τυραννούντων Ἀράβων. καὶ δὴ κατὰ πλῆθος μυριάριθμον ἀθροισθέντες αὐτοῖς ἵπποις καὶ αὐτοῖς ὅπλοις τὴν καλὴν ἐκείνην ἐξῄεσαν ἔξοδον. καὶ διαβάντες τὸν Ῥῆνον Ἴστρῳ κατ' ἴχνος εἵποντο ποταμῷ τῷ μεγίστῳ· ὃς καὶ αὐτὸς ἐκ τῶν Ἄλπεων ῥηγνύμενος πέντε στόμασιν ἐς τὸν Εὔξεινον ἐκδίδοται πόντον. τούτου τὰς βορείας ἀεὶ παραλλάττοντες ὄχθας προΐασιν ἄχρι καὶ αὐτῶν μικροῦ τῶν παρὰ τὸν Εὔξεινον ἐκβολῶν αὐτοῦ, φοβερὸν μὲν τοῖς μεταξὺ κειμένοις ἔθνεσι καθιστάμενοι θέαμα, καθάπερ τι σιδηροῦν τεῖχος κινούμενον· λυμαινόμενοι δὲ τὸ παράπαν οὐδέσιν αὐτῶν διὰ τρόπων χρηστότητα. οὕτω τοίνυν καὶ τὸν Ἴστρον ἐνταῦθα διαπεραιωθέντες καὶ προελθόντες παρὰ τὴν Θρᾴκην στρατοπεδεύονται. (Γ.) Ἐβασίλευε δὲ τηνικαῦτα Ῥωμαίων ὁ Κομνηνὸς Ἀλέξιος, πρὸς ὃν διαπρεσβεύονται ἀγοράν τε ζητοῦντες εἰς τὴν τῶν ἀναγκαίων ἐξώνησιν καὶ ἅμα τοὺς διαπεραιώσοντας πρὸς ἕω δι' Ἑλλησπόντου. τοῦτο κράτιστον ἕρμαιον ἔδοξε βασιλεῖ, καὶ ἀπρὶξ ἔχεται μάλα κατὰ σκοπὸν ἐκφανέντος. νεωστὶ γὰρ αὐτὸς τὰ σκῆπτρα τῆς βασιλείας λαβὼν καὶ ἰδὼν πολλαχόθεν πολεμούμενα καὶ ἀπηνῶς τὰ Ῥωμαίων διακοπτόμενα 1.104 πράγματα πλημμελείαις μεγάλαις τῶν προβεβασιλευκότων· (πάντα τε γὰρ τὰ πρὸς ἕω κατεῖχον οἱ Τοῦρκοι χρόνοις συχνοῖς τά τε ἄλλα καὶ Νίκαιαν αὐτὴν τὸ περιβόητον ἄστυ, ἥ τε βαθεῖα τῶν χρημάτων σπάνις ἀκοσμίαν ἔπραττε τοῖς βασιλείοις μακράν· ἐλπὶς δὲ πᾶσα τῶν ἁρμοζουσῶν προσόδων ἀπεκέκλειστο· καὶ τὸ προσδοκώμενον ἦν ἀπωλείας ἄβυσσοι καὶ ᾅδου κίνδυνοι) ἰδὼν οὖν οὕτως ἔχοντα τὰ πράγματα καὶ διαπορούμενος ἕρμαιον κράτιστον καὶ μάλα τοι καίριον ἡγεῖται τὴν τοῦ Κελτικοῦ τοῦδε στρατοῦ παρουσίαν. μεθ' ὧν κοινολογησάμενος ποιεῖται συνθήκας, εἰ οὕτω συμμαχήσαντες ἐξελάσωσι τῶν Ῥωμαϊκῶν χωρῶν καὶ πόλεων τοὺς κατέχοντας Τούρκους, σφίσι μὲν ἐξεῖναι τὰ ἐκείνων λαμβάνειν πράγματα, τούτῳ δὲ τὰς πόλεις χρημάτων κενάς. ἃς δὴ συνθήκας ἄσμενοι λίαν ἐκεῖνοι δεξάμενοι διαπεραιοῦνται ξύν γε αὐτῷ βασιλεῖ τὸν Ἑλλησποντίαν πορθμόν. (Δ.) Ὥσπερ γε μὴν ὕλῃ βαθείᾳ πλεῖστον ἐνσκῆψαν πῦρ τὰ μὲν ὡς καλάμην ἐπινέμεται ῥᾷστα, τὰ δὲ διὰ χλωρότητα βραδέως μὲν, ἐπινέμεται δ' οὖν· οὕτω καὶ ὁ διπλοῦς οὗτος στρατὸς ἔκ τε Κελτῶν καὶ Ῥωμαίων συγκροτηθεὶς φοβερὸς τοῖς πολεμίοις καὶ δυσκαρτέρητος ἔδοξε διὰ βάρος ὁπλίσεως καὶ σώματος ῥώμην καὶ ψυχῆς εὐτονίαν ἀπρόσμαχον. καὶ οἱ μὲν τῶν πολεμίων, ὡς ἂν εἴποι τις, κατεπατοῦντο καθάπερ χόρτος καὶ πηλός· οἱ δὲ ἀπεμάχοντο βοηθούμενοι ποτὲ μὲν ταῖς δυσχωρίαις τῶν τόπων, ποτὲ δὲ τοῖς τῶν Ῥωμαίων τείχεσιν. ἀλλ' οὐκ ἦν ἐς τέλος οὐδ' αὐτοῖς τὰ τῆς τύχης ἀήττητα· ἀλλ' οἱ μὲν ἑκόντες ὑπέκυπτον, οἱ δὲ 1.105 βίᾳ ἡλίσκοντο, οἱ δὲ φυγάδες καὶ δραπέται ἐγίνοντο. καὶ τούτῳ τῷ τρόπῳ πᾶσαν τήν τε ἐντὸς Ἅλυος ἐξεκάθηραν Ἀσίαν καὶ ὅση Μαιάνδρῳ καὶ Παμφυλίᾳ ὁρίζεται· καὶ ἐπὶ τούτοις τὰ συμπεφωνημένα τῶν ἐλευθερωθεισῶν πόλεων εἰληφότες χρήματα τὴν αὐτοῖς προκειμένην ὥδευον αὖθις ὁδόν· καὶ ἦν ἤδη σφίσι φροντὶς οὐ μικροῦ τινος ἀγῶνος μεστὴ διαβᾶσι τὰ μεταξὺ Παμφυλίας καὶ Κιλικίας ὄρη πρὸς Κίλικάς τε καὶ Σύρους καὶ Φοίνικας, εἰ μὴ συγχωροῖεν τὴν πάροδον, αἵρεσθαι πόλεμον. ἀλλὰ πρῶτοι μὲν Κίλικες αὐτίκα τὴν πρώτην ὀῤῥωδήσαντες ὄψιν τὰ βέλτιστα περὶ σφῶν αὐτῶν ἐβουλεύσαντο καὶ ὡς διὰ φιλίας τῆς ἑαυτῶν ἔδοσαν διαβαίνειν ἀγοράν τε παρεῖχον καὶ τοὺς προπέμψοντας ὁδηγοὺς καὶ πᾶν ὅ, τι φίλον ἐχρῆν ἐς τὴν αὐτῶν ἐχρήσαντο ξενίαν. Κίλικες μὲν οὖν οὕτω ῥᾳδίως ἐς ξυμβάσεις ξυνῄεσαν τοῖς ἑσπερίοις τούτοις Γαλάταις καὶ Κελτοῖς, οὐ μόνον τὸ πλῆθος αὐτῶν καὶ τὴν ῥώμην δείσαντες, ἀλλὰ καὶ τὸ τοῦ σεβάσματος ἔγγιστα ταὐτὸν καὶ οὐ πάνυ τοι ἠλλοτριωμένον αἰδεσθέντες. (Ε.) Ἐπεὶ δὲ καὶ ἐς Συρίαν καὶ Φοινίκην εἰσβάλλειν ἤδη


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

καιρὸς ἦν αὐτοῖς, οὐχ ὅμοια τὰ ἐκεῖ τοῖς ὄπισθεν ἀπηντήκει. Ἄραβες γὰρ ὄντες οἱ ταύτην κατέχοντες, γένος ἀλλόφυλον καὶ ὑπερηφανίας μεστὸν, πράγματα παρέσχον αὐτοῖς· μᾶλλον δὲ οὐκ αὐτοῖς, ἀλλ' ἑαυτοῖς. ὅπλα γὰρ ἀράμενοι τὴν πάροδον διεκώλυον ὕφεσιν τῆς σφῶν αὐτῶν ἀξίας λογισάμενοι, εἰ τὴν αὐτῶν αἵματος καὶ νεκρῶν χωρὶς διέλθοι γένος ἔκφυλον καὶ πάνυ τοι ὑπερόριον τῆς αὐτῶν γῆς. ὅθεν 1.106 σιτίων οἱ Κελτοὶ ἀποκεκλεισμένοι καὶ σπάνει πιεζόμενοι τῶν ἄλλων ὅσα ἐς ἀπαραίτητον χρῆσιν ἐτύγχανον τοῖς τε ὑποζυγίοις καὶ αὐτοῖς, ὅπλοις καὶ διαμάχαις ἔδοξε τὴν τῶν ὅλων ἐπιτρέψειν κρίσιν. ἐντεῦθεν πόλεμοι συνεχεῖς ἀνεῤῥήγνυντο καὶ χύσεις αἱμάτων Ἀραβικῶν κατὰ τῆς θρεψαμένης ἔῤῥεον νύκτωρ καὶ μεθ' ἡμέραν καὶ πόλεων ἐγίνοντο ἀνδραποδισμοὶ, ἐπικρατεστέρας ὁσημέραι τῆς τῶν Κελτῶν γινομένης ἰσχύος. καὶ ἵνα τἀν μέσῳ συντέμω, πᾶν ὅ, τι κράτιστον ἦν τοῦ τῶν Ἀράβων ὁπλιτικοῦ, τὸ μὲν αἵματι καὶ κόνει δόντες, τὸ δ' ὡς πορῤωτάτω διώξαντες, δούλοις ἀόπλοις ἅπασιν ἐχρήσαντο, τοῦ λοιποῦ τὴν οἴκησιν αὐτόθι πεποιηκότες. τοὺς γὰρ ἄνδρας νενικηκότες ἔρωτι τῶν τοῦ τόπου χαρίτων ἡττήθησαν· κἀκεῖ τὸν ἑξῆς αἰῶνα διαμένειν ἐγνώκεσαν, ἔλεγχος πάσης κατηγορίας αὐτοὶ ἑαυτοῖς καταστάντες. ἔργον γὰρ αὐτοῖς καὶ σκοπὸς τῆς οἴκοθεν ἐκδημίας ὑπῆρχεν, ἐς Παλαιστίνην εἰ δυνηθεῖεν ἐλθεῖν καὶ τοὺς τὸν σωτήριον κατέχοντας τάφον ἀσεβεῖς ἢ τελέως ἐκεῖθεν ἐξελάσαι, ἢ τὸ ἑαυτῶν ἐκεῖσε κενώσαντας αἷμα σωτηρίαν ψυχῆς ἀνταλλάξασθαι. καὶ τοιοῦτος ἦν ὁ τῆς πατρίδος ὑπερορίους αὐτοὺς ποιησάμενος ἔρως, θεῖος ὡς ἀληθῶς καὶ ὑμνούμενος τοῖς ἀκούουσιν· ἀλλ' ὁ τῆς Φοινίκης καὶ Συρίας ἔρως τὸν θεῖον ἐκεῖνον ἀκλεῶς ἐξέκρουσεν ἔρωτα ὑπὸ πλούτου βαρυνθεῖσι καὶ οἷον εἰπεῖν μεθυσθεῖσι κριταῖς ἐντυχὼν παρ' ἐλπίδα. ( ́.) Ἀλλ' ἐπανιτέον ὅθεν εἰς τὸν περὶ Κελτογαλατῶν τουτωνὶ παρετράπημεν λόγον. οἱ γὰρ κατ' Αἴγυπτον Ἄραβες πλείστην προσειληφότες δύναμιν διὰ τοῦ Σκυθικοῦ στρατεύμα 1.107 τος ἐκείνου, καθάπερ ἔφθημεν εἰρηκότες, πλεῖστον ὅσον μάλα ἐξῆν τοὺς οἰκείους παρέδραμον ὅρους· πρὸς μὲν ἑσπέραν Λιβύας καὶ ὅσα Μαυρουσίων ἔθνη δουλωσάμενοι· πρὸς δ' ἀνατέλλοντα ἥλιον ἔνθεν μὲν Ἀραβίαν εὐδαίμονα πᾶσαν ὅσην τά τε ἄκρα τῶν Ἰνδικῶν ὁρίζει θαλασσῶν καὶ ἑκατέρωθεν ὅ, τε Περσικὸς καὶ ὁ Ἀραβικὸς τειχίζουσι κόλποι· ἔνθεν δὲ τήν τε Κοίλην Συρίαν καὶ τὴν Φοινίκην πᾶσαν, ὅσην ὁ ποταμὸς Ὀρόντης ἔνδον ποιεῖται, τοὺς τῶν Κελτογαλατῶν ἐκείνων ἐκγόνους τοὺς μὲν ἐκεῖθεν ἀποβήσαντες, τοὺς δ' ἐς ὄλεθρον, οἷον πολέμιος ὑποτίθεται νόμος, ὀλίγου παραπέμψαντες χρόνου. η ́. Εἶεν. ὁ μέντοι Κωνσταντινουπόλεως πατριάρχης Γερμανὸς ἀκούων ἑαυτὸν ὑπὸ τοῦ πλήθους ὑβριζόμενον σὺν πλείστῃ τῇ ἀκοσμίᾳ, ἅτε Ἀρσενίου ζῶντος ἔτι τοῦ γνησίου πατριάρχου αὐτὸς τὸν ἐκείνου κατέχων θρόνον, παραχωρεῖ τοῖς βουλομένοις αὐτόν· αὐτὸς δ' ἡσυχάσων ἀπῄει. καὶ μετὰ τοῦτον Ἰωσὴφ τὸν πατριαρχικὸν διαδέχεται θρόνον, πολιὸς μὲν ἀνὴρ καὶ ἀσκήσει μακρᾷ καὶ ἀπράγμονι βίῳ κατὰ τὸ Γαλλήσιον ὄρος συνεζηκώς· σοφίας δ' Ἑλληνικῆς παντάπασιν ἀμέτοχος ὢν καὶ λίαν τὸν τρόπον ἁπλοῦς. τοιαῦτα γὰρ τὰ τῶν πολιτικῶν πραγμάτων καὶ ἐμπειριῶν ἄμικτα ἤθη. τούτῳ πνευματικῶς ὡμίλει καὶ τοὺς λογισμοὺς ἐξηγόρευεν ὁ βασιλεὺς Μιχαήλ. διὸ καὶ πρώτως τὴν ἱερὰν ἐκτετελεκότι μυσταγωγίαν ξύν γε τοῖς ἄλλοις ἀρχιερεῦσι προσελθὼν πίπτει πρηνὴς ἐπὶ τῶν προθύρων τοῦ ἱεροῦ βήματος, διαῤῥήδην ἐπὶ δυσὶν ἁμαρτήμασιν ἐγκαλῶν ἑαυτῷ, τῷ τε τῆς ἐπιορ 1.108 κίας φημὶ καὶ τῷ τῆς τοῦ υἱοῦ τοῦ βασιλέως τυφλώσεως. καὶ ἐπὶ τούτοις αἰτεῖται συγχώρησιν. πρῶτος μὲν οὖν ὁ πατριάρχης ἐπιστὰς αὐτῷ κειμένῳ συγχωρήσεως ἔγγραφόν τινα διεξῄει λόγον· καὶ μετ' αὐτὸν ἕκαστος τῶν ἀρχιερέων κατὰ τὴν ἑκάστῳ προσήκουσαν τάξιν διαδεχόμενος ἀνέγνωσαν ἅπαντες ἐφεξῆς ἐπ' αὐτοῦ τὸν εἰρημένον τῆς συγχωρήσεως λόγον. καὶ οὕτως ἀπῄει χαίρων ὁ βασιλεὺς ὁμοῦ τῇ τοιαύτῃ συγχωρήσει καὶ θεὸν αὐτὸν εὐμενῆ καὶ ἵλεων αὐτῷ καταστῆναι οἰόμενος. (Β.) Κατὰ τοῦτον τὸν χρόνον ἐπεσκότησεν ἡ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

σελήνη. τὸν ἥλιον, ἄρτι τὴν τῶν διδύμων τετάρτην παραλλάττοντα μοῖραν, περὶ ὥραν πρὸ μεσημβρίας τρίτην τῆς εἰκοστῆς πέμπτης ἡμέρας τοῦ μαΐου, τοῦ ψοε´ ἔτους. ἦν μὲν οὖν ἡ πᾶσα ἔκλειψις δακτύλων ἔγγιστα δυωκαίδεκα. τοσοῦτον δὲ κατὰ τὸν μέσον τῆς ἐκλείψεως χρόνον ἐγεγόνει τὸ σκότος περὶ τὴν γῆν, ὡς καὶ πολλοὺς τῶν ἀστέρων φανῆναι. ἐδήλου μέντοι τὰς μεγίστας καὶ παλαμναιοτάτας συμφορὰς τῶν Ῥωμαίων, ἃς ὑπὸ τῶν Τούρκων ὑφίστασθαι ἔμελλον. οὐ γὰρ ἔληξεν ἡ τοῦ γένους κάκωσις ἐκεῖθεν ἀρξαμένη καὶ συχνῶς ἐπὶ μεῖζον ἀεὶ καταβραχὺ κορυφουμένη. ὅτι δὲ δήλωσιν ἐπιγείων παθῶν τὰ τῶν οὐρανίων φωστήρων τοιαῦτα συμπτώματα προαναφωνοῦσιν, ἀμφιβάλλειν οἶμαι τῶν πάντων οὐδένα, πλὴν εἰ μὴ ὅστις περιττὸς ἐπεφύκει μάτην ἐρίζειν. εἰ δὲ τοῦτον λόγοις πείθειν πειρῷτό τις, ὃν πείθειν οὐ δύναται τὰ ἐν τῷ θεάτρῳ τῆς οἰκουμένης κατ' ἄλλους ἄλλοτε χρόνους γινόμενα πράγματα, μάταιος ἂν εἴη καὶ πάνυ τοι φορτικὸς σύνεσιν ἐντιθέναι τοῖς πάνυ σκληροῖς ἐγχειρῶν. ὃ γὰρ ἐν ἑνὸς ἀνθρώπου σώματι, τοῦτο κἀν 1.109 τῷ τοῦ κόσμου σώματι παντὶ γίγνοιτ' ἄν. ἓν γὰρ ὁ κόσμος σῶμα συμφυὲς, ἐκ μερῶν καὶ μελῶν ὡς ὁ ἄνθρωπος φάναι συγκείμενος· καὶ ὥσπερ ἐνταῦθα τῆς κεφαλῆς ἢ τοῦ τραχήλου τὸ πάθος ἐνεργεστέραν πρὸς τὴν κνήμην καὶ τὸν ἀστράγαλον τὴν κάκωσιν ἐξετόξευσεν, οὕτω κἀν τῷ τοῦ κόσμου σώματι τὰ τῶν οὐρανίων φωστήρων παθήματα κινούμενα πρὸς τὴν γῆν ἀπερείδονται κἀνταῦθα δημοσιεύουσι τὴν ἐνέργειαν. (Γ.) Συχνὸς ἐπὶ τούτοις ἐῤῥύη χρόνος καὶ ἄγεται ὁ βασιλεὺς τῷ υἱῷ Ἀνδρονίκῳ γυναῖκα Ἄνναν τὴν ἐκ Παιόνων καὶ ἅμα τῷ βασιλικῷ καταστέφει συμβόλῳ. εἶτα αὐτὸς μὲν Ἀνδρόνικος ὄμνυσι τῷ πατρὶ, πρῶτον μὲν σέβειν τὴν τοῦ θεοῦ ἐκκλησίαν ὀρθῶς καὶ τὰ ταύτης προνόμια περιέπειν καθ' ἅπαντα τρόπον καὶ ἀλώβητα συντηρεῖν· δεύτερον δὲ, τὴν αὐτοῦ δὴ τοῦ πατρὸς ζωὴν καὶ βασιλείαν διαφυλάττειν ὅση δύναμις ἀνεπιβούλευτον μέχρι τελευτῆς αὐτῆς. καὶ ἐπὶ τούτοις ἅπαν τὸ Ῥωμαίων ὤμνυε γένος τῷ νέῳ βασιλεῖ Ἀνδρονίκῳ τὰ εἰθισμένα τοῖς βασιλεῦσιν. ὅ γε μὴν πατριάρχης καὶ πᾶν τὸ τῆς ἐκκλησίας ἄθροισμα γράμμασι τοὺς ἑαυτῶν ἐγχαράξαντες ὅρκους τοῖς ἱεροῖς ἐντεθείκασι κώδιξιν, ἀνεπιβούλευτον αὐτῷ διατηρήσειν τὴν βασιλείαν ὁμολογοῦντες, αὐτοί τε καὶ οἱ ἐφεξῆς τὰ τῆς ἐκκλησίας διαδεχόμενοι. ἐπέτρεψε δ' αὐτῷ ὁ πατὴρ καὶ δι' ἐρυθρῶν ὑπογράφειν γραμμάτων προστάγματα, οὐ μέντοι μῆνα καὶ ἴνδικτον, ἀλλὰ, Ἀνδρόνικος Χριστοῦ χάριτι βασιλεὺς Ῥωμαίων. θ´. Τούτων οὕτως ἐχόντων, ἐξ ἀνθρώπων ἐγεγόνει καὶ Μι 1.110 χαὴλ ὁ δεσπότης, ὁ τῆς Ἠπείρου καὶ Θετταλίας ἀρχηγὸς, καὶ παῖδας καταλιπὼν ἕνα μὲν νόθον, Ἰωάννην ὄνομα, γνησίους δὲ τρεῖς, ὧν καθ' ἡλικίαν πρωτεύων ὑπῆρχεν ὁ ἐπ' ἀδελφιδῇ γαμβρὸς τοῦ βασιλέως Νικηφόρος ὁ δεσπότης· ὑφ' ᾧ κηδεμόνι καὶ ἐπιτρόπῳ κατέλιπεν ὁ πατὴρ ὡς ἀτελεστέρους τὴν ἡλικίαν καὶ ἄζυγας ἔτι τοὺς δύο ἑτέρους υἱέας Μιχαὴλ καὶ Ἰωάννην. σχίζει μέντοι καὶ τὴν ὅλην αὐτοῦ ἐπικράτειαν εἰς δύο μερίδας, ὧν τὴν μὲν μίαν, ἣ δὴ καὶ παλαιὰ ὀνομάζεται Ἤπειρος, ἀφίησι Νικηφόρῳ τῷ δεσπότῃ. περιέχει δὲ αὕτη Θεσπρωτοὺς καὶ Ἀκαρνᾶνας καὶ Δόλοπας, καὶ πρὸς τούτοις Κερκυραίους καὶ Κεφαλλῆνας καὶ Ἰθακησίους· ὁρίζεται δὲ πρὸς μὲν δύσεως Ἀδριατικῷ τε καὶ Ἰονίῳ πελάγει, πρὸς δ' ἄρκτων ὄρεσιν ὑψηλοῖς τῷ τε Πύδνῳ καὶ τοῖς Ἀκροκεραυνίοις ὀνομαζομένοις, ἐκ δ' ἀνατολῶν Ἀχελῴῳ τῷ ποταμῷ, ἐκ δὲ μεσημβρίας τῇ Κερκυραίων νήσῳ καὶ τῇ Κεφαλληνίᾳ· τὴν δὲ ἑτέραν μερίδα ἀφίησιν ὁ πατὴρ Ἰωάννῃ τῷ νόθῳ παιδί· ἣ καὶ αὐτὴ περιέχει Πελασγοὺς καὶ Φθιώτας, ἔτι τε Θεσσαλοὺς καὶ Λοκροὺς τοὺς Ὀζόλας· καὶ πρὸς μὲν ἄρκτους Ὄλυμπον ἔχει τὸ ὄρος, πρὸς δὲ μεσημβρίαν τὸν Παρνασὸν, ἀμφότερα ὑψηλὰ καὶ ἐς βαθὺν τὸν ἀέρα τὰς κορυφὰς ἀνατείνοντα. οἱ μέντοι δύο αὐτίκα, Μιχαὴλ καὶ Ἰωάννης, δυσαρεστήσαντες τῇ τοῦ ἀδελφοῦ Νικηφόρου ἐπιτροπῇ καὶ ἐφορείᾳ καὶ ἄλλως οὐκ εἰς ἀγαθὸν αὐτοῖς πέρας αὐτὴν προχωρήσειν ἐννοοῦντες φυγάδες ἐς βασιλέα χωροῦσιν. (Β.) Ὁ δὲ νόθος Ἰωάννης, ἀκάθεκτος ὢν τὴν ὁρμὴν καὶ ποικίλος


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τὴν 1.111 σύνεσιν, οὐκ ἠρέμει τοῖς οἰκείοις ἀρκούμενος, καὶ ταῦτα τὸ σεβαστοκράτορος ἀξίωμα παρὰ τοῦ βασιλέως πρότριτα εἰληφώς· ἀλλὰ συχνὰ παρασπονδῶν τὴν Ῥωμαίων ἐδῄου γῆν· ὡς ἀγανακτήσαντα ἤδη τὸν βασιλέα πέμψαι τὸν ἑαυτοῦ ἀδελφὸν Ἰωάννην τὸν δεσπότην κατ' ἐκείνου, πολλὰς πολλαχόθεν ἀθροιζομένας τὰς Ῥωμαίων δυνάμεις ἕπεσθαι τούτῳ κελεύσαντα. ὃς καὶ συναγαγὼν, ὅση δὴ παροῦσα ἐτύγχανε δύναμις, ἔκ τε Παφλαγόνων ἱππέων ἠθροισμένη καὶ Βιθυνῶν, συγκαταλέξας δὲ καὶ τὰ Κομάνων καὶ Τουρκοπούλων τάγματα, ἀπῄει τὰς πεζικὰς αὐτὸς στρατολογῶν δυνάμεις ἔκ τε Θρᾴκης καὶ Μακεδονίας. ὁ μέντοι σεβαστοκράτωρ ἀκούων τὴν τῶν Ῥωμαϊκῶν δυνάμεων ἔφοδον βέλεσι λογισμῶν ἐδαπάνα τὴν ψυχὴν, ἄπορα πανταχόθεν ὁρῶν τὰ ἑαυτοῦ καὶ οὐκ ἀξιόμαχα πρὸς τοσαύτην παρασκευὴν ἀντιπάλων δυνάμεων. ὅθεν ἐπεὶ τό γε ὑποπεπτωκότι χρήσασθαι σχήματι καὶ συγγνώμην τῶν ἡμαρτημένων ζητεῖν οὔτ' εὔοδον ἑώρα οὔτε μὴν ἀνύσιμον διὰ τὸ πολλάκις σπείσασθαι μὲν, οὐκ ἐμμεῖναι δ' ἐπὶ μακρὸν ταῖς ὁμολογίαις τῶν σπονδῶν, ὁ δὲ ἄλλην ἐβάδισε γνώμην. ὀχυρώσας γὰρ καθ' ὅσον ἐξῆν καὶ ἀσφαλισάμενος τὰ ἑαυτοῦ φρούρια περιῄει σύν γε τοῖς ἑαυτοῦ στρατεύμασι πόῤῥωθεν περισκοπῶν τὰ ὑπὸ τῶν πολεμίων γινόμενα, ἴσως ἐλπίζων λόχοις τισὶ καὶ αἰφνιδίοις ἐπιδρομαῖς ταράττειν καὶ ἀκρωτηριάζειν τὸ Ῥωμαίων στρατόπεδον. ἀλλ' ἄριστα τούτους ὁρῶν πεφραγμένους καὶ οὐκ ἔξω τῆς νομιζομένης ἐμπειρίας τὰς ἐκδρομὰς ποιουμένους προαπεγνώκει τὴν πεῖραν καὶ 1.112 διϊὼν ἄνω καὶ κάτω ἐδεδίει περὶ τῶν ὅλων. (Γ.) Ὁ μὲν οὖν σεβαστοκράτωρ Ἰωάννης ἐν τοσούτοις ὑπῆρχε θορύβοις καὶ φόβοις. τάχα δ' ἂν καὶ πέρας ἐλάμβανεν αὐτῷ τὸ ζῆν ἐν τούτῳ τῷ χρόνῳ, καὶ ἡ ὑπ' αὐτὸν ἐπαρχία τότ' ἂν ὑπὸ βασιλεῖ ἐγίγνετο, εἰ μὴ μεγάλη τις ἀταξία τε καὶ πλημμέλεια τῶν συστρατευομένων τοῖς ἡμετέροις ἀλλογενῶν ἔσφηλε παρ' ἐλπίδα καὶ λίαν αἰσχρῶς τὰ Ῥωμαίων ἀνέτρεψε πράγματα. εἰσβαλόντων γὰρ τῶν Ῥωμαίων ἐς τὴν ἐκείνου καὶ μηδενὸς ἀνθισταμένου ῥᾳδίως ὑποποιουμένων ἅπαντα, οὐδὲν ὑγιὲς οἱ συστρατευόμενοι Κόμανοι ἔπραττον, ἀλλὰ πάντας νεὼς καὶ ἀσκητήρια πάντα ἐσύλων καὶ ἀδεῶς ἐνεπίμπρασαν καὶ σεμνὰς παρθένους ἠνδραποδίζοντο καὶ ὡς ἀνιέροις ἐχρῶντο τοῖς ἱεροῖς, τοῖς τε ἄλλοις καὶ πρός γε ἔτι ἀντὶ τραπεζῶν ταῖς ἱεραῖς εἰκόσι. καὶ τί δεῖ τὰ πολλὰ λέγειν; πάντ' ἔδρων ἀδεῶς, ὅσα χρεὼν ἀσεβέσιν ἀνδράσι. διά τοι τοῦτο καὶ οὐ καλῶς οὐδ' ὁμολόγως ταῖς ἀρχαῖς τὸ τέλος ἀπήλλαξε τοῦ πολέμου. δηλώσει δὲ προϊὼν ὁ λόγος. (Δ.) Ἐπεὶ γὰρ ἧκεν ἄγων τὴν στρατιὰν ὁ Δεσπότης Ἰωάννης, τὰ μὲν τῶν πολιχνίων αὐτίκα ὑπέκυπτον· τὰ δὲ ταῖς τῶν τόπων ὀχυρότησι θαῤῥοῦντα ἀνθίσταντο μέχρι τινός· ἔπειτα καὶ ταῦτα ὑπέκυπτον, ἀντέχειν εἰς τέλος ἥκιστα δυνάμενα πρὸς τὰς βιαίας τῶν πολεμικῶν μηχανημάτων ἐπιφοράς. ὅ γε μὴν Σεβαστοκράτωρ ἀπογνοὺς πανταχόθεν εἰς ὀχυρώτατον καταφεύγει φρούριον τὸ τῶν Νέων Πατρῶν ἐπικεκλημένον. ἔνθα δὴ καὶ κυκλοῦσιν αὐτὸν οἱ πολέμιοι καὶ συχνόν τινα χρόνον πολιορκοῦσι περικαθήμενοι. τὸ μέντοι φρούριον ἐκεῖνο τῶν Νέων 1.113 Πατρῶν ἐφ' ὑψηλοῦ τοῦ ὄρους ἱδρυμένον ῥᾷστα μὲν τῶν πολεμικῶν κατεφρόνει μηχανημάτων· διὰ δὲ τὸν ἔνδον ἀποκλεισθέντα πολυάνθρωπον ὄχλον ἀπορίαν ἐδεδίει τῶν ἀναγκαίων. διὸ καὶ ἀμηχανίᾳ παντοδαπῇ τὴν ψυχὴν ὁ Σεβαστοκράτωρ ἐμερίζετο καὶ ἄνω καὶ κάτω τὸν λογισμὸν περιέστρεφε, τῶν περιϊσταμένων δεινῶν λύσιν ζητῶν. ὀψὲ δὲ μετὰ πολλὰς στροφὰς λογισμῶν εἰς ἔννοιαν ἐληλύθει ξένην καὶ δαιμονίαν ὡς ἀληθῶς· ἣν ὥσπερ ἱεράν τινα καὶ ἀπόῤῥητον ἐταμίευσεν ἐν ἑαυτῷ, οὐδενὶ κοινωσάμενος τῶν ἁπάντων, πλὴν ἢ μόνῳ τῷ τοῦ ἄστεος φύλακι. τὸ γὰρ εἰς πλείους μιᾶς ἀκοῆς διασπαρὲν μυστήριον πολύχουν ἀνίσχει γεώργιον καὶ τὴν ἐπωνυμίαν οὐκ ἔτι μυστήριόν ἐστιν, ἀλλὰ διαπρύσιος φήμη, ὅλα στρατόπεδα παραμείβουσα γνήσιά τε καὶ πολέμια. ὅθεν καὶ αὐτὸς συνετὸς ὢν καὶ τῶν τοιούτων οὐκ ἀδαὴς συνετῶς τὸ σοφὸν ᾠκονόμησε βούλευμα ἑαυτοῦ. ἦν δὲ τοῦτο τοιοῦτον. (Ε.) Νύκτα παραφυλάξας, ἐν ᾗ τῆς σελήνης



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τῷ ἡλίῳ συνοδευούσης σκότος βαθὺ περιτρέχει τὴν γῆν, σχοίνῳ τοῦ τείχους καθίησιν ἔξω ἑαυτόν· κἄπειτα οὐχ ἑτέρας οὔσης αὐτῷ παρόδου, λάθρα κατῄει ἐς τὸ τῶν Ῥωμαίων στρατόπεδον ἐν διεῤῥυηκόσι τοῖς ἐνδύμασι· καὶ τοῦ λαθεῖν ἕνεκα μεγάλῃ τῇ φωνῇ καὶ βαρβαριζούσῃ μικρόν πως τῇ διαλέκτῳ, ὡς ἀπολωλεκὼς τὸν οἰκεῖον δῆθεν ἵππον ἐζήτει, διϊὼν καὶ παραμείβων οὑτωσὶ τὸ στρατόπεδον ἅπαν. οἱ δὲ πολλοὶ τοῦ στρατοῦ κατεγέλων ἀκούοντες αὐτοῦ καὶ ὑπεσύριζον καὶ ἡδυτάταις εἰρωνείαις ἐχλεύαζον. ἀλλ' ἐκεῖνος δόλοις τοιούτοις παρελθὼν τὸ Ῥωμαίων στρα
1.114 τόπεδον καὶ πάνυ τοι πόῤῥω γενόμενος περί τι μονύδριον γίνεται τῶν ὑπερορίων, καὶ γνώριμον ἑαυτὸν καταστήσας μόνῳ τῷ τῆς μονῆς ἐπιστάτῃ ὑποζύγια πέντε καὶ θεραπόντων τοσούτους λαμβάνει παρ' αὐτοῦ· καὶ ἅμα ἕω διαβὰς τὸ τῶν Θερμοπυλῶν ὄρος δευτεραῖος ἐς Βοιωτίαν ἀφίκετο· τριταῖος δ' αὖθις ἐκεῖθεν εἰς Ἀττικήν· ἔνθα δὴ καὶ τῷ τῶν Ἀθηνῶν ἐντυγχάνει δουκί· καὶ χρήματα ὑπισχνεῖται καὶ κήδη λαμπρὰ τῶν τέκνων πολὺν ἐπαγόμενα πλοῦτον· καὶ ἐπὶ τούτοις αἰτεῖ καὶ λαμβάνει συμμαχίαν ἐπὶ συμφωνίᾳ μεγάλων μισθῶν, πεντακοσίους τοὺς πάντας κατ' ἐκλογὴν Ἀθηναίους. (´.) Ὁ δὲ Ῥωμαίων στρατὸς ἐντὸς εἶναι νομίζωντὸν Σεβαστοκράτορα Ἰωάννην περιεκάθητο διηνεκῶς, ἀκροβολισμοῖς τισι κατὰ τῶν τειχῶν χρώμενος, (οὐ γὰρ εἶχεν ὅθεν ἂν ἐπαγάγοι τὰς μηχανὰς) καὶ αὖ τὰς διεξόδους κύκλῳ παραφυλάττων, ὡς μὴ λάθῃ διαδρὰς ὁ Ἰωάννης, ἀλλ' εἰς ἀνάγκην ἐλαθῇ, ἢ προδότης ἐθελοντὴς ἑαυτοῦ γενέσθαι, ἢ προδοθῆναι μὴ θέλων αὐτὸς παρ' ἑκόντων τῶν πολιτῶν, δυσὶ πιεζομένων κακοῖς, τῇ τε πολιορκίᾳ καὶ τῇ τῶν ἀναγκαίων ἔνδοθεν στενοχωρίᾳ. οἱ μὲν οὖν οὕτως ἐκάθηντο ἀπεριμερίμνως. τινὲς δὲ καὶ τοῦ στρατοπέδου παρεξήλαυνον, οἱ μὲν λείας ἕνεκα ἐπὶ τοὺς ὁμόρους τῶν Ἀχαιῶν, οἱ δ' ἐπὶ κυνηγέσια· οἷς ἐπεισπίπτει πρώτοις ὁ σεβαστοκράτωρ Ἰωάννης μετὰ τῶν πεντακοσίων Ἀθηναίων ἐκείνων, οὑτωσὶ διεσκεδασμένοις· καὶ τοὺς μὲν αὐτῶν εὐθὺς αἱρεῖ, τοὺς δὲ διώκει μέχρι τοῦ στρατοπέδου· ὡς τῷ ἀπροσδοκήτῳ καὶ αἰφνιδίῳ τοῦ πράγματος θόρυβον ἐγγενέσθαι τῷ Ῥωμαίων στρατῷ καὶ ταραχὴν λογισμῶν τοῖς τε ἄλλοις 1.115 στρατηγοῖς καὶ αὐτῷ δὴ Ἰωάννῃ τῷ δεσπότῃ, νομίσασιν ἢ τὸν Πελοποννήσου καὶ Ἀχαΐας ἥκειν πρίγκιπα μετὰ πλήθους ἀξιολόγου, ἢ Θηβαίων καὶ Εὐβοέων καὶ Ἀθηναίων στρατὸν παμπληθῆ μετὰ δουκὸς τοῦ αὐτῶν ἀρχηγοῦ πρὸς βοήθειαν ἐξιέναι τοῦ Σεβαστοκράτορος Ἰωάννου. ὅθεν πρὶν ἐκείνους ἐπιστῆναι, λάθρα καὶ κατὰ μικρὸν οἴκοθεν ὁ Ῥωμαίων στρατὸς διελύετο, καὶ ἄλλος ἄλλον συχνὰ προλαμβάνοντες ἔφευγον ἀμεταστρεπτί· καὶ πολλὰ τῶν στρατηγῶν ἐπιβοωμένων καὶ καρτερεῖν κελευόντων, οἱ δὲ οὐχ ὑπήκουον, ἀλλ' ἅμα πάντες ἔθεον τὴν αὐτὴν ἀμεταστρεπτί· ὡς καὶ αὐτοὺς ἤδη τοὺς στρατηγοὺς ξύν γε τῷ δεσπότῃ Ἰωάννῃ συνιδόντας ὡς κατὰ χώραν μένουσιν ὄλεθρος ἕπεταί σφισι προφανὴς, μετὰ τοῦ μηδέν τι γενναῖον ἔργον καὶ ἀξιόλογον πεπραχέναι, ἕτερον πέρας οὐ μάλα τῆς ὥρας ἐθελούσης χαρίζεσθαι, ἐπὶ πόδα λοιπὸν ἀναγκασθῆναι κατὰ τὸ λεληθὸς ἀναχωρεῖν ἅμα τῷ περιλειφθέντι ἐκ Παφλαγόνων στρατεύματι μετὰ τάξεως μέντοι τινὸς καὶ ἐμπειρίας στρατηγικῆς. (Ζ.) Τοῦ δὲ τοιούτου πταίσματος οὕτω παρ' ἐλπίδα Ῥωμαίοις συμβάντος δι' ἔκτισιν ὧν ἐπεπράχεσαν ἐκεῖσε ἀσεβημάτων οἱ συστρατευόμενοι Κόμανοι, τὰς πύλας εὐθὺς οἱ ἐκ τοῦ φρουρίου ἀναπετάσαντες καταθέουσι πανδημεὶ καὶ εἰς ταὐτὸν ἔρχονται τῷ τε Σεβαστοκράτορι Ἰωάννῃ καὶ τοῖς συμμάχοις· καὶ κοινολογησάμενοι ἅττα ἐχρῆν, οἱ μὲν αὐτόθι κατὰ χώραν μένειν προὐτράπησαν εἰς συλλογὴν τῶν Ῥωμαϊκῶν σκηνῶν καὶ ἵππου καὶ τῆς πάσης ἀποσκευῆς καὶ τοῦ παντοδαποῦ πλούτου, ὅν τε οἴκοθεν ἧκον αὐτοὶ 1.116 ἐπαγόμενοι καὶ ὃν ἐκ τῆς λείας προσεκτήσαντο· οἱ δὲ κατὰ νώτου Ῥωμαίοις ἕπονται σποράδην ἄλλοις ἄλλοσε διεσκεδασμένοις· καὶ τοὺς μὲν ξίφος ἀνταιρομένους ἔκτεινον· ὅσοι δὲ συλλαμβανόμενοι οὐκ ἀντεῖχον, οὗτοι δὲ καὶ αὐτοῦ γε δὴ τοῦ χιτωνίσκου γυμνούμενοι μετὰ μόνης ἀπελύοντο τῆς ἀναξυρίδος. νόμος γάρ ἐστιν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

οὗτος ἄνωθεν ἐκ διαδοχῆς ἀεὶ κατιὼν ἐς τοὺς ἀπογόνους ἀκήρατος, οὐ μόνον Ῥωμαίοις καὶ Θετταλοῖς, ἀλλὰ καὶ
Ἰλλυριοῖς καὶ Τριβαλλοῖς καὶ Βουλγάροις, διὰ τὴν τῆς πίστεως ταὐτότητα τὰ μὲν πράγματα μόνα σκυλεύειν, τὰ δὲ σώματα μὴ ἀνδραποδίζεσθαι, μηδὲ φονεύειν ἔξω τῆς πολεμικῆς παρατάξεως μηδένα. καὶ εἰ μὴ φθάσαν τὸ τῆς ἑσπέρας σκότος τὸν τῶν διωκόντων πολεμίων ἀνεχαίτισε δρόμον, τάχ' ἂν ἐς μείζω τῶν εἰρημένων τὰ δεινὰ τοῖς φεύγουσιν ἀπήντα τὸ πέρας· ἀλλὰ τῆς ἑσπέρας καταλαβούσης, οἱ μὲν πολέμιοι μετὰ τοῦ Σεβαστοκράτορος ἀνεχώρησαν εἰς τοὐπίσω τῇ παραλόγῳ νίκῃ γαυρούμενοι· οἱ δὲ τὸν κίνδυνον διαφυγόντες Ῥωμαῖοι σύνδυο καὶ σύντρεις καὶ πλείους ἐπὶ πλείοσι περὶ τὸν δεσπότην Ἰωάννην ἠθροίζοντο, τῇ λύπῃ συγκεχυμένον ἐπὶ τῇ παραδόξῳ ταύτῃ διαμαρτίᾳ. οὕτω δ' ἔχοντες δυστυχῶς καταντῶσιν ἐς τὰ πλησίον τῆς Δημητριάδος χωρία. πόλις δὲ αὕτη Σικυὼν μὲν πρότερον ἐπικεκλημένη, ὕστερον δὲ τὴν ἐπωνυμίαν πρὸς τὸν κτησάμενον μετενεγκοῦσα, Δημήτριον δηλαδὴ τὸν Πολιορκητὴν, ὃς ἐτύγχανε παῖς τῶν Ἀλεξάνδρου διαδόχων ἑνὸς Ἀντιγόνου, τοῦ τῆς Ἀσίας κατάρξαντος, ὁπόσην ὁ ποταμὸς Εὐφράτης ἔνδον ὁρίζει. 1.117 ι΄. Ἀλλὰ γὰρ οὔπω τελέως τῆς ἀθυμίας ἀναλαβεῖν ἑαυτοὺς ἠδυνήθησαν ταυτησὶ, καὶ δεύτερον ἀγγέλλεται τούτοις δεινὸν καὶ τοῦ προλαβόντος οὐκ ἔλαττον, ὃ δὴ καὶ λέξων ἔρχομαι. κόλπος ἐστὶ Πελασγικὸς οὑτωσί πως καλούμενος, ἐπὶ πλεῖστον τῆς μεσογείου παρεξιὼν καὶ πρὸς ἄρκτους ἀφιεὶς τὴν Ὄσσαν τε καὶ τὸ Πήλιον. ὄρη δὲ ταῦτα πρὸς ὕψος τὰς κορυφὰς ἀναπέμποντα μέγιστον. τοῦ δὴ τοιούτου κόλπου κατὰ τὸ ἀκρότατον καὶ ἡ προειρημένη παραψαύει πόλις τοῦ Δημητρίου. ὁ δὲ βασιλικὸς στόλος τὰς ὑπὸ τῶν Λατίνων κατεχομένας νήσους παραπλέων καὶ περιπλέων κακῶς διετίθει· καὶ ἦν τοῦτο δεινὸν τοῖς Λατίνοις ἀφόρητον· πάντων δὲ μάλιστα τοῖς ὅσοι τὴν Κρήτην οἰκοῦσι καὶ πρός γε δὴ τοῖς ὅσοι τὴν Εὔβοιαν· οἳ δὴ καὶ συνθέμενοι ναυτικὸν ἐξαρτύουσιν, οὐχ ἵνα φανερὸν ἐγείρωσι πόλεμον κατὰ τοῦ βασιλικοῦ στόλου· (τοῦτο γὰρ ὅμοιον τούτοις ἐδόκει, ὥσπερ ἂν εἰ εἰς οὐρανὸν ἐπεχείρουν τοξεύειν) ἀλλ' ἵν' ἐπιούσης τῆς ναυτικῆς τοῦ βασιλέως δυνάμεως, τὰς ἑαυτῶν παραφυλάττωσιν ἄκρας καὶ ἀντέχωσιν ἀπὸ γῆς ὁμοῦ καὶ θαλάττης μαχόμενοι. (Β.) Συνέβη γοῦν κατὰ τοῦτον τὸν χρόνον καὶ τὰς βασιλικὰς τριήρεις ὑπὲρ τὰς πεντήκοντα οὔσας ἐν τῷδε τῷ κόλπῳ τὸν εἴσπλουν ποιησαμένας ὡς ἐπ' ἀσφαλοῦς ἐνορμίσασθαι. οἱ δὲ Κρῆτες καὶ Εὐβοεῖς πάλαι καιροφυλακοῦντες καὶ ναυλοχοῦντες αὐτὰς οὐχ ἕτερον τούτου βελτίονα ἐς τὸ ἐπιθέσθαι αὐταῖς ἐνόμισαν ἔχειν καιρόν. καὶ δὴ τὴν ταχίστην συσκευασάμενοι τὰς τριήρεις καὶ τετρήρεις αὐτῶν μικρὸν ὑπὲρ τὰς τριάκοντα οὔσας καὶ πύργους ξυλίνους ταῖς πρώραις τῶν πλειόνων ἐπιστήσαντες ταχυναυτοῦ 1.118 σιν· ὡς ἂν πρὶν αἰσθέσθαι τοὺς βασιλικοὺς τὸν τούτων ἐπίπλουν, αὐτοὶ προκαταλαβόντες ἐκ τοῦ ναυστάθμου κενὰς τῶν ἐπιβατῶν τὰς ναῦς ἐφελκύσωνται, ἔξω περὶ τὴν γῆν ἀπεριμερίμνως τηνικαῦτα διατριβόντων αὐτῶν. ὃ δὴ καὶ, εἰ μὴ κύριος ἀπροσδόκητον χεῖρα παρεῖχε Ῥωμαίοις, κατὰ τὴν τῶν ἐχθρῶν ἂν ἐς τέλος συνεπεπτώκει βούλησιν. ᾔσθοντο μὲν γὰρ καὶ Ῥωμαῖοι τὸν τῶν Κρητῶν καὶ Εὐβοέων ἐπίπλουν· ἀλλὰ στενὸς τυγχάνων ὁ καιρὸς χώραν ὁπλίσασθαι, ὡς ἐχρῆν, οὐκ ἐδίδου. ἄραντες δ' ὅμως ἐκ τῆς γῆς κατὰ σπουδὴν ὡς εἶχον ἀνήχθησαν· καὶ γίνεται προθυμία πολλὴ παρ' ἀμφοτέρων τῶν μερῶν, πεντεκαίδεκα σταδίων οὐκ ἔλαττον ἀπεχόντων τῆς γῆς. (Γ.) Αἱ μέντοι πολέμιαι νῆες ὄγκον εἶχον καὶ βάρος ὑπὸ μεγέθους καὶ ὁπλίσεως καινοτέρας καὶ ὥσπερ πόλεις ἐπὶ θαλάττης κινούμεναι σχολαιότερον παρετάσσοντο. αἱ δὲ Ῥωμαϊκαὶ τοσοῦτον ἠλαττοῦντο μεγέθει τῶν πολεμίων, ὅσον πλήθει τὰς τῶν πολεμίων ὑπερεῖχον· εὔστροφοι δ' ἦσαν ἄλλως καὶ ταχεῖαι πρὸς κύκλωσιν, ἀλλ' οὐκ ἀντίῤῥοπον ἔχουσαι τὴν παρασκευὴν τῆς ὁπλίσεως. ὅμως ἀντιπαρετάσσοντο καὶ αὗται, οὐ τοσοῦτον πρὸς ναυμαχίαν, εἰπεῖν, ὅσον πρὸς τειχομαχίαν. τείχεσι γὰρ ἐῴκεσαν αἱ τῶν πολεμίων πρῶραι σοβαρῶς


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐστεφανωμένοις ὁπλίταις ἀκμαιοτάτοις. ὁ μὲν οὖν ἀρχηγὸς τοῦ ναυτικοῦ Ῥωμαίων, ὁ Φιλανθρωπηνὸς, ἐπὶ τῆς ναυαρχίδος ὢν περιῄει παραθαῤῥύνων πρὸς πόλεμον τοὺς ὁπλίτας, ποτὲ μὲν ἐπὶ τοῦ δεξιοῦ κέρως γινόμενος, ποτὲ δ' ἐπὶ τοῦ εὐωνύμου· κατὰ στόμα μὲν δὴ ταῖς τῶν πολεμίων πρώραις ἐμβάλλειν 1.119 αἱ Ῥωμαϊκαὶ νῆες οὐκ εἶχον, τῶν πολεμίων ὥσπερ ἐκ γῆς στερεᾶς ἀφ' ὑψηλοῦ λίθους μεγάλους καὶ συνεχεῖς βαλλόντων ἐπ' αὐτοὺς καὶ ὅσα ἄλλα πρὸς ἄφεσιν ἄνωθεν ἐπιτήδεια, καὶ μάλα κακῶς διατιθεμένων αὐτούς. ὅθεν παρὰ πλευρὰν ἐπιοῦσαι τὰς ἐμβολὰς καθόσον ἐξῆν ἐποιοῦντο. τὸ μὲν οὖν εὐώνυμον κέρας τῶν πολεμίων ἐπόνει πληττόμενον, ἕωθεν τοῦ ἡλίου τὰς ὄψεις συγχέοντος σφῶν· τὸ δὲ δεξιὸν κραταιότερον ταῖς Ῥωμαϊκαῖς ναυσὶν ἐγκείμενον ἐνίκα λαμπρῶς καὶ δεινῶς ἐτραυμάτιζε τοὺς Ῥωμαίων ὁπλίτας τε καὶ ἐρέτας· ὡς ἀπογινώσκοντας ἤδη τούτους διεκπίπτειν καὶ παρὰ τὴν γῆν τρεπομένους ἐξιέναι, κενὰς ἐπὶ τῆς ψάμμου τὰς ναῦς ἀφιέντας. καὶ εἰ μὴ ὁ τοῖς ἀπόροις εὐπορίαν διδοὺς καὶ τοῖς ἀνελπίστοις ἐλπίδα θεὸς ἀπροσδόκητον τότε καὶ Ῥωμαίοις ἐχαρίζετο χεῖρα, τάχ' ἂν ἐς ᾅδην εἰπεῖν τὰ Ῥωμαίων τότε ξυνωθεῖτο πράγματα δυσὶ μεγάλοις ἅμα περιπεπτωκότα πταίσμασιν. (Δ.) Ἀλλὰ θαυμάσειεν ἄν τις τὴν ἀνεξερεύνητον πρόνοιαν τοῦ θεοῦ, πῶς τὸ παράδοξον τῆς ἠπείρου σφάλμα παραδοξοτέραν τῇ θαλάττῃ τὴν ἀσφάλειαν ἐπορίσατο. ὁ γὰρ τοῦ βασιλέως αὐτάδελφος Ἰωάννης ὁ δεσπότης μετὰ τῶν ἐκ τοῦ ἠπειρωτικοῦ ἐκείνου πολέμου διασωθέντων ἔγγιστά που ποιούμενος τὰς διατριβὰς ᾔσθετο γινομένης τῆς ναυμαχίας ἐκείνης καὶ διακωδωνιζομένης ἤδη τῆς φήμης ἄχρι τῆς μεσογείου, καὶ παρελθὼν ἐς τὴν παραλίαν τοῦ κόλπου ὁρᾷ θέαμα ἐλεεινὸν, κινδυνεύουσαν ἤδη καὶ τὴν ναυτικὴν τῶν Ῥωμαίων δύναμιν· καὶ αὐτίκα τοῦ ἵππου ἀποπηδήσας μετὰ πολ 1.120 λῶν τῶν δακρύων ῥίπτει τὰ τῆς δεσποτικῆς ἀξίας σύμβολα, "1γυμνὸς,"2 λέγων, "1ἐξῆλθον ἐκ κοιλίας μητρός μου, γυμνὸς καὶ ἀπελεύσομαι σήμερον."2 εἶτα κατὰ κεφαλῆς ἐπάσατο κόνιν καὶ βύθιόν τι στενάξας ἐβόα πρὸς κύριον, ὀξεῖαν ἐκεῖθεν ἐπικαλούμενος τὴν βοήθειαν· μὴ καὶ ταύτης ἐπὶ νεαρᾷ τῇ προτέρᾳ τῆς ἥττης ἐπενεχθείσης Ῥωμαίοις, ἐς τέλος ἀνατετράφθαι καὶ ἀπολωλέναι τὰ Ῥωμαίων γένοιτο πράγματα. καὶ μὲν δὴ σύμμαχον ἑαυτῷ θαῤῥήσας ἔσεσθαι τὸν θεὸν ἔργου εἴχετο· καὶ τοὺς δοκιμωτέρους τῶν ὁπλιτῶν τῆς πεζικῆς αὐτοῦ δυνάμεως ἀπολεξάμενος ὅλαις σπουδαῖς ἐνεβίβαζεν εἰς τὰς ναῦς, καὶ ἅμα ἄλλους ἐπ' ἄλλοις συχνοὺς τοξότας καὶ σφενδονήτας καὶ ὅσοι ἀκοντισταί· καὶ ἀεὶ τοὺς τραυματίας ἀναλαμβάνων ἄλλους ἀμοιβαδὸν εἰσῆγε νεαροὺς καὶ ἀκμάζοντας, χερμαδίοις καὶ τούτων τοὺς πλείστους κατὰ τῶν ἐναντίων χρωμένους. καὶ οὕτω μέχρι δείλης ὀψίας ποιῶν τρόπαιον ἵστησι κατὰ τῶν πολεμίων· καὶ πλὴν δυοῖν φυγῇ χρησαμένων πᾶσαι τῶν πολεμίων αἱ νῆες Ῥωμαίοις ἑάλωσαν. ὕμνοι τοιγαροῦν εὐχαριστήριοι παρὰ παντὸς ἀνήγοντο τοῦ στρατοῦ πρὸς θεὸν, παραδόξως αὐτοῖς χαρισάμενον τήν τε σωτηρίαν ὁμοῦ καὶ τὴν νίκην. ὁ δὲ τοῦ βασιλέως αὐτάδελφος Ἰωάννης τὰ τῆς δεσποτικῆς ἀξίας ἅπαντα ἀποθέμενος, ὡς εἰρήκειμεν σύμβολα, οὕτως ἐς τὸ Βυζάντιον ἧκεν ἀξύμβολος, ἐπὶ τοῦδε τοῦ σχήματος τὸ λεῖπον παραλλάξας τοῦ βίου. 1.123 α΄. Ἀλλ' ἐπανιτέον τὸν λόγον μικρὸν, ἵνα καθ' εἱρμὸν ὁ λόγος ὁδεύῃ καὶ μὴ τὸ συνεχὲς τῆς ἱστορίας διακόπτηται δι' ἄγνοιαν ὧν προεγνῶσθαι χρεών. ἔφθημεν εἰρηκότες τὸν Βαλδουῖνον τοὺς τῆς Κωνσταντινουπόλεως διαδράντα κινδύνους ἐς Ἰταλίαν ἀφικέσθαι κἀκεῖσε τῷ ῥηγὶ τῆς Ἰταλίας Καρούλῳ συστάντα τῷ ἑαυτοῦ παιδὶ τὴν ἐκείνου ἀγαγέσθαι θυγατέρα ὑποσχέσθαι τε δοῦναι ἀντὶ προικὸς ἣν ἀπώλεσε Κωνσταντινούπολιν, εἰ συμμαχήσειε κἀκεῖνος αὐτῷ. (Β.) Ἐκεῖνος τοίνυν τὸν τῆς ὑποσχέσεως λόγον ἐν καρδίᾳ σπέρματος δίκην δεξάμενος οὐδὲν ἔτι μικρὸν ὑπενόει περὶ τῶν ὅλων· ἀλλὰ τὴν ὅλην, ὡς εἰπεῖν, Ἰουλίου Καίσαρος καὶ Αὐγούστου μοναρχίαν ὠνειροπόλει, Κωνσταντινουπόλεως εἰ γένοιτο ἐγκρατής. δεινὸς γὰρ ἦν ὁ ἀνὴρ οὐ μόνον σκέψασθαι τὰ δέοντα, ἀλλὰ καὶ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ῥᾷστα τελεσιουργὸν τὴν σκέψιν ἐν τοῖς ἔργοις ἐνδείξασθαι· καὶ ἁπλῶς εἰπεῖν, δυνάμει φύσεως καὶ κράτει συνέσεως μακρῷ τῷ μέτρῳ πάντας ἐνίκα τοὺς πρὸ αὐτοῦ. διὸ καὶ τὴν τῶν εἰρημένων μελέτην ἐγκυμονήσας εἰς πέρας ἄξειν ἐθάῤῥησε χρόνου βραχέος ἐπὶ τῶν ἔργων αὐτήν. ἐνῆγε δ' αὐτὸν εἰς τὴν τοιαύτην ἐγχείρησιν τό, τε τῆς Κωνσταντινουπόλεως ἀσθενὲς πολλαχόθεν διεσπασμένης καὶ διεῤῥηγμένης καὶ πολλοῦ δεομένης χρόνου πρὸς ἀνοικισμὸν καὶ στηριγμὸν τῶν διεῤῥωγότων, ἥ τε τοῦ βασιλέως περὶ τὰς τῶν καινοτέρων εὑρέσεων ἐπινοίας δεινότης καὶ ἡ σφοδροτάτη περὶ τὰς πράξεις ὀξύτης· ἃ δὴ καὶ σφόδρα ἐκεῖνον ἐλύπει καὶ τοὺς ἐκείνου λογισμοὺς περιέ 1.124 θραυε καὶ πρὸς μεγάλους ἐνέβαλλε φόβους. δι' αὐτό γέ τοι τοῦτο καὶ ἔσπευδε καθελεῖν αὐτὸν, πρὶν ἂν μείζω τῆς οὔσης κτησάμενος αὐτὸς δύναμιν κατὰ γῆν τε καὶ θάλατταν εἰς τὰς ἐσχάτας ἐκεῖνον περιστάσεις ἐλάσῃ. (Γ.) Καὶ πρῶτον μὲν ἔγνω στρατὸν ἱκανὸν ἀθροίσας κελεῦσαι διαβάντα τὸν Ἰόνιον ἐμβαλεῖν ἐς τὴν Ῥωμαίων καὶ μὴ πρότερον στῆναι δουλουμένους τὰ ἐν ποσὶν ἅπαντα, πρὶν καὶ αὐτὴν παραστήσασθαι τὴν βασιλεύουσαν· ἔπειτα μεγάλην διὰ θαλάττης ἐξαρτύσας δύναμιν διχόθεν τῷ βασιλεῖ περιστῆσαι τὸν κίνδυνον. ἀλλ' ἐψεύσθη τῶν βουλευμάτων δεινοτέρῳ περιτυχὼν στρατηγῷ τῷ βασιλεῖ. αὐτίκα γὰρ ὁ βασιλεὺς πᾶσαν ἔθετο σπουδὴν προκαταλαβὼν ἀπράκτους τὰς ἐκείνου βουλὰς ἀποφῆναι. διὸ καὶ ἠσφαλίζετο καὶ περιέφραττε πανταχόθεν τὴν βασιλεύουσαν πόλιν καὶ τεῖχος ὀχυρὸν τῶν παραλίων τειχῶν ἐξήπλωσεν ἔνδοθεν. οὐ μόνον δὲ, ἀλλὰ καὶ πάμπολλα καὶ διάφορα χρήματα πέμπων ἐξεπολέμου κατ' ἐκείνου τοὺς πέριξ ἐκείνου ῥῆγας, τόν τε τῆς Σικελίας κρατοῦντα καὶ αὐτὸν τῆς Βενετίας, τὸν παλαιὸν μιμησάμενος Ἀρταξέρξην ἐκεῖνον, ὃς τὴν Ἀγησιλάου τοῦ Σπαρτιάτου. δείσας ὁρμὴν, χρήματα πέμψας συχνὰ, τόν τε Θηβαῖον Ἐπαμεινώνδαν καὶ Πελοπίδαν καὶ ὅσοι τῆς Ἑλλάδος προὔχοντες ἦσαν, ἐξεπολέμωσε κατ' αὐτοῦ· καὶ πρὶν ἀνήκεστόν τι παθεῖν παρ' ἐκείνου, ἀνήκεστα παθεῖν ἐκεῖνον φθάσας ἐπεπράχει σοφαῖς ἐπινοίαις. (Δ.) Ὁ μὲν οὖν Κάρουλος οὕτω καταστρατηγούμενος ὑπὸ τοῦ βασιλέως καὶ τοιούτοις αὐτοῦ τοῖς ἀκροβολισμοῖς ἀποκρουόμενος δῆλος 1.125 ὅμως ἦν οὐκ ἠρεμήσων ἔτι, τῇ τε τοῦ οἰκείου στρατοῦ δυνάμει θαῤῥῶν καὶ τῶν χρημάτων τῷ πλήθει. ὅθεν ἀνάγκαις τοσαύταις συνεζευγμένος ὁ βασιλεὺς, πρὸς ἀπόγνωσιν ἐλαυνούσαις, διαπρεσβεύεται ἤδη καὶ πρὸς τὸν Πάππαν περὶ τῆς τῶν ἐκκλησιῶν ὁμονοίας τε καὶ ἑνώσεως, τῆς τε παλαιᾶς Ῥώμης δηλαδὴ καὶ τῆς νέας, εἰ μόνον ἐμποδὼν τῇ ἐκστρατείᾳ γένοιτο τοῦ Καρούλου. β΄. Δέχεται τὴν πρεσβείαν ἀσμένως ὁ Πάππας καὶ ὑπισχνεῖται ῥᾳδίως ἐκτελέσειν ὁπόσα κατὰ βούλησίν ἐστι τῷ βασιλεῖ· καὶ πέμπει μετὰ τῶν βασιλικῶν πρέσβεων εὐθὺς τοὺς δεξομένους καὶ συμβιβάσοντας τὴν κοινωνίαν. ἧκον οὖν, καὶ γέγονεν ἡ κοινωνία ἐφ' ὅρῳ τριῶν κεφαλαίων· ἑνὸς μὲν, ἐν ταῖς ἱεραῖς ὑμνῳδίαις τὸν Πάππαν εἰς τὰ δίπτυχα μνημονεύεσθαι ὁμοῦ τοῖς ἑτέροις τέτρασι πατριάρχαις· δευτέρου δὲ, τῆς ἐκκλήτου· τοῦτο δέ ἐστιν ἐξεῖναι τῷ βουλομένῳ καθάπερ εἰς μεῖζον καὶ ἐντελέστερον ἀνατρέχειν δικαστήριον τὸ τῆς παλαιᾶς Ῥώμης· καὶ τρίτου, τοῦ πρωτεύειν ἐν ἅπασι. περὶ δὲ τῆς προσθήκης, ἣν ἐκεῖνοι περὶ τὸ ἱερὸν καινοτομοῦσι σύμβολον, ἢ περὶ ἄλλης οἱασοῦν ὑποθέσεως ἀναγκαστική τις ἔρις τέως οὐ συνηνέχθη· ἀλλὰ μακρά τις ἠρεμία καὶ ἄνεσις τὰ μεταξὺ περιέτρεχε πράγματα τούτων γε εἵνεκα. (Β.) Ὅ γε μὴν πατριάρχης. Ἰωσὴφ τὴν τοιαύτην οὐ δεξάμενος κοινωνίαν παραχωρεῖ τοῖς βουλομένοις τῶν θρόνων· αὐτὸς δὲ μικρὸν τῆς βασιλευούσης ἐκκεχωρηκὼς φέρων ἑαυτὸν τῇ περὶ τὸν Βόσπορον τοῦ Ἀρχιστρατήγου μονῇ ἐδεδώκει, ἐκεῖ τὸ 1.126 λειπόμενον τῆς ζωῆς μεθ' ἡσυχίας καὶ σχολῆς βιώσων πνευματικῆς. ἐπὶ τούτοις ὁ ἱερὸς τῆς ἐκκλησίας σύλλογος αὐτός τε δῆλος ἦν οὐκ ἠρεμήσων καὶ τὸν ὄχλον ἀνέσειεν ἀπάγων τῆς κοινωνίας τοῦ βασιλέως, μαρτυρίου λέγων εἶναι καιρὸν καὶ στεφάνων ἀθλητικῶν· ὡς μέγαν


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐντεῦθεν ἐγείρεσθαι θόρυβον καὶ ἐπὶ μέγιστον κορυφοῦσθαι τὰ πράγματα κλύδωνα· καὶ ἀνάγκην εἶναι τῶν ἔξω πραγμάτων ἀποσπασθέντα τὸν βασιλέα πᾶσαν ἔνδον τὴν σπουδὴν μεταθεῖναι, μείζους τοὺς ἔνδοθεν ἡγούμενον κινδύνους τῶν ἔξωθεν πολεμίων. ἦσαν γὰρ οὐκ ὀλίγοι καὶ τῶν ἐν τέλει τῆς γνώμης τὰ δόγματα κατὰ τῶν βασιλικῶν προσταγμάτων ὁπλίζοντες μάλα ἐθελονταί· ἐν στενῷ μέντοι κομιδῇ καταστὰς ὁ βασιλεὺς οὑτωσὶ ἔγνω δυοῖν θάτερον εἶναι ἰτέον, τῆς τῶν πραγμάτων βιαίας ἀνάγκης ἕτερον οὐκ ἐπιδεχομένης πέρας ἐν τῷ παρόντι· ἢ γὰρ πάντας αὐτῷ συμφρονεῖν, ἢ πολεμίοις ἴσα τούτοις κεχρῆσθαι. (Γ.) Ταῦτ' ἄρα καὶ μειλιχίοις τὰ πρῶτα λόγοις καὶ ἤθεσιν ἱλαροῖς καταδημαγωγεῖν καὶ ὑποποιεῖσθαι τὰς τῶν στασιαζόντων ἐπειρᾶτο γνώμας, οἰκονομίαν εἶναι λέγων τὸ πρᾶγμα καὶ οὐ καινοτομίαν· φρονίμων δ' εἶναι, πρὶν γενέσθαι τὰ δυσχερῆ, προνοεῖσθαι ὅπως μὴ γένηται· κἄν τι δέῃ καινοτομεῖν ὑπὲρ τοῦ μὴ μείζοσι κινδύνοις περιπεσεῖν, μηδὲ τούτου φείδεσθαι. ἐὰν γὰρ ἐπίωσιν οἱ πολέμιοι, πολλαχῇ τῆς Κωνσταντινουπόλεως ἔτι διεῤῥηγμένης καὶ ἄρτι ἀνοικιζομένης καὶ οἷον εἰπεῖν ἀναβιωσκούσης ἐκ τῶν πρὸ βραχέος θανάτων, χείρονα τῶν προτέρων ἔσται τὰ παρόντα δεινὰ, καὶ κύριοι καθεστήξουσιν 1.127 οἱ πολέμιοι οὐ μόνον τῶν ἱερῶν, ἀλλὰ καὶ πάντων ἅμα, παίδων καὶ γυναικῶν καὶ πραγμάτων· οἱ δὲ τούτων δεσπόται ἀνάρπαστοι καὶ δοῦλοι ἀντ' ἐλευθέρων οὐ μόνον τὰ σώματα, ὅτι μὴ καὶ τὰς γνώμας αὐτὰς, ἀνάγκῃ βιαίᾳ πρὸς ἅπερ ἂν οἱ πολέμιοι βούλοιντο, ἑπόμενοι. καὶ τότε λελείψεται, μηδένα τὸν προστησόμενον εἶναι τῶν πατρίων ἐθῶν καὶ νομίμων· καὶ πρός γε ἔτι τῶν ἱερῶν θεσμῶν καὶ δογμάτων· ἀλλὰ πάντων ἔσται ῥᾳδία παρατροπὴ καὶ κατάλυσις. ἃ νῦν ἐγὼ προορώμενος διάκονον πρόθυμον ἐμαυτὸν ταυτησὶ τῆς οἰκονομίας κατεστησάμην. οἰκονομίας δ' ἐστὶν ἔμφρονος, ἀνάγκης κατεπειγούσης ζημιωθῆναι μικρὸν κέρδους εἵνεκα μείζονος· καὶ συγχωρῆσαι τὰ ἧττω τοῖς ἕλκουσιν ὑπὲρ τοῦ τὰ μείζω ῥᾳδίως καρποῦσθαι. (Δ.) Ταῦτα λέγων ὁ βασιλεὺς τοὺς μὲν ἔπειθε, τοὺς δ' οὐδαμῶς. ὅθεν τὸ πείθειν ἀφεὶς τὴν ἑτέραν ἐβάδισε· ταύτην δ' εἶναι τὴν τοῦ βιάζεσθαι· ἧς πρὸς πολλὰ καὶ διάφορα μεριζομένης εἴδη, πάντα ἦσαν ἐνεργὰ τῷ βασιλεῖ, δημεύσεις, ἐξορίαι, φυλακαὶ, ὀφθαλμῶν ἀφαιρέσεις, μάστιγες, χειρῶν ἐκτομαὶ, πάντα οἷς αἱ γνῶμαι τῶν ἀνδρικῶν καὶ μὴ δοκιμάζονται. ὅσοις μὲν οὖν κατ' ἐπίγνωσιν ὁ ζῆλος ἦν (σπάνιοι δ' οὗτοι ἐτύγχανον), οὗτοι στεῤῥάν τε καὶ ἀνδρικὴν τὴν ἔνστασιν ἐνδειξάμενοι πάντα ἀσμένως ὑπήνεγκαν καὶ πεπόνθασιν, ὁπόσα ἡ τοῦ βασιλέως ἐπήνεγκε χείρ. οἱ δὲ πλεῖστοι μηδὲν ὑγιὲς εἰδότες, ἀλλὰ δῆμος ὄντες καὶ ἀγοραῖος ὄχλος καὶ χαίροντες ἀεὶ ταῖς τοιαύταις καινοτομίαις, τρίχινα καθάπερ ἄλλην σκηνὴν ὑποδεδυκότες τριβώνια, πανταχῇ 1.128 τῆς οἰκουμένης ἐξήπλωσαν ἑαυτοὺς, ὅπη φῦλα Χριστιανῶν εἶναι ἐπύθοντο· ἔν τε Πελοποννήσῳ φημὶ καὶ Ἀχαΐᾳ καὶ Θεσσαλίᾳ ἔν τε τῇ Κολχίδι καὶ ὅπη μὴ ἐνῆν ἐπικράτεια τοῦ βασιλέως. καὶ περιῄεσαν ἔνθεν κἀκεῖθεν σποράδες καὶ πλάνητες, μήτε πρὸς τὸ καθόλου τὴν εἰρήνην ἐθέλοντες διασώζειν, μήτε πρὸς ἀλλήλους· ἀλλ' ὀνόματα περιθέντες ἑαυτοῖς ἄλλοι ἄλλα, οἱ μὲν Ἀρσενίου λέγοντες εἶναι τοῦ πατριάρχου καὶ τὰ ἐκείνου πρεσβεύειν, οἱ δὲ Ἰωσὴφ, οἱ δὲ ἄλλα λέγοντες, οὕτω τὸν χρόνον παρεκρούοντο πλανῶντες οἱ πλείους καὶ πλανώμενοι. ἦσαν γὰρ οἳ καὶ προφοιβασμοὺς ἀνά τε πόλεις καὶ κώμας ἐκήρυσσον, ὥσπερ ἀπὸ θεοπτίας ἄρτι κατιόντες. ταῦτα δ' ἐποίουν λημμάτων ἕνεκα καὶ βαλαντίων πληρώσεως· οἳ δὴ καὶ δι' αὐτό γέ τοι τουτὶ παρέμειναν οὕτως ἔχοντες ἐσαεὶ, μηδὲ μετὰ τῆς ἐκκλησίας διόρθωσιν τὴν δίαιταν ἀλλαξάμενοι. (Ε.) Ἐν τούτοις μέντοι τοῖς καιροῖς τῆς μεγάλης ἦν ἐκκλησίας χαρτοφύλαξ, ὄνομα Βέκκος, συνετὸς ἀνὴρ ἐν τοῖς μάλιστα καὶ λόγου καὶ παιδείας τρόφιμος· τοσούτοις δὲ καὶ παρὰ τῆς φύσεως συγκεκροτημένος χαρίσμασιν, ὅσοις τῶν τότε ἀνθρώπων οὐδείς. σώματος γὰρ εὐμήκει μεγέθει καὶ ὄψει μετὰ τοῦ χαρίεντος ἐμβριθεῖ καὶ μεγαλοπρεπεστάτῃ καὶ γλώττης εὐκολίᾳ καὶ δρόμῳ συντόνῳ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἄλλοις τε πλείστοις καὶ ἔτι διανοίας εὐπορίᾳ τε καὶ ὀξύτητι πρὸς ἅπαν τὸ προτιθέμενον, τούτοις ἅπασιν ἄριστα τοῦτον ἡ φύσις ἐξώπλισεν, ὡς εἶναι βασιλεῦσι καὶ ἄρχουσι καὶ πᾶσι σοφοῖς αἰδέσιμον καὶ λαμπρὸν περιλάλημα. τοῦτον γενναίως 1.129 ἀνθιστάμενον τῷ βασιλικῷ δόγματι παντοῖος ὁ βασιλεὺς ἐγεγόνει δι' ἑαυτοῦ τε καὶ τῶν τότε λογίων ἀποδείξεσι λογικαῖς καὶ νομίμοις πεῖσαι συνθέσθαι τῷ δόγματι. ἀλλ' ἐκεῖνος τῇ εὐθηνίᾳ τοῦ νοῦ καὶ τῆς γλώττης ἅπασαν συγκυκῶν ὡς εἰπεῖν ἀκοὴν ἀνέλυε τὰ τούτων προβλήματα, καθάπερ τινὰ Πηνελόπης ἱστόν. Ἑλληνικῆς μὲν γὰρ παιδείας εἵνεκα ἦσαν οἳ τότε προεῖχον αὐτοῦ· φύσεως δ' ὀξύτητι καὶ γλώττης δρόμῳ καὶ ἀσκήσει δογμάτων ἐκκλησιαστικῶν παῖδες ἀνδρὶ παραβαλλόμενοι πάντες ἐδόκουν ἐς αὐτόν. (΄.) Ἐπεὶ δ' ὁ βασιλεὺς τῶν ἐντεῦθεν ἐλπίδων ἐσφάλη, τὴν ἑτέραν ἐβάδισε· καὶ συλλαβὼν αὐτὸν καὶ γένος μικροῦ πᾶν δεσμωτηρίοις καθείργνυσι δεινοτάτοις. καὶ ἦν οὕτω ταῦτα. ὀψὲ δ' ἐπὶ νοῦν ἀναβιβασάμενος ὁ βασιλεὺς, ὡς καὶ πρὸ πέντε καὶ εἴκοσιν ἐτῶν ἐπὶ τῆς Ἰωάννου τοῦ Δούκα βασιλείας ἡ τοιαύτη παρὰ Λατίνων ἐκινήθη ὑπόθεσις, καὶ ἦν τηνικαῦτα σοφὸς ἀνὴρ Νικηφόρος ὁ Βλεμμύδης, θείων γραφῶν ἐμπειρότατος, ὃς σχολῇ δεδωκὼς ἑαυτὸν ἤρξατο συλλέγειν πολλὰς παρὰ τῶν θείων γραφῶν μαρτυρίας, συγκροτεῖν δοκούσας τῷ τῶν Λατίνων δόγματι, καὶ λογογραφεῖν ἐπὶ τούτοις, λάθρα μὲν διὰ τὴν τῶν πολλῶν ὑπόληψιν, ἐλογογράφει δ' οὖν ἔστιν ἅ· ταῦτα δὴ νῦν ὁ βασιλεὺς ἀνευρὼν πέμπει τῷ Βέκκῳ. ἅπερ αὐτὸς ἀναγνοὺς μετὰ πολλῆς ἀγχινοίας τὰς τῶν ἁγίων ἐζητήκει βίβλους, ἐξ ὧν ὁ Βλεμμύδης τὰς μαρτυρίας ἦν ἐκείνας ξυνειλοχώς· καὶ μάλα ἀσμένως παρὰ τοῦ βασιλέως τὸ ἐνδόσιμον εἰληφότι ἔργον ἦν 1.130 αὐτῷ τοῦ λοιποῦ, ἐπιμελῶς αὐτὰς ἐπιέναι καὶ ἀνιχνεύειν καὶ κατὰ λέξιν ἐπιστατεῖν· ὡς ἐν ὀλίγῳ τοσοῦτον αὐτὸν συνηθροικέναι μαρτυριῶν ὁρμαθὸν, ὥσθ' ἱκανὰς εἶναι βίβλους ὅλας πληροῦν· καὶ ὁ πρὶν μάχαιρα δίστομος κατὰ Λατίνων ἱστάμενος, πρύμναν ἤδη κρουσάμενος, ἑτεραλκέα τὴν νίκην ποιεῖται. (Ζ.) Δι' ἃ δὴ καὶ ἐπὶ τὸν πατριαρχικὸν ἀναβεβηκὼς θρόνον πάντα ἦν αὐτὸς τῷ βασιλεῖ, καὶ γλῶττα καὶ χεὶρ καὶ κάλαμος γραμματέως ὀξυγράφου καὶ λέγων καὶ γράφων καὶ δογματίζων· ἔχων συνεργοὺς καὶ συλλήπτορας τοῦ ἀγῶνος τόν τε Μελιτηνιώτην καὶ τὸν Μετοχίτην, ἀρχιδιακόνους ὄντας τοῦ βασιλικοῦ κλήρου· καὶ ἔτι Γεώργιον τὸν ἐκ Κύπρου. συνελειτουργήκει μὲν οὖν τῶν πάντων οὐδεὶς τοῖς τοῦ Πάππα, οὔθ' ὁ πατριάρχης αὐτὸς, οὔτε τῶν ἄλλων οὐδεὶς, ὅτι μὴ τὸ ἐνδόσιμον εἰληφότες τῶν Φρερίων τινὲς ἐλειτούργησαν ἅπαξ ἐν τῷ ναῷ τῶν Βλαχερνῶν διὰ χειροτονίαν τινὸς τῶν οἰκείων. ἀλλ' ἐπανακτέον τὸν λόγον. γ΄. Ἦν ἀδελφὴ τῷ βασιλεῖ ὄνομα Εὐλογία. ταύτῃ πολλῶν οὐσῶν θυγατέρων, τὴν μὲν μίαν τὴν Ἄνναν συνέζευξεν ἀνδρὶ Νικηφόρῳ, τῷ τῆς Αἰτωλίας ἄρχοντι· τὴν δὲ ἑτέραν τὴν Μαρίαν Κωνσταντίνῳ, τῷ τῆς Ζαγορᾶς ἄρχοντι· ἄρτι τῶν προτέρων αὐτῶν γυναικῶν τὸν βίον ἀπολιπουσῶν. ἀδελφὰς δὲ κἀκείνας ὁ λόγος φθάσας ἐδήλωσε καὶ θυγατέρας τοῦ βασιλέως Θεοδώρου τοῦ Λάσκαρι. (Β.) Ἐν τούτοις μέντοι τοῖς χρόνοις ἀνίσταταί τις ἐκ τῶν Βουλγάρων, βοσκηματώδης μὲν τὸ γένος ἀνὴρ, ποικίλος δὲ τὴν φρόνησιν καὶ δεινὸς καινοτέροις ἐπι 1.131 θέσθαι πράγμασιν, ὄνομα Λαχανᾶς· ὃς πολλοὺς προσεταιρισάμενος τῶν χυδαίων καὶ ἀτασθάλων ληστρικὸν ἐπετήδευσε βίον· ἐξ οὗ πολὺν ἐν βραχεῖ συνέλεξε πλοῦτον καὶ ἅμα στρατὸν ἱκανόν. τούτου τὰς συνεχεῖς καταδρομὰς καὶ ζημίας οὐκ ἀνεχομένῳ τῷ Κωνσταντίνῳ ἔδοξε συνηθροικότι τὰς ἑαυτοῦ δυνάμεις εἰς ἀντιπαράταξιν ἐξιέναι ἐκείνου καὶ διακυβεῦσαι τὸν περὶ τῶν ὅλων πραγμάτων κίνδυνον. αἰσχρὸν γὰρ εἶναι ἡγεῖτο, ἄνθρωπον τοῦ μηδενὸς ἄξιον ἐν βραχεῖ χρόνῳ μεγάλην ξυνειλοχότα δύναμιν οὐ μόνον μεγάλας ἐπάγειν συχνὰ τοῖς Βουλγάροις κακώσεις, ἀλλὰ καὶ μέγαν ὅλῃ τῇ ἀρχῇ τὸν κίνδυνον ἐπισείειν ἤδη. παρασκευασάμενος οὖν ἔξεισι· καὶ συμβαλὼν ἐκείνῳ νικᾶται καὶ στερεῖται μὴ μόνον τῆς ἀρχῆς, ἀλλὰ καὶ ζωῆς αὐτῆς· καὶ γίνεται παρ' ἐλπίδα μὴ μόνον τῆς ἀρχῆς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐγκρατὴς ὁ Λαχανᾶς, ἀλλὰ καὶ σύζυγος δεύτερος τῆς γυναικὸς Κωνσταντίνου. ὃς καὶ διενοεῖτο λοιπὸν τελευτῶντος τοῦ χειμῶνος ἅμα ἦρι πέμπειν ἐνέδρας καὶ κατὰ τῶν ὁμορούντων Ῥωμαϊκῶν χωρίων καὶ πολιχνίων, ἵν' ἀσθενεστέρων αὐτῶν γινομένων ἰσχυρότατος ἐκεῖνος δοκῇ. (Γ.) Ταῦτα τῷ βασιλεῖ ἀκουσθέντα οὐκ ὀϊστὰ ἔδοξαν, οὐδὲ λήθης ἄξια καὶ περιφρονήσεως· ἀλλ' ἐν παντὶ φροντίδος ἐχώρει καὶ πλήρης ἦν ἀθυμίας· οὐχ ὅτι τέως ἐνόμιζε φοβερὸν ἐκεῖνον, ἀλλὰ σπουδῇ χρώμενον θερμοτάτῃ πρὸς ὅπερ ἂν τὸ βουλόμενον ὑποτίθησι βλέπων ἔλεγεν ὁδῷ προβαίνοντα κατὰ μικρὸν ἐς μέγα δυνάμεως ἐπαρθῆναι, ὡς δυσκαταγώνιστον καὶ Ῥωμαίοις ὀψὲ γενέ 1.132 σθαι. χρῆναι δὲ τοὺς ἀκινδύνως βιοῦν ἐθέλοντας φθάνειν καὶ προαναστέλλειν τὴν ὁρμὴν τῶν δεινῶν· καὶ παρὸν ἐκ τοῦ ῥᾴστου τὰς ῥίζας ἐκτέμνειν ἐν τῷ παρόντι τῆς μελλούσης βλάστης, μὴ μέλλειν μηδὲ περιμένειν τῶν πονηρῶν ἔργων ἀμύνεσθαι μετὰ κινδύνων τὸν δράσαντα, παρὸν ἀκινδύνως τῆς διανοίας καὶ τῆς ὁρμῆς αὐτῆς. ὅθεν ἐπειδήπερ ὁ λόγος φθάσας ἐδήλωσε τὸν τοῦ Ἀσὰν ἀπόγονον τὸν Μυτζῆν περὶ τὴν Τροίαν ποιεῖσθαι τὴν δίαιταν δι' ἅς ποτ' εἰρήκειμεν τὰς αἰτίας, εἶτα αὐτὸς μὲν ἔφθη τὸν βίον ἀπολιπών· καταλελοίπει δὲ παῖδα Ἰωάννην τὸν Ἀσάν· τοῦτον ὁ βασιλεὺς νῦν μεταπέμπεται, ἄνωθεν ἐκ πατέρων τὰ δίκαια τῆς Βουλγαρικῆς ἀρχῆς κεκτημένον· καὶ τῇ ἑαυτοῦ θυγατρὶ συζεύξας Εἰρήνῃ πέμπει μετὰ βαρείας δυνάμεως ἐλευθερώσοντά τε τὴν Βουλγαρικὴν ἀρχὴν τῆς τοῦ Λαχανᾶ τυραννίδος καὶ ἅμα διαδεξόμενον αὐτὸν αὐτήν, δίκαιον κλῆρον ἤδη πρὸς αὐτὸν καταβεβηκυῖαν. (Δ.) Ὁ μέντοι Λαχανᾶς, ἐπειδήπερ ἔτυχε τηνικαῦτα τὴν ἐπὶ Σκύθας ἰὼν βεβαιώσεως ἕνεκα τῆς τυραννίδος, λαθραίαις τοῦ βασιλέως ἐπιβουλαῖς ἐκεῖ τὴν δι' αἵματος δίδωσι δίκην. ἀπονητὶ δ' ὁ Ἀσὰν τὴν ἀρχὴν διαδέχεται, τῶν Βουλγάρων ὑποδεξαμένων ἀσμένων. τούτων οὕτω τελεσθέντων ἐξωθεῖται καὶ Μαρία ἐκεῖθεν ἡ τοῦ βασιλέως ἀδελφιδῆ σὺν υἱῷ Μιχαὴλ, ὃν ἐκ τοῦ Κωνσταντίνου γεγέννηκε, καὶ ἥκει πρὸς Κωνσταντινούπολιν. ἐπεὶ δ' ὡς τὰ πολλὰ ταῖς μεγάλαις εὐφροσύναις ἐπιφύονται λῦπαι, καθάπερ τινὰ ξίφη πολέμια τὴν τῆς εὐθυμίας ἐκείνης κατάστασιν ἐπιταράττοντα καὶ συγχέοντα, οὐδ' ἐνταῦθα τὸ ἔθος 1.133 ἐπιλελοίπει· ἀλλ' ἦν τηνικαῦτα ἀνὴρ εὐγενὴς κἀν τοῖς μάλιστα συνετὸς καὶ τῷ δραστηρίῳ τῆς φύσεως ἐν Βουλγάροις ἐπίσημος, ὄνομα Τερτερῆς. τοῦτον οἰκειώσασθαι θέλων ὁ Ἀσὰν καὶ ἅμα περιποιούμενος ἑαυτῷ ἀφοβίαν γαμβρὸν ἐπ' ἀδελφῇ ποιεῖται, ἀφελόμενος καὶ ἀποστείλας ἐς Νίκαιαν τὴν προτέραν ὁμόζυγον σὺν τοῖς τέκνοις αὐτοῦ. τετίμηκε δ' ἐπὶ τούτοις αὐτὸν καὶ τῷ τοῦ δεσπότου ἀξιώματι· ἀλλ' οὐκ ἐνέμεινεν οὗτος ἐπὶ πολὺ τῇ πρὸς τὸν τετιμηκότα στοργῇ· ἀλλ' ἀφέλειαν καὶ κουφότητα πλείστην καταγινώσκων αὐτοῦ ἔλαθεν ἐν οὐ μακρῷ τῷ χρόνῳ τὰς γνώμας ἐφελκυσάμενος τοῦ τε στρατιωτικοῦ παντὸς καὶ πρός γε οὐκ ὀλίγων ὅσοι τῶν ἐν τέλει. ἔμελλε δὲ ἤδη καὶ τὸν Ἀσὰν διαχειρισάμενος ἐγκρατὴς ἔσεσθαι καὶ τῆς ἀρχῆς. ὅπερ αὐτὸς ἐγνωκὼς προσποιεῖται μετὰ τῆς γυναικὸς ἐκδημίαν ἐς τὸν πενθερὸν καὶ βασιλέα· καὶ λάθρα ξυναγαγὼν πᾶν ὅ, τι τῶν κειμηλίων καὶ χρημάτων ἦν τῶν Βουλγαρικῶν τὸ ἐξαίρετον, ἧκεν εἰς τὸ Βυζάντιον παρὰ τὸν βασιλέα καὶ πενθερόν· καὶ αὐτὸς μὲν ἐνταῦθα διήγαγε τοῦ λοιποῦ ὁ δὲ Τερτερῆς κατὰ πολλὴν τοῦ κωλύσοντος ἐρημίαν τὴν τῶν Βουλγάρων ἀρχὴν ἐκεῖ σφετερίζεται. εἶεν. δ΄. Ἐγὼ δὲ τοῦτο ἐκεῖνο τῶν πάλαι πολλῶν διακηκοὼς, ὡς πολιτικῶς καὶ μετρίως ἐνεγκεῖν εὐτυχίαν χαλεπώτερον. ἢ δυστυχίαν, νῦν μᾶλλον ἐπὶ τῆς χρείας ἐτεθαυμάκειν συννενοηκώς. ἰδοὺ γὰρ καὶ οἱ ἐκ Γεννούας ἀντιπέραν οἰκοῦντες τοῦ Βυζαντίου τῷ τῆς ἀτελείας κέρδει μεθυσθέντες καὶ πέρα φρονήσαντες τοῦ μετρίου κατεπαίρεσθαι ἤρξαντο Ῥωμαίων καὶ περιφρονεῖν ὡς 1.134 ἀσθενεστέρους. ἤδη δέ τις καὶ φιλονεικίαν τινὰ καθ' ἑνός τινος ἀράμενος ὑπὲρ βραχείας ὀπώρας προχειρότερον ἔσχε τὸ ξίφος τῆς γλώττης καὶ παραχρῆμα τὸν ἄνθρωπον τοῦ βίου ἀπήλλαξε. τοῦτο ἀκηκοὼς ὁ βασιλεὺς οὐχ ὡς ἑνὸς φονευθέντος τὸ πρᾶγμα παρέδραμεν, ἀλλ' ὡς ὅλης πόλεως



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

καταστραφείσης καὶ τοῦ βασιλικοῦ περιφρονηθέντος κράτους, οὕτως ἐζήλωκέ τε καὶ διανέστη· καὶ τὴν ταχίστην περιήγαγε τὸ στρατόπεδον περὶ πάσας αὐτῶν τὰς οἰκίας. οὔπω γάρ σφισι τειχῶν ὀχυρώματα ἦν καὶ πόλις εἰς ἀντίπαλον ὁπότε βούλοιτο καθισταμένη τῇ βασιλευούσῃ· καὶ τάχ' ἂν ἐμέλλησαν τότε πανωλεθρίᾳ φθαρήσεσθαι, εἰ μὴ σχῆμα περιθέντες ἐλεεινὸν καὶ ζημίαν ἑκούσιον αὐτοὶ ἑαυτοῖς ἐπιθέντες προσέπεσον δραμόντες αὐτίκα μάλα τῷ βασιλεῖ καὶ οὕτως ἀπήλλαξαν ἑαυτούς. (Β.) Τοῦτο τῆς βασιλέως σπουδῆς καὶ ὀξύτητος γέγονε γνώρισμα πρῶτον αὐτοῖς. δεύτερον δὲ καὶ μεῖζον· συνεστήσαντό τινες ἐκ τοῦ γένους αὐτῶν δύο τριήρεις ἐπὶ δίαιταν καὶ τρόπον πειρατικὸν, καὶ λάθρα διαβάντες τὰ περὶ Βυζάντιον τῆς θαλάττης στενὰ ἐπὶ τὸν Εὔξεινον πόντον ἐπεποιήκεσαν τὸν ἀπόπλουν, μὴ παρασχόντες τὴν συνήθη τῷ βασιλεῖ εὐφημίαν· οὐδὲ τοῦτο τοίνυν ἀτιμώρητον ἔδοξε παρεληλυθέναι τῷ βασιλεῖ. ὅθεν τριήρεις συνηθροικὼς οὐκ ὀλίγας καὶ μίαν μεγάλην ὁλκάδα περὶ τὴν ἄκραν ἵστησι τοῦ ἱεροῦ, (ὃ δὴ στόμα καλεῖται τοῦ Πόντου, ἔνθα τὰς Κυανέας καὶ Πλαγκτὰς ἔφασκον Ἕλληνες εἶναι) τὸν εἴσπλουν ἐκδεχομένας τῶν πειρατῶν, μὴ λαθόντες ἀπαθεῖς οἱ θρασεῖς ἐκεῖνοι καὶ ἀλιτήριοι διαδράσωσιν. ἐπεὶ δὲ τοῦτο ἐκείνους 1.135 οὐκ ἐλελήθει, μηχανῶνταί τινά σφισι σωτήριον τρόπον. πάντα γὰρ πλοῦτον ὃν ἐκ ληστείας συνήγαγον πραγματείαν ἐμπορικὴν ποιησάμενοι μεθ' ἑαυτῶν εἰς μεγίστην ἐμβιβάζουσιν ὁλκάδα καὶ πᾶσαν ἐπὶ τούτοις προκατατίθενται καὶ παρασκευάζουσι πανοπλίαν, ἵνα καιρὸν ἐπιτηρήσαντες, ὁπότε σφοδρότερον ῥέοιεν τῶν ἀρκτικῶν πνευμάτων αἱ πηγαὶ, λύσαντες ἀποπλεύσωσι καὶ βίᾳ ῥηξάμενοι τοὺς ἐπὶ τοῦ στόματος ναυλοχοῦντας ἀκίνδυνον τὸν εἴσπλουν ποιήσωνται. ἐπεὶ δὲ μετὰ μικρὸν σφοδρότερος ἄνωθεν κατεῤῥάγη βορέας, ἐπιφαίνεται κατιοῦσα καὶ ἡ πειρατικὴ ἐκείνη ὁλκὰς ἀπὸ πολλοῦ τοῦ πελάγους, μυρίοις ἐστεφανωμένη τοῖς ὁπλίταις, καθάπερ πόλις ὅλη κατὰ κυμάτων πεζεύουσα ἢ μᾶλλον πτηνοῦ δίκην ἐφιπταμένη τοῖς κύμασιν. (Γ.) Ἤδη δὲ καὶ αἱ βασιλικαὶ τριήρεις παρεσκευασμέναι παρῆσαν. ὁμοίως δὲ καὶ ἡ βασιλικὴ ὁλκὰς ἄρασα τὰς κεραίας οὔπω διεπέτασε τὰς ὀθόνας, ἀλλ' ἔμενεν ἠρεμοῦσα. ἐγγισάσης δὲ ἤδη καὶ τῆς πολεμίας ὁλκάδος, τότε καὶ αὕτη διαπετάσασα τὰς ὀθόνας λαμβάνει τὴν πολεμίαν, πῆ μὲν ἐκ πλευρᾶς, πῆ δ' ἐκ πρύμνας, ἑπομένη κατ' ἴχνος βάλλουσά τε καὶ βαλλομένη καὶ τὸν αἰθέριον εἰπεῖν ἐκεῖνον καὶ ἱπτάμενον πράττουσα πόλεμον. ἦν γὰρ ἰδεῖν διάφορα καὶ ποικίλα τάγματα στρατοπέδων ἐν ταὐτῷ κατ' ἀλλήλων συστάδην μαχόμενα. οἱ μὲν γὰρ ἀπὸ τῶν καταστρωμάτων τοὺς ἀπὸ τῶν καταστρωμάτων ἔβαλλον· οἱ δ' ἀπὸ τῶν ξυλίνων πύργων τοὺς ἀπὸ τῶν ξυλίνων πύργων· οἱ δ' ἀπὸ μετεώρου τῶν ἄκρων ἱστίων τοὺς ἀπὸ μετεώρου τῶν ἄκρων ἱστίων. ἐχρῶντο δὲ καθ' ἑκατέρων 1.136 ἑκάτεροι χειροπληθέσι χερμαδίοις καὶ βέλεσι τοξικοῖς· ἔστι δ' ὅτε καὶ πελέκεσι καὶ ξίφεσιν ἄλλοις, ὁπότε μάλα δὴ πελάσαιεν ἀλλήλοις. αἱ δὲ τριήρεις οὐ μάλα τοι ἐγγύθεν παραπλέουσαι μόνοις ἐχρῶντο τοῖς τηλεβόλοις βέλεσι. καὶ οὕτω δὴ μέχρι πολλοῦ τῆς ἡμέρας τὸν ἀπὸ τοῦ στόματος ἀμείβοντες αὐχένα εὐρώστως ἑκατέρωθεν ἅπαντες ἠγωνίζοντο, καὶ πρὸς μὲν ἀρχαῖς ἐπικρατέστερα τὰ Λατίνων ἐδόκει· ἔπειτα κωλυόμενον ὑπὸ τῶν τῆς βασιλικῆς ὁλκάδος ἱστίων τὸ πνεῦμα, ἀναπόσπαστα παραπλεούσης διηνεκῶς καὶ συμμέτρως ἔκ τε πρύμνης καὶ πλευρᾶς δεξιᾶς, ὅθεν ἐκεῖνο προσέῤῥει, μαλακώτερον τοῖς τῶν πολεμίων ἱστίοις προσέβαλλε καὶ οὐ στεῤῥὰν οὐδὲ μάλα τοι εὔτονον παρεῖχε τῇ ὁλκάδι τὴν κίνησιν. (Δ.) Ὃ δὲ μεῖζον Λατίνοις ἀτύχημα ἐγεγόνει, θρασύτερόν τις ἐξ αὐτῶν τῇ Ῥωμαίων ἐπιπηδήσας ὁλκάδι ὀξεῖ πελέκει τὰ καιριώτερα τῶν καλωδίων ἐξέτεμε· διὸ κατενεχθεῖσα ἡ κεραία κατὰ μέσην τὴν τῶν Λατίνων ὁλκάδα ἀπόλεμον ἐκείνης τὸ πλεῖστον ὁπλιτικὸν ἐξαίφνης πεποίηκε· κἀντεῦθεν ἀδεῶς κατὰ κύκλον καὶ αἱ τριήρεις πελάσασαι στεῤῥότερον ἐκ τοῦ σύνεγγυς ἔβαλλον. ἤδη δέ τις καὶ εἰσεπήδησεν ἔνδον τῆς πολεμίας ὁλκάδος, καὶ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἄλλος ἐπ' ἄλλῳ, καὶ τρεῖς ἐπὶ δύο, καὶ τέσσαρες ἐπὶ πλείστοις, ἕως τελέως κρατήσαντες, τῶν πολεμίων ὅσοι μὴ ἐτεθνήκεσαν, τοὺς μὲν τραυματίας, τοὺς δὲ δεσμώτας ἐκεῖθεν ἐξεῖλον. τοῦτο δεύτερον τῆς βασιλέως ὀξύτητος καὶ σπουδῆς ἐναργέστερον γνώρισμα· τοῦτο τοὺς Λατίνους εἰς 1.137 ἐσχάτην ἤλασε δειλίαν καὶ φόβον· καὶ τὸ πολὺ τοῦ θράσους μεταθεμένους καὶ τὸν συνήθη τῦφον ὡς ἄκαιρον ἀποῤῥίψαντας μετριωτέρους γενέσθαι ἠνάγκασεν. εʹ. Ἐγὼ δὲ ἐκεῖνο ἐπαναλήψομαι. τῷ σουλτὰν Ἀζατίνῃ φυγάδι ὡς εἴρηται γενομένῳ ἐκ τῆς πόλεως Αἴνου ἅμα τῷ υἱῷ αὐτοῦ Μελὴκ καὶ διαβάντι τὸν Ἴστρον, αὐτῷ μὲν τὸ βουλόμενον ἐκπληρῶσαι οὐκ ἐξεγένετο. φθάσαν γὰρ τὸ χρεὼν τῶν βουλευμάτων ἐξέτεμε τὰς ὁδούς. ὁ δὲ Μελὴκ βραχὺ διατρίψας αὐτόθι βίον ἔπηλυν καὶ οὐ μάλα οἱ ἀρέσκοντα εἶτα διὰ τοῦ Πόντου διέβη πρὸς τοὺς ἐν Ἀσίᾳ Σκύθας· ἀφ' ὧν τὸ ἐνδόσιμον εἰληφὼς ἧκε ζητῶν τὴν τῶν Τούρκων ἀρχὴν ὡς πατρικόν τινα κλῆρον. τῶν μὲν οὖν ἄλλων σατραπῶν οἱ μὲν συνῄεσαν καὶ προσῄεσαν ὅσα καὶ δεσπότῃ σφῶν αὐτῶν· οἱ δ' ἤμελλον. εἷς δέ τις Ἀμούριος ὄνομα δῆμον συνηθροικὼς λῃστρικὸν οὐ βραχὺν, ἀλλὰ μάλα συχνὸν, πόλεμον ἤρατο κατ' αὐτοῦ καὶ τέλος τρεψάμενος ἐδίωξεν ἄχρι θαλάττης· τότε μὲν οὖν ὁ Μελὴκ ἐς τὴν κατὰ Πόντον Ἡράκλειαν διεσώθη καταφυγών. ἦρος δ' ἐπιστάντος ἔδοξεν αὐτῷ ἀπιέναι πρὸς βασιλέα περὶ τὸ Νύμφαιον διατρίβοντα. καὶ μέντοι καὶ ἀπιὼν ἐκεῖ μὲν οὐκ ἀφίκετο· ὁ δὲ ἀλλ' ἑτέραν ἐτράπετο μεταξὺ καὶ παρὰ τοὺς Τούρκους αὖθις ἐλθὼν τὴν πατρικὴν ἐζήτει ἀρχήν. ὅθεν ἐν οὐ μακρῷ καὶ οὗτος τὸν βίον ἀπολιμπάνει, λάθρα τινῶν φονευτῶν συστάντων ἐπ' αὐτόν. (Β.) Τῆς δὴ τῶν Τούρκων ἀρχῆς οὕτω φθαρείσης καὶ τῶν πραγμάτων 1.138 ἐκείνων ἐξ εὐταξίας καὶ τύχης λαμπρᾶς εἰς ἀταξίαν μεγίστην κεχωρηκότων, οὐ μόνον σατράπαι καὶ ὅσοι τῶν γένει καὶ δόξῃ διαφερόντων, εἰς πλεῖστα τεμόντες τὴν ὅλην διέλαχον ἐπικράτειαν, ἀλλὰ καὶ πολλοὶ τῶν ἀδόξων καὶ ἀνωνύμων ὄχλους τινὰς συρφετώδεις προσεταιρισάμενοι πρὸς λῃστρικὸν ἀπέκλιναν βίον, μηδὲν τόξου καὶ φαρέτρας ἐπιφερόμενοι πλέον· οἳ καὶ τὰς τῶν ὀρῶν δυσχωρίας ὑποδυόμενοι συχναῖς καὶ λαθραίαις ἐχρῶντο ταῖς ἐκδρομαῖς καὶ τὰς ὁμόρους χώρας καὶ πόλεις Ῥωμαίων κακῶς διετίθεσαν. συνέβη γὰρ καὶ πρὸ βραχέος τοὺς τὰς ἄκρας οἰκοῦντας φύλακας μετανάστας ἐκεῖθεν γενέσθαι δι' ἔνδειαν τῶν ἐτησίων λημμάτων, ἃ παρὰ τοῦ βασιλικοῦ πρυτανείου ἐλάμβανον. ὅπερ ὡς οὐδενὸς ἄξιον παροραθὲν ἐν ἀρχαῖς μέγιστον ὕστερον ἔδοξε Ῥωμαίοις ἀτύχημα καὶ τῶν μάλα μεγίστων αἴτιον συμφορῶν. οἱ δὲ τὰς σατραπείας ἐκεῖνοι πολλαχῇ διελόμενοι Τοῦρκοι παρὰ Σκυθῶν ἐλαυνόμενοι Ῥωμαίους ἤλαυνον· καὶ ὅσον πρὸς Σκύθας ἐθηλύνοντο, τοσοῦτον κατὰ Ῥωμαίων ἠνδρίζοντο· ὡς εἶναί σφισι τὴν τῶν Σκυθῶν ἔφοδον οὐ συμφορῶν αἰτίαν, ἀλλὰ σφόδρα μεγίστης χορηγὸν εὐτυχίας. εἰσεχέοντο μὲν οὖν κατὰ πλήθη ἔκ τε Παφλαγονίας ἔκ τε Παμφυλίας καὶ τὴν Ῥωμαίων ἐδῄουν γῆν· ἤδη δὲ καὶ πόλεμοι συνεῤῥήγνυντο συνεχεῖς· εἷς δὲ καὶ μέγιστος, ὃς καὶ Ῥωμαίοις ἀρχηγέτης γέγονε τῶν ὅλων κακῶν. (Γ.) Στρατοπέδων πολλῶν Τουρκικῶν ἀθροισθέντων περὶ Παφλαγονίαν ἔδοξε τῷ βασιλεῖ μεγάλην καὶ ἀξιόμαχον στείλαντι δύναμιν τὴν ἐκείνων ὀξεῖαν ἀναχαιτίσαι ἔφοδον, καθόσον ἐφικτόν· μὴ καθάπερ πύλας ῥήξαντες ἐκεῖνο τὸ μέρος 1.139 μετὰ πολλῆς ἔπειτα τῆς ἀδείας καὶ κατὰ τῆς ἄλλης χεθῶσι χώρας. ἔπεμψεν οὖν στρατόν τε ἱκανὸν καὶ τοὺς ἄξοντας στρατηγοὺς, οἳ διὰ κακοβουλίαν αὐτοί τε ἐσφάλησαν καὶ τὸ πᾶν ἀπώλεσαν στράτευμα. οἱ γὰρ Τοῦρκοι τῇ ὑστεραίᾳ μελλούσης τῆς μάχης συῤῥήγνυσθαι διαγρηγορήσαντες πρὶν ἡμέραν γενέσθαι προλοχίζουσιν οὐκ ὀλίγας ἐνέδρας παρὰ τὰς πρὸς ἕω τοῦ πλησίον ποταμοῦ ὄχθας· κἄπειτα διαβάντες τὸν ποταμὸν ἐνταῦθα πηγνύουσι τὸ στρατόπεδον. τῆς δὴ προσηκούσης ὥρας ἐληλυθυίας συνῄεσαν τὰ στρατόπεδα. καὶ τὰ μὲν πρῶτα οὐ μάλα ἀνυπόστατος ἔδοξε Τούρκοις ἡ Ῥωμαίων ὁρμή· ἀλλ' ἐκαρτέρουν ὅμως καὶ ἀντεῖχον μαχόμενοι, οὐ συστάδην τὴν μάχην ποιούμενοι, ἀλλὰ συχνῶς ἐναλλασσομένην, ὡς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἔθος αὐτοῖς. νῶτα γὰρ δεικνύουσι φεύγειν δοκοῦντες· εἶτα ἐπαναστρέφουσι τάχιστα καὶ συχνὰ τοῦτο ποιοῦντες διατελοῦσιν, ὡς ἂν τὴν τῶν ἀντιπάλων στρατοπέδων τάξιν ταράττωσι καὶ τῆς προσηκούσης στάσεως ἐξιστῶσι· κἄπειτα οὕτω τεταραγμένοις ἐπεισπίπτοντες ῥᾷστα κατατροποῦνται. (Δ.) Τότε μὲν οὖν κατὰ Ῥωμαίων ἀνύσαι τὸ σφῶν αὐτῶν ἐπιτήδευμα οὐ δεδύνηνται κράτιστα πεφραγμένων καὶ ὡπλισμένων· ἀλλὰ μάλα τοι τῶν οἰκείων πλείστους ἀποβαλόντες ἔφευγον παρὰ τὸν ποταμὸν ἀμεταστρεπτί· ἐδίωκε δ' ὁ στρατὸς (ὡς μὴ ὤφελον) ἀναπόσπαστα· καὶ ταῦτα τῶν συνετωτέρων στρατηγῶν συχνὰ βοώντων καὶ κωλυόντων τὴν δίωξιν, οὐ μάλα τοι πεφυκυῖαν ἀνύποπτον, οὐδὲ πόῤῥω που δέους. ἀλλ' ἐχρῆν ἄρ', ὡς ἔοικεν, ἀρχὴν ἐκεῖνον εἶναι τὸν πόλεμον τῆς Ῥωμαίων καταστροφῆς, κολαζούσης μετρίως ἄνω 1.140 θεν τῆς προνοίας μυρίων χάριν ἁμαρτημάτων. ταύτῃ τοι καὶ διαβάντας τὸν ποταμὸν διαβάντες ἐδίωκον καὶ αὐτοὶ, κόπτοντες ἀεὶ τοὺς νωθρότερον φεύγοντας, ἕως ἐνέτυχον αἰφνιδίως καὶ ἀπροόπτως τοῖς λόχοις τῶν Τούρκων, ἀνδράσιν ἀναπεπαυμένοις καὶ ἀκμάζουσιν ἄνδρες ἀσθμαίνοντες ὑπὸ δρόμου καὶ καύματος· καὶ οὕτω δὴ κυκλωθέντες ἐκεῖθεν μὲν μυριάσι στρατοῦ, ἐντεῦθεν δὲ τῷ ποταμῷ, πλὴν ὀλίγων ἅπαντες κατεκόπησαν, ὀλίγον δυνηθέντες ἐνδείξασθαί τι λόγου καὶ μνήμης ἄξιον. (Ε.) Ἐκεῖθεν μέντοι ἀρξάμενοι καθάπερ πύλης ἀνοιχθείσης κατὰ πολλὴν ἤδη τοῦ κωλύσοντος ἐρημίαν οἱ πολέμιοι πᾶσαν ἐπόρθουν καὶ ἔκαον τὴν Ῥωμαίων χώραν, κατιόντες ἄχρι Σαγγαρίου τοῦ ποταμοῦ. ὅθεν ἀπηγορευκὼς ὁ βασιλεὺς πολιχνίοις συχνοῖς ὠχύρωσε τὸν ποταμὸν Σαγγάριον, μὴ καὶ αὐτοῦ ἐπιβάντες κυριεύσωσι Βιθυνίας. οὐ γὰρ ἔκρινε δεῖν ἀποσπάσαι τὰς ἄλλας Ῥωμαίων δυνάμεις, ὅθεν ἀπησχόληντο. αἱ μὲν γὰρ Θρᾳκικαὶ ταῖς Βουλγαρικαῖς ἀπησχόληντο μάχαις· αἱ δὲ Μακεδονικαὶ ταῖς τε Θετταλικαῖς καὶ ταῖς τῶν Ἰλλυριῶν· αἱ δ' αὖ τῆς κάτω Ἀσίας, ὅσην Φρυγία τε καὶ Λυκία ὁρίζουσι καὶ οἱ περὶ Μαίανδρον ἀρδεύουσι ποταμοὶ, πρὸς τὰς λῃστρικὰς ἐφόδους τῶν ἄλλοτε ἄλλοσε ἐρχομένων Τούρκων ἔμελλον ἀπαντῆσαι· τό, τε ναυτικὸν καταλύειν καὶ ἀνθέλκειν πρὸς ἤπειρον τῶν ἀτοπωτάτων ἐδόκει. τάχιστα γὰρ ἂν οὕτω γε ἀνατραπήσεσθαι καὶ τὴν τῆς θαλάττης γαλήνην πρὸς χειμῶνας καὶ κλύδωνας μείζους τῶν τῆς Ἀσίας. ὅθεν κατὰ χώραν μενούσας αὐτὰς αὐτόθεν ἀπαντᾷν πρὸς τοὺς πολε 1.141 μίους ὁ βασιλεὺς προσετετάχει, ἀγαπητὸν εἶναι μᾶλλον κρίνας τὴν ἐσκεμμένην τῶν ὄντων ἀσφάλειαν, ἢ τὴν μετὰ κινδύνων ἄδηλον ἔκβασιν. (ʹ.) Ἐπεὶ δὲ ταῖς κατὰ τὴν Ἀσίαν ἄκραις τῶν ἡμετέρων ὁρίων ἐς οἴκησιν σφῶν αὐτῶν ἀδεῶς οἱ βάρβαροι κατεχρήσαντο καὶ κατὰ σατραπείας ὅσην αἰχμάλωτον ἔσχον γῆν αὐτοὶ διελόμενοι διέζωσαν πᾶσαν ἀπὸ θαλάσσης τῆς περὶ Πόντον καὶ Γαλατίαν ἕως θαλάσσης τῆς περὶ Λυκίαν καὶ Καρίαν καὶ ποταμὸν τὸν Εὐρυμέδοντα· τίς ἂν ἱκανὸς εἴη μακρότερον Ἰλιάδος ἀποτεῖναι λόγον πρὸς ἀξίαν ἀφήγησιν τῶν δεινῶν, ὧν ἐπῆγον Ῥωμαίοις διηνεκῶς ἐφ' ἡμέρᾳ καὶ νυκτὶ, ὡς τοσοῦτον ἐσαεὶ τὰ Ῥωμαίων ἐς φθορὰν καταῤῥεῖν, ὅσον οἱ βάρβαροι προὐχώρουν ἐπὶ τὸ μεῖζον; πάντα μὲν γὰρ ὡς ἐν κεφαλαίῳ ξυνειλοχότας παραδραμεῖν νωθρᾶς ἂν εἴη καὶ γνώμης καὶ γλώττης· καὶ μία μὲν οὐδεμία γένοιτ' ἂν αἴσθησις, ὅσων ἄξια θρήνων τὰ πεπραγμένα. πάντα δ' αὖ καθ' ἕκαστον ἀφηγεῖσθαι πειρᾶσθαι μήτε τῶν ἡμῖν δυνατῶν εἶναι, καὶ πρός γε ἔτι δεήσει πηγὰς δακρύων ἀφιέναι συχνὰ τῶν ὀφθαλμῶν, ὅσοι φίλοικτον καὶ μάλα εὐαίσθητον ἔσχον καρδίαν· καὶ δόξομεν αὐτοί γε ἡμεῖς μονῳδεῖν, οὐχ ἱστορίαν διεξιέναι. ὅθεν οὔτε πάντα λεκτέον οὔτε πάντ' ἀφετέον· ἀλλὰ μέτριά τινα λεκτέον ἀπολεξαμένοις ἀπὸ πολλῶν καὶ ἄλλοτ' ἄλλα, κατὰ καιρὸν ἕκαστα τὸν προσήκοντα. (Ζ.) Ἐν μὲν οὖν τῇ πρώτῃ ἐκείνῃ ἐφόδῳ πλείστην καὶ ἀναρίθμητον ξυναγαγόντες οἱ βάρβαροι λείαν ἀνδρῶν τε καὶ γυναικῶν καὶ ὅσα τῶν πραγμάτων εὐζώνοις ἀνδράσιν ἐτύγχανον φορητὰ, διεμερίζοντο κατὰ σφᾶς. μετὰ 1.142 μέντοι τῶν ἄλλων ἦσαν ἐν ἐκείνῃ τῇ λείᾳ καὶ ἀδελφαὶ δύο κόραι νεάζουσαι· αἳ δὴ, ἐπειδὴ χωρίζεσθαι ἤμελλον ἀπ'



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀλλήλων διὰ τὸ μὴ ὑφ' ἑνὶ δεσπότῃ λαχεῖν, στᾶσαι κατὰ πρόσωπον ἀλλήλαις ἥττους τοῖς θρήνοις ἀπέδειξαν τήν τε Ἑκάβην ἐκείνην τὴν ἀπὸ Τροίας καὶ Νιόβην ἐκείνην τὴν δι' αἰῶνος δακρύουσαν καὶ πάσας ὁπόσας βίβλοι φέρουσι τραγικαί· ἐστερνοτυποῦντο πικρῶς, ῥύακας αἱμάτων ἐτρύγων τοῖς ὄνυξιν, ἐπυρπολοῦντο τὰ σπλάγχνα, στεναγμοὺς ἀνέπεμπον οἷα καπνὸν ἐκ μεγάλης καμίνου· τέλος περιπλακεῖσαι ἀλλήλαις ὑπὸ λειποθυμίας εὐθὺς τοῦ ζῆν ἀπεῤῥάγησαν, ὥσπερ οὐκ ἀνεχομένης ἐνδοῦναι τῆς φύσεως διαζευχθῆναι τὰ σώματα πρότερον ἢ τὰς ψυχάς. (Η.) Συνέβη δ' ἐπὶ τούτοις ἀπελθόντα τὸν τοῦ βασιλέως υἱὸν Ἀνδρόνικον ἐντολαῖς πατρικαῖς ἀνοικοδομῆσαι πάλαι πεπτωκυῖαν τὴν πέραν Μαιάνδρου τοῦ ποταμοῦ πόλιν οὕτω πως ἐπικεκλημένην Τράλλεις, ἔρυμα δῆθεν γενησομένην τῶν ἔγγιστα χωρίων, ὁπότε κατατρέχοιεν οἱ πολέμιοι· ἀλλ' οὔπω μετὰ τὴν κτίσιν τέτταρες ὅλοι παρῆλθον ἐνιαυτοί, καὶ κυκλωσάντων τῶν Τούρκων καὶ περιστρατοπεδευσάντων ἐφ' ἱκανὸν, ἠναγκάσθησαν ἔνδοθεν ὅσοι μὴ τῇ δίψῃ καὶ τῷ λιμῷ ἐτεθνήκεσαν ἑαυτοὺς τοῖς πολεμίοις προδοῦναι, εἴκοσι χιλιάδων τὸ πλῆθος οὐ μείους ὑπάρχοντες· οἳ δὴ καὶ ἀπαγόμενοι δέσμιοι τοὺς τελευτήσαντας ἐμακάριζον, ἅπαξ δουλείας καὶ πόνων ἀπαλλαγέντας μακρῶν. (Θ.) Ἀλλ' ἐκεῖνο μικροῦ με παρέδραμεν. ἀνοικοδομουμένης, ὡς εἰρήκειμεν, τῆς 1.143 πόλεως ταυτησὶ εὕρηται λίθος πάλαι πολὺν κατορωρυγμένος ἐκεῖ που τὸν χρόνον, ἐν ᾧ ἐνεγέγραπτο χρησμὸς οὑτοσί· τῆς δὲ πόλεως Τράλλεως τὸ κάλλος χρόνοις ἐσεῖται σβεννύμενον. τὸ δὲ πολλοστὸν ταύτης καταλειφθὲν ἐν ὑστάτοις ἐκφοβηθήσεται ἔθνει ἀνάρχῳ. ἁλώσεται δὲ οὐδαμῶς. ἀνακαινισθήσεται δὲ παρὰ δυνατοῦ νικωνύμου, ὃς ὀκταπλῆν ἀγλαῶς ἐννάδα βιώσει δίσκων καὶ τρὶς ἑπτὰ κυκλῶν πόλιν Ἀττάλου λαμπρυνεῖ. ᾧ καὶ πόλεις ἑσπέριαι ὑποκύψουσι, καὶ ἀγέρωχοι ὑποκλιθήσονται παιδικῶς. οὗτος ὁ χρησμὸς τοῖς πολλοῖς οὐ παλαιὸς ἐδόκει χρησμὸς, ἀλλὰ νεωτέρων πλάσμα τινῶν. ἦσαν δ' οἳ καὶ πιστὸν ἡγοῦντο καὶ ἀληθῆ· καὶ πολλοὺς ἐντεῦθεν ὑπέτεινον χρόνους τῷ βασιλεῖ τῆς ζωῆς. οὐ γὰρ ἐπὶ μόνην ἵσταντο τὴν ὀκταπλῆν ἐννάδα, ἣ πρὸς δύο καὶ ἑβδομήκοντα ἀναλύεται ἔτη· ἀλλὰ καὶ τοὺς τρὶς ἑπτὰ προσετίθεσαν κύκλους, ὡς ἔτη γίνεσθαι ἅμα τὰ πάντα τρία καὶ ἐνενήκοντα. ἀλλ' ὥσπερ καὶ τἄλλα τῶν χρησμοδοτουμένων δυσείκαστά εἰσι καὶ δυσξύμβολα καὶ πλείστας δεχόμενα τὰς ἀνελίξεις καὶ ἀναπτύξεις μέχρις αὐτῆς ἐκβάσεως, οὕτω καὶ οὗτος ὁ χρησμὸς ἐπλάνα τοὺς πλείστους καὶ αὐτὸν δὴ τὸν βασιλέα Ἀνδρόνικον μέχρις αὐτῆς τελευτῆς, ὡς εἰρήσεται. ἐξ ἀνθρώπων δ' αὐτοῦ γενομένου αὐτὸς ἑαυτὸν ὁ χρησμὸς διεσάφησεν. ἐγένοντο μὲν γὰρ ἔτη τὰ μὲν μετὰ τῶν βασιλικῶν παρασήμων τῆς τοῦ βασιλέως Ἀνδρονίκου ζωῆς δύο καὶ ἑβδομήκοντα· τὰ δὲ μετὰ τοῦ μονα 1.144 χικοῦ σχήματος ἕτερα δύο ἔγγιστα. τὸ δὲ, τρὶς ἑπτὰ κυκλῶν, οὐδὲν ἦν ἕτερον, ὥς φασιν, ἢ ὅτι πρῶτον καὶ εἰκοστὸν τηνικαῦτα παρήμειβεν ἔτος, ὁπότε τήνδε τὴν πόλιν ἀνέστησε καὶ ἐλάμπρυνεν. ἦν δὲ τῆς πόλεως πρῶτος οἰκιστὴς ταυτησὶ Ἄτταλός τις εὐγενὴς, ἄποικος Τροίας, εἰς ὑπόμνημα ταύτην ἐγείρας τῆς παλαιᾶς ἐκείνης Τροίας ἁλούσης· ὅθεν καὶ ἀναλυομένου τοῦ ὀνόματος τούτου Τροία ἄλλη καλοῖτ' ἂν ἡ τοιαύτη πόλις. ἀλλὰ τὰ μὲν περὶ τῆς τοῦ βασιλέως Ἀνδρονίκου βιοτῆς καὶ τελευτῆς εἰρήσεται καθ' ἕκαστον κατὰ τὸν προσήκοντα τόπον ἔμπροσθεν· νῦν δ' ἐπὶ τὸ πρότερον ἴχνος τοῦ λόγου φέρε ἐπανακάμψωμεν. ΄. Ἔφθημεν ἀποδεδειχότες τὸν ῥῆγα τῆς Ἰταλίας Κάρουλον ἄνδρα μεγαλουργὸν καὶ βελτίστῃ δυνάμει συνέσεως χρώμενον ἔς τε τὰς ἐπινοίας καὶ τὰ βουλεύματα ὧν ἔμελλε δρᾷν ἔς τε αὐτὰ δὴ τὰ δρώμενα. ἀλλ' ἀντέπραττεν αὐτῷ καθάπαξ εἰπεῖν ἡ τοῦ βασιλέως δραστικωτέρα ὀξύτης καὶ ἀντεκάθητο ὑπερδέξιος· καὶ πέρας οὐ συνεχώρει χρηστὸν οὔθ' οὗτος ταῖς ἐκείνου κατὰ Ῥωμαίων ἐπακολουθῆσαι πράξεσιν, οὔτ' ἐκεῖνος ταῖς τοῦ βασιλέως κατὰ Λατίνων· ἀλλ' ἦν οὕτως ἐπὶ μακρὸν τὰ ἐξ ἀμφοτέρων ἀντίπαλα καὶ ἰσόῤῥοπα, ὡς καὶ φήμην ἐξενεχθῆναι τοιαύτην πρὸς τῶν συνετωτέρων ἀνδρῶν εὐστόχως ἐπ' ἀμφοῖν


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

εἰρημένην, ὡς εἰ μὴ τηνικαῦτα τοιοῦτος βασιλεὺς τοῖς Ῥωμαίων ἐπεστάτει πράγμασι, ῥᾳδίως ἂν ὑπὸ τῷ ῥηγὶ τῆς Ἰταλίας Καρούλῳ ἡ Ῥω 1.145 μαίων ἡγεμονία ἐγεγόνει· καὶ αὖ τὸ ἀντίστροφον, εἰ μὴ τηνικαῦτα τοιοῦτος ῥὴξ τοῖς Ἰταλῶν ἐπεστάτει πράγμασι, ῥᾳδίως ἂν ὑπὸ τῷ βασιλεῖ ἡ Ἰταλῶν κατέστη ἡγεμονία. ὥστε καὶ θαυμάζειν ἔπεισί μοι τὴν ἀνεξιχνίαστον τοῦ θεοῦ πρόνοιαν, πῶς κἀκ τῶν ἄκρων ἐναντίων ἓν ποιεῖ συνάγεσθαι τέλος. ὁπόταν γὰρ ἐναντιουμένας ἀλλήλαις δύο τινὰς ἐπαρχίας συνίστασθαι καὶ ἄμφω βούληται καὶ μηδετέραν παρὰ τῆς ἑτέρας κυριευθῆναι, δυοῖν οἰκονομεῖ θάτερον· ἢ γὰρ μεγαλογνώμονας καὶ σπουδαίους ἑκατέραις τοὺς ἀρχηγοὺς ἐφευρίσκει καὶ ἐφιστᾷ, ὡς ἂν κατὰ ἀντιπερίστασιν παρ' ἑκατέρων τὰ ἑκατέρων ὁρμήματα θραύηται καὶ ἀνενέργητα διαμένῃ, καί τ' ἀσφαλὲς οὑτωσὶ τοῖς τόποις διασώζηται· ἢ καὶ ἄμφω τοὺς ἀρχηγοὺς ὀλιγογνώμονάς τε καὶ ἀσθενεῖς, ὡς μηδέτερον καθ' ἑτέρου κινεῖσθαι δύνασθαι, μηδ' ὑπὲρ τὰ ἐσκαμμένα πηδᾶν καὶ συγχεῖν τοὺς ἀρχαιοτέρους τῶν ἐπαρχιῶν ὅρους· καὶ οὕτως ἐξ ἀμφοτέρων τῶν ἄκρων ἐναντιωμάτων μίαν ποιεῖται ἀσφάλειαν. (Β.) Ἰδοὺ γὰρ κἀνταῦθα παρὰ πάντα τὸν χρόνον τῆς αὐτοῦ βιοτῆς οὐκ ἔληξεν ἐπίβουλα δρῶν καὶ πολέμια κατὰ τῶν Ῥωμαίων ὁ Κάρουλος· ἀλλ' ἔμενεν ἄπρακτος παρευδοκιμούμενος ταῖς τοῦ βασιλέως ὀξείαις ἀντεμβολαῖς καὶ ἀντεπιχειρήσεσι. καὶ τὰ μὲν ἄλλα κατὰ τὴν οἰκείαν ἕκαστα διεξεληλύθειμεν χώραν· ἤδη δὲ τὸ τελευταῖον ἐρῶν ἔρχομαι. ὤδινε μὲν γὰρ ὁ Κάρουλος ἀεὶ κατὰ βασιλέως ἐπιβουλὴν καὶ καιρὸν ἐζήτει τὴν ὠδῖνα ἐκρῆξαι. ἄρτι δ' ἐκπολεμωθέντας ἰδὼν κατὰ βασιλέως ἔνθεν μὲν Ἰωάννην τὸν σεβαστοκράτορα τὸν τῆς Θετ 1.146 ταλίας ἄρχοντα, ἐκεῖθεν δὲ τοὺς Ἰλλυριούς, ἔγνω καιρὸν καὶ αὐτὸς ἔχειν οὕτω τεταραγμένοις τοῖς Ῥωμαίων ἐπιθέσθαι πράγμασιν ἔκ τε γῆς καὶ θαλάττης καὶ ἀνύσαι τὸ πάλαι σκοπούμενον. καὶ δὴ πολλὰς τὰς ναυτικὰς ἐξαρτύσας δυνάμεις πλείονα συγκροτεῖ τὰ ἐκ τῆς χέρσου στρατόπεδα, ὧν ἡγεμόνα καθίστησιν ἄνδρα γεννάδαν ὄνομα Ῥωσονσουλῆν. οὗτος τὰς ἠπειρωτικὰς παρειληφὼς δυνάμεις διαπερᾷ τὸν Ἰόνιον, καὶ ἦν αὐτῷ σκοπιμώτατον ἐκπολιορκήσαντι τὸ τῶν Βελλεγράδων φρούριον καὶ ὅσα τῶν Μακεδονίας καιριωτέρων, ἔπειτα ἀδεῶς ἄχρι Βυζαντίου πορεύεσθαι. μηδὲ γὰρ ἔσεσθαι μηδένα, ὃς πρὸς τοσαῦτα στρατόπεδα καὶ οὕτω στεῤῥῶς ὡπλισμένα πολέμιον ὀφθαλμὸν ἀντιστήσας ἔπειτα καλῶς ἀπαλλάξει. (Γ.) Τῷ γε μὴν βασιλεῖ τοσαύτην ἀκοὴν δεδεγμένῳ οὐκ ἐνῆν ἠρεμεῖν, ἀλλ' ἀνθίστασθαι καὶ ὅπλοις καὶ χρήμασι καὶ τοῖς ἀπὸ συνέσεως μηχανήμασί τε καὶ ἀκροβολισμοῖς. ἐντεῦθεν ἔστιν ἰδεῖν, ὅσον ὑπερέχει σύνεσις ὅπλων καὶ φρονήσεως ἐπιτηδεύματα μυριάδων στρατοῦ. πρῶτον μὲν οὖν χρήματα πέμψας παντοδαπὰ τὸν Σικελίας ἐξεπολέμωσε ῥῆγα Φερδέριχον κατὰ τοῦ Καρούλου, ἵν' εἰ μή τι ἄλλο, τῶν γοῦν ναυτικῶν δυνάμεων ἐκείνου κωλύῃ τὸν ἔκπλουν καὶ ἀντιπερισπᾷ τὰς καιριωτέρας φροντίδας πρὸς τοὺς ἐκ πλευρᾶς ὡς εἰπεῖν πόνους μᾶλλον ἢ τοὺς ὑπερορίους· ὃ δὴ καὶ μέγιστον ἔδοξεν ἔργον καὶ τελεσιουργὸν, εἴπερ τι τῶν πάντων ἕτερον. τὰς μὲν οὖν ναυτικὰς τοῦ Καρούλου δυνάμεις οὕτως ἀπράκτους ἀπέδειξεν ἡ τοῦ βασιλέως σύνεσις, πρὸς τοὺς ἐγγύθεν πολέμους ἀντιπερισπάσας αὐτάς. (Δ.) Μετὰ 1.147 δὲ ταῦτα δεήσεις πρὸς θεὸν παραγγείλας ἁπάσαις ταῖς ἐκκλησίαις τὸν ὄντα Ῥωμαίοις τηνικαῦτα στρατὸν ἐκπέμπει κατὰ τοῦ Ῥωσονσουλῆ· οἷς δὴ καὶ ἀπελθοῦσιν οὐκ εὖ ἔχειν ἔδοξεν οὐδὲ πάνυ τοι ἀσφαλὲς πόλεμον ἐμφανῆ κατὰ τῶν ἐναντίων ἐγείρειν, πλείστων τε ὄντων καὶ λίαν ἀσφαλῶς ὡπλισμένων καὶ ἄριστα πεφραγμένων· ἀλλ' ἐνέδραις καὶ λόχοις καὶ ἀκροβολισμοῖς ἐκ λόφων ὑπερδεξίων παρακειμένων τὴν ἐκείνων παροξύνειν ὀφρὺν καὶ τὸν τῦφον ἐς ἀσύντακτόν τινα κίνησιν καὶ ὁρμήν. τὸ γάρ τοι γένος τῶν Ἰταλῶν τοιούτοις ἀρχῆθεν συντέθραπται τοῖς ἤθεσι. ἂν μὲν γὰρ εὐτάκτως ἀπαντᾷ πρὸς τὸν πόλεμον, τεῖχός ἐστιν ὀχυρὸν καὶ ἀμήχανον· ἂν δὲ βραχύ τι τῆς νενομισμένης παραλύσῃ τάξεως, οὐδὲν ἂν εἴη τὸ κωλύον αἰχμαλώτους σφᾶς ὑπὸ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τῶν πολεμίων αὐτίκα μάλα ἀχθήσεσθαι. ἐνίοτε δὲ καὶ τὸ τῆς ἐμφύτου κορύζης τε καὶ ὀφρύος μεγάλως παρέβλαψε τῷ μὴ ἐν καιρῷ τοῦ θυμοῦ στρατηγουμένους ῥᾳδίως. ταῦτ' οὖν ἐκ πολλοῦ συνειδότες ὁ Ῥωμαίων στρατὸς τοιούτοις αὐτοὺς περιήρχοντο δόλοις καὶ μηχανήμασι· καὶ τοῖς μὲν λόχοις τὰς σιταγωγοὺς ἡμιόνους κατέκοπτον καὶ τὰς ἑπομένας κατέλυον ἀγοράς· τοῖς δ' ἐκ τῶν λόφων ἀκροβολισμοῖς τοὺς ὑδρεύοντας ἔκτεινον. (Ε.) Τὸ μὲν οὖν αὐτίκα μεταστῆσαι τὸ ἑαυτοῦ στρατόπεδον ἐκ τῆς τῶν Βελλεγράδων πολιορκίας ὁ Ῥωσονσουλῆς εἰς ἀσφαλέστερον τόπον σφόδρα ἀνάξιον ἔκρινε τῆς οἰκείας ὀφρύος καὶ ἅμα οὐ πόῤῥω μεγάλης αἰσχύνης, Δηρόν τε μένειν κενεόν τε νέεσθαι. ὁ δὲ ἀλλὰ τῷ θυμῷ κινηθεὶς ἔπεισι μετὰ πάνυ βραχέων κατὰ 1.148 τῶν βαλλόντων τοὺς ὑδρεύοντας· οὓς οἱ ἡμέτεροι θεασάμενοι σπουδῇ παρακατιόντες ἐκύκλωσαν, καὶ αὐτίκα τοὺς μὲν ἵππους νεκροὺς τοῖς τοξεύμασιν ἔφηναν, πάντας δ' αὐτοὺς εἰς τὸ τῶν Ῥωμαίων στρατόπεδον ζῶντας ἐκόμισαν. τοῦτο μὲν Λατίνους τὰ ἔσχατα συνεκύκησέ τε καὶ συνετάραξε· τοὺς δὲ Ῥωμαίους τὴν ταχίστην παρέπεισέ σφισιν ἐπιθέσθαι τεταραγμένοις. ἀλλ' οἱ μὲν Ῥωμαῖοι οὕτω ῥᾳδίως καὶ πόνων μεγάλων χωρὶς κατὰ Λατίνων ἐστήσαντο τρόπαιον μέγιστόν τε καὶ πάσας ἐλπίδας εὐχερῶς ὑπερβαῖνον. (´.) Ὁ δὲ Κάρουλος οὕτω καταστρατηγηθεὶς ὑπὸ τοῦ βασιλέως καὶ ἀντὶ μιᾶς μάχης εὐχεροῦς τε καὶ εὐμηχάνου διχόθεν συγκροτουμένης ἔκ τε γῆς ὁμοῦ καὶ θαλάττης ἐς δύο παρ' ἐλπίδα μερισθεὶς καὶ τῇδε μὲν ὅλα συλλήβδην ζημιωθεὶς τὰ τὸν Ἰόνιον διαβάντα στρατόπεδα, κατὰ δὲ τὴν Σικελικὴν μάχην οὐχ ὅλα μὲν, τὸν υἱὸν δ' οὖν ἀπολωλεκὼς ἐκάθητο πικροῖς βέλεσι τῆς λύπης κεντούμενος πυκνὰ τὴν ψυχὴν καὶ τὸ ζῆν ὑπὸ βαρυθυμίας ἀπολεγόμενος. βραχὺ τὸ μεταξὺ καὶ τὸ ζῆν ἐξεμέτρησεν, οὐ δυνηθεὶς ἐς τέλος καταπέψαι τὴν λύπην, πολλαπλῆν τινα καὶ δυσίατον οὖσαν. ζ´. Ἀλλ' ἐκεῖνο μικροῦ με παρέδραμεν. Ἰωάννης γὰρ ὁ τοῦ ῥηθέντος Ἀλεξίου ἀπόγονος, τοῦ μετὰ τὴν τῆς Κωνσταντινουπόλεως ἅλωσιν τῆς τῶν Κόλχων καὶ Λαζῶν τυραννήσαντος γῆς, ὅρκους ἐγγράφους παρὰ τοῦ βασιλέως ἐκεῖθεν δεξάμενος ἐπιδημεῖ τῇ βασιλευούσῃ καὶ τῇ τοῦ βασιλέως συζεύγνυται θυγατρὶ Εὐδοκίᾳ· καὶ βραχύν τινα τῷ βασιλεῖ παρὰ τῇ βασιλευούσῃ 1.149 συνδιατρίψας χρόνον ἔπειτα ἐπανῆκεν ἅμα τῇ γυναικὶ Εὐδοκίᾳ πρὸς τὴν ἰδίαν ἀρχὴν, ἧς τὰ βασίλεια Τραπεζοῦς. ἔνθα δὴ καὶ μήπω τελέως ἐνιαυτοῦ πληρωθέντος παῖδα μετὰ τῆς Εὐδοκίας οὗτος γεγέννηκεν, Ἀλέξιον τὸν νέον Κομνηνόν· ὃς δὴ καὶ διάδοχος ὕστερον γεγένηται τῆς ἐκείνου ἀρχῆς, ὡς εἰρήσεται. (Β.) Τούτων δ' οὕτως ἐχόντων ἄρχεται πάλιν παρασπονδεῖν ὁ τῆς Θετταλίας ἀρχηγὸς Ἰωάννης ὁ Σεβαστοκράτωρ· ὃ δὴ καὶ εἰς λύπην καὶ ἀκατάσχετον θυμὸν ἀνῆψε τὸν βασιλέα. πᾶσα γὰρ ἤδη σπονδῶν καὶ φιλίας ἐλπὶς ἔσβη καὶ ὡς εἰπεῖν ἐτεθνήκει. τὸ γὰρ συχνὰ μὲν αὐτὴν διαῤῥήγνυσθαι, συχνὰ δ' αὖθις συνδεῖσθαι καὶ βίᾳ μὲν καὶ μόλις λαμβάνειν τὴν ἐπανόρθωσίν τε καὶ σύμπηξιν, ῥᾷστα δὲ καὶ τὴν ταχίστην πρὸς σύγχυσιν καὶ διάλυσιν καταῤῥεῖν καὶ συμφύρεσθαι, πρὸς ἀπόγνωσιν ἤδη τὸν βασιλέα συνήλασε παντελῆ· καὶ οὐκέτι σπονδῶν ἄλλων ἐμνημόνευσε τοῦ λοιποῦ, ἀλλὰ διαπρεσβεύεται πρὸς τὸν Σκύθην Νογᾶν, ὃς τὰς διατριβὰς καὶ τὴν δίαιταν εἶχε πέραν τοῦ Ἴστρου. ἦν γὰρ τούτῳ φιλία βεβαία πρὸς βασιλέα διὰ τὸ κῆδος· ἠγάγετο γὰρ πρὸ βραχέος ἑαυτῷ σύζυγον Εἰρήνην τὴν ἐκ νοθείας γεννηθεῖσαν τῷ βασιλεῖ θυγατέρα, καὶ ἦν διὰ τοῦτο φίλος τῷ βασιλεῖ. ἐκεῖθεν οὖν εἰληφὼς τετρακισχιλίους Σκυθῶν ἐπιλέκτους στρατιώτας ἔμελλε καὶ Ῥωμαίων ὁπλιτικήν τινα δύναμιν προσμίξας πέμψειν κατὰ τοῦ Θετταλοῦ Ἰωάννου τοῦ Σεβαστοκράτορος ἐπί τε αὐτοῦ τούτου ἀφανισμῷ καὶ ἅμα ἐπὶ σφαγῇ τῆς ὅλης ἡλικίας ἁπλῶς, ὁπόσοι τὸν ἔφηβον παραλλάξαντες πολεμιά τε ἐπετήδευον ἔργα καὶ ὄψις 1.150 τῇ Θετταλίᾳ φάναι ἐτύγχανον. (Γ.) Ἀλλὰ πρὶν εἰς πέρας αὐτὸν ἀγαγεῖν τὴν μελέτην φθάσας ὁ θάνατος τοῦ δρόμου τὴν ῥαστώνην ἐξαίφνης ἀφείλετο. ἄρτι γὰρ αὐτῷ Λυσιμαχίας ἐγγὺς περὶ τὴν κώμην τὴν μεταξὺ τῶν Παχωμίου καὶ Ἀλλαγῆς,



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

οὑτωσί πως αὐτῶν ὀνομαζομένων τῶν χώρων, διατρίβοντι κἀκεῖσε τὸ Σκυθικὸν ἐξετάζοντι στράτευμα καὶ τοὺς ἄξοντας ἐκ Ῥωμαίων συγκαταλέγοντι στρατηγοὺς καὶ ἃ χρὴ δρᾶν σφισιν παρακελευομένῳ νόσος ἐνσκήπτει δεινὴ περὶ τὴν καρδίαν, θάνατον σύντομον ἀπαγγέλλουσα καὶ πάσας ἰατρῶν τάς τε κρίσεις συνθολοῦσα καὶ συνταράττουσα καὶ ἀπράκτους ἀποδεικνῦσα τὰς συμμαχίας τῆς τέχνης. φασὶ δὲ καὶ αὐτὸν τηνικαῦτα δείσαντα περὶ τοῦ θανάτου τοὺς παρατυχόντας ἐρέσθαι, ὅτῳ ποτὲ καλοῖτο ὁ χῶρος ὀνόματι· ἀκούσαντα δὲ Παχωμίου καὶ Ἀλλαγῆς ἐπικλήσεις βύθιόν τι στενάξαντα ἐνταῦθα φάναι "1λοιπὸν τὸ πέρας ἡμῖν, ὦ παρόντες, καὶ τὴν ἀλλαγὴν κεκλῶσθαι τοῦ βίου·"2 μέμψασθαί τε πολλὰ ἑαυτὸν, ὅτι Παχώμιόν τινα ἄνδρα σεμνὸν ἐζημίωσε φθάσας τοὺς ὀφθαλμούς· ἦν γάρ τις θρυλλούμενος χρησμὸς περὶ τοῦ βασιλέως, ὡς περὶ τὴν ἀλλαγὴν τοῦ βίου τὰ Παχωμίου σε διαδέξεται. ἀφ' οὗ πλανηθεὶς ἅτε περὶ τὸν τῆς βασιλείας πόθον λίαν ἐπτοημένος ἄχρηστον περὶ τὴν βασιλείαν ἔσπευσεν ἀποφῆναι Παχώμιον. (Δ.) Ἀπορήσειε δ' ἄν τις τὴν τῶν χρησμῶν, ὁπόσοι κατ' ἀνθρώπους ἄλλοτε ἄλλοι πλανῶνται, γένεσίν τε καὶ εὕρεσιν· καὶ ὅπως μελλόντων φέροντες δήλωσιν ἀναγκαίαν εἶτα βυθοῖς αὐτὴν αἰνιγμάτων ἐπηλυγάζουσι. πατέρα μὲν γὰρ τούτων ὅστις ποτὲ ἦν ὁ τού 1.151 τους πεποιηκώς τε καὶ τῷ χρόνῳ φέρειν παρασχὼν, οὐδένα ποτὲ τῶν πάντων ἀναγράφοντα εὕρομεν, οὐθ' ὅστις ἱστοριογράφων ἢ συγγραφέων ἐγένοντο. ἀλλὰ τοῦτο μόνον εὕροι τις ἂν ἐπισημαινομένους ἅπαντας, ὡς κατὰ τόνδε ἢ τόνδε τὸν χρόνον συνέβη τόνδε ἢ τόνδε διαθρυλλούμενον τὸν χρησμὸν τήνδε ἢ τήνδε τὴν ἔκβασιν καὶ τὸ πέρας ὕστερον σχεῖν. τίς δ' ὁ πρῶτος λαλήσας ἕκαστον τούτων, τοῦτο δὲ πρᾶγμα τοῖς πᾶσι καθάπαξ ἀνεκλάλητόν τε καὶ ἄγνωστον, πλὴν εἰ μὴ ψεύδεσθαι βούλοιτό τις. τισὶ δὲ δοκεῖ, δυνάμεις τινὰς ὑπηρετικὰς καὶ λειτουργικὰς, τὰς μὲν ἀγαθὰς, τὰς δὲ τοὐναντίον τιμωρητικὰ ὄργανα, ἐπισκόπους οὔσας τῶν τῇδε περιπολεῖν ἀέρα καὶ γῆν τήν τε γνῶσιν τῶν ἐσομένων ἄνωθεν εἰληφυίας καὶ πρός γε ἔτι τὴν ἐπιτροπὴν τοῦ μεταδιδόναι αὐτὴν τοῖς ἀνθρώποις, πῆ μὲν δι' ἐνυπνίων, πῆ δὲ δι' ἀστέρων, πῆ δὲ διὰ Δελφικοῦ τινος τρίποδος, πῆ δὲ διὰ σπλάγχνων ἔστιν ὧν ἐνίοτε θυομένων ζώων, πῆ δὲ, ἵνα τὰ πολλὰ παραδράμω, διὰ φήμης ἐξ ἀέρος τὰ πρῶτά ποθεν γεννηθείσης, εἶτα περιθεούσης ἀμοιβαδὸν τὰς τῶν πολλῶν ἀκοὰς, ἣν δὴ καὶ θείαν ἐκάλεσαν ὄσσαν οἱ πάλαι σοφοί. ἔστι δ' ἃ ἐν πέτραις ἢ τοίχοις εὕρηνται γεγραμμένα πολλάκις, μηδενὸς ὅστις ποτὲ ἦν ὁ γεγραφὼς δηλουμένου. (Ε.) Δίδονται μέντοι δι' αἰνιγμάτων τὰ πάντα καὶ οὐ πάντη σαφῆ, καθάπερ τὰ τῶν βασιλέων κειμήλια, διὰ τὸ ἔνθεα εἶναι καὶ οἷα χρεὼν ὑπὲρ τοὺς πολλούς. τὰ γὰρ τοῖς πᾶσι πρόχειρα κόρον τε ἔσχε καὶ ἀχρηστία σφίσιν ὡς τὰ πολλὰ περικέχυται· γίνεσθαί γε μὴν τὴν χρείαν αὐτῶν οὐ πάνυ τοι 1.152 μάταιον οὐδ' ἀργὴν, εἴ τις μὴ πάρεργον ταῦτα, ἀλλὰ μετὰ συνέσεως τῆς προσηκούσης σκοποῖτο. οἷς μὲν γὰρ τιμωρίας, οἷς δ' εὐεργεσίας εἵνεκα προδείκνυνται. οἱ μὲν γὰρ ἢ κουφοτέραν τὴν ἔφοδον τῶν δεινῶν εἰργάσαντο προανασταλέντες καὶ προοικονομήσαντες ἑαυτούς· ἢ τελέως σφᾶς αὐτοὺς ἀπήλλαξαν τῶν δεινῶν διὰ σπουδαιοτέρας ἀγωγῆς ἐξευμενισάμενοι τὸ θεῖον. τοῖς δὲ διὰ μικροψυχίαν ὁ μεταξὺ χρόνος κόλασις τῇ τῶν δεινῶν προσδοκίᾳ γίνεται πρὸ τοῦ παθεῖν ἃ χρὴ παθεῖν, τῆς προνοίας οὕτως οἰκονομούσης δι' ἔκτισιν ἀκμαιοτέραν ὧν ἐπλημμέλησαν. εἰ δὲ καὶ ψεύδονταί τινα καὶ διαπίπτουσιν οἱ ταῖς ἐλπίσι τρεφόμενοι τούτων· (πάντα γὰρ τὰ δηλούμενα τοῖς μέν εἰσιν ἀνιαρὰ, τοῖς δὲ τερπνά· ὥσπερ ἡ τῆς τοῦ Κροίσου ἀρχῆς κατάλυσις Λυδοὺς μὲν καὶ Κροῖσον ἠνίασε, Κύρῳ δὲ καὶ Πέρσαις εὔδαιμον ἔδοξεν) εἰ οὖν οὑτωσί πως δοκοῦσί τινα διαψεύδεσθαι, οὐ παρὰ τὴν τῶν χρησμῶν φύσιν συμβαίνει τουτὶ, ὅτι μὴ παρὰ τὴν φλεγμαίνουσαν ἔφεσιν τῶν λιχνοτέρων ἀνθρώπων τοὺς χρόνους προαρπαζόντων καὶ τὸν νοῦν τῶν λογίων πρὸς τὴν οἰκείαν διαστρεφόντων ὄρεξιν. σκεπτέον δ' οὖν ὅμως μή τινες διαπαίζοντες δῆθεν τοὺς τοῖς τοιούτοις χρωμένους καὶ νέα στιχίδια πλάττοντες εἰς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

μίμησιν τῶν χρησμῶν ἔπειτα κατὰ τὸ λεληθὼς παρασπείρωσιν εἰς τὸν δῆμον αὐτὰ, ὥστε τοῖς τούτων ψεύδεσι καὶ τὴν ἐκείνων συγχεῖν ἀλήθειαν· τοῦτο γὰρ οὐκ ὀλίγοι καὶ τῶν ἐφ' ἡμῶν πεπραχότες ἑάλωσαν. ἀλλ' ἐκεῖσε ἐπάνειμι. (΄.) Ὁ μὲν δὴ βασιλεὺς περὶ οὓς εἰρήκειμεν τόπους παρ' ἐλπίδα τῆς οἰκείας ἔτυχε τελευτῆς κατὰ τὸ ἑξακισχιλιοστὸν ἑπτακοσιοστὸν 1.153 ἐνενηκοστὸν πρῶτον ἔτος, ὀκτὼ καὶ πεντήκοντα ἐτῶν τυγχάνων. ὁ δ' υἱὸς καὶ βασιλεὺς Ἀνδρόνικος τηνικαῦτα παρὼν μὴ ὅτι γε τῆς τοῖς βασιλεῦσιν νενομισμένης οὐκ ἠξίωσε τὸν πατέρα ταφῆς, ἀλλ' οὐδ' ὁποία βαναύσοις ἢ σκαπανεῦσιν ἐφεῖται· πλὴν ἢ ὅτι παρεκελεύσατο νύκτωρ βραχεῖς τινας ἄνδρας πόῤῥω που τοῦ στρατοπέδου ἀπαγαγόντας πλείστην ἐπισωρεῦσαι γῆν, τοῦτο μόνον αὐτοῦ προμηθευσάμενος, μὴ θηρίων στόμασιν ἴσως σῶμα βασιλικὸν διαμερισθῇ. τὸ δ' αἴτιον ἡ τοῦ ὀρθοῦ τῆς ἐκκλησίας δόγματος ὑπῆρχε παρατροπὴ, ᾗ ζῶν μὲν ἐκεῖνος, ὡς πρόσθεν εἰρήκειμεν, κατεχρήσατο· οὗτος δὲ λάθρα προθέσεσιν ὅλαις ἀπέστεργε τῆς ψυχῆς, ὡς προϊόντες ἐροῦμεν πλατύτερον. οὐ γὰρ ἐκεῖνον, τὴν δ' ἐκείνου τοιαύτην μάλα σφοδρῶς ἀπεσείετο πρᾶξιν. πατρικῆς γὰρ εἵνεκα στοργῆς καὶ τιμῆς καὶ ὅση ἀνήκει αἰδὼς πάντας υἱοὺς ὑπερβέβληκεν, ὁπόσοι πατράσιν ἀρέσκοντες ἔδοξαν. (Ζ.) Ἀλλὰ τὰ μὲν περὶ τὸν βασιλέα Μιχαὴλ τὸν Παλαιολόγον ἐς τοιοῦτον κατήντησε πέρας. ἦν δὲ ὁ ἀνὴρ τήν τε ὄψιν εὐπρεπῆ κεκτημένος ἐκ φύσεως μετά τινος ἐμβριθείας καὶ ἡγεμονικοῦ παραστήματος ῥώμην τε ἔχων σώματος καὶ πεῖραν ἔργων πολεμικῶν διὰ πολλῶν τῶν χρόνων συγγυμνασθεῖσαν καὶ ἀσκηθεῖσαν αὐτῷ· καὶ δεινὸς ὢν γνῶναι καὶ εἰπεῖν τὰ δέοντα ὀξύτερος ἦν ἐν ταῖς πράξεσι. μεγαλοδωρότατος δ' ἐς τὰ μάλιστα ἔδοξεν ἐν τοῖς προοιμίοις τῆς βασιλείας, ἵνα ταῖς εὐνοίαις οἶμαι οἰκειώσηται τὸ ὑπήκοον· ἔπειτα πρὸς τὸ μετριώτερον ὑπεχάλασε, τῶν πανταχόθεν ὑποφυομένων πολέμων μακρὰς καὶ πολυτελεῖς τὰς τῶν χρη 1.154 μάτων δαπάνας ἀπαιτούντων μετά τινος ἀνάγκης ἀπαραιτήτου. εἶχε δὲ καὶ, ὥς τινες ἔφασαν, συντριβήν τινα λογισμῶν κεντοῦσαν ἀεὶ τὸ συνειδὸς τῆς ψυχῆς διὰ τὴν καινοτομίαν τοῦ δόγματος, εἰς ἣν ὑπὲρ τῆς ἐς τοὺς παῖδας διαδοχῆς τῆς βασιλείας ἑαυτὸν κατήνεγκεν· ἀφ' ὧν, ὡς τὸ εἰκὸς, αὐτὸς ἀπώνατο μηδὲ ταφῆς τελευταῖον ἀξιωθῆναι βασιλικῆς, τοὺς τῆς ἐκκλησίας θεσμοὺς τῆς πατρικῆς στοργῆς πολλῷ προτιμώντων. (Η.) Ἔμοιγ' οὖν ἐκεῖνος ἂν εἴη σοφὸς καὶ φρόνιμος οἰκονόμος, ὅστις ἑαυτοῦ γε εἵνεκα πρῶτον αἱροῖτο τὰ βέλτιστα, ἔπειτα τῶν υἱέων καὶ ὅστις καθ' αἷμα προσήκει. ὅστις δ' ὁλοσχερῶς ἐς τὴν τοῦ βίου φλεγμαίνουσαν κέχηνε δόξαν καὶ τὰς τὴν ψυχὴν ἐπικλυζούσας εὐτυχεῖς τῶν παρόντων καὶ λυομένων περιπετείας καὶ προτιμῴη τὰ ἥδιστα τῶν βελτίστων, εἴθ' ἑαυτοῦ χάριν, εἴθ' ὅστις αἵματος γείτων αὐτῷ, ἄθλιος οὗτος ἐμοὶ τῆς ἀπονοίας καὶ μάταιος τῆς ἀνονήτου σπουδῆς· ὅτι πρὸς τῷ καὶ θεὸν ἀντιστρατευόμενον ἔχειν τῇ γνώμῃ καὶ τοῖς βουλεύμασιν ἤδη καὶ τἀναντία προφανῶς τῶν ἐλπίδων εὑρίσκει πρὸ τῶν ποδῶν καὶ τοῖς τῆς κακοδαιμονίας ἐσχάτοις κρημνοῖς περιπίπτει. ἰδοὺ γὰρ καὶ ὁ τῷ λόγῳ προκείμενος βασιλεὺς Μιχαὴλ ὁ Παλαιολόγος τἄλλα συνετὸς ὢν ὅλην ὡς εἰπεῖν τὴν τῆς τύχης εὐμένειαν ἐπακολουθοῦσαν ταῖς πράξεσιν ἔχων αὐτοῦ πρός γε τὸ φίλτρον τῶν παίδων ἐξεθηλύνθη καὶ ἀληθεύοντα ἔδειξε Πλάτωνα "1πᾶν τὸ φιλοῦν περὶ τὸ φιλούμενον ἐκτετύφλωται"2 φάσκοντα. δέον γὰρ εἰς τὴν ἄνωθεν εὖ τὰ πάντα 1.155 κινοῦσαν καὶ διοικοῦσαν πρόνοιαν ἀναρτῆσαι τὴν ὅλην ἑαυτοῦ τε καὶ τῶν παίδων φροντίδα· ὁ δὲ τυφλῷ ποδὶ πρὸς τὰ φίλτρα τῶν παίδων φάναι βαδίζων ἔλαθεν ἑαυτὸν ἀρχῆς ἀπ' ἄκρας εἰς τὸ βάραθρον τῶν τε ἄλλων δεινῶν συνωθήσας καὶ πρός γε ὅσα δημοτικὴν κατάραν ἐφέλκεται. ἐπεὶ γὰρ ἐκ βρέφους αὐτῷ τὴν βασιλείαν ὁ κύριος ἄνωθεν ἐμνηστεύσατο, ὡς πολυτρόπως καὶ πολλαχόθεν δεδήλωται, εἰ τὴν μικροψυχίαν καὶ αὐτὸς ἐπὶ βραχὺ παρεκρούετο καὶ τήν τε γλῶσσαν ἐπιορκίας παντοίας τάς τε χεῖρας αἱμάτων ἀθώους ἐφύλαττε καὶ πρός γε ἔτι εἰ τὴν γνώμην ὑπερόριον τῆς τοῦ ἐκκλησιαστικοῦ ἔθους εἶχε καινοτομίας μακρῷ ἂν τῷ μέτρῳ τοὺς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

πρὸ αὐτοῦ βασιλέας παρήλαυνεν ἅπαντας ἅπασιν ὅσα πληθὺν ἐγκωμίων ἐφέλκεται. ἀλλ' ἐχρῆν, ὡς ἔοικεν, ἐῤῥάφθαι μὲν ὑπὸ Ἰστιαίου τὸ πέδιλον, ὑποδεδέσθαι δὲ τὸν Ἀρισταγόραν, ἵν' ἡμεῖς ἐς τὰς τῶν δεινῶν ἐσχατιὰς καταντήσωμεν, εἴτε δι' ἔκτισιν κακῶν παλαιῶν τε καὶ νέων, εἴτ' οὐκ οἶδ' ὅπως. εἶεν. 1.158 α΄. Ἐπεὶ δὲ πρὸς τὸν υἱὸν Ἀνδρόνικον ἡ τοῦ κράτους καὶ τῶν βασιλικῶν σκήπτρων μετέβη διαδοχὴ, καὶ πολὺς πολλαχόθεν τὰ πράγματα θόρυβος συνεκύκα. ἔνθεν μὲν γὰρ ὁ τῆς ἐκκλησίας ἀναῤῥιπίζεσθαι ἤρξατο πόλεμος παρὰ τῶν ἀποῤῥαγέντων μερῶν ἀφορμὴν εἰληφότων ἤδη τὴν τελευτὴν τοῦ βασιλέως· ἔνθεν δ' ὁ τῶν κεκλημένων Σκυθῶν ὄχλος τεσσάρων ὄντων ἐπέκεινα χιλιάδων πολὺν ἐπέσειε τοῖς πράγμασι κίνδυνον, μὴ τὸν καλέσαντα βασιλέα θανάτῳ ζημιωθέντες νεωτερίσωσί τι περὶ τὴν τῶν πραγμάτων ἀλλοίωσιν. ῥᾷστον δ' ἦν αὐτοῖς βουληθεῖσιν, ἐπεὶ τὰ Ῥωμαϊκὰ μὴ παρῆσαν στρατεύματα, φόνον τε οὐκ ὀλίγον τῶν παρατυχόντων Ῥωμαίων ἐργάσασθαι καὶ λείαν τά τε βασιλικὰ χρή 1.159 ματα καὶ πρός γε αὐτὸν βασιλέα ὁμοῦ τῇ συγκλήτῳ λαβόντας ἀπαλλάττεσθαι. διὰ ταῦτα γοῦν ὑπερθέμενος καὶ παραδραμὼν τὰ πολλὰ πρὸς τὸ κατεπεῖγον ὁ βασιλεὺς ἁπάσας ἔτρεψε τὰς φροντίδας. αὐτοὺς μὲν οὖν μὴ βριθούσαις δεξιαῖς ἐς τὰ οἴκοι παραπέμπειν οὔτε τῶν Σκύθαις νομιζομένων ἑώρα τυγχάνον οὔτ' ἄλλως θορύβου καὶ μάχης ἐκτὸς ἀπαλλάξειν ἤλπιζε τούτους. ἐκ Ῥωμαϊκῶν δ' αὖ χρημάτων αὐτοὺς ἐμπιπλάναι ζητεῖν οὔτ' εὔπορον ἦν οὔθ' ὅσιον ἐνομίζετο. ταῦτ' ἄρα καὶ σφᾶς ὁδηγῷ παραδοὺς τῷ μεγάλῳ κονοσταύλῳ Μιχαὴλ τῷ Γλαβᾷ ἐς στρατηγικὴν ἐμπειρίαν ἐξησκημένῳ τοσοῦτον, ὡς παῖδας νομίζεσθαι τοὺς τότε στρατηγοὺς παραβαλλομένους αὐτῷ, τὴν ταχίστην ἐπὶ Τριβαλλοὺς ἀπαλλάττεσθαι παρεκελεύσατο, πολεμίους ἐς τὰ μάλιστα καὶ αὐτοὺς ὄντας ἀεὶ καὶ συχνὰ τὴν Ῥωμαίων κακῶς διατιθεμένους γῆν, ἵν' ἐν ταὐτῷ τούς τε Τριβαλλοὺς ἀσθενεστέρους ἐργάσαιντο καὶ ἅμα αὐτοὶ πλείστην περιβαλλόμενοι λείαν ἐκεῖθεν ἐς τὰ οἴκοι τὸν Ἴστρον διαβάντες ἀποχωροῖεν· ἀλλὰ ταῦτα μὲν δὴ οὕτω γε πέπρακται ὡς ἄρα γε καὶ βεβούλευται. (Β.) Τῷ δὲ βασιλεῖ ἀναγκαῖον ἦν τῇ βασιλευούσῃ ἐπιδημήσαντι τὸν τοῦ πατρὸς καὶ βασιλέως ἀπαγγεῖλαι θάνατον τῇ μητρὶ καὶ δεσποίνῃ Θεοδώρᾳ καὶ τὸ τοῖς βασιλεῦσι προσῆκον δημοσίᾳ στήσασθαι πένθος. ὅθεν τὸν τοῦ βασιλέως νεκρὸν ἐντὸς τοῦ ἄστεος Σηλυβρίας ἀπαχθῆναι κελεύσας δέει τοῦ μὴ κλαπῆναι παρὰ Λατίνων αὐτὸς ἐς Βυζάντιον ἐπανῆκε· καὶ τελεσθέντος τοῦ πένθους ἔργον πεποίηται μέγιστόν τε καὶ πρῶτον τὴν τῆς ἐκκλησίας κατάστασιν. ζῶντος μὲν γὰρ τοῦ πατρὸς ἔκρυπτε τὴν μελέτην αὐτῆς ἐν τοῖς 1.160 λογισμοῖς, καθάπερ ἐν πίονι γῇ χειμῶνος εὐγενῆ τινα σπέρματα. νῦν δ' ἦρος, ὡς εἰπεῖν, ἐπιγενομένου τοῖς πράγμασιν ἔδειξεν ὅστις ὢν ἐλάνθανε. καὶ μὲν δὴ κήρυκες πανταχῇ καὶ βασιλικὰ διατάγματα διεπέμποντο τήν τε τῆς ἐκκλησίας διόρθωσιν εὐαγγελιζόμενα καὶ ἅμα τοὺς διὰ τὸν τῆς ἐκκλησίας ζῆλον ὑπερορίους κατάγοντα καὶ ὅσοι τῶν ἀνηκέστων τι ἐπεπόνθεσαν. ἐπὶ τούτοις ὁ Βέκκος λάθρα τὸν θρόνον καταλιπὼν ὑπεχώρησε καὶ συνέκλεισεν ἑαυτὸν εἰς τὴν τῆς Παναχράντου μονὴν, δείσας μὴ πρόφασιν τὴν ἀθρόαν μεταβολὴν τῶν πραγμάτων λαβόντες τινὲς διασπαράξωσι τοῦτον δραμόντες ἐξαίφνης. ἀνήχθη δ' εὐθὺς ὁ τῷ Βέκκῳ πρότερον παραχωρήσας τοῦ θρόνου πατριάρχης Ἰωσὴφ, νόσῳ καὶ γήρᾳ τὸ σῶμα καταπεπονημένος ἤδη καὶ λαμπροῖς τοῦ θανάτου τοῖς προοιμίοις εἰς τὸν τάφον ὅλος συνελαυνόμενος. (Γ.) Ἀλλ' ἐπειδὴ κοσμοκράτωρ ὁ διάβολος τοῦ αἰῶνος τούτου καλεῖται παρὰ τῇ θείᾳ γραφῇ καὶ ἄρχων τοῦ περιγείου τοῦδε κόσμου καθέστηκε, τρόποις ἀποῤῥήτοις συγχωροῦντος τοῦ τὰ πάντα δημιουργοῦντος θεοῦ, εἰκὸς αὐτὸν κατ' ἴχνος ἕπεσθαι καὶ τοῖς γιγνομένοις ἐν τῷδε τῷ κόσμῳ καὶ τὰ μὲν κλῆρον ἑαυτοῦ καθάπαξ ποιεῖσθαι, ὁπόσα κακίας μεστὰ, τοῖς δὲ μοῖραν ἔχειν ἡντιναοῦν καὶ αὐτὸς ὁπόσα τῶν βελτίστων ἐπεφύκει· καθάπερ τῶν ἀνθρώπων οἱ χῶρόν τινα κληρωσάμενοι ἔπειτα τοὺς ἐνοικοῦντας δασμολογοῦντες καὶ μοῖραν ἐκεῖθεν ἐτήσιον


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀπολαμβάνοντες ἀεί. εἶναι γὰρ αὐτῷ φησι τῶν ἀδικωτάτων, εἰ κόσμου καλούμενος ἄρχων ἔπειτα μὴ πάντων ὅσα παρὰ τὴν γῆν νέμεται τῶν μὲν ἀρ 1.161 χηγὸς εἴη καὶ αὐτοκράτωρ, τῶν δὲ μέτοχος καθόσον ἔξεστι. διὰ τοῦτο καὶ ἵνα μὴ μακρολογῶμεν παραδράμωμεν τά τε ἄλλα καὶ τοὺς κατὰ τοῦ Χριστοῦ καὶ σωτῆρος λυττήσαντας Ἰουδαίους· οὗτοι γὰρ καθάπαξ ἐγένοντο κλῆρος αὐτῷ, ἀλλὰ καὶ αὐτοῖς τοῦ σωτῆρος τοῖς μαθηταῖς καὶ ἀποστόλοις προσβαλὼν τὸν ἕνα ἀφείλετο καθάπερ τινὰ φόρον δεσποτικόν· ἔπειτα ἐπῄει τὰς τάξεις ἁπάσας, τοὺς ἐν ὄρεσι καὶ σπηλαίοις ἀσκοῦντας, τοὺς τῶν ἐκκλησιῶν ἐπισκόπους, τοὺς τῶν δογμάτων σοφοὺς προστάτας, τὰ τῶν μαρτύρων παλαίσματα· καὶ πανταχόθεν ἀποκρουόμενος καθόσον ἄνωθεν ἡ θεία ἐπέταττε δύναμις, ὅμως οὐκ ἄμοιρος τελέως ἀπήλλαξεν, ἀλλὰ πανταχόθεν ἠρανίσατο δῆμον πολυειδῆ καὶ καινότερόν τι στρατόπεδον, ἵν' εἶεν αὐτῷ συμμερισταὶ τῆς μελλούσης φλογός. (Δ.) Καὶ νῦν δ' ἐπειδὴ τῆς ἀγαθῆς ὁρμῆς ἀνακόπτειν οὐκ εἶχε τὸν βασιλέα, σύγχυσιν ἕτερον τρόπον εἰσάγει καὶ κλύδωνα ἐγείρει κατὰ τῆς καλῆς ὁμονοίας ἐκείνης καὶ ἀνέορτον τίθησι τὴν καινὴν ἐκείνην ἑορτὴν καὶ πανήγυριν καὶ μιμεῖται τὴν Ἔριν ἐκείνην, ἣ τὸ μῆλον κατὰ τοὺς Θέτιδος καὶ Πηλέως ἔῤῥιψε γάμους· ὃ πολλὴν ἀνήγειρε μάχην καὶ φλόγα πολέμιον ὕστερον, ὡς οἱ τῶν μύθων πάτρες ἔφασαν ποιηταί· ἢ μᾶλλον μιμεῖται τοὺς λύκους, οἳ τὸ ποίμνιον θορυβήσαντες ἔπειτα ῥᾳδίως ἔστιν ἃ τῶν προβάτων ἁρπάζουσι. παρασκευάζει γὰρ αὐτοὺς διχῇ καὶ τριχῇ διελέσθαι σφᾶς αὐτούς· καὶ τοὺς μὲν Ἰωσὴφ εἶναι μερίδα φάσκειν τοῦ πατριάρχου, τοὺς δὲ Ἀρσενίου τοῦ πάλαι θανόντος· καὶ τοὺς μὲν εἶναι λέγειν ὑπ' Ἀρσενίου ἀφωρισμένον τὸν 1.162 Ἰωσήφ, ὅτι ζῶντος ἐκείνου τὸν ἐκείνου θρόνον εἰλήφει· τοὺς δὲ καθῃρημένον εἶναι κανονικῶς Ἀρσένιον ὑπὸ πάσης τῆς τῶν τότε παρόντων ἀρχιερέων συνόδου· τοὺς δὲ ἄλλα κατ' ἀμφοτέρων προτείνειν κεφάλαια, ὡς ἐντεῦθεν ἀναγκασθῆναι μὲν τὸν Ἰωσὴφ τοῦ θρόνου τοῖς βουλομένοις παραχωρεῖν, δυοῖν ἕνεκα, τῆς τε εἰρήνης τῶν δι' αὐτὸν ὀχλουμένων καὶ τοῦ μὴ δύνασθαι τὰ τῷ θρόνῳ προσήκοντα πράττειν ὅλην ἀφῃρημένον ὑπὸ γήρως καὶ νόσου τὴν τοῦ σώματος δύναμιν· τοὺς δὲ τοῦ ζήλου προστάτας καταλειφθῆναι στασιάζοντας καὶ κατ' ἀλλήλων τὰς γλώσσας ὁπλίζοντας οὐ ζήλῳ θείῳ δημαγωγουμένας, ἀλλ' ἀωρίᾳ στρατηγουμένας θυμοῦ. ὁ γὰρ κατὰ θεὸν ζῆλος τῆς ἄνωθεν ἐξῆπται δυνάμεως καὶ ἄγεται θείαν καὶ ἔμμουσον ἀγωγήν· οἱ δὲ ταῖς τῆς κενοδοξίας πύλαις τὸν νοῦν παρακαθῆσθαι ἐξασκήσαντες ἔλαθον τὸν ζῆλον μεθαρμόσαντες πρὸς ζηλοτυπίαν καὶ ἀντὶ σίτου φάναι καὶ σταφυλῆς καὶ ὅσοι τῶν καρπῶν ἀγαθοὶ, ἀκάνθας γεωργήσαντες καὶ τριβόλους· ταῦτα δ' εἰσὶν ἔριδες ἀπὸ γνώμης οὐ μάλα πεπαιδευμένης καὶ λόγων ἀντιπάλων δίαυλοι. (Ε.) Ὁ μέντοι βασιλεὺς φύσει πρᾷος ὢν καὶ μήτε τούτους ἐθέλων λυπεῖν μήτ' ἐκείνους, ἀλλὰ τὰ ἑκατέρωθεν φυλαττόμενος σκάνδαλα, τὴν μέσην ἔγνω βαδίζειν. ἔστι δὲ παρὰ τὰ ἑῷα πλευρὰ τοῦ Ἑλλησποντίου πορθμοῦ χῶρός τις Ἀτραμύτιον κεκλημένος. πρὸς δὴ τοῦτον ἐκάλει τὰ βασιλέως προστάγματα τοὺς ἄνδρας ἐκείνους, ἐκεῖ τηνικαῦτα καὶ αὐτοῦ γε παρόντος. καὶ δὴ συνέῤῥεον οὐ μόνον οἱ λόγῳ τὸν ζῆλον λαχόντες ἡνιοχεῖν, ἀλλ' ὄχλος τὸ πλεῖστον ἀλογίᾳ καὶ 1.163 ἀναιδείᾳ συντεθραμμένος, οἱ μὲν θρόνων ἐρῶντες, πρᾶγμα πολλῷ τὴν τάξιν αὐτῶν ὑπερβαῖνον, οἱ δὲ χρημάτων, οἱ δὲ δόξης κενῆς καὶ τιμῶν, οἷαι παρὰ τὸν βίον πλανῶνται πολυειδεῖς. ἀλλ' ἐκεῖνο μικροῦ με παρέδραμεν, ὃ προδιαληφθῆναι χρεὼν, ἵνα καθ' εἱρμὸν λόγος βαδίζῃ καὶ μὴ διακόπτηται τὴν συνέχειαν ἐφεξῆς προϊών. ἐπεὶ γὰρ Ἰωσήφ, ὡς εἰρήκειμεν, ἐν βραχεῖ τὸν πατριαρχικὸν θρόνον ἀπολιπὼν μικρὸν ὕστερον καὶ τοῦ βίου μετέστη, οὐ δίκαιον ἔδοξεν οὐδὲ πόῤῥω διαίτης ἡμαρτημένης, ἄνευ ποιμένος ἐν οὕτω συγχύσεως γέμοντι χρόνῳ τὴν ἐκκλησίαν τυγχάνειν. καὶ ἦν τηνικαῦτα ἀνὴρ ἐν λόγοις ἐπίσημος τῷ βασιλικῷ συγκατειλεγμένος κλήρῳ Γεώργιος ὁ ἐκ Κύπρου, ὃς τὸν ἐν ταῖς γραφαῖς εὐγενῆ τῆς Ἑλλάδος ῥυθμὸν καὶ τὴν Ἀττικίζουσαν γλῶσσαν ἐκείνην, πάλαι πολὺν


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἤδη χρόνον λήθης κρυβέντα βυθοῖς, φύσεως δεξιότητι καὶ φιλοπονίᾳ τελεωτέρᾳ πρὸς φῶς ἤγαγε καὶ οἱονεί τινα ἐχαρίσατο ἀναβίωσιν. τοῦτον ἐμελέτησέ τε καὶ προὐτεθύμητο ἐς τὸν πατριαρχικὸν ἀναγαγεῖν θρόνον ὁ βασιλεὺς, ἄρτι καὶ τὸ μοναχικὸν ἀλλαξάμενον σχῆμα πλὴν οὐχ ὑπ' οὐδενὸς τῶν ἁπάντων ἐβούλετο τὴν χειροθεσίαν αὐτὸν εἰληχέναι, ὁπόσοι τῇ τοῦ δόγματος καινοτομίᾳ κεκοινωνήκεσαν, ἀλλ' ὃς ἀκοινώνητον ἑαυτὸν συνετήρησεν· ὡς κινδυνεύειν ἐντεῦθεν βραδύνειν τὰ τῆς σπουδῆς. προεβλήθη μέντοι παρὰ τοῦ βασιλέως μετὰ τὰς ψήφους καὶ μαρτυρίας τὰς ὀφειλούσας καὶ τὴν ποιμαντικὴν ῥάβδον ἐπὶ τοῦ βασιλικοῦ βήματος παρὰ τῆς τοῦ βασιλέως εἰλήφει χειρὸς κατὰ τὸ πάλαι κρατῆσαν ἔθος. καὶ ἦν διενεργῶν καὶ διοικῶν 1.164 ἔστιν ἃ τῶν πατριαρχικῶν δικαίων, ὅσα οὐχ ἱερωσύνης ἐδεῖτο. (ʹ.) Βραχὺ τὸ μεταξὺ, καὶ οὑτωσί πως εἰπεῖν κατὰ τὸ αὐτόματον ἢ μᾶλλον προνοίᾳ θεοῦ πρέσβυς ἐξ Αἰτωλίας σταλεὶς παρὰ τοῦ ἐκεῖσε κρατοῦντος Νικηφόρου τοῦ δεσπότου ἐς τὴν Κωνσταντινούπολιν ἀφικνεῖται ὁ Κοζύλης ἐπίσκοπος· καὶ ἐπ' αὐτῷ ἐκ Μακεδονίας ὁ Δεβρῶν ἐπίσκοπος, οὐ πρέσβυς αὐτὸς ἀφικόμενος ὁθενοῦν, ἀλλ' ἑτέρας εἵνεκα χρείας. τούτων ἀμφοτέρων ἀκοινώνητον διατηρησάντων τὴν γνώμην τῆς τῶν ἄλλων ἐπιμιξίας, ὁπόσοι τῇ καινοτομίᾳ τοῦ δόγματος ἑκόντες ὑπήχθησαν, προὐκρίθη ὁ Κοζύλης ἐπίσκοπος τοῦ Δεβρῶν. ὁ μὲν γὰρ ὁ Κοζύλης ὑπὸ τὴν τῆς Ναυπάκτου ἐτέλει μητρόπολιν, ἡ δὲ Ναύπακτος ὑπὸ τὸν τῆς Κωνσταντινουπόλεως θρόνον, ὁ δέ γε Δεβρῶν ὑπὸ τὸν θρόνον ἐτέλει τῆς πρώτης Ἰουστινιανῆς· καὶ ἦν διὰ τοῦτό γε οἰκειότερος τῇ παρούσῃ χρείᾳ διακονῆσαι μᾶλλον ὁ Κοζύλης ἢ ὁ Δεβρῶν. ταῦτ' ἄρα καὶ παρὰ τοῦ ἤδη ὡς εἴρηται προβληθέντος τῷ βασιλεῖ πατριάρχου Γρηγορίου τοῦ ἐκ Κύπρου προτραπεὶς ὁ τοιοῦτος Κοζύλης χειροτονεῖ Γερμανόν τινα μοναχὸν εἰς τὴν τῆς Θρᾳκικῆς Ἡρακλείας μητρόπολιν. τούτῳ γὰρ κατὰ τὰ πάλαι ἐφεῖται προνόμια χειροτονεῖν τὸν Κωνσταντινουπόλεως, εἴτε καὶ τοῦ μεγάλου Κωνσταντίνου, τοῦ τὸ Βυζάντιον ἐς νέαν καὶ μεγίστην καταστήσαντος Ῥώμην, μὴ καταλύειν ἐθελήσαντος τὰ τῶν πάλαι βασιλέων προνόμια, ἀλλ' ἐπικυρώσαντος μᾶλλον αἰδοῖ τοῦ μακροῦ χρόνου καὶ τοῦ τὸν νόμον θέντος Σεβήρου τοῦ αὐτοκράτορος, ὁπότε σὺν μάλα τοι πλείστοις ἱδρῶσι 1.165 καὶ πόνοις ἐκεῖνος αὐτὴν παρεστήσατο, Βυζάντιον οὖσαν ἔτι, καὶ τά τε ἄλλα πρὸς ἄμυναν καταισχύνας αὐτὴν καὶ τὰ τείχη καθῃρηκὼς τὸ τελευταῖον τούτοις δὴ τοῖς ἐπὶ Θρᾴκης Ἡρακλεώταις ὅσα καὶ κώμῃ χρῆσθαι αὐτῇ ἐχαρίσατο· εἴτε οὖν διὰ ταύτην τὴν αἰτίαν τηρεῖται διηνεκῶς τὸ τοιοῦτον προνόμιον, εἴτ' οὐκ οἶδ' ὅπως, πέπρακται δ' οὖν ὅμως ἐπὶ τοῦδε τοῦ χρόνου τουτί γε, ὡς εἴρηται· καὶ ἐς διάκονόν τε καὶ ἱερέα ἐξ ἀναγνώστου προβιβάσας ὁ ῥηθεὶς Ἡρακλείας Γρηγόριον τὸν ἐκ Κύπρου, εἶτα καὶ πατριάρχην κεχειροτόνηκε τοῦτον, συλλειτουργοῖς χρησάμενος ἀμφοτέροις ἐκείνοις τοῖς ἐπισκόποις, τῷ τε Κοζύλης καὶ τῷ Δεβρῶν. ἀλλ' ἐπανιτέον ὅθεν εἰς ταῦτα ἐξέβημεν. (Ζ.) Ἐσχίζοντο μὲν οὖν, ὡς ἔφθημεν εἰρηκότες, τὰ τῶν Ζηλωτῶν ἐκεῖνα συστήματα δι' ἅς γε εἰρήκειμεν τὰς αἰτίας. ἐσχίζοντο δ' ἔτι καὶ δι' αὐτόν γε τὸν πατριάρχην· πρόφασιν μὲν, ὅτι περ εἰκοσαετὴς Κυπρόθεν τοῖς Ῥωμαίων ἐπιδημήσας ἤθεσι καὶ τῶν Λατινικῶν ἠθῶν ἔστιν ἃ ἐπαγόμενος ὑποψίαν ταῖς τῶν πολλῶν διεσκέδασε γνώμαις, ὡς ἀναγνώστου χειροθεσίαν παρὰ Λατίνων ἐδέξατο, εἴτε του τῶν ἐπιχαιρεκάκων γρύξαντος τοῦτο πρότερον, εἴτε τοῦ καιροῦ σχεδιάσαντος τηνικαῦτα τῇ κακοηθείᾳ τῶν Ζηλωτῶν, ἢ μᾶλλον τοῦ ἐρεθίζοντος ἐκείνους δαίμονος καὶ τῆς ἐκείνων καταχορεύοντος ἔριδος τοῦτο ὑπαγορεύσαντος, ἵνα πολλαπλοῦν τε καὶ πολλαχόθεν ᾖ συγκεκροτημένον τὸ τῆς ταραχῆς καὶ συγχύσεως ἐκείνης θέατρον. πρόφασιν μὲν οὖν διὰ τοῦτο τούτοις ὁ πατριάρχης ἀπρόσδεκτος ἦν· τῇ δ' ἀληθείᾳ ταῖς ἐξορίαις καὶ τοῖς ἄλλοις τοῦ ζήλου πα 1.166 θήμασι πέρα τοῦ δέοντος ἐγκαλλωπιζόμενοι καὶ ἐπαιρόμενοι ἤθελον αὐτοὶ τὰς αἰτίας ἔχειν τῶν τε ἄλλων, ὅσα ἐφεῖται τοῖς τῆς ἐκκλησίας τελεῖσθαι πράγμασι, καθάπερ ἀπὸ σκήπτρου τοῖς ἅπασι θεμιστεύοντες, καὶ πρός γε ἔτι ἕνα σφῶν αὐτῶν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τῷ πατριαρχικῷ θρόνῳ ἐγκαθιδρύσαι, ὃν ἂν αὐτοὶ βούλοιντο, ἵν' ὡς ἀπὸ στεῤῥᾶς τινος ἀκροπόλεως τῆς λαμπρᾶς καὶ μεγάλης ταύτης ἀξίας ὁρμώμενοι ῥᾷστα πάσας ἐπισκοπάς τε καὶ μητροπόλεις κληρώσαιντο καὶ πάντων αὐτοί γε ἐξηγοῖντο ἀσκητηρίων καὶ πάσας αὐτοὶ διαλαγχάνωσι τάξεις ἐκκλησιαστικὰς καὶ πάσας διέπωσιν ἱερατικὰς ἐπαρχίας εἰσφορᾶς τε πάσης καὶ ἐκφορᾶς καὶ διανομῆς αὐτοί γε τυγχάνοιεν κύριοι, ὡς ἂν οὑτωσί πως ἀποχρῶντά σφισιν ἀποδοθεῖεν ταῦτα τῆς ἀρετῆς καὶ τοῦ ζήλου τὰ ἔπαθλα. (Η.) Ἐπεὶ μέντοι συνήεσαν, ὡς εἴρηται, περὶ τὸ Ἀτραμύτιον, ὡμολόγηται πᾶσι καὶ συμπεφώνηται μετὰ πλείστους τῶν λόγων διαύλους, βίβλοις δυσὶν ἐγγραφείσας ἑκατέρων τὰς δόξας, ἀφ' ὧν οἱ τῆς μεγάλης ἐκείνης ἐβλάστησαν ἔριδος λόγοι, τῷ θεῷ διὰ πυρὸς καὶ σημείων ἐπιτρέψαι τὴν κρίσιν. παννύχους τοίνυν τετελεκότες στάσεις καὶ δεήσεις παμπόλλας πρὸς τὸν θεὸν κατ' αὐτὸ δὴ τὸ μέγα καὶ ἱερὸν σάββατον τὰς βίβλους καθῆκαν εἰς πῦρ κατὰ μέσον τὸ θεῖον ἀνάκτορον. ἐλπὶς μέντοι ἦν ἀνὰ μέρος ἑκατέροις ἰδιαζόντως τοῖς μέρεσι, θατέραν ἀλώβητον φυλαχθήσεσθαι. ἀλλ' ἦσαν ἄρα ἐλπίδες ταῦτα κεναὶ καὶ γρηγορούντων ὡς ἀληθῶς ἐνύπνια. ἀθρόον γὰρ τὸ πῦρ ἀμφοτέρων δραξάμενον σποδιὰν τὴν ταχίστην πεποίηκε· καὶ ἦν τοῦτο ψῆφος θεοῦ καὶ 1.167 χλεύη κατὰ πάντων ὁμοῦ, σπουδὴν ποιουμένων τὴν παιδιὰν καὶ ἀκαίρους τῇ ἐκκλησίᾳ ἐπιφερόντων κλύδωνας. τοῦτο θεασαμένοις ἔδοξε καὶ αὐτοῖς καταγνοῦσι τῆς ἔριδος ἀσμένως τε βλέψαι πρὸς τοὺς κοινοὺς τῆς εἰρήνης ἅλας καὶ ἐς τὴν τῆς ὁμοφροσύνης ἐληλυθέναι τράπεζαν καὶ εὐλογίαν ἅμα εὐχῇ παρὰ Γρηγορίου δέξασθαι τοῦ πατριάρχου καθάπαξ τοὺς ἅπαντας. (Θ.) Τούτων οὕτω γεγενημένων, προσίασιν οἱ Ἀρσενιάται τῷ βασιλεῖ, μετακομισθῆναι ζητοῦντες τὸν Ἀρσενίου τοῦ πατριάρχου νεκρὸν ἐς τὴν βασιλεύουσαν. καὶ ἦν ἡ ζήτησις οὐ μάλα ἁπλῆ, ὅτι μὴ βαθυγνώμονος περινοίας ἔκγονον, ἵνα τιμὴ μὲν ἴσως τοῖς Ἀρσενιάταις τουτὶ κατασταίη λαμπρὰ, λανθάνουσα δὲ τοῖς Ἰωσηφίταις αἰσχύνη. γίνεται δ' οὖν ὅμως ῥᾷστα τῆς ἐνδόσεως γενομένης. καὶ δὴ μέχρι τῆς Εὐγενίου πύλης μετακομισθέντος ἐκείνου κατίασιν ὅ,τε πατριάρχης μετὰ τοῦ κλήρου παντὸς καὶ ὁ βασιλεὺς ἅμα πάσῃ τῇ συγκλήτῳ· καὶ οὕτω μεθ' ὕμνων περιφανῶν καὶ λαμπάδων ἀνήγαγον ἅπαντες τοῦτον ἐς τὸν μέγιστον τῆς τοῦ θεοῦ Σοφίας νεών. ὃν μετὰ χρόνον ζητήσασα ἤγαγεν εἰς ἣν ἀνεκαίνισε τοῦ ἁγίου Ἀνδρέου μονὴν Θεοδώρα, ἣ θυγάτηρ μὲν ἦν τῆς τοῦ βασιλέως Μιχαὴλ ἀδελφῆς Εὐλογίας, γυνὴ δὲ πρότερον τοῦ Μουζάλωνος τοῦ πρωτοβεστιαρίου, ὕστερον δὲ τοῦ Ῥαοὺλ, πρωτοβεστιαρίου καὶ αὐτοῦ γενομένου. β´. Ἐπεὶ δὲ καὶ τῷ βασιλεῖ σύζυγος οὐκ ἦν τηνικαῦτα (προετεθνήκει γὰρ ἡ ἐξ Οὐγγρίας ἐλθοῦσα προτέρα τούτου γυνὴ ἐπὶ δυσὶ, τῷ τε βασιλεῖ Μιχαὴλ καὶ Κωνσταντίνῳ τῷ δεσπότῃ), δια 1.168 πρεσβεύεται πρὸς τὸν ῥῆγα τῆς Ἰσπανίας· ὁ δ' ἄσμενος ἐκπέμπει οὐ θυγατέρα οἰκείαν, ἀλλὰ ἄλλην κατὰ γένος αὐτῷ προσήκουσαν, Εἰρήνην φημὶ τὴν τοῦ μαρκεσίου ἐκείνου ἀπόγονον, τοῦ μετὰ τὴν τῆς Κωνσταντινουπόλεως ἅλωσιν κληρωσαμένου Θεσσαλονίκην μετὰ τῶν πέριξ. ἐκπέμπει δ' αὐτὴν, ὡς εἰρήκειμεν, ὁ τῆς Ἰσπανίας ῥὴξ οὐ κατὰ τὸ πάλαι παρὰ Λατίνοις κρατῆσαν ἔθος τοῦ Πάππα προτρέψαντος πρότερον. ἔθος γὰρ τοῖς τῶν Λατίνων ἐντιμοτέροις, μὴ κηδεύειν Ῥωμαίοις, πρὶν τὸ ἐνδόσιμον εἰληφέναι παρὰ τοῦ Πάππα. ἀλλ' ἐπειδήπερ διά τινα σκανδάλου πρόφασιν ἀφορισμοῦ καθυποβεβλημένος ἐπιτιμίῳ παρὰ τοῦ Πάππα ἐτύγχανε, σκῆψιν τὸ σκάνδαλον ποιησάμενος λάθρα ταύτην ἐξέπεμψε, βασιλίδα Ῥωμαίων ἐσομένην. ἦν δὲ ὁ μὲν βασιλεὺς τηνικαῦτα τῆς ἡλικίας τρίτον καὶ εἰκοστὸν ἔτος ἀμείβων· ἑνδέκατον δ' ἡ νέα σύζυγος ἡ Εἰρήνη, ᾗ δὴ καὶ κάλλος καὶ ἁρμονία τῷ ἤθει καὶ τῷ προσώπῳ ἐπέπρεπεν οὐ μικρά. (Β.) Ἐπεὶ δ' ὥσπερ τοῖς ὑγροτέροις τῶν ξύλων ἐμφύονται σκώληκες, οὕτω καὶ ταῖς φιλοτίμοις ψυχαῖς ὡς ἐπίπαν ζηλοτυπίαι καὶ φθόνοι δεινοί τινες ὑφεδρεύουσι κατὰ τῶν ὁμοτέχνων καὶ πρὸς ἃ μάλιστα τῶν ἐπιτηδευμάτων ἐκεῖνοι σπουδάζουσιν, ἠνία καὶ τὸν πατριάρχην



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Γρηγόριον ἡ τῆς τοῦ Βέκκου γλώττης καὶ διανοίας ὀξύτης, καὶ δεινὸν αὐτῷ ἦν, εἰ διαβόητος μὲν ἐν τοῖς τότε γενόμενος Ἕλλησι μόνος αὐτὸς, διαβόητος δὲ κἀν τοῖς τῶν πατριαρχῶν ἐλλογίμοις ἐλπίζων ἀκούσεσθαι, ἔπειτα ζημιοῖτο διὰ τῆς ἐν ταῖς διαλέξεσιν εὐστομίας ἐκείνου τὴν τοσαύτην φιλοτιμίαν· διά τοι τοῦτο καὶ αὐ 1.169 τὸς οὐ μέτρια συνεβάλετο πρὸς τὴν ἐξορίαν ἐκείνου. ὅθεν ἐξόριστος ἐκεῖνος περί που τοὺς πρόποδας τοῦ Ὀλύμπου πεμφθεὶς οὐκ ἔληγεν οὐρανῷ τε καὶ γῇ προσαγγέλλων τὴν, ὡς ἐκεῖνος ἔφασκεν, ἀδικίαν ὁμοῦ καὶ ἀπήνειαν, ἣν ἀσυμπαθῶς κατ' αὐτοῦ γε ἐπήνεγκαν, ἐξὸν φιλανθρωπότερον τῇ ἐκείνου κολάσει χρήσασθαι καὶ τὴν ἱερωσύνην ἀφελομένους αὐτὸν ἀποχρῶν ἡγεῖσθαι, τὸ προμηθὲς περὶ τἄλλα παρεχομένους αὔταρκες ἀνθρώπους γε ὄντας ἀνθρώπῳ γε ὄντι καὶ μεγάλης δόξης ἐκπεπτωκότι καὶ δι' αὐτὸ δὴ μάλιστα πολλῆς εἴπερ ποτὲ τῆς περὶ τἄλλα δεομένῳ ψυχαγωγίας, ὁπόσα τὰς ἀναγκαίας ἐπικουφίζουσι χρείας. πανταχόθεν οὖν ἐς ἀμηχανίαν κατενεχθεὶς ἐζήτει διαλύσασθαι κρίσει δημοτελεῖ τὰ ἐγκλήματα, ἵνα δυοῖν ἴσως ἐπιτύχοι θατέρου· ἢ γὰρ φιλανθρωποτέρους τῇ παρουσίᾳ καὶ τῇ αὐτοπροσώπῳ θέᾳ καὶ ὁμιλίᾳ τοὺς δικαστὰς ἐργάσασθαι· ἢ τό γε δεύτερον, κατάδηλον θεῖναι τοῖς ἅπασι τὸ ἀσυμπαθὲς αὐτῶν καὶ ἀμείλικτον. (Γ.) Ταῦτα ἀκούοντι τῷ βασιλεῖ εὖ ἔχειν οὐκ ἔδοξε περιφρονητέα κείσεσθαι τοῦ λοιποῦ. διασκεδασθήσεσθαι γὰρ ἂν ὑπόνοιαν ἐς τοὺς τῶν πολλῶν λογισμοὺς, ἀδικεῖσθαι τὸν ἄνδρα· καὶ ἔσται κατὰ τῶν δοκούντων ἀδικεῖν ἐκ τοῦ δήμου λοιδορία μακρὰ, νῦν μὲν ὑπ' ὀδόντα ψιθυριζομένη, μετὰ δὲ κύκλους ἔστιν οὓς ἐνιαυτῶν ἀνακεκαλυμμένη καὶ ὕπαιθρος. πολλαὶ γὰρ λοιδορίαι, πολλὰ δὲ καὶ ἐγκώμια περιτρέχουσι τὸν αἰῶνα μὴ πάνυ σὺν δίκῃ· ἐκεῖναι μὲν καθ' ὧν οὐκ ἠδίκησαν, ταῦτα δὲ καθ' ὧν οὐδὲν ἄξιον ἐπεπράχεσαν. δεῖν οὖν ἐνομίσθη πάντας συνηθροικότι περὶ τὰ βασίλεια, ὅσοι τε τῶν ἀρχιερέων καὶ ὅσοι τοῦ κλήρου, ὅσοι τε 1.170 τῆς συγκλήτου καὶ ὅσοι τῶν ἐλλογίμων, ἐν τοσῷδε θεάτρῳ περιφανῆ τὴν ἐκείνου ποιήσασθαι κρίσιν. οὗ γενομένου καὶ τοῦ Βέκκου παριόντος εἰς μέσους καὶ πάντα τῇ γενναίᾳ παλάμῃ τῆς γλώττης σφοδρῶς συγκυκῶντος καὶ ἀναξαίνοντος, ὁπόσα οἱ τἀσφαλὲς περιέποντες δόγμα ἐπέφερον, εἰ μὴ Γρηγόριος ὁ πατριάρχης καὶ Μουζάλων ὁ μέγας λογοθέτης σοφίας περιουσίᾳ καὶ γραφῶν ἱερῶν ἐκλογαῖς ἀντεῖχον καὶ τὸν σφοδρὸν ἐκεῖνον χειμῶνα τῆς παλαμναίας ἐκείνης ἀνέστελλον γλώττης, τάχ' ἂν τὸ ψεῦδος κατὰ τῆς ἀληθείας ἐλάμβανε κράτος καὶ τῆς ἀρετῆς ἡ περιεργία τὸ πλέον ἐκτᾶτο. (Δ.) Ἦν δ' ὁ Μουζάλων οὗτος τῷ βασιλεῖ παραδυναστεύων τότε καὶ τοῖς βασιλικοῖς καὶ δημοσίοις μεσιτεύων πράγμασι καὶ παρὰ τοῦ βασιλέως μεγίστην καρπούμενος τὴν αἰδῶ διά τε σοφίαν καὶ γῆρας μακρὰν καὶ ποικίλην ἐμπειρίαν πραγμάτων μετὰ φρονήσεως ἔχων. δι' ἃ δὴ καὶ τιμήν τινα ταύτην ἔσχεν ἐξαίρετον μόνος τῶν πάλαι τὸ ὅμοιον αὐτῷ προειληφότων ἀξίωμα, καλύπτραν φορεῖν ἐπὶ κεφαλῆς χρυσοκοκκίνῳ κεκαλυμμένην ἐνδύματι, ὅσον τὸ ἄνω καὶ πρὸς τῇ πυραμίδι τῆς ἐπιφανείας χῦμα, ἐν τούτῳ παραλλάττουσαν μόνῳ τοῦ παραπλησίαν εἶναι καθάπαξ τῇ τῶν τοῦ βασιλέως ἐγγόνων, ὅτι μὴ καὶ τὴν κάτω καὶ κοίλην ἐπιφάνειαν εἶχε κυκλίσκοις πεποικιλμένην χρυσοειδέσιν, ἀλλὰ λείαν τελέως. καὶ ἵνα τἀν μέσῳ παρέλθωμεν, ἐπειδήπερ πολλῶν μεταξὺ τῶν ἀπὸ γλώττης καὶ γνώμης γενομένων διαύλων καὶ κρότων οὐδεμίαν ἑώρα περὶ αὐτὸν γινομένην φιλάνθρωπον γνώμην καὶ προμηθείας δεξίωσιν ὁ Βέκκος, ἀπεῖπεν 1.171 ἀνακεκαλυμμένῃ τῇ γλώττῃ τὴν ἕνωσιν. ταῦτ' ἄρα καὶ ὑπερορίας αὖθις ἔς τι πολίχνιον τῶν περὶ Βιθυνίαν παραλίων πέμπεται ἅμα τοῖς ἀμφ' αὐτῷ· Μελιτηνιώτης δ' ἦσαν οὗτοι καὶ Μετοχίτης. (Ε.) Ἐγὼ δ' ἐκεῖνο οὐκ οἶδ' ὅπως παραῤῥυέν μου τῆς μνήμης ἐπαναλήψομαι. μετὰ γὰρ τὴν περὶ τὸ Ἀτραμύτιον πυρκαϊὰν ἐκείνην τῶν βίβλων τῆς Ἔριδος ἐς τὸ Βυζάντιον ἅπαντες συνδραμόντες οἱ τὸν ζῆλον ὑποκρινόμενοι καὶ τὰς μητροπόλεις καὶ τἄλλα τῶν ἀξιωμάτων τὰ μὲν ἤδη διανειμάμενοι, τὰ δὲ μέλλοντες, καθαίρεσιν παντελῆ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τῶν ἀρχιερέων καὶ τοῦ κλήρου παντὸς, ὅσοι τῷ βασιλεῖ Μιχαὴλ τοῦ δόγματος ἐκοινώνησαν, πρὸς ἀπήνειαν κατεψηφίσαντο οὔτε μετρίως οὔτ' ἀνθρωπίνως τῇ τύχῃ χρησάμενοι. δῆμος γὰρ ὄντες τὸ πλεῖστον ἀγοραῖος καὶ ἀνώμαλος καὶ αὐθάδης χθὲς καὶ πρώην οὔπω βασιλέως ἠξιωμένοι θεάσασθαι πρόσωπον κἄπειτ' ἐξαίφνης καὶ παρ' ἀξίαν πλουσίας ἀπολελαυκότες αὐτοῦ τῆς εὐμενείας μείζω τε ἐφρόνησαν τῆς ἑαυτῶν τύχης καὶ τῶν μεθυόντων οὐδὲν ἄμεινον διετέθησαν. παρὰ γὰρ τοῦ βασιλέως τὸ ἐνδόσιμον εἰληφότες, ἅτε μικροῦ πρὸς ἅπαντα τούτοις ὑπείκοντος διὰ τὴν φλέγουσαν ἔφεσιν, ἣν ἐν καρδίᾳ πρὸς τὴν τῆς ἐκκλησίας ἔτρεφεν ἕνωσιν, κατὰ πολλήν τινα ἤδη τὴν ἄδειαν καθ' ὧν ἔμελλον τὴν ἄτιμον ἐκείνην ψῆφον ἐπενεγκεῖν, πάντας ὡς πρόβατα πρὸς τὸν ἐν Βλαχέρναις συνήθροισαν μέγαν νεών. ὧν πολλὰ πρὸς οἶκτον εἰσαγόντων καὶ σχήματα καὶ ῥήματα καὶ φιλανθρωπίας ὅμοια τῶν παλαιῶν ὑποδείγματα, τά τε 1.172 ἄλλα, καὶ ὅσα ἐπὶ τῶν χρόνων ὁπωσδηποτοῦν τῆς διπλῆς εἰκονομαχίας ἐγένοντο, ὅπως χείρονα τῶν νῦν πεπραχότες ἐκεῖνοι φιλανθρώπων τε ἀπέλαυσαν τῶν ὕστερον τῆς ὀρθοδοξίας προστάντων κἀπὶ τῆς τάξεως ἧς ἕκαστος ἔλαχεν ἔμειναν ἔνιοι, ἀπαλλαγὴν τῆς θηριώδους γνώμης οὐκ ἔγνωσαν οὐδ' ὁπωσοῦν εἰληφέναι· ἀλλὰ πάντα φειδώ τε καὶ οἶκτον οἱ τῆς κακίας ἀπειληφότες κλύδωνες ἐς Ἀτλαντικοῦ πελάγους πυθμένας ὡς ἔοικε κατεβάπτισαν. οὕτω πολύς τις ἐχόρευε φθόνος ἐν μέσῳ τοῦ ἱεροῦ συλλόγου ἐκείνου καὶ μάλα πικρὸς κατωρχεῖτο κλύδων εὐθὺς ἐξαρχῆς τῆς καλῆς ὁμονοίας ἐκείνης. (΄.) Ἀλλὰ τίς οὕτω σκληρὸς καὶ ἀδαμαντίνην ἔχων ψυχὴν διηγήσαιτο τὴν ὕβριν ἐκείνην καὶ μεγίστην ἀπανθρωπίαν, ἣ κατὰ τῶν ἀθλίων ἐχρήσαντο ἐπισκόπων καὶ ὅσοι τοῦ ἱερατικοῦ καταλόγου; μετὰ γὰρ τὰς ἀπὸ γλώττης λοιδορίας εἶτα προσέταττον οἱ τῆς προεδρίας τοὺς ὑφεδρεύοντας λαβομένους τῶν ἐπὶ κεφαλῆς καλυμμάτων ἐκείνων ῥίπτειν αὐτὰ κατὰ γῆς ἐπιβοῶντας τὸ, ἀνάξιος, τρίς· ἄλλους δὲ ἄλλων τὰ ἱμάτια περιδύειν ἀπὸ τῶν κρασπέδων ἐπὶ κεφαλῆς ἀντιστρόφως αἴροντας καὶ τὸ, ἀνάξιος, αὖθις ἐπιβοῶντας τρὶς, ἔπειτα ὠθισμῷ καὶ βίᾳ καὶ τοῖς ἐπὶ κόῤῥης ῥαπίσμασιν, ὥς τινας τῶν ἀνδροφόνων, ἐξελαύνειν τοῦ ἱεροῦ. ταῦτα οἱ δίκαιοι κριταὶ καὶ τοῦ εὐαγγελίου μύσται. ὁ δὲ φιλάνθρωπος Ἰησοῦς καὶ σωτὴρ καὶ τὸν λῃστὴν προσεδέξατο καὶ τοῦ προδότου τὴν μετάνοιαν, εἴπερ κἀκείνῳ πρὸς βουλήσεως ἦν, ἄσμενος ἐπόθει καὶ ἐκαρτέρει. ταύτῃ 1.173 τοι καὶ βραδέως μὲν, ἀλλ' εὗρον καὶ οὗτοι τὴν δίκην ὀψὲ, τὴν ἀξίαν ἐπάγουσαν ἀντιμέτρησιν. οὐδὲ γὰρ οὐδεὶς τῶν νέων τούτων νομοθετῶν καὶ κριτῶν ἐν τῇ οἰκείᾳ τετελευτήκει τιμῇ· ἀλλ' αἴσχιστα τῶν οἰκείων ἐξελαθέντες θρόνων, ὡς προϊόντες ἐροῦμεν, βέλεσι. λύπης τοῦ ζῆν ἀπεῤῥάγησαν. (Ζ.) Μετὰ ταῦτα τοίνυν ὁ βασιλεὺς ἐς μνήμην ἐληλυθὼς ὧν ὁ πατὴρ ἐπεπράχει κατὰ τοῦ νέου Ἰωάννου τοῦ Λάσκαρι, ᾧπερ ἡ τῆς βασιλείας μᾶλλον προσῆκε διαδοχὴ, καὶ δείσας μὴ τῆς δίκης ὀψέ ποτε διαναστάσης τὰ ὅμοια ἔσται καὶ αὐτὸς πεπονθὼς, ἀφαίρεσιν δηλαδὴ βασιλείας καὶ ὀφθαλμῶν, ἐζήτει καθόσον ἐξῆν τὸ προσῆκον ἐπενεγκεῖν τῷ τραύματι φάρμακον. συνετὸς γὰρ ὢν οἶδεν ὡς πολλάκις κἀν τῷδε τῷ βίῳ τὸ θεῖον φιλεῖ κατὰ στάθμην δικαίαν τῶν πεπραγμένων τὰ τέλη βραβεύειν ὁποῖά ποτ' ἂν ᾖ, ἵνα δραστική τις τοῦτο παραίνεσις τῷ βίῳ ἐμπολιτεύηται, ἰταμῶς ἀπειλοῦσα, οἵ τινές ποτ' ἄρα εἶεν οἱ τὴν ἄνωθεν ἐποπτεύουσαν δίκην κατόπιν τῶν οἰκείων τιθέμενοι βουλευμάτων. εἰ γὰρ μὴ καὶ αὐτὸς αἵρεσιν οὐδηντινοῦν συνεργὸν ἐδεδώκει τῇ γνώμῃ καὶ χειρὶ τοῦ πατρὸς, τῆς τότε βρεφικῆς ἡλικίας καιρὸν οὐκ ἐχούσης, διὰ τὸ τῶν σωματικῶν ὀργάνων οὐκ ἐντελὲς ἐμφανίζειν τὴν ἐν τοῖς κόλποις τῆς ψυχῆς κεκρυμμένην αἵρεσίν τε καὶ βούλησιν· ἀλλ' οὖν δι' αὐτὸν ὅμως τὸν τοσοῦτον τῆς ἀδικίας ἀνῆψε πυρσὸν ἐκεῖνος, ὡς μὴ τοῦ γνησίου παρόντος καὶ ὑγιαίνοντος διαδόχου στεροῖτο τῆς βασιλείας αὐτός. ταῦτ' ἄρα καὶ σφοδροῖς τοῖς τῆς συνειδήσεως κέντροις πληττόμενος ἧκε παρὰ τὸν τυφλωθέντα δι' αὐτὸν 1.174 παρὰ τοῦ πατρὸς Ἰωάννην τὸν Λάσκαριν, ἔν τινι πολιχνίῳ τῆς


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Βιθυνίας φρουρούμενον, ὀψόμενός τε ἅμα αὐτὸν καὶ τὰ εἰκότα παραμυθησόμενος καὶ πρός γε ἔτι τὰ πρὸς τὴν χρείαν ἄφθονα πάντα παρέξων αὐτῷ διὰ βίου· ὃ δὴ καὶ πεπραχὼς καὶ πράττεσθαι προστεταχὼς ἄσμενος ἐκεῖθεν ἀπῄει πρὸς ἕω τὰς διατριβὰς ἐπὶ ῥητοῖς ποιησόμενος στρατηγικῆς θ' εἵνεκα ἐμπειρίας καὶ δεξιᾶς τινος ἀπειλῆς τῶν βαρβάρων, πρὸς συστολὴν οἱονεί πως συνωθούσης αὐτούς, ὡς μὴ ἀδεῶς ὁπότε καὶ ὅποι βούλοιντο ἐπελαύνοιεν ἐς τὰς Ῥωμαίων νομάς. γ΄. Ἐν τούτοις γε μὴν τῶν πραγμάτων ὄντων βουλὴν τῷ βασιλεῖ παρεισάγουσί τινες τῶν πάντα τοῖς ἡγεμόσιν ἐπειγομένων χαρίζεσθαι· ἐπεὶ καὶ τὰ πλεῖστα φιλεῖ τὸ ὑπήκοον πρὸς τὴν τῶν ἀρχόντων συνδιατίθεσθαι βούλησιν καὶ πρὸς ἐκείνην ὡς εἴς τινα σκοπὸν καθάπαξ ῥυθμίζειν καὶ διευθύνειν καὶ γνώμην καὶ γλῶτταν καὶ πᾶσαν χειρὸς πρακτικῆς κίνησιν. τοῖς γὰρ τοιούτοις οἶδεν ἐξωνεῖσθαι ῥᾳδίως τὴν τῶν ἀρχόντων εὐμένειαν· ἡ δὲ βουλή, ἐπειδή φησιν πάντα ἐξεκεχωρήκει τὰ δεινὰ, δι' ἃ τὰς τριήρεις Ῥωμαῖοι πρὸς τοσοῦτον ἐπηύξησαν πλῆθος· τά τε γὰρ ἄλλα καὶ Κάρουλος ὁ τῆς Ἰταλίας ῥὴξ, τὸ κεφάλαιον τῶν δεινῶν, ἐξ ἀνθρώπων ἐγένετο· μάταιος ἄρα τῶν νεῶν ἡ δαπάνη, μικροῦ τῶν ἄλλων ἁπάντων ἐπέκεινα τὸ βασιλικὸν ἐπιτρίβουσα ταμιεῖον. ὃ δὴ καὶ Ῥωμαίοις ὄλεθρος ὢν προφανὴς καίριον ὅμως ἔδοξε καὶ μάλα ἀνυσιμώτατον γνώμαις διψώσαις χρημάτων καὶ τούτων ἕνε 1.175 κα πάσας ἑτοίμως ἐχούσαις προΐεσθαι τὰς τὴν ἀρχὴν συνιστώσας αἰτίας, καθάπερ τοὺς οἴκους τὰ ἐρείσματα καὶ οἱ πρόβολοι καὶ οἱ χάρακες. (Β.) Αὕτη δὴ γίνεται Ῥωμαίοις δυστυχημάτων ἀρχὴ καὶ θεμέλιος ἄσειστος. τοῦτο τοὺς πρὶν τὴν Ῥωμαίων δύναμιν ὡς ἄμαχον ὀῤῥωδοῦντας Λατίνους ἀνέῤῥωσε καὶ πρὸς λογισμοὺς ἀθλητικήν τινα γέμοντας ὁρμὴν μάλα ἐξώπλισεν. ἐντεῦθεν γὰρ τὰ πρὸς θάλατταν ἐκείνοις μὲν ηὖξε καὶ ἐλαμπρύνετο καὶ κέρδη προσετίθει καὶ μείζους καὶ πλατυτέρας ἀρχάς· τοῖς Ῥωμαίοις δ' ὑπέῤῥει καὶ ὑπεχάλα καταμικρὸν ἀεὶ καὶ τῆς πρώτης ἡμέρας ἡ δευτέρα κατόπιν ἐβάδιζεν ἐπὶ δυστυχήματι προστιθεῖσα δυστύχημα· πειρατικαὶ γὰρ τριήρεις ἄλλοτε ἄλλαι νῦν μὲν ἐντεῦθεν, νῦν δ' ἐκεῖθεν, νῦν δ' ἄλλοθεν, σύνδυο καὶ σύντρεις καὶ κατὰ πλείους ἤδη πρὸς αὐτὴν ἀδεῶς εἰσεκώμασαν τὴν πόλιν. ὅθεν αἵ νῆσοι καὶ τὰ παράλια ἤρχοντο ἤδη νοσεῖν, οὐκ ἔχουσαι μηδαμόθεν ὅπως ἂν ὁπωσοῦν ἀποτρίψωνται τοὺς παράπλους καὶ περίπλους ἐκείνων καὶ τὰ νύκτωρ καὶ μεθ' ἡμέραν ἐκεῖθεν δεινὰ, ὅσα δέος ἐσχάτων κινδύνων καὶ θανάτου τότε μὲν ἠπείλουν καὶ ἔμελλον, ὕστερον δ' ἐναργῶς ἐπήνεγκαν. (Γ.) Ἐντεῦθεν τὸ Γασμουλικὸν ἅπαν διεσκεδάσθη ἄλλο κατ' ἄλλα μέρη τῆς οἰκουμένης διασπαρὲν δι' ἔνδειαν τοῦ ζῆν. τὸ μὲν γὰρ ταῖς τῶν Λατίνων ηὐτομόλησε χρείαις, ὅσαι περί τε ὁλκάδας καὶ τριήρεις ἐκείνων μερίζονται· τὸ δ' ὑπόμισθον ἐγεγόνει τοῖς ἐνδόξοις καὶ πλούτῳ προέχουσι τῶν Ῥωμαίων· τὸ δὲ τὰ ὅπλα ἀποδόμενον πρὸς γεωργίαν 1.176 ἐτράπετο, αἱρετώτερον ἡγησάμενον οὕτω τε μοχθεῖν διὰ βίου καὶ τοῖς ἐτησίοις κατατρίβεσθαι τελώναις καὶ φορολόγοις, ἢ λιμῷ συνωθοῦντι πρὸς θάνατον πρόδηλον ἑκόν γε εἶναι ἑαυτὸ καταπροέσθαι. αἱ τριήρεις δ' ἄλλαι κατ' ἄλλα μέρη τοῦ Κέρως καταλειφθεῖσαι κεναὶ τῷ χρόνῳ διεφθάρησαν· αἱ μὲν γὰρ κατέδυσαν ἐς πυθμένας θαλάσσης, αἱ δὲ διεῤῥάγησαν. ἦσαν δ' αἳ καὶ ἐπιμελείας ἀξιωθεῖσαί τινος, ὀλίγαι δ' αὗται παρέμειναν εἰς χρείας ἴσως ἐλπίδος μελλούσης. ἐς οἷόν γε μὴν πέρας κατήντησε τὸ βούλευμα τοῦτο καὶ οἷα τοῖς Ῥωμαίοις προὐξένησε τὰ δεινὰ, τοῦ λόγου προϊόντος ἔσται δῆλον. δ΄. Ἐπεὶ δὲ ἔδει καὶ Γρηγορίῳ ἐπενεχθῆναι τὰ λυπηρὰ καὶ γενέσθαι τινὰ τίσιν αὐτῷ τῆς ἀσπλαγχνίας, ὅτι μήτε χεῖρα βοηθείας ὤρεξεν ἐπιβοωμένῳ τῷ Βέκκῳ, καὶ πάντα ὑπείξειν ὁμολογοῦντι, εἰ παραδοχῆς τινος ἀξιωθείη, μήτε τὰ δεινὰ τῷ ταλαιπώρῳ προσεπαύξειν ὤκνησεν, ἀλλὰ πολλοῖς πανταχόθεν χειμαζομένῳ τοῖς κύμασιν, αὐτὸς κατὰ νώτου μείζους ἀνεῤῥήγνυ τοὺς κλύδωνας, ἄλλους ἐπ' ἄλλοις συχνοὺς ἐπαντλῶν, σφόδρα τῆς ἑαυτοῦ σοφίας ἀνάξια πράττων, ὁ πάντα πλὴν τοῦ παρόντος ἐπαίνων ἄξιος· ἐπεί γε μὴν ἔδει καὶ τοῦτον παθεῖν κακῶς, τί παρὰ τῆς τὰ πάντα πρὸς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τὸ συμφέρον ἀγούσης προνοίας οἰκονομεῖται; ἐγκαταλιμπάνεται καὶ οὗτος παρὰ θεοῦ προνοητικήν τινα καὶ παιδευτικὴν ἐγκατάλειψιν, ἵνα τὴν προστριβεῖσαν ἐντεῦθεν αὐτῷ κηλῖδα καλῶς ἀποτρίψηται καὶ καθαρὸς τῷ μέλλοντι παραπεμφθείη αἰῶνι. ἔδοξε γὰρ αὐτῷ μὴ ἀρκοῦσαν εἶναι τιμωρίαν 1.177 κατὰ τοῦ Βέκκου τὴν ὑπερόριον δίαιταν καὶ ἀπαγωγὴν τῶν φίλων καὶ συγγενῶν, ἀλλὰ καὶ λόγοις καὶ γραφαῖς ἔβαλλε πόῤῥωθεν, ταῖς ἐκείνου γραφαῖς καὶ τοῖς δόγμασι καὶ ἀντιπάλοις προβλήμασί τε καὶ δόγμασιν ἀντισυλλογιζόμενος· ἐν ὅσῳ γε μὴν ἐκείνῳ καὶ τοῖς ἐκείνου μαχόμενος οὗτος ἦν, ἐλάνθανε τιτρωσκόμενος ὑπ' ἄλλων αὐτὸς κἀν τούτοις καὶ αὐτὸς ἁλισκόμενος, οἷς ἄλλων ἐπελαμβάνετο· καθάπερ εἴ τις τοξεύων ἐχθρὸν καὶ πολέμιον ἐλάνθανε καιριώτερον αὐτὸς τοξευόμενος παρὰ πλευρὰν ἐκ τῶν ὁμοφύλων. (Β.) Ἐπελάβοντο γὰρ αὐτοῦ ὡς βλασφημοῦντός τινες τῶν ἀρχιερέων καὶ τῶν τοῦ κλήρου καὶ παρῄνουν ἔστιν ἃς μεταθέντα τῶν λέξεων ἀκίνδυνον εἶναι καὶ λοιδορίας ἐκτός. οὐ μὴν ἔδοξε τὰ τῆς παραινέσεως τούτῳ τυγχάνειν ὑγιᾶ καὶ ἀνύποπτα, ἀλλ' ὑποκαθήμενον ἔχειν καὶ ὑφέρποντα φθόνον. ταύτῃ τοι καὶ ἐνίστατο καὶ παρωξύνετο πρὸς ἀντιλογίας καὶ ἀποδείξεις καὶ λόγοις λόγους συνείρων ἐπὶ πολὺ διετέλει ἀποφράττοντάς τε τὰ τῶν ἐγκαλούντων ὡς ἐδόκει στόματα καὶ ὑπερείδοντας ὡς ἐνῆν αὐτὸν καὶ τὸ στεῤῥὸν τοῖς αὐτοῦ περιποιουμένους λόγοις. ἀλλ' οὐκ ἦν ὡς ἔοικεν ἐθέλοντι καὶ θεῷ, τῷ πάντα πρὸς τὸ συμφέρον οἰκονομοῦντι, καὶ εἰς τὸ ἑξῆς εὐδρομῆσαι τὸν ἄνδρα. διὰ τοῦτο δίδοται τοῖς μαχομένοις ἰσχὺς καὶ ἀνάπτει τὰ τῆς φιλονεικίας, ὥσπερ ἀπὸ σπινθῆρος εἰς πυρσόν. ἀποῤῥήγνυνται γὰρ αὐτοῦ πρῶτον μὲν τῶν ἀρχιερέων οὐκ ἐλαχίστη μοῖρα καὶ τῶν τοῦ κλήρου· συναποῤῥήγνυνται δὲ καὶ οἱ τούτῳ μᾶλλον τῶν ἄλλων ἀρχιερέων φιλούμενοι, τοὺς περὶ Χειλᾶν τὸν Ἐφέσου φημὶ καὶ Δανιὴλ τὸν Κυ 1.178 ζίκου, οἷς καὶ μείζονα τοῦ προσήκοντος διὰ τὸν λόγον ἐχαρίζετο τὴν τιμὴν καὶ πρώτους τῶν ἄλλων ἱερέας τε καὶ ἀρχιερέας ἀνέδειξεν· ὃ καὶ μᾶλλον ἐλύπει τὸν πατριάρχην, ὅτι περ οὓς ἤλπιζεν ἄλλων λοιδορούντων καὶ μαχομένων αὐτοὺς ὑπερμαχεῖν καὶ ἀντ' ἀκροπόλεως καὶ τάφρων αὐτῷ καθίστασθαι, τούτους εὕρισκε παρ' ἐλπίδα πολεμίους καὶ τὸ δὴ λεγόμενον ἄνθρακας ἀντὶ θησαυρῶν. ὥστε καὶ τοῦτο ἐκεῖνο λέγεται καὶ αὐτὸν πεπονθέναι, ὁποῖον καὶ ὁ Καῖσαρ πάλαι Ἰούλιος ἐπεπόνθει κτεινόμενος ὑπὸ τῶν περὶ Βροῦτον καὶ Κάσιον. πρὸς μὲν γὰρ τὰ τῶν ἄλλων ξίφη μέχρι τινὸς ἀντεῖχε καὶ ἀπεμάχετο καθόσον ἐξῆν· ὁπότε δ' ἀπίδοι καὶ Βροῦτον ἐσπασμένον τὸ ξίφος, ὃν ἴσα καὶ γνήσιον παῖδα διετέλει φιλῶν, τότε πληγέντα φασὶ τὴν καρδίαν τῷ ἀδοκήτῳ τοῦ πράγματος ἄψυχον αὐτίκα πεσεῖν κατὰ γῆς. (Γ.) Τὸν αὐτὸν καὶ οὗτος τρόπον ἀντέλεγε τοῖς ἄλλοις μέχρι τινός· ἐπεὶ δὲ καὶ αὐτοὺς δὴ τοὺς πιστοτάτους καὶ φιλουμένους ὁπλιζομένους ἔβλεπε κατ' αὐτοῦ καὶ μηδένα τὸν βοηθοῦντα, μήτε τὸν βασιλέα, μήτ' ἄλλον οὐδένα δυνάμενον, συνῆκεν ὀψὲ κρίσιν εἶναι τοῦτο τοῦ θεοῦ καὶ δίκην ἄνωθεν κυρωθεῖσαν καὶ καταψηφισθεῖσαν αὐτοῦ. ταύτῃ τοι καὶ χαίρειν εἰπὼν φιλονεικίας καὶ θρόνους ἀπῆλθε σχολάσων ἐν τῇ μονῇ τῆς ὑπεράγνου δεσποίνης καὶ θεομήτορος τῆς τῶν Ὁδηγῶν. ἀλλ' ἐκεῖθεν διὰ βραχέος ἐκλήθη παρὰ τῆς κτητορίσσης τῆς τοῦ ἁγίου Ἀνδρέου μονῆς. φιλολόγος γὰρ ἦν ἡ γυνὴ καὶ τὰ πολλὰ τῆς γλώττης τοῦ πατριάρχου ἐξεχομένη· διὸ καὶ κατοικίαν ἔγγιστα τῆς μονῆς δειμαμένη προσηγάγετο τοῦ 1.179 τον ἐκεῖσε· ὅπου καὶ χρόνου βραχέος παραῤῥυέντος τὸν βίον ἀπήλλαξεν. (Δ.) Ἐπεὶ δ' εἴωθεν ὡς τὰ πολλὰ τὸ θεῖον ἀνάλογα τοῖς πεπραγμένοις τὰ τέλη ταῖς πράξεσιν ἀντιμετρεῖν, ἵνα δὴ τοῖς περιοῦσι παίδευμά τι καὶ σωφρονισμὸς τῶν παρελθόντων γίνοιντο τὰ πάθη, οὐκ εἰς μακρὰν ἡ ἀξία μετῆλθε δίκη καὶ τοὺς περὶ Χειλᾶν τὸν Ἐφέσου καὶ Δανιὴλ τὸν Κυζίκου, διότι πικρὰν ὀφρὺν αὐτοὶ τῷ εὐεργέτῃ ἐπέῤῥιψαν τῇ παρούσῃ τύχῃ πεπιστευκότες καὶ μὴ θέντες ὅλως εἰς νοῦν, ὅτι πλεῖστος περιχορεύει τἀνθρώπεια πλάνος τοῖς τε προσδοκωμένοις διδοὺς ἀπροσδόκητον πέρας καὶ τοῖς ἀπεγνωσμένοις εὐτυχῆ τινα


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

φέρων παλάμην· καὶ φιλεῖ γε ὡς τὰ πολλὰ τὰς ἀνιδρύτους ψυχὰς ὑποκλέπτειν ῥᾳδίως καὶ παραφέρειν ἐς ἔκφυλα θράση καὶ πράξεις ἀτόπους, καθάπερ ὁπότε Καικίας ὁλκάδα λαμπρὸς ἀπολαβὼν ἀγκυρῶν ὀρφανὴν οὐ καλῶς ἐφ' ὑγροῖς ταλαντεύει τοῖς κύμασι· καὶ ὡς χρὴ τοῖς τοιούτοις προσέχειν τὸν νοῦν ἀσφαλῶς, μὴ πάθωμεν ἐς τὴν ὑστεραίαν ὧν δρῶμεν αὐτοὶ μείζω τε καὶ πικρότερα. ἐγείρονται γὰρ καὶ κατ' αὐτῶν οἱ τοῦ κλήρου τῶν μητροπόλεων αὐτῶν ἔκκριτοι καὶ πιστότατοι καὶ ἐς τὰ μάλιστα ἀγαπώμενοι καὶ διδόασι τῷ τε βασιλεῖ καὶ τοῖς ἄλλοις ἀρχιερεῦσι γράμματα, πολλὰ τῶν ἀθεμίτων αὐτοῖς μαρτυροῦντα καὶ ὅσα καθαίρεσιν ἦσαν αὐτοῖς ἐγγυώμενα· ἃ δὴ καὶ σὺν πολλῇ τῇ προθυμίᾳ ὅ,τε βασιλεὺς καὶ ἡ τῶν ἀρχιερέων πανήγυρις προσδεξάμενοι γράμμασι μὲν καὶ ψηφίσμασιν ἠγάγοντο τούτους εἰς τὴν βασιλεύουσαν· τὸν δὲ τῆς ἐξετάσεως καιρὸν ἡμέραν ἐξ ἡμέρας ὑπερτιθέμενοι παρεκρούοντο. 1.180 (E.) Εἶτα ἐπειδὴ ἔδει πιεῖν καὶ αὐτοὺς δριμύτερον ὃν κατὰ τοῦ πατριάρχου καὶ εὐεργέτου κρατῆρα συνεσκευάσαντο, τοῦ θεοῦ τὰ τοιαῦτα δικαίως ἀντιμετροῦντος ἄνωθεν, εὑρίσκουσι μὲν σεσιωπημένην παρὰ τοῦ βασιλέως ἀποστροφὴν, ἣ δὴ καὶ πολλῷ πλέον τῆς φανερᾶς ἐπιφέρει τὴν λύπην, ὁμαλῶς πως καὶ λεληθότως εἰπεῖν ἄχρι μυελῶν καὶ ὀστῶν διαβαίνουσα κἀκεῖ τὴν ὥραν τῆς ψυχῆς ἀπηνῶς ἐπιβοσκομένη καὶ τὸ φιλότιμον ἅπαν μαραίνουσα· εὑρίσκουσι δὲ παρὰ τῶν ἀδελφῶν καὶ συλλειτουργῶν περιφρόνησιν δυσμενῆ καὶ πάσης παραμυθίας ἐξενωμένην· τὸ δὲ μεῖζον, ἀποκλείονται καὶ τῶν ἐτησίων προσόδων, ἃς αἱ μητροπόλεις αὐτοῖς ἐγεώργουν. καὶ ἵνα μὴ διατρίβωμεν, οὕτω καθήμενοι παρὰ τὴν βασιλεύουσαν τὸ λοιπὸν τοῦ βίου παρήμειψαν, σφόδρα φλεγμαίνουσαν θρέψαντες ἐν τοῖς σπλάγχνοις τὴν λύπην, ἕως ἀπηγορεύκει μὴ φέρον τὸ σῶμα τὴν ἔκτασιν τῆς ὑπερβολῆς. ε´. Ἀλλ' ἐκεῖσε ἐπάνειμι. διαδέχεται μέντοι τὸν πατριαρχικὸν θρόνον μοναχός τις Ἀθανάσιος ὄνομα, ἐκ παιδὸς τοῖς ἀσκητικοῖς ἐγγυμνασάμενος πόνοις καὶ τὸν ἡσύχιον βίον ἤδη διάγων ἐν ὄρεσι τοῖς τοῦ Γάνου. ἦν δὲ ὁ ἀνὴρ ἀδαὴς μὲν τῆς τῶν γραμμάτων παιδείας καὶ τῶν πολιτικῶν ἠθῶν, τἄλλα δὲ ἀγαθὸς καὶ θαυμάσιος, ὅσα τὸν μοναδικὸν ἀπεργάζεται βίον, ἐγκράτειάν φημι καὶ στάσεις παννύχους· χαμαιεύνης καὶ ἀνιπτόπους καὶ πεζοπορῶν ἀεὶ καὶ τρόπον ἔχων μάλα προσήκοντα τοῖς διαιτωμένοις καθ' αὑτοὺς ἐν ὄρεσι καὶ σπηλαίοις. καὶ ἦν ἂν διὰ βίου μακα 1.181 ριστὸς ὁ ἀνὴρ, εἰ καθ' αὑτὸν ἀεὶ διῆγεν· ἀλλ' ἐχρῆν ὡς ἔοικε παθεῖν κακῶς τούς τε ἄλλους τῶν ἀρχιερέων καὶ ὅσοι τοῦ κλήρου ἐλλόγιμοι, καὶ ἀντίσταθμα τὰ δεινὰ τῆς σφῶν εὑρηκέναι κακίας, τῆς τε προτέρας ἐκείνης καὶ ἣν κατὰ τοῦ πατριάρχου ἐνεδείξαντο Γρηγορίου. πρὸς γὰρ τὸν πατριαρχικὸν ἀναβεβηκὼς θρόνον αὐτοῖς πρώτοις εὐθὺς βλοσυρόν τε ἐπέῤῥιψεν ὄμμα καὶ ζήλου θείου καὶ πικρίας μεστόν· ὡς μὲν ἐντεῦθεν τοὺς μὲν συνετωτέρους ἀπὸ πρώτης ὅ φασι γραμμῆς στοχασαμένους τοῦ μέλλοντος τὴν κατ' οἶκον ἑκόντας ἑλέσθαι κεκρυμμένην διαγωγὴν, πρὶν ἄκοντας παθεῖν τι τῶν ἃ μὴ πρὸς βουλήσεως ἦν· τοὺς δ' ἀναγκασθέντας μετὰ βραχὺ τῆς βασιλευούσης ὥσπερ φυγάδας γενέσθαι. (B.) Τὰ δ' ὅμοια καὶ ἡ τῶν ἀρχιερέων πληθὺς ἐπεπόνθεσαν. πλεῖστοι γὰρ ἦσαν καὶ πάντες ἐλλόγιμοι καὶ νομίμων ἐκκλησιαστικῶν ἐμπειρότατοι, εἰς τοῦτο τὰ πολλὰ φιλοτιμησαμένου τοῦ πατριάρχου Γρηγορίου, οὐκ οἶδ' ὁπότερον, εἴτε παρειληφότος ἄνωθεν, εἴτ' οἴκοθεν αὐτοῦ φιλοτιμησαμένου διὰ τὸν τοῦ βελτίονος πόθον, ἵνα τε σοφοὶ παιδευταὶ καὶ διδάσκαλοι τοῖς ὑπὸ χεῖρα γίνοιντο καὶ ἵνα στεῤῥοὶ προστάται τῆς εὐσεβείας εἶεν καὶ ἵν' εἴπω προβλῆτες ἀτίνακτοι πρὸς τὰ τῶν ἐναντίων γλωσσῶν ὁπότε δεήσειε κύματα. τοὺς μὲν γὰρ ἐντὸς εὑρεθέντας τῆς Κωνσταντινουπόλεως, οἵας δή τινος ἕνεκα χρείας, εἰς τὰς οἰκείας ἕκαστον μητροπόλεις ἀπέπεμψεν, ἐκεῖ τὸ λεῖπον τοῦ βίου διατελέσοντας· ὡς μὴ ἐνταῦθά φησι καθήμενοι συῤῥάπτοιέν τι κατ' 1.182 ἀλλήλων τε καὶ αὐτοῦ τῆς εἰρήνης ὀφείλοντες εἶναι διδάσκαλοι· τοῖς δ' ἔξωθεν ἰοῦσι προφάσει δῆθεν κατὰ τοὺς κανόνας τῶν ἁγίων καὶ θείων συνόδων


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τοὺς δὶς ἢ ἅπαξ τοῦ ἔτους σύνοδον τῶν μητροπολιτῶν παρὰ τῷ πατριάρχῃ κελεύοντας γίνεσθαι, ὡς ἂν παρ' ἀλλήλων τά τε τῆς εὐσεβείας ἀνακρίνωνται δόγματα καὶ τὰ μεταξὺ παρεμπίπτοντα ἐκκλησιαστικὰ ζητήματα διαλύωνται, τὴν εἴσοδον ἀπέκλειε τῆς Κωνσταντίνου, εὖ ποιῶν· δίκαιον εἶναι λέγων τὴν λαχοῦσαν ποιμαίνειν ἕκαστον, ὥσπερ τὸν πατριάρχην τὴν βασιλεύουσαν, καὶ τῶν ἰδίων προνοεῖσθαι προβάτων παρόντας αὐτοὺς καὶ μὴ μόνα τὰ ἐκεῖθεν κέρδη δασμολογοῦντας χρονίζειν παρὰ τὴν βασιλεύουσαν. παρὰ τοσοῦτον οὖν ἑκατέροις εἰκότως μέμψαιτό τις, παρόσον τοῦ δέοντος ἔξω καὶ ἄμφω πεπτώκασι διὰ τὴν τοῦ ὑπερβάλλοντος ἐκδρομήν. (Γ.) Πολλὰ δὲ καὶ ἕτερα περιῆν τἀνδρὶ τὰ χρηστὰ καὶ τοῖς τότ' ἀνθρώποις ὠφέλιμα· ζῆλος κατὰ τῶν ἀδικούντων οὕτω πάνυ τοι μέγιστος καὶ περιφανὴς, ὡς μὴ μόνον αὐτούς γε τοὺς ὅσοι τῷ βασιλεῖ κατὰ γένος προσήκοντες ἦσαν, ἀλλὰ καὶ αὐτούς γε τοὺς αὐτοῦ γε υἱέας δεδιέναι τὴν αὐτοῦ μετ' ἐκπλήξεως παῤῥησίαν καὶ τοὺς ἐλέγχους μᾶλλον ἢ τοῦ βασιλέως προστάττοντος. τὸ γὰρ ἄληπτον τοῦ ἀνδρὸς καὶ ἡ πρὸς αὐτὸν τοῦ βασιλέως αἰδὼς πολλὴν ἐδίδου τούτοις τὴν συστολὴν καὶ τὸ δέος. πρός γε μὴν τοὺς ὅσοι μοναδικὸν ᾑροῦντο διάγειν βίον, μηδὲν μή 1.183 τε τῶν ὅσα γαστρὶ παρέχει τρυφᾷν παρῄνει, μήθ' ὅσα βαλαντίων ἀπαιτεῖ χρείαν καὶ περιδεᾶ φυλακὴν, μήθ' ὅσα γέμουσαν ἀσχολίας τράπεζαν ἔχει. εἰ δέ τις ἔχων ἡλίσκετο, ἄκων καὶ σὺν αἰσχύνῃ τούτων ἐξίστατο. ἀλλὰ καὶ τοῖς ὅσοι μοναδικὸν μὲν αἱρούμενοι βίον καὶ ἀπέριττον σχῆμα καὶ ἄτυφον τρόπον ἔπειτα πεζῇ βαδίζειν οὐ μάλα ἠνείχοντο, σφοδρῶς ἐπετίμα καὶ τοῖς οἰκείοις κεχρῆσθαι ποσὶν ἐνουθέτει πρὸς τὰς ἐν τῇ πόλει διατριβὰς καὶ ταύτας οὐκ αὐτονομίᾳ τούτους χρωμένους οὐδὲ βλακείας ἕνεκεν τρυφῶσιν καὶ διαῤῥέουσιν ἤθεσιν ἀγοραῖς ἀκαίρως ἐνδείκνυσθαι, ἵν' ἐκεῖθεν ἐπανιόντες θεάτρου μεστὸν ἐπάγωνται νοῦν, ἀναγκαίας δ' ὠθούσης χρείας καὶ τοῦ τῆς μονῆς ἐπιστάτου προτρέποντος. καὶ τετήρηται τοῦτο πᾶσιν ἐκεῖθεν παρ' ὅλον τὸν τῆς πατριαρχείας χρόνον αὐτοῦ. εἶναι γὰρ τῶν ἀτοπωτάτων ἔφασκε, τὸν μὲν πατριάρχην ὑποζυγίῳ μηδενὶ μηδόλως, ἀλλὰ τοῖς οἰκείοις ἐν ταῖς ὁδοιπορίαις ποσὶ χρώμενον, αὐτοὺς ἐπὶ γάβρων ἵππων ὀχουμένους ἀσέμνων σκιρτημάτων καὶ κρότων τὰς ἀγυιὰς ἐμπιπλᾷν καὶ τὰς ἀγορὰς καὶ τὰ θέατρα. (Δ.) Τούς γε μὴν ἐν οἰκίσκοις δῆθεν βραχέσι, πρὶν τὸν μοναδικὸν παιδαγωγηθῆναι τρόπον, νῦν μὲν περικλειομένους ἐν ἀσκήσεως ὑποκρίσει, νῦν δὲ τὰς ἐνδόξων περινοστοῦντας οἰκίας καὶ γυναικαρίων ἀφέλειαν ῥᾷστα ἐξαπατῶντας καὶ χειρουμένους διὰ τοῦ σχήματος καὶ δέρματα μὲν προβάτων ἔχοντας, ἔσωθεν δ' ὄντας πλέον ἢ κατὰ λύκους ἅρπαγας, ὧν ἔνιοι καὶ ὑποκαθημένων αἱρέσεων ἔχοντες σπέρμα ῥᾷ 1.184 στα πρὸς βάραθρον ἀπωλείας ἁπλουστέρας ὠθοῦσι ψυχὰς, τούτους τοίνυν ἀθροίζων καὶ ἅμα ὅσοι μαινομένων Βακχικά τινα ἤθη ἐπιτηδεύουσι κενῆς τινος δόξης καὶ λημμάτων ἕνεκα, καὶ κανόσιν ὑποτιθεὶς ἀσκήσεως, οὓς μὲν ἰάσιμον ἔχοντας συνενόει τὸν τρόπον, φροντιστηρίοις πολυανθρώποις ὑπείκειν ἐδίδου θελήματος ἄρνησιν παραγγέλλων φυλάττειν ὁπόση δύναμις· οὓς δ' ἀνίατον ψυχῆς ἑώρα νόσημα κεκτημένους, δυοῖν ἕδρα θάτερον. ἢ γὰρ εἱρκτῇ παρεδίδου σώζων καὶ ἄκοντας σφᾶς· ἢ τῆς πόλεως ὑπερορίους καθίστα· καὶ οὕτως ἄμικτον παρεσκεύαζεν ἔχειν τὸν βίον ἀγοραῖς καὶ πλατείαις, ὅσοι τε καὶ ὅσαι τὸ μοναδικὸν ὑπῄεσαν σχῆμα. πολλοῦ δ' ἄρα ἦν ἄξιον, εἰ τὸν τοιοῦτον ἐκείνου κανόνα καὶ τύπον ξυνέβαινε παραμένειν ὁμοίως κἀν τοῖς ἑξῆς διαδόχοις τοῦ θρόνου, καθάπερ δὴ καὶ παρὰ πάντα τὸν χρόνον αὐτοῦ τῆς πατριαρχείας. ἀλλὰ γὰρ εἰ πλείω ἐτέλει τὸν χρόνον ἐν τῇ πατριαρχίᾳ, πλείω λοιπὸν καὶ τὴν εἰς τὸ βέλτιον πῆξιν τὰ τῆς μοναδικῆς πολιτείας ἔθη λαβόντα παρέμενον ἄν. ἀλλ' ἐκ μέσου τὴν ταχίστην αὐτοῦ γενομένου, πάντα καθάπερ ὀστράκου μεταπεσόντος κατὰ τῶν ἱερῶν φροντιστηρίων ἀνέῤῥωγε τὰ τῆς διαβολικῆς κακίας νοσήματα. (Ε.) Ἀλλ' ἐκεῖνο μικροῦ με παρέδραμε. πρότερον γὰρ ἐξ ἀρχαιοτέρων τῶν χρόνων παρειληφυῖα μετὰ τῶν ἄλλων ηὐτύχει καὶ διδασκάλων



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἡ ἐκκλησία· οἳ κατὰ διαφόρους ἡμέρας καὶ τόπους τῆς Κωνσταντινουπόλεως ἐδίδασκον, ὁ μὲν τὰ τοῦ προφήτου Δαβὶδ ᾄσματα, ὁ δὲ τὰς τοῦ μεγάλου Παύλου ἐπιστολὰς, ὁ δὲ τοὺς εὐαγγελικοὺς τοῦ σωτῆρος νόμους. καὶ 1.185 καθ' ἕκαστα πάλιν ὅσοι περὶ ἱερατικὸν ἦσαν ἀξίωμα περικείμενοι κατὰ διαδοχὴν ἐκεῖθεν κατ' οἴκους καὶ πατριὰς εἰπεῖν καὶ συναυλίας τῶν παροικούντων τὸν θεῖον ἐκήρυττον λόγον· καὶ ἦν τοῦτο θεῖόν τι χρῆμα τῷ βίῳ καὶ τῆς εὐσεβείας ἐπίγνωσις ἀληθὴς καὶ πρὸς τὸ καλὸν ὁδηγός· ἢ μᾶλλον ὥσπερ ἀρδεία τις ἀπὸ μεγάλης καὶ θείας πηγῆς τὰς ψυχὰς τῶν ἀκουόντων ἀρδεύουσα καὶ ταύτας πρὸς ἀμείνω πλάσιν καὶ σύνθεσιν μεταπλάττουσα. (´.) Τοῦ δὲ χρόνου ῥέοντος φροῦδα τὰ τοιαῦτα πάντα κατέστη, πάσης καλῆς συνηθείας ἀνατραπείσης ἐν τούτοις τοῖς χρόνοις καὶ ὥσπερ ἐς θαλάσσης καταδύσης πυθμένας. καὶ τῆς λύμης ἐντεῦθεν καὶ πρὸς τὰς ἄλλας διαδοθείσης ἐκκλησίας, ὥσπερ ἐν γῇ ἐρήμῳ καὶ ἀβάτῳ καὶ ἀνύδρῳ, παντὸς αἱ ψυχαὶ τοῦ τῶν Χριστιανῶν πορεύονται πληρώματος ἄχρι καὶ ἐς τὴν τήμερον. ὥστε καὶ ἐς τοσούτους ἀνεῤῥιπίσθη τὸ πρᾶγμα κολοφῶνας ἀτοπημάτων, ὡς καὶ ὑπὲρ ἑνὸς ὀβόλου ἑκατέρωθεν ὅρκους φρικωδεστάτους γίνεσθαι, οἵους οὐδ' ἂν κάλαμος γραμματέως γραφῇ παραδοῦναι τολμήσειε· τῆς γὰρ ζωτικῆς τοῦ λόγου καὶ τῆς διδασκαλίας ἀκτῖνος σβεσθείσης, ὁμοῦ πάντα γέγονε χρήματα, τῶν πλείστων εἰς ἀλογίαν ἐκπεπτωκότων καὶ οὐκ ὄντος τοῦ οἴκοθεν ἐπιγινώσκειν δυναμένου τὰ χρήσιμα καὶ τίσι γνωρίσμασι διέστηκεν ἀσεβείας εὐσέβεια. καὶ τίς ἂν δυνηθείη καθ' ἕκαστα τὴν κατὰ μικρὸν τῆς ἐκκλησίας ἐπὶ τὸ χεῖρον διεξιέναι μεταβολὴν, ἣν διορθοῦν ὁ πατριάρχης θέλων οὐ δεδύνηται; (Ζ.) Ἐμοὶ δὲ θαυμάζειν περίεστι, πῶς δέον γενέσθαι τοιαῦτα, ἔπειτ' ἐς τόνδε τὸν τῆς ἡσυχίας τρόφιμον ἄνδρα συνήλασε τὸν καιρὸν ἡ τῆς τύχης 1.186 ἀστάθμητος περιπέτεια. τὸ μὲν γὰρ χρῆναι τὴν ἐκκλησίαν οὕτως ἐρημωθῆναι καὶ τὴν δίκην περιελθεῖν τοὺς ταύτης ἐνδόξους καὶ ξύν γε τούτοις ἅπαντα τοῦ κλήρου τὸν ὁρμαθὸν, εἴδεσαν οἱ τὰ πράγματα κρίνειν εἰδότες ὀρθῶς, ἀφ' οὗ τὴν μετάνοιαν τῶν ἔκ γε τῆς τῶν Λατίνων κοινωνίας ἐπανελθόντων οὔτε προσεδέξαντο καὶ τὰ μέγιστα προσηδικήκεσαν, κονδύλους τε ἐντείναντες καὶ τἄλλα τῶν ἀθεμίτων ἐπ' αὐτοὺς πεπραχότες· ὧν καὶ ἡμεῖς ἀνωτέρω μετρίως ἐμνήσθημεν· τὸ δ' ἐν τοῖς τοῦδε πατριαρχεύοντος χρόνοις, ἐν οἷς ἡ τῶν ἐλπίδων βελτίστη τὰς πάντων περιέθει ψυχὰς, ὡς ἀλήθεια ἐκ τῆς γῆς ἀνατελεῖ καὶ δικαιοσύνη ἐκ τοῦ οὐρανοῦ, πάντα συμπεπτωκέναι τἀναντιώτατα καὶ περιυβρισθῆναι μὲν ὡς ἀνόνητον τὸν ἡσύχιον βίον, περιυβρισθῆναι δὲ τὸν τῆς ἀρετῆς καρπὸν, ὡς ῥᾷστα πρὸς τὸ τῆς κακίας ἀκρότατον ἀπαλλάττοντα, τοῦτο δὲ ποῦ οὐκ ἂν ἀπορίας ἐλαύνοι; τίνας δ' οὐκ ἂν κατασείσειε ψυχὰς, καὶ εἰ σιδήρῳ τὴν φύσιν ἐοίκασιν; ´. Ἐν τούτοις μέντοι τοῖς χρόνοις διαβολαί τινες ἀνεφύοντο κατὰ Κωνσταντίνου τοῦ Πορφυρογεννήτου, τοῦ αὐταδέλφου τοῦ βασιλέως, ὡς ἐρῴη μὲν βασιλείας· καὶ ὅσοι δὴ τῶν ἐν τέλει καὶ ὅσοι τῶν ἄλλως προὐχόντων ἐν τῷ στρατῷ, δεξιώσεσί τε καὶ ἀσπασμοῖς καὶ χρήμασι περιέρχεται πάντας, ἵν' εἶεν αὐτῷ συνεργοὶ τοῦ σκοποῦ. ταῦτα δ', ὡς ὁ πολὺς ἔχει λόγος, ὑπῆρχον συκοφαντίαι ψευδεῖς, συντεθεῖσαι παρ' ὧν ἔργον βάσκανον τοῖς ἀγαθοῖς ὀφθαλμὸν ἐπιβάλλειν· οἳ δὴ καὶ συμμάχῳ χρησάμενοι τῷ 1.187 καιρῷ καὶ τῇ γνώμῃ τοῦ βασιλέως ἀγενῆ τινα τρέφοντος ὑποψίαν πρὸς τὸν αὐτάδελφον εἰς τοὺς ἐσχάτους κινδύνους ξυνώθησαν. τὰ δὲ τῆς ὑποψίας αἴτια τοιαῦτά τινα ἦν. ἠγαπᾶτο παρὰ τοῦ πατρὸς καὶ βασιλέως ἐξ ἔτι βρέφους ὁ Πορφυρογέννητος μᾶλλον ἢ ὁ Ἀνδρόνικος. πολλὰς γὰρ ἐκ φύσεως τὰς αἰτίας τῶν φίλτρων παρείχετο τῷ πατρὶ πολλαχόθεν, ἔκ τε τῶν τῆς ψυχῆς ἀγαθῶν, ὁπόσα τοῖς ἄρχειν ὀφείλουσιν ἐπιπρέπει, ἔκ τε τῆς τοῦ ἤθους εὐτραπελίας, ἔκ τε τῆς τῶν ὀφθαλμῶν ἀστειότητος· ὥστε καὶ εἰ μὴ τὸ ὑστερογενὲς μέγα πρὸ ποδῶν ἔκειτο κώλυμα, αὐτὸν ἂν μάλα ἀσμένως τῶν βασιλικῶν σκήπτρων ἐδείκνυ διάδοχον ὁ πατήρ. ἓν μὲν οὖν τοῦτο καὶ πρῶτον αἴτιον, ὃ συνέχεε τοὺς τῆς ἀδελφικῆς ὁμονοίας



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

δεσμοὺς ἅπαξ μεταξὺ συμπεσὸν καὶ ὑποσπεῖραν τῇ τοῦ Ἀνδρονίκου ψυχῇ γνώμην οὐ μάλα ἀνύποπτον κατὰ τοῦ ἀδελφοῦ. (Β.) Δεύτερον δὲ πρὸς βουλήσεως ἐγεγόνει τῷ βασιλεῖ καὶ πατρὶ μίαν ἀγαγέσθαι τῷ Πορφυρογεννήτῳ γυναῖκα, τὸν ἔφηβον παραλλάξαντι, ὁπόσαι τῶν Λατινίδων εὐγενείᾳ προέχουσι, τὴν βελτίστην πασῶν, ἵνα τῇ ἐφεξῆς περὶ τούτου μελέτῃ πάνυ τοι σύνδρομον εἴη καὶ τοῦτο. ἐβούλετο γὰρ καὶ μελέτην εἶχε τοῖς σπλάγχνοις ἐμφωλεύουσαν ἐκ πολλοῦ τὸ περὶ Θεσσαλονίκην τε καὶ Μακεδονίαν μέρος τῆς ὅλης ἡγεμονίας Ῥωμαίων ἀποτεμὼν ἰδίαν ἀρχήν τινα περιποιήσασθαι τούτῳ καὶ βασίλειον αὐτοκρατορίαν. καὶ εἰ μὴ φθάσας ὁ θάνατος αὐτὸν ἐξ ἀνθρώπων πεποίηκε, τάχ' ἂν καὶ ἥλιος εἰς ἔργον προβάντα τὰ τῆς μελέτης ἐγνώριζεν· ἀλλ' οὐκ ὂν καὶ θεῷ πρὸς βουλήσεως, ὡς ἔοικεν, ἐς πέρας ἐκεχωρήκει τὸ πρᾶγμα δυστυχίας μεστόν. τοῦτο 1.188 δριμυτέραν τὴν τοῦ Ἀνδρονίκου βασιλέως πεποίηκε γνώμην κατὰ τοῦ ἀδελφοῦ καὶ ὥσπερ ἐκ σπινθῆρος ἀνέφλεξεν εἰς πυρσὸν τὸ τῆς ψυχῆς ὀργιζόμενον. ἐπεὶ δὲ συνέσεως βαθείας ἐμβρίθεια τὴν τοῦ βασιλέως Ἀνδρονίκου ψυχὴν περιέθει καὶ δεινὸς ἦν οἰκουροῦσαν ἐπὶ πολὺ συγκρύψαι δυσμένειαν καὶ πεπλασμένον ἦθος ὡς ἄπλαστον ἐπὶ πλεῖστον προφῆναι, ἐλάνθανεν ὡς εὐμενῆ περὶ τὸν ἀδελφὸν παραμείβων τὸν χρόνον. (Γ.) Τρίτον, ὃ καὶ μετὰ θάνατον τοῦ βασιλέως καὶ πατρὸς συνηνέχθη, πλοῦτον ἀθροίζων πολὺν καὶ ποικίλον, ὁποῖον κατ' ἐνιαυτὸν ἐγεώργει τοῖς τούτου ταμείοις ὁπόσα παρὰ τοῦ πατρὸς καὶ βασιλέως εἰλήφει πλέθρα κτημάτων, ἅμα ποιμνίοις παμπόλλοις καὶ βουκολίοις μεγαλοπρεπῶς ἀνήλισκε τοῦτον καὶ πᾶσιν ἀφειδῶς ἐχορήγει τοῖς προσιοῦσι, μεγάλοις τὸ γένος ὁμοῦ καὶ μικροῖς· καὶ πρός γε κοινωνικὸν τὸ ἦθος καὶ χάριεν προτιθέμενος ἅπασι μάλα ῥᾳδίως ἑαυτῷ καθάπερ ἀδαμαντίνοις εἶχεν ἐξαρτωμένους δεσμοῖς. φιλεῖ γὰρ ὡς τὰ πολλὰ τὸ τοῦ ἤθους ὑγρόν τε καὶ μείλιχον, ἐπειδὰν ἀφ' ὑψηλοτέρων προφαίνηται τῶν προσώπων ῥᾷστα, χειροῦσθαι τὰς γνώμας ἁπάντων· καθάπερ δὴ καὶ τὰ λαμπρὰ τῶν ἀνθέων ἐν ἔαρος ὥρᾳ, ὁπόσα χλοάζουσαν καὶ οἷον εἰπεῖν μειδιῶσαν τὴν βαφὴν τῆς χροιᾶς ὑπογράφει, ῥᾳδίως τῶν παριόντων τὰς ὄψεις ἐφέλκεται. τοιοῦτον μέντοι καὶ τῶν ἐν Ἰνδοῖς σοφιστῶν ἡ παραίνεσις ὑφηγεῖται τὸν ἄρχειν βουλόμενον· οὕτω γὰρ ἂν τὰ μάλιστά φησι φιληθείη τοῖς ὑπ' αὐτὸν, ἂν φύσει τούτων ὑπέρτερος ὢν, 1.189 ὁ δ' ἔπειτ' ἐπιεικὴς ἑκών γε εἶναί σφισιν ὁρᾶται καὶ μέτριος. (Δ.) Ἐπ' ἀμφοτέροις μὲν οὖν ἐκείνοις τοῖς πρώτοις αἰτίοις ἀδικοίη ἂν ἐναργῶς, εἴ τις ὁτιοῦν τῷ Πορφυρογεννήτῳ προσάψειεν ἔγκλημα· εἰ μή που τὸν πατέρα λέγοι τις ἂν ἀρχηγὸν τῶν τοιούτων, ὃς πλείονα τούτῳ τοῦ δέοντος ἔνεμε τὴν στοργήν. ἐπὶ δέ γε τῷ τρίτῳ οὐκ ἀμιγὴς καθάπαξ εἰπεῖν ἀπαλλάττειν κηλῖδος ὁ ἄνθρωπος δύναιτ' ἄν. εἴτε γὰρ ἀπειρίᾳ κατακολουθήσας τοιαύταις ἐδεδώκει φιλοτιμίαις, αἳ βασιλεῦσι τὰ πλεῖστα προσήκουσιν ἄκων μὲν ἴσως, προσετρίψατο δ' οὖν οὐ μικρὰν ἐντεῦθεν ἑαυτῷ τὴν κηλῖδα τοῦ πταίσματος· εἴτε ᾔδει μὲν καὶ αὐτὸς ὡς οὐκ ἀνύποπτος εἴη τῷ ἀδελφῷ τοσαῦτα φιλοτιμούμενος, ἔπειτ' ἠμέλει τὸν χρόνον ἀφροντίστως διακυβεύων, ἐνταῦθα τῆς αἰτίας τὰ πλεῖστα φέροιτ' ἂν εἰκότως αὐτός. ἐχρῆν γὰρ αὐτὸν εἰ μή τι ἄλλο, ἀλλ' οὖν τοὺς πάλαι τὰ ὅμοια δεδρακότας ἐνθυμηθῆναι πρὸς οἷον ὤλισθον τέλος. καὶ Κῦρος γάρ ποτ' ἐκεῖνος, ὁ Δαρείου καὶ Παρυσάτιδος, μείζω τῆς ἑαυτοῦ σατραπείας τὸν ὄγκον ἐπιδεικνύμενος εἰς ὑποψίαν καὶ μῖσος ἀνήγειρε τὸν αὐτάδελφον καὶ βασιλέα τὸν Ἀρταξέρξην, ἀφ' ὧν πλέον οὐδὲν ἢ δυστυχὲς ἐτρύγησε τέλος. Ἀντώνιος αὖθις, ὁ τὴν τῆς πλείονος οἰκουμένης ἡγεμονίαν Αὐγούστῳ συμμερισάμενος Καίσαρι, τὰς τοῦ Καίσαρος ἀποστέρξας ὁμολογίας καὶ μείζω τῆς ἑαυτοῦ φιλοτιμησάμενος δόξης, ἀφῄρηται μετὰ τῆς οὔσης ἀρχῆς καὶ τὸ ζῆν· καὶ οὗτός γε μὴν ὁ Πορφυρογέννητος, εἰ καὶ μηδὲν ἐπίβουλον ἐβουλεύσατο, μήθ' ὅπλα καθ' αἵματος συγγενοῦς ἐνεδύσατο, ἀλλ' οὖν καὶ 1.190 ἄλλαις προειληφυίαις οὐ μικραῖς ὑποψίαις πολλὴν προσέθεσαν τὴν ῥοπὴν ἐπελθόντα καὶ ταῦτα· καὶ τὰς τοῦ βασιλέως σφόδρα ἀνέῳξαν ἀκοὰς ἐς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ὑποδοχὴν τῶν διαβολῶν, ὁπόσαι παραπεπήγασι ταῖς ἀταμιεύτοις φιλοτιμίαις. (Ε.) Ἀλλ' ἐπανιτέον τὸν λόγον. ἦν μὲν γὰρ τηνικαῦτα τὰς διατριβὰς ποιούμενος ὁ Πορφυρογέννητος περὶ Λυδίαν τοῖς τε νέοις ἀγαλλόμενος γάμοις καὶ μακραῖς ἀνθῶν ταῖς ἐλπίσι τοῦ βίου. ἠγάγετο γὰρ πρὸ βραχέος ἑαυτῷ γυναῖκα τῶν Ῥαοὺλ θυγατέρων τὴν ψυχῆς καὶ σώματος κάλλος ἀρίστην ἐς τριακοστὸν ἤδη τῆς ἡλικίας χρόνον ἐγγίζων αὐτός· ὅτε καὶ τῷ νεῷ τοῦ Στουδίου λαμπρὸν ἐπιθεὶς τὸν ὄροφον (ἠρήμωται γὰρ ὁ χῶρος ἐκεῖνος παρὰ Λατίνων καὶ μηλόβοτος ἦν ἐκ πολλοῦ) ἔπειτα στεῤῥὸν περιήγαγε φραγμὸν καὶ περίβολον καὶ πολλοῖς τοῖς ἀναλώμασιν εἰς μοναζόντων κατέστησεν ἀσκητήριον, οὐδὲν ἢ μικρὰ τοῦ παλαιοῦ χαρακτῆρος ἀποδέον ἐκείνου. ἐπεὶ δὲ τέως περὶ τὸ Νύμφαιον τῆς Λυδίας ἐτύγχανε τὰς διατριβὰς μετὰ τῆς συζύγου ποιούμενος καὶ διαβολαὶ κατ' αὐτοῦ πρὸς τὸν βασιλέα καὶ ἀδελφὸν λάθρα ἀνηνέχθησαν, ἔδοξε τῷ βασιλεῖ διαβῆναι πρὸς ἕω· τῷ μὲν φαινομένῳ πραγμάτων ἄλλων ἐκεῖθεν καλούντων αὐτόν· τῇ δ' ἀληθείᾳ πρὶν αἰσθέσθαι τὸν ἀδελφὸν ἀψοφητὶ συμπεσεῖν καὶ χειρώσασθαι· ὃ δὴ καὶ γεγένηται. καὶ κρατεῖται μὲν οὑτωσὶ τὴν ταχίστην ὁ Πορφυρογέννητος· κρατοῦνται δὲ καὶ ὅσοι γνησίως ὡμίλουν αὐτῷ, ὧν προὔχων ὑπῆρχε τὰ μάλιστα καὶ πλούτῳ καὶ γένει καὶ στρατηγίαις περιβόητος Μιχαὴλ ὁ Στρατηγόπουλος. αὐτοὶ μὲν οὖν ἐν δεσμω 1.191 τηρίοις καθείργνυνται, ὁ δὲ πᾶς πλοῦτος αὐτῶν ἐς τὸ βασιλικὸν συγκομίζεται ταμιεῖον. ζʹ. Μετ' οὐ πολὺ δ' ἐκεῖθεν ἐπανιόντι τῷ βασιλεῖ παραίτησιν ἔγγραφον δίδωσιν ὁ πατριάρχης Ἀθανάσιος, τέταρτον ἤδη διανύων ἐνιαυτὸν ἐπὶ τοῦ πατριαρχικοῦ θρόνου. ἡ δ' αἰτία πάντων ὁ θόρυβος ἦν ἀρχιερέων καὶ μοναζόντων καὶ λαϊκῶν φέρειν ἐπιπλέον μὴ δυναμένων τὴν ἐκείνου πνευματικὴν σκυθρωπότητα· καὶ διαλοιδορουμένων αὐτῷ ὑπ' ὀδόντα μὲν καὶ λάθρα πρῶτον, ἐκκεκαλυμμένως δ' ἔπειτα καὶ πλὴν σκηνῆς καὶ προσωπείου καὶ ὅσον οὐδέπω διαῤῥήξειν μελλόντων αὐτὸν, εἰ τῶν θρόνων ἐπιπλέον ἀντέχοιτο. ἤλπιζε μὲν οὖν ὁ πατριάρχης βοήθειαν ἕξειν παρὰ τοῦ βασιλέως, ὥστε τοὺς λοιδοροῦντας ἀμύνασθαι· ἐπεὶ δ' ἄπιστα τὰ τῶν ἐλπίδων οὐκ οἶδ' ὅπως εὕρισκε, ζητεῖ καὶ λαμβάνει τοὺς ἀπαθῆ διαφυλάξοντας ἔκ γε τῆς τοῦ πλήθους ὁρμῆς καὶ διασώσοντας εἰς τὸ περὶ τὸν Ξηρόλοφον ἀσκητήριον αὐτοῦ. (Β.) Συνέβη μέντοι, πρὶν αὐτὸν ἀπελθεῖν ἐκεῖσε, πρᾶγμά τι διὰ τὴν τοῦ θρόνου στέρησιν πεπραχέναι σφόδρα τῆς αὐτῷ προσηκούσης ἀνάξιον καταστάσεως· χάρτην γὰρ εἰληφὼς γράμμασιν ἰδίοις ἐκτίθησιν ἐπιτίμιον ἀφορισμοῦ κατὰ πάντων ὁμοῦ βασιλέων τε καὶ ἀρχιερέων καὶ ὅσοι τοῦ ἱερατικοῦ καταλόγου καὶ ὅσοι τῶν ἐν τέλει καὶ ὅσοι τοῦ δήμου, ὅτι μὴ συνεχώρησαν συναποθεῖναι τοῖς θρόνοις τὸν βίον· ὃν δὴ καὶ ὀστράκοις τισὶν ἐνειλήσας ὀπῇ τινι τοίχου τῶν τοῦ μεγίστου νεῶ φέρων ἐμβέ 1.192 βληκε. διετέλεσε μέντοι κρυπτόμενος οὗτος ὁ χάρτης ἐκεῖ ὅλον ἐνιαυτόν. ἔπειτα μειρακίοις τισὶ νεοττιὰς ἐν ταῖς ὀπαῖς ἐρευνῶσιν ὀρνίθων τινῶν ἀπροσδοκήτως εὑρίσκεται δεδεμένος ὀστράκοις· εἶτα ἐμφανίζεται τῷ κλήρῳ τῆς τοῦ θεοῦ Σοφίας· ἐμφανίζεται τῷ βασιλεῖ. ἐκεῖθεν οἱ τῆς φήμης ἀπολαβόντες κώδωνες πάντων περιηχοῦσι τὰς ἀκοάς· πρὸς ὀργὴν ἐκκάονται πάντες· καὶ τάχ' ἂν διεσπάραξαν ἐπιδραμόντες τὸν ἄνθρωπον, εἰ μὴ φθάσας ὁ βασιλεὺς ἀνεχαίτισε τὴν ὁρμήν. (Γ.) Τοῦτο πολὺν προσῆψε τὸν μῶμον Ἀθανασίῳ· καὶ ἅμα τῶν ὑπὲρ αὐτοῦ λαλούντων τὰς γλώσσας συνέστειλε. τὰ γὰρ ἐπιτίμια ταῦτα ἀπειλῆς χάριν ὡς τὰ πολλὰ τοῖς ἱερωμένοις ἐπινενόηται, ὥσπερ τις ῥάβδος παιδευτικὴ κατὰ τῶν μὴ σεμνῶς τοῖς θείοις χρωμένων. διὰ γὰρ τοῦτο καὶ φανερῶς μὲν ἐπιτιμῶσι τοῖς ἁμαρτάνουσιν οἱ κρίνειν εἰδότες ὀρθῶς, ἵν' ἐκφοβήσαντες ἀποστήσωσι τῆς κακίας· κατόπιν δ' ὑπὲρ αὐτῶν θερμὰς ἀναφέρουσι τῷ θεῷ τὰς εὐχὰς, μή πως ἐξαίφνης ὁ θάνατος κεχωρισμένους λαβὼν τοῦ θεοῦ παραπέμψῃ τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ. τὸ δὲ νῦν πεπραγμένον Ἀθανασίῳ ἅπαν ἦν τοὐναντίον. διὸ καὶ τοῦ τῶν εὐλαβῶν δόγματος δόξαν ἀλλότριον μέμψιν


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

μεγίστην προσῆψε τἀνδρί. ὁ μὲν δὴ βασιλεὺς ἀποστείλας Ἀθανασίῳ τὸν χάρτην τὴν αἰτίαν ἠρώτα τοῦ δράματος, ἡμέρως καὶ φιλανθρώπως τῆς προπετείας αὐτοῦ καθαπτόμενος καὶ ἅμα προσονειδίζων τὸ τῆς γνώμης μικροφυὲς καὶ ἀφιλάνθρωπον. ὁ δὲ μεταμέλῳ συντήξας τὸ ἦθος μικροψυχίαν ᾐτιᾶτο καὶ λύπην. τὰ δ' οὕτω γινόμενά φησι καὶ λεγόμενα ἄκυρα κεῖσθαι τῇ κρίσει 1.193 τῆς ἀληθείας. διὸ δὴ καὶ συγχώρησιν ἐδίδου τε καὶ ἐζήτει· καὶ οὕτω καθάπερ σκηνὴ καὶ δρᾶμα τὸ παρὰ δόξαν πραχθὲν διελύετο. (Δ.) Ἦν δέ τις μοναδικὸν περικείμενος σχῆμα, ὄνομα Ἰωάννης, πάλαι μὲν γυναικὶ συζυγεὶς καὶ παίδων πατὴρ καταστάς, ἔπειτα θανάτῳ ταύτην ἀποβαλὼν τὸ μοναδικὸν καὶ αὐτὸς ὑποδὺς τριβώνιον, τῷ χρόνῳ τέως προβεβηκώς, ἀρεταῖς φυσικῶς προσῳκειωμένος διὰ τῆς τῶν τρόπων ἁπλότητος, Ἑλληνικῆς παιδείας πάμπαν ἀμέτοχος, ἐκ Σωζοπόλεως εἰς τὴν βασιλεύουσαν ἄρτι ἐπιδεδημηκώς. οὗτος γνώμῃ βασιλικῇ καὶ ψήφῳ τῆς ἱερατικῆς συνόδου τὸν πατριαρχικὸν διαδέχεται θρόνον· ἐφ' οὗ καὶ τὰ πράγματα ἔδοξε τοῖς τῶν μοναχῶν κακοτρόποις ἐκ ζάλης καὶ κλύδωνος εἰς εὐδίαν ἐληλυθέναι καὶ ἀπὸ χειμῶνος εἰς ἔαρ. οὗτος καὶ τῷ τοῦ βασιλέως υἱῷ Μιχαὴλ τὸ βασιλικὸν περιτίθησι στέφος. η΄. Ἐν τούτῳ τῷ χρόνῳ διαπρεσβεύεται πρὸς βασιλέα πρῶτον μὲν ὁ τῆς Ἰταλίας ῥὴξ θυγατέρα ἔχων ἐκ γυναικός, ἣν θυγατέρα φθάσας ὁ λόγος ἐδήλωσε Βαλδουίνου τοῦ ἐξωσθέντος ἐκ Κωνσταντινουπόλεως· διαπρεσβεύεται δὲ περὶ κήδους αὐτῆς τε καὶ τοῦ νέου βασιλέως Μιχαήλ. κατὰ τὰ αὐτὰ δὲ κατόπιν διαπρεσβεύεται καὶ ὁ τῆς περὶ τὴν Κιλικίαν Ἀρμενίας ῥὴξ ἀδελφὴν ὑπὲρ τὰ τρισκαίδεκα ἔχων ἔτη τὴν ἡλικίαν ἀνύουσαν. ἐπεὶ δ' ἡ τοῦ τῆς Ἰταλίας ῥηγὸς παραθεωρεῖται πρεσβεία διὰ τὰ ὑπὲρ τὸ προσῆκον ζητήματα, ἐκλέγονται λοιπὸν εἰς πρεσβείαν οἱ κρείττους τῶν τηνικαῦτα σοφῶν, ὅ,τε Μετοχίτης Θεόδωρος καὶ ὁ Γλυκὺς Ἰωάν 1.194 νης· ὁ μὲν λογοθέτης ὢν τηνικαῦτα τῶν οἰκειακῶν· ὁ δὲ λογοθέτης τοῦ δρόμου· ἐκλέγονται δ' οὗτοι μὴ μόνον δι' ἣν τῶν πραγμάτων ἐτύγχανον ἔχοντες πεῖραν, ἀλλὰ καὶ διὰ τὸ πολλῷ τῶν ἄλλων προέχειν συνέσεως ἐμβριθείᾳ καὶ σοφίας περιουσίᾳ, ὅση τε περὶ τὰ θεῖά τε καὶ ἡμέτερα δόγματα καὶ ὅση περὶ τὸν Ἕλληνα λόγον ἠσχόληται. τοιούτους γὰρ εἶναι ἀνάγκη τοὺς πρὸς ὑπερόρια πρεσβεύοντας ἔθνη, ἵνα πανταχόθεν οὑτωσὶ τὴν γλῶτταν ἔχοντες ὡπλισμένην κἀν ταῖς διαλέξεσιν ἀριστεύωσιν, ὁποῖαί ποτ' ἂν εἶεν. οἳ δὴ καὶ νεῶν ταχυναυτουσῶν ἐπιβάντες ναυστολοῦσιν εἰς Κύπρον τὰ πρῶτα. ἦν γὰρ κἀκεῖθεν ἰὼν λόγος μικρῷ πρότερον περὶ τοιούτου κήδους εἰς βασιλέα. ἐπεὶ δὲ συχνὸν διατρίψασι χρόνον ἐνταῦθα μὴ κατὰ γνώμην αὐτοῖς ἀπηντήκει τὰ ἐκ Κύπρου σκέμματα, ἀποβάντες ἐκεῖθεν κατέπλευσαν ἐς Αἰγάς· πόλις δὲ αὕτη παράλιος ὑπὲρ τὸν Κιλίκιον αὐλῶνα κειμένη περὶ κόλπον τὸν Ἰσσικόν. (Β.) Ὁπόσα μέντοι τούτοις εἴτε χαλεπὰ εἴτε ῥᾳστώνης γέμοντα καὶ τρυφῆς συνηντήκει κατά τε τὸν ἔκπλουν κατά τε τὸν πλοῦν κατά τε τοὺς περίπλους καὶ κατάπλους τῶν νήσων καὶ τῶν λιμένων καὶ ὅπως ἅπασαν ἐξετέλεσαν τὴν πρεσβείαν, ἡ πάντα διεξιοῦσα καθέκαστα βίβλος δηλώσει τοῖς βουλομένοις κάλλιστα καὶ σαφέστατα, ἣν ἡ μεγίστη γλῶσσα θατέρου τῶν πρεσβέων, Ἰωάννου φημὶ τοῦ Γλυκέος, διέξεισι γενναιότατα καὶ ὡς ἂν πᾶς τις θαυμάσειεν ἐλλόγιμος ἄνθρωπος. ἐμοὶ δ' οὐ πρὸς ἀνάγκης ὂν τοῖς καθέκαστα ἐνδιατρίβειν, πραγμάτων πολλῶν καὶ ποικίλων ἱστορίαν προθεμένῳ διεξιέναι, πρὸς τὰ ἑξῆς 1.195 τρεπτέον τῆς ὑποθέσεως. ἄραντες οὖν ἐξ Αἰγῶν ὁδοιπορίαις καὶ σταθμοῖς ἡμερησίοις ὁσοισδηποτοῦν ἥκουσιν ὅπῃ τὴν δίαιταν ὁ ῥὴξ ἐποιεῖτο. ἔνθα δὴ πολλὰς διατετριφόσιν ἡμέρας πάντα διηνυκέναι σφίσι καλῶς ἐξεγένετο, ὅσα τε πρὸς βασιλέως ἦν ἐντεταλμένα αὐτοῖς καὶ ὅσα διανοίαις ἰδίαις οἴκοθεν ξυνῆκαν αὐτοί. καὶ ἵνα τὰ πολλὰ παραδράμωμεν, Μαρίαν ἐκεῖθεν ἀνειληφότες τὴν τοῦ ῥηγὸς ἀδελφὴν ἐπανήκουσι νύμφην τῷ βασιλεῖ κομίζοντες. (Γ.) Ἐπεὶ δὲ τοῦ Πορφυρογενννήτου καὶ τοῦ Στρατηγοπούλου κρατηθέντων, ὡς εἴρηται, ἀνδρῶν τὰ πολέμια μάλα κρατίστων καὶ μάχαις μεγάλαις καὶ στρατηγικαῖς ἐμπειρίαις ῥᾷστα



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τοὺς Τούρκους ἀνασοβούντων καὶ ἀποτρεπομένων ἐκ τῶν Ῥωμαϊκῶν ὁρίων (ταῦτα δ' ἦν τὰ πρὸς ἕω τότε τοῦ Μαιάνδρου χωρία), κατὰ πολλὴν ἤδη τοῦ κωλύσοντος ἐρημίαν τά τε ἐπέκεινα τοῦ Μαιάνδρου ληΐζονται πάντα, διαβαίνουσι δ' ἔτι καὶ αὐτὸν ἤδη τὸν Μαίανδρον εἰς πλῆθος ἀριθμὸν ὑπερβαῖνον οἱ πολέμιοι· ὃ δὴ καὶ πρὸς ἀνάγκας ἄγει τὸν βασιλέα τοὺς λειπομένους ἀρίστους Ῥωμαίων ἐπισκεψάμενον ἐκλέξασθαί τε καὶ πέμψαι τὸν βοηθήσοντα ταῖς παρὰ τὴν Ἀσίαν κινδυνευούσαις Ῥωμαίων χώραις καὶ πόλεσιν. ἦν δὲ τότε στρατηγικὸς ἀνὴρ καὶ δεινὸς τὰ πολέμια Ἀλέξιος ὁ Φιλανθρωπηνὸς, πιγκέρνης ἀξίωμα ὢν, ἐν ταῖς ἀκμαῖς ἤδη τῆς νεότητος ἀνθῶν καὶ καιρὸν περιμένων ἐπιδείξασθαι τὴν περὶ αὐτὸν φιλοτιμίαν τῆς φύσεως. τούτῳ ὁπόσα ἐχρῆν ὁ βασιλεὺς στρατεύματα δοὺς ἐκπέμπει πρὸς ἕω. συνεκπέμπει δ' ἐπὶ τούτῳ καὶ Λιβαδάριον τὸν πρωτοβεστιαρίτην, ἄνδρα γηραιὸν καὶ στρατηγικὸν καὶ βαθεῖαν αὔλακα, φάναι, διὰ φρενὸς καρπούμενον, ἵν' οὗτος 1.196 μὲν διέπῃ τὰς περὶ τὴν Ἰωνίαν πόλεις, ὁ δὲ πιγκέρνης τὰς ἐπέκεινα πάσας. ἔδοξε τοίνυν ἐν ὀλίγῳ τῷ χρόνῳ μέγας γενέσθαι κατὰ τὰς μάχας τῶν Τούρκων ὁ Φιλανθρωπηνὸς, καθάπερ ὕλης ἐπιτυχοῦσα φλὸξ ἰσχυρά. ἦν γὰρ καὶ φιλοδωρότατος ὁ ἀνὴρ καὶ ἄλλως κοινωνικὸν τὸ ἦθος τοῖς ὑπ' αὐτὸν παρεχόμενος· ὃ δὴ κράτιστον ἐφόδιον τοῖς στρατηγοῦσιν εἰς νίκας καὶ τρόπαια. ὅθεν καὶ ἔῤῥει εὐθὺ τοῦ σκοποῦ τὰ πάντα τῆς τύχης αὐτῷ· καὶ ἦν οὐδὲν ὃ μὴ κατὰ βούλησιν ἀπαντῶν ἦν· ὥστε καὶ διωκόμενοι μὲν ἐκεῖθεν παρὰ τῶν Σκυθῶν οἱ Τοῦρκοι, ἀνατρεπόμενοι δ' ἐντεῦθεν παρὰ τοῦ πιγκέρνη, τὴν κουφοτέραν ἐξ ἀνάγκης οἱ πλείους τῶν ὁμορούντων ἐβάδιζον καὶ ἅμα γυναιξί τε καὶ τέκνοις ηὐτομόλουν πρὸς τὸν πιγκέρνην, οὐ τοσοῦτον δεδιότες τοὺς κατὰ νώτων κειμένους ἐχθροὺς, ὅσον οἷά τισιν ἴϋγξιν ἑλκόμενοι ταῖς τοῦ πιγκέρνη δεξιώσεσι καὶ φιλοδωρίαις· ὡς ἐν βραχεῖ μεγάλην κἀκ τούτων γενέσθαι μοῖραν τῷ τούτου στρατῷ. (Δ.) Ἀλλ' ἐπειδὴ ἔδει ἀνακεκρᾶσθαι τοῖς λυπηροῖς τὰ ἡδέα καὶ τρίτον πίθον ἥκιστά φασιν Ἑλλήνων παῖδες ἐν Διὸς εἶναι κακῶν ἀμιγῆ, ἱλαρὰ μὲν καὶ τούτῳ δείκνυσιν ἡ τύχη τὰ πρόθυρα καὶ πλήρη χαρᾶς· μεστὸν δ' ὅλον τὸν οἶκον κακῶν ἀναῤῥήγνυσι κατ' αὐτοῦ. ὁρῶντι γὰρ τῷ Λιβαδαρίῳ τὴν τύχην ἐξ οὐρίας ἑπομένην τοῖς τοῦ πιγκέρνη πράγμασι δειλίας καὶ ὑποψίας ὑποτρέχουσι λογισμοί. ἐδεδίει γὰρ, μὴ φρονήσας ὑπὲρ τὸ μέτριον ὁ πιγκέρνης κἄπειτα τῷ καιρῷ καὶ τῇ τύχῃ συμμάχῳ χρησάμενος ἐς ἀποστασίαν καὶ τυραννίδα χωρήσῃ, καὶ κινδυνεύσῃ πρῶτος αὐτὸς ἀν 1.197 τιστράτηγος ὤν. τὸ δ' αὐτὸ καὶ πολλοὶ τῶν ἐν τέλει ὑπεψιθύριζον· καὶ ἦν τοῦτο βασκανία τις, ὡς εἰπεῖν, ἐν σπαργάνοις ἔτι κειμένη καὶ γάλαξιν, ἢ ὥσπερ ἄνθραξ ἐν σποδιᾷ τὸ ζώπυρον κρύπτων. ἀλλ' οὐκ ἐλελήθει τοῦτο τοὺς Κρῆτας, οἳ πάντα ἦσαν αὐτοὶ τῷ πιγκέρνῃ, ἀφ' οὗ σὺν γυναιξὶ καὶ τέκνοις ἄραντες ἐκ τῆς Κρήτης ηὐτομόλησαν πρὸς αὐτόν. τιμῆς τε γὰρ ἀπέλαυον πάνυ πολλῆς παρ' αὐτοῦ καὶ τῶν πάνυ πλησιαζόντων ἦσαν οἱ πρῶτοι, οὐ μόνον αὐτῷ παρασπίζοντες, ἀλλ' ὥσπερ καὶ παραδυναστεύοντες. ἃ δὴ πάντα πρὸς ἀλάστορα γνώμην αὐτοὺς ἐξοκεῖλαι παρέπεισαν· καὶ οὐκ ἤθελον ἔτι μένειν ἐν τῷ καθεστῶτι, ἀλλ' ὑπέρτερα πολλῷ τῆς ἑαυτῶν ἀξίας καὶ τύχης ἐφρόνησαν. στάδιον γὰρ, ὡς εἰπεῖν, καθορᾶται καὶ βάσανος ἀκριβὴς ταῖς ἀνθρωπίναις ψυχαῖς, ὁπόσα κατὰ χρόνον εὐτυχήματα φύεται παρὰ τοσοῦτον ἐς ὕβρεως ὄγκον ὑψοῦντα τοὺς ἄφρονας, παρόσον τοῖς εὖ φρονοῦσι βεβηκυίας γνώμης βεβηκότα φέρει τρυγῶντα πολλαχόθεν τὸν ἔπαινον. ἐπεί γε μὴν ἠκηκόεισαν καὶ αὐτοὶ τὰ περὶ τοῦ πιγκέρνη ψιθυριζόμενα, φόρτον εἰσάγουσι λογισμῶν χαλεπῶν ἐς τὴν καρδίαν τἀνδρὸς, οὐχ ὡς ἦν τὰ τοῦ πράγματος ἀπαγγέλλοντες, ἀλλ' οἷον ἐκ μυίας δημιουργοῦντες ἐλέφαντα, καὶ ἐπὶ τούτοις πείθειν ἐπιχειροῦσι τάχιστα πρὸς ἀποστασίαν χωρῆσαι, πρὶν παθεῖν ἃ πρὸ βραχέος οἱ δυστυχεῖς πεπόνθασιν ἄνδρες ἐκεῖνοι, τοὺς περὶ τὸν Στρατηγόπουλον λέγω καὶ τὸν Πορφυρογέννητον. (Ε.) Ταῦτα πρὸς ταραχὴν ἐξιστῶσι 1.198 τὸν ἄνδρα καὶ ὥσπερ εἰς μεταίχμιον φέρουσι λογισμῶν ἀμφιβόλων, ἑκατέρωθεν ἄλλα ἐπ' ἄλλοις συχνὰ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐπαντλούντων τὰ τοῦ τοιοῦδε κλύδωνος κύματα. καὶ πρὶν διὰ θατέρου βουλεύματος ἰέναι αὐτὸν, θάτερον ἀντεπῄει καὶ σύγχυσίς τις ἅμα κατὰ τὸ συνεχὲς καὶ κυκεὼν ἠγείρετο λογισμῶν ἀνομοίων. οἷς γάρ ἐστι συνειδέναι σφαλεῖσί σφισιν αὐτοῖς ἐφ' ὅτῳ δήποτε πράγματι, ἢν ἐπίωσιν ὅσα εἰκὸς τῶν δεινῶν, προειδόσιν ἔπεισι καὶ πάλαι καραδοκήσασιν, ἐξότου δὴ καὶ σφαλῆναι ξυνεπεπτώκει· οἷς εἰ μήτι ἄλλο, τὸ γοῦν προμαθεῖν λάθρα πως ὑφαιρεῖται τοῦ πάθους τὴν ἀκμήν. ὅσοις δὲ τοὐναντίον ἀπροσδοκήτως ἔπεισι τὰ χείρω, μὴ συνειδόσιν ἑαυτοῖς μηδὲν τῶν ὅσα πρόξενα σφῶν καθεστᾶσιν, ἐπιεικῶς ἐκπλήσσειν εἴωθε καὶ σφῶν αὐτῶν ἐξίστασθαι. ἀλλὰ μετὰ πολλὰς τῶν λογισμῶν τὰς παλαίστρας νικῶσιν οἱ τὰ τῆς ἀποστασίας ὑποτιθέμενοι. καὶ σιωπὴν ἐπὶ τοῦ στρατοῦ τῆς τῶν βασιλικῶν ὀνομάτων εὐφημίας ὁ πιγκέρνης προστάττει τὰ πρῶτα. διὸ καὶ ῥοπῆς οὐ μικρᾶς οἱ Κρῆτες δραξάμενοι καὶ βίαν ἐπάγουσιν, ἤδη διεγείροντες τὴν ταχίστην καὶ τοῖς τῆς βασιλείας συμβόλοις χρήσασθαι καὶ στηρίξαι τῶν ἑπομένων τὰς γνώμας. "1τὰ γὰρ τοιαῦτα τῶν βουλευμάτων κατ' ἴχνος,"2 φασὶν, "1ἑπομένην ἔχειν χρεὼν καὶ τὴν πρᾶξιν· καὶ οὐδὲν οὕτω τῶν πάντων ἕτερον ὀξύτητα γνώμης ὁμοῦ καὶ χειρὸς ἀπαιτεῖ καὶ φλέγουσαν ὥσπερ σπουδήν. εἰ δ' ὑπερτίθεσθαι βούλει τὸν χρόνον, τάς τε ψυχὰς τῶν στρατιωτῶν μετεώρους ποιεῖς καὶ ἀμφιβόλους καὶ ὥσπερ ἐπὶ ξυροῦ ταλαντεύεις τὰς γνώμας αὐτῶν, τὴν τοῦ μέλλοντος ἀδηλίαν 1.199 πολλὰ δεδιότων, καὶ αὐτὸς, ἀλλ' οὐδ' αὐτὸς ἂν φθάνοις προδεδομένος ὢν ὑπὸ τῶν τοιούτων."2 ὁ δ' ἀκούων ἠμέλει, οὐκ οἶδ' ὁπότερον, εἴτε τὸν ὄγκον τοῦ πράγματος δειλιῶν, εἴτ' ἄλλο διανοούμενος τέως ἀπόῤῥητον, οἶμαι περιμένων χειρώσασθαι τὸν Λιβαδάριον πρότερον. (΄.) Τούτων οὕτως ἐχόντων ἀπαγγελίαι φοιτῶσιν ὀξεῖαι παρά τε τὸν Λιβαδάριον παρά τε τὸν βασιλέα, σύγχυσιν καὶ μερισμὸν διακηρύττουσαι τῶν τε πραγμάτων καὶ τῆς βασιλείας αὐτῆς. τὸν μὲν οὖν βασιλέα τὸ τῆς ἀκοῆς αἰφνίδιον σφοδρῶς ἐθορύβησε, καὶ οἷον εἰπεῖν λύπης πυθμένες ὅλους ἐξεῤῥόφησαν τούτου τοὺς λογισμούς. ὅμως τῇ πρὸς θεὸν εὐσεβείᾳ τοῦ συνειδότος θαῤῥῶν καὶ τῷ μηδεμίαν αἰτίαν τῇ τοιᾷδε παρασχηκέναι ὑποθέσει ἔμεινε κατὰ χώραν, μήτε πρὸς ὅπλα βλέψας καὶ βέλη, μήτε πρὸς στρατευμάτων συμμαχούσας φάλαγγας· ἀλλ' ὅλας εἰς τὴν ὑπέραγνον θεομήτορα τὰς ἐλπίδας ἀναρτήσας καὶ τὸν σωτῆρα Χριστὸν, εἰδὼς ὡς οὐκ ἔστιν οὐδὲν ὃ μὴ τῆς ἐκείνου χειρὸς ἐξῆπται, ἀλλὰ πάντα προνοίας ἐκεῖθεν ἀπόῤῥητοι βόσκουσι λόγοι, ὅπερ ἂν βούλοιτο τέλος ἐκεῖνος ἑκάστοις τῶν πραγμάτων ἐπάγειν. τὴν δὴ τοιαύτην αὐτοῦ συντριβὴν τῆς ψυχῆς ἐπιβλέψας ὁ κύριος ἔσφηλε τὰ τοῦ πιγκέρνη σκέμματα, καθάπερ φορτίδος νεὼς τοὺς ἰθύνοντας ἀφελόμενος οἴακας· καὶ ἀντὶ τοῦ Λιβαδαρίῳ ἐπιθέσθαι κατὰ τὴν πρώτην ἔφοδον ἀπαρασκεύῳ ἔτι τυγχάνοντι, ὁ δὲ Θεοδώρῳ τῷ τοῦ βασιλέως ἐπέθετο ἀδελφῷ ἐκεῖ που περὶ τὴν Λυδίαν καὶ αὐτῷ διατρίβοντι τότε. ἀνύποπτος γὰρ ἦν οὗτος τῷ βασιλεῖ καὶ πολλῆς ἐκείνου τῆς εὐ 1.200 μενείας ἀπέλαυε καὶ διὰ τοῦτο διέτριβεν ὅπῃ καὶ ὅπως ἐβούλετο. ἀφ' οὗ γὰρ εἶδε κατασχεθέντα τὸν ἀδελφὸν, συνῆκεν ὡς καλὸν τὸ μετριώτερον φέρειν τὴν τύχην· καὶ ῥίψας τὰ ὀφειλόμενα τῆς ἀξίας σύμβολα ἰδιωτικοῖς καὶ αὐτὸς ἐχρῆτο ἐνδύμασι. διὸ καὶ πολλὴν ἐκαρποῦτο καὶ καθαρὰν τὴν τοῦ βασιλέως εὐμένειαν. τοῦτον οὖν ἐπελθὼν κατέσχεν ὁ πιγκέρνης, ὡς μὴ βασιλείας ὄνομα τούτῳ περικειμένῳ προστρέχωσί τινες κἀντεῦθεν σύστημα γένηται στρατοπέδου καὶ γένηταί οἱ τουτὶ τῆς προθέσεως οὐκ ἐλάχιστον κώλυμα. (Ζ.) Ἀλλ' ἐλελήθει σκιὰν ἀντ' ἀληθείας κρατῶν. ὁ γὰρ πρωτοβεστιαρίτης Λιβαδάριος τὴν περὶ τὰ πάρεργα ταῦτα τοῦ πιγκέρνη ἀσχολίαν καιρὸν ἴδιον ἡγησάμενος πεμφθέντα παρὰ τῆς ἄνωθεν δεξιᾶς ἐν οὕτω βιαίᾳ καὶ ὀξέως ἀνταγωνιζομένῃ πραγμάτων ῥοπῇ πάντα κινεῖ χρήματα καὶ πάντα τὴν ταχίστην συναγείρει στρατὸν ἔκ τε τῆς παραλίου τῆς Ἰωνίας ἔκ τε τῆς μεσογαίου καὶ, συνελόντι φάναι, πανταχόθεν. τὸν ἴδιον γὰρ ἐξαργυρισάμενος πλοῦτον, καὶ ὅσοι περὶ αὐτὸν πλουτοῦντες ἐτύγχανον, καὶ πρός γε


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἔτι ἐκ τῆς Φιλαδελφείας πλεῖστα βασιλικὰ μεταστειλάμενος χρήματα ἄφθονα πάντα προὐτίθει χορηγῶν τῷ στρατῷ, μείζους ἔτι προστιθεὶς καὶ τὰς ἐπαγγελίας καὶ ἡδίους ποιῶν ταῖς ἐλπίσιν αὐτούς· ὡς πρὶν ἢ δέκα ἐξήκειν ἡμέρας, μετὰ βαρείας ἐλθόντα δυνάμεως κατὰ μέσην τὴν Λυδῶν χώραν πήξασθαι τὸ στρατόπεδον κἀκεῖ βρίθουσιν ὅπλοις τὴν ἔφοδον ἐκδέχεσθαι τοῦ πιγκέρνη. ὅδ' ἀνυσιμώτατον ἔδοξε τῇ τοῦ Λιβαδαρίου σπουδῇ καὶ τὸ πᾶν 1.201 ἐν βραχεῖ κατεπράξατο· εἰδὼς γὰρ ὡς μάλιστα πάντων οἱ Κρῆτες παρασπίζουσι τῷ πιγκέρνῃ καὶ τῶν ἐγγυτάτω τούτῳ κυκλούντων εἰσὶ, λάθρα πέμψας χρήματά τε δώσειν αὐτὸς ὑπισχνεῖται πάμπολλα καὶ λαμπρὰς τὰς τιμὰς προξενῆσαι παρὰ τοῦ βασιλέως αὐτοῖς, ἢν τὸν πιγκέρνην ἀπολαβόντες δέσμιον παραδῶσιν αὐτῷ συῤῥηγνυμένων ἤδη τῶν στρατοπέδων. οἱ δὴ καὶ πάλαι δυσχεραίνοντες πρὸς τὴν ἐς τὰ παρόντα σκέμματα βραδυτῆτα καὶ μέλλησιν τοῦ πιγκέρνη καὶ ἄλλως τὴν τῶν πραγμάτων τύχην ἀντιστρατευομένην ὁρῶντες αὐτῷ κλίνουσι πρὸς τὰς ὑποσχέσεις καὶ τὸ πᾶν αὐτοὶ κατασκευάζουσιν ἔπειτα δρᾶμα μεταξὺ τοῦ πολέμου. καὶ οὕτως αὐτός τε παραδίδοται δέσμιος καὶ τὸ πᾶν ἐν βραχεῖ καταλύεται τούτου στρατόπεδον. (Η.) Ἐπεὶ δὲ τῷ πρωτοβεστιαρίτῃ Λιβαδαρίῳ κατὰ γνώμην ἀπηντήκει τὰ πράγματα καὶ πέρας εἶχε τούτῳ χρηστὸν, ὁ δὲ οὐ μετριάζουσαν ἔῤῥιψε τὴν ὀφρὺν πρὸς τὸν ἡττηθέντα, οὐδ' ᾐδέσθη τὴν τύχην τἀνδρὸς, οὐδ' ἀνθρωπίνως προσηνέχθη τοῖς πράγμασιν· ἀλλ' ἐν νῷ λαβὼν τὸ τοῦ βασιλέως πρὸς τὰς κολάσεις ἀκίνητον καὶ δείσας μὴ φιλανθρωπίας ὁ δέσμιος τύχῃ ἀπελθὼν μετὰ τρίτην ἀπὸ τῆς κατασχέσεως ἡμέραν ἀφαιρεῖται τῶν ὀφθαλμῶν αὐτοῦ τὰς αὐγάς. οὕτω πικρὸς καὶ λιθίνην αὐχῶν τὴν καρδίαν ἐφάνη περὶ τὸν δυστυχήσαντα ἄνθρωπον. φιλεῖ γὰρ ἐς ἀπόνοιαν ῥᾶστα χωρεῖν τὸ ἀνθρώπινον, ὁπότε μὴ λόγον ἡνίοχον ἔχοι ἐμμελῶς ἀναστέλλοντα τὴν τῆς τύχης ἀστάθμητον περιπέτειαν. τὰ γὰρ ἐν πολέμῳ καὶ μάχῃ γινόμενα, ὁποῖά ποτ' ἂν ᾖ, συγγνώμην ἔχει τῷ πεπραχότι, περιστατουμένου τότε τοῦ λογισμοῦ καὶ τῆς χειρὸς οἱονεὶ με 1.202 θυούσης καὶ λόγον οὐκ ἐχούσης χειραγωγὸν καὶ πρύτανιν τῶν πραττομένων. τῆς δ' ἀκμῆς τῶν δεινῶν παυσαμένης καὶ καιρὸν ἤδη τῆς προαιρέσεως εἰληφυίας μετὰ στάθμης τινὸς καὶ κρίσεως τὰς τῶν πράξεων ἀρχὰς παρέχεσθαι τῇ χειρὶ, μοχθηρίαν γνώμης κατηγορεῖ τοῦ πράξαντος, εἴ τι μὴ κατὰ τὸ προσῆκον γίγνοιτο. θʹ. Κατὰ τοῦτον μέντοι τὸν χρόνον συνέβη γενέσθαι σεισμὸν τῶν πάνυ μεγίστων, ὑφ' οὗ πολλαὶ μὲν τῶν μεγάλων οἰκιῶν, πολλοὶ δὲ τῶν μεγάλων νεῶν οἱ μὲν ἐπεπτώκεισαν, οἱ δὲ διεῤῥάγησαν. ἐπεπτώκει δὲ καὶ ὃν πρὸ τοῦ νεὼ τῶν ἁγίων ἀποστόλων ἐπὶ κίονος ἔστησε τοῦ ἀρχιστρατήγου Μιχαὴλ ἀνδριάντα Μιχαὴλ βασιλεὺς ὁ Παλαιολόγος, ὁπότε τῆς Κωνσταντινουπόλεως ἐγκρατὴς ἐγεγόνει· ὃν αὖθις Ἀνδρόνικος βασιλεὺς, ὁ ἐκείνου παῖς, ὡς εἶχε σχήματος, ἐπεσκεύασέ τε καὶ ἀνεστήλωσε. (Β.) Κατὰ δὲ τὸ ἐπιὸν θέρος ἧκεν ἐκ Τραπεζοῦντος εἰς Κωνσταντινούπολιν Εὐδοκία ἡ τοῦ βασιλέως ἀδελφὴ, θανόντος ἐκεῖ τοῦ ἀνδρὸς αὐτῆς Ἰωάννου τοῦ Λαζοῦ· ἧκε δὲ μετὰ τοῦ δευτέρου ταύτης παιδός. τὸν γὰρ πρῶτον Ἀλέξιον ἐκεῖ καταλείπει, τὴν πατρικὴν περιέπειν ἀρχήν. ταύτην δὴ τὴν Εὐδοκίαν πέμψας ὁ Κράλης Σερβίας ἐζήτει γυναῖκα λαβεῖν, ἵν' αἰωνιζούσας ποιήσῃ πρὸς Ῥωμαίους σπονδάς. ἰσχυρὸς γὰρ ἦν καὶ οὐ διέλιπε τὰ Ῥωμαίων ἀεὶ συγχέων πράγματα καὶ πόλεις καὶ χώρας τὰς μὲν αἱρῶν, τὰς δὲ ληϊζόμενος. τοῦτο πολλαπλῆ μεριζομένην τῷ βασιλεῖ τὴν ἀπορίαν ἤνεγκε· πρῶτον μὲν, ὅτι περὶ πλείονος τὴν τοῦ Κράλη φι 1.203 λίαν ἐτίθετο· δεύτερον, ὅτι καὶ τὴν ἐκείνου συνάφειαν ἀποτρόπαιον ἡγεῖτο ἡ τοῦ βασιλέως ἀδελφὴ Εὐδοκία καὶ οὐδ' ἄκροις ὠσὶν ἀκούειν ἠνείχετο τῶν λεγόντων· τρίτον, ὅτι καὶ τέταρτον ἦν ὅπερ ᾔτει συνοικέσιον. τῇ γὰρ πρώτῃ, θυγατρὶ τοῦ τῆς Βλαχίας ἄρχοντος οὔσῃ, χρόνους τινὰς συνοικήσας εἶτα αὐτὴν μὲν ἀπέπεμψεν εἰς τὴν θρεψαμένην· ἠγάγετο δὲ τὴν γυναικαδέλφην τοῦ αὐταδέλφου τὸ μοναχικὸν αὐτὴν περιδύσας πρότερον σχῆμα. εἶτα τῆς τῶν Τριβαλλῶν ἐκκλησίας



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀνθισταμένης ἐπιπολὺ πρὸς τὸ παράνομον, ἐκπέμπει καὶ ταύτην μετὰ πολὺν τὸν χρόνον. ἄγεται δὲ τὴν ἀδελφὴν τοῦ τῆς Βουλγαρίας ἄρχοντος Σφενδοσθλάβου, σύζυγον τρίτην αὐτήν. ἐπαιδοποίησε δὲ μετ' οὐδεμιᾶς τῶν τριῶν. ἤδη δὲ καὶ ταύτην ἀποστέρξας εὐγενεστέραν ἐζήτει συγγένειαν. (Γ.) Ἐπεὶ δ' ἡ μὲν Εὐδοκία τὴν ἐκείνου συνοίκησιν ὅλαις προθέσεσι τῆς ψυχῆς ἀπηρνεῖτο, ὁ δ' ἐκεῖθεν ἐμβριθῶς ἐπέκειτο ζητῶν οὐ μικρὰς προστιθεὶς καὶ τὰς ἀπειλὰς, ἀναγκασθεὶς ὁ βασιλεὺς μηνύει τῷ Κράλῃ περὶ τῆς ἑαυτοῦ θυγατρὸς Σιμωνίδος, πέμπτον τῆς ἡλικίας ἀγούσης ἔτος, ἵν' ὑπ' ἐκείνῳ λαβόντι τρέφοιτο, μέχρις ἂν ἐς τὸν νομιζόμενον ἔλθῃ τοῦ γάμου χρόνον κἄπειτα εἴη σύζυγος αὐτῷ τοῦ λοιποῦ. ἔαρος οὖν ἐπιστάντος ἄπεισιν ὁ βασιλεὺς μετὰ τῆς δεσποίνης ὁμοῦ καὶ τῆς θυγατρὸς ἐς Θεσσαλονίκην ἐπαγόμενος καὶ τὸν Πορφυρογέννητον δέσμιον, δέει τοῦ μὴ διαδρᾶναι συνεργίαις μητρικαῖς. οὐ γὰρ διέλιπεν ἡ μήτηρ Θεοδώρα ἡ δέσποινα διηνεκῶς ὑπὲρ τοῦ παιδὸς ἀσχάλλουσα καὶ ζητοῦσα τὴν λύσιν αὐτοῦ. (Δ.) Ἥκει δ' ἐκεῖ 1.204 θεν καὶ ὁ Κράλης φέρων ὁμήρους τοὺς κατὰ γένος προὔχοντας υἱέας τῶν Τριβαλλῶν, φέρων δ' ὁμοῦ καὶ τὴν ἀδελφὴν τοῦ Σφενδοσθλάβου πρὸς πίστωσιν τῶν σπονδῶν. ᾗ δὴ καὶ μικρὸν ὕστερον πρὸς τὴν Κωνσταντινούπολιν κομιζομένῃ μίγνυται σαρκικῶς Μιχαὴλ ὁ Κουτρούλης, ὃς τοῦ βασιλέως γενόμενος ἐπ' ἀδελφῇ γαμβρὸς νῦν διετέλει χηρείαν ἄγων θανούσης ἐκείνης. μίγνυται μὲν οὖν τῇ ῥηθείσῃ λάθρα τὸ πρῶτον, ἔπειτα καὶ σύζυγον ἄγεται νόμιμον ἐς τοὐμφανές. καὶ ἵνα τἀν μέσῳ συντέμω, στεῤῥὰς καὶ μάλα βεβαίας ὁ Κράλης τὰς σπονδὰς ποιησάμενος καὶ οἷαι κατὰ γνώμην ἦσαν τοῦ βασιλέως, ἐπάνεισι τὴν Σιμωνίδα λαβὼν βρέφος οὖσαν τεσσαρακοντούτης τυγχάνων αὐτὸς καὶ τοῦ βασιλέως καὶ πενθεροῦ καθ' ἡλικίαν προήκων πέντε ἔτεσιν ἔγγιστα. ιʹ. Κατὰ δὲ τὸ ἐπιὸν ἔτος ἐς τὴν βασιλεύουσαν ἐπανήκοντι τῷ βασιλεῖ πέμπουσί τινες τῶν ὑπὲρ τὸν Ἴστρον Μασσαγετῶν λαθραίαν πρεσβείαν· Ἀλανοὺς ἡ κοινὴ τούτους καλεῖ διάλεκτος· οἵ δὴ καὶ Χριστιανοὶ τυγχάνοντες ἄνωθεν ἔπειτα τῇ βιαίᾳ χειρὶ τῶν Σκυθῶν ὑπαχθέντες σώμασι μὲν ἐδούλευσαν ἄκοντες, τὴν δὲ γνώμην αὐτονομίας ἀεὶ κατεβίβρωσκεν ἔφεσις καὶ τῶν ἀσεβῶν ἀλλοτρίωσις. πέμπουσιν οὖν χῶρον ἀρκοῦντα ζητοῦντες εἰς οἴκησιν ὑπὲρ τὰς δέκα χιλιάδας αὐτῶν βουλομένων ἐλθεῖν πανοικὶ, εἴ γε βουλομένῳ εἴη καὶ βασιλεῖ, καὶ ἅμα συμμαχήσειν ὑπισχνούμενοι κατὰ τῶν Τούρκων ὅλαις χερσὶ, κραταιωθέντων ἤδη καὶ κατατρεχόντων ἀδεῶς καὶ πορθούντων ὅλην τὴν τῶν Ῥωμαίων Ἀσίαν. 1.205 τῷ μὲν οὖν βασιλεῖ παρὰ τοσοῦτον ἐφάνη τὰ τῆς πρεσβείας καθ' ἡδονὴν, παρόσον ἂν εἰ θεόθεν ἐτύγχανε κατιοῦσα καὶ τὰ κατὰ πάσης Ἀσίας μνηστευομένη τρόπαια. μετὰ γὰρ τὴν τοῦ Φιλανθρωπηνοῦ συμβᾶσαν ἐκείνην σύγχυσιν πάντας ἔλεγεν ὑποπτεύειν Ῥωμαίους καὶ μηδένα νομίζειν ὀρθὴν πρὸς αὐτὸν διασώζειν ὑπόληψιν· διὸ καὶ συμμαχίας ὑπερορίους ὠνειροπόλει νυκτὸς καὶ ἡμέρας, ὡς μὴ ὤφελεν. ἀποδοκιμαζομένων γὰρ ἁπάντων Ῥωμαίων, τὰ Ῥωμαίων ἐνόσησε πράγματα καὶ πρὸς ἐσχατιὰς κατηνέχθη κινδύνων, ὡς ἔμπροσθεν δηλωθήσεται. (Β.) Τῆς μέντοι πρεσβείας οὕτως ἀσμένως δεχθείσης ἥκουσιν οἱ Μασσαγέται τέκνοις ἅμα καὶ γυναιξὶ χιλιάδες ὑπὲρ τὰς δέκα. ἐπεὶ δὲ ἔδει χρήματα καὶ ἵππους καὶ ὅπλα τούτοις διδόναι, τὰ μὲν ἐκ τοῦ βασιλικοῦ πρυτανείου ἐδίδοντο, τὰ δ' ἐκ τῶν στρατιωτικῶν, τὰ δ' ἐκ τῶν κοινῶν καὶ ἰδιωτικῶν. ἐντεῦθεν συχνοὶ καὶ ἄλλος ἐπ' ἄλλῳ ἐξῄεσαν οἱ τὰς χώρας ἀργυρολογοῦντες· ηὖξον οἱ φορολόγοι τὰ τέλη· πᾶν ὅπλον καὶ πᾶς ἵππος ἠθροίζετο· ἠρευνῶντο κῶμαι, πόλεις, οἰκίαι τῶν μεγιστάνων, οἰκίαι τῶν ἐν στρατείαις κατειλεγμένων, ἀσκητήρια, δῆμοι, θέατρα, ἀγοραὶ, καὶ πάντες ἐδίδουν ἵππους καὶ χρήματα, ἄκοντές τε καὶ ὀλοφυρόμενοι, οὐκ εὐχὰς καὶ λόγους εὐφήμους, ἀλλὰ δάκρυα καὶ ἀρὰς παραπομποὺς ἐφοδίους τῷ νέῳ στρατῷ συνεκπέμποντες. ἐπεὶ δὲ καὶ ἐς Ἀσίαν διαβαίνουσιν ἐξ Εὐρώπης ἅμα τῷ βασιλεῖ Μιχαὴλ, αὐτοὶ μὲν στρατοπεδεύουσι περὶ Μαγνησίαν· οἱ δὲ Τοῦρκοι τὰ πρῶτα περὶ τὰ ὄρη καὶ τὰς


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

λόχμας ἀναχωροῦσι, τοῦτο δὴ τὸ σύνηθές σφισι ποιοῦντες, ἵν' ἐκεῖθεν αὐτοὶ ταῖς δυσχωρίαις φρουρούμενοι τὰ 1.206 τούτων ὁρῶσι στρατεύματα ὁπόσα τε καὶ οἷα τυγχάνοιεν καὶ εἰ κατὰ στρατηγικὴν ἐμπειρίαν στρατοπεδεύοιεν. ἴσασι γὰρ ὡς πολλὰ τῶν οὐκ ὄντων ἡ φήμη κομίζει ταῖς ἀκοαῖς ὑπὲρ τὸ προσῆκον τὰ πράγματα αὔξουσα· ὅθεν περιϊόντες ἐσκόπουν, εἴτε κατὰ τὴν φήμην ἀνεπιχείρητα εἴη τὰ πρὸς αὐτοὺς, εἴτε χρὴ δόλοις καὶ λόχοις αὐτοὺς Περσικοῖς περιελθεῖν καὶ κατατροπώσασθαι. (Γ.) Ἐπεὶ δὲ ἴδοιεν τούτους ἀτάκτως ἐπὶ λείαν παρεξιόντας συχνὰ, καὶ γὰρ ἐληΐζοντο τὰ Ῥωμαίων αὐτοὶ μεῖζον ἢ κατ' ἐχθρὸν προφανῆ, παρακατίασι τῶν ὀρῶν οἱ μαχιμώτατοι μετὰ τῆς συνήθους σφῶν ἐς τὰ πολέμια τάξεως μικρὸν μὲν πρῶτον ἔπειτα πλεῖον· καὶ ἀεὶ μείζονι καὶ θαῤῥαλεωτέρᾳ χρώμενοι τῇ ὁρμῇ τῆς ἐφόδου δῆλοι ἦσαν τὰ τοῦ βασιλέως κυκλώσοντες στρατόπεδα. ἀλλ' οὐκ ἐνέμειναν οὐδὲ τὴν πρώτην ἔφοδον τῶν βαρβάρων οἱ ἡμέτεροι, ἀλλ' ἄραντες ἐκεῖθεν ἐπὶ πόδα ἀνεχώρουν καταμικρὸν, κατόπιν τῶν βαρβάρων ἰόντων κἀκ τῶν ἔγγιστα παραστρατοπεδευόντων. οὐ γὰρ ὡς εἶχον πλήθους ἑώρων τοὺς βαρβάρους οἱ ἡμέτεροι· ἀλλὰ ταὐτὸν ἐπεπόνθεσαν ὑπὸ δειλίας, οἷον οἱ μεθύοντες ὑπὸ οἴνου, οἱ οὐ τὰ ὄντα κατὰ φύσιν ὁρῶσιν, ἀλλ' ἀνθ' ἑτέρων ἕτερα οἴονται βλέπειν ὑπὸ τῆς περὶ τὸν ἐγκέφαλον πλείστης ὑγρότητος κυματουμένης τῆς ὄψεως καὶ οἱονεὶ κολυμβώσης ἐς τὰ φαινόμενα πλημμελῶς. τὰ γὰρ ἀδικίαν ἔχοντα προπορευομένην καὶ θράσος στρατόπεδα συγγενῆ φθορὰν αὐτόθεν καὶ κατάλυσιν ἐπιφέρονται· καὶ πρὶν τοὺς πολεμίους ἐπεισπεσεῖν, αὐτοὶ πρότερον ὑπὸ δειλίας ἀνατρέπονται σφῶν αὐτῶν αὐτοὶ γινόμενοι πολέμιοι, τῆς δίκης ἄνωθεν κατὰ τὸ προσῆκον διδού 1.207 σης τῶν πραττομένων τὰ τέλη. οὐ γὰρ ἦν εἰκὸς κατορθῶσαί τι τοὺς ἀρὰς καὶ δάκρυα λαβόντας ἐφόδια πρὸς τὴν ἔξοδον. ὁ μὲν δὴ βασιλεὺς τοὺς Μασσαγέτας φυγῇ χρησαμένους ἰδὼν καὶ μὴ δυνάμενος μετ' ὀλίγων ἀντιστρατεύεσθαι τοῖς βαρβάροις φέρων ἐμβέβληκεν ἑαυτὸν ἐς ἀσφαλέστατον φρούριον τὴν Μαγνησίαν τῆς συμφορᾶς τὸ τέλος ἀποσκοπῶν. οἱ δὲ Μασσαγέται κατῄεσαν ἄχρι τοῦ Ἑλλησπόντου πάντα ληϊζόμενοι τὰ Χριστιανῶν κἀκεῖθεν ἐς Εὐρώπην διαπεραιοῦνται· ὥσπερ ἂν εἰ διὰ μόνον τουτὶ προσεκλήθησαν ἐκ Σκυθῶν, ἵνα τοῦ δέοντος πρωϊαίτερον τοὺς Τούρκους ἄχρι θαλάττης ὁδηγήσαιεν. οὐ γὰρ πολλαὶ μεταξὺ παρεληλύθεσαν ἡμέραι καὶ ὁ μὲν βασιλεὺς ἐς Βυζάντιον ἐπανῆκεν, οἱ δὲ βάρβαροι κατῄεσαν μικροῦ πάντα διαλαχόντες τὰ μέχρι καὶ ἐς τὴν Λεσβίαν παράλιον. κʹ. Συνέβη δ' ἐν τούτῳ τῷ χρόνῳ κινηθῆναι καὶ μάχην μεταξὺ Γεννουιτῶν καὶ Βενετικῶν καὶ πλείστας μὲν ἀπολέσαι ναῦς καὶ χρήματα τοὺς Βενετικοὺς νικωμένους ἄλλοτε ἄλλοθι παρ' ἐκείνων· ὀψὲ δ' ἑβδομήκοντα παρασκευάσαντας ναῦς ἐλθεῖν κατὰ τουτωνὶ τῶν Γεννουιτῶν, οἳ τὴν οἴκησιν ἀντιπέραν ποιοῦνται τῆς Κωνσταντινουπόλεως, καὶ αὐτῶν μὲν μηδένα καταλαβεῖν· προμαθόντας γὰρ ἐκείνους γυναῖκας μὲν καὶ παῖδας καὶ χρήματα τῆς βασιλευούσης ἐντὸς ἀσφαλίσασθαι· αὐτοὺς δ' ἐς τὰς αὐτῶν τριήρεις ἐμβάντας φυγεῖν τοὺς διώκοντας, ἀποπλεύσαντας ἐς τὸν Εὔξεινον· ὡς ἐντεῦθεν μὴ καταλαβοῦσί σφισιν ἐκείνους ἐνταῦθα ἀναγκασθῆναι κάειν τάς τε οἰκίας ἐκείνων καὶ τὰς παρατυχούσας κενὰς ὁλκάδας· οὐ μόνον δὲ, ἀλλὰ σύν γε αὐταῖς καὶ τὰς Ῥω
1.208 μαίων ἐκτὸς τείχους οἰκίας ἁπάσας, ἀμυνόμενοι δεξαμένους γυναῖκας καὶ παῖδας καὶ χρήματα τῶν ἐχθρῶν ἐν τῷ ἀσφαλεῖ· ἀφ' ὧν ὁρμηθέντας Ῥωμαίους τῶν τῆς βασιλευούσης ἐντὸς κατοικούντων Βενετικῶν ἔστιν οὓς διασπαράξαι καὶ τὰ αὐτῶν ληΐσασθαι πάντα χρήματα. (Β.) Δι' ἃ δὴ καὶ ἐς τοὐπιὸν θέρος ὀκτωκαίδεκα τριήρεις αὖθις ὁπλίσαντες οἱ Βενετικοὶ ἧκον τὴν γενομένην ζημίαν ἀπαιτοῦντες παρὰ τοῦ βασιλέως. μηδὲ γὰρ εἶναί φησι πρὸς τῆς νενομισμένης φιλίας τῷ προπεπονθέναι μεγάλα ἀμυνομένους μέτρια τέλος καὶ τὴν ἐσχάτην ὑποστῆναι ζημίαν· προκατάρξαι γὰρ τῆς παρασπονδήσεως Ῥωμαίους, ταῖς τῶν ἀντιπάλων γυναιξὶ καὶ παισὶ μετὰ τῶν χρημάτων ἐν τῇ τῆς μάχης ἀκμῇ πᾶσαν καὶ παντοίαν


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

περιποιησαμένους ἀσφάλειαν. τοῦ δὲ βασιλέως μήτε λόγον εὔλογον ἔχειν τὴν ἀπαίτησιν ἀποκρινομένου, μήτε ἁρμόττουσαν τύχῃ βασιλικῇ τὴν ἐπιτίμησιν κατὰ τῆς αὐτῶν ἀναιδοῦς ἐπενεγκεῖν ἔχοντος τόλμης τῷ μὴ κεκτῆσθαι τριήρεις ἀντιστρατευομένας (προαπολώλεσαν γὰρ, ὡς εἰρήκειμεν), ἐς τοσοῦτον ἐξηνέχθησαν θράσους τῷ μάλα περιφρονεῖν τῶν Ῥωμαίων τὸ ἄνανδρον καὶ τοσαύτην προὐξένησαν τῇ Ῥωμαίων ἡγεμονίᾳ τὴν αἰσχύνην, ἐς ὅσον αἰσχυνοίμην ἂν αὐτὸς ἀφηγούμενος. ὅπου γὰρ κατηναγκασμένα τῶν ἀτυχημάτων ἔπεισι τὰ αἴτια, λύπαις μὲν καὶ οὕτως ἔξεστι τὴν ψυχὴν κατατρύχειν· μετρίαις δ' οὖν ὅμως, ἐκεῖ τοῦ συνειδότος οὐδένα μαστιγοφόρον μετάμελον ἔχοντος, ἀλλὰ θείαν τινὰ κρίσιν ἀπορρήτους τοὺς λόγους κρύπτουσαν ἡγουμένου τὸ πρᾶγμα. ἐνταῦθα δ' ἐξεπίτηδες καὶ οἷον εἰπεῖν μετὰ τέχνης εἰς ἀνδραπόδων μοῖραν ἑκόντες ἔῤῥιψαν Ῥω 1.209 μαῖοι τὸ τῆς Ῥωμαίων ἡγεμονίας ἀξίωμα, τὰς οἰκείας τριήρεις τῆς θαλάττης γυμνώσαντες ἐλπίδος ἕνεκα κέρδους, ὃ μάλα βραχύτατον ὂν μάλα μακράν τε καὶ πολυτάλαντον ἐγεώργησε τὴν ζημίαν καὶ ταύτην πολλῷ μακρότερον ἔχουσαν τὸ τῆς αἰσχύνης ἔγκλημα. οὐδὲ γὰρ ἦν ἂν οὔτε Λατίνους οὕτω κατὰ Ῥωμαίων θρασύνεσθαι, οὔτε ψάμμον θαλάσσης θεάσασθαι Τούρκους ποτὲ, τῆς ναυτικῆς τῶν Ῥωμαίων δυνάμεως θαλαττοκρατούσης ὡς πρότερον· οὐδ' ἐς τοῦτ' ἀνάγκης συνελαθῆναι Ῥωμαίους, ὥστε μὴ μόνον ὁπόσα τῶν ἐθνῶν ὁμοροῦντα πεφύκασιν, ἀλλὰ καὶ ὅσα ὡς πορρωτάτω τὴν δίαιταν ἐκληρώσαντο, οἷά τινα λίθον φοβεῖσθαι Ταντάλειον ἀπὸ λεπτοῦ τινος μίτου μετεωριζόμενον ἐπὶ κεφαλῆς, καὶ πᾶσιν ἀναγκάζεσθαι φόρον εἰσφέρειν ἐτήσιον, καθάπερ Λυσάνδρῳ καὶ Δερκυλλίδᾳ καὶ τοῖς ἐκ Λακεδαίμονος ἁρμοσταῖς δασμὸν τὸν ἐτήσιον Ἀθηναῖοι πάλαι καὶ Βοιωτοὶ δυστυχήσαντες. (Γ.) Ἀλλ' ἐκεῖσε ἐπάνειμι. παρελθόντες μέντοι ἐς τὸ Κέρας ἐπὶ τῶν τριήρων ὁπλοφοροῦντες οἱ Βενετικοὶ τῇ πρὸς ἄρκτον προσέσχον παραλίᾳ ἀντικρὺ τῶν βασιλικῶν οἴκων· κἀκεῖθεν πέμψαντες ἀπῄτουν τὰ χρήματα, ὁπόσοις τοὺς ἔνδον τῆς βασιλευούσης οἰκοῦντας Βενετικοὺς οὐδένα ἀδικήσαντας ἐζημίωσαν· πλείω λαβεῖν παρ' ἀκόντων Ῥωμαίων ἀπειλοῦντες, εἰ μὴ αὐτοί γε ἑκόντες ἀποδοῖεν ὁπόσα χρεών. ἐπεὶ δ' ἀποφάσκοντα τὴν ἀπόδοσιν τὸν βασιλέα ἐγνώκεσαν, αὐτόθεν κατειρωνεύεσθαι τὴν Ῥωμαίων ἤρξαντο δύναμιν· καὶ ὑφῆψαν εὐθὺς τάς τε ἀντιπέρας οἰκίας ἁπάσας κενὰς οὔσας τῶν ἐνοικούντων· φθάσαντες 1.210 γὰρ ἐξῴκισαν ἐκεῖνοι σφᾶς αὐτοὺς ἐκεῖθεν· καὶ ἔτι ὁπόσα περὶ τὰς ἅλως ἀσταχύων δράγματα ἦσαν· τὸ δὲ ὥσπερ παιδιὰ καὶ χλεύη τις ἦν ἐκείνων κατὰ τοῦ βασιλέως. ξυμπέπτωκε γὰρ καὶ λεπτάς τινας αὔρας ἀπ' ἄρκτου πνεούσας τῇ τε φλογὶ διδόναι ῥοπὴν καὶ πλείστου καπνοῦ τὰ βασίλεια ἐμπιπλᾷν. τῇ δ' ὑστεραίᾳ ἐκεῖθεν ἄραντας ἔργον ἦν τὰς ὁθενδήποτε πρὸς τὴν βασιλεύουσαν εἰσπλεούσας ὁλκάδας χειροῦσθαι καὶ τὰς ἐν τῇ Προποντίδι νήσους ληΐζεσθαι παραπλέοντας καὶ οὐχ ὅπως ὅσα ἐν χρήμασιν ἦν συναθροίζειν, ἀλλὰ καὶ τοὺς ἄνδρας ἐπὶ κεφαλῆς μετεωρίζοντας ἀπὸ τῆς κεραίας μαστίζειν πρὸ τῶν τῆς βασιλευούσης τειχῶν· ἵν' ὁρῶντες οἱ κατὰ γένος ἑκάστῳ προσήκοντες πολλὰ καταβάλλωσι χρήματα πρὸς ἐξώνησιν· καὶ οὕτω πλείω τῶν ζητουμένων οἱ Βενετικοὶ συλλεξάμενοι χρήματα ἀνεχώρησαν οἴκαδε. (Δ.) Ὁ δὲ πατριάρχης Ἰωάννης ὁρῶν περιφρονούμενον ἑαυτὸν ἀμαθίας τε καὶ ἁπλότητος ἕνεκα καὶ ἀνακεκαλυμμένως παρὰ ἀρχιερέων ἔστιν ὧν λοιδορούμενον τῇ λύπῃ καὶ τῇ μικροψυχίᾳ νικᾶται καὶ δίδωσι φέρων τῷ βασιλεῖ τοῦ θρόνου παραίτησιν ἔγγραφον, ἐπεὶ μὴ βούλοιτο ἐκδικεῖν. ὁ δὲ ἀπελθὼν ἡσύχασε μέχρι τινὸς παρὰ τὴν μονὴν τῆς ὑπεράγνου θεομήτορος, τῆς Παμμακαρίστου. ἔπειτ' ἀπῄει παρὰ τὴν θρεψαμένην, τὸ τῆς Σωζοπόλεως λέγω πολίχνιον· ἔνθα καὶ τὸ λεῖπον ἐν ἡσυχίᾳ τοῦ βίου παρήμειψεν. 1.214 Κατὰ τοῦτον τὸν χρόνον ἐκ τῆς ἕω τὰ μέγιστα τῶν κακῶν ἀνεῤῥάγη πελάγη, καθάπερ μυρίων πνευμάτων ἐξαίφνης ὁμοῦ συῤῥαγέντων καὶ πάντ' ἄνω καὶ κάτω ἐλαυνόντων καὶ συγκυκώντων. ἐπεὶ γὰρ ἔρημα στρατευμάτων



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τὰ πρὸς ἕω τῆς Ῥωμαίων ἡγεμονίας ἐλείπετο, συνασπισμὸν οἱ τῶν Τούρκων σατράπαι ποιήσαντες πάντα κατέδραμον ἄχρι θαλάττης ἁπάσης καὶ πρὸς αὐταῖς ἤδη ταῖς ἀκταῖς μετοικήσαντες· καὶ οἱ μὲν πλεῖστοι τῶν τε ἀνδρῶν ὁμοῦ καὶ γυναικῶν καὶ νηπίων, καὶ ὅσα ἐν κτήνεσι καὶ ὅσα ἐν χρήμασιν ἦσαν, ὑπὸ τὴν τῶν πολεμίων ἄρτι αἰχμὴν ἐγεγόνεισαν. ὅσοι δ' ἔλαθον διαδράντες, οἱ μὲν ἐς τὰς ἔγγιστα πόλεις κατέφυγον, οἱ δὲ καὶ ἐς Θρᾴκην ἄσκευοι καὶ γυμνοὶ τῶν προσόντων διέβησαν. ἐς δὲ ξυμφωνίαν ἤδη ἐληλυθότες οἱ Τοῦρκοι κλήρῳ διέλαχον πᾶσαν, ὁπόση τῆς τῶν Ῥωμαίων ἡγεμονίας ἐτύγχανε γῆ κατὰ τὴν Ἀσίαν. κατέσχον οὖν, ὁ μὲν Καρμανὸς Ἀλισούριος τὰ πλείω τῆς μεσογείου Φρυγίας καὶ ἔτι τὰ μέχρι Φιλαδελφείας καὶ τῶν ἔγγιστα πάντων ἀπὸ τῆς περὶ Μαίανδρον τὸν ποταμὸν Ἀντιοχείας· τὰ δ' ἐκεῖθεν μέχρι Σμύρνης καὶ τῶν ἐντὸς παραλίων τῆς Ἰωνίας ἕτερος, ὄνομα Σαρχάνης. τὰ γὰρ περὶ Μαγνησίαν καὶ Πριήνην καὶ Ἔφεσον φθάσας ὑφείλετο σατράπης ἕτερος, ὄνομα Σασάν· τὰ δ' ἀπὸ Λυδίας καὶ Αἰολίδος ἄχρι Μυσίας τῆς πρὸς τῷ Ἑλλησπόντῳ ὅ,τε Καλάμης λεγόμενος καὶ ὁ παῖς αὐτοῦ Καρασῆς· τὰ δὲ περὶ τὸν Ὄλυμπον καὶ ὅσα τῆς Βιθυνίας ἑξῆς ἕτερος, ὄνομα Ἀτμᾶν· τὰ δ' ἀπὸ τοῦ 1.215 ποταμοῦ Σαγγαρίου μέχρι Παφλαγονίας μεμερισμένως ἐς τοὺς Ἀμουρίου διέβησαν παῖδας. (Β.) Τὸ μέντοι ἑξῆς ἔτος φασὶ διαμηνύσασθαι λάθρα τῷ βασιλεῖ τὸν πρὸ τοῦ Ἰωάννου πατριαρχεύσαντα καὶ παραιτησάμενον Ἀθανάσιον θείαν προβλέπειν ὀργὴν κατὰ τῶν Ῥωμαίων παρακελεύσασθαί τε αὐτὸν ὁλονύκτοις δεήσεσι χρήσασθαι πρὸς θεὸν ἄχρι καὶ ἐς τρίτην ἡμέραν· τῇ δ' ὑστεραίᾳ γενομένου σεισμοῦ τοῦτον εἶναι, φάναι τὸν βασιλέα, τὴν προειρημένην Ἀθανασίῳ θεομηνίαν· ἰσχυρίζεσθαί τε λοιπὸν, ὡς οὐχ ἕτερος ἄξιος μᾶλλον αὐτοῦ πρὸς τὸν πατριαρχικὸν ἀνεληλυθέναι θρόνον· μηδὲ γὰρ ἂν βλέπειν τὰ ἔμπροσθεν ἄνευ θειοτέρας ἐλλάμψεως· πεπεῖσθαί τε τοὺς πολεμίους ὡς ποῤῥωτάτω γενέσθαι τῶν ὅρων τῆς τῶν Ῥωμαίων ἡγεμονίας ἅμα τῷ τοῦτον ἐς τὸν πατριαρχικὸν ἀναβῆναι θρόνον καὶ γενέσθαι, οἷον εἰπεῖν, ἔαρ μετὰ χειμῶνα καὶ γαλήνην μετὰ κλύδωνα καὶ ῥᾷστα πλατυνθῆναι τῆς τῶν Ῥωμαίων ἡγεμονίας τὰ σχοινίσματα. (Γ.) Τοῦτο μικροῦ πάντας ἀρχιερέας καὶ ἱερέας, καὶ ὅσοι ἀσκητηρίων ἔτυχον προεδρεύοντες, καὶ ὅσοι τοῦ κλήρου, καὶ οὐ πολλοῦ δέω λέγειν, ὅσοι τῶν ἀγορανομούντων καὶ δημόσια δή τινα ἐγκεχειρισμένων ἦσαν πράγματα, ἀναμνησθέντας τῆς πάλαι πνευματικῆς βαρύτητος τοῦ ἀνδρὸς οὐ μικρῶς διετάραξεν· ὥστε καὶ δημηγοροῦντι τῷ βασιλεῖ περὶ τοῦ σεισμοῦ καὶ τῆς Ἀθανασίου προῤῥήσεως πιστεύειν οὐκ εἶχον, ἀλλ' ὑπεψιθύριζον, ὡς ποθῶν ἐκεῖνον ἐνδοξότερον καθιστᾷν πλάττει καὶ χαρίζεται ψευδῆ ταυτηνὶ 1.216 τὴν δόξαν αὐτῷ, ἵν' εὐπαράδεκτος καὶ ὁ τούτου πρὸς ἐκεῖνον δοκοίη πόθος. δεξιώσεσι δ' οὖν ὅμως καὶ λόγοις πειθοῦς ὁ βασιλεὺς ἔστιν οὓς τῶν τε ἀρχιερέων καὶ μοναζόντων περιελθὼν ἰδίους τῷ ἑαυτοῦ ἐπεποιήκει βουλήματι· μεθ' ὧν πεζῇ καὶ βάδην ἄπεισι παρὰ τὴν τοῦ Ἀθανασίου καταγωγὴν τὴν περὶ τὸν Ξηρόλοφον· καὶ ὁμιλήσας αὐτῷ τὰ εἰκότα περὶ τοῦ θρόνου ἔπεισε καὶ τὰ πατριαρχικὰ περιθέσθαι σύμβολα. μηδὲ γὰρ δεῖσθαι φάναι χειροθεσίας ἑτέρας, καὶ ὅσοι περὶ αὐτὴν κρότοι καὶ θρίαμβοι, πάλαι ταύτην εἰληφότα βεβαίως, εἰ καὶ λύπης ἕνεκα μεταξὺ ταύτην ἔδοξεν ἀποθέσθαι. τούτων οὕτω γενομένων ἄνεισιν ἑβδομαῖος ἐς τὸν πατριαρχικὸν Ἀθανάσιος θρόνον. (Δ.) Ἔτυχε δὲ τηνικαῦτα ἐπιδημῶν τῇ βασιλευούσῃ καὶ τῆς κατ' Αἴγυπτον Ἀλεξανδρείας ὁ πατριάρχης, σεμνὸς ἀνὴρ καὶ συνέσει λογισμῶν τὰ ἤθη κοσμῶν· ὡς ἐντεῦθεν πολλὴν τὴν αἰδῶ καὶ εὐμένειαν πρὸς τοῦ βασιλέως πορίζεσθαι. οὗτος ὁρῶν τὴν τοῦ βασιλέως περὶ τὸν πατριάρχην Ἀθανάσιον φλεγμαίνουσαν σχέσιν καὶ ἀκούων ἀεὶ διὰ θαύματος μεγάλων ἐπαίνων τὸ ἐκείνου τιθέμενον ὄνομα καὶ ἴσον τῷ θειοτάτῳ τὴν ἀρετὴν Χρυσοστόμῳ προθέσεσιν ὅλαις τῆς γνώμης τοῦτον ἀποφαινόμενον, μάλα τοι χαριέντως τῆς τοῦ βασιλέως καθήψατο γλώττης καὶ, οἷον εἰπεῖν, τῆς ἐν οὐ καιρῷ φιλοτιμίας οὑτωσί πως εἰπών· "1ἦν τις ἀνὴρ τὴν τέχνην



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

σκυτεὺς γαλῆν ἔχων τὸ χρῶμα λευκὴν, ἣ τῶν κατ' οἶκον μυῶν καθ' ἡμέραν ἐθήρευεν ἕνα. αὕτη λαθοῦσά ποτε κατὰ μέσην κρημνίζεται τὴν λε 1.217 κάνην, ἐν ᾗ τὸ τὰ σκύτη μελαῖνον ὁ σκυτεὺς ἐκεῖνος εἶχεν ὑγρὸν, καὶ μόλις ἐκεῖθεν ἄνεισι μέλαν ἔχουσα χρῶμα. ἔδοξεν οὖν τοῖς μυσὶν, ἐκείνην ἴσως μηκέτι κρεωφαγεῖν ἐθελήσειν εἰς μοναδικὸν ἑαυτὴν μεταμείψασαν σχῆμα. ὅθεν καὶ ἀδεῶς ἑαυτοὺς ἐς τὸ ἕδος ἐφήπλωσαν ῥινηλατοῦντες ἄνω καὶ κάτω οἷς τραφήσονται· ἀλλ' ἐκείνη πρὸς τοσοῦτον ἄγρας παρελθοῦσα θέατρον πάντας μὲν ὁμοῦ σαγηνεύειν οὐκ εἶχε καὶ μάλα ἐθέλουσα· δύο δ' οὖν ὅμως συλλαβοῦσα κατεθοινήσατο. οἱ δ' ἕτεροι πάντες ᾤχοντο φεύγοντές τε καὶ ἅμα θαυμάζοντες, ὅπως ἀπηνεστέρα γέγονεν, ἀφ' οὗ τὸ μοναδικὸν περιέθετο σχῆμα. δέδοικα τοίνυν,"2 φησὶ, "1μὴ καὶ Ἀθανάσιος οὗτος ἤδη τῶν προῤῥήσεων γέρας πατριαρχικὸν εἰληφὼς θρόνον ἀποκρύψῃ τὴν προτέραν ἐκείνην σκληρότητα τῇ τῆς ὑστέρας ὑπερβολῇ διὰ τὴν ἐντεῦθεν οἴησιν."2 β΄. Κατὰ μέντοι γε τούτους τοὺς χρόνους συνέπεσε πολεμεῖν ἀλλήλοις ἄμφω τοὺς ῥῆγας, Κάρουλόν τε τὸν τῆς Ἰταλίας καὶ Θευδέριχον τὸν τῆς Σικελίας. νῆσος δ' ἡ Σικελία μεγάλη καὶ πολυάνθρωπος, μιλίοις οὐ πλέον ἀπέχουσα τῆς ἠπείρου τριάκοντα, εἴ τις ἐθέλοι μετρεῖν τὸ ἀπὸ Σκυλλαίου τοῦ παραλίου τῆς Ἰταλίας ἄκρου μέχρι Μεσήνης τῆς πόλεως, παραλίου καὶ ταύτης οὔσης Σικελίας τῆς νήσου. ὁ μὲν οὖν Κάρουλος ποθῶν ἐκ πολλοῦ τὴν Σικελίαν ὑποχείριον θέσθαι καὶ διὰ μελέτης ποιούμενος τοῦτο μακρὰς λάθρα ἐναυπήγησε ναῦς καὶ τἄλλα παρεσκεύαζεν, ὡς 1.218 ἐνῆν, ὅσα πρός τε ναυμαχίαν καὶ πεζομαχίαν αὐτάρκη. ὀψὲ δὲ τῆς ἔχθρας ἐς προὖπτον ἀναῤῥαγείσης φοβερὸς ὁ Κάρουλος τὰ πρῶτα ἐδόκει τῷ Θευδερίχῳ ἀπαρασκεύῳ τυγχάνοντι καὶ πολὺς αὐτῷ ἐνέκειτο συχνὰ διαπεραιούμενος ἐς τὴν νῆσον ἐκ τῆς ἠπείρου, ὅσον τε πεζὸν καὶ ὅσον εἰς ἱππέας ἐξεταζόμενον ἦν, καὶ κακῶς τὰ ἐκείνου ποιῶν ἐπὶ δυσὶ τοῖς ἐνιαυτοῖς, χειμῶνος μὲν οἴκαδε ἐπανήκων, ἔαρος δ' ἀεὶ λαμπροτέρας τὰς ἐκστρατείας ποιούμενος. (Β.) Ξυνέπεσε δὲ τηνικαῦτα Λατῖνόν τινα, Ῥοντζέριον ὄνομα, στρατόπεδον ἀθροίσαντα ἔκ τε Ἰβηρίας τῆς κάτω καὶ Γαλατίας τῆς ἐπέκεινα καὶ δυτικωτέρας τῶν Ἄλπεων βάναυσόν τε καὶ μάχαις ἀεὶ διαποντίοις καὶ ἠπειρωτικαῖς χαῖρον τριήρεις οὐ μείους τεττάρων ἀπὸ τούτων πληρῶσαι· δι' ὧν δὴ καὶ τὸν πειρατικὸν ἀδεῶς μετῄει βίον, δεινότατος ἐν τούτῳ τῶν πώποτε γενόμενος. οὐ μόνον γὰρ ταῖς ἀπ' ἄρκτου καὶ νότου κατιούσαις καὶ ἀνιούσαις φορτίσι ναυσὶν ἐπετίθετο· ἀλλὰ παραπλέων καὶ περιπλέων κακῶς καὶ αὐτὰς ἤδη μεγάλας τῶν νήσων ἐτίθει καὶ φοβερὸς ἐδόκει τῇ κάτω θαλάττῃ. ἐπεὶ τοίνυν ἀπεκέκλειστο ἤδη πανταχόθεν ἡ Σικελία τῷ τε ναυτικῷ καὶ πεζῷ τοῦ Καρούλου στρατῷ καὶ εἰς τοῦθ' ἧκεν ἀνάγκης Θευδέριχος, ὡς ὑπερορίων δεῖσθαι συμμαχιῶν, μετακαλεῖται τὸν εἰρημένον Ῥοντζέριον, παραγγείλας αὐτῷ καὶ ἑτέρους ὅθεν δήποτε μεταπέμψασθαι κρατίστους, ὡς ἐς χιλίους ἱππέας, ἵν' ἐξ ἀντιπάλου γενναίως τε καὶ εὐρώστως διαμάχοιντο πρὸς τὸν ἀντικαθήμενον τοῦ Καρούλου στρατόν. ἐπεὶ δὲ ἧκεν ἐκεῖνος ἄγων χιλίους μὲν, ὅσον τὸ ἀπὸ 1.219 τοῦ ναυτικοῦ πεζοὺς, χιλίους δ' ὅσους ἐς ἱππέας κατέταξεν, εὐθὺς ὁπόσας Σικελικὰς πόλεις ὁ Κάρουλος εἷλέ τε καὶ δεδούλωτο, πᾶσαι καθάπερ ὀστράκου μεταπεσόντος ἐς Θευδέριχον ἐπανῆκον, οὐκ εἰωθυῖαι ἀλλοτρίῳ ζυγῷ προσταλαιπωρεῖσθαι. (Γ.) Ταῦτα ἀκούσας ὁ Κάρουλος λίαν ἠχθέσθη καὶ μαινομένῳ ἦν, ὡς εἰπεῖν, παραπλήσιος, ὅτι χρονίους ἐλπίδας ἐς πέρας ἐληλυθυίας ἤδη καὶ μονονουχὶ τῶν κόλπων ἐντὸς ὅλους ἀποφορτιζομένας καρποὺς ἐξαίφνης, ὡς εἰπεῖν, ἐν αὐτοῖς τοῖς λιμέσιν ἀνατραπείσας τεθέαται. ὅθεν ἔαρος τελευτῶντος ἧκε μετὰ βαρείας δυνάμεως. ἀλλὰ κραταιοτέρῳ ἤδη συμμίξας τῷ Θευδερίχῳ κατά τε πλῆθος καὶ ἀντίπαλον δύναμιν οὐχ ὡς ἤθελεν ἀπήλλαξε. τούτου μὲν οὖν ἐς τοῦτο τελευτήσαντος τοῦ ἐνιαυτοῦ ἅμα ἦρι πᾶσαν, ὡς εἰπεῖν, τὴν Ἰταλίαν διαβιβάζει ἐς Σικελίαν ὁ Κάρουλος, ἵνα τελευταία δὴ κρίσις αὕτη καὶ πέρας τῶν μακρῶν κατασταίη πολέμων. ἀλλὰ πολλῷ πλείους αὖθις ἀποβαλὼν ἡττημένος ἐπ' οἴκου



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀναχωρεῖ, πανήγυριν, ὡς εἰπεῖν, ἐπαγόμενος θλίψεων. ταῦτ' ἄρα καὶ ἐς τὸ ἄπορον πανταχόθεν τῇ γνώμῃ συνελαθεὶς περὶ σπονδῶν πρὸς Θευδέριχον ἤδη διαπρεσβεύεται καὶ τέκνων γαμικὰ συναλλάγματα. γʹ. Ἐπεὶ δ' οὕτω ταῦτα ἀλλήλοις ξυνέβησαν καὶ τὰ ὅπλα θέμενοι ἀστασίαστον ἦγον εἰρήνην οἱ ῥῆγες, σκοπεῖσθαι τοῖς τοῦ Θευδερίχου συμμάχοις ἐπῄει, ὅποι ποτὲ ἄρα τραπόμενοι τὴν κερδαίνουσαν εὕρωσιν. οὐ γὰρ ἦσαν αὐτοῖς οἰκίαι καὶ κτήσεις ἑστῶσαι, ἵνα τὴν ἐπάνοδον αὐτῶν ἐπισπεύδωσιν· ἀλλ' ἄλλοθεν ἄλλος καὶ 1.220 πολλοὶ πολλαχόθεν ἄσκευοι καὶ γυμνῆτες κέρδους ἕνεκα ληστρικοῦ συνδραμόντες πλανῆτα καὶ διαπόντιον ἔβοσκον βίον. ἔδοξεν οὖν τῷ τούτων ἄρχοντι Ῥοντζερίῳ διαπρεσβευσαμένῳ πρὸς βασιλέα Ἀνδρόνικον συμμαχήσειν ἐλθόντα οἱ κατὰ τῶν Τούρκων, εἴ γε βουλομένῳ αὐτῷ εἴη. καὶ μέντοι καὶ σφόδρα ἀσμένου τὴν πρεσβείαν προσδεξαμένου τοῦ βασιλέως, ἄρας ἐκεῖνος ἧκεν ἐκ Σικελίας ἐς δισχιλίους ἐπαγόμενος ἄνδρας· ὧν τοὺς μὲν χιλίους ὠνόμαζε Κατελάνους ὡς ἐκ τοιούτων τὰ πλεῖστα τὸ γένος κατάγοντας· τοὺς δ' ἑτέρους χιλίους Ἀμογαβάρους. οὕτω γὰρ ἡ Λατίνων φωνὴ τοὺς πεζοὺς ἐν πολέμοις καλεῖ, καὶ διὰ τοῦτο καὶ τούτους ἐν μοίρᾳ ταττομένους τοιαύτῃ τούτῳ καὶ οὗτος κέκληκε τῷ ὀνόματι. (Β.) Τοῦτον μὲν δὴ ἐλθόντα γαμβρὸν εὐθὺς ὁ βασιλεὺς ἐπὶ τῇ ἀδελφιδῇ ποιεῖται Μαρίᾳ, τῇ τοῦ Ἀσὰν θυγατρὶ, καὶ ἐς τὸ τοῦ μεγάλου δουκὸς ἀνάγει ἀξίωμα. ἐπεὶ δὲ μετὰ μικρὸν ἧκε καὶ ἕτερος Κατελάνος, ὄνομα Πιριγκέριος Τέντζας, προσκαλεσαμένου τοῦ Ῥοντζερίου, αὐτῷ μὲν δὴ Ῥοντζερίῳ τὸ τοῦ Καίσαρος ὁ βασιλεὺς περιτίθησιν ἀξίωμα· τῷ δὲ Πιριγκερίῳ Τέντζᾳ τὸ τοῦ μεγάλου δουκός. ἡ μέντοι τῶν χρημάτων δαπάνη, ὁπόση περὶ τὰ ἐκείνων ἐνδύματα καὶ τὰς δωρεὰς καὶ τὰ ἐπέτεια δεδαπάνηται σιτηρέσια, ἐς τοσοῦτον ἀνῆλθεν πλεονεξίας, ὥστ' ἐν βραχεῖ τὸ βασιλικὸν ἐξεκένωσε ταμιεῖον. ἐπεὶ δ' οὕτω ταῦτα, καὶ ἔδει διαβάντας ἐς τὴν Ἀσίαν πολεμεῖν τοῖς ἐχθροῖς, τί χρὴ καὶ λέγειν ὁπόσα εἰργάσαντο παριόντες δεινὰ κατὰ τῶν ἐν 1.221 τοῖς περὶ τὴν Ἀσίαν καταφυγόντων πολιχνίοις Ῥωμαίων; ἀνδράσι μὲν γὰρ καὶ γυναιξὶν οὐδὲν ἄμεινον, ἢ ὡς ἀνδραπόδοις ἐχρήσαντο· τοῖς δ' ὑπάρχουσιν ἅπασιν ὡς οἰκείοις ἀδεῶς κατεχρήσαντο καὶ ἀπέλαυον ὥσπερ εἰκὸς πολλῶν τῶν ἐνοδίων ἀρῶν ἐκ μέσης ψυχῆς καὶ μετὰ πάνυ πολλῶν τῶν δακρύων ταύτας καταχεόντων τῶν ταλαιπώρων ἐκείνων, οὓς ἠδίκουν. καὶ ταῦτα μὲν δὴ τὸν πρῶτον ἐπράχθη ἐνιαυτόν. (Γ.) Τοῦ δ' ἐπιόντος ἔαρος ἀπῄεσαν ἐξελάσοντες τοὺς πολιορκοῦντας τὴν Φιλαδέλφειαν πολεμίους. διπλοῖς γὰρ ἐπολεμοῦντο δεινοῖς οἱ τὴν Φιλαδέλφειαν κατοικοῦντες· ἔξωθεν μὲν τοῖς χρονίως ἤδη περικαθημένοις ἐχθροῖς· ἔσωθεν δὲ πολλῷ χείρονι πολεμίῳ, τῇ τῶν ἀναγκαίων ἐνδείᾳ καὶ τῷ λιμῷ. καὶ τοῦτο μὲν τοὖργον κάλλιστά τε καὶ ἀνδρικώτατα κατεπράξαντο τῆς ἄνωθεν δεξιᾶς συνεργούσης διὰ τὸ τῆς ἀρετῆς μέγεθος τοῦ τῆς πόλεως ἱερῶς προεδρεύοντος θείου ἀνδρὸς Θεολήπτου. ἰδόντες γὰρ οἱ πολέμιοι τὴν τῶν Λατίνων εὔτακτον κίνησιν καὶ τὴν τῶν ὅπλων λαμπρότητα καὶ τὸ ἄτρεπτον τῆς ὁρμῆς συσχεθέντες τοῖς φόβοις ᾤχοντο φεύγοντες· οὐ μόνον τῆς πόλεως ὡς πορρωτάτω σφᾶς αὐτοὺς ἀπάγοντες, ἀλλὰ μικροῦ καὶ τῶν πάλαι Ῥωμαϊκῶν ὁρίων αὐτῶν. τοσοῦτος γὰρ καὶ τοιοῦτος ἐκεῖνος ἐτύγχανεν ὁ στρατὸς, καὶ οὕτως ἄριστα συγκεκροτημένος ἔκ τε τῶν ὅπλων ἔκ τε τῆς κατὰ πόλεμον ἐμπειρίας ἔκ τε τοῦ πλήθους (συνεστράτευον γὰρ ἐκεῖ τοῖς Λατίνοις οὐ μόνον οἱ τῶν Ῥωμαίων ἐπίλεκτοι, ἀλλὰ καὶ τὸ ἐκ τῶν Ἀλανῶν ὁπόσον ἐτύγχανε στράτευμα) τοσαύτην γοῦν ἐποίει διὰ ταῦτα τοῖς πολεμίοις τὴν ἔκπληξιν, 1.222 ὥστε πολλοί τινες ἔφασαν τότε, ὡς, εἰ μὴ τούτους διὰ δειλίαν τινὰ πρόσω ἰέναι κεκώλυκε τὰ τοῦ βασιλέως προστάγματα, οὐδὲν ἂν ἦν τὸ κωλύον ὅλας ἐν βραχεῖ τῶν Ῥωμαίων ὁπόσαι πόλεις καὶ χῶραι ὑπῆρχον καθαρὰς πολεμίων παραδοῦναι τῷ βασιλεῖ. ἀλλὰ ταῦτα μὲν ἦσαν φθεγγόμενοι πρὸς μόνα τὰ παρόντα βλέποντες ἄνθρωποι καὶ μηδὲν τῶν παρόντων ὑπέρτερον ξυνιέναι δυνάμενοι. κρίσις γὰρ ὡς ἀληθῶς ἦν ταῦτα θεοῦ πάλαι κυρωθεῖσα, πρὸς ἐσχατιὰς καταβῆναι


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

δυστυχημάτων τὰ Ῥωμαίων πράγματα. καὶ διὰ τοῦτο λόγοις ἀποῤῥήτοις τῆς προνοίας τῶν μὲν ὠφελούντων πλεῖστα ἐδόκουν τὰ ἐμποδὼν, τῶν δὲ βλαπτόντων πολύχους ἡ συνδρομή. ἀλλὰ τοῦτο μὲν τοὖργον ἅμα ἦρι τελευτῶντι ῥαδίως κατεπράξαντο. (Δ.) Ἐπεὶ δὲ πρόσω ἰέναι ἄπορόν σφισιν ἦν παραπομποὺς οὐκ ἔχουσιν, οἳ τὸ σκοτεινὸν καὶ ἀτριβὲς τῆς ὁδοῦ διαλευκανοῦσι καὶ εὔοδον θήσονται τούτοις (οὐ γὰρ ἄνευ πλείστων νεκρῶν ἑώρων γενησομένην τὴν ὑπερόριον ἐκστρατείαν βουληθεῖσιν ἐκείνοις ἄνευ παραπομπῶν ἀπιέναι), τόδ' ἀμαθῶς οὑτωσὶ μεγάλους ἀναῤῥίπτειν κινδύνους πρὸς τοῦ Ῥοντζερίου οὐκ ἦν, πολλοὺς ἀνατλάντος πολέμους καὶ πολλὴν ἐντεῦθεν ξυνειλοχότος τὴν πεῖραν· ἀναστρέψαντες διελύθησαν κατὰ γένος, Ῥωμαῖοι μὲν οἴκαδε ἀπιόντες Ἀλανοί τε ὁμοίως· Λατῖνοι δὲ τῷ Ῥοντζερίῳ ἑπόμενοι Καίσαρι περιῄεσαν τὰς ἐναπολελειμμένας τοῖς ἀθλίοις Ῥωμαίοις πόλεις καὶ κάκιστα διετίθεσαν τὴν πολεμίαν ὁρμὴν ἐπὶ τοὺς καλέσαντας τρέψαντες· πρόφασιν λέγοντες, ὅτι τὴν παρὰ τοῦ βασιλικοῦ πρυτανείου ταχθεῖσαν ἐπέτειον δαπάνην οὐκ ἐκομίζοντο, καὶ εἶναι 1.223 ἀνάγκην, πρὶν ἐπινεμηθῆναι σφᾶς τὸν λιμὸν, ἐπινεμηθῆναι σφᾶς τοὺς καλέσαντας μὲν, μὴ πληροῦντας δὲ τὰ ὑπεσχημένα. ἦν οὖν ἰδεῖν οὐ μόνον τὰς οὐσίας ἄρδην τῶν ταλαιπώρων ἁρπαζομένας Ῥωμαίων, κόρας τε καὶ γυναῖκας ὑβριζομένας, πρεσβύτας τε καὶ ἱερέας ἀγομένους δεσμίους καὶ τάς τε ἄλλας ὑπομένοντας τιμωρίας, ὁπόσας ἡ τῶν Λατίνων δυσμενεστάτη χεὶρ ἀεὶ καινοτέρας ἐφεύρισκε κατὰ τῶν ἀθλίων· ἀλλὰ καὶ συχνὰ γυμνὸν ὁρῶντας τὸν πέλεκυν κατὰ τοῦ τραχήλου, ὡς αὐτίκα τεθνηξομένους, εἰ μὴ θησαυροὺς ὁμολογοῖεν χρημάτων. καὶ οἱ μὲν ἐκτιθέμενοι πάντα ὑπέρου γυμνότεροι ἀπηλλάττοντο· οἱ δὲ μὴ ἔχοντες, ὅτου ἐξωνήσονται ἑαυτοὺς, τῶν ἀκρωτηρίων τοῦ σώματος ἄλλοι ἄλλα ἀφαιρούμενοι θέαμα ἐλεεινὸν παρὰ τὰς ὁδοὺς ἐξετίθεντο, εἴ τις ἄρτου τεμάχιον ἢ ὀβολὸν παράσχοι ζητοῦντες· ὡς ἐπ' οὐδενί τινι τῶν πάντων ἑτέρῳ τῶν ἀφορμῶν τοῦ ζῆν καταλειπομένων, ἢ ἐπὶ τῇ γλώττῃ καὶ ταῖς τῶν δακρύων πηγαῖς. (Ε.) Ταῦτα πυνθανομένῳ τῷ βασιλεῖ οὔθ' ὅλως ἀνεκτὰ εἶναι ἐδόκει τήν τε Ῥωμαίων γῆν πολλῷ πλέον ἢ κατὰ πολεμίους λυμαινόμενα καὶ ἅμα θεὸν παροξύνοντα κατὰ τῶν ἐξ ἀλλοδαπῆς προσκαλεσαμένων αὐτούς· οὔτ' ἄλλως εὔπορον ἦν τῆς ἀδικίας τίσασθαι αὐτοὺς, ἐνδείας μακρᾶς τὰ βασιλικὰ καταγελώσης στρατόπεδα. ἐν στενῷ τοίνυν ὄντος αὐτοῦ καὶ μηχανῆς δεομένου τινὸς βοηθούσης διαβαίνει πρὸς Θρᾴκην ὁ Καῖσαρ Ῥοντζέριος τὸν Λατινικὸν ἐπαγόμενος πάντα στρατόν. οὐ γὰρ ἐλέλειπτο ἔτι τοῖς ἐν Ἀσίᾳ Ῥωμαί 1.224 οις οὔτε χρήματα, οὔθ' ὅσα τρέφει δημίων γαστέρας. ἔδοξε μέντοι τοὺς μὲν ἄλλους ἐς τὸ τῆς Καλλιουπόλεως καταλιπόντα φρούριον αὐτὸν ἀπολεξάμενον διακοσίους παρὰ τὸν βασιλέα ἐληλυθέναι Μιχαὴλ ἐν Ὀρεστιάδι διάγοντα τότε τῇ Θρᾳκικῇ μετὰ τοῦ στρατοῦ, ἀπαιτήσοντά τε τὴν ἀποτεταγμένην αὐτοῖς ἐτησίαν πρόσοδον καὶ ἀπειλὰς εἰ δέοι προσθήσοντα. οὗ γενομένου καὶ ἐς πυρσὸν ἀναφθέντος, ὃν καὶ πρότερον ὤδινε θυμὸν ὁ βασιλεὺς κατ' αὐτοῦ, ξιφήρεις αὐτὸν περιστάντες συχνοὶ τῶν στρατιωτῶν αὐτοῦ παρὰ τὰ βασίλεια κατακόπτουσι καὶ ἅμα αὐτῷ τινας τῶν περὶ αὐτόν. οἱ γὰρ πλείους ἔλαθον διαδράντες τὸν κίνδυνον· οἳ δὴ καὶ δρόμῳ συντονωτέρῳ χρησάμενοι ἔφθασαν ἀπαγγέλλοντες τὰ πραχθέντα καὶ τοῖς ἐν Καλλιουπόλει Λατίνοις. δʹ. Τοῖς μὲν οὖν στρατιώταις ἔδοξε τοῦτο πεποιηκόσι θραῦσαί τε τῶν Λατίνων τὸ φρόνημα καὶ τὸν τῆς τόλμης ὄγκον ἐς τὸ μετριώτερον ἀπαλλάξαντας σφᾶς ὅσα καὶ δούλους ὑπείκειν Ῥωμαίοις αὐταῖς χερσὶ καὶ αὐταῖς γνώμαις παρασκευάσαι καὶ δυοῖν θάτερον ὁμονοήσαντας ἑλέσθαι, ἢ δουλεύειν Ῥωμαίοις ἑκόντας, ἢ τὴν ἀγαγοῦσαν ἄκοντας ἐπανιέναι. (Β.) Ἀλλὰ τὸ ταῦτα λογίζεσθαι διανοίας ἐστὶ χαμερποῦς καὶ ἣν αἱ χεῖρες τῆς φύσεως ἐς ὕλης ἀχλυώδους ἀπολαβοῦσαι πυθμένας κατήνεγκαν, ὡς μηδ' ἐννοεῖν ἔχειν, ὅτι λόγοι προνοίας τὰ πραττόμενα περιτρέχουσιν ἑκάστου τέλους ἔχοντες ἐνέχυρα προκαταβληθείσας


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

αἰτίας, ἃς ἡμεῖς μὲν ἑκόντες ἐπιλανθανόμεθα, τὸ ἐκεῖθεν ἀηδὲς ὑπὸ φιλαυ 1.225 τίας ἐκκλίνοντες· ἡ δὲ δίκη τῷ γραμματείῳ ἑαυτῆς ἐγχαράξασα θέρους καὶ ἅλωνος εἰπεῖν περιμένει καιρὸν, ἵν' ἐπάξια τῶν σπερμάτων ἀποδῷ τοῖς πράξασι τὰ γεώργια. ἦ γὰρ ἂν ἐξ αὐτῶν ἐδιδάσκετο τῶν πραγμάτων ἄνθρωπος, ὡς ὅσα μὴ συναιρομένην ἔχει τὴν ἄνωθεν δεξιὰν, τούτοις καὶ γῆ καὶ θάλασσα μάχεται καὶ ἀὴρ, ὥσπερ τινὶ δραπέτῃ θεοῦ καὶ τῆς δίκης ἀλάστορι δραστηρίως ἐπιτιθέμενα· καὶ διδασκόμενος ὅστις ποτὲ εἴη, ἑαυτῷ ἂν παρῄνει μὴ ἀντιπαλαμᾶσθαι πρὸς τὴν ἄνωθεν κυρωθεῖσαν ψῆφον, ὁποία ποτ' ἂν ᾖ, μηδὲ βίαιον πράττειν μηδὲν, ἀλλὰ μένοντα κατὰ χώραν ἡσυχῇ διαπεττεύειν τὸν χρόνον καὶ στέργειν μᾶλλον τὴν σύνδρομον τοῦ φέροντος ἀγωγὴν, καὶ εἰ μὴ κατὰ γνώμην φέροιτο, ἢ τὴν ἀντίδρομον. πολλῷ γὰρ δήπου βέλτιον ἀπρακτοῦντα τῷ φέροντι συμφέρεσθαι, ἢ πράττοντά τι καθάπερ ὕλην χορηγεῖν τῇ καθ' ἑαυτοῦ φορᾷ τοῦ καιροῦ. ὅμοιον γὰρ ἂν εἴη τουτὶ, ὥσπερ ἂν εἴ τις πυρὸς ὁρμὴν δεδιὼς ἔτι τὰ κύκλῳ περιθέουσαν τῆς οἰκίας, ὅδ' ἀντὶ τοῦ πάσῃ χρῆσθαι μηχανῇ ἢ τῆς πρόσω συστέλλειν ὁρμῆς ἢ παύειν τελέως, φρυγάνων ἐπετίθει φακέλλους καὶ ἔλαιον ἐνέχει πολύ· ἢ ὥσπερ ἂν εἴ τις ἀπαρκτίου σφοδροῦ καταῤῥέοντος ἄνωθεν καὶ δεινὰ πρὸς τὸ κάταντες ἐπαντλοῦντος ἄλλα ἐπ' ἄλλοις τὰ κύματα, ὅδ' ἀκατίῳ τινὶ πρὸς ἀνάῤῥουν ἐθελοντὴς ἐπεχείρει ποιεῖσθαι τὸν πλοῦν. εἶναι γὰρ τουτὶ τῶν οὐ πάνυ τοι μειδιῶσαν ὁμοῦ καὶ φιλάνθρωπον τὴν ὄψιν παρεχομένων τοῖς βουλομένοις, 1.226 ἀλλὰ τούτων ἓν ὁπόσα πολέμιον ἀνατείνει χεῖρα κἀκ τοῦ σύνεγγυς μακρὸν ἐπιφέρει τὸν ὄλεθρον. (Γ.) Μαρτύρια δέ μοι τῶν λεγομένων, εἰ μή τι πλέον ἔχοιμεν ἐν τῷ νῦν εἶναι μεμνῆσθαι, ἀλλ' οὖν τά γε ἐν τούτοις τοῖς χρόνοις συμβάντα. οὐδενὸς γὰρ ἐλλείψασι Ῥωμαίοις ὧν ἔδει δρᾷν πρὸς κατόρθωσιν πάντα ἐπῄει τἀναντιώτατα. οἱ μὲν γὰρ Ῥωμαίων στρατηγοὶ δι' ἃ μὴ θέμις ἐν ὑποψίᾳ γινόμενοι, οἱ μὲν ἐν δεσμοῖς ἐγίγνοντο, οἱ δὲ πόῤῥω τῆς βασιλικῆς ἵσταντο εὐμενείας. ὅθεν ἀλλοφύλου συμμαχίας ἐλθούσης πρῶτα μὲν τῆς τῶν Μασσαγετῶν, ἔπειτα τῆς τῶν Λατίνων, πολλαπλασίονα συνεπεπτώκει Ῥωμαίοις γενέσθαι τὸν ὄλεθρον ἐξ αὐτῶν, ἢ τῶν ἐκ τοῦ προφανοῦς ἐχθρῶν. ὧν ὡς ἐκ πολλῶν μέτρια καὶ ἡμεῖς ἔφθημεν εἰρηκότες, ἃ δὴ σαφοῦς ἂν εἴη θεομηνίας δείγματα, εἴ τις ὀρθῶς καὶ πάθους ἐκτὸς ἐθέλοι σκοπεῖν, καὶ παιδεία μετρία οὐ μετρίων πλημμελημάτων. τούτων ἐναργέστερον δεῖγμα καὶ ὁ τοῦ Ῥοντζερίου Καίσαρος ἐγεγόνει θάνατος. τὸν γὰρ ἐκ τῆς προσκλήσεως μετάμελον θεραπεύειν Ῥωμαῖοι βουλόμενοι τὸν τούτου κατεπράξαντο θάνατον, ἀπαλλαγὴν εἶναι τοῦτον πονηρῶν πραγμάτων νομίσαντες. ὁ δ' ἀρχηγὸς παρὰ πᾶσαν ἐλπίδα μειζόνων ἐγεγόνει καὶ μάλα χειρόνων πραγμάτων, ὡς προϊόντες ἐροῦμεν· οὕτω τῆς θείας οὐ συμμαχούσης προνοίας τοῖς τῶν ἀνθρώπων βουλεύμασί τε καὶ πράγμασι πονηρὸν αὐτοῖς ἀπαντᾷ τὸ τέλος καὶ σφόδρα τοι ἐναντιώτατον. οὔτε γὰρ βουληφόρος ὁ βουληφόρος, οὔτ' ἀνδρεῖος ὁ ἀνδρεῖος· ἀλλὰ 1.227 τά τε σοφὰ βουλεύματα πρὸς ἄσοφον τελευτῶσι πέρας καὶ τὰ γενναῖα καὶ ἀνδρικώτατα πράγματα ἄνανδρόν τε καὶ μάλα αἰσχρὰν τὴν ἧτταν καρποῦνται. ἀλλ' ἐπανιτέον ὅθεν εἰς ταῦτα ἐξέβημεν. (Δ.) Πυθόμενοι γὰρ οἱ κατὰ τὴν Καλλιούπολιν Λατῖνοι τὸν τοῦ Καίσαρος φόνον πρῶτον μὲν πάντας τε ὁπόσοι Ῥωμαίων ἐς Καλλιούπολιν ᾤκουν κατέσφαξαν ἡβηδόν· καὶ τὰ τείχη λαμπρῶς ὀχυρώσαντες κράτιστον εἶχον ὁρμητήριόν τε καὶ φρούριον. εἰς διττὰς δὲ μοίρας ἔπειτα διαμερισάμενοι τὰ οἰκεῖα στρατεύματα τῶν μὲν τὰς ἑαυτῶν ἐπλήρωσαν τριήρεις, ὀκτὼ τὰς πάσας οὔσας, καὶ ναύαρχον ταύταις ἐπέστησαν τὸν Πιριγκέριον Τέντζαν, ἵνα κατὰ τὸν Ἑλλησποντίαν ναυλοχοῦσι πορθμὸν αἱ τῶν Ῥωμαίων ὁλκάδες ἀνιοῦσαι καὶ κατιοῦσαι ἁλίσκωνται. οἱ δ' ἕτεροι τὴν ἑαυτῶν πανοπλίαν ἀναλαβόντες ἐπὶ λείαν καὶ ὄλεθρον τῆς ἄλλης ἐξῄεσαν Θρᾴκης καὶ κακῶς αὐτὴν διετίθουν νύκτωρ καὶ μεθ' ἡμέραν ἐπιπορευόμενοι. ἀλλὰ τῷ μὲν Πιριγκερίῳ Τέντζᾳ μετὰ τοῦ ναυτικοῦ παντὸς οὐ μακρῶν ἐδέησε τῶν καιρῶν τῇ προνοίᾳ εὐκαιρίαν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐπιτηδεῦσαι θανάτου. ἀναγομέναις γὰρ ἐκ Γεννούας μετὰ βραχὺ τριήρεσι δέκα ἓξ λαμπρῶς ὡπλισμέναις διὰ τὰς τῶν πειρατῶν ἀκοὰς ἀγνοίᾳ συνεισπεσόντες αὐτοὶ, οἱ μὲν αὐτῶν ἔργον ἐγένοντο θαλάττης, οἱ δὲ ξίφους· ὁ δὲ ναύαρχος Πιριγκέριος ζωγρεῖται σὺν ἅμα συχνοῖς τῶν ἀμφ' αὐτῷ καὶ τοῖς ὁμοφύλοις πιπράσκεται. (Ε.) Ἀλλὰ γὰρ οὕτω γυμνωθέντες ἐξαίφνης οἱ Κατελάνοι θαλάττης τε ἅμα καὶ μεγάλης μοίρας στρατοῦ ἐπὶ συχνὰς τὰς ἡμέρας ἔμειναν κατὰ χώραν ὑπεπτηχότες τὸ τοῦ μέλλοντος ἄδηλον· ἀτολμότεροί 1.228 τε ἐγένοντο καὶ μάλα ταῖς γνώμαις περιδεεῖς. ὑπέτρεχε γὰρ αὐτῶν τὰς διανοίας καὶ οὐ μετρίως ἐσπάραττε τό,τε τῶν Μασσαγετῶν δέος, ὅτι κατὰ τὴν Ἀσίαν αὐτοῖς συστρατεύοντες ἐξεπολεμώθησάν τε κατ' αὐτῶν ἐπὶ μικραῖς τισι ταῖς αἰτίαις καὶ συχνοὺς αὐτῶν πεφονεύκασι· τούς τε αὖ τῶν Θρᾳκῶν στρατιώτας ἀλλὰ καὶ αὐτοὺς οὐ μικρῶς ἐδεδίεσαν. τάς τε γὰρ χώρας αὐτῶν χθὲς καὶ πρώην συχνὰ παρεξιόντες ἐδῄουν καὶ τὰς οἰκίας ἀδεῶς ἐνεπίμπρασαν· καὶ οὐδεμίαν οὐδέσι φιλανθρωπίας κατέλιπον πρόφασιν, ὥστε βουληθεῖσι σπείσασθαι τῷ βασιλεῖ κείσεσθαί σφισι τὸ πρᾶγμα κινδύνων ἐκτός. καὶ τό γε τῶν φόβων ἔσχατόν σφισιν ὑπῆρχεν, ὅτι καὶ τὸν βασιλέα Μιχαὴλ ὄντα ἐπίδοξον ἤκουον ἥκειν ἐπ' αὐτοὺς σὺν πολλῷ τῷ στρατῷ. ὅθεν βαθεῖαν περὶ τὸ φρούριον τάφρον ἐλάσαντες καὶ χάρακα κύκλῳ βαλλόμενοι πρὸς πολιορκίαν παρεσκευάζοντο, πολλὰ πρότερον ἐκ τῆς λείας ἐνθέμενοι τὰ χορτάσματα. ἐπεὶ δ' ὅ,τε χρόνος ἐτρίβετο καὶ ἡ προσδοκωμένη τοῦ βασιλέως ἔφοδος οὐ παρῆν, ἐπ' ἄλλας ἐτρέποντο σκεμμάτων ὁδούς. ἀλλὰ γὰρ οὕτω τοῖς Κατελάνοις τῶν πραγμάτων συνελαθέντων οὐκ ἦν ἐπ' ἀλλοδαπῆς διάγειν φόβων ἐκτός· ἀλλ' ὑποψίαι κινδύνων πολύτροποι πανταχόθεν ἔθραυον σφᾶς. ὅθεν εἰς ἀνάγκας τοιαύτας ἐληλυθότες ἐπινοοῦσι πρᾶγμα κακομήχανον καὶ πολὺν κατὰ τῶν Ῥωμαίων ὠδῖνον τὸν ὄλεθρον. καὶ δὴ διαπρεσβεύονται περὶ συμμαχίας πρὸς τοὺς ἀντιπέρας οἰκοῦντας τῶν Τούρκων καὶ λαμβάνουσι τότε μὲν πεντακοσίους ὁπλίτας τρισχίλιοι ὄντες αὐτοί· μετ' οὐ πολὺ δὲ καὶ 1.229 ἑτέρους οὐκ ὀλίγους αὐτομόλους ἰόντας· σὺν οἷς ἐξιόντες συχνὰ τὴν ὅμορον χώραν ἐδῄουν καὶ πάσας ἀγέλας συνήθροιζον ἵππων τε καὶ βοῶν καὶ ποιμνίων ἅμα τοῖς ἔχουσιν. ἐπεὶ δ' ἐπιπλέον φέρειν οὐκ ἦν οὔτε Ῥωμαίοις, οὔτε τοῖς βασιλεῦσι Ῥωμαίων, πολέμου συγκρότησις οἰκονομεῖται παρ' ἀμφοτέρων. (΄.) Τῶν οὖν Κατελάνων ἅμα τοῖς Τούρκοις δυοῖν μεταξὺ πολιχνίων τὰς διατριβὰς τηνικαῦτα ποιουμένων, Κυψέλλων καὶ Ἄπρων φημὶ, ἀναλαβὼν ὁ βασιλεὺς Μιχαὴλ τὰς Θρᾳκικάς τε καὶ Μακεδονικὰς δυνάμεις καὶ ξύν γε αὐταῖς τάς τε Μασσαγετῶν καὶ ὅσαι τῶν Τουρκοπούλων φάλαγγες ἦσαν, κατεστρατοπέδευσε πρὸς τὸ περὶ τοὺς Ἄπρους πεδίον. χίλιοι δ' ἦσαν οἱ Τουρκόπουλοι οὗτοι, οἱ τῷ Σουλτὰν Ἀζατίνῃ πρὸς Ῥωμαίους, ὡς εἰρήκειμεν, ἠκολούθησαν μὲν αὐτομολήσαντι, ἀπαχθέντι δ' ἐκεῖθεν μετὰ τῶν Εὐρωπαίων Σκυθῶν, ὡς δεδήλωται, οὔτε συναπήχθησαν καὶ τὴν Ῥωμαίων ἀσπασάμενοι συνδιαίτησιν καὶ τὸ ἱερὸν μετὰ τῆς εὐσεβείας εἵλοντο βάπτισμα· καὶ ἦσαν τοῦ λοιποῦ τῇ Ῥωμαίων ἐξεταζόμενοι καὶ αὐτοὶ στρατιᾷ. ἐπεί γε μὴν οὐ πάνυ πολλῶν παρελθουσῶν ἡμερῶν ἧκόν τινες τῶν σκοπῶν ἀπαγγέλλοντες ἥκειν τοὺς πολεμίους, ἀναστὰς ὁ βασιλεὺς τόν τε στρατὸν ὁπλίζεσθαι καὶ τοὺς στρατηγοὺς καὶ ἡγεμόνας παρατάττεσθαι καὶ παρατάττειν ἐκέλευε πρὸς τὸν πόλεμον τούς τε λοχαγοὺς καὶ τὰς φάλαγγας. τοὺς μέντοι πολεμίους τριπλῆν πεποιηκότας ἰδόντες τὴν τάξιν τριπλῆν καὶ αὐτοὶ πρὸς ὁμοίαν ἀντιπαράταξιν τὴν ἑαυτῶν πεποιήκεσαν. καὶ τὸ μὲν εὐώνυμον κέρας οἱ Τουρκόπουλοι μετὰ 1.230 τῶν Μασσαγετῶν ἐκληρώσαντο· τὸ δεξιὸν δ' οἱ τῶν Μακεδονικῶν τε καὶ Θρᾳκικῶν ἱππέων ἐπίλεκτοι· τὸ δὲ μέσον οἱ πλεῖστοι καὶ λοιποὶ μετὰ τοῦ πεζοῦ. ὁ δὲ βασιλεὺς περιϊὼν τὰς τάξεις ἐπεθάῤῥυνε πρὸς ὁρμὴν ἀνδρικήν. (Ζ.) Ἅμα δ' ἡλίῳ καὶ οἱ πολέμιοι προσελάσαντες μετωπηδὸν ἔστησαν ἑαυτοὺς, ἔχοντες μὲν ἐφ' ἑκάτερα τῶν κεράτων τοὺς Τούρκους· τὰς δὲ τῶν Κατελάνων ὁπλιτικὰς φάλαγγας μέσας διὰ τὸ βάρος. οἱ μὲν δὴ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Μασσαγέται καὶ πάλαι ἀποστασίαν ὠδίνοντες διὰ τὸ μὴ πάνυ τοῖς Ῥωμαίων ἀρέσκεσθαι ἤθεσιν, ἤδη δὲ καὶ λαθραίας προσκλήσεις δεξάμενοι παρὰ τῶν Εὐρωπαίων Σκυθῶν, ἐξαίφνης ἐπὶ τοῦ πολέμου τὸν δόλον ἐξέφηναν. ἄρτι γὰρ τῆς συμβολῆς τῶν στρατευμάτων ἑκατέρωθεν σημανθείσης εὐθὺς ἐνέκλιναν οὗτοι καὶ παρὰ
μέρος ἔστησαν, μήτε Ῥωμαίοις βοηθοῦντες, μήτε τοῖς πολεμίοις μαχόμενοι. τὸ δ' αὐτὸ καὶ οἱ Τουρκόπουλοι πεποιήκεσαν, εἴτε συγκείμενον ὂν ἀμφοτέροις τὸ πονηρὸν τουτὶ δρᾶμα, εἴτε τοῦ καιροῦ σχεδιάσαντος οὑτωσί πως. ὃ δὴ καὶ τὰ ἔσχατα ἔσφηλε τοὺς Ῥωμαίους ἐν ἀκμῇ τοῦ πολέμου καὶ ὅλον τῆς τύχης τὸν κλῆρον ἐνεχείρισε φέρον ἀπόνως τοῖς πολεμίοις. ἀπροσδόκητον γὰρ οὑτωσὶ τὸ τοσοῦτον δεινὸν ἐπελθὸν τῷ στρατῷ τοσαύτην ταῖς τούτων ψυχαῖς ἐνέσπειρε τὴν δειλίαν καὶ τοσοῦτον ἐπήνεγκε θόρυβον καὶ τῶν τάξεων σύγχυσιν, ὅσην ἂν ἐπενέγκῃ καὶ βαρὺς ἐπιβρίσας ἀπαρκτίας κατὰ φορτίδος ἐπὶ μεγάλου πλεούσης πελάγους καὶ τούς τε κάλως καὶ τὰ ἱστία συντρίψας τελευταῖον καταδῦναι καὶ αὐτὴν ἐς βυθοὺς καὶ πυθμένας βιάσηται. (Η.) Ὁ μέντοι βασι 1.231 λεὺς οὑτωσὶ ταραττομένας τὰς τάξεις ἐξαίφνης ἰδὼν καὶ πρὸς φυγὴν τὸ πλεῖστον ὁρώσας σπουδῇ περιθέων ἡγεμόνας καὶ στρατηγοὺς καὶ λοχαγοὺς ἐπεβοᾶτο σὺν δάκρυσιν ἐξ ὀνόματος, στῆναι παρακαλῶν καὶ μὴ προῖκα τοῖς πολεμίοις οὑτωσὶ προδιδόναι Ῥωμαίων τὴν τύχην. οἱ δὲ μικρὰ τῶν λεγομένων φροντίζοντες ᾤχοντο φεύγοντες ἀμεταστρεπτί. ἀλλὰ γὰρ ἐς τοσαύτην κεχωρηκότα τὴν ἀπόγνωσιν τὰ πράγματα βλέπων ὁ βασιλεὺς καὶ τοῦ πεζοῦ τὸ πλεῖστον ἀφειδῶς ὑπὸ τῶν πολεμίων κατακοπτόμενόν τε καὶ συμπατούμενον, ἔγνω καιρὸν ἔχειν ὑπὲρ τῶν ὑπηκόων ἀφειδεῖν ἑαυτοῦ καὶ κίνδυνον ἀναδέχεσθαι προφανῆ, κατήγορον ἐσόμενον τῆς τῶν στρατευμάτων ἀγνωμοσύνης. καὶ μὲν δὴ καὶ εἰς τοὺς ἀμφ' αὐτὸν συστραφεὶς (λίαν δ' ἦσαν οὗτοι βραχεῖς) "1νῦν ἄνδρες,"2 ἔφη, "1καιρὸς, ὅτε βελτίων ὁ θάνατος γίνεται τῆς ζωῆς, τὸ δὲ ζῆν τοῦ θανεῖν πικρότερον."2 ταῦτα εἰπὼν καὶ τὴν θείαν ἐπικαλεσάμενος συμμαχίαν ἅμα αὐτοῖς ἐμβάλλει κατὰ τῶν πολεμίων καὶ φονεύει μὲν ἔστιν οὓς τῶν προβόλων, διαῤῥήγνυσι δὲ τὴν φάλαγγα, θόρυβον δ' οὐ μικρὸν ἐμποιεῖ τῷ στρατοπέδῳ τῶν πολεμίων. πολλοῖς γε μὴν καὶ αὐτὸς περιπαρεὶς ἅμα τῷ ἵππῳ τοῖς βέλεσιν, αὐτὸς μὲν ἄτρωτος ἔμεινε· τοῦ δ' ἵππου πεσόντος αὐτὸς ἐκινδύνευσε κυκλωθῆναι παρὰ τῶν πολεμίων. καὶ τάχ' ἂν ἐς τοσοῦτο κακοῦ τὸ πρᾶγμα προὐχώρει, εἰ μή τις τῶν ἅμα αὐτῷ τὴν βασιλέως ζωὴν τῆς ἑαυτοῦ ἀλλαττόμενος ὑπ' εὐνοίας αὐτῷ μὲν βασιλεῖ τὸν ἑαυτοῦ δίδωσιν ἵππον, δι' οὗ καὶ σέσωσται διαδρὰς τὸν ἐπικρεμασθέντα κίνδυνον· ὁ δ' ἀποβὰς συμπατεῖται 1.232 παρὰ τῶν πολεμίων καὶ ἀπαλλάττει τοῦ βίου. (Θ.) Ὁ μὲν οὖν βασιλεὺς ἄπεισιν ἐκεῖθεν ἐς Διδυμότειχον· μακρὰν δὲ παρὰ τοῦ πατρὸς καὶ βασιλέως ἀκούει τὴν μέμψιν, ὅτι βασιλεὺς ὢν οὐκ ἄξια πράττει τῆς βασιλείας ἀφειδῶν τῆς οἰκείας ζωῆς οὑτωσὶ καὶ τὸν τῶν Ῥωμαίων κίνδυνον διακυβεύων ἐπὶ τοῦ σώματος οἷον ἐξ αὐτομάτου. οἱ δὲ πολέμιοι τοὐντεῦθεν ἐς δίωξιν τῶν φευγόντων τραπόμενοι οὓς μὲν ἔκτεινον, οὓς δὲ ζωγροῦντες εἶχον· ἕως γενομένης ἑσπέρας ἀπεῖπον τὴν δίωξιν. ἅμα δ' ἡμέρᾳ σκυλεύσαντες τοὺς νεκροὺς καὶ τὰ λάφυρα διελόμενοι ἀδεῶς τὰς ἐπὶ Θρᾴκῃ κώμας ἐπόρθουν καὶ ἔκαον ἐπιτρέχοντες. οὐ πολλαὶ μεταξὺ διῆλθον ἡμέραι καὶ πρὸς Κατελάνους αὐτομολοῦσιν οἱ ῥηθέντες Τουρκόπουλοι καὶ ἀσμένως δεχθέντες τοῖς τοῦ Χαλὴλ ὡς ὁμοφύλοις συγκατελέγησαν Τούρκοις. Χαλὴλ δ' ὁ τῶν Τούρκων ἀρχηγὸς ὠνομάζετο. (Ι.) Μετ' οὐ πολὺ δ' ἐκπολεμωθῆναι συνέβη τόν τε Φαρέντζαν Τζυμῆν καὶ τὸν Πιριγκέριον Τέντζαν κατὰ Ῥεκαφόρτου τοῦ ἑαυτῶν ἡγεμόνος, ἀνάξιον εἶναι λέγοντας, τῶν εὖ γεγονότων ὄντας αὐτοὺς ἄρχεσθαι παρ' ἀνδρὸς δυσγενοῦς καὶ βαναύσου τὴν τύχην. καὶ ἵνα τἀν μέσῳ συντέμω, ὅπλοις ἐπιτρέπουσι τὴν τῆς ἔριδος τύχην. ἀλλ' ὁ μὲν Πιριγκέριος Τέντζας πίπτει παρὰ τὴν μάχην εὐθύς·


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ὁ δὲ Φαρέντζας Τζυμῆς καταφεύγει πρὸς βασιλέα Ἀνδρόνικον· καὶ οὕτω παρ' ἐλπίδα λαμπρᾶς τυγχάνει τῆς ὑποδοχῆς, ὥστε καὶ ἐς τὸ τοῦ μεγάλου δουκὸς ἀνάγεται ἀξίωμα καὶ Θεοδώρᾳ τῇ τοῦ βασιλέως ἀδελφιδῇ χηρευούσῃ συζεύγνυται. (ΙΑ.) Ἐπεί γε μὴν οἱ Μασσαγέται λαθραίας 1.233 ἔφθησαν πέμψαντες ἐς τοὺς Σκύθας συνθήκας πανοικὶ πρὸς αὐτοὺς αὐτομολήσειν ἐπαγγελλόμενοι, ἀναλαβοῦσιν ἤδη γυναῖκας ἅμα καὶ παῖδας καὶ μέλλουσι διαβαίνειν τὸν Αἶμον τὸ ὄρος, ὃ δὴ μεθόριον νῦν ἐστι Ῥωμαίοις τε καὶ Βουλγάροις, ἀθρόοι σφίσιν οἱ Τουρκόπουλοι σὺν Κατελάνων συχνοῖς ἐπεισπίπτουσιν αὐτοῦ που παρὰ τὰς ὑπωρείας καὶ πλὴν ὀλίγων ἅπαντας ἡβηδὸν συναπέσφαξαν. τοῖς γὰρ Μασσαγέταις αὐτοὶ συστρατεύοντες ἐκ πολλοῦ καὶ πολλῶν πολλάκις κεκοινωνηκότες ἀλλήλοις κερδῶν καὶ λαφύρων καὶ φιλονεικιῶν ἐν τοῖς μερισμοῖς οὐκ ὀλίγων καὶ ἀεὶ τὴν ἥττονα μοῖραν λαγχάνοντες, ἅτε μὴ δυνάμενοι πρὸς ἰσχυροτέρους ἀσθενέστεροι μάχεσθαι, διεπέττευον οὕτω τὸν χρόνον ὑπ' ὀδόντα θαλαμευομένην τρέφοντες τὴν ὀργήν. ἣν δὴ καὶ ἐπὶ καιροῦ νῦν εὐτυχῶς ἐς προὖπτον ἐξέῤῥηξαν. καὶ ταῦτα μὲν οὕτως. ε΄. Ἡ δὲ τοῦ βασιλέως σύζυγος Ἀνδρονίκου Εἰρήνη φύσει φιλότιμος οὖσα ἠβούλετο κατὰ διαδοχὴν παῖδας καὶ ἀπογόνους αὐτῆς ἐς ἀπείρους ἡλίους κληροῦσθαι τὴν τῶν Ῥωμαίων ἀρχὴν καὶ τὸ βασίλειον τουτὶ κράτος καὶ ἀθάνατον διασώζεσθαι τὴν μνήμην αὐτῆς ἐν τοῖς τῶν ἀπογόνων ὀνόμασι. τὸ δὲ καινότερον, ὅτι οὐ μοναρχίας τρόπῳ κατὰ τὴν ἐπικρατήσασαν Ῥωμαίοις ἀρχῆθεν συνήθειαν, ἀλλὰ τρόπον Λατινικὸν διανειμαμένους τὰς Ῥωμαίων πόλεις καὶ χώρας ἄρχειν κατὰ μέρη τῶν υἱέων ἕκαστον, ὡς οἰκείου κλήρου καὶ κτήματος τοῦ λαχόντος, ἐκ πατρῶν μὲν ἐς αὐτοὺς κατὰ τὸν ἐπικρατήσαντα νόμον ταῖς περιουσίαις καὶ 1.234 κτήσεσι τῶν βαναύσων ἀνθρώπων κατιόντος· παραπεμπομένου δ' ἔπειθ' ὁμοίως ἐς τοὺς ἐφεξῆς παῖδας καὶ διαδόχους. Λατίνων γὰρ οὖσα γέννημα καὶ παρ' ἐκείνων εἰληφυῖα τουτὶ τὸ νεώτερον ἔθος Ῥωμαίοις ἐπάγειν ἐβούλετο. ἐνῆγε δ' ἐς τοῦτο τὰ μάλιστα γνώμη ζηλότυπος, ἣν ὡς μητρυιὰ περὶ τὸν προγονὸν ἔτρεφε, τὸν βασιλέα φημὶ Μιχαὴλ, ὃν ἐκ τῆς προτέρας συζύγου τῆς ἐξ Οὔγγρων ὁ βασιλεὺς γεγέννηκεν. ἔφθημεν γὰρ εἰρηκότες, ὡς ἐξ ἐκείνης μὲν γεγέννηκε παῖδας δύο, τόν τε βασιλέα Μιχαὴλ καὶ Κωνσταντῖνον τὸν δεσπότην· ἐκ δὲ τῆς Εἰρήνης ταυτησὶ τῆς ἐκ Λογγιβάρδων θυγατέρα μὲν μίαν τὴν Σιμωνίδα, περὶ ἧς ἔμπροσθεν εἰρήκειμεν, ὅπως ἐπέμφθη σύζυγος τῷ Κράλῃ Σερβίας· υἱοὺς δὲ τρεῖς, Ἰωάννην, Θεόδωρον καὶ Δημήτριον· οὓς δὴ πάντας βασιλέας ἐβούλετο καθιστᾷν· δευτέρους μὲν μετὰ τὸν προγονὸν Μιχαὴλ κατὰ τὸ τῆς τιμῆς ἀξίωμα· δευτέρους δὲ καὶ κατὰ τὴν διανομὴν τῆς Ῥωμαϊκῆς ἡγεμονίας· αὐτονόμους δὲ καὶ αὐτοκράτορας ἑκάστους καὶ μηδένα μηδενὶ ὑπακούοντας. (Β.) Ὁρῶσα τοίνυν τὸν βασιλέα καὶ σύζυγον στοργὴν αὐτῇ χαριζόμενον πλείονα ἢ κατὰ σύζυγον ἐνόμισεν ἕξειν καταπειθῆ καὶ πρὸς τὰ περὶ τῶν παίδων βουλεύματα. ὅθεν οὐ διέλιπε λάθρα νύκτωρ καὶ μεθ' ἡμέραν αὐτὸν ἐνοχλοῦσα δυοῖν θάτερον καταπράξασθαι· ἢ τὸν βασιλέα Μιχαὴλ ἀποχειροτονῆσαι τῆς βασιλικῆς ἀρχῆς καὶ ταύτην διαμερίσασθαι τοῖς υἱέσιν αὐτῆς· ἢ τό γε δεύτερον, κοινωνοὺς καὶ συμμεριστὰς αὐτῷ καὶ αὐτοὺς καταστῆσαι τοῦ κράτους. τοῦ δὲ βα 1.235 σιλέως ἀδύνατον εἶναι λέγοντος παραλύειν τὰ διὰ πολλῶν ἤδη τῶν χρόνων κυρωθέντα τε καὶ βεβαιωθέντα βασιλικὰ νόμιμα, ἡ δὲ πρὸς ὀργὴν ἐξήπτετο καὶ διάφορα καὶ ποικίλα ἐδείκνυ πρὸς τὸν σύζυγον καὶ βασιλέα τὰ σχήματα· νῦν μὲν λυπουμένη καὶ ἀπολεγομένη τὸ ζῆν, εἰ μὴ τοὺς υἱέας ὄψεται ζῶσα βασιλικοῖς κοσμηθέντας συμβόλοις· νῦν δὲ ἀκκιζομένη καὶ θρυπτομένη καὶ οἷον ἀπεμπολῶσα τῷ συζύγῳ τὴν ὥραν καὶ ὤνιον συγκαταθέσεως τοῦ περὶ τῶν υἱέων βουλεύματος ποιουμένη. ταῦτα πολλάκις γινόμενα καὶ μηδενὸς ἑτέρου τῶν πάντων γινώσκοντος φέρειν οὐκ ἦν εἰς τέλος τῷ βασιλεῖ. διὸ καὶ τὰ τῆς φλεγμαινούσης ἐκείνης στοργῆς ἤδη κατὰ μικρὸν ἐμαραίνετο, καὶ ἀντεισήγετο μάχη διάπυρος μὲν, λανθάνουσα δ' ἔτι



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τοὺς πλείστους. τέλος δὲ καὶ αὐτὴν ἀπέστερξε τὴν τοῦ λέχους αὐτῆς κοινωνίαν. (Γ.) Ἡ μέντοι σύζυγος Εἰρήνη παραδόξως οὕτω τὴν ταχίστην ἔρημος τῶν ἐλπίδων καταστᾶσα πολέμιον ἔθρεψεν ἐν τοῖς στήθεσι λογισμὸν κατ' αὐτοῦ. καὶ ἀμύνεσθαι θέλουσα μὲν, οὐκ ἔχουσα δ' ὅπως ἄλλως, ᾤχετο ἀπιοῦσα πρὸς Θεσσαλονίκην οὐ μάλα τοῦ βασιλέως ἐθέλοντος. ἐδεδίει γὰρ αὐτὸς, μὴ κατάφωρα τοῖς πλείστοις τὰ κατ' οἶκον γένωνται πταίσματα. ἡ δὲ διὰ τοῦτο μᾶλλον αἰσχύνειν ἐθέλουσα τὸν βασιλέα καὶ σύζυγον ἀπῄει θριαμβεύουσα κοινὰ καὶ λαθραῖα τοῦ συζύγου ἐγκλήματα, τοῦτο μόνον φυλαξαμένη, τὸ πρὸς δήμους καὶ πλήθη προφέρειν αὐτά. πρὸς δέ γε τὸ πρὸς οὓς ἑκάστη τε καὶ ἑκάστῳ οἷς ἐθάῤῥει τὰ μάλιστα πε 1.236 ριᾷδειν, πρὸς τοῦτο δὲ καὶ μάλα ἀφειδῶς εἶχεν ἡ πολλὴν σχηματιζομένη σεμνότητα. ὑβριοπαθοῦσα γὰρ καὶ μαινομένη καὶ κατεπαιρομένη τῆς ἐκείνου πραότητος καὶ μήτε θεὸν φοβουμένη, μήτ' ἀνθρώπους αἰδουμένη, πολλὰ τῆς φύσεως ἐξεφαύλισεν ἀπόῤῥητα τοῦ συζύγου τε καὶ ἑαυτῆς ἡ πάντολμός τε καὶ ἀναιδὴς, ἃ κἂν ἠρυθρίασε λέγουσα καὶ ἡ τῶν ἑταιρίδων ἀσελγεστάτη. καὶ νῦν μὲν ἄλλον κατ' ἄλλο μέρος τῶν μοναζόντων ἀπολαμβάνουσα κατηγόρει τοῦ ἀνδρὸς, ὁπόσα ἐβούλετο· νῦν δὲ πρὸς τὰς εἰσιούσας τῶν εὐγενῶν ταὐτά τε καὶ πλείω τούτων ἐξήγγελλε· νῦν δὲ πρὸς τὸν Κράλην Σερβίας τὸν ἐπὶ θυγατρὶ γαμβρὸν ἔγραφεν, ὅσα οὐδὲ λέγειν χρεὼν, πανταχόθεν ἑαυτῇ μὲν περιποιουμένη τιμὴν καὶ σωφροσύνην, τῷ δὲ συζύγῳ πᾶσαν ὕβριν μηχανωμένη. οὐδὲν γὰρ οὕτως εὐρίπιστον ὡς γνώμη γυναικὸς, οὐδέ γε προχειρότερον εἰς τὸ πιθανὰς συνθεῖναι διαβολὰς καὶ συκοφαντίας καὶ τὰ οἰκεῖα κακὰ περιτρέψαι τοῖς ἀνεγκλήτοις. ἂν μισῆται, μισεῖν ὑποκρίνεται· ἂν ἐρᾷ, ἐρᾶσθαί φησιν· ἂν κλέπτῃ, κλέπτεσθαι λέγει. καὶ ζητεῖσθαι μὲν φάσκει, βδελύττεσθαι δὲ διὰ σωφροσύνην· καὶ ἐπὶ τούτοις ἐγκαλλωπίζεσθαί τε καὶ θρύπτεσθαι οὐκ αἰδεῖται, οὐδὲ δυσωπεῖται τὸν ἔλεγχον, ἀλλ' εὐδιάβολα τὰ τοιαῦτα εἰδυῖα καὶ ἥδιστα ἀκοαῖς ἀκολάστοις κώδωνος ὀξυτέραν προτείνει γλῶτταν· καὶ ἐπιορκοῦσα παῤῥησιάζεται καὶ μίγνυσι γῆν οὐρανῷ. ἂν δὲ καὶ γένει καὶ ἐξουσίᾳ προέχῃ, ἃ τοὺς ἐλέγχους τῶν ἐγκλημάτων πόῤῥωθεν ὅπως ποτὲ ἀποκρούονται, τότ' εὐμενοῦς δεῖ θεοῦ καὶ θαλάσσης μεγάλης, ἀποπλῦναι τὰς 1.237 ὕβρεις τε καὶ συκοφαντίας τὸν ἄθλιον, καθ' οὗ τὴν γλῶσσαν ἡ πονηρὰ κεκίνηκεν. (Δ.) Ὁ δὲ βασιλεὺς πρᾷός τε ὢν καὶ ἄλλως δειλιῶν τήν τε γλῶσσαν αὐτῆς καὶ τό γε μεῖζον, μὴ τὸν ἑαυτῆς ἐκπολεμώσῃ γαμβρὸν κατὰ τῶν Ῥωμαίων, λέγω δὴ τὸν Κράλην Σερβίας, παντοῖος ἦν θεραπεύων αὐτὴν καὶ πληρῶν τὰ περὶ τῶν κοινῶν καὶ ἰδίων πραγμάτων ἐκείνης ζητήματα καὶ πλέον ἢ δεσποίνῃ χαριζόμενος αὐτῇ τὰ τῆς ἐξουσίας δίκαια, ἵνα λανθάνῃ τοὺς πλείστους τὰ μεταξὺ σκάνδαλα. ἡ δ' ἀπογνοῦσα τὴν ἀπὸ τοῦ βασιλέως εἰς τοὺς υἱέας βοήθειαν, ὁποίαν ὡς εἰρήκειμεν αὕτη παρὰ τὸ δέον ἐζήτει, μόνη λοιπὸν ἐπεχείρει μηδενὸς ἀμελοῦσα τῶν ὅσα πρὸς δύναμιν ἦσαν αὐτῇ. ἀκούσασα τοίνυν, ὡς ὁ τῶν Ἀθηνῶν δοὺξ θυγατέρα τρέφει παρθένον, διαπρεσβεύεται πρὸς αὐτὸν ἐγγυωμένη ἐκείνῳ γαμβρὸν ἐπὶ τῇ θυγατρὶ Θεόδωρον τὸν υἱὸν αὐτῆς τὸν δεύτερον ἐπὶ συμφωνίαις, ἵν' ἡ μὲν ἔνθεν, ὁ δ' ἐκεῖθεν τῷ ἄρχοντι Πελασγῶν τε καὶ Θετταλῶν ἐγείρωσι πόλεμον καὶ μὴ πρότερον παύσασθαι, πρὶν αὐτὸν μὲν ἐκ μέσου ποιήσωνται, τὴν δ' ἀρχὴν τὴν αὐτοῦ Θεοδώρῳ τῷ ταύτης υἱῷ περιποιήσωνται, ἵν' εἴη κλῆρος ἀρχῆς ἴδιος αὐτῷ καὶ διηνεκής. ἀλλὰ τῶν ἐλπίδων ψευσθεῖσα πλείστοις ἅμα χρήμασι πρὸς τὴν ἑαυτῆς ἐκπέμπει πατρίδα Λογγιβαρδίαν συζευχθησόμενον θυγατρί τινος ὄνομα Σπινούλα τῶν οὐ πάνυ μεγάλων ἐπὶ γένους περιφανείᾳ καὶ δόξῃ τυγχάνοντος. οὐ γὰρ ὡς τὰ πολλὰ περισπούδαστόν ἐστι Λατίνων τοῖς εὖ γεγονόσι κηδεύειν, μὴ ὅτι Ῥωμαίοις ἁπλῶς, ἀλλ' οὐδ' αὐτοῖς βασιλεῦσιν· ἄλλως 1.238 τε οὐδ' αὐτὴ τῶν ἐπὶ δόξῃ λαμπρῶν ἦν. οὐ γὰρ ἂν ἐς τὰ Ῥωμαίων οὕτω ῥᾳδίως ἐστέλλετο κήδη. μαρκεσίου γὰρ ἀπόγονος ἦν αὕτη· ἡ δὲ τοῦ μαρκεσίου τάξις οὐ τῶν ἐπισήμων ἐστὶ παρὰ Λατίνοις· ἀλλ' ὅπερ ἐν τοῖς Ῥωμαίων στρατεύμασιν ὁ τὴν βασιλικὴν κατέχων σημαίαν, τοῦτο



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

παρὰ Λατίνοις μαρκέσιος. (Ε.) Ἵνα δὲ πλατύτερον τῷ λόγῳ χρησώμεθα διὰ τὴν τῶν λεγομένων ἐνάργειαν· ὅτε ὑπὸ Ῥωμαίοις ξυνέῤῥει τὰ πράγματα καὶ τὸ τῆς Ῥώμης κράτος καὶ αὐτῶν, ὡς εἰπεῖν, ἔψαυεν οὐρανῶν, ἐπειδὴ καὶ ὕπατοι τούτων καὶ αὐτοκράτορες, οἱ μὲν Ἀφρικὴν καὶ Λιβύην, οἱ δὲ Γαλατίαν καὶ Ἰβηρίαν καὶ Κελτικὴν ὑπηγάγοντο, οἱ δὲ τὰ πλείω τῆς τε Ἀσίας καὶ Εὐρώπης, τά τε μέχρι Tανάϊδος δηλαδὴ καὶ ὅσα μέχρι Γαδείρων· τότε τοίνυν δουλείας φερόμενοι νόμῳ συνέῤῥεον ἄλλοθεν ἄλλοι συχνὰ πρὸς τὴν ἄρξασαν Ῥώμην, ὅσοι στρατηγοὶ κατὰ τόπους καὶ ὅσοι σατράπαι καὶ βασιλεῖς ἐθνῶν καὶ ἡγεμόνες τόπων καὶ πόλεων· οἱ μὲν, ἵνα γνωστοὶ τοῖς τε Καίσαρσι καὶ Αὐγούστοις καθίσταιντο· οἱ δὲ, ἵνα στάσιν τινὰ καὶ κλῆρον ἐν τῇ περὶ τοὺς Καίσαρας συγκλήτῳ καὶ τάξει λαγχάνωσιν. οὐ μόνον δὲ, ἀλλὰ καὶ τῶν ἄλλως ἐνδόξων καὶ ἐλλογίμων προσίασιν, ἵνα τῷ τῆς Ῥώμης δήμῳ αἰδοῦς ἕνεκα καὶ τιμῆς καὶ αὐτοὶ πολιτογραφῶνται καὶ ὀνόματος ἀξιῶνται τῶν ἐπισήμων τῆς Ῥώμης· ὥσπερ καὶ ὁ ἐκ τῆς Παλαιστίνης Ἑβραῖος Ἰώσηπος καὶ Πτολεμαῖος ὁ κράτιστα πάντων τὰς ἀστρονομικὰς συγγραψάμενος ὑποθέσεις. ὁ μὲν γὰρ Φλαούϊος ἐκεῖθεν ἐπωνόμασται, ὁ Ἰώσηπος· ὁ δὲ Κλαύδιος, ὁ Πτολεμαῖος. 1.239 τότε δὴ οὖν καὶ τῶν πανταχόθεν συῤῥεόντων ἡγεμόνων Παρθι1.239 κῶν τε καὶ Περσικῶν καὶ τῶν ἄλλων ἄλλοι ἄλλας κεκλήρωνται πρότερον κλήσεις. ὁ δὲ Ῥωσικὸς τήν τε στάσιν καὶ τὸ ἀξίωμα τοῦ ἐπὶ τῆς τραπέζης παρὰ τοῦ μεγάλου κεκλήρωται Κωνσταντίνου· ὁ δὲ Πελοποννησιακὸς τὸ τοῦ πρίγκιπος· ὁ δὲ τῆς Ἀττικῆς τε καὶ τῶν Ἀθηνῶν ἀρχηγὸς τὸ τοῦ μεγάλου δουκός· ὁ δὲ τῆς Βοιωτίας καὶ τῶν Θηβῶν τὸ τοῦ μεγάλου πριμμικηρίου· ὁ δὲ τῆς μεγάλης νήσου Σικελίας τὸ τοῦ ῥηγός· καὶ ἄλλοι ἄλλα. τί γὰρ δεῖ καθ' ἕκαστα διεξιέναι, ὧν τὴν μνήμην ὁ χρόνος συνέχωσε, καὶ τὰ μὲν τελέως ἐκάλυψε καὶ λήθης ποταμοῖς ἀφῆκε συμφέρεσθαι, τὰ δ' ἀτέκμαρτα συγκεχώρηκε περὶ τὸν βίον πλανᾶσθαι; οὐ γὰρ ὥσπερ νῦν παρ' ἡμῖν, οὕτω καὶ τότε ἐγένοντο ταῦτα, παρ' οἷς ἐγένοντο· ἀλλ' ὥσπερ ἐς διαδοχὰς συνεχωρήθησαν παραπέμπεσθαι τοῖς τῶν ἐπαρχιῶν ἑκάστων ἄρχουσι τὰ τῶν πρώτως εἰληφότων ἕκαστα ἀξιώματα. καὶ μὲν δὴ ἔστιν ἃ τῶν τοιούτων παραφθοράν τινα τῷ μακρῷ χρόνῳ παθόντα ἀμυδρῶς πως ὑπεμφαίνουσι τὴν ἀλήθειαν. τὸν γάρ τοι τῆς Βοιωτίας καὶ τῶν Θηβῶν ἀρχηγὸν ἀντὶ μεγάλου πριμμικηρίου μέγαν κύριον ὀνομάζουσι νῦν εἰς τοῦτο παρενεχθέντες ἐκ τοῦ παραφθεῖραι τὴν πρώτην συλλαβήν. ὁμοίως δὲ καὶ τὸν τῆς Ἀττικῆς καὶ τῶν Ἀθηνῶν ἀρχηγὸν ἀντὶ μεγάλου δουκὸς δοῦκα καλοῦσι τῶν Ἀθηνῶν. (΄) Καὶ ἵν' ἐπανέλθωμεν, ὅθεν εἰς τοῦτο ἐξέβημεν· ἐν ἐκείνοις τοῖς χρόνοις καὶ ὁ τῆς ἐπαρχίας ταύτης ἀρχηγὸς τὸν τοῦ μαρκεσίου εἰλήφει κλῆρον, μικρόν τινα καὶ τῇ ἐπαρχίᾳ ἐκείνῃ 1.240 ἀνάλογον. κεῖται δ' ἡ χώρα αὕτη μεταξύ που τῶν Ἄλπεων καὶ τῆς κάτω Ἰβηρίας· ἣν ὁ μαρκέσιος ἐκληρώσατο, χρέος ἀΐδιον ἔχων, εἴ τις ἐκ τοῦ ἔθνους ἀνίσταιτο βασιλεὺς, τὴν τοῦ σημαιοφόρου τάξιν ἀποπληροῦν πρὸς ἐκεῖνον αὐτός· ἀλλ' ἐκεῖσε ἐπάνειμι. Θεόδωρον μὲν γὰρ τὸν ἑαυτῆς δεύτερον υἱὸν ἡ βασιλὶς Εἰρήνη οὕτως ἐκεῖσε παρέπεμψεν, ἵνα μὴ παρὰ Ῥωμαίοις ὢν δοῦλος αὐτός τε καὶ ἡ τοῦ σπέρματος αὐτοῦ διαδοχὴ γένηται τοῦ προγονοῦ βασιλέως. εἵλετο γὰρ κοινωνὸν τῆς Λατίνων τοῦτον μᾶλλον καταστῆσαι θρησκείας καὶ ἀτιμότερον εἶναι πόῤῥω διάγοντα, ἢ παρὰ Ῥωμαίοις ἔνδοξον ὄντα δουλεύειν τῷ μισουμένῳ αὐτῇ προγονῷ καὶ ἅμα παῖδας παισὶ καὶ ἀπογόνους ἀπογόνοις. συνεξέπεμψε δ' ἐκείνῳ καὶ σωροὺς χρημάτων Ῥωμαϊκῶν. καὶ οὕτω δὴ τὴν φλεγμαίνουσαν ἔφεσιν ἑαυτῆς ἐναντιουμένη τῷ συζύγῳ καὶ βασιλεῖ ἐπὶ τοῦ ἑνός γε τῶν υἱέων ἐπέραινε Θεοδώρου τοῦ μαρκεσίου. (Ζ.) Τὸν μέντοι πρῶτον υἱὸν αὐτῆς Ἰωάννην πάνυ τοι πλεῖστα ἐσπούδασε πρότερον εἰς ὑπερόριον κῆδος ἐκπέμψαι καὶ αὐτὸν, καὶ πλεῖστα ἀνηλώκει χρήματα θέλουσα τοῦτον ἄρχοντα καταστῆσαι τῶν Αἰτωλῶν τε καὶ Ἀκαρνάνων, καὶ ὅση τῆς Ἠπείρου περίχωρος· ἀλλ' οὐδαμῇ ἔσχεν εὔοδον θεῖναι τὸ βούλευμα. ἕτερα δ' αὖθις βουλευομένης αὐτῆς περὶ τοῦ υἱοῦ φθάσας ὁ βασιλεὺς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐμποδὼν ἐγένετο τῆς ὁρμῆς, πατὴρ εἶναι λέγων καὶ αὐτὸς καὶ οὐχ ἧττον τῆς μητρὸς κηδόμενος τοῦ υἱέως· προστιθεμένου δὲ καὶ τοῦ μείζονα δύνασθαι τῆς μητρὸς τὸν πατέρα, τὸ κωλύον οὐδὲν τὴν τοῦ πατρὸς τελεσθῆναι βούλησιν ἐπὶ τῷ 1.241 παιδὶ μᾶλλον ἢ τῆς μητρός. ἦν δὲ τηνικαῦτα μεσάζων τοῖς πράγμασι σοφὸς ἀνὴρ καὶ πολλὴν τὴν ἐμπειρίαν καὶ σύνεσιν πλουτῶν ἐς τὰ κοινὰ καὶ διὰ τοῦτο μάλα τοι πλείστης ἀπολαύων τῆς τοῦ κρατοῦντος εὐμενείας τε καὶ ῥοπῆς καὶ πολλοῖς τισι βρίθων τοῖς χρήμασι διὰ ταῦτα, Νικηφόρος ὁ ἐπὶ τοῦ Κανικλείου. οὗτος θωπευτικοῖς τισι λόγοις καὶ πράγμασιν ὑπελθὼν τὴν τοῦ βασιλέως πραότητα αἰτεῖ καὶ λαμβάνει γαμβρὸν ἐπὶ τῇ θυγατρὶ τὸν ῥηθέντα τοῦ βασιλέως υἱὸν Ἰωάννην, δεινοπαθούσης μὲν καὶ οὐδαμῇ ἐθελούσης τῆς μητρὸς καὶ δεσποίνης· ἔλαβε δ' οὖν. ἀλλ' οὐκ ἐπὶ πολὺ τοῦ κήδους ἀπώνατο οὔθ' ὁ λαβὼν, οὔθ' ὁ ληφθείς. πρὶν γὰρ ὅλα ἐξήκειν τέσσαρα ἔτη, ἄπαις τὸν βίον ὁ Ἰωάννης ἀπήλλαξεν ἐν Θεσσαλονίκῃ ἐπὶ μητρὶ καὶ πενθερῷ καὶ συζύγῳ. (Η.) Ἐπεὶ δὲ καὶ τὰς ἐπὶ τούτῳ τῆς μητρὸς ἐλπίδας ὁ χρόνος οἷά τις Χάρυβδις ἀφελόμενος κατεβάπτισεν, αἱ Κραλαίνης τῆς θυγατρὸς καὶ Δημητρίου τοῦ παιδὸς κατελείφθησαν μόναι. τοσαῦτα τοίνυν ἐξεκένωσε Ῥωμαϊκὰ χρήματα πρὸς τὸν Κράλην ἡ πενθερά τε καὶ δέσποινα, τὰ μὲν ἐκεῖσε πέμπουσα, τὰ δ' αὐτὸν ἐν Θεσσαλονίκῃ μεταπεμπομένη καὶ ἐπιφορτίζουσα, ὅσα καὶ τριήρεις ἑκατὸν ἐξήρτυσαν ἂν καὶ διηνεκὲς τοῖς Ῥωμαίοις ἐγίγνοντ' ἂν ὄφελος. καὶ τί δεῖ καταλέγειν τὰς καινὰς ἐπινοίας αὐτῆς, ὁπόσας μήπω πρὶν γεγονυίας ἡ πόῤῥω τοῦ καιροῦ φιλοτιμουμένη γνώμη τῆς σεμνοτάτης ταύτης δεσποίνης ἐνεωτέρισε; θέλουσα γὰρ τὴν θυγατέρα βασιλικοῖς παρασήμοις κοσμῆσαι, 1.242 ἵνα μηδ' ἐκείνη μηδενὸς ἐλαττοῖτο, ὁπόσα Ῥωμαίων θεσμοὶ τὰς βασιλίδας ᾔρηνται πάλαι κοσμεῖν, μὴ δυναμένη δ' ἄλλως τὸ καταθύμιον ἐκπερᾶναι, φέρουσα καλύπτραν ἐπέθηκε πρότερον τῇ κεφαλῇ τοῦ γαμβροῦ λίθοις καὶ μαργάροις πολυτελέσι κεκοσμημένην, ὁπόσοις καὶ οἵοις μικροῦ καὶ ἡ τοῦ ἀνδρὸς αὐτῆς Ἀνδρονίκου τοῦ βασιλέως ἐκεκόσμητο. ἔπειτ' ἐκεῖθεν ἀρξαμένη κατ' ἔτος ἑτέραν προσετίθει κρείττω τῆς προτέρας ἀεί. τάς τε πολυτελείας τῶν ἐνδυμάτων καὶ τὰς λαμπρότητας, ὧν ἐχαρίζετο συχνοτέρων αὐτῷ τε καὶ τῇ θυγατρὶ αὐτῆς τῇ Κραλαίνῃ, τίς ἂν ἀριθμοίη; τίς δ' ἂν ἐξετάζοι τῶν βασιλικῶν κειμηλίων τὸν ἀριθμὸν, ὁπόσα αὐτὴ τοὺς Ῥωμαίους ἀποστεροῦσα τῷ Κράλῃ Σερβίας ἐδίδου, κατατρυφῶσα μὲν τῆς τοῦ βασιλέως καὶ συζύγου πραότητος, τὴν δ' ἑαυτῆς ἀδεῶς ἀποπιμπλῶσα ἔφεσιν; ἔφεσις γὰρ ἦν αὐτῇ τῶν βασιλικῶν ταμιείων τοὺς θησαυροὺς ἐς τοὺς κόλπους τῶν ἑαυτῆς ἐκκενῶσαι τέκνων καὶ μάλιστα τῆς Κραλαίνης καὶ θυγατρός. ἤλπιζε γὰρ καὶ παῖδας ὄψεσθαι γεννηθέντας τῷ Κράλῃ παρὰ τῆς θυγατρός. καὶ διὰ τοῦτο προαρπάζουσα τὸν καιρόν σφισι τὸν Ῥωμαϊκὸν ἐθησαύριζε πλοῦτον, ἵνα καιροῦ καλοῦντος ὀψὲ τοῦ χρόνου τῆς τῶν Ῥωμαίων ἀσθενείας ἐκεῖθεν αὐτοὶ καταδράμωσι καὶ ἣν ἑκόντων Ῥωμαίων οὐκ ἐκληρώσαντο βασιλείαν, ταύτην ἀκόντων ἀφέλωνται. (Θ.) Ἀλλὰ γὰρ ἔλαθεν ἀνθρωπίνας μὲν ἐπινοίας καθ' ἑαυτὴν ἀεὶ στρέψασα, θεὸν δ' ἐπὶ λογισμοὺς οὐκ ἀναβιβασαμένη τὸ σύνολον, ὅτι τῆς ἐκεί 1.243 νου τὰ πάντα χειρὸς ἐξήρτηται· καὶ πολέμιον τοῦτον πᾶς τις εὑρίσκει, ὅστις ἄνθρωπος ὢν πέρα τῶν ἀνθρωπίνων μέτρων φρονεῖ καὶ οὐκ εἰς θεὸν ἀναφέρει τῶν ἐνεργουμένων τε καὶ βουλευομένων τὴν διεξαγωγὴν καὶ τελείωσιν. ἰδοὺ γὰρ καὶ ἡ βασιλὶς αὕτη Εἰρήνη μεγάλαις ἑαυτὴν ἀναρτήσασα ταῖς περὶ τοὺς παῖδας ἐλπίσιν αὐτὴ μὲν ἀνθρωπίνως ἐχρῆτο τοῖς πράγμασιν ἄνευ θεοῦ καὶ τὰ τῶν Ῥωμαίων, ὡς εἰρήκειμεν, ἀμφοτέραις ἐξήντλει χρήματα πρὸς τοὺς τῶν Ῥωμαίων ἐχθρούς· τὰ δὲ πράγματα οὐ προὐχώρει κατὰ τὰς ἐλπίδας αὐτῆς, ἀλλὰ ματαίαν τὴν ἐκείνης διάνοιαν ἤλεγχον, σφάλλοντος ὡς ἔοικεν ἄνωθεν τοῦ τῆς δίκης κρίματος. τῇ μὲν γὰρ θυγατρὶ ὀκταετεῖ πλέον ἢ τετταρακοντούτης ὁ Κράλης μιγεὶς βλαβῆναι τὴν ταύτης πέπραχε μήτραν, ὡς μηδὲ γονὴν ἐξ ἐκείνης ἔτι δύνασθαι γίγνεσθαι. (Ι.) Κἀντεῦθεν καὶ τῶν τοιούτων ἐλπίδων ἐκπεπτωκυῖα ἡ βασιλὶς ἑτέραις



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

αὖθις ἐπιχειρεῖ καὶ οὐκ ἠρεμεῖ· καὶ πείθει τὸν Κράλην πολλοῖς καὶ ἀναριθμήτοις ὑπερεχομένη τοῖς δώροις, ἀπαγορευθέντος ἤδη τοῦ παῖδα γενέσθαι οἱ ἐκ τῆς Κραλαίνης, ἐλθεῖν κατὰ δεύτερον πλοῦν τὴν διαδοχὴν τῆς τῶν Τριβαλλῶν ἀρχῆς εἰς ἕνα τινὰ τῶν ἀδελφῶν τῆς Κραλαίνης. Δημήτριος δ' ἦσαν οὗτοι καὶ Θεόδωρος ὁ μαρκέσιος· ὁ μὲν οὔπω τότε τὸν ἔφηβον παραλλάττων· ὁ δὲ καὶ παίδων ἤδη τυγχάνων πατὴρ περὶ χώραν τῆς Λαμπαρδίας, ἔνθα παρὰ τῆς μητρὸς, ὡς εἰρήκειμεν, ἐξεπέμφθη τοῦ γένους λείψανον. καὶ πρῶτον μὲν τὸν Δημήτριον πολλαῖς ταῖς τῶν χρημάτων τρυφαῖς καὶ βλακείαις πρὸς τὸν Κράλην συνεκπέμπει, διάδοχον 1.244 χειροτονηθησόμενον, ὡς εἰρήκειμεν, τῆς ἀρχῆς· ὃς δὴ καὶ ἄσμενος μὲν ὑπεδέχθη παρὰ τοῦ Κράλη· τὸ δὲ τοῦ τόπου σκληρὸν καὶ ἀπαραμύθητον ὅλαις ὁρμαῖς ἀνεσόβει καὶ ἀπετρέπετο τὴν ἐκεῖ διαμονὴν καὶ μακροτέραν αὐτοῦ ἐνδιαίτησιν. ὅθεν μετ' οὐ πολὺ τὸν Δημήτριον οὕτως ἐκεῖθεν ἡ μήτηρ ἐπανήκοντα δεξαμένη καὶ τῶν ἐντεῦθεν ἤδη ψευσθεῖσα ἐλπίδων τὸν ἕτερον ἐκ τῆς Λαμπαρδίας υἱὸν μεταπέμπεται Θεόδωρον τὸν μαρκέσιον κεκαρμένον ἐπιφερόμενον πώγωνα· καὶ τὸν ὅμοιον τρόπον ἐκπέμπει καὶ τοῦτον διάδοχον ἐσόμενον τῆς τοῦ Κράλη Σερβίας ἀρχῆς. ἄσμενος οὖν καὶ τοῦτον ὁ Κράλης ὑποδέχεται. τὸ δὲ τοῦ τόπου σκληρόν τε καὶ ἄηθες οὐδὲ τοῦτον ἀφῆκε μονιμωτέραν ἐκεῖ ποιήσασθαι τὴν διατριβήν. ἀλλ' ἐπανελθὼν καὶ οὗτος καὶ ἀσπασάμενος τὴν μητέρα, πάσας παρ' ἐλπίδα ὁπόσας ἐπὶ τούτοις ἔτρεφεν ἐλπίδας ἀποβεβληκυῖαν, ᾤχετο ἀπιὼν ἐς Λαμπαρδίαν αὖθις παρὰ τὴν σύζυγον. ´. Καὶ ταῦτα μὲν ἐν τοῖσδε τοῖς χρόνοις τοῦτον ἔσχε τὸν τρόπον. τὰ δ' ἐφεξῆς εἰρήσονται ἐν τοῖς ἐφεξῆς. ἐπὶ δὲ τοὺς Κατελάνους αὖθις τρεπτέον τὸν λόγον. οὗτοι γὰρ μετὰ τὸν γενόμενον περὶ τοὺς Ἄπρους πόλεμον ἐπαρθέντες τῇ τε νίκῃ καὶ τῇ τῶν Τουρκοπούλων συμμαχίᾳ, οἳ ὡς εἰρήκειμεν Ῥωμαίους ἀφέντες ηὐτομόλησαν πρὸς αὐτοὺς, συχναῖς χρησάμενοι ταῖς ἐκδρομαῖς καὶ ἐφόδοις ἐφ' ὅλοις ἔτεσι δυσὶ πᾶσαν ἔρημον καὶ ἀτριβῆ πεποιήκεσαν τήν τε παράλιον καὶ μεσόγειον χώραν, ὁπόση τε ἄχρι Μαρωνείας τε καὶ Ῥοδόπης καὶ ἄχρι Βιζύης διήκει. ἔπειτα ἀπογνόντες ἐντεῦθεν τῶν χρειωδῶν ἔγνωσαν ἐπὶ τὰ πρόσω πορεύεσθαι 1.245 τὰ ἐν ποσὶ ληϊζόμενοι, μέχρις ἂν ἀποχρῶσαν καὶ μόνιμον εὕρωσιν οἴκησιν. καὶ δὴ διαβάντες τὴν πρὸς θάλασσαν ὀρεινὴν τῆς Ῥοδόπης ᾔεσαν ἀδεῶς λαφύρων συχνῶν ἑαυτοὺς ἐμπιπλῶντες. ἦσαν δ' ὁμοῦ χιλιάδες, τὸ μὲν τῶν Τούρκων πλῆθος ὑπὲρ τὰς δύο τό,τε πεζὸν καὶ τὸ τῶν ἱππέων· τὸ δὲ τῶν Κατελάνων ὑπὲρ τὰς πέντε, ὅσον τε ἐν ἱππεῦσι καὶ ὅσον πεζόν. (Β.) Τοῦ τε μετοπώρου μεσοῦντος, ὅτε δὴ μάλιστα καὶ ἀρκτοῦρος ἄρχεται ἐπιτέλλειν, τὰ ἐπιτήδεια τῆς τοῦ χειμῶνος τροφῆς παρασκευάζειν βουλόμενοι εἰσβάλλουσιν εἰς τὰς τῆς Μακεδονίας κώμας· κἀκεῖ τὰ πλεῖστα καταστρεψάμενοι καὶ πολλῆς ἑαυτοὺς τῆς ἐκ τῶν λαφύρων ἐμπλήσαντες ὠφελείας στρατοπεδεύουσι περὶ τὴν Κασανδρείαν. πόλις δὲ αὕτη πάλαι μὲν οὖσα περιφανὴς, νῦν δὲ καὶ τῶν οἰκητόρων ἔρημος. ὅ γε μὴν περὶ αὐτὴν χῶρος ἐπιτήδειος ὢν ἐς στρατοπεδείαν καὶ χειμερίαν καταγωγὴν ὑποδέχεται, ὡς εἰρήκειμεν, καὶ τὸν τῶν Κατελάνων πλανήτην στρατόν. ἄκρα γάρ ἐστι προμήκης εἰς θάλασσαν, κόλποις οὐ μικροῖς ἑκατέρωθεν περιειλημμένη, δι' ὧν ἐν ταῖς χειμεριναῖς ὥραις τὸ τῆς χιόνος ἀποσείεται ὑπερβάλλον. ἔαρος δ' ἀρχομένου ἄραντες ἐκεῖθεν ἐπεχείρουν ταῖς ἐν Μακεδονίᾳ πόλεσιν, ἐν αἷς τὸ τῶν ἐλπίδων κεφάλαιον ἡ Θεσσαλονίκη ἐτύγχανεν. ᾤοντο γὰρ, ὡς εἰ ταύτης γένοιντο πρότερον ἐγκρατεῖς μεγάλης τε καὶ πολλῷ τῷ πλούτῳ βριθούσης καὶ μάλιστα νῦν ὅτε καὶ τὰς βασιλίδας ἤκουον εἶναι ἐντὸς, Εἰρήνην φημὶ καὶ Μαρίαν, μηδὲν εἶναι ἐξῆς τὸ κωλῦον πάσης ἐκεῖθεν ὡς ὁρμητηρίου τῆς ἄλλης 1.246 Μακεδονίας δεσπότας γενέσθαι. (Γ.) Ἀλλ' ἔφθη τὴν τούτων προεκτεμὼν ὁ βασιλεὺς ἐπίνοιαν. πέμψας γὰρ πρῶτον μὲν τὸ περὶ τὴν Χριστούπολιν μακρὸν ἔκτισε τεῖχος ἀπὸ θαλάσσης μέχρι τῆς τοῦ παρακειμένου ὄρους ἀκρωνυχίας· ὡς ἄβατον εἶναι τὸ χωρίον καθάπαξ μὴ βουλομένῳ τῷ βασιλεῖ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τοῖς τ' ἐκ Μακεδονίας ἐς Θρᾴκην ἐθέλουσι διαβαίνειν, τοῖς τ' ἀπὸ Θρᾴκης ἐς Μακεδονίαν. ἔπειτα ἐπεὶ ἔγνω τὴν τῶν Κατελάνων αἰχμὴν ἐπίδοξον οὖσαν ὁρμήσειν ἔαρος ἀρχομένου κατά τε Μακεδονίας καὶ τῶν ἐν Μακεδονίᾳ πόλεων, στρατηγοὺς ἀπολέξας ὁπόσοι τὰ πολέμια ἦσαν οὐκ ἀδαεῖς πέμπει στρατολογήσοντας ἐκ Μακεδονίας, οἳ ἔσονται ἱκανοὶ φύλακες τῶν ἐν Μακεδονίᾳ πόλεων, εἰ βούλοιντο οἱ πολέμιοι περικαθίσαντες ταύτας πολιορκεῖν, ἄφθονά τε τὰ πρὸς τροφὴν ἐπιτήδεια ἐκ τῶν προαστείων ἐν ταύταις ξυναθροίσοντας καὶ πάντα τἄλλα εὖ διαθήσοντας, ἵνα μὴ τῷ τῆς πολιορκίας καιρῷ μείζονα τῆς ἔξωθεν εὕρωσιν οἱ φύλακες τὴν ἔνδοθεν πολιορκίαν ἐκ τοῦ λιμοῦ. (Δ.) Ἀλλὰ γὰρ ἦρος ἤδη ἐνστάντος ἄραντες οἱ πολέμιοι ἐκ τῆς Κασανδρείας, οἱ μὲν ἄγχιστά που τῶν τῆς Θεσσαλονίκης προαστείων ηὐλίσαντο· οἱ δ' ἐπὶ λείαν ἐξίασιν. ἐπεὶ δὲ τήν τε χώραν εὗρον ἅπασαν τῶν τε οἰκητόρων ἔρημον, καὶ ὅσα ἐνῆν αὐτοῖς ποίμνια καὶ βουκόλια, καὶ αὖ τὰς πόλεις πολλοῖς τοῖς ὅπλοις ὠχυρωμένας, ἔγνωσαν αὖθις ἐπὶ Θρᾴκην ἐπανιέναι· μηδὲ γὰρ εἶναί σφισι τῶν ἐνδεχομένων ἐκεῖ καθημένους τρίβειν τὸν χρόνον καὶ σφᾶς αὐτοὺς φθειρομένους εἰκῇ συγχωρεῖν. μηδὲ γὰρ ὄντων αὐτοῖς τῶν ἐπιτηδείων τοσαύτην τε ἵππον ἄγουσι, τοσού 1.247 τους δὲ αἰχμαλώτους, οὐχ ἥττοσιν ἢ ὀκτακισχιλίοις οὖσι δὴ καὶ αὐτοῖς, κίνδυνον εἶναι προφανῆ φθαρέντας οἴχεσθαι τῷ λιμῷ. ἀλλ' οὔπω τὰ δόξαντα γέγονεν ἔκπυστα τῷ πλήθει τοῦ στρατοπέδου, καὶ πυνθάνονται παρά του τῶν αἰχμαλώτων, ὡς ἀπόρευτος ἔσται αὐτοῖς ἡ πρὸς Θρᾴκην ὁδὸς, τοῦ πρὸ βραχέος ἀνεγερθέντος περὶ τὴν Χριστούπολιν μακροῦ τείχους ἀποκλείοντος τὸ παράπαν αὐτούς. (Ε.) Τοῦτο παρὰ πᾶσαν ἀκουσθὲν προσδοκίαν ἐξέπληξε καὶ πρὸς ἀμηχανίαν ἤλασε λογισμῶν· καὶ οὐκ εἶχον ὅ,τι καὶ γένοιντο τῷ τε λιμῷ πιεζόμενοι καὶ ἅμα δεδιότες μὴ τὰ τοῖς ἐν Μακεδονίᾳ Ῥωμαίοις ὁμοροῦντα ἔθνη τὴν αὐτῶν ἕκαστα ἔφοδον ὑποπτεύοντα παροξύνωσιν ἀλλήλους, Ἰλλυριοί τε δηλαδὴ καὶ Τριβαλλοὶ καὶ Ἀκαρνᾶνες καὶ Θετταλοὶ, καὶ συνασπισμὸν ποιησάμενοι κυκλώσονται τούτους καὶ πάντας ἄρδην οὐκ ἔχοντας ὅποι φυγόντες τὴν σώζουσαν εὕρωσι διαφθείρωσιν. ὅθεν ἔδοξε τούτοις ὡς ἐν ἀνάγκης καιρῷ μανικώτερον ἢ τολμηρότερον ἅψασθαι τῶν πραγμάτων. ἔδοξε γὰρ μηδὲν μελλήσασιν ὁμόσε τοῖς πρόσω χωρεῖν τὴν ταχίστην καὶ ἢ τὴν τῶν Θετταλῶν χώραν ἄφθονα φέρουσαν τὰ πρὸς τὸ ζῆν ἐπιτήδεια ἕξειν αἰχμάλωτον, ἢ τῶν ἐπέκεινα μίαν, ὁπόσαι ἐφεξῆς εἰσιν ἄχρι Πελοποννήσου, καὶ οὕτως ἐπὶ μιᾶς τινος χώρας τὴν οἴκησιν ἱδρυσάμενοι τῆς μακρᾶς ἀπαλλάξειν γε πλάνης· ἢ τό γε δεύτερον, σπεισαμένους τινὶ τῶν παραθαλαττίων ἐθνῶν ἀκώλυτον εἰληφέναι τὸν ἐπὶ τὰ οἰκεῖα ἀπόπλουν. ἄραντες οὖν ἐκεῖθεν τριταῖοι ἀφίκοντο ἐς τὰ πρὸ τῆς Θετταλίας 1.248 ὄρη· Ὄλυμπος ταῦτα καὶ Ὄσσα καὶ Πήλειον· ὧν ἄγχιστά που στρατοπεδεύσαντες ἐπόρθουν τὴν χώραν καὶ σφᾶς αὐτοὺς ἐνεπίμπλων ἀφθόνων τῶν ὅσα πρὸς τὸ ζῆν ἐπιτήδεια ἦν. ἀλλ' ἐκεῖνο μικροῦ με παρέδραμεν. ἀναληπτέον οὖν, ἵνα καθ' εἱρμὸν ὁ λόγος ὁδεύῃ. (΄.) Συνεστράτευον τοῖς Λατίνοις, ὡς ἔφαμεν, καὶ Τοῦρκοι τρισχίλιοι· ὧν τοὺς μὲν ἑκατὸν καὶ χιλίους ἔφαμεν εἶναι τοὺς ἐναπολειφθέντας ἅμα τῷ Μελὴκ μετὰ τὴν τοῦ Σουλτὰν Ἀζατίνη πρὸς τοὺς Σκύθας φυγὴν τῷ τε θείῳ βαπτίσματι τελεσθέντας καὶ συγκαταλεγέντας μὲν τοῖς Ῥωμαίων στρατεύμασι καὶ ταῖς τῶν παίδων διαδοχαῖς αὐξηθέντας, ὕστερον δ' ἀποστατήσαντας μὲν Ῥωμαίων, προσρυέντας δὲ τῷ τῶν Κατελάνων στρατῷ, ὁπότε συῤῥήγνυσθαι κατ' ἀλλήλων ἔμελλον τὰ στρατεύματα κατὰ τὰς περὶ τὴν πόλιν Ἄπρω πεδιάδας· τοὺς δὲ πλείους εἶναι τοὺς ἅμα τῷ Χαλὴλ ἐξ Ἀσίας διαπεραιωθέντας ἐς μισθοφορικὴν συμμαχίαν τῶν Κατελάνων. τῶν οὖν Κατελάνων τὴν ἐπὶ Θετταλίαν, ὡς ἔφαμεν, ὁδευόντων, ἤρξαντο κατ' αὐτῶν στασιάζειν οἱ Τοῦρκοι τὴν σφῶν συνδιαίτησιν ὑποπτεύοντες καὶ οὐ μάλα τοι σφόδρα ἀκίνδυνον ἐσομένην οἰόμενοι. συστάντες οὖν οἱ τῶν Τουρκικῶν στρατευμάτων ἡγεμονεύοντες, ὅ,τε Μελὴκ καὶ ὁ Χαλὴλ, τῷ τῶν Κατελάνων ἀρχηγῷ λόγους περὶ τῆς ἅμα εἰρήνῃ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

διαλύσεως κεκινήκασιν. οὗ δὴ προθύμως τὴν αἴτησιν δεξαμένου (οὐδὲ γὰρ αὐτοῖς ἤδη Ῥωμαίων ἀπαλλαγεῖσι χρειώδης ἐτύγχανεν ἡ τῶν Τούρκων ἔκδημος συστρατεία) ἄσμενοι διελέλυντο τούς τε αἰχμαλώ 1.249 τους καὶ ὅσα ἐπεφέροντο λάφυρα διανειμάμενοι κατὰ τὸ ἀνάλογον ἑκατέροις τοῖς μέρεσιν. ἀλλὰ τὰ περὶ τῶν Τούρκων πλειόνων δεόμενα λόγων ἐροῦμεν ἐν τοῖς ἑξῆς. ζʹ. Οἱ δὲ Κατελάνοι τῶν Τούρκων ἤδη ἀπαλλαγέντες καθ' ἑαυτοὺς ἦσαν παραχειμάζοντες πρὸ τῶν ὀρῶν τοῦ τε Ὀλύμπου καὶ τῆς Ὄσσης, ὡς ἔφαμεν. ἔαρος δ' ἐπιστάντος ἄραντες ἐκεῖθεν διαβαίνουσι τάς τε τῶν ὀρῶν κορυφὰς καὶ τὰ ἐν τούτοις Τέμπη· καὶ πρὶν ἐπιστῆναι τὸ θέρος, ἐσβάλλουσιν ἐς τὰ Θετταλικὰ πεδία. ἔνθα δὴ χώραν εὑρόντες ἀγαθήν τε καὶ πίονα ὅλον ἐκεῖ διατετρίφασι τὸν ἐνιαυτὸν τήν τε χώραν δῃοῦντες καὶ διαφθείροντες ὅσα μὴ ἐντὸς ἦσαν τειχῶν μηδενὸς ἀντιταττομένου. εἶχε γὰρ ἀσθενῶς τηνικαῦτα τὰ περὶ Θετταλίαν πράγματα, τοῦ διέποντος ἐκεῖ τὴν ἀρχὴν νέου τε ὄντος τὴν ἡλικίαν καὶ ἀπείρως ἔχοντος ἐς πραγμάτων μεγάλων διοίκησιν καὶ ἄλλως νόσῳ δαπανωμένου μακρᾷ καὶ ὅσον οὐδέπω τεθνήξεσθαι μέλλοντος καὶ ἅμα αὐτῷ καταλύσειν τὴν μέχρις αὐτοῦ διαδοχὴν τῆς τῶν προγόνων καὶ σεβαστοκρατόρων ἀρχῆς. γυναῖκα μὲν γὰρ οὗτος ἠγάγετο ἑαυτῷ πρὸ βραχέος Εἰρήνην, τὴν νόθην τοῦ βασιλέως Ἀνδρονίκου θυγατέρα· παῖδα δὲ μετ' αὐτῆς οὐ γεγέννηκεν, ὃς ἂν αὐτῷ τῆς ἀρχῆς καταστῇ διάδοχος. καὶ διὰ ταῦτα πλημμελῶς τὸ ἐπὶ τοῦ παρόντος τὰ ἐκεῖσε ἐφέροντο πράγματα. πλείονα δὲ καὶ τὴν εἰς τὸ ἔπειτα ὤδινον ταραχήν τε καὶ στάσιν ἕνεκα τῆς ἀρχῆς, ἀδηλίας ἔτι κεκαλυμμένου βυθοῖς τοῦ ταύτην διαδεξομένου. καὶ μὲν δὴ τοῦ τε ἡγεμόνος τῆς χώρας ἐσχάτῃ νόσῳ πιεζομένου καὶ τῶν πο 1.250 λεμίων δίκην φλογὸς ἐπιόντων καὶ νεμομένων τὴν χώραν ἔδοξε τῇ τῶν προεχόντων ἐκεῖ κατὰ γένος βουλῇ, χρήμασι περιελθεῖν τοὺς πολεμίους καὶ δωρεῶν ἁβροτέρων ὤνιον ἐσχηκέναι τὴν γνώμην τῶν ἡγεμόνων, πρὶν ταῦτα αὐτοὺς ἀφελεῖν πολεμίᾳ χειρὶ, δώσειν τε ὑποσχέσθαι πομποὺς τοὺς ἀπάξοντας ἐπί τε Ἀχαΐαν καὶ Βοιωτίαν, χώραν ἁβράν τε καὶ εὔκαρπον καὶ πολλὰς κεκτημένην τὰς χάριτας καὶ ἅμα πρὸς οἴκησιν ἐπιτηδειοτάτην πασῶν· εἰ δὲ καὶ συμμαχίας δέοιντο, καὶ τοῦτο δὲ μάλα προθύμως τελεῖν καὶ φίλους εἶναί σφισι διὰ βίου. (Β.) Τοῦτο καὶ τοῖς Λατίνοις ἀρεστόν τε ἔδοξε καὶ μάλα δήπου κατὰ γνώμην. ἔφασαν γὰρ, ὡς εἰ πολέμῳ καὶ μάχῃ τὰ τῆς ἐκβάσεως ἐπιτρέψαιμεν, ἥ τε χώρα φθαρήσεται τά τε πράγματα συντριβήσονται κἀκ πολλῶν ἐς στενὸν κομιδῇ συνελαθήσονται, ὑπὲρ ὧν ἡμῖν ἡ πᾶσα σπουδή. ἔπειτα καὶ τὰ τῆς νίκης οἷ προχωρήσει, τῶν πάντων ἐστὶν οὐδεὶς ὃς ἐξεπίσταται πλὴν ἢ θεός. ἡμῖν δ' ἔστιν ὡς ἐπίπαν ἀμφισβητήσιμα ταῦτα καὶ οὐδαμῆ πω σαφῆ. εἰ γὰρ αἱ πλείους ξυντυχίαι τοῖς ἀνθρώποις ἐπίσης εἰσὶν ἐλπιζόμεναι, οὐδὲν ἧττον καὶ σφίσι τὸ περιγενέσθαι συμβάλλεται ἤπερ ἡμῖν. οὔτε γὰρ ἡμῖν ἐστι πιστόν τι ἐχέγγυον ἐς τὸ μέλλον περὶ τῆς νίκης, οὔτ' αὐτοῖς ἀπλανὴς εἴ τις περὶ ταύτης δόξα πρόσεστιν. αἵ τε γὰρ δυσχωρίαι τῶν ὀρῶν, οἷς ἡ φύσις πολλαχόθεν τὴν χώραν ὠχύρωσεν, ἀσφάλειάν τε καὶ θάρσος τοῖς ἔχουσι δίδωσι· τά τε φρούρια ἐφ' ὑψηλῶν ἱδρυμένα τῶν τόπων ἀμήχανον ἡμῖν παρέξει τὴν πολιορκίαν. ὥστε ὁποτέρως ἕξει τὸ πρᾶγμα, οὐκ εὔοδα τὰ τῆς ἀποβάσεως ἡμῖν ἀπαντᾷ 1.251 οὕτως ἐπὶ ξένης πλανωμένοις καὶ ἀλλοτρίας καὶ τοσοῦτον τῆς οἰκείας ἀπῳκισμένοις. τῶν οὖν ἀτοπωτάτων ἂν εἴη, παρὸν ἐμπλῆσαι τοσούτων χρημάτων τὰς δεξιὰς ἄνευ πόνων καὶ ἅμα συμμάχων καὶ φίλων εὐπορῆσαι τοιούτων, ἔπειτα παραδραμόντας ὑπὲρ ἀδήλων ἐλπίδων μεγάλους ἀναδέχεσθαι κινδύνους. (Γ.) Οὕτω μὲν οὖν ἐκεῖνοι συνιδόντες καὶ οὕτω διασκεψάμενοι σπονδὰς καὶ ξυμβάσεις ἐπὶ τοῖς εἰρημένοις τίθενται πρὸς τοὺς Θετταλούς· καὶ ἅμα ἦρι τά τε χρήματα καὶ τοὺς πομποὺς παρ' αὐτῶν εἰληφότες ὑπερβάλλουσι τὰ μετὰ Θετταλίαν ὄρη· καὶ διαβάντες τὰς Θερμοπύλας στρατοπεδεύουσι περί τε Λοκρίδα καὶ ποταμὸν τὸν Κηφισσόν· ὃς μέγιστος ὢν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ῥήγνυται μὲν ἐξ ὄρους τοῦ Παρνασσοῦ, κάτεισι δὲ πρὸς ἕω τὸ ῥεῦμα κινῶν, καὶ πρὸς μὲν ἄρκτους ποιούμενος τούς τε Ὀπουντίους καὶ Ἐπικνήμιδας Λοκρούς, πρὸς δὲ μεσημβρίαν καὶ νότον ἄνεμον τὴν μεσόγειον ἅπασαν τῆς τε Ἀχαΐας καὶ Βοιωτίας· μέγιστος μὲν καὶ ἀδιαίρετος ἄχρι τῶν περὶ Λεμβαδίαν τε καὶ Ἁλίαρτον πεδιάδων τηρούμενος, ἔπειτα πρὸς δύο σχιζόμενος ῥεύματα καὶ ἐς Ἀσωπόν τε καὶ Ἰσμηνὸν μετατιθέμενος τὰ ὀνόματα· καὶ διὰ μὲν Ἀσωποῦ τέμνων τὴν Ἀττικὴν ἄχρι θαλάττης· διὰ δ' Ἰσμηνοῦ τῇ τῆς Εὐβοίας θαλάττῃ σπενδόμενος περὶ τὰ τῆς Αὐλίδος προαύλια· ἔνθα πάλαι τοὺς ἐπὶ Τροίαν ναυστολοῦντας Ἕλληνάς τε καὶ ἥρωας τὰ πρῶτα προσεσχηκέναι τε καὶ αὐλίσασθαι λέγουσιν. (Δ.) Ἐπεὶ δὲ τὴν τῶν πολεμίων ἐπύθετο ἔφοδον ὁ τήν τε τῶν Ἀθηνῶν καὶ Θηβῶν διέπων ἀρχὴν καὶ τὴν χώραν ἐκείνην ἔχων ἅπασαν, ὃς δὴ καὶ 1.252 μέγας μὲν, ὡς ἀνωτέρω εἰρήκειμεν, ἐπωνόμαστο πριμμικήριος, τῆς δὲ λέξεως ὑπὸ τοῦ δήμου διαφθαρείσης μέγας ἐλέγετο κύριος· οὗτος τοίνυν δίοδον μὲν αἰτήσασι τοῖς Κατελάνοις οὐ βεβούληται δοῦναι, ὥσθ' ὅποι βούλοιντο ἀπιέναι διὰ τῆς χώρας αὐτοῦ· ὁ δὲ ἀλλὰ μακρὰν τὴν ὀφρὺν διὰ τῆς γλώττης ἐπιδειξάμενος καὶ πολὺν τὸν μυκτῆρα κατ' αὐτῶν ὡς οὐ φροντίδος μεγάλης μάλα ἀξίων καταχεάμενος ἤθροιζε τὰς δυνάμεις διά τε φθινοπώρου καὶ χειμῶνος ἐς ἔαρ. παρεσκευάζοντο δὲ καὶ οἱ Κατελάνοι ὡς ἢ τεθνηξόμενοι τῷ πολέμῳ ἢ ζήσοντες εὐκλεῶς. (Ε.) Ἔαρος μὲν οὖν ἐπιγενομένου διαβάντες οἱ Κατελάνοι τὸν Κηφισσὸν κατεστρατοπέδευσαν περὶ τὴν Βοιωτίαν οὐ πόῤῥω τοῦ ποταμοῦ, αὐτοῦ που συστῆναι τὸν πόλεμον περιμένοντες. ἦσαν μὲν οὖν τῶν Κατελάνων οἱ μὲν ἱππεῖς πεντακόσιοι καὶ τρισχίλιοι, τὸ δὲ πεζὸν τετρακισχίλιοι· οἷς καὶ πολλοὶ τῶν αἰχμαλώτων διὰ τὴν τῆς τοξικῆς εὐφυΐαν συγκατελέγησαν. ἀκηκοότες δ' ὅσον οὐδέπω τοὺς πολεμίους ἐφεστήξοντας ἀροῦσι μὲν τὴν γῆν ἐκείνην ἅπασαν, ἔνθα συστῆναι τὸν πόλεμον ἔγνωσαν. ἔπειτα περιταφρεύσαντες καὶ διώρυχας ἀνοίξαντες ἐκ τοῦ ποταμοῦ ὅλον ἀρδεύουσι τὸ πεδίον οὕτω πλουσίως, ὥστε ἐλλιμνάζειν καὶ ἀνίσχυρον τὴν βάσιν τῶν ἵππων ποιεῖν, συγχωννυμένων τῷ πηλῷ τῶν ποδῶν καὶ οὐκ εὐχερῶς ἐχόντων κινεῖσθαι. (ʹ.) Καὶ μὴν δὴ μεσοῦντος ἔαρος ἐφίσταται καὶ ὁ τῆς χώρας ἀρχηγὸς πολὺν ἐπαγόμενος στρατὸν συγκεκροτημένον ἔκ τε Θηβαίων καὶ Ἀθηναίων καὶ Πλαταιέων, καὶ ὅσοι Λοκρῶν καὶ Φωκέων καὶ Μεγαρέων ὑπῆρχον ἐπίλεκτοι. ἱππεῖς μὲν οὖν ἦσαν ἑξακισχίλιοι τούτῳ καὶ τετρα 1.253 κόσιοι. πεζοὶ δ' ὑπὲρ τοὺς ὀκτακισχιλίους· οἵησις δὲ καὶ φρόνημα 1.253 πολὺ τὸ παράλογον κεκτημένη. ἤλπιζε γὰρ οὐ μόνον τοὺς Κατελάνους αὐτίκα συγκατασφάξειν, ἀλλὰ καὶ πάσας ἐφεξῆς χώρας καὶ πόλεις ἄχρι τῆς Βυζαντίδος ἕξειν ὑποχειρίους. τὸ δὲ ἦν πᾶν τοὐναντίον. ἐπεὶ γὰρ ἐν ἑαυτῷ καὶ οὐκ ἐν τῇ χειρὶ τοῦ θεοῦ τὴν τῶν πραγμάτων ἔπεμπεν ἔκβασιν, παίγνιον ἐν βραχεῖ τῶν πολεμίων καθίσταται. θεασάμενος γὰρ τὸ πεδίον πολλῇ τῇ χλόῃ τῆς πόας κατάκομον καὶ μηδὲν τῶν γεγονότων ὑπονοήσας βοῇ καὶ παρακελεύσμασιν ἅμα τοῖς ἀμφ' αὐτῷ πᾶσιν ἱππεῦσιν ὁρμᾷ κατὰ τῶν πολεμίων, ἀκινήτων ἔξω τοῦ πεδίου κατὰ χώραν ἑστώτων καὶ τὴν αὐτοῦ προσδοκώντων ἔφοδον. ἀλλὰ πρὶν εἰς μέσον ἐλθεῖν τὸ πεδίον, ὥσπερ στεῤῥῷ τινι πεδηθέντες οἱ ἵπποι δεσμῷ τῷ τῆς ὑγρανθείσης γῆς πρὸς τὴν τῶν ποδῶν θρασυτέραν βάσιν μάλα ὑπείκοντι, οἱ μὲν ἅμα τοῖς ἱππεῦσιν ἐκυλίοντο κατὰ τοῦ πηλοῦ· οἱ δὲ τοὺς ἱππέας ἀποβαλόντες πλημμελῶς ἐφέροντο κατὰ τοῦ πεδίου· οἱ δὲ τοὺς πόδας συγκαταχώσαντες ἐφ' ἑνὸς ἵσταντο, καθάπερ ἀνδριάντας τοὺς ἐπιβάτας ἀνέχοντες. οἱ μέντοι Κατελάνοι ἀναθαρσήσαντες πρὸς τὰ δρώμενα παντοδαποῖς κυκλωσάμενοι βέλεσιν τούτους μὲν ἅπαντας ἄρδην κατέσφαξαν· κἄπειτα εὐθὺς ἐκεῖθεν ἐξιππασάμενοι τοὺς φεύγοντας κατόπιν ἐδίωκον ἄχρι Θηβῶν τε καὶ Ἀθηνῶν· ἃς δὴ καὶ ἀπροσδοκήτως ἐπεισπεσόντες ῥᾷστα χειροῦνται αὐτοῖς χρήμασι καὶ αὐταῖς γυναιξί τε καὶ τέκνοις. οὕτω τοίνυν ὥσπερ ἐν κύβοις ἐξαίφνης μεταπεσούσης τῆς ἀρχῆς ἐγκρατεῖς οἱ Κατελάνοι γενόμενοι τῆς τε



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

μακρᾶς πλάνης ἀπήλλαξαν ἑαυτοὺς καὶ ἀεὶ πρὸς τὸ πλέον ἠρέμα τοὺς ὅρους 1.254 οὐ λήγουσιν ἄχρι καὶ τήμερον αὔξοντες ἧς ἔσχον αὐθεντίας. ἀλλὰ τὰ μὲν περὶ τῶν Κατελάνων οὕτως ἔσχεν. η΄. Οἱ δὲ Τοῦρκοι μετὰ τὸ διαστῆναι τῶν Κατελάνων εἰς δύο σχίζονται μοίρας· καὶ οἱ μὲν τῷ Χαλὴλ, οἱ δὲ τῷ Μελὴκ ἕπονται. ὁ μὲν γὰρ Μελὴκ ἐπειδὴ τῷ θείῳ βαπτίσματι πρότερον τελεσθεὶς μετὰ τῶν περὶ αὐτὸν καὶ πρός γε ἱκανοὺς τοὺς μισθοὺς ἀπολαμβάνων παρὰ τοῦ βασιλέως, ἔπειτα τούς τε πρὸς αὐτὸν ἠθετηκὼς ὅρκους καὶ ἀποστέρξας τοὺς τῆς εὐσεβείας θεσμούς τε καὶ νόμους πρὸς τοὺς τῶν Ῥωμαίων ἐχθροὺς ηὐτομόλησεν, ἀνέλπιστον τὸ παράπαν ἐνόμιζε τὴν πρὸς Ῥωμαίους ἤδη φιλίαν. ἐντεῦθεν εἵλετο μᾶλλον προσιέναι καλοῦντι τῷ Κράλῃ Σερβίας, ἢ Ῥωμαίοις εἰς ὄψιν ἐλθεῖν· καὶ ἀπελθὼν ἅμα χιλίοις ἱππεῦσι καὶ πεντακοσίοις πεζοῖς τά τε ὅπλα ἔθεντο καὶ τὴν ἵππον πᾶσαν παρέδοσαν τῷ Κράλῃ Σερβίας κελεύσαντι, καὶ ἰδιωτικόν τινα ζῆν προσετάχθησαν βίον, πλὴν ἐν μόνῳ πολέμου καὶ χρείας τοιαύτης καιρῷ τὰ ὅπλα λαμβάνοντας, ὅσους ἂν ἐπιτάξειεν αὐτὸς, ἕπεσθαι τῷ τῶν Τριβαλλῶν στρατεύματι. (Β.) Ὁ δὲ Χαλὴλ περιμείνας ἐν Μακεδονίᾳ μετὰ τριακοσίων καὶ χιλίων ἱππέων καὶ πεζῶν ὀκτακοσίων ἐζήτει σπείσασθαι Ῥωμαίοις ἐπὶ δυοῖν, ἵνα τε τὰ περὶ τὴν Χριστούπολιν ἀφεθεῖεν στενὰ διελθεῖν, καὶ ἵνα Ῥωμαϊκαῖς ναυσὶ διαπεραιωσάμενοι τὸν Ἑλλησπόντιον πορθμὸν ἀπέλθωσιν ἐς τὰ οἴκοι μετὰ τῆς λείας ἧς ἐπεφέροντο πάσης. ταύτης δὴ τῆς πρεσβείας ἀκηκοὼς ὁ βασιλεὺς καὶ ἀναμνησθεὶς ὅσην καὶ οἵαν ἐπή 1.255 γαγον τὴν φθορὰν τῇ τῶν Ῥωμαίων ἐπικρατείᾳ, ὥσπερ τι βαρύτατον ἄχθος ὅσον τάχος ἀποφορτίσασθαι τούτους ἐβούλετο. καὶ μέντοι καὶ ἀποστείλας εὐθὺς τῶν τότε στρατηγῶν τὸν προὔχοντα τὸν Σεναχηρεὶμ, μέγαν στρατοπεδάρχην τηνικαῦτα τυγχάνοντα μετὰ τρισχιλίων ἱππέων, διεβίβαζεν αὐτοὺς ἐκ Μακεδονίας εἰς Θρᾴκην ἄχρι τοῦ Ἑλλησπόντου. ἐνταυθοῖ δὲ τοῖς στρατιώταις καὶ στρατηγοῖς τῶν Ῥωμαίων θεασαμένοις τὸ πλῆθος τῆς τε ἵππου καὶ τῶν χρημάτων καὶ τῆς ἄλλης πάσης καὶ παντοίας λείας, ὅπερ ἔχοντες ἐκ Ῥωμαίων ἔμελλον οἱ ἐχθροὶ διαβαίνειν ἐς τὴν Ἀσίαν, ἄτοπον ἔδοξεν ἑκουσίοις τοῦτο γενέσθαι αὐτοῖς. εἴτε γοῦν οἶκτον τῶν Ῥωμαϊκῶν σχόντες πραγμάτων, εἴτε κέρδους καὶ λημμάτων παραχθέντες ἐλπίδι πρὸς ἀλλοτρίους τῶν συνθηκῶν τε καὶ σπονδῶν ἐβάδισαν λογισμοὺς, οὔτε ναῦς ἐδίδουν, αἳ πρὸς Ἀσίαν αὐτοὺς διαβιβάζειν ἔμελλον, καὶ νυκτὸς ἐπιθέσθαι σφίσιν ἐσκέψαντο. (Γ.) Τοῦτο τοὺς Τούρκους οὐκ ἐλελήθει. διὸ καὶ τὸν τόπον ἀμείψαντες παρεσκευάζοντο δέξασθαι τὴν Ῥωμαίων μάχην· μᾶλλον δὲ δραμόντες αἱροῦσιν ἓν τῶν παρακειμένων φρουρίων, κἀκεῖθεν ὡς ἐξ ὁρμητηρίου πρὸς μάχας καὶ πολέμους ὡπλίζοντο. τοῦτο τὴν Ῥωμαίων μελέτην διέκοψε καὶ ὡς πορρωτάτω τούτων αὐτοὺς στρατοπεδεύειν ἠνάγκασεν, ἕως ἂν καὶ βασιλεῖ ποιήσωνται δῆλον τὸ ξυμβεβηκός. καὶ μέντοι καὶ οὐκ ὀλίγος ἐν τούτοις ἐτρίβετο χρόνος, εἰωθὸς οὐκ οἶδ' ὅπως τοῖς Ῥωμαίων ἄρχουσι ῥαθύμως χρῆσθαι τοῖς τῶν σπουδαίων πραγμάτων σκέμμασιν. ἐπὶ τούτοις ἀμελεῖν οὐκ ἐνῆν τοῖς βαρβάροις, ἀλλὰ πέμψαντες ἐς Ἀσίαν πλείστην 1.256 ἐκ τῶν ὁμοφύλων βαρβάρων ἐν βραχεῖ διεπεραιώσαντο συμμαχίαν. ὅθεν ἀεὶ παρεξιόντες καὶ αἰφνιδίους ἅμα καὶ ἀπροσδοκήτους ἄλλοτε ἄλλοθεν ποιούμενοι τὰς ἐφόδους ἐδῄουν τὴν χώραν. (Δ.) Τοῖς γε μὴν τῶν Ῥωμαϊκῶν στρατευμάτων ἡγεμόσι τῶν ἀτοπωτάτων ἐδόκει, καθημένους ὁρᾷν δῃουμένην τὴν χώραν. διὸ πρὶν ἐπὶ μεῖζον ἀρθῆναι θράσους τοὺς πολεμίους καὶ πρὶν πλείονα τὴν ἀσθένειαν τοῖς Ῥωμαίων ἐπενεγκεῖν πράγμασι, δεῖν ἐνομίσθη τὸν βασιλέα Μιχαὴλ ἀναγκάσαντας ἅμα αὐτῷ πάντα στρατὸν συναθροῖσαί τε καὶ τὸ φρούριον ἐκπολιορκήσαντας διαφθεῖραι τοὺς πολεμίους. οὗ δὴ γενομένου πάντες στρατηγοὶ καὶ πάντα στρατεύματα περὶ τὸν βασιλέα ἠθροίζοντο. οὐ μόνον δὲ, ἀλλὰ καὶ ὅσοι δῆτα ἀγροῦ καὶ δικέλλης ἀπόζουσι, καὶ οὗτοι πάντες ἐκεῖ συνηλαύνοντο, δίκελλαν ἔχοντες ἕκαστος καὶ σκαπάνην ἐν ταῖν χεροῖν. οὐ γὰρ τοσοῦτον ὡς πολεμήσοντες ἀπῄεσαν,


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ὅσον ὡς ἐφ' ἑτοίμῃ τῇ θήρᾳ, συγκαταχώσοντες αὐτοῖς πολεμίοις αὐτὸ τὸ φρούριον. ὅθεν ἄραντες ἐπορεύοντο πρὸς τοὺς πολεμίους οἵ τε στρατηγοὶ καὶ ὁ στρατὸς σύν γε τῷ βασιλεῖ, πολὺν καὶ τὸν ἀγοραῖον ἐπισυρόμενοι καὶ ἀγρότην ὄχλον, καὶ ὅσοι σκαπάνης καὶ δικέλλης ἀπόζουσιν, οὐ μάλα ἄκοντας ἅπαντας. ὑπὸ γὰρ ἀπειρίας οἱ πλεῖστοι ξυνελαυνόμενοι πρὸς ἐλπίδα μόνην τοῦ κέρδους ἑώρων· τοὺς δ' ἐπὶ τούτοις κινδύνους λήθῃ μακρᾷ παραπέμποντες διετέλουν. (Ε.) Ὅσῳ μέντοι τοῖς πολεμίοις ἐνῆν ἐῤῥῶσθαι πρὸς αὐθαιρέτους κινδύνους διά τε δὴ τὸ ἐν πολεμίᾳ περικεκλεῖσθαι γῇ καὶ διὰ τὸ πλήθει στρατοῦ πολλῷ τῶν ἀντιπαρατατто 1.257 μένων ἡττᾶσθαι, τοσούτῳ Ῥωμαίοις ξυνέβαινε περιφρονοῦντας ἰέναι ἐπ' αὐτοὺς καὶ ἀμελοῦντας τῶν τακτικῶν διὰ τὸ πολὺ τῶν πολεμίων ὅπλοις καὶ πλήθεσιν ὑπερέχειν· μὴ ξυνιεῖσιν, ὡς ἔοικεν, ὡς οὐκ ἔστιν οὐδὲν τῶν ἐν κόσμῳ πραγμάτων βέβαιόν τε καὶ ἀσφαλὲς, ἀλλὰ παίγνιον θεοῦ τὰ ἀνθρώπινα κατὰ Πλάτωνα καὶ ἀδήλως πάντ' ἄνω καὶ κάτω περιχωρεῖ καὶ ἐναλλὰξ ἀτέκμαρτον πορεύεται δρόμον. ταῦτ' ἄρα καὶ οἱ πολέμιοι πρότερον ἀπὸ μόνης τῆς φήμης τὰ τῶν Ῥωμαίων δεδιότες στρατεύματα καὶ τοῖς τεθνηκόσι μᾶλλον ἢ τοῖς ζῶσι συγκαταλέγοντες ἑαυτοὺς νῦν τὴν οὐκ ἐν τάξει τούτων θεασάμενοι κίνησιν, θαρσαλεώτεροι σφόδρα γίνονται πρὸς τὴν μάχην· καὶ συναγαγόντες ἅπαντα χρήματα καὶ γυναῖκας, καὶ ὅσα μὴ πρὸς τὸν προκείμενον ἦσαν χρήσιμα πόλεμον, ἐντὸς ἠσφαλίσαντο τῶν τε χαρακωμάτων καὶ τάφρων, ἃ φθάσαντες καλῶς προπαρεσκευάσαντο πρὸς οἰκείαν ἀσφάλειαν. αὐτοὶ δὲ τοὺς ἐπιλέκτους ἱππέας ἀναλαβόμενοι καὶ ὁπλισθέντες λαμπρῶς οὐ πλείους τῶν ἑπτακοσίων τυγχάνοντες ἐξαίφνης πρὸς τὴν τοῦ βασιλέως διεκθέουσι σημαίαν οὔτ' ἐν ἀσφαλεῖ τοῦ τόπου σταθεῖσαν, οὔτε τῆς προσηκούσης δυνάμεώς τε καὶ εὐταξίας ἠξιωμένην. (΄.) Πρὸς δὴ τὸν οὕτως αἰφνίδιον δρόμον τῶν πολεμίων θορυβηθέντες πρῶτον ὁ συρφετώδης ἐκεῖνος καὶ ἀγρότης ὄχλος πρὸς ἄσχετον ἔβλεψαν παρευθὺς τὴν φυγήν· ἔπειτα κατ' ὀλίγους ἕτεροι διελύοντο· καὶ τέλος τραπόμενοι πάντες δίχα πολεμικοῦ κρότου ἔφευγον ἀμεταστρεπτί. βουλόμενος δ' ὁ βασιλεὺς πρὸς τάξιν ἀθροίζειν τὸ στράτευμα εὕρισκε τῶν πάντων οὐδένα τὸν ἀκροώμενον· καὶ ἀπαγορεύσας ᾔει τὴν αὐτὴν καὶ αὐτὸς λύπης 1.258 καὶ δακρύων μεστὸς, ἔκτισιν εἶναι ταῦτα σαφῆ διαλογιζόμενος ἐκ θεοῦ παλαιῶν τε καὶ νέων ἁμαρτημάτων. οἱ δὲ πλείους τῶν στρατηγῶν αἰσχυνθέντες τὴν οὐκ ἐν τάξει φυγὴν ἐκαρτέρουν μέχρι τινὸς ἀντεχόμενοι καὶ περισπῶντες εἰς τὸν ἑαυτῶν πόλεμον τοὺς βαρβάρους καὶ οἷον ἀναστέλλοντες αὐτοὺς, μὴ διώκειν τοὺς φεύγοντας τῶν Ῥωμαίων, μηδ' αὐτὸν δὴ τὸν βασιλέα. τέλος δὲ κυκλωθέντες ὑπὸ τῶν πολεμίων πάντων ἀθροισθέντων ὁμοῦ παρέδοσαν ἑαυτούς. οἱ δὲ πολέμιοι τούτους τε ἐν δεσμοῖς ἠσφαλίσαντο καὶ τὰ βασιλικὰ διενείμαντο χρήματα, καὶ ὅσα τῶν βασιλικῶν παρασήμων ἐν τῇ τοῦ βασιλέως ἦσαν σκηνῇ· μεθ' ὧν ἦν καὶ ἡ βασιλικὴ καλύπτρα, κεκοσμημένη συνήθως τῷ τε λίθῳ καὶ ταῖς τῶν μαργάρων σειραῖς· ἣν δὴ καὶ τῇ ἑαυτοῦ κεφαλῇ τὸν Χαλὴλ ἐπιθέντα φασὶ σκωπτικούς τε καὶ εἴρωνας λόγους ἀφιέναι κατὰ τοῦ βασιλέως. Θ΄. Κατὰ τοῦτον τὸν χρόνον καὶ ὁ πατριάρχης Ἀθανάσιος τὸν πατριαρχικὸν παραιτησάμενος θρόνον ἡσύχασεν ἐν τοῖς περὶ τὸν Ξηρόλοφον κελλίοις αὐτοῦ. τὸ δ' αἴτιον, ὅτι τινὲς τῶν πολὺ κατ' αὐτοῦ βάρος τρεφόντων οὐκ ἀνεχόμενοι βλέπειν αὐτὸν ἐπὶ τοσοῦτον χρόνον τῆς πατριαρχικῆς περιωπῆς ἀπολαύοντα (ὄγδοον γὰρ ἔτος ἠνύετο τούτῳ τηνικαῦτα, ἀφ' οὗ τὸ δεύτερον ἐς τὸν πατριαρχικὸν ἀνεβιβάσθη θρόνον) ἐπιβουλὴν ἐξαρτύουσι κατ' αὐτοῦ μάλα φρικώδη καὶ ἀσεβείας μεστήν. ἐπεὶ γὰρ ἐκεῖνος ἔτι καὶ τὴν πατριαρχικὴν ἐξουσίαν ἔχων ἐν τοῖς περὶ τὸν Ξηρόλοφον αὐτοῦ κελλίοις ὡς τὰ πολλὰ διέτριβε, κλέπτουσιν ἐκ τοῦ πατριαρ 1.259 χικοῦ θρόνου τὸ ὑποπόδιον αὐτοῦ· ὑφ' ὃ τὴν θείαν εἰκόνα στηλογραφοῦσι τοῦ σωτῆρος Χριστοῦ καὶ ἐφ' ἑκάτερα ταύτης τόν τε βασιλέα Ἀνδρόνικον χαλινὸν ἐν τῷ στόματι φέροντα καὶ τὸν πατριάρχην Ἀθανάσιον ἕλκοντα τοῦτον ὥσπερ τις ἡνίοχος ἵππον. ἔπειτα



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

οὕτως ἔχον τὸ ὑποπόδιον ἀπιόντες τιθέασιν ἔνθα καὶ πρότερον ἔκειτο, παρὰ τὸν πατριαρχικὸν δηλαδὴ θρόνον. ἔπειτα θεατρίζουσι τὸ δρᾶμά τινες θεασάμενοι παρ' ἐλπίδα καὶ ὡς ἀσεβῆ τὸν πατριάρχην διαβάλλουσι πρὸς τὸν βασιλέα. ὁ μὲν δὴ βασιλεὺς τοὺς διαβάλλοντας μεταπεμψάμενος καὶ αὐτοὺς ἀναμφιβόλως εἶναι συλλογισάμενος τοὺς τὸ ἀσεβὲς ἐκεῖνο καὶ ἄθεσμον δρᾶμα συσκευασαμένους εἱρκτῇ παραδίδωσι χαλεπωτάτῃ τε καὶ διηνεκεῖ. ὁ δὲ πατριάρχης δυσχεράνας, ὅτι μὴ πολλῷ μείζονι τούτους παρέδωκε τιμωρίᾳ, τὸν πατριαρχικὸν εὐθὺς παρῃτήσατο θρόνον. (Β.) Δύο δὲ μεταξὺ παρεῤῥυηκότων ἐνιαυτῶν εἶτα τὸν πατριαρχικὸν διαδέχεται θρόνον Νίφων, ὁ τῆς Κυζίκου μητροπολίτης, τῷ βασιλικῷ θελήματι τῶν ἀρχιερέων εἰξάντων καὶ μεταστησάντων αὐτὸν ἐκ Κυζίκου πρὸς τὴν τῆς πατριαρχείας περιωπήν. ἦν δὲ ὁ ἀνὴρ πάντη μὲν ἀδαὴς τῆς ἔξω παιδείας, οὐχ ὡς τὰ πολλὰ δὲ, καὶ τῆς θειοτέρας, ὡς μηδ' οἰκείᾳ χειρὶ τὰ τῶν γραμμάτων στοιχεῖα γράφειν εἰδώς. ὅσον γὰρ ἄκρῳ δακτύλῳ ταύτης γευσάμενος ἠρκέσθη τῇ φύσει χρώμενος. σύνεσιν γὰρ πλουτῶν καὶ περίνοιαν φυσικὴν, εἰ καὶ πρὸς γραμμάτων ἀσχολίαν ταύτην ἐκίνει, τοῖς μάλιστα τῶν σοφῶν ἐξητάζετ' ἄν. ἀλλὰ φθάσας τῶν χρημάτων ὁ πόθος καὶ τῆς κοσμικῆς περιφανείας καὶ δόξης τὸ ἀπειρόκαλον ὅλην ἐς ταῦτα τὴν φυσικὴν ἐκείνην ἀπησχόλησε σύνεσιν καὶ περί 1.260 νοιαν, καὶ ὅλην ὥσπερ ἄμπωτις ἐξεῤῥόφησε τὴν νύκτωρ καὶ μεθ' ἡμέραν μελέτην αὐτοῦ. καὶ ἦν ἐμπειρότατος διὰ ταῦτα πρὸς πᾶσαν βιωτικῶν πραγμάτων ἐπιστασίαν, ἕς τε φυτηκομίας δηλαδὴ καὶ ἀμπελώνων ἐργασίας εὐκαίρους καὶ οἴκων παντοίων οἰκοδομὰς καὶ, ἁπλῶς εἰπεῖν, ὅσα τοὺς σιτῶνας καὶ τῶν οἴνων τὰς ἀποθήκας καὶ τὰ βαλάντια ῥήγνυσι, μείζω τῶν ὄντων ἀπαιτοῦντα καθ' ἕκαστον τῶν ἐνιαυτῶν. ἐῶ λέγειν ἐνδυμάτων βλακείαν καὶ ἵππων ἀγερώχων καὶ ὑψαυχένων κτήσεις καὶ τραπέζης ὅσα θωπεύει τὸ σῶμα, καὶ μήτε ὕλης πάχος ἐντίθησι, μήτε τὸ εὔχρουν ἀπαγορεύει. ἐδίδου γὰρ καὶ τῇ γυναικωνίτιδι καιρὸν ἀσχολίας οὐ ῥᾴθυμόν τινα καὶ κατὰ τὸ ἐπίσης ἐνδεχόμενον, ἀλλ' ἀναγκαῖον καὶ, ὡς εἰπεῖν, ἀπαραίτητον. ὁ δὲ τοιοῦτος τρόπος παρέπεισε τοῦτον καὶ τὴν ἐπιτροπὴν καὶ διοίκησιν ὕστερον τῶν γυναικείων πραγμάτων καὶ κτημάτων ὑπελθεῖν, λέγω δὴ τῶν δύο παρθενώνων, τοῦ τε Περτζὲ καλουμένου καὶ Κραταιοῦ, ἵνα ἅμα μὲν ἐκ τῶν προσόδων ἔστιν ἃ σφετερίζηται προφάσει τῶν οἰκοδομημάτων, ἅμα δὲ καὶ συχνοτέραν ἔχῃ ποιεῖσθαι τὴν ἐκεῖσε διατριβὴν μετά τινος γαύρου καὶ χλιδῶντος ἤθους. οὗτος ὁπόσους εὐδοκιμήσει χρωμένους ἑώρα φύσεως ἢ τέχνης ἡστινοσοῦν, ὁπόσαι πρὸς ἀρέσκειαν καὶ κοινῇ τοῖς πᾶσι καὶ ἰδίᾳ τοῖς βασιλεῦσι πεφύκασι, 1.261 φίλος εἶναι σφῶν ὑπεκρίνετο μὲν ἕς γε τὸ φαινόμενον· κρύφα δ' ἤχθετο πᾶσι καὶ βάσκανον ἔτρεφεν ὀφθαλμόν τε καὶ γνώμην κατ' αὐτῶν· καὶ λάθρα προσιὼν ἀεὶ τοῦ βασιλέως ὑπορύττειν οὐκ ὤκνει τὰς ἀκοὰς, ἄλλοτε ἄλλοις λοιδορούμενος παραπλήσιον ποιῶν τῷ ὄφει τῷ Λιβυκῷ. γίνεσθαι γάρ φασι παρὰ τοῖς Λίβυσιν ὄφιν ἐχίδνῃ παρόμοιον, ὃς πολὺν ἐπιχεάμενος ψάμμον, ὡς μὴ θεῷτο τοῖς παριοῦσι, μόνον ἀνεῳγμένον ἔξω που τῆς ψάμμου τὸ στόμα μετὰ τῆς γλώττης ἀφίησι τοῖς παριοῦσιν ἀπροσδόκητον ὄλεθρον. (Γ.) Ἕν τι μόνον ἔδοξε τῷ βασιλεῖ συμβουλεύσειν χρηστὸν καὶ τοῦτο δ' οὐ τὸν οἰκεῖον ἐνδεικνύμενος τρόπον· ἀλλὰ τὴν τοῦ βασιλέως ἐς τοῦτο διάπυρον ξυννενοηκὼς ὁρμὴν συνεργὸς ἔδοξεν ἐς τὸ βούλευμα καὶ αὐτός. συνήργησε γὰρ τῷ τοῦ βασιλέως δόγματι ἐς τὸ δέξασθαι τοὺς Ἀρσενιάτας ἅπαξ τῆς καθολικῆς τοῦ θεοῦ ἐκκλησίας ἀποῤῥαγέντας διὰ κενοδοξίαν, ἵνα μὴ αὐτοί τε τὸν ψυχικὸν κατὰ διαδοχὴν κινδυνεύσωσι θάνατον καὶ ἅμα ἄλλους ἐξαπατῶντες ἐς τὸν αὐτὸν συνελαύνωσιν ὄλεθρον. τοῦ δὴ βασιλέως εἴξαντος ταῖς πατριαρχικαῖς συμβουλαῖς οὑτωσὶ, ἅτ' ἐκ πολλοῦ καὶ αὐτοῦ τουτὶ βουλομένου, συναθροίζονται πολλοὶ πολλαχόθεν ὥσπερ ἐκ πετρῶν καὶ βάτων αὐθήμεροι βλαστάνοντες Γίγαντες, ῥάκη μὲν περικείμενοι διεῤῥωγότα, πλεῖστον δ' ἐν τοῖς τῆς καρδίας μυχοῖς τὸν τῆς κενοδοξίας καλύπτοντες ὄγκον. καὶ δὴ βαρέα τινὰ καὶ τὴν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀκοὴν οὐ μετρίως κνίζοντα προβάλλονται τὰ ζητήματα, ἵν' ἐς τοὺς πολλοὺς ἐμφανίσωσι δῆθεν οὐκ 1.262 ἀναιτίως ἑαυτοὺς σχιζομένους. πρῶτον μὲν, ἵνα δηλαδὴ τὸ τοῦ πατριαρχεύσαντος Ἀρσενίου λείψανον ἐκ τῆς τοῦ ἁγίου Ἀνδρέου μονῆς ἐντίμως ἀνειληφότες ἐν τῷ μεγίστῳ τῆς τοῦ θεοῦ Σοφίας νεῷ μεταθῶσι. δεύτερον, ἵνα καθαρτικῷ τινι καθυποβληθῶσιν ἐπιτιμίῳ τὰ γένη τῶν ἱερέων, ἀργίαν δηλονότι τῆς ἱερουργίας ἐφ' ἡμέραις τεσσαράκοντα. τρίτον, ἵνα νηστείαις καὶ γονυκλισίαις ἐπὶ ῥητοῖς καὶ ὁ κοινὸς ἅπας λαὸς καθαρθῶσι· καὶ ἐπὶ τούτοις ἕτερα τῆς ὁμοίας ἀπονοίας ἐχόμενα, ἃ πάντα διὰ τὸ τῆς εἰρήνης καὶ ὁμονοίας καλὸν σπεύσας ὁ βασιλεὺς ἐκπεραίνει. (Δ.) Εἶθ' ἑξῆς ὅσοι μὴ ἀξιώμασιν ἀναλόγοις τετίμηνται τῶν ἀπὸ τοῦ σχίσματος ἀθροισθέντων, προστασίαις δηλαδὴ μητροπόλεων, προστασίαις μοναστηρίων, παῤῥησίαις ἐν βασιλείοις, πορισμοῖς προσόδων ἐτησίων, οὗτοι δὴ πάντες μετὰ βραχὺ τῆς τοιαύτης ἀπεῤῥάγησαν ὁμονοίας καί εἰσι ταῖς προτέραις αὖθις ἐμμένοντες ἰδιοτροπίαις καὶ σχίσμασιν. ὁ δὲ πατριάρχης προτραπεὶς παρ' αὐτῶν δὴ τῶν συνελθόντων Ἀρσενιατῶν ἀνῆλθεν ἐπὶ τοῦ ἄμβωνος, ἐνδεδυμένος τὴν ἱερατικὴν στολὴν, καὶ στὰς πρὸ τοῦ λειψάνου τοῦ Ἀρσενίου ἐξεφώνησεν ὡς ἐκ τοῦ Ἀρσενίου δῆθεν συγχώρησιν ἅπαντι τῷ λαῷ. ιʹ. Ἐν τούτοις τοῖς χρόνοις μετὰ τὴν νίκην ἐκείνην θρασυνθέντες ὅσον πλεῖστον ἐξῆν οἱ βάρβαροι μικροῦ πᾶσαν ἐδῄωσάν τε καὶ κάκιστα διέθηκαν τὴν περὶ τὴν Θρᾴκην τῶν Ῥωμαίων χώραν, ὡς μήτε ἀροτριᾷν, μήτε σπείρειν τῶν πόλεων ἐξιόντας δύνασθαι Ῥωμαίους ἐφ' ὅλοις ἔτεσι παρὰ βραχὺ δυσί. καὶ ἦσαν διὰ ταῦτα 1.263 λύπῃ βαθείᾳ καὶ παλαμναιοτάταις φροντίσι τὴν ἑαυτῶν οἱ βασιλεῖς ψυχὴν κατατέμνοντες. τὴν μὲν γὰρ ἀπὸ τῶν Ῥωμαϊκῶν στρατευμάτων βοήθειαν ἀπεγνώκεσαν ἤδη τελέως, ξυνιέντες μὲν ὀψὲ θεομηνίαν τινὰ περὶ τούτοις ἐπιπολάζειν, τὰς δὲ τῆς θεομηνίας αἰτίας οὐκ οἶδ' ὅπως οὐ ξυνιέντες. καὶ ἦν αὐτοῖς ἡ πᾶσα μελέτη μισθοφορικήν τινα προσκαλέσασθαι συμμαχίαν ὁθενδήποτε. καὶ μέντοι καὶ ἐπὶ τούτοις ἐτρίβετο χρόνος οὐ μέτριος, ἀναλογιζομένων τὴν τῶν χρημάτων δαπάνην ἐσομένην μεγάλην καὶ οὐ μάλα τοι φορητὴν τῷ βασιλικῷ ταμιείῳ, χρημάτων εἴπερ ποτὲ νῦν μάλιστα σπανίζοντι διὰ τὴν τῆς χώρας κάκωσιν. ὅμως μέντοι τῆς ἀνάγκης ἠρεμεῖν ἥκιστα συγχωρούσης πέμπει πρὸς τὸν ἐπὶ θυγατρὶ γαμβρὸν, τὸν Κράλην λέγω Σερβίας, ὁ βασιλεὺς Ἀνδρόνικος συμμαχίαν μεταπεμπόμενος. (Β.) Ἀλλὰ πρὶν ἐκείνην ἐκεῖθεν ἀφικέσθαι τὴν συμμαχίαν, ὁ πάντα ποιῶν καὶ μετασκευάζων πρὸς τὸ βέλτιον κύριος διανίστησι πρὸς ἀνδρικόν τινα ζῆλόν τινα τῶν εὐγενῶν τῆς συγκλήτου καὶ κατὰ γένος τῷ βασιλεῖ προσηκόντων, Φιλῆν τὸν Παλαιολόγον, ὃς καὶ τὴν πρωτοστρατορικὴν παρὰ βασιλέως ὕστερον παρειληφὼς ἦν βακτηρίαν. οὗτος οὖν περὶ τὰ βασίλεια διατρίβων ἀεὶ καὶ μάλα τοι πλείστην καρπούμενος τὴν τοῦ βασιλέως εὐμένειαν διὰ τὸ τῆς γνώμης ἀκίβδηλον καὶ διάπυρον πρὸς τὴν βασιλικὴν εὔνοιαν καὶ ἔτι τὸ τοῦ βίου σεμνὸν, ἀδαής τις ἐδόκει καὶ ἄπειρος τὰ πολέμια, ἅτε καὶ τὸ σῶμα κατὰ φύσιν ἔχων ἰσχνὸν καὶ τὰ πλεῖστα νοσηλευόμενον· καὶ μάλισθ' ὅτι καὶ μόναις ταῖς θειοτέραις μελέταις ἦν ἐνδιατρί 1.264 βων καὶ ναοῖς προσεδρεύων ὡς τὰ πολλὰ καὶ πλείστην αἰδῶ τοῖς ἱεροῖς τῶν πραγμάτων παρέχειν ἔργον ποιούμενος. οὗτος γὰρ βαρείαις φροντίσι κάτοχον θεασάμενος τὸν βασιλέα Ἀνδρόνικον ἔπαθε τὴν ψυχήν· καὶ προσελθὼν, "1δός μοι,"2 φησὶν, "1εἰς τὰ τῶν Ῥωμαίων στρατόπεδα παρελθόντι βραχύν τινα στρατὸν ἀπολέξασθαι καὶ λοχαγοὺς καὶ ταξιάρχους, οὓς ἂν αὐτὸς ἐθέλοιμι, καὶ πρὸς τούτοις δαπάνην ἀνενδεῆ τῶν χρειωδῶν τῶν τε ὑποζυγίων καὶ αὐτῶν. αἱ γὰρ πρὸς θεὸν στεῤῥαί μου καὶ ἀῤῥαγεῖς ἐλπίδες τὴν ἐμὴν ὑποτρέχουσαι περιθάλπουσι καρδίαν καί με πείθουσι διϊσχυρίζεσθαι, ὡς ὄψει με τὴν ταχίστην τρόπαια φέροντα κατὰ τουτωνὶ τῶν βαρβάρων."2 (Γ.) Πείθεται τοῖς λεγομένοις ὁ βασιλεὺς ἐπειπὼν, ὡς δίκαια ποιῶν ὁ θεὸς οὐκ ἐν ταῖς κνήμαις τοῦ ἀνδρὸς εὐδοκεῖ, οὐδ' ἐν πλήθει ἰσχύος, ὡς αὐτὸς διὰ Δαβὶδ τοῦ προφήτου φησὶν, ἀλλ' ἐν


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

συντετριμμένῃ καρδίᾳ καὶ πνεύματι ταπεινώσεως. τῷ μὲν οὖν υἱῷ τῷ ἐμῷ καὶ βασιλεῖ Μιχαὴλ οἶμαι ἀπεχθανόμενος διὰ τὰ τῶν φυσάντων πλημμελήματα τὴν παρ' ἑαυτοῦ συμμαχίαν οὐ δίδωσι· δώσει δ' ἴσως τουτωῒ τῷ σεμνῷ τόν τε βίον καὶ τρόπον. τιμιωτέρα γὰρ παρὰ κυρίῳ σεμνότης καὶ βίος ἄληπτος ὑπὲρ δύναμιν ὅπλων. ἀπέστρεψα γὰρ, φησὶ, καὶ εἶδον ὑπὸ τὸν ἥλιον, ὅτι οὐ τοῖς κούφοις ὁ δρόμος, καὶ οὐ τοῖς δυνατοῖς ὁ πόλεμος, καί γε οὐ τῷ σοφῷ ὁ ἄρτος, καί γε οὐ τοῖς συνετοῖς ὁ πλοῦτος, καί γε οὐ τοῖς γινώσκουσιν ἡ χάρις· ὅτι καιρὸς καὶ ἀπάντημα συναντήσεται πᾶσιν αὐτοῖς. καὶ μὲν δὴ πᾶσαν τούτου τὴν αἴτησιν ὁ βασιλεὺς 1.265 ἀσμένως ἀποπιμπλᾷ, χρήματά τε καὶ ὅπλα καὶ ἵππον ὅσην καὶ οἵαν ἐβούλετο δούς. (Δ.) Ἃ δὴ πάντα κατὰ γνώμην αὐτῷ γεγονότα παρειληφὼς ὁ Φιλῆς πρῶτα μὲν φιλοφροσύναις καὶ δεξιώσεσι παντοδαπαῖς ἀναῤῥιπίζει τοὺς στρατιώτας ἐς φλόγα πολεμικῆς ὁρμῆς, χρήματά τε χαριζόμενος καὶ ἵππους καὶ ὅπλα καὶ ἐκπώματα· ἔστι δ' ὅτε καὶ τὴν ἑαυτοῦ ζώνην λυσάμενος στρατιώτῃ χαρίζεται, ἄλλῳ δὲ τὸ ἑαυτοῦ παραξιφίδιον· ὁμοδίαιτός τε αὐτοῖς γίνεται καὶ ὁμόπνους, τιμάς τε αὐτοῖς ὑπισχνεῖται καὶ δωρεὰς οὐ μικρὰς μετὰ τὸν πόλεμον ἀναλόγους τοῖς ἀγῶσιν ἑκάστου· ἔπειτα πάσης ἀδικίας ἀφέξεσθαι παραινεῖ, ἱερεῦσί τε πλεῖστα διανέμει χρήματα δεήσεων ἕνεκα τῶν ὑπὲρ τοῦ στρατοῦ καὶ αὐτοῦ πρὸς θεόν. καὶ ἐπὶ τούτοις δεῖν ἔκρινε, πρὶν ἐξελθεῖν τῆς βασιλευούσης, λάθρα τοὺς κατασκεψομένους τὰ τῶν πολεμίων στρατόπεδα πέμψαι, ὡς μὴ ἀτέκμαρτον ἔχοι τὴν κίνησιν. καὶ δὴ μαθὼν ὡς χιλίους πεζοὺς καὶ διακοσίους ἱππέας ὁ Χαλὴλ ἀπολεξάμενος πρότριτα πέπομφε, πάσας τὰς περὶ τὴν Βιζύην καταστρεψομένους χώρας καὶ πλείστην ἐκεῖθεν αὐτῷ τὴν λείαν κομίσοντας, ἔξεισι τὴν ταχίστην βουλόμενος πρὶν ἐπανήκειν τοὺς πολεμίους συμμῖξαί σφισι περὶ τὴν ὁδὸν ἅμα τοῖς λαφύροις ἐπανιοῦσι. (Ε.) Τριταῖος μὲν οὖν ἐκ τῶν τῆς βασιλευούσης ἄρας προαστείων ἀφικνεῖται περὶ ποταμὸν Ξηρόγυψον οὑτωσί πως ἐγχωρίως καλούμενον. ἔνθα καὶ ὁμαλὸς ὁ χῶρος ἦν καὶ πεδιὰς ἀρίστη πρός τε στρατοπεδείας καὶ συῤῥήξεις πολέμων. ἐνταῦθα δὴ οὖν στρατοπεδευσάμενος διέταττε τὰς τάξεις, τοὺς ταξιάρ 1.266 χους, τοὺς λόχους, τοὺς λοχαγοὺς, τοὺς οὐραγοὺς, τὰς φάλαγγας, λόγοις τε μειλιχίοις συχνὰ παραθαῤῥύνων καὶ προπόσεσι δεξιούμενος καὶ πάντα ποιῶν ὅσα τόνον δίδωσι τῇ τῶν ἀνδρῶν προθυμίᾳ. δύο παρῆλθον ἡμέραι καὶ ἥκουσιν οἱ σκοποὶ περὶ μέσας νύκτας, ἐγγὺς εἶναι τοὺς πολεμίους ἀγγέλλοντες μετὰ πολλῶν τῶν λαφύρων ἐπανιόντας ἀνδρῶν ὁμοῦ καὶ γυναικῶν καὶ νηπίων καὶ κτηνῶν. ἅμα δ' ἡλίῳ καὶ οἱ πολέμιοι ἀναφαίνονται· καὶ πόῤῥωθεν καὶ αὐτοὶ τὰ τῶν πολεμίων ὁρῶσι στρατόπεδα τῇ λαμπρότητι τῶν ὅπλων ἀστράπτοντα. καὶ δὴ κατὰ χώραν στάντες παρεσκευάζοντο πρὸς τὸν πόλεμον. καὶ πρῶτα μὲν τὰς ἁμάξας κατὰ κύκλον στήσαντες δεσμίους ἔνδον τοὺς αἰχμαλώτους εἰσάγουσιν ἅμα τοῖς ἄλλοις λαφύροις. ἔπειτα κόνιν χεάμενοι κατὰ κεφαλῆς καὶ χεῖρας πρὸς οὐρανὸν ἀνατείναντες ἀνελάβοντο τὰ ὅπλα. ἤδη δὲ καὶ τὸν Ῥωμαϊκὸν ὁρῶσι στρατὸν συντεταμένον ἰόντα κατ' αὐτῶν καὶ κατόπιν τάς τε τῶν πεζῶν καὶ τῶν ἱππέων δυνάμεις ἰθύνοντα τὸν Φιλῆν καὶ λόγοις παντοίοις πρὸς πόλεμον παροξύνοντα. (´.) Πρῶτος οὖν εἰσεπήδησεν. ἐς τὴν φάλαγγα τῶν βαρβάρων ὁ ταξίαρχος τοῦ δεξιοῦ κέρως μετὰ τῆς ἑπομένης αὐτῷ φάλαγγος· καὶ τρώσας καιρίαν τὸν ἀντιστάντα πολέμιον καταβάλλει τοῦ ἵππου καὶ ἐπ' αὐτῷ ἕτερον· κἄπειτα τοῦ ἵππου βληθέντος αὐτῷ παρεκκλίνει τοῦ μεταιχμίου. τοῦτο διέσεισε πρὸς βραχὺ τὴν Ῥωμαίων φάλαγγα· καὶ ἀνεῤῥώσθησαν οἱ πολέμιοι καὶ ἀσήμῳ χρησάμενοι τῇ κλαγγῇ καὶ βοῇ πρὸς δίωξιν ὥρμησαν. ἀλλὰ φθάσας ὁ Φιλῆς περιῄει λόγοις καὶ παρακελεύσεσι θαῤῥύνων 1.267 τό,τε πεζὸν καὶ ὅσοι τῶν ἱππέων καὶ πολλοῖς ἔνθεν μὲν αὐτὸς ἐπιβοώμενος δάκρυσι τὴν θείαν ἐπικουρίαν, μὴ περιϊδεῖν κινδυνεύουσαν ἐν βραχεῖ τὴν ὅλην Ῥωμαίων ἡγεμονίαν, ἐκεῖθεν δ' οἰμώζοντές τε καὶ ὀλολύζοντες τῶν αἰχμαλώτων τὰ πλήθη καὶ θερμοῖς στεναγμοῖς τε καὶ δάκρυσι τὴν ἄνωθεν δεξιὰν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐπικαλούμενοι σύμμαχον. τότε τοίνυν αἱ μὲν πεζικαὶ τῶν Ῥωμαίων δυνάμεις εἰς χεῖρας ἰόντες τοῖς τῶν βαρβάρων πεζοῖς ἐκ τοῦ σύνεγγυς ἔβαλλόν τε καὶ ἐβάλλοντο, ἔκοπτόν τε καὶ ἐκόπτοντο· καὶ ἦν καρτερά τις καὶ βιαία τῶν πεζῶν ἡ μάχη, λίαν εὐρώστως ἀμφοτέρων τῶν δυνάμεων ἀγωνιζομένων. τῶν δ' ἱππέων τοὺς μὲν πλείστους κύκλῳ περιήγαγε τοῦ βαρβαρικοῦ στρατεύματος ὁ Φιλῆς· ὁ δὲ τοὺς ἄριστα πεφραγμένους τοῖς ὅπλοις ἀναλαβὼν ῥήγνυσιν ἐκ πλευρᾶς τὴν ὅλην φάλαγγα τῶν βαρβάρων καὶ μέσος ἐλάσας ἐκλόνησέ τε καὶ συνεκύκησε κράτιστα ταύτην, ὡς μηκέτι δύνασθαι τοὺς βαρβάρους συστῆναί τε καὶ γνῶναι τὸ ποιητέον, οὕτω πανταχόθεν περιστοιχισθέντας καὶ ἀφειδῶς κοπτομένους. καὶ μὲν δὴ πλὴν ὀλίγων ἱππέων ἅπαντας ἐκεῖ κατασφάξαντες ἔπειτα ἐπισπεύδουσι τὴν πορείαν, ἐξιππασάμενοι μέχρι τῶν εἰσόδων τῆς Χεῤῥονήσου, ἵνα ἐντὸς ὡς ἐν δικτύῳ συγκλείσαντες τοὺς λοιποὺς τῶν βαρβάρων εὐεπιχείρητον τὴν τούτων ἀπώλειαν τοῦ λοιποῦ διαπράξωνται. (Ζ.) Φθάσαντες οὖν ἐνταῦθα στρατοπεδεύουσι τοῖς τε ἐπινικίοις τρυφῶντες καὶ ταῖς ἐκ βασιλέως τιμαῖς τε καὶ δωρεαῖς. πέμπει δὲ καὶ πέντε τριήρεις ὁ βασιλεὺς εὐθὺς, ἵνα παραπλέουσαι τὸν Ἑλλήσποντον παραφυλάττωσι, μὴ λάθη παρὰ 1.268 τῶν ἀντιπέρας βαρβάρων ἐληλυθυῖα δύναμις τῷ Χαλήλ. τούτων οὕτως ἐχόντων ἥκει καὶ ἡ πάλαι κληθεῖσα τῶν Τριβαλλῶν συμμαχία, λογάδες ἱππεῖς δισχίλιοι. ἥκει δ' ἐπὶ τούτοις καὶ ὁ τῶν ἐν τοῖς Γαλάτου Λατίνων ποτεστάτος παρὰ τὸν Ἑλλήσποντον, αὐτόκλητος Ῥωμαίοις σύμμαχος, τριήρεις ἔχων ὀκτὼ καὶ τειχομαχικὰ μηχανήματα. καὶ δὴ προσελάσαντες ἔνθεν μὲν τὰ Ῥωμαίων καὶ Τριβαλλῶν στρατεύματα, ἐκεῖθεν δὲ τὰ ἐκ τῶν τριήρων, μεμερισμένως κατὰ γένη καὶ φυλὰς πηγνύουσι τὰ στρατόπεδα κύκλῳ τοῦ ἄστεως καὶ τῶν τάφρων, ἐν οἷς τὴν δίαιταν εἶχον οἱ βάρβαροι. οἱ μέντοι Ῥωμαῖοί τε καὶ οἱ Λατῖνοι δεξιῶς ἔχοντες πρὸς τειχομαχίαν καὶ πολιορκίαν περιϊστῶσι παντοῖα καὶ ἰσχυρὰ μηχανήματα, δι' ὧν πλήθη λίθων ἐῤῥίπτουν, καὶ πολὺν ἐπῆγον τὸν ὄλεθρον τοῖς τε ὑποζυγίοις τῶν βαρβάρων καὶ αὐτοῖς· καὶ τοῦτο νύκτωρ καὶ μεθ' ἡμέραν ποιοῦντες οὐκ ἔληγον. (Η.) Τοῖς δὲ βαρβάροις πρὸ ὀφθαλμῶν ἤδη τὸν ὄλεθρον βλέπουσιν ἑαυτῶν, καὶ μὴ ἔχουσιν ὅθεν διαφύγοιεν διὰ τὸ πανταχόθεν πολλοῖς κεκυκλῶσθαι στρατεύμασιν, ἔδοξε διακυβεῦσαι τὸ ζῆν οὑτωσί. ἔδοξε γὰρ λάθρα καὶ νύκτωρ ἐπιθέσθαι τῷ Ῥωμαϊκῷ στρατῷ μᾶλλον ἢ τοῖς ἄλλοις, ἅτε ἐθάδες ὄντες νικᾷν αὐτοὺς καὶ ἅμα πεφοβημένους καὶ αὐτοὺς ὄντας ἐκ τῶν φθασάντων δυστυχημάτων· ἵνα διὰ τούτων ἴσως καὶ τὰ τῶν ἄλλων στρατόπεδα θορυβήσαντες ἀνακωχὴν τῆς πολιορκίας ἐργάσωνται. ἀλλὰ τότε πρῶτον ᾔσθοντο σφαλερὰς ὑπολήψεις κατὰ Ῥωμαίων θρέψαντες. οὐ γὰρ ἔλαθεν αὐτοὺς οὐδ' ἡ πρώτη τῶν βαρβάρων 1.269 ὁρμὴ ὡπλισμένους καὶ ἐγρηγορότας καὶ συχναῖς φυλακαῖς ἀμοιβαδὸν τὴν νύκτα παραμετροῦντας. διὰ δὴ τοῦτο καὶ ὡς πύργῳ στεῤῥῷ προσβαλόντες ἀπεκρούσθησαν καὶ ὑπέστρεψαν αἴσχιστα. οὐ μὴν μέχρι τούτου γε στῆναι ἐγνώκεσαν· ἀλλὰ σφόδρα τῇ πολιορκίᾳ πιεζομένοις ἔδοξεν αὖθις πεῖραν λαβεῖν καὶ τῶν Τριβαλλῶν. ἀλλὰ τὰ ὅμοια καὶ παρὰ σφῶν πεπονθότες πρὸς τὰς ἐσχατιὰς ἤδη τῆς ἀπογνώσεως ἦσαν σκηνοβατοῦντες. (Θ.) Καὶ δὴ τῇ ὑστεραίᾳ περὶ μέσας νύκτας τὰ ὅπλα ῥίψαντες αὐτομολοῦσι πρὸς τὰς τριήρεις βρίθουσι κόλποις καὶ βαλαντίοις. τοῖς γὰρ Λατίνοις μόνοις τὴν ἑαυτῶν ἐθάῤῥησαν φυλακὴν, μηδὲν ἐλπίσαντες πείσεσθαι δεινὸν ὑπ' αὐτῶν, ἅτε μηδὲν μηδ' αὐτοὶ δεινὸν κατ' αὐτῶν ἐργασάμενοι πρότερον. ἀλλὰ τῆς νυκτὸς ἐκείνης ἀσελήνου καὶ ζοφερᾶς τυγχανούσης ἔλαθον ὑπ' ἀγνοίας οἱ πλείους αὐτῶν παρὰ τὰς τῶν Ῥωμαίων τριήρεις καταφυγόντες, καὶ καπνὸν φεύγοντες εἰς πῦρ ἐμπεπτώκασι, τὰς τῶν Ῥωμαίων δηλαδὴ χεῖρας, ὑφ' ὧν τά τε χρήματα ἀφῃρέθησαν τὴν ταχίστην καὶ αὐτοὶ κατεκόπησαν ἀφειδῶς. οἱ δὲ Λατῖνοι τοὺς καταφεύγοντας εἰς αὐτοὺς πάντας μὲν οὐκ ἀνεῖλον, ἀλλὰ μόνους τοὺς πλεῖστα κομίσαντας χρήματα διὰ τὸ ἀνέκφορα μεῖναι καὶ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

μὴ γνωσθέντα ζητεῖσθαι παρὰ Ῥωμαίων. τοὺς δὲ λοιποὺς τότε μὲν ζῶντας ἐτήρησαν ἐν δεσμοῖς· ἔπειτα τοὺς μὲν ἐξ αὐτῶν ἐκόμισαν τῷ βασιλεῖ, τοὺς δὲ πρὸς δουλείαν ἑαυτῶν διενείμαντο. ἀλλὰ ταῦτα μὲν τοῦτον ἔσχε τὸν τρόπον. ια΄. Ἐς δὲ τοὐπιὸν ἔτος ἐκβάλλεται καὶ Νίφων τοῦ πατριαρ 1.270 χικοῦ θρόνου, αἰτίαν εἰληφὼς πολλαπλῆς καὶ πολυειδοῦς ἱεροσυλίας καὶ χρημάτων ἔρωτος ἄδικόν τε καὶ μὴ πάνυ τῷ πατριαρχικῷ προσήκοντα θρόνῳ τὸν πορισμὸν ἐφευρίσκοντος. καὶ ἀπελθὼν οἰκητήριον ἐποιήσατο τὸ πρὸς θάλασσαν τετραμμένον μέρος τῆς Περιβλέπτου μονῆς. ἑνὸς δὲ μεταξὺ παραδραμόντος ἔτους ἐπὶ τὸν πατριαρχικὸν ἀνάγεται θρόνον Ἰωάννης ὁ Γλυκύς, λογοθέτης ὢν τηνικαῦτα τοῦ δρόμου καὶ γυναῖκα ἔχων καὶ υἱοὺς καὶ θυγατέρας. ἦν δὲ ὁ ἀνὴρ σοφὸς ἐν τοῖς μάλιστα καὶ σφόδρα τῆς εὐγενοῦς ἐκείνης τῶν Ἀθηναίων ἠχοῦς εἴπερ τις ἐχόμενος καὶ τύπον ἐκεῖνον καὶ τρόπον καθάπερ τι θεῖον τηρῶν ἀρχέτυπον· συνέσεως δ' ἐμβριθείᾳ καὶ γνώμῃ βουλευομένῃ τὰ δέοντα καὶ τρόπων σεμνότητι μακρῷ τῷ μέτρῳ πάντας νικῶν. διὰ ταῦτα δὴ καὶ τὸν πατριαρχικὸν θρόνον ἔπαθλον κατὰ τὸ προσῆκον λαμβάνει, τῆς γυναικὸς αὐτοῦ τὸ μοναχικὸν εὐθὺς ὑπελθούσης σχῆμα. καὶ αὐτὸν μέντοι τὸ μοναχικὸν ὑπελθεῖν ὁρμήσαντα σχῆμα αἰδοῖ τοῦ θρόνου τῆς ὁρμῆς ἐπέσχεν ὁ βασιλεύς. χυμοῦ γάρ τινος διεφθορότος οὐ πάνυ πρὸ πολλοῦ τὰ τούτου διαδραμόντος ἄρθρα, τακταῖς περιόδοις τοῦ ἔτους ἔπασχε τὰ δεινότατα, καὶ ἦν ἀνάγκη κατὰ τὰς τῶν ἰατρῶν κρίσεις κρέατι τοῦτον χρῆσθαι· καὶ διὰ τοῦτο δὴ τὸ μοναχικὸν ὑπελθεῖν οὐ συγκεχώρηται σχῆμα. τούτου τοῦ ἀνδρὸς ἀπολελαύκειν κἀγὼ, καθόσον πλεῖστον ἐξῆν, ἐν ταῖς νύκτωρ καὶ μεθ' ἡμέραν σχολαῖς λογικαῖς αὐτῷ συγγινόμενος καὶ πολλὴν τῆς ἐκείνου γλώττης τρυγῶν τὴν ὠφέλειαν· ὁπότε δὴ καὶ 1.271 παρ' ἐμοὶ οἵ τε τῶν λόγων μάλα τοι ἤκμαζον ἔρωτες καὶ ἡ ἡλικία τὸν εἰκοστὸν παρήλλαττε χρόνον. (Β.) Ἦν γε μὴν τηνικαῦτα τῷ βασιλεῖ παραδυναστεύων καὶ πᾶσαν κατάστασιν ὅλοις μεσιτεύων τοῖς πράγμασιν ὁ Μετοχίτης Θεόδωρος, λογοθέτης ὢν τηνικαῦτα τοῦ γενικοῦ. τοσοῦτον δ' αὐτῷ προσετετήκει καὶ οὕτως ὁ βασιλεὺς αὐτοῦ γε ἐξήρτητο, ὥστ' οὐδὲν ἦν αὐτῷ μικρὸν ἢ μέγα τῶν πάντων ἀπόῤῥητον πρὸς αὐτόν· ἀλλὰ πάντ' ἐποίει βουλομένου καὶ τούτου, καὶ αὖθις οὐδὲν, ὃ μὴ τούτῳ πρὸς βουλήσεως ἦν. ἤδη δὲ καὶ γαμβρὸν ἐπὶ θυγατρὶ τὸν ἀδελφιδοῦν τούτῳ παρέσχετο, Ἰωάννην φημὶ τὸν μονογενῆ τοῦ Πορφυρογεννήτου υἱόν· ὃν δὴ ζῶντος μὲν αὐτῷ τοῦ πατρὸς ἀπεστρέφετο δι' ἔχθος τὸ πρὸς ἐκεῖνον· ἐκείνου δ' ἀπαλλάξαντος ἐδέξατό τε καὶ ἐν τοῖς μάλιστα ἔστεργεν ἄρτι τὸν ἔφηβον παραλλάττοντα. ἐτετιμήκει δ' αὐτὸν εὐθὺς καὶ τῷ τοῦ πανυπερσεβάστου ἀξιώματι, ὃ νῦν καὶ αὐτὸ διὰ τὴν πρὸς αὐτὸν στοργὴν ἐνδοξότερον ἢ πρότερον εἶχε πολλῷ κατεστήσατο. ἐνδύμασι γὰρ καὶ πεδίλοις αὐτοῦ καὶ ὅσα τὸν ἵππον τούτου κοσμεῖ κιῤῥοῖς τοῖς ἅπασι χρῆσθαι κεχάρισται, ἵν' ᾖ διασημότατος ἐν τοῖς περὶ τὸν βασιλέα εὐγενέσι. τοῦτον τοίνυν οὕτω πολλῆς ἀπολαύοντα τῆς βασιλικῆς εὐμενείας Θεοδώρῳ τῷ λογοθέτῃ γαμβρὸν ὁ βασιλεὺς ἐπὶ θυγατρὶ παρέσχετο, χαριζόμενος δι' ἅπερ ἐπλούτει καλὰ κἀγαθά. σώματος γὰρ μεγέθει καὶ μελῶν καὶ μερῶν συμμετρίᾳ καὶ ὀφθαλμῶν ἱλαρότητι πάντας εἷλκε πρὸς ἑαυτὸν ὀφθαλμούς. φύσεως δ' εὐμοιρίᾳ πρὸς λόγους καὶ καρτερίᾳ πρὸς πόνους καὶ μνήμης ὑγιείᾳ καὶ καθαρότητι σο 1.272 φίας ἁπάσης ἐς τὸ ἀκρότατον ἤλασεν. οὕτω δ' εὔπορος ἦν ἅπαντα τοῖς ζητοῦσι παλαιά τε καὶ νέα προφέρειν ὡς ἐκ βιβλίου τῆς γλώττης, ὥστε μικρὰ ἢ οὐδὲν ἔδει βιβλίων τοῖς ὁμιλοῦσι. βιβλιοθήκη γὰρ ἦν ἔμψυχος οὗτος καὶ τῶν ζητουμένων πρόχειρος εὐπορία· οὕτω πάντας μακρῷ τῷ μέτρῳ παρέδραμεν, ὅσοι ποτὲ λόγων ἥψαντο. (Γ.) Ἕν τι μόνον ἴσως αὐτοῦ καταμέμψαιτό τις, ὅτι πρὸς οὐδένα τῶν πάλαι ῥητόρων ἀναφέρειν βεβούληται τοῦ τῆς αὐτοῦ γραφῆς χαρακτῆρος τὴν μίμησιν, οὐδ' ἱλαρᾷ τινι καὶ μειδιώσῃ γλώσσῃ τὸ τῆς διανοίας παραμυθεῖσθαι ἐμβριθὲς, οὐδὲ τὸ τῆς φύσεως πάνυ τοι γόνιμον χαλινῷ τινι κατέχειν προτεθύμηται· ἀλλ' ἰδιοτροπίᾳ τινὶ καὶ αὐτονομίᾳ φύσεως



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

κατακολουθήσας χειμῶνά τινα καὶ θάλατταν γλώττης προΐσχεται· κἀντεῦθεν ἀμύσσει καὶ κνίζει τῶν ἐπιόντων τὴν ἀκοὴν, καθάπερ τὴν τῶν τρυγώντων παλάμην ἡ περὶ τὸ ῥόδον ἄκανθα. ἔξεστι δὲ καὶ πᾶσι τοῖς βουλομένοις τεκμηριοῦσθαι τὴν τοῦ ἀνδρὸς ἐν τοῖς λόγοις δύναμιν, ἐξ ὧν συνετετάχει πολλῶν τε καὶ πολλῆς καὶ ποικίλης γεμόντων τῆς ὠφελείας βιβλίων. ὃ δὲ πάντων μᾶλλον θαυμάζειν ἔχοι τις ἂν τοῦ ἀνδρὸς, ὅτι τοσούτου πρὸς τῶν κοινῶν πραγμάτων θορύβου καὶ κλύδωνος ἐπικειμένου καὶ φροντίδων ἄλλοτε ἄλλων ἐπικλυζόντων αὐτοῦ τὴν διάνοιαν, οὐδὲν ἦν ὃ τοῦ ἀναγινώσκειν καὶ γράφειν ἀπησχόλησε πώποτε· ἀλλ' οὕτως εἶχε πρὸς ἄμφω δεξιῶς, ὥστ' ἐκ πρωΐας μὲν ἐς ἑσπέραν ἐν βασιλείοις τὰ κοινὰ διοικῶν ἦν οὕτως ὁλοσχερῶς καὶ ξύν γε πολλῇ καὶ ζεούσῃ τῇ προθυμίᾳ, ὥσπερ ἂν εἰ τῶν λόγων ἔξω παντάπασιν 1.273 ἐτύγχανεν· ὀψὲ δ' αὖθις ἐκεῖθεν ἀπαλλαττόμενος οὕτως ὅλως τῶν λόγων ἐγίγνετο, ὥσπερ ἂν εἰ σχολαστικός τις ἦν καὶ τῶν πραγμάτων παντάπασιν ἐκτός. καὶ πλεῖστα δ' ἕτερα περὶ τοῦδε λέγειν ἔχοντες τοῦ ἀνδρὸς ταμιεύσομεν ἐν τοῖς ἔμπροσθεν. ιβ΄. Τῇ γε μὴν Εἰρήνῃ τῇ βασιλίσσῃ πλεῖστον ἐν Θεσσαλονίκῃ διατριψάσῃ χρόνον, δι' ἃς ἔφαμεν αἰτίας, ἔδοξεν αὐτῇ κατὰ τούτους τοὺς χρόνους καὶ περὶ τὸ πολίχνιον ἀφικέσθαι τὴν Δράμαν, εἰωθὸς ὂν αὐτῇ καὶ πρότερον τοῦτο ποιεῖν θυμηδίας χάριν διὰ τὸ κόρου τῆς ἐν Θεσσαλονίκῃ προσεδρείας ὑποπίμπλασθαι. ἔνθα δὴ γενομένην χαλεπὸς αὐτὴν πυρετὸς περιέσχε μετ' οὐ πολὺ, ὃς δὴ καὶ ταχέως αὐτὴν ἐξ ἀνθρώπων πεποίηκεν. εἶτα ἐληλυθυίας καὶ τῆς Κραλαίνης ἐκ Τριβαλλῶν ἐπὶ τὸ τῆς μητρὸς πένθος διεκομίσθη τὸ λείψανον ἐν Κωνσταντινουπόλει καὶ ἐν τῇ τοῦ Παντοκράτορος ἐτέθη μονῇ. τὰ δὲ χρήματα αὐτῆς πάνυ τοι πλεῖστα τυγχάνοντα, ἃ μὲν δέδωκε τοῖς παισὶν αὐτῆς, ἃ δὲ πρὸς βοήθειαν ἠναλώκει τοῦ μεγίστου νεὼ τῆς τοῦ θεοῦ Σοφίας ὁ βασιλεύς. ἤκουσε γὰρ παρὰ τῶν δοκίμων οἰκοδόμων, ὡς τῷ μακρῷ χρόνῳ καμόντα συνίζησιν τὰ δύο αὐτοῦ ἐπεπόνθεσαν μέρη, τό,τε πρὸς ἄρκτους ὁρῶν καὶ ἔτι τὸ πρὸς ἀνατολὰς τετραμμένον, ἃ δὴ πτῶσιν ἀπειλοῦσι ταχεῖαν, εἰ μὴ συνεπιλάβοιτό τις. ὅθεν χιλιάδας νομισμάτων οὐκ ὀλίγας τοῖς οἰκοδόμοις ὁ βασιλεὺς δεδωκὼς ἐκ τῶν τῆς δεσποίνης χρημάτων, ὡς ἔφημεν, τὰς ὁρωμένας ταύτας ἐκ βαθέων τῶν θεμελίων ἀνήγειρε πυραμίδας, δι' ὧν κράτιστα τὸν ἀπειλούμενον ἔστησε κίνδυνον. (Β.) Ἄξιον δ' ἐν 1.274 ταῦθα γενομένοις δηλῶσαι τὴν γνώμην, ὁποία τοῦ βασιλέως ἐν τοῖς τοιούτοις. τῶν μὲν γὰρ ἄλλων βασιλέων ὁπόσοι θείους καὶ ἱεροὺς ἀνεγηγέρκασιν οἴκους φιλοτιμίᾳ τινὶ πρὸς τοῦτον ἠγέρθησαν τὸν σκοπὸν, καὶ ἦν οὐ πόῤῥω κενοδοξίας καὶ τύφου τινὸς ἡ τοιαύτη φιλοτιμία. ἔνθα δὲ τὰ τοιαῦτα ἐπιπολάζει, τὸ σεμνὸν ὑφαιρεῖταί πως τῆς πράξεως, καθάπερ μήλου ὥραν ὑφαιρεῖται σκώληξ ἐφεδρεύων. ὁ δὲ βασιλεὺς Ἀνδρόνικος οὗτος πολλῷ βέλτιον κρίνας τοὺς προϋπάρξαντας βελτιοῦν τε καὶ συνιστᾷν κατὰ τὸ εἰκὸς καὶ τοὺς ἐπιόντας ἐκ τοῦ χρόνου κινδύνους μετὰ τῆς προσηκούσης βοηθείας τε καὶ σπουδῆς ἀποκρούεσθαι, ἢ τοὺς μὲν ἀφιέναι πίπτειν, φιλοτιμεῖσθαι δ' ἐκ βάθρων ἐγείρειν ἑτέρους, ἐν τούτῳ τὴν πᾶσαν ἐκένου σπουδὴν καὶ φιλοτιμίαν. ἐκεῖ μὲν γὰρ καὶ βασκανία τις ὑφέρπειν δοκεῖ, πείθουσα τῶν παλαιῶν τὰς οἰκοδομὰς καταπίπτειν ἐᾷν, ἵνα καὶ τῆς τῶν οἰκοδομησάντων μνήμης ὁμοῦ τοῖς οἰκοδομήμασι συναποῤῥεούσης καὶ συναποθνησκούσης μένῃ τὰ νέα συστήματα ἐν βαθείᾳ τῶν ἄλλων σιγῇ διατρανοῦντα τὴν μνήμην τοῦ ταῦτα συστήσαντος, καθάπερ οἱ νέοι βλαστοὶ τὴν τοῦ πρός γε τὸ παρὸν ἐπιστάντος ἔαρος χάριν καὶ δύναμιν. ἐνταῦθα δὲ λογισμὸς ἐμβριθὴς καὶ ἀῤῥεπὴς τὰ σκῆπτρα τῆς κρίσεως καὶ τοῦ βήματος εἰληφὼς κάθηται, μήτε τι κίβδηλον ἐπαγόμενος φρόνημα, καὶ ἅμα ὑπὸ θεῷ μάρτυρι τοῦ συνειδότος μετεωρίζων τὰς πλάστιγγας. (Γ.) Διὰ ταῦτα τοίνυν τῶν πάλαι ναῶν ὁ βασιλεὺς ἐπεμέλετο συνιστάς τε καὶ ὑπερείδων, καὶ ταῦτα πολλῷ μείζονος τῆς τῶν χρημάτων δαπάνης αὐτῶν δεομένων, ἢ εἰ 1.275 νέους ἐγείρειν ἐβούλετο. καὶ ἵνα τὰ ἐν Ἀσίᾳ καὶ Εὐρώπῃ πολίχνια παραδραμὼν ὅσα τε


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐκαινούργησε καὶ ὅσα ἐκ βάθρων ἀνήγειρε μόνων τῶν ἐν Κωνσταντινουπόλει μνησθῶμεν ἔργων, ὁπόσα μέχρι καὶ ἐς τὴν τήμερον διὰ τῆς τοῦ τοιούτου βασιλέως συνίστανται προμηθείας· ἔστιν ὁ περὶ τὰς πύλας τοῦ Εὐγενίου μέγιστος νεὼς τοῦ μεγάλου Παύλου· καὶ ἕτερος ὁ τῶν δώδεκα τοῦ Χριστοῦ μαθητῶν καὶ ἀποστόλων ὁμοῦ· καὶ τὰ τῆς Κωνσταντινουπόλεως τείχη ὅσα ἐκαινούργησε καὶ ὅσα ἐκ βάθρων ἀνήγειρε· καὶ τελευταῖον ὁ μέγιστος οὗτος καὶ περιβόητος τῆς τοῦ θεοῦ Σοφίας νεώς· ὃν δὴ καὶ ἔτι πλέον περιποιήσασθαι ἤθελε μὲν, ἀνέκοψε δ' αὐτοῦ τὰ τοιαῦτα σκέμματα ὁ καθάπερ λαῖλαψ αἰφνίδιος ἐπελθὼν τῆς βασιλείας μερισμός τε καὶ σύγχυσις· περὶ ὧν λέξομεν ἐν τοῖς ἔμπροσθεν. (Δ.) Ἀλλ' ἐκεῖνο μικροῦ με παρέδραμε. τοῦ πατριάρχου Ἰωάννου τοῦ Γλυκέος δεύτερον ἔτος ἄγοντος ἐπὶ τοῦ πατριαρχικοῦ θρόνου, κατὰ τὸ ἑξακισχιλιοστὸν ὀκτακοσιοστὸν εἰκοστὸν πέμπτον δηλαδὴ τῆς τοῦ κόσμου συστάσεως ἔτος, ἀπαρκτίου βιαίου πνεύσαντος συνέβη πεσεῖν τὸν ἐπὶ τῆς χειρὸς τοῦ ἐπὶ τοῦ κίονος ἀνδριάντος χαλκοῦν σταυρόν· τοῦτον δὴ λέγω τὸν ἐν τοῖς προαυλίοις τοῦ μεγίστου νεὼ τῆς τοῦ θεοῦ Σοφίας ἱστάμενον. διὰ σπουδῆς τοίνυν ὅτι μεγίστης ἔθετο καὶ τοῦτον ἐπὶ τῆς προτέρας ἀναγαγεῖν στάσεως ὁ βασιλεύς. συχναῖς οὖν βαθμίσι ξυλίναις ἐκ τῆς βάσεως τὸν κίονα πάντα περιλαβὼν ἀναπέμπει μέχρι τοῦ ἀνδριάντος· δι' ὧν ἀνιόντες οἱ τῶν τοιούτων αὐτουργοὶ εὑρίσκουσι πάντα τὸν σίδηρον, ὁπόσος ἔνθεν 1.276 κἀκεῖθεν ὑπήρειδε τὸν τοῦ ἀνδριάντος ἵππον ἐς βάθος δαπανηθέντα τῷ ἰῷ· ὡς κινδυνεύειν ἐντεῦθεν ὅσον οὐδέπω πεσόντων τῶν ἐρεισμάτων συγκαταπεσεῖν καὶ τὸν ἀνδριάντα καὶ τὸ κάλλιστον ἀπολέσθαι τοῦτο θέαμα τῆς βασιλευούσης, ὃ μόνον ἐξ ὁμοίων καὶ ἰσοῤῥόπων μυρίων ἐλλέλειπται, διαφυγὸν τῶν τε πυρκαϊῶν τὰς ἐπιβουλὰς καὶ τὴν τῶν Λατίνων πλεονεξίαν· ἀνθ' ὧν ἕτερα βελτίω τε καὶ στεῤῥότερα ὑποστήσαντες ἐρείσματα τῷ τοῦ ἀνδριάντος ἵππῳ τὸ ἀσφαλές τε καὶ ἄσειστον ἐχαρίσαντο. ἔπειτα καταγαγόντες καὶ τὸ ἐπὶ τῆς κεφαλῆς βασιλικὸν σύμβολον καὶ ἔτι τὴν ἐν τῇ χειρὶ σφαῖραν βαθύτερον περιήλασαν τὸν χρυσὸν καὶ τηλαυγέστερα κατεσκεύασαν. εἶτα τὸν κίονα πάντα ἄνωθεν μέχρι τῆς βάσεως τεθραυσμένην τὴν ἐπιφάνειαν ἔχοντα ὑπὸ τῆς τῶν ἥλων ἐκβολῆς, οὓς ἅμα τῷ τὸν κίονα πάλαι καλύπτοντι χαλκῷ περιέσπασαν οἱ Λατῖνοι, λειοκονίᾳ στεῤῥᾷ περιειλήφασι καὶ τὰ χάσματα πάντα συνέσφιγξάν τε καὶ συνεκάλυψαν. (Ε.) Ἐγὼ δὲ οὐκ ἄξιον εἶναι κρίνας τὴν διὰ πολλῶν ἤδη τῶν χρόνων ἐπὶ τὸν ἀνδριάντα συμβᾶσαν ἐφ' ἡμῶν ταύτην ἄνοδον περιϊδεῖν, καὶ μὴ συναναβὰς τοῖς ἄλλοις οὕτω θαυμαστῆς ἀπολελαυκέναι τῆς θέας περιεργότερον, συνανῆλθον καὶ περιειργασάμην καὶ κατηριθμησάμην πάντα καθ' ἕν. καὶ τὸ μὲν τοῦ κίονος μῆκος ῥᾴδιον ἀεὶ τυγχάνον τοῖς βουλομένοις ἐκ τῆς σκιᾶς καταμετρεῖν ἄκαιρον ἐνομίσαμεν λέγειν ἐν τῷ παρόντι· ἃ δ' οὐκ ἔξεστιν οὐδέσι τῶν πάντων εἰπεῖν, ταῦθ' ἡμεῖς αὐτόπται γενόμενοι λέξομεν ἀκριβῶς. 1.277 ἔστι τοίνυν ἡ μὲν περιφέρεια τῆς τοῦ ἀνδριάντος κεφαλῆς ὀργυιὰ μία εὐμήκους ἀνδρός. τοσοῦτον δ' ὁμοίως καὶ τὸ ἀπὸ τῶν ὤμων αὐτοῦ μέχρις ἄκρου τοῦ ἐπὶ τῆς κεφαλῆς βασιλικοῦ συμβόλου. τὸ δὲ μῆκος ἑκάστου δακτύλου τῶν τούτου χειρῶν σπιθαμιαῖον. τὸ δὲ μῆκος τῆς τοῦ ποδὸς αὐτοῦ βάσεως σπιθαμαὶ τρεῖς καὶ δίτριτον, εἴτουν τέσσαρες παρὰ τρίτον μιᾶς σπιθαμῆς. τὸ δὲ μῆκος τοῦ ἐπὶ τῆς σφαίρας σταυροῦ σπιθαμαὶ τέτταρες· τὸ δὲ πλάτος σπιθαμαὶ τρεῖς. τῆς δὲ σφαίρας τὸ χώρημα μέτρα πολιτικὰ τρία. τὸ δ' ἐκ τοῦ στήθους τοῦ ἵππου μέχρι τοῦ οὐραίου ὀργυιαὶ τρεῖς. ὁμοίως καὶ τὸ πάχος τοῦ τραχήλου αὐτοῦ ὀργυιαὶ τρεῖς ἔγγιστα. τὸ δ' ἐκ τοῦ ἄκρου τῆς ῥινὸς αὐτοῦ μέχρι τῶν ὤτων αὐτοῦ ὀργυιὰ μία. τὸ δὲ τῆς κνήμης τοῦ ποδὸς αὐτοῦ πάχος κατὰ περιφέρειαν σπιθαμαὶ πέντε. τὸ δὲ ἱμάτιον αὐτοῦ ἐστιν ἀστράσι σεσημασμένον καὶ ἔτι φύλλοις καὶ κλάδοις πεποικιλμένον καὶ ἀκριβῶς ἐξεικασμένον ἔστιν οἷς τῶν ἄνωθεν ἐκ Σηρικῆς κομιζομένων. ιγʹ. Ἐς δὲ τοὐπιὸν ἔτος ἄγεται τῷ ἐγγόνῳ ὁ βασιλεὺς Ἀνδρονίκῳ τῷ βασιλεῖ γυναῖκα Εἰρήνην τὴν ἐξ Ἀλαμανῶν, οὓς Γαλάτας ἑσπερίους οἶδεν ἡ πάλαι



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

καλεῖν συνήθεια. καὶ μετὰ ταῦτα ἄπεισιν ὁ βασιλεὺς Μιχαὴλ ἐς Θεσσαλονίκην μετὰ τῆς βασιλίδος Μαρίας τῆς συζύγου αὐτοῦ· ἔνθα δὴ καὶ τὸ πέρας μεθ' ὅλον ἐνιαυτὸν τοῦ παρόντος ἐδέξατο βίου. καίτοι προμεμαντευμένον ἦν ἀπιόντι αὐτῷ ἐκεῖσε θανεῖν καὶ ἐδειλία δι' αὐτό γε τοῦτ' ἀπελθεῖν. ὅμως ἀπῆλθεν διὰ τὰ Θετταλῶν καὶ Πελασγῶν πράγματα, ὁπόσα 1.278 ἀνεῤῥώγει τῷ τηνικαῦτα, περὶ ὧν ἐροῦμεν αὐτίκα. ὁ δὲ τῆς μαντείας τρόπος τοιοῦτος ἦν. (Β.) Ἐν τῷ κατὰ τὴν Ἀδριανούπολιν παλατίῳ εὑρέθη πρὸ τῶν πυλῶν ἀνωτέρω μικρὸν τῆς φλιᾶς τῆς ἄνω γεγραμμένος κύκλος· καὶ περὶ τὸν κύκλον τέτταρα ζῶα γεγραμμένα, λέων, πάρδαλις, ἀλώπηξ καὶ λαγωός· καὶ ἐπ' αὐτοῖς χρησμός τις ἔμμετρος, αἰνιγματωδῶς πως ἐμφαίνων τελευτὴν βασιλέως ἑνὸς τῶν Παλαιολόγων ἐν Θεσσαλονίκῃ τῇ πόλει ἐπιδεδημηκότος. ἦν δὲ ὁ τοιοῦτος κύκλος τῆς γῆς ἀπέχων ἐς ὕψος δυοῖν ἀνδρῶν μῆκος· ὡς ἀμφίβολον ἐντεῦθεν γίνεσθαι καὶ οἷον ἄπιστον ἐν ὑποψίᾳ λαβεῖν ἄνθρωπον εἶναι τὸν γράψαντα, καιρὸν οὐκ ἔχοντα θεῖναί τε κλίμακα καὶ ἅμα ἀνιόντα γράψαι μετὰ τῆς προσηκούσης σχολῆς, βασιλέως τε παρόντος καὶ ἅμα συχνῶν καὶ ἀναριθμήτων ὄντων τῶν εἰσιόντων καὶ ἐξιόντων· ὥστε μηδενὸς τῶν ἀνθρώπων ὄντος τοῦ γράψαντος χρεὼν ἀναμνησθῆναι τῶν ἀνωτέρω πλατύτερον περὶ τῶν τοιούτων προειρημένων ἐμοί. (Γ.) Ἀλλ' ἐπὶ Θετταλίαν καὶ τὰ ἐκεῖ πράγματα ὁ λόγος ἀγέσθω, ἵνα καὶ τῶν ἐκεῖθεν ἀπαλλαγέντες τᾶν μειζόνων καὶ βαρυτέρων ἁψώμεθα ὑποθέσεων. ἔφαμεν, ὡς ἡ Θετταλῶν καὶ Πελασγῶν ἀρχὴ ἐς Ἰωάννην ἔσχατον περιῆλθε τὸν Δοῦκαν· ὃς νέος τε ὢν τὴν ἡλικίαν καὶ ἄλλως νοσώδης τὴν ἕξιν τοῦ σώματος καὶ ὁρῶν διὰ τοῦτο πλημμελῶς τὰ ἐκεῖ φερόμενα πράγματα ἐδεδίει περὶ τῆς ἀρχῆς, μή τις τῶν ὑπ' αὐτῷ γε ἐνδόξων νεωτερίσας τυραννικῶς αὐτῆς ἐπιλάβηται. ὅθεν διαπρεσβευσάμενος ἄγεται ἑαυτῷ γυναῖκα Εἰρήνην, τὴν νόθην Ἀνδρονίκου τοῦ 1.279 βασιλέως θυγατέρα. ἀλλὰ τρεῖς μόνους αὐτῇ συνοικήσας ἐνιαυτοὺς ἄπαις ἀπολείπει τὸν βίον· ὡς ἐντεῦθεν ἀδιαδόχου τῆς ἀρχῆς καταλειπομένης ἐκείνης διεῤῥῆχθαι τὰς ἐκεῖ χώρας καὶ πόλεις· καὶ τὰς μὲν προσρυῆναι τῷ βασιλεῖ μετὰ τῆς εἰρημένης αὐτοῦ θυγατρός· τὰς δ' ὑποκύψαι τισὶ τῶν ἐνδόξων τῆς χώρας· τὰς δὲ τοῖς ἐκ Βοιωτίας τηνικαῦτα ἐπιδραμοῦσι Κατελάνοις δουλεῦσαι. τότε τοίνυν καὶ συχναὶ παρὰ τῆς θείας καὶ ἱερᾶς συνόδου γραφαὶ πρὸς Θετταλοὺς καὶ Φθιώτας καὶ Πελασγοὺς ἀπεστάλησαν παραινέσεις τε ἔχουσαι καὶ ἅμα φρικώδη τὰ ἐπιτίμια κατὰ τῶν μὴ βουλομένων ὑπείκειν τῷ βασιλεῖ καὶ εἶναι μία τις Ῥωμαίων ἀρχὴ σὺν τοῖς ἄλλοις, ὡς ἐν τοῖς πρότερον χρόνοις. ἀλλ' ἤνυσαν τῶν φθασάντων πλέον οὐδέν. ἀλλὰ ταῦτα μὲν τοῦτον ἔσχε τὸν τρόπον. 1.283 αʹ. Ἐπεὶ δὲ μειζόνων καὶ καινοτέρων ὑποθέσεων ἄρχεσθαι μέλλομεν, ἀναγκαῖον ἀναλαβόντας τὸν λόγον εἱρμόν τινα καὶ τάξιν τῇ πολυπλόκῳ σειρᾷ χορηγεῖν τῶν πραγμάτων, ὡς ἂν μὴ ἀσαφὴς ὁ λόγος ἐπὶ τὰς τῶν ἀκουόντων ψυχὰς παροδεύων ἀηδὴς φαίνηται καὶ ἀποκναίων ἐπιεικῶς. τῷ βασιλεῖ Μιχαὴλ παῖδες ἐκ Μαρίας τῆς ἐξ Ἀρμενίων ἐληλυθυίας αὐτῷ γυναικὸς ἐγένοντο θήλειαι μὲν δύο, Ἄννα καὶ Θεοδώρα· ὧν ἡ μὲν Ἄννα ἀπιοῦσα συνεζύγη Θωμᾷ, τῷ Ἠπείρου καὶ Αἰτωλίας ἄρχοντι· ἣν ἔσχε μετὰ ταῦτα φονεύσας Θωμᾶν ὁ ἐκείνου ἀδελφιδοῦς κόντος· ἡ δὲ Θεοδώρα ἀπιοῦσα συνεζύγη Σφενδοσθλάβῳ, τῷ τῶν Βουλγάρων ἄρχοντι. θυγατέρες μὲν οὖν δύο αὗται τῷ βασιλεῖ γεγένηνται Μιχαήλ· ἄῤῥενες δ' ὁμοίως δύο, Ἀνδρόνικός τε ὁ βασιλεὺς καὶ Μανουὴλ ὁ δεσπότης. τὸν μέντοι Ἀνδρόνικον τοσοῦτον ἐκθύμως ὁ βασιλεὺς Ἀνδρόνικος καὶ πάππος ἠγάπα καὶ οὕτω τῆς θέας αὐτοῦ γε ἐξήρτητο, ὥστε πάντας πρωτογενεῖς τε καὶ ὑστερογενεῖς υἱοὺς καὶ θυγατέρας καὶ ἐγγόνους ἐν δευτέρᾳ καὶ τρίτῃ σχέσεως τίθεσθαι μοίρᾳ καὶ πάντας εἰ δέοι ῥᾳδίως ἕτοιμος εἶναι προέσθαι δι' ἕνα γε τοῦτον· τοῦτο μὲν καὶ διὰ τὴν τῆς βασιλείας μονιμωτέραν διαδοχὴν, τοῦτο δὲ καὶ διὰ τὴν εὐφυῒαν τῆς γνώμης, τοῦτο δὲ καὶ διὰ τὸ τῆς ὄψεως κάλλος· ἴσως δὲ καὶ διὰ τὴν ὁμωνυμίαν· ὥστε δι' αὐτά γε ταῦτα καὶ παρ' ἑαυτῷ τρέφειν ἔκρινε δεῖν ἐν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

παιδείᾳ βασιλικῇ καὶ ἅμα τῇ νύκτωρ καὶ μεθ' ἡμέραν αὐτοῦ 1.284 διηνεκῶς θεωρίᾳ τρυφᾷν καὶ ἀγάλλεσθαι. (Β.) Ἐπεὶ δὲ καὶ ἐς τὸν ἔφηβον ἧκεν ὁ νέος Ἀνδρόνικος, ἐν ᾧ τῆς ἡλικίας ἀκμαιότερον αἱ ἡδοναὶ κατὰ τῆς φύσεως ἐπανίστανται καὶ ζητοῦσιν ἐλευθερίαν μηδὲν ἐπιφερομένην κεκολασμένον, καὶ μάλιστα ἐν ἀξίᾳ βασιλικῇ καὶ ἀνθούσῃ νεότητι, τότε δὴ πολλὴ τοῖς ἡλικιώταις ἦν ἐξουσία πάντα κατ' ἔφεσιν ὑφηγεῖσθαι, ὁπόσα νεωτερίζουσι γνῶμαι τῇ βουλήσει πάντα παραμετρούμεναι καὶ ὅλους χαλινοὺς αἰδοῦς ἀποπτύουσαι. καὶ πρῶτα μὲν ἤρξαντο παρεξάγειν αὐτὸν ἐς περιπάτους καὶ θέατρα καὶ κυνηγέσια· ἔπειτα ἐς νυκτερινὰς περιπλανήσεις οὐ πάνυ τοι βασιλεῦσιν ἁρμοττούσας. αὗται δὲ πολλὴν ἀπαιτοῦσι χρημάτων δαπάνην· τὸ δ' οὐκ ἦν εὐπετὲς, τοῦ βασιλέως καὶ πάππου σταθμοῖς καὶ μέτροις οὐ πολὺ τὸ μεγαλοπρεπές τε καὶ φιλότιμον ἐπισυρομένοις τὴν ἡμερησίαν αὐτῷ χορηγοῦντος τροφήν. ἐντεῦθεν φιλίαι πρὸς Λατίνων ἔστιν οὓς τῶν ἐν τοῖς Γαλάτου τὴν οἴκησιν κεκτημένων καὶ μάλιστα ὅσοι πλούτῳ κομῶντες ἦσαν μακρῷ· ἐντεῦθεν δάνεια καὶ ὀφειλαὶ καὶ ζητήσεις χρημάτων· ἐντεῦθεν βουλαὶ καὶ μελέται λαθραίας φυγῆς. ὁρῶντι γὰρ τὸν πάππον Ἀνδρόνικον μακρὸν ἐπὶ τῆς ἡγεμονίας παρατείνοντα τὸν χρόνον καὶ μετ' ἐκεῖνον ἔφεδρον τῆς αὐτοκρατορίας αὖθις τὸν ἑαυτοῦ πατέρα Μιχαὴλ τὸν βασιλέα, ἀπογινωσκομένην ἤδη καὶ ἀνέλπιστον. ἑαυτῷ τὴν αὐτοκρατορίαν ἐπῄει νομίζειν. ὅθεν τὸ περὶ τὴν φιλαρχίαν λίχνον τῶν λογισμῶν μικροψυχία τις οὐ μάλα ἀγενὴς ἐφ' ἱκανὸν ἐπιβοσκομένη πρὸς τοιαύτας ἐξοκέλ 1.285 λειν ἠνάγκαζε τὰς μελέτας. μηδὲ γὰρ θέλων ὑπὸ τῷ πάππῳ καὶ βασιλεῖ καθάπερ ὑπὸ παιδαγωγῷ παιδοκομεῖσθαι καὶ ἄλλων λατρεύειν βουλήμασιν ὥσπερ παιδίον ἀεὶ, αὐτονομίαν ἐζήτει βασιλικὴν καὶ ἀφθονίαν πραγμάτων, ὥστε ἑαυτῷ τε ἔχειν τὸ διαρκὲς καὶ ἄλλοις οἷα βασιλεὺς ὑπηκόοις χαρίζεσθαι. ἐπεὶ δ' ἀδύνατον ἔβλεπεν εἶναι τοῦτο ζῶντος τοῦ πάππου καὶ τοῦ πατρὸς ἐνταυθοῖ καθημένου, πρὸς ἑτέρας ἐσκόπει χωρῶν ἐπικρατείας· καὶ νῦν μὲν Ἀρμενίαν ὠνειροπόλει ἅτ' ἐκ μητρὸς αὐτῷ προσήκουσαν, νῦν δὲ Πελοπόννησον, νῦν δὲ Λέσβον καὶ Λῆμνον καὶ ὅσαι τὸ πολὺ τοῦ Αἰγαίου πληροῦσιν. ἀλλὰ ταῦτα μὲν εἰς ἀκοὰς ᾔει λάθρα νῦν μὲν τοῦ πατρὸς, νῦν δὲ τοῦ πάππου. ὅθεν καὶ λάθρα νῦν μὲν ὑπ' αὐτοῦ, νῦν δ' ὑπ' ἐκείνου διεκόπτετο. (Γ.) Καὶ ἵνα σιωπῇ παραδράμω τὰ πλεῖστα, νύκτωρ ἐκώμαζε πρὸς γυναῖκά τινα γένει μὲν τῶν οὐκ ἀσήμων, τὸν δὲ τρόπον ἑταίραν. ταύτης ἐραστὴς ἦν καὶ ἐρώμενος καὶ Ἄδωνις ἄλλος τῶν ἐν ἡλικίᾳ τις καὶ ὥρᾳ διαπρεπῶν· δι' ὃν καὶ ζηλοτυπία τις πυρπολοῦσα τὴν Ἀνδρονίκου τοῦ βασιλέως ψυχὴν τοξότας καὶ ξιφηφόρους ἠνάγκαζε προλοχίζειν περὶ τὴν τῆς ἑταιρίδος οἰκίαν. ἐν μιᾷ τοίνυν περὶ μέσας που νύκτας τὸν βασιλέα ζητῶν ὁ ἀδελφὸς καὶ δεσπότης ἔτυχεν ἀπὸ ταὐτομάτου συμβὰν οὑτωσὶ παριέναι περὶ τὴν τῆς ἑταιρίδος οἰκίαν. ὃν οἱ τοῦ βασιλέως σκοποὶ θεασάμενοι σπουδῇ προσελαύνοντα καὶ μὴ γνόντες διὰ τὸ σκότος ὅστις εἴη, ἀλλὰ τὸν τῆς ἑταιρίδος ὑποτοπάσαντες εἶναι ἐρώμενον, συχνὰ κατ' αὐτοῦ ῥίπτουσι 1.286 βέλη. καὶ μὲν δὴ καιρίαν ἐκεῖνος δεξάμενος πίπτει τοῦ ἵππου· κἄπειτα συνδραμόντες καὶ γνόντες ὅστις εἴη φοράδην ἐς τὰ βασίλεια φέρουσι ζῶντα καὶ μάλα μόλις. τοῦτο μεθ' ἡμέραν γνωσθὲν τῷ πάππῳ καὶ βασιλεῖ μεγάλας ἐνέσπειρε καὶ σφοδρὰς τὰς ἀνίας οὐ μόνον πρὸς τὸ παρὸν ἀφορῶντι, ἀλλὰ καὶ τοῦ μέλλοντος εὐσυνέτως στοχαζομένῳ. ἐπεί γε μὴν τοῦ δεσπότου Μανουὴλ ἐκ τῆς τοιαύτης θανόντος πληγῆς καὶ ἐς τὸν βασιλέα Μιχαὴλ ἐν Θεσσαλονίκῃ διατρίβοντα ἧκεν ἡ φήμη, τί χρὴ λέγειν; τοσοῦτο γὰρ δραστικώτερον βέλους παντὸς ἐπεπράχει περὶ τὴν ἐκείνου καρδίαν τὸ τραῦμα, ὥστε κατασεισθέντι καὶ βαπτισθέντι συχνοῖς τοῖς τοῦ πάθους λογισμοῖς νόσος ἐνσκήπτει δεινὴ, ἣ δὴ καὶ μετ' οὐ πολὺ τοῦτον ἐξάγει βίου. τῷ μέντοι γηραιῷ βασιλεῖ Ἀνδρονίκῳ τοσοῦτοι χειμῶνες ἐντεῦθεν καὶ κλύδωνες ἀνεῤῥάγησαν λογισμῶν καὶ τοσοῦτοι θόρυβοι τὰ αὐτοῦ συνεκύκησαν πράγματα, ὥστ' οὐκ ἔχομεν ταῦτ' ἀνενεγκεῖν πρὸς οὐδὲν τῶν φθασάντων παράδειγμα.



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

προϊόντες δ' ἐροῦμεν αὐτά. (Δ.) Ἐν τούτῳ τῷ χρόνῳ συνέβη γενέσθαι στάσιν τινὰ καὶ θόρυβον οὐ μικρὸν τοῖς τῆς Γεννούας οἰκήτορσιν. ἔστι δ' ἡ Γεννούα πόλις παράλιος τῶν ἐν Ἰταλίᾳ δυτικωτέρα, μεταξὺ Τυῤῥηνῶν τε κειμένη καὶ Ἄλπεων. ᾠκίσθη δ' ἀρχῆθεν ὑπὸ δυοῖν γενοῖν τῶν τε Γέλφων καλουμένων καὶ Γεμπιλίνων. καὶ ἦν μὲν ἄχρι πλείστων τῶν χρόνων ἐνδοξότερόν τε καὶ τὰς ἀρχαιρεσίας ἐξ ἑαυτοῦ ποιούμενον τὸ τῶν Γεμπιλίνων. ἔπειτα ὀστράκου μεταπεσόντος ἐπικρατέστερον τὸ τῶν Γέλφων καθέστηκε γένος καὶ πᾶσαν πρὸς ἑαυτὸ τὴν τάξιν ἐκεί 1.287 νην μετέστησέ τε καὶ πάμπαν ἐξόριστον τῆς Γεννούας πεποίηκε θάτερον τοῖν γενοῖν, ὡς μὴ ὀψέ ποτε δύναμίν τινα προσειληφὼς αὖθις ἀνατρέψῃ τὴν τάξιν. ἐκεῖθεν ἡ φήμη δραμοῦσα καὶ ἐς τὰς πανταχῇ τῆς γῆς τῶν Γεννουϊτῶν οἰκήσεις τὰ ὅμοια τῇ μητροπόλει πράττειν ἠνάγκασεν. ἐντεῦθεν μάχαι καὶ πόλεμοι τῶν Γεννουϊτῶν πανταχῆ κατ' ἀλλήλων. οἱ γὰρ ἐξωσθέντες μισθοφορικάς τινας δυνάμεις ἔξωθεν προσλαμβάνοντες κακῶς τοὺς ἐξώσαντας διετίθουν. (Ε.) Ἐπεὶ δὲ καὶ μετὰ τὴν τῆς βασιλίδος Εἰρήνης ταφὴν Κράλαινα ἡ θυγάτηρ αὐτῆς ἐπιπλέον τῷ Βυζαντίῳ ἐνδιατρίβειν ἐβούλετο, ἤκουσι πρέσβεις ἐκ τοῦ συζύγου αὐτῆς δηλαδὴ τοῦ Κράλη Σερβίας ἀπειλὰς κατὰ τῆς Ῥωμαίων φέροντες γῆς, εἰ μὴ τάχιστα παρὰ τὸν σύζυγον αὕτη ἀφίκοιτο. ἔρωτι γὰρ τῷ πρὸς αὐτὴν φλεγόμενος πλείστην μὲν ἀφοβίαν παρέσχετο ταῖς πλησιαζούσαις χώραις καὶ πόλεσι τῶν Ῥωμαίων· ἐζηλοτύπει δ' οὖν ὅμως τὴν ταύτης ἀπουσίαν καὶ μεστὸς ὑπονοίας ἦν. ὁ μέντοι βασιλεὺς τὰς ἀπειλὰς τοῦ γαμβροῦ δείσας μὴ καὶ εἰς ἔργον αὐτὰς ἐξενέγκῃ (ῥᾴδιον γὰρ ἦν ἐκείνῳ διὰ τὸ πολλὴν κεκτῆσθαι στρατιωτικὴν δύναμιν) προπέμπει ταύτην εὐθύς. ἦν δὲ τηνικαῦτα δεύτερόν τε καὶ εἰκοστὸν αὕτη τῆς ἡλικίας ἄγουσα χρόνον. δείσασα τοίνυν μὴ ἀπελθοῦσα φονευθείη πρὸς τοῦ ἀνδρὸς, ὑποπτεύοντος 1.288 μὲν αὐτὴν ἀεὶ, νῦν δὲ καὶ πρὸς μεγάλην ὀργὴν ἐκκαυθέντος, ἔγνω τὸ μοναχικὸν ὑπελθοῦσα σχῆμα φυγεῖν οὑτωσὶ τὴν αὐτοῦ συνδιαίτησιν. τοῦτο μὲν οὖν ἐνταυθοῖ παρὰ τῷ πατρὶ διατρίβουσα ποιεῖν οὐκ ἠνέσχετο διὰ τὸ μὴ καὶ τὸν πατέρα καίτοι μὴ συνειδότα καθυποβαλεῖν ἐς φανερὰν τὴν τοῦ συνειδέναι αἰτίαν καὶ πρὸς φανερὰν κινῆσαι μάχην τὸν Κράλην κατὰ τοῦ πατρός. διὸ μέχρι τοῦ πολιχνίου τῶν Σεῤῥῶν ὡς εἶχε σχήματος ἀπελθοῦσα καὶ συχνὰς ἡμέρας κἀκεῖ διατρίψασα λάθρα παρά τινος ῥάκος ὠνησαμένη μοναχικὸν μιᾷ τῶν νυκτῶν ἐνεδύσατο τοῦτο· καὶ οὕτω παρ' ἐλπίδα μεθ' ἡμέραν φανεῖσα τοῖς μετ' αὐτῆς Τριβαλλοῖς ἔκπληξίν τε καὶ ταραχὴν ἐνέβαλεν οὐ μικρὰν, ὡς βουληθῆναι παράβολόν τι δι' ἀνάγκην αὐτοὺς καὶ φόβον δεσποτικὸν ἐπ' αὐτῇ πεπραχέναι· ἢ γὰρ διαῤῥῆξαι τὸ ῥάκος καὶ ἄκουσαν αὐτὴν ἐς τὸν ἄνδρα ἀγαγεῖν· ἢ τό γε δεύτερον, αὐτὴν διαχρήσασθαι καὶ μὴ ζῶσαν αὐτὴν ὡς ποῤῥωτάτω τε τοῦ ἀνδρὸς οἰκεῖν καὶ ἅμα δριμείαις τε καὶ σφοδραῖς ταῖς ἀνίαις ἐμπιπρᾷν τὸν ἐκείνου θυμόν. ἀλλὰ φθάσας ὁ ταύτης ἀμφιμήτριος ἀδελφὸς Κωνσταντῖνος ὁ δεσπότης (παρῆν γὰρ καὶ αὐτὸς) διόρθωσιν τοῦ καινοτομήματος ἐπεπράχει, οὐ πράως ἐνεγκεῖν τὸν Κράλην τὸ δρᾶμα οἰόμενος. ῥήγνυσι γὰρ βιαίως ἐπιδραμὼν τὸ ῥάκος ἐκεῖνο καὶ τὸ σύνηθες αὖθις ἐνέδυσε σχῆμα· καὶ παραδοὺς τοῖς Τριβαλλοῖς ἄκουσάν τε καὶ κλαίουσαν ἀπάγειν ἐκέλευσε τὴν ταχίστην. καὶ τοῦτο μὲν τοῦτον ἔσχε τὸν τρόπον. 1.289 β΄. Ὁ δὲ πατριάρχης Ἰωάννης ὁ Γλυκὺς συνιδὼν ὡς ἀνέλπιστά οἱ τὰ τῆς ὑγιείας ἤδη κατέστη καὶ τὸ μὲν τῆς πνευματικῆς ταύτης ἀρχῆς λειτούργημα πολλῆς δεῖται σωματικῆς ἰσχύος καὶ ῥώμης, πολλῆς δ' αὖ ἑτέρωθεν ἠρεμίας δεῖ κάμνοντι σώματι· κἀκ τοῦ ἐναντίου δ' ἔτι καὶ σχολῆς τῶν ἔξωθεν μακρᾶς ψυχῇ συγκαμνούσῃ καὶ περισπωμένῃ ταῖς τοῦ σώματος ἀλγηδόσι (διὰ γὰρ αὐτό γε τοῦτο δύο συμβαίνειν τἀναντιώτατα· μήτε γὰρ τὴν τῶν ἀνὰ χεῖρας πραγμάτων διοίκησιν διὰ λείας καὶ ἀκμαζούσης φέρεσθαι τῆς ὁδοῦ, μήτε τὸν λαὸν ἀνύβριστον δύνασθαι φέρειν ἐπ' αὐτὸν γνώμην καὶ γλῶτταν)· ἐν μέσῃ τῇ τῶν πραγμάτων ἀπέγνω πορείᾳ καὶ σχολὴν ἑαυτῷ προὐμνηστεύετο ἤδη καὶ τῆς πολλῆς ἐζήτει καὶ ποικίλης ταυτησὶ περιφορᾶς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀποχώρησιν. ταῦτ' ἄρα καὶ τοῖς αὐτοῦ βουλεύμασιν ὁ βασιλεὺς ἐπινεύει καὶ τὴν τῆς Κυριωτίσσης μονὴν εἰς οἴκησιν ἀπονέμει· πρὸς ἣν δὴ καὶ ἀφικνεῖται τῷ τετάρτῳ τῆς αὐτοῦ γε πατριαρχείας ἔτει, τὸν πατριαρχικὸν ὅπως ποτὲ παραιτησάμενος θρόνον. κἀκεῖ νοσοκομούμενος, ὡς ἐνῆν, διὰ τὴν τῶν χειρῶν καὶ ποδῶν παντελῆ πάρεσιν ἐδεδίει καθ' ἡμέραν τὸν θάνατον. ὅθεν οὐ πολύν τινα πλοῦτον καταγαγὼν ἐκ τοῦ πατριαρχικοῦ θρόνου διὰ τὸ μὴ φιλοχρήματος εἶναι κατὰ τοὺς πλείστους, ἀλλὰ μικρόν τε καὶ εὐαρίθμητον, τοῦτον μὲν εἰς περιποίησιν ἀνάλωσε τῆς μονῆς. ἐμὲ δὲ προσκαλεσάμενος τὴν τελευταίαν αὐτοῦ βούλησιν ἐν χάρτῃ διαθέσθαι ἠξίου. σφόδρα γὰρ τοῖς ἐμοῖς ἠρέσκετο λόγοις. (Β.) "1Πᾶσι μὲν 1.290 οὖν ἀνθρώποις"2, φησὶ, "1θανάτου μεμνῆσθαι χρεὼν καὶ νήφουσιν ὀφθαλμοῖς τὴν τῶν παρόντων καταγινώσκειν σκιὰν, πῶς μὲν τὸν χθὲς καὶ πρότερον ὄντα κόλποι γῆς ἐξαίφνης διέλαχον, πρὶν τὰ οἴκοι διαθέσθαι κατὰ γνώμην καὶ πρὶν καλῶς διαβλέψαι τὸν λόχον τῆς συμφορᾶς· καὶ πῶς αὖθις ὁ σήμερον οἴκοθεν οἱονεὶ τῷ ἡλίῳ τῷδε συνανατέλλων καὶ ἐμπομπεύων τῇ πανηγύρει τοῦ βίου μεστὸς ἀπεράντων ἐλπίδων, ἔπειτ' ἐν μεσημβρίᾳ φωτὸς σκότους καὶ λήθης ὑπῆλθε μυχοὺς ἐν ἀκμῇ τῇ ἡλικίας, πολλάκις καὶ ἑορτῇ τοῦ προσώπου, καὶ ἵν' εἴπω τοῦ πάθους ἀνελπιστίᾳ πολυτελεῖ. πολλῷ δ' οὖν ἀναγκαῖον θανάτου μᾶλλον μεμνῆσθαι, οἷς καὶ νόσος οἷά τις δι' ἀνωμαλίαν τε καὶ ἀταξίαν τῆς ὕλης συμπέπτωκεν, αἷς πολλαῖς τε καὶ ποικίλαις ἄλλοτε ἄλλαις τὸ ἀνθρώπινον κέχρηται σῶμα συγχεούσαις τε καὶ διασπώσαις τὴν τῶν συνδέσμων στοιχείων ἀλληλουχίαν. οὗτοι γὰρ ἤδη μονονοῦ θατέρᾳ χειρὶ τὴν τοῦ θανάτου κόπτουσι θύραν καὶ τὸ πλέον τῆς τοῦ ζῆν ἐλπίδος κατόπιν διαλιπόντες θατέρῳ βλέμματι πρὸς τοὺς τῶν μνημάτων ἤδη κρημνοὺς διακύπτουσι· τούτοις παντὶ τρόπῳ λυσιτελήσει τῆς οἰκείας φροντίσαι ψυχῆς καὶ ἀθάνατά γε τῇ ἀθανάτῳ πάσῃ σπουδῇ πορίσασθαι, μήποτε διπλοῦν τὸν θάνατόν σφισιν αὐτοῖς προξενήσωσι τόν τε τοῦ σώματος τόν τε τῆς ψυχῆς. ἐμοὶ δὲ καὶ μάλιστα πάντων δεινῇ τινι καὶ βαρείᾳ τῇ νόσῳ τοὐμὸν τουτὶ σῶμα μικροῦ τελέως ἐκδεδαπάνηται. πάνυ γὰρ ἐκ μακροῦ πάνδη 1.291 μός τις ἐπιστρατεύσασά μοι παλινοστήσειν οὐκέτ' αὖθις βεβούληται, ἀλλ' ἐμπεφώλευκεν ἐσάπαν, ὥσπερ τινὰ ἑαυτῆς οἰκίαν κατειληφυῖα, καὶ διετέλεσεν ἐσαεὶ τὴν μὲν ἐμὴν τοῦ σώματος οὐσίαν οἱονεί τις ἐκμυζῶσα βδέλλα, τὴν δ' αὖ περιουσίαν ὑφαιροῦσά μου κατὰ μικρὸν διδύμῃ τὸ λεγόμενον χειρὶ καὶ τοῖς τῶν ἰατρῶν κόλποις ἐπισωρεύουσα, καθάπερ τισὶ ταμιείοις οὖσιν ἑαυτῆς. ἐπεὶ δ' οὖν ἡ πρὸς αὐτὴν ἡμετέρα σπουδὴ μάταιος ἦν καὶ ἀνόνητος ὄχλος, καὶ εἰς πῦρ (τὸ τοῦ λόγου) ξαίνοντες ἐδοκοῦμεν, τί ἄν τις ἐκτραγῳδοίη, ὁπόσα μοι κατὰ τὸν βίον ἠναντιώθη ἔν τε τοῖς βασιλείοις ἔν τε τοῖς κατ' οἶκον πράγμασι; συμβέβηκε γάρ μοι κἀν τοῖς βασιλείοις τετάχθαι ἄρτι τῶν λόγων ὑπανακύψαντι καὶ τὸν ἔφηβον παραλλάττοντι, καὶ τιμῶν παρὰ τοῖς θειοτάτοις βασιλεῦσιν ἠξιῶσθαι οὔτοι γε ἐλαχίστων. καὶ ἵνα τἀν μέσῳ παρέλθωμεν, ἐπειδὴ καὶ ὁ πατριαρχικὸς ἡμᾶς ὕστερον κέκληκε θρόνος καὶ δὴ καὶ προσηγάγετο ἄκοντάς τε καὶ οὐκ ἄκοντας· ἄκοντας μὲν διὰ τὸ μὴ σφόδρα ἀνεκτὸν τῆς ἀσθενείας βάρος· θάτερον δὲ διὰ τὸ τῆς ὑγιείας προσδοκήσιμον (ἡ γὰρ ταύτης ἐπισαίνουσα καθ' ἑκάστην ἐλπὶς πάντα μοι ὑπεμίμνησκεν ἐν ἀκαρεῖ παλαιά τε καὶ νέα τοῦ θείου τεράστια πατέρος, ὧν ἴσως ἕν τι καὶ τοὐμὸν ἔλεγεν ἔσεσθαι, εἰ φιλανθρώπως ἴδοι κύριος ἐπὶ τῇ χειροθεσίᾳ καὶ τῷ τῆς ὑψηλῆς ταύτης ἀρχιερωσύνης χρίσματι)· ἐπεὶ δ' οὖν ὅμως οὑτωσὶ κἀπὶ τὸν πατριαρχικὸν θρόνον ἀπὸ τῶν συγκλητικῶν ἀρχῶν μετηνέχθημεν κἀν τοῖς αὐτοῖς αὖθις ἦμεν 1.292 δεινοῖς τοῦ νοσήματος καὶ λύσις οὐδαμόθεν οὐδ' ἡτισοῦν ἑωρᾶτο, ἔγνωμεν κρίσιν εἶναι τοῦτο θεοῦ πρὸς θάνατον συνωθοῦσαν ὁλοσχερῶς καὶ παιδείαν ἴσως μετρίαν ὧν οὐ μετρίως ἡμάρτομεν. ἔνθεν καὶ τὰ μὲν τῆς ὑγιείας ἤδη φροῦδα καὶ ἀπ' ἐλπίδος ἐγίγνετο· τὰ δὲ τῆς τελευτῆς καὶ σφόδρα γέ τοι, ὡς ἔφημεν, οὐκ ἀνέλπιστα. καὶ τί γὰρ ἄλλο γ' ἐχρῆν, ὁπότε τὴν μὲν τῆς σαρκὸς ἰκμάδα μικροῦ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

πᾶσαν ἐκρεύσασαν ἔβλεπον ἤδη, ἰατρῶν δὲ παῖδας οὐ κατὰ τοὔνομα ὄντας, ἀλλ' οὐδὲν τό γ' ἐπ' ἐμοὶ σχεδὸν τῶν πολλῶν διαφέροντας; ὅθεν τὸν πολὺν τῶν πραγμάτων ἀποσεισάμενος ὄχλον καὶ τὴν τῶν πονηρῶν γλωσσῶν σύγχυσιν ἐνταυθοῖ τὸ λεῖπον ἔκρινα δεῖν ἀνύσειν τοῦ βίου."2 (Γ.) Ἀλλὰ τὰ περὶ τούτων ἡμῖν ἐναργέστερον ἀλλαχῇ δηλούμενα τοῖς βουλομένοις ἐξέσται μανθάνειν. ἡμεῖς δ' ἐχώμεθα τῶν ἐφεξῆς. κατὰ δὲ τοῦτον τὸν χρόνον τὸν πατριαρχικὸν διαδέχεται θρόνον τῶν ἱερωμένων τις μοναχῶν ἐκ μονῆς τῶν Μαγγάνων Γεράσιμος, ἀνὴρ πολιὸς μὲν τὴν τρίχα, ἀφελὴς δὲ τὸν τρόπον καὶ τῆς ἀκουστικῆς δυνάμεως τὸ πλεῖστον ἀφῃρημένος ὑπὸ τοῦ γήρως· Ἑλληνικῆς μὲν παιδείας οὐδ' ἄκρῳ δακτύλῳ γευσάμενος πώποτε, διὰ δ' ἀμαθίαν καὶ ἄλλως ἁπλότητα τρόπων ταῖς βασιλικαῖς ἀρεσκείαις πάντη προσήκων. διὰ γὰρ τοῦτο τοιούτους οἱ βασιλεῖς ἐς τοιαύτας ἐκλέγονται τὰς ἀρχὰς, ἵνα τοῖς τούτων εὐχερῶς ὑποκύπτωσι προστάγμασι, καθάπερ ἀνδράποδα, καὶ μηδενὶ τῶν ἁπάντων ἐναντία φρονῶσιν. ἀλλὰ περὶ μὲν τούτου τέως τοσαῦτα. λελέξεται δὲ τὰ ἑξῆς τοῦ ἀνδρὸς ἡμῖν ἐν τοῖς ἔμπροσθεν. 1.293 γ΄. Κωνσταντῖνος δὲ ὁ δεσπότης ὁ ἐκ τῆς προτέρας γυναικὸς τῆς ἐξ Οὔγγρων γεννηθεὶς τῷ βασιλεῖ Ἀνδρονίκῳ ἔσχε μὲν ἐκ παρθενίας γυναῖκα πρότερον τὴν θυγατέρα Μουζάλωνος τοῦ πρωτοβεστιαρίου· ἣ δὴ καὶ πολὺν συμβιώσασα χρόνον αὐτῷ τετελεύτηκεν ἄπαις. εἶχε δ' ἐκείνη θεραπαινίδα τινὰ εὐειδῆ, Καθαρὰν κεκλημένην. ταύτῃ λάθρα μιγεὶς ὁ δεσπότης ἔτεκεν υἱὸν, ὃν καὶ ὠνόμασε Μιχαὴλ Καθαρόν. τοῦτον αὐτὸς τὰ πρῶτα μὲν βλέπειν οὐδ' ἄκραις ὄψεσιν ἠνείχετο, ἀλλ' ἐμίσει καὶ ἀπετρέπετο καὶ ὡς πορρωτάτω που διαιτᾶσθαι ἐκέλευε. τὸ δ' αἴτιον, ὅτι καὶ τὸν τῆς μητρὸς αὐτοῦ Καθαρᾶς ἔρωτα ἕτερος ἐξαπίνης ἐπιδραμὼν ἀντέκρουσεν ἔρως ἐπικρατέστερος πολλῷ καὶ σφοδρότερος. (Β.) Ἐπεὶ γὰρ πρὸς τοῦ πατρὸς καὶ βασιλέως τὴν ἐπιτροπὴν ἐδέξατο τῶν τε ἐν Μακεδονίᾳ πραγμάτων καὶ Θεσσαλονίκης αὐτῆς (διέτριβε δὲ τὰ πλεῖστα τοῦ ἄστεος ἔνδον Θεσσαλονίκης), ἔρωτι γυναικὸς ἑάλω τινὸς τῶν ἐπιφανῶν. ἦν δὲ αὕτη θυγάτηρ μὲν Νεοκαισαρείτου τοῦ πρωτασηκρῆτις, σύζυγος δὲ Κωνσταντίνου τοῦ Παλαιολόγου. οὕτω δ' ἀπαράμιλλος ἦν τῷ τε τῆς ὄψεως κάλλει καὶ τῇ τῆς γλώττης δεινότητι καὶ τῷ ἐφέρποντι τοῦ ἤθους ὑγρῷ, ὥστε οὐ ταῖς τῶν ἐντυγχανόντων μόνον ψυχαῖς ἄφυκτόν τινα τὴν ἐρωτικὴν σαγήνην ἐπέῤῥιπτεν, ἀλλὰ κἀκ μόνης τῆς φήμης τοὺς πλείστους πρὸς τοὺς ἑαυτῆς ἀνέφλεγεν ἔρωτας. οὕτω γὰρ ἡ φύσις περὶ τὴν ἄνθρωπον ἐφιλοτιμήσατο, ὥστε πολλὴν μὲν ἐπὶ τοῦ προσώπου τὴν εὐρυθμίαν ἐφήπλωσε, πολλὴν δὲ τὴν ὀξύτητα περὶ τὴν διάνοιαν ἐθησαύρισε, πολλὴν δὲ καὶ τῇ γλώτ 1.294 τῃ ἐνήρμοσε τὴν πειθὼ καὶ δεινότητα καὶ τὸ εὔστροφον καὶ ἐπίχαρι τῆς ἠχοῦς. ἦν δὲ καὶ σοφίας τῆς θύραθεν οὐκ ἄμοιρος ἡ γυνή. ἦν γὰρ ἰδεῖν αὐτὴν πάντα καὶ παντοῖα ῥᾳδίως κατὰ καιρὸν ἐν τῇ ὁμιλίᾳ διὰ γλώττης προφέρουσαν, ὅσα τε αὐτὴ δι' ἑαυτῆς ἀνεγνώκει καὶ ὅσα λεγόντων ἄλλων ἀκήκοεν, ὡς Θεανώ τινα Πυθαγορικὴν καὶ Ὑπατίαν ἄλλην ὀνομάζεσθαι ταύτην πρὸς τῶν ἐφ' ἡμῶν σοφωτέρων. τούτων ἁπάντων Κωνσταντῖνος ὁ δεσπότης, ὡς ἔφημεν, ἐς τὰ μάλιστα ἥττητο καὶ ἀπεπειρᾶτο τῆς γυναικὸς καὶ λάθρα ἠξίου μίγνυσθαι. ἡ δὲ, εἴτε τὸν σύζυγον δεδοικυῖα, εἴτε μυσαττομένη τὸ τῆς πράξεως ἄθεσμον, ἀνθίστατό τε καὶ ἀπετρέπετο. ὅδ' ὅσον ἐκείνην ἀποτρεπομένην ἑώρα, τοσοῦτον αὐτὸς πρὸς μείζονας ἐξεκάετο τοὺς αὐτῆς ἔρωτας· καὶ ἦν ἰδεῖν τὸ τοῦ Πλάτωνος, τὴν ψυχὴν τοῦ ἐρῶντος ἐν ἀλλοτρίῳ ζῶσαν τῷ σώματι. ἐπεὶ δὲ μετὰ χρόνον τινὰ τὸν βίον ὁ ταύτης ἀπέλιπε σύζυγος, ἤδη σφοδρότερον ἦν ἐγκείμενος ὁ δεσπότης καὶ πάντα λίθον κινῶν, τὸ τοῦ λόγου, νόμιμον ἀγαγέσθαι βουλόμενος σύζυγον. οὗ δὴ γεγονότος πασῶν εὐθὺς ἐξελάθετο γυναικῶν καὶ ἐρώτων ἄλλων καὶ αὐτοῦ γε τοῦ ῥηθέντος υἱέως Καθαροῦ Μιχαὴλ, ὃν ἐκ τῆς θεραπαινίδος γεγέννηκε· καὶ ἦν μόνης θερμῶς ἐξεχόμενος Εὐδοκίας τῆς Παλαιολογίνης. (Γ.) Τοῦτον δὴ οὖν τὸν Καθαρὸν Μιχαὴλ πεντεκαιδέκατον ἤδη



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

χρόνον τῆς ἡλικίας ἀμείβοντα πέμψας ὁ βασιλεὺς Ἀνδρόνικος ὁ γηραιὸς προσηγάγετό τε καὶ τοῖς κατ' οἶκον ὑπηρετικοῖς παιδαρίοις συγκατέλεξε. πρῶτον μὲν, ἵνα μὴ διαφθαρείη λιμῷ, μηδενὸς προμηθουμένου· δεύ 1.295 τερον δ' ἴσως, ἵνα καί τινι τῶν πέριξ ἐθνῶν εἰς κῆδος δοθείη, ὡς ἐξ αἵματος ὢν βασιλείου καὶ γένηται σπονδῶν τινων πρόξενος καί τινος ὠφελείας Ῥωμαίοις καὶ τοῖς Ῥωμαίων πράγμασιν αἴτιος. ὁ δὲ κομισθεὶς καὶ διατρίβων ἐν βασιλείοις τοσοῦτον εἰς τὴν ἑαυτοῦ σχέσιν ἐν βραχεῖ τὸν βασιλέα ἀνηρτήσατο, ὡς καὶ αὐτοὺς δὴ τοὺς τοῦ βασιλέως υἱέας ζηλοτύπως ὑποβλέπειν αὐτόν. ὁ δὲ βασιλεὺς Ἀνδρόνικος ὁ νέος καὶ πλέον τῶν ἄλλων ὠργίζετο καὶ ἐδυσφόρει, ὁρῶν τὴν πρὸς αὐτὸν ἀνυπέρβλητον ἐκείνην ἀγάπην τοῦ βασιλέως καὶ πάππου μαραινομένην, τὴν δὲ πρὸς τὸν χθεσινὸν καὶ ὑποβολιμαῖον τουτονὶ διηνεκῶς ἀνθοῦσαν καὶ αὐξανομένην ἐφ' ἡμέρᾳ καὶ νυκτί. (Δ.) Ὃ δὲ μᾶλλον δικαίως αὐτὸν ἐξέμηνεν εἰς λύπην καὶ ὀργὴν καὶ μελέτας πολυειδεῖς, ἐξ ὧν αἱ περὶ τῆς βασιλείας ἐβλάστησαν στάσεις, καὶ οἱ τῆς κακίας ἤρξαντο χειμῶνες καὶ κλύδωνες, λέξομεν ἤδη. οὕτω γὰρ, ὡς εἰρήκαμεν, πλημμελῶς τῶν πραγμάτων ἐχόντων καὶ μεταξὺ τοῦ βασιλέως Μιχαὴλ τεθνηκότος ἐκέλευσεν ὁ βασιλεὺς ὀμνύειν ἅπαντας· πρῶτον μὲν σέβειν καὶ προσκυνεῖν ὡς βασιλέα καὶ δεσπότην αὐτόν· ἔπειτα καὶ ὃν ἂν αὐτὸς ἐκλεξάμενος ἐς τὴν τῆς βασιλείας προστήσειε διαδοχήν. τοῦτο λεχθὲν ἀορίστως μικροῦ πάντας ἐτάραξε, καὶ μάλιστα τὸν ἔγγονον Ἀνδρόνικον τὸν ὡρισμένον τῆς βασιλείας διάδοχον. εὐθὺς γὰρ ἅπαντες τὰς ὑποψίας εἰς τὸν ὑπο 1.296 βολιμαῖον τουτονὶ Μιχαὴλ, ὡς ἐκ συνθήματος ἤγαγον. καὶ πολύς τις ἐντεῦθεν ἐφύετο θόρυβος λογισμῶν καὶ ἀλλεπάλληλοι μελέται κακίας ἐψιθυρίζοντο. τινὲς μὲν οὖν φόβῳ τῆς ἐξουσίας εἴξαντες ὤμνυον· οἱ δὲ πλείους ἐς τοὐμφανὲς τὸν τοιοῦτον ἀπείπαντο ὅρκον· οἷς ἀνάγκην τινὰ τυραννικὴν ἐπάγειν οὐκ ἔγνωκε δεῖν ὁ βασιλεὺς ἐν τοσούτῳ θορύβῳ πραγμάτων. ἔβλεπε γὰρ ἤδη καὶ τὸν βασιλέα τὸν ἔγγονον σχεδιάζοντα τῆς φυγῆς τὴν μελέτην διὰ τὴν ἀοριστίαν τοῦ ζητηθέντος παρὰ τῶν ὑπηκόων ὅρκου. διὰ δὴ τοῦτο τέως ἠρέμησεν ὁ βασιλεὺς καὶ τὴν ἀπαίτησιν ἔπαυσε τῶν εἰρημένων ὅρκων. ἐσκέπτετο δὲ ἤδη, πῶς ἂν πρὸς τὴν φυγὴν ἐμποδὼν τοῦ ἐγγόνου καὶ βασιλέως γένοιτο. ἐδεδίει γὰρ μὴ ἀπελθὼν καὶ βοήθειαν ναυτικὴν παρὰ Λατίνων λαβὼν τά τε Ῥωμαίων συγκυκήσῃ πράγματα καὶ ἅμα τὴν βασιλείαν αὐτοῦ τυραννικῶς πως ὑφέληται. ὅθεν λαθραῖον ἐπέστησε φύλακα τούτου τὸν Συργιάννην ἄρτι τῆς εἱρκτῆς ἐξιόντα. ἦν γὰρ αὐτὸς πρὸ βραχέος ἐν εἱρκτῇ δεινοτάτῃ δι' αἰτίας, ἃς ἄνωθέν ποθεν ἀρξαμένους δίκαιον ἀφηγήσασθαι, ἵνα δὴ καὶ οἷς τὰ κατὰ τὸν ἄνδρα οὐκ ἔγνωσται γνώριμα κατασταίη. δʹ. Τούτῳ μήτηρ μὲν ἦν μία τῶν κατὰ γένος τοῖς βασιλεῦσι προσηκουσῶν εὐπρεπὴς καὶ κοσμία· πατὴρ δὲ τῶν ἐκ Κομάνων ἐπίσημος, οἳ παρὰ τῶν ὑπερβορείων Σκυθῶν πρὸ χρόνων συχνῶν, ὡς εἰρήκαμεν, Ἰωάννῃ τῷ βασιλεῖ προσεῤῥύησαν. οὗτος ὀξύτητι φύσεως, πρὶν τὴν τῶν παίδων παραδραμεῖν ἡλικίαν, ἐν τοῖς 1.297 λόγοις λαμπρὸς ἀνεφάνη. ἔπειτ' ἐπιμελῶς ἐν τοῖς στρατιωτικοῖς παιδευθεὶς κράτιστος κἀν τούτοις ἔδοξε διά τε ῥώμην σώματος καὶ γνώμης βαθύτητα καὶ οἷον εἰπεῖν δαιμονίαν τὴν σύνεσιν. (Β.) Πέμπτον δ' ἄρτι καὶ εἰκοστὸν τῆς ἡλικίας ἔτος ἀμείβων πέμπεται πρὸς τοῦ βασιλέως στρατηγὸς καὶ διοικητὴς μιᾶς τῶν περὶ Μακεδονίαν ἐπαρχιῶν, ἣ τοὺς Ἰλλυριοὺς μάλιστα ὁμοροῦντας ἔλαχε. φιλοδωρότατος δὲ ὢν καὶ μηδὲν ἴδιον κτώμενος καὶ μηδὲν πλέον ἔχειν βουλόμενος τῶν ὅσοι τούτῳ συνασπίζοντές τε καὶ παρασπίζοντες ἦσαν ἐν ταῖς ἀκμαῖς τῶν ἀγώνων, οὕτω τὰς γνώμας ἁπάντων ἐξιδιώσατο, ὡς ἥδιον πάντας ἡγεῖσθαι πολλῷ θνήσκειν ὑπὲρ αὐτοῦ, ἢ ζῶντας ὁρᾷν τὸν ἥλιον ἄνευ αὐτοῦ. ἦν δὲ καὶ δεινὸς ὁ ἀνὴρ εἴπερ τις πόρους ἐν ταῖς τῶν περιστάσεων ἀπορίαις εὑρίσκειν καὶ τοῖς ἀμηχάνοις τῶν πραγμάτων μηχανάς τινας καινοτέρας χαρίζεσθαι καὶ τόλμαν ἔμπρακτον ἐνδείκνυσθαι πανταχῆ, ὡς ἐκπλήττεσθαι πάντας ὁρῶντας τὸ μεγαλοφυὲς τοῦ ἀνδρός. (Γ.) Ἕν τι μόνον ὥσπερ τι νόσημα πονηρὸν εἰς τὰς αὐτοῦ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

πράξεις παρεισφθαρὲν ἐκιβδήλευσε πάσας καὶ ὥσπερ σώματος καλοῦ καὶ χαρίεντος καὶ γενναίου τὰς ὄψεις δεινῶς ἀφαιρούμενον ἀτερπῆ τὰ τέλη καθίστα καὶ ἀνόνητα τὰ γεώργια. παρασπονδῶν γὰρ πρῶτον μὲν πράγματα παρεῖχε τοῖς ὁμόροις Τριβαλλοῖς καὶ Αἰτωλοῖς καὶ Ἀκαρνᾶσιν· ἔπειτ' ἐκεῖθεν ἀπαλλαγεὶς, ὡς εἰρήσεται, τούς τε καὶ βασιλέας καὶ τὰ τῶν βασιλέων συνέχεε πράγματα. διὸ καὶ ἑαυτῷ φαῦλον προὐξένησε τέλος. καθαιρεθεὶς 1.298 γὰρ τῆς τοιαύτης ἀρχῆς καὶ μετ' ὀλίγον χρήμασιν ὑπελθὼν τοὺς τῷ βασιλεῖ παραδυναστεύοντας ταύτην τε αὖθις ἀναλαμβάνει καὶ ἅμα τὸ τοῦ πιγκέρνου τιμᾶται ἀξίωμα. ὅθεν καὶ ἀποστασίαν ὠδίνων ἐξέῤῥηξε ταύτην ἐκεῖσε ἐλθὼν ἐν οὐ μακρῷ τῷ χρόνῳ. ἔγνωσται γὰρ ἰδιοποιούμενος ἣν ἦρχεν ἐπαρχίαν καὶ τῆς τῶν βασιλέων ἐξουσίας λάθρα διϊστῶν. (Δ.) Ὅθεν καὶ δόλῳ παρὰ Μονομάχου τοῦ Μυστικοῦ ἁλίσκεται καὶ δέσμιος ἐς τὸν βασιλέα πέμπεται. ἦν γὰρ τηνικαῦτα καὶ οὗτος Μονομάχος μέρος τι διοικεῖν τῆς Μακεδονίας παρὰ τοῦ βασιλέως πεμφθείς· καὶ διὰ τὴν ἐγγύτητα τῶν ἐπαρχιῶν συχνὰ προσιὼν καὶ ἐπιμιγνὺς τῷ Συργιάννῃ καὶ ἰχνηλατῶν τὰ ἐκείνου ἀπόῤῥητα καὶ φίλος εἶναι ὑποκρινόμενος δόλοις δόλους ἔῤῥαπτεν· ἕως δόλῳ συνειληφὼς δέσμιον, ὡς εἰρήκειμεν, τοῦτον ἐπεπόμφει τῷ βασιλεῖ. ἀλλὰ γὰρ εἱρκτῇ παραδοθεὶς διὰ τὴν τοιαύτην αἰτίαν ὁ Συργιάννης ἔμεινε χρόνον ἐν ταύτῃ συχνόν. ἐπεὶ δὲ ἡ μήτηρ οὐ διέλιπεν ὀδυρμοῖς καὶ δάκρυσι προσιοῦσα τοῖς περὶ τὸν βασιλέα καὶ ἱκετεύουσα καὶ τὸν υἱέα ἐξαιτουμένη καὶ πάσας ἐγγύας προβάλλουσα, ὀψὲ καὶ μόλις ἐδυνήθη τῆς εἱρκτῆς αὐτὸν ἐξελέσθαι· πλὴν οὐ πρότερον, πρὶν ἂν ἐγγράφους αὐτὸν ἀποδοῦναι τῷ βασιλεῖ τοὺς ὅρκους ἐνώπιον τῆς θείας εἰκόνος τῆς ὑπεράγνου θεομήτορος τῆς Ὁδηγητρίας, μὴ τοῖς τοῦ βασιλέως προστάγμασιν ἐναντία ποτὲ διαπράξασθαι. (Ε.) Ἀλλὰ γὰρ οὕτω πάσης ὑποψίας ἀπολυθεὶς ὁ ἀνὴρ καὶ πᾶσαν εὔνοιαν 1.299 διασώζειν πιστευόμενος πρὸς τὸν εὐεργέτην καὶ ἀποῤῥήτων ἤδη κοινωνὸς ἠξιοῦτο γίγνεσθαι, ὡς πιστευθῆναι λοιπὸν καὶ τουτὶ τὸ ἀπόῤῥητον, λέγω, τὸ φύλαξ λανθάνων περιϊέναι καὶ προσιέναι τῷ ἐγγόνῳ τοῦ βασιλέως Ἀνδρονίκῳ τῷ βασιλεῖ, μὴ λάθῃ φυγὼν, ὡς ἔφθημεν εἰρηκότες. ὁ δὲ, εἰ χρὴ ταῖς τῶν πολλῶν ὑπολήψεσι πείθεσθαι, φίλαρχος ὢν ἀεὶ καὶ καιροῦ μὴ τυχὼν οὐδέπω τὸ βουλόμενον ἐνδείξασθαι τῆς ψυχῆς νῦν ἔγνω καιρὸν εἶναι τοῦτον ὑπὸ τῆς τύχης παρεσχημένον κατ' ἀλλήλων τοὺς βασιλέας ἐκπολεμώσας καὶ τὰ Ῥωμαίων οὕτω συγκυκήσας ἅπαντα πράγματα, τῶν σκήπτρων αὐτὸς ἐπιβῆναι· ἢ τό γε δεύτερον, μέρος τῆς ὅλης τῶν Ῥωμαίων ἡγεμονίας ἀποτεμόμενος εἰς οἰκείαν ἀρχὴν αὐτὸ καταστήσασθαι. ὅθεν Ἀνδρονίκῳ τῷ νέῳ βασιλεῖ προσελθὼν ἅπαν τοῦ πάππου καὶ βασιλέως ἀνεκάλυψε τὸ ἀπόῤῥητον, λέγων· ὡς "1ἐμὲ μὲν οἷά τινα κύνα ῥινηλατοῦσαν τὰ σὰ βουλεύματα τέταχεν ὁ βασιλεὺς περί σε· ὁ δὲ κάθηται συσκευάζων ἀγχόνας καὶ δεσμὰ κατὰ σοῦ· σὺ δ' ἀγνοῶν κάθησαι νηπίων βουλεύμασι γαυρούμενος. τί γάρ σοι τὸ ὄφελος ἀποπλεύσαντι λάθρα πρὸς ἀλλοτρίαν οἴχεσθαι χώραν, ἔνθα καθάπερ δούλῳ δεήσει καθημένῳ πρὸς ἀλλοτρίαν βλέπειν τράπεζαν, ὁπόταν ἴσως μηδὲ φονεῦσιν ἐντύχῃς τοῖς ξενίζουσι, μηδὲ ταῖς τοῦ πάππου καὶ βασιλέως ἄρκυσι καὶ πάγαις ἁλῷς; εἰ δὲ πάντα πρὸς λήθης βυθοὺς τὰ νηπιώδη ταῦτα ῥίψας βουλεύματα πεισθείης ἐμοὶ τὰ βελτίω σοι καὶ σωτήρια συμβουλεύοντι, οὐκ ἂν φθάνοις τὰ σκῆπτρα τῆς αὐτοκρατορίας λαμβάνων ἀπονητί. μίαν γὰρ ἀνυσιμωτάτην ὁρῶ πρὸς τοῦτο φέ 1.300 ρουσαν ἀφορμὴν, ἣν φυγὼν τὸ Βυζάντιον ἐς τὰς τῆς Θρᾴκης ἐκδράμῃς πόλεις καὶ χώρας. φύσει γὰρ χαίροντες ταῖς καινοτομίαις τῶν ἀνθρώπων τὸ γένος καὶ ἅμα βεβαρημένοι τοῖς συχνοῖς φόροις οἱ ταλαίπωροι Θρᾷκες, ἣν κουφισμὸν καὶ ἐλευθερίαν ἐξελθὼν κηρύξῃς, ἄσμενοί σοι πάντες ἕψονται πρὸς ὅπερ ἂν αὐτὸς ἐθέλοις, τὴν πρὸς τὸν πάππον καὶ βασιλέα πολυετῆ δουλείαν ῥᾷστα λακτίσαντες καὶ ὥσπερ τινὰ Ταντάλειον φόρτον ἀποσεισάμενοι. εἰ γοῦν ἀρεστὸν τὸ ἐμόν σοι τόδε φαίνοιτο βούλευμα, ἐγὼ καὶ ταμίας καὶ χορηγός σοι τοῦ δράματος ἔσομαι καὶ πάντα


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τὸν ἆθλον ὑποστὰς τὴν ταχίστην ἐκτελέσω· ἢν μόνον καὶ σύ μοι ὑποσχέσθαι ἐθέλῃς καὶ δοῦναι πιστὰ τὰ ἐχέγγυα περὶ τῶν ἀξίων γερῶν καὶ ἐπάθλων. τίνα δὴ ταῦτα; ἀξιωμάτων λαμπρότητες καὶ χωρία πολλὰ καὶ πολλὴν τὴν ἐπέτειον παρέχεσθαι δυνάμενα πρόσοδον· καὶ ἐπὶ τούτοις μηδένα τῶν πάντων δύνασθαι πλέον ἐμοῦ παρά σοι, μηδεμίαν τινὰ πραγμάτων κατάστασιν περαίνεσθαι παρὰ σοῦ, πλὴν τοῦ κἀμὲ συνειδέναι. ὁρᾷς γὰρ, ὅπως τῶν συμφορῶν ἐθελοντής σοι γίνομαι κοινωνὸς καὶ τῶν κινδύνων αὐθαιρέτως συναίρεσθαι βούλομαι, πάντας ἐκείνους τοὺς πρὸς τὸν βασιλέα τῆς σῆς ἀγάπης ὀπίσω θέμενος ὅρκους· κἂν εἴ τι δεινὸν κατὰ τῆς ἐμῆς κεφαλῆς τὸ τῆς τύχης φέρῃ παράλογον, προθύμως φέρειν παρήνεσα ἐμαυτῷ. ταῦτα τοίνυν θεώμενος πρόθυμος γίνου καὶ σὺ περὶ τὰς ὑποσχέσεις τῶν ἐμῶν ζητημάτων, ἢν σώζεσθαι θέλῃς. ἐπεὶ δ' ἡ τῶν πραγμάτων ὀξύτης ἡμᾶς οὐκ ἐᾷ τὰ παρόντα σχολαιότερον διατίθεσθαι, ἀλλ' ἐπὶ ξυροῦ ἡμῖν ἡ ἀκμὴ 1.301 περιΐσταται τοῦ κινδύνου μελλήσασι, φέρε καὶ ἑτέροις τῆς γνώμης ταυτησὶ κοινωνήσωμεν, οἳ διὰ τὴν πρὸς τὸν βασιλέα ἀπέχθειαν οὔθ' ἡμᾶς καὶ τὰ τοιαῦτα μυστήρια προδοῦναι ἀνάσχοιντ' ἂν καὶ τῇ παρούσῃ χρείᾳ ἐς καιρὸν ἐν τοῖς μάλιστα γένοιντ' ἄν."2 (΄.) Καὶ ἐπὶ τούτοις ὁ βασιλεὺς τάς τε ὑποσχέσεις τούτῳ τῶν ζητημάτων ἐγγράφους μεθ' ὅρκων ἐδίδου· καὶ παρῆσαν οἱ τῶν μυστηρίων ἐσόμενοι κοινωνοὶ, Ἰωάννης τε ὁ Καντακουζηνὸς καὶ Θεόδωρος ὁ Συναδηνὸς, ὁ μὲν τῇ τοῦ μεγάλου παπίου τηνικαῦτα σεμνυνόμενος ἐπικλήσει, ὁ δὲ τῇ τοῦ δομεστίκου τοῦ ἐπὶ τῆς τραπέζης τῆς βασιλικῆς· καὶ τρίτος Ἀλέξιος ὁ Ἀπόκαυκος, δομέστικος καὶ αὐτὸς τηνικαῦτα τῶν δυτικῶν θεμάτων ἀκουόμενος καὶ τῶν ἁλῶν τὴν διοίκησιν ταμιουλκῶν. οὗτος μὲν οὖν οὐ πάνυ τῶν εὐγενῶν ἦν, βαθυγνώμων δὲ ἀνὴρ καὶ εὐμήχανος καὶ δόλους συνθεῖναι δεινός· ἄμφω δ' ἐκεῖνοι κατὰ γένος τῷ βασιλεῖ προσήκοντες· πλὴν ὁ μὲν Καντακουζηνὸς καὶ ἡλικιώτης ἦν καὶ ὁμόψυχος καὶ ὁμόπνους ἐξέτι νέου τῷ βασιλεῖ Ἀνδρονίκῳ διά τε τὴν τῆς γνώμης ὀρθότητα καὶ τῆς γλώττης ἀλήθειαν καὶ τὸ τοῦ ἤθους καίριον· ὁ δὲ Συναδηνὸς ὁμοίως τῷ πατρὶ αὐτοῦ τῷ βασιλεῖ Μιχαὴλ, ἕως ἦν ἐκεῖνος ἔτι ζῶν. οὗτοι τοίνυν ὥσπερ ἐκ μιᾶς οἰνοχόης τὸ ἀπόῤῥητον ἐκεῖνο δεξάμενοι βούλευμα δαλὸς ἦσαν εἰς πῦρ καὶ ἵππος εἰς πεδίον. οὕτω φρατρία τις ἀῤῥαγὴς εὐθὺς οἱ ἄνθρωποι ἐγεγόνεισαν καὶ ὁρκωμοτήρια φρίκης μεστὰ ξυνετίθουν 1.302 τε καὶ ἐδίδοσαν καὶ ὑποσχέσεις μεγάλων ἀντιδόσεων καὶ γερῶν ἀντελάμβανον. (Ζ.) Τούτων οὕτω ξυμβάντων ἔργου εἴχοντο ὅλῃ σπουδῇ τε καὶ γνώμῃ. καὶ πρῶτα μὲν χρήμασι περιελθόντες τοὺς τῷ βασιλεῖ παραδυναστεύοντας ὅ,τε Συργιάννης καὶ ὁ Καντακουζηνὸς ὤνιον εἰλήφεσαν τὴν ἐπιτροπὴν τῶν ἐν Θρᾴκῃ χωρῶν καὶ πόλεων· ὁ μὲν τά τε πλεῖστα τῆς μεσογείου καὶ τῆς παραλίου πάσης ἄχρι τοῦ ἀκροτάτου Ῥοδόπης· ὁ δὲ Καντακουζηνὸς ὀλίγα τῆς μεσογείου μόνης, ὁπόση τῆς Ὀρεστιάδος ἐστὶ περίοικος. ἐπὶ τούτοις στρατεύματα συνεκρότουν καὶ ὅπλα παρεσκευάζοντο καὶ στρατιώτας ἄλλους ξυνέλεγον, νεήλυδάς τινας, καὶ ὁπόσοι δι' ἔνδειαν τῶν χρειωδῶν ἀπόμαχοί τε καὶ ἄπρακτοι διῆγον τὸν βίον· καὶ πρός γε ἔτι τοὺς μὲν οἰκειοτάτους καὶ πιστοτάτους αὐτῶν φύλακας ἐποιοῦντο τῶν πόλεων· τοὺς δ' ὑπόπτως ἔχοντας πρὸς ἀντίστασιν τῶν μελετωμένων ἄλλαις ἄλλως προφάσεσιν ὑποβάλλοντες ἐξετίθουν τῶν πόλεων. ταῦτα δ' ἐποίουν κηρύξαντες πρότερον ἔφοδον, νῦν μὲν τῶν Παριστρίων Σκυθῶν, νῦν δὲ ναυτικῆς τινος δυνάμεως τῶν ἐξ Ἀσίας Τούρκων, ἵν' ὑπὸ παραπετάσματι τῇ τοιαύτῃ καλυπτόμενοι φήμῃ ἀνύποπτοί τε διατελοῖεν καὶ ἅμα ἐπαίνων ἄξιοι παρὰ τῷ βασιλεῖ γίγνοιντο προμηθείας ἕνεκα καὶ σπουδῆς. ἀλλ' ὁ μὲν Συργιάννης τοιαῦτα λανθάνων ἐδραματούργει καὶ συχνὰ τῷ νέῳ ἐμήνυε βασιλεῖ λάθρα τά τε πραττόμενα καὶ πραχθησόμενα. ε΄. Τῷ δὲ βασιλεῖ τὸν ἔγγονον βλέποντι ἀνεπιστρόφως τε ἔχοντα καὶ περιφρονητικῶς ἐς τὰς αὐτοῦ διακείμενον παραινέσεις 1.303 καὶ ἀεὶ τῇ συνήθει τῶν ἠθῶν αὐτονομίᾳ χρώμενον ἔδοξεν ἐλέγξαντι πρότερον αὐτὸν ὑπὸ τῷ πατριάρχῃ καὶ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τῇ συγκλήτῳ, ἔπειτα τῇ εἱρκτῇ παραπέμψαι δεσμώτην. ἀλλὰ τότε μὲν τὴν μελέτην ἐπέσχεν ὁ λογοθέτης τοῦ γενικοῦ Θεόδωρος ὁ Μετοχίτης, ἀτελεσφόρητον τὴν πρᾶξιν ἔσεσθαι μαντευόμενος διὰ τὴν τῶν ἡμερῶν ἄνεσιν. ἀπόκρεω γὰρ ἦν καιρὸς, ὁπότε πρὸς εὐωχίας ἁβροτέρας καὶ ἀκρατοποσίας διδόασιν ἄνθρωποι καὶ τολμηρότεροι γίνονται διὰ τὴν τοῦ οἴνου παραφορὰν πρὸς στασιώδεις ὁρμάς· καὶ δέος εἶναι μὴ οὐ κατὰ γνώμην εὕρῃ τὴν ἀπόβασιν ἡ μελέτη, τῆς τύχης ὡς τὰ πολλὰ τερατευομένης καὶ τἀναντία τῶν δοξάντων πολλάκις βλαστανούσης ἐξαίφνης. (Β.) Ὁ μέντοι λογοθέτης τοῦ γενικοῦ ἄρτι τοῦ νεουργεῖν ἐπέπαυτο τὴν τῆς Χώρας μονὴν, ὁπόσος ὁ ἔνδον ἐτύγχανε κόσμος. ὅθεν ἐφιλοτιμεῖτο συνδιανυκτερεύειν ἐν ταῖς παννυχίσιν ἔσθ' ὅτε μετὰ τῶν μοναχῶν. ἐπεὶ οὖν ἧκε τὸ τῆς πρώτης ἑβδομάδος τῆς τεσσαρακοστῆς σάββατον, ὁπότε δὴ καὶ ἔμελλε τῇ ὑστεραίᾳ κηρύττεσθαι δημοσίᾳ τῶν ὀρθοδόξων ἡ μνήμη βασιλέων ὁμοῦ καὶ πατριαρχῶν, ἐληλύθει καὶ οὗτος συνήθως ἐς τὴν ἐξ ἑσπέρας ἐκείνης παννυχίδα. περὶ δὲ μέσας νύκτας ἅμα αὐτῷ συνισταμένων ἡμῶν καὶ τῆς δοξολογίας ἀκουόντων ἥκει τις ἐκ βασιλέως, καινοτέραν τινὰ κομίζων αὐτῷ ἀγγελίαν καὶ ζητῶν τὴν τῆς αὐτοῦ γνώμης κρίσιν. "1ἄρτι γὰρ,"2 φησὶ, "1τῶν περὶ τὸν βασιλέα πελεκυφόρων καὶ στρατιωτῶν καὶ ξιφηφόρων καταδαρθάνειν μελλόντων ἐξηνέχθη χρεμετισμὸς πάντα περιηχῶν τὰ βασίλεια, ὡς ἐκπλαγῆναι πάντας τοὺς ἐν τοῖς βασιλείοις. ἀωρίας 1.304 γὰρ οὔσης πολλῆς καὶ μὴ παρόντος τῶν ἵππων τινὸς, οὔτε τῶν βασιλικῶν, οὔτε τῶν συγκλητικῶν, οὔτε ἐντὸς βασιλείων, οὔτε πρὸ τῶν πυλῶν, θόρυβον τὸ τοῦ πράγματος παράδοξον ἐνεποίησε ταῖς τῶν ἀκουσάντων ψυχαῖς καὶ ἀλλήλων ἅπαντες ἐπυνθάνοντο. οὔπω δὲ τοῦ θορύβου πεπαυμένου καὶ δεύτερος ἐξηνέχθη χρεμετισμὸς μείζων τοῦ πρώτου, ὡς καὶ αὐτὸν αὐτήκοον τῆς ἠχοῦς γενέσθαι τὸν βασιλέα καὶ πέμψαντα ἔρεσθαι, εἴ τις εἰδείη, ὅθεν ὁ χρεμετισμὸς οὗτος ἐν ἀωρίᾳ τοσαύτῃ. ἀλλ' ἀκήκοε πλέον οὐδὲν, ἢ ὅτι παρὰ τοῦ ἵππου τοῦ γεγραμμένου περὶ ἕνα τῶν βασιλείων τοίχων πρὸ τοῦ εὐκτηρίου τῆς Νικοποιοῦ θεοτόκου· ἵππον δὴ λέγω τοῦτον, ᾧ ἐποχεῖσθαι κάλλιστα Γεώργιον τὸν τοῦ Χριστοῦ μάρτυρα εἴργασται πάλαι Παῦλος ἐκεῖνος ὁ τῶν ζωγράφων ἄριστος."2 πρὸς ταῦτα ὁ λογοθέτης χαριεντισάμενος, ὡς εἰώθει πρὸς τὰς τοῦ βασιλέως ἐρωτήσεις, "1συγχαίρω σοι,"2 ἔφησεν, "1ὦ βασιλεῦ, τῶν μελλόντων ἕνεκα τροπαίων. οὐδὲν γὰρ ἕτερον οἶμαι σημαίνειν,"2 φησὶ, "1τὸν παράδοξον τοῦτον τοῦ ἵππου χρεμετισμὸν, ἢ σὴν βασιλικὴν ἐκστρατείαν κατὰ τῶν τὴν ἡμετέραν Ἀσίαν λεηλατούντων Ἀγαρηνῶν."2 (Γ.) Ταῦτα ὁ βασιλεὺς ἀκηκοὼς μειρακίσκον ἕτερον αὖθις πρὸς αὐτὸν ἐπεπόμφει· "1σὺ μὲν,"2 λέγων, "1εἴτ' ἐμοὶ τὰ τῆς θυμηδίας ὡς ἔθος λέγων, εἴτ' οὐκ οἶδ' ὅπως ταῦτ' ἀποκρίνῃ, ἔοικας ἀγνοοῦντι. ἐγὼ δέ σοι τἀληθῆ μοι δοκοῦντα καταλέξω. ὡς γὰρ ἡμῖν οἱ ἡμέτεροι πατέρες παρέδοσαν καὶ ἄλλοτέ ποθ' ὁ ἵππος οὗτος τὸν ὅμοιον ἐχρεμέτισε τρόπον, ὁπότε Βαλδουῖνος ὁ τῶν Λατίνων ἄρχων ὑπὸ τοῦ ἐμοῦ πατρὸς καὶ βα 1.305 σιλέως ἔμελλεν ἀφαιρεῖσθαι τὴν μεγαλόπολιν ταύτην. πρὸς γὰρ τὸ παράδοξον τῆς ἀκοῆς συχνόν τινα χρόνον κἀκεῖνος ἐθορυβεῖτο, κακὸν οἰωνὸν ἑαυτῷ λογιζόμενος τοῦτο. ἔπειτ' ἐν οὐ μακρῷ τῷ χρόνῳ τὸ πέρας εἶδε τὸν οἰωνὸν κατὰ τῆς αὐτοῦ κεφαλῆς ἐκτοξεύσαντα, ὅτε πορθουμένην τὴν μεγαλόπολιν ἑώρακε ταύτην ὑπὸ Ῥωμαίων."2 ὁ δὲ λογοθέτης οὐδὲν ἔχων πρὸς ταῦτα ἀποκρίνασθαι, "1ἄπιθι,"2 ἔφη πρὸς τὸν ἄνθρωπον, "1ἔν γε τῷ παρόντι. ἐγὼ δ' ἐς τὴν ὑστεραίαν τὰς ἐμαυτοῦ κομίσω τῷ βασιλεῖ ἀποκρίσεις."2 ἀλλὰ καὶ ὁ περὶ τὴν ἑῴαν ἀκρόπολιν ἱστάμενος κίων, ἐν ᾧ λόγος τὸν τοῦ Βύζαντος πάλαι σταθῆναι τοῦ κτίσαντος τὸ Βυζάντιον ἀνδριάντα, πρὸ πολλῶν καὶ αὐτὸς ἤρξατο σείεσθαι ἡμερῶν καὶ ἐπὶ πολλαῖς δ' ἐμφανῶς ἐσείετο ταῖς ἡμέραις, πάντων συντρεχόντων καὶ θεωμένων. (Δ.) Ἐπεὶ δ' ἐς τὴν ὑστεραίαν ὁ μέγας ἀφίκετο λογοθέτης πρὸς τὸν βασιλέα, ἅττα μὲν αὐτοὶ κατὰ μόνας ἐκοινολογήσαντο πρὸς ἀλλήλους τότε μὲν οὐδεὶς ἔγνω τῶν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

πάντων· ἐκ σημείων μέντοι τινῶν στοχάζεσθαι ἡμῖν ἐξεγένετο ὕστερον, ὡς βιβλία τινὰ χρησμολογικὰ ἐθεάσαντο, ἐν οἷς τινα τῶν μελλόντων ἀσαφῶς τε καὶ αἰνιγματωδῶς παρ' ὅτων δήποτε ἐξετέθησαν· καὶ ἐπὶ τούτοις θεμάτιον ἐξέθεντο, δι' ὃ τῶν ἀστέρων τοὺς δρόμους ἐρευνῶσιν ἄνθρωποι καὶ μελλόντων κερδαίνουσι πρόγνωσιν· ἐξ ὧν ἐχθρικήν τινα ἔφοδον ἐτεκμήραντο καὶ τῶν κοινῶν πραγμάτων κυκεῶνα καὶ ὁποιονδή τινα τῆς βασιλικῆς ἡγεμονίας κίνδυνον. οὐ γὰρ συνῆκαν ὡς ὁ βασιλεὺς ὁ νέος Ἀνδρόνικός ἐστιν ὁ ταῦτα 1.306 ποιήσων, τοῦ θεοῦ τὰ τοιαῦτα τρόποις ἀῤῥήτοις συγκρύπτοντος. ὅθεν πολὺν ἐκαρπώσαντο φόβον καὶ θόρυβον λογισμῶν. ὁ γὰρ λογοθέτης μεστὸς ἐννοιῶν ἐκ τῶν βασιλείων οἴκαδε ἐλθὼν ἐκάθητο ἐπιπολὺ σιωπῶν καὶ μηδ' ὅλως μηδὲν πρὸς οὐδένα φθεγγόμενος· ἀλλὰ στρέφων λογισμοὺς ἀεὶ περὶ τὸν νοῦν συχνοὺς καὶ τῶν μελλόντων πλήρεις κωφῷ τε καὶ μηδὲν αἰσθανομένῳ τῶν παρόντων ἀτεχνῶς ἐῴκει· καὶ ταῦτα τῆς συζύγου μετὰ τῆς θυγατρὸς πανυπερσεβάστης καὶ τῶν υἱέων παρακαθημένων κατὰ τὸ εἰωθὸς καὶ ἱλαράν τινα καὶ μειδιῶσαν ἐκδεχομένων γλῶσσαν ἀκηκοέναι. ὀψὲ δ' ἀναγκασθεῖσα ἡ σύζυγος, αὐτὴ μὲν ἀφελῶς ὑπὸ φύσεως ἔχουσα πρὸς τὸ λέγειν, διένευσε πρὸς τὴν θυγατέρα τὴν πανυπερσεβάστην, φθέγξασθαί τι τῇ χρείᾳ καὶ τῷ καιρῷ πρόσφορον. ἦν γὰρ αὕτη νεάζουσα μὲν τὰ τῆς ἡλικίας, ἀλλ' οὖν ἐπὶ μέγα συνέσεως ἥκουσα καὶ γλῶτταν παρὰ τῆς φύσεως εὐτυχήσασα οὐκ αὐτῇ μᾶλλον ἢ Πυθαγόρᾳ καὶ Πλάτωνι καὶ τῶν σοφῶν τοῖς τοιούτοις μάλα προσήκουσαν. ἣ δὴ καὶ διάρασα πρὸς τὸν πατέρα τοὺς ὀφθαλμοὺς ἔλεξε τοιάδε. (Ε.) "1Τολμηρὸν μὲν ἴσως καὶ προπετείας δόξειεν ἄν πως μεστὸν, ὦ πάτερ, θυγατέρα νεάζουσαν ἔτι πρὸς πατέρα παῤῥησιάζεσθαι καὶ ἀμαθίᾳ συζῶσαν γλῶσσαν ἀτενίζειν πρὸς τὸν τῆς σοφίας Ὄλυμπον. ἐπεὶ δ' ἥ τε μήτηρ προτρέπει καὶ μετὰ τοῦ πράγματος ὁ καιρὸς ἐπιτίθεται, φθέγξομαι τό γε εἰς δύναμιν ἧκον. ἵνα τί γὰρ ἐπὶ τοσοῦτον σιγῶν, σοφώτατε πάντων ἀνθρώπων, ἀνέχῃ μὲν γνωσιμαχεῖν ἐπὶ σαυτῷ καὶ κατατήκειν σαυτὸν, κοινωνεῖν δ' ἡμῖν οὐκ ἐθέλεις τῆς γνώμης, ἵνα 1.307 καὶ τῆς λύπης ἡμεῖς σοι γενόμεναι κοινωνοὶ κουφότερον καταστήσωμέν σοι τὸ πάθος; πολλὴν γὰρ ἡμῖν ἡ τῶν ὄψεων σύγχυσις καὶ ἡ τῆς γλώττης ἀσφάλεια μηνύει σαφῶς τὴν ἐν τῇ ψυχῇ σου τῆς λύπης ἀκμὴν ἣ τῆς καρδίας χειρωσαμένη τὰ καίρια. καθάπερ ἀκρόπολιν ἢ ῥίζαν τινὰ καὶ σύνδεσμον τῶν ζωτικῶν τῆς ψυχῆς δυνάμεων, κάθηται ἀναπόσπαστα ἐπιβοσκομένη τὴν ὥραν τῶν λογισμῶν καὶ συνθολοῦσα τὰς περιόδους αὐτῶν καὶ ἐμβριθὲς ποιοῦσα τὸ ἡγεμονικόν. ὥσπερ δ' ἔλαιον καὶ κηρὸς καὶ καλάμη καὶ χόρτος πυρὸς ἐπεφύκει τροφὴ, οὕτω καὶ σιωπὴ περὶ τὴν ψυχὴν ἠθροισμένους εὑρίσκουσα τῆς λύπης τοὺς ἄνθρακας, καθάπερ ὕλην αὐτοῖς καὶ τροφὴν ἑαυτὴν χορηγεῖ, μηδαμῇ διὰ γλώττης ἐξιέναι παραχωροῦσα τὸν ἐγγινόμενον ἐκεῖθεν καπνὸν τῇ ψυχῇ. σὺ γοῦν, ἵνα μὴ τῷ χρόνῳ τὸ πάθος ἰσχὺν εἰληφὸς βλάβην ἀνέλπιστον ἐπιφέρῃ, διανάστηθι πρὸς θεοῦ καὶ γενοῦ σαυτοῦ. οὐ γὰρ σὸν τὴν εὐγένειαν τῆς φιλοσοφίας εἰς τοιαύτην κατασπᾷν σμικροπρέπειαν καὶ ἀωρίαν τοσαύτην τοῦ ταύτης κατασκεδάζειν σεμνώματος. πέφυκε γάρ πως τὸ τῆς λύπης δεινὸν ῥᾷστα τῇ παρατάσει τῆς σιωπῆς πολλαπλασιάζεσθαι. χωρεῖ γὰρ ἀνατρέχον ἐπὶ τὰ ἔνδον ἀεὶ δίκην ἕλκους καὶ οὐ πρότερον ἀφίσταται τοῦ πάντα νέμεσθαι λάθρα τὰ πρόσω, πρὶν ἂν καὶ αὐτοὺς, ὡς εἰπεῖν, διέλθῃ τοὺς μυελοὺς τῆς ψυχῆς καὶ αὐτὰ τοῦ ζώου τὰ καιριώτερα κατατροπώσηται μόρια. καὶ εἰ μέν τι τῶν ἀποῤῥήτων ἐστὶν, ἄλλοις χρεὼν εἶναι ἀπόῤῥητον· ἡμῖν δὲ τοῖς σοῖς καὶ μάλα ἥκιστα."2 (΄.) Τούτοις καὶ τοιούτοις πλείοσι καὶ τοιαύτῃ παλάμῃ 1.308 τῆς γλώττης ἡ γενναία ἐκείνη θυγάτηρ τὰς τοῦ πατρὸς ἀκοὰς μαλάξασα κατὰ τὸ ἐγχωροῦν παρὰ τοσοῦτον τῆς διανοίας ἐκείνου καθήψατο καὶ ὥσπερ ἀπὸ βαθέος ἀνηρτήσατο ὕπνου, παρόσον ἁλιέων καὶ θαυματοποιῶν παῖδες οἱ μὲν τοῖς πλήκτροις ἐκ θαλάττης τοὺς ἰχθύας ἀνασπῶντες, οἱ δὲ τοὺς ὄφεις ἐκ τῆς λόχμης· ὡς ἐκεῖνον μικρὸν τῆς λύπης χαλάσαντα τῇ γλώττῃ δοῦναι τὸν νοῦν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

καὶ τὰς ῥήσεις ἐκείνας βραχὺ τοῦ Ἰὼβ ὑπαλλάξαντα, ὡς, "1ἀπόλοιντο,"2 φάναι, "1αἱ ἡμέραι ἐκεῖναι, ἐν αἷς γυναικί τε συνήφθην καὶ τέκνων ἐγενόμην πατήρ. ῥᾷστα γὰρ ἂν μὴ παρόντων αὐτῶν τἀμαυτοῦ διεθέμην. νῦν δὲ τοσούτου διὰ ταῦτα περιῤῥέοντος ὄχλου φροντίδων, οὐκ οἶδα πῶς ἂν διαφύγοιμι τὴν ὅπως ποτὲ καὶ ὁθενοῦν ἀπειλουμένην ἐπενεχθήσεσθαι ὅσον οὐδέπω κακίστην πραγμάτων φοράν. μέλλειν γὰρ ἔφοδόν τινα βαρεῖαν εἴτ' ἐκ θαλάττης, εἴτ' ἐξ ἠπείρου, ἐχθρῶν μὲν, οὐκ οἶδα δ' ὅτων, ἐπαναστήσεσθαι καθ' ἡμῶν καὶ πάντα κακῶς συνταράξειν τὰ καθ' ἡμᾶς, καθάπερ ὁλκάδα μεγάλην ἐπειδὰν ἐπὶ πόντου λαβὼν ἀγκυρῶν ὀρφανὴν ὑβριστὴς ἄνεμος μαίνηται κατὰ τῶν ἱστίων καὶ καταχορεύῃ τοῦ κύματος."2 ταῦτα εἰπὼν ἐσιώπησεν αὖθις, κλαπεὶς ὥσπερ τὸν νοῦν ὑπὸ τῶν λογισμῶν ἐκείνων καὶ ἐκλαθόμενος ἑαυτοῦ καὶ τῆς γλώττης· καὶ ἀναστὰς εἰσῄει μεστὸς ἀθυμίας ἐπὶ τὴν κλίνην, ἐφ' ἧς καὶ κατέδαρθε μέν· καθεύδειν δ' οὐκ εἶχε μέχρι πολλοῦ. (Ζ.) Ἐγὼ δ' ἐς ὑστεραίαν πάντα ἐμεμαθήκειν κατὰ τὸ εἰωθὸς ἀφικόμενος. ἀπῄειν γὰρ συνεχέστερον ἐς τὴν τοῦ ἀνδρὸς ὁμιλίαν. ἀφ' οὗ γὰρ περὶ πλείονος ποιη 1.309 σάμενος ἐμὲ κατὰ τὴν αὐτῷ νεουργηθεῖσαν μονὴν τῆς Χώρας φέρων κατῴκισε, πολλὴν ἔπειτα τὴν στοργὴν ἐδείκνυ πρὸς ἐμὲ καὶ ἱλαρὰν τὴν διάθεσιν καὶ μικροῦ τοῖς αὐτοῦ παισὶν ἐπίσης ἐδίδου τὴν σχέσιν κἀμοί· ὥστε καὶ ἀστρονομικὴν ἐπιστήμην μόνος κατὰ τούσδε τοὺς χρόνους εἰδὼς ἐς τὸ ἀκρότατον οὐκ ἀπηξίωσε μὴ οὐ μεταδοῦναι κἀμοὶ τοῦ τοσούτου πλούτου· ὥστε καὶ πολλάκις ἐνεκαλλωπίσατο ἐπί τε τοῦ βασιλέως ἐπί τε τῶν ἐλλογίμων ἐμοῦ γε εἵνεκα, ὅτι διάδοχον τῆς αὐτοῦ σοφίας ἐπεποιήκει με. δείκνυσι δὲ τοῦτο σαφέστερον ἔν τε ταῖς πρὸς ἐμὲ τούτου ἐπιστολαῖς ἔν τε τοῖς ἔπεσιν, ἃ πεποίηκεν ὕστερον ἐν τῇ ἐξορίᾳ αὐτοῦ· περὶ ὧν ἀριδηλότερον ἡμῖν ἐν τοῖς ἔμπροσθεν λελέξεται. διὰ ταῦτα τοίνυν ὀφείλων τἀνδρὶ μεγάλας τὰς ἀμοιβὰς τῶν κατὰ δύναμιν οὐκ ἠμέλουν. ἀλλὰ προσῄειν συχνά οἱ οὐ μόνον λογικῆς εἵνεκα ὁμιλίας, ἀλλὰ καὶ διακονίαν τινὰ θυμήρη πληρῶν αὐτῷ. ἐδίδασκον γὰρ τόν τε υἱέα καὶ ἣν ἔφαμεν αὐτοῦ θυγατέρα, τὰ τῶν θύραθεν καὶ ἡμετέρων βιβλίων αἰνιγματώδη καὶ γρίφα διαλευκαίνων καὶ τὴν ἐκείνων νύκτα πρὸς ἡμέραν μεθαρμοζόμενος. ἦν γὰρ ἡ γυνὴ μεγαλοφυὴς ὁμοῦ καὶ φιλομαθής· τὸ μὲν δῶρον τῆς φύσεως εἰληφυῖα, τὸ δὲ τῆς γνώμης. (Η.) Ἐγὼ δ' ἐκεῖνα ἀκηκοὼς ἔνθους μὲν ὑπ' ἐκπλήξεως ἐγεγόνειν· οὐκ ἔκρινα δ' ὅμως δεῖν σιωπῇ τὸ πρᾶγμα παραδραμεῖν. ἀλλ' ἰδίᾳ προσελθὼν ἐκείνῳ, "1ἄλλους μὲν ἴσως,"2 ἔφην, "1ἐν τοῖς δεινοῖς καταπίπτειν, ὅσοι μὴ φιλοσόφοις λόγοις ἐχάλκευσαν τὴν ψυχὴν, οὐκ ἂν εἴη τῶν οὐκ εἰκότων. σὲ δ' ὃν ἔδει πύργον ἀκλόνητον ἐν τοῖς τοιούτοις καθίστασθαι καὶ καρτερίας ὑπόδειγμα κράτιστον γίνεσθαι τοῖς πολ 1.310 λοῖς, ὅμοιόν τι πάσχειν τοῖς ἄλλοις, θειότατε ἄνθρωπε, οὐκ ἂν δυναίμην αὐτὸς ἐπαινεῖν. εἰ δ' ἐπὶ τῶν ἐμφανῶν καὶ παρόντων χρῆναί φαμεν καρτερεῖν τὴν φιλόσοφον διάνοιαν, τί ἄν τις φαίη περὶ τῶν μήπω παρόντων, ἀλλ' ἐν ἀδήλοις ἔτι πυθμέσι κρυπτόντων τὴν ἔκβασιν; πολλὰ γὰρ κραίνει θεός· καὶ τὰ δοκηθέντα οὐκ ἐτελέσθη· τῶν δ' ἀδοκήτων πόρον εὗρε θεός. αἱ γὰρ προαναφωνήσεις τῶν μελλόντων, ὅσαι δι' ὀνειράτων καὶ ὅσαι διὰ μυρίων ἄλλων, ὡς ἴσμεν, γίνονται τρόπων, πολὺν ἐπισυρόμεναι γνόφον καὶ κύκλῳ αὐτῶν ὥσπερ σκηνὴν τιθέμεναι τὴν ἀποκρυφὴν αὐτῶν, πολλοὺς τοῦ καθήκοντος ἐξεμόχλευσαν καὶ πρὸς τὰς τῆς ἀληθείας ἐναντίας ἐννοίας βαδίζειν παρέπεισαν· καὶ οἱ μὲν τοῦ τέλους εὐτυχοῦς παρ' ἐλπίδα πεπείρανται· οἱ δὲ τοὐναντίον. οἶσθα γὰρ τά τε ἄλλα καὶ ὡς Ἀλεξάνδρου τοῦ Μακεδόνος ἐξιόντος ἤδη κατὰ Τύρου κόραξ ἐξ αὐτομάτου πετόμενος ἄνωθεν ῥίψας ὀστοῦν ἐπάταξε τὴν αὐτοῦ κεφαλὴν, καὶ ἔδοξε τοῖς ὀρνιθοσκόποις καὶ μάντεσι τοῦτο κακὸς οἰωνὸς καὶ ἀπηγόρευον ἤδη τὴν πεῖραν. ὁ δὲ καὶ ἀπῄει καὶ πόνους ὑπέστη καὶ πολιορκήσας εἷλεν αὐτήν. Ἕλληνες πάλαι Περσῶν ἐπιόντων ἤλπισαν ἐς πυθμένας θαλάττης αὐταῖς ναυσὶ καταδύσεσθαι πρὸ τῆς Σαλαμῖνος ἀπειλούσης τέκνα γυναικῶν ἀπολέσειν. ἀλλὰ παρὰ πᾶσαν ἐλπίδα



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τοὺς ἐναντίους κατετροπώσαντο καὶ ὅλας βίβλους μεστὰς τῶν οἰκείων ἀφῆκαν τροπαίων. Κροῖσος ὁ Λυδὸς ἤλπισε τὸν Ἅλυν διαβὰς μεγάλην ἀρχὴν καταλύσειν τοῦ Κύρου· ὁ δὲ καὶ τὴν οἰκείαν ἀπέβαλε. Ῥω 1.311 μαῖοι πάλαι φλεγομένης τῆς Ἰταλίας ὑπ' Ἀννίβου τοῦ Καρχηδονίου καὶ μονονοῦ πρὸ ὀφθαλμῶν καὶ αὐτὴν τὴν τῆς Ῥώμης ἰδόντες κατασκαφὴν τοῦ πλείστου παρ' ἐλπίδα τῆς οἰκουμένης κατέστησαν αὐτοκράτορες. Αὔγουστος ὁ μετὰ Καίσαρα δεύτερος μοναρχήσας ἐν Ῥώμῃ Ἀντωνίου καὶ Κλεοπάτρας ἐπιόντων κατ' αὐτοῦ μετὰ βαρείας δυνάμεως ναυτικῆς τε καὶ ἠπειρωτικῆς φόβῳ τὸ ζῆν ἀπειπάμενος, ὁ δὲ καὶ τοὺς ἐχθροὺς παρ' ἐλπίδα νενίκηκε καὶ ἅμα τὴν ἐκείνων ἀρχὴν προσειλήφει, Λιβύην φημὶ καὶ Ἀσίαν. καὶ τί δεῖ τοὺς ἱεροὺς τῆς προνοίας λόγους καταριθμεῖν; ἢ τὰ καθ' ἡμᾶς διοικοῦσα ὅπερ οὐκ ἴσμεν εἴωθεν ἐπιφέρειν τοῖς ἡμετέροις πράγμασι τέλος· νῦν μὲν ὅπερ ἠλπίκαμεν· νῦν δ' ὃ μή· καὶ νῦν μὲν σὺν θατέρῳ θάτερον, νῦν δ' ἀντὶ θατέρου θάτερον. ὥσπερ ἂν εἴ τις ἐκ τοῦ Πειραιῶς τὸν ἀπόπλουν ἐς τὸν Αἰγαῖον ποιεῖσθαι ἐβούλετο, τὸν δ' ἔπειτ' ἐς Κρήτην καὶ Σαρδὼ τῶν ἀρκτικῶν ἀπήνεγκαν πνευμάτων αἱ πηγαὶ μὴ πάνυ τοι προσδοκήσαντα. καὶ γὰρ τοιοῦτος κύβος πᾶσαν ἐπιπορεύεται γῆν ὁμοίως ἀεὶ καὶ θάλατταν. καὶ σοὶ τοίνυν προσδοκήσαντι λυπηρὰ ἴσως ἀνατελεῖ τὰ χρηστότερα καὶ τὸ τοῦδε τοῦ σπέρματος κατηφὲς ὅλους γεωργήσει χοίνικας εὐφροσύνης. ἰσομοιρίαν γὰρ δεῖ ταῖς τῶν μελλόντων ἐλπίσι χαρίζεσθαι καὶ μὴ καθάπαξ μόνοις διδόναι τοῖς ἀηδέσιν ἢ τοῖς χρηστοῖς. ἔπειτα καὶ ὡς δοκεῖ τῷ σοφῷ Εὐριπίδῃ, λόγος ὁ αὐτὸς ἔκ τ' ἀδοξούντων κἀκ τῶν δοκούντων ἰὼν οὐ ταὐτὸν σθένει. πάντες μὲν γὰρ πάντα φάσκοντες ἕνα που μόλις ἢ καὶ δύο ταράξαιεν ἄν. σὺ δ' ἅτε καὶ τῶν ἀποῤῥήτων 1.312 τῷ βασιλεῖ κοινωνὸς καὶ ἅμα τῶν ἀστρονόμων κράτιστος ῥᾷστα τὰς τῶν ὅλων ψυχὰς ἐς βυθοὺς ἀνατρέψαις ἂν ἀπογνώσεως. εἰ γοῦν μὴ διὰ σὲ, ἀλλὰ τῶν ὅλων γε εἵνεκα πρὸς τὸ χαριέστερον ἄμειβε μετὰ τῆς γλώττης ὅλον σαυτόν. μίμησαι τῶν κυβερνητῶν τοὺς χαριεστέρους, οἳ καὶ μελλόντων ἔτι καὶ παρόντων αὖθις τῶν δεινῶν οὐδαμῇ κατηφὲς δεικνύουσι πρόσωπον· ἀλλ' εἰδότες ὡς ἐν τοῖς αὐτῶν ταμιεύονται χείλεσιν αἱ σωστικαὶ τῶν συμπλεόντων ἁπάντων ἐλπίδες, ὥσπερ εὐθυμίας ἀεὶ διὰ γλώττης προτείνουσι τούτοις τράπεζαν καὶ ἐπικροτοῦσι καὶ παραθαῤῥύνουσι· καὶ ταῦτα τῆς μὲν θαλάττης πολλάκις κάτωθεν ὑβριζούσης· τῶν κυμάτων δ' ὑπὲρ πάντα Καύκασον ὑψουμένων· ὑετοῦ δ' ἄνωθεν καταῤῥηγνυμένου βιαίου καὶ τοῦ κινδύνου πρὸ ὀφθαλμῶν ἱσταμένου."2 ταῦθ' οὕτω λεχθέντα παρ' ἡμῶν τὸν ἄνδρα κατεδυσώπησαν, καὶ τῆς λύπης ἐκείνης ὡς ἐνῆν καθυφεὶς χαρίεις αὖθις ἐδόκει τοῖς πᾶσι καὶ ἱλαρὸς καὶ εὐπροσήγορος ὡς τὸ πρότερον. ΄. Κατὰ δὲ τὴν ἕκτην ἑβδομάδα τῆς ἁγίας τεσσαρακοστῆς προσκαλεσάμενος ὁ βασιλεὺς τὸν πατριάρχην Γεράσιμον καὶ τῶν ἀρχιερέων τοὺς παρατυχόντας ἄγεται τὸν ἔγγονον παῤῥησίᾳ ἐλέγξων τε καὶ παραινέσων ἀπέχεσθαι τῶν τῆς φυγῆς βουλευμάτων, ἵν' ὑπὸ μάρτυσι τοσούτοις ἢ συσταλεὶς καὶ αἰσχυνθεὶς ἀπόσχοιτο; ἢ κολασθεὶς ἀνέγκλητον ἀφῇ τοῖς κολάσασι τὴν αἰτίαν. εἰσήει μὲν οὖν ὁ ἔγγονος Ἀνδρόνικος, ἔχων μεθ' ἑαυτοῦ καί τινας ὡπλισμένους λαθραίαν τινὰ καὶ μὴ φαινομένην ὅπλισιν καὶ παραξιφίδια 1.313 φέροντας, οὐδ' αὐτὸς ἄοπλος ὢν παντελῶς. συνέθεντο γὰρ, ὡς εἰ μὲν πατρικοῖς τισι καὶ πραείαις χρήσεται παραινέσεσιν ὁ πάππος καὶ βασιλεὺς πρὸς αὐτὸν, μηδ' αὐτοὺς τὸ παράπαν ἐνδείξασθαί τι τολμηρὸν καὶ θρασύτερον, ἀλλ' ἠρεμήσειν καθάπαξ· εἰ δὲ πρὸς ὀργὴν καὶ κόλασιν βλέψῃ, εἰσπηδήσαντας εὐθὺς ἐν αὐτοῖς βασιλικοῖς θρόνοις κατασφάξειν αὐτὸν καὶ τὴν αὐτοκρατορίαν μόνῳ τῷ νέῳ καταστήσειν Ἀνδρονίκῳ. εἰσελθὼν οὖν αὐτὸς μὲν παρὰ τὸν πάππον καὶ βασιλέα κεκάθικεν ἐπὶ τοῦ συνήθους βασιλικοῦ θρόνου· τὴν δὲ φρατρίαν ἐκείνην παρὰ τὴν βασίλειον εἴασε διατρίβειν αὐλήν. ἐπεὶ δ' ἡ παραίνεσις μετὰ τῶν ἐλέγχων πατρική τις ἔδοξε καὶ κηδεμονικὴ, οὐδέν τι παράβολον πέπρακται τέως· ἀλλ' ἀπηλλάγη καὶ διελύθη μετ' εἰρήνης ὁ σύλλογος, ὀμωμοκότων ἀλλήλοις ἀμφοτέρων τῶν βασιλέων·



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τοῦ μὲν, μηδένα τῶν πάντων τῆς αὐτοκρατορίας διάδοχον καταλείψειν πλὴν αὐτοῦ Ἀνδρονίκου τοῦ ἐγγόνου καὶ βασιλέως· τοῦ δ' αὖ ἐγγόνου, μηδὲν μήτε κατὰ τῆς αὐτοκρατορίας τοῦ βασιλέως καὶ πάππου, μήτε κατὰ τῆς αὐτοῦ ζωῆς μήτε βουλεύσασθαι, μήτε μὴν διαπράξασθαι πώποτε. (Β.) Ἐξιόντα δ' ἐκεῖθεν τὸν νέον Ἀνδρόνικον περιστάντες ἡ τῶν συνομοσάντων φρατρία ὑβριοπαθοῦντες αὐτοῦ κατεβόων παράβασίν τε ἐγκαλοῦντες τῶν φρικωδεστάτων ὅρκων ἐκείνων τῶν πρὸς αὐτοὺς καὶ ἅμα προφανῆ προδοσίαν αὐτῶν. ποῦ γὰρ οὐκ ἂν ἀδικίας ἐλαύνειν ἔφασκον, σὲ μὲν δι' ἡμᾶς φοβερὸν ὁμοῦ καὶ δύσμαχον καταστάντα ῥᾳδίως τὰ κατὰ γνώμην σαυτῷ καταπράξασθαι· ἡμᾶς δ' ἐν στόματι μαχαίρας οὐ 1.314 τωσὶ προφανῶς καὶ πυθμέσιν ᾅδου καταλιπεῖν; τούτοις μέντοι καὶ τοῖς τοιούτοις ἤθεσί τε καὶ ῥήμασι κατακλασθείς τε καὶ αἰσχυνθεὶς ὁ βασιλεὺς διεμηνύσατο πρὸς αὐτὸν ἀφικέσθαι τὸν μέγαν λογοθέτην, καὶ ἐλθόντα ἠξίου παρασκευάσαι τὸν πάππον καὶ βασιλέα δι' ὅρκων καὶ τῇ ῥηθείσῃ φρατρίᾳ χαρίσασθαι τὸ ἀκίνδυνον. ὁ δὲ οὐδ' ἀκοῦσαι ἠνέσχετο· ἀλλὰ, "1σὺ δὲ οὐ θαυμάζεις,"2 ἔφη, "1καὶ θεῷ πολλὰς ἀποδίδως εὐχαριστίας, ἀγαπῶν ὅτι παρὰ πᾶσαν ἐλπίδα τῶν τοῦ ᾅδου πυλῶν αὐτὸς ἀναβὰς, ὡς εἰπεῖν, ἐκομίσω τὴν σωτηρίαν; ἢ οὐκ οἶδας ὡς χρεών σε μεγάλας ὀφείλειν κἀμοὶ καὶ παισὶ τοῖς ἐμοῖς διὰ βίου τὰς χάριτας, ὅτι βουλὴν κατὰ σοῦ μελετηθεῖσαν καὶ ἐξαρτυθεῖσαν εἰς τέλος διέῤῥηξα παρελθὼν αὐτὸς καὶ νῦν δι' ἐμοῦ τουτονὶ τὸν ἥλιον καθορᾷς; σὺ δὲ ταῦτα ἀφεὶς ἱκέτης ὑπὲρ τῶν κάκιστ' ἀπολουμένων γίγνεσθαι βούλει; ἄπαγε πρὸς θεοῦ· μὴ κοινώνει τοιούτοις ἀνδράσι. πῶς γὰρ τοὺς πρός σε διατηρήσουσιν ὅρκους, οἳ τοὺς πρὸς τὸν βασιλέα καὶ πάππον τὸν σὸν μηδενὸς τῶν δεινῶν ἀναγκάζοντος ἐξελάθοντο, μήτε θεοῦ κεραυνοὺς, μήτε ἀνθρώπων αἰδῶ πρὸ ὀφθαλμῶν θέντες;"2 (Γ.) Τούτων οὕτω παρὰ προσδοκίαν λεχθέντων ἀκούσας ὁ βασιλεὺς ἔστη σιωπῶν ἐπὶ πλεῖστον. ἔπειτα "1ἄπιθι"2 ἐπειπὼν ἐς τὰς προτέρας αὖθις ἐπανῆκε βουλὰς καὶ μελέτας. ἐπεὶ δὲ καὶ ἡ μεγάλη καὶ θεία ἐπεδήμησεν ἑβδομὰς, ἐν ᾗ τὰ σωτήρια ἑορτάζομεν πάθη, καὶ τὸν ἔγγονον αὖθις ὁ βασιλεὺς οὐ κατὰ τὰς παραινέσεις ἔβλεπεν ἔχοντα, ἀλλὰ τήν τε τῆς κινήσεως ὁρμὴν ἀστατοῦσαν καὶ τῶν ἠθῶν τὸν ῥυθμὸν οὐ 1.315 καθεστηκότα, ἀλλ' ὅλως εἰπεῖν ἀλλοπρόσαλλον, ἠνιᾶτο καὶ ἐδυσφόρει· ὥστε καὶ δὶς καὶ τρὶς νικηθεὶς τῇ τῆς λύπης ὑπερβολῇ καὶ οἷον ἔνθους γενόμενος, "1τετελεύτηκεν"2, ἔφη πρὸς τοὺς παρόντας, "1ἥ τε βασιλεία ἐφ' ἡμῶν ἤδη καὶ ἡ τῆς ἐκκλησίας εὐσέβεια."2 ὁ μὲν γὰρ ἐξήρτυε τὰ πρὸς φυγὴν μετὰ φλεγούσης τινὸς τῆς ὁρμῆς καὶ ἐξεπορεύετο συχνὰ καὶ παρεσκευάζετο μετὰ τῆς φρατρίας ἐκείνης· ὁ δὲ μὴ συνιεὶς τὰ βουλεύματα ἠθύμει καὶ διηπόρει καθ' ἑαυτὸν γνωσιμαχῶν. στοχασμοῖς δέ τισιν ὅμως καὶ ὑπονοίαις τὰ δρώμενα παραβάλλων οὐκ ἔξω παντάπασιν ἤδη καὶ αὐτὸς ἔκειτο τοῦ τὰ μελετώμενα ξυμβάλλειν. ὅθεν συλλαβεῖν ἐβουλεύσατο· καὶ τῷ πατριάρχῃ Γερασίμῳ τοῦ τοιούτου βουλεύματος ἐν ἀποῤῥήτοις λαβὼν κεκοινώνηκεν. ὁ δ' εὐθὺς πρὸς τὸν βασιλέα τὸν νέον Ἀνδρόνικον δραμὼν τὸ ἀπόῤῥητον ἀνεκάλυψε· καὶ οὕτω λοιπὸν ἐκεῖνος τὴν φυγὴν ἐπετάχυνεν. (Δ.) Ἐπεὶ δὲ καὶ ἡ λαμπρὰ τῆς ἀναστάσεως ἐπεδήμησεν ἡμέρα καὶ ἔδει πρὸς ἑσπέραν τὰ βουλεύματα πέρας λαβεῖν, ᾔτει τε κατὰ τὸ εἰωθὸς καὶ ἔλαβε τὰς κλεῖς τῶν πρὸς τὴν Γυρολίμνην ἀνοιγομένων πυλῶν. εἰώθει γὰρ τοῦτο ποιεῖν διὰ τὰ ἕωθεν κυνηγέσια. καὶ δὴ περὶ μέσας νύκτας, πρὸς ὕπνον ἤδη καταδαρθόντων ἁπάντων, ἔξεισι μετὰ πάντων ὅσοι αὐτῷ γε συνομωμόκεσαν· καὶ ἐξιππασάμενοι φθάνουσι δευτεραῖοι πρὸς τὸ τοῦ Συργιάννη καὶ τὸ τοῦ Καντακουζηνοῦ στρατόπεδον. ἐκάθηντο γὰρ ἐκεῖνοι περὶ τὴν Ἀδριανούπολιν ξύν γε λαμπρᾷ τῇ παρασκευῇ τὴν τούτου φυγὴν ἐκδεχόμενοι. ἦν δ' αὕτη ἡμέρα ἀπριλλίου μὲν εἰκοστὴ, ἔτος δὲ ἑξακισ 1.316 χιλιοστὸν ὀκτακοσιοστὸν εἰκοστὸν ἔννατον. ἐπιστῆσαι δ' ἄξιον, πῶς τῶν ἀνθρωπίνων πραγμάτων οὐδὲν τῆς προνοίας ἐκτὸς διοικεῖται, ἀλλὰ πάντα λόγον ἀπόῤῥητον ἔχει τὸν ἄγοντα· κἂν ἡμεῖς ἀγνοοῦντες καθήμεθα, λόγους προφέροντες


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τῆς τε προνοίας ὁμοῦ καὶ τῆς ἀληθείας οὐ μάλα ἀξίους. ὅταν γὰρ ἐθέλῃ κολάζειν οὓς ἂν ἐθέλοι παλαιῶν τε καὶ νέων ἁμαρτημάτων ποιούμενος ἔκτισιν, οἷα σοφὸς ἰατρὸς τομὴν καὶ καυτῆρα ταῖς δυσιάτοις ἐπάγει πληγαῖς. καὶ ἅμα κατὰ γῆς εὐθηνούσης ἀέρες νεωτερίζουσι· καὶ ἀγανακτεῖ κατ' αὐτῶν ὕδωρ θαλάττης· καὶ ὑβρισταὶ κατὰ τῆς τούτων βουλήσεως ἀντιπνέουσι ἄνεμοι· καὶ λοιμῶν ὁδὸς εὐοδοῦται· καὶ κακοδαιμονοῦσι μὲν ὅσοι πρὸς ἀρετὴν καὶ παιδείαν ἐῤῥύθμισαν ἑαυτοὺς καὶ τὸ ἑαυτῶν πρὸς τὴν Δώριον, ὡς εἰπεῖν, ἁρμονίαν ἀπέξεσαν ἦθος· καὶ πᾶν ὅτι πράξαιεν πέρας εὑρίσκει σφαλερὸν καὶ μάλα πολεμιώτατον τοῖς ἀρχηγοῖς τῶν ἔργων βουλεύμασι, τοῦ θεοῦ τοιαύτην τινὰ τὴν κρίσιν ἄνωθεν ταλαντεύοντος. εὐδαιμονοῦσι δ' ὁπόσοι δυστυχεῖς τινες καὶ ἀφανεῖς καὶ παραπλῆγες καὶ Ἐριννύων πεφύκασι θρέμματα· καὶ νικῶσιν ἀνὰ κράτος τοὺς ἔμφρονας ἄφρονες· καὶ κυριεύουσι τῶν κοσμίων καὶ εὐσχημόνων ἀνδρῶν ἐμπαῖκταί τινες καὶ οἰκότριβες ἄνθρωποι. καὶ ἴδοι τις ἂν τηνικαῦτα τούς τε δημαγωγοὺς, τούς τε τῶν πόλεων ἄρχοντας, τούς τε τῶν οἰκιῶν, τούς τε ἀγορανόμους καὶ δικασπόλους, καὶ πρός γε ὁπόσοι τοῦ μοναδικοῦ προστατεῖν ἔλαχον βίου, πάντας καθάπερ ἀπὸ συμφώνου τινὸς τῇ ἀναιδείᾳ καὶ ἀταξίᾳ λατρεύοντας καὶ οὐδὲν ὑγιὲς πράττειν οὔτε δυναμένους, 1.317 οὔτε ἐθέλοντας. βεβαιώσει δὲ τὰ λεγόμενα καὶ ἅπερ αὐτίκα λέξοντες ἥκομεν καὶ ἡμεῖς. (Ε.) Ἐπεὶ γὰρ εἰς πλῆθος ἡ τῶν Τούρκων ἐπεπόλασεν ἔφοδος, πανταχόθεν ἀεὶ ζημιοῦσα καὶ διατιθεμένη κακῶς τὰ Ῥωμαίων πράγματα, καὶ πᾶσαι μηχαναὶ καὶ παλάμαι γνήσιαί τε καὶ συμμαχικαὶ τῷ βασιλεῖ θεόθεν παντάπασιν ἠλέγχθησαν οὖσαι μηδὲν, ἑτέραν ἐτράπετο, σφαλερὰν μὲν κατά γε τὸν ἀληθῆ καὶ δίκαιον λόγον· πρὸς δὲ οὕτω βίαιον καὶ ἀνταγωνιστὴν χρόνον, οὐ πάνυ τοι σφόδρα ἀσύνετον. ἔγνω γὰρ τοὺς ἐτησίους τῶν ὑπηκόων αὐξῆσαι φόρους· ἀφ' ὧν μεριζόμενον χορηγεῖν ἀνὰ πᾶν ἔτος ταῖς τε ἄλλαις χρείαις καὶ ἅμα τοῖς γείτοσι τῶν ἐχθρῶν καὶ ὤνιον οὑτωσὶ τὴν ἐκεῖθεν λαμβάνειν εἰρήνην· ὅμοιον ποιῶν, ὥσπερ ἂν εἴ τις φιλίαν παρὰ τῶν λύκων ὠνούμενος, ἔπειτα τὰς οἰκείας πολλαχόθεν τέμνων φλέβας πίνειν ἐκείνοις παρεῖχε καὶ ἐμφορεῖσθαι τοῦ αἵματος. ὅθεν καιρὸν εἰληφότες οἱ τελῶναι καὶ φορολόγοι ἕτερος ἕτερον ἔφθανεν ὑπισχνούμενος πλείω παρέξειν αὐτὸς, ὑπηρέτης τῆς τοιαύτης καταστὰς διοικήσεως. καὶ οὕτως ἐν ὀλίγῳ τῷ χρόνῳ, καίτοι βραχυτέρας ἀεὶ γιγνομένης τῆς τῶν Ῥωμαίων ἐπικρατείας, ὅμως εἰς χιλίας ηὔξηται χιλιάδας τὰ πρὸς τῶν ἀργυρολόγων καὶ φορολόγων κατ' ἔτος εἰς τὸ βασιλικὸν εἰσαγόμενα ταμεῖον νομίσματα. ἐξ ὧν ἦν τῷ γηραιῷ βασιλεῖ πρὸς βουλήσεως καταστῆσαι τριήρεις μὲν εἴκοσι διηνεκεῖς κατὰ τῶν θαλαττίων καὶ παραθαλαττίων ἐχθρῶν· στρατὸν δ' ἠπειρωτικὸν ἐν μὲν Βιθυνίᾳ χιλίους ἱππέας διηνεκεῖς, ἐν δὲ Θρᾴκῃ καὶ 1.318 Μακεδονίᾳ δισχιλίους ὁμοίως· τὰ δ' ὑπόλοιπα χρήματα ἀναλί1.318 σκεσθαι πρὸς δαπάνας τῶν ὁθενδήποτε προσιόντων ἄλλοτε ἄλλων πρέσβεων καὶ χορηγίας ἐνιαυσίους τῶν περικυκλούντων ἐθνῶν, καὶ ὅσαι ἄλλαι μυρίαι δαπάναι τοῖς βασιλείοις καθήκουσι πράγμασιν. ἀλλ' ἐπεὶ καὶ θεῷ γε οὐ μάλα ἐθέλοντι ἦν, δι' ἃς αὐτὸς οἶδεν αἰτίας, ἐξαίφνης ἅπαντα διὰ τῆς κοινῆς ταύτης συγχύσεως ἀνατέτραπται, καθάπερ κύβου μεταπεσόντος. (´.) Θαυμάζειν δ' οὖν ὅμως χρεὼν τὴν ἄῤῥητον τοῦ τὰ πάντα ἐφορῶντος κηδεμονίαν, πῶς πλείστας ὁμοῦ καὶ ἀθρόας ἡμῶν ὀφειλόντων διδόναι τὰς δίκας ὑπὲρ μακρᾶς τῆς κακίας, μετά τινος αὐτὸς φειδοῦς καὶ φιλανθρωπίας λαμβάνειν ἔκρινε ταύτας. οὐ γὰρ ἀλλοτρίοις τισὶν οὐδ' ἀλλοφύλοις ἐχθροῖς καὶ ἀγρίοις παρέδωκεν ἡμᾶς, ἀλλ' ὁμοφύλοις ἀνθρώποις καὶ ἰσοψύχοις καὶ γνωστοῖς καὶ μαλακωτέροις, ἢ παρ' ὧν ἐχρῆν ἡμᾶς τιμωρεῖσθαι, τοὺς πλείους τέως τῶν κύκλῳ καθ' ἡμῶν μαινομένων θανάτῳ προαρπάσας· ἵνα μὴ κατ' ἀλλήλων ἡμῖν ἐκπολεμωθεῖσι καὶ καλάμῳ συντετριμμένῳ ἀτεχνῶς ἐοικόσιν ἐπιτιθέντες κἀκεῖνοι πάντας ἄρδην εἰς ὀλέθρου βυθοὺς παραπέμψωσιν. ἐν γὰρ τούτῳ τῷ χρόνῳ τέθνηκε μὲν ὁ Κράλης Σερβίας· τέθνηκε δ' ὁ τῶν Βουλγάρων



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἡγεμὼν ὁ Σφενδοσθλάβος· πεφόνευται δὲ πρὸς τοῦ ἀνεψιοῦ κόντου Κεφαλληνίας ὁ τῶν Αἰτωλῶν καὶ Ἀκαρνάνων δεσπότης· προσετεθνήκει δὲ καὶ ὁ τῆς τῶν Θετταλῶν ἡγεμονίας τελευταῖος διάδοχος, ὁ τῶν Ἀγγελωνύμων ἀπόγονος. ἀλλ' ἐκεῖσε ἐπάνειμι. (Ζ.) Ἐπεὶ γὰρ ἐγνώσθη 1.319 τῷ γηραιῷ βασιλεῖ πρὶν ἀνατεῖλαι τὸν ἥλιον ἡ τοῦ ἐγγόνου φυγὴ, προσκαλεσάμενος αὐθημερὸν τοὺς ἐν Βυζαντίῳ παρόντας τῶν ἀρχιερέων (ὁ γὰρ πατριάρχης μιᾷ τῆς φυγῆς ἡμέρᾳ προετεθνήκει) ἐγγράφῳ καθυποβάλλειν ἐπιτιμίῳ τούτοις ἐκέλευε τόν τε ἔγγονον ὡς ἀποστάτην καὶ ἅμα τούς τε αὐτῷ συνεξεληλυθότας καὶ εἴ τις ἔτι ἢ φεύγειν ἢ τὰ ἐκείνου φρονεῖν μέλλοι· ὃ δὴ καὶ ῥᾳδίως ἡ τῶν ἀρχιερέων ἐπέραινε σύνταξις. ἦν δ' ἐπὶ τούτοις ἰδεῖν καὶ τὸ θεῖον πανταχῇ περιφερόμενον εὐαγγέλιον ἔν τε βασιλείοις αὐλαῖς, ἔν τε ὁδοῖς, ἔν τε ἀγοραῖς, καὶ τοὺς ὀμνύειν τὸν δῆμον κελεύοντας, ἀφίστασθαι μὲν τῆς τοῦ νέου βασιλέως κοινωνίας καὶ γνώμῃ καὶ χειρὶ καὶ γλώττῃ· συντίθεσθαι δὲ βεβαιότερον τῷ γηραιῷ βασιλεῖ. ταῦτα μὲν οὖν τῆς βασιλευούσης ἐντὸς τοῦτον ἐτελεῖτο τὸν τρόπον. οἱ δὲ περὶ τὸν νέον βασιλέα Ἀνδρόνικον ἐλευθερίαν κηρύξαντες καὶ ἀτέλειαν ταῖς ἐν Θρᾴκῃ κώμαις καὶ πόλεσιν ἅπαντας εἶχον εὐθὺς εὐπειθεῖς πρὸς ἅπαν δὴ τὸ τῆς γνώμης βουλόμενον. καὶ ἦσαν δὴ πάντες οἱ μέχρι Χριστουπόλεως Θρᾷκες ἐν ὅπλοις εὐθὺς ὑπὲρ τοῦ νέου βασιλέως κατὰ τοῦ γηραιοῦ προθύμως ὁρμώμενοι. καὶ πρῶτα μὲν τοὺς ἁπανταχῇ περιϊόντας. τῆς Θρᾴκης τελώνας καὶ φορολόγους αὐτοὺς μὲν ἀνέδην ᾐκίζοντο· ἃ δ' ἐπεφέροντο βασιλικὰ χρήματα ξὺν οὐδενὶ κόσμῳ διαλαχόντες ἐνείμαντο. πρὶν δ' ὅλην ἡμερῶν ἑβδομάδα παραδραμεῖν, ἄραντες ἐξ Ὀρεστιάδος πλῆθος οὐ μάλα ἀριθμητὸν ἱππέων καὶ πεζῶν, τοξοτῶν καὶ σφενδονητῶν, ᾔεσαν ἐπὶ τὴν βασιλεύουσαν, ὡς αὐτίκα αἱρήσοντες στασιάζουσάν τε καὶ ἐκπεπολεμωμένην πρὸς ἑαυτὴν ταῖς τοῦ δήμου γνώμαις ἐλπίδι 1.320 λημμάτων, ὁποῖα ταῖς ἀδίκοις χερσὶν ἐκπορίζουσιν αἱ τοιαῦται τῶν πραγμάτων καινοτομίαι, τοῦ Συργιάννη πάντα κινοῦντος. τέτταρας δ' ὅλας ὡδευκότες ἡμέρας ἀφίκοντό τε καὶ ἐστρατοπεδεύσαντο πρὸ τοῦ τῆς Σηλυμβρίας ἄστεος. (Η.) Ἔμελλον δ' ἔτι καὶ προσωτέρω πορεύεσθαι. ἀλλ' εἰδὼς ὁ γηραιὸς βασιλεὺς οὐκ ἠρεμῆσον τὸ πλῆθος τῆς πόλεως, ἀλλὰ νεωτερίσον, εἰ πρὸ τῶν πυλῶν θεάσαιντο τὸν στρατὸν, φθάνει πρεσβείαν ἀποστείλας πρὸς αὐτόν. ἦρχε δὲ τῆς πρεσβείας ὁ Φιλαδελφείας Θεόληπτος, ἀνὴρ οὐ μόνον ἀρεταῖς παντοίαις κοσμούμενος καὶ πᾶσαν αἰδῶ τοῖς ἐντυγχάνουσι προπέμπων, ἀλλὰ καὶ βαθεῖαν αὔλακα διὰ φρενὸς καρπούμενος. ἀπεστάλη δὲ καὶ ἡ τοῦ Συργιάννη μήτηρ, δυσωπήσουσα τὸν υἱὸν μάλιστα πάντων καὶ πείσουσα μὴ ὁμόσε χωρεῖν ἐς τὰ τείχη τῆς βασιλευούσης· κινδυνεύειν γὰρ ἂν οὕτω στασιάσαι κατ' ἀλλήλων τοὺς Βυζαντίους καὶ μεγίστην γενέσθαι φθορὰν πάντων ὁμοῦ χρημάτων, οἰκιῶν, ἀνδρῶν, γυναικῶν, ἀρχόντων, ἀρχομένων, ὧν τὴν αἰτίαν ὁ καρπούμενος οὐκ οἶδ' ὅπως οὐ δυσσυνειδήτως διάξει τὸν ἅπαντα βίον· ἀλλ' ἐπανιόντα μικρὸν οὕτω πόῤῥωθεν ποιεῖσθαι τοὺς λόγους καὶ αὐθαιρέτους τῶν ζητημάτων τὰς καταστάσεις. ὅ γε μὴν Συργιάννης αἰδεσθεὶς μὲν καὶ τὴν τοῦ Φιλαδελφείας παρουσίαν, κατακλασθεὶς δέ πως καὶ ταῖς τῆς μητρὸς ἱκεσίαις, ἐπάνεισι πρὸς τὸν βασιλέα διατρίβοντα περὶ τὴν Ὀρεστιάδα. κἀκεῖσε τοίνυν αἱ πρὸς τοῦ γηραιοῦ βασιλέως ἐπέμποντο πρεσβεῖαι, κἀκεῖθεν τὸ κῦρος αἱ τῶν ζητη 1.321 μάτων ἐδέχοντο κρίσεις. (Θ.) Τέλος κυροῦται παρ' ἀμφοτέρων τῶν βασιλέων, τὸν μὲν νέον κατέχειν αὐτοκρατορικῶς τῆς Θρᾴκης ὅσον τὸ ἀπὸ Χριστουπόλεως ἄχρι τῶν περὶ τὸ Ῥήγιον προαυλίων καὶ προαστείων τῆς Κωνσταντινουπόλεως καὶ ἅμα τὰ παρ' αὐτοῦ τοῖς περὶ αὐτὸν διανεμηθέντα τῶν τῆς Μακεδονίας χωρίων· ἦσαν γὰρ ταῦτα πολλὰ καὶ ἐς πολλὰς χιλιάδας ἑκάστῳ τὴν ἐπέτειον ἀναφέροντα πρόσοδον· τὸν δὲ γηραιὸν, τήν τε Κωνσταντινούπολιν καὶ τὰς ἐπέκεινα τῆς Χριστουπόλεως λοιπὰς Μακεδονικὰς χώρας καὶ πόλεις· καὶ πρὸς τούτοις δέχεσθαί τε καὶ διοικονομεῖν καὶ τὰς πρὸς τῶν κυκλούντων ἐθνῶν πρεσβείας. μηδὲ γὰρ πρὸς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

θελήσεως εἶναι τῷ νέῳ τοιαύτας φροντίδας. ἀνδρὶ γὰρ ἐκ φύσεως ὡρμηκότι πρὸς ἄνεσιν καὶ κυνηγέσια καὶ ἀσχολίας τοιαύτας φόρτον τά γε τοιαῦτα φαίνεσθαι πάνυ βαρύτατον καὶ μάταιον ἄχθος. ἐπὶ τούτοις οὖν αἱ σπονδαὶ γίνονται ἀσμένῳ μὲν τῷ νέῳ βασιλεῖ, οὐ μάλα δ' ἀσμένῳ τῷ γηραιῷ· ἀλλ' εἰ χρὴ τἀληθῆ φάσκειν, καὶ πάνυ τοι σφόδρα ἄκοντι καὶ βουλομένῳ μὲν ἀντιπαλαμήσασθαι πρὸς τοσαύτην ἀνέλπιστον συμφορὰν, διὰ δ' ἀμηχανίαν ναρκῶντι καὶ στέργοντι τὰ παρὰ τοῦ ἐγγόνου θεμιστευόμενα καθάπερ ἀπὸ τρίποδος Δελφικοῦ. ζʹ. Κατὰ τοῦτον τὸν χρόνον κἀμοὶ τῶν ῥητορικῶν καὶ φιλοσόφων βίβλων ἀπαλλαγέντι χρήσιμον ἔδοξεν εἶναι προσιέναι τῷ γηραιῷ βασιλεῖ καὶ συνήθει τῆς ὁμιλίας αὐτοῦ καταστῆναι, συνετῆς τε οὔσης καὶ φιλοτίμου καὶ ἀκοῆς ἐλλογίμων σφόδρα ἀξίας 1.322 καὶ ζητουμένης μὲν πρὸς τῶν λογίων, οὐ ῥᾷστα δ' εὑρισκομένης, οὐδ' ἐκκειμένης τοῖς βουλομένοις. τῆς μὲν γὰρ τοῦ μεγάλου λογοθέτου ὁμιλίας (τετίμητο γὰρ ἤδη καὶ τῷ τοιούτῳ πρὸς τοῦ βασιλέως ἀξιώματι), τούτου τοίνυν τῆς ὁμιλίας, ἐπείπερ ἀκροατὴς ἐγενόμην αὐτοῦ κατά γε τὸ τῆς ἀστρονομίας μάθημα, ξυνέβη μοι ἀπολελαυκέναι ἐς κόρον. καίτοι καὶ οὐδ' αὐτὸς ἔξω φειδοῦς ἐν ἀρχαῖς τὴν αὐτοῦ μοι παρεῖχε γλῶτταν, οὐδ' αὐτῆς δὴ τῆς ἀστρονομίας ἀφθόνως μεταδιδόναι ἐβούλετο· εἴτε τὸν ἐμὸν ἀγνοῶν ἔτι τρόπον, εἴθ', ὅπερ καὶ ἀληθὲς ἦν, τὴν αὐτὴν Συνεσίῳ τῷ πάνυ καὶ Λύσιδι τῷ Πυθαγορείῳ τρέφων γνώμην. κελεύουσι γὰρ ἐκεῖνοι, μὴ κοινὰ ποιεῖσθαι τὰ φιλοσοφίας ἀγαθὰ τοῖς μηδ' ὄναρ τὴν ψυχὴν κεκαθαρμένοις. οὐ γὰρ θέμις ὀρέγειν τοῖς βουλομένοις τὰ μετὰ πολλῶν ἀγώνων πορισθέντα. καὶ γὰρ καὶ τὸ δημοσίᾳ φιλοσοφεῖν μεγάλης, φησὶν, ἐς ἀνθρώπους ἦρξε τῶν θείων καταφρονήσεως. (B.) Κατ' ἰδίαν οὖν αὐτῷ προσελθὼν καὶ ἀκίβδηλον τὸν ἐμὸν ὑποδείξας τρόπον αὐτῷ μὴ κατὰ τοὺς πολλοὺς ἠξίουν ἡγεῖσθαι κἀμέ. πόῤῥω γὰρ τὰ Φρυγῶν καὶ Περσῶν ἔφασκον εἶναι ὁρίσματα. ἔπειτα καὶ γλώττῃ μειλιχίῳ πειθοῦς τινος ἕνεκα χρώμενος τάδε πρὸς αὐτὸν διεξῆλθον. "1εἰ μὲν ἐπίσης ἅπαντα τὰ βίου τερπνὰ διανέμειν εἶχεν ἡ φύσις, ἀνέραστος ἂν ἦν δήπου γε καὶ ἀταλαίπωρος ἡ τούτων ζήτησις καὶ ῥᾷστα δὴ τοὐντεῦθεν τῆς φιλαλληλίας ὑποτέμνεσθαι ξυνέβαινε τοὺς λόγους. νῦν δ' ἐπειδὴ ἔδει ἀνακεκρᾶσθαι τοῖς λυπηροῖς τὰ ἡδέα καὶ τρίτον πίθον οὔ φασιν Ἑλλήνων παῖδες ἐν Διὸς εἶναι κακῶν ἀμιγῆ, λυπεῖ μὲν τῷ 1.323 ἐνδεεῖ, τέρπει δ' αὖ ἐν προθύροις οἰκίζουσα τὴν ἐλπίδα τῆς εὐπορίας καὶ διδοῦσα παλάμην ἀντίπαλον τῇ πλεονεξίᾳ τοῦ ἐνδεοῦς· καὶ ζητεῖ μὲν οὗτος, δίδωσι δ' ἐκεῖνος· καὶ τοὐναντίον αὖθις καὶ διὰ παντὸς ἑκάτερον· καὶ νόμος τοῦτο γίνεται φιλίας καὶ δεσμὸς ἀλλήλοις ἄφυκτα ἰσχύων. καὶ τοῦτ' εἶναι γένοιτ' ἂν οἶμαι φάναι παντὶ, ὃ γῆ μὲν πλωτὴν ἐργάζεται θάλατταν καὶ ταύτην αὖθις ἐκείνῃ βάσιμον. καὶ Τάναϊς μὲν δι' αὐτό γέ τοι τοῦτο δρόμον ποιούμενος ὑπερόριον ἐπιῤῥεῖ τῇ Ἑλλάδι καὶ Ἴστρος ἐπ' Αἴγυπτον ἔρχεται καὶ Μαιώτιδι Νεῖλος κοινοῦται τὸ ῥεῦμα. εἰ δέ τις φειδοῖ χρώμενος μὴ διαδόσιμα βούλοιτο γίγνεσθαι τὰ καλὰ, μὴ καὶ λάθῃ νόμον οὗτος διὰ πάσης γράφων γῆς κακίας ἀρχηγέτην καὶ ἐς νυκτὸς ἵν' εἴπω βάραθρα καὶ σκοτεινοὺς ὀλίσθους ὅλῃ ῥύμῃ ξυνωθῶν τοὺς τῆς ἐπιμιξίας λόγους καὶ περιφανῶς ἀδικῶν, δι' οὓς ἐκείνῳ τοῦτ' ἐχαρίσατο τἀγαθὸν ὁ τῆς φύσεως δημιουργός. εὔδηλον γὰρ δήπου τοῖς ὅλοις, μηδὲν μηδενὶ παρὰ τῆς προνοίας ἀγαθὸν παραγίγνεσθαι δι' ἕνα γέ τινα τὸν εἰληφότα· ὡς ἄρα οὐδ' ἡλίῳ τὸ φῶς, ἵν' αὐτὸς ἀπολαύοι μόνος. εἰ δ' ἀθάνατα ἔμελλε βιώσεσθαι τὰ πράγματα κἀπὶ τῆς αὐτῆς ἑστήξειν κρηπῖδος ἀεὶ, εἶχεν ἄν τις ἴσως οἵαις δή τισιν αἰτίαις τῆς ἀρετῆς παρακρούεσθαι τὴν διάδοσιν. ἀλλὰ νῦν ἐστι τῶν ἀμηχάνων πάντη τουτί. ταύτῃ τοι καὶ ἀθανασίαν ἀντιτεχνώμενοί τινες καὶ κλέος ἀπέραντόν σφισιν αὐτοῖς προμνώμενοι πᾶν ὅ,τι κλέους * ὁστιοῦν ἀρχὴν εἰδείη γίγνεσθαι, πρὸς τοῦτ' αὐθαίρετος παρείη. καὶ Πυθαγόρας μὲν αὐτίκα τοῖς ἐν Αἰγύπτῳ σοφοῖς ξυμβαλὼν καὶ ξυνοργιάσας 1.324 Ἑλληνικῶν ἐπεθύμησεν ἐγκωμίων· κἀκεῖσε δὴ κωμάζει διαπόντιος ἐραστὴς καὶ τὴν ἀρετὴν διὰ πάσης δημοσιεύσας Ἑλλάδος



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

μεστὸν ἑαυτοῦ τὸν ἐφεξῆς ἔλιπεν αἰῶνα. ἤδη δέ τις καὶ πρὸς τὴν ἐν Πυθοῖ δάφνην καὶ πρὸς τὸν ἐν Ὀλυμπίᾳ κότινον ἐξ Ἀσίας ὁρμᾶται. ᾔδει γὰρ ὡς ἔνεστι τῷ μαραινομένῳ τῷδε θαλλῷ κλέος ἀμάραντον· καὶ τοῦτο μᾶλλον ἀναζωπυρεῖ τὴν μετὰ ταῦτα μνήμην, ἢ πάντες οἱ τῆς Ἀσίας λειμῶνες καὶ αἱ κρῆναι καὶ ἡ παντοδαπὴ τῶν ἐκεῖ φυομένων βαφή. τούτοις δὴ οὖν καὶ πλείστοις ἄλλοις διὰ ποικίλης ἐλθοῦσι παραπλησίαν τῷ ἐφεξῆς παραθέσθαι βίῳ τὴν μνήμην ἐξεγένετο. νῦν δ' ἵνα μὴ διατρίβω, τῶν μὲν ἄλλων τὴν φύσιν καθάπαξ εἰπεῖν ὁ τὰ καθ' ἡμᾶς ἐξελίττων αἰὼν ἄκαρπον διαφεύγει διαλιμπάνων ἔρημόν τε σοφίας καὶ οὐ πολλοῦ δέω λέγειν μηλόβοτον· οἵαν δὴ καὶ τὴν τῶν Θηβαίων Ἀλέξανδρον πάλαι πεποιηκέναι φασίν· ὡς ἐξεῖναι γίγνεσθαι τὰ καθ' ἡμᾶς ὑπόθεσιν διαρκῆ τοῖς ἐν σκηνῇ τραγῳδοῦσι. μόνον δ' ἐξ ἁπάντων σὲ κρατίστην εἰκόνα φύσεως ἐξαπέφηνε κράτιστα ἡρμοσμένην, οἷα δὴ καὶ σελήνην ἐν ἀστράσι καὶ ζώπυρον ἐν κρυμῷ καὶ χειμῶνι. καὶ οὐχ οὕτω τὰ καθ' ἡμᾶς νεῴ καὶ τείχη δύναιντ' ἂν καὶ ἄλση καὶ στοαὶ κοσμεῖν, ἢ σὺ καὶ ὁ τῆς σῆς ἀρετῆς κόσμος. καὶ μέγα μέν τ' ἂν ὄφελος εἶναί σε τοῖς κοινοῖς ὁμολογοίημεν ἅπαντες, ἅτε τῷ μεγάλῳ βασιλεῖ συναιρόμενον, ὅσα καὶ κυβερνήταις οἱ τὸν πόλον καὶ τὴν Ἑλίκην διασκοπούμενοι. ἀλλὰ τί τις ἂν φαίη; ἦν καὶ Φειδίας ἐν Ἕλλησι μέγας ἔκ τε τῆς μελίττης, ἔκ τε τοῦ τέττιγος· ἀλλ' οὐχ οἷος ἐκ τοῦ Ὀλυμπιάσι Διός. ἔτι τοίνυν καὶ τοὐντεῦθεν κλέος θᾶττον ἢ τὰ ἐν ἀγρῷ φυόμενα διαῤῥεῖ 1.325 αὐτῇ μνήμῃ καὶ αὐτῷ σώματι. εἰ δέ γε τῶν ἐν τῇ ψυχῇ τῆς σοφίας θησαυρῶν μεταδοίης, οὐκέτι σοι μετὰ λήθης τοὔνομα κείσεται, καθάπερ οἳ χωλὴν τοῦ βίου ζωὴν ἐβάδισαν, ὅ φησι Πλάτων· κήρυξ δ' ἐς τὰ μάλισθ' ἑαυτοῦ σχεδὸν ἐπὶ μέσης ἑστήξει τῆς οἰκουμένης καὶ τῷ μακρῷ χρόνῳ μετὰ φαρμακευούσης ἐμπομπεύσει τῆς ἡδονῆς· καὶ μὴ ὅτι γε μνήμης ἀξιώσεται τῆς διὰ γῆς πλανωμένης καὶ προσκαίροις ἀκοαῖς τὸ ἴχνος ἐρειδούσης, ἀλλὰ κἀκείνης γέ τοι, ᾗ καὶ αὐτὸν ἄνθρωπον παραθεῖ καὶ τὸ παράπαν ἀκήρατος ἀεὶ διαγίγνεται. ἄγε δὴ οὖν ἄγε, τῶν ὑφ' ἡλίῳ σοφώτατε· μετάδος τοῦ σοῦ κόσμου τῇ θρεψαμένῃ, καθάπερ Λυκοῦργοι καὶ Σόλωνες· τίμησον τὸ διαβόητον ἄστυ τουτὶ, καθάπερ τὴν Ἀθηναίων πάλαι Σωκράτεις καὶ Πλάτωνες. ἄνοιξον ἡμῶν τὸ τοῦ νοῦ βλέφαρον· δεῖξον ἐναργέστερον τίς ὁ τοῦ παντὸς ἁρμοστὴς καὶ ποία ποθ' ἡ τούτων παναρμόνιος σύνταξις· δίδαξον πῇ τὰς αἰτίας θετέον τοῦ τοσούτου δοθέντος ἀγαθοῦ· τῇ τῶν ἄστρων ἀνάγκῃ, κατὰ τοὺς θύραθεν λόγους, ἢ τῷ τοῦ παντὸς αἰτίῳ. ἐκ πολλοῦ γὰρ ὡς τὰ πολλὰ διαπορουμένῳ οὐδεὶς οὐδέπω μοι νοῦς ἀπηντήκει τῆς ἐμῆς ἀποχειροτονῶν ψυχῆς τἀμφιβαλλόμενον. ὥστ' εἰ μὴ δι' ἄλλο τι, διὰ γοῦν ἕν γέ τοι τοῦτο δίδαξον. ποῦ δ' οὐκ ἂν ἐλαύνοι σχετλιότητος, οὐρανοὺς μὲν διηγεῖσθαι δόξαν θεοῦ περιηχοῦντας πᾶσαν γῆν, ἡμᾶς δὲ κωφεύειν οὐκ ἐπαΐοντας ἅττα φασὶν, ἀλλ' ἄστροις τὸ θρυλλούμενον τεκμαίρεσθαι τὴν τούτων ἐπιστήμην; ἔπειτα καὶ τοῦ παντὸς ἂν πάντως ἐλλείποι μὴ ἀδικίας ἔσχατα εἶναι τουτὶ, εἰ μήτε κατὰ Πυθαγόραν ἐς Ἀττικὴν ἀπ' Αἰγύπτου διαβαίνειν δέον, μήθ' ὁμοίως 1.326 Πλάτωνι πολλάκις διαπλεῖν τὸν Ἰόνιον κἀκ τῆς Ἀττικῆς ἐς Σικελίαν καὶ τυράννους ἰέναι κἀκεῖθεν αὖθις ἐς Ἀκαδημίας καὶ περιπάτους ἐπανιέναι, ἵν' οὕτω γ' ἐξείη διαχεῖν ἐν κοινῷ τὴν ἀρετὴν, ἀλλ' ἀντὶ Λυκείου καὶ Στοᾶς τῇ συνήθει χρώμενον ἑστίᾳ κόσμῳ παντὶ παραπέμπειν τὴν ἀρετὴν, ἔπειθ' ἕν γέ τι τῶν ἁπάντων προτιμῴης ἕτερον καὶ ῥᾳστώνῃ διδῷς σου τὴν τοῦ παντὸς ἀξίαν γλῶτταν. ὁρᾷν δὲ δήπου χρεὼν καὶ ὅση τοῖς πράγμασιν ἀπιστία τε καὶ πλημμέλεια περικέχυται καὶ ὅπως αἱ τῆς τύχης ἐπιβουλαὶ μένειν οὐδὲν τῶν πάντων ἐῶσιν ἐφ' ἑνός· ἀλλ' ἄνθρωποι μὲν, οἱ μὲν ἐν μεσημβρίᾳ φωτὸς, σκότους καὶ λήθης ὑπίασι μυχούς· οἱ δ' ἐξ ὕπνου καὶ νυκτὸς εἰς ὕπνους καὶ νύκτας διηνεκεῖς μεταβαίνουσι, πάσας φροντίδας κατόπιν διαλιμπάνοντες. ἡ δὲ σοφία καὶ αὐτὴ πολλαῖς ταῖς ἀποικίαις ἐχρήσατο. Αἴγυπτος μὲν γὰρ αὐτῆς, φασὶν, ἡ πρὶν ἑστία. εἶτα πρὸς Πέρσας καὶ Χαλδαίους διέβη. εἶτα παρ' Ἀθηναίοις κατέλυσε· κἀκεῖθεν τὸ τελευταῖον ἀπέπτη καὶ οἱονεί τις ὄρνις



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τῆς καλιᾶς ὑφ' ὁτουοῦν ἐξωσθεῖσα περίεισιν ἄρτι διὰ μακροῦ πλανωμένη. κινδυνεύει δ' οὖν τέως ἢ παρ' ἡμῖν ἐνταυθοῖ τοῦ λοιποῦ μεῖναι στᾶσαν τῆς πλάνης, εἴ σοί γε εἴη δεδογμένον, ἢ τελέως οἴχεσθαι δραμοῦσαν δι' αἰθέρος· καὶ μή μοι ἀχθεσθείης ἐπὶ τοιαῦτά σε παροξύνοντι. λέγειν γὰρ ἐξάγομαι καὶ τοῦ εἰκότος πόῤῥω τὴν τοῦ χρόνου δεδιὼς πεττείαν, μὴ ὥσπερ ἐξ ἀφανοῦς τε καὶ λόχου δραμὼν τοσοῦτον καλὸν οἴχηται ἀποκρύψας. εἰ γὰρ καὶ τοῦτ' εἰπεῖν χρὴ, οὐχ ἡμῖν αὐτοῖς ἡμῶν αὐτῶν τοσοῦτον μέλει, ὅσον καὶ τῆς σῆς 1.327 εἰς τοὔμπροσθεν εὐκλείας· ὥστε καὶ εἴπερ ἐξῆν εὐξαμένῳ τυχεῖν ὧν ἂν εἴη ἐθέλοντι, ἥδιστ' ἂν δι' αἰῶνός σε ζῇν ηὐξάμην, ἵν' εἴη ἡμῖν ἥδεσθαι διὰ παντὸς ἐπὶ σοὶ, καθάπερ ἐπὶ μάλ' εὐτυχεῖ θησαυρῷ. ἀλλὰ γὰρ σὸν ἂν εἴη τοὐντεῦθεν δεικνύειν, εἰ μὴ παρὰ θύραν ἥκουσιν ἡμῶν αἱ παρακλήσεις."2 (Γ.) Ἀλλὰ τοιούτοις μὲν δὴ τοῖς λόγοις ἐς τὸν μέγαν χρησάμενος λογοθέτην καὶ οὕτως αὐτῷ τὸν ἐμὸν ἐνδειξάμενος τρόπον εὐάγωγόν τε καὶ εὐπειθῆ πρὸς ἅπαν ἐμοὶ τὸ βουλόμενον εἴργασμαι· καὶ οὕτως ἑξῆς ἀνυπόπτως ἐς κόρον τῆς αὐτοῦ γε ἀπήλαυον ὁμιλίας. η΄. Ἐπόθουν δὲ ἤδη καὶ τῆς τοῦ βασιλέως· τυχεῖν τελεώτερον. αὐτός τε γὰρ πολλάκις ἐθεασάμην καὶ ἔτι παρὰ πάντων ἠκηκόειν, ὁπόσοι πρὸς ἄκραν ἀφίκοντο πεῖραν αὐτοῦ, ὡς οὐ μόνον εὐκοσμίας καὶ ἠθικῆς ἁπάσης ἀρετῆς καὶ ἀσκήσεως ἐργαστήριον τὸν βασιλικὸν κατέστησεν οἶκον τῷ τε μακρῷ χρόνῳ καὶ τῷ περιόντι τῆς φύσεως πλείστην ἐπὶ ταῦτα πεῖραν ξυνηθροικὼς, ἀλλὰ καὶ λογικῆς φάναι παιδεύσεως κράτιστον γυμνάσιον καὶ, οἷον εἰπεῖν, ἐλλογίμων γλωσσῶν στρατόπεδον. διὰ ταῦτα τοίνυν ἐραστὴς τῶν τοιούτων καλῶν καὶ αὐτὸς καταστὰς προσῆλθον αὐτῷ. ἡ γὰρ καθ' ἡσυχίαν τῶν μαθημάτων ἄσκησις, ὁπόσην αἱ βίβλοι τοῖς μετιοῦσι χαρίζονται, κἂν ἧττον ᾖ πολλὴ κἂν πλεῖστον, ἐοίκοι ἂν κατ' ἐμὴν δόξαν σώματος ὀργανικοῦ διαπλάσει ἐφιεμένου ψυχῆς, ἣν δή φημι διὰ τῆς ἐκ τῶν αἰσθήσεων ἐμπειρίας προσγίγνεσθαι· ἢ μᾶλλον ἐοίκοι ἂν συμφορήσει διαφόρων βρωμάτων ἐν κοιλίᾳ συναθροισθέντων καὶ δεομένων θέρμης πρὸς πέψιν· ταύτην δ' εἶναι ὁποίαν αἱ παντοῖαι τῶν χρόνων 1.328 ὧραι καὶ ἡ ἐπαγωγικὴ τῶν αἰσθητῶν καὶ μερικῶν πραγμάτων ἐμπειρία παρέχονται. ἴδοι δ' ἄν τις καὶ ὅπως τινὲς διὰ τὴν τῆς ἡσυχίας ἐπίτασιν καὶ τὸ ἄμικτον καὶ ἀγύμναστον τῆς ἔξω συνδιαιτήσεως τὰς ψυχικὰς δυνάμεις ἐμάραναν καὶ τὴν φύσιν ἐξεθήλυναν καὶ παντάπασιν ἀπαῤῥησίαστον ἔθηκαν. ἀλλὰ γὰρ ἐπειδὴ καὶ αὐτὸς προσῆλθον οὕτω τῷ βασιλεῖ, ἕβδομον ἤδη καὶ εἰκοστὸν τῆς ἡλικίας ἀμείβων ἔτος, καὶ ὑπὲρ πᾶσαν προσεδέχθην ἐλπίδα, εὐθὺς ἔπαινον ἐπ' αὐτοῦ διεξῆλθον τῆς εὐγλωττίας καὶ συνέσεως αὐτοῦ τοιόνδε. (Β.) "1Εἰ μὲν ἦν μοι ὁρᾷν, κράτιστε βασιλεῦ, τὴν καθ' ἡμᾶς τοῦ χρόνου φορὰν ἀξιόχρεως καὶ τοὺς ὑμνητὰς προενεγκοῦσαν τοῦ σοῦ κράτους, οὔτ' ἂν τὸ λέγειν προῃρούμην καὶ πᾶν ποιεῖν καὶ λέγειν ὑπὲρ σοῦ σιγᾷν σφόδρα προσιέμην ἄν· αὐτὸς δὲ τούτοις ἄσμενος τῆς παῤῥησίας παρεχώρουν, οἷς ἐφαμίλλως τοῖς ἐγκωμίοις σου λέγειν ἐξῆν. ἐπεὶ δὲ πάντων, ὡς ἐπίπαν εἰπεῖν, κατεψηφίσω τὴν ἧτταν τῇ τῶν καλῶν σου πλεονεξίᾳ, ἔνι δ' οὐδεὶς τὸ παράπαν μήθ' ὁ πρὸς ἀξίαν εἰπὼν, μήτε μὴν τῆς ἀξίας ἐγγὺς, οὐ δοκεῖ μοι οὐδ' ἔμοιγε κείσεσθαι φαύλως τὸ πρᾶγμα, εἴγε καὶ αὐτὸς, ὡς ἔξεστι, τοὐμὸν κατατιθείην ὄφλημα. ὥσπερ γὰρ ἂν τῶν ἀτοπωτάτων ἦν, μόνους ἡμᾶς τῆς ἀξίας ἐλλείποντας εἶτα ἐπιχειρεῖν λέγειν· οὕτω δῆτα τῶν εἰκότων αὖ, ὁμοῦ τοῖς ἄλλοις κατόπιν τῆς ἀξίας βαδίζοντας τοῦτ' αὐτὸ ποιεῖν, ὡς μάλα ὂν οὐδὲν αἰσχρόν. διατειναίμην γὰρ ἂν σφόδρα ἔγωγε, ὡς τὴν σὴν πλουτῆσαι γλῶσσαν εὔξασθαι χρὴ πρότερον, ὅστις βούλοιτο πρὸς ἀξίαν διεξιέναι τὰ 1.329 σά. ἄλλως δ' οὐκ ἂν διατειναίμην εἶναι ῥᾴδιον οὐδενί. καὶ γὰρ καὶ γλώττης εὐπρεπείᾳ βασιλικῷ τῷ πήχει τοὺς ἄλλους παρήλασας καὶ πάντα σοι πρόσεστι τὰ καλὰ, ὧν ἓν οὐδὲ ἓν οὐδενὶ τῶν ἁπάντων ὡσαύτως, οὔτε τῶν ἐν οἷς ἡμεῖς, οὔτε μὴν τῶν πρὶν ἢ ἡμεῖς, οὔκουν οὐδ' ἂν τοὺς ἐξαρχῆς ἀριθμεῖν τις ἐθέλῃ. ἐνταυθοῖ δὲ τοῦ λόγου γενόμενος οὔτε διεξιέναι



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τολμῶ οὔτε πάνθ' ὡς ἐπίπαν ὁπόσα σοί ἐστιν ἐγκώμια, οὔτε μὴ πάντα· αἰτίαι δὲ ὡς λαμπραὶ καὶ λαμπρῶς ἐγκείμεναι. καὶ γὰρ τὸ μὴ δύνασθαι καὶ ἡ τοῦ χρέους ἔκτισις, δύο δὴ ταῦτα ἐναντίως πως ἔχοντα πρὸς ἄλληλα, τὴν ἐμὴν ἐφ' ἑκάτερα σχίζει διάνοιαν· ὡς ἐμὲ γοῦν τὸν ἑκατέρωθεν φυλαττόμενον κίνδυνον ἀναγκάζεσθαι καὶ ἀμφοτέρων μεταποιεῖσθαι καὶ αὖ μηδετέρων, ἁρμοσάμενον δι' ἀλλήλων ἑκάτερα. ὁπότε γὰρ ὧν ἐπὶ σοφίᾳ πάλαι σεμνότης ὀνόματος οὗτοι πάντες εἰ παρῆσαν, ἡττήθησαν ἄν σου τῆς τῶν καλῶν πλεονεξίας, τῶν τε νῦν ὄντων τὸ πρᾶγμα οὐδὲν διαφερόντως ἔχει, τί λοιπὸν ἐμοὶ ἢ τῶν γε πλειόνων ἀφεμένῳ μικρά τινα διαλαβεῖν δεῖ καὶ ὅσα μοι τἀσφαλές ἐστι προμνώμενα; μήπου τοι καθάπερ οἱ τῶν Ὀλυμπιακῶν ἄθλων ἀτέλεστοι κινδύνῳ χρησάμενος αἰσχύνης ἀθλητὴς ἐμαυτῷ κατασταίην. καὶ πείθομαί γε μηδὲν εἶναι τῶν πάντων ἕτερον, ὅ με προσήκει μᾶλλον ποιεῖν, ἢ τὸν ἐντεῦθεν φυλάττεσθαι κίνδυνον καὶ μάλα μᾶλλον ἐμὲ, ἢ εἴ τι βρέφος ἐβούλετο μάζαν σιτεῖσθαι, πρὶν ἀπότιτθον γενέσθαι. ἐξῆν γὰρ ἄν γέ που πάντως ἀνιᾶσθαι τελεσθέντος. χρὴ μέντοι οἶμαι, ὡς εἰς ἀνάκτορον εἰσιόντι παμπόλλοις φαιδρυνόμενον καὶ ποικίλοις ἀγάλμασιν, ὣς δὲ κἀν τοῖς τοῦ βασιλέως ἐγκωμίοις γε 1.330 νομένῳ τοῖς ἄλλοις τῶν ἄλλων παρακεχωρηκότι ἑνός που ἢ καὶ δύο τὸ πλεῖστον ἐπιμνησθῆναι. πλείονα γὰρ ὡς οὐκ ἀσφαλὲς ἂν εἴη λέγειν, ὅτῳ δὴ μὴ μεταμέλειν μέλοι, ἔστιν εἰρημένον. εἰ γὰρ τῶν δύο οὐκ εὐχερῶς ἄν τις ἀπαλλάξαιτο, σχολῇ τῶν γε πλειόνων. ἄλλοι μὲν τοίνυν ἀλλάττα λεγόντων, ὥς γε εἴρηται, τῶν τοῦ βασιλέως, ἐμοὶ δ' ἐχέτω μνήμην τό,τε τῆς φρονήσεως αὐτοῦ μέγεθος καὶ ὁ τῆς γλώττης κρότος. ὧν αὐτός τε πεῖραν σχὼν τοῖς τε ἄλλοις χρώμενος ἀεὶ διὰ γλώττης ἄγουσι καὶ οὐδέσι μὴ θαυμάζουσιν, οὐκ ἔσθ' ὅτε μέμνημαι καὶ αὐτὸς, μὴ ἀσχολοῦντός μου τὸν νοῦν τοῦ αὐτῶν θαύματος καὶ ἀπορεῖν ποιοῦντος, πότερον πρότερον καὶ μᾶλλον ἐπαινοίην ἑκατέρων· καὶ ἀεὶ περαιτέρω τοῦ λόγου δηλοῦσθαι εὑρίσκων μεταχωρῶ πρὸς ἐμαυτὸν διολισθαίνων, καθάπερ οἱ σώμασι λείοις τὰς χεῖρας ἐρείδειν σπουδάζοντες. ὡς νῦν γε, εἴπερ ἐξῆν μοι, οὐδαμῶς ἂν ὑφιέμην μὴ καλεῖν σε γῆς ἥλιον, ὦ βασιλεῦ. ὡς γὰρ πάντες φωτὸς θησαυροὶ τῷ ἡλιακῷ ξυνελθόντες δίσκῳ πᾶσιν ἐκεῖθεν ὥσπερ ἐκ κοινοῦ πρυτανείου τὰς ἀφορμὰς διδόασι τοῦ βλέπειν, οὕτω δὴ κἀν σοὶ πᾶσα φρόνησις συνδραμοῦσα φέρεται ὥσπερ ἐξ οὐρανοῦ πανταχόσε τῆς γῆς, ἀφορμὰς διδοῦσα πᾶσι τοῦ θαυμάζειν· καὶ ὥσπερ οὐκ ἔστιν οὐδεὶς, ὃς τῶν ἡλιακῶν ἀκτίνων ἀθέατος ἔμεινεν, οὐδ' οὐ μὴ μένῃ, πλὴν ἢ ὃν ἥλιος εἶδε πλὴν τοῦ βλέπειν· οὕτως οὐδ' αὖ ἔστιν οὐδεὶς, ὃς ἀνήκοος τῆς σῆς φρονήσεως διετέλεσεν, οὐδ' οὐ μὴ διατελέσῃ, πλὴν ἢ ὅστις ἐγένετο πλὴν τοῦ ἀκούειν. οὕτω σε γῆς ἥλιον προσειπὼν οὐκ εὐηθές τι φάναι δοκῶ μοι· εἰ δὲ καὶ πλέον τι λέγει τις, οὐκ ἔγωγε διοίσομαι. ἐπὶ μὲν γὰρ οἶμαι 1.331 τῶν οὐρανίων σωμάτων τὸ ἀεὶ ὡσαύτως ἔχειν ἀφαιρεῖται τὴν ὑπεροχὴν τοῦ θαύματος· τὸ δ' ἄλλοτ' ἄλλως ἔχειν τῶν ἀνθρώπων ὂν, ὑπερεχόντων ἔσθ' ὅτε καὶ οἷς ἀλλήλους, εἶτα τὸ σὸν πρᾶγμα παντὸς βέλτιστον καθάπαξ καταστὰν πῶς οὐκ ἀτεχνῶς ἐοίκοι ἂν ὑπερβολῇ θαύματος; καὶ εἰκότως. ἐχρῆν γὰρ πάντως που τῶν ἄλλων ὅσον ὑπερέχεις ἀξιώματι, τοσόνδε δῆτα καὶ φρονήσει. τοιγαροῦν καὶ ξυνεῤῥύηκε. σοφιστῇ μὲν οὖν ἤδη τινὶ ἤρκεσε τὰ Δημώνακτος εἰπόντι χαρίεντα ἀποφθέγματα τὴν σοφίαν ὁπόση δηλῶσαι Δημώνακτος, ὡς χρῆμα καὶ τοῦτο πάνυ πολλοῦ τίμιον ὂν τοῖς ἀνθρώποις. οὐ μὴν εἰ καὶ γλώττῃ ἐχρῆτο εὐροούσῃ δεδήλωκεν· οὐ γὰρ οἶμαι εἶχεν. ἦ γὰρ οἶμαι ἦν οὐκ ἂν αὐτῷ ἄῤῥητον, ἐπαινεῖν οὕτω προελομένῳ σοφίας μεγάλης ἥκοντα ἄνδρα. σοῦ γε μὴν τῆς σοφίας τὰς λαβυρίνθους κἂν καὶ δηλῶσαι τις πίνακι δοὺς τὰ σὰ γνωματεύματα, ὁμοῦ δὲ καὶ τῆς γλώττης τὴν εὔροιαν οὐκ ἂν δήπου, εἰ μὴ ἄλλῳ τῳ χρῷτο τρόπῳ, ἢ ταῖς τοῦ Νείλου παραβάλλων προχύσεσιν, ἃς διασκοποῦνται πήχεσιν Αἰγύπτιοι, ἢ δῆτα κλάδοις ἐξ ἀμπέλου ποικίλοις. καὶ γὰρ καὶ κατὰ πήχεις αὔξειν ἔχει τὰς ἔνδοθεν πηγὰς τοῦ νοῦ καὶ αὖ ὡς ἄμπελος ἀπ' εὐτυχοῦς γέ που τῆς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ῥίζης ἀνίσχουσα πολλοὺς ἑλίσσει τοὺς κύκλους καὶ διὰ παντὸς ἐκ βλάστης βλάστην φύει σφόδρα γέ τοι εὐφυῶς. οὐ γὰρ οἵαν ταύτην ἔλαχες τὸ γόνιμον τῆς ἔνδοθεν πηγῆς ἐξαμβλοῦν, ἢ τόκου παρεχομένην διηνεκῶς ἀωρίαν ὑπ' ἀμηχανίας καὶ τὰ τοῦ μεγίστου νοῦ συγχωννύουσαν μυστήρια, οὐδ' ἀγύμναστόν τινα οὖσαν καὶ μὴ σαφῶς τετελεσμένην τοῖς τῶν 1.332 τοσούτων φρενῶν ὀργίοις· ἀλλ' οὕτω γ' ἀποχρῶσαν, ὡς καὶ φιάλαις ὅλαις εἶναι, ὡς εἰπεῖν, ὁπηνίκα καὶ ὁπόσα εἴη ἐθέλοντι ἐξαντλεῖν, μετὰ στάθμης μέντοι καὶ κρίσεως ἀκριβοῦς, κολαζούσης μὲν τὸ πλεονεκτοῦν, μὴ ὥσπερ πηγή τις ὑπερλιμνάζουσα πλέον ἀποτρέχῃ τοῦ δέοντος· ῥωννυούσης δὲ τὸ καταπίπτον, ὁπηνίκ' ἂν ᾖ ῥᾳστώνη τοῦ σπουδάζειν· ὡς εἶναι καὶ τοὺς μὴ σπουδάζοντας λόγους σου παρὰ τοσοῦτον οὐκ ἀξυντελεῖς, παρ' ὅσον οὐδ' οἱ τοῖς ἐξεσμένοις ἀλάξευτοι συντεθειμένοι λίθοι τοῖς τῶν ἱερῶν περιβόλοις. τοσοῦτόν γε μὴν τὸ ἡδὺ τοῖς λεγομένοις περιθεῖ, ὡς εἶναι νομίζειν ἵμερόν τινα ἐσκηνῆσθαι τῇ γλώττῃ σου, ὃς καὶ παρόντας εὐφραίνει καὶ μεταστάντων οἱονεὶ ταῖς ἀκοαῖς ἕπεται ἐνηχῶν τε καὶ ἐξαρτᾶται χυμὸς μέλιτος, ἐπειδάν τις ἀπογεύσηται. ἀλλὰ γὰρ ἄλση καὶ λειμῶνες καὶ ἐρημίαι ταῖς τῶν ᾠδικωτάτων ὀρνίθων ᾠδαῖς ἦρος ὥρᾳ περιηχοῦνται, ὡρισμένοι τόποι καιροῖς ὡρισμένοις. σοῦ δὲ τῆς σώφρονος εὐγλωττίας, ἀντὶ μὲν ἔαρος, ὁ τῶν τεσσάρων ὡρῶν κύκλος διηνεκής· ἀντὶ δὲ λειμώνων καὶ ἀλσῶν ἤπειρος ἅπασα, οὐχ ὅσην Ἡρακλέους ὁρίζουσι στῆλαι, ἀλλὰ σύμπαν φημὶ ὅσον ὅ,τε τῆς οἰκουμένης ἔνδον καὶ ὁ κύκλῳ διάκοσμος ἐξυφαίνει, Ἀττικοῦ παντὸς ἐναργέστερον πέπλου τὰς σὰς ἀρετὰς διαγράφων. πείθομαι γὰρ μηδ' ἂν τοῖς ἐπ' ἔσχατα γῆς Κελτοῖς, οὐδ' ἂν οὐδέσιν ὅσοι πρὸς τῷ ὠκεανῷ τυγχάνουσιν ὄντες, οὐ μέντοι οὐδ' ἂν ἐνδεῖν σου τῆς φήμης, οὐδ' αὐτοῖς Ἰνδοῖς· ἀλλὰ κἀκεῖθεν τὸ κῦρός σε δέχεσθαι τοῦ νικᾶν περιουσίᾳ φρονήσεως πάντα ἀνθρώπων γένη. οὕτω τοι τὸ 1.333 σὸν κλέος, καθάπερ ἐπὶ νηὸς τῆς φήμης ὀχούμενον, πλῆρες θαύματος διὰ πάσης ἔρχεται γῆς. τεκμήρια δέ μοι τῶν λόγων· καὶ γὰρ οὐκ εἰσὶν ὁπόσα κατὰ γῆν εἰσὶν ἔθνη, ἐξ ὧν μὴ οὐκ ἦλθον ὡς σὲ τῇ φήμῃ δημαγωγούμενοι· οὕτω μέντοι σὺν ἑορτῇ πάντες, ὥστ' ἐξεῖναι ζημίαν νομίζειν, εἴ τις ἀπαλλάξειε τοῦ ἰδεῖν τε καὶ συγγενέσθαι. τὸ γὰρ πολλοὺς ἑκάστοτε τῆς οἰκουμένης ἑκασταχόθεν συῤῥεῖν ἴσως χειμάῤῥου ῥεύμασι, τὸ δὲ κύκλους ἑλίσσειν ἀεὶ περὶ σὲ, οἷον καὶ περὶ Πυθαγόραν οἱ ἐκείνου φοιτηταὶ, τὸ δὲ διψῶσιν ὥσπερ ὠσὶν ἀτρεμίζοντας δέχεσθαι τὰ λεγόμενά σοι, καθάπερ οἱ θεομάντεις ἐπιπνοίας ὁπότε θείας ἐμφοροῖντο· ταυτὶ τοίνυν μὴ σύμβολα εἶναι τοῦ δικαίως σφόδρα ἐφίεσθαι τῆς σῆς ὁμιλίας, ὡς οὔσης θαυμασιωτάτης, πάντες οἶμαι οὐκ ἐροῦσι. τὸ δ' αὖ σὲ πρὸς οὕτω παντοδαπὰς πεύσεις τε καὶ προβλήματα διαλλάττοντα μὲν πρὸς ἄλληλα, οὐκ ἐπιχώρια δὲ οὐδὲ τοῖς καθ' ἡμᾶς ἔθεσιν, ἔπειτα πᾶσιν οἰκείως ἐν ταὐτῷ διαλέγεσθαι τὰ πλείστης ἐπάξια σπουδῆς τε καὶ μελέτης, τουτὶ δ' ἔγωγε πολλοῦ δέω μὴ λέγειν ὡς Περικλεῖς ἅμα καὶ Νέστορας ὑπερβέβληκεν. ἐκείνων μὲν γὰρ τοῖς λεγομένοις ἔσθ' ὅτε καὶ σφαλλομένη τελευτὴ ξυνέβαινε· σοῦ δ' οὐκ ἔσθ' ὁπότε μὴ προσήκουσα. καὶ τῶν μὲν ἐπιχωριάζων ὁ τύφος τοῖς χείλεσιν, ὡς ἂν ἀποῤῥοὴ κακίας, τὸ σεμνὸν τῶν λόγων ἀφῃρεῖτο, καθάπερ μήλων ὥραν ἀφαιρεῖται σκώληξ ἐφεδρεύων· χείλεσι δέ γε τοῖς σοῖς τύφου μηδενὸς μηδαμῶς ἐφεδρεύοντος ἔστι προϊέναι καὶ τὸν τῆς γλώττης κρότον πάντη ἀκιβδήλευτον. Ἑλλήνων μὲν οὖν παῖδες τὰ ἑαυτῶν σεμνύνειν ἐθέλοντες ἐπειδή τινας οἶμαι ἠλιθίους ἀνθρώπους ἡ τοῦ Ὀρφέως 1.334 ἐκίνει κιθάρα κινεῖσθαι ἔφασαν καὶ τὰ ἄψυχα τοῖς ἐκείνου πρὸς λύραν ᾄσμασιν. εἰ δὲ καὶ ἡμῖν ἦν βουλομένοις τὴν ἀλήθειαν εἰς μύθους ἐξαίρειν, ὅντινα τρόπον ποιήσαιμεν μείζω ἢ ἔχουσιν ὄντα ὡς οὐκ ἔνι ῥᾴδιον εὑρεῖν οὐκ ἔνι δήπου μὴ φάναι. ὡς τό γε νῦν εἶναι καὶ πεπείσμεθα, μηδ' ἂν ἀπίστως ἔχειν, μηδ' ἀνέφικτ' ἀνθρώποις ἡγεῖσθαι, ὁπηνίκα ὁρῶμεν ἐς μύθους τοὺς ποιητὰς τὰ πλείω τῶν πραγμάτων ἀπάγοντας· εἴτε μὴ οὐχ ἱκανούσης τῶν τότε ἀνθρώπων τῆς φύσεως· εἴτε καὶ αὐτοῖς δὴ τοῖς ποιηταῖς δόξαν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐπίτηδες ποιεῖν περιφανείας εἵνεκα πλείονος. ὡς γὰρ ἥκιστα μείζω ἢ ὥστ' ἀνθρώπου φύσει χωρητὰ εἶναι, ὁπόσα πρὸς θαῦμα καὶ μύθους ἐκεῖνοι ἀπήνεγκαν, ἔδειξας σὺ διὰ πάντων ἐλάσας. πρότερον δ' ἔγωγ' ἀκούων Ἀκαδημίαν καὶ Λύκειον καὶ Στοὰν μέγα τι ταῦτ' ᾠόμην εἶναι καὶ πᾶν ὅτι κάλλιστον καὶ ὑπερήφανον, διὰ Πλάτωνα γοῦν καὶ Σωκράτην καὶ Ζήνωνα, καὶ ὅσοι διάτορον ἐν διαλέξεσιν ἔπνευσαν. νῦν δὲ πᾶσαν τὴν περὶ αὐτῶν εὐκλεᾶ δόξαν ἀπεβαλόμην, ὥσπερ οἱ διαγρηγορήσαντες τὰ ἐν τοῖς ὕπνοις ὀνείρατα· καὶ οἴομαί γε ἐκείνων θαῦμα οὐκ ἔθ' ὑπέρτερον ἢ ὥσθ' ὅμοιον εὑρεῖν, ἀλλ' εἶναι μέτριον καὶ μόγις μέγα, τοσοῦτον ἐκείνους παριόντα ὁρῶν σε, ὅσον ἐγὼ τοῦ καταξίαν θαυμάζειν σε λείπομαι. καίτοι μέγα ἂν ἦν, εἰ καὶ παραπλησίως τοῖς ᾀδομένοις εἶχε τὰ σά. σὺ δὲ ἀλλὰ καὶ ὑπερσχὼν φαίνῃ, ὅσον ἐν ῥαψῳδίαις τῶν ἄλλων κηρύκων τῷ ὑπερφωνεῖν ὁ Στέντωρ. ἰδοὺ γὰρ ὑπὲρ πᾶσαν Ἀκαδημίαν καὶ Λύκειον καὶ 1.335 Στοὰν σοῖς λόγοις ἀποφαίνεις τὰ σὰ βασίλεια, πρυτανεῖον παντοδαπῆς παιδείας φαίη τις ἂν οἰκειότερον. εἶναι γὰρ καὶ μηδένα, ὅντινα τῆς σῆς ἀπολελαυκότα φωνῆς, ἢ δῆτα μόνης τῆς θέας, μὴ καὶ ὠφελείας τῆς μεγίστης, ὅσα γε πρὸς ἤθους ῥυθμὸν καὶ γνώσεως αὔξην, ἔτι μὴν πρὸς τὸ ἐγκυμονῆσαι λόγους καὶ διαλέξασθαι ἑτοιμότερον· ταυτὶ τοίνυν καὶ ὅσα παραπλήσια ἐκ μόνης γέ σου τῆς ὁμιλίας οὐκ εἰσὶν οἵτινες οὐκ ἀπώναντο· οἳ δ' ἀπώναντο, πάντες ἄρ' εἰσίν. ἴσως δ' εἰσὶ καὶ παρ' οἷς ἀγαθὴν λαχοῦσι τὴν φύσιν, ὡς ἂν ὑπὸ ζεφύρῳ πρωϊνῷ κύκνοι ᾄσειαν ἐμμελές, ὧς δὲ κἀκ τῆς σῆς ἐπιπνοίας ἐμμελὴς ὁ τόκος τῶν καλῶν ἐξενήνεκται. οἷς δὴ πᾶσι καὶ κρείττων πολλῷ φιλοτιμία τίς ἐστιν, εἴ τις ἀποφθεγμάτων τῶν σῶν ἀπομνημονεύσειεν, ἢ τῶν Ὁμηρικῶν Ὁμηρίδαις. ἐξαίρετον χρῆμα ἡδονῶν, ὁπόσαι δι' ἀκοῆς πρὸς ψυχὴν ἀπαντῶσι, φασὶ τὰς Σειρῆνας πάλαι γενέσθαι· οὐ μὴν ἀταλαίπωρόν γε, ὅτι μὴ θανάτου τιμώμενον. ἢ γὰρ τεθνάναι ἀκούσαντα πάνθ' ὁντινοῦν ἔδει, ἢ μὴ κηρῷ τὰ ὦτα φραξάμενον κἀντεῦθεν κωφὸν τοῖς ἐκείνων μέλεσι μείναντα. σοῦ δὲ δημηγοροῦντος οὐχ ὅπως οὐ κηρῷ τὰς ἀκοὰς ἀποφράττειν ἐθέλουσιν, ἀλλ' ἀντικειμένως θάνατον ἡγοῦνται, ὅτι μὴ πανηκόους τινάς, ὡς εἰπεῖν, ἀνέδειξεν ἡ φύσις, ὥσπερ οὖν τοὺς πανόπτας οἱ μῦθοι. τίνας γὰρ οὐκ ἂν ὑπερβέβηκας Δημοσθένεις τῇ τῆς δημηγορίας οἰκονομίᾳ τε καὶ δεινότητι; τίνας δ' οὐ Πλάτωνας τῇ τοῦ νοῦ μεγαλοφυΐᾳ τε καὶ σεμνότητι; τίνας δ' οὐκ ἂν ἀνηρτήσω 1.336 ἀνθρώπους, σὲ μᾶλλον θαυμάζειν ἢ τὸ τῆς Ἀττικῆς ἡλικίας ἀκμάζον πάλαι τὸν Σωκράτην, ἐφ' ὅλην σου τὴν δημηγορίαν χάριν ὁμοῦ καὶ πειθὼ συνορῶντας ἐφέρπουσαν, καθάπερ ἐπ' ἄνθη ἀγροῦ τὸ ποικίλον τοῦ χρώματος; οὕτως ἐραστὰς ποιεῖς ἅπαντας τῆς σῆς Καλλιόπης, ἐκκάων ὑπερφυῶς. ἔχειν δὴ οὖν τὰ τοῦ Σολομῶντος τοῖς σοῖς ἐφαμίλλως οὐδεὶς ἂν ἔχοι ἀμφισβητεῖν· ὑπερέχειν γε μὴν τοῦτο δὲ οὐδείς ἐστιν ὅστις ἡγεῖται. οὐδὲ γὰρ οὐδ' ἔστι φάναι, ἐκεῖ μὲν οἷς χρήσεταί τις πολλοῖς οὖσι μαρτυρίοις· ἐνταυθοῖ δὲ βραχέσιν, ἢ τοσούτοις μὲν, μὴ τοιούτοις δέ· πολὺ μέν τ' ἂν τοὐναντίον. οἷς γὰρ τὰ ἐκείνου θαυμάζειν ἔνι, τούτοις οὐκ ἔνι πλὴν ἢ τῆς τοῦ νότου βασιλίσσης, ἣν ἐς Παλαιστίνην ἐκείνη πορείαν ἐστείλατο, μαρτύριον. ὅσοι δὲ τῶν σῶν μέμνηνται, τούτοις καὶ βορέαν καὶ νότον ὁμοῦ τοῖς λοιποῖς τῆς γῆς πέρασιν ὅστις μὴ οὐ φάσκει μαρτύρια εἶναι, ὅπως ἀθῶος φανεῖται τοῦ ἁλῶναι ψευδόμενος, οὐχ οἷός τ' ἂν εἶναί μοι δοκεῖ. ἐπεὶ μέντοι κατὰ τὸν Ἀναξαγόραν νοῦς ἐστι σοφὸς ὁ τὰ πάντα διακοσμῶν καὶ πάντων αἴτιος, οὕτω δῆτα τῷ περιόντι σοι τῆς τοῦ νοῦ σοφίας ἐξηγῇ τῶν πραγμάτων καὶ οὕτω σοι τὴν ἀρχὴν διακοσμεῖς, τῆς φρονήσεως τῷ μεγέθει πάντα περιτρέπων εἰς τὸ χρήσιμον, ὡς τῶν ἐξ αἰῶνος οὐδεὶς ἄμεινον. ἐῤῥῶσθαι δὲ καὶ ὁ λόγος τῷ φήσαντι νῦν μοι δοκεῖ, ὡς γνώμῃ καὶ φρονήματι καὶ ἀνδρίᾳ ψυχῆς τὰ πολλὰ τῶν πραγμάτων, ἀλλ' οὐ τῷ πλήθει τῶν ὑπαρχόντων κρίνεται. ὡς γὰρ εἴ τις ἄριστος μουσικὸς τὴν ἐν τοῖς φθόγγοις ἁρμονίαν, ἐντείνων μὲν τὸ τῶν χορδῶν ὅποι τετάσθαι δεῖ, χαλῶν δ' ὅποι τοῦτο βέλτιον, τά τε διαστήματα 1.337 μέτρῳ ποιούμενος κάλλιστον οἷον τὸ χρῆμα τῆς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ᾠδῆς κεράννυσιν· ὣς δὲ καὶ σὺ τῇ φρονήσει ἴσα καὶ ῥυθμοῖς τισι μουσικοῖς τὰ πράγματα διεξάγων τὴν διὰ πασῶν, ὡς εἰπεῖν, ἁρμονίαν ἁρμόζῃ, ὡς εἶναι συνᾴδειν πανταχόθεν ἑαυτῇ κάλλιστά τε ἔχειν καὶ ὡς ἂν πάντες πεισθεῖεν θεὸν εἶναι σαφῶς τὸν διὰ σοῦ τὰ τῇδε καθιστάμενον. οὕτω σὲ θεῖόν τινα καὶ ὑπὲρ ἄνθρωπον ἄνθρωπον πάντες νομίζουσιν ἄνθρωποι. φθάνεις γὰρ τῇ τοῦ νοῦ καθαρότητι τὰς τῶν ὑπηκόων ἁπάντων διερχόμενος διαθέσεις καὶ γνώμας καὶ ὅποι μάλιστα τείνουσιν ἀρετῆς ἢ κακίας κάλλιστα διαγινώσκων· κἀντεῦθεν ἁρμόζεις, ὡς εἴρηται, σαυτὸν ὡς δεῖ τοῖς πᾶσιν ἀνθρώποις· καὶ κυβερνᾷς, κατὰ Πίνδαρον, τὰν πολύστροφον γνώμαν ἑκάστων καὶ διατίθης ὅποι ἂν σχοίη τὰ πράγματα βέλτιστον. γνώριμον δ' εἴη παντί που, ὡς οὐκ ἄν ποτε Θεμιστοκλῆς πρὸς φήμης ἤλασε τοσοῦτον, εἰ μὴ Ξέρξης ἤλασεν ἐφ' Ἕλληνας. οὐκ ἂν δὲ Μιλτιάδης ἐκεῖνος οἶμαι ἐς ὄνομα ἤγετο, εἰ μὴ Περσικοὶ σατράπαι καὶ τὰ τῆς Ἀσίας ὅπλα πρὸς Ἀττικὴν καὶ Μαραθῶνα διέβαινον πρότερον. ἀλλ' εἶχον ἂν τὴν ἀρετὴν θαλαμευομένην, ὡς εἰπεῖν, καὶ ἀτεχνῶς ἐν ἀδήλῳ κειμένην, ὥσπερ οἱ θησαυροί. καὶ σοῦ δὲ τὴν οὐρανοῦ ψαύουσαν φρόνησιν κατίδοι ἄν τις ἐκ μυρίων μὲν καὶ ἄλλων· ἐπεὶ δὲ καὶ ὁ καιρὸς ἀντέπνευσε μὲν, οὐκ ἀνεσόβησε δέ σου τὰ πράγματα, πάσης βασάνου σαφέστερον τοῦτ' ἂν εἴη δεῖγμα, ἀκιβδήλῳ φάναι χρυσῷ κατεσκευάσθαι σου τὰ τῆς διανοίας. πολλοῦ γὰρ τὰ πράγματα εἰληφὼς διατρέχοντος κυκεῶνος, οἷος ἂν διαδράμοι νεφέλας ὁπηνίκα εἴη στροφῶν ἀπαρκτίας καὶ μικροῦ πάντων ἐθνῶν ἐφ' ἡμᾶς κινουμένων οὕτω 1.338 σφοδρῶς, ὥσπερ οὕς φασι καταράκτας Νείλου, μόνος αὐτὸς τὰς ἐμβολὰς ἐς σεαυτὸν ἀναδεχόμενος ἑστῶτι φρονήματι, παραπλησίως προβλῆτι πολλῶν προσρηγνυμένων κυμάτων ἀκυμάντῳ μένοντι, οὕτω καὶ βουλεύῃ καὶ διατίθης, ὡς οὐδ' ἔνι οὐδενὶ τῶν ἁπάντων ἐνθυμηθῆναι πρὶν τελεσθῆναι· οὕτω μὴν ῥᾳδίως, ὥστ' ἔργον εἶναι μᾶλλον οἷς ἔνι πειρωμένοις λόγῳ διεξιέναι ἢ σοὶ ἔργῳ πληροῦντι· ὡς ἐξεῖναι, εἴ τις βούλοιτο διαμετρεῖν ὅσα τε λόγοις, ὅσα δὲ καὶ ἔργοις, φρονήσεως γέμουσιν ἑκατέροις, ἐπιτελεῖς τρόπαια, ἡμέρας ἑκάστης ἀριθμοῦντι τὰς ὥρας πάνυ τοι σφόδρα ποιεῖν εἰκός. μηδὲ γὰρ εἶναι μηδεμίαν, ἥτις παρέλθοι σῶν ἢ λόγων ἢ ἔργων καλλίστων ἄμοιρος. σοῦ γὰρ καὶ φθέγμα ἓν ἐκμειλίσσει καὶ περιτρέπει ἐς τὸ πρᾶον καὶ τὸν σφόδρα ἀμείλικτον καὶ ἐκτεθηριωμένον εὖ μάλα ἄνθρωπον, ῥᾶον ἢ λέγεται τὸ τοῦ Σαὺλ δαιμόνιον ἡ τοῦ Δαβὶδ κινύρα. ὡς νῦν γε σοῦ χάριν σχολὴν ἄγομεν φόβου παντὸς ἡμεῖς. ἐν γὰρ τῇ πρύμνῃ τῶν καθ' ἡμᾶς, ὡς εἰπεῖν, πραγμάτων καθήμενον ὁρῶντές σε καὶ διαγρυπνοῦντα ἐπιμελῶς ἔκ γε τῶν προλαβόντων παρεσκευάσμεθα καὶ τὰ τέως προσδοκηθέντα δεινὰ πρὸ τῆς πείρας ἀεὶ παρακρούεσθαι γενησόμενα πάντ' εἰδότες τῆς σῆς διανοίας τρόπαιον. καὶ μέχρι τούτου τάχ' ἄν τινες ἀθυμήσαιεν, μέχρις ἂν ποιήσωσι τὴν ἀρίστην σου σύνεσιν ἐνθύμιον· ἔπειτα ἔδοξας ὡς ὑφ' ἡλίῳ καομένοις ζέφυρος. ἔλαθον δ' ἄρα ἐμαυτὸν ἔγωγε εἰς τὰς ἀβύσσους τῶν σῶν κατὰ βραχὺ καθιεὶς πλεονεκτημάτων; τοῦτο δ' ἦν δήπου, ὅπερ 1.339 ἀπελεγόμην τοῦ λόγου ἀρχόμενος, σαφέστατα πάντων ἀποροῦντα αἰσθόμενος αὐτὸς ἐμαυτόν. καὶ γὰρ ᾤμην μικράττα εἰπόντι καὶ ὅσα ἀρκεῖν εἶναι χρέους ἔκτισιν μηκέτ' εἶναι πλημμελὲς τῶν γ' ἑξῆς, εἰ βουληθείην, ἀποστατεῖν. παρῆλθε δή με, ὡς πρᾶγμα ποιῶν εἴην τῆς ἐμῆς τὰ μέγιστα γνώμης καταψευδόμενον. περὶ γάρ τοι τοῦ μεγίστου χρήματος τῆς σῆς φρονήσεως προθέμενος λέγειν, πλὴν τῶν ἔργων δι' ἧς ταῦτα πράττεται καὶ ᾗ ἕπεται ὥσπερ ὁλκάδι ἐφόλκια, προσόμοιον ἔγνων ποιεῖν, ὥσπερ ἂν εἴ τις ὁρμαθοῦ τινος ἄκρου λαβὼν τῇ χειρὶ, ἔπειτα ἐνόμισεν ὑφαιρεῖσθαι τουτὶ ἥκιστα τοῦ ἐφεξῆς κινηθησομένου. τόδε δ' ἦν ἂν ἀβουλίας μεστὸν, ὥσπερ δὴ καὶ τοὐμὸν τουτί· οὐ μὴν οἷόν τ' οὐκ ἔχειν παραίτησιν, εἰ μή τινες κἀκείνου τὴν συγγνώμην ἀτεχνῶς ἀφαιροῖντο, εἴ τις ἀπειροθάλαττος ὢν, ἔπειτα περιπολοίη μὲν τὰς ἀκτὰς, ἐς δὲ τὰ τῶν πελαγῶν ἀμήχανα οὐκ ἐθέλοι οὐδαμῇ οὐδαμῶς ἐφεῖναι. ἀλλὰ γὰρ οὖν τῶν


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

εὐλόγων εἶναι κἀμοὶ δοκεῖ τῶν σῶν ἀγαθῶν, ὡς εἰπεῖν, τὰς ἀκτὰς παραπλεύσαντα ὥσπερ ἐξῆν εὐχῇ τὸν λόγον ἐνορμίζειν. ὁ τῇδε τῇ ἀρχῇ καὶ τῷ τοιῷδε χρόνῳ μάλα προσφυῆ καὶ προσήκοντα ἀναφήνας σὲ θεὸς αἰῶνι παντὶ συνδιαμετροίη σοῦ τε καὶ τῶν ἐκ σοῦ τὸ βασίλειον κράτος,

ὡς ἂν καὶ ἡμῖν εὐδαιμονεῖν εἴη μέχρι διαπαντός."2 θ΄. Ἐμοὶ μὲν οὖν ταῦτα διεξιέναι τῷ τηνικαῦτα ξυμβέβηκε. τοῦ δὲ χρόνου προβαίνοντος ἐς τὸ πρόσω παρὰ τοσοῦτο πλείονα τὴν αὐτοῦ διάθεσιν ἀεὶ καὶ εὐμένειαν ἐκαρπούμην, παρ' ὅσον καὶ 1.340 τὸν χρόνον ἐς τὸ πρόσω προβαίνειν ξυνέβαινεν. ὥστε καὶ ἐς τὰς τῶν ἱερατικῶν με τῆς ἐκκλησίας πρώτας τιμὰς ἀνάγειν ἐσκέπτετο. ἤδη δὲ καὶ ὥσπερ ἀῤῥαβῶνά τινα τὴν τοῦ χαρτοφύλακος ἀξίαν ἔν γε τῷ παρόντι ἠνάγκαζε δέξασθαί με, ἵν' εἴη τις τοῦτ' εὐπρόσωπος αὐτῷ ἀφορμὴ πρὸς τοὺς βασκαίνοντας καὶ ὑπ' ὀδόντα λοιδορουμένους αὐτῷ τῆς ἡμετέρας εἵνεκα τιμῆς, ἧς παρ' αὐτοῦ λαμπρῶς εὐθὺς ἐκαρπούμην, μήτε χρόνον προεισενεγκών, ὡς ἔθος τοῖς πλείστοις, μήτε τινὰ πολιὰν τρίχα, μήτε τινὰ τιμὴν ἱερατικήν. ηὐτρέπιζε δέ μοι ἤδη, ὡς ἐφ' ἑτοίμῳ τῷ πράγματι, καὶ ἃ τῇ ἀξίᾳ προσήκοντα ἦσαν ἐνδύματα. ἐγὼ δ' ἐς τὴν ἐμαυτοῦ νεότητα ἀπιδὼν καὶ τὴν τῶν τοιούτων ἀωρίαν πραγμάτων παρελθὼν ἔλεξα τοιάδε. (Β.) "1Περὶ μὲν ἐμαυτοῦ καὶ ὡς οὔπω μοι καίρια τὰ τῆς ἱερατείας βραχύν τινα ἀποχρήσειν μοι δοκῶ τὸν ἀπόλογον. ὅ,τε γάρ μοι χρόνος οὔπω ὡραῖος πρός γε τὰ τοιαῦτα· καὶ μέντοι γε καὶ οἱ τῆς ἡσυχίας καὶ τῶν λόγων μανιώδεις καὶ λελυττηκότες ἔρωτες ἡβῶσιν ἔτι παρ' ἐμοὶ καί με μὴ, πρὶν εἰς κόρον ἐξήκειν, παρήσειν διϊσχυρίζονται. τότε γὰρ καὶ τὰ τῆς διανοίας τὸ ἄφετον ἕξειν καὶ ἀποχρῶν πρὸς θεοῦ λειτουργίαν. τὸ δὲ νῦν ἐμβριθεστέραν εἶναι τὴν τῶν μυστηρίων τόλμαν, ἢ ὡς ἐμέ γε ἐνεῖναι ῥᾳδίως ἐνέγκαι, τοῦτο δ' οὖν εἰ μή τῳ δὴ τῶν πάντων ἄλλῳ, ἀλλὰ γὰρ εἴ τι τῶν ἁπάντων ἄλλο καὶ τοῦτο δὴ τῶν πάνυ τοι προδήλων ἔμοιγε. ὁπόσην γὰρ ἐχρῆν τοῦ πράγματος τὴν πεῖραν, τόσην, ὡς εἰπεῖν, ἀσκῶ τὴν ἀπειρίαν ἐν γοῦν τῷ παρόντι. τὸ δ' οὕτως ἔχοντ' ἀμαθῶς κατατολμᾷν τῶν θείων καὶ ἀψαύστων, ὅμοιον ὂν ὥσπερ ἂν εἴ τις ἐπεπήδα θαλάττῃ, πρὶν 1.341 ἢ μαθεῖν διανήχεσθαι, οὔθ' ὑγιὲς ἥγημαι καὶ οὐδὲ πλείστου δέω θαυμάζειν, εἴ τις ἀνάσχοιτό ποτε τοσαύτην τόλμαν ἀνασχέσθαι λογισμῷ καθεστηκότι πλήττων ἑαυτόν. ποίων μὲν γὰρ οὐκ ἂν εἴη πρηστήρων, ποίων δ' οὐκ ἂν θαλαττίων πυθμένων τὸ πρᾶγμα ἐπάξιον; εἶεν. τό γε μὴν πρὸς ἐμὲ εὐμενὲς καὶ κηδόμενον τοῦ σοῦ κράτους καὶ πρὸς εὐποΐας πάνυ τοι σφόδρα ἐπικλινὲς καὶ ὀξύῤῥοπον, εἴπερ δή τι τῶν ἁπάντων ἕτερον καὶ τοῦτο δ' ἐν τοῖς μάλιστα ἔγωγε ἄγαμαι· καὶ οὐκ ἔχω παντοδαπὸς γιγνόμενος τίσι χρησάμενος ἐπινοίαις γνοίην ὅπως ποτὲ καὶ οἷστισι τοῖς αἰτίοις αὐτὸς χρησάμενος, ὦ βασιλεῦ, τοιοῦτός μοι γίγνῃ. ἀλλ', ὡς ἔοικε, πρὸς τὸν κοινὸν δεσπότην ὥσπερ πρὸς ἀρχέτυπον εὐφυῶς ἁμιλλώμενος οὐκ ἀναμένεις αἰτίας ἀεὶ περὶ πᾶν ἀγαθόν· ἀλλὰ πὴ μὲν, πὴ δ' ἀναίτιος γίγνῃ καὶ σφόδρα φιλότιμος εὐεργέτης. ὃ δὴ καὶ μάλιστα πάσαις ἀρχαῖς οἰκειότατόν τε καὶ πρεπωδέστατον. τὸ γὰρ προϋπηργμένης αἰτίας εὐεργετεῖν οὐ μᾶλλόν γ' ἂν εἴη τοῦ δρῶντος, ἢ τοῦ τὴν αἰτίαν προβεβλημένου. καὶ νῦν γέγονέ σοι τὸ τῆς ἕξεως φύσις ἀμεταβλήτως ἔχουσα· καὶ ὥσπερ ἕκαστα τῶν ὄντων τὸ τῆς φύσεως ἴδιον αὐτομάτως ἀποτελεῖ καὶ ὑγραίνει μὲν ὕδωρ, κάει δὲ πῦρ καὶ τἄλλα ὡς ἡ φύσις ἑκάστῳ κεχειροτόνηκεν, οὕτω δίεισι τὸν πάντα αἰῶνα διατελοῦντα, οὐδαμῇ οὐδαμῶς οὐδεπώποτ' οὐδεμιᾶς ἀποχειροτονῆσαι δεδυνημένης τροπῆς, οὕτω δὴ καὶ αὐτὸς πεφυκὼς πρὸς εὐεργεσίας τοῦτο καὶ λόγοις καὶ πράγμασιν, οἱονεί τι φύσεως ἄτρεπτον καὶ ἀκήρατον ἴδιον, οὐδέποτε οὐδαμῇ διαλείπεις διατελῶν. ἔνθεν τοι καὶ χάριτας ἁπάσας ἐθέλων ὁμολογεῖν, ἔπειτα τὸ πρὸς ἀξίαν οὐκ ἔχων 1.342 οὐχ ἧττον ἐμαυτοῦ γε τῷ τε λόγῳ καὶ τῷ χρόνῳ νεμεσῶ. δυοῖν γὰρ κατ' οὐδὲν οὐδέτερος ἐσάπαν ἀνέγκλητος ἔμοιγε φαίνεται. ὅ,τε γὰρ λόγος ἀνώτερος ὢν τῆς ὕλης καὶ προσήκων μᾶλλον ἀρεταῖς ἐδόκει δή μοι μηδ' ὀψὲ τοῦ χρόνου μὴ τροπῇ μηδὲ φθορᾷ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τινι λατρεύσειν, ἀλλ' ὁμοίως ἔχειν ἐν παντὶ διαπαντὸς τὴν τῶν πραγμάτων φύσιν ἀποφαίνειν ἀποχρώντως· ὁ δὲ λέληθεν ἤδη μεταβαλὼν καὶ αὐτὸς, ἐπειδὴ σοί γ' ἐντετύχηκε τῷ μακρῷ θησαυρῷ τῶν καλῶν. οὕτω γὰρ ἀσθενῶς ἔσχεν, ὥστ' οὐδένες τῶν αὐτῷ χρωμένων ὕμνησαν πρὸς ἀξίαν τὰ σὰ, πάλαι πολὺν ἤδη χρόνον πειραθέντες τε καὶ πειρώμενοι. οὔκουν οὐδ' αὐτὸς θαῤῥήσας ἧκον, ὡς τῆς ἀξίας ἴσως δυνησόμενος ἐφικέσθαι. καίτοι γε ἐβουλόμην γ' ἂν μᾶλλον, ἢ πάντα μοι ἐγγενέσθαι χρήματα. μεγίστην γὰρ ἂν οὕτω τοῖς ἐμοῖς παρεῖχον λόγοις τὴν εὐγένειαν, ὥσπερ ἄρα καὶ ταῖς ἑαυτῶν χερσὶν οἱ τῶν ἱερῶν μυστηρίων ἁπτόμενοι· ἀλλὰ πολλῶν τῶν ἐκ τῆς παροιμίας ἡμῖν ἀδυνάτων ἐν ταῖς βίβλοις κειμένων ἕν τι τῶν πολλῶν καὶ τοῦτο κινδυνεύει καὶ εἶναι καὶ λέγεσθαι. ἐνταυθοῖ δὲ τοῦ λόγου γενόμενος ἀνεμνήσθην τοῦ Ἀττικοῦ μύθου, ἐν ᾧ τὸν Μῶμον ἀχθόμενον εἰσάγει τῷ Διῒ καὶ ἀποσκώπτοντα, ὅτι μὴ συμπαρήγαγε τῷ τοσῷδε καὶ τοιῷδε κάλλει τοῦ παντὸς καὶ τὸν ἄξιον τοῦ παντὸς ἐπαινέτην. κατὰ ταὐτὰ γάρ μοι καὶ αὐτῷ καὶ ἀποσκώπτειν ἐπῄει καὶ ἄχθεσθαι τῷ χρόνῳ νυνί. εἴπερ καὶ γὰρ ὡς τοσούτων ἀγαθῶν ἔμπλεων προήνεγκεν ἄνθρωπόν σε καὶ οἷον οὐ μέχρι σοῦ ὁ δὲ καὶ τοὺς ὑμνήσοντας ἀξίως συμπροήνεγκε, πάνυ γ' ἂν ἐποίει δεδογμένα 1.343 τῷ προσήκοντι λόγῳ. νῦν δ' ἐξ ἡμισείας φιλοτιμεῖται τὰ κάλλιστα. πάλαι μὲν γὰρ ἐδείκνυ τῶν σοφῶν τὴν φορὰν ἐρήμην ἀξίων πραγμάτων, νῦν δὲ τὰ θαύματος ἄξια προενεγκὼν ἔλαθε καὶ τοὺς ὑμνήσοντας ἀξίως συμπροενεγκεῖν, ἄτακτά γε ποιῶν καὶ ὡς ἀληθῶς ἐπάξια τῆς ἑαυτοῦ φύσεως. ἐπίσης γὰρ ἀπολαύουσι τοῦ ἀτελοῦς καὶ λόγοι, τῶν δεξομένων πραγμάτων οὐκ ὄντων· καὶ θαυμάτων ἐπάξια πράγματα, τῶν θαυμασόντων οὐκ ὄντων, οὐδὲ παραπεμψόντων τοῖς ἑξῆς. ὡς νῦν γε μόνοι τῷ χρόνῳ τὴν χάριν ἐχόντων, ὧν οἷον κλέος ἀκούομεν ἐπί τε τῇ φρονήσει καὶ τοῖς ἄλλοις μέρεσι τῆς ἀρετῆς, εἰωθότι μετά γε τῆς φήμης ἐπὶ μέγα αἴρειν τὰ πράγματα· συναπιόντος μὲν τοῦ παρευθὺς ἐλέγχου τῷ θνήσκοντι· συναπιόντος δὲ καὶ τοῦ ἐκ τῆς συνηθείας ἐγγινομένου κόρου τοῖς πράγμασι. φιλεῖ γάρ πως τὸ μὲν παρὸν ἀεὶ πρὸς κόρον ἀποκλίνειν καὶ μαραίνειν τὸ τερπνὸν διά τε δὴ τὸ πλείοσιν αἰσθήσεσι καὶ συνεχῶς εἰς τὸ τοῦ νοῦ συμφέρειν ταμιεῖον καὶ ἔτι διὰ τὸ τῆς ἐξουσίας τοῦ χρῆσθαι ἀκόλαστον· ὥσπερ αὖ ἐκ τοὐναντίου τὸ παρῳχηκὸς ἀκόρεστον ἀεὶ διατελεῖ διά γε τὸ σπανίως καί ποτε προσβάλλειν τῶν αἰσθήσεων μιᾷ τινι τῇ ἀκοῇ καὶ μόνῃ. καὶ μέλιτος μὲν γὰρ καὶ κρεῶν καὶ ὅσα πλουσίας τραπέζης εἰσὶν ἀναθήματα εἰς κόρον ἀπολελαυκώς τις ἐπεθύμησεν ἤδη καὶ τυροῦ καὶ θύμου· οὐχ ὅτι ταῦτα κρείττω ἐκείνων· ἀλλ' ἔδοξαν ἤδη διὰ τὸ σπάνιον τοῦ κεχρῆσθαι. εἰ δ' οὕτω ταῦτα καὶ κόρος ἀεὶ τοῖς παροῦσιν εἶναι ὁμολογεῖται, τὰ δὲ σὰ καὶ παρόντα 1.344 διὰ μακροῦ τοῦ χρόνου καὶ βλεπόμενά τε καὶ ἀκουόμενα κόρον οὐδένα τοῖς κεχρημένοις ἡμῖν οὐδεπώποτε ἐμποιοῦσιν, ὅτι μὴ καὶ πρὸς ἔρωτας ἐξάπτουσι μείζους, ὥσπερ τὰ τῶν ποταμῶν ῥεύματα τοὺς πολλῷ τῷ δίψει καιομένους, ἧπου γε καὶ τὰ παροιμιώδη τῆς γραφῆς νενίκηκας μετὰ πολλοῦ τοῦ κρείττονος. οὐ γὰρ γεγηρακότων ἀνελίττειν ἔχει τις πραγμάτων κύκλους ἐπὶ σοῦ, οἷς ἔξεστι δή που συνείρειν καὶ μυθικά τινα γοητεύματα τρυφῶντα κατὰ τῆς ἀληθείας (μὴ τοῖς λόγοις ἴσως ἀποχρώσης τῆς ἐκ τῶν πραγμάτων ὕλης) καὶ ταὐτὰ τοῖς ναυτικοῖς ἐξ ἀπορίας δρᾷν, οἳ μὴ ἐξικνουμένων τῶν φόρτων ἄμμων θαλαττίων τὰ κενὰ πληροῦσι τῆς ὁλκάδος· ἀλλ' ἐν θεάτρῳ κεῖνται πᾶσιν ὀφθαλμοῖς καὶ πάσαις ἐκβοῶνται γλώσσαις καί εἰσιν οὐδένων ἐγκωμίων ἔκδημα· μόνην δ' ἀπαιτοῦσι γλῶτταν τρόφιμον Ἀκαδημίας καὶ Στοᾶς καὶ λύχνων Δημοσθενικῶν ἀπόζουσαν. πασῶν γὰρ ὅσαι νῦν εἰσὶν ἐν λόγοις γλῶσσαι πάλαι πολλήν τινα κατεψηφίσαντο τὴν ἧτταν τῶν σῶν ἀγαθῶν αἱ πηγαί. ὥστ' οὐκ ἄτοποί τινες οὐδ' ἡμεῖς ἂν φανείημεν, εἰ τὴν γλῶτταν σχάσαντες τοῦ λέγειν ὄψει μόνῃ γε τῶν σῶν κατατρυφῷμεν. τούτου γὰρ εἵνεκα καὶ πλείοσι τοῖς αἰσθητηρίοις πρὸς τὴν τοῦ ἡμετέρου νοῦ κεχρήμεθα βελτίωσιν, ἵνα μηδὲν ἡμᾶς


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΠΤΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

διαδιδράσκῃ τῶν ἐν τῷ κόσμῳ, ἀλλὰ τὴν ἧτταν θατέρου θάτερον ἀνακτᾶται. ἃ μὲν οὖν τῶν καλῶν ἀμφισβητησίμως πορεύεται πρὸς τὴν ἀκοὴν, εἰκότως ἂν καὶ ἑρμηνέα ζητήσειε λόγον. ἃ δὲ ἐπ' ὄψεσι κεῖται καὶ οἱονεὶ φωνὴν ἀνεκλάλητόν τινα προϊέμενα τὴν ἑαυτῶν ὑπὲρ πάντα λόγον κηρύττει λαμπρό 1.345 τητα, σχολῇ γ' ἂν ἑρμηνέα ζητήσειε λόγον. εἰ δέ τις ζητοίη, ὅμοιον ἂν ποιοίη, ὥσπερ ἂν εἴ τις ἐν σταθερᾷ μεσημβρίᾳ τὸν ὑπὲρ κεφαλῆς ἠξίου δεικνύειν ἥλιον διὰ σμικροῦ τινος ἄνθρακος. ἄλλως τε καὶ τὰ τῶν πραγμάτων ὑπερφυᾶ καὶ λόγου νικῶντα δύναμιν σιγῇ μᾶλλον ἁρμόττει θαυμάζειν· εἰ δ' οὖν λήσομεν ἀντ' εὐδοξίας ἀδοξίαν πράττοντες αὐτοῖς. ἰδοὺ γὰρ ὑπερφυές τι χρῆμα τῶν οὐρανίων καὶ ἥλιος καὶ ἄμαχόν τινα δίεισιν ἐπισυρόμενος τὴν ἑαυτοῦ λαμπρότητα. ἀλλ' οὐδείς πω μέχρι καὶ τήμερον κατὰ τοὺς τῶν ἐγκωμίων ἐθάῤῥησε νόμους εἰς προὖπτον ὑμνῆσαι κάλλος αὐτοῦ καὶ μέγεθος καὶ τερπνότητα. μηδὲ γὰρ ἔχων ὅτῳ τις παραθείη τῶν ἐν κόσμῳ, πολλοῦ ἂν δεήσειε σαφῶς τι ἀγγέλλειν περὶ ἡλίου. πολλῷ δὲ δήπου πλείονος ἢ μᾶλλον τοῦ παντός γε δεήσειε πᾶς τις ἁρμοττούσῃ γλώττῃ διεξιέναι τὰ σὰ, ὃς ἅπαντα τῶν ἐν ἀνθρώποις τὰ κάλλιστα καὶ ὑπερφυᾶ συλλήβδην ἔχεις συλλαβών. καὶ μὴν εἰ μὲν ἀπὸ σοῦ γε ἦσαν ἠργμένοι τῶν ἐγκωμίων οἱ νόμοι, οὐ μόνον ποικιλώτεροι ἂν ἐγίγνοντο καὶ πλείους τῇ τέχνῃ παρεῖχον τὰς ἀφορμάς· οἱ δ' αὐτοὶ καὶ νεαρώτεροί σοι προσβάλλοντες καὶ ἀκίβδηλοι οὐ τελέως ἂν ἐνδεῖν ἐδόκουν τοῦ εἰκότος. νυνὶ δὲ καθάπερ ῥόδον μαλαχθὲν καὶ ἀπολέσαν τὴν ὥραν ἐν οἷς οὐκ ἐχρῆν ἄλλοις μὲν δή τισι φανεῖεν ἂν ἴσως οὐκ ἀξυντελεῖς· σοὶ δ' οὕτω καὶ πάνυ τοι σφόδρα ἀξυντελεῖς, ὥσπερ τοῖς ἀεροβάμοσι πτηνοῖς τὰ ἐκ τῶν λίνων ἐνδύματα. ὥστε μοι διαποροῦντι καὶ ἥκιστα δυναμένῳ πρὸς ἄξιον ἀναφέρειν τὸν λόγον παράδειγμα χρῆσθαι ἔπεισι πολλῷ τοῦ δέοντος ἐνδέοντι. 1.346 τοιαῦτα γὰρ τὰ τῶν ἀνθρώπων πράγματα, πὴ μὲν εὐποροῦντα, πὴ δ' ἀποροῦντα καὶ ἀεὶ ἄλλοτ' ἄλλως ἔχοντα. ὅθεν καὶ οὐχ ἁπλῆ τις, ὅτι μὴ καὶ μάλα γε πολύτροπος ἡ τούτων θεραπεία. ἐντεῦθεν εἰς παροιμίαν καὶ ὁ δεύτερος πλοῦς ἐξενήνεκται· καὶ τῶν πρώτων ἀποτυγχάνοντες δευτέρων ἁπτόμεθα καὶ τρίτων ἴσως. συγγένεια γάρ τις ἥκει διὰ πάντων καὶ ὁμοιότης, ἅτ' ἐκ τῶν στοιχείων, ὥσπερ ἐκ μιᾶς τινος μητρὸς καὶ ῥίζης εἰληφότων τὴν τοῦ εἶναι σύστασιν. ἰδοὺ γὰρ καὶ λαμπάσι καὶ πυρσοῖς κεχρήμεθα, ἕως ἐν μὲν στερήσει τῆς τὰ πάντα βοσκούσης λαμπάδος, οἱονεί τινα δεύτερον ἐκ μηχανῆς ἥλιον πράττοντες τῇ νυκτί. καὶ αὐτὸν δὲ τὸν πάντα κόσμον εἰκονίζειν ἐθέλοντες καὶ κύκλους καὶ κινήσεις οὐρανοῦ καὶ ὡς ἔχει σχήματος εἰς τὰ περίγεια, μικροῖς τισι σώμασι σφαιρικοῖς ὑποφαίνομεν. ἂν δὲ καὶ πρὸς ζωγράφων τέχνας ἀπαγάγωμεν τὸν λόγον, ἐνταῦθα δὴ καὶ ἀφθονίαν εἰκόνων καὶ παραδειγμάτων εὑρήσομεν καὶ σκηνὴν ὡς ἀληθῶς ὑποκρίσεως γέμουσαν καὶ ἀμωσγέπως τοῖς χρώμασιν ἐπιπλανωμένας ἔχουσαν τἀληθοῦς τὰς ἐμφάσεις. τά τε γὰρ ἄλλα καὶ τὸν τοῦ παντὸς ὑποκρινόμενοι δημιουργὸν ἐκεῖνοι, ἔπειτα μήτε πνοὴν αἷς δημιουργοῦσι σκιαῖς δεδυνημένοι χαρίζεσθαι, μήτε ζωογόνον τοῖς σπέρμασιν ἥλιον, παίζουσιν οἱονεὶ ταῖς ὕλαις καὶ τοῖς χρώμασι· καὶ τῇδε μὲν ἐκ γῆς ἀνάγουσι τὸν σῖτον δῆθεν ἔτι χλοάζοντα καὶ γαλακτοτροφούμενον, τῇδε δ' αὖ τελεσφόρον δεικνύουσι, μήθ' ὑπὸ καλάμῃ καὶ φλοιῷ καὶ ἀνθέριξιν ἔτι καλύπτεσθαι θέλοντα καὶ μονονοῦ τὸ δρέπανον προκαλούμενον· καὶ ταῦτα 1.347 ποιοῦσι μήθ' ὥραν περιμένοντες, μήτ' ἄστρων ἐπιτολάς τε καὶ δύσεις, ἀλλὰ μιᾶς ἡμέρας ἐνίοτε βλάστην τε σίτου καὶ ἅλωνος ὥραν δεικνύντες. καὶ ἡμεῖς τοιγαροῦν μὴ δυνάμενοι τἀκριβοῦς ἐν τῷ παρόντι κατευστοχεῖν δεύτερον μέτιμεν πλοῦν· καὶ παραδείγμασι κεχρήμεθα πρὸς ἀληθείας ἔνδειξιν οὐ μάλα μὲν ἀξίοις, μάλα δ' ἀπὸ γνώμης ἀκιβδήλου. νῦν γὰρ ἔδει κατ' οὐρανὸν τοὺς μεγέθει καὶ κάλλει διαπρεπεῖς τῶν ἀστέρων ἐφ' ἕνα τινὰ τοῦ οὐρανίου ξυνεληλυθότας σώματος τόπον διαζωγραφῆσαι καὶ ἀσφαλέστατα ἐγχαράξαι τῶν σῶν γνωρισμάτων τὰ κάλλιστα, ἵν' ὥσπερ τὴν τοῦ θεοῦ διηγοῦνται δόξαν οἱ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

οὐρανοὶ, οὕτω καὶ τὸ σὸν διατρανοῦντες εἶεν μνημόσυνον ἐν πᾶσι τοῖς αὐτῶν ἐξελιγμοῖς ἀεὶ καὶ περιφανέστατον αὐτοκρατορίας ἀρχέτυπον σὲ τοῖς ἐφεξῆς προβαλλόμενοι. νῦν ἔδει πάντας ἀνθρώπους ἐφ' ἕνα τινὰ τοῦ ἐπιγείου ξυνεληλυθότας σώματος τόπον εὐχήν τινα μίαν ταύτην ποιήσασθαι πρὸς τὸν παρασχόμενόν σοι τὸ βασιλεύειν, δι' αἰῶνός σοι καὶ τὸ ζῆν παρασχεῖν καὶ διαμένειν διδάσκαλον τῶν ἐθελόντων ἄρχειν ἑκασταχοῦ, οἷα γυμναστήν τινα πάσης ἀρετῆς καὶ παγκόσμιον Ἑλλανοδίκην. νῦν ἔδει πᾶσαν ἀνθρωπίνην γλῶτταν τὴν ἐμὴν ἀνειληφέναι γνώμην, πρύτανιν τῶν λεγομένων, ἵνα ἦν ἐντεῦθεν καὶ κοινή τις τελετὴ καὶ πανήγυρις καὶ συμφωνία παγκόσμιος ὑπὲρ σοῦ καὶ τῶν σῶν. οὐκοῦν ἀλλ' ἐπειδήπερ ἐν τῷ παρόντι ἡμῖν ὡμολόγηται, μεῖζον ἢ κατὰ λόγου δύναμιν εἶναι τῶν σῶν ἐγκωμίων τὸ μέγεθος καὶ οὐδὲ πολλαῖς γλώσσαις ἁλώσιμον, εἰ τὴν ἀξίαν ζητοίη τις, λοιπὸν ἂν εἴη καταλύειν ἐνταῦθα τὸ τῆς 1.348 γνώμης καὶ ἄκοντας πρόθυμον. μανία γὰρ σαφὴς ἂν εἴη τὸ τοῖς ἀδυνάτοις ἄντικρυς ἑκόντας ἐγχειρεῖν."2 (Γ.) Ἐμοὶ μὲν οὕτω τὰς διδομένας ἀπηγορευκότι τιμὰς βίαν ἐπενεγκεῖν ὁ βασιλεὺς ἠβούλετο μὲν, δεῖν δ' ὅμως οὐκ ἔκρινεν· ἀλλ' ἡσύχασε ταμιευσάμενος εἰς ἕτερον τὸ πρᾶγμα καιρόν. ιʹ. Κατὰ τοῦτον τὸν χρόνον τῇ Κωνσταντινουπόλει κατὰ πάροδον ἐπιδεδημηκότας ἐθεασάμεθα θαυματοποιόν τινα τέχνην ἐξησκημένους ἄνδρας οὐ μείους τῶν εἴκοσιν· οἵους οὐδείς πω τῶν ἡλικίᾳ προβεβηκότων οὔτ' ἀκοῇ ἔσχεν, οὔτ' ὄψει τεθέαται. οὓς πρῶτα μὲν ὁρμηθέντας ἐξ Αἰγύπτου καὶ ὥσπερ τινὰ κύκλον ποιησαμένους διελθεῖν ἐξεγένετο πρὸς μὲν ἕω καὶ ἄρκτους τὴν ὁδὸν ποιουμένους, Χαλδαϊκήν τε καὶ Ἀραβίαν καὶ Περσικὴν Μηδικήν τε καὶ τὴν τῶν Ἀσσυρίων γῆν· πρὸς δ' ἑσπέραν ἀποκλίναντας τὴν περὶ τὸν Καύκασον Ἰβηρίαν Κολχικήν τε καὶ Ἀρμενίαν, καὶ ὅσα μέχρι Βυζαντίου μεταξὺ κατοικοῦσιν ἔθνη, καὶ πάσαις χώραις καὶ πόλεσι τὴν ἑαυτῶν ἐπιδείξασθαι τέχνην. τὰ μέντοι τελούμενα ὑπ' αὐτῶν τερατώδη μὲν ἦσαν καὶ θαύματος πλήρη, οὐ μὴν δαιμονικῆς τινος μαγγανείας μέτοχα, ἀλλ' ἐπιτηδεύματα φύσεως δεξιᾶς, ἐγγυμνασθείσης ἐκ πλείονος ἐς ἔργων τοιούτων ἄσκησιν. ἵνα δ' ὡς ἐν κεφαλαίῳ τινὰ τῶν πολλῶν διεξέλθωμεν, ἦσαν τοιάδε. (Β.) Ὁλκάδος ἱστούς τινας δύο καὶ τρεῖς λαμβάνοντες καὶ ὀρθίους ἐπὶ δαπέδου τινὸς ἱστῶντες καλωδίοις ἔνθεν κἀκεῖθεν ὑπήρειδον, ὅσον μὴ ἐπὶ θάτερα περιτρέπεσθαι. ἔπειτα σχοῖνον ἑτέραν ἐκ τῆς τοῦ ἑνὸς ἱστοῦ κορυφῆς ἐς τὴν τοῦ ἑτέρου 1.349 διέτεινον· καὶ πρὸς τούτοις ἕτερον σχοῖνον ἀπὸ κρηπῖδος ἄχρι κορυφῆς περιελίσσοντες βαθμίδας τινὰς ἑλικοειδεῖς ταῖς αὐτῶν ἀναβάσεσιν ἔπραττον, δι' ὧν ἀνιὼν εἷς ἐξ αὐτῶν ἵστατο ἐπ' ἀκροτάτῃ καὶ γυμνῇ τῇ κορυφῇ τοῦ ἱστοῦ, νῦν μὲν θατέρῳ τοῖν ποδοῖν, νῦν δ' ἄνω μὲν ἄμφω τοὺς πόδας πρὸς οὐρανὸν ἐξαπλῶν, τὴν δὲ κεφαλὴν κάτω πρὸς τῇ κορυφῇ τοῦ ἱστοῦ προσερείδων. ἔπειτ' ἐκεῖθεν ἅλματι χρώμενος αἰφνιδίῳ μιᾷ χειρὶ τῆς σχοίνου στεῤῥῶς ἐδράττετο καὶ ἐξήρτητο· καὶ πολλὰς οὕτω τὰς περιστροφὰς καὶ περιδινήσεις ἐποίει, ἄνω τε πρὸς οὐρανὸν καὶ κάτω πρὸς γῆν τοὺς πόδας ἐν βραχεῖ καὶ συνεχῶς περιστρέφων δίκην τροχοῦ. ἔπειτ' ἀντὶ χειρὸς κοίλῃ τῇ κνήμῃ τῆς σχοίνου δραττόμενος ἐξήρτητο κύμβαχος· καὶ οὕτως αὖθις ὁμοίως τὰς περιστροφὰς καὶ περιδινήσεις ἐποίει. ἔπειτα ὄρθιος ἐπὶ μέσης τῆς σχοίνου ἱστάμενος καὶ λαμβάνων τόξον καὶ βέλη κατὰ σημείου τινὸς ἐτόξευε πόῤῥω κειμένου· καὶ ἔβαλλεν οὕτω πάνυ τοι εὐστοχώτατα, ὡς οὐδ' ἐπὶ γῆς ἱστάμενος ἕτερος. ἔπειτα μύων τοὺς ὀφθαλμοὺς καὶ λαμβάνων ἐπὶ τῶν ὤμων παιδίον ἐναέριόν τινα τὴν πορείαν ἐβάδιζεν ἐπὶ τῆς σχοίνου ἐξ ἑνὸς ἱστοῦ πρὸς τὸν ἕτερον. καὶ ταῦτα μὲν οὗτος ἐποίει. (Γ.) Ἕτερος δ' ἐφ' ἵππου καθήμενος τρέχειν ἐμάστιζε· καὶ τοῦ ἵππου τρέχοντος ὄρθιος αὐτὸς νῦν μὲν ἐπὶ τῆς ἐφεστρίδος ἵστατο, νῦν δ' ἔμπροσθεν ἐπὶ τῆς τοῦ ἵππου χαίτης, νῦν δ' ὄπισθεν ἐπὶ τῶν τοῦ ἵππου γλουτῶν, εὐφυῶς ἀεὶ παραλλάττων τοὺς πόδας καὶ ὥσπερ ἱπτάμενος δίκην πτηνοῦ· νῦν δ' αὖθις ἀποβαίνων τοῦ ἵππου τρέχοντος καὶ τῆς οὐρᾶς δραττόμενος καὶ ἐναλ 1.350 λόμενος


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐπὶ τῆς ἐφεστρίδος αὖθις ἑωρᾶτο καθήμενος. κἀκεῖθεν 1.350 αὖθις χαλῶν ἑαυτὸν ἐκ θατέρου τῆς ἐφεστρίδος μέρους καὶ κάτωθεν διὰ τῆς τοῦ ἵππου κοιλίας περιστρεφόμενος εὐπετῶς ἐκ θατέρου μέρους ἀνῄει καὶ ἐπωχεῖτο αὖθις. τούτοις δ' ἀσχολῶν ἑαυτὸν οὐδὲ τοῦ τὸν ἵππον πρὸς δρόμον ἐπείγειν ἠμέλει τῇ μάστιγι. ταῦτα μὲν δὴ καὶ οὗτος τῶν τερατοποιῶν ἐκείνων ἐποίει. (Δ.) Ἕτερος δ' ἐπὶ τῇ κορυφῇ ἑαυτοῦ ῥόπαλον πηχυαῖον ἱστῶν καὶ ἐπὶ τῷ τοῦ ῥοπάλου ἄκρῳ ἀγγεῖον ὑγροῦ μεστὸν περιῄει διασώζων ἀκλόνητον τὸ ἀγγεῖον ἐπιπολύ. ἕτερος δ' ἐπὶ τῆς ἑαυτοῦ κορυφῆς καὶ αὐτὸς ἱστῶν δόρυ μακρὸν, οὐ μεῖον τριῶν ὀργυιῶν, περιειλημένον σχοινίῳ κάτωθεν ἄνω δίκην βαθμίδων, δι' ὧν χερσί τε καὶ ποσὶ περιδραττόμενος παῖς τις, ὁ μὲν παῖς ἀνῄει βραχὺ παραλλάττων ἀεὶ χεῖρας καὶ πόδας ἄχρι τοῦ ἄκρου τοῦ δόρατος καὶ αὖθις ἐκεῖθεν κατῄει· ὁ δ' ἐπὶ τῆς κορυφῆς ἔχων τὸ δόρυ περιῄει βαδίζων διηνεκῶς. ἕτερος δ' ἐξ ὑέλου σφαῖραν ἔχων ἄνω πρὸς ὕψος ἐῤῥίπτει· καὶ κατιοῦσαν νῦν μὲν ἄκρῳ τῷ τῆς χειρὸς ὄνυχι ἐδέχετο, νῦν δὲ τῷ ὀπισθίῳ ἄκρῳ τοῦ ἀγκῶνος, νῦν δ' ἄλλως καὶ ἄλλως. ἐῶ λέγειν τὰ τῆς ὀρχήστρας διάφορα εἴδη, καὶ ὅσα ἐφ' ἡμῶν ἐξετέλεσαν ἕτερα τῶν ἐπιτηδευμάτων. καὶ οὐχ ἕκαστος ἓν μόνον ἀπολαβὼν ἐγίγνωσκεν ἐπιτήδευμα, ἀλλ' ἕκαστος ἅπαντα· οὐδ' ἃ διεξῄειν μόνα ταυτὶ ᾔδεσαν, ἀλλὰ μυρία ἕτερα. (Ε.) Οὐκ ἀκινδύνων δ' ὄντων τῶν τοιούτων ἐπιτηδευμάτων οὐδ' αὐτοί γε ἀκίνδυνοι διεγένοντο· ἀλλὰ κρημνιζόμενοι πολλάκις τινὲς διεφθείροντο. πλείους γὰρ τῶν τεσσαράκοντα τῆς πατρίδος ἑαυτῶν ἐξεληλυθότες μείους τῶν εἴκοσιν ἐς Βυζάντιον διεσώθησαν. ἐθεασά 1.351 μεθα δὲ καὶ ἡμεῖς ἕνα τοῦ ἱστοῦ πεπτωκότα τε καὶ θανόντα. πολλὰ τοίνυν ἐκ τῶν θεωμένων συνάγοντες χρήματα περιῄεσαν πανταχῆ τῆς γῆς, ἅμα μὲν κέρδους ἕνεκα, ἅμα δὲ καὶ τὴν ἑαυτῶν ἐπιδεικνύμενοι τέχνην. ἄραντες δ' ἐκ Βυζαντίου διὰ Θρᾴκης καὶ Μακεδονίας ἀπῄεσαν ἄχρι Γαδείρων, μικροῦ πᾶσαν τὴν οἰκουμένην τῆς ἑαυτῶν τέχνης ποιούμενοι θέατρον. (´.) Ἐν τούτοις τοῖς χρόνοις οἱ Τοῦρκοι κατεγνωκότες οὕτω νοσοῦντα καὶ λίαν αἰσχρῶς τὰ Ῥωμαίων διακείμενα πράγματα ναυπηγεῖν ἤρξαντο καὶ ἐπιβαίνειν θαλάσσης ἀδεῶς τε καὶ κατὰ πλῆθος. καὶ ναυλοχεῖν μὲν ἀνιούσας καὶ κατιούσας ὁλκάδας· κατατρέχειν δὲ καὶ Μακεδονίαν καὶ Θρᾴκην· κατατρέχειν δὲ νήσους μικράς τε καὶ μείζους καὶ πάντ' ἐπιφέρειν ἐπὶ χειρίστοις ἀεὶ τὰ χείριστα, ὡς τῶν βασιλικῶν σπανιζόντων ἐντεῦθεν χρημάτων τὰ τῶν πάλαι βασιλέων κειμήλια δι' ἀνάγκην ἐνδείας πιπράσκεσθαι. ιαʹ. Ὁ γε μὴν μέγας δοὺξ ὁ Συργιάννης ὁρῶν οὐ κατὰ γνώμην αὐτῷ χωροῦντα τὰ πράγματα (ὁ μὲν γὰρ ᾤετο παραδυναστεύειν καὶ ἄγειν καὶ φέρειν ὡς αὐτὸς ἐθέλοι τὰ πράγματα καὶ μηδὲν ἢ μικρὸν ἢ μέγα διατελεῖσθαι τῶν πάντων ἀγνοοῦντος αὐτοῦ· ἔπειτα παρὰ πᾶσαν προσδοκίαν ἑώρα τὴν βασιλέως γνώμην ὁλοσχερῶς Καντακουζηνῷ τῷ μεγάλῳ δομεστίκῳ μόνῳ προστιθεμένην) ἐπίμπρατο τὴν καρδίαν καὶ διῆγεν ἐσκυθρωπακὼς καὶ ἀνιώμενος καὶ ἐσκοπεῖτο καθ' ἑαυτὸν, πῶς ἂν ἀμύναιτο τὸν βασιλέα· ὃς ὧν ὑπισχνεῖτο πρότερον νῦν ἐν τοῖς ἔργοις οὐδενὸς ἐμέμνητο, ἀλλὰ πάντ' ἦν δρῶν τἀναντία παρορῶν τε αὐτὸν ὡς ἕνα τῶν πολλῶν 1.352 καὶ μηδενὸς κοινωνῶν αὐτῷ βουλεύματος. ἔγνω τοίνυν τῷ γηραιῷ προστεθεὶς βασιλεῖ πάντ' ἐν βραχεῖ τὰ τοῦ νέου ἀνατρέψαι διαβούλιά τε καὶ πράγματα. οὐ γὰρ θεῷ τὰς τῶν πραγμάτων αἰτίας ἀνετίθει· ἀλλ' ὅποι ῥέψειεν αὐτὸς, ἐκεῖ καὶ τὸ ἰσχυρὸν τῶν πραγμάτων καθάπερ ὑπ' ἀνάγκης φέρεσθαί τινος ἐνόμιζε. πέμπει τοίνυν τινὰ τῶν οἰκειοτάτων αὑτοῦ λάθρα, ἐροῦντα τῷ γηραιῷ βασιλεῖ τὰ τῆς γνώμης αὐτοῦ καὶ ὅπως ἔχει τὰ καθ' αὑτόν· προσετεθείκει δὲ διὰ τὸ τῆς πίστεως ἰσχυρὸν καὶ ὡς οὐκ ἀνέχομαι βλέπειν τὸν νέον βασιλέα πειρῶντα τῆς ἐμῆς γυναικός. (Β.) Τῷ μέντοι γηραιῷ βασιλεῖ οὕτως εὐφρόσυνος ἡ τῆς τοῦ ἀνδρὸς ἔδοξε γνώμης μετάθεσις, ὡς τοῖς ὑφ' ἡλίῳ καιομένοις ὥρᾳ θέρους ζέφυρος καὶ τοῖς δίψει φλεγμαίνουσι πόμα ψυχροῦ. οὐδὲ γὰρ οὐδ' αὐτὸς ἀνέχεσθαι πλέον ἤδη ἐδύνατο, ἑαυτόν τε περιφρονούμενον καὶ ἐμπαιζόμενον οὕτω



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

βλέπων καὶ ἅμα τοὺς περὶ αὐτὸν μικρούς τε καὶ μείζους ἀφαιρεθέντας ὑπὸ τοῦ νεωτέρου τοὺς τῶν οἰκείων χωρίων κλήρους κἀντεῦθεν περιϊόντας οἷά τινας ὑπὸ λιμοῦ τεταριχευμένους. ὅρκοι τοίνυν φρικώδεις ἀπ' ἀλλήλων ἐς ἀλλήλους κρύφα διαβάντες ἠνάγκασαν τὸν Συργιάννην σπουδῇ προκαταστήσαντα ἑαυτὸν οἴχεσθαι πρὸς τὴν βασιλεύουσαν. ὃ δὴ καὶ τὴν ταχίστην αἰσθομένου μηδενὸς ἐγεγόνει. ῥέουσα δ' ἡ φήμη εὐφροσύνης τῶν πλείστων ἐνέπλησε τὰς καρδίας, ἐλπισάντων αὐτίκα πρὸς τὸν γηραιὸν αὖθις ἐπανήξειν τὰ πράγματα βασιλέα, καθάπερ κύβου μεταπεσόντος, καὶ ἀποδοθήσεσθαι τὰ περὶ Θρᾴκην καὶ Μακεδονίαν χωρία τοῖς προϋπάρξασιν ἐς τὸν κλῆρον. 1.353 ἀλλ' ἐπεὶ καὶ τῷ θείῳ σκοπῷ δεδογμένα ταῦτα οὐκ ἦν, μάταιος ἐν βραχεῖ τῶν πεπραγμένων ἔδοξεν ἡ σπουδὴ, ὡς εἰρήσεται προϊοῦσιν ἡμῖν. (Γ.) Ὁ μέντοι βασιλεὺς ὁ νέος εἰδὼς ἐκ πολλοῦ τοὺς Βυζαντίους ὅλαις γνώμαις προστιθεμένους αὐτῷ καὶ λάθρα προσκαλουμένους, ἐπειδὴ πρόφασιν ἤδη τὴν τῆς εἰρήνης ἔλαβε σύγχυσιν, ἐπὶ τοῦτο πορεύεται μετὰ παντὸς τοῦ Θρᾳκικοῦ στρατεύματος, καὶ ἐλθὼν στρατοπεδεύεται περί που τὰ προαύλια τῆς τοῦ Κοσμιδίου μονῆς· ἀφ' οὗ καὶ τὰ βασίλεια καθεώρα τριάκοντά που σταδίους τούτων ἀφεστηκώς. αὐτὸς μὲν οὖν αὐτοῦ δύο διήνυσεν ὅλα νυχθήμερα, ψυχροτάτου κατ' αὐτῶν ἀντιπνέοντος τοῦ βοῤῥᾶ, κατ' αὐτὴν τὴν ἀκμὴν τοῦ χειμῶνος ὄντος τοῦ χρόνου. οἱ δὲ φύλακες πανταχόθεν διανειμάμενοι τὰς ὁδοὺς ἐτήρουν, μὴ λάθῃ καταστρατηγήσας αὐτοὺς ὁ Συργιάννης ἔξω τηνικαῦτα περὶ τὴν Πείρινθον διατρίβων καὶ πειρώμενος ὑποσχέσεσι χρηστοτέραις τὰ πέριξ ἐφελκύσασθαι φρούρια. τῇ δὲ τρίτῃ νυκτὶ τριακοσίους ἀπολεξάμενος ὁπλίτας ὁ Συργιάννης καὶ ἐξ ἑσπέρας ἐξιππασάμενος ἧκε πρὸς τὸ Βυζάντιον, πρὶν ἀνατεῖλαι τὸν ἥλιον, πάντας ἐκείνους τοὺς βασιλικοὺς ὁδοστάτας καὶ φύλακας ὥσπερ ὑπνοῦντας ἄρδην συνειληφώς. καὶ εἰ μὴ διεκώλυεν ὁ γηραιὸς βασιλεὺς, καὶ ἐπεισπεσεῖν αὐτοῖς ἐβούλετο ἔτ' ἀγνοοῦσι τὸ δρᾶμα. ἐπεὶ δ' ἡμέρα ἐγένετο καὶ τὴν τοῦ Συργιάννη παράδοξον καὶ αἰφνίδιον ἠκηκόεισαν ἔφοδον, ἔβλεπον δὲ καὶ ἄλλως οὔτε τοὺς Βυζαντίους ἀνύοντας λάθρα τι ὑπὲρ αὐτοῦ, μήτε τὸν βασιλέα προσδέξασθαι μέλλοντα ἐπιστρέ 1.354 φοντας πρὸς μετάνοιαν, ᾤχοντο φεύγοντες. (Δ.) Πέμπεται μὲν δὴ λοιπὸν εὐθὺς ὁ δεσπότης Κωνσταντῖνος διὰ θαλάττης ἐς Θεσσαλονίκην ἐπίτροπος καὶ διοικητὴς τῶν τῆς Μακεδονίας πραγμάτων τήν τε δέσποιναν Ξένην τὴν τοῦ νέου βασιλέως μητέρα πέμψων ἐς Βυζάντιον καὶ πρός γε στρατολογήσων ἐκεῖθεν, ἵν' ἐκείνου μὲν ἐκεῖθεν ἐπιόντος μετὰ τοῦ Μακεδονικοῦ στρατεύματος, ἐντεῦθεν δὲ τοῦ Συργιάννου σύν γε Τουρκικῷ στρατῷ καὶ ὅσοι ἐκ Βιθυνίας Ῥωμαίων ὁπλῖται, μέσος ὁ νέος συγκλεισθεὶς βασιλεὺς τὴν ταχίστην ἁλοίη ξύν γε τοῖς ἀμφ' αὐτόν. μέλλων δ' ἤδη τῶν Βυζαντίων λιμένων ἀποπλεῖν ὁ δεσπότης εἶδεν εὐθὺς τῶν τοῦ δούλου χειρῶν ὀλισθήσαντα πάντα συνηθροισμένα, ὁπόσα τὴν ἐκείνου τράπεζαν ἐπλήρου χρύσεα καὶ ἀργύρεα σκεύη καὶ ἄχρι πυθμένων καταδύντα θαλάττης· ὃ καὶ διὰ μεγάλης ἤγαγε λύπης αὐτὸν, οὐ τοσοῦτον διὰ τὴν στέρησιν τῶν σκευῶν, ὅσον διὰ τὸ ἐκ πρώτης φάναι γραμμῆς δυσοιώνιστον συνάντημα καὶ τὸ τῆς μελέτης ἐντεῦθεν δυσέλπιστον. ἀλλὰ γὰρ ἀπελθὼν ἐν Θεσσαλονίκῃ πάντας εὐθὺς συλλαβόμενος τοὺς περὶ τὴν δέσποιναν Ξένην ἅμα αὐτῇ καὶ μάλα ἀκόσμως ἐμβιβάσας ἐς τριήρη ἐξέπεμψεν ἐς Βυζάντιον· ἣ δὴ καὶ ἄκουσα ἐληλυθυῖα ἐφρουρεῖτο περὶ τὸ ἑῷον μέρος τῶν βασιλείων. ἓν μὲν δὴ τοῦτο καὶ σπουδαιότατον ἔργον Κωνσταντίνου τοῦ δεσπότου γενομένου περὶ Θεσσαλονίκην. δεύτερον δὲ, πάντα τὸν ἐκ Μακεδονίας συναγείρας στρατὸν ἔρχεται κατὰ τοῦ ἀνεψιοῦ βασιλέως. ἐλθὼν μὲν δὴ παρὰ τὴν Χριστούπολιν πέμψας ᾔτησε δίοδον παρ' ἑκόντων τῶν φρουρῶν, πρὶν παρ' ἀκόντων λαβεῖν ἀπειλῶν. τῶν δὲ μὴ δεξαμένων, βιασάμε 1.355 νος αὐτὸς διέκοψε μέρος τοῦ τὴν δίοδον ἐπιτειχίζοντος μακροῦ τείχους καὶ οὕτω πᾶς ἀκωλύτως διέβαινεν ὁ στρατός. (Ε.) Στραφεὶς δὲ πρὸς ἑαυτὸν ὁ βασιλεὺς καὶ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

συνιδὼν ὡς ἐν στενῷ συνελαύνεταί οἱ τὰ πράγματα τὸν μὲν πρωτοστράτορα τὸν Συναδηνὸν τὰ Θρᾳκικὰ παραδοὺς στρατεύματα πέμπει φρουρὸν τῶν τε πρὸς Βυζάντιον βλεπόντων ὁρίων τῆς αὐτῷ κληρωθείσης ἀρχῆς καὶ ταῖς τοῦ Συργιάννου ἐκδρομαῖς ἀντίπαλον. αὐτὸς δ' ἐκεῖθεν δαιμονίαις τισὶ μηχαναῖς καὶ δόλοις ἔγνω πολεμεῖν τῷ θείῳ καὶ δεσπότῃ. καὶ πρῶτα μὲν διατάγματα πλεῖστα σπουδῇ γραφῆναι παρεκελεύσατο, ἐν οἷς ὑποσχέσεις ἐγράφοντο ἔνορκοι χρημάτων καὶ κτημάτων καὶ τιμῶν προσηκόντων διανομαὶ τοῖς συλληψομένοις τὸν δεσπότην καὶ θεῖον. ἃ δὴ πάντα βαναύσοις τισὶ παροδίοις ἀνδράσι δεδωκὼς ῥίπτειν ἐκέλευσε καὶ διασπείρειν ἐξεπίτηδες παρά τε τὸ στρατόπεδον τοῦ δεσπότου καὶ πανταχῇ τῶν ὁδῶν. ἔπειτα πρὸς τούτοις θάνατον κηρύττειν ἐκέλευσε τοῦ βασιλέως καὶ πάππου, στασιασάντων δῆθεν τῶν Βυζαντίων καὶ ἀποκτεινάντων αὐτόν. ὃ δὴ καὶ διετράνωσαν περιϊόντες ἁπανταχῇ οἱ τὰ τοιαῦτα πλάττειν δεινοὶ, ὧν οἱ πλείους καὶ ὅρκους προσετίθεσαν, ὡς παρῆσαν καὶ αὐτόπται τῆς πικρᾶς ἐκείνου τελευτῆς ἐγένοντο· καὶ παράστασιν ποιεῖσθαι τοῦ πράγματος θέλοντες τρίχας ἐδείκνυσαν λευκὰς, αἳ ἦσαν μὲν ἐκ προβάτων λευκῶν, ἐδείκνυντο δ' ὡς ἐκ τῆς κεφαλῆς καὶ τῆς ὑπήνης τοῦ γηραιοῦ βασιλέως, ἅτε ταῖς τοῦ δήμου διασκεδασθεῖσαι χερσί. ταῦτ' ἀκουόμενα τοῖς ἐν κώμαις καὶ πόλεσι καὶ μάλιστα τῷ τοῦ δεσπότου στρατῷ οὐκ εἴα 1.356 μένειν ἐπὶ βεβαίοις τοῖς λογισμοῖς. ἤδη δὲ καὶ τὰ διασπαρέντα ἐκεῖνα βασιλικὰ διατάγματα εὑρισκόμενα καὶ διδόμενα τῷ δεσπότῃ ἐς δειλίαν καὶ φόβον ἐνέβαλλον οὐ μάλα ἀγεννῆ· ὥστε καὶ φεύγειν ἀναπεισθεὶς ὑπὸ τῶν οἰκειοτάτων, λεγόντων ὡς οὐκ ἂν φθάνοις προδεδομένος ὑπὸ τοῦ στρατοπέδου, ᾤχετο ἐς Θεσσαλονίκην. καὶ ταῦτα μὲν οὕτω τελευτῶντος χειμῶνος ἐγίγνοντο. (΄). Ἦρος δ' ἀρχομένου πέμπεται τριήρης πρὸς τοῦ γηραιοῦ βασιλέως ἐς Θεσσαλονίκην καὶ λαθραῖα γράμματα πρὸς τὸν δεσπότην Κωνσταντῖνον, παρακελευόμενα τὴν ταχίστην δεσμώτας ἐς τὸ Βυζάντιον μετὰ τῆς τριήρους ἐξαποστεῖλαι τοὺς τὸν δῆμον τῶν Θεσσαλονικέων νεωτερίζειν πείθοντας πέντε καὶ εἴκοσι στασιώτας. ἀλλὰ πρὶν εἰς ἔργον ταῦτα προβῆναι, διακηκοότες ἐκεῖνοι κρύφα διερεθίζουσι δραμόντες τὸν δῆμον· καὶ ἀναβάντες τοὺς ἱεροὺς κρούουσι κώδωνας. τοῦτο δὴ τὸ τῆς στάσεως ἀρχηγὸν σύμβολον. καὶ εὐθὺς θέουσι πανδημεὶ πρὸς τοὺς τοῦ δεσπότου οἴκους· καὶ αὐτὸν μὲν οὐχ εὗρον· προαισθόμενος γὰρ ᾤχετο καταφυγὼν ἐς ἀκρόπολιν· τοὺς δ' ὑπὸ χεῖρα συνειληφότες τοὺς μὲν ἀπέκτεινον, τοὺς δὲ τῶν ὑπαρχόντων ψιλώσαντες δεσμωτηρίοις ἐνέβαλον, τοὺς δ' οἴκους κατασπάσαντες πάντα τὸν ἔνδον διήρπασαν πλοῦτον. αὐτοὶ δὲ δραμόντες εὐθὺς ὑφάπτουσι τὰς τῆς ἀκροπόλεως πύλας. ὅπερ ἰδὼν ὁ δεσπότης καὶ ἀπογνοὺς ἵππου τινὸς ἐπιβὰς ἤλαυνεν ἔξω πρὸς τὴν τοῦ Χορταΐτου μονήν. ἔνθα δὴ τοῖς διώκουσι συλληφθεὶς τὸ μοναχικὸν καὶ ἄκων ὑπῆλθε σχῆμα, τὸν προφανῆ τοῦ θανάτου κίνδυνον ἐντεῦθεν ἐκκλίνων, ὃν αἰφνιδίως 1.357 ἡ παροῦσα περίστασις ἐσχεδίασε. δέσμιος οὖν ἐκεῖθεν ἄγεται πρὸς τὸν ἀνεψιὸν καὶ βασιλέα· ὃς δὴ καὶ πολλῷ τῷ μέτρῳ φιλανθρωπότερος ἔδοξε πάντων, ὅσοι παραδυναστεύοντές τε καὶ παρασπίζοντες ἦσαν αὐτῷ. οἱ μὲν γὰρ ἐφιέμενοι τῶν αὐτοῦ σαρκῶν καὶ τοῦ αἵματος, ὡς εἰπεῖν, ἀπογεύσασθαι ὥρμησαν ἐπ' αὐτὸν ὡς αὐτίκα διαῤῥήξοντες· ὁ δὲ βασιλεὺς περιχυθεὶς ἄτρωτον διετήρησε τὸ παράπαν αὐτόν. (Z.) Τῇ δ' ὑστεραίᾳ πεισθεὶς τοῖς περὶ αὐτὸν πέμπει πρὸς Διδυμότειχον καθειρχθησόμενον ἐν εἱρκτῇ δεινοτάτῃ καὶ ἀπαραμυθήτῳ. ἡ γὰρ ἀνέχουσα τὸ Διδυμοτείχου πολίχνιον ἄκρα μία τίς ἐστι πέτρα, ἣν οἱ ἐνοικοῦντες εὐφυῶς εἰς τὸ λαξεύεσθαι ἔχουσαν εὑρόντες ὑπογείους κοιλαίνουσιν ἀποθήκας καὶ φρέατα, ὀμβρίων ὑδάτων δοχεῖα. τῶν δὴ τοιούτων φρεάτων ἑνὸς ἅπαν ἀνιμήσαντες τὸ ὑγρὸν κατάγουσι διὰ κλίμακος τὸν δεσπότην ἐν τούτῳ καὶ παιδάριον ἓν τῶν ὑπηρετούντων. ἄλλων δὲ τῶν ἁπάντων οὐδένα παρῆκαν ἐκεῖ παρακύψαι. ἀλλ' ἐπιπωματίσαντες ἐτήρουν ἐκεῖ συμπατουμένους τε ὑπὸ τῆς τοῦ τόπου στενότητος



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

καὶ δυστυχέστατα πάνυ διακειμένους. ἵνα δὲ τἄλλα παραδράμω τῶν δεινῶν, ζοφῶδές φημι καὶ πνιγῶδες, πῶς παραστήσω τὸ μεῖζον ἐκεῖνο δὴ καὶ φρικῶδες; στενοῦ γὰρ πάνυ τοῦ τόπου τυγχάνοντος ἀλλήλων ἐξ ἀνάγκης ἐχόμενα παρέκειτο ἥ τε τὸ διαχώρημα καὶ τὸ οὖρον ἔχουσα χύτρα καὶ ὁ τὸν λιμὸν παραμυθούμενος ἄρτος. τίνα οἴεσθε, ὦ παρόντες, ἔχειν ψυχὴν, ὁπότ' αὐτοὺς ἐσθίειν ἐχρῆν, δυσωδίας τοσαύτης τῇ τραπέζῃ παρακειμένης; ἀλλὰ καὶ ἡ χύτρα ἀναγομένη ἑσπέρας ὑπὸ τῶν φυλάκων 1.358 διὰ μηρίνθου πολλάκις ἐξεκενώθη κατὰ τῆς κεφαλῆς τοῦ δεσπότου, εἴτε τῶν φυλάκων ἐξεπίτηδες ἐμπαιζόντων αὐτὸν, εἴτε τῆς χύτρας ἀκόντων αὐτῶν περιτρεπομένης. ἀλλὰ πολλῶν παρακλήσεσι χρησαμένων ἐς βασιλέα πνευματικῶν ἀνδρῶν ἐς ἑτέραν μετὰ ταῦτα κουφοτέραν εἱρκτὴν μετηνέχθη. (Η.) Τούτων οὕτω συμπεπτωκότων διηπορεῖτο καθ' ἑαυτὸν ὁ βασιλεὺς γιγνόμενος καὶ οὐκ εἶχεν ὅ,τι καὶ διαπράξηται καὶ ὅθεν εὕρῃ τοῦ κακοῦ λύσιν. ὅσα γὰρ ἂν ἐπιχειροίη, πάνθ' ἑώρα καθ' ἑαυτοῦ στρεφόμενα παραδόξως. ὅθεν ἀνοίξειν ἔκρινε δεῖν ἐν ψαλτηρίῳ τὸ πρόβλημα τῶν οἰκείων ἀποριῶν· καὶ ἀνοίξας ἐνέτυχεν εὐθὺς τῷ πρώτῳ στίχῳ λέγοντι· "1ἐν τῷ διαστέλλειν τὸν ἐπουράνιον βασιλεῖς ἐπ' αὐτοῖς χιονωθήσονται ἐν Σελμών."2 γνοὺς οὖν ἐντεῦθεν, ὡς πάνθ' ὅσα τελεῖται πρὸς τῆς παρούσης φορᾶς τῶν πραγμάτων θεῷ δεδογμένα τυγχάνουσι κἂν τοῖς ἀνθρώποις ἀγνοῶνται τῆς ἀποῤῥήτου προνοίας οἱ τρόποι, πρὸς διαλλαγὰς αὖθις καὶ σπονδὰς ταῖς προτέραις ὁμοίας ἐξεκαλεῖτο τὸν ἔκγονον, ἀντίπαλα δι' ἀνάγκην πραγματευόμενος τοῖς τοῦ Συργιάννου βουλεύμασιν· ὃς δὴ καὶ θέλων ἐκ πολλοῦ τὴν τοιαύτην κατάστασιν ἧκεν εὐθὺς μελλήσας οὐδέν. ἔφαμεν γάρ που καὶ ἀνωτέρω, ὡς τὴν μὲν αὐτονομίαν τῆς βασιλικῆς ἐξουσίας ἔχειν ἐβούλετο· τὸ δὲ σχῆμα καὶ τὰς φροντίδας ὅλαις ὁρμαῖς ἑαυτοῦ ἐξωθεῖτο· καὶ εἰ μὴ οἱ περὶ αὐτὸν ἠνόχλουν τε αὐτὸν καὶ ἠρέθιζον πρὸς τὴν τῆς ὅλης ἡγεμονίας ἔφεσιν, ἤρκεσεν ἂν αὐτῷ καθάπαξ ἡ τῶν γενομένων σπονδῶν κατάστασις. ὅμως ἐπειδήπερ ἐν τῷ παρόντι κληθεὶς ἧκε πρῶτον περὶ τὸ Ῥήγιον 1.359 κἀκεῖ τῇ μητρὶ καὶ δεσποίνῃ ἐντετυχήκει προαπολυθείσῃ τε τῆς εἱρκτῆς καὶ πεμφθείσῃ ἐκεῖ τῶν γενησομένων σπονδῶν ἕνεκα, ἐκεῖθεν μετὰ τῆς μητρὸς καὶ διὰ τῆς μητρὸς θεμιστεύει πάντα τὰ γενησόμενα. (Θ.) Ὀλίγων δ' ἐντὸς ἡμερῶν ἐξελθὼν καὶ αὐτὸς ἑνοῦται τῷ πάππῳ καὶ βασιλεῖ ἔξω πρὸ τῶν τειχῶν τῆς πόλεως· τοῦ μὲν πάππου καὶ βασιλέως οὐκ ἀποβάντος τοῦ ἵππου, ἀποβὰς αὐτὸς τοῦ ἵππου πόῤῥωθεν πρὸ σταδίου ἑνός· καίτοι πολλὰ τοῦ πάππου ἀπαναινομένου καὶ κωλύοντος, ὅμως αὐτὸς πεζῇ προσελθὼν ἠσπάσατο τήν τε χεῖρα καὶ τὸν πόδα αὐτοῦ ἐφ' ἵππου καθημένου. εἶτα καὶ αὐτὸς ἵππου ἐπιβὰς περιεπτύξατό τε καὶ ἀσπασάμενον ἠσπάσατο ἐντελῶς. καὶ εὐθὺς βραχέα ἄττα καὶ σχέδια λέξαντες πρὸς ἀλλήλους ἀπηλλάγησαν. καὶ ὁ μὲν εἰσῆλθεν ἐς Κωνσταντινούπολιν· ὁ δὲ νέος ἀπελθὼν στρατοπεδεύεται περὶ τὸν νεὼν τῆς ὑπεράγνου θεομήτορος τῆς Πηγῆς. ἔνθα συχνὰς διατρίψας ἡμέρας εἰσῄει καὶ εἰς Κωνσταντινούπολιν μεθ' ἡμέραν καὶ αὖθις ἐξῄει. διῆγε γὰρ τηνικαῦτα καὶ ἡ δέσποινα καὶ μήτηρ αὐτοῦ κατὰ τὸν νεὼν τῆς ὑπεράγνου θεομήτορος, τοῦτο μὲν καὶ δι' ἀσθένειάν τινα, τοῦτο δὲ καὶ διὰ τὴν τοῦ φιλτάτου συνδιαίτησιν. συνῆν δὲ τῇ δεσποίνῃ ἐκεῖ καὶ ἡ θυγάτηρ τοῦ βασιλέως Σιμωνὶς ἡ Κράλαινα, ἄρτι ἐληλυθυῖα ἐκ Τριβαλλῶν τελευτήσαντος τοῦ ἀνδρός· ἣ δὴ καὶ τὰ διαψιθυριζόμενα τῇδε κἀκεῖσε τῷ ἑαυτῆς ἐναργέστερον ἐδήλου πατρὶ καὶ βασιλεῖ. μετὰ βραχὺ δὲ καὶ εἰς Ὀρεστιάδα καὶ Διδυμότειχον ἐπανῆκε. 1.360 ιβʹ. Ἔτυχε μέντοι ἐπιδεδημηκὼς τηνικαῦτα μοναχός τις ἐξ ὄρους τοῦ Ἄθω ὑπὲρ τὰ ἑβδομήκοντα ἔτη, μήτ' ἀξίωμα ἔχων οὐδὲν ἱερατικὸν, μήτε γοῦν τὰ πρῶτα καὶ στοιχειώδη συνάπτειν ἀσφαλῶς δυνάμενος γράμματα. τοῦτον διὰ τὴν ἄγαν τῶν τρόπων ἀφέλειαν εἰς τοὺς πατριαρχικοὺς ἄρτι χηρεύοντας θρόνους ὁ βασιλεὺς ἀνεβίβασε· καίτοι πολλῶν κατ' αὐτοῦ παῤῥησιασθέντων ἐγκλημάτων καὶ ὑπὸ πολλῶν ὁμολογηθέντων· δι' ἃ καὶ πάλαι πολλάκις κεκώλυται τυχεῖν ἱερατικῆς βαθμίδος τινός. ὅθεν ἐπειδὴ τὸ τοῦ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

θεοῦ καταπεφρόνηται δίκαιον δι' ὄρεξιν ἀνθρωπίνην, συγκεχώρηκεν ὁ θεὸς τῆς οἰκείας καθαιρεθῆναι τούτους ἀρχῆς ὑπὸ τοῦ ἀφελεστάτου τοῦδε ἀνδρὸς, ὅσοι τοσαύτην ἀδίκως ὑπὲρ αὐτοῦ τὴν σπουδὴν εἰσηνέγκαντο· ὡς αὐτὰ δηλώσει λεγόμενα τὰ πράγματα προϊούσης τῆς ἱστορίας. (Β.) Ὁ μέντοι πατριάρχης οὗτος ἅμα τῇ πρὸς τὸν πατριαρχικὸν θρόνον ἀναβάσει τῷ πολλῷ τοῦ βασιλέως πρὸς αὐτὸν φίλτρῳ τεθαῤῥηκὼς τὴν πάλαι αὐτοῦ γε εὐμένειαν ὁμοίαν καὶ τήμερον τῷ πιγκέρνῃ προὐξένησε Φιλανθρωπηνῷ· ὃν πρὸ ἐτῶν ὀκτὼ καὶ τριάκοντα ταῖς τοῦ φθόνου παλάμαις τὰς αὐγὰς τῶν ὀμμάτων ἀπολέσαντα δεδηλώκαμεν. ὃς οὕτως ἐν ταῖς βουλαῖς ἄριστος εὐθὺς τοῖς βασιλικοῖς ἔδοξε πράγμασι καὶ μάλιστ' ἐν θορύβῳ τοσούτῳ πραγμάτων καὶ κλύδωνι, ὥστε Σκιπίωνας ἐκείνους καὶ Θηβαίους Ἐπαμεινώνδας ἔδοξαν βλέ 1.361 πειν τῶν τηνικαῦτα παρόντων οἱ συνετώτεροι. καὶ μέντοι καὶ ἐθαύμαζον, πῶς τῶν ἀνθρωπίνων πραγμάτων οὐδὲν κεκτημένων ἀκήρατον οὐδὲ μόνιμον, ἀλλὰ τῆς τύχης διηνεκῶς ἀκμαζούσης ἐν τῇ τούτων μεταβολῇ καὶ φθορᾷ καὶ παιζούσης τὸν βίον ταῖς ἀμοιβαῖς καθάπερ σκηνὴν τραγικὴν ἀκήρατος ἡ τῆς τούτου γνώσεως ἔμεινεν ἀρετὴ καὶ στεῤῥοτέρα τῆς τύχης· ᾗ δὴ καὶ τοὺς τῆς βασκανίας ἀπωσαμένη Τελχῖνας τῶν πυθμένων τῆς καταδίκης ἀνεκαλέσατο. (Γ.) Μαρτύριον τῶν λεγομένων καὶ ὃ προήνεγκε τέως ὁ χρόνος, καθάπερ τινὰ βάσανον τῆς τοῦ ἀνδρὸς ἀρετῆς. ἐν γὰρ τούτῳ τῷ χρόνῳ περιστρατοπεδευσάντων τὴν Φιλαδέλφειαν τῶν περιοίκων καὶ ἀστυγειτόνων Τούρκων καὶ κατὰ συνέχειαν πολιορκουμένης τῆς πόλεως σφοδρῶς ἔξωθεν μὲν ὑπ' αὐτῶν, ἔνδοθεν δ' ὑπὸ σφοδροῦ τοῦ λιμοῦ ἐς κίνδυνον ἦλθον οἱ περιλειπόμενοι τῶν αὐτοχθόνων πολιτῶν προδοθῆναι τοῖς Τούρκοις αὐτῇ πόλει καὶ αὐτοῖς οἴκοις. καὶ τάχ' ἂν ἐν ὀλίγαις ἡμέραις ἐπράττετο τοῦτο, εἰ μὴ ὁ Φιλανθρωπηνὸς Ἀλέξιος ἔφθη τοῦ βυθοῦ τῶν τοιούτων ἀπαλλάξας κινδύνων. ἐν στενῷ γὰρ γενόμενος ὁ βασιλεὺς καὶ μὴ ἔχων ὅ,τι δράσειε τῶν πάττων οὐδὲν (οὔτε γὰρ ὅπλων ἐπισκευὴ, οὔτε στρατὸς ἀντίπαλος ἦν εἰς πόλιν οὕτω θαλάττης πολλοῖς σταδίοις ἀπῳκισμένην καὶ πολλοῖς κεκυκλωμένην τοῖς ἔθνεσι βοηθεῖν) πέμπει τοῦτον αὐτὸν μηδὲν ἐπιφερόμενον, οὔτε στρατὸν, οὔθ' ὅπλων ἐπισκευὴν, οὔτε χρημάτων πλῆθος, ἀλλὰ μόνην τὴν τῆς φύσεως σύνεσιν καὶ ἐμπειρίαν. οὗ δὴ καὶ πρὶν ἐπιστῆναι τῇ πόλει Φιλαδελφείᾳ, ἔτι δ' ἐν μέσῃ πορείᾳ τυγχάνοντος, 1.362 τὴν φήμην ἀκηκοότες οἱ τῶν πολιορκούντων σατράπαι καὶ ἀρχηγοὶ τά τε ὅπλα εὐθὺς ἔῤῥιψαν καὶ τὴν πολιορκίαν ἀπείπαντο αἰδεσθέντες τὴν τοῦ ἀνδρὸς ἀρετήν. καὶ ὑπτίαις ἅμα χερσὶ καὶ γνώμαις εἰρηνευούσαις ὑπαντῶσι καὶ ὑποδέχονται· καὶ ὧν πάλαι καλῶν ἀπέλαυσαν ἐξ αὐτοῦ νῦν ἐν μνήμῃ γενόμενοι χάριτας ὁμολογοῦσι καὶ πᾶν τὸ κατὰ γνώμην τελεῖν ὑπισχνοῦνται. οἱ μὲν γὰρ αὐτῶν πάλαι τὸ ζῆν ἐπορίσαντο δι' αὐτοῦ προφανοῦς ἀπαλλαγέντες θανάτου· οἱ δὲ τῶν ὑπ' αὐτῷ παιδευτῇ τεθραμμένων πρὸς ὅπλα καὶ πολέμων ἄσκησιν ἦσαν. καὶ τί δεῖ διατρίβειν; ἐς τοσοῦτον εὐπαθείας καὶ εὐτυχίας ἧκεν ἐξαπίνης ἡ Φιλαδέλφεια, ὡς μιᾶς δραχμῆς ὤνιον τὸν μέγιστον λαμβάνειν μέδιμνον τοῦ σίτου. (Δ.) Τῷ μέντοι Συργιάννῃ τῶν βασιλέων ἡ ἕνωσις μὴ κατὰ γνώμην συστᾶσα ἀθυμεῖν ἐποίει καὶ ἐσκυθρωπακότα περιϊέναι· καὶ μάλισθ' ὅτι τῶν πραγμάτων ἠρεμούντων ἀξυντελὴς αὐτὸς ἐν τοῖς δημοσίοις ἐδόκει καὶ ἄχρηστος. ὅθεν ἐν καθέδραις καὶ στάσεσι καὶ ὁδοῖς τοιούτοις τισὶν ἐντυγχάνων καὶ προσιὼν ἀσμένως, ὅσοις λύπην τινὰ τὰ κοινὰ προὐξένησαν πράγματα, ἐλοιδορεῖτο τοῖς βασιλεῦσιν, ἅτε ἀδικωτάτοις περὶ αὐτὸν γενομένοις χρησιμώτατον ἐν τοῖς ἐναντιωτάτοις καιροῖς νῦν μὲν τούτῳ νῦν δ' ἐκείνῳ γενόμενον. ἰδὼν δὲ καὶ Ἀνδρόνικον τὸν Ἀσὰν λύπης περιϊόντα μεστὸν, ὅτι τὴν ἐπιτροπὴν καὶ διοίκησιν ἔχων ἐκεῖνος τῶν Πελοποννησίων Ῥωμαίων ἐν τῷ καιρῷ τῆς τῶν βασιλέων διαστάσεως, εἶτα ἐξῳκισθεὶς ἐκεῖθεν ἀτίμως παρὰ τοῦ νέου βασιλέως καὶ ἐλθὼν πρὸς 1.363 τὸν γηραιὸν οὐχ εὗρεν οὐδὲν ἐξ αὐτοῦ τῆς λύπης ἀντάξιον εἰς θεραπείαν·



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

καίτοι μεγάλων ἄξιος ὑπάρχων ἀξιωμάτων, σεβαστοκρατορικῶν δηλαδὴ καὶ μειζόνων, διά τε τὴν στρατηγικὴν ἐμπειρίαν, ἣν ὑπὲρ τοὺς ἄλλους τέως ἐπλούτει, καὶ ἅμα τὴν τοῦ γένους λαμπρότητα· διὰ ταῦτα τοίνυν ὁ Συργιάννης πρόσεισι καὶ αὐτῷ καὶ φίλος αὐτῷ γίνεται, τὴν τῆς λύπης ὁμοιότητα γνώμης προβαλλόμενος σύνδεσμον. ὁ μὲν οὖν Συργιάννης ὡς ὁμοψύχῳ θαῤῥήσας ἐκείνῳ πάντα διῄει λοιπὸν ἀναπεπταμένῃ τῇ γλώττῃ, ὁπόσα τοῖς λυπουμένοις εἰκός. ὁ δὲ Ἀσὰν βαθείᾳ συνέσει προσιὼν αὐτῷ γλῶσσαν μὲν ὁμοίαν πως ἐκείνῳ προὐτείνετο καὶ συνδιελοιδορεῖτο τοῖς βασιλεῦσι δῆθεν αὐτός· τὰ δὲ παρὰ τοῦ Συργιάννου λεγόμενα πάντα ἐς τὰ τῆς διανοίας ἔκρυπτε μυστήρια. ἐμίσει γὰρ αὐτοῦ τὸ φίλαρχον καὶ πρίν· καὶ νῦν δ' οὐχ ἧττον ἤχθετό οἱ ἐχθρῷ γε ὄντι καὶ Καντακουζηνοῦ τοῦ ἐπὶ θυγατρὶ γαμβροῦ, τοῦ μεγάλου φημὶ δομεστίκου· ὃς τὰ μέγιστα παρὰ τῷ νέῳ δυνάμενος βασιλεῖ ἐλπίδας ἀγαθὰς ἀεὶ γράφων ἐκεῖθεν καὶ αὐτῷ προὔτεινεν. ἐπεὶ δὲ τὰ τοῦ δράματος πάντα συνέῤῥαπται, λάθρα τῷ θείῳ καὶ βασιλεῖ προσελθὼν ὁ Ἀσὰν, "1εἰ μὴ δεσμώτην,"2 ἔφησεν, "1ὅσον τάχος ποιήσειας τὸν Συργιάννην βασιλείαν ἑαυτῷ συσκευάζοντα, οὐκ ἂν φθάνοις φονευόμενος ὑπ' αὐτοῦ."2 εὐθὺς οὖν τὸν μὲν Συργιάννην εἶχε τὸ δεσμωτήριον· τόνδ' οἶκον αὐτοῦ μετὰ τῶν ἐνόντων ἁπάντων ἄρδην ἀπώλεσαν καὶ διέλαχον οἱ τοῦ δήμου. 1.364 οἱ δ' ἀμπελῶνες αὐτοῦ σύν γε τοῖς οἰκοπέδοις μηλόβοτα πάντ' ἐγεγόνει. καὶ ταῦτα μὲν τοῦτον ἔσχε τὸν τρόπον. ιγʹ. Οὐκ εὔκαιρον δέ μοι δοκεῖ σιωπῇ παρελθεῖν καὶ ὅσα κατὰ τοῦτον τὸν χρόνον περὶ τοῦ Πάσχα λαληθῆναι ξυνέβη. κατὰ γὰρ τὸ εἰωθὸς ἀνιὼν ἐς τὰ βασίλεια τοιαύτῃ τινὶ τῇ ὁμιλίᾳ ἐντετυχήκειν. καὶ τὰ μὲν ἄλλα παρείσθω γε τέως, πολλά τε ὄντα καὶ οὐ πάνυ τοι ἀναγκαῖα πάνυ τοι ἐθελούσῃ σχολάζειν ἀκοῇ, καίπερ ὄντα κἀκεῖνα σεμνὰ καὶ σοφῶν ἀκοαῖς ἄξια· τὸ δ' οὖν τῆς ἀναγκαιοτέρας ἡμῖν ὁμιλίας καὶ ἧς ἄν τις ἀκούσας ἡσθείη τὰ μάλιστα· λόγον κεκίνηκεν ὁ βασιλεὺς περί γε ἀστρονομίας καὶ σφαιρῶν οὐρανίων καὶ κινήσεως πλανωμένων καὶ ἀπλανῶν, καὶ τοιαῦτα ἄττα ἐμοὶ καθυποβάλλων πρόφασιν τοῦ λέγειν. πολλὴν γὰρ πρὸς ἡμᾶς τὴν εὐμένειαν ἔτρεφεν. ἐγὼ δ' ὑπολαβὼν ἔπαινον διεξῄειν πολὺν τοῦ μαθήματος. τοῦτο καὶ γάρ μοι τὸ ὀπτικὸν, ὡς εἰπεῖν, τῆς διανοίας ἐκάθηρε καὶ πρὸς τέλειον οἱονεὶ χρωματισμὸν τἄλλα μοι πάντα μαθήματα ἤγαγε. σκιαγραφίᾳ γὰρ ὡς ἀληθῶς ἐοίκασι τούτου χωρὶς, ὅσαι κατ' ἀνθρώπους εἰσὶ τέχναι καὶ σπουδάσματα. μετὰ μέντοι γε τῶν ἄλλων καὶ ὁ τοῦ Πάσχα λόγος ἀνέκυψεν, ἐμοῦ τοῦτον μεταξὺ παραῤῥίψαντος, ὡς μέρος ὄντα καὶ τοῦτον τοῦ τοιούτου μαθήματος· καὶ ἄλλως ὅτι καὶ ὠδίνων ἦν διὰ μακροῦ πρὸς βασιλείους τὸ πρᾶγμα ἀνενεγκεῖν ἀκοὰς, ἀπόῤῥητον ὂν, ὡς ἀκριβής μοι τὸ πρᾶγμα παρέστησεν ἔρευνα, πλὴν ἢ ὅσοι τῶν τῆς ἀστρονομίας κρατήρων ἐγεύσαντο. ταῦτ' ἄρα καὶ καιροῦ λαβόμε 1.365 νος, ὡς ἔφην, ῥήγνυμι τὴν ὠδῖνα, οὐκ ἀχείμαστος μὲν οὐδὲ τότ' ἀπαλλάξας. ἦσαν γὰρ οἳ τότε πολλά μοι παρέσχον πράγματα, μὴ ξυνειλοχότες ἐκ τοῦ ῥᾷστου τὸν τοῦ λόγου σκοπόν. καὶ εἰ μὴ ὁ βασιλεὺς (ἐκεῖνος γὰρ μόνος ἦν συνιεὶς ἃ διεξῄειν αὐτός· ἀφορμὴν γὰρ εἰληφὼς εὐθὺς κἀκεῖνος ἐπεδείκνυτο καὶ ἐδημοσίευε τῆς ὑψηλῆς αὐτοῦ συνέσεως τοὺς θησαυροὺς) εἰ μὴ οὖν ἐκεῖνος πλεῖστον ἐμοὶ τὸ προσηνὲς χαριζόμενος δίοδον ἐνεποίει τῷ λόγῳ, τάχ' ἂν τὸ τελευταῖον τοῦτο πονήρως καὶ ἀγεννῶς ἐκεῖθεν ἀπήλλαττον, ἄδικόν τινα τὴν καταδίκην ὁ δίκαιος ὀφείλων. ἐπεὶ οὖν πᾶσαν, ὡς ἔφην, ἡμῖν ὁ βασιλεὺς τὴν κατάστασιν ἐποιήσατο τοῦ μὲν λέγειν ἐμοὶ, τοῦ δ' ἀκούειν τοῖς συμπαροῦσι, πρῶτον μὲν ὥσπερ τινὰς ὅρους καὶ κρηπῖδας ὑποθεὶς τὰ καίρια, εἶτα δι' αὐτῶν τὰς ἀποδείξεις ἐποιούμην. (B.) Καὶ δὴ δέον εἶναι πρῶτον ἐφάμην τὴν ἐαρινὴν ἰσημερίαν ἐς τἀκριβὲς ἐρευνῆσαι. τοῦτο γὰρ αἴτιον ἁπάσης τῆς ἑξῆς ὑποθέσεως, ὡς προϊόντες ἐροῦμεν· εἶτα τὴν ἐφεξῆς μετ' ἰσημερίαν πανσέληνον. πανσέληνον δέ φαμεν, ὁπότε πλησιφαὲς εἴη τὸ πρὸς ἡμᾶς ἡμισφαίριον τῆς σελήνης. τοῦτο δὲ γίγνοιτ' ἂν, ὁπότε βραχύ τι πλέον ἢ τεσσαρεσκαιδεκαταίαν ἡ σελήνη τὴν ἡμέραν ἄγοι, ἐξότου περὶ τὴν αὐτὴν ἐν ταὐτῷ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

συνέλθοι τῷ ἡλίῳ μοῖραν τῆς τῶν ζωδίων σφαίρας, μιᾶς ἁψαμένης ἀμφοτέρων καθέτου. ἐπεὶ οὖν τῷ νομικῷ μὲν ἕπεται τὸ ἡμέτερον Πάσχα, ἐκεῖνο δὲ τῇ μετ' ἰσημερίαν πανσελήνῳ, δέον ἐκεῖνα διευκρινῆσαι πρίν· εἶτα τοῖς ἅπασιν εὔδηλον ἂν εἴη τὸ καθ' ἡμᾶς. 1.366 ἀκριβὴς τοίνυν γίνεται ἰσημερία ἐν μόνοις δυσὶ τοῦ ἐνιαυτοῦ νυχθημέροις· ἑνὶ μὲν ἀρχομένου ἤδη φθινοπώρου· ἑτέρῳ δ' ἀρχομένου ἔαρος εὐθύς. καὶ περὶ μὲν τῆς φθινοπωρινῆς ἰσημερίας οὐδεὶς ἡμῖν ἐν τῷ παρόντι λόγος· περί γε μὴν τῆς ἠρινῆς καὶ μάλα γέ τοι πλεῖστος. γίνεται τοίνυν ἀκριβὴς ἰσημερία ἐν ἔαρος ὥρᾳ, ὁπότε περὶ μοῖραν πρώτην ὁ ἥλιος γένοιτο τοῦ κριοῦ· ὅπη καὶ ὁ ἰσημερινὸς τοῖς ἀστροθεάμοσι διαγράφεται κύκλος. γίνεται δὲ οὐχ ὁμοίως ἐν ἅπασιν ἔτεσιν· ἀλλ' ἐν μὲν τοῖς τοῦ Ναβονασάρου περὶ λῆξιν ἑσπερίαν τῆς τοῦ μαρτίου πέμπτης καὶ εἰκοστῆς· ἐν δὲ τοῖς Φιλίππου τοῦ Ἀριδαίου περὶ μεσημβρίαν τῆς εἰκοστῆς τετάρτης αὐτοῦ· ἐν αἷς δ' ἡμέραις ὁ Χριστὸς ὑπὲρ ἡμῶν ἐθανατοῦτο τρίτην καὶ εἰκοστὴν διανύοντος αὐτοῦ, πολλῷ πρότερον πρὶν ἢ ἀνατεῖλαι τὸν ἥλιον, ἢ μᾶλλον εἰπεῖν περὶ μέσην ἐκείνην τὴν νύκτα· νῦν δ' ἐφ' ἡμῶν ἑπτακαιδεκάτην ἀνύοντος αὐτοῦ. οὐκ ἀκριβολογοῦμαι δ' οὔτε μὴν τὴν τῆς ἡμέρας ὥραν, οὔτε μὴν οὐδέ γε τὸ τῆς ὥρας μέρος. οὐ γὰρ ἀναγκαῖον νῦν, ὅτι μὴ διατριβὴ μὴ πάνυ τοι προσήκουσα τῇ χρείᾳ. ὥστ' ἔξεστι συλλογίζεσθαι τὴν τῶν μεταξὺ χρόνων διαφορὰν κἀντεῦθεν καὶ δι' ὅσων ἐτῶν ὀπισθόπους ὁ χρόνος ἡμέρᾳ μιᾷ γίνεται καὶ δι' ὅσων αὖθις ἑτέρᾳ μιᾷ καὶ ὁμοίως ἀεί. τοῦτο δ' οὐ παρὰ τὴν τοῦ ἡλίου γίνεται κίνησιν. ὁμαλὴν γὰρ ἐκεῖνος ἀεὶ ταύτην ποιεῖται καὶ ἀπαρέγκλιτον· ἀλλὰ παρὰ τὴν τῶν ἐνιαυσίων ἡμερῶν ἀπαρίθμησιν, ἣν σφαλερῶς αὐτοὶ ποιούμεθα. πρὸς γὰρ τοῖς τριακοσίοις 1.367 ἑξήκοντα πέντε νυχθημέροις τίθεμεν καὶ ὁλόκληρον τέταρτον νυχθημέρου ἑνὸς, οὐκ ὀφείλοντες οὕτω. ὡς γὰρ ὁ μέγας φησὶ Πτολεμαῖος, τριακοσιοστοῦ δέοντος ἡμέρας μέρους δεῖ τοῦτο προστίθεσθαι καὶ οὐχ ὁλόκληρον· ὡς δ' ἔγωγε αὐτὸς ἐξακριβώσας εὗρον, μείζονος καὶ ἥκιστα τριακοσιοστοῦ τελέως, εἰ μὲν ἀσφαλῶς ἠκριβωσάμην· εἰ δὲ μὴ, σκέμμα τοῦτο τίθημι τοῖς ἔπειτ' ἀστρολόγοις. ἐγὼ γὰρ οὐ σχολάζω τοῦτο νῦν διασαφεῖν. ὅμως ἔστω κατ' ἐκεῖνον. ἧττον γὰρ λυμανεῖται τῷ λόγῳ πρὸς οὐ πάνυ τοι πολλοὺς τοὺς χρόνους διατρίβοντι. παρατηρητέον οὖν, ὡς κατ' ἐκεῖνον τὸν μέγιστον δηλαδὴ Πτολεμαῖον δι' ὅλων τριακοσίων ἐνιαυτῶν νυχθήμερον ὅλον συνάγεται. τὸ δ' εἰρημένον πολλοστημόριον τῆς ἡμέρας ἐν μὲν τοσούτοις ἔτεσι καὶ μάλα ἐπίδηλον ἤδη καθίσταται· ἐν δὲ τρισὶ καὶ τέτρασι καὶ πέντε καὶ δέκα καὶ τρὶς τοσούτοις, οὐκ ἂν δήπου, διὰ τὸ πάνυ βραχύτατον τῆς προσθήκης. ὅπερ δὴ καὶ κατ' ἐνιαυτῶν παραδρομὴν τοσούτων οἱ πρὸ ἡμῶν τὰ μετέωρα φροντισταὶ καὶ ἀστροθεάμονες ὑφαιρούμενοι ἀσφαλῶς τὸ τῆς ἰσημερίας νυχθήμερον εὕρισκον· κἀντεῦθέν γε μὴν ἀσφαλῆ καὶ τὴν τοῦ Πάσχα διόρθωσιν ἐποιοῦντο· καὶ τὸ τῆς διορθώσεως ταύτης ἐγίνετο μέχρι τοῦ ἐξ Ἀδὰμ ἑξακισχιλιοστοῦ τριακοσιοστοῦ ἔτους ἔγγιστα. τὸ δ' ἐξ ἐκείνου μέχρις ἡμῶν οὐκ οἶδ' ὅπως ἐρρᾳθυμημένον τὸ πρᾶγμα καὶ ἀδιόρθωτον ἔμεινε. καὶ νῦν ὀφείλοντες οἱ τῆς καθ' ἡμᾶς ἐκκλησίας ἄνθρωποι τὴν ἀρχὴν τῆς τοῦ Πάσχα παρατηρήσεως πρὸ τῆς τοῦ μαρτίου ἔγγιστα ποιεῖσθαι εἰκοστῆς, οἱ δ' ἐκ τῆς αὐτοῦ δευτέρας καὶ εἰκοστῆς ποι 1.368 οῦνται, οὐκ ὀρθῶς γε ποιοῦντες τουτί. ἐπεὶ γὰρ οὐκ ἄλλοθέν ποθεν, ἢ τῆς πρὸς κριὸν ἡλιακῆς εἰσόδου τὰ τῆς ἰσημερίας ἀποφαινόμεθα, τὴν δέ γε πανσέληνον ὁμοίως οὐκ ἄλλοθέν ποθεν, ἢ τῆς τοῦ ἡλίου διαμετρικῆς ἀποστάσεως καὶ ἔτι γε τὸ Πάσχα τὸ νομικὸν οὐκ ἄλλοθέν ποθεν ἢ τῆς πανσελήνου· εὔδηλον ἄρα, ὡς τῆς ἰσημερίας μεταπεσούσης μετέπεσε καὶ τὰ τῆς πανσελήνου· καὶ ταύτῃ γε ἑπομένως συμπαρήλλαξε καὶ τὸ τῶν Ἰουδαίων Πάσχα, κἀκείνῳ δ' αὖ δήπου συμπαραλλάττειν χρεὼν καὶ τὸ ἡμέτερον. πρὸς γὰρ ἐκεῖνό γε ἀφορᾷ τὸ ἡμέτερον κἀκείνῳ τέτακται ἕπεσθαι οἱονεί τινι κρηπῖδι καὶ θεμελίῳ. ῥᾴδιον δ' ἂν εἴη βουλομένοις ἡμῖν ποιήσασθαι τὴν διόρθωσιν, βραχύ τι πλέον ἢ δύο νυχθημέρων ὑφαίρεσιν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ποιησαμένοις. οὕτω γὰρ ἀνήκειν τοῖς μεταξὺ τοσούτοις ἔτεσιν ἡ τῆς ἀστρονομίας ἐπαγγέλλεται μέθοδος. τούτου δὲ μὴ γιγνομένου τὸ σφαλερὸν οὐ μικρόν. συμπίπτει γὰρ ἔσθ' ὅτε, καθὰ καὶ πολλάκις ἤδη γεγένηται, οἴεσθαι μὲν εἶναι πανσέληνον τὴν κυριακὴν καὶ πρώτην ἡμέραν τῆς μελλούσης ἑβδομάδος· οἴεσθαί γε μὴν τοῦτο ψευδές· γεγενῆσθαι γὰρ ἤδη πρὸ δύο νυχθημέρων κατὰ τὴν ἕκτην δηλαδὴ τῆς παρεληλυθυίας ἑβδομάδος ἡμέραν· κἀντεῦθεν σφαλλομένους ἄλλην ἀντ' ἄλλης περιμένειν κυριακὴν καὶ ποιεῖν τὴν ἀναστάσιμον ἑβδομάδα, ἑβδομάδα τῶν τοῦ Χριστοῦ παθημάτων. καὶ τὰ ἑξῆς τοῦ σφάλματος ἐντεῦθεν γνώριμα τοῖς ἅπασιν. ὅτι δ' οὐχ ἁπλῶς οὑτωσί πως οὐδ' εἰκῇ καὶ μάτην τὰ τοιαῦτα παρὰ τῶν θεμένων ἐτέθησαν, ἀλλ' ἕκαστα λόγον ἔχουσιν εὔλογον, δῆλον ἤδη ποιήσομαι. ἡ μὲν γὰρ μετ' ἰσημερίαν πανσέληνος τοῖς Ἑβραίων ζητεῖται παισίν· ἐπειδὴ 1.369 τοιοῦτος καὶ ὁ καιρὸς ἐκεῖνος ἦν, καθ' ὃν τόν τε ἀμνὸν ἔθυσαν καὶ Αἴγυπτον ἔφυγον. ἡ μὲν γὰρ τότε ἰσημερία τῇ τοῦ μαρτίου ἐννάτῃ καὶ εἰκοστῇ γεγένηται· ἡ δὲ μετὰ τὴν ἰσημερίαν τότε πανσέληνος τῇ μετ' αὐτὴν ἑξῆς, ἥτις κατ' ἐκείνους ἦν τεσσαρεσκαιδεκάτη τοῦ Νισσάν· ὃς ἀντὶ τοῦ καθ' ἡμᾶς μαρτίου πρῶτος αὐτοῖς ἐν τοῖς μησὶ τοῦ ἐνιαυτοῦ ἀριθμεῖται. οὐ γὰρ ὁμοίως ἡμῖν οὐδ' ἀπὸ μιᾶς καὶ τῆς αὐτῆς ἡμέρας ποιοῦνται τὰς τῶν μηνῶν τε καὶ ἐνιαυτῶν ἀρχὰς Πέρσαι καὶ Ἀλεξανδρεῖς καὶ Αἰγύπτιοι καὶ πρὸς τοῖς ἄλλοις Ἰουδαίων παῖδες, ἀλλ' ὡς ἑτέρως ἕκαστοι. Ἀλεξανδρεῖς μὲν γὰρ πρὸ τριῶν ἡμερῶν τῆς πρώτης τοῦ καθ' ἡμᾶς σεπτεμβρίου τὴν ἀρχὴν τοῦ σφετέρου τίθενται ἔτους· Αἰγύπτιοι δὲ νῦν μὲν αὐτὴν, νῦν δ' ἑτέραν, καὶ ἄλλοτ' ἄλλην ἀεί· καὶ Πέρσαι δὲ καὶ Μῆδοι καὶ Ἰνδοὶ τούτοις τε πᾶσι καί σφισιν αὐτοῖς ἀλλήλοις ἀσύμφωνα. καὶ Ἰουδαῖοι δὲ ποτὲ μὲν τήνδε τοῦ καθ' ἡμᾶς μαρτίου, ποτὲ δ' ἑτέραν ἡμέραν, καὶ ἄλλοτ' ἄλλην ἀεὶ, ἀρχὴν τοῦ παρ' αὐτοῖς ποιοῦνται Νισσάν. ἀπὸ γὰρ συνόδου πρὸς σύνοδον τῶν δύο φωστήρων τὰς τῶν μηνῶν ἀριθμοῦντες περιόδους τὸν ἑαυτοῦ μεταξὺ τὴν ἠρινὴν ἰσημερίαν περιλαμβάνοντα πρῶτον καὶ ἀρχὴν τῶν ἄλλων ποιοῦνται μηνῶν καὶ Νισσὰν ὀνομάζουσιν, ἀόριστον τὴν οἰκείαν ἔχοντα ἀρχήν. φησὶν οὖν πρὸς Μωσέα πάλαι ὁ κύριος· "1ὁ μὴν οὗτος ὑμῖν ἀρχὴ μηνῶν πρῶτος ὑμῖν ἐστιν ἐν τοῖς μησὶ τοῦ ἐνιαυτοῦ. τῇ δεκάτῃ τοῦ μηνὸς τούτου λαβέτω ἕκαστος τῶν υἱῶν Ἰσραὴλ πρόβατον κατ' οἰκίαν. καὶ ἔσται ὑμῖν διατετηρημένον ἕως τῆς τεσσαρεσκαιδεκάτης τοῦ μηνὸς τούτου· καὶ σφάξουσι πρὸς ἑσπέραν καὶ φάγονται. καὶ ποιήσετε 1.370 τὴν ἡμέραν ταύτην νόμιμον αἰώνιον εἰς γενεὰς ὑμῶν."2 ταῦτ' ἄρα καὶ εἰς ἀνάμνησιν τῆς ἡμέρας ἐκείνης ἐτήσιον ἀεὶ ποιοῦνται τὴν τοῦ Πάσχα πανήγυριν· οὐ μόνον δὲ, ἀλλὰ καὶ εἰς τύπον τῆς ἐκ τοῦ παρόντος πρὸς τὸν μέλλοντα αἰῶνα διαβάσεως κατὰ τὴν ἐξ Αἰγύπτου διάβασιν. ὅθεν καὶ ἀνεσπέρου τοῦ μέλλοντος ὄντος αἰῶνος ἀνέσπερον ἕτερον τρόπον εἶναι δεῖν φασι καὶ τὸ τῇδε τῇ πανηγύρει διακονοῦν νυχθήμερον. τοῦτο δὲ γίνεται πλησιφαές τε καὶ πανσέληνον τὸ πρὸς ἡμᾶς ἡμισφαίριον τῆς σελήνης ἐχούσης. τὴν γὰρ τοῦ ἡλίου τηνικαῦτα δύσιν ἡ τῆς σελήνης εὐθὺς ἀνατολὴ διαδέχεται καὶ οὐδεμίαν ὥραν ἡμῖν ἐᾷ σκοτισθῆναι τὸν ὑπὲρ κεφαλῆς ἀέρα. ἦν μὲν τοίνυν καὶ τότε, ὡς εἰκὸς, πλησιφαὲς τὸ πρὸς ἡμᾶς αὐτῆς ἡμισφαίριον ἔχουσα ἡ σελήνη τῇ ἕκτῃ τῆς ἕκτης ἐκείνης ἡμέρας ὥρᾳ ὀγδοήκοντα καὶ ἑκατὸν τηνικαῦτα τοῦ ἡλίου ἀφισταμένη μοίρας. διά τοι τοῦτο καὶ τεράστιον ἔδοξε τοῖς ἀστρολόγοις καὶ ὑπὲρ λόγον ὁ λόγος τῆς τότε γενομένης ἡλιακῆς ἐκλείψεως. οὐ γὰρ φυσικός τις εἵπετο ταύτῃ λόγος. ἐν γὰρ μιᾷ τοῦ ζωδιακοῦ γενομένων μοίρᾳ τῶν δύο φωστήρων αἱ φυσικαὶ τοῦ ἡλίου τελοῦνται ἐκλείψεις, ὑποτρεχούσης τῆς σελήνης τὸν ἥλιον. ὀγδοήκοντα δὲ καὶ ἑκατὸν διϊσταμένην μοίρας τὴν σελήνην ὀπισθοδρομῆσαι καὶ ὑποδραμεῖν τὸν ἥλιον, τοῦτο δ' ὑπὲρ πάντα φυσικὸν ἐτελεσιουργήθη λόγον. ὅθεν καὶ πρό γε πάντων ἀστρονόμοι τὸ θαῦμα διὰ θαύματος ἤγαγον καὶ θεὸν εἶναι τὸν πάσχοντα ἔφασαν. τοῖς γὰρ ἀμαθέσιν οὐδὲ τεράστιον ἔδοξεν, ἀλλ' εἰωθὸς 1.371 τοῖς πλείστοις ἔτεσιν. ἐν ἐκείνῃ τοίνυν τῇ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

πανσελήνῳ καὶ τὸ Πάσχα τοῖς Ἰουδαίοις ἐθύετο· ἐν ἐκείνῃ δέ γε καὶ τὰ τῆς ἰσημερίας ἦν· ἐν ἐκείνῃ δὲ καὶ ὁ σωτὴρ, ὡς ἔφημεν, ὑπὲρ ἡμῶν ἐθανατοῦτο. γνώριμον δὲ δήπου τοῖς ἅπασιν, ὡς τρίτη μὲν ἦν μετὰ τὴν νομικὴν ἐκείνην ἑορτὴν, ἐν ᾗ τὸ τῆς θεϊκῆς ἡμῖν ἀναστάσεως μυστήριον ἐγεγένητο· καὶ ὡς πέμπτην καὶ εἰκοστὴν τηνικαῦτα ὁ μάρτιος ἤνυε μήν. ἃ δὴ δύο ὄντα ἐν ταὐτῷ, τήν τε τοῦ μηνὸς ἡμέραν δηλαδὴ καὶ τὸ τῆς ἀναστάσεως μυστήριον, διχῇ καὶ τριχῇ καὶ πολλαχῇ διελόμενοι τὸ τῶν εὐσεβῶν σύστημα οἱ μὲν τὴν τοῦ μηνὸς ἡμέραν νόμιμον αἰώνιον ἦγον ἑξῆς ὑπηρέτιν τῆς ἡμῶν πανηγύρεως· οἱ δὲ τὴν τοῦ νομικοῦ Πάσχα πανήγυριν πρότερον ἀνιχνεύοντες εἶτα τὴν ἐξ ἐκείνης τρίτην ἑόρτιον ἦγον τοῦ καθ' ἡμᾶς μυστηρίου· κἀντεῦθεν ἀνέορτον καὶ τὸ τῆς ἑορτῆς ἐφαίνετο καὶ οὐ μικρόν τι τὸ στασιάζον καὶ ἀτακτοῦν τῇ τοῦ Χριστοῦ ἐκκλησίᾳ ἐπήγετο. εἰ μὲν γὰρ ἀεὶ τὴν ἐκ τοῦ νομικοῦ Πάσχα τρίτην ἐν ταὐτῷ συνέπιπτε καὶ πέμπτην εἶναι τοῦ μηνὸς καὶ εἰκοστὴν, βέλτιον ἂν ἦν καὶ ὁμήγυρις ἦν ἡ πανήγυρις. ἐπεὶ δὲ τὸ μὲν συμπίπτειν ἀμφότερα πάνυ τοι σπάνιον καὶ μόγις που διὰ πλείστων ἐτῶν· τὸ δὲ διεστάναι θάτερον θατέρου, τοῦτο δὲ μικροῦ διηνεκὲς καὶ ἐτήσιον· οἱ μὲν ἔφθανον τὴν μετ' ἰσημερίαν πανσέληνον, οἱ δ' ὑστέριζον. ἄλλοι δὲ χαίρειν φάσκοντες ἰσημερίας καὶ ἀμνοὺς καὶ θύματα καὶ πάντα νόμιμα ἔθιμα μόνην τὴν τεσσαρακονθήμερον ἐξαριθμοῦντες ἤνυον νηστείαν, ὅποι τε καὶ ὅπως τύχοιεν. ἐντεῦθεν καὶ σύγχυσίς τις καὶ κυκεὼν ἦν καὶ γλωσσῶν, ὡς εἰπεῖν, 1.372 μερισμὸς ἐφ' ἑνί τινι πράγματι. ἧπου γὰρ εἰκὸς, τοὺς μὲν ἀσιτίαν ἀσκεῖν καὶ συμπαθεῖν τοῖς τοῦ σωτῆρος πάθεσι· τοὺς δὲ τρυφᾷν καὶ τοῖς ἐκείνου ἐπινικίοις συνήδεσθαι· καὶ τὸ καλὸν οὐ καλῶς ἑκατέρους ἐπιτελεῖν, πολλὰ ποιοῦντας τὸ ἓν καὶ διασπῶντας τὴν τῆς ἐκκλησίας ὁμόνοιαν καὶ τὸν καλῶς ἀλληλουχούμενον μεριζομένους σύνδεσμον. τοῦτο τοίνυν οὕτω τεμνόμενον καὶ οὕτω διασπώμενον οἱ τῆς εὐσεβείας πρόβολοι καὶ θεῖοι συνιδόντες διδάσκαλοι θεσπίσμασι κανονικοῖς ὡσπερεί τισι χαρακώμασι περιφράττουσι, μηδένα πιστὸν πρό γε τῆς ἠρινῆς ἰσημερίας τελεῖν τὴν τῆς ἀναστάσεως νομοθετήσαντες πανήγυριν· ἀλλ' ἐν κυριακῇ τῇ ἐφεξῆς μετὰ τὸ Ἰουδαϊκὸν Πάσχα, τῇ μετὰ πανσέληνον δηλαδὴ τῇ μετ' ἰσημερίαν. ταῦτ' ἄρα καὶ χρεὼν πάντα πιστὸν σὺν ἀκριβείᾳ ζητεῖν τὴν μετ' ἰσημερίαν πανσέληνον, εἰ βούλοιτο μὴ παραβαίνειν τὰ τῆς ἐκκλησίας θεσμά. ταύτης γὰρ λανθανούσης ἕπεται λανθάνειν καὶ τὴν ἡμῖν ὀφειλομένην ἡμέραν ἑόρτιον καὶ ὥσπερ ἐν ἀδήλῳ πελάγει ναυαγεῖν ἡμᾶς ἴσα γε πλανωμένῃ νηῒ, ἣν ἀπολαβοῦσαι νύκτες καὶ χειμῶνες τάς τε ἀγκύρας ἐξέκοψαν καὶ αὐτὴν τῆς προσηκούσης μάλα ἀπήλλαξαν καταγωγῆς. (Γ.) Τούτων οὕτω λεχθέντων καὶ οὕτω διατρανωθέντων προσήκατο μὲν καὶ ἥσθη τῇ ἀποδείξει ὁ βασιλεύς· τάχα δ' ἂν καὶ ἐμέλλησε τὴν διόρθωσιν αὐτίκα ἐπενεγκεῖν· ἀλλ' ἵνα μὴ τοῦτο σύγχυσις μᾶλλον τοῖς ἀμαθέσι φανῇ καὶ μερισμὸν ἐπαγάγῃ τῇ ἐκκλησίᾳ, 1.373 σεσιγημένον ἀφῆκε τὸ πρᾶγμα καὶ ὅλως ἀνεπιχείρητον. μηδὲ γὰρ ἂν εἶναι ῥᾴδιον ἔφησεν, ἅπαντας ἐν ταὐτῷ τοὺς ἀνὰ πᾶσαν ἤπειρον καὶ νῆσον ὁμοφύλους διαδραμεῖν καὶ πεῖσαι μεταμαθεῖν τὴν διόρθωσιν· μερίζεσθαι δ' αὖ καὶ ἄλλους ἄλλην πανηγυρίζειν καὶ ἑτέραν ἑτέρους ἄγειν ἑόρτιον, τοῦτο δ' οὐ σφόδρα χρηστόν. ὥστ' ἐξ ἑκατέρων θάτερον κουφότερον ἐφάνη, κεῖσθαι τὰ τοῦ πράγματος ὡς ἔκειτο καὶ μένειν ὡς ἔμενεν μέχρις ἡμῶν. ἐμοὶ δὲ τοὐναντίον μᾶλλον ἐδόκει κουφότερον. τὸ γὰρ τοὺς ὁμοφύλους ἅπαντας καθάπαξ πεῖσαι τῇ διορθώσει συνθέσθαι, εἰ μὴ ῥᾴδιον χρόνῳ ἑνὶ, ἀλλὰ δυσὶ καὶ τρισὶ ῥᾴδιον ἂν ἦν· ὥσπερ κἂν τοῖς πρὸ ἡμῶν, ὡς ἔφημεν, πάλαι πολλάκις γεγένηται. ἀλλὰ δι' ἣν ἔφθημεν εἰρηκότες αἰτίαν τὸ τοῦ βασιλέως τέως ἐκράτησε δόγμα μᾶλλον ἢ τὸ ἡμέτερον. ἀλλὰ τούτων μὲν ἅλις. ιδʹ. Μετὰ δὲ ταῦτα ἐλθὼν ὁ βασιλεὺς εἰς Βυζάντιον ἐστέφθη φεβρουαρίου ἡμέρᾳ δευτέρᾳ τῆς ὀγδόης ἰνδικτιῶνος. συνέβη δ' ἀπερχομένοιν τοῖν δυοῖν βασιλέοιν ἐς τὸ μέγα τῆς τοῦ θεοῦ Σοφίας τέμενος τῆς στεφηφορίας ἕνεκα πεσεῖν τὸν γηραιὸν βασιλέα ξύν γε τῷ ἵππῳ ὀλισθήσαντι εἰς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τελματώδη λίμνην τινὰ κατὰ τὴν ὁδὸν ἐξ ὀμβρίων ὑδάτων συστᾶσαν· καὶ ἔδοξε τὸ τοιοῦτον σύμπτωμα τοῖς συνετωτέροις οὐκ ἀγαθὸς ὄρνις εἶναι τῷ πεπτωκότι. (Β.) Ἐς δὲ τοὐπιὸν ἔτος ἀπῄει συζευχθησομένη τῷ Κράλῃ Σερβίας ἡ θυγάτηρ τοῦ πανυπερσεβάστου. μετὰ βραχὺ δ' ἀπῄει πρὸς αὐτὴν θεωρίας ἕνεκα καὶ ἡ μήτηρ αὐτῆς. μετὰ μικρὸν δὲ καὶ ὁ πανυπερσέβαστος οὐκ ἐθέλων ἔτι ὑπὸ βασιλεῖ εἶναι, ἀλλ' ἑαυτῷ περι 1.374 ποιήσασθαι βασιλείαν, ἅτε δηλαδὴ κλῆρον οὖσαν αὐτῷ πατρικὸν, ἀφεὶς τὴν τῆς Θεσσαλονίκης ἐπιτροπὴν καὶ διοίκησιν ᾤχετο καὶ αὐτὸς ἀπιὼν ἐς Κράλην τὸν γαμβρὸν αὐτοῦ, σύμμαχον αὐτὸν ληψόμενος τῷ σκοπῷ τοῦ τοιοῦδε βουλεύματος. ὑφ' οὗ προσδεχθεὶς ἐξῆλθεν ἅμα αὐτῷ καὶ πᾶσαν τὴν ἄχρι Στρυμόνος τοῦ ποταμοῦ καὶ Σεῤῥῶν ἐληΐσατο χώραν. ὅθεν ὁ γηραιὸς βασιλεὺς διὰ δέος μειζόνων κακῶν ἀπέστειλε πρεσβείαν πρὸς αὐτὸν καὶ ἅμα τῇ πρεσβείᾳ καὶ τὰ τοῦ Καισαρικοῦ ἀξιώματος σύμβολα. ἅπερ ἐν τῷ τῶν Σκοπίων πολιχνίῳ δεξάμενος ἐκεῖνος ἐφόρεσε καὶ εἰρηνεύειν ὑπέσχετο τοῦ λοιποῦ καὶ μηδὲν ἔτι πλέον ζητεῖν. ἔμελλε δὲ ἤδη καὶ ἐς Θεσσαλονίκην ἐπανελθεῖν, ἀλλὰ νόσῳ δεινοτάτῃ ληφθεὶς μετὰ βραχείας ἡμέρας ἐκεῖ τὸ πέρας τοῦ βίου ἐδέξατο. Καισάρισσα δὲ ἡ γυνὴ αὐτοῦ ποθοῦσά τε συνεῖναι τῇ θυγατρὶ καὶ τῷ γαμβρῷ καὶ πρός γε αἰδουμένη Ῥωμαίους διὰ τὰ συμπεσόντα τῷ ἀνδρὶ αὐτῆς οὐκ ἤθελεν ἐκεῖθεν ἐξελθεῖν. ταῦτ' ἄρα ἀναγκασθεὶς ὁ πατὴρ αὐτῆς κεκίνηκε τὸν βασιλέα πρεσβείαν πρὸς τὸν Κράλην ποιήσασθαι περί τε καταστάσεως ἄλλης τῶν Ῥωμαϊκῶν πραγμάτων καὶ περὶ τῆς Καισαρίσσης, ὅπως οἴκαδε ἀναγκάσῃ ταύτην ἐπανιέναι. (Γ.) Τότε τοίνυν ἀπεστάλην κἀγὼ πρέσβυς ἐς Κράλην σύν τε ἄλλοις καὶ τῷ ἀδελφῷ αὐτῆς δι' ἃς ἔφθημεν εἰρηκότες αἰτίας. ἐπειράθημεν δὲ οὐκ ὀλίγων ἐν τῇ ὁδῷ τῶν δεινῶν, φήμης τε μελλούσης Σκυθικῆς ἐφόδου διατρεχούσης καὶ θορυβούσης τὴν Θρᾴκην καὶ διωκούσης ἐκ τῆς χώρας ἐς τὰ φρούρια τοὺς ἀνθρώ 1.375 πους καὶ τοὺς οἴκους ἐρήμους ποιούσης, ἐφ' ὧν ἡνίκ' ὀψὲ εἴη καταλύειν ἡμᾶς ἐχρῆν καὶ τὸν ἐκ τῆς ὁδοῦ μόχθον ἀποτρίβεσθαι. καὶ τὰ μὲν ἄχρι Στρυμόνος συμπεπτωκότα ἡμῖν ἐῶ. ἐκεῖσε μὴν γενομένοις ξυνηνέχθη τι καὶ παθεῖν ἡμᾶς πλέον ἀκοῆς μάλιστα πάντων ἄξιον, ὁπόσα λύπης καὶ γέλωτος φέρει σπονδὰς ἐν ἀνθρώπου ψυχῇ. ἀβουλίᾳ γάρ τοι τοιαύτῃ χρησαμένοις, ὁποία καὶ Δημοκρίτου μάλα τοι γελῶντος ἐρῴη ἂν, ἐς τοιοῦτον συνηλάθη κίνδυνον ἡμῖν τὰ ἡμέτερα, ὁποῖος καὶ Ἡρακλείτου μάλα γέ τοι δακρύοντος ἐρῴη ἄν. ἴσασι γὰρ ἅπαντες πεζοῖς καὶ ἱππόταις ἀνδράσιν ἄπορον ὄντα Στρυμόνα τὸν ποταμόν· ὅτι καὶ μέγιστος ἐπεφύκει ὁπόσοι Θρᾴκην καὶ Μακεδονίαν τέμνοντες ἔς τε Ἑλλήσποντον καὶ Αἰγαῖον ποιοῦνται τὰς ἐκβολάς. τίκτουσι γὰρ αὐτὸν τὰ ὑπερκείμενα μέγιστα ὄρη, ἃ κατὰ τὸ συνεχὲς παρατείνει μέχρι τοῦ Ἰονίου πελάγους ἐκ τοῦ πόντου ἀρξάμενα τοῦ Εὐξείνου, ὁρίζοντα μὲν πρὸς μεσημβρίαν καὶ νότον ἄνεμον Θρᾴκην καὶ Μακεδονίαν, πρὸς δ' ἄρκτους τάς τε Μυσῶν χώρας καὶ ποταμὸν τὸν Ἴστρον· ὃς καὶ αὐτὸς μέγιστος ὢν ἢ πάντες, ὅσοι τὴν Σκυθικὴν ἐπίασι, πέντε στόμασιν ἐς τὸν Εὔξεινον ἐκδίδοται πόντον. τοῦτον οὖν τὸν Στρυμόνα ἐκ τοιούτων πηγῶν ἀνίσχοντα καὶ οὕτω βαθυδίνην γιγνόμενον ἀκατίῳ ἑνί τινι πάνυ σμικρῷ διαπεραιούμενοι καθ' ἕνα που ἢ καὶ σύντρεις ἐνίοτε ξύν τε ὑποζυγίοις αὐτοῖς πολλήν τινα τὴν ἡμέραν κατηναλώκειμεν. ὁ γὰρ τῶν ὑποζυγίων καὶ ἡμῶν αὐτῶν ἀριθμὸς εἰς τὸ διπλάσιον ἢ καθ' ἑπταπλάσιον δεκάδα ἦν ἀνηγμένος. ὁ δ' ἥλιος τὸν ἡμέτερον παραλλάξας μεσημβρινὸν 1.376 ἔς τε δύσιν καὶ ὁρίζοντα τὸν ἑσπέριον ᾔει. καὶ δέον ὂν σταθμῷ χρήσασθαι καὶ καταλύειν αὐτοῦ που, ἡμεῖς δ' ἁμαρτόντες ὁδῷ ἔτι ἐχρώμεθα, ἐλπίσαντες πάντως καταγωγίοις ἀποχρῶσιν αὐτίκα ἐντεύξεσθαι, πρὶν ἢ πεντεκαίδεκα σταδίων ἔχειν ἀνύτειν ἐς τὸ πρόσω ὁδόν. ἦν δὲ ἄρα τὰ τῶν ἐλπίδων οὐ μάλα ἐπιτυχῆ. ἔφοδοι γάρ τινες ληστρικαὶ συνεχείᾳ χρησάμεναι πρὸ μικροῦ τάχιστα τὸν τόπον ἔρημον ἐκεῖνον καὶ ἀτριβῆ πεποιήκεσαν. καὶ μέντοι καὶ ἐφερόμεθα καθάπερ τινὲς πλάνητες θεῷ τε καὶ ἀδήλοις ἐλπίσι τὰ ἡμέτερα ἀναρτήσαντες. (Δ.)



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Νὺξ δ' ἐπὶ τούτοις παρῆν. δύσσετο γὰρ ἠέλιος σκιόωντό τε πᾶσαι ἀγυιαί. ἡ δὲ σελήνη ἀπῆν. ἐς γὰρ τὸ περίγειον τοῦ ἑαυτῆς τὸ δεύτερον ἄρτι ἐληλυθυῖα ἐκκέντρου καὶ κατὰ τετράγωνον τῷ ἡλίῳ γενομένη σχηματισμὸν οὐ μάλα ἀκρονύκτους ἡμῖν ἐβούλετο χαρίζεσθαι τὰς αὐγάς. ταύτῃ τοι καὶ ᾔειμεν διὰ παχυτάτου τοῦ σκότους, καθάπερ οὓς διὰ τοῦ Ταινάρου τὰς ἐς ᾅδου καθόδους ποιεῖσθαί φασιν ἢ τὰ ὑπόγεια Τροφωνίου μαντεύματα. προσετίθετο γὰρ τῇ ἀσελήνῳ ἐκείνῃ νυκτὶ καὶ ἡ τῶν κυκλούντων λόφων σκιά. αἱ γὰρ σφῶν ὑπερβολαὶ παρὰ τοσοῦτο καὶ οὐρανοῦ τὴν θέαν ἡμᾶς ἀφῃροῦντο, παρ' ὅσον οὐδ' ἄστροις τὸ θρυλλούμενον τεκμαίρεσθαι σαφῶς τὴν δυστυχῆ πορείαν εἴχομεν ἐκείνην. αὐτὰρ ἔμοιγε κατεκλάσθη φίλον ἦτορ· οὕνεκά μοι ἰέναι ἐπῄει δολιχὴν ὁδὸν ἀργαλέην τε. λόχμῃ γὰρ ἐντυγχάνομεν πάνυ δασείᾳ καὶ ἀνωμάλῳ, συχνοὺς κατ' ὀλίγον ἐχούσῃ λόχους καὶ φάραγγας· ὅθι δὴ καὶ ἐς τοσοῦτον ἀμελῶς ἔσχομεν ἐς τὸ δαψιλὲς διαῤῥηγνυμένων τῶν ἡμετέρων τῶν τε πεδί 1.377 λων τῶν τε χλαμύδων ταῖς τῶν ἀκανθῶν ἀνθολκαῖς, ὥστε περὶ τῶν ὄψεων αὐτῶν ἐδεδίειμεν, συχνοῖς καὶ ἀλλεπαλλήλοις τοῖς τῶν ἀκροδρύων βοστρύχοις χρώμενοι πολεμίοις τῶν ἡμετέρων προσώπων. καὶ μέντοι καὶ ἀμελήσαντες ἡνιῶν καὶ ῥυτήρων, οἷς τοὺς ἵππους ἰθύνομεν, σκέπην ἐποιούμεθα τὰς χεῖρας τῶν ὄψεων. τῆς γε μὲν ἑπομένης θεραπείας, οἷς οὐδὲ πάνυ τοι τῶν παρόντων ἔμελε φόβων, ἦσαν οἳ φωναῖς ἐχρῶντο καὶ μέλεσι τραγικοῖς· ᾖδον δ' ἄρα κλέα ἀνδρῶν, ὧν οἷον κλέος ἀκούομεν, οὐδέ τοι ἴδμεν. αἵ τε περὶ ἡμᾶς φάραγγες, καὶ ὅσα μεταξὺ κοῖλα τῶν πέριξ ὀρῶν, περιλαμβάνουσαι τὴν κραυγὴν καὶ ὥσπερ ἔμψυχοί τινες ἀκήρατον φυλάττουσαι ταύτην καὶ ἀπαθῆ καὶ τῶν ἄρθρων ὁμοίως ἔχουσαν κατὰ διαδοχὴν οἷον ἀντήχουν καὶ ἀντεφώνουν, ὥσπερ ἐν ταῖς χορείαις ἑπόμεναι καὶ αὗται καὶ ἀντᾴδουσαι πρὸς τὸ τοῦ μέλους ἐνδόσιμον. ἐγὼ δ' ἐν τούτοις ἀναφέρειν παρῄνουν τὸν λογισμὸν καὶ μὴ συχνοῖς περιαντλεῖσθαι τοῖς φόβοις. ὁ δ' οὐκ ἐπείθετο· ἀλλὰ δῆλος ἦν οὔτε τὴν ὁδὸν τῆς ἀκαιρίας ἀφιστάμενος λοιδορεῖν· αὐτός τε ἐφ' αὑτὸν συχνὰ ἀναστρέφων λόχους καὶ λωποδύτας ἀνεκύκλει καὶ ἄνδρας αἱμάτων, μήπως ἐξ ἀφανοῦς εἰσπεσόντες ἔργον ἡμᾶς ἀποφήνωσι ξίφους. (E.) Οὐκοῦν ἀλλ' ἐν τούτοις ὄντων ἡμῶν ἐξαίφνης ἀνίστανταί τινες ἄνδρες τῶν ἐκεῖσε πετρῶν καὶ φαράγγων μελαίνας ἐσθῆτάς τινας περικείμενοι, αἵ εἰσιν ἐξ ἐρίων καὶ κωδίων, ἅττα ποτὲ ζώων ἀπεδύσαντο οἷς δήπου γ' ἐχρῆν· ἄντικρυς δαιμόνια φάσματα· πλὴν οὐ κατάφρακτοί τινες ὁπλῖται, ὅτι μὴ καθάπαξ ψιλοί· καὶ ἀγχέμαχά τινα ὄργανα ταῖν 1.378 χεροῖν οἱ πλείους ἔχοντες, ὅσα ἐν λόγχαις εἰσὶ καὶ πελέκεσιν. ἦσαν δ' οἳ καὶ ὅσα ἐν τηλεβόλοις. καὶ τὸ μὲν πρῶτον ἐκπλήξει καὶ δέει καθυπέβαλον τὰ ἡμέτερα. πῶς γὰρ οὔ; ἐν τόποις ἀλλοτρίοις ὄντων καὶ ἀωρίᾳ τοιᾷδε καὶ γλώσσῃ πρὸς τούτοις οὐχ ἡμετέρᾳ χρώμενοι; Μυσῶν γὰρ ἄποικοι τῶν ἐκεῖσε προσοικούντων εἰσὶν ἀρχῆθεν οἱ πλείους καὶ τοῖς ἡμῖν ὁμοφύλοις ἀναμὶξ τὴν δίαιταν ἔχοντες. ἔπειτα ἀνεφέρομεν καὶ ἑαυτῶν ἐγιγνόμεθα αὖθις. ἠσπάζοντο γὰρ ἡμᾶς ἐκεῖνοι τῇ σφῶν διαλέκτῳ προσηνές τι καὶ ἱλαρόν· καὶ οὐδὲν οὐδαμῇ ληστρικὸν ἐπεδείκνυντο· εἴτε πρὸς πολλοὺς ἡμᾶς ὀλίγοι καὶ βραχεῖς τινες ὄντες αὐτοὶ οὐκ ἀξιομάχους σφᾶς αὐτοὺς κρίναντες ἐς μοῖραν ἀντίπαλον καταστῆσαι· εἴτε καὶ θεοῦ κωλύσαντος· ὃ καὶ μᾶλλον τίθεμαι καὶ πολλοῦ δέω θάτερον. οἱ μὲν γὰρ ὄντες ἐγχώριοι καὶ τοῖς ἐκεῖσε προλοχίζειν ἐνέδρας ἐθάδες πρὸς ξένους ἡμᾶς ἐν οὕτω ζοφώδει τῇ ὥρᾳ καὶ ἅμα τὸ τῆς ὕλης συνηρεφὲς σύμμαχον ἄμαχον ἔχοντες τοιαύτην εἴπερ ἐβούλοντο τὴν μάχην ἐτέλουν ἂν, οἵαν καὶ βλέποντες ἂν πρὸς τυφλούς. ὅμως μέντοι τὴν ὁμοίαν ἐξ ἡμῶν καὶ αὐτοὶ πρόσρησιν ἀντειληφότες (ἦσαν γὰρ οἳ καὶ τῶν ἡμετέρων τῆς ἐκείνων γλώττης οὐ πάνυ τοι ἀδαεῖς ἦσαν) τὴν αἰτίαν ἐν βραχεῖ διῄεσαν τῆς σφῶν αὐτόθι διαίτης· ὡς φύλακες εἶεν τῶν ὁδῶν καὶ ὡς ἀποσοβοῖεν πάντα τινὰ τὸν βουλόμενον τὰς ἔγγιστα χώρας ἐπιόντα λάθρα ληΐζεσθαι. ἤδη δὲ καὶ τὸ τρίτον τῆς νυκτὸς παρεῤῥύη, ὡς ἔκ τινων οἳ ὑπὲρ κεφαλῆς ἦσαν ἀστέρες ἐτεκμαιρόμεθα. ἄρτι



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

δὲ καὶ κυνῶν ὑλακαὶ προσέβαλον πόῤῥωθεν ἡμῖν, μονονουχὶ 1.379 προσκαλούμεναι καὶ τὴν φέρουσαν κώμην δεικνύουσαι ὡς πολυάνθρωπον καὶ πόνῳ πολλῷ βαπτισθέντας ἀποχρῶσαν ξενίσαι ἀνθρώπους, εἰ καὶ ἥκιστα πάνυ τελέως, ἀλλ' οὖν οὐδὲ πάνυ τοι ἧττον ἢ τελέως. ἔνθα δὴ καὶ σπουδῇ προσελάσαντες καταγωγίοις ἄλλος ἄλλοσε διασπαρέντες ἐχρώμεθα, ὥσπερ ἐκ σάλου καὶ ναυαγίου ὅτῳ δήποτε περιτυχόντες λιμένι. εἰ δὲ καὶ ἡδὺν τῷ πεινῶντι πάντα τινὰ ἄρτον εἶναί φασιν, ἀλλὰ καὶ ἡμῖν τὸ ταῖς σποδιαῖς ἐγκαλινδεῖσθαι τέως ἡδύ τι καὶ φιλάνθρωπον ἐνομίζετο. (΄.) Τῇ δ' οὖν ὑστεραίᾳ πανημέριον ἀνύσαντες πορείαν ἔς τι γιγνόμεθα πολίχνιον, ὡς εἰπεῖν, ὑπερνέφελον, Στρούμμιτζαν οὕτω πως ἐγχωρίως καλούμενον, ὑψηλῷ τῷ ὄρει ἀπειλημμένον, ὥστε τοὺς ἐπὶ τῶν ἐπάλξεων καθημένους ἀνθρώπους ὀρνίθων τισὶν ἐοικέναι, εἴ τις κάτωθεν ἐκ τῆς πεδιάδος ὁρῴη. ἐνταῦθά γε μὴν καὶ τὸ θεῖον ἐτετελέκειμεν Πάσχα· ἀνιαρῶς μὲν καὶ παρὰ τὴν ἀρχῆθεν ἡμῖν συνήθειαν· ἐτετελέκειμεν δ' οὖν. λῆρος γὰρ τοῖς ἐκεῖ παίδευσις ἅπασα καὶ ῥυθμὸς καὶ μοῦσα ἐμμελὴς ἱερᾶς ὑμνῳδίας, βάρβαρον ἠσκηκόσι γλῶτταν ὡς τὰ πολλὰ καὶ ἤθη μάλα γέ τοι εὐφυῶς προσήκοντα σκαπάνῃ. οὐ γὰρ μιξοβάρβαρον μὲν, εὔρυθμον δὲ τὸν ἦχον προὔφερον, ἵνα τις ἦν καὶ αὐτὸς, ὥσπερ οἱ Μιξολύδιοι καὶ εἰ δεῖ λέγειν οἱ Μιξοφρύγιοι, ἀλλ' ὅλον βοσκηματώδη καὶ ὄρειον καὶ ὁποῖον ἂν οἱ νομάδων ᾄσαιεν παῖδες, ὁπότε πρὸς τὰς ῥαχίας καὶ τὰς νάπας τὸ ποίμνιον ἄγοιεν ὥρῃ ἐν εἰαρινῇ, ὅτε τε γλάγος ἄγγεα δεύοι. ἐπεί γε μὴν κατὰ χώραν αὐθημερὸν ἐμείναμεν τῇ τε ἑορτῇ νέμοντες καὶ καθήκοντα καὶ ἡμῖν 1.380 μέρος ἀνέσεως καὶ ῥᾳστώνης, ἐκ τῶν τειχῶν προκύπτοντες ἄνωθεν ὥσπερ ἐκ νεφελῶν πρὸς τὴν πεδιάδα τά τε ἄλλα ὁπόσα ταῖς πανηγύρεσιν ἐπεκράτησε γίνεσθαι ἑωρῶμεν καὶ δὴ καὶ χορείας παντοδαπὰς ἀνδρῶν ἐφήβων τε καὶ ὅσοι ἥβης ἐλλιπεῖς. καὶ τοῦτο παρέσχεν ἡμῖν ἡ παροῦσα πανήγυρις ἀντ' ἄλλης ἀνέσεως καὶ τρυφῆς πολλῷ γε ἥδιον ἢ Ἀθηναίοις καὶ Σπαρτιάταις, ὁπότε γέ σφισιν ἐπῄει τελεῖν πρὸ τοῦ ἄστεος τοῖς μὲν τὰ Διάσια, τοῖς δὲ ἅ φασιν Ὑακίνθια. ἦν γὰρ ἡμῖν κομιδῇ συμμαχόμενον ἐς τὸ μᾶλλον ἐκείνων ἥδεσθαι τό,τ' εὐσεβὲς τό,τ' ἐν ὅροις ὑπερορίοις ἀπηρτημένους καὶ τῶν οἰκείων ὄντας ἐκδήμους ἐντυχεῖν καθάπερ ἐπὶ μεγάλου πελάγους οἱαδή τινι νήσῳ· ὁπότε καὶ τὰ τῆς εὐφροσύνης, ὁποῖά γε εἴη, πολλῷ πολλαπλάσια φαίνεται, ἤπερ ἐστὶν ἔς γε τὸ ὄν. (Ζ.) Ἐκεῖθεν τριταῖοι ἐς τὸ τῶν Σκοπίων πολίχνιον καταλύομεν ἐν ὅροις ἤδη τῶν Τριβαλλῶν· οὗ παραψαύοντα καὶ τὸν Ἀξιὸν τεθεάμεθα ποταμὸν, ὃς μετὰ Στρυμόνα μέγιστος ἡμῖν ἔδοξεν, ἐξ ὀρῶν τῶν αὐτῶν ἐκείνῳ ῥηγνύμενος· οὐ τοσοῦτος δ' ὢν ἐκ πηγῶν εὐθὺς, ἀλλ' οὖν ἐς τὸ κάταντες ἰὼν καὶ ἄλλοις χειμάῤῥοις τὸ ῥεῦμα κοινούμενος καὶ ἐς Βαρδάριον μετατιθέμενος τοὔνομα ἤδη καὶ ναυσίπορος ἐνίοτε καὶ ἐνιαχοῦ καθίσταται. ἐνταῦθα καὶ τοῦ ῥηγὸς, ᾧ Τριβαλλοὶ πάντες ἕπονται καί οἱ μάλα ὑπείκουσι, τῇ πενθερᾷ ἐντυγχάνομεν, τῇ εὐγενεῖ Καισαρίσσῃ, σύμβολα τῆς ἔνδον ὀδυνωμένης ψυχῆς τοὺς πενθίμους περικει 1.381 μένῃ χιτῶνας. ἦν γὰρ ἐπὶ νεαρῷ καὶ ἀκμάζοντι συγκεχυμένη τῷ πάθει· ᾧ καὶ πάνυ τοι πλείστην ἤδη κἀκ τῆς ἡμῶν θέας τὴν ῥοπὴν δεδωκυῖα ὅλη θρήνων καὶ τῶν δακρύων αὖθις ἐγίγνετο, συχνὰ ἐπιβοωμένη τὸν σύζυγον Καίσαρα, τὸν πολλῶν βασιλέων συγγενῆ, τὸν καλὸν, τὸν χρυσοῦν, τὸν γλυκὺν, τὸν πᾶσιν ἀγαθοῖς περιβρίθοντα· θάλασσαν εἶχε συμφορῶν τὴν καρδίαν καὶ πηγὰς δακρύων τοὺς ὀφθαλμούς· καὶ ὅλην κατεβάπτισεν ἑαυτὴν τοῖς τῶν θλίψεων κύμασιν, ἐν γῇ ἐρήμῳ καὶ ἀλλοτρίᾳ καὶ ἐπὶ ποταμοὺς, ὡς εἰπεῖν, Βαβυλῶνος, ἔρημος φίλων, γονέων, συγγενῶν, ἔσχατον ὁμοφύλων ἀνθρώπων, πάντων ὁμοῦ τῶν ὅσα δεξιοῦται ψυχὴν κατενηνεγμένην ὑπὸ σφοδρᾶς ἀθυμίας· "1ἵνα τί,"2 λέγουσα, "1δέδοται τοῖς ἐν πικρίᾳ φῶς, ζωὴ δὲ ταῖς ἐν ὀδύναις ψυχαῖς;"2 ταῦτα καὶ τὰ τούτοις ἑπόμενα λέγουσα ἐσπάραττε τὰς παρειὰς καὶ ῥύακας ἐντεῦθεν αἱμάτων ἐτρύγα ὄνυξι· μονονουχὶ καὶ τὰς ἀψύχους ἐκίνει φύσεις εἰς θρήνους καὶ δάκρυα. ἐντεῦθεν λόγοις ἡμεῖς ἐπειρώμεθα παραμυθητικοῖς, καθάπερ ὕδατι, τῆς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ὀδύνης σβεννύειν τὴν φλόγα, ἔνθεν μὲν ὁ πάντ' ἄριστος αὐτῆς ἀδελφὸς, ἐκεῖθεν δ' οἱ συμπρέσβεις, καὶ νῦν μὲν ἐγὼ, νῦν δ' αὐτῶν ἕκαστος, νῦν δ' ὁμοῦ πάντες· ὥστε καὶ ἀναφέρειν ὀψὲ πεπείκαμεν ταύτην, οὐ τελέως μὲν, οὐδ' ὡς μάλα ἡμῖν δι' ἐφέσεως ἦν. πεπείκαμεν δ' οὖν. ἦν γάρ πως καὶ ἄλλως ἡ γυνὴ συνέσεως ἤκουσα ἐπὶ μέγιστον, ὁπόσας ὁ καθ' ἡμᾶς βόσκων τεθέαται χρόνος· ἀλλὰ δὴ καὶ ξυνιέναι ὀξύτατα καὶ νοῦν ἐνθέσθαι, εἴ τις ἐν καιρῷ συμ 1.382 βουλεύοι τὰ καίρια, δεινὴ πάντων μᾶλλον. καὶ δὴ καὶ τόθ', ἡμῶν χρωμένων ὁπόσα ἐχρῆν εἰς παραμυθίας λόγον, τοῦ μὲν σπαράττεσθαι καὶ δακρύειν ἐπεῖχεν· ἡ δὲ ψυχὴ αὐτῆς ἀπηνήνατο διὰ τὸ τῆς συμφορᾶς ὑπερβάλλον παρακληθῆναι· ἀλλ' ἐπὶ τῆς δεξιᾶς ἐρείσασα τὴν κεφαλὴν ὅλας συνῆγεν ἐντὸς τὰς αἰσθήσεις ἐς τὰ τῆς διανοίας μυστήρια· καὶ συχνὰ τὸ εἴδωλον ἐφ' ἑαυτῆς ἀναπλάττουσα τοῦ συζύγου καὶ τὰς παρούσας τύχας ἀνακυκλοῦσα ὅλη τῶν λογισμῶν ἦν, στρέφουσα τά τε ἄλλα καὶ ὅπως, ὡς εἰπεῖν, ὑπὲρ τὰς κέδρους ὑψωθεῖσα τοῦ Λιβάνου καὶ ὑπὲρ τὰ κρῖνα ἀνθήσασα τοῦ ἀγροῦ καὶ ἐνευτυχήσασα τῷ βίῳ μᾶλλον ἁπασῶν, ὅσσαι οἱ ὁμοῦ τράφεν ἠδ' ἐγένοντο, εἶτ' ἀπεῤῥύη ταχὺ καὶ τὸ ἄνθος ἐλεεινῶς εἶδε κειρόμενον ἑαυτῆς καὶ κομιδῇ μαραινόμενον. ταῦτ' ἄρα καὶ βύθιον ἐστέναζε, καθάπερ ἐκ μεγάλης καμίνου τῆς ἔνδον πικρίας καπνοὺς ἀναπέμπουσα ζέοντας καὶ φλογώδεις. τὸ δ' οὖν τελευταῖον ἐν τούτοις καὶ ὁ ἡμέτερος διελέλυτο σύλλογος καὶ ἐφ' οὗ κατέλυεν ἕκαστος ἀπηλλάττομεν. (Η.) Ἡμέραι μεταξὺ παρεῤῥύησαν δέκα καὶ ἐπειδήπερ ἔγγιστα διατρίβων ἦν ὁ τῶν Τριβαλλῶν ἄρχων, τἄλλα τῆς πρεσβείας τετελεσμένα παραδοὺς τῶν πρέσβεων ἑνὶ καὶ ἀπιέναι κελεύσας ἧκεν ἅμα γυναικὶ παραμυθησόμενος τὴν αὐτὸς ἑαυτοῦ πενθερὰν καὶ τὸ λεῖπον τῇ πρεσβείᾳ προσαποδώσων. τουτὶ δὲ ἦν, προπέμψαι ξύν γε κόσμῳ καὶ ὅση ἀνήκουσα εἴη αἰδὼς, τοῦτο μὲν καὶ ὡς αὐτῆς κηδεστὴς, τοῦτο δὲ καὶ ὡς μεγάλου βασιλέως νύμφην, καὶ τρίτον ὡς περὶ τὰ καίρια δυστυχοῦσαν· ἃ πάντ' ἐν βραχεῖ διεπεπράχει, ὡς μὲν 1.383 ἐκείνῳ ἐδόκει, καλῶς· τῇδ' ἀληθείᾳ πολλῷ τοῦ δέοντος ἐνδεῶς. ἀλλ' οἱ πίθηκοι, φησὶ, πιθηκίζοντες καὶ οἱ μύρμηκες μυρμηκίζοντες τὰ σφῶν ποιοῦσιν αὐτῶν· εἰ δὲ μὴ καὶ τὰ ἀετῶν καὶ ὅσα λέουσιν ἔθιμα δύνανται μὴ οὐ πρὸς αὐτῶν ἂν ὑπάρχῃ τουτὶ φαυλότητι φύσεως ἀρχῆθεν συντεθραμμένων καὶ ἀπουσίᾳ τοῦ εὖ τε καὶ τεταγμένως ἡνιοχήσοντος λογισμοῦ. ἦ σοφὸς ἦν ἄρ' ἐκεῖνος, ὃς πρῶτον ἐν γνώμῃ τόδ' ἐβάστασε καὶ γλώσσῃ διεμυθολόγησεν, εἴτε Θαλῆς ὁ Μιλήσιος ἦν, εἴτε Πλάτων ὁ Ἀρίστωνος, εἴτε καὶ ἄμφω, παρὰ θατέρου ἅτερος ἐκδεξάμενος, τό γ' ἑαυτὸν μακαρίζειν ἐκθύμως, ὅτι μὴ βάρβαρος, ἀλλ' Ἕλλην γεγένηται. ἰδοὺ γὰρ ἐκείνοις ὁμόστοιχα λέγειν ἐπῄει κἀμὲ βέβαιον τὸν νοῦν ἐκ τῆς πείρας ξυνειλοχότα. ἀλλ' ἵνα μὴ διατρίβωμεν, ἐπανιτέον ἡμῖν ἐκεῖσέ ἐστιν. ἐπειδὴ γὰρ ἐπανόδου ἦμεν ἡμμένοι, ἡμέρας διηνυκότες ὁδὸν εἶτα ἀπαλλαττόμεθα. τῇ μὲν γὰρ τῇ Καισαρίσσῃ σφόδρ' ἀναγκαῖον ἦν τὴν ἐς Θεσσαλονίκην ὁμοῦ τοῖς ἄλλοις ἰέναι, ὡς ἂν τὰς τελευταίας ἐπιτελέσειε τοῦ ἀνδρὸς ἐντολάς. φθάνει γὰρ ἐκεῖνος ἐπ' ἐσχάταις τοῦ βίου πνοαῖς ἐπισκήπτων, ἐντός που τῆς εἰρημένης μετακομισθῆναί οἱ πόλεως τὸν νεκρόν. ἐμὲ δ' αὐτὴ τῶν κατὰ βούλησιν ὅσα οἱ πρὸς βουλήσεως ἦν ἀναθεῖσα ὅσον τάχος τὴν ἐς Βυζάντιον ἀνύτειν ἀφῆκε, δοῦσα καὶ ὅντινα δὴ Τριβαλλῶν, ὃς διὰ τραχείας τινὸς ἡμᾶς ἀγαγὼν ἀνιαρὰν ἡμῖν προὐξένησε τὴν ἐπάνοδον. ιε΄. Ἐν τούτῳ τῷ χρόνῳ τελευτησάσης ἄπαιδος τῆς ἐξ Ἀλαμανῶν ἐλθούσης τῷ νέῳ βασιλεῖ γυναικὸς Εἰρήνης μεταπέμπεται 1.384 δευτέραν ἐκ Λαμπαρδίας, ἣν καὶ μετωνόμασεν Ἄνναν· μεθ' ἧς καὶ παίδων ἐγεγόνει πατὴρ, ὡς εἰρήσεται προϊοῦσιν ἡμῖν. (Β.) Ἀσχολουμένου δέ ποτε τοῦ βασιλέως περὶ τὰ κυνηγέσια περὶ Χεῤῥόνησον συνέβη ναυαγίῳ χρησαμένους ἑβδομήκοντα Τούρκους ῥιφῆναι περὶ Χεῤῥόνησον καὶ αὐτούς. οἳ δὴ καὶ ἀντέστησαν τοῖς περὶ τὸν βασιλέα μάλα τοι ἰσχυρῶς πολεμοῦντες μέχρι πολλοῦ· ὥστε καὶ πρὶν ἐκεῖ τελέως ἅπαντας κατακοπῆναι, οὐ μόνον πολλοὺς τῶν Ῥωμαίων τοῖς βέλεσιν ἐτραυμάτισαν,


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀλλὰ καὶ τὸν πόδα τοῦ βασιλέως· ὡς πολὺν διαγαγεῖν χρόνον ὀδυνώμενον ἐκ τῆς τοιαύτης πληγῆς. ἐν τούτοις τοῖς χρόνοις τῶν ἑῴων ἀμεληθέντων αἱ πλεῖσται πόλεις καὶ χῶραι τῆς Βιθυνίας ὑπὸ τοῖς Τούρκοις ἐγένοντο. ἡλώκει δὲ καὶ ἡ Προυσαέων τῷ λιμῷ πολιορκηθεῖσα πόλις. (Γ.) Προσῆλθε δ' ἐν τούτῳ τῷ χρόνῳ τῇ καθ' ἡμᾶς ὀρθοδόξῳ ἐκκλησίᾳ καὶ ὁ τῶν Μανιχαίων διδάσκαλος, συνετὸς ὢν ἀνὴρ, καὶ τοὺς συνέσει διαφέροντας τῶν αἱρεσιωτῶν ἐπαγόμενος. οἳ δὴ καὶ πάσῃ προθέσει ψυχῆς ἐξομοσάμενοι τὰ τῶν ὁμοφύλων ἔθιμα τὸ θεῖον ἐδέξαντο βάπτισμα. ἐβουλόμην καὶ τὰ τῆς αἱρέσεως αὐτῶν ἐν τῷ παρόντι διεξελθεῖν δόγματα, ἵνα τοῖς ἀκούουσι γέλως εἴη· ἀλλ' ἐπειδήπερ αὐτά τε ταῦτα πολλοὶ πρὸ ἡμῶν βίβλοις παρέθηκαν καὶ ἀντιῤῥητικοῖς ἐχρήσαντο κατ' αὐτῶν λόγοις, ἡμεῖς δ' αὖ σπουδῇ πρὸς τὴν παροῦσαν χρήσασθαι ἱστορίαν προὐθέμεθα, ταῦτα παρέντες ἐκεῖσε ἐπανερχόμεθα. (Δ.) Παρατηρῆσαι δ' ἄξιον τὰς τῶν μελλόντων δεινῶν προαναφωνήσεις. σημεῖα γὰρ ἐν τῇ ἀρχῇ τοῦ ἔτους εὐθὺς φανῆ 1.385 ναι συνέβη, ἱκανὰ τὴν ἐν τῷ αὐτῷ ἔτει παραστῆσαι γενησομένην κάκωσιν. ἀρχομένου γὰρ τοῦ ἑξακισχιλιοστοῦ ὀκτακοσιοστοῦ τριακοστοῦ ἕκτου ἔτους εὐθὺς τῇ πρώτῃ τοῦ σεπτεμβρίου ἡμέρᾳ γέγονε τελεία τῆς σελήνης ἔκλειψις. ἧς ἡ μὲν ἀρχὴ τῆς ἐκπτώσεως γέγονεν ἔτι νυκτὸς οὔσης· τὰ δὲ ἑξῆς τοῦ τοιούτου ἐκλειπτικοῦ πάθους μέχρι τοῦ τῆς ἀνακαθάρσεως τέλους γέγονεν ἀνατείλαντος μὲν τοῦ ἡλίου, τῆς δὲ σελήνης ὑπὸ γῆν καλυφθείσης. προανεφώνει δὲ τὸ σημεῖον δόλους λαθραίους μὲν, οὐκ ἀνυπόπτους δὲ, ἐπὶ συγχύσει μεγάλῃ τῶν κοινῶν συσκευαζομένους πραγμάτων. περὶ δὲ τετάρτην ὥραν τῆς αὐτῆς ἡμέρας τῶν θείων εἰκόνων κατὰ τὸ πάλαι κρατῆσαν ἔθος συναθροισθεισῶν ὁμοῦ τῷ βασιλεῖ καὶ πατριάρχῃ καὶ τοῖς ἀρχιερεῦσιν ἐπὶ τοῦ πορφυροῦ κίονος, ἐφ' οὗπερ ὁ θεῖος ἵδρυται σταυρὸς, καὶ τῆς ἱερᾶς τελουμένης ὑμνῳδίας χοῖρός ποθεν ἐκδραμὼν εἰσεπήδησεν ἐξαπίνης ἐν μέσῳ τῷ τῶν ψαλλόντων χορῷ πολλῷ τῷ τέλματι βεβρεγμένος· καὶ πολλὰς ἔνθεν κἀκεῖθεν ἀτάκτους περιφορὰς ποιησάμενος μόλις ἐξῆλθε. καὶ ἔδοξε τοῦτο τοῖς συνετωτέροις σύγχυσιν τῆς τοῦ θεοῦ ἐκκλησίας μερικήν τινα προσημαίνειν. ἐγένετο δὲ καὶ μετὰ μῆνας ἓξ ἔκλειψις αὖθις τοῦ σεληνιακοῦ φωτός· καὶ ἦν τὸ χρῶμα τῆς καλυπτούσης τὴν σελήνην σκιᾶς οἷον νεφῶδες καὶ μέλαν· καὶ ἀρξάμενον ἀπὸ τῶν νοτίων μερῶν αὐτῆς ἐκάλυψεν αὐτὴν ἄχρι τῶν δέκα δακτύλων· ὃ δὴ καὶ ἐδήλου τὴν ἀπὸ τῶν νοτίων μερῶν τῆς τῶν Ῥωμαίων ἡγεμονίας μετ' ὀλίγον ἄρξεσθαι μέλλουσαν κάκωσιν. ἐφάνη δὲ μετὰ βραχὺ καὶ ἕτερον ἐν οὐρανῷ σημεῖον. περὶ 1.386 γὰρ σταθερὰν μεσημβρίαν τοῦ ἡλίου τυγχάνοντος ἐφάνη περὶ τὰ ἑσπέρια μέρη τοῦ οὐρανοῦ νέφος εἰς τύπον σταυροῦ πολὺν ἐπέχοντος τόπον τοῦ οὐρανίου σώματος, ἐκ λευκοῦ καὶ μέλανος ὥσπερ συγκεκραμένον χρώματος. ἀλλ' ἐπαναληπτέον ἐκεῖθεν. 1.390 Ὁρῶντες οἱ περὶ τὸν βασιλέα τὸν νέον Ἀνδρόνικον εἰς χρόνου μῆκος ἐκτεινόμενον ἔτι τὸν βίον τοῦ βασιλέως καὶ μὴ δυνάμενοι φέρειν ὑπὸ μικροψυχίας τὸν τῆς ἀρχῆς μερισμὸν, ἀλλ' ὅλην τὴν ἐξουσίαν εἰς ἑαυτοὺς μετενεγκεῖν σπεύδοντες, ἐβουλεύσαντο δόλοις καὶ πανουργίαις τισὶν ἢ τὸ σχῆμα τῆς βασιλείας αὐτοῦ καθάπαξ ἀφελέσθαι, ἢ μετὰ τοῦ σχήματος καὶ αὐτό γε τὸ ζῆν. καὶ δὴ λοιπὸν ἅπαντ' ἐποίουν ἑξῆς μηδὲν μελλήσαντες, ὅσα πρὸς τὸ βούλευμα συνεργά τε καὶ ἀνύσιμα ἦσαν. (Β.) Καὶ πρῶτα μὲν διαπρεσβεύονται πρὸς Μιχάηλον, τὸν διαδεξάμενον τὴν ἀρχὴν τῶν ἐντὸς Ἴστρου Βουλγάρων μετὰ τὸν Σφενδοσθλάβου θάνατον, περὶ σπονδῶν βεβαίων καὶ μὴ ῥᾷστα λυομένων. ὁρῶν γὰρ ὁ νέος Ἀνδρόνικος τὸν Κράλην Σερβίας τῷ γηραιῷ βασιλεῖ μάλα προσκείμενον διὰ τὸ νεωστὶ γεγενημένον περὶ τὴν τοῦ Καίσαρος θυγατέρα κῆδος καὶ δείσας, μὴ ἐμποδὼν αὐτῷ περὶ τὰ νέα βουλεύματα γένοιτο, προστίθεται οὗτος τῷ Μιχαήλῳ, ἅτε καὶ ἐπ' ἀδελφῇ πρὸ βραχέος γαμβρῷ γενομένῳ· ταύτην δὴ λέγω τὴν 1.391 τοῦ Σφενδοσθλάβου γυναῖκα. ἐγκρατῆ γὰρ τῆς ἀρχῆς τῶν Βουλγάρων αὐτὸν καταστάντα



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

καὶ πρὸς εὐγενεστέρους εὐθὺς ἀποβλέψαι γάμους συνεπεπτώκει. ὅθεν καὶ τὴν προτέραν ἀποβαλόμενος σύζυγον, μεθ' ἧς καὶ παίδων ἐγεγόνει πατὴρ (ἀδελφὴ δὲ ἦν αὕτη τοῦ τηνικαῦτα Κράλη Σερβίας), τὴν τοῦ βασιλέως ἀδελφὴν ἀντ' ἐκείνης, ὡς εἰρήκειμεν, ἐν τῷ Τερνέβῳ χηρεύουσαν εὑρηκὼς εἰς γάμου κοινωνίαν ἠγάγετο. κατὰ γοῦν τοῦτον τὸν χρόνον τῷ Διδυμοτείχῳ ἐπιδημούσης καὶ τῆς δεσποίνης τῆς τοῦ βασιλέως μητρὸς πέμπονται πρέσβεις ἐς τὸν Μιχάηλον, ἐροῦντες ἐλθεῖν αὐτὸν ὁμοῦ τῇ συζύγῳ πρός τε τὸν βασιλέα καὶ τὴν τῆς συζύγου μητέρα τὴν δέσποιναν πολλῶν ἕνεκα. τήν τε γὰρ δέσποιναν διὰ μεγίστης ἐφέσεως ἔχειν διὰ πλείστων ἤδη τῶν χρόνων τὴν θυγατέρα θεάσασθαι. εἶναι γὰρ ὑπὲρ τὰ τρία καὶ εἴκοσιν ἔτη, ἀφ' οὗπερ εἰς ὄψιν ἀλλήλαις ἐλθεῖν ἥκιστα ἐξεγένετο· τόν τε αὖ βασιλέα ποθεῖν μὲν καὶ αὐτὸν τὴν ἀδελφὴν θεάσασθαι μήπω πρότερον θεασάμενον· ποθεῖν δ' οὖν καὶ τὸν αὐτῆς θεάσασθαι σύζυγον, τοῦτο μὲν καὶ ὡς γαμβρὸν, τοῦτο δὲ καὶ ὡς τῶν ἀποῤῥήτων ἐθέλειν λαβεῖν κοινωνόν. (Γ.) Τούτων τοίνυν οὕτως ἐχόντων ἐπιδημεῖ τῷ Διδυμοτείχῳ μετὰ τῆς συζύγου ὁ Μιχάηλος καὶ λαμπραῖς ταῖς φιλοφροσύναις καὶ δεξιώσεσιν ἐντυγχάνει πρός τε τοῦ βασιλέως καὶ τῆς δεσποίνης ἰδίᾳ τε καὶ δημοσίᾳ ἐπὶ συχναῖς ταῖς ἡμέραις, ἐν αἷς δὴ καὶ συνθῆκαι παρ' ἑκατέρων προῆλθον· τοῦ μὲν, τῷ βασιλεῖ συμμαχεῖν κατὰ τοῦ βασιλέως καὶ πάππου· τοῦ δὲ, τῷ Μιχαήλῳ κατὰ τοῦ Κράλη Σερβίας· καὶ εἰ τῆς ὅλης Ῥωμαίων ἡγεμονίας ἐγκρατὴς κατασταίη καθελὼν τῆς ἀρχῆς τὸν βασιλέα καὶ πάππον, χρήματά τε παρέξειν πολλὰ καὶ γῆς κλη 1.392 ρουχίας καὶ πόλεων ἐκ τῆς τῶν Ῥωμαίων ἡγεμονίας· τοῦτο μὲν καὶ ὡς γαμβρῷ προικὸς ἕνεκα, τοῦτο δὲ καὶ ὡς συμμάχῳ τῶν πόνων ἕνεκα. τούτων οὕτω καταστάντων ὁ Μιχάηλος μετὰ τῆς συζύγου ἐς τὴν οἰκείαν αὖθις ἀπῄει ἀρχὴν, συχνῶν πρὸς τῆς δεσποίνης καὶ πενθερᾶς ἀπολελαυκὼς τῶν χαρίτων καὶ δωρεῶν καὶ χρηστοτέρων ἐπαγγελιῶν ἐς τοὐπιόν. (Δ.) Τῷ μέντοι νέῳ βασιλεῖ ταῖς τοιαύταις ἤδη θαῤῥήσαντι καταστάσεσιν, ὁρῶντι δὲ καὶ τοὺς δήμους τῶν πόλεων τῶν τε ἄλλων καὶ τῆς βασιλευούσης αὐτῆς αὐτῷ προστιθεμένους καὶ λάθρα τὴν ἔφοδον αὐτοῦ κατεπείγοντας (κόρον γὰρ ἤδη μακρὸν εἰληφέναι τῆς τοῦ πάππου μακροβιότητος καὶ ἀκινησίας) μελέταις ἐπῄει διδόναι καὶ σκέμμασι, τίσι δόλοις καὶ πανουργίαις χρησάμενος καὶ νικήσας τὸν πάππον αὐταρχήσει Ῥωμαίων. ἐπεὶ οὖν χρημάτων αὐτῷ ἔδει πρὸς τοιούτους ἀγῶνας ἰόντι, πέμψας ἀφεῖλε χρήματα παρ' ἀκόντων τῶν ἐν τῇ Θρᾴκῃ πεμφθέντων πρὸς τοῦ γηραιοῦ βασιλέως ἐξισωτῶν, φήσας ἐς τἀναγκαῖα χρῄζειν αὐτόν· βασιλέα δ' εἶναι καὶ αὐτόν· βασιλεῖ δ' ἐκ τῶν κοινῶν χρημάτων τὰς ἀναγκαίας ἀποπιμπλάναι χρείας, τῶν σφόδρ' ἀναγκαιοτάτων ὁμοῦ καὶ δικαιοτάτων εἶναι. ἔπειτα σκῆψιν προβαλόμενος, βούλεσθαι πρεσβείαν πέμψαι ἐς τὸν τῆς Αἰγύπτου δυναστεύοντα περί τινων ζητημάτων καὶ χρειωδῶν, ἐπορεύετο πρὸς τὴν βασιλεύουσαν. μέλλειν γὰρ ἐντεῦθεν ὁλκάδα μεγίστην ἐκπλεῖν καὶ ἐς Ἀλεξάνδρειαν τὴν πορείαν ποιεῖσθαι. ἐπορεύετο δ' οὐχ ἁπλῶς, ἀλλὰ χεῖρα συχνὴν συλλεξάμενος πρότερον καὶ τὰς Θρᾳκικὰς πόλεις περιϊὼν ἁπάσας καὶ οἰκειούμενος καὶ ἀσφαλιζόμενος καὶ πάντας μὲν ὑπόπτους ἐξοικί 1.393 ζων ἐκεῖθεν, πάντας δ' οἰκείους καὶ ὁμογνώμονας εἰσοικίζων ἐκεῖσε. (Ε.) Ἀλλ' ἐν τούτοις ὄντος αὐτοῦ λάθρα τις τῶν οἰκειοτάτων αὐτοῦ φυγὼν ἥκει παρὰ τὸν βασιλέα καὶ πάππον καὶ πάντας καθ' ἕκαστα τῶν ἐκεῖ βουλευμάτων τοὺς δόλους ἀνακαλύπτει, τά τε ἄλλα φήσας τῷ βασιλεῖ καὶ ὡς ἐβουλεύσαντο οἱ περὶ τὸν σὸν ἔγγονον καὶ συνέθεντο καθαίρεσιν, ἢ καὶ αὐτῆς τῆς σῆς ζωῆς, εἴ τις ἀντίστασις γένοιτο· ἢ εἰ ῥᾳδίαν καὶ μηδὲν ἐμποδὼν κεκτημένην εὕροι τὸ βούλευμα τὴν ὁδὸν, ἀφελέσθαι μέν σου μετὰ τῆς βασιλείας καὶ τὰ τῆς ἐξουσίας σύμβολα· σοὶ δὲ ῥάκος μοναδικὸν περιθέντες φρουροῖς παραδοῦναι καὶ φυλακαῖς. σκέψασθαι τοίνυν χρεὼν, μήτ' ἐκεῖνον τῇ συνήθει πορείᾳ χρησάμενον εἴσω πυλῶν τῆς βασιλευούσης γενέσθαι λαθόντα, μήθ' ὑμᾶς ῥᾳθύμως διατεθῆναι πρὸς τὴν ἀπάντησιν. περὶ γὰρ τῶν μεγίστων οἱ κίνδυνοι.



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ταῦτα ἀκηκοὼς ὁ βασιλεὺς καὶ οἷς ἔναυλον ἤδη τὴν ἀκοὴν ἐξ ἄλλων εἶχε πολλῶν παράλληλα θεὶς καὶ ἀκριβωσάμενος καὶ μηδὲν εἶναι ψευδὲς εὑρηκὼς διανίσταται καὶ αὐτός· καὶ βοήσας πρὸς κύριον, ὡς "1δίκασον κύριε τοὺς ἀδικοῦντάς με· καὶ οἱ ἐπανιστάμενοί μοι αἰσχυνθήτωσαν· καὶ ἐπανάσωσον ἐμοὶ τὸ βασίλειον κράτος, ὃ σὺ μὲν ἐχαρίσω μοι, ὃν δ' ἐγὼ γεγέννηκα καὶ ὕψωσα, ἐκ τῶν ἐμῶν ἁρπάζει χειρῶν."2 εἶτα πρὸς ἔργον ἐχώρει. (΄.) Καὶ πρῶτα μὲν ἐς τὸν ἔγγονον ἔτι περὶ μέσην ὄντα τὴν πορείαν πέμπει τοὺς ἀπαγορεύσοντας τὴν πρὸς τὸ Βυζάντιον εἴσοδον. "1καινότερον γὰρ ἂν εἴη,"2 φησὶ, "1τὸν ἀνακεκαλυμμένως οὑτωσὶ παρασπονδοῦντα καὶ οἷς ἂν τὰ κοινὰ φθαρείη ταῦτα πράτ 1.394 τοντά τε καὶ κατασκευαζόμενον λανθάνειν ἀξιοῦν."2 ἦν δὲ τοῖς πεμφθεῖσι προστεταγμένον, διεξελθεῖν ἐπ' αὐτοῦ πρὸς ἔλεγχον τῆς γνώμης αὐτοῦ, καὶ ὅσαι προφάσεις ἐγένοντο παρ' αὐτοῦ, τοῦ τε τὴν εἰρήνην αὖθις καὶ τὰς συνθήκας λελύσθαι καὶ χώραν τὰ σκάνδαλα σχεῖν. ἦσαν δ' ὡς ἐν κεφαλαίῳ εἰπεῖν αἵδε· μία μὲν, ὅτι ὅσοι τοὺς βασιλικοὺς φόρους δασμολογοῦντες ἦσαν ἅπαντας συλλαβὼν ἀφεῖλε τὰ χρήματα, σπανιωτέρων μὲν εἴπερ ποτὲ νῦν τῶν χρημάτων, πολυδαπανωτέρων δὲ τῶν πραγμάτων ὄντων διὰ τὸν τῆς βασιλείας μερισμόν. δευτέρα δὲ, ὅτι τοὺς πεμπομένους ἐφόρους τῶν πόλεων καὶ διοικητὰς ἀτίμους ἐκεῖθεν ἐκβάλλων ἐκπέμπει· τίθησι δ' ἀντ' ἐκείνων αὐτὸς ἑτέρους, οὓς ἂν ἐθέλοι. τρίτη δ', ὅτι καὶ τὴν Κράλαιναν πατρός τε ἀδελφὴν οὖσαν καὶ μοναχικὸν περικειμένην σχῆμα πρὸς ἄθεσμον ἐβιάζετο μῖξιν, δυσανασχετοῦσάν τε καὶ οὐκ ἐθέλουσαν αὐτήν. ἦσαν δὲ πρὸς ταύταις καὶ ἕτεραι προφάσεις, δι' ἃς ἀπηγορεύετο ἡ πρὸς τὸ Βυζάντιον αὐτῷ εἴσοδος, πλεῖσται μὲν, οὐ τοσοῦτον δὲ τὸ ἰσχυρὸν ἔχουσαι. (Ζ.) Ἐπὶ τούτοις γραφὰς λανθανούσας ἐξέπεμψε πρός γε τὸν Κράλην Σερβίας περὶ συμμαχίας καὶ πρὸς τὸν ἑαυτοῦ υἱὸν Δημήτριον τὸν δεσπότην, ἐπιτροπεύοντα τηνικαῦτα Θεσσαλονίκης καὶ τῶν πέριξ, παρακελευομένας, συμπαραλαβόντα μεθ' ἑαυτοῦ καὶ τοὺς δύο ἀνεψιοὺς ἐκεῖσε περὶ τὴν ἐπιτροπὴν τῶν Βελλεγράδων καὶ τῆς ἄλλης Μακεδονίας τηνικαῦτα διατρίβοντας Ἀνδρόνικόν τε τὸν πρωτοβεστιάριον καὶ Μιχαὴλ τὸν Ἀσὰν καὶ ἅμα τὰ Μακεδονικὰ στρατόπεδα ἀσφαλίσασθαι μὲν πρῶτον 1.395 τὰς Μακεδονικὰς πόλεις ὡς εἰκὸς, ἐκ μέσου ποιησάμενον ὅσοι οὐκ ἔξω τοῦ ὑποπτεύεσθαι πεφύκασιν· ἔπειτ' ἐκεῖθεν ἄραντας ξύν γε τῷ συμμαχικῷ στρατῷ τῷ ἐκ τοῦ Κράλη Σερβίας ἔρχεσθαι τὴν ταχίστην κατὰ τοῦ βασιλέως Ἀνδρονίκου τοῦ νέου. τῶν δὲ σταλεισῶν, ὡς ἔφημεν, γραφῶν πρός τε τὸν Κράλην Σερβίας καὶ πρὸς τὸν δεσπότην καὶ πρὸς ἄλλους ὅσοι βασιλικὰς διῴκουν ἐπιτροπὰς αἱ μὲν ἑάλωσαν παρὰ τῶν τὰς ὁδοὺς φρουρούντων ἀνθρώπων τοῦ νέου βασιλέως, ὅσαι ἐπὶ χάρτου γραφεῖσαι ἐτύγχανον· αἱ δὲ λαθοῦσαι παρῆλθόν τε καὶ πρὸς οὓς ἐπέμφθησαν ἀφίκοντο, ὅσαι ἐπὶ λίνου λεπτοϋφοῦς καὶ λευκοῦ γραφεῖσαι τοῖς τῶν γραμματοκομιστῶν ἐνδύμασιν εὐφυῶς συνεῤῥάφησαν. κατὰ γὰρ τὰς στενὰς τῶν ὁδῶν καὶ μάλιστα κατὰ τὰς περὶ Χριστούπολιν πύλας φρουροὺς οἱ περὶ τὸν νέον ἔθεσαν βασιλέα, οἳ πάντας τοὺς παριόντας ἐξήταζον, εἰ γραφὰς ἐκ Βυζαντίου κομίζοιεν· καὶ ἦν δυσχερὲς οὑτωσὶ λαθόντα τινὰ παρελθεῖν. (Η.) Κἀκείνους μὲν οὖν οὐδὲν ἐλελήθει τῶν ἐν Βυζαντίῳ κρύφα μελετωμένων τε καὶ δρωμένων· τούτους δὲ πάντα ἐλελήθει ὅσα κατὰ τούτων ἔξωθεν ἐκεῖνοι ἔδρων τε καὶ ἐμελέτων. πάντες γάρ σφισι προσεχώρουν ἐθελονταὶ, οἱ μὲν ἐς τοὐμφανὲς αὐταῖς γνώμαις καὶ αὐτοῖς σώμασιν· ὅσοι δὲ μὴ ἐδύναντο, οἱ δὲ ἀλλὰ ταῖς γνώμαις σφίσιν ὁλοσχερῶς προσέκειντο· οὐ μόνον μικροῦ πάντες ὅσοι τοῦ δήμου τῶν Βυζαντίων, ἀλλὰ καὶ ὅσοι τῶν συγκλητικῶν καὶ οἰκειακῶν καὶ ὅσοι τῶν μάλα καθ' αἷμα τῷ γηραιῷ βασιλεῖ προση 1.396 κόντων ἦσαν· οἳ δὴ πάντα καθ' ἓν τὰ ἐντεῦθεν ἀνιχνεύοντες ἐκείνοις ἐμήνυον. ὧν εἷς ἦν καὶ ὁ τοῦ βασιλέως υἱὸς Θεόδωρος ὁ μαρκέσιος. ὃς πρὸ ἐτῶν συχνῶν εἰς τὴν τῆς μητρὸς πατρίδα πεμφθεὶς ὑπὸ τῆς μητρὸς, ὡς εἰρήκειμεν, γάμων ἕνεκα καὶ δι' ἀβουλίαν καὶ ῥαθυμίαν τῷ χρόνῳ κατάχρεως γεγονὼς μετὰ τὸν τῆς


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

μητρὸς θάνατον ἐπανῆκε πρὸς τὸν πατέρα καὶ βασιλέα παῖδας καὶ γυναῖκα ἐκεῖσε καταλιπών· καὶ ἦν τοῦ λοιποῦ διατρίβων ἐν Βυζαντίῳ· ὅτε δὴ καὶ ἄλλης τε πάσης ἀπήλαυε πρὸς τοῦ βασιλέως κηδεμονίας καὶ εὐμενείας καὶ χορηγίας ἐκ τοῦ βασιλικοῦ πρυτανείου, καὶ δὴ καὶ πάντων χρεῶν ἀπήλλακται διὰ τῶν βασιλικῶν χρημάτων. ὧν ἁπάντων ἐκλαθόμενος ἐκεῖνος διὰ φρενῶν ἔνδειαν καὶ πᾶσαν αἰδῶ πατρικὴν ὀπίσω λιπὼν προδότης εἵλετο γενέσθαι τοῦ βασιλέως καὶ πατρὸς καὶ τῆς Ἰούδα ἐκείνου μιμήσεως. ὠνειροπόλει γὰρ τὴν Ῥωμαϊκὴν καὶ αὐτὸς ἡγεμονίαν, ἐκποδὼν ἱσταμένου τοῦ διαδόχου· καὶ κατανεῦσαι μὴ βουλόμενον τὸν πατέρα πολλῶν ἕνεκα, ὅτι καὶ γνώμῃ καὶ πίστει καὶ σχήματι καὶ γενείων κουρᾷ καὶ πᾶσιν ἔθεσιν Λατῖνος ἦν ἀκραιφνής, ἔγνω λυπήσειν αὐτὸν τῷ νέῳ προστεθεὶς βασιλεῖ. ὅθεν καὶ ὅσῳ πάντων μᾶλλον καθ' αἷμα τῷ βασιλεῖ προσῳκείωτο, τοσούτῳ καὶ θερμότερος πάντων ἐχθρὸς τοῦ βασιλέως καὶ πατρὸς γενέσθαι πεφιλονείκηκε μᾶλλον αὐτός. (Θ.) Τῷ δ' ἐπιγενομένῳ μηνὶ νοεμβρίῳ τὰ βασιλικὰ δεξάμενος γράμματα Δημήτριος ὁ δεσπότης ἐν Θεσσαλονίκῃ διεμηνύσατο εὐθὺς τόν τε πρωτοβεστιάριον καὶ τὸν Ἀσάν. καὶ ἐπειδὴ συνῆλθον στρατεύματά τε συνεκρο 1.397 τεῖτο καὶ ἅμα αἱ τῶν τῷ νέῳ βασιλεῖ συνόντων οὐσίαι καὶ τὰ κτήματα, ὁπόσα περὶ τὰς ἐν Μακεδονίᾳ πόλεις καὶ χώρας ἔτυχον ὄντα, πάντα τοῖς στρατιώταις διεμερίζοντο· οἴνου τε καὶ σίτου σφῶν ἠνοίγοντο ἀποθῆκαι· καὶ τοῖς ἁρπάζειν ἐθέλουσιν ἄφθονα προὔκειντο πάντα, ἐξορίαι τε καὶ δημεύσεις τῶν ἥκιστα συμφρονεῖν ἐθελόντων. κἀκεῖ μὲν ταῦτα ἐτελεῖτο· ἔμελλε δ' ὅσον οὐδέπω καὶ τὸ τοῦ Κράλη συμμαχικὸν ἐς αὐτοὺς ἀφικνεῖσθαι. (Ι.) Ἀλλ' οὐδ' ὁ βασιλεὺς ὁ νέος Ἀνδρόνικος ἠρέμει καθήμενος· ἀλλ' ἔπεμπε διατάγματα λάθρα πανταχῆ θαλάττης τε καὶ γῆς ἔν τε Βυζαντίῳ καὶ Θεσσαλονίκῃ καὶ Μακεδονίᾳ καὶ νήσοις ἐπαγγελλόμενα τοῖς μὲν δήμοις ἀτέλειαν καὶ φόρων ἐλευθερίαν, τοῖς δὲ στρατευομένοις πόρους προσόδων καὶ μισθῶν ἐπιδόσεις. ἅπερ ἀκουόμενα πάντας ἀνέσειε καὶ ῥᾷστα τὰς γνώμας σφῶν διέστρεφε καὶ ἀνέπειθεν ὁλοσχερῶς αὐτῷ προστίθεσθαι γνώμῃ τε καὶ γλώσσῃ καὶ χερσὶ καὶ πάσῃ προθυμίᾳ καὶ λαθραίοις γράμμασι προσκαλεῖσθαι αὐτὸν καὶ τὴν αὐτοῦ ἐπιταχύνειν ἔφοδον. β´. Οὕτω δὴ τῶν πραγμάτων ἐχόντων ἥκει περὶ τὸ Ῥήγιον ὁ βασιλεύς· κἀκεῖθεν πρεσβεύεται πρὸς τὸν βασιλέα καὶ πάππον δυοῖν ζητημάτων ὁπότερον συγχωρῆσαί οἱ, ἢ τὴν πρὸς τὸ Βυζάντιον ὑπόσπονδον εἴσοδον, ἢ τῶν ἐκ Βυζαντίου τινῶν εἰς ἐκεῖνον ἄφιξιν ἔκ τε τῶν τῆς συγκλήτου ἔκ τε τῶν τῆς ἐκκλησίας ἀρχόντων, καὶ εἴ τινες ἐκ τοῦ δήμου παιδείας εὖ ἔχοντες εἶεν, οἵτινες ἱκανοὶ ἔσονται τὰ ὑπ' ἐκείνου λεχθησόμενα ἀπαγγεῖλαι τῷ τε βασιλεῖ καὶ ὅλῳ τῷ Βυζαντίῳ. τὸν μέντοι γηραιὸν βασιλέα, δόλου 1.398 μεστὰ ἡγησάμενον τὰ τοιαῦτα προβλήματα, σιωπῆσαι μέχρι πολλοῦ καὶ διαπορῆσαι περὶ τὴν αἵρεσιν. τήν τε γὰρ εἰς τὸ Βυζάντιον εἴσοδον τοῦ ἐγγόνου ὀλεθρίαν ὁρᾶν καὶ οὐκ ἄνευ αἱμάτων· ἑτοίμους γὰρ εἶναι τοὺς Βυζαντίους αὐτίκα ἐκείνῳ τε προστεθήσεσθαι φανέντι πυλῶν εἴσω καὶ τοῦτον πικρῶς τοῦ βίου ἀπάξειν· τήν τε αὖ πρὸς ἐκεῖνον τῶν Βυζαντίων ἄφιξιν οὐδὲ ταύτην ἀστασίαστον βλέπειν. σκοπὸν γὰρ εἶναι τῷ ἐγγόνῳ, λόγους τε δημοχαρεῖς παῤῥησίᾳ λαλῆσαι καὶ λάθρα δώροις καὶ ἐπαγγελίαις ὑποποιῆσαι χρησταῖς αὐτούς τε καὶ δι' αὐτῶν ὁπόσοι τὸ Βυζάντιον οἰκοῦσι. χαλεπῶν δ' ὄντων ἀμφοτέρων ὅμως τὸ κουφότερον εἵλετο· καὶ πέπομφε δύο μὲν ἐκ τῆς συγκλήτου, δύο δ' ἐκ τῶν ἀρχιερέων, δύο δ' ἐκ τῶν τῆς ἐκκλησίας λογάδων καὶ τέτταρας τῶν τοῦ δήμου προκρίτων. (Β.) Οὓς δὴ πάντας ἀπιόντας ἐκεῖσε μεταπεμψάμενος ἐκεῖνος καὶ ἐκκλησίαν πεποιηκὼς δημηγορίαν τινὰ ἐσχηματισμένην ἐπ' αὐτῶν διεξῆλθεν· "1ἐγὼ,"2 φήσας, "1ὅτι μὲν τοὺς ὑπηκόους ὑμᾶς πλέον ἢ ἐμαυτὸν φιλῶ καὶ ὅτι οὐκ αὐτοκρατορίαν ἐμαυτῷ περιθεῖναι σπουδάζων ἐξῆλθον παρὰ τὴν τοῦ βασιλέως καὶ πάππου μου βούλησιν, παντί που δῆλον. ὁρᾶτε γὰρ ὅπως τῆς ἐμαυτοῦ ζωῆς ἀφειδῶ, μήτε γαστριζόμενος καὶ τρυφῶν, μήτε δορυφόρους ἢ πελεκυφόρους ἐπαγόμενος, ὡς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

εἴθισται μὴ ὅτι βασιλεῦσι διὰ τὸ ἐπίφθονον τῆς ἀρχῆς, ἀλλὰ καὶ οὓς ἡ τύχη τῶν γονέων καὶ ξυγγενῶν ἐξορίσασα πλανήτας ἔνθεν κἀκεῖθεν ἠνάγκασε περιφέρεσθαι καὶ διηνεκῶς τὴν τοῦ αὐτίκα τεθνήξεσθαι πρὸ ὀφθαλμῶν ἔχειν ἐλπίδα. εἰ δ' οὖν φρασάτω τις ἐμοὶ παρελ 1.399 θὼν, ὑπὲρ τίνος ἃ περιφέρω τραύματα ἐπὶ τῆς σαρκὸς ἐδεξάμην, τοῖς τῶν Ῥωμαίων ἐχθροῖς παραβαλλόμενος, ὁπόσοι τε ἐξ Ἀσίας εἰς Θρᾴκην ναυστολοῦσι καὶ ὅσοι τὸν Ἴστρον παροικοῦντες βάρβαροι, ἔπειτ' ἐκεῖθεν ἐξελαύνοντες κατατρέχουσιν ὁμοίως καὶ οὗτοι τὴν δυστυχῆ Θρᾴκην; ἐγὼ γὰρ, ἵνα πᾶσαν ἐξείπω τὴν ἀλήθειαν πρὸς ὑμᾶς, ὁρῶν τὸν βασιλέα ἐς πολὺ τὸ νωθρὸν καὶ ἀνάλγητον ἐκ τοῦ γήρως ἀποκλίναντα καὶ μηδὲν ὅλως διεγειρόμενον, μηδ' ἀλγοῦντα, τῶν Χριστιανῶν ἀεὶ νύκτωρ καὶ μεθ' ἡμέραν τῶν μὲν κοπτομένων ὑπὸ τῶν βαρβάρων ἱερείου δίκην, τῶν δ' αἰχμαλωτιζομένων καὶ ἀνδραποδιζομένων, τῶν δὲ γυμνῶν ἐλαυνομένων πάσης χώρας καὶ πόλεως· ἵνα μὴ λέγω τὰ μείζω τῆς Ἀσίας πάθη καὶ τῶν ἐκεῖσε πόλεων, ὅσαι τοῖς βαρβάροις ἡλώκεισαν διὰ τὴν τοῦ βασιλέως ἀμέλειαν καὶ νωθρότητα· ὁρῶν οὖν ταῦτα ἔγωγε καὶ περιαλγὴς λίαν γινόμενος καὶ τὴν τῶν σπλάγχνων ὀδύνην φέρειν οὐκ ἔχων ἐξῆλθον δυοῖν ἕνεκα. ἢ γὰρ θανάτῳ οἱῳδήτινι περιπεπτωκὼς ἅμα τῷ ζῆν καὶ τὸν τῆς λύπης συναποῤῥῆξαι φόρτον ἐνόμισα, ἢ τὴν Ῥωμαίων τύχην ἐς τὸ βέλτιον καθόσον ἐφικτὸν ἀπαλλάξαι. οὐ γάρ ἐστιν, οὐκ ἔστιν ἐφικτὸν, ἄνθρωπον ὄντα τινὰ καὶ πλεῖστον ἐνδιατρίψαντα χρόνον τῷ ἄρχειν μὴ κόρον ἐμποιῆσαι τοῖς ἀρχομένοις καὶ μῖσος φόνου πνέον. οὐδὲν γὰρ ἀμετάβλητον οὐδὲ μόνιμον ἐν τῷ βίῳ τὴν φύσιν πεποίηκεν ὁ θεός. διὰ τοῦτο καὶ ἐν τῷ μεταβάλλεσθαι βλέπομεν τὴν ὥραν τῆς εὐφροσύνης καὶ ἡδονῆς ἴσχοντα πάντα τἀπίγεια. εἰ δέ τις βιαίῳ τινὶ καὶ κατηναγκασμένῃ φορᾷ χρώμενος ἐπὶ μιᾶς ἵστασθαι τύχης 1.400 ἐθέλοι, οὗτος ἐς τὴν παρὰ φύσιν κίνησιν ἄγει τὰ πράγματα. πᾶν δὲ τὸ παρὰ φύσιν ὑπερβαῖνον τοὺς ἁρμόττοντας ὅρους ὑπερβαίνειν παρασκευάζει καὶ τοὺς ὅρους τῆς ἐθελούσης ἕπεσθαι εὐφροσύνης καὶ ἡδονῆς. ἐς τοῦτο γὰρ τείνει καὶ τὰ σοφὰ τῶν παλαιῶν γνωματεύματα "1μηδὲν ἄγαν"2 λεγόντων καὶ "1πᾶν μέτρον ἄριστον."2 ὁρᾶτε γὰρ ὅπως καὶ ὁ ἐμὸς πάππος εἰς βαθὺ γῆρας ἐληλακὼς καὶ τοσαῦτα ἔτη τὸ βασίλειον ἔχων κράτος, ὅσα μικροῦ δέω λέγειν οὐδείς πω τῶν πώποτε βασιλέων, μεμίσηται μὲν παρὰ πάντων ὑπηκόων, οὐκ ἐπιστρέφεται δ' ὅλως οὔτε πρὸς θεραπείαν τοῦ μίσους, οὔτε πρὸς ὁρμὴν βοηθήσουσαν τοῖς Ῥωμαίων πράγμασιν, οὔτε μὴν ἀλγεῖ βλέπων τοὺς διαδόχους τῆς βασιλείας προαποθνήσκοντας. τέθνηκε μὲν γὰρ ὁ βασιλεὺς ὁ ἐμὸς πατὴρ μηδενὸς ἀπολελαυκὼς τῶν ὅσα βασιλεῦσιν ἐφεῖται, πλὴν τοῦ ὀνόματος. τεθνήκασι δ' ἕτεροι τῶν καθ' αἷμα μάλα τοι προσηκόντων καὶ τὴν ἡλικίαν νεώτεροι. τεθνήξομαι δ' ἴσως κἀγὼ, πρίν τι τῆς βασιλείας ὄνασθαι. τί γὰρ τοῦ ἀποθανεῖν ῥᾷον, καὶ ταῦτα ἀνθρώπῳ κινδύνοις ἀεὶ παραβαλλομένῳ καὶ οὕτως ἀφειδοῦντι τοῦ ζῆν; ἴσως δ' ἄν τινες καὶ φιλαρχίαν νοσεῖν με ὑποτοπάσαιεν ἀποστατοῦντα βλέποντες τοῦ πάππου καὶ βασιλέως καὶ οὐχ ὑπείκειν ἐθέλοντα. τοῦτο δ' οὔτε πάνυ τελέως ἀποφήσαιμ' ἂν ἔγωγε, οὔτε πάνυ συνθείην. εἰ μὲν γὰρ ἑώρων αὐξανομένην τὴν τῶν Ῥωμαίων ἡγεμονίαν καὶ πλατυνόμενα τὰ ἡμέτερα ὅρια, ἡδέως ἂν ἐκαθήμην μακράν τινα τὴν ἡσυχίαν ἀσκῶν καὶ τοιαύτας τινὰς βόσκων ἐλπίδας, ὁποίας καὶ οἱ τοὺς ἑαυτῶν ὀψονόμους ὁρῶντες μακροτέραν ὁμοῦ καὶ ποικιλω 1.401 τέραν τὴν πανδαισίαν παρασκευάζοντας. ἐπεὶ δὲ καθ' ἡμέραν ὁρῶ πρὸς τὸ δυστυχέστερον συνωθούμενα τὰ Ῥωμαίων πράγματα καὶ πρὸ τῶν πυλῶν μονονοὺ τῆς βασιλευούσης ἁρπαζομένους τοὺς ταλαιπώρους Ῥωμαίους καὶ σφαττομένους ὑπὸ τῶν πολεμίων ἀεὶ, τίνα ἂν οἴεσθέ με καρδίαν ἔχειν; καὶ οἱ μὲν πλείους τῶν ἀνθρώπων τὰς ἐλπίδας ἔχουσι τῆς ἐνεστώσης λύπης φάρμακον, καὶ εἰ ψευδεῖς εἶεν· ἐμοὶ δὲ οὐδὲ ψευδεῖς ἐλπίδες λείπονται πρὸς ψευδόμενον παραμύθιον. εἶτα τὸν ἐκ Μακεδονίας Ἀλέξανδρον διὰ θαύματος ἄγετε, δυσχεραίνοντα διὰ μικροψυχίαν καὶ ἀχθόμενον τῷ πατρὶ, ὅτι νίκας


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐπὶ νίκαις προσετίθει διηνεκῶς καὶ ὑπετέμνετο τοῦ παιδὸς ὡς ἂν εἴποι τις τὸ φιλότιμον, μετριωτέρας καταλιμπάνων αὐτῷ προφάσεις πολεμικῶν τροπαίων· ἐμὲ δὲ τἀναντιώτατα πάσχοντα βλέποντες καὶ ζημιούμενον μὴ μόνον τὰς τῆς ἀρχῆς ἐλπίδας διὰ τὴν παντελῆ φθορὰν αὐτῆς, ἀλλὰ καὶ αὐτὸν δὴ τὸν δρόμον τοῦ εὖ ζῆν οὐ δικαίως νομίζετε δυσχεραίνειν; ὅμως ἐγὼ μὴ δυνάμενος ἡσυχίαν ἄγειν διανέστην καὶ ἀπῄτησα παρὰ τοῦ βασιλέως καὶ πάππου δοθῆναί μοι μόνους χιλίους ὁπλίτας, ὑποσχόμενος διὰ τῆς πρὸς θεὸν ἀῤῥαγοῦς ἐλπίδος περιέρχεσθαι μετ' αὐτῶν καὶ περιφρουρεῖν τὰς ἐν Βιθυνίᾳ πόλεις καὶ ἀποσοβεῖν ὡς ἐφικτὸν τοὺς ἐχθροὺς πόῤῥω που, πρὶν ἐκείνας χειρωσαμένους καὶ φραγμοὺς διαβάντας πολιορκεῖν τὸ Βυζάντιον. ὁ δὲ μὴ διδοὺς καὶ πολέμιον ἥγηται καὶ ἐπαρᾶταί μοι τὰ δεινότατα. προφέρει 1.402 μοι δὲ καὶ ἐγκλήματα, ὁπόσα τὸ εὔλογον δῆθεν αὐτῷ πρὸς τὸ μισεῖν με δίδωσιν· ἓν μὲν, ὅτι κοινὰ χρήματα δυναστείᾳ χρησάμενος ἑνὸς τῶν ἐξισωτῶν ἀφειλόμην. τοῦτο δ' οὐδὲν ἐμοὶ τῶν ἀτόπων ἔδοξε βασιλεῖ τε ὄντι καὶ σπάνει πολλῇ πιεζομένῳ, μὴ διδόναι θέλοντος τοῦ βασιλέως καὶ πάππου, εἰ τοῖς στρατιώταις ἐνδεδωκέναι ἐξεγένετο μερικά τινα χρήματα εἰληφέναι πορισμοῦ τινος τῶν ἀναγκαίων εἵνεκα. δεύτερον δὲ, ὅτι τῶν ὑπ' αὐτοῦ πεμπομένων ἐπιτρόπων εἰς τὰς Θρᾳκικὰς χώρας καὶ πόλεις ἔστιν οὓς ἐξοστρακίζω κενούς. καὶ τοῦτο δ' ἔγωγε πράττω οὐκ ἀδικῶν, ὡς ἔμοιγε φαίνεται, ἀλλὰ καὶ μάλα κατὰ τὸ εὔλογον. πλείστων γὰρ εἰληφέναι χρημάτων ὠνίους διατεινόμενοι τοὺς ταλαιπώρους Θρᾷκας ἀπηνέστερον ἢ ἀνδραπόδοις χρῶνται αὐτοῖς. οἳ δὴ καὶ ὑπ' ἀνάγκης συνωθούμενοι καὶ τὴν σώζουσαν τύχην οὐκ ἔχοντες ὅθεν πορίσαιντο πρὸς ἐμὲ κλάοντες καὶ ὀλοφυρόμενοι τρέχουσι. πρὸς οὖν τὴν τοιαύτην ἀπάνθρωπον συμφορὰν καμπτόμενος ἀπαλλάττειν ἐνεχείρουν. ὅμως ἐγὼ τὰ πλείω παρεὶς ἐφ' ἑτέραν τρέπομαι ζήτησιν τήμερον. ἥδε ἐστὶν ἔκτισις χρέους χιλιάδων ὀκτὼ νομισμάτων, ἃς τοῖς ἐμοῖς στρατιώταις ὀφείλω, οἳ πολὺν ἤδη χρόνον ξύν γε ἐμοὶ τὴν πλανωμένην περιΐασι βόσκοντες τύχην. οὗ γενομένου πλέον οὐδὲν ἀντικείσομαι τῷ πάππῳ καὶ βασιλεῖ."2 (Γ.) Ταῦτα 1.403 μὲν οὖν ἐκεῖνος διεξελθὼν ἐξανέστη τοῦ θρόνου καὶ ἄλλον παρ' ἄλλο μέρος ἀπολαμβάνων μειλιχίοις προὔπεμπε λόγοις καὶ ἐπαγγελιῶν ἁβροτέρων ἴϋγξιν· ὥστε καὶ ἀπαλλάξαντες ἐκεῖθεν κήρυκές τε τῶν ἐκείνου καλῶν πανταχῇ τῆς βασιλευούσης περιϊόντες γεγένηνται καὶ ἀνέπεισαν τοὺς ὄχλους ἔτι πλέον ἐξηρτῆσθαι τῶν ἐκείνου πόθων. γʹ. Ἰδὼν δὲ ὁ γηραιὸς βασιλεὺς, ὅτι μικροῦ πάντες ἐξέκλιναν καὶ οἱ δοκοῦντες τῶν φίλων, καὶ δείσας μὴ δραμόντες αὐτοχειρίᾳ τοῦτον ἀνέλωσι, διανίσταται πρὸς τὸ τραχύτατον. ἔδοξεν οὖν αὐτῷ πρότερον βέλτιον εἶναι, πεῖραν εἰληφέναι καὶ τῆς Ἠσαΐου τοῦ πατριάρχου γνώμης καὶ σύν γε αὐτῷ τῆς τῶν ἄλλων ἀρχιερέων. (Β.) Συναθροισθέντων τοίνυν αὐτῶν πέμψας τινὰ τῶν συγκλητικῶν, "1εἰ μὲν ἑώρων,"2 φησὶν, "1ἐμοί τε τὴν ἁλουργίδα ταύτην ἀποθεμένῳ περιγενόμενον τὸ ἀκίνδυνον καὶ ἅμα τῷ ὑπηκόῳ παντὶ τὸ καλῶς ἄρχεσθαι, ἀλλότριος ἂν εἴην τῆς τοῦ Χριστοῦ μερίδος, εἰ μὴ τὸ ἐφ' ἡσυχίας καθῆσθαι τοῦ βασιλεύειν πολλῷ προτιμότερον καὶ ἡδύτερον ἔμοιγε ἐνομίζετο. τί γὰρ εἰς εὐφροσύνην ἀνυσιμώτερον, ἢ τὸ φροντίδων καὶ φόβων ὡς ποῤῥωτάτω καθῆσθαι; εἰ δὲ διὰ τὰ ἐμά τε καὶ τοῦ λαοῦ πλημμελήματα καὶ ἅμα τῶν ἡμετέρων προγόνων θεομηνία τις ἐπιχωριάζουσα καθ' ἡμῶν δίκην καταιγίδος ἀγρίας ἐλαύνει καὶ φθείρει τὰ πράγματα καὶ ὁ νέος ἔτι παρειληφὼς ἐγὼ τὴν ἀρχὴν πλημμελοῦσαν ὑπό τε τοῦ τῆς 1.404 ἐκκλησίας κλύδωνος τηνικαῦτα καὶ τῶν πέριξ ἐθνῶν καὶ εἰς γαλήνην τὰ πάντα ξύν γε θεῷ ῥᾷστα μεταβαλὼν, ἔπειτ' ἐκεῖθεν τῷ μακρῷ χρόνῳ μάλα τοι πλείστην πεῖραν ξυνειλοχὼς καὶ προσθεὶς ἐμαυτῷ νῦν πρὸς τοσοῦτον κυκεῶνα καὶ ζάλην πραγμάτων ἀμηχανῶ· πῶς ἂν δυνηθείην τῷ ἐγγόνῳ πιστεῦσαι τοιαύτην ἀρχὴν, νέῳ τε ὄντι καὶ τοσαύτην ἀπειρίαν ἀσκοῦντι, ὡς μηδὲ τὰ κατ' αὐτὸν εἰδέναι διαθέσθαι καλῶς, ἀλλὰ νέοις τισὶ καὶ ἀμαθέσιν ἀνθρώποις ἐκδόντα τὴν ἑαυτοῦ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐξουσίαν καὶ τὰ βασιλικὰ κτήματα αὐτόν τε ἐν πενίᾳ διάγειν καὶ μηδεμίαν ἄλλην ἔχειν φροντίδα βουλόμενον, πλὴν τοῦ κύνας καὶ ὄρνεα τρέφειν· κύνας μὲν οὐχ ἧττον ἢ χιλίους, ὄρνεα δὲ τοσαῦτα· καὶ τοὺς αὐτῶν ἐπιμελητὰς ἐγγὺς τοσούτους. πῶς οὖν τῷ τοιούτῳ πιστεύσαιμι ἢ τὴν ἐμαυτοῦ ζωὴν, ἢ τὴν ἐκ θεοῦ πιστευθεῖσάν μοι λειτουργίαν τῆς βασιλείας; ἀλλ' οὐκ ἄν ποτ' ἔγωγε προδότης ἑκών γε εἶναι γενοίμην, οὔτε τῶν ὑπηκόων, οὔτ' ἐμαυτοῦ. ἐγὼ γὰρ τὸν ἐμὸν ἔγγονον οὐ μόνον καὶ παίδων καὶ γυναικὸς ἠγάπησα πλέον, ἀλλὰ καὶ ἐμαυτοῦ· καὶ ἴστε πάντες τουτί· καὶ ἀνέτρεφον ἐν παιδείᾳ καὶ νουθεσίᾳ, βουλόμενος κληροῦχόν τε τῆς ἐμῆς εὐλογίας καὶ διάδοχον τῆς βασιλείας καταλιπεῖν καὶ θεῷ καὶ ἀνθρώποις ἀρέσκοντα. ὁ δὲ τὰς ἐμὰς νουθεσίας παρ' οὐδὲν θέμενος κώμοις καὶ ἀταξίαις διενυκτέρευεν· ἐν οἷς καὶ τὸν αὐτοῦ πεφόνευκεν ἀδελφόν. καὶ τέλος ἐπανέστη καὶ κατ' ἐμοῦ τοῦ εὐεργέτου καὶ πατρὸς, πρᾶγμα τετολμηκὼς, οἷον ἐξ αἰῶνος οὐδέπω τεθέαται ἥλιος. διὸ χρὴ καὶ ὑμᾶς ζηλῶσαι κατὰ τῆς ἀδικίας καὶ διαναστῆναι πρὸς συστολὴν τῆς ἀναιδείας 1.405 αὐτοῦ καὶ κηρύξαι ἐκκοπὴν τῆς ἐπ' ἐκκλησίας φήμης αὐτοῦ καὶ ἀπειλῆσαι αὐτῷ τὸν ἀπὸ θεοῦ χωρισμόν· ἵνα συσταλεὶς καὶ σωφρονισθεὶς ἐπιστρέψῃ καλῶς, ὅθεν ἐξῆλθε κακῶς, καὶ γένηται κληροῦχος αὖθις τῆς τε βασιλείας καὶ ἅμα τῆς ἐμῆς εὐλογίας. τῶν γὰρ ἁπάντων οὐδεὶς αὐτοῦ κέκριται προτιμότερος ἔμοιγε πρὸς τὴν βασιλείαν, μόνον εἰ βούλοιτο τὴν προσήκουσαν νέμειν αἰδῶ ταῖς ἐμαῖς ὑποθήκαις καὶ παραινέσεσιν. ὃν γὰρ ἐπέθηκε τῇ αὐτοῦ δημηγορίᾳ ἐπίλογον, πεπλασμένος ἦν καὶ πολὺ τὸ πανοῦργον ἔχων ὑφέρπον. ἠκούσατε γὰρ, ὁπόσας τὰς λοιδορίας παρ' ὅλην αὐτοῦ τὴν δημηγορίαν ἐπήντλησε κατ' ἐμοῦ, πρὸς ἃς οὐδεμίαν ἔχει τὴν ἁρμονίαν ὁ ἐπίλογος. ἀλλ' ἵνα τοὺς ἀκούοντας ἐξαπατήσας ἐγείρῃ κατ' ἐμοῦ, τοιοῦτον ἐπέθηκε τῇ δημηγορίᾳ τὸ τέλος."2 (Γ.) Ταῦτα ἀκηκοότες οἱ μὲν συνέσει καὶ λόγῳ κοσμούμενοι τῶν ἀρχιερέων συνῄεσαν τοῖς εἰρημένοις καὶ σιωπὴν παντελῆ τοῦ ὀνόματος τοῦ νέου βασιλέως πανταχῆ τῶν ἐκκλησιῶν ἐκύρωσαν κηρυχθῆναι, μέχρις ἂν ἐπιστρέψῃ. τῷ δὲ πατριάρχῃ καὶ τῶν ἀρχιερέων καὶ τῶν κληρικῶν ἔστιν οἷς οὐκ ἔδοξεν εὔλογα τὰ εἰρημένα. διὸ καὶ ἀναστάντες ἀπῄεσαν οἴκαδε, μηδὲν πλέον εἰπόντες, εἴτε διὰ τὴν σύνοικον ἀλογίαν, εἴτ' οὐκ οἶδ' ὅπως. ἔπειτα διανυκτερεύσαντες καὶ ἅπαξ καὶ δὶς ἐν τοῖς πατριαρχικοῖς οἴκοις συνωμοσίας καὶ φρατρίας συνεσκευάζοντο κατὰ τοῦ γηραιοῦ βασιλέως· ὃ διαψιθυρισθὲν καὶ διαδοθὲν ἐς τὸν δῆμον καὶ ἐς τὰ τῶν εὖ γεγονότων συστήματα πλείστους καὶ τούτων ἠνάγκασε λάθρα ξυνεληλυθέναι τῇ τούτων συνωμοσίᾳ τε καὶ φρατρίᾳ καὶ ὅρκους 1.406 ἐγγράφους συνεισενεγκεῖν, διατεινομένους μέχρι τελευταίας ἐνστῆναι πνοῆς καὶ πᾶσαν (εἰ τούτου δεήσειεν) ὑποστῆναι τὴν κάκωσιν. ὅθεν ἐς τρίτην ἐκεῖθεν ἡμέραν τοὺς ἱεροὺς κρούσας κώδωνας ὁ πατριάρχης καὶ πλεῖστον ἀθροίσας ὄχλον ἀγοραῖον ἀφορισμὸν ἀπεφήνατο κατὰ παντὸς τοῦ βουληθησομένου σιωπῆσαι τὸ τοῦ νέου βασιλέως ὄνομα καὶ μὴ τὰ προσήκοντα πάντα νέμειν αὐτῷ, ὅσα καὶ βασιλεῖ. καὶ ἐπὶ τούτοις ἀφορισμὸν ἕτερον ἐξεφώνησε κατὰ τῶν ἄλλων ἀρχιερέων, ὁπόσοι τὴν ἑτέραν ἐβάδισαν. τοῦτο τὸν γηραιὸν βασιλέα οὐ μετρίως ἠνίασε καὶ ἐξέπληξεν ἀπροσδοκήτως ἀκουσθέν· "1καὶ εἰ ὁ τῆς εἰρήνης διδάσκαλος,"2 ἔφησεν, "1οὕτω καθ' ἡμῶν ἐμεμήνει διὰ λημμάτων προσδοκίαν, ὧν αὐτῷ ἐπαγγέλλεται ὁ ἐμὸς ἔγγονος, καὶ πᾶσαν ὀπίσω ῥίψας αἰδῶ καὶ σεμνότητα στάσεως ἀρχηγὸς οὐκ ὀκνεῖ γίνεσθαι, τίς ἂν τὴν ἄστατον τοῦ δήμου καθ' ἡμῶν στήσειε φορὰν, εἴ τις ἐς τὸ ἀνθρώπινον βλέπει; ὥστε φονεὺς ἡμῖν ὁ πατριάρχης τὸ καθ' αὑτὸν ἀπηρτισμένος γεγένηται."2 (Δ.) Οἱ μέντοι ἀρχιερεῖς ἐκεῖνοι πολλὴν ἀναίδειαν τῆς τοῦ πατριάρχου διανοίας καὶ γλώττης καταγνόντες ἀφορισμὸν καὶ αὐτοὶ συναθροισθέντες ἐξεφώνησαν κατ' αὐτοῦ καὶ τῶν αὐτοῦ συμφρονούντων τῇ ἀπονοίᾳ, ἅτε νεωτεροποιὸν καὶ συνωμοσίας συσκευαστὴν καὶ στασιαστὴν διὰ δωροδοκίαν γενόμενον. παρῆγον γὰρ καὶ κανόνας καὶ νόμους, οἳ πολλὴν αὐτῷ τὴν καταδίκην ἐπήντλουν. ὧν ἡμεῖς ἐν τῇ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

παρούσῃ τῆς ἱστορίας ἐκθέσει τὸν ὀκτωκαιδέκατον τῆς ἐν Χαλκηδόνι συνόδου κανόνα ἀπα 1.407 ράτρεπτον κατὰ λέξιν ἐκθέμενοι ἀποχρῆναι νομίζομεν. τὰ γὰρ ὅμοια καὶ ὁ τῆς ἐν τῷ Τρούλλῳ τέταρτος τῆς οἰκουμενικῆς ἕκτης συνόδου καὶ ἔτι τὸ τέταρτον κεφάλαιον τοῦ τριακοστοῦ ἕκτου τίτλου τῶν νόμων διαγορεύει. ἔχει δὲ οὕτως· "1τὸ τῆς συνωμοσίας ἢ φρατρίας ἔγκλημα καὶ παρὰ τῶν ἔξω νόμων πάντη κεκώλυται. πολλῷ δὲ μᾶλλον ἐν τῇ τοῦ θεοῦ ἐκκλησίᾳ τοῦτο ἀπαγορεύειν προσήκει. εἴ τινες τοίνυν κληρικοὶ ἢ μονάζοντες εὑρεθεῖεν ἢ συνομνύμενοι, ἢ φρατριάζοντες, ἢ κατασκευὰς τυρεύοντες ἐπισκόπων ἢ κληρικῶν, ἐκπιπτέτωσαν πάντη τοῦ οἰκείου βαθμοῦ."2 συνελογίζοντο τοίνυν ἐντεῦθεν ὁ τῶν ἀρχιερέων ὅμιλος, ὡς εἰ τοὺς κατὰ ἐπισκόπων καὶ κληρικῶν συνομνυμένους καὶ φρατριάζοντας κληρικοὺς καὶ μονάζοντας οὕτως οἱ κανόνες κολάζουσι, πολλῷ πλέον τοὺς κατὰ βασιλέως ἀρχιερεῖς τε καὶ πατριάρχας τοιαῦτα κατασκευάζοντας, τοὺς τῆς εἰρήνης ταχθέντας εἶναι διδασκάλους καὶ περὶ καταστάσεώς τε καὶ ὁμονοίας τά τε ἄλλα διδάσκειν καὶ μάλιστα ὅσα ὁ παλαιὸς νόμος διαγορεύει καὶ ὁ μέγας ἀπόστολος Παῦλος, ὅτι τε "1ἄρχοντα τοῦ λαοῦ σου οὐκ ἐρεῖς κακῶς,"2 καὶ ὅτι "1τὸν βασιλέα τιμᾶτε."2 ὁ μέντοι γηραιὸς βασιλεὺς ἐς τοσοῦτον ἀτοπίας προβάντα βλέπων τὰ πράγματα καὶ δείσας, μὴ καὶ ἐς πλέον προκόψῃ τὸ κακὸν, ἐν ἀδέσμῳ κατασχεθῆναι φυλακῇ προσετετάχει τὸν πατριάρχην· καὶ εἶχε λοιπὸν ἡ μονὴ τῶν Μαγγάνων τοῦτον ἀπρόϊτον. δʹ. Ὁ δὲ νέος βασιλεὺς ἧκε μετὰ δύο ἡμέρας περὶ τὸ τεῖχος 1.408 τῆς Κωνσταντινουπόλεως, βουλόμενος μαθεῖν, ὅπως ὁ πάππος πρὸς τὰς ἐκεῖθεν ἀπαγγελίας διετέθη. ἐδεῖτό τε σφοδρῶς συγχωρηθῆναι εἰσελθεῖν μόνος εἰς προσκύνησιν τοῦ πάππου. ἀλλὰ παραδοχὴν οὐκ εἶχεν ὅλως οὔτ' αὐτὸς, οὔτε τὰ πρὸς αὐτοῦ λαλούμενα. ἐδιώκετο δὲ μάλα σφοδρῶς λίθοις βαλλόντων αὐτὸν τῶν ἄνω παρὰ τὰς ἐπάλξεις τοῦ τείχους καθημένων, οἳ οὐδὲ φωνῆς αὐτοῦ ἀκούειν ἠνείχοντο· ἀλλὰ καὶ ὕβρεσιν ἔπλυνον ἀδεῶς καὶ ἀσέμνως ἀπέπεμπον, δεδολιευμένα φάσκοντες εἶναι τά τε ἤθη καὶ τοὺς λόγους αὐτοῦ. ἐκεῖνος μὲν οὖν οὕτως ἀποπεμφθεὶς ἐξέκλινεν ἀπὸ τοῦ τείχους μικρόν. (Β.) Νὺξ δὲ ἤδη παρῆν καί τινες τῶν τοῦ πολιτικοῦ δήμου στασιωτῶν οὐκ ὀλίγοι, συναθροισθέντες εἰς ἓν λάθρα τούτῳ διεμηνύσαντο, ἔγγιστα ἐληλυθέναι τοῦ τείχους περὶ μέσας νύκτας, ὁπότε καὶ Βυζάντιοι πάντες ὑπνώττουσι καὶ οἱ ἐπὶ τοῦ τείχους φρουροὶ πρὸς τὸ ῥᾳθυμότερον ἀναπίπτουσιν. ἑτοίμους γὰρ εἶναι σφᾶς ἀνιμήσασθαι αὐτὸν διὰ μηρίνθου τινὸς ἀπὸ τῶν ἐπάλξεων. τοῦτο δ' εἰ γένοιτο, πέρας εἶναι τῆς ὅλης σπουδῆς καὶ τοῦ μακροῦ δρόμου. πεπεισμένους γὰρ εἶναι, πάντας Βυζαντίους εὐθὺς ἀκολουθῆσαι φανέντι περὶ μέσην τὴν βασιλεύουσαν. μέσης δὲ ἤδη νυκτὸς γενομένης καὶ βλέπων ὁ βασιλεὺς, ὡς ἀμοιβαδὸν οἱ φρουροὶ τὴν νύκτα πᾶσαν παραλλάττοντες οὐ παύονται φωναῖς ἀλλεπαλλήλοις ἀλλήλους πρὸς τὸ ἐγρηγορὸς διεγείροντες, ἀκατίῳ τινὶ πιστεύει ἑαυτὸν ἐξ ἀνάγκης ξύν γε Καντακουζηνῷ τῷ μεγάλῳ δομεστίκῳ καὶ Συναδηνῷ τῷ πρωτοστράτορι· δι' οὗ τὸ νότιον μέρος τῆς Κωνσταντινουπόλεως 1.409 κάμψαντες ὁμαλῶς διεπεραιοῦντο περιϊόντες ἡσύχως τὸ παράλιον τεῖχος, εἴπου δυνηθεῖεν εἴσοδόν τινα ῥᾳδίαν εὑρεῖν. ἀλλ' οἱ ἐπὶ τὸ τεῖχος φρουροὶ συναισθόμενοι τραχυτέρᾳ τῇ βοῇ καὶ τῷ θορύβῳ ἐχρήσαντο· καὶ μὴ ἀποκρινομένων καὶ λίθους ἤδη κατ' αὐτῶν ἤρξαντο πέμπειν, ὡς ἐκεῖνοι φοβηθέντες ἀναστρέψαντες ἀπῄεσαν. τότε μὲν οὖν ταῦτα ἐπράχθη. (Γ.) Τοῦ δ' ἐπιόντος μηνὸς δεκεμβρίου γράμματα πρὸς τῶν Θεσσαλονικέων λάθρα τῷ νέῳ κομίζονται βασιλεῖ, προσκαλούμενα τὴν ταχίστην αὐτόν. εἶναι γὰρ ξυγκείμενον τοῖς τε δημόταις ἅπασι καὶ τοῖς πλείοσι τῶν προὐχόντων καὶ αὐτῷ γε δὴ τῷ ἀρχιερεῖ, ἅμα τῷ πλησίον φανῆναι τοῦ τείχους αὐτὸν δραμόντας ἀνοῖξαί οἱ τὰς πύλας. ἐπεὶ ταῦτα ἐμεμαθήκει ὁ βασιλεὺς, συχνοὺς παραδοὺς τῷ πρωτοστράτορι στρατιώτας περιϊέναι παρεκελεύσατο καὶ οἷον περιστρατοπεδεύειν τὴν βασιλεύουσαν μικρὸν ἄπωθεν καὶ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

μὴ ἐᾷν ἄχρι Ῥηγίου τοὺς Βυζαντίους ἐξιόντας διατρίβειν· καὶ πρός γε λαθραίοις γράμμασι καὶ ὑποσχέσεσιν ὑπέρχεσθαι καὶ ὑποποιεῖσθαι τοὺς Βυζαντίους κατὰ τὸ προσῆκον ἑκάστῳ. ὁ δ' ὀλίγους τινὰς ἀπολεξάμενος ᾤχετο ἀπιὼν ἐς Θεσσαλονίκην. ἔτυχον δὲ τηνικαῦτα διατρίβοντες ἔξω τειχῶν διὰ τὰς ὑποψίας τῶν θορύβων μετὰ τοῦ ἀπὸ τῶν Τριβαλλῶν συμμαχικοῦ στρατοῦ ὅ,τε δεσπότης Δημήτριος καὶ ὁ πρωτοβεστιάριος Ἀνδρόνικος καὶ ὁ Ἀσὰν Μιχαὴλ, ἐπαγόμενοι καὶ τὰ Μακεδονικὰ τῶν Ῥωμαίων στρατεύματα. ὧν δὴ καὶ ἀσχόλων ὄντων περὶ τὰς κατ' αὐτοὺς ἔριδας, ἃς ἀνέφλεξαν κενοδοξίας καὶ φιλαυτίας τελχῖνές τινες, ἢ μᾶλλον θεομηνία τις, ἵνα τὰ κατ' 1.410 αὐτοὺς συγχυθείη πράγματα καὶ σφῶν αὐτῶν αὐτοὶ πρόξενοι γένοιντο ἀπωλείας· τούτων τοίνυν ἀσχολίαν ἀγόντων τοιαύτην μεταξύ που Θεσσαλονίκης καὶ Σεῤῥῶν ἔλαθεν ὁ βασιλεὺς εἰσιὼν ἐς Θεσσαλονίκην, ἐνδύμασιν ἰδιωτικοῖς πάντα τὰ βασιλικὰ περικαλύπτων γνωρίσματα· ἃ δὴ πάντα πυλῶν εἴσω γενόμενος εὐθὺς ἀπέῤῥιψε καὶ κατάδηλος πᾶσιν ἐγεγόνει βασιλεὺς ὤν· καὶ εὐθὺς δραμόντες μικροῦ πᾶσα ἡ πόλις ἐκείνη προσεκύνουν τε αὐτὸν καὶ ἠσπάζοντο καὶ εὐφήμοις ἐδεξιοῦντο φωναῖς. ἦσαν δὲ καὶ βραχεῖς τινες πάνυ αὐτόν τε μισοῦντες καὶ τῷ γηραιῷ καθαρῶς προσκείμενοι βασιλεῖ· οἳ καὶ δραμόντες τὴν ἀκρόπολιν ἐχειρώσαντό τε καὶ ἠσφαλίσαντο, κἀκεῖθεν εὐρώστως ἠμύνοντο πολιορκοῦντας τόν τε βασιλέα καὶ ὅσοι περὶ αὐτὸν ἠθροίσθησαν θιασῶται τῆς στάσεως· καὶ πολλοὺς ἐτίτρωσκον βάλλοντες λίθοις καὶ βέλεσιν, ὥστε καὶ πολλὰ τῶν ἐκεῖθεν βελῶν καὶ περὶ τὴν τοῦ βασιλέως ἐνεπάγη ἀσπίδα. τῇ δ' ὑστεραίᾳ φρυγάνων ἀθροίσαντες πλῆθος οἱ περὶ τὸν βασιλέα τὰς πύλας ὑφῆψαν τῆς ἀκροπόλεως καὶ οὕτως αὐτὴν παρεστήσαντο. (Δ.) Ἄρας δ' ἐκεῖθεν ὁ βασιλεὺς προῄει ἐπὶ τὸ ἄστυ Σεῤῥῶν, ᾧ τὸ συμμαχικὸν ἦν τῶν Τριβαλλῶν, οἷς δὴ καὶ διὰ σπουδῆς ἦν τὸ πρῶτον ὅπλα κατὰ τοῦ βασιλέως ἄρασθαι. ἐπεὶ δὲ τὸν μὲν δεσπότην Δημήτριον καὶ τοὺς ἄλλους, τόν τε πρωτοβεστιάριον καὶ τὸν Ἀσὰν, ξὺν οὐδενὶ κόσμῳ διασκεδασθέντας εἶδον, τοὺς δ' ἑπομένους αὐτοῖς στρατιώτας αὐτομολήσαντας ἐς τὸ τοῦ βασιλέως στρατόπεδον, ὑπόσπονδον καὶ αὐτοὶ τῷ βασιλεῖ τὸ ἄστυ παρέδοσαν ἀπιόντες οἴκαδε. ἐπεί γε μὴν ὁ βασι 1.411 λεὺς οὕτω τὴν τύχην ἑώρα τὴν δεξιὰν ἄφθονόν τε καὶ μειδιῶσαν αὐτῷ προτείνουσαν, ἤδη μεθ' ὅλης εὐθυμίας καὶ ἡδονῆς ἐς τὰ πρόσω προὐχώρει μεστὸς ἀγαθῶν ἐλπίδων. καὶ ἵνα μὴ διατρίβωμεν, ὀλίγων ἐντὸς ἡμερῶν ἅπαντα διελθὼν τὰ ἐκεῖ παρὰ τὴν Μακεδονίαν πολίχνια ῥᾷστά τε καὶ ἀπονητὶ παρεστήσατο καὶ σύν γε αὐτοῖς τάς τε γυναῖκας καὶ τὰ τέκνα καὶ τὰ χρήματα ξυνειλήφει τοῦ τε δεσπότου καὶ τοῦ πρωτοβεστιαρίου καὶ τοῦ Ἀσὰν καὶ ὅσοι τῶν ἄλλως ἐχόντων συγκλητικῶν ἐκείνοις ἐκεῖσε συνδιατρίβοντες ἦσαν. ε΄. Ὁ δὲ γηραιὸς βασιλεὺς ἀπολωλεκὼς καὶ τὰς ἐκεῖθεν ἐλπίδας καὶ εἰς ἀμηχανίαν ἐσχάτην ἐμπεπτωκὼς ἐβούλετο ἤδη πέμπειν πρεσβείαν πρὸς τὸν ἔγγονον περὶ σπονδῶν καὶ εἰρήνης, πρὶν ἐκ Μακεδονίας αὐτὸν ἀναλῦσαι. ἀλλ' εὐθὺς ἑτέρα τις ἐλπὶς, ὡς μὴ ὤφελεν, ἐπεισφρήσασα καὶ ταύτην ἐξέκρουσε τὴν βουλήν. Μιχάηλος γὰρ ὁ τῶν Βουλγάρων ἄρχων λημμάτων ἐλπίδι μεγάλων ἑαυτὸν ἐπάρας διεμηνύσατο λάθρα τῷ γηραιῷ βασιλεῖ, εἰ βούλοιτο, συμμαχῆσαι αὐτῷ κατὰ τοῦ ἐγγόνου. ὁ δὲ βασιλεὺς, ὥσπερ ἐκ μεγάλου ναυαγίου καὶ κλύδωνος ἀπροσδοκήτως λιμένι περιτυχὼν, ἀπρὶξ ἐπελάβετο τούτου. καὶ ἑξῆς διεπρεσβεύοντο πρὸς ἀλλήλους περὶ τοῦ ποιητέου καὶ περὶ ἐπαγγελιῶν καὶ συνθηκῶν, μηδενὸς ἐπιγινώσκοντος τὰ βουλεύματα, πλὴν δυοῖν ἢ τριῶν τῶν πάνυ πιστοτάτων καὶ τῆς Κραλαίνης, ἣ διηνεκῶς τὸν πατέρα καὶ βασιλέα ἀγαθῶν ἐνεπίμπλα ἐλπίδων, ὧν αὐτὴν οἱ ψευδομάντεις καὶ ἐγγαστρίμυθοι ἐνεπίμπλασαν. (Β.) Ὁ μέντοι μέγας λογοθέτης ὁ Μετοχίτης ὁρῶν στρεφομένην ἀνωμάλως τὴν τύχην 1.412 κατὰ τοῦ γηραιοῦ βασιλέως καὶ κατορχουμένην οὕτω τὰ πράγματα ἐδεδίει περὶ ἑαυτῷ μάλιστα πάντων αὐτὸς, ἅτε καὶ μάλιστα πάντων αὐτὸς κοινωνῶν τῷ βασιλεῖ ῥητῶν καὶ ἀποῤῥήτων καὶ γνώμης καὶ πράξεως πάσης. διὸ καὶ σύννους τις ἦν καὶ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐμμέριμνος ἀεὶ καὶ τῶν μελλόντων πλήρης, οὐ μάλα τοι δεξιὸν τὸ μέλλον σκοπούμενος ἐπιόν. ἐν μιᾷ γοῦν τῶν νυκτῶν ἔδοξεν ἀλλόκοτόν τινα θεάσασθαι ἄνθρωπον ἐπιστάντα οἱ κειμένῳ, ἀτεχνῶς λωποδύτῃ τινὶ καὶ ἀγρίῳ ληστῇ ἐοικότα τὴν χεῖρά τε ἐμβαλόντα, ἀφελέσθαι τοῦ προσκεφαλαίου τὰς τοῦ θαλάμου κλεῖδας, ἐν ᾧ τά τε ἔπιπλα καὶ οἱ πολυτελεῖς ἔκειντο λίθοι καὶ ὅσα τῶν χρημάτων αὐτῷ περιῆν. τὸν δὲ βίᾳ τὸν ὕπνον ἀποτινάξασθαι καὶ θορύβου μεστὸν ἐγερθέντα βοᾷν καὶ τοῖς θεράπουσιν ἐγκελεύεσθαι διώκειν τὸν λωποδύτην, μὴ φθάσῃ διαδρὰς μετὰ τῶν χρημάτων. ἐλελήθει γὰρ αὐτὸν ἐνύπνιον εἶναι τὰ φαντασθέντα καὶ οὐκ ἀλήθειαν. τῶν δὴ θεραπόντων διανιστάντων εὐθὺς καὶ τὰς θύρας κεκλεισμένας εὑρόντων καὶ διαβεβαιωσάντων φαντασίαν εἶναι τὸ πρᾶγμα καὶ μεθημερινῶν φροντίδων βλάστημα, μόλις εἰς ἑαυτὸν ἐλθὼν θερμότατόν τινα στεναγμὸν ἐκ βάθους ἀνέπεμψε καὶ οὐ τοσοῦτον μεθημερινῶν φροντίδων βλάστημα τὸ φανθὲν ἔκρινεν, ὅσον μαντείαν τινὰ καὶ προαναφώνησιν τοῦ μέλλοντος καταλήψεσθαι τὸν οἰκεῖον οἶκον ἀφανισμοῦ. ὅθεν ἡμέρας γενομένης τὰ πλείω τῶν χρημάτων ἀφελόμενος τῆς οἰκίας, ἅτε ἀπεγνωσμένης ἤδη, διεμέρισέ τε καὶ τῶν φίλων τοῖς πιστοτάτοις λάθρα ἐδεδώκει φυλάττειν αὐτῷ. ὁ δὲ τὴν γυναῖκα καὶ τὰς θεραπαινίδας περὶ τὸν οἶκον ἀφεὶς αὐτὸς περὶ τὰ βασίλεια ἀπρόϊτον τοῦ λοιποῦ τὴν 1.413 διατριβὴν καὶ καταμονὴν ἐποιεῖτο, δεδιὼς τὴν τοῦ δήμου στάσιν φλεγμαίνουσαν κατ' αὐτοῦ. (Γ.) Οἱ μέντοι παρὰ τοῦ γηραιοῦ βασιλέως προαποσταλέντες εἰς τὴν τῶν κατὰ Μακεδονίαν χωρῶν καὶ πόλεων διοίκησιν ἑάλωσαν ἅμα γυναιξί τε καὶ τέκνοις, ὡς ἔφθημεν εἰρηκότες, καὶ διαμερισθέντες ὅσα περὶ Θεσσαλονίκην καὶ Διδυμότειχον δεσμωτήρια πάντα μεστὰ ἑαυτῶν πεποιήκεσαν. ὁ δέ γε δεσπότης Δημήτριος φυγὰς ᾤχετο ἀπιὼν παρὰ τὸν Κράλην Σερβίας, γυναῖκα καὶ παῖδας καταλιπὼν διώκουσιν. ὁ δὲ πρωτοβεστιάριος Ἀνδρόνικος μέχρι τινὸς ἑπόμενος καὶ αὐτὸς τῷ δεσπότῃ οὐκ ἐδυνήθη μέχρι τέλους καθάπερ τις παράσιτος ἐς ἀλλοτρίαν ἀποβλέπειν τράπεζαν ὥσπερ ἐκεῖνος. ἀλλ' ἀναλογισάμενος, ὅσον ἐξαπίνης ἀφῄρηται πλοῦτον καὶ κτήνη καὶ κτήματα καὶ δόξαν μετὰ πασῶν τῶν ἐλπίδων, ὑποπτεύσας δὲ καὶ περὶ τῆς γυναικὸς ὅσα αἱ παρὰ τῶν ἐχθρῶν ἁλισκόμεναι πάσχουσιν ἄσεμνα, ἐς ἀπογνώσεως καὶ ἀμετρήτου λύπης βυθοὺς ἑαυτὸν ἐδεδώκει· καὶ οὕτως ἐν βραχεῖ τὸ ζῆν πικρῶς ἐξεμέτρησεν ἐν τόποις ἀλλοτρίοις καὶ ἐρημίαις πλανώμενος. ὁ δὲ Ἀσὰν Μιχαὴλ σπεύσας εἰσῆλθεν ἐς τὸ τοῦ Προσιάκου πολίχνιον· καὶ τοὺς οἰκήτορας ἐκεῖθεν ἐκβεβληκὼς εἰς ἑαυτοῦ τοῦτο σωτήριον οἰκητήριον εἶχεν ἀσφαλισάμενος. μετὰ δὲ βραχὺ προδοσίαν αἰσθόμενος ἑαυτοῦ μεταπέμπεται παρὰ τοῦ Κράλη Σερβίας φρουρὰν, ᾗ τὸ πολίχνιον παραδοὺς ᾤχετο παρὰ τὸν Κράλην καὶ αὐτὸς ἀπιών. (Δ.) Ἔτυχε δὲ τηνικαῦτα τὸ τοῦ Μελενίκου φρούριον καὶ ὁπόση τούτῳ περίοικος διοικῶν καὶ ἐπιτροπεύων ὁ Βασιλικὸς Νικηφόρος. οὗτος τῶν εὖ 1.414 μὲν γεγονότων ἦν, ἐδόκει δὲ τοῖς ἥκιστα κρίνειν εἰδόσιν ὀρθῶς τόν τε τρόπον εἶναι ἁπλοῦς καὶ πρακτικῆς ἐς τὰ μάλιστα ἄπειρος. ἀλλὰ τοῦτον ὁ χρόνος ἔδειξε τῶν τότε πάντων ὡς ἀληθῶς συνετώτερον. οἱ μὲν γὰρ ἀπογνώσει δόντες ἑαυτοὺς ἀγνοίᾳ τοῦ συμφέροντος πικρῶς τὸν βίον ἀπήλλαξαν· οἱ δὲ ἑάλωσαν ἄκοντες καὶ μυρία πεπόνθασι τὰ δεινά· οἱ δ' ἑκόντες προὔδοσαν ἑαυτούς. οὗτος δὲ μόνος θεῷ τὰ πείσματα τῶν ἐλπίδων ἀναψάμενος πρὸς τοσοῦτον πραγμάτων κλύδωνα ἑαυτὸν ἀντέστησε, μέχρι τελευταίας ἀναπνοῆς τοῦ γηραιοῦ βασιλέως τὴν πρὸς αὐτὸν ἀκίβδηλον γνώμην καὶ πίστιν τηρήσας, καὶ μήτε πρὸς τὰς τοῦ νέου βασιλέως λαμπρὰς καὶ μεγάλας ὑποσχέσεις ἐνδοὺς, μήτ' αὖ πρὸς τὰς παλαμναιοτάτας ἀπειλὰς καὶ περιστρατοπεδεύσεις αὐτοῦ δείσας ὅλως· ἀλλὰ τὸ φρούριον ἐκεῖνο στεῤῥῶς ἀσφαλισάμενος ἐκάθητο, λῆρον μακρὸν ἅπαντα τὰ τοιαῦτα ἡγούμενος, ἕως ἠκηκόει τὴν τοῦ γηραιοῦ βασιλέως ἀπαλλαγήν. μέχρι γὰρ τούτου δικαίαν ἡγεῖτο τὴν ἔνστασιν· τὸ δ' ἑξῆς ἄδικόν τε καὶ πρόφασιν οὐδὲν εὔλογον ἔχουσαν. διὸ καὶ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

σπονδὰς πρὸς τὸν νέον εὐθὺς ποιησάμενος βασιλέα καὶ λαμπρὰς τὰς ἀμοιβὰς παρ' αὐτοῦ δεξάμενος ἐδεδώκει τὸ φρούριον· καὶ λοιπὸν βουλήσει τοῦ βασιλέως αὐτὸς αὖθις ἦν ὁ διοικῶν καὶ ἐπιτροπεύων αὐτὸ, γέρας καὶ τοῦτο λαβὼν καὶ ἀντίδοσιν τῆς πρὸς τὸν δεσπότην ἐκεῖνον πίστεως καὶ στοργῆς. ἐπεὶ καὶ συνετοῖς πολεμίοις αἰδέσιμος ἀνδρὸς ἀρετή. καὶ γὰρ Δημοσθένην τὸν Ἀττικὸν ἐν τοῖς μάλιστα πολεμίοις ὄντα Φίλιππος ἐμακάριζε, λέγων· "1εἰ μέν τις Ἀθηναῖος ὢν ἐν Ἀθήναις φάσκει 1.415 τῆς πατρίδος ἐμὲ προτιμᾶν, τοῦτον ἀργυρίου μὲν πριαίμην ἂν, φιλίας δ' οὐκ ἄν· εἰ δέ τις ὑπὲρ τῆς πατρίδος ἐμὲ μισεῖ, τούτῳ προσπολεμῶ μὲν, ὡς ἀκροπόλει καὶ τείχει, νεωρίοις καὶ τάφρῳ· θαυμάζω δὲ τῆς ἀρετῆς καὶ μακαρίζω τὴν πόλιν τοῦ κτήματος."2 ἀλλὰ ταῦτα μὲν ὕστερον. νῦν δ' ἐπανιτέον ὅθεν ἐπὶ ταῦτα ἐξέβημεν. (Ε.) Ἔαρος γὰρ ἀρχομένου κατὰ τὴν ἕκτην δηλαδὴ τῆς ἁγίας τεσσαρακοστῆς ἑβδομάδα συνεκρότησε πόλεμον τὰ ἀμφοῖν τοῖν βασιλέοιν στρατεύματα ἀγχοῦ τοῦ Μαυροποτάμου. ἐστρατήγει δὲ τούτων μὲν Κωνσταντῖνος ὁ Ἀσὰν, ἐκείνων δ' ὁ πρωτοστράτωρ. εἰλήφεσαν τοίνυν κἀνταῦθα τὸ κράτος οἱ ἐναντίοι. τῶν δ' ἡμετέρων πεπτώκασι μὲν ἐν τῷ πολέμῳ οὐ πλείους τῶν δέκα στρατιωτῶν· ἑάλωσαν δὲ τῶν ταξιάρχων οἱ πλείους μετὰ τοῦ στρατηγοῦντος Ἀσάν. οἱ δ' ἕτεροι γυμνωθέντες δυστυχῶς τὴν ἐπὶ τὸ Βυζάντιον ἐπανήεσαν. ἰδὼν δὲ ὁ νέος βασιλεὺς κατὰ ῥοῦν τοῖς αὐτοῦ κινήμασιν ἑπομένην τὴν τύχην, τὰ κατὰ Μακεδονίαν καὶ Θρᾴκην πάντα καταστησάμενος ὡς αὐτῷ γε ἦν βουλομένῳ ἐπὶ τὸ Βυζάντιον μεσοῦντος ἔαρος ἔσπευδε καὶ αὐτὸς, μὴ φθάσαντες ἐντὸς ὁ τῶν Βουλγάρων στρατὸς εἰσπηδήσωσιν, ἔπειτα μήτε στρατὸν ἀνάλογον ἔχουσαν εὑρηκότες τὴν βασιλεύουσαν καὶ ἄλλως πεπονηκυῖαν ἰδόντες ἐκ τοῦ λιμοῦ, ὃν ὁ τῶν Βενετικῶν τηνικαῦτα στόλος προὐξένησε, κατασφάξωσι τόν τε βασιλέα καὶ πᾶσαν εἰπεῖν ἡλικίαν καὶ μίαν ἀρχὴν καταστήσωσι τῷ σφῶν αὐτῶν ἀρχηγῷ τὴν ἀπὸ Βυζαντίου μέχρι τοῦ Ἴστρου· ἢ εἰ μὴ τοῦτό γε δυνηθεῖεν, ἀλλ' οὖν τό γε δεύτερον δύναμιν αἰφνίδιον τῷ 1.416 γηραιῷ βασιλεῖ παρασχόντες ἄβατον αὐτῷ δὴ τῷ νέῳ τοῦ λοιποῦ τὴν ἐπὶ τὸ Βυζάντιον καταστήσωσι, κἀνταῦθα περὶ τὸ τῆς σπουδῆς ἁπάσης συμπέρασμα τὸ σκάφος αὐτῷ τῆς τύχης ἀνατραπείη, πάσας τὰς τῶν δρόμων ἐκείνων ἐλπίδας ὑποβρυχίους πεποιηκός. ἔτυχε τοίνυν τρεῖς ἐν ταὐτῷ κινδύνους ἡ ταλαίπωρος αὕτη μεγαλόπολις θεασαμένη τότε, οὓς κατὰ μέρος λέξοντες ἥκομεν. (΄.) Νῆες μακραὶ τετταράκοντα παρὰ Βενετικῶν ὁπλισθεῖσαι λαμπρῶς τὸν ἔκπλουν κατὰ τῶν ἐν τοῖς Γαλάτου Γεννουϊτῶν ἐποιήσαντο, μὴ βουλομένων μεθ' ἡσυχίας ἀποδιδόναι τὰ χρήματα, ὅσα παρὰ φορτίδος νεὼς αὐτῶν πειραταὶ Γεννουῖται περὶ μέσα που τὰ πελάγη τῆς κάτω θαλάσσης βιαίως ἀφείλοντο. καὶ ἐλθοῦσαι αἱ μὲν δύο καὶ τριάκοντα ἐσέπλευσάν τε ἐς τὸ πρὸ Βυζαντίου Κέρας καὶ ἔστησαν ἑαυτὰς μετωπηδὸν ἐς ἐπαγγελίαν πολιορκίας τῶν ἐν τοῖς Γαλάτου Γεννουϊτικῶν, εἰ ἀναβάλοιντο τὴν τῶν χρημάτων ἀπόδοσιν· αἱ δ' ὀκτὼ παρεφύλαττον ἀνιοῦσαι τὸν πρὸ τοῦ Ἱεροῦ πορθμὸν, ὃν δὴ τοῦ Πόντου καλοῦσιν αὐχένα. ἔνθα στρογγύλας τέτταρας ναῦς εὑρηκότες πρὸς ἔκπλουν ἑτοίμους ἐκράτησάν τε καὶ δύναμιν αὐταῖς ἐνεβίβασαν καὶ κατὰ τῶν ἐκ τοῦ Πόντου καταγομένων Γεννουϊτικῶν ὁλκάδων καὶ ταύτας ὁπλίσαντες ἔστησαν. ἦν οὖν ἡμερῶν ὀλίγων ἰδεῖν τοσαύτας ὁλκάδας ἁλούσας Ῥωμαϊκὰς ὁμοῦ καὶ Λατινικὰς, ὡς πεπληρῶσθαι τούτων πάντα μικροῦ τὸν πορθμόν. ἡλίσκοντο γάρ σφισιν ὁμοῦ καὶ Ῥωμαίων ὁλκάδες, μὴ λάθωσι δι' αὐτῶν παραῤῥυέντες καὶ Λατίνων συχνοί. καὶ συνέβαινεν οὕτω τῆς σιτοπομπίας ἀποκλεισθείσης λιμὸν τοῖς Βυζαντίοις ἐγγίνεσθαι οὐ μικρόν. διήρκεσε γὰρ τὸ τῆς 1.417 τοιαύτης πολιορκίας ἄχρι πεντεκαίδεκα ἡμερῶν, ἐν αἷς πόλεμος μὲν οὐκ ἐγίγνετο. οὐ γὰρ ἀπελέγοντο τὴν τῶν ζητουμένων χρημάτων οἱ Γεννουῖται ἀπόδοσιν· ἀλλ' ὑπισχνοῦντο μὲν, ὑπερετίθεντο δέ· τοῖς δὲ Βενετικοῖς ἥκιστα τῶν δυνατῶν ἦν ὅλως ἐπανιέναι κενούς. ἦσάν γε μὴν οὐδένες, οὓς οὐ μάλα ἐξέπληξεν ἡ τῶν Βενετικῶν εὐταξία καὶ ἡ μετὰ δικαιοσύνης



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

μεγαλοπρέπεια. οὐδὲ γὰρ ἠξίωσε τῶν πάντων ἐκείνων οὐδεὶς ἐξελθὼν ἀφελέσθαι τι τῶν ἁπάντων ἄνευ τιμῆς ἀργυρίου, καὶ ταῦτα τοσούτου παμπληθοῦς τε καὶ σύρφακος ὄχλου συνόντος. ἀλλ' ἦσαν ἅπαντες πρὸς τὴν τῶν ἀρχόντων ἐξουσίαν ἑπόμενοι, καθάπερ ποιμέσι τὰ ποίμνια. καὶ ἦσαν ἀνὰ πάσας ἐκείνας τὰς ἡμέρας ἱστάμενοι ἐπὶ τῶν νεῶν, μηδαμῶς ἐνδιδόντες πρὸς τὴν ἀκμὴν ἐκείνην τῆς τοῦ ἡλίου φλογός. τὰ δὲ τῶν Ῥωμαίων ἀκάτια κατὰ πλῆθος περιεκύκλουν αὐτούς, πᾶν ὅ,τι χρειῶδες ἐτύγχανέ σφισιν ἀφθόνως κομίζοντα καὶ ἀντιλαμβάνοντα πλείονα ἢ ἐχρῆν τὸν μισθόν. ἀλλ' οὐδὲ τῶν ἁλισκομένων ἐκείνων νεῶν ἁπασῶν τοῦ πληρώματος ἐλυμήναντο τὸ παράπαν οὐδέν. ἦν γὰρ τῶν μὲν πλήρωμα σῖτος καὶ κριθή, τῶν δὲ ὄψων ταρίχη, ὁπόσα γεωργοῦσι λίμναι Κωπαΐδες τε καὶ Μαιώτιδες καὶ ποταμοὶ Τανάϊδες. ἀλλὰ διετήρησαν ἐς τἀκριβὲς ἀλώβητα, ἕως ἀπολαβόντες τὸ χρέος ἀπέδοσαν ἅπαντα. ἓν μὲν δὴ τοῦτο δεινὸν ἐπέστη τότε τῇ πόλει. δεινότερον δ' ἂν ἦν, εἰ καὶ εἰς πέρας προὔβαινον τὰ λαθραῖα βουλεύματα. ὁ γὰρ βασιλεὺς ἔξωθεν πρεσβείαν πρὸς αὐτοὺς κρύφα ἀπεστάλκει χρήματα ὑπισχνούμενος, εἰ συνεργοὶ συνεσκιασμένοι γένοιντό οἱ πρὸς τὴν 1.418 τῆς πόλεως ἅλωσιν. τοῦτο μὲν οὖν οὐκ ἐγεγόνει, εἴτε μὴ δεξαμένων τῶν Βενετικῶν τὴν τοιαύτην πρεσβείαν, εἴτε οὐ ῥᾴδιον εἶναι τοῦτο συννενοηκότων διὰ τὸ συνεχέσι φρουροῖς πεπυργωμένον εἶναι τὸ τεῖχος ἅπαν ὁμοῦ καὶ τὰς πύλας τῶν Βυζαντίων. (Ζ.) Δεύτερον δὲ τῶν περιστάντων τότε τῇ πόλει δεινῶν, τρισχιλίους ἱππέας κατὰ τὰ ξυγκείμενα ὁ τῶν Βουλγάρων ἀπολεξάμενος ἀρχηγὸς συμμαχήσοντας ἀποστέλλει τῷ βασιλεῖ κατὰ τοῦ νέου βασιλέως· οἷς δὴ προστεταγμένον ἦν, ὡς ἐθρυλλήθη παρ' ὡντινωνοῦν, εἰ ἀδείας ἐπιτύχοιεν προσηκούσης, νεωτερισμόν τινα διαπράξασθαι περὶ τὸ Βυζάντιον. ἀλλ' ἐληλυθόσιν οὐ συγκεχώρηταί σφισιν ἐντὸς γενέσθαι πυλῶν, πλὴν ἢ μόνῳ τῷ σφῶν στρατηγῷ. διὸ καὶ παρεκκλίναντες ἐστρατοπεδεύκασι περὶ τόπον σταδίους ἀπέχοντα τῆς βασιλευούσης πέντε καὶ ἐννενήκοντα. (Η.) Ἀλλὰ μιᾷ ἡμέρᾳ πρότερον ἐξιππασάμενος ὁ νέος βασιλεὺς μετ' ὀλίγων πάνυ τινῶν ἧκεν ἐξ ἀφανοῦς ἀθρόως εἰσπηδήσων ἐς τὸ Βυζάντιον. αἰσθομένων δὲ τῶν πυλωρῶν ἀπεκλείσθη, ὡς ἐντεῦθεν ἀναγκασθέντα δεῖσθαι τοῦ βασιλέως καὶ πάππου θερμῶς καὶ ὑπισχνεῖσθαι πρὸς ἅπαν ὑπείξειν τὸ προσταττόμενον, ὡς εἷς τῶν ἀργυρωνήτων, πρίν τι γενέσθαι τῶν ἀπευκτῶν θατέρῳ δυοῖν, οὕτω κορυφωθείσης τῆς μεταξὺ μάχης. ἀλλ' αἱ τῶν Βουλγάρων ἐλπίδες κουφίζουσαι τὴν τοῦ γηραιοῦ βασιλέως ἔτι ψυχὴν οὐκ εἴων συνθέσθαι ταῖς ἐκείνου δεήσεσιν. ἔπειτα οὐδὲ πιστεύειν εἶχεν αὐτῷ καθαρῶς ἐκ πολλῶν τῶν προειληφότων. τούτων μὲν δὴ τριῶν περιστάντων τότε κινδύνων τῇ πόλει οὐδεὶς τοῦ σκοπουμένου τετύχηκε τέλους. 1.419 (Θ.) Ὅ γε μὴν βασιλεὺς ὁ νέος ἄρας ἐντεῦθεν ἀπήει, σφοδρῶς ἀνιώμενος πρὸς τὴν ἀωρίαν τῶν βουλευμάτων, καὶ τὴν οὕτω συμβᾶσαν τῶν πραγμάτων ἐμέμφετο περιπέτειαν καὶ οἷον εἰπεῖν ἀπεγνωκότι ἐῴκει· καὶ προελθὼν κατέλυσε παρὰ χωρίῳ τινὶ Λόγους ἐπικεκλημένῳ. ἐκεῖθεν διαπρεσβεύεται πρὸς τὸν στρατηγὸν τῶν Βουλγάρων, ἀγχοῦ που στρατοπεδεύοντα· καὶ δῶρα τὰ μὲν ἤδη πέπομφε, τὰ δὲ ὑπισχνεῖται, εἰ λαβὼν τὸν οἰκεῖον στρατὸν ἐπὶ τὰ οἴκοι ἀναχωροίη. καὶ συνθέμενον πρὸς εὐωχίαν καλεῖ μετὰ τῶν αὐτοῦ ταξιάρχων· καὶ τῇ ὑστεραίᾳ ψυχαῖς ἡδομέναις οἴκαδε προὔπεμψε. ΄. Τούτων οὕτως ἐχόντων αὐτομολοῦσι πρὸς βασιλέα τὸν νέον περὶ τὸ δηλωθὲν χωρίον στρατοπεδεύοντα δύο τινὲς τῶν τοῦ τείχους τῆς βασιλευούσης φρουρῶν, ὄνομα Κάμαρίς τε καὶ Καστελλάνος, τεκτονικήν τινα μετιόντες τὴν τέχνην· οἳ καὶ ἀπολαβόντες τὸν βασιλέα μηδενὸς ἄλλου συνόντος πλὴν τοῦ μεγάλου δομεστίκου Καντακουζηνοῦ διαλέγονται περὶ προδοσίας καὶ ἀπαιτοῦσιν ἐγγράφους ὑποσχέσεις χρημάτων ὁμοῦ καὶ κτημάτων ἀφθόνων. ἃ δὴ πάντα λαβόντες ῥᾳδίως καὶ διδάξαντες τὴν ὥραν καὶ τὸν τρόπον αὐτοὶ μὲν ἐπανῆκον ἐς τὴν ὑστεραίαν δέει τοῦ μὴ ἐς ὑποψίας ἐμπεπτωκέναι τοῖς ἐκ γειτόνων. ὁ δὲ βασιλεὺς τέτταρας περιμείνας



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἡμέρας ἐκεῖ κλίμακα διὰ μηρίνθου κατεσκευάκει, ὁποίας καὶ περὶ τὸν ἱστὸν αἱ μέγισται αἰωροῦσιν ὁλκάδες. τῆς δὲ κυρίας ἐληλυθυίας νυκτὸς οἱ μὲν προδόται ὤνιον εἰληφότες ἐξ ἑσπέρας οἶνον πολὺν ἄκρατον πίνειν παρεῖχον τοῖς γείτοσι τῶν φρουρῶν, 1.420 ὡς ἐντεῦθεν εἰς ὕπνον τραπέσθαι πάντας βαθύτατον καὶ μηδὲν πλὴν τοῦ ἀναπνεῖν ἀπεοικέναι νεκρῶν. περὶ δὲ μέσας νύκτας ἥκουσιν οἱ τὴν κλίμακα φέροντες παρὰ τὸ τεῖχος· ἣν εὐθὺς ἀνιμήσαντο σχοῖνον χαλάσαντες ἄνωθεν οἱ προδόται, δι' ἧς καὶ ἀνήγαγον τῶν ἔξωθεν ὁπλιτῶν ὀκτωκαίδεκα· οἷς καταβεβηκόσιν ἐκμοχλεῦσαι ῥᾳδίως τὴν τοῦ Ῥωμανοῦ καλουμένην ξυμβέβηκε πύλην, καὶ λοιπὸν ἀκωλύτως στρατὸς εἰσεχώρει ξύν γε τῷ βασιλεῖ. (Β.) Ἀλλ' ἐκεῖνο μικροῦ με παρέδραμε. δύντος γὰρ ἤδη τοῦ ἡλίου καὶ τῶν Βυζαντίων πυλῶν κλεισθεισῶν ἧκέ τις καὶ τῶν ἔγγιστα χωρίων τῷ δρόμῳ ἀσθμαίνων· καὶ κρούσας τὰς παρὰ τῇ Γυρολίμνῃ πύλας ἐκπληκτικώτερον ἐκάλει τινὰ τῶν ἔνδον· καὶ ἐλθόντι ἑωρακέναι ἔφασκε πρὸ βραχέος πολλούς τινας τῶν τοῦ νέου βασιλέως σπουδῇ προσελαύνοντας πρὸς τὰ περὶ τὸν Ῥωμανὸν τείχη τῆς πόλεως. ὅπερ ἀκουσθὲν τῷ βασιλεῖ φόβον ἐνέβαλε πλεῖστον καὶ θόρυβον ἐνεποίησε λογισμῶν. καὶ ἔδοξεν ἀνοίξαντι συχνοὺς τῶν στρατιωτῶν ἐξαποστεῖλαι, φύλακας περιπόλους τοῦ χερσαίου γενησομένους τείχους ἀπὸ θαλάττης ἄχρι θαλάττης. ἀλλ' ὁ μέγας ἐμποδὼν γεγένηται λογοθέτης, ἀνάξιον εἶναι φήσας μεγαλοπρεπέσι φρονήμασιν, ἐνδιδόναι πρὸς οὕτω σμικροπρεπεῖς ἀκοὰς καὶ φήμας ἀγεννεῖς. [ἢ γὰρ μὴ εἶναι τὸ λαληθὲν ἀληθές, ἢ μωρὰν εἶναι τὴν ἐπιχείρησιν, τοσούτοις ὅπλοις τῶν τε πυλῶν ὁμοῦ καὶ τῶν τειχῶν πεφραγμένων. ταὐτὸν γὰρ πείσονται, εἰ τῇ εἰσόδῳ νῦν ἐπιχειρεῖν ἐθελήσαιεν οἱ πολέμιοι, ὁποῖον καὶ οἱ πρὸς κέντρα λακτίζοντες. ταυτὶ δ' ἔφασκεν οὗτος, εἴτε διὰ τὸ ἀδαὴς 1.421 στρατιωτικῶν εἶναι πραγμάτων, εἴτε τοῦ θεοῦ σφήλαντος τὴν τούτου διάνοιαν, ἵνα καὶ πέρας ἡ κυρωθεῖσα ἄνωθεν ψῆφος σχοίη κατὰ τοῦ γηραιοῦ βασιλέως καὶ τῶν τούτου πραγμάτων. (Γ.) Οὔπω τὸ τρίτον τῆς νυκτὸς παρεῤῥύη καὶ συχνοὶ παρὰ τὰς πύλας αὖθις τῆς Γυρολίμνης ἧκον ἀγροῖκοί τινες ἐκ τῶν προαστείων τῆς Βυζαντίδος καὶ πολὺν ἐδήλουν τοῖς φύλαξιν ἀθροίζεσθαι ὅμιλον ἔξωθεν παρὰ τὰς πύλας τοῦ Ῥωμανοῦ. ὅπερ αὖθις εἰς τὰς βασιλικὰς ἀκοὰς ἀνενηνεγμένον εἰς φόβον καὶ θόρυβον ἤγαγε πλείονα· καὶ τραχυτέρᾳ χρησάμενος τῇ φωνῇ πρὸς τὸν μέγαν ἔφασκε λογοθέτην· "1ἔοικας, ἄνθρωπε, σιδήρου φύσιν εἰληφέναι. διὰ γὰρ τοῦτο καὶ ἀδεῶς ἔχεις τῶν λογισμῶν καὶ οὐκ ἐπαισθάνῃ τῶν περιστοιχιζόντων ἡμᾶς ἄρτι κινδύνων. ἢ οὐχ ὁρᾷς, ὡς οὐκ ἐᾷ με τὸ πρᾶγμα καθῆσθαι, μηδὲ καταδαρθάνειν· ἀλλ' ὥσπερ τις ἰσχυρὸς πάταγος ὁ τοῦ ἐγγόνου μου θόρυβος κροτεῖ μου τὰς ἀκοὰς καὶ συγχεῖ μου τὴν διάνοιαν καὶ δεινῶν μοι πέλαγος ἔῤῥωγε, τάς γε φρένας τινάττων συχνὰ καὶ κυκῶν καὶ βυθίζων μου τὴν καρδίαν;"2 ὅδ' ἄντικρυς Μακκαβαῖος ἦν, τοῖς προτέροις ἐμμένων δόγμασι καὶ περιφρονῶν τὰ λεγόμενα, καθάπερ τις προβλὴς θαλάττιος· ὥστε καὶ ἀναστὰς ἀπῄει καθευδήσων, ἔργῳ δεικνὺς ὡς μάταιος ὄχλος καὶ οὐδὲν ἰσχυρὸν τὰ πρὸς πολεμίων ἔξωθεν δρώμενα. (Δ.) Ὁ δὲ βασιλεὺς μόνος ἀπολειφθεὶς καὶ οὐκ ἔχων πλὴν τῶν οἰκειακῶν μειρακίσκων ἕτερον, ᾧ κοινωνήσει τοῦ πάθους, ἐπὶ τῆς βασιλικῆς καὶ αὐτὸς ἑαυτὸν κατέκλινε κλίνης, μηδὲν τῶν ἱματίων ἐκδύς· ἀλλ' ἅμα τούτοις καὶ ὅλην ἐνδεδυμένος σαφῆ τὴν ἀπόγνωσιν ἔκειτο μεμερισμένος πικροῖς καὶ ἀλλεπαλλήλοις λογι 1.422 σμοῖς τὴν ψυχὴν καὶ ὅλον τὸ σῶμα περιστρεφόμενος τῇδε κἀκεῖσε συχνά, ὥσπερ ἂν εἰ κρατῆρας εἶχε πυρὸς ὑφάπτοντας κάτωθεν τὴν κλίνην. τούτων οὕτως ἐχόντων πολὺς ἠκούσθη θόρυβος ἔξω περὶ τὰ βασίλεια καὶ τὰς βασιλείους πύλας, τὴν τοῦ νέου βασιλέως περιηχῶν εἴσοδον, καὶ κρότος ὅπλων μάλα πολύς· ἦσαν γὰρ οἱ συνεισελθόντες τῷ βασιλεῖ στρατιῶται πλείους ὀκτακοσίων· καὶ ἅμα πανταχόθεν εὐφημίαι καὶ γλῶσσαι τὸν νέον ἀνακηρύττουσαι βασιλέα. αἰσθόμενος δ' ὁ γηραιὸς βασιλεὺς τοῦ θορύβου καὶ τῆς βοῆς ἐξανέστη τῆς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

κλίνης, ἐκπλήξει πολλῇ συνεχόμενος· καὶ μὴ ἔχων οὐδένα τὸν βοηθήσοντα, μήτε στρατιώτην, μήτε στρατηγόν· πλὴν γὰρ τῶν θαλαμηπόλων μειρακίσκων ἐρημία πολλὴ τὰ βασίλεια εἶχε· καταφεύγει πρὸς τὴν θείαν εἰκόνα τῆς ὑπεράγνου θεομήτορος τῆς Ὁδηγητρίας. συχνῶν γὰρ ἡμερῶν ἐκομίσθη πρὸς τὰ βασίλεια πρότερον καὶ ἦν αὐτῷ παραμύθιον ἀσφαλές. πρὸς ταύτην τοίνυν καταφυγὼν καὶ περιχυθεὶς τοὔδαφος μάλα περιαλγής τε καὶ ἔνδακρυς ἐδεῖτο θερμῶς, μὴ περιϊδεῖν κινδυνεύοντα μιαιφονίας ξίφεσι τὴν ψυχὴν παραπέμψαι. ναὶ μὴν καὶ ἐπήκοος ἐγένετο τῆς δεήσεως αὐτοῦ καὶ ταχίστην ἐχαρίσατο τὴν ἐπικουρίαν ἡ πάνθ' ὅσα βούλεται δυναμένη πάναγνος θεοτόκος. (Ε.) Τοιαύτας γὰρ ἔνδον τῶν βασιλείων αὐτοῦ τὰς δεήσεις τῇ θεοτόκῳ προσφέροντος, ὁ νέος ἔξωθεν βασιλεὺς συγκαλέσας πάντας τοὺς περὶ αὐτὸν στρατηγοὺς καὶ ταξιάρχους παρεκελεύετο μάλα σφοδρῶς, μήτε χεῖρα φονεύτριαν, μήτε γλῶσσαν ὑβρίστριαν ἐπενεγκεῖν μήτε τῷ πάππῳ καὶ βασιλεῖ, μήτε μηδενὶ τῶν ἁπάντων ἑτέρῳ. "1οὐ γὰρ ἡμεῖς,"2 φησὶν, "1ἀλλ' ὁ θεὸς ἡμῖν τὰ τοιαῦτα παρέσχετο 1.423 τρόπαια. καὶ θεοῦ μὲν βούλησις πάντα κινεῖ· ὑπηρετεῖ δὲ πάντα, ἀστέρες, ἀὴρ, θάλασσα, γῆ, ἄνθρωποι, κεραυνοὶ, πρηστῆρες, λοιμοὶ, σεισμοὶ, ὑετοὶ ῥαγδαῖοι, καρπῶν ἀφορίαι, καὶ ὅσα τούτοις ἑπόμενα, τὰ μὲν πρὸς εὐδαιμονίαν, τὰ δὲ πρὸς κακοδαιμονίαν, ἢ μᾶλλον πρὸς παίδευσιν καὶ σωφρονισμόν. ὑπηρέταις δὴ οὖν ἡμῖν καὶ κολασταῖς τῆς παρούσης χρώμενος παιδεύσεως δίδωσι νίκας καὶ τρόπαια ταῖς ἡμῶν δεξιαῖς. χρήσεται δ' ἴσως ἄλλοις αὔριον καθ' ἡμῶν· καὶ ὁποῖοι καὶ ἡμεῖς ἐσόμεθα τοῖς ἐς τὰς ἡμῶν χεῖρας παραδοθεῖσιν εἰς παίδευσιν, τοιοῦτοι πάντως ἔσονται καὶ ἡμῖν, οἷς ἡμεῖς παραδοθησόμεθα. ὥστε εἰ μὴ δι' ἔλεον καὶ οἶκτον συγγενικῶν τε καὶ ὁμοφύλων αἱμάτων, διὰ γοῦν πρόνοιαν ἡμῶν αὐτῶν φιλανθρωπίᾳ νυνὶ χρήσασθαι βέλτιον, μὴ βαρυτέρας αὐτοὶ πειραθῶμεν θεομηνίας."2 (´.) Ἐν τούτοις ἐλθών τις ἐκ τῶν βασιλείων ἀνέῳξέ τε τὰς πύλας τῷ νέῳ βασιλεῖ καὶ ἀγγελίας αὐτῷ ταύτας κομίζει παρὰ τοῦ πάππου· "1ἐπειδὴ τήμερον ὁ θεὸς ἀφελὼν ἐμοῦ τὸ βασίλειον, υἱέ μου, σκῆπτρον σοὶ τοῦτ' ἐχαρίσατο, μίαν ταύτην αἰτῶ παρὰ σοῦ χάριν ἀντὶ πολλῶν, ὧν ἐξ αὐτῆς σοι γενέσεως ἐδεδώκειν αὐτός (ἐῶ γὰρ λέγειν ἐν ταῖς παρούσαις τύχαις ὢν, ὅτι καὶ τῆς γενέσεως αὐτῆς καὶ τῆς ἐς βίον προόδου μετά γε θεὸν αὐτός σοι κατέστην αἴτιος)· χάρισαί μοι τὴν ἐμαυτοῦ ζωήν· φεῖσαι πατρικῆς κεφαλῆς· μὴ βίαιον ἐπενέγκῃς αἵματι σίδηρον, ἀφ' οὗ σὺ τὰς πηγὰς ἐδέξω τοῦ ζῆν. ἄνθρωπος μὲν ἐπόπτης ἐστὶν οὐρανοῦ τε καὶ γῆς· τῶν δ' ἀνθρωπίνων πράξεων ἐπόπται γῆ τε καὶ οὐρανός. μὴ δὴ οὖν ἐθε 1.424 λήσῃς ἀθεμίτων ἔργων καὶ οἵων οὐδείς πω τετόλμηκεν ἐξ αἰῶνος ἐπόπτας λαβεῖν γῆν τε καὶ οὐρανόν. εἰ δ' ἀδελφικὸν αἷμα κατὰ τοῦ Κάϊν ἐβόα πάλαι πρὸς κύριον, πῶς οὐ πατρικὸν αἷμα βοήσει πρὸς κύριον καὶ γῇ τε καὶ ἡλίῳ καὶ ἀστράσι τὸ τοσοῦτον ἀναγγελεῖ τόλμημα καὶ διατραγῳδήσει πρὸς ἅπαντας βασιλέας ἐθνῶν; αἰδέσθητι γῆρας ἐλεεινὸν ἐμοὶ μὲν βίου τελευτὴν οὐκ εἰς μακρὰν ὑπισχνούμενον, σοὶ δὲ φροντίδων μακρῶν ἀνάπαυσιν. αἰδέσθητι χεῖρας, αἵ σε πολλάκις ἐν σπαργάνοις ὄντα καὶ γάλαξιν ἠγκαλίσαντο. αἰδέσθητι χείλη πολλάκις μετὰ θερμοῦ σε τοῦ φίλτρου φιλήσαντα καὶ δευτέραν προσειπόντα ψυχήν. κάλαμον ἐῤῥιμμένον ὑπὸ τῆς τύχης οἴκτειρον καὶ μὴ καὶ αὐτὸς ἐθελήσῃς δευτέραν ἐπενεγκεῖν συντριβήν. μὴ ταῖς παρούσαις ἄνθρωπος ὢν πίστευε τύχαις· ἀλλ' ὅρα τὸ τῶν πραγμάτων ἀβέβαιον καὶ ἀστάθμητον ἀρξάμενος ἐξ ἐμοῦ. ὅρα μακροῦ βίου τέλος. θαύμασον, πῶς μία δὴ νὺξ αὕτη με βασιλέα παρειληφυῖα πολυετῆ βασιλευόμενον οἴχεται καταλιμπάνουσα."2 τούτοις τοῖς λόγοις μαλακισθεὶς ὁ νέος Ἀνδρόνικος μικροῦ καὶ δακρύων ἥττων γενόμενος εἴσεισι τὰ βασίλεια, πολλὴν ὑπὲρ σωτηρίας τοῦ πάππου ποιούμενος πρόνοιαν. καὶ πρῶτα μὲν τῇ σεβασμίᾳ τῆς θεομήτορος εἰκόνι τὴν προσήκουσαν ἀποδοὺς προσκύνησιν, ἔπειτα τὸν πάππον ταύτης ἐχόμενον ἀπολαβὼν ἠσπάσατό τε περιπτυξάμενος καὶ λόγοις ἀνεκτήσατο μειλιχίοις. (Ζ.)



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Ἐκεῖθεν ἄπεισιν εἰς τὴν τῶν Μαγγάνων μονὴν, ἔνθα φθάσας ὁ λόγος ἐδήλωσεν ἐν ἀδέσμῳ φυλακῇ τὸν πατριάρχην Ἠσαΐαν καθῆσθαι. τοῦτον οὖν ἄρας ἐκεῖθεν καὶ ἐφ' 1.425 ἓν τῶν βασιλικῶν ὀχημάτων ἀναβιβάσας, ὡς εἶχε τῶν ἐρυθροβαφῶν κοσμημάτων, τῷ πατριαρχικῷ φέρων ἀποδίδωσι θρόνῳ· οὐκ ἐπισκόπων τινῶν οὐδὲ πρεσβυτέρων προοδευόντων καὶ ἑπομένων, ἀλλ' αὐλητῶν καὶ αὐλητρίδων καὶ ὀρχηστῶν καὶ ὀρχηστρίδων σὺν ᾠδαῖς χαρμοσύνοις τὴν πομπὴν ποιουμένων ἐκείνην. ὧν μία τις, ἡ μάλιστα τῶν ἄλλων αὐλητρίδων δοκιμωτάτη, ἵππου ἐν ἀνδρικῷ τῷ σχήματι ἐπιβαίνουσα τοῖς στρατευομένοις εἵπετο μὲν καὶ πρότερον, εἵπετο δὲ καὶ νῦν προπομπεύουσά τε τῷ πατριάρχῃ καὶ ταῖς συνήθεσι καὶ πορνικαῖς φλυαρίαις τόν τε πατριάρχην, καὶ ὅσοι τότε παρῆσαν, εἰς γέλωτας ἀσήμους ῥᾷστα παρασύρουσα. (Η.) Ἦν δ' ἕωθεν ἐς ἑσπέραν ἰδεῖν τὴν ἡμέραν ἐκείνην κενωθέντα τὸν ὄλβον ἅπαντα τῶν οἴκων τῶν λαμπροτάτων καὶ λείψανα τὴν ταχίστην καταστάντας αὐτοὺς ἐρειπίων καὶ δημοτικὸν ἄθυρμα· καὶ μάλιστα πάντων τὴν τοῦ μεγάλου λογοθέτου λαμπροτάτην οἰκίαν, καὶ ὅσα τῶν χρημάτων ἔν τε τῇ οἰκίᾳ ἐταμιεύοντο, καὶ ὅσα φθάσας τισὶ τῶν φίλων παρέθετο. τῶν γραμματείων γὰρ εὑρεθέντων, ἃ τοὺς εἰληφότας φίλους ἐδήλου, λαφύρων μερὶς ἐγεγένηντο πάντα καὶ οὐδὲν τῶν ἁπάντων αὐτῷ παρελείφθη· ἀλλὰ τὰ μὲν εἰς τὸ βασιλικὸν εἰσενήνεκται πρυτανεῖον, τὰ δὲ δημοτῶν διενείμαντο χεῖρες· καὶ γέγονε πένης εὐθὺς ὁμοῦ τοῖς παισὶν ὁ πάντων μετὰ βασιλέα εὐδαιμονέστατος πᾶσι δοκῶν. ἀκράτου γὰρ τῆς εὐδαιμονίας ἐν πολλοῖς ἀπολελαυκὼς τοῖς ἡλίοις ὅλον ἐκπέπωκεν ἄκρατον ἡμέρᾳ μιᾷ τὸν τῆς λύπης κρατῆρα. καὶ ἦν 1.426 ἀκούειν τῶν μεμψιμοίρων λεγόντων τά τε ἄλλα καὶ ὡς πενήτων ἦν αἵματά τε καὶ δάκρυα τὰ τοιαῦτα χρήματα, συνεισφερόμενά τε καὶ χορηγούμενα παρ' οἷς ἐπετέτραπτο πόλεών τε καὶ χωρῶν διοίκησις Ῥωμαϊκῶν· ἵν' ἐκείνων μὲν ἀπηνῶς χρωμένων τοῖς ταλαιπώροις Ῥωμαίοις, οἷά τισιν ὠνητοῖς ἀνδραπόδοις, αὐτὸς ἐπιτειχίζῃ τούτοις τὴν ἐς βασιλέα καταφυγὴν καὶ μένῃ τὸ μέγα τοῦτο δεινὸν ἀνεκδίκητον πανταχόθεν· ὅθεν ὁ τῆς δίκης ὀφθαλμὸς οὐκ εἰς τέλος κεκοίμηται, ἀλλὰ διανέστη καὶ τὴν προσήκουσαν ὀψὲ καὶ μόλις ἐπήνεγκε κόλασιν. ταῦτα παρὰ πολλῶν ᾀδόμενα πικροτέραν ἐποίουν τὴν τοῦ ἀνδρὸς συμφοράν. (Θ.) Πῶς δ' ἄν τις ἐξαριθμοίη τὴν τότε πρὸς ἀλλήλους ἐπανάστασιν πάντων Ῥωμαίων, καὶ μάλιστά γε τῶν Βυζαντίων; ἡ γὰρ τῶν δυοῖν βασιλέων διαφορὰ διαφόρους ὡς τὸ εἰκὸς καὶ τοὺς ὑπηκόους ποιήσασα κατ' ἀλλήλων ἐξέμηνε· τέκνα κατὰ γονέων, φημὶ, καὶ γονέας κατὰ τέκνων, ἀδελφοὺς κατ' ἀδελφῶν καὶ κατὰ γειτόνων γείτονας· τὸ δὲ μεῖζον, ἐπισκόπους καὶ πρεσβυτέρους κατ' ἐπισκόπων καὶ πρεσβυτέρων καὶ μοναχοὺς κατὰ μοναχῶν. καὶ εἰ μὴ βασιλεὺς φιλανθρώπου γνώμης τυχὼν ἐς ὑπερβολὴν τῶν τε στρατιωτῶν καὶ τοῦ δήμου τὴν φορὰν ἀνεχαίτισε, τάχ' ἂν Μυσῶν λείαν εἰργάζοντο τά τε ἱερὰ καὶ τῶν Βυζαντίων τοὺς οἴκους· τάχα δ' ἂν καὶ φόνος ἠγείρετο πλεῖστος, δίκην βουλομένων παρ' ἀλλήλων τῶν πλείστων λαμβάνειν, εἴ τίς τινι κατὰ τὰς μάχας ἐκείνας ἐμπεπαρῴνηκεν. "1εἰ γὰρ ἐγὼ,"2 φησὶν ὁ βασιλεὺς, "1τοῖς γλῶσσάν τε βακχεύουσαν καὶ ξίφος ἐπίβουλον ἄρασι κατ' ἐμοῦ πᾶσαν αἰτίαν 1.427 ἀφῆκα, πολλῷ μᾶλλον ὑμᾶς τοῦτο ποιεῖν χρὴ πρὸς τοὺς συνδούλους· τοῦτο μὲν καὶ ὡς τὴν μίμησιν ἀναφέρειν ὀφείλοντας εἰς ἐμέ· τοῦτο δὲ καὶ ὡς εἰδότας οὐχ ὅμοιον ὂν τὸ τῆς ἐκβάσεως τέλος ὑπηκόου τε φονευθέντος καὶ βασιλέως."2 (Ι.) Εἰ δὲ καὶ ἡμεῖς τῷ γηραιῷ κατὰ τὸ εἰκὸς προσκείμενοι βασιλεῖ ῥοθίοις τισὶν ἐνετύχομεν τοῦ χειμῶνος ἐκείνου, καινὸν οὐδέν. οὔτε γὰρ δίκαιον ἦν, ἡμᾶς μηδεμιᾷ προσκεῖσθαι μερίδι, τοῦ Σόλωνος τοῦτο προτρέποντος· καὶ πρός γε τῶν εἰκότων αὖ, τοῦ ποιμένος παταχθέντος δεινὰ παθεῖν κατὰ τὸ ἀνάλογον ἅπαν τὸ ποίμνιον. ζ΄. Ἦν μέντοι τετάρτη καὶ εἰκοστὴ τοῦ μαΐου μηνὸς ἡ ἡμέρα ἐκείνη τῆς ἑνδεκάτης ἰνδικτιῶνος, ἐν ᾗ ταῦτα πάντα τετέλεσται. περὶ οὖν δείλην ὀψίαν τῆς ἡμέρας ἐκείνης ἐπανιόντι τῷ βασιλεῖ πρὸς τὰ βασίλεια ὑπαντήσας ὁ χρηματίσας πατριάρχης


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Νίφων ἤρετο ὅ,τι βούλοιτο πράττειν ἐπὶ τῷ πάππῳ; τοῦ δὲ φιλάνθρωπα φήσαντος καὶ βασιλικὰ ἐδυσχέρανέ τε τὰ μέγιστα καὶ ἐμέμφετο. ἦν γὰρ οὗτος καὶ πρὸς ἅπαντας μὲν τοὺς εὖ πράττοντας τὴν γνώμην διάστροφος καὶ φθόνου μεστός· ἰδίᾳ δ' ἐς τὰ μάλιστα ἦν μῖσος ὑποκαθήμενον τρέφων ἐκ πολλοῦ κατὰ τοῦ γηραιοῦ βασιλέως, ὅτι μὴ ἐπεκούρησε τούτῳ, ὅτε τὰς δίκας τῆς τε ἱεροσυλίας καὶ τῶν ἄλλων ἀτοπημάτων ἐπ' αὐτοφώρῳ ἑαλωκὼς τῶν πατριαρχικῶν ἐκπέπτωκε θρόνων. ὅθεν πρῶτον δι' ἓν μὲν δὴ τοῦτο, καὶ δεύτερον, ὅτι καὶ τοὺς πατριαρχικοὺς αὖθις ὠνειροπόλει θρόνους καὶ ἐβούλετο τοῦτον ἐκ μέσου πεποιηκὼς ἀκώλυτον εὑρεῖν τὴν τῆς δόξης ἀνάβασιν, φησὶ πρὸς τὸν βασιλέα· "1εἰ βούλει,"2 φησὶ, 1.428 "1βασιλεύειν ἀφόβως, μὴ δῷς ἑτέρῳ τὴν δόξαν σου· ἀλλὰ πάντα τοῦ πάππου τὰ τῆς βασιλείας ἀφελόμενος σύμβολα τρίχινον ῥάκος ἀνάγκασον ὑπελθεῖν, κἄπειτα ἢ πρὸς εἱρκτὴν, ἢ πρὸς ὑπερορίαν παράπεμψον."2 ἔφεσις γὰρ τῷ μοχθηρῷ τούτῳ Νίφωνι ζέουσα, μὴ αὐτὸν μόνον χρηματίσαντα λέγεσθαι πατριάρχην, ἀλλὰ κἀκεῖνον χρηματίσαντα βασιλέα. φάρμακον γάρ τι τοῦτο τῆς αὐτοῦ βασκανίας ἐνόμιζεν οὐκ ἐνθυμούμενος ὅλως ὁ μάταιος, ὅτι φαῦλον καὶ ἀφανῆ τυγχάνοντα ἄνθρωπον ἀνειληφὼς ἐκεῖνος καὶ τιμὰς ἐκ τιμῶν ἀεὶ χαριζόμενος ἐπὶ μέγιστον ὕψωσε δόξης τε καὶ πλούτου καὶ περιφανείας. (Β.) Ἀλλὰ τούτοις αὐτοῦ γε τοῖς λόγοις καὶ τῶν περὶ τὸν βασιλέα τινὲς συμβήσαντες ἔπεισαν ἀποθεῖναι τὴν περὶ τὸν πάππον φιλάνθρωπον γνώμην· καὶ εἰ μὴ τελέως, ἀλλ' οὖν ἀμφιῤῥεπῆ πεποιήκασι καὶ βουλομένῳ συμμεριστὴν ἑαυτῷ τῆς βασιλείας καταστῆσαι τὸν πάππον, ἐμπόδιον οὗτοι κατέστησαν. ὅθεν μετὰ πλεῖστα σκέμματα κεκύρωται, περικεῖσθαι μὲν τὸν πάππον τὰ βασιλικὰ σύμβολα, καθῆσθαι δ' ἐν τοῖς τῶν βασιλείων θαλάμοις ἀπρόϊτόν τε καὶ ἄπρακτον, ἔχοντα πρὸς διατροφὴν ἑαυτοῦ τε καὶ ὅσοι ἐναπελείφθησαν αὐτῷ μειρακίσκοι τὴν ἐπέτειον πρόσοδον τῆς ἁλιευτικῆς, ἣ πρὸ τοῦ Βυζαντίου τελεῖται, δέκα χιλιάδων τέως ἔγγιστα οὖσαν· τὸν δὲ μέγαν λογοθέτην τὸν Μετοχίτην ὑπερόριον πέμψαι ἐς Διδυμότειχον. (Γ.) Ἠσαΐας δ' ὁ πατριάρχης καταβληθέντα θεασάμενος τοσούτων ἐτῶν βασιλέα καὶ οἷον εἰπεῖν κατειρχθέντα οὐκ ἐκάμφθη τὰ σπλάγχνα, ἀλλ' ὑπερήσθη καὶ φωνὴν ἀφῆκεν ἐλέγχουσαν τήν τε σκληρότητα καὶ τὴν ἄνοιαν, ἢ μᾶλλον ἀπόνοιαν αὐτοῦ. "1εὐφρανθήσεται γὰρ,"2 1.429 φησὶ, "1δίκαιος, ὅταν ἴδῃ ἐκδίκησιν·"2 δίκαιον μὲν ἑαυτὸν ὀνομάζων, ἐκδίκησιν δὲ τὴν τοῦ βασιλέως καθαίρεσιν. ἔπειτα πρὸς ἄμυναν ἔβλεψε καὶ καταδρομὴν τῶν ἐπισκόπων καὶ πρεσβυτέρων· καὶ τοὺς μὲν ἀργεῖν τῆς ἱερωσύνης ἐκέλευσεν ἐπὶ ῥητοῖς ἔτεσι, τοὺς δὲ μέχρι τελευτῆς. ἔστι δ' οἷς καὶ μετριώτερον ἐπήνεγκε τὸ ἐπιτίμιον· ἁπλῶς δ' εἰπεῖν, οὐδένα τῶν τῷ γηραιῷ βασιλεῖ συμφρονούντων εἴασεν ἀτιμώρητον. (Δ.) Ἐν τούτοις καὶ Ἰωάννης, ὁ ἐμὸς μετά γε θεὸν κηδεμὼν ἀπὸ βρέφους φανεὶς, ὁ πρὸς μητρὸς θεῖος ἐμοὶ, εἰς βαθὺ γῆρας ἐληλακὼς καταλύει τὸν βίον ἐν τῇ λαχούσῃ μητροπόλει, μηδὲν μήθ' ὑπὸ γήρως, μήθ' ὑπὸ τῆς πληγῆς τῶν ποδῶν τυραννηθεὶς καθυφεῖναι βραχὺ τῆς ἡλικιώτιδος καὶ μεγάλης ἀσκήσεως μέχρι τελευτῆς αὐτῆς. ἦν δ' ἡ λαχοῦσα τοῦτον μητρόπολις ἡ κατὰ Πόντον Ἡράκλεια. ὃν δὴ καὶ πρῶτον εἶδε δῆμος Ἡρακλειώτης, πατέρα χρηστὸν καὶ θεοῦ μεστὸν, οὐκ ἀγρότην ἄνδρα καὶ διδάσκαλον αὐτοσχέδιον καὶ γλῶτταν ἐν οὐ καιρῷ προτείνοντα βακχεύουσαν ἀπὸ δίφρου καὶ κόπτουσαν μὲν τὰς ἐπὶ τοῦ βήματος ἀκοὰς καὶ πολὺν ἐπαντλοῦσαν τὸν ἄλογον θόρυβον, πρὸς δέ τι χρήσιμον οὐδαμῇ ἀπαντῶσαν· ἀλλ' ἐξ ἔτι νέου γλῶσσαν καὶ ἀκοὴν καὶ διάνοιαν παιδευθέντα καλῶς πάσῃ παιδείᾳ τῶν τε τοῦ πνεύματος λόγων καὶ ὅσοι τῶν θύραθεν· ὡς ἔχειν ἀρκούντως ἤδη καὶ βίῳ καὶ λόγῳ τοῖς ὑπηκόοις διδόναι θεσμοὺς καὶ κανόνας, ὁπόσοι κοσμοῦσιν εὐτραπελίαν ἠθῶν καὶ ῥυθμίζουσι παλάμης κράτος καὶ θυμὸν μετριάζειν παρασκευάζουσι καὶ 1.430 ἀκόλαστον ἅπαν ταλαντεύουσι κίνημα. ἔξεστι δὲ τοῖς βουλομένοις ἀκούειν κατὰ μέρος ὁποῖος καὶ ὅσος τὴν ἅπασαν ἀρετὴν ὁ ἀνὴρ ἐξ οὗπερ ἡμεῖς αὐτῷ συγγεγράφαμεν βίου. η΄. Ἀλλὰ γὰρ οὔπω


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τριάκοντα παρῆλθον ἡμέραι καὶ ἀκούσας ὁ βασιλεὺς, ὡς ὁ τῶν Βουλγάρων ἄρχων Μιχάηλος ἐξιὼν κατατρέχει τὰς ἀστυγείτονας πόλεις καὶ χώρας Ῥωμαίων, μέλλει δ' αὐτίκα προχωρήσειν ἄχρι καὶ Διδυμοτείχου καὶ Ἀδριανουπόλεως, μισθοφορικὸν ἐπαγόμενος οὐκ ὀλίγον ἐκ τῶν παρὰ τὸν Ἴστρον οἰκούντων Σκυθῶν, ἔξεισι τὴν ταχίστην καὶ φθάνει πρὸς Ἀδριανούπολιν· κἀκεῖθεν πέμψας πρέσβεις ἐζήτει μαθεῖν τὴν τοῦ παρασπονδῆσαι αἰτίαν· καὶ ἤκουσεν ἐκεῖθεν, ὡς "1ἥκιστα ἦν σοι τῶν δυνατῶν εἰσελθεῖν ἐς Βυζάντιον καὶ τὴν αὐτοκρατορικὴν ἀρχὴν περιζώσασθαι, εἰ σύμμαχος αὐτὸς ἐβουλόμην τῷ πάππῳ γίνεσθαι τῷ σῷ, χρήματά τε καὶ χώραν ὅμορον ἐπαγγελλομένῳ μοι δώσειν· ἃ πάντα νῦν ἐζημίωμαι σοῦ γε εἵνεκα καὶ τῶν σῶν ἐπαγγελιῶν. οἶσθα γὰρ, ὡς πολλῶν με τῶν ἐπαγγελιῶν ἐμπέπληκας καὶ πολλῷ μειζόνων ἢ ὁ πάππος ὁ σὸς, οὐ μόνον τοῦ μὴ συμμαχεῖν ἐκείνῳ γε εἵνεκα, ἀλλὰ καὶ διὰ τὸ ἐπὶ τῇ σῇ ἀδελφῇ κῆδος καὶ τὴν συγγένειαν."2 ὁ δὲ βασιλεὺς δειλίας αἰτίαν ἐκφεύγειν ἐθέλων, καίτοι μὴ ἀντίπαλα κεκτημένος στρατεύματα, μηδὲ ἀξιόμαχα πρὸς τὴν τῶν ἐχθρῶν δύναμιν, ὅμως πολέμῳ τὴν τῶν πραγμάτων κρίσιν ἐπιτρέπειν ἔγνωκε δεῖν. τόλμῃ γὰρ φυσικῇ μᾶλλον ἢ λογισμοῖς τε καὶ σκέμμασιν ἐκέχρητο πρὸς ἅπαντα τὰ 1.431 συμπίπτοντα. ὅθεν πολλή τις ἐγίγνετο σπουδὴ καὶ παρασκευὴ τῶν ἑκατέρωθεν στρατοπέδων· καὶ ἦν ἐν κινδύνοις καὶ φόβοις πολλοῖς τὰ Ῥωμαίων πράγματα. δείσασα δ' ἡ μήτηρ καὶ δέσποινα περὶ τῷ υἱῷ διαπρεσβεύεται πρὸς ἀμφοτέρους περὶ τῶν ἐν ἀλλήλοις σπονδῶν· καὶ γίνεται διαλλακτὴς ἀμφοτέρων, ἅτε μήτηρ ἀμφοτέρων τυγχάνουσα καὶ τὸ θαῤῥεῖν ἐντεῦθεν μακρὸν κεκτημένη τὴν ἐπιτίμησιν ὁποίαν ἐθέλοι καθ' ἑκατέρων ἐπενεγκεῖν. οὕτω μὲν οὖν τῶν σπονδῶν γενομένων χρήματα πλεῖστα δεξάμενος ὁ Μιχάηλος ἀνεχώρησεν οἴκαδε. (Β.) Ὁ μέντοι μέγας λογοθέτης ὁ Μετοχίτης ἐς τὴν ὑπερορίαν ξὺν οὐδενὶ κόσμῳ ἀπαγόμενος τῷ τῆς στραγγουρίας νοσήματι κάτοχος ἐγεγόνει· ὃ καὶ μᾶλλον ἐπίεζε τοῦτον, ἢ πάνθ' ὅσα ἐπεπόνθει, εἱρκτὴν λέγω καὶ δόξης ἔκπτωσιν καὶ χρημάτων ἀφαίρεσιν καὶ φαύλων ἀνθρώπων ἐλέγχους καὶ λοιδορίας. (Γ.) Ὁ δὲ τοῦ βασιλέως πάππος δριμυτέραν τὴν ἕξιν τοῦ σώματος ἐκ τῆς λύπης κτησάμενος τέως μὲν τοῖν ὀφθαλμοῖν τὸν ἕτερον ἐζημίωται, τῆς ὀπτικῆς αὐγῆς μαρανθείσης. οὐ πολλῷ δ' ὕστερον καὶ τὴν ἑτέραν τῶν ὄψεων προσεζημίωται καὶ διέμεινεν οὕτως ἑξῆς νυκτί τε δουλεύων διηνεκεῖ καὶ, τὸ τῆς θείας φάναι γραφῆς, τὸ πόμα ἑαυτοῦ μετὰ κλαυθμοῦ κιρνῶν καὶ ἄρτον ὀδύνης ἐσθίων. ἐῶ γὰρ λέγειν τοὺς ἐμπαιγμοὺς καὶ τὰς ἀσέμνους λοιδορίας τῶν φυλάκων ὁμοῦ καὶ τῶν οἰκετῶν, ὁποίας καὶ ὅσας αὐτοῦ καταχέοντες ἦσαν. ἐῶ δ' αὖ καὶ ὅπως ἄδεια δέδοται πάσαις ταῖς πλυνούσαις εἰσιέναι ὁπότε βούλοιντο πλύνειν ὧντινων βούλονται τὰ ἱμάτια παρὰ τὸ ῥέον ὕδωρ διὰ τῆς τοῦ παλατίου αὐλῆς· καὶ ὅπως τοῖς ἐκ γειτόνων ἀλόγοις ζώοις καταπάτημα γέγονε τὰ 1.432 βασίλεια καὶ νομὴ, ὄνοις λέγω καὶ ἵπποις καὶ βουσὶ καὶ ὄρνισι κατοικιδίοις. καὶ εἴ τι δὲ τοιοῦτον ἕτερον εἰς ἐμπαιγμὸν καὶ περιφρόνησιν τοῦ γηραιοῦ βασιλέως ἦν, πάντ' οὐκ ἠμέλει πράττων καὶ συνεργῶν ὁ πρωτοστράτωρ, τῶν ἐν Βυζαντίῳ πραγμάτων ἐπίτροπος ὢν καὶ διοικητὴς τηνικαῦτα. (Δ.) Μόνος ὁ μέγας δομέστικος ὁ Καντακουζηνὸς ἄχραντον διετήρησε λοιδορίας καὶ γνώμην καὶ γλῶσσαν καὶ ἦθος πρός τε τὸν βασιλέα καὶ ὅσοι τῆς προσούσης ἐξέπεσον δόξης. οἱ δ' ἄλλοι καθάπερ ἄκρατον πεπωκότες τὴν τοῦ καιροῦ περιπέτειαν μεθυούσῃ γνώμῃ πρὸς τὰς ἐνεστώσας τύχας ἐχρήσαντο. συνέσει γὰρ οὗτος αὐτοφυεῖ καὶ βαθείᾳ φρενῶν αὔλακι κοσμούμενος ὁ ἀνὴρ ἐς τοὺς τῶν παλαιῶν ἀνδρῶν ἀγαθοὺς χαρακτῆρας ἐκείνους ἀνῆγεν ἑαυτὸν κατά τε μεγαλοπρέπειαν τρόπων καὶ δεξιᾶς ἀφθονίαν. καὶ νῦν γὰρ εὐτυχῶς τῶν πραγμάτων ἐλθόντων αὐτῷ ὁ δὲ οὐκ ἐνετρύφησε τῇ τύχῃ, οὐδ' ὑπὲρ τὸ μέτρον ἦρε τὴν ὀφρὺν, ἀφειδήσας ἴσως ἐς τὸ φιλότιμον τοῦ φρονήματος· ἀλλ' ἔμεινε τῆς σωφροσύνης τῶν ὅρων ἐντὸς ἀκλινής. "1καὶ νῦν ἐμοὶ νήφειν"2 (ἔλεγε) "1χρεὼν, ὅτε τοὺς ἄλλους μεθύειν ἀνάγκη."2 στάδιον γὰρ, ὡς εἰπεῖν, καθορᾶται καὶ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

βάσανος ἀκριβὴς ταῖς ἀνθρωπίναις ψυχαῖς, ὁπόσα κατὰ χρόνον εὐτυχήματα φύεται, παρὰ τοσοῦτον ἐς ὕβρεως ὄγκον ὑψοῦντα τοὺς ἄφρονας, παρ' ὅσον τοῖς εὖ φρονοῦσι βεβηκυίας γνώμης βεβηκότα φέρει τρυγῶντα πολλαχόθεν τὸν ἔπαινον. (Ε.) Ἐν τούτοις ἐξάγεται καὶ ὁ Συργιάννης τῆς εἱρκτῆς, ὅρκους ἐγγράφους πρότερον δοὺς καὶ ἐπαρασάμενος ἑαυτῷ τὰ φρικωδέστατα, εἰ μελετήσειέ τι 1.433 κατὰ τοῦ βασιλέως· εἰ δ' ὅπως ποθ' ἁλοίη ψευδόμενος ὑπὸ κριταῖς ἀπροσωπολήπτοις, μετὰ τοῦ κληρονόμον εἶναι τῶν φρικωδεστάτων ἐκείνων ἀρῶν καὶ κεφαλικὴν ὑφίστασθαι τιμωρίαν. (´.) Ἀλλὰ γὰρ ἐν τούτῳ τῷ ἔτει καὶ ἅμα τῷ ἐφεξῆς, ἠρεμησάσης τῆς τῶν Ῥωμαίων στάσεως καὶ τῶν ἐπ' ἀλλήλους πολέμων καὶ ἐκδρομῶν πεπαυμένων, τοσαύτην εὐθηνίαν ἐθεάσαντο σίτου Βυζάντιοι, ὁπόσην οὐδὲ τούτων οἱ πρόγονοι πάλαι πολὺν ἤδη τὸν χρόνον. θ΄. Ἄρτι δὲ τῆς ὥρας ἐπιστάσης, ἐν ᾗ φυτηκομοῦσαι καὶ ζωγραφοῦσαι τὴν γῆν αἱ τοῦ ἦρος χεῖρες τῇ ποικίλῃ τῆς χλόης βαφῇ πλείστην ταῖς τῶν ἀνθρώπων ὄψεσι τὴν τέρψιν χαρίζονται, ἑτοίμους ὁ βασιλεὺς τὰς τῶν Ῥωμαίων δυνάμεις εἶναι παρεκελεύσατο. βούλεσθαι γὰρ αὐτὸν διαβῆναι πρὸς τὴν Ἀσίαν καὶ πόλεμον ἄρασθαι κατὰ Ὀρχάνου, τοῦ τῆς Βιθυνίας ἡγεμονεύοντος, τά,τε ἄλλα καὶ ὅτι Νίκαιαν τὴν προκαθημένην Βιθυνίας πόλιν κινδυνεύει χειρώσασθαι, διπλῷ πολέμῳ πολιορκῶν, λιμῷ καὶ στρατῷ. λήγοντος μὲν οὖν ἤδη τοῦ ἦρος ὁ στρατὸς διαπεραιούμενος τὸν πρὸ τοῦ Βυζαντίου πορθμὸν διέβαινεν ἐς Ἀσίαν ἅμα τῷ βασιλεῖ, δισχίλιοι μὲν τοῦ στρατοῦ τὸ ἀπόλεκτον ὄντες· τὸ δὲ πλεῖστον ἀγοραῖοί τινες καὶ βάναυσοι καὶ δῆλοι ὄντες κιβδηλεύσειν τὴν μάχην. ἐπεφέροντο γὰρ καὶ τὰ τῆς δειλίας τεκμήρια, ἀκάτιά φημι καὶ ἐφόλκια πλεῖστά τε καὶ οἷον εἰπεῖν ἰσάριθμα τοῖς ἑαυτῶν σώμασιν, ἵνα φυγῆς γενομένης ἑτοίμως ἔχωσι πρὸς αὐτήν. περὶ γὰρ διώξεως καὶ νίκης οὐδὲν αὐτοῖς οὐδαμῇ μεμελέτηται. ὁ δὲ τῆς 1.434 Βιθυνίας ἀρχηγὸς τῶν Τούρκων τοὺς τὰ πολέμια ἐμπειροτέρους ἐκλέξας τὰ στενὰ τῶν ὁδῶν ἐπεπόμφει φυλάττειν. αὐτὸς δ' ὀκτακισχιλίους ὁπλίτας λαβὼν ἔξεισι τὸν βασιλέα ἐκδεξόμενος. ὅθεν βασιλεῖ τριταίῳ μετὰ τὴν ἐς Ἀσίαν διάβασιν περί τι πολίχνιον γενομένῳ παράλιον, Φιλοκρήνην οὑτωσί πως ὠνομασμένον, ἐπεὶ ἐμεμαθήκει τὰς πέριξ δυσχωρίας διειληφότα παρακαθῆσθαι μετὰ τοῦ βαρβαρικοῦ στρατοπέδου τὸν Ὄρχανον, ἐνταῦθα καὶ αὐτῷ πήξασθαι τὸ στρατόπεδον καὶ διανυκτερεῦσαι ξυνεβεβήκει. (Β.) Ἐπεὶ δ' ἅμα ἡλίῳ τῶν βαρβάρων ἐνίους ἑώρα τῶν πέριξ ὀρῶν παρακατιόντας, πρῶτα μὲν ψιλούς, ἔπειτα δ' ὁπλίτας, καὶ μάλιστα ἄλλους ἱππέας, ὁπλισάμενος καὶ αὐτὸς ἤλαυνεν ἐπ' αὐτούς. πρῶτα μὲν οὖν ἀκροβολισμοὶ παρὰ τῶν βαρβαρικῶν ἐγίγνοντο τοξοτῶν πόῤῥωθεν ἱσταμένων καὶ οὐ μάλα ἐθελόντων τέως προσιέναι. ὅπερ οὐ νόμιμον ὁ βασιλεὺς εἶναι λογισάμενος τοῖς βαρβάροις, ἀλλὰ δειλίαν, θάρσος τε ἀνελάμβανε καὶ παρεξιέναι κατ' ὀλίγους καὶ ἐξιππάζεσθαι τὰς τάξεις ἐκέλευεν. ὅπερ οὐκ εἰς καλὸν ἀποβήσεσθαι πέρας ἔνιοι τῶν περὶ αὐτὸν ἐμπειροτέρων φάσκοντες οὐκ ἠδυνήθησαν ἐπισχεῖν. ἐπεὶ δ' οὕτω κενεμβατούσης τῆς μάχης παρῄει τὸν μεσημβρινὸν ὁ ἥλιος, ὁπότε δὴ μάλιστα κατὰ γῆς αὐτὸς ἀκμαιοτέραν καταπέμπει τὴν φλόγα, θεασάμενος ἄνωθεν ἐκ τῆς ἀκρωρείας ἀπαγορεύοντας ἤδη Ῥωμαίους ἔκ τε τοῦ καύματος ἔκ τε τῶν συνεχῶν δρόμων καὶ περιδρομῶν, ὁ Ὄρχανος κάτεισι καὶ αὐτὸς, οὐκ εὐαρίθμητον ἐπαγόμενος 1.435 στράτευμα. καὶ περιστάντες σὺν ἀσήμῳ τῇ κραυγῇ οἱ μὲν συχνοῖς τοῖς βέλεσιν ἔβαλλον, οἱ δὲ τοῖς ξίφεσι κατὰ στόμα προσυπαντῶντες ἔπαιον. οἱ δὲ Ῥωμαῖοι τὴν πρώτην ἐκείνων ἔφοδον γενναίως ὑπενεγκόντες εὐρώστως ἠμύνοντο μέχρι πολλοῦ καὶ πλείστους ἐτίτρωσκόν τε καὶ ἔσφαττον. ἔπειτα τὴν νύκτα βλέποντες οὐκ εἰς μακρὰν ἐπιοῦσαν καὶ δεινὸν ἡγησάμενοι τὸ ἐν πολεμίᾳ νυκτομαχεῖν, ἐπὶ πόδα ἀνεχώρουν ἐπειγόμενοι παρὰ τὸ οἰκεῖον στρατόπεδον. ὅτε καὶ μάλιστα σφοδρότερον ἐπιτιθέντες οἱ βάρβαροι οὐκ ὀλίγον εἰργάζοντο φόνον τῆς τε ἵππου καὶ αὐτῶν, ἕως ἡ νὺξ ἐπελθοῦσα τὴν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

μάχην διέλυσε. τέτρωται δ' ἐν τούτοις καὶ ὁ βασιλεὺς ἅτερον τοῖν ποδοῖν ἐλαφρῷ τινι βέλει καὶ οὐ μάλα καιρίῳ. (Γ.) Ἐν ταύτῃ δὲ τῇ νυκτὶ γίνεταί τι θέαμα ἐλεεινὸν καὶ προφανής τις θεομηνία. ἐπεὶ γὰρ ὁ βάρβαρος ἐτεθαυμάκει θεασάμενος τῶν Ῥωμαίων τήν τε ὅπλισιν καὶ τὴν ἀνδρικὴν ἔνστασιν, ἐνόμισεν οὐ μέχρι τούτου στῆναι θελήσειν αὐτοὺς, ἀλλὰ καὶ ἐς τὰ πρόσω χωρεῖν ἐς τὴν ὑστεραίαν. ὅθεν τριακοσίους ἐκεῖ καταλελοιπὼς ἱππέας θεωρίας εἵνεκα, αὐτὸς τὴν ὅλην ἀναλαβὼν στρατιὰν ἤλαυνεν ἐς τὰ πρόσω, σπεύδων προκαταλαβεῖν τὰ τῶν ὁδῶν καιριώτερα. ἐκεῖνος μὲν οὖν οὕτως ᾤχετο ἀπιών· ὁ δὲ βασιλεὺς ἐς τὸ τῆς Φιλοκρήνης εἰσῄει πολίχνιον θεραπείας εἵνεκα τοῦ ποδός. ὅπερ ὁ στρατὸς θεασάμενοι τῶν Ῥωμαίων καὶ ἥκιστα καθαρῶς τὴν αἰτίαν μεμαθηκότες φεύγειν ἐνόμισαν ὑπὸ δειλίας αὐτόν. μέλλειν γὰρ ἐπικείσεσθαι τούτοις νυκτὸς τὸν Ὄρχανον μετὰ μάλα πολλοῦ τοῦ στρατοῦ καὶ μηδένα ζῶντα Ῥωμαίων καταλιπεῖν, τὸν ἐς τὴν ὑστε 1.436 ραίαν θεάσασθαι ἥλιον. ὅθεν ὅσοι μὲν ἀκάτια ἐπεφέροντο, ᾤχοντο φεύγοντες γυμνοὶ δι' αὐτῶν. οἱ δὲ σπεύδοντες πρὸ τῶν πυλῶν τοῦ πολιχνίου κατεπατήθησαν ὑπ' ἀλλήλων οἱ πλείους καὶ ἀπεπνίγησαν· ἄλλοι δ' ἀλλήλων ἐξαρτώμενοι δίκην σειρᾶς, οἱ μὲν διὰ τῶν ἐπάλξεων εἰσεπήδων, οἱ δὲ ἀποσπώμενοι πρὸς τῶν ὄπισθεν ἐφελκομένων ἀνετρέποντό τε καὶ ἔθνησκον πίπτοντες. ἦσαν δ' οἳ καὶ ὑπὸ μόνης δειλίας ἀπέψυξαν ἱστάμενοι. ἄρτι δὲ καὶ ὁ ἥλιος ὑπερβὰς τὸν ὁρίζοντα ἡρμήνευσε τοῖς τριακοσίοις ἐκείνοις βαρβάροις τὴν ἄπιστον ἐκείνην συμφορὰν τοῦ Ῥωμαϊκοῦ στρατοῦ· καὶ προσελάσαντες καὶ θεασάμενοι προκείμενα παρὰ τὸ στρατόπεδον ἵππους καὶ ὅπλα καὶ σκηνὰς ἀνδρῶν κενὰς, πρὸς δὲ τούτοις καὶ τοὺς βασιλικοὺς ἵππους μετὰ τῶν ἐρυθρῶν ἐφεστρίδων καὶ τὴν βασιλικὴν σκηνὴν, ἅπαντα λαβόντες οἱ διακόσιοι ἀπῄεσαν. οἱ δ' ἑκατὸν ἐγγὺς γενόμενοι πολλοῖς κατέπειρον βέλεσιν, ὅσοι μὴ ἔφθησαν μήτ' ἐς ἀκάτια, μήτ' ἐς τὸ πολίχνιον ἑαυτοὺς ἐμβαλόντες. (Δ.) Ταῦτα θεασάμενος καὶ ὁ βασιλεὺς καὶ μὴ ἔχων ὅ,τι καὶ δράσειε, τῆς περιστάσεως οὐδὲν οὐδαμῇ χορηγούσης εὐμήχανον, ἐς πλοῖον ἐμβὰς καὶ αὐτὸς ἐπανῄει πρὸς τὸ Βυζάντιον. διηπόρει δ' οὖν ὅμως καθ' ἑαυτὸν γνωσιμαχῶν καὶ ζητῶν τὴν τῆς θεομηνίας αἰτίαν, δι' ἣν τὸ τῶν Ῥωμαίων στρατόπεδον οὕτως ἐν ἀκαρεῖ διέφθαρται, μηδενὸς τῶν πολεμίων διώκοντος. συνῆκε δ' ὀψὲ καὶ πλεῖστα μὲν ἕτερα, καιριώτερον δ' εἶναι τὸ τῶν πολιτικῶν πραγμάτων ἀστάθμητον καὶ τὸ περὶ τὰς δίκας νόσημα πολύχουν ὂν καὶ δυσίατον διὰ τὴν ἐκ τοῦ χρόνου προσγενομένην ἕξιν 1.437 αὐτῷ καὶ πολλὴν ἐπάγον τῷ κοινῷ τῶν πραγμάτων τὴν σύγχυσιν καὶ ζημίαν. ὥσπερ γὰρ τὰ ἔκ τινος καχεξίας σωματικῆς ἐπισυμβαίνοντα νοσήματα τοῖς ἀνθρώποις σπανίοις ἐπισυμβαίνει καὶ οὐκ ἐς τὸ κοινὸν τὴν διάβασιν ἴσχει, τοῦ δ' ἀέρος νοσήσαντος ἀνάγκη κοινωνεῖν τοῦ νοσήματος ἅπαντας, ὅσοι τοῦ αὐτοῦ κοινῇ μετειλήφασιν ἀέρος, οὕτως ἔχειν ἔφασκε τὰ μερικὰ πάντ' ἀδικήματα πρὸς τὸ περὶ τὰς κρίσεις γινόμενον. (Ε.) Ὅθεν μετ' οὐ πολλὰς τὰς ἡμέρας ἄπεισιν ἐς τὸν πατριάρχην Ἠσαΐαν· καὶ πρῶτα μὲν πείθειν τοῦτον ἀποθέσθαι ἐπιχειρεῖ τὸν πρὸς τοὺς ἐπισκόπους κότον καὶ λῦσαι τὸν ἀφορισμὸν τῷ λαῷ. μηδὲ γὰρ εἶναί φησι τῶν εἰκότων, αὐτοῦ συγχωροῦντος ἅπασιν ἅπαντα, πρὸς ὃν καὶ τὰ κοινὰ φανερῶς ἀφεώρων πταίσματα, ἐκεῖνον πατριάρχην ὄντα καὶ τῆς εἰρήνης ἅμα διδάσκαλον εἶναι ὀφείλοντα, ἔπειτα ὑποκαθημένην τρέφειν ὀργὴν κατ' ἀνθρώπων ἐν πολλοῖς δυομένοις ἡλίοις, μηδ' ἐφ' ἑνὸς συγχωρούμενον. τῷ μὲν οὖν λαῷ τῷ τε ζῶντι καὶ τῷ τεθνεῶτι συγχώρησιν ἔγγραφον ἐπ' ἄμβωνος ἀνεγνώκει, τὴν ἱερατικὴν περιβαλόμενος στολὴν, ἐν ὥρᾳ τῆς θείας μυσταγωγίας ὁ πατριάρχης τῷ βασιλεῖ πειθόμενος. τοῖς δ' ἐπισκόποις καὶ τῶν πρεσβυτέρων τοῖς πλείοσιν ἥκιστα συγκεχώρηκεν. ἔπειτα τὴν θείαν ἐπιτελοῦντος μυσταγωγίαν σὺν πολλοῖς ἐπισκόποις καὶ πρεσβυτέροις τοῦ πατριάρχου, τέτταρας ἐκλεξάμενος ἄνδρας, οὓς αὐτὸς ἀξίως ὑπηρετήσειν ἔκρινε ταῖς πολιτικαῖς δίκαις, ὧν εἷς ἐκ τῶν ἐπισκόπων ἦν, τούτοις ἐν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

μέσῳ τῷ θείῳ 1.438 νεῷ τὴν τοῦ δικάζειν ἐνεχείρισεν ἐξουσίαν ὁ βασιλεὺς, παραδοὺς αὐτοῖς καὶ τὸ θεῖον καὶ ἱερὸν εὐαγγέλιον καὶ πρός γε τὴν βασιλικὴν σπάθην, καὶ ἅμα ἀπαιτήσας καὶ αὐτὸς ἐξ αὐτῶν ὅρκους φρικωδεστάτους, ἀπροσωπολήπτως τε καὶ ἀδωροδοκήτως ποιεῖσθαι τὰς κρίσεις. πεποίηκε γὰρ αὐτοὺς καὶ ἀναμφίλεκτον ἔχειν τὴν καταδίκην, εἰ τούτοις ἁλίσκοιντο, χωρία δοὺς ἀποχρῶντα καλῶς πρὸς ἐπέτειον πρόσοδον. καὶ ταῦτα μὲν τῇδέ πη ἔσχε. (΄.) Φθινοπώρου δ' ἱσταμένου συλλεξάμενος ὅσαι τριήρεις ἦσαν Ῥωμαίοις ἔν τε Βυζαντίῳ καὶ Λέσβῳ καὶ ἄλλαις νήσοις καὶ παραλίοις πόλεσι καὶ πρός γε ἔτι ὅσαι μονήρεις, καὶ ἐπὶ ταύταις τέτταρας ἄλλας συμμαχίδας τριήρεις ἐκ τοῦ τῶν Κυκλάδων ἡγεμονεύοντος νήσων προσκαλεσάμενος ἀπέπλευσε, τῇ μὲν φήμῃ κατὰ τῶν βαρβαρικῶν νεῶν, τῇ δ' ἀληθείᾳ κατὰ Μαρτίνου τοῦ τὴν Χίον ἐπιτροπεύοντος· ὃς δὴ Λατῖνος ὢν τῶν πλούτῳ καὶ δόξῃ διαφερόντων κλῆρον εἰλήφει παρὰ πατρὸς, ἐπιτροπεύειν μὲν τὴν νῆσον καὶ τὴν ταύτης ἐκπορίζεσθαι πρόσοδον· ὑπείκειν δὲ τοῖς βασιλεῦσι Ῥωμαίων ὅσα καὶ δοῦλος καὶ πᾶν τὸ προσταττόμενόν σφισιν ὅλῃ ποιεῖν προθυμίᾳ. Ῥωμαίων γὰρ εἶναι τὴν νῆσον· δοθῆναι δ' αὐτῷ πρὸς τοῦ βασιλέως καὶ πάππου τοῦ βασιλέως, ἐπιτροπῆς τε εἵνεκα καὶ πορισμοῦ χρημάτων, παλαιάν τινα χάριν ὀφείλοντος αὐτῷ. ὃς δὴ οὕτω πρὸς τοῦ πατρὸς διαδεξάμενος ταύτην ἅμα τῷ ἀδελφῷ τὸν μὲν ἀδελφὸν δόλοις τισὶ παρεκρούσατο· αὐτὸς δὲ δραστήριος ὢν ἀνὴρ καὶ συνέσει βαθείᾳ κοσμούμενος τριήρεις τε 1.439 ἐναυπηγήσατο καὶ ἐληΐζετο τοὺς βαρβάρους, ὅσοι τε τὰ ἐκεῖ τῆς Ἀσίας ᾤκουν παράλια, καὶ ὅσοι λῃστρικῶς ἐς τὰς ναῦς ἐμβιβάζοντες ἑαυτοὺς τὰς νήσους παρέπλεον. καὶ οὕτω τούτους ἐφόβησεν ἐν βραχεῖ, ὡς καὶ φόρους ἐτησίους λαμβάνειν ἐκ τούτων, ὡς μὴ τὰ μέγιστα βλάπτῃ μαχόμενος. ὅθεν ἐπὶ μέγα πλούτου καὶ δόξης τὴν ταχίστην προβαίνων ὑποπτεύειν ἐδίδου Ῥωμαίοις, οὐκ εἰς μακρὰν οὐδ' ἐπὶ πολὺ διατηρήσοντα τοῦτον τὴν ἐς βασιλέας ὑποταγήν. καὶ διὰ τοῦτο οὐκ ἀπαρακαλύπτως τὸν ἔκπλουν ὁ βασιλεὺς κατ' αὐτοῦ νῦν ποιησάμενος τήν τε νῆσον κατέσχε ξὺν οὐδενὶ πόνῳ· καὶ αὐτὸν χειρωσάμενος δεσμώτην τοῖς Βυζαντίοις παρέπεμψεν. ι΄. Ὀλίγων μέντοι διελθουσῶν ἡμερῶν νόσον ἐνσκῆψαι συνέβη τῷ βασιλεῖ μάλα βαρεῖαν, ἐν Διδυμοτείχῳ διάγοντι. λουτρῷ γὰρ χρησάμενον, ἔπειτα τὴν δέουσαν μετὰ τὸ λουτρὸν ἑαυτῷ ἐπιμέλειαν ἥκιστα παρασχόντα, καὶ ταῦτ' ἐν ἀκμῇ τοῦ χειμῶνος ὄντος τοῦ χρόνου, πύκνωσίν τε ὁλοσώματον σχεῖν· καὶ μάλιστα ἐς τὴν κεφαλὴν ἀθροισθέντος τοῦ πλείονος πάθους, οὐ μόνον σφοδροτέρας ὑπομένειν ἐντεῦθεν τὰς ἀλγηδόνας, ἀλλὰ καὶ εἰς ἔκστασιν ἀπενεχθῆναι τάχιστα τῶν φρενῶν. ἐπεὶ οὖν πάσης ἰατρικῆς ἐμπειρίας ἰσχυρότερον ἐγεγόνει τὸ πάθος καὶ ἀπηγόρευτο τῷ βασιλεῖ ὁ ἐς τὴν ὑστεραίαν ἥλιος, ἐξώρκισε μὲν τοὺς περὶ αὐτὸν, μοναχικὸν αὐτὸν ἐνδῦσαι τριβώνιον, πρὶν ἀποθεῖναι τὸ ζῆν· ἐξώρκισε δ' αὖθις αὐτοὺς, ἀπολῦσαι πάντας δεσμώτας, Κωνσταντῖνόν τε τὸν δεσπότην καὶ τὸν μέγαν λογοθέτην τὸν Μετοχίτην, καὶ ὅσοι ἑξῆς τῆς ὁμοίας ἔτυχον καταδίκης. διέθετο δ' ἀπὸ στόματος ὀμό 1.440 σαι πάντας Ῥωμαίους, σέβας ἀποδιδόναι τῇ τε συζύγῳ δεσποίνῃ (παρῆν γὰρ καὶ αὕτη ἔγκυος οὖσα καὶ ἤκουε τῶν λεγομένων) καὶ ἅμα τῷ τεχθησομένῳ παιδίῳ, ὅσα καὶ βασιλεῖ, εἰ ἄῤῥεν ἔσται· ἐπίτροπον δ' εἶναι τὸν Καντακουζηνὸν τὸν μέγαν δομέστικον. ἃ δὴ μόνα γραφῇ παραδοθέντα ὡς διαθήκη νενόμισται. (Β.) Μνεία δ' οὐδεμία τούτῳ γεγένηται τέως οὔτε μὴν τοῦ βασιλέως καὶ πάππου, οὔτε τῆς μητρὸς καὶ δεσποίνης ἐν Θεσσαλονίκῃ τῷ τηνικαῦτα τὴν δίαιταν ποιουμένης. ἣ δὴ καὶ μακρὰν ἔσχεν ἐκεῖθεν τὴν λύπην καὶ λογισμοὺς ἔθρεψεν ὑποψίας μεστούς. ἀπηγόρευε γὰρ ἤδη τὴν ἑαυτῆς ζωὴν, εἰ τεθναίη ὁ παῖς καὶ βασιλεὺς, ἄλλων μὲν ἐς τὴν ἐπιτροπὴν τῆς βασιλείας εἰσαγομένων, αὐτῆς δ' ἥκιστα. μηδὲ γὰρ εἶναι τῶν δυνατῶν ἔφασκε, δέσποιναν οὖσαν αὐτὴν, συγκεχωρῆσθαι ζῆν παρὰ τοῦ μεγάλου δομεστίκου τοῦ Καντακουζηνοῦ καὶ τῆς τούτου μητρὸς, οὕτως εἰς τὴν ἐπιτροπὴν καὶ διοίκησιν τῶν


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τῆς βασιλείας πραγμάτων ἀπροσδοκήτως εἰσαγομένων καὶ ταύτῃ δι' ἔχθρας ὄντων πολὺν ἤδη τὸν χρόνον. ταῦτ' ἄρα καὶ ἐν στενῷ καταστᾶσα τῆς ὥρας καὶ οὐκ ἔχουσα χρόνον ἄλλως σχεδιάζειν τὰ κατ' αὐτὴν προσκαλεῖται καὶ εἰσποιεῖται τὸν Συργιάννην εὐθὺς, τὴν ἐπιτροπὴν τῆς Θεσσαλονίκης τηνικαῦτα διεζωσμένον κἀκεῖ διατρίβοντα καὶ τὴν ἑαυτῆς ἀνατίθησι τούτῳ ζωὴν καὶ ψυχήν. καὶ ἅμα ὀμνύειν κελεύει τοὺς Θεσσαλονικέας ὑπὸ τούτῳ διοικητῇ καὶ ὑπισχνεῖσθαι κυρίαν τε ἔχειν αὐτὴν καὶ δέσποιναν ὁμοίως ἀεὶ καὶ ὑπὲρ αὐτῆς ἀνθίστασθαι μέχρι θανάτου· εἰ δὲ καὶ τὸν υἱὸν καὶ βασιλέα τεθνάναι συμβαίη, περι 1.441 ποιεῖσθαι καὶ φυλάττειν τῷ τεχθησομένῳ παιδὶ τὴν τῆς βασιλείας διαδοχὴν ἀστασίαστόν τε καὶ ἀκήρατον. ταῦθ' οὕτω περανθέντα πολὺν ἀνῆψε σκανδάλων πυρσὸν ἐν τῷ ἔπειτα, ὡς εἰρήσεται προϊοῦσιν ἡμῖν. νῦν δ' ἡμῖν ἐπανιτέον ἐστὶν αὖθις ἐκεῖσε. (Γ.) Κωνσταντῖνος μὲν γὰρ ὁ δεσπότης ξύν γε τοῖς ἄλλοις δεσμώταις ἀπολυθεὶς καὶ αὐτὸς, ὡς εἰρήκειμεν, βραχὺ φανεὶς, ὡς εἰπεῖν, ἀπεκρύψατο. τῆς γὰρ νυκτὸς ἐπιούσης ἐς ἀδήλους μυχοὺς οἱ περὶ τὸν βασιλέα κατήνεγκαν. δείσαντες γὰρ, μὴ τοῦ βασιλέως ἐκπνεύσαντος θόρυβος κατασταίη τῷ δήμῳ τά τε ἄλλα καὶ διὰ τὸ Κ στοιχεῖον καὶ τὰ μάτην πάλαι θρυλλούμενα δι' αὐτὸ, τούτῳ μὲν οὕτως ἐχρήσαντο. ἐθρυλλεῖτο γὰρ, ὡς ὁ τὴν βασιλείαν διαδεξόμενος τοῦ γηραιοῦ βασιλέως τὸ Κ στοιχεῖον ἐν τῇ ἀρχῇ τοῦ ὀνόματος ἔχει κεκληρωμένον. Κωνσταντῖνος οὖν καὶ οὗτος καλούμενος ὑπωπτεύετο. (Δ.) Κατὰ δὲ τοῦ γηραιοῦ βασιλέως πλείους μὲν τὰς ὁδοὺς ἐμελέτησαν τῶν δεινῶν, εἰς ταὐτὸ δὲ καὶ ταύτας ἁπάσας φερούσας. αἵρεσιν γὰρ ἔδοσαν τούτῳ ἑλέσθαι ὁπότερον βούλοιτο, ἢ τὸ μοναχικὸν ἐνδύσασθαι σχῆμα, ἢ τῶν ἄλλων δεινῶν ὁποῖον ἐθέλοι· ταῦτα δ' εἶναι ἢ σφαγὴν, ἤ τινα ἐξορίαν ἀπαραμύθητον, ἢ βιαίαν ἀπαγωγὴν ἐς τὸ τῆς λήθης φρούριον· τούτων δ' εἶναι διάπυρον ὑπηρέτην τὸν πρωτοστράτορα Θεόδωρον τὸν Συναδηνόν. ὁ μέντοι βασιλεὺς τοσούτου χειμῶνος δεινῶν περιστάντος ἐξαίφνης αὐτῷ ἄφωνος ἐπὶ πολὺ τῆς ὥρας ἔκειτο ἐπὶ κλίνης. καὶ τί γὰρ ἄλλο εἰκὸς, εἰ μὴ σίδηρος ἦν, εἰ μὴ ἐξ ἀδάμαντος ἔλαχε τὴν καρδίαν ἐσκευασμένος, πολλῶν μὲν ὁπλιτῶν 1.442 ἀλλογλώσσων τε καὶ ἀγρίων περιχυθέντων αὐτῷ, τῶν δ' οἰκειακῶν ἐξωσθέντων ἁπάντων καὶ μηδενὸς ὄντος τοῦ ὁδηγήσοντος ἄνθρωπον, ἐστερημένον τοῦ βλέπειν πῆ μὲν στήσεται, πῆ δὲ διαβήσεται; ἀλλ' ἵνα μὴ διατρίβωμεν, ἄκοντος ἑκόντος, εἰπεῖν, τήν τε κόμην κείρουσι τούτου καὶ τὸ μοναχικὸν σχῆμα περιτιθέασι καὶ ἐς Ἀντώνιον τοὔνομα μεταφέρουσι. καὶ ταῦτα μὲν οὕτως ἔσχεν. (Ε.) Ὁ δὲ βασιλεὺς ἐν Διδυμοτείχῳ οὐδὲν πλέον ἔχων ἤδη σημεῖον τοῦ ζῆν, πλὴν βραχείας καὶ λεπτοτάτης ἀναπνοῆς, τῶν ζωτικῶν ὀργάνων ἀκινήτων μεινάντων καὶ τῶν τοῦ σώματος νεκρωθέντων ἀκρωτηρίων, ἔκειτο νεκρὸς ἄντικρυς ἐπὶ δυσὶν ὅλαις ἡμέραις. τῇ δὲ τρίτῃ καθάπερ ἀπὸ βαθέος ὕπνου μικρὸν ἀνενεγκὼν θεῖον ἐζητήκει νᾶμα τῆς ὑπεράγνου θεομήτορος τῆς Πηγῆς. οὗ κομισθέντος εὐθὺς καὶ ἐπιχεθέντος τῇ κεφαλῇ ἐῤῥάϊσέ τε καὶ τροφὴν εἵλετο καὶ μετὰ βραχείας ἡμέρας ἀνεῤῥώσθη τε καὶ ἐς τὴν προτέραν ἀποκατέστη ὑγίειαν. (΄.) Τῷ γε μὴν πατριάρχῃ Ἠσαΐᾳ μεγίστην προὐξένησεν ἡδονὴν τὸ περὶ τὸν γηραιὸν βασιλέα συμβάν. μηδὲ γὰρ ἔτι λείπεσθαι μήτ' ἐκείνῳ βασιλείας ἐλπίδα, μήτε τούτῳ φόβου λείψανον οὐδέν. σκέψιν μέντοι ποιήσασθαι ἔδοξεν, ὅπως χρὴ τὴν ἐπ' ἐκκλησίας ἔχειν μνήμην, εἰ ἄρα (φησὶ) καὶ χρή. πέμψας οὖν δύο τῶν ἐπισκόπων, οἶμαι εἰρωνευόμενος, καὶ πλαττόμενος λύπην καὶ ἄγνοιαν τῶν ἐπ' αὐτῷ πεπραγμένων, ἐξ αὐτοῦ καὶ οὐκ ἄλλοθεν ἐζήτει τὴν τῆς σκέψεως ψῆφον καὶ ἐπίκρισιν. ὁ δὲ βαρείαις ταῖς ἀλγηδόσι κάτοχος ὢν τὴν ψυχὴν βύθιόν τινα καὶ πολλοῦ 1.443 τοῦ τῆς καρδίας πυρὸς γέμοντα στεναγμὸν ἀνέπεμψε· καὶ ἀνοίξας τὸ στόμα ταῦτα διέξεισι πρὸς αὐτούς. (Ζ.) "1Ὥσπερ,"2 φησὶν, "1ἐπὶ τοῦ Λαζάρου διπλοῦν ἐγεγόνει τὸ θαῦμα, ὅτι τε νεκρὸς ὢν ἀνέστη καὶ ὅτι δεδεμένος ἐβάδιζεν· οὕτω καὶ νῦν ἐχρῆν ἐπ' ἐμοῦ. ἰδοὺ γὰρ καὶ νεκρὸς ἄντικρύς εἰμι, πολλοῖς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

καταῤῥαγεὶς κύμασι τῶν δεινῶν καὶ πρός γε ἔτι δεδεμένος, οὐ μόνον χεῖρας καὶ πόδας, ἀλλὰ καὶ γλῶτταν αὐτὴν, δι' ἧς εἰ μή τι πλέον, τὰ γοῦν ἐμὰ πάθη καὶ ἀδικήματα ἀπαγγέλλειν εἶχον τῷ τε ἀέρι καὶ τοῖς ἀκούουσι τῶν ἀνθρώπων καὶ ᾧ νῦν συνοικῶ σκότει πικρῷ. ἀλλ' ἐκάλυψεν ἐντροπὴ τὸ πρόσωπόν μου. ἀπηλλοτριωμένος ἐγεννήθην τοῖς ἀδελφοῖς μου καὶ ξένος τοῖς υἱοῖς τῆς μητρός μου· καὶ τὸ φῶς τῶν ὀφθαλμῶν μου καὶ αὐτὸ οὐκ ἔστι μετ' ἐμοῦ. οἱ φίλοι μου καὶ οἱ πλησίον μου ἐξεναντίον μου ἔστησαν. καὶ πάντες οἱ θεωροῦντές με ἐξεμυκτήρισάν με. ἐμοῦ δὲ παρὰ μικρὸν ἐσαλεύθησαν οἱ πόδες· παρ' ὀλίγον ἐξεχύθη τὰ διαβήματά μου· ὅτι ἐζήλωσα ἐπὶ τοῖς ἀνόμοις, εἰρήνην ἁμαρτωλῶν θεωρῶν. δεδωκέναι μέντοι τὴν βασιλείαν πάλαι ξυνεπεπτώκει τῇ ἐκκλησίᾳ προνόμια, ταῦτα δὴ τὰ μέχρι νῦν θεωρούμενα· δεδωκέναι δ' αὖ καὶ τὴν ἐκκλησίαν τῇ βασιλείᾳ τὸ πατριάρχην, ὃν ἂν ἐθέλοι τῶν ψηφισθέντων, προβάλλεσθαι. αὐτὸν δ' οὐ μόνον ἐγὼ προὐβαλόμην αὐτὸς, ἀλλὰ καὶ αὐτὸς ἐξελεξάμην καὶ τῶν πολλῶν καὶ περιβλέπτων καὶ ἐλλογίμων ἀνδρῶν προὔκρινα, ἄνθρωπον ἐν ἰδιωτείᾳ καταγηράσαντα καὶ μήτ' ἱερωσύνης τυχόντα, μήτ' ἐμφανείας τινός. ἐῶ λέγειν ὅσας ἑξῆς ὑπὲρ αὐτοῦ προὔτεινα βοηθείας καὶ 1.444 χάριτας. καὶ νῦν ὀφείλων μοι βοηθεῖν καὶ αὐτὸς πράττοντι δυστυχῶς ὁ δὲ συνεργεῖ τοῖς κολάζουσι, βιαιότερος αὐτὸς ἐμοὶ καθιστάμενος δήμιος· εἶτά με ἐρωτᾷ, ὅπως αὐτὸς ἐπ' ἐκκλησίας ἄρτι μνημονεύεσθαι βούλομαι, καὶ πλάττεται λύπην καὶ ἄγνοιαν τῶν κατ' ἐμοῦ τελεσθέντων, ὅμοιον ποιῶν τῷ Αἰγυπτίῳ κροκοδείλῳ, ὃν βόσκει τὰ Νείλου νάματα τοῦ τὴν Αἴγυπτον ἄρδοντος. ὁπόταν γὰρ κἀκεῖνος ἀποπνίξῃ τῶν ἅμα αὐτῷ τὴν δίαιταν ἐκεῖ ποιουμένων ζώων ἓν, ἔπειτα καθίσας ἐπὶ τὸν ἐκείνου νεκρὸν θερμὰ καταχεῖ τῆς αὐτοῦ κεφαλῆς δάκρυα. ἐγὼ δ' οὐκ ἔχω ὅ,τι ἂν ἀποκριναίμην πρὸς τὰ οὑτωσὶ πεπλασμένως μοι προτεινόμενα. εἰ μὲν γὰρ ὡς βασιλέα φαίην, οὐκ ἂν φθάνοιμι φονευόμενος ὑπὸ τῶν διὰ τοῦτό με δέσμιον ἐχόντων· εἰ δὲ μοναχὸν Ἀντώνιον, ὁμολογία τοῦτ' ἂν νομισθείη τοῖς τὰ ἡμέτερα κακουργοῦσιν, ὅτι μὴ βιαίως, ἀλλ' ἑκὼν προελόμενος τὸ μοναχικὸν περιεθέμην σχῆμα αὐτός."2 (H.) Ταῦτα καὶ πλείω τούτων διεξελθὼν ἐπ' αὐτῶν μηδὲν δ' ὧν ἐζήτουν ἐκεῖνοι μαθεῖν ἀποκρινάμενος ἐξέπεμψεν. αὐτὸς δ' ἐπὶ τῆς κλίνης καθεσθεὶς, "1ἐπίστρεψον,"2 φησὶ, "1ψυχή μου, εἰς τὴν ἀνάπαυσίν σου, ὅτι κύριος εὐηργέτησέ σε,"2 μηδὲν τοῦ λοιποῦ λύπης ἄξιον ἐξειπὼν οὐδὲν τῶν ἁπάντων, εἴτε περιουσίᾳ συνέσεως χαλινώσας τὴν γλῶτταν, εἴτε διὰ τὸ ὑπερβάλλον τῆς λύπης οὐ μάλα ἑκὼν ἀδακρυτὶ παραδραμὼν τὴν συμφορὰν, ὥσπερ ἀμηχανίᾳ καὶ νάρκῃ τῆς ψυχῆς πεδηθείσης, πρὶν τὸ περὶ τὸν ἐγκέφαλον ἀθροισθὲν ὑγρὸν εἰς δακρύων φορὰν ἐκτακῆναι. ἰδοὺ γὰρ καὶ ἥλιος, ὅπη μετρίας ἀφίησι τὰς ἀκτῖνας, πολλὰ τὰ πνεύματα 1.445 καὶ τὰς ὑγρότητας ἐκεῖθεν ἀνέλκει· ὅπη δ' ὑπερβαλλούσας, ὁ δὲ φθάνει κατηναλωκὼς σφᾶς, πρίν τι ἐκεῖθεν ἀνιμήσασθαι. παραπλησίως δ' οὖν καὶ ὅσα τῶν ἐν ψυχῇ γινομένων παθῶν μετριώτερά πως ἡμῖν ξυνεῖναι ἐθέλοι, ταῦτα καὶ λόγον ἔχειν ἑρμηνέα τῆς ἐν καρδίᾳ φλογὸς οὐ μάλα τοι ἀπαναίνεται. ὅσα δ' ἀφειδοῖεν τοῦ πλεονεκτούσαις χρῆσθαι ταῖς ἕξεσι, ταῦτ' ἴδοι τις ἂν ἐξιστῶντα μέν πως καὶ τὴν ψυχὴν, δυοῖν δὲ πείθοντα θάτερον, εἰ καὶ μηδέτερον ὡς εἰκός· ἢ γὰρ πάντα λέγειν μᾶλλον ἢ ἃ δεῖ, ἢ μηδὲν μᾶλλον ἢ ἃ δεῖ. ἵνα δὲ πρὸς τὴν τοῦ παρόντος λόγου βεβαίωσιν καὶ παλαιοτέρῳ τινὶ διηγήματι χρήσωμαι· ὁπότε γὰρ Καμβύσου τοῦ Πέρσου στρατεύσαντος ἐκ Σούσων ἐπ' Αἴγυπτον, ἐπεὶ μετὰ τῆς ἀρχῆς καὶ ὁ τῶν Αἰγυπτίων ἑάλω βασιλεὺς, ἀγομένων ἐπὶ θάνατον ξὺν οὐδενὶ κόσμῳ τῶν υἱέων οὐδὲ βραχύ τι αὐτὸς βλέπων ἐφθέγξατο, ἀλλὰ σιωπῇ κύψας ἔπειτα μόνον ἑώρα τοὔδαφος· τῶν δὲ γνωρίμων ἕνα ἰδὼν, ὃς πρότερον μὲν πλούτῳ πολλῷ καὶ δόξῃ χρησάμενος ἦν ἱσταμένης Αἰγύπτου, νῦν δὲ πάνυ διεῤῥωγυῖαν ἐσθῆτα περικείμενος προσαιτῶν περιῄει, εἴ τις ἄρτον ὀλίγον παράσχοι· ὁ δὲ τὴν αὐτὸς ἑαυτοῦ κεφαλὴν ἤδη πατάξας καὶ βύθιόν τι στενάξας ὀνομαστὶ τὸν ἑταῖρον ἐκάλει, μονονοὺ τοῖς δάκρυσι βρέχων



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τοὺς λόγους. ἐπεὶ δὲ καὶ τὴν αἰτίαν ὁ Καμβύσης ἤρετο, ὅπως ἐπὶ μὲν τοῖς υἱέσι μὴ δακρύσας μηδὲ φθεγξάμενος μηδὲν ὁ δὲ τὸν ἑταῖρον ἐδάκρυσε καὶ προσείρηκε, φάναι λέγεται, καὶ σφόδρα μεῖζον εἶναι ἢ ὥστε καὶ δακρῦσαι τὸ 1.446 τῶν υἱέων πάθος· τὸ δὲ τοῦ ἑταίρου μὴ τοσοῦτον ὂν καὶ δακρύειν λοιπὸν δίκαιον, ὃς μεγάλης ἐκπεπτωκὼς δόξης ἐς τοσαύτην δυστυχίαν ἐπὶ γήραος ἀφίκετο οὐδῷ. (Θ.) Τοῖς μέντοι περὶ τὸν πατριάρχην κεκύρωται, μνημονεύεσθαι πρὸ τοῦ ἐγγόνου καὶ βασιλέως αὐτὸν, "1εὐσεβέστατον καὶ φιλόχριστον βασιλέα Ἀντώνιον μοναχόν."2 οὔπω τέτταρες ἐκεῖθεν ἡμέραι παρῆλθον καὶ ἀκούων τὸν δῆμον ὁ πρωτοστράτωρ διαψιθυρίζοντα ἐν οἴκοις, ἐν ἀγοραῖς, ἐν πύλαις, καὶ πανταχῇ περὶ τοῦ γηραιοῦ βασιλέως, ὡς ἄδικα ἐπεπόνθει καὶ βασιλεὺς ἦν καὶ ἔσται τελευτήσαντος τοῦ ἐγγόνου καὶ οὐχ ἕτερος τῶν ἁπάντων· οὐ γὰρ ἂν τοῦτο νόμος εἴη μοναδικὸς, ἄκοντας καὶ τυραννουμένους ὑπέρχεσθαι τὸ μοναδικὸν σχῆμα· δεινὰ ἐπὶ δεινοῖς ἐμελέτησεν αὖθις. καὶ πέμψας ὅρκον ἀπήτησεν ἔγγραφον ἐξ αὐτοῦ διαβεβαιούμενον, μηδέποτε μήτε ζητῆσαι βασίλειον κράτος, μήτε μὴν διδόμενον δέξασθαι, μήτ' ἄλλον τινὰ προβαλέσθαι. "1εἰ δ' οὖν, ἐπὶ ξυροῦ σοι,"2 φησὶ, "1τὸ αἷμα τήμερον ἵσταται."2 καὶ ἅμα τοὺς ἀλλοφύλους ἐκείνους ὁπλίτας αὐτῷ περιέστησεν αὖθις. ὁ δ' αὖθις δείσας περὶ τῇ ζωῇ ἄκων καὶ τοῦτ' ἐπεπράχει· καὶ ἐπεὶ τυφλὸν εἶναι τοῦτον εἰρήκειμεν, ὑφ' ἑτέρου λοιπὸν τὴν χεῖρα χειραγωγούμενος ἄνω μὲν ἐρυθρὸν προὔθηκε τὸν τοῦ θείου σταυροῦ τύπον, κάτω δὲ μέλανα· καὶ οὕτω συνεχωρήθη τὸ ζῆν. (Ι.) Ἐν δὲ τούτῳ τῷ χρόνῳ εὕρηται παρὰ τὴν τῶν Περσῶν γῆν πύργος τις ἐγκεκαλυμμένος, νομισμάτων μεστὸς καθαρωτάτου χρυσίου μυριάδες οὐ ῥαδίως ἀριθμηταί. ὧν οὐκ 1.447 ὀλίγα διαδεξάμενοι οἱ τῶν Λατίνων ἔμποροι διέσπειραν πανταχῇ γῆς καὶ θαλάττης, εἰδότες χρειώδη τυγχάνοντα διὰ τὴν τοῦ χρυσοῦ καθαρότητα· ὧν ἕκαστον πολλοῖς τῶν Βυζαντίων ὤνιον ἐγεγόνει τριῶν νομισμάτων πολιτικῶν. ια΄. Ἐν τούτῳ τῷ χρόνῳ γραφαὶ παρά τε Ἰταλῶν καὶ ἔτι ὁπόσοι Κολχίδα Περσῶν ἀποσπάδες οἰκοῦσιν ἥκουσιν ἐς Βυζάντιον, ὀφρύος τε καὶ κορύζης μακρᾶς οὖσαι μεσταὶ καὶ προῤῥήσεων ὅσαι μειρακιώδεις καὶ ἀγεννεῖς καὶ οἵας αὐλητρίδες καὶ ὀρχηστρίδες ἐς χαμαιτυπεῖα προπίνουσι χαριζόμεναι τοῖς ἐκεῖσε κωμάζουσιν. εἴπερ γάρ τι τῶν ἁπάντων ἕτερον καὶ τὸ τῆς ἀμαθίας δ' ἔμοιγε ἐς τὸ πείθειν τοὺς κουφοτέρους καὶ κατωφρυωμένους δραστικώτατον ἔδοξε καὶ ἀνυσιμώτατον, προπέτειαν ἀπερίσκεπτον ὑφηγούμενον καὶ πρόχειρον ἐς ἅπαν καθ' ἅπαντα χρόνον, εἴ τί που τοῖς κούφοις αὐτῶν λογισμοῖς ἐπιφύεται. πρὸς μὲν δὴ ταύτας ἀντιλέγειν καὶ ἀπελέγχειν οἱ πλεῖστοι τῶν φίλων προὐτρέποντό με· οὐκ οἶδα, εἴτ' ἐμὲ βασανίζειν ἐθέλοντες, ὥσπερ τοὺς ἁμιλλητηρίους τῶν ἵππων ἐν διαφόροις πεδίοις ἐλαύνοντες οἱ δρόμων Ὀλυμπικῶν ἀθληταὶ, εἴθ' ἑαυτοῖς μέρος ἐντεῦθεν ἡδονῆς ἐκπορίζοντες. οὐδενὶ γὰρ ἑτέρῳ τῶν πάντων οὕτως ἕπεται ἥδεσθαι τὴν ψυχὴν, ὡς ὅσα καὶ οἷα τῶν κατ' ἔφεσίν ἐστιν ὁρᾶν καὶ ἀκούειν. παραπλήσιον γάρ ἐστιν, ὥσπερ ἂν εἴ τις διψῶσι μὲν τῶν ἡδίστων πιεῖν ἐδεδώκει ὑδάτων, φλεγομένοις δ' ὥρᾳ θέρους ζέφυρον ἐμηχανήσατο ἀναψύξεως. ἐφίεται δὲ πάντως ἄλλος ἄλλου κατὰ τὴν τοῦ ἐν αὐτῷ κριτικοῦ τῆς ψυχῆς ἕκαστος δύναμιν, καθάπερ αἰ 1.448 τίας τινὸς καὶ ῥίζης ὑποκειμένης τῆς ἐκεῖθεν κινουμένης ὁρμῆς καὶ ἀναλόγως χειραγωγούσης ἐς τὰς προθέσεις τάσδε ἢ τάσδε τοῦ βίου, ὁποίας πολλὰς καὶ ποικίλας γῆ τε αὕτη καὶ οὐρανὸς ἐκεῖνος προΐσχεται. τὴν μὲν οὖν αἵρεσιν τῆς τούτων ἐφέσεως ταυτησὶ εἰ μὴ καθάπαξ ἅπαντες, ἀλλ' οὖν οἱ πλείους δέξαιντ' ἂν οἶμαι· τήν γε μὴν ἀωρίαν αὐτῆς καὶ τὸ λίχνον, ταύτην δ' οὐ πάνυ τοι ἔγωγε. πάντα μὲν γὰρ ἐρευνᾷν ἕν τι τῶν ἁρμοζόντων εἶναι, οὐκ ἄν ποτ' αὐτὸς ἑκών γε εἶναι ἀπαγορεύσαιμι· ἐν δ' ἅπαντι καιρῷ καὶ χρόνῳ καὶ παντὶ τῷ βουλομένῳ, τοῦτο δὲ καὶ μάλα τοι σφόδρα αὐτός. οὔτε γὰρ παντὶ καιρῷ τὸ καίριον ἔνεστιν, οὔτ' αὖ παντὶ τῷ βουλομένῳ προσήκει πανταχῇ τὸ βούλεσθαι· ἀλλ' ἔστι καὶ καιρὸς ἀκαιρίας γέμων καὶ βούλησις ἀβουλίας


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

πολλάκις μεστή. ἀλλ' οὖν ἐπειδὴ ταῦτα συγχωρητέα ὅπως ποτὲ ἔδοξεν εἶναι ἡμῖν, ἅπαξ τὰ βάρη τῶν τοιούτων ὁποῖά γε εἴη προσίεσθαι προθεμένοις καὶ χαρίζεσθαί σφισιν ὁπόσον τὸ ἐφικτὸν ἐπεφύκει, οὔτ' ἀκοὴν αὐτοῖς οὔτε γλῶτταν ἀπεκλείσαμεν· ἀλλὰ μετρίοις ἐλέγχοις ἔστιν ἃ τῶν γραφομένων ἠμειψάμεθα. καὶ ὁπόσους τό,τε καίριον ἐς τὸ τῆς ἀσφαλείας μουσεῖον ἐπαιδαγώγησε, καὶ πᾶς τις οἶμαι ἀκηκοὼς οὐκ ἂν ἡμῖν μέμψαιτο. καὶ τὰ μὲν ἄλλα τῶν γραφομένων ἀπόῤῥητα κεῖσθαι παρήκαμεν τέως, ἀκαιρίας ὡς τὰ πολλὰ κατορχουμένης αὐτῶν πάνυ τοι φορτικῆς καὶ
ματαίας· ἃ δ' ὡς ἐν ἐπιστολῆς σχήματι πρὸς ἕνα τῶν φίλων εἰρήκειμεν, ἵνα μὴ τὸ τῆς εὐσχήμονος ἡμῶν σιωπῆς ὑπόληψιν 1.449 ἀπορίας ὑπόθοιτο τοῖς ἀφειδεστέροις τῶν ὑβριστῶν, ταῦτα καὶ νῦν τοῖς ἐντυγχάνειν ἐθέλουσιν ἱστορίας ἕνεκα παραθήσομεν. (Β.) "1Ὁπόσα γὰρ,"2 ἔφην, "1τῶν λεγομένων νοῦν ἡγεμόνα προβάλλεται καὶ τούτῳ τὴν πρέπουσαν αὐτονομίαν σαφῶς ἐπιτρέπει, ταῦτα καὶ νοῦν πάντως ἐπόπτην ἐφέλκεται καὶ γλῶσσαν ἀναμένει σὺν ἐπιστήμῃ δικάζουσαν. ὅσα δ' ἁρμονίας ἁπάσης παραιτησάμενα νόμους ὅρων ἐπιστημονικῶν ὑπερόριον καὶ φυγάδα τείνουσι πόδα, ταῦτ' οὔτε νοῦν ἐπόπτην οἶδεν ἐφέλκεσθαι καὶ πάντα λόγον ἑρμηνέα μάλα σφοδρῶς ἀποσείεται, φύσεως ὄντα σαφῶς ἀῤῥωστήματα καὶ λύρας ὥσπερ ῥαγείσης πλημμελῆ τινα κρούσματα. ὥστ' ἔπεισί μοι σφόδρα θαυμάζειν, ὦ φίλων ἄριστε, πῶς οὕτω κἀμὲ ξυνωθεῖς καλινδεῖσθαι τὸν φίλον περὶ τὰ φαῦλα καὶ γλῶτταν παρέχεσθαι τουτουσὶ τοὺς σαφεῖς ἐξελέγχουσαν λήρους, ὁπόσοι τῶν Ἐπιζεφυρίων βαράθρων συχνὸν ἀναῤῥήγνυνται, καθάπερ τινὲς τῶν Ἡφαίστου κρατήρων αὐτόματοι ῥύακες· καὶ ἔτι ὁπόσοι τῷ πλήθει νιφάδεσσι χειμερίῃσιν ἐοικότες τῆς ἀνωτέρας ἠπείρου κατίασιν. ἀδικοίημεν γὰρ ἂν, νὴ τὸν φίλιον, τούς τε τῆς ἐπιστήμης κανόνας τούτοις προσάγοντες καὶ ἡμᾶς αὐτούς. τὸ γὰρ ὁπωσοῦν ἑαυτὸν ἑκών γε εἶναι διεφθορόσι διδόναι τρόποις καὶ λόγοις οὐκ ἀποχωρεῖ κακίας, οὐδ' ἀνασοβεῖ τὰ δίκτυα τοῦ ψόγου, ἀλλὰ καθάπερ συγγενῆ κηλῖδα χλεύην ἐπίφθονον ἐπισύρεται. τίνα γὰρ ἀμαθίας Καύκασον οὐχ ὑπερβαίνουσιν, ὁπόσους οἱ μὲν κάτωθεν ὡς πορῥωτάτω τῆς ἀληθείας χαλκεύειν εἰώθεσαν ὄγκους ῥημάτων, 1.450 οἱ δ' ἄνωθεν ἀγεννεῖς τινας καὶ μειρακιώδεις κροτοῦσι θορύβους, καὶ ταῦτα τὴν Περσῶν καὶ Χαλδαίων μετιέναι φάσκοντες ἐπιστήμην; εἰ γὰρ ἐς τοῦτο Χαλδαίοις καὶ Πέρσαις ἡ πᾶσα περιΐσταται μέθοδος καὶ οὐρανὸς διὰ τοῦτ' ἐς τὴν αἰθέρος σφαῖραν εὖ καὶ τεταγμένως περιφέρει τοὺς ἀστέρων δρόμους, ὡς λημμάτων μὲν φορὰν ἦρος ἀρχομένου γραμματεῦσι προφαίνειν, νοσήματα δ' αὖ γέρουσι φθίνοντος ἤδη τοῦ θέρους, χάριεν ἂν, νὴ τοὺς λόγους, δόξειε τοῖς διασύρειν ποθοῦσι τὸ τῆς ἐπιστήμης χρηστὸν καὶ τοῖς τε ἐξ ἁμάξης λοιδοροῦσιν ἀποχρῶσα πρόφασις ἐς ὕβρεις καὶ ὁπόσοι πρὸς ταῖς σκηναῖς ἄφθονα δραματουργοῦσι τὰ σκέμματα. ἐγὼ δὲ λίαν ἡδέως κἀκεῖνο θαυμάσαιμι ἂν, ὅτι μὴ καὶ περὶ δρυῶν προτεθέσπισται τοῖς ἀνδράσιν, ὡς πολλὰς ἐξανθήσει τὸ γένος βαλάνους καὶ ὡς ἄκανθα τὴν ἐφαπτομένην ἀμύξει παλάμην· καὶ εἰ τέκοι γαλῆ, μήτηρ ἔσται τοῦ τεχθησομένου· καὶ θέρους μὲν ἔσται καῦμα, χειμῶνος δὲ ψύχος, καὶ ὅσα τῶν πάνυ προδήλων, εἰ μή γε δὴ βουσὶν, ἀλλ' οὖν ἀνθρώποις ἅπασίν ἐστιν. ἵνα δὲ μήτε σὺ τῶν λυπουμένων εἴῃς, μήτε τὸ σεμνὸν τῆς ἐπιστήμης ἐς τοιαύτας ἐσχατιὰς κατενηνεγμένον ὑβρίζοιτο, φέρε μέσην βαδίσαντες βραχέα ἄττα τῶν μεσημβρινῶν τουτωνὶ λήρων ἐξελέγξωμεν, ἢ μᾶλλον, εἰπεῖν, τῶν γηΐνων πλανήτων καὶ τὰ πλεῖστα τῆς ἄνω λήξεως καταψευδομένων, ὡς ἂν ἄρδην ἐκ τοῦ κρασπέδου τὸ ὕφασμα λύοιτο πᾶν, καθάπερ ὁ τῆς Πηνελόπης ἐκεῖνος ἱστός. ἀνέμων ἐκεῖνοι προλέγουσιν ἔσεσθαι κίνησιν, ὑφ' ὧν ἐς φθορὰν τὰ τῶν ἀνθρώπων λυθήσονται σώματα. ἡδέως ἂν οὖν ἔγωγε τὰς αἰτίας ἐροίμην τῆς τῶν ἀνθρώπων λύσεως. εἰ μὲν 1.451 γὰρ ἄλλο τι ἢ φορά τις ἀέρος καὶ διαίρεσις ὁ ἄνεμος ἦν, εἶχεν ἄν τινα λόγον ἴσως ὁ λόγος. ὅσα μὲν γὰρ ἄλλο τι παρὰ τὸν ἀέρα τυγχάνοντα δίεισιν αὐτὸν, ἢ διόδῳ σωματικῇ τέμνοντα φέρεται δι' αὐτοῦ, καθάπερ λίθος καὶ σίδηρος



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

καὶ ὅσα σκληροτέρας ἢ κατὰ τὸν ἀέρα φύσεως ἔλαχεν, ἢ διαδόσει ποιότητος, ὅσα δηλαδὴ χεομένην καὶ τῷ ἀέρι πάνυ τοι προσφυῶς ἀνακιρναμένην ἔσχεν αὐτὴν, ὥσπερ ὀσμαὶ καὶ χρώματα καὶ σκηπτοὶ καὶ πρηστῆρες. καὶ μέντοι καὶ ἄνεμος εἰ καθ' ὀντιναοῦν τουτωνὶ τρόπον ἢ διαιρῶν δηλαδὴ τὸν ἀέρα καὶ τὸν ἐκείνου τόπον μεταλαμβάνων διῄει, ἢ τούτῳ διαδόσει ποιότητος σφαλερᾶς ἀνεκιρνᾶτο, πᾶσαν γένεσιν ἐκ τοῦ παραχρῆμα φθορὰ προφανὴς διεδέχετο ἄν. νῦν δὲ τοὐναντίον εὐκρασίας ἡμᾶς ἁπάσης ἐμπιπλῶντα βλέπομεν τοῦτον αἰεί. οὐδὲν γὰρ ἕτερον ἄνεμος ἢ στεῤῥοτέρα φορὰ καὶ χύσις ἀέρος, ὃς ἀεὶ πλούσιος μὲν ἡμῖν περικέχυται, αὐτοῦ δ' ἀπολαύομεν καθόσον ἐφικτὸν ἑκάστῳ, κἂν πάνυ τοι πλεῖστος ἕπηται. ἐκεῖνό γε μὴν καὶ μαντείας ἴσως δεῖται, καὶ οὐκ ἔχω ὅ,τι φῶ. πόλεων γὰρ καὶ δένδρων καὶ ὀρῶν φασιν ἐξ ἀνέμων πάντων ὁμοῦ κινηθέντων καταστροφὰς καὶ μεταβάσεις. πῶς γὰρ καὶ πῆ περιχωρήσει καὶ μεταστήσεταί τι τούτων, περικυκλούντων, ὥς φασιν, οὑτωσὶ τῶν ἀνέμων ἐκ διαμέτρου; ἑνὸς μὲν γὰρ ξυνωθήσαντος ἀνέμου καὶ ξὺν βίᾳ κλονήσαντος ἀνατετράφθαι οἰκίαν ἔσθ' ὅτε ἢ δένδρον ἐπὶ θάτερα μέρη, καινὸν οὐκ ἂν εἴη, ἀλλ' ὡς τὰ πολλὰ τῶν ὅρων τῆς συνηθείας ἐντός. πολλῶν δ' ἀντιπνεόντων ὁμοῦ; 1.452 σχολῇ γ' ἂν καταστραφείη τι τῶν ἁπάντων. τὴν γὰρ τοῦ ἑνὸς ἀντώθησιν ἡ θατέρου ἐξεναντίας ἀντίστασις θραύουσα καὶ ἀναχαιτίζουσα ἀκλόνητον τὸ παράπαν ἐξ ἀντιπεριστάσεως ἵστασθαι παρασκευάσει τὸ βιαζόμενον. ἄλλως τε καὶ ὁμοῦ τοὺς κατὰ διάμετρον ἀνέμους κινεῖσθαι, οὔτ' Ἀριστοτέλης φύσιν ἔχειν δίδωσιν, οὔθ' ὁ πολὺς ἔφηνε χρόνος. ἀλλ' ἐκεῖνο μικροῦ με παρέδραμε. τὴν γὰρ τοῦ Κρόνου καὶ Ἄρεως ὑφ' ἑνὶ ζῳδίῳ συνέλευσιν αἰτίαν τῆς τῶν ἀνέμων τίθενται μάχης καὶ πρό γε τούτων ἡλιακήν τινα ἔκλειψιν. εἰ οὖν ταῦτα φανείη ψεῦδος περιφανὲς, ἡγούμενα ὄντα τῶν ἐφεξῆς, ψευδῆ πάντως μετὰ τοῦ μείζονος προσθήκης φανεῖεν ἂν καὶ τὰ τούτοις ἑπόμενα· ὥσπερ ἂν εἴ τις τὴν ῥίζαν τοῦ δένδρου τεμὼν συναφεῖλεν εὐθὺς καὶ τὴν τῶν ἀκροδρύων ψυχήν. οὐ γὰρ μόνον ἐν τοῖς παροῦσι καιροῖς οὐκ εἰσὶν ὑπὸ ζῴδιον ἓν Κρόνος καὶ Ἄρης, ἀλλ' οὐδὲ δυοῖν συνεχῶς ἐξελιττομένων ἐνιαυτῶν οὐκ ἄν πω συνέλθοιεν ἄν. Ἄρης γὰρ ἐκ πολλοῦ περὶ τὴν τοῦ λέοντος πεντεκαιδεκάτην μοῖραν τὸν Κρόνον καταλελοιπὼς ἤδη καὶ ἐς τὰς τοῦ σκορπίου χηλὰς διαβαίνει. ἡλιακήν γε μὴν ἔκλειψιν οὔτε τὸ παρὸν ἅπαν θέρος, οὔτε τὸ ἐφεξῆς μετὰ τοῦτο φθινόπωρον ὄψεται, κἂν πάντες ἄνθρωποι, κἂν πάντες φάσκωσιν ὄρνιθες. ἔσται δέ σοι τούτων διδάσκαλος ὅ,τε χρόνος καὶ ἡ αἴσθησις πρὸς ἀκριβῆ τὴν ἀλήθειαν. οὐδὲν γὰρ οὕτως εἰς ἐπιστήμης ἀπόδειξιν ἀναντίῤῥητον ἕτερον, ὡς ἐμπειρία καὶ αἴσθησις. "1αἴσθησις μὲν γὰρ,"2 φησὶν, "1ἐμπειρίαν ποιεῖ, ἡ δὲ ἐμπειρία τὰς ἀρχὰς δίδωσι τῇ ἐπιστήμῃ."2 ὥσπερ οὖν σίτου σπαρέντος εἰς γῆν ἐνδέχεται στάχυν 1.453 ἔσεσθαι, σπόρου δ' οὐκ ὄντος οὐδὲ βλάστην ἐκδέχεσθαι χρή· οὕτω κἂν τούτοις. εἰ ἔσται ἔκλειψις ἡλίου καὶ συνδρομὴ Κρόνου καὶ Ἄρεως, φαῖεν ἂν ἴσως καὶ ἀνέμων ἔσεσθαι κυκεῶνας καὶ πόλεων καταστροφὰς καὶ ἀναμοχλεύσεις ὀρῶν· εἰ δ' ἐκεῖνα οὐκ ἔσται, ἐξ ἀνάγκης ἕπεται καὶ κατὰ χώραν ἵστασθαι πᾶν ὄρος καὶ πόλιν ἅπασαν. ἴσμεν γὰρ, ὡς τούτων ἀναιρουμένων, ὅσα γε ἕνεκά του γίνεται καὶ αἴτια νομίζεται τῶν ἑξῆς, συναναιρεῖται πάντως ὁμοῦ τά τε αἰτιατὰ καὶ ὧν ἕνεκα ἐκεῖνα γίγνεσθαι ἔμελλεν. ἐκκεκύλισται δὲ τούτοις ὁ λόγος ἐς τόδε τῆς ἀτοπίας παρὰ τὸ νομίζειν τό,τε αἴτιον ὡς μὴ αἴτιον καὶ αὖ τὸ μὴ αἴτιον ὡς αἴτιον. τὰ γὰρ τῶν ἀστέρων ἄλλοτ' ἄλλως ἔχοντα σχήματα καὶ ἄλλοτ' ἄλλως ἐχούσας τὰς ἐκβάσεις προφαίνει· τὰς μὲν γὰρ ἐκ τοῦ σύνεγγυς, τὰς δὲ μεθ' ἱκανὸν τὸν χρόνον. οἱ δ' οὔτε τοῦθ' ἱκανοὶ ξυνιέναι ἐγένοντο καὶ ἄλλα ἀντ' ἄλλων ᾐτιάσαντο, ὁδὸν τοῦ προσήκοντος πόῤῥω βαδίσαντες· ὥσπερ ἂν εἴ τις, ὅτι Θεμιστοκλέους ἐκ Μεγάρων Ἀθήναζε κατιόντος ὑετὸς κατεῤῥάγη, αἴτιον εὐθὺς τοῦ συμπτώματος ἡγοῖτο Θεμιστοκλέα· ἢ πάλιν Κροῖσον, ὅτ' αὐτοῦ διαπεραιουμένου τὸν Ἅλυν ἥλιος ὑπερέβαλε τὸν ὁρίζοντα. καὶ γὰρ Θεμιστοκλέους ἀπόντος φύσις ὑετοὺς καταῤῥήγνυσθαι· καὶ ἀπαλλάξαντος τοῦ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Λυδοῦ διηνεκῶς τὸν ὁρίζοντα μετὰ πᾶσαν ἥλιος ὑπερβάλλει τὴν νύκτα. ἦν ἕτερα μυρία πρὸς ἔλεγχον, ἀλλὰ μήκους ἕνεκα καὶ κόρου σιωπῶμεν. τὸ μὲν γὰρ καλῶς ἐν καλαῖς ὑποθέσεσι λέγοντας εὐδοκιμεῖν, κἂν εἰς μῆκος ὁ λόγος ὁδεύῃ, ἀλλ' 1.454 οὖν ἐπαίνων οὐκ ἐκπέπτωκε· τὸ δ' ἐν ἀτόποις καὶ κιβδήλοις, τοῦτο δὲ καὶ τῶν ἐπαίνων πάμπαν ἐξεκεχωρήκει καὶ μυκτῆρος κατατρέχοντος οὐ σφόδρα ἀπαλλάττει. λέγεται γὰρ καὶ Φίλιππος ἀποσκῶψαι πρὸς τὸν παῖδα Ἀλέξανδρον, ὅτι δεξιῶς τε καὶ ἐμμελῶς ἐκιθάρισεν, αἰσχρὸν εἶναι φήσας ἐν τοῖς φαύλοις ἐπιδείκνυσθαι φιλοτίμως τὸν εὐγενῆ."2 ιβʹ. Τοῦ δ' ἐπιγενομένου ἦρος ἐπειδήπερ ὁ Κράλης Σερβίας δῆλος ἦν οὐκ ἠρεμήσων, εἰ μὴ ἐπεξέλθοι Μιχάηλον τῆς ἐς τὴν ἀδελφὴν ὕβρεως καὶ ἀδικίας, ὅτι γυναῖκα νόμιμον οὖσαν αὐτῷ καὶ παῖδας τεκοῦσαν αὐτῷ τῆς ἀρχῆς διαδόχους διωσάμενος αὐτὴν ἐπ' οὐδεμιᾷ προφάσει τὴν τοῦ βασιλέως ἠγάγετο ἀδελφήν· διαπρεσβεύεται πρὸς τὸν βασιλέα Μιχάηλος, ξυνωθῶν αὐτὸν διὰ τῆς τῶν Ῥωμαίων ἰόντα χώρας εἰσβάλλειν εἰς τὴν τῶν Τριβαλλῶν γῆν. μέλλειν γὰρ καὶ αὐτὸν ἐκστρατεύειν κατ' ἐκείνου μετὰ βαρείας δυνάμεως, ὡς ἂν μὴ ἔχων ὅπως ἀρκέσειε πρὸς τὰς ἑκατέρωθεν μάχας ἀσθενέστερος γένηται, πολλὴν ἀποβεβληκὼς ἑκατέρωθεν χώραν ἑαυτοῦ. καὶ δὴ παρεσκευάζοντο πρὸς ἐκστρατείαν ἄχρι φθίνοντος ἔαρος. (Β.) Θέρους δ' ἤδη ἱσταμένου ὁ μὲν βασιλεὺς ἐπειδὴ μὴ ἀξιόλογον εἶχε στρατὸν πρὸς τὴν τοῦ Κράλη δύναμιν, ἐστρατοπεδεύσατο παρελθὼν παρὰ πεδίον τι τῆς Πελαγόνων χώρας, ὅπη καὶ ὅμορα ἦσαν Ῥωμαίοις ὑπείκοντα πολίχνια, καραδοκῶν ἐκεῖθεν τὴν ἑτέρωθεν τοῦ Μιχαήλου στεῤῥοτέραν κατὰ τῶν Τριβαλλῶν ἔφοδον ὅπη χωρήσειεν ἀκούσεσθαι πρότερον· κἄπειθ' ὅ,τι γνοίη καὶ αὐτὸς διαπράξεσθαι. ὅτε δὴ καὶ ἡλίου γεγενῆσθαι 1.455 ἐπισκότησιν ἐξεγένετο περὶ τὴν δωδεκάτην ὥραν τῆς ἑκκαιδεκάτης τοῦ Ἰουλίου ἡμέρας, οὐ μεῖον τῶν ιαʹ δακτύλων, εἴ τις παρὰ τὸν διὰ Βυζαντίου παράλληλον ποιοῖτο τὴν οἴκησιν, τετάρτην καὶ εἰκοστὴν τοῦ καρκίνου τηνικαῦτα μοῖραν ἀμείβοντος τοῦ ἡλίου καὶ τὴν μὲν ἀρχὴν τῆς ἐπισκοτήσεως ἀπὸ μέσου δεικνύντος ἰάπυγος καὶ θρασκίου, τὸ δὲ τέλος ἀπ' ἀρχομένου ἔγγιστα ἀπηλιώτου. (Γ.) Ὁ μέντοι Μιχάηλος πλεῖστον ἀγείρας στρατὸν, δώδεκα μὲν χιλιάδας ἐκ τῆς οἰκείας χώρας, τρεῖς δ' ἑτέρας Σκυθῶν μισθοφόρων, ἐσβάλλει διὰ τῶν ἀρκτικωτάτων Αἵμου τοῦ ὄρους ἐς τὴν τῶν Τριβαλλῶν χώραν, ἔνθα δὴ μάλιστα καὶ ποταμοῦ τοῦ Στρυμόνος εἰσὶν αἱ πηγαί. τέτταρας μὲν οὖν ἡμέρας διηνυκὼς ἐπὶ τῆς πολεμίας ἐδῄου καὶ ἔκειρε τὴν γῆν ἀδεῶς καὶ ἐδενδροτόμει τοὺς ἀγροὺς καὶ κακῶς ἐποίει τὴν χώραν, οὔπω μηδενὸς ἐκεῖθεν ὅπλα ἀνταίροντος. τῇ πέμπτῃ δ' ἅμα ἡλίῳ ἐπιφαίνεται καὶ ὁ Κράλης Σερβίας, χεῖρα βαρεῖαν ἐπαγόμενος καὶ ὅπλα τῇ λαμπρότητι τὰς τῶν ὁρώντων ἀποκρύπτοντα ὄψεις. ἐπεὶ δ' ἑκάτερα τὰ στρατεύματα παρετάξαντο καὶ τὰ σημεῖα ἤρθη, ὁ Κράλης τὰς ἑαυτοῦ τάξεις ἐῤῥωμένως παρακελευσάμενος μάχεσθαι, ὁ δ' ἐπὶ τὴν τοῦ Μιχαήλου σημαίαν ἐκτρέχει, ἔχων περὶ αὐτὸν χιλίους ἱππέας Κελτοὺς μεγέθει τε σώματος καὶ ῥώμης περιουσίᾳ καὶ ὅπλων ἐμπειρίᾳ πολεμικῶν κράτιστα ἠσκημένους τε καὶ ἐσκευασμένους. καὶ ταύτην ξὺν οὐ πολλῷ πόνῳ καθηρηκὼς ἔδραμεν ἐπὶ τὴν τοῦ Μιχαήλου παράταξιν· καὶ συμπατήσας τὸ πολὺ τοῦ περὶ αὐτὸν στρατεύματος καὶ καταβαλὼν ζῶντα χειροῦται καὶ τετραυματισμένον καὶ τὸν Μιχάηλον. τὸ δὲ Βουλγαρικὸν ἄλλο στράτευμα τὸ μὲν 1.456 πλεῖον ἐκεῖ κατεκόπη, τὸ δὲ περιλειφθὲν γεγυμνωμέναις σαρξὶν ἐς τὰ οἴκοι ἐχώρουν. ὁ μέντοι Μιχάηλος τρεῖς ἡλίους τὸ ἐξ ἐκείνου τεθέαται ζῶν καὶ μάλα μόλις τὴν συμφορὰν ἐπιγινώσκειν δυνάμενος, τῷ δὲ τετάρτῳ μετήλλαξε, μὴ δυναμένου τοῦ σώματος πλέον ἐξαρκέσαι πρὸς τὸ καίριον τῶν τραυμάτων. ὁ δὲ βασιλεὺς μαθὼν τὸ πραχθὲν τὴν ταχίστην ἐς Βυζάντιον ἐπανήει, μηδὲν μήτε δεδρακὼς μήτε πεπονθώς. (Δ.) Ἐπεὶ δ', ὡς πολλάκις εἰρήκειμεν, οὐδὲν τῶν ἐν βίῳ εὐτυχημάτων ἀκήρατον ἐς τέλος διαπερᾷ τὸν αἰῶνα, οὐδὲ βασκανίας ἐκτὸς, οὐδ' ἐνταῦθα ἐπέλιπε τὸ χρεών· ἀλλ' ἀντέπνευσε καὶ τοῖς τοῦ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Κράλη λαμπροῖς εὐτυχήμασι χειμὼν χαλεπός τε καὶ φρικωδέστατος, ὃς πάντα ἐπέκλυσε καὶ κατέχωσεν αὐτῷ τὰ τοῦ βίου τερπνὰ καὶ αὐτό γε τὸ ζῆν προσαφῄρηκεν. ἔχει δὲ οὕτως. ἦν αὐτῷ παῖς δεύτερον τηνικαῦτα καὶ εἰκοστὸν παραλλάττων ἔτος, ὃν ἐξ ἑτέρας γεγέννηκε γυναικὸς καὶ ἐς διαδοχὴν ἀνῆγε τῆς ἀρχῆς μάλα ἐπιμελῶς. ἐπεὶ δ' αὐτὸς μὲν τῇ τοῦ Καίσαρος θυγατρὶ συνεζύγη, πεντηκοντούτης ἀνὴρ κόρῃ δωδέκατον ἀγούσῃ τὸν χρόνον, καὶ πρὶν τῷ παιδὶ γυναῖκα ἀγαγέσθαι, παιδοποιεῖν ἤρξατο μετὰ τῆς τοῦ Καίσαρος θυγατρὸς, ἐς ὑποψίας καὶ φόβους ὁ παῖς ἐξενήνεκται, ὁποίους ὑποσπείρειν εἰκὸς τοὺς ἡλικιώτας ἐς τὴν σφριγῶσαν τούτου ψυχήν· καὶ ἀποστασίαν λοιπὸν ἐμελέτα καὶ ἐπανάστασιν κατὰ τοῦ πατρός. ὃν οὕτως ἔχοντα βλέποντες οἱ ἐκεῖ μεγιστᾶνες καὶ στρατηγοὶ καὶ ταξίαρχοι, καὶ ὅσοι κόρον εἰλήφεσαν τῆς ἀρχῆς τοῦ πατρὸς διὰ τὸν χρόνον, λάθρα τούτῳ προσῄεσαν ἕκαστοι καὶ τοὺς τῆς ἀποστα 1.457 σίας ἐξεπύρσευον αὐτῷ λογισμούς· καὶ μετ' οὐ πολλὰς τὰς ἡμέρας ἀπολαβόντες αὐτὸν ἐξεπολέμωσάν τε κατὰ τοῦ πατρὸς καὶ Κράλην Σερβίας αὐτοκράτορα ἀνηγόρευσαν. ἐπεὶ δὲ συχνῶν ἡμερῶν κατ' ὀλίγους ἅπαντες αὐτῷ προσεῤῥύησαν τοῦ στρατοῦ τὸ ἀπόλεκτον, προσελάσαντες δέσμιον ἀπονητὶ καὶ τὸν πατέρα προσήνεγκαν τῷ υἱῷ· κἀκεῖθεν ἐς εἱρκτὴν ἀπήνεγκαν, ἄκοντος μὲν ἴσως καὶ ἀσχάλλοντος τοῦ υἱέως, σιωπῶντος δ' οὖν ὅμως καὶ ἀντιλέγειν οὐ δυναμένου τῇ τοῦ πλήθους ὁρμῇ. ἐδεδίει γὰρ, μήπου τι καὶ αὐτὸς πάθοι τῶν ἀδοκήτων. οὐ πολλαὶ παρῆλθον ἡμέραι κἀκεῖνον μὲν ἐν δεσμοῖς ἀπέπνιξαν, πικρὸν αὐτῷ τοῦ βίου τὸ πέρας ἐπενεγκόντες ἀντὶ τῶν ἡδέων ἐκείνων εὐτυχημάτων· τῷ δὲ υἱῷ τὴν ἀρχὴν ἤδη βεβαιοτέραν καὶ ἀσφαλῆ κατεστήσαντο καὶ ἅμα αὐτῷ ἐξελάσαντες εὐθὺς ᾠκειώσαντο τὴν Ῥωμαίων χώραν ἄχρι Στρυμόνος καὶ Ἀμφιπόλεως· ὅτε δὴ καὶ Στρούμμιτζαν εἷλον ξύν γε ἄλλοις πολιχνίοις. ιγ΄. Ἐς δὲ τοὐπιὸν ἔτος ἀκούων ὁ βασιλεὺς διασπωμένην τὴν τῶν Βουλγάρων ἀρχὴν ὑπό τε τῆς προτέρας τοῦ Μιχαήλου γυναικὸς ὑπό τε τῶν τοῦ Μιχαήλου συγγενῶν (ἡ γὰρ τοῦ βασιλέως ἀδελφὴ μόλις ἐκεῖθεν φυγοῦσα τὸ ζῆν ἐπορίσατο), πολλῶν οὖν ἐκεῖ μαχομένων καὶ ὑπὲρ τῆς ἀρχῆς ἀντιποιουμένων, στρατὸν ἀπολέξας ὁ βασιλεὺς ἱκανὸν ἐπέθετο τοῖς περὶ τὸν Αἷμον πολιχνίοις καὶ εἷλε μικροῦ πάντα ἀπονητὶ, τῶν οἰκητόρων προσεῤῥυηκότων ἑκόντων. μεθ' ὧν προσεῤῥύη καὶ παραθαλασσία πόλις ὀχυρά τε καὶ πολυάνθρωπος καλουμένη Μεσημβρία. ἐν ᾗ διατρίβων ὁ 1.458 βασιλεὺς ὡς τὰ πολλὰ μετὰ τοῦ στρατοῦ φορτικὸς ἔδοξε τὴν ταχίστην διά τε τὴν γενομένην δι' αὐτοὺς ἐπίλειψιν τῶν χρειωδῶν καὶ διὰ τὴν τῶν προσόδων φθοράν. ἐπεί γε μὴν μετὰ πολλοὺς τοὺς περὶ τῆς ἀρχῆς ἀγῶνας τὴν νικῶσαν Ἀλέξανδρος εἰλήφει ὁ τοῦ Μιχαήλου ἀδελφιδοῦς, καὶ τῆς ἡγεμονίας τὸ κράτος βεβαίως περιεζώσατο, τὸν Βουλγαρικὸν συλλέξας στρατὸν, προσεταιρισάμενος δὲ καὶ μισθοφορικὸν ἐκ Σκυθῶν οὐκ ὀλίγον ἐς τὴν ὅμορον ἐσέβαλε χώραν Ῥωμαίων καὶ ἤλασεν ἄχρις Ὀρεστιάδος· καὶ πλείστην μὲν λείαν ξυνηθροικὼς, πολλὰ δὲ καὶ τῶν περὶ τὸν Αἷμον πολιχνίων καθ' ὁμολογίαν παραστησάμενος καὶ ἐς τὰ τῶν Βουλγάρων ἤθη πάλιν ἐπανεστράφθαι πεποιηκὼς ἐπανῆκε χαίρων οἴκαδε μετὰ πολλῶν τῶν λαφύρων. (Β.) Ἐν τούτῳ τῷ χρόνῳ καὶ Νίκαιαν εἷλον οἱ βάρβαροι, τὸ μέγα καὶ περιβόητον ἄστυ, λιμῷ καὶ στρατῷ πολιορκηθεῖσαν μακρῷ· καὶ πολλὰς τῶν ἐκεῖσε θείων εἰκόνων καὶ βίβλων ἐς Βυζάντιον κομίσαντες, καὶ ἁγίων γυναικῶν λείψανα δύο, χρήμασιν ἠλλάξαντο. ἀδεῶς δὲ ἤδη τὰς οἰκήσεις ἐν τοῖς παραλίοις τῆς Βιθυνίας οἱ βάρβαροι ποιήσαντες βαρυτάτους ἐπέθηκαν φόρους τοῖς ἐναπολειφθεῖσι βραχέσι πολιχνίοις, δι' οὓς τέως οὐκ αὔτανδρα πρὸς ὄλεθρον ἤλασαν παντελῆ, μάλα ῥᾳδίως δυνάμενοι καὶ ἐν βραχυτάτῳ χρόνῳ τοῦτο τελεῖν. οὐκ ἐπιλείπουσι δ' ὅμως συχνὰς ποιούμενοι τὰς ἐφόδους καὶ ζωγροῦντες τῶν ταλαιπώρων τοὺς πλείους ἔκ τε γῆς καὶ θαλάττης ἀεί. (Γ.) Ὁ μέντοι μέγας λογοθέτης ὁ Μετοχίτης ἐλθὼν ἐκ τῆς ἐξορίας οὐ παρὰ τῇ οἰκίᾳ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

κατέλυσε· πάλαι γὰρ, ὡς εἰρήκειμεν, 1.459 εἰσελθόντος τοῦ βασιλέως ἐν Βυζαντίῳ αὕτη διέφθαρται καὶ τελέως ἠρήμωται πρὸς τῶν δημοτῶν· κατέλυσε δ' ἀπέναντι καὶ πλησίον παρὰ τῇ ἱερᾷ δηλαδὴ μονῇ τῆς Χώρας, ἣν πολλοῖς αὐτὸς ἀναλώμασιν ἀνεκαίνισε πρότερον, τοῖς ὀδοῦσι τοῦ χρόνου δεινῶς κοπτομένην ἰδών. ἐδομήθη γὰρ αὕτη τὸ ἀρχαῖον πρὸς τοῦ βασιλέως Ἰουστινιανοῦ ἐπιμήκης τὸ σχῆμα. εἶτα τοῦ χρόνου ταύτην μέχρι κρηπίδων συντρίψαντος ἄλλον ἐκ βάθρων ἀνήγειρε νεὼν, εἰς ὃ καὶ νῦν ὁρᾶται σχήματος, ἡ τοῦ βασιλέως Ἀλεξίου τοῦ Κομνηνοῦ πενθερά. τοῦ δὲ χρόνου πάλιν φθορὰν ἀπειλοῦντος οὗτος ἁβροτέρᾳ χρησάμενος δεξιᾷ, πλὴν τοῦ μεσαιτάτου νεὼ, πάντα καλῶς ἐπεσκεύασεν. ὅθεν καὶ πάντων εἰς τέλος ἀπολωλότων ἤδη τἀνδρὶ τῶν ἔξω πραγμάτων σωτήριος αὕτη λιμὴν ἐν καιρῷ περιστάσεως ὤφθη ψυχῆς ὁμοῦ καὶ σώματος. πρὸς μὲν οὖν τὴν ἱερὰν ἀποβλέπων μονὴν τὸ λοιπὸν ἡδονὴν ἀπόῤῥητον παρείχετο τῇ ψυχῇ· πρὸς δ' αὖ τὴν ἐρήμωσιν τῆς οἰκίας, κατήφειαν τοῖς ὀφθαλμοῖς ἐτρύγα μακρὰν καὶ πλήθουσαν εἶχεν αὖθις τὴν ψυχὴν πυρὸς καὶ φλογὸς, ἣν ἐκπυρσεύουσι τοιαῦται βαρυθυμίαι καὶ συμφοραί. καὶ μέντοι καὶ τὸ τῆς τύχης πρὸς τιμωρίας ἀκόρεστον ἀναλογιζόμενος ἐξεπλήττετο, πῶς οὐδὲ τοὔδαφος τῆς λαμπρᾶς ἐκείνης οἰκίας ἐς τὸν ἐνόντα κόσμον ἀφείθη· ἀλλ' ὃ μήπω πρότερον ἐξ αἰῶνος ἐφ' ἑτέρου ἐπινενόηται, νῦν ἐπὶ τοῦδε καὶ πέπρακται. ἐκσπασθὲν γὰρ ἅπαν ἐπέμφθη δῶρον τῷ τῶν δυτικῶν Σκυθῶν ἄρχοντι, λαμπρότητός τινος ἕνεκα τοῦ τῆς οἰκίας ἐδάφους ἐκείνου ζητήσαντι. ἐκωλύετο δὲ πρὸς τῶν τὴν ἡγε 1.460 μονίαν διοικούντων, μηδ' ὅλως μήτε δι' ὄψεως, μήτε διὰ γλώττης ἐκδήμου τῷ γηραιῷ προσομιλεῖν βασιλεῖ. καὶ ἦν οὐ μικρὰ καὶ τοῦτο λύπης προσθήκη τἀνδρί. ιδ΄. Καιρὸς δὲ ἤδη καὶ περὶ τῆς τοῦ γηραιοῦ βασιλέως διεξελθεῖν τελευτῆς, ἣν θεοσημεῖαι πολλαὶ προεμήνυσαν· αἳ ἦσαν τοιαίδε. ἐπισκότησις πρῶτον ἡλιακὴ, τοσαύτας ἡμέρας προειληφυῖα τὴν αὐτοῦ τελευτὴν, ὅσα καὶ αὐτὸς ἦν ἔτη τὰ πάντα βεβιωκώς. ταύτην τὴν ἡλιακὴν ἐπισκότησιν ἔκλειψις διεδέξατο σεληνιακή· καὶ ταύτην αὖθις σεισμὸς γῆς ἐν ἑσπέρᾳ, ᾗ τὴν μνήμην ἐτέλουν ἐκ χρονικῆς περιόδου Χριστιανοὶ τοῦ ὁμωνύμου αὐτῷ Ἀντωνίου. κατ' αὐτὴν μέν γε τὴν τοῦ φεβρουαρίου δωδεκάτην ἡμέραν, ἣν ἡ τῆς ἀπροσδοκήτου τελευτῆς ἐκείνου διαδέχεσθαι ἔμελλεν ἑσπέρα, βιαίου πεπνευκότος ἐκ τῶν βαράθρων τῆς μεσημβρίας ἀνέμου, ἠγρίωται μὲν τὰ θαλάττης κύματα τοσοῦτον, ὥστε τοὺς ὅρους ὑπερβάντα πολλὰ μέρη τῶν ἑῴων καὶ παραλίων τοῦ Βυζαντίου τειχῶν καθῃρηκέναι, πολλὰς δὲ καὶ τῶν ἐν ἐκείνῳ τῷ μέρει πυλῶν ἐκμοχλεῦσαι καὶ εἰσδραμόντα δίκην τινῶν πολεμίων πολλὰ τῶν ἔνδον οἰκημάτων κατακλύσαι. (Β.) Τηνικαῦτα μέντοι πεπτώκασι καὶ πολλοὶ τῶν ἐπὶ τοὺς νεὼς ἱδρυμένων ἐκ σιδήρου σταυρῶν, ὑπενεγκεῖν οὐ δυνάμενοι τὴν τοῦ πνεύματος βίαν. πέπτωκε δὲ καὶ ὁ πρὸ τοῦ νεὼ τῶν τεσσαράκοντα μαρτύρων ἱστάμενος πάλαι κίων, ὃς ὑπό τινος μὲν καυτηρίας τεθραυσμένον εἶχε τὸ πρὸς τῇ βάσει μέρος· ὃ καὶ τοῖς παριοῦσιν ὑπό 1.461 νοιαν παρεῖχεν αὐτίκα ἀνατραπήσεσθαι καὶ φόβον ἐντεῦθεν οὐ μάλα παράλογον. ὥστε παριόντα ποτὲ καὶ τὸν βασιλέα τοῦτον ἐκώλυόν τινες τῶν περὶ αὐτὸν μὴ πλησίον ἰέναι δεδιότες ἴσως τὸν κίνδυνον. ὁ δὲ πρὸς τὴν σφῶν εἰρωνευσάμενος δειλίαν καὶ τοιόνδε τινὰ λόγον οὑτωσί πως ἐπελθόντα τῇ γλώττῃ τότε προήνεγκεν· "1εἴθε συμπαρατείνοιτό μοι τὸ ζῆν τῇ τοῦδε τοῦ κίονος στάσει."2 ὃ δὴ καὶ κατὰ τὴν πρόῤῥησιν νῦν ἀποβὰν θαυμάζειν ἐπῄει τοῖς μεμνημένοις. (Γ.) Τοῦ δ' ἡλίου πρὸς ἑσπέραν ἤδη ἐπειγομένου ἀπῄειν κἀγὼ πρὸς τὸν βασιλέα κατὰ τὸ εἰωθός. εἰωθὸς γάρ μοι πορεύεσθαι πρὸς αὐτὸν παραμυθίας ἕνεκα κατὰ περίοδον τριῶν που ἢ τεττάρων ἡμερῶν. ἀπιὼν μὲν οὖν καὶ νῦν αὖθις κατὰ τὸ εἰωθὸς πρὸς αὐτὸν καὶ παρακαθίσας τῆς συνήθους ἀπήλαυον ὁμιλίας. συνήθεια δ' ἦν αὐτῷ, ἐλλογίμῳ τινὶ πρὸς ἡμᾶς καὶ σπουδαιοτέρᾳ χρῆσθαι τῇ ὁμιλίᾳ μετά τινος ἀστειότητος καὶ χάριτος. παρῆν δὲ καὶ αὐτοῦ θυγάτηρ Σιμωνὶς ἡ Κράλαινα καί τινες ἕτεροι τῶν ὁμοίαν ἐμοὶ τρεφόντων



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

γνώμην καὶ τρόπου διάθεσιν πρός τε τὸν βασιλέα καὶ τὴν αὐτοῦ θυγατέρα τὴν Κράλαιναν καὶ τὴν ἴσην ἐχόντων ἐμοὶ πρὸς αὐτοὺς οἰκειότητα. παρετάθη δὲ τὰ τῆς ὁμιλίας ἐκείνης ἡμῖν ἄχρι μέσων νυκτῶν καὶ πρός γε ἔτι μέχρι πρώτης ἀλεκτοροφωνίας, μηδενὸς ἐκφανέντος συμβόλου νοσήματος οὑτινοσοῦν. (Δ.) Ἔπειτα ἡμῖν μὲν, "1ἄπιτε χαίροντες,"2 ἔφησε, "1τὰ δὲ τῆς νῦν ὁμιλίας λείψανα ἐς τὴν ὑστεραίαν πάντα λελέξεται."2 ὁ δὲ τροφῆς αὐτῷ κομισθείσης ἐδεδειπνήκει. ἦν δὲ τὰ τῆς 1.462 τροφῆς ὀστρακόδερμα πάντα διὰ τὰ τῶν νηστίμων ἐκείνων ἡμερῶν νόμιμα· ἐφ' οἷς δέον ἀκρατοποσίᾳ χρήσασθαι, δυναμένῃ γηραιὸν τονῶσαι στόμαχον πρὸς κατεργασίαν τῆς σκληροτέρας ἐκείνης τροφῆς· ὁ δὲ ψυχροποσίᾳ ἐχρήσατο. ἔθος γὰρ αὐτῷ ἦν, ὁπότε αἴσθοιτο θερμοτέρας τῆς ἕξεως τῶν οἰκείων φλεβῶν γινομένης, ἀμέτρῳ χρῆσθαι ψυχροποσίᾳ, ὑπὲρ τοῦ μὴ ἠναγκάσθαι ποτὲ τῶν φλεβῶν μηδεμίαν τεμεῖν. τοιαύτῃ τοίνυν διαίτῃ καὶ νῦν χρησάμενος δυσφορεῖν εὐθὺς ἤρξατο καὶ πάνυ πονήρως ἔχειν τοῦ στομάχου καὶ τῆς καρδίας. ἐπεὶ δὲ καὶ τῶν ἀναπνευστικῶν ὀργάνων ἐμφραττομένων ἤδη καὶ στενοχωρουμένων ᾐσθάνετο καὶ ὅσον αὐτίκα τεθνηξόμενον ἔβλεπεν ἑαυτὸν καὶ διὰ τὴν ἀωρίαν οὐχ εὕρισκεν οὐδένα, ὃς αὐτῷ μεταδοίη τῶν θείων μυστηρίων, κεκλεισμένων ἁπασῶν τῶν περὶ τὰ βασίλεια πυλῶν, ἀναστὰς ηὐχαρίστησέ τε τῷ θεῷ καὶ ὑπὲρ σωτηρίας τῆς αὐτοῦ ψυχῆς ηὔξατο σὺν πλουσίοις τοῖς δάκρυσι καὶ γονυκλισίαις πολλαῖς. εἶτα ἐγκόλπιον φέρων τὴν τῆς θεομήτορος θείαν εἰκόνα ἐς τὸ στόμα ἐνέβαλεν ἀντὶ τῶν θείων μυστηρίων καὶ καθίσας ἐπὶ τῆς κλίνης εὐθὺς ἀπήλλαξεν, οὔπω τῆς νυκτὸς ἐκείνης ληξάσης. κλίνην δ' ἐνταῦθα νοητέον οὐ τὴν συνήθη καὶ ἐν τῷ φανερῷ κειμένην, ἀλλὰ τὴν πάνυ τοι ἐνδοτάτην καὶ παρὰ πλευρὰν τοῦ οὐρηδόχου κειμένην οἰκίσκου. ἀφ' οὗ γὰρ ἤρξατο δυσφορεῖν καὶ στενοχωρεῖσθαι τὰ ἔνδον, συχνάκις καὶ κατὰ μόριον ὥρας ἐς τὸν τοιοῦτον εἰσῄει οἰκίσκον χρείας ἀναγκαίας εἵνεκα τῆς γαστρός. τὸ δ' οὖν τελευταῖον μὴ δυνηθεὶς ἐς τὴν συνήθη καὶ φανερὰν ἑαυτὸν ἀνασώ 1.463 σασθαι κλίνην, νάρκῃ πεδηθέντων τῶν νεύρων τε καὶ ἁρμονιῶν ἤδη τοῦ σώματος, ἐς τὴν εἰρημένην καθίσας ἀπήλλαξεν. (Ε.) Ἐντεῦθεν δὲ καὶ ἡμῖν ἐξεγένετο ῥᾴδιον ἤδη ξυνιέναι τὴν τοῦ χρησμοῦ λύσιν, ἄδηλον οὖσαν τὸ πρότερον ἅπασιν. εὕρηται γὰρ ἐκ πολλοῦ βίβλος τῷ βασιλεῖ, ἣν ὁ γεγραφὼς ἄδηλος ἦν τὸ παράπαν γράμματά τε αἰνιγματώδη καὶ ἀμυδρά τινα δι' εἰκόνων γνωρίσματα φέρουσα τῶν μελλόντων ἀεὶ βασιλεύειν. ἐν ᾗ τὰ μὲν τῆς γνώμης καὶ περινοίας τοῦ τοιούτου βασιλέως γνωρίσματα ξύν τε ἄλλοις καὶ ἡ τῆς ἀλώπεκος ἐδείκνυ εἰκών· τῆς δὲ τελευτῆς, ἐν τοιούτῳ κειμένη τόπῳ καθέδρα καὶ δύο παριστάμενα μελανειμονοῦντα μειράκια, ἀπερικαλύπτους ἔχοντα πάντῃ τὰς σφῶν αὐτῶν κεφαλάς. τὸ οὖν μελανειμονεῖν καὶ τὸ ἀσκεπεῖς εἶναι καὶ τὸ δύο τὰ μειράκια φανῆναι ἐδήλου τῷ βασιλεῖ τὸ τοῦ μέλανος ῥάκους ἔνδυμα καὶ τὴν στέρησιν τῆς βασιλικῆς καλύπτρας καὶ τὴν ἐπὶ τούτοις διετίαν. δύο γὰρ ἔτη συνέζησε τοῖς τοιούτοις ῥάκεσιν. καὶ οἶμαί γε μὴ διαμαρτάνειν ἐμὲ τῆς προσηκούσης λύσεως, τοιαῦτα περὶ τοῦ χρησμοῦ διεξιόντα. (΄.) Ἅμα δ' ἡλίῳ τὸν ἐκείνου νεκρὸν ἐς τὴν μονὴν τοῦ Λιβὸς ἐπικεκλημένην ἀπήνεγκαν, ἣν ἡ μήτηρ αὐτοῦ Θεοδώρα ἡ δέσποινα ἀνεκαίνισεν. ἔνθα δὴ καὶ τὸ πένθος κατ' ἔθος ἐπὶ ἐννέα ἡμέρας τετέλεσται. 1.465 α΄. * Τῇ μέντοι δευτέρᾳ τοῦ πένθους ἡμέρᾳ προτραπεὶς ἔγωγε ὑπὸ τῆς θυγατρὸς τοῦ βασιλέως τῆς Κραλαίνης, ἅτε τοῦ πένθους προεξαρχούσης, ᾆσαί τινα θρῆνον ἀπὸ γλώττης αὐτοσχεδίως προσήκοντα τῷ καιρῷ, ἐπὶ τῇ τοῦ πλήθους ἀθροίσει παρελθὼν ἔλεξα τοιάδε. (Β.) "1Τὸ μὲν τῆς συμφορᾶς μέγεθος, ὦ παρόντες, σιωπᾶν ἡμᾶς ἀναγκάζει καὶ ὥσπερ νενεκρωμένα φέρειν 1.466 καὶ γλῶτταν καὶ ἀκοὴν καὶ διάνοιαν, τῆς ζωτικῆς τοῦ ἡμετέρου ἡλίου ἀκτῖνος σβεσθείσης καὶ ὑπὸ γῆν καταδύσης. ἀλλ' ἡ θορυβοῦσα καὶ καταπλήττουσα τὴν οἰκουμένην μεγάλη τῆς λύπης βροντὴ μάλα ἄτοπον αὖθις ἐνταῦθα τὴν σιωπὴν ἀπελέγχει. ποῦ γὰρ εἰκὸς, οὐρανοὺς μὲν βοᾶν ἄνωθεν τῶν θρήνων τὸ μέγεθος, ὅτι τοὺς ἑαυτῶν ἔσβεσαν


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ὀφθαλμοὺς ἥλιον καὶ σελήνην, γῆν δὲ κάτωθεν ὡς ὁρᾶτε σειομένην καὶ θάλασσαν καταιγίζουσαν ἐναργῶς ἀπαγγέλλειν, παγκόσμιον εἶναι τὴν τῆς συμφορᾶς αἴσθησιν, ἡμᾶς δὲ σιωπῇ τὴν τοσαύτην ἀνέχεσθαι φέρειν ζημίαν; ἀλλ', ὦ γῆς ἥλιε, ποῦ γῆς ἔδυς, καταλιπὼν ἡμᾶς τῷ παγετῷ νεκροῦσθαι τῶν συμφορῶν; ὦ κοινὴ τῶν Ῥωμαίων ψυχὴ, ποῖ ποτε ἤρθης; φεῦ τῆς δρεπάνης τοῦ χρόνου, οἵαν τῆς οἰκουμένης ἀπηνῶς ἐξεθέρισε κεφαλὴν, οἷον τῶν πόλεων ἐξώρυξεν ὀφθαλμόν; ὢ τίς τῶν κοινῶν πραγμάτων ἔσβεσε τὴν μεγάλην λαμπάδα; ὢ τίς τὸν τοῦ καλοῦ παντὸς εὐεργέτην ἐξαίφνης ἡμᾶς ἀπεστέρησεν; ἐκεῖνος ἦν ὁ τῆς βασιλικῆς εὐταξίας θεμέλιος· ἀλλὰ νῦν κεῖται βραχεῖ καλυπτόμενος λίθῳ. ὢ οἵαν πικρίας ἀνέφλεξε κάμινον ταῖς ἁπάντων καρδίαις. ἐκεῖνος ἦν ὁ νύκτας ὅλας ἐγρηγορώς τε καὶ ἄγρυπνος διαμένων, ὡς μὴ τῶν Ῥωμαϊκῶν πραγμάτων κλαπῇ τὸ συμφέρον· ἀλλὰ νῦν ἐν τάφῳ τὸν μακρὸν ὕπνον ὑπνώττει. ἐκεῖνος ἦν ἡ εὔστροφος καὶ μέλιτος γέμουσα γλῶσσα, τὸ πάσης καὶ παντοίας φρονήσεως ὄργανον· ἀλλὰ κεῖται νῦν τὴν μακρὰν σιωπὴν σιωπῶν. ὢ δεινῆς ἀγγελίας, ἣ ταχέως διερχομένη γῆν ὁμοίως 1.467 καὶ θάλασσαν τὰς ἁπάντων πλήττει ψυχὰς ξίφους παντὸς χαλεπώτερον. ἐκεῖνος ἦν τὸ μέγα τῆς οἰκουμένης κλέος καὶ τὸ τῆς παιδεύσεως κράτιστον ἀρχέτυπον· ἀλλὰ νῦν βραχεῖα κόνις τοῦ ἐκείνου καταχορεύει σώματος. ἐκεῖνος ἦν τὸ γλυκὺ τῶν ἐν γῇ γλωσσῶν ἁπασῶν διήγημά τε καὶ περιλάλημα· ἀλλὰ νῦν ὁ πικρὸς ἐκείνου κατετυράννησε θάνατος. ἀλλ' ὢ πόθεν ἐξαίφνης ἡμῖν τὸ τοσοῦτον ἀνεῤῥάγη τῶν συμφορῶν πέλαγος, θαλάσσης ἁπάσης ὑπάρχον πικρότερον; πόθεν ἡμῖν ἐπιόντες οἱ τοσοῦτοι τῶν δεινῶν χειμῶνες καὶ κλύδωνες τοὺς ἡμῶν ἐτάραξαν λογισμοὺς καὶ πρὸς τὴν τῶν ἀναισθήτων φύσιν ἐπείγεσθαι συνωθοῦσι; τίς ὁ τοσοῦτος κλόνος καὶ βρασμὸς τῶν ἀνθρώπων; μὴ κεραυνῶν ἐξαισίων οὐρανόθεν πολλῶν ὁμοῦ συῤῥαγέντων πληγή τις ἐνέσκηψε τοῖς ἀνθρώποις ἀφόρητος καὶ τοὺς μὲν εἰς γῆν κατήνεγκε, τοὺς δ' ἡμιθνῆτας κατέλιπε φέρεσθαι; ἦν ἄρα καὶ καθ' ἡμῶν, ὡς ἔοικε, τῶν δυστήνων πληγὴ ταμιευομένη τῷ χρόνῳ, πολλῶν κεραυνῶν αἰθερίων ἀντάξιος, τὴν τοῦ βασιλέως φημὶ συμφοράν. νῦν ἔδει πάντας ἀνθρώπους, βροντῆς μεγάλης ἀνειληφότας ἐνταῦθα φωνὴν, συμφωνίαν τινὰ πεποιηκέναι παγκόσμιον καὶ κοινὸν ἀνεγεῖραι μέγιστον θρῆνον, ἵν' ἀρκοῦσαν τὴν ἔνδειξιν οὕτω τὸ πάθος ἴσως προσλάβῃ. νῦν ἔδει τοὺς μεγέθει καὶ κάλλει διαπρεπεῖς τῶν ἀστέρων ἐφ' ἓν συνδραμόντας διαγράψαι καὶ ἀσφαλέστατα ἐγχαράξαι τῶν τοῦ βασιλέως ἡμῶν γνωρισμάτων τὰ κάλλιστα, ἵν' ὥσπερ τὴν τοῦ θεοῦ διηγοῦνται δόξαν οἱ οὐρανοὶ, οὕτω καὶ τὸ τούτου διατρανοῦντες εἶεν μνημόσυνον ἐν πᾶσι τοῖς 1.468 αὐτῶν ἐξελιγμοῖς ἀεὶ καὶ περιφανέστατον αὐτοκρατορίας ἀρχέτυπον τοῦτον προβάλλοιντο τοῖς ἑξῆς. ἐκεῖνος γὰρ ἦν ἡ τῆς βασιλείας εὐθύτης καὶ στάθμη· ἐκεῖνος ἦν ἡ τῆς ἱερωσύνης αἰδὼς καὶ σεμνότης καὶ ὁ τῆς ἐκκλησίας φαιδρότατος λύχνος· ἀλλὰ νῦν τῷ τοῦ τάφου μοδίῳ συγκρύπτεται. ἐκεῖνος ἦν ὁ καθάπερ ὁλκάδα μεγάλην σαλευομένην τὴν ἐκκλησίαν στηρίξας καὶ τοὺς ταύτης εἰς γαλήνην τρέψας χειμῶνας καὶ ἀεὶ τῶν ταύτης δογμάτων ἱστάμενος πύργος ἀκλόνητος· ἀλλὰ νῦν ἐς ᾅδου πυθμένας φεῦ κατενήνεκται. ἐκεῖνος ἦν ὁ τοῦ ἤθους κανὼν, ἡ τοῦ ἀνθρωπίνου εἴδους εὐκοσμία· οὗ καὶ ἡ σιωπὴ πολλῷ βελτίων ὑπῆρχε τῶν ἄλλων λαλούντων παραίνεσις. ἡ γάρ τοι φύσις εὐθὺς βασιλικόν τε καὶ μεγαλοπρεπείας μεστὸν τὸ εἶδος ἀρχῆθεν ἐνήρμοσε, κάλλει τε καὶ ἐμβριθείᾳ τῇ προσηκούσῃ ταύτην κεράσασα καὶ οἱονεί τινα στήλην κατεσκευακυῖα. αἰδοῦς καὶ σεμνότητος· οἷς ἅπασιν ἐπέπρεπέ τε καὶ ἐπεκόσμει τό,τε ἱλαρὸν καὶ τὸ εὐμενὲς, ὅλον χαρίτων γέμον καὶ, ἵν' εἴπω, ὅλον μεστὸν ἀνθέων ἠρινῶν· ἀλλὰ νῦν κόλποι γῆς σὺν ἀκοσμίᾳ πικρῶς ἐμερίσαντο. ἀλλ' ὢ τῆς ἀδίκου ταύτης τῶν συμφορῶν τυραννίδος· ὢ βαθείας νυκτὸς, ἣ τοὺς ἡμῶν ὀφθαλμοὺς συσκιάζουσα ὅπη πλανώμεθα βλέπειν οὐ συγχωρεῖ. ὢ πόθεν οἱ τοσοῦτοι καταῤῥαγέντες τῶν δεινῶν ἀπαρκτίαι καὶ νότοι, καθάπερ ἐξ ὁρμητηρίου κοινοῦ, τὰς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἡμῶν δυσμενῶς συγκυκῶσι ψυχὰς καὶ ῥιζόθεν ἐπείγονται ἀνασπᾷν. ὢ τίς τῶν τοσούτων καλῶν τὸν λειμῶνα τὸν εὐανθῆ λάθρα καὶ νυκτὸς ἐπελθὼν ἐξέτεμε; τίς τὸν πάσης ψυχῆς ναυαγούσης λιμένα κατέχωσεν; ὢ πόσοι κλαυθμοὶ καὶ στεναγμοὶ καὶ κραυγαὶ πρὸς αἰθέρα σήμερον ἐκ τῆς γῆς ἀνατρέχουσι, καθάπερ καπνὸς ἐκ 1.469 μεγάλου πυρὸς τῆς καρδίας ἑκάστων ἀναῤῥηγνύμενοι; ὢ πόσοι τὰς τοῦ Νείλου πηγὰς προθυμοῦνται ζητεῖν εἰς δακρύων φορὰν, ὡς ἂν οὑτωσί πως δυνηθεῖεν ἐξισῶσαι τοὺς θρήνους τῷ κατασχόντι τὴν οἰκουμένην πάθει; ὦ τὰ πολυειδῆ τῶν ἁπάντων ὀνόματα κτησάμενος μόνος αὐτὸς, βασιλεῦ. οἱ μὲν γάρ σε πατέρα καλοῦσι κοινόν· οἱ δὲ κηδεμόνα τε καὶ προστάτην καὶ ὀρφανίας ἐπίκουρον· οἱ δὲ λιμένα σωτήριον καὶ στεῤῥὸν προμηθέα· οἱ δὲ γυμναστήν τινα καὶ διδάσκαλον πάσης ἰδέας καλοῦ καὶ παγκόσμιον δικαστὴν τῶν ἐν κόσμῳ παντοίων πραγμάτων. σκώληξ τὴν φύσιν τῶν ξύλων πολλάκις διέφθειρεν· ἡμῶν δὲ φθείρει νῦν τὰς καρδίας πικρότερον ὁ τοῦ βασιλέως ἔμμονος λογισμός. τὰς ἀμπέλους καὶ τὰ λήϊα πολλάκις ἐλυμήναντο χάλαζαι καὶ ἄνθρακες οὐρανίου πυρός· ἡμᾶς δὲ πλέον ἡ τοῦ βασιλέως ἐλυμήνατο στέρησις. κῆπος ἐκεῖνος ἦν παντοίοις βρίθων καρποῖς καὶ ὥσπερ ἔαρος ὥραν ἄγων ἀεί· ἀλλὰ νῦν αὐτὸν ἐμάραναν, φεῦ τοῦ πάθους, αἱ τοῦ θανάτου φλόγες. ὦ πολλῶν πόλεων οἰκιστὰ, κατά τε Ἀσίαν φημὶ καὶ Εὐρώπην· οὐκ ὀκνήσω δ' εἰπεῖν καὶ ταυτησὶ τῆς βασιλίδος τῶν πόλεων, ἣν πάλαι μὲν Κωνσταντῖνος ὁ μέγας ἐκεῖνος καὶ σοί γε ὁμότροπος ἔστησε, σὺ δ' ἐπὶ γόνυ κλιθεῖσαν ἀνώρθωσας. πᾶσα μὲν γὰρ ἡ τῆς προτέρας ἐκείνης οἰκοδομῆς καλλονὴ καὶ τερπνότης δουλείας ἀλλαξαμένη ζυγὸν ἐτεθνήκει καὶ ἀπεῤῥύη· καὶ γενέσθαι τὸν βασιλικὸν ἐξεγένετο θρόνον Λατίνων λῃστῶν καταγώγιον καὶ βεβήλων ἑστίαν. ἀλλὰ δεύτερος αὐτὸς καταστὰς οἰκιστὴς, βασιλεῦ, ἐκ μέσου πεποίηκας τά τε τῆς 1.470 ἐκκλησίας εὐθὺς καὶ τῶν δογμάτων ἐγκλήματα καὶ φερομένην ἐστήριξας ταύτην ἐς ἅπαν τὸ κράτιστον· τείχεσι δὲ καὶ ναοῖς καὶ οἰκίαις ἐς τὸ πρὶν ἀνήνεγκας κάλλος αὐτήν. ὢ τοῦ μεγάλου τοῦδε καὶ ἱεροῦ χρέους, ὃ πάντες οἱ ἐφεξῆς σοι ὀφείλουσιν εὐσεβεῖς, καθάπερ εὐεργέτῃ κοινῷ καὶ ἀρχηγῷ τῆς ὀρθῆς ἡμῶν πίστεως. ὢ πῶς ὁ τοῦ παντὸς ἄξιος ὡς ἄνθος παρῆλθες ἀγροῦ; ὢ πῶς ἐπὶ σοὶ καὶ τὰ στοιχεῖα θρηνοῦσι, βασιλεῦ, καὶ δέος μὴ ἡμᾶς κατακλύσωσιν; ὢ πῶς ἐπὶ τῷ σῷ πάθει καὶ τείχη πίπτουσι πόλεων καὶ κίονες ἐκριζοῦνται πάλαι πολὺν ἤδη τὸν χρόνον βεβαίως ἱστάμενοι; ἀλλὰ δότε μοι τὴν τὸν μέγαν ἡμῶν θησαυρὸν κατέχουσαν κιβωτὸν, ἵνα θεάσωμαι, πῶς ὑπερπλέειν τὰ πολλὰ τῶν δακρύων δύναται ῥεύματα. ἀρκέσουσι γὰρ οἶμαι ταύτην ἀνέχειν ἃ πάντες ἄνθρωποι νῦν κρουνηδὸν προχέουσι δάκρυα, καθάπερ τὴν τοῦ Νῶε κιβωτὸν τῶν ὑδάτων ἐκεῖνα τὰ πλούσια ῥεύματα. ἀλλ' ἐκείνη μὲν ἐκ τῶν κατακλυσμῶν οὓς ἔφερεν, ἔσωζεν· αὕτη δὲ τοὐναντίον εἰς μυρίων κατακλυσμῶν ἡμᾶς συνήλασε κλύδωνας. ὢ φρικτοῦ συναντήματος· ὢ ξένης ἑσπέρας ἐκείνης, ἣ τἀναντία μοι τῆς Δαβιδικῆς ἔδειξεν ᾠδῆς. "1τὸ ἑσπέρας γάρ μοι ηὐλίσατο ἀγαλλίασις καὶ εἰς τὸ πρωῒ κλαυθμός."2 βαβαὶ τῆς ἐναλλαγῆς ταυτησὶ τῆς ἀτόπου, ἥ μοι παντὸς ἀψινθίου πικρότερον ἐκέρασε τὸν κρατῆρα. ὢ νυκτὸς ἐκείνης ἀσυμπαθοῦς, πῶς ἐς τὸν σφόδρα συμπαθῆ καὶ φιλάνθρωπον ἐκεῖνον ἄνθρωπον 1.471 δυσμενὴς καὶ ἀφιλάνθρωπος ἔδοξε, πᾶσαν εὔνοιαν καὶ αἰδῶ κατόπιν ὥσπερ ἐς ἀβύσσους καὶ ῥεύματα ποταμῶν ἀποῤῥίψασα; ὦ μέγιστε θησαυρὲ τῶν καλῶν, βασιλεῦ, ἵνα τί τοὺς ποθοῦντας ὡς μισοῦντας κατέλιπες; πάντες γὰρ ὡς ἐκ κοινοῦ πρυτανείου τῶν σῶν ἀπολελαύκασιν ἀγαθῶν. διὰ σοῦ γὰρ καὶ οἱ εὐγενεῖς εὐγενέστεροι καθεστήκασι καὶ ὁ τῶν ἱερέων δῆμος σεμνότερος καὶ ὁ τῶν σοφῶν κατάλογος σοφώτερος καὶ τὰ τείχη τῶν πόλεων ἰσχυρότερα καὶ ἁπλῶς εἰπεῖν ἅπαντες διὰ σοῦ βελτίους γεγόναμεν ἑαυτῶν. ἀλλ' ὢ τῆς ἀμετρήτου καὶ ἀνεικάστου πλοκῆς τῶν δεινῶν. οἴχεται ἡ τοῦ κόσμου πολιτεία· οἴχεται ὁ τῶν πόλεων κόσμος· οἴχεται τὸ τῶν ῥητόρων καὶ φιλοσόφων γυμνάσιον τὸ πᾶσαν ὑπερβαῖνον Ἀκαδημίαν καὶ Λύκειον καὶ Στοὰν Ἀττικήν. ὢ τίς δώσει ταῖς


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἡμῶν κεφαλαῖς ὕδωρ καὶ πηγὰς δακρύων τοῖς ἡμῶν ὀφθαλμοῖς, ἵνα τὰ μείζω τῶν τῆς Ἱερουσαλὴμ νέα θρηνήσωμεν πάθη. δότε μοι τὴν Ὀρφέως ἐν τραγῳδίαις δύναμιν, ἵνα καὶ τὰς ἀψύχους φύσεις κινήσω πρὸς οἶκτον τοῦ πάθους. δότε μοι τοὺς ἐν ποταμοῖς Βαβυλῶνος ἐκ βάθους καρδίας πάλαι θρηνήσαντας τὴν Σιὼν, ἵνα καὶ τὰς ἡμετέρας ὀδύνας ἀξίως ἐκεῖνοι πενθήσωσιν, ἃς ὁ τοῦ βασιλέως ἡμῖν ἐπήνεγκε θάνατος. ὢ πῶς παρέβλεψεν ἡμᾶς ὁ ἡμέτερος ἥλιος καὶ παρὰ πᾶν τὸ εἰκὸς ἀπεπλάνησε καὶ ἀντὶ τῆς ἑῴας ἀνατολῆς ἑῴαν τὴν δύσιν πεποίηται. ὢ ἵνα τί δέδοται τοῖς ἐν πικρίᾳ φῶς, ζωὴ δὲ ταῖς ἐν ὀδύναις ψυχαῖς; θανεῖν αἱρετώτερον, ἢ διηνεκῶς ἄρτον ὀδύνης ἐσθίειν καὶ πόμα πίνειν κλαυθμοῦ. ἀλλ' ἐκεῖνον μὲν, ὦ παρόντες, ἀμει 1.472 βομένη δικαίως ἡ θεία καὶ ἀκήρατος διεδέξατο βασιλεία· ἡμεῖς δ' ὀρφανοὶ καταλελειμμένοι τὸ μὲν στένειν ἐλεεινῶς καὶ δακρύειν οὐδέποτ' ἂν οἶμαι παυσαίμεθα, ἕως ἂν ἐν ταῖς ψυχαῖς ἡμῶν τὴν τῆς ἐκείνου στερήσεως περιφέρωμεν μνήμην· παύεσθαι δ' ἀνάγκη τοῦ λέγειν. πάντα γὰρ λόγον οἱ τοῦ βασιλέως ὑπερβαίνουσι θρῆνοι."2 (Γ.) Ταῦτα διεξιόντος μου θρῆνος ὁμοῦ παρὰ πάντων καὶ ὀλοφυρμὸς ἠγείρετο μέγιστος καὶ πολυειδὴς καὶ, οἷον εἰπεῖν, ἄχρις αἰθερίων ἁψίδων φθάνειν δυνάμενος. πάντες γὰρ ὡς πατέρα τοῦτον ἐπόθουν τε καὶ ἐπένθουν. ὁ γὰρ μακρὸς χρόνος κόρον μὲν ἴσως, ὡς ἄν τις φαίη, ποιεῖ παρόντος τοῦ πράγματος· πολλὴν δ' ὅμως ἐνίησι καὶ τὴν σχέσιν ταῖς τῶν χρωμένων ψυχαῖς, ὡς καὶ ἀπιόντος τοῦ πράγματος μὴ συναπαίρειν τὴν μνήμην, ἀλλὰ παραμένειν ἐπὶ πολὺ ταῖς τῶν λειπομένων ἀνθοῦσαν ψυχαῖς, ὥσπερ ἐν ἠρινῇ καταστάσει, τῆς τέως δυσμενοῦς κηλῖδος φύσιν ἐχούσης διαδιδράσκειν ὡς τὰ πολλά. (Δ.) Τέταρτον μὲν δὴ καὶ ἑβδομηκοστὸν ἔτος ἀπὸ γενέσεως αὐτῷ τελευτῶντι ἠνύετο, πεντηκοστὸν δ' ἀφ' οὗ τὰ σκῆπτρα τῆς αὐτοκρατορίας ἐδέξατο. ἦν δὲ τὴν ἡλικίαν εὐμήκης, τὸ εἶδος εὐπρεπὴς καὶ λίαν αἰδέσιμος καὶ ὥσπερ ἐκ φύσεως ἔχων τὸ ἡγεμονικόν τε καὶ φοβερόν· οὐκ ἄκρατόν γε μὴν, ἀλλ' ὥσπερ τῷ ἀέρι κιρνάμενον τὸ τῆς ἡλιακῆς ἀκτῖνος φῶς χρῶμα γίνεται τούτῳ καὶ ὥσπερ μέλιτι γλυκύτης αὐτοφυὴς γίνεται ποιότης· οὕτω δὴ καὶ πραότης ἀποίητος μετά τινος θελγούσης χάριτος τοῖς ἤθεσιν αὐτοῦ κιρνωμένη χρῶμά τε ἅμα καὶ αὐτοχάλκευτος αὐτῷ ποιότης 1.473 ἐφαίνετο. πολλὴν μὲν γὰρ ἐπὶ τοῦ προσώπου τὴν εὐφροσύνην ἡ φύσις ἐκένωσε, πολλὴν δ' ἐπὶ τοῖς ὀφθαλμοῖς τὴν γαλήνην, λαμπρὰν δ' ἐπὶ τῇ γλώττῃ τὴν τῆς ἠχοῦς ἁρμονίαν. τῷ δὲ ἤθει παντὶ τὸ ἱλαρὸν καὶ σεμνὸν ἐφαπλώσασα τερπνόν τι καὶ ἔνθεον παρεσκεύαζεν ἐπιπρέπειν. ἃ πάντα μάλα σαφεῖς τῶν σιωπώντων ἠθῶν τῆς ἐκείνου ψυχῆς ἐγίγνοντο ἄγγελοι. (Ε.) Ἵνα γὰρ τοὺς τρόπους τῆς γνώμης, ὁποῖος ἐκεῖνος, παραστήσω, ἑνὸς ἢ καὶ δυοῖν τῶν ἐκείνου μνησθήσομαι. μικρὸν πρὸ τῆς τελευτῆς ἐν πενίᾳ καὶ τῇ τῶν ἀναγκαίων ἐνδείᾳ διάγων ἐπεὶ μὴ ἐδύνατο καθάπαξ τὴν τοῦ ψύχους φέρειν ἀκμὴν (χειμῶνος γὰρ τηνικαῦτα τὸ ἀκμαιότατον ἦν), σκέπην ἐπέταξεν αὐτῷ γενέσθαι νυκτερινὴν ἐξ ἀλωπεκῆς. πάσης οὖν τῆς αὐτοῦ περιουσίας ἀριθμηθείσης τριῶν νομισμάτων οὐχ εὕρηται πλέον οὐδέν. ὅθεν τούτων μόνων ἐξ ἀνάγκης ὤνιον γενέσθαι, ὃ τῆς ψυχρότητος μεμελέτηται παραμύθιον. μετεώρου δὴ τῆς μελέτης οὔσης, προσελθών τις τῶν πάλαι οἰκειακῶν τὸν τῆς ἐνούσης πενίας ἐξετραγῴδει κίνδυνον βιαίως ἐπιτιθέμενον καὶ πρὸς θάνατον ὁλοσχερῶς συνωθοῦντα. τούτῳ καμφθεὶς ἐδεδώκει τὰ τρία ἐκεῖνα νομίσματα, συμφορῶν ἀλλοτρίων τὸν ἑαυτοῦ προελόμενος θάνατον, ὅσον τὸ ἐπ' αὐτόν. ἓν μὲν δὴ τοῦτο τῆς αὐτοῦ συμπαθοῦς γνώμης τεκμήριον. δεύτερον δέ· ἐπεὶ γὰρ ἰατρῶν μὲν παῖδες αὐτῷ τὴν πολυήμερον ψυχροποσίαν ἀπηγόρευον, ὁ δ' οὐ προσίετο τὴν οἰνοποσίαν, μέσην βαδίσας νομίσματος ἑνὸς μόλις ἐκ δανείου κἀκείνου παρευρεθέντος ὤνιον ἔσχε μέρος τι τῶν ἐξ Αἰγύπτου καὶ Ἀραβίας κομιζο 1.474 μένων γλυκέων ὑγρῶν, ἵνα γε τούτῳ κουφίζῃ τὸ τῆς ψυχροποσίας ἄκρατον. ἀλλὰ πρὶν γεύσασθαι τούτου, πρόσεισιν αὖθις ἕτερός τις τῶν πάλαι οἰκειακῶν, μακροῦ νοσήματος βραχύ τι ζητῶν


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

παραμύθιον. ὁ δὲ μὴ ἔχων οὐδὲν, ὅτῳ τὸν ἄνθρωπον παραμυθήσαιτο, δοθῆναι προσέταξε καὶ τούτῳ τὸ τῆς ἑαυτοῦ ἀσθενείας εἵνεκα παρασκευασθὲν ἐκεῖνο φάρμακον. τοσοῦτον αὐτῷ τῆς συμπαθείας περιῆν καὶ ῥᾷστα πρὸς τοὺς κακῶς ἔχοντας κάμπτεσθαι. (΄.) Ἀλλὰ καὶ τελευτήσαντι χρέος μὲν εὕρηται, νόμισμα δ' οὐδὲν οὐδαμῆ. ἀλλ' οὗτος μὲν τοιοῦτον ἔλαχε τέλος. ἔτος δὲ τότ' ἐνειστήκει τῆς τοῦ κόσμου γενέσεως ἑξακισχιλιοστὸν ὀκτακοσιοστὸν τεσσαρακοστόν. τηνικαῦτα δὲ καὶ τῷ νέῳ βασιλεῖ Ἀνδρονίκῳ ἕκτον καὶ τριακοστὸν ἠνύετο ἔτος ἀπὸ γενέσεως. β΄. Ἐκεῖθεν ἡμέραι τριάκοντα μεταξὺ παρεῤῥύησαν καὶ ὁ μέγας τετελεύτηκε λογοθέτης ὁ Μετοχίτης, τρισὶ μεγίστοις δεινοῖς κυριευθεὶς τό,τε σῶμα καὶ τὴν ψυχήν. ἐπιέζετο μὲν γὰρ ἐκ πολλοῦ τῷ τῆς στραγγουρίας νοσήματι. κρατηθέντων δ' ἤδη καὶ τῶν υἱέων εἰς δεσμωτήριον κραταιότερον εἰργάσατο καὶ ἐντεῦθεν λύπη τὸ τοῦ πάθους δριμύ. ἐκ τοῦ σύνεγγυς δὲ καὶ ὁ τοῦ βασιλέως ἐπελθὼν θάνατος καὶ βεβαίαν ἤδη κομίσας αὐτῷ τὴν τῶν ὅλων ἀπόγνωσιν ἀνίσχυρον ἐς τέλος τὴν φύσιν πεποίηκε, χαλάσας τοὺς τόνους τῶν καιριωτέρων ὀργάνων καὶ τὰς ζωτικὰς παραλύσας δυνάμεις. ὅθεν τὸ μοναδικὸν ὑπελθὼν σχῆμα μετήλλαξεν. ἐπεὶ δὲ μέρος κἀγὼ τῶν ἐκεῖνον θρηνούντων θερμῶς, ὡς εἰκὸς, ἐγιγνόμην, παρελθὼν μονῳδίαν διῆλθον τοιάνδε. 1.475 (Β.) "1Ἐμοὶ δὲ, ὦ παρόντες, ταὐτόν τι συνέβη παθεῖν, ὥσπερ ἂν εἴ τις ναῦς ἐξαίφνης ἐναντίοις ἐντετυχηκυῖα τοῖς πνεύμασιν ἐπὶ πρύμναν ἐκινδύνευσε καταδῦναι· ἔπειτα πρὶν ἢ δυνηθῆναι στῆναι καλῶς, ἕτερον ἐπιδραμὸν ἐκ πλευρᾶς κλυδώνιον ὑποβρύχιον ἠνάγκασε ταύτην γενέσθαι. πρὶν γὰρ τὴν προτέραν καὶ μεγίστην ἐκείνην τοῦ βασιλέως ἀποτινάξασθαι συμφορὰν, ἑτέρα μοι σήμερον αὕτη ἐπιδραμοῦσα, καθάπερ ἐπὶ κλύδωνι κλύδων κἀπὶ χειμῶνι χειμὼν, δεινῶς κατεβάπτισε καὶ πρὸς ἀβύσσους πυθμένας φεῦ κατήνεγκε συμφορῶν. ὢ πῶς οὐκ εὐθὺς ἀπέπτης, ψυχὴ, ἀλλ' ἔτι τῷ δυστήνῳ τούτῳ παρέμεινας σώματι; ὢ πῶς οὐχ ὑπὸ τῶν ἀλγεινῶν διεῤῥάγη μοι τὸ σῶμα, ἀλλ' ἀντέχειν ἔτι δύναται πρὸς τοσαύτας κυμάτων ἐπαγωγάς; ὢ δυστυχής μοι γλῶττα, οἵας σοι τὰς μονῳδίας ὁ χρόνος ἐταμιεύσατο; φεῦ τῆς τῶν δεινῶν συνεχείας· βαβαὶ τῆς ἐναλλαγῆς τῶν πραγμάτων. οὓς γὰρ ἀεὶ κατὰ τῶν συμφορῶν προβόλους εἴχομεν ἀῤῥαγεῖς καὶ λαμπροὺς παρηγόρους, οὗτοι στρατεύματα συμφορῶν ἐφ' ἡμᾶς ὁπλίζουσι σήμερον. ἡμεῖς δὲ καρτεροῦμεν ἔτι καὶ μονῳδεῖν ἀνεχόμεθα. ποῦ σοφῶν συναυλίαι καὶ λογίων ἅμιλλαι καὶ σεμνὰ παλαίσματα; ποῦ ῥητόρων πανηγύρεις καὶ κρότοι καὶ θέατρα πολλῷ τῶν Παναθηναίων ἐκείνων λαμπρότερα; φροῦδα τὰ πάντα, κόνις ἅπαντα. ὦ κάκιστε χρόνε, πῶς ἐκ μέσης ἠνέσχου τῆς οἰκουμένης τὴν τῆς σοφίας μητρόπολιν ἐξελεῖν ἀπηνῶς; πῶς τὴν τῶν λόγων καθεῖλες ἐπιβουλεύσας ἀκρόπολιν; πῶς οὕτω νεανιεύῃ καθ' ἡμῶν συνεχῶς, μήτε τινὰ οἶκτον λαμβάνων, μήτε κορεν 1.476 νύμενος ὑπὸ τῆς τρυφῆς τῶν δεινῶν; χθὲς ἀφεῖλες ἡμῶν τὸν μέγιστον βασιλέα· σήμερον τὸν δεξιὸν ὑπηρέτην, τὸν Νέστορα τὸν βουληφόρον, τὸν μόνον τοσούτῳ βασιλεῖ δυνάμενον ἐξαρκεῖν. χθὲς τὸν τῶν Χαρίτων θάλαμον· σήμερον τὰ τῶν Χαρίτων προπύλαια· χθὲς τὸ ἔαρ τῶν ἀγαθῶν· σήμερον τὴν τὸ τοιοῦτον ἔαρ ἀγγέλλουσαν χελιδόνα· χθὲς τὸν μέγαν καὶ ἀπαράμιλλον νοῦν· σήμερον τοῦ τοιούτου νοῦ τὸν ἐναρμόνιον κήρυκα· χθὲς τῆς χρυσῆς καὶ μεγάλης γλώττης τοὺς λόγους· σήμερον τὴν Ἀκαδημίαν καὶ τὸν Περίπατον καὶ τὴν Στοὰν ἐκείνης τῆς γλώττης κἀκείνων τῶν λόγων· χθὲς τὰς Μούσας· σήμερον τὸ ζῶν καὶ κινούμενον μουσεῖον· χθὲς τῆς εὐσεβείας καὶ τῶν δογμάτων τὸν κράτιστον πρόβολον· σήμερον τὴν δογματικὴν πανοπλίαν· χθὲς τὸν τῆς ἱερωσύνης κανόνα τε καὶ τὴν στάθμην· σήμερον τὴν ἱερὰν ὁπλοθήκην. ἀλλ' ὦ πόσοι κλαυθμοὶ καὶ στεναγμοὶ συνεληλυθότες εἰς ἓν ἐξισωθῆναι δυνηθεῖεν ἂν τοῖς νῦν κατασχοῦσιν ἡμᾶς πάθεσιν; οἶμαι γὰρ, οἶμαι, ἂν θάλασσα μὲν ἅπασα μεταβάλῃ πρὸς φύσιν δακρύων, ποταμοὶ δ' αὖ, ὁπόσοι τὴν γῆν περικλύζουσι, πρὸς δακρύων τραπῶσι φορὰν, οὐδ' οὕτως ἂν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἱκανῶς δειχθείη τὸ μέγεθος ὅσον τῶν νῦν συμφορῶν. ἐκεῖνος ἦν ὁ τῆς ἡγεμονικῆς τῶν Ῥωμαίων ὁλκάδος ἄριστος κυβερνήτης· οὗτος ὁ τὴν Ἑλίκην καὶ τὸν πόλον διασκοπούμενος ἄριστα. ἐκεῖνος ὁ τὰς αἰθρίας καὶ τὰ νέφη τῶν πόλεων καὶ τοὺς ἐκεῖθεν χειμῶνας προβλέπων· οὗτος ὁ τὰ ἱστία καὶ τοὺς κάλως καὶ τὰ πρυμνήσια διατιθέμενος εὖ. ἐκεῖνος ὁ τῆς φρονήσεως πρύτανις· οὗτος ὁ τῆς φρονήσεως ἐκείνου διανομεὺς δεξιός. ἀλλ' 1.477 ἄμφω νῦν ὁ θάνατος ὀξέως ἐπιδραμὼν, ὁ δυσμενὴς ὁπλίτης, φεῦ τοῦ πάθους, εἰς γῆν καὶ κόνιν κατέχωσεν. ὢ πῶς οὐ γῆν μόνον, ἀλλ' ἤδη καὶ αὐτοὺς οὐρανοὺς καὶ ἀστέρας ὀξέως τὰ νῦν περιέδραμε πάθη καὶ αὐτῆς τῆς ἀνωτέρας ἁψάμενα λήξεως; ἀλλὰ δεῦρο δή μοι πᾶς ὁ τῶν λειπομένων σοφῶν χορὸς, εἴπερ τινὲς λείπονται, θρηνήσατε τὴν πηγὴν τοῦ λόγου φραγεῖσαν. θρηνήσατε σιγῶσαν τὴν πάνυ τοι ἐμμελῶς ἀττικίζουσαν πρότερον γλῶσσαν καὶ τὸ γλυκὺ νέκταρ ἐκείνης ἀθρόως εἰς γῆν καταῤῥεῦσαν. θρηνήσατε στόμα ἐκεῖνο, ὃ χθὲς μὲν καὶ πρότερον οἱονεί τι σίμβλον κατεφαίνετο μέλιτος, νῦν δὲ θανάτου κηφῆνες διέφθειραν. θρηνήσατε τὸν τὸ Ῥωμαίων κλέος τῇ σοφίᾳ σεμνύνοντα πλέον, ἢ τὸ τῶν Ἀθηναίων πάλαι Σωκράτεις καὶ Πλάτωνες. θρηνήσατε τοὺς τῆς σοφίας κρατῆρας ἁπάσης ἐν βραχεῖ κενωθέντας εἰς γῆν. ἀλλ' ὢ τίς ἐκ μέσης τῆς οἰκουμένης τὸν τῶν Μουσῶν ἀφήρπασεν Ἑλικῶνα; τίς τὸν τῆς σοφίας κατέχωσεν Ὄλυμπον; τίς τὸν λύχνον ἔσβεσε τὸν φωτίζοντα τοὺς ἡμῶν τῆς ψυχῆς ὀφθαλμοὺς καὶ καλῶς ἡμῶν τὸ τοῦ νοῦ διανοίγοντα βλέφαρον; τίς τὴν τέχνην τῶν τεχνῶν καὶ τὴν τῶν ἐπιστημῶν ἐπιστήμην διέφθειρε; τίς τὸν οὐράνιον ἄνθρωπον εἰς ᾅδου πυθμένας κατήνεγκε; πάλαι γε μὴν ἡ Ἑλλὰς τὴν τῶν λόγων ἑστίαν ἐθρήνησε τὰς Ἀθήνας, ὁπότ' ἐπιβούλως δραμὼν καθεῖλεν αὐτὰς ὁ Λακεδαιμόνιος Λύσανδρος. ἡμεῖς δ' οὐδ' ἀξίως θρηνεῖν ἔχομεν σήμερον ὅλας Ἑλλάδας αὐταῖς Ἀθήναις συγκαταδύσας. πάντα γὰρ εἷς ἀνὴρ οὗτος ἦν. ὦ Μοῦσαι καὶ λόγοι καὶ ἀρεταὶ 1.478 καὶ πᾶσα παιδεία, πῶς τὰ κρῖνα ταχέως οὑτωσί πως ἐμιμήσασθε τοῦ ἀγροῦ, ὀξέως μὲν πρὸς ὕψος καὶ κάλλος ἀρθέντα, ὀξύτερον δ' αὖ καταδύντα πρὸς μαρασμὸν καὶ φθοράν; τὸ γὰρ θεῖον ὑμῶν ἀνάκτορον, τὸ μέγα καὶ περιβόητον ὑμῶν ἐνδιαίτημα ὑπὸ γῆν καὶ φθορὰν νῦν κατελθὼν καὶ τὸ ὑμέτερον συγκατέχωσε κάλλος. οὗτος ἦν ὁ πάντας ὑπερφωνήσας φιλοσόφους καὶ ῥήτορας, ὁπόσους ὁ μακρὸς ὕμνησε χρόνος· ἀλλ' οἴμοι κεῖται νῦν ἐν κόνει καὶ χώμασιν ἄφωνος. οὗτος ἦν ὁ τῷ νῷ καὶ τῇ γλώττῃ διαμετρῶν οὐρανὸν καὶ ἀστέρας βέλτιον ἢ κατὰ πάντα κανόνα καὶ στάθμην ἀνθρώπων· ἀλλὰ νῦν βραχὺς αὐτὸν διεμέτρησε λίθος. οὗτος ἦν ἡ τῶν μεγάλων οὐρανοῦ καὶ γῆς ὁριζόντων καὶ παραλλήλων ἀρίστη διόπτρα, οὗτος ὁ κράτιστος καὶ αὐτοφυὴς ὡροσκόπος· ἀλλὰ νῦν αὐτὸν καὶ πρὸ τῆς ὥρας, φεῦ τοῦ δεινοῦ, βραχὺς ὁρίζων τῆς γῆς περιείληφεν. οὗτος ἦν ὁ πολλὴν ἐνδειξάμενος πρόνοιαν τῶν ἑξῆς ἐλλογίμων Ἑλλήνων, ὡς μὴ διακινδυνεύοιεν περὶ τὰς κρίσεις τῶν πάλαι σοφῶν· οὗτος ὁ ῥᾳδίαν τὴν τῆς ἀστροθεάμονος ἐπιστήμης σοφίαν πεποιηκώς· οὗτος ὁ τῆς Ἀριστοτελικῆς γλώττης τὰς λαβυρίνθους ἁπλώσας· ἀλλὰ νῦν αἱ ζοφώδεις τοῦ τάφου λαβύρινθοι πικρῶς περὶ αὐτὸν φεῦ ἐξελίσσονται. οὗτος ὁ τῆς ἀρίστης αἰδοῦς καὶ τῆς σωφροσύνης κανών· ἀλλὰ νῦν αὐτὸν ὁ θάνατος ἀναιδῶς ἐξέτεμε δραμών. ὢ πῶς ὁ παρὼν οὗτος χρόνος ἐν βραχεῖ πάντας ἀθρόον τοὺς πάλαι χρόνους τοῖς θρήνοις νενίκηκε; πολλοὺς γὰρ ἀμείψας ἡλίους τοσαύτην ζημίαν καθ' ὅλης τῆς ἀνθρωπίνης ἐπενεγκεῖν φύσεως μέ 1.479 χρι νῦν οὐ δεδύνηται· νῦν δ' ἐφ' ἡμῶν ῥᾷστα δεδύνηται. χθὲς μὲν γὰρ τὰ πρῶτα καὶ μέγιστα τῶν καλῶν ἐλθὼν ἀφείλετο· τὰ δὲ λειπόμενα σήμερον ἐπανελθὼν προσαφείλετο. χθὲς τὸν τῆς γῆς ἥλιον γῆς πυθμέσιν ἀπέκρυψε· νῦν δὲ καὶ τὸν ἑωσφόρον ὁμοῦ συναπέκρυψε. χθὲς τὴν μουσικὴν ἀνεῖλεν ἁρμονίαν· σήμερον τὴν μαγάδα καὶ τὰς νευράς. ὦ πῶς ὁ σιγῶντας τοὺς οὐρανοὺς εὑρηκὼς ἐκ πολλοῦ, ἔπειτα τὴν τοῦ θεοῦ διηγεῖσθαι δόξαν αὐτὸς παρεσκευακὼς, νῦν ἐν τάφῳ σιγᾷ; ὢ πῶς νεκρὸς ὢν αὐτὸς (φεῦ τῆς ἐμῆς συμφορᾶς) κινούμενόν τε καὶ ζῶν ἐμοὶ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

παραπέμπει τὸ πάθος, ὅλην τὴν ἡμέραν τὴν ἐμὴν κατατέμνον καρδίαν ξίφους παντὸς χαλεπώτερον, μᾶλλον δὲ καὶ νύκτας ὅλας, εἰ χρὴ τὸ μεῖζον εἰπεῖν; ἡμέρας μὲν γὰρ καὶ τῶν ἐντυγχανόντων ὁμιλίαι συχναὶ καὶ κάλλος οὐρανοῦ καὶ γῆς καὶ τῶν ἐν τούτοις κτισμάτων ἴσως ἀφέλκουσί τε τοῦ πάθους καὶ ἀποσπῶσιν ἐπὶ βραχὺ τὸν ἡμέτερον νοῦν· νυκτὸς δὲ σχολῆς γενομένης ἤδη κατὰ πολλὴν τοῦ κωλύσοντος ἐρημίαν αἱ πᾶσαι τῶν συμφορῶν ἀλγηδόνες ἀθρόαι δραμοῦσαι καὶ τὴν ἐμὴν μετὰ τῆς μνήμης καρδίαν συνειληφυῖαι, καθάπερ τινὲς κύνες ἄγριοι σῶμα πεπτωκὸς, ἔνθεν κἀκεῖθεν πικρῶς περιέλκουσι, φεῦ, καὶ συμπνίγουσιν. ὢ πῶς πολλάκις ἐς αὐτὸν ἔγωγε ἀπιδὼν σοφίας ἁπάσης ἐπιδημίαν ἐς ἀνθρώπους αὐτὸν εἶναι ἐνόμισα, ψυχὴν καὶ σῶμα προσειληφυίας καὶ συνδιαιτωμένης ἀνθρώποις, ἵνα σοφοὺς ἀκροατὰς συνετίσῃ καὶ τὰ τῆς ἐπιστήμης καταστορέσῃ ναυάγια; ὢ πῶς μετεμψύχωσίν τινα δοξάζειν καὶ αὐτὸς κεκινδύνευκα ἐπ' ἐκείνῳ γενέσθαι καὶ πάντων 1.480 ὁμοῦ τὰς ψυχὰς, Ὁμήρου καὶ Πλάτωνος καὶ Πτολεμαίου, καὶ ὅσοι ῥητορεύουσαν πεπλουτήκασι γλῶσσαν, ἐν ἑνὶ τῷ τούτου σώματι συνδραμεῖν καὶ διατρίβειν αὖθις ἐν βίῳ, καθάπερ ὁλκάδι μυριοφόρῳ χρωμένους αὐτῷ; ἀλλὰ νῦν ὁ τοσοῦτος καὶ τηλικοῦτος, φεῦ τῆς ἐμῆς συμφορᾶς, ᾤχετο ἀπιὼν εἰς τάφον καὶ κόνιν, πολὺν τὸν τῆς λύπης ἀνάψας πυρσὸν κατὰ τῆς ἐμῆς καρδίας. οὐ γὰρ ἠδύνατο ζῆν ἄνευ ψυχῆς καὶ πνοῆς. ψυχὴ δὲ πάντως αὐτοῦ καὶ πνοὴ, καὶ πᾶν εἴ τι ζωογονεῖν ἐπεφύκει, οὐχ ἕτερον ἦν τῶν ἁπάντων αὐτῷ, ἢ βασιλεὺς ὁ θεῖος ἐκεῖνος καὶ ὑπὲρ ἄνθρωπον ἄνθρωπος, ὃς καὶ ζῶν ἔτι ἐξαίρειν ἠπείγετο πολλῷ τῶν ἄλλων αὐτὸν, δεικνὺς ἐναργῶς, ὡς τοσούτῳ βασιλεῖ τοσοῦτον εἶναι καὶ τὸν ὑπηρέτην χρεών· τῷ φρονιμωτάτῳ δηλαδὴ τῶν ὅσοι τὴν γῆν διενείμαντο ἄνθρωποι τὸν πάσῃ σοφίᾳ πάντων ἐπέκεινα χρώμενον. καὶ νῦν δ' αὖ τῶν ἐντεῦθεν ἀπαλλαγεὶς οὐκ ἔκρινε δεῖν ἀπηρτῆσθαι τοῦτον ἐπὶ τοσοῦτον αὐτοῦ· καὶ μέντοι ταχέως προσκαλεσάμενος ταχέως καὶ προσειλήφει. εἰ μὲν δὴ οὖν ἀπελθόντος ἐκείνου ζῆν οὗτος οὐκ ἠδύνατο, καθάπερ σῶμα ψυχῆς ἀπεῤῥωγὸς, βαβαὶ τῆς συμπνοίας τε καὶ τῆς μίξεως, ἣν εἰς ἄῤῥηκτόν τινα τὸν δεσμὸν ἡ μακρὰ συνήρμοσε σχέσις. εἰ δὲ καλέσαντος ἐκείνου ἔδραμε, παραχρῆμα ῥίψας τὸ σῶμα, βαβαὶ τῆς ἀγάπης καὶ τῆς στοργῆς, ἣν προσηκόντως ἔσχε πρὸς τὸν δεσπότην. Ἡρακλῆς μέντοι ἐκεῖνος, εἰ δὴ τὰ ὄντα εἰρήκασιν οἱ τῶν μύθων ἐνταῦθα πατέρες, πᾶσαν διέδραμε τὴν ὑφ' ἥλιον, ὡς ἂν μάρτυρα τῶν οἰκείων ἅπασαν κτήσηται ἄθλων· οὗτοι δ' ἐντὸς ὅρων μέ 1.481 νοντες μόνῃ τῇ βελτίστῃ φήμῃ καὶ τὰς Ἡρακλείους διέβησαν στήλας καὶ ῥᾷστα πᾶσαν ἀνηρτήσαντο τὴν ὑφ' ἥλιον. ἀλλὰ νῦν ἐξ ἀνθρώπων ἀπῆλθον, ἀθανατίσαντες πρότερον ἑαυτοὺς καὶ μνήμην καταλιπόντες ζῶσαν διηνεκῶς ἐν ταῖς τῶν ἐπιγινομένων ἀνθρώπων ψυχαῖς. ἡμῖν δὲ τοιούτων καὶ τοσούτων προβόλων καὶ στηριγμάτων οὑτωσὶ στερηθεῖσι τίς ἐλπὶς λείπεται τἀγαθοῦ; ταὐτὸν γάρ τι καὶ ἡμῖν νῦν ἕπεται δεδιέναι, ὅπερ ἄμπελοι καὶ φυτὰ νεογνὰ, ἐπειδάν τις ἐπιβούλως τοὺς κύκλῳ περιβόλους τε καὶ φραγμοὺς καθελὼν μηλόβοτον καταστήσῃ τὸν χῶρον. ἀλλὰ γὰρ εἴρηται κἀμοὶ τῆς μὲν ἀξίας, ὦ παρόντες, πάντως ἔλαττον· τῆς δὲ τῶν ἄλλων προθυμίας ἴσως οὐκ ἔλαττον. ἡ μὲν γὰρ ἀξία τῆς ἐκείνου γλώττης ἐδεῖτο· ἡ δὲ προθυμία γνώμης τῆς ἐμαυτοῦ."2 (Γ.) Τούτων οὕτω λεγομένων πολὺς πρὸς τῶν συγγενῶν ἐγίνετο θρῆνος. εἶναι δὲ τὸν ἄνδρα συνέβαινε τὰ ἐς ψυχὴν ἀγαθὸν μὲν καὶ σώφρονα ἐν τοῖς μάλιστα· ἐῤῥωμένον δὲ τὸ σῶμα καὶ πάντα σύμμετρα κεκτημένον, ὥσπερ ὑπὸ κανόνι καὶ στάθμῃ τῆς φύσεως τελεσιουργησάσης αὐτῷ τήν τε ἡλικίαν ὁμοῦ πᾶσαν καὶ αὖ καθ' ἕκαστα τῶν μελῶν καὶ μερῶν· ἐπιπρέπειν δ' αὐτῷ καὶ ἱλαρότητα ὄψεως μετά τινος σεμνοῦ μειδιάματος καὶ ἦθος γαληνὸν καὶ εὐπρόσιτον· φιλότιμον δ' εἶναι τὰ ἐς λόγους μᾶλλον ἢ πάντα χρήματα· ἐχορήγει γὰρ αὐτῷ πολλὴν τὴν ὁρμὴν καὶ ἡ τῆς διανοίας ὀξύτης καὶ τὸ τῶν νοημάτων γόνιμον· τὴν δὲ πρὸς τὰ θεῖα διάπυρον εὐλάβειαν καὶ εὐσέβειαν ὁμότροπον εἶναι καθάπαξ τῷ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τελευτήσαντι βασιλεῖ. 1.482 γʹ. Θέρους δ' ἐπιγενομένου ἔγκυος ἐν Διδυμοτείχῳ διάγουσα ἡ τοῦ βασιλέως σύζυγος Ἄννα ἡ δέσποινα υἱὸν κατὰ τὴν ιηʹ Ἰουνίου γεγέννηκεν, Ἰωάννην τὸν βασιλέα. ὃ δὴ πυθόμενος ὁ βασιλεὺς τὴν ταχίστην αὖθις ἐπανῆκεν ἐς Διδυμότειχον· καὶ περιχαρὴς γενόμενος ἤμειψεν ἐς τὸ λαμπρότερον τὰ ἐνδύματα, ἃ διὰ τὴν τοῦ πάππου τελευτὴν τέως ἐνεδέδυτο. εἶτα καὶ ἀγῶνας ἐξετέλεσε δύο, μίμησίν τινα τῶν Ὀλυμπιακῶν ἀποσώζοντας, οὓς καὶ πρότερον μὲν πολλάκις ἐτέλει, νῦν δὲ φιλοτιμότερον· οἳ δὴ τοῖς Λατίνοις πάλαι ἐπινενόηνται γυμνασίας ἕνεκα σώματος, ὁπότε σχολὴν ἄγοιεν τῶν πολεμικῶν. (Β.) Τούτων ὁ μὲν εἷς μονομαχίας ἔνδειξιν ἔχει καὶ ντζούστρα παρὰ Λατίνοις καλεῖται. μερίζονται γὰρ κατὰ φυλὰς καὶ δήμους καὶ φρατρίας· ἔπειτα ὁπλίζουσιν ἀφ' ἑκατέρου μέρους ἕνα καὶ ἕνα τῶν βουλομένων τινὰς καὶ πάντη καταφράκτους καθιστῶσιν. ἔπειτα δόρυ λαβόντες ἑκάτερος ἐν τρισὶν ὀβελίσκοις ἐσκευασμένα τὸ ἄκρον ἐπιπηδῶσιν ἀλλήλοις καὶ ἀπαντῶσιν εὐρώστως καὶ ὠθοῦσιν ἀλλήλους τοῖς δόρασι μετὰ πάνυ γενναίας τῆς ὁρμῆς· καὶ ὁ τοῦ ἵππου καταβαλὼν τὸν ἀντίπαλον στεφανίτης ἀναγορεύεται. κλήρῳ γοῦν καὶ ὁ βασιλεὺς τὴν τοιαύτην λαγχάνει μονομαχίαν, ὥστε καὶ παρὰ μικρὸν ἦλθε πολλάκις πληγῆναι καιρίαν. διὸ καὶ παραινούμενος ὑπὸ τῶν γηραιοτέρων ἀπέχεσθαι τῶν τοιούτων ἔργων· ἀνοίκειον γὰρ εἶναι πάντη βασιλεῖ πρὸς τῶν δούλων παίεσθαι, καὶ ταῦθ' οὕτως ἀνυποστόλως, ᾧ καὶ κίνδυνος ἕπεται· οὐκ ἐπείθετο, ἀλλὰ τοῖς ἡλι 1.483 κιώταις τῶν στρατιωτῶν μᾶλλον βραβεύων τὴν τῆς βουλήσεως ψῆφον τούτους ἀπήλαυνε, δειλίαν ἀγεννῆ ταῖς αὐτῶν καταψηφιζόμενος παραινέσεσιν. (Γ.) Ὁ δ' ἕτερος τῶν ἀγώνων τορνεμὲν προσαγορεύεται. ἔχει δὲ οὕτως. μερίζονται κἀνταῦθα κατὰ φυλὰς καὶ δήμους καὶ φρατρίας καὶ ὁπλίζονται πάντες ὁμοῦ. καὶ ἀρχαιρεσιῶν γιγνομένων κλήρῳ λαγχάνουσι τὴν ἡγεμονίαν δύο τινὲς ἐξ αὐτῶν, ἑκατέρου μέρους ἑκάτερος. τούτου τοίνυν οὕτω μὲν πρότερον, νῦν δὲ συνεχῶς τελουμένου συναρίθμιος γίνεται καὶ ὁ βασιλεὺς τοῖς ὑφ' ἡγεμόνι τεταγμένοις, οἱῳδήτινι στρατιώτῃ· καὶ συῤῥηγνυμένων κατ' ἴσον ἀριθμὸν ἀμφοτέρων τῶν τάξεων μετὰ ῥοπάλων στεῤῥῶν παίει τε καὶ ὁ βασιλεὺς καὶ παίεται ἀφειδῶς. ἐπεὶ καὶ τὸν τρώσαντα, ἢ καὶ ἀποκτείναντα, συμβὰν οὑτωσί πως, κἀν τοῖς ἀγῶσιν ἀμφοτέροις, ἀνέγκλητον εἶναί σφισι νόμιμον ἦν. μετὰ δὲ τὴν τοῦ ἀγῶνος τούτου διάλυσιν ἀπολαμβάνοντες ἑκάτερα τὰ μέρη τὸν σφῶν αὐτῶν ἡγεμόνα, μεθ' ὧν καὶ ὁ βασιλεὺς τὴν τῶν ὑποτεταγμένων τάξιν οὐκ ἀπολιμπάνων τυγχάνει, ἄγουσι προπομπεύοντες εὐρύθμως καὶ κατὰ συζυγίαν ἐκ διαστήματος, ἄχρις οὗ συμπέπτωκε καταλύειν ἑκάτερον· ἔνθα προπίνων ἐκεῖνος ἅπασιν οἴνου κρατῆρα καὶ δεξιὰν ἑκάστῳ προτείνων οἴκαδε ἀπαλλάττεσθαι πάντας κελεύει. δʹ. Τούτων τοίνυν ἐν Διδυμοτείχῳ καὶ νῦν τελεσθέντων, ἀναλαβὼν ὁ βασιλεὺς ἱκανὴν στρατιὰν ἀκήρυκτόν τινα καὶ αἰφνίδιον ἐξάγει πόλεμον κατὰ Βουλγάρων, πρὶν ἐκείνους αἰσθέσθαι, βουλόμενος αὖθις σφετερίσασθαι τὰ περὶ τὸν Αἷμον φρούρια, 1.484 ὅσα πρὸ βραχέος Ἀλεξάνδρῳ προσκεχωρήκει. ἐμβαλὼν οὖν ἐς τὴν πολεμίαν ἐδῄου καὶ ἔκαε τὴν χώραν, μηδὲ τῶν ἀσταχύων φειδόμενος ἐν ἅλωνι τυγχανόντων· ἐπιπορευόμενος δὲ καὶ τὰ φρούρια, καὶ ἀπειλῶν περιστρατοπεδεύσεις καὶ πολιορκίας, παρεστήσατο καθ' ὁμολογίαν καὶ τούτων ἔστιν ἃ, ὑποσπόνδων ἀπιόντων τῶν ἐν φρουρᾷ τεταγμένων παρ' Ἀλεξάνδρῳ. (Β.) Ταῦτα πυθόμενος Ἀλέξανδρος καὶ περιαλγὴς γενόμενος διαπρεσβεύεται πρὸς τὸν βασιλέα περὶ εἰρήνης, οὐκ ἄξιον εἶναι λέγων Χριστιανοῖς ἀπηνῶς οὑτωσὶ κατ' ἀλλήλων ἐπιέναι, ἐνὸν ὁμοδοξεῖν ἀλλήλοις τὰ πρὸς εἰρήνην καὶ ὁμοῦ κατὰ τῶν ἀσεβῶν ἀντιπαρατάττεσθαι, πολεμίων ὄντων ἀμφοῖν. ὁ δὲ βασιλεὺς δίκαιον εἶναι φήσας ὑπείκειν Ῥωμαίοις τὰ πάλαι παρὰ Ῥωμαίων ἀνοικοδομηθέντα φρούρια τοὺς πρέσβεις ἀπράκτους ἀπέπεμψε. πλείονα γὰρ ἢ πεντεκαίδεκα φρούρια παρὰ τὰς ἀκρότητας καὶ ἀποτομὰς τοῦ Αἵμου ὁ πάππος αὐτοῦ καὶ βασιλεὺς Ἀνδρόνικος, τὰ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

μὲν ἐκ βάθρων ἀνήγειρε, τὰ δ' ἐπῳκοδόμησε διὰ τοῦ τότε ἐπιτροπεύοντος Θρᾴκην Γλαβᾶ τοῦ πρωτοστράτορος, ἵν' εἶεν κώλυμα καὶ διάφραγμα τῆς συνεχοῦς τῶν Σκυθῶν διαβάσεως. (Γ.) Ταῦθ' οὕτω λεχθέντα καθ' ἡσυχίαν Ἀλέξανδρος ἥκιστα φέρειν δυνάμενος τὰς αὐτοῦ συναθροίζει δυνάμεις εὐθὺς ἐς ὀκτακισχιλίους τὸν ἀριθμόν. μεταπέμπεται δὲ καὶ δισχιλίους ἐκ Σκυθῶν μισθοφόρους. ἄρας οὖν ἐκ Τερνόβου πεμπταῖος ἀφίκετο καὶ κατεστρατοπέδευσεν ἀγχοῦ τοῦ φρουρίου τοῦ ἐπιλεγομένου Ῥουσοκάστρου. ἐκεῖ γὰρ εἶναι καὶ τὸν βασιλέα ἐπύθετο. ὁ δὲ βασιλεὺς κατα 1.485 πλαγὴς μὲν ἐγεγόνει πρὸς τὴν αἰφνίδιον ἔφοδον τῶν πολεμίων· τῆς δὲ περιστάσεως ἥκιστα συγχωρούσης ἐν μέσῃ τῇ πολεμίᾳ βουλεύσασθαί τι βέλτιον, ἐξῆγε καὶ αὐτὸς ὡς ἐξῆν τὴν Ῥωμαϊκὴν δύναμιν, οὐκ ἀξιόμαχον οὖσαν τοῖς ἀντιπάλοις, ἀλλὰ μόλις ἐς τρισχιλίους τὸν ἀριθμὸν ἀνιούσης, καὶ ἐς τρεῖς αὐτὴν διανείμας τάξεις οὐ πάνυ πόῤῥω τοῦ φρουρίου προῆγεν. ἔχειν γὰρ αὐτὸ μεμελέτηκε καταφυγήν τινα πρὸς τὴν ἐπὶ πόδα ἀναχώρησιν. ἐπεὶ δὲ τοὺς πολεμίους ἐπιόντας ἑώρα τό,τε δεξιὸν καὶ λαιὸν κέρας εἰς ἐπιμήκη στίχον ἑκατέρωθεν ἐκτείναντας, τὰ δὲ βαρύτερα τῶν ὅπλων εἰς μέσον ἔχοντας καὶ ἅμα τὸ βάθος τῆς οὐραγίας ὥσπερ τινὰ στεῤῥὸν θεμέλιον, φοβηθεὶς τὴν κύκλωσιν μεταβουλεύεται τάχιστα καὶ πρὸς μίαν τὰς Ῥωμαϊκὰς δυνάμεις ἤθροισε τάξιν ἀμφίστομον, ὥσπερ σεληνοειδὲς σχῆμα πεποιηκὼς, ὁπότε μηνοειδὴς εἴη. (Δ.) Αὐτὸς δ' ἐς μέσους περιερχόμενος ἐπεφώνει τε καὶ παρεθάῤῥυνε, "1σύνετε δὴ,"2 λέγων, "1ὦ ἄνδρες, ὡς ἐν ἀλλοτρίᾳ καὶ πολεμίᾳ μαχόμεθα γῇ καὶ πόῤῥω που τῆς πατρίδος ἀποκεκλείσμεθα· καὶ οὔτε συμμαχίδας ἔχομεν πόλεις, αἳ παραβοηθήσουσι τήμερον ἡμῖν ἐς τὸν αἰφνιδίως συμπεσόντα τουτονὶ πόλεμον, οὔθ' ὁπόθεν ἂν μισθοφορικὸν μεταπεμψώμεθα στράτευμα. μαχώμεθα τοίνυν ὡς τεθνηξόμενοι τήμερον καὶ συγκαταδύειν μέλλοντες τῷ τήμερον τούτῳ ἡλίῳ. κτησώμεθα μάρτυρας τῶν ἡμετέρων ἀνδρικῶν καὶ γενναίων ἀγώνων τήν τε πολεμίαν ταυτηνὶ γῆν, ἐφ' ἣν τὸν περὶ ψυχῆς σήμερον τρέχομεν ἆθλον, καὶ τὰς τῶν ὑπολειφθησομένων πολεμίων ὄψεις. μὴ δὲ θορυβείτω 1.486 τὰς ὑμετέρας καρδίας τὸ πλῆθος τῶν πολεμίων· πολλὰς γὰρ ἴσμεν δυνάμεις μεγάλας ὑπὸ βραχέων ῥᾷστα κατακοπείσας. ἔστω καὶ ἡμῖν ἐλπὶς ὁμοία πρὸς τὴν ἀπόῤῥητον ἀφορῶσι φιλανθρωπίαν θεοῦ, δι' ἣν τά τε ἄλλα καὶ Θεμιστοκλῆς ἐξ Ἀθηνῶν μετ' ὀλίγου στρατεύματος μικροῦ πᾶσαν ἐν τοῖς περὶ Σαλαμῖνα στενοῖς τὴν τῶν Περσῶν κατεβάπτισε δύναμιν· καὶ μετὰ τοῦτον ὁ Θηβαῖος αὖθις Ἐπαμεινώνδας δὶς τὴν μεγίστην ἐκείνην Σπάρτης νενίκηκε δύναμιν μετὰ βραχυτέρας πολλῷ περί τε Ἁλίαρτον καὶ τόπους Λευκτρικούς· ὅτε δὴ καὶ Λύσανδρον ἀπώλεσεν ἡ Σπάρτη καὶ ξὺν ἀκοσμίᾳ φεύγοντα τὸν πολὺν ἐδέξατο Ἀγησίλαον καὶ καπνὸν ἤδη διὰ μακροῦ τεθέαται παρὰ τὸν Εὐρώταν πολέμιον."2 (Ε.) Πάντες μὲν οὖν γενναίως καὶ εὐρώστως, ὅσον ἐξῆν, καὶ παραβόλους ἀγῶνας ἀγωνιζόμενοι βαρείας καὶ ἀφειδεῖς φονευτρίας τοῖς πολεμίοις ἐπήνεγκαν χεῖρας· μάλιστα δὲ πάντων ὁ μέγας δομέστικος ὁ Καντακουζηνός· ὃς πολλὰ μὲν δεξάμενος πολέμια ξίφη, πολλὰς δὲ δοράτων βολὰς καὶ ὠθήσεις, αὐτὸς μὲν πλείστους τῶν πολεμίων κατήνεγκεν· ὁ δὲ μήτ' ἀσπίδα μήτε ξίφος ἀποβαλὼν ἀπαθὴς τὸν ἀγῶνα διήνυσεν, ὥσπερ κεκολλημένος καὶ ἀκλόνητα ἡδρασμένος τῇ ἐπιβάσει τοῦ ἵππου. καὶ δεύτερος μετ' αὐτὸν λαμπρῶς ἠγωνίσατο Πρωτοσέβαστος ὁ τοῦ Καίσαρος μὲν υἱὸς, ἔγγονος δὲ τοῦ Πορφυρογεννήτου. οὗτός τε γὰρ πολλοῖς περιπαρεὶς βέλεσι καὶ τὸν ἵππον ὁρῶν πανταχόθεν τοῖς πολεμίοις κατακοπτόμενον ξίφεσιν, ὡς καὶ τὸν τῆς κεφαλῆς μυελὸν (ὡς εἰπεῖν) τοῖς ἔξωθεν βλέπουσι φαίνεσθαι ἤδη, νῶτα τοῖς ἐχθροῖς 1.487 οὐκ ἠνέσχετο δοῦναι. καὶ ὁ ἵππος δ' αὖ, ὥσπερ ἀντιφιλοτιμούμενος τῷ δεσπότῃ, οὐδ' αὐτὸς πεσεῖν ἠνέσχετο πρότερον, πρὶν αὐτὸν ἐκβαλεῖν τοῦ πολέμου καὶ οἴκαδε διασῶσαι, κἀκεῖ παρὰ τὰς τοῦ δεσπότου θύρας ἐκμετρῆσαι τὸ ζῆν. (΄.) Ἐπεί γε μὴν τέως τοὺς πολεμίους ἐθεάσαντο βιαζομένους προκαταλαμβάνειν τὸν λόφον, ὥστε


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

καὶ κατὰ νώτου μάχεσθαι κυκλώσαντας αὐτούς, ἀναστρέψαντες ἔφευγον προτροπάδην ἐς τὸ φρούριον. οἱ δ' ἔνδον οἰκοῦντες τήν τε ἧτταν θεασάμενοι τούτων καὶ ἅμα δεδιότες Ἀλέξανδρον ἀπέκλεισάν σφισι τὰς πύλας. βίᾳ οὖν αὐτὰς ῥήξαντες εἰσεχέοντο· καὶ τοὺς μὲν τῶν ἐνοικούντων ἐκβαλόντες, τοὺς δὲ κατασφάξαντες δίκην πολεμίων ἠσφαλίσαντο τὸ φρούριον. καὶ ἦσαν ἀσχάλλοντες καὶ πλεῖστα ἀγωνιώμενοι διὰ τὸ προφανῆ τὸν κίνδυνον ἔχειν ἐν ὀφθαλμοῖς. οὔτε γὰρ τοῖς ὑποζυγίοις χιλὸς ἦν ἐντὸς τοῦ φρουρίου, οὔτε φρέαρ, οὔτ' ἄλλη τις ὕδατος εὐπορία· οἵ τε τραυματίαι τῶν στρατιωτῶν καὶ τῶν ἵππων ἀπρομήθευτοι λειπόμενοι, οἱ μὲν ἔθνησκον, οἱ δ' ἐγγὺς τοῦ τεθνάναι ἐγένοντο· τάς τε πύλας ἀνοίγειν οὐ μάλα ἐνῆν, περιστρατοπεδευόντων κατὰ πλήθη τῶν πολεμίων· τά τε Ῥωμαίων ἀπῴκιστο ὅρια· διακυβεύσαντάς τε τὸν κίνδυνον οἴχεσθαι λάθρα πρὸς συμμαχίδα πόλιν ἐγγίζουσαν καὶ παράλιον ἀπέγνωστό σφισι καὶ τοῦτο. ἡ γὰρ πόλις Ἀγχίαλος πολεμία ἦν, ἥ τε Μεσημβρία καλουμένη τὴν ἧτταν εὐθὺς ἀκηκουῖα Ῥωμαίων μετέθετο καὶ τὴν ἐκεῖσε Ῥωμαίων φρουρὰν ἀποσφάξασα ἔῤῥιψεν ἐκ τοῦ τείχους, ὁπόση μὴ ἔφθη φυγοῦσα. ὃ δὴ πεποιήκεσαν καὶ 1.488 ὁπόσα περὶ τὸν Αἶμον φρούρια πάντα· θαῤῥεῖν τε οὐκ εἶχον διαπρεσβεύεσθαι περὶ ἐλευθερίας καὶ λύτρων πρὸς Ἀλέξανδρον. οὐ γὰρ ὑπελείποντό τινα συγγνώμης ἀφορμὴν ἐκ τῶν φθασάντων. τήν τε γὰρ ἐκείνου περὶ εἰρήνης πρεσβείαν θρασέως τε καὶ ἀκόσμως ἀπέπεμψαν τούς τε τῶν Βουλγάρων ἀγροὺς μετὰ τῶν ἀσταχύων πυρὶ παρέδοσαν· καὶ πρός γε τοῖς τὰ φρούρια οἰκοῦσιν οὐ καλῶς ἐχρήσαντο λαβόντες. (Ζ.) Διὸ πανταχόθεν στενόν τε καὶ ἄπορον τῷ βασιλεῖ τὸ πρᾶγμα ἐγίγνετο. τό γε μὴν εἰς θεὸν ἀῤῥαγεστάτην ἔχειν ἐλπίδα, τοῦτο δ' οὐκ ἀπέγνωστό οἱ οὔτ' ἐν ταῖς πρότερον περιστάσεσιν, οὔτε μὴν ἐν τῇ παρούσῃ, καίτοι τὸ συνειδὸς οὐκ ἀνέλεγκτον ἔχων διά τε τὴν παραλύπησιν, ἣν τῷ βασιλεῖ καὶ πάππῳ ἐν τῷ γήρᾳ ἐπήνεγκε, καὶ αὖ δι' ὅσα νεότης μετ' ἐξουσίας ὡς τὰ πολλὰ φιλεῖ διαπράττεσθαι· ὅμως ἰχθύδιά τινα βραχέα τὰ τοιαῦτα ἐνόμιζεν ἁμαρτήματα ἐς τὸ μέγα πέλαγος βυθιζόμενα τῆς τοῦ θεοῦ φιλανθρωπίας. διὸ καὶ ὁμοίως ταῖς ἄλλαις περιστάσεσι καὶ τὴν ἀπαράμιλλον ταύτην παραδόξως ἀπεκρούσατο, ἀποῤῥήτῳ προμηθείᾳ τοῦ πάντα φιλανθρώπως οἰκονομοῦντος θεοῦ. οἴκοθεν γὰρ καὶ Ἀλέξανδρος ἐς τὴν ὑστεραίαν εἰς οἶκτον ἰὼν καὶ συμπάθειαν, πέμψας τῷ βασιλεῖ δεξιὰν, ἀφῆκεν ὑπόσπονδον οἴκαδε πορεύεσθαι ξύν γε τῷ στρατοπέδῳ, παραγγείλας μετριώτερον εἶναι τοῦ λοιποῦ. "1εἷς γὰρ,"2 φησὶν, "1ἐνιαυτὸς τέσσαρας ὥρας φέρει καὶ μία καιροῦ ῥοπὴ πολλὰς πραγμάτων μεταβολάς."2 ἐν δὲ τούτοις καὶ τὸ παρὸν ἐτελεύτα θέρος. ε´. Ὁ δέ γε Συργιάννης, ὕποπτος ὢν καὶ πρότερον τοῖς ἄρχουσι διὰ τοὺς ὅρκους, οὓς ἀπήτησε παρὰ τῶν Θεσσαλονικέων, 1.489 εἰσποιηθεὶς τῇ μητρὶ τοῦ βασιλέως δεσποίνῃ, ὁπότε τὰς τοῦ βασιλέως ἐπεβόσκετο φρένας ἡ ἀπηγορευμένη νόσος ἐκείνη περὶ τὸ Διδυμότειχον, νῦν ἤδη καὶ πρὸς τὰ παρὰ τοῦ Τζαμπλάκωνος προτεινόμενα καθοσιώσεως ἐγκλήματα εἰς Βυζάντιον ἀπολογησόμενος ἥκει μετάπεμπτος τῷ βασιλεῖ· καὶ κριθεὶς ὑπὸ πᾶσι κριταῖς δὶς καὶ τρὶς οὐ καθαρῶς ἁλῶναι τοῖς ἐλέγχοις ἠδύνατο, ὥστ' ἤδη καὶ πρὸς τῶν πλειόνων ἠθωοῦτο κριτῶν. μετεώρου δ' ἔτι τῆς δίκης οὔσης ᾔτησεν ὁ βασιλεὺς ἐγγυητὰς ὑπὲρ τοῦ μὴ φυγεῖν αὐτὸν λαθόντα, πρὶν ἂν τελεία γένηται ἡ περὶ αὐτοῦ τοῖς ὅλοις κριταῖς ἀπόφανσις. ὃ δὴ πολὺν ἐνέσπειρε τὸν φόβον καὶ τὴν τῆς εἱρκτῆς ὑποψίαν ἐς τὴν τούτου ψυχήν· καὶ ἐς ἀνάμνησιν ἤρχετο αὖθις τῶν προτέρων ἐκείνων καὶ ἀπαραμυθήτων δεσμῶν, ὧν τὰ ἴχνη περὶ τὴν καρδίαν ἔτι κείμενα ἦσαν ἐναργῶς. ἐπεὶ δὲ καὶ ὀκνηροτέρους ἔβλεπε τοὺς ἐγγυησομένους, συχνοτέροις καὶ δριμυτέροις ἐπολιορκεῖτο μᾶλλον τοῖς φόβοις. διὸ καὶ ἀναγκασθεὶς ᾤχετο λάθρα φυγὼν καὶ πλεῖστα ζητούμενος εὐθὺς οὐχ εὑρέθη. (Β.) Μετὰ δ' ἐνιαυτὸν ἔστειλεν ἐξ Εὐβοίας γράμματα τῷ βασιλεῖ, δεόμενος δοθῆναί οἱ συμπάθειαν καὶ χῶρόν τινα πρὸς οἴκησιν ἅμα γυναικί τε καὶ τέκνοις περί που τὰς ἐσχατιὰς τῶν κατὰ Μακεδονίαν Ῥωμαϊκῶν ὁρίων. βασκαίνειν γὰρ ἔφασκεν


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

αὐτῷ τοὺς περὶ τὸν βασιλέα· καὶ διὰ τοῦτο πόῤῥω που τῶν τοιούτων διατρίβειν ἐθέλειν, δέει τοῦ δόλῳ διαφθαρῆναι. καὶ ὅρκους ἐπὶ τούτοις ἦν ἐπιφέρων τοῦ μὴ κακὸς φανῆναι πώποτε τῷ βα 1.490 σιλεῖ. (Γ.) Ἐπεὶ δ' αἱ παρακλήσεις παρὰ θύραν ἧκον καὶ ἤνυσαν οὐδὲν, ἄρας ἐξ Εὐβοίας ἀφίκετο πρὸς τὸν Κράλην Σερβίας· ὑφ' οὗ καὶ προσδεχθεὶς ἀσμενέστατα πάντ' ἦν αὐτὸς, πάρεδρος ὁμόπνους, φίλος ὁμογνώμων, σύμβουλος δεκτὸς, τῶν ἔνδον ὁ πιστότατος, τῶν ἐκτὸς ὁ πρακτικώτατος, ἄλλος Θεμιστοκλῆς Ἀρταξέρξῃ τῷ Πέρσῃ. εἰδότι γὰρ τὴν περὶ αὐτοῦ φήμην ἐκ πολλοῦ νῦν ἕρμαιον ἡγεῖσθαι ἐπῄει λαμπρὸν τὴν ἐπιδημίαν αὐτοῦ· καὶ ὑπισχνουμένῳ ποιήσειν ὑπήκοον Τριβαλλοῖς τὴν ἐν Μακεδονίᾳ χώραν Ῥωμαίων, εἰ καὶ αὐτὸς αὐτῷ συνάροιτο ἄρξαι Ῥωμαίων, ἐπίστευέ τε καὶ συναίρεσθαι ἠπείγετο λίαν ἀσμένως. ´. Τούτων οὕτως ἐχόντων πέρας τοῦ βίου ἐδέξατο καὶ ἡ μήτηρ τοῦ βασιλέως ἡ δέσποινα καὶ τέθαπται ἐν Θεσσαλονίκῃ· ὅτε δὴ καὶ παραμυθητικόν τι προσφώνημα ἔγωγε πρὸς τὸν βασιλέα διεξῆλθον οὑτωσί πως ξυγκείμενον. (Β.) "1Σὲ δὲ, ὦ μέγιστε καὶ θειότατε βασιλεῦ, πολλάκις ἡμεῖς θαυμάσαντες ἐν τοῖς ὅπλοις, καὶ πρό γε τούτων ἔν τε φιλανθρωπίᾳ καὶ ἱλαρότητι, καιρὸν ἔχομεν ἤδη λοιπὸν, ἵνα σε κἀν τῇ καρτερίᾳ θαυμάσωμεν τῆς μεγίστης ταυτησὶ συμφορᾶς, ἣν ὁ τὰ πάντα σαλεύων αἰὼν καθάπερ τι γυμνάσιον ἄλλο προὔβαλε νῦν καὶ θέατρον ἀγώνων τῇ γενναίᾳ καὶ ἀνδρικῇ σου ψυχῇ. ἔνθα δὴ καὶ μάλα μᾶλλόν σε δεῖ τὸ κράτος λαμπρῶς ἀναδήσασθαι, ἢ πρότερον ἐν τοῖς ὅπλοις. ἐκεῖ μὲν γὰρ καὶ ὁ τῆς τύχης κύβος τῇ χειρὶ πολλάκις μείζονα προσῆψε τὴν δόξαν ἢ τῇ ψυχῇ καὶ τὸ τῆς γνώμης ἀξίωμά τε 1.491 καὶ μέγεθος ἔλαθε παρὰ τὸ εἰκὸς κιβδηλεύσας καὶ δεύτερον τῆς χειρὸς ἀποφήνας. ἐνταῦθα δὲ καθαρῶς γνώμη καὶ σύνεσις ὁπλίζεται πρὸς μεγάλους χειμῶνας καὶ κλύδωνας, οὓς ἡ τοιαύτη μάλα σφοδρῶς ἀνεστόμωσε συμφορά. ἴσασι γὰρ ἅπαντες, ὡς ὅσῳ τιμιώτερον καὶ βέλτιον ψυχὴ σώματος, τοσούτῳ καὶ μείζους οἱ ταύτης ἀγῶνες καὶ κλύδωνες, πρὸς ἅπερ ἂν ὁ συμπίπτων ἐπάγοι χρόνος ἀντίπαλα στρατόπεδα θλίψεων. ἐπειδήπερ ἐκεῖ μὲν καὶ πολλὴ πολλαχόθεν ἡ συμμαχία ἐπιτηδεύεται. ἀσπὶς γὰρ καὶ δόρυ καὶ κράνος τὴν τῶν ἀγωνοθετούντων πολλάκις ἁρπάσαντα κρίσιν καὶ συγκυκήσαντα τοὺς ἐλέγχους ἐν ἀδήλοις ἔσθ' ὅτε βυθοῖς τῆς παλάμης τἀγκλήματα συνεκάλυψαν. ἐνταῦθα δ' ἡ τῆς ψυχῆς ἀνδρία καθαρῶς ἀποδυομένη πρὸς τοὺς ἀγῶνας ἔχει καθάπερ ἐπὶ στεῤῥᾶς κρηπῖδος, τῆς γνώμης τε καὶ συνέσεως, γυμνοὺς καὶ ἀόπλους τοὺς πόδας ἐρείσασα μάλα γενναίως ἀνθίστασθαι καὶ ἀντέχειν πρὸς ἅπαν λύπης κῦμα καὶ ῥόθιον, καθάπερ προβλὴς ἀτίνακτος ἑστῶσα πρὸς ὑβρίζουσαν θάλασσαν. σφοδρὸς μὲν οὖν ἦν ὁ χειμὼν ἐκείνης τῆς τραγῳδίας, ἣν ὁ τοῦ βασιλέως καὶ πατρὸς ἐπήνεγκέ σοι θάνατος· σφοδρὸς δ' αὖ καὶ ὁ τοῦ βασιλέως καὶ πάππου, εἰ μὴ καὶ μείζονα φαίη τις ἂν, ὅτι ζῶν καὶ κινούμενον αὐτὸς ἐλέλειπτο φάρμακον, ἡδονὴν ὁμαλῶς οὑτωσί πως ἀντιτεχνώμενον τῆς σφόδρα ζεούσης ἐκείνης καὶ φλεγμαινούσης πληγῆς. ἀλλ' ἡ νῦν ἐπελθοῦσά σοι τῆς μητρὸς καὶ δεσποίνης συμφορὰ πολλῷ στρατηγουμένη τῷ ὑπερβάλλοντι πᾶσαν ὑπερπέπαικε λύπης ὑπερβολὴν διά τε τὸ τῆς φύσεως συγγενέστερον καὶ 1.492 πολλῷ μᾶλλον διὰ τὸ μόνην ταύτην τοῦ γένους καταλελεῖφθαι τελευταίαν ἄγκυραν καὶ θυμηδίας ἀκρόπολιν. ἅπτεται γὰρ καὶ αὐτῶν, ὡς εἰπεῖν, μυελῶν τῆς ψυχῆς καὶ σῆς ὀστέων καθίσταταί σοι τῷ πάντα γενναίῳ. καὶ πῶς γὰρ οὔ; μήτηρ τε οὖσα καὶ μήτηρ βασιλικωτάτη τε καὶ γλυκυτάτη καὶ στεῤῥοῖς καὶ ἀῤῥήκτοις τῆς φύσεώς σοι συνδεδεμένη τοῖς σπλάγχνοις· καὶ τό γε μεῖζον, πλείστους ὑπὲρ σοῦ τοὺς πόνους ἀνατλᾶσα. οὐ σὲ δὲ μόνον ἐς τόδε λύπης ἐκείνη θανοῦσα ξυνώθησεν, ἀλλὰ καὶ πάντας τοὺς ὑπηκόους ἡμᾶς· καὶ διπλῇ γε μᾶλλον. ζημία μὲν γὰρ καὶ ἡμῖν ἐγεγόνει μεγίστη, καὶ τοσοῦτο μεγίστη, ὅσον καὶ περιοῦσα λιμήν τις ὑπῆρχε τοῖς ὅλοις ἐκείνη σωτήριος καὶ πανήγυρις εὐθυμίας· τὸ δὲ μεῖζον, ὅτι καὶ σοῦ τὸν βασιλικώτατον καὶ τῶν κοινῶν πραγμάτων ἡγεμόνα τε καὶ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐπόπτην νοῦν τῶν δεουσῶν ἀπασχολεῖ φροντίδων· εἰ δὲ μὴ καθάπαξ καὶ ὡς ἐπίπαν ἀπηρτισμένως, ἀλλ' οὖν ἐν τοσούτῳ περιστάσεων κλύδωνι καὶ τὸ σμικρὸν ἐμπόδιον μέγιστον τῇ τῶν πραγμάτων ὁλκάδι γίγνεται βλάβος, καὶ παραπλήσιον, ὥσπερ ἂν εἴ τις κυβερνήτης χειμῶνος ἐν μέσῳ πελάγει τυχὼν, κάτωθεν μὲν τῶν κυμάτων κατὰ τῆς νηὸς ἐπανισταμένων, ἄνωθεν δὲ τῶν πνευμάτων τῆς ὀθόνης κατορχουμένων, μεταξὺ καὶ αὐτὸς τῆς πηδαλιουχίας ἐκλαθόμενος ἐπινυστάξειεν, ὡς μηδὲν εἶναι λοιπὸν τὸ κωλύον, αὔτανδρον τὴν ναῦν αὐτίκα μάλα βυθοδρομήσασαν ἐς πυθμένας θαλάσσης καταδῦναι. ὅθεν εἰ μή τι ἄλλο, ἀλλ' οὖν διά γε τὰς ὑπηκόους τῶν πόλεων, ἃ τῆς λύπης ἔργα πεφύκασιν ἄλλοις παραχωρήσας σαυ 1.493 τῷ τὸ σύνηθες καὶ βασίλειον μεγαλοπρεπὲς διατήρησον. μίμησαι τῆς ἀπελθούσης ἐκείνης γενναίας ψυχῆς τὴν στεῤῥότητα, ἣ διὰ τοὺς πρὸς τὸν θεὸν ἀκμάζοντας ἔρωτας, οὓς ἀποῤῥήτως ἔβοσκεν ἐν καρδίᾳ πάλαι πολὺν ἤδη τὸν χρόνον, ἀφ' οὗ τῆς τῶν φυσάντων διέσωσε δόξης αὐτὴν, ἐπιλαθομένη μὲν σώματος, ἐπιλαθομένη δὲ δόξης καὶ κόσμου βασιλικοῦ καὶ τὸ πάντων ὑπέρτερον ἐπιλαθομένη σοῦ τοῦ φιλτάτου, ᾧ κόσμος ἐκείνῃ πᾶς οὐχ ὑπῆρχεν ἀντάξιος, ἔδραμε μὲν πρὸς θεόν· ἔδραμε δὲ πρὸς τὸν βασιλέα καὶ σύζυγον, οὐχ ὅτι σύζυγος, ἀλλ' ὅτι δι' ἐκεῖνον ἐς τὰ τῆς ὀρθοδοξίας ἀκίβδηλα μετακεχωρήκει νάματα· καὶ εἰ χρὴ μὴ λυμήνασθαι τὴν ἀλήθειαν, ἔδραμε πρὸς τὸν πατέρα καὶ βασιλέα, τὸν τῆς ὀρθοδοξίας αὐτῇ καταστάντα διδάσκαλον· ὃς πρῶτος ἐκείνην ἐκεῖθεν ὡς ῥόδον λαμπρὸν ἐκ πικρῶν ἀκανθῶν ἐξελέξατο καὶ ὡς χρυσὸν καθαρὸν ἐκ μετάλλων κιβδήλων ἀνώρυξε, πᾶν εἴ τι λιθαργύρινόν τε καὶ χολοβάφινον ἦν ἐκεῖ καταλελοιπυῖαν. εἰ δὲ τὴν ἐκείνης οὐκ ἔχεις μιμήσασθαι καρτερίαν, ἀλλ' οὖν τῶν πάλαι βασιλέων τοὺς πλείστους μετὰ πολλοῦ τοῦ βελτίονος νικῶν φιλανθρωπίᾳ καὶ ἱλαρότητι πρὸς τοὺς πταίοντας νίκησον καὶ τῇ πρὸς τὰς λύπας βασιλικῇ καρτερίᾳ δυοῖν ἕνεκα· ἵνα τε τῷ καλλίστῳ καὶ ποικίλῳ σου πέπλῳ τῶν μακρῶν ἀγαθῶν καὶ τοῦτο καλῶς ἐπιπρέπῃ, καθάπερ ἐν ἄνθεσιν ἄνθος ὡραῖον κἀν λίθοις πολυτελέσι λίθος ὑπέρτιμος, καὶ ἵνα τελέως τοῖς ἅπασι βρίθων καλοῖς ἐν τῇ σειρᾷ τῶν πρὸ σοῦ βεβασιλευκότων αὐτὸς ἐπι 1.494 πρέπῃς, ὡς ἐν τοῖς χρώμασι πορφύρα κἀν τοῖς ἀστράσιν ἥλιος. φέρε τοίνυν ἀπόδος τὴν τῆς γλώττης ἡμέραν ταῖς τῶν ὑπηκόων ἀκοαῖς, τὴν τῶν ὀφθαλμῶν εὐδίαν τῇ τῶν ἡμετέρων ὄψεων ὁμίχλῃ. διασκέδασον ἡμῶν τῆς ψυχῆς τὸν χειμῶνα ταῖς ἀκτῖσι τῆς σῆς ἱλαρότητος. χρῆσαι τῇ ἑορτῇ τοῦ συνήθους καὶ γαληνοῦ μειδιάματος. γενοῦ πᾶσιν ἀρχέτυπον, ὥσπερ ἐν τοῖς ἄλλοις καλοῖς, οὕτω κἀν τῇ τῶν δεινῶν καρτερίᾳ. ἡμεῖς δὲ καὶ τῶν Ἑλλήνων ἔστιν οὓς ἀκούοντες ἐν ταύτῃ μάλιστα φιλοτιμησαμένους αἰσχυνοίμεθ' ἂν, εἰ τοῖς μὲν ἄλλοις ἅπασιν ἀριστεύμασι πλεῖστον ἐκείνων διενεγκόντα πλουτήσαντες βασιλέα ἐν τούτῳ μόνῳ τὰ δεύτερα φέροντα βλέποιμεν. ταῦτ' ἄρα καὶ τὸ τοῦ Ἀχιλλέως ἐκείνου περὶ τὰς λύπας ἡττώμενον ἦθος ἀποτριψάμενος καὶ πρός γε δὴ τοῦ Μακεδόνος Ἀλεξάνδρου μίμησαι τούτων τὸ σταθερόν. μίμησαι τοὺς Περσικοὺς βασιλέας τε καὶ σατράπας, ὁπόσοι πρὸς τὰς ἀντιπάλους τύχας οὐδὲν ἀγεννὲς ἐπεπράχεσαν. μίμησαι τοὺς πάλαι Ῥωμαίων ὑπάτους καὶ Καίσαρας, οἳ καὶ αὐτοὶ τῶν τοῦ χρόνου δεινῶν ἀπολελαυκότες ἐπὶ τοῦ συνήθους φρονήματος ἐκαρτέρησαν. καὶ τί δεῖ παραδειγμάτων ἀλλοτρίων; μίμησαι σαυτὸν, ὁποῖος πολλάκις ἐφάνης ἐν τοῖς ἄλλοτε ἄλλοις ἐπεισπεσοῦσί σοι λυπηροῖς· πῶς πολλοῦ πολλαχόθεν πολλάκις ἀναζέσαντος κλύδωνος ἀκλόνητον καὶ ἀήττητον διετήρησας τὴν ψυχὴν, ὥσπερ οἱ βαθεῖαν ἄγοντες ἡσυχίαν; πῶς πολλάκις τῶν ὑπηκόων ἁμαρτημάτων, δίκην ἀπαρκτίου, τὴν τοῦ θυμοῦ ῥύμην εἰς ὄγκον κυμάτων ἐγείρειν ἐθελόντων οὐχ ἡττήθης πώποτε· ἀλλὰ γενναιότητι χρώμενος καὶ συνέσει ψυχῆς ἀντὶ τοῦ κολάζειν τοὺς ἁμαρ 1.495 τάνοντας ἐκόλασας μὲν τὸν θυμὸν, τοῖς δ' ἁμαρτήσασι τὸ σύνηθες παρέσχες φιλανθρώπευμα; ταῦτα ἐπὶ καιροῦ νῦν ἀναμιμνησκόμενος μίμησαι σὺ σαυτὸν, ἵνα καὶ ἡμεῖς, ὡς ἐπίπαν εἰπεῖν, ὅλην τῇ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

γλώττῃ παρασχόντες ἐλευθερίαν εὐπετῶς παρὰ τὰς σὰς τῶν ἐγκωμίων θαλάσσας πελαγίζειν ἀφῶμεν αὐτὴν κἀκ πάντων ἀνθολογοῦντες τῶν σῶν ἐγκωμίων τὰ κράτιστα στέφανόν σοι δημιουργῶμεν ἀκήρατον, καὶ οἷον οἱ τῆς σοφίας κρατῆρες ἀναχωνεύοντες εἰς μακροὺς ἡλίους ἀθανατίζουσιν. ἐγὼ δ' ὑπὸ μάλα σφοδροῦ τε καὶ φλέγοντος πόθου νικώμενος τολμηρότερον ἐχρησάμην τῷ λόγῳ. σὺ δέ μοι σύγγνωθι, θειότατε αὐτοκράτορ, τῇ συνήθει κἀνταῦθα φιλανθρωπίᾳ σου χρώμενος."2 ζ΄. Ἦρος δ' ἐπιστάντος ὁ μὲν Κράλης συνήθροιζε τὰς δυνάμεις, ὁ δὲ Συργιάννης λαθραῖα διεπέμπετο γράμματα πανταχῇ τῆς Ῥωμαίων ἡγεμονίας, ἀρξάμενος ἐκ τῆς ὁμόρου χώρας τῶν Τριβαλλῶν καὶ διαλαβὼν πᾶσαν παράλιον καὶ μεσόγειον πόλιν καὶ χώραν ἄχρι Βυζαντίου· ἐν οἷς γῆς τε ὑπισχνεῖτο κληροδοσίας καὶ χρημάτων χάριτας καὶ ἀξιωμάτων ἐπιδόσεις καὶ ὅσα ἐπὶ τούτοις ὅμοια. ταῦτ' ἄρα καὶ μικροῦ πάντες ἐκεχήνεσαν πρὸς αὐτὸν καὶ ταῖς γνώμαις ὁλοσχερῶς αὐτῷ προσετίθεντο καὶ χρήμασι καὶ γράμμασι τὴν ἐκείνου κατήπειγον ἔφοδον. (Β.) Ὅ γε μὴν βασιλεὺς πάλαι εἰδὼς τὴν τοῦ ἀνδρὸς περίνοιαν καὶ τὴν περὶ τὰ τοιαῦτα ὀξυτάτην ἀγχίνοιαν σφόδρα ἐδεδίει περί τε ἑαυτῷ καὶ τοῖς ὅλοις καὶ δραστικωτέραν τὴν αὐτοῦ ἐνόμιζεν ἔφοδον, ἢ Σκυθῶν καὶ πάντων φάναι ἐθνῶν. πρὸς μὲν γὰρ τὰς τῶν ἀλλοφύ 1.496 λων ἐχθρῶν φάλαγγας ἀντιτάττειν εἶχεν ἂν τὰς ὁμοφύλους πόλεις, φυσικὴν ἐχούσας καθάπαξ πρὸς ἐκείνους ἀπέχθειαν ἐκ τῆς διαφορᾶς τοῦ σεβάσματος· ἡ δὲ τοῦ ὁμοφύλου καὶ συνήθους μάχη καὶ ταύτην ἐκ βάθρων ἀνέτρεπε τὴν ἐλπίδα καὶ συνέτριβε μάλα σφοδρῶς πᾶσαν τούτου διάνοιαν καὶ μόνον οὐκ ἐπὶ τῶν βασιλείων πυλῶν τὸ πολέμιον ἔβλεπε πῦρ σφοδρῶς ἐπιὸν πανταχόθεν ἔκ τε γῆς καὶ θαλάττης. ὅθεν καὶ ἀπεγίνωσκε μὲν, ἐπεμέλετο δ' οὖν ὅμως, ὅσον ἦν ἐφικτὸν, ὅλας ἀναρτήσας ἐς θεὸν τὰς ἐλπίδας. ὃ δὴ σύνηθες ἦν αὐτῷ ποιεῖν ἀεὶ καὶ, ὡς εἰπεῖν, σύνοικον καὶ συνέστιον καὶ μάλιστα ἐν ταῖς μείζοσι συμφοραῖς. (Γ.) Τὰ μὲν οὖν πρῶτα πύργοις μεγίστοις ὠχύρωσε τὰς βασιλείους αὐλὰς καὶ πύλας καὶ σίτου πλῆθος ἐντέθεικε διαρκέσον ἐς πλεῖστον τοῖς τε φρουροῖς καὶ αὐτῷ, εἰ δεήσειεν. ἀφίξεσθαι γὰρ ἄχρι καὶ ἐς τὰ βασίλεια προσεδόκα τὸν πολέμιον καπνόν. ἔπειτα μέλλων ἀπαίρειν ἐς Μακεδονίαν, ἵνα τῇ παρουσίᾳ φοβήσῃ τοὺς λάθρα τἀναντία βουλευομένους ἐν ταῖς πόλεσι, διάδοχον τοῦ πατριαρχικοῦ θρόνου μετὰ τὴν τοῦ Ἠσαΐου τελευτὴν Ἰωάννην τὸν ἐκ τῆς πόλεως Ἄπρω κατέστησεν,ἐς ἱερέα τῷ τηνικαῦτα τοῦ βασιλικοῦ κλήρου τυγχάνοντα. ᾧ δὴ καὶ ὑπὸ θεῷ μάρτυρι παραδίδωσι φέρων ἐπὶ μέσου τοῦ μεγίστου νεὼ τῆς τοῦ θεοῦ Σοφίας τήν τε σύζυγον δέσποιναν καὶ τὰ τέκνα, ἐπίτροπον ἅμα καὶ φύλακα τοῦτον εἶναι μετά γε θεὸν παρακελευσάμενος ἐπ' αὐτοῖς, εἴ τί που τῶν ἀδοκήτων τοῖς κοινοῖς ἐπισυμβαίη πράγμασι. (Δ.) Ταῦτα διαπραξάμενος ὅλῃ σπουδῇ τὴν ἐς Μακεδονίαν ἤλαυνε, μηδένα στρατὸν ἐπαγόμενος. ὕποπτοι γὰρ αὐτῷ πάντες ἤδη καθίσταντο, πλὴν μόνων τῶν πιστοτάτων οἰκεια 1.497 κῶν καὶ τοῦ μεγάλου δομεστίκου τοῦ Καντακουζηνοῦ, ὃν ἐν τοῖς μάλιστα σύμπνουν τε καὶ ὁμόφρονα αὐτῷ τε ἔφηνεν ὁ χρόνος καὶ τοῖς ἄλλοις ἅπασιν ἱλαρὸν καὶ χαρίεντα. ἐπεί γε μὴν ἐφευρετικὸν ἡ ἀνάγκη δοκεῖ πολλαχῇ, εἰσῄει ἐς γνώμην ὀψὲ καὶ τῷ βασιλεῖ διὰ πολλῶν δραμόντι τῶν λογισμῶν, ὡς οἰκονομίας τρόποι καὶ δόλον ἐγκυμονοῦσαι μέθοδοι πολλῷ γε τῆς τῶν ὅπλων βίας ἀνυσιμώτεροι καθεστήκασιν ἐς τὰ πλεῖστα τῶν ἔργων, καὶ μάλιστα ἐς ὁπόσα θορύβους πλουτοῦσι πολέμων. καὶ ἅμα ἐς τὰς τῶν παλαιῶν ἀνδρῶν πράξεις ἀνῆγε τὸν λογισμὸν, ὅπως τε Δαρεῖος ὁ Μῆδος διὰ Ζωπύρου ῥᾷστα τὴν ἄμαχον εἷλε Βαβυλῶνα· καὶ Ἀντίγονος, τῶν Ἀλεξάνδρου διαδόχων ὁ κράτιστος, πολλάκις καταστρατηγηθεὶς ὑπ' Εὐμένους, ὃς τῆς Ἀλεξάνδρου παλαίστρας ἦν καὶ αὐτὸς, γέμων ὁρμῆς ἀπὸ γυμνασίου περιφανοῦς, τάχ' ἂν αὐταῖς δυνάμεσι καὶ τὸ ζῆν ἀπελίμπανεν, εἰ μὴ δόλοις πόῤῥωθεν καὶ λαθραίαις ἐπιβουλαῖς τὸν ἄνδρα διεχειρίζετο. καὶ πρό γε τούτων ὁ Ἀθηναῖος Θεμιστοκλῆς τὸν πολὺν ἐκεῖνον στόλον


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τῶν Μήδων λόγοις οἰκονομικοῖς καὶ δόλοις κατετροπώσατο, μὴ δυνάμενος ἄλλως. (Ε.) Τῷ μὲν δὴ βασιλεῖ σκεπτομένῳ τοιαῦτα πρόσεισί τις τῶν τῆς συγκλήτου Σφραντζῆς ὁ Παλαιολόγος καὶ ἀπολαβὼν λάθρα κοινολογεῖται περὶ τῶν προκειμένων φροντίδων· καὶ ὑπισχνουμένῳ τῷ βασιλεῖ πλοῦτον καὶ δόξαν ἀνθυπισχνεῖται, φυγὴν ὑποκριθεὶς, φονεύσειν τὸν Συργιάννην. οὐ πολλαὶ παρῆλθον ἐκεῖθεν ἡμέραι καὶ φήμη διασκί 1.498 δναται περὶ Θεσσαλονίκην, ἔνθα διατρίβων ἦν τηνικαῦτα ὁ βασιλεὺς, ὡς Σφραντζῆς ὁ Παλαιολόγος, ἐξαργυρισάμενος πάνθ' ὅσα ὑπῆρχεν αὐτῷ βοσκήματα, βριθούσαις χερσὶν αὐτόμολος οἴχεται ἀποδρὰς ἐς τὸν Συργιάννην. ὅπερ ἀκηκοὼς ὁ βασιλεὺς, καὶ τὸν ἀγνοοῦντα ὑποκριθεὶς, πέμψας τόν τε οἶκον ἐδημοσίευε καὶ τὴν σύζυγον περιαγαγεῖν ἀτίμως διὰ τῆς ἀγορᾶς ἐκέλευσεν. ὃ δὴ τὰ μάλιστα ἔπεισε Συργιάννην ἀνυπόπτως διατεθῆναι πρὸς τὸν Σφραντζῆν καὶ σύμβουλον ἄριστον εἶναι νομίζειν αὐτόν. ὥστ' ἔγραφον καὶ τῶν συνήθων λάθρα πολλάκις αὐτῷ ἔκ τε Θεσσαλονίκης ἔκ τε Βεῤῥοίας, ὡς οὐκ ἐπ' ἀγαθῷ σοι ἔσται ἡ τοῦ Σφραντζῆ ἐπιδημία· φονεύσων γὰρ ἥκει σε. ὁ δὲ οὐκ ἐπείθετο, ἀλλ' ὅρκους ἐγγράφους ὑπ' αὐτοῦ καὶ πάνυ φρικώδεις δεξάμενος ἐνώπιον τῆς θείας καὶ ἱερᾶς τραπέζης, ἱερέων τὴν θείαν τελούντων μυσταγωγίαν, συμπορευόμενος ἦν αὐτῷ τοῦ λοιποῦ καὶ συνδιαιτώμενος ἀνυπόπτως καὶ ἀδεῶς. ἐχρῆν γὰρ ὧν πάλαι ἐδεδράκει τὰ ὅμοια καὶ αὐτὸν ὀψὲ πεπονθέναι καὶ δι' ὅρκων ἀπατηθέντα καὶ αὐτὸν δίκας δοῦναι ὧν ἠδικήκει τὸν τοῦ βασιλέως πάππον Ἀνδρόνικον τὸν βασιλέα καὶ, εἰ χρὴ φάναι, καὶ θεὸν αὐτόν· εἴπερ εἰς θεὸν ἡ ἐπιορκία τὸ τῆς περιφρονήσεως ἀνατίθησιν ἔγκλημα. ἔφθημεν γὰρ ἄνω που εἰρηκότες, ὡς αὐτὸς ὁ τῆς τοῖν δυοῖν βασιλέοιν διαστάσεώς τε καὶ μάχης αἰτιώτατος ἦν καὶ ἡ ἀρχέγονος ῥίζα πάντων τῶν ἐφεξῆς θορύβων. (΄.) Θέρους δὲ ἤδη μεσοῦντος ἀναλαβὼν τὰς δυνάμεις ὁ Κράλης εἵπετο τῷ Συργιάννῃ εὐθὺ Θεσσαλονίκης ἐλαύνοντι· καί σφισι προσεχώρουν αἱ 1.499 μεταξὺ πόλεις καὶ χῶραι ῥᾳδίως, τοῦτο μὲν καὶ τὴν τοῦ Συργιάννου ποθοῦσαι πάλαι ἐπιστασίαν, τοῦτο δὲ καὶ ὑπὲρ τῶν ἀσταχύων δεδοικυῖαι. ὥρα γὰρ ἦν τηνικάδε ἅλωνος. ὁ μέντοι Σφραντζῆς μηνύειν τε ἐθέλων τῷ βασιλεῖ τὰ δρώμενα καὶ ἅμα ἀνύποπτος τῷ Συργιάννῃ δοκεῖν πρόφασίν τινα δαιμονίαν ἐπλάσατο καὶ πάνυ βαθεῖαν. προσιὼν γὰρ ἔφασκεν αὐτῷ συνθήκας ἔχειν δύο τινῶν, οἳ περὶ τὸν τοῦ βασιλέως κοιτῶνα μάλιστα τὴν προσεδρείαν ποιοῦνται, βεβαιωσάντων, εἰ προσηκούσης ἀδείας τύχοιεν, διαχειρίσασθαι τὸν βασιλέα. δέον οὖν εἶναι πέμπειν πρὸς αὐτοὺς καὶ ἀναμιμνήσκειν τῶν συνθηκῶν. καὶ οὕτω λαβὼν τὸ ἐνδόσιμον ἔπεμπε καὶ ἐμήνυε τῷ βασιλεῖ τὰ δρώμενα. ἦσαν δὲ ταῦτα, ὡς ἀποροίη διαπράξεσθαί τε τὴν μελέτην καὶ ἅμα ἑαυτῷ διατηρήσειν τὸ πόῤῥω γενέσθαι κινδύνων. πολὺν γὰρ αὐτῷ περικεχύσθαι νύκτωρ καὶ μεθ' ἡμέραν τὸν ὄχλον καὶ μόνον οὐδέπω ἀπολελεῖφθαι. δεῖν οὖν ἡμεροσκόπους τετάχθαι στρατιώτας τινὰς ἐν τοῖς προαστείοις τῆς Θεσσαλονίκης, ἵν' ὅταν αἴσθωνται προσιούσας τὰς δυνάμεις μετὰ τοῦ Συργιάννου, ἐκδέξωνταί με φεύγοντα πρὸς τὴν πόλιν ἐκ τοῦ στρατοπέδου, πρὶν γνωσθεὶς ἀπόλωμαι μηδὲν πεπραχώς. αἰσχρὸν γὰρ ἴσως, δηρόν τε μένειν κενεόν τε νέεσθαι· αἰσχρότερον δ' ἔτι, δηρὸν μένοντα πρὸς τῷ μηδὲν πεπραχέναι καὶ τὸ ζῆν αὐτοῦ που πρὸς τὰς τῶν ἐχθρῶν πύλας ἀπολιπεῖν. (Ζ.) Ἐπεί γε μὴν ἐπιὼν ὁ Συργιάννης μετά γε τοῦ Κράλη καὶ τῶν στρατιωτικῶν δυνάμεων ῥᾷστα καὶ ἀπὸ 1.500 μόνης τῆς φήμης κατεδουλοῦτο πάντα καὶ προσδόκιμος ἦν καὶ αὐτῇ ἤδη προσβαλεῖν τῇ Θεσσαλονίκῃ· ὁ μὲν τῶν Θεσσαλονικέων δῆμος μετέωρος ἦν ὅλος ταῖς γνώμαις πρὸς τὴν ἐκείνου ἔφοδον· καὶ μελέτην πεποίηνται τὰς πύλας ἀναπετάσαντες ἀπονητὶ τοῦτον εἰσδέξασθαι προσιόντα. ὁ δὲ βασιλεὺς βαρείαις ἀλγηδόσιν ἐμερίζετο τὴν ψυχὴν καὶ τοὺς ἐς ἀπόγνωσιν συνωθοῦντας λογισμοὺς ἀνεμέτρει συχνὰ καὶ ἀπὸ μέσης ψυχῆς καὶ ζεούσης καρδίας τὴν θείαν ἐπεβοᾶτο βοήθειαν· καὶ νῦν μὲν ἐλπίδας εἶχε χρηστὰς, τὴν συνήθη πρὸς αὐτὸν τοῦ θεοῦ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

φιλανθρωπίαν μεμνημένος· νῦν δ' ἀπογνώσεως λογισμοὶ τὴν αὐτοῦ ψυχὴν πικρῶς ἐπεβόσκοντο. ὅθεν ἔξω μὲν πρὸ τῶν τειχῶν ἡμεροσκόπους ἔπεμψε στρατιώτας τριάκοντα, κατὰ τὴν τοῦ Σφραντζῆ προαναφώνησιν· πρὸ δὲ τοῦ λιμένος εἶχε τριήρη μίαν ταχυναυτοῦσαν, εἰς ἣν ἔμελλεν ἐλθόντος ἀπράκτου τοῦ Σφραντζῆ εἰσπηδήσειν τε εὐθὺς ἅμα τοῖς ἀμφ' αὐτὸν καὶ ἀποπλεῦσαι τὴν ταχίστην ἐς τὰ τῶν Βυζαντίων βασίλεια. (Η.) Ὡς δὲ ἐγγύς τε αἱ δυνάμεις ἐγένοντο καὶ ἐστρατοπεδεύσαντο σταδίων οὐ πόῤῥω τοῦ ἄστεος ἑξήκοντα, ἐπίδοξοι ὄντες καὶ ἐς τειχομαχίαν τῇ ὑστεραίᾳ καταστῆναι, ἀπογνοὺς ὁ Σφραντζῆς τὴν ὁρμὴν ἤδη τελέως ἐς τὴν τοῦ ἀποδρᾶναι μελέτην ἠκόνησε· καὶ τοιαύτην τινὰ πλασάμενος πρόφασιν πρόσεισιν, ὡς εἰώθει, τῷ Συργιάννῃ· καὶ βούλεσθαί φησι παρεξιὼν τοῦ στρατοπέδου μικρὸν κατασκοπεῦσαί τινα τὰ τείχη τοῦ ἄστεος, εἰ ὡπλισμένοις ἀνδράσιν εἴη πεπυργωμένα. ὁ δὲ μηδέν τι τὸν λόγον ἔχειν ὑποπτεύσας πανοῦργον, "1ἄπιθι,"2 ἔφη, "1ἕψομαι δὲ καὶ αὐτός."2 καὶ προῄει μὲν ὁ Σφραντζῆς ἅμα τοῖς δυσὶ θεράπουσιν, 1.501 οἳ τὸ φονικὸν καὶ αὐτοὶ συνῄδεσαν σκέμμα αὐτῷ. εἵπετο δὲ μόνος ὁ Συργιάννης, τοῦ θεοῦ σφήλαντος οἶμαι τὴν τούτου σύνεσιν, ὅτε μάλιστα τὸ πᾶν ἤλπισεν ἔχειν. καὶ ὡς δώδεκά που σταδίους τοῦ στρατοπέδου ἀπέστησαν, στραφέντες ἐκεῖνοι καὶ ἰδόντες παρὰ πᾶσαν ἐλπίδα ῥᾄδιον ὑπὸ τῆς τύχης τὸ σφόδρα ζητούμενον καταστὰν κατέκοψαν περιστάντες τοῖς ξίφεσι· καὶ εὐθὺς, πρὶν αἰσθέσθαι τινὰ τῶν τοῦ στρατοπέδου, ᾤχοντο σπουδῇ προσελάσαντες ἐς τὸ ἄστυ. ὁ δὲ Κράλης ἀπογνοὺς τῇ ὑστεραίᾳ σπονδὰς πρὸς τὸν βασιλέα αἰτήσαντα πεποίηκε καὶ ὡμίλησεν ἐξιόντι καὶ δῶρά τινα παρ' αὐτοῦ λαβὼν οἴκαδε ἀνεχώρησε· καὶ τοῦτο μὲν δὴ τὸ ἔτος ἐν τούτοις ἐτελεύτα. ηʹ. Τῷ δ' ἐφεξῆς ἔτει ἧκον ἐκ τῆς παλαιᾶς Ῥώμης ἐπίσκοποι δύο, ἀπεσταλμένοι παρὰ τοῦ Πάππα, διαλεξόμενοι περί τε εἰρήνης καὶ ὁμονοίας τῶν ἐκκλησιῶν. καὶ ἦν εὐθὺς ἰδεῖν πολλοὺς τῶν τοῦ δήμου ζῆλον μὲν λαμβάνοντας, οὐ κατ' ἐπίγνωσιν δὲ, καὶ πρόχειρόν τινα καὶ ἀταμίευτον προτείνοντας γλῶσσαν καὶ πρός γε ἔτι συνωθοῦντας καὶ αὐτόν γε τὸν πατριάρχην ἐς διαλέξεις. ὁ δ' οὔτε τὴν γλῶσσαν ἔχων ἠκονημένην ἐκ τῆς τῶν λόγων ἀσκήσεως καὶ ἅμα τοὺς πλείστους τῶν περὶ αὐτὸν ἐπισκόπων ἀμαθίᾳ συζῶντας πλείστῃ κατανοῶν ὑπεστέλλετο μὲν, οὐκ εἶχε δ' ὅπως ἀναχαιτίσῃ τοῦ δήμου τὸν θόρυβον. διὸ παρακαλεῖν ἔγνωκε δεῖν ἐς τὴν τοιαύτην παράταξιν καὶ ἡμᾶς, τοὺς ὡπλισμένην μὲν ἔχοντας γλῶτταν ἐκ τῆς τοῦ λόγου παρασκευῆς, ἔξω δὲ τοῦ ἱεροῦ καταλόγου τυγχάνοντας. ἐγὼ δὲ τὰ μὲν πρῶτα πολὺς ἦν ἐγκεί 1.502 μενος καὶ παραινῶν σιωπᾶν καὶ σχήματι χρῆσθαι μεγαλοπρεπεῖ τινι καὶ νοῦν ἐπαγγελλομένῳ, μηδενὸς ἀξίαν λόγου τὴν τῶν Λατίνων νομίζοντα πρόκλησιν, λόγους τῆς χρείας οὐκ ἀναγκαίως ἀπαιτούσης ἐνταῦθα. ἀλλ' ἐπειδήπερ οὐκ ἀνύποπτον αὖθις ἑώρων ὡς τὰ πολλὰ διατελοῦν τὸ τῆς σιωπῆς, ἀλλὰ πολλαπλοῦς καὶ πολυσχιδεῖς βλαστάνον καὶ διανέμον τοῖς ἔξω τοὺς λογισμοὺς, καὶ μάλιστα τοῖς τοιούτοις, οἳ γνώμην καὶ γλῶσσαν ἤσκησαν ἀταμίευτον, ἀπολαβὼν ἰδίᾳ τόν τε πατριάρχην καί τινας τῶν ἐλλογίμων ἐπισκόπων τὴν ἐμαυτοῦ γνώμην ἐπεδειξάμην, τοιαῦτά τινα διεξελθὼν ἐπ' αὐτῶν. (Β.) "1Ἐμοὶ μὲν οὕτως ἔχειν πρὸς τὴν παροῦσαν ἅμιλλαν καὶ οὕτω προθυμίας οὐδὲν οὐδαμῇ γε ἐλλείπειν ἔπεισιν, ὥστ' οὐ γλῶτταν μόνον ὁπλίζειν περίεστιν, ἀλλὰ πρό γε ταύτης καὶ γνώμην αὐτὴν, ῥίζαν ταύτην οὖσαν καὶ πηγὴν τῆς γλώττης καὶ ἅμα χορηγὸν καὶ πρύτανιν τῶν λεγομένων. ὁρῶντι δὲ τοὺς πολλοὺς πρὸ τοῦ καιροῦ καὶ τῆς χρείας μεγάλην τινὰ καὶ θρασεῖαν προϊεμένους τὴν γλῶτταν, καὶ τῷ σφῶν αὐτῶν βουλομένῳ ἅμα καὶ τοὺς καιροὺς εὐθὺς καὶ τὰ πράγματα σύνδρομά τε καὶ πρόδρομα γίνεσθαι οἰομένους, δεδιέναι μοι ἔπεισι, μὴ τῆς χρείας καὶ τοῦ καιροῦ παραστάντος λειποταξίου δίκην ὀφλήσωσι, τῶν ὅπλων ἑκόντες τοῖς ἐναντίοις παραχωρήσαντες. ἔνθα γὰρ φιλοτιμία τρόφιμος ἀπειρίας ὅλην ἐνδυσαμένη τὴν ἀωρίαν τῶν ὅρων καταχορεύει τῆς εὐταξίας, ἐκεῖ καὶ πέρας ἀκολουθεῖν τοῖς προοιμίοις ἐπιεικῶς ἀντιστρατευόμενον, οὐδὲν ἀπεικός. οὐδὲ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

γὰρ, ὡς ἔοικεν, εἰδέναι ἔπεισι τοῖς τοιούτοις, μὴ τὴν 1.503 γλῶτταν δύνασθαι καθιστᾷν τοὺς καιροὺς ἀνυσίμους, τοὺς δὲ καιροὺς τὴν γλῶτταν· οὐδ' ὅτι Τυρσηνικῆς σάλπιγγος οὐδεὶς ἀνδρῶν μεγαλοφωνότερος ὁμοῦ δ' ὅμως τῷ πληγέντι ἀέρι καὶ αὕτη δαπανᾷ καὶ λύει τὸ κράτος τῆς τέρψεως, οὐδένα καρπὸν τοῖς ἔπειτα καταλείπουσα τῆς ἠχοῦς μονιμώτερον. ὅτι δ' οὐ χρεὼν ὁμοῦ καὶ τοὺς ὅσοι γε βαθεῖαν αὔλακα διὰ φρενὸς καρποῦνται, παραλόγοις ἑπομένους ὁρμαῖς ἐς αὐθαιρέτους ἰέναι κινδύνους, δῆλον οἶμαι τοῖς ἅπασιν εἶναι· δηλώσομεν δὲ καὶ αὐτοὶ προϊόντες. ὥσπερ γὰρ δυοῖν στρατοπέδοιν ἐς μάχην ἀποκριθέντων ἡ τοῦ ἑνὸς εὐβουλία φθοροποιόν τινα θατέρῳ χορηγεῖ τὴν δύναμιν βουλευομένῳ κακῶς καὶ τοὐναντίον αὖθις, οὕτω κἀνταῦθα· εἰ πρὶν καλῶς ὁμοῦ καὶ συνετῶς ἐσκέφθαι πρὸς διαλέξεις καὶ ἡμεῖς ἀπαντῴημεν τῶν ἐναντίων, ἕψεται πρὸς αἰσχύνην ὁρῶσι χρῆσθαι τοῖς τῶν κακῶς δεδογμένων πέρασι. καὶ μή μοι λεγέτω τις, ὡς πολλοὶ πολλάκις ὁρμαῖς ὀξυτέραις τοῦ δέοντος τὴν ἡγεμονίαν τῆς γλώττης ἐγκεχειρικότες νίκης καὶ τροπαίων κληρονόμοι γεγένηνται. πρῶτον μὲν γὰρ οὐ κανόνα καὶ στάθμην εὐνομίας ἡγεῖσθαι χρεὼν ἀστάθμητον πρᾶγμα· ἔπειτα οὐδὲ τὴν ἀπερίσκεπτον ἴσμεν ὁρμὴν οἴκοθεν φέρουσάν ποτε τὰ τῆς νίκης ἐφόδια· ἀλλὰ τῆς τῶν ἀντιπαραταξαμένων μείζονος κακοβουλίας ὕλην παράδοξον χορηγησάσης πολλάκις ἐς τὸ κατορθοῦν τῇ ἀντιστρατήγῳ θρασύτητι, ἐς τὴν τοῦ βελτίονος μοῖραν ἀπενηνέχθαι ἔδοξε καὶ τὰ φαῦλα· ὥσπερ αὖ πολλάκις τὸ τῶν ἀντιπάλων συνετώτερον βούλευμα παρήλασε καὶ τοὺς ὀρθῶς βεβουλεῦσθαι δό 1.504 ξαντας. ἀδήλου γὰρ ὄντος τοῦ μέλλοντος ἐγχωρεῖ καὶ τοιαῦτα συμβαίνειν ἐνίοτε. ἀλλ' ἡμῖν γε οὐ νόμον ποιεῖσθαι δήπου χρεὼν παραλόγων κατορθωμάτων κατάλογον· καὶ μάλιστα νῦν, ὁπότε περὶ τοῦ τῆς εὐσεβείας κράτους τὰ παλαίσματα διακινδυνεύεται. τούτων γὰρ εἵνεκα παρελήλυθα· συμβουλεύσων ἃ συμφέρει ἐνόμισα καὶ τῇ παρούσῃ χρείᾳ ὅσον ἔξεστι καὶ αὐτὸς συνεισενεγκεῖν. εἰ δ' ὀρθῶς ἢ μὴ, σκοπεῖν λείπεται. οὐδὲ γὰρ νομοθετήσοντες ἥκομεν, οὐδ' ἀποφαντικῶς τὰ ἡμέτερα λέξειν δόγματα. ἀλλ' ὥσπερ πάλαι ταῖς ἀριστοκρατουμέναις ἐγίγνετο πόλεσιν, οὕτω καὶ ἡμῖν ἐράνου δίκην τὰ τῇ διανοίᾳ πρὸς τὸ παρὸν ἐπιτρέχοντα συνεισφέρειν ἔδοξε δίκαιον. ἃ τοίνυν λέγειν προήγμεθα τήμερον, ἀπαγόρευσίς ἐστι μὴ πάντας αὐτονομίᾳ βουλήσεως ῥέοντας ὁμόσε χωρεῖν ἐς διαλέξεις καὶ ἀπαντήσεις τῶν ἐξ Ἰταλίας ἰόντων· ὅπου γε μηδὲ τοῖς προεδρεύουσι καὶ τιμῆς τοιαύτης ἠξιωμένοις, πρὶν μετ' ἀλλήλων τὸν τῆς διαλέξεως ἐσκέφθαι σκοπὸν, χρεὼν ἀπαντᾷν· εἰδότας, ὅτι πρᾶξις πᾶσα καὶ λόγος ἅπας ἔχει σκοπὸν καὶ τέλος, πρὸς ὃ βλέποντας τόν τε πράττοντα καὶ λέγοντα τήν τε πρᾶξιν ὁμοῦ καὶ τὸν λόγον εὐθύνειν προσήκει. τούτου δ' ἀπόντος κίνδυνον εἶναι, μάταιον σπουδήν τε πᾶσαν καὶ πόνον ἅπαντα νομίζεσθαι. οἷον ὁ πλέων οὐ τοῦτο βούλεται καὶ τοῦτ' ἔχει σκοπὸν, ὅπερ ἐργάζεται, ἀλλ' ἐκεῖνο μᾶλλον, οὗ ἕνεκεν ἐργάζεται ὅπερ ἐργάζεται. κέρδους γὰρ ἕνεκα, καὶ οὐ τοῦ κύμασι καὶ πνευ 1.505 μάτων βίαις διακυβεύειν τὸ ζῆν, ἀνάγει τὴν ναῦν. καὶ ὁ τοξότης δ' ὁμοίως οὐκ αὐτὸ καθ' αὑτὸ τὸ τοξεύειν, ἀλλὰ τοῦ βαλεῖν τὸν πολέμιον εἵνεκα τοῦτο προῄρηται. ἐνταυθοῖ δ' οὐχ ὁρῶ, τίνος εἵνεκα κέρδους καὶ πρὸς τίνα βλέπων σκοπὸν διαλέγεσθαι ἄν τις ἕλοιτο, εἰ μήτ' αὐτοὶ τοῖς ἡμῶν, μήθ' ἡμεῖς τοῖς αὐτῶν συνθέσθαι βουλήμασιν ἔγνωμεν πώποτε, κἂν πάντες φῶσι λίθοι, κἂν πάντα φυτά. ἔτι μὴν καὶ τῶν ἀτοπωτάτων ἂν εἴη καὶ πόῤῥω που τοῦ προσήκοντος πορευόμενον λόγου, τοὺς μὲν Ὀλυμπιάσιν ἀγωνιστὰς, καὶ ὅσοι γῆς ἕνεκα σταδιαίας ἀμφισβητοῦσι, καὶ εἴ τις λωποδυσίαις ἁλίσκοιτο, τούτοις ἐξεῖναι πᾶσιν Ἑλλανοδίκας τινὰς καὶ κριτὰς ἀῤῥεπεῖς προκαθίζειν, ὡς μὴ λάθῃ παραῤῥυεὶς ὁ τοῦ δικαίου κανὼν, μᾶλλον δ' ἵνα μὴ ἀνήνυτον ἔχῃ τὸν δρόμον ἡ τῆς ἀμφισβητήσεως ἔρις, μηδενὸς προκειμένου κανόνος καὶ στάθμης, πρὸς ἃ παραμετρηθέντες οἱ τῶν ἀνταγωνιζομένων λόγοι τῆς ἔριδος ἀπαλλάξωνται· τοὺς δὲ τῶν περὶ θεοῦ λεγομένων κοινολογεῖσθαι



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

βουλομένους καὶ οὕτω μέγιστον διανύειν τὸν δίαυλον καὶ μεγίστην ἐπισείοντα βλάβην ψυχαῖς ὁμοῦ τε καὶ σώμασι, τούτοις δὲ μηδένα προκαθίζειν κριτὴν, ὃς ἂν τὰ παρ' ἑκατέρων βασανίζων λεγόμενα τοῖς μὲν τὴν νικῶσαν χαρίσηται ψῆφον, τὰ δ' ὡς ἀνεμιαῖα καὶ κηφηνώδη παρακρούσηταί τε καὶ τοῦ χοροῦ διαγράψῃ τῆς ἀληθείας· ἀλλ' ὅμοια ποιεῖν ἐκείνοις, οἳ περὶ γῆς ὅρων, ὡς ἔπος εἰπεῖν, πρὸς ἀλλήλους μαχόμενοι πρῶτα μὲν ταῖς ἀπὸ γλώττης λοιδορίαις περὶ τῆς νίκης διαγωνίζονται, εἶτα βραχίονι καὶ παλάμῃ τὴν ἀπαλλαγὴν ἐπιτρέπουσιν, 1.506 ὃς ἂν ἐπικρατέστερος καταστὰς ἢ λίθῳ θατέρου πατάξῃ τὴν κεφαλὴν, ἢ κονδύλῳ τρώσῃ καιρίαν, ἢ τυχὸν οὑτωσί πως ξίφος παρὰ πλευρὰν ἐλάσας ἐναρίθμιον τοῖς ᾅδου καθεύδουσι τάχιστα τὸν ἀνταγωνιστὴν ἀποδείξῃ. εἰ δὲ δυοῖν ὄντων ἡμῶν τῶν ἀμφισβητούντων μερῶν τρίτον οὐκ ἔστιν εὑρόντας προενεγκεῖν ἐπόπτην καὶ πρύτανιν τἀληθοῦς καὶ δεῖ διὰ ταῦτα θάτερον τῶν μερῶν ἐπικρίνειν τοῖς λεγομένοις, ἡμᾶς ἔδει κριτὰς αὐτῶν εἶναι καὶ οὐκ αὐτοὺς ἡμῶν. τὸ μὲν γὰρ ἡμέτερον δόγμα παρ' ἀμφοτέρων, ἡμῶν τε καὶ αὐτῶν, ὁμοίως εὖ ἔχον ὁμολογεῖται. τὴν δὲ παρ' αὐτῶν καινοτομηθεῖσαν προσθήκην καὶ τῆς εὐθείας παρεκτροπὴν μόνοις αὐτοῖς ἀκατηγόρητον εἶναι δοκεῖ, ἡμῖν δὲ καὶ μάλα ἥκιστα. μετεώρου τοίνυν τῆς ζητήσεως οὔσης, εἰ χρὴ κοινωνεῖν αὐτοῖς τοῦ καινοτομήματος, ἐς ἡμᾶς τὸ κρίνειν καὶ ἀποφαίνεσθαι περιήκει καὶ οὐκ εἰς αὐτοὺς, ὑπευθύνους γε ὄντας. εἰ δὲ τῆς τοῦ μεγάλου Πέτρου καθέδρας αὐτοὶ διάδοχοι καὶ κληρονόμοι γενέσθαι φασὶ καὶ τοῦτ' ἐπισείουσι καθ' ἡμῶν, καθάπερ τὰ νέφη τοὺς κεραυνοὺς, κἀντεῦθεν τῶν σφισι δοξάντων αὐτουργοὺς ἡμᾶς κατὰ τὸν τῶν ἀκρίτων νόμον ἀξιοῦσι γενέσθαι, φροντίζειν οὐ χρή. διὰ γὰρ τοῦτο μᾶλλον μεμισῆσθαι καὶ ἀπεστράφθαι δίκαιοι, ὅτι τῆς τοῦ θρόνου τιμῆς ἀναξίως ἐπεπράγεσαν. οὐ γὰρ ὅσα βούλονται, ταῦτα καὶ δογματίζειν ἐκέλευσε Κλήμεντι καὶ τοῖς ἐφεξῆς διαδόχοις ὁ Πέτρος, ἀλλ' ὅσα δεῖ (φησὶ) δεσμεῖν καὶ λύειν αὖθις ὅσα δεῖ. οὗτοι δὲ τὰ πάσαις ταῖς ἁγίαις βεβαιωθέντα καὶ κυρωθέντα συνόδοις παραδραμόντες εἰς ἔργον ἐξήνεγκαν, ἃ μό 1.507 νοις αὐτοῖς βουλομένοις ἦν. ἔπειτα οὐδὲ τὸ πάλαι καλῶς κρατῆσαν ἔθος καὶ παρά τε τῶν βασιλέων παρά τε τῶν διδασκάλων τῆς ἐκκλησίας ἄνωθεν κυρωθὲν παρορᾶσθαι δίκαιον. ἔθος γὰρ, ὁπότε περὶ δογμάτων ἀγῶνες τῇ ἐκκλησίᾳ καθίστασθαι μέλλοιεν, πάντας διὰ κοινοῦ θεσπίσματος καὶ ψηφίσματος τοὺς τῆς ἐκκλησίας προμάχους καλεῖν, οὐ μόνον ὁπόσοι τὰς πολλαχῆ τῆς γῆς διέλαχον μητροπόλεις εὐαγγελικοῦ κηρύγματος ἕνεκα, ἀλλὰ καὶ ὅσοι πατριαρχικὴν ἀξίαν περίκεινται· τόν τε Ἀλεξανδρείας καὶ Ἱεροσολύμων φημὶ καὶ τὸν τὴν Ἀντιόχου διέποντα· οἳ χώραν ἕξουσι μὴ κληθέντες σάλους καὶ κλύδωνας κατὰ τῆς ἡμῶν ὁμονοίας ἐγεῖραι καὶ εἰς χειμῶνα τὸ τῆς ἐκκλησίας ἔαρ μεταβαλεῖν. εἰ γὰρ πάλαι Θεοδώρητος, ὁ τῆς Κύρου ἐπίσκοπος, εἷς ὢν καὶ οὐδὲ πατριαρχικὴν ἀξίαν περικείμενος, οὐδ' ἄλλως ἐπίσημον ἔχων θρόνον, τοσαύτην φιλονεικίας ἀνῆψε κάμινον, ὥστε πλείστους ὄντας τοὺς ἐξ Ἀσίας τε καὶ Εὐρώπης ἐν τῇ κατ' Ἔφεσον ἀθροισθέντας συνόδῳ μακροῦ μετασχεῖν τοῦ καπνοῦ· πολλῷ ἂν ῥᾷον ὀλίγους ὄντας ἡμᾶς πλείους ὄντες οἱ μὴ παρόντες ἐπίσκοποί τε καὶ πατριάρχαι ταῖς τε ἀπὸ γλώττης καταδράμοιεν λοιδορίαις καὶ πολὺν καθ' ἡμῶν ἀναφλέξαιεν τὸν τῆς φιλονεικίας πυρσόν. ἄλλως τε καὶ τοῖς διαλεγομένοις ὄργανον εἶναι νομίζεται τὸν συλλογισμὸν εἰς τὴν τοῦ προκειμένου κατασκευὴν, καθάπερ τὴν σκαπάνην τῷ σκαπανεῖ καὶ τὴν κώπην τῷ πλέοντι. ὃ καὶ παρ' αὐτοῖς δὴ τοῖς Ἰταλοῖς, εἴπερ ἄλλο τι, σπουδαζόμενον ἴσμεν. ἐνταυθοῖ δὲ χώραν οὐκ ἔχειν εὑρίσκομεν τὸν συλλογισμὸν, οὔτε τὸν κατ' 1.508 ἐπιστήμην τὴν ἀποδεικτικὴν, οὔτε μὴν τὸν κατὰ τὴν διαλεκτικὴν τέχνην, περί τε θεοῦ καὶ τῶν τῆς θείας καὶ ζωαρχικῆς τριάδος τῆς ζητήσεως οὔσης. εἰ γὰρ τὴν ἐπιστημονικὴν ἀπόδειξιν ὁμολογουμένων τε καὶ ἀναποδείκτων δεῖσθαι προτάσεων καὶ γνωριμωτέρων τοῦ συμπεράσματος ἕπεται, αὗται δ' ἢ ἐπαγωγῇ, ἢ αἰσθήσει, ἢ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐμπειρίᾳ γίνονται φανεραί· οὐκ ἔστιν ἄρα συλλογίζεσθαι κατ' ἐπιστήμην τὴν ἀποδεικτικὴν ἐνταυθοῖ. δυσθεωρήτους γὰρ τοὺς περὶ τῶν θείων εἶναι λόγους καὶ μάλα ἀκαταλήπτους· καὶ τοῦτο δείκνυται μὲν ὥσπερ τοῖς ἡμετέροις, οὕτω δὴ καὶ τοῖς θύραθεν θεολόγοις, τοῖς τε ἄλλοις καὶ οὐχ ἧττον Πλάτωνι τῷ Ἀρίστωνος. "1θεὸν γὰρ,"2 φησὶ, "1νοῆσαι μὲν χαλεπὸν, φράσαι δ' ἀδύνατον."2 ὃ δὴ μικρὸν ὁ μέγας ἐν θεολογίᾳ Γρηγόριος ἡγησάμενος ἐν τοῖς περὶ θεολογίας λόγοις οὑτωσί πως ἐπιδιορθοῦται λέγων· "1θεὸν φράσαι μὲν ἀδύνατον, ὡς ὁ ἐμὸς λόγος· νοῆσαι δὲ ἀδυνατώτερον."2 τὸ γὰρ νοηθὲν τάχα ἂν λόγος δηλώσειεν, εἰ καὶ μὴ μετρίως, ἀλλ' ἀμυδρῶς γε τῷ μὴ πάντη τὰ ὦτα διεφθαρμένῳ καὶ νωθρῷ τὴν διάνοιαν. τὸ δὲ τοσοῦτον πρᾶγμα τῇ διανοίᾳ περιλαβεῖν πάντως ἀμήχανον καὶ ἀδύνατον, μὴ ὅτι τοῖς καταβεβλακευμένοις καὶ κάτω νεύουσιν, ἀλλὰ καὶ τοῖς λίαν ὑψηλοῖς τε καὶ φιλοθέοις καὶ ὁμοίως πάσῃ γεννητῇ φύσει καὶ οἷς ὁ ζόφος οὗτος ἐπιπροσθεῖ καὶ τὸ παχὺ τοῦτο σαρκίον πρὸς τὴν τοῦ ἀληθοῦς κατανόησιν· οὐκ οἶδα δὲ, εἰ μὴ καὶ ταῖς ἀνωτέρω καὶ νοεραῖς φύσεσι. τούτου δ' οὕτως ἔχοντος οὔθ' ὁ συλλογί 1.509 ζεσθαι θέλων ἐν τούτοις οἶδεν ἃ συλλογίσεται, οὔθ' ὁ ἐρωτῶν εἴσεται ἅπερ ἀκούσειεν. ὅτι μὲν οὖν ἥκιστα χρήσιμος ὁ κατ' ἐπιστήμην ἀποδεικτικὴν ἐνταῦθα συλλογισμὸς, δῆλον· ὅτι δ' ὁμοίως καὶ ὁ κατὰ τὴν διαλεκτικὴν τέχνην ἀχρεῖος, ἐνδόξους καὶ ἀμφιβόλους ἔχων τὰς προτάσεις, ἐκ τῶν ἐφεξῆς ἔσται δῆλον. φησὶ γὰρ ὁ Νύσσης Γρηγόριος, ὅτι τὸ κατὰ τὴν διαλεκτικὴν τέχνην διὰ συλλογιστικῆς τε καὶ ἀναλυτικῆς ἐπιστήμης βεβαιοῦσθαι καὶ τὰ ἡμέτερα δόγματα, ὡς σαθρόν τε καὶ ὕποπτον εἰς ἀπόδειξιν ἀληθείας, τὸ τοιοῦτον εἶδος τοῦ λόγου παραιτησόμεθα. πᾶσι γάρ ἐστι πρόδηλον, τὸ τὴν διαλεκτικὴν περιεργίαν ἴσην ἐφ' ἑκάτερα τὴν ἰσχὺν ἔχειν, πρός τε τὴν τῆς ἀληθείας ἀνατροπὴν καὶ πρὸς τὴν κατηγορίαν τοῦ ψεύδους. ὅθεν καὶ αὐτὴν τὴν ἀλήθειαν, ὅταν μετά τινος τοιαύτης τέχνης προσάγηται, δι' ὑποψίας πολλάκις ποιούμεθα, ὡς τῆς περὶ τὰ τοιαῦτα δεινότητος παρακρουομένης ἡμῶν τὴν διάνοιαν καὶ τῆς ἀληθείας ἀποσφαλλούσης. εἰ δέ τις τὸν ἀκατάσκευόν τε καὶ γυμνὸν πάσης περιβολῆς προσίεται λόγον, ἐροῦμεν, ὅπως ἂν οἷόν τε ᾖ, κατὰ τὸν εἱρμὸν τῆς γραφικῆς ὑφηγήσεως, τὴν περὶ τούτων θεωρίαν προσάγοντες. εἰ δὴ οὖν καὶ ἡμῖν θείων πατέρων γραφαῖς ὁπλίζεσθαι καὶ ἀντιστρατεύεσθαι κατ' αὐτῶν ἀναγκαῖον ἐτύγχανεν, ἀκατασκεύῳ τῷ τρόπῳ καὶ αὐτοὶ ταῖς σαφεστέραις ἂν ἐχρησάμεθα, καὶ ὁπόσαι προφανῆ καὶ ἀνανταγώνιστον τὸν ἐγκείμενον τοῖς μετιοῦσι παρέχουσι νοῦν, καὶ οὐ μάλα δὴ ταῖς αἰνιγματώδεσι καὶ δυνα 1.510 μέναις διά τε τὰς τῶν ὑποκειμένων ὁμωνυμίας καὶ διὰ τὸ τῆς 1.510 λέξεως καὶ τῶν ὀνομάτων ὁμιχλῶδές τε καὶ ἀμφιῤῥεπὲς πολλαχῶς ἑρμηνεύεσθαι. εὑρίσκομεν γὰρ πολλαχῆ τῆς θείας γραφῆς ἐπίκρυψίν τινα τοῖς ὀνόμασιν ὑποκαθημένην, ὡς τὸ εἰκός. ὥσπερ γὰρ οἱ τῶν βασιλέων θάλαμοι, καὶ ὁπόσα ἀνθρώποις ἱερά τε καὶ τίμια, ὑπὸ παραπετάσμασιν ἄλλα ἄλλοις καλύπτονται, ἵνα μήτε δήμοις ἀνοσίοις προκείμενα κιβδηλεύηται, μήτε περιφρονῆται διὰ τὸ τῆς καταλήψεως πρόχειρόν τε καὶ ἄπονον, οὕτω δὴ καὶ τὰ πλεῖστα τῆς θείας γραφῆς καὶ μάλιστα οἷς μυστικοί τινες ὑφεδρεύουσι λόγοι, καθάπερ ὑπὸ παραπετάσμασι καλύπτονται τοῖς τοιούτοις ὀνόμασιν, ὅσα πολὺν τὸν γνόφον ἐπισύρονται καὶ σκότος ἀποκρυφὴν ἑαυτῶν τίθενται καὶ κύκλῳ αὐτῶν τὴν σκηνὴν αὐτῶν. εὑρίσκομεν δὲ καὶ τοὺς θείους πατέρας, Βασίλειόν φημι καὶ Χρυσόστομον, Μάξιμόν τε καὶ Κύριλλον, παραγγέλλοντας, μὴ ὅσα τῶν ὀνομάτων, μηδ' ἐν ὅσοις ὑποκειμένοις ἠχοῦσι ταὐτὸν, καὶ κατὰ τρόπον εὐθὺς ἐκλαμβάνειν ὁμοῦ τὸν αὐτὸν, μηδὲ ταῖς λέξεσι προσέχειν καθάπαξ τὸν νοῦν, ἀλλὰ ταῖς τῆς ὑποκειμένης ὑποθέσεως ἐννοίαις καὶ τὸν σκοπὸν ὁμοῦ καὶ τὴν πρόθεσιν τῆς μελετωμένης γραφῆς ἐξετάζειν, ὡς τὸ εἰκὸς, καὶ τοῖς προσώποις καὶ τοῖς καιροῖς ἀναλόγως καὶ καταλλήλως ἐφαρμόζειν καὶ συμβιβάζειν. φησὶ δὲ καὶ ὁ θεολόγος Γρηγόριος, ὅτι ταῖς προσηγορίαις τινὲς ὁμοῦ καὶ τὴν οὐσίαν παχυμερῶς


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

συνδιαιρεῖσθαι δοξάζοντες ἀνάξια παντάπασι τῶν θείων ταῖς ἑαυτῶν ἐννοίαις δοξάζουσι. τοσαύτης τοίνυν διχοστασίας 1.511 ἐπιχωριαζούσης περὶ τὰς λέξεις καὶ τὰ ὀνόματα, διὰ τὰς ὁμωνυμίας τῶν ὑποκειμένων πραγμάτων, καὶ ἄλλως μὲν ἐπὶ θεοῦ λαμβάνεσθαι ὀφειλόντων αὐτῶν, ἄλλως δ' ἐπὶ τῆς γεννητῆς ταύτης καὶ ῥευστῆς φύσεως, τίς ἱκανὸς ἐφικέσθαι δὴ τῆς ἀξίας; εἰ γὰρ τοὺς θείους πατέρας ἐκείνους, τὰ τοῦ πνεύματος ὄργανα, τοὺς πᾶσαν ὑπὲρ ἅπαντας ἀνθρωπίνην σοφίαν διεξελθόντας, εἰ οὖν ἐκείνους ἐν ταῖς θείων γραφῶν ἐξηγήσεσι διαφωνοῦντας εὑρίσκομεν πολλαχῇ καὶ μικροῦ τἀναντία πολλάκις διεξιόντας, διὰ τὸ γνόφῳ πολλῷ καὶ, οἷον εἰπεῖν, προπυλαίοις στεῤῥοῖς καὶ ἀδαμαντίνοις δορυφορεῖσθαι τὰς θείας ταύτας καὶ ὑψηλοτέρας ἐννοίας· τί ἂν ἔχοι τις ἕτερος λέγειν, μήτε τὴν ἀνθρωπίνην σοφίαν ἐγγύς που τυγχάνων ἐκείνων καὶ ἅμα πολλῆς ἀπόζων τῆς μοχθηρᾶς ταύτης καὶ ὑλικῆς προσπαθείας; ἰδοὺ γὰρ, ἵνα σιωπῇ παραδράμω τὰ πλεῖστα, τὸ, "1κύριος ἔκτισέ με ἀρχὴν ὁδὸν αὐτοῦ,"2 ὁ μὲν θεῖος καὶ μέγας Βασίλειος περὶ τῆς ἐμφαινομένης τῷ κόσμῳ σοφίας εἰρῆσθαί φησι, μονονουχὶ φωνὴν ἀφιείσης διὰ τῶν ὁρωμένων, ὅτι παρὰ θεοῦ γέγονε καὶ οὐκ αὐτομάτως ἡ τοσαύτη σοφία τοῖς ἀποτελεσθεῖσιν ἐμπρέπει· καθὰ καὶ τοὺς οὐρανοὺς ὁ Δαβὶδ διηγεῖσθαί φησι τὴν δόξαν τοῦ θεοῦ φωναῖς ἀλαλήτοις. ὁ δὲ μέγας ἐν θεολογίᾳ Γρηγόριος τοῦ σωτῆρος τοῦτον εἶναι φάσκει τὸν λόγον· καὶ ἑξῆς ἑρμηνεύων, ὅσα μὲν μετὰ τῆς αἰτίας εὑρίσκει, τῇ ἀνθρωπότητι ταῦτα προστίθησιν, ὅσα δ' ἁπλᾶ καὶ ἀναίτια, ταῦτα διελὼν λογίζεται τῇ θεότητι. ἀλλ' 1.512 οὗτοι μὲν σκεύη τοῦ πνεύματος ὄντες καὶ πρὸς ἕνα βλέποντες σκοπὸν καὶ τὴν τοιαύτην διαφωνίαν ὥσπερ ἐκ διαφόρων ὁδῶν πρὸς ἓν περιάγουσι τέλος, εὐσεβὲς δηλαδὴ καὶ σωτήριον. οἱ δὲ τῶν ἀλλοτρίων αἱρέσεων ἡγεμόνες, πρόφασιν λαμβάνοντες τὸ τῆς διανοίας δυσέφικτον τῶν γραφῶν, δίκην ἱεροσύλων καταξαίνουσι ταύτας καὶ πρὸς ἀβύσσους πυθμένας καθέλκουσι τῶν βλασφημιῶν. Εἰ γοῦν ἀναγκαῖον ἐτύγχανε καὶ ἡμῖν ἐπὶ τοῦ παρόντος ὁπλίζειν τὴν γλῶτταν κατὰ τῶν ἐναντίων, ὡς ἔφαμεν, οὐ τοιούτοις ἂν ἐχρησάμεθα τοῖς ὀνόμασιν, οἷς τὸ πολύτροπον καὶ πολυσχιδὲς ἐμφωλεύει τοῦ νοῦ, ἀλλὰ τοῖς ἀναμφισβητήτως ὡμολογημένοις καὶ συμπεφωνημένοις ἐξ ἀμφοῖν καὶ ὅσα εἰς ἐπινοίας ἄγουσιν ἡμᾶς ἐξ ἀνάγκης τῶν νοητῶν κατὰ τὸ ἁπλούστερον· ἐπεὶ πάμπολλα σφόδρα καὶ ταῦτα ἐπανθεῖ τῇ θείᾳ γραφῇ. ἐπεὶ δ' οὐκ ἀναγκαῖον τοῦθ' ἡμῖν ἐστιν ἐν τῷ παρόντι, ἐρηρεισμένοις καὶ ἡδρασμένοις ἐπὶ ταῖς κρείττοσι ῥήσεσι καὶ ἀσφαλεστέραις, ταῖς τε εὐαγγελικαῖς δηλαδὴ καὶ ὡς ἄνωθεν τοῖς ὁσίοις πατράσι τὸ θεῖον τῆς πίστεως κεκύρωται σύμβολον (ταῦτα γὰρ ὅροι καὶ θέσεις ὡς ἀληθῶς γνωριμώτεραί τε καὶ ἀναπόδεικτοι)· σιωπῇ τὰς αὐτῶν φιλονείκους ἐνστάσεις καὶ ἀντιθέσεις ἀνατρέπειν μᾶλλον ἢ λόγοις, ἐμοὶ δοκεῖ δικαιότερον. εἰ δέ τις ἐνίσταιτο, τοὺς θείους πατέρας συλλογισμοῖς πολλάκις χρωμένους παράγων ἐν τοῖς τοιούτοις· οὐκ ἂν ἔγωγε καίρια φάσκειν φήσαιμι τοῦτον. οὐ γὰρ ἵνα δείξωσιν, οὔθ' ὅ,τι ἐστὶ τὴν φύσιν ὁ θεὸς, 1.513 οὔθ' ὅ,τι ἐστὶν υἱοῦ γέννησις, οὔθ' ὅ,τι ἐστὶ πνεύματος ἁγίου ἐκπόρευσις, ἀλλ' ἵνα μᾶλλον ἄλλως ἐπίσχωσι τοὺς ἀτάκτως τῇ θεολογίᾳ ἐπιπηδῶντας. εἰ δ' οὖν, λεγέτω μοί τις παρελθὼν, τί βουλόμενος ὁ μέγας ἐν θεολογίᾳ Γρηγόριος οὑτωσὶ σχηματίζει τὸν λόγον πρὸς τοὺς ἐριστικῶς ἐρωτῶντας περί τε τῆς τοῦ υἱοῦ γεννήσεως καὶ τῆς τοῦ ἁγίου πνεύματος ἐκπορεύσεως· "1εἰπέ μοι,"2 φάσκων, "1σὺ τὴν ἀγεννησίαν τοῦ πατέρος, κἀγὼ τὴν γέννησιν τοῦ υἱοῦ φυσιολογήσω καὶ τὴν ἐκπόρευσιν τοῦ πνεύματος, καὶ παραπληκτίσομεν ἄμφω, εἰς θεοῦ μυστήρια παρακύπτοντες· καὶ ταῦτα τίνες; οἱ μηδὲ τὰ ἐν ποσὶν εἰδέναι δυνάμενοι, μηδὲ ψάμμον θαλασσῶν καὶ σταγόνας ὑετοῦ καὶ ἡμέρας αἰῶνος ἐξαριθμεῖσθαι, μὴ ὅτι γε θεοῦ βάθεσιν ἐμβατεύειν καὶ λόγον ὑπέχειν τῆς οὕτως ἀῤῥήτου καὶ ὑπὲρ λόγον φύσεως."2 καὶ μετ' ὀλίγα πάλιν, τοῦ ἐναντίου ζητοῦντος ὑπόδειγμα καὶ ὁμοίωσιν καὶ "1δός μοι"2 λέγοντος "1ἐκ τοῦ αὐτοῦ τὸ μὲν υἱὸν, τὸ δὲ οὐχ υἱὸν, εἶτα ὁμοούσια, καὶ δέχομαι



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

θεὸν καὶ θεὸν,"2 ἀποκρίνεται λέγων· "1δός μοι καὶ σὺ θεὸν ἄλλον καὶ φύσιν θεοῦ, καὶ δώσω σοι τὴν αὐτὴν τριάδα μετὰ τῶν αὐτῶν ὀνομάτων τε καὶ πραγμάτων. εἰ δὲ εἷς θεὸς μία φύσις ἡ ἀνωτάτω, πόθεν παραστήσω σοι τὴν ὁμοίωσιν;"2 λίαν γὰρ αἰσχρὸν, καὶ οὐκ αἰσχρὸν μόνον, ἀλλὰ καὶ μάταιον ἐπιεικῶς, ἐκ τῶν κάτω τῶν ἄνω τὴν εἰκασίαν λαμβάνειν καὶ τῶν ἀκινήτων ἐκ τῆς ῥευστῆς φύσεως, καὶ, ὅ φησιν Ἠσαΐας, ἐκζητεῖσθαι τὰ ζῶντα ἐν τοῖς νεκροῖς. διὰ τοῦτο καὶ ἀλλαχοῦ φησιν· "1ἐπὶ τῶν ἡμετέρων ὅρων ἱστάμε 1.514 νοι τὸ ἀγέννητον εἰσάγομεν καὶ τὸ γεννητόν· καὶ τὸ ἐκ τοῦ πατρὸς ἐκπορευόμενον, ὥς φησιν αὐτὸς ὁ θεὸς καὶ λόγος."2 ταῦτα δὴ τοίνυν οὐ θέλοντός ἐστι κατασκευάζειν ὅ,τι ἐστὶ ταῦτα, ἀλλ' ἀνασοβοῦντος καὶ ἀποτρέποντος τοὺς ἀλόγως εἰς τοιαύτας κατασκευὰς καταφεύγοντας. πῶς γάρ; ὃς οὐδ' ὀνόματά φησι προσήκοντα φύσει θεοῦ τοῖς ἀνθρώποις ἔστιν εὑρεῖν. ὀνομάζομεν γὰρ, ὡς ἡμῖν ἐφικτὸν, ἐκ τῶν ἡμετέρων τὰ τοῦ θεοῦ. "1εἰ γὰρ τῶν νοητῶν (φησὶν) ἔσχατα ψυχὴ καὶ λόγος κύριον οὐ κέκτηνται τοὔνομα· ψυχὴ μὲν γὰρ ὀνόματι θηλυκῷ προσαγορεύεται, τοιαύτην οὐκ ἔχουσα φύσιν, καὶ ὁ λόγος δ' ἄῤῥενος φύσεως ἥκιστα ὢν ἀῤῥενικὸν καὶ αὐτὸς ἐκτήσατο τοὔνομα· εἰ οὖν ταῦτα κύριον οὐ κέκτηνται τοὔνομα, πῶς ἂν τὰ πρῶτα καὶ πάντων ἐπέκεινα τῶν νοητῶν νοητὰ κυρίοις ὀνόμασιν ἐπικεκλῆσθαι φήσαιμεν"2; τοσαύτης τοίνυν νυκτὸς ἐπιπροσθούσης τῇ ἡμετέρᾳ διανοίᾳ τῶν τε νοημάτων καὶ ὀνομάτων, τίς ἂν ἐν τούτοις συλλογίζεσθαι δυνηθείη; εἰ δέ τις ἐπιχειροίη, διπλῶς ἁμαρτάνει. οὔτε γὰρ οἶδεν ἐν τούτοις οὐδὲν καὶ ἅμα λέληθεν ἑαυτὸν οὐκ εἰδώς. ὁ δ' οὐκ εἰδὼς ὅτε δεῖ καὶ ὅπη δεῖ συλλογίζεσθαι, οὐδ' ὅτε δεῖ συλλογιζόμενος, συλλογίσεται οἷα δεῖ καὶ ὅπως δεῖ· εἰ δ' αὐτὸς ἴσως, ἀλλ' οἵ γε ἀκούοντες δι' ὑποψίας ποιήσονται τὰ λεγόμενα καὶ φυλάξονται, ἀφέλειάν τε καὶ ἄνοιαν ἅπαξ αὐτοῦ καταγνόντες. τάχα δ' ἂν καὶ σιωπῇ παντελεῖ τὰς τῶν ἀτόπων ἐκείνων ἔριδας καὶ οἱ θεῖοι ἐκεῖνοι πατέρες ἀπεκρούσαντο, εἰ μὴ ἐς ἀνάγκας καὶ ἄκοντες 1.515 ἀντιλέγειν ἤγοντο, ῥᾷστα τὸν ὄχλον ὁρῶντες ταῖς ἄλλοτε ἄλλως ἐπιφυομέναις αἱρέσεσι προσιόντα διὰ τὸ ἀνέδραστον ἔτι περὶ τὴν πίστιν καὶ οὐ σφόδρα τοι ἀναμφίβολον. νῦν δ' οὕτω βεβαιωθέντων καὶ στηριχθέντων εἰς τὴν πίστιν τοῦ πλήθους, ὥστε θᾶττον ἂν ἴδοι τις τὸν σίδηρον μεταθέντα τὴν φύσιν, ἢ τούτους βραχὺ τῶν πατρίων μεταθεμένους δογμάτων, τίς χρεία λόγων ὠφελησόντων οὐδέν; καὶ γὰρ ἵνα κἀγὼ τὰ τοῦ Ἀποστόλου κατὰ καιρὸν φθέγξωμαι, πέπεισμαι, ὅτι οὔτε θάνατος, οὔτε ζωὴ, οὔτε ἄγγελοι, οὔτε ἀρχαὶ, οὔτε δυνάμεις, οὔτε ἐνεστῶτα, οὔτε μέλλοντα, οὔτε ὕψωμα, οὔτε βάθος, οὔτε κτίσις ἑτέρα δυνήσεται τούτους τῶν πατρίων ἀποστῆσαι θεσμῶν καὶ δογμάτων. ἔπειτα, εἰ μὲν πρώτως ἤδη ταῦτ' ἐνοχλοῦντες ἦσαν καὶ πρώτοις ἡμῖν τὰ τοιαῦτα προὐτίθεσαν, ἴσως ἂν καὶ αὐτοὶ πρὸς λόγων ἀγῶνας παρεσκευαζόμεθα τήμερον ξύν γε θεῷ. ἐπεὶ δὲ πάλαι ταῦτ' ἐξήτασται καὶ τάξιν εἰλήφεσαν τὴν προσήκουσαν καὶ τὸ κῦρος λαμπρὸν παρεπέμφθη τῷ χρόνῳ, κἀνταῦθα πολλάκις ἐνδημήσαντες οὗτοι πολλάκις καὶ ἀπεκρούσθησαν· ποῦ δίκαιον τοῖς πάλαι καλῶς δεδογμένοις τήμερον ἡμᾶς ἐνοχλεῖν καὶ ἀνήνυτα μοχθεῖν, ἀνακυκλοῦντας ἀεὶ τὰ αὐτά; καὶ τούτοις μὲν ἀνεπαχθὲς τοῦτο καὶ σφόδρα τοι περισπούδαστον. λογισμοὺς γὰρ ἐκ λογισμῶν ἀμείβοντες ὑποσαίνοντάς τε καὶ ὑπισχνουμένους ἀεὶ τὰ βελτίονα, ἢ περιτρέψειν ἠλπίκασι τὴν ἧτταν ὀψὲ τοῖς αὐτῶν ἐναντίοις ἡμῖν καὶ τὸ φθάσαν αἶσχος ἀποτρίψεσθαι, ἢ πολλὴν τῆς συνόδου καταχεαμένους τὴν γλωσσαλγίαν μετὰ τῆς συνήθους ὀφρύος, ἔπειτα ἐξελεύσεσθαι διασπείροντας πανταχῇ φήμην ἀναιδείας με 1.516 στὴν καὶ κλέπτουσαν τὴν ἀλήθειαν, ὡς ἐστήσαντο τρόπαιον, οἷα τὰ σφῶν αὐτῶν σμικρολογήματα. ἀλλ' ἡμῖν γε οὐ προδιδόναι τὸ μεγαλοπρεπὲς ἡμῶν δεῖ, οὐδ' ἃ συμφέρει τοῖς ἐναντίοις, ταῦθ' ἡμᾶς πράττειν χρεών· ἀλλὰ ταῦθ' ἡμᾶς μᾶλλον, ἅπερ ἡμῖν. ποῦ δ' οὐκ ἂν ἀγνωμοσύνης εἴη ἔλαῦνον, Ἑλλήνων μὲν ὁπόσοι Πυθαγόρειοί τε καὶ Ἐπικούρειοι, τούτους οὕτω τοι θεῖα καὶ ἀναντίῤῥητα τὰ τῶν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

διδασκάλων οἴεσθαι δόγματα καὶ θεσπίσματα, ὡς σιωπῇ τὰ σφίσι λεγόμενα δέχεσθαι, μήτ' ἀμφιβάλλουσαν ἀκοὴν, μήτε γλῶτταν προϊεμένους ἀντίφωνον· ἡμᾶς δὲ τοῖς θείοις νόμοις καὶ δόγμασι τῶν τῆς ἡμῶν ἀρχηγῶν εὐσεβείας καὶ πίστεως οὐ μάλα ἐθέλειν ἀναποδείκτοις καὶ οἷά τισιν ὅροις κεχρῆσθαι, ἀλλ' ἀμφιβαλλόντων καὶ πολυπραγμονούντων ἄλλων ἀνέχεσθαι καὶ κατακερματιζόντων τὸν νοῦν, καθάπερ ποιοῦσι καὶ οἱ πολέμιοι τὰ λάφυρα ξύν γε πολλῇ περιέλκοντες ἀκοσμίᾳ. εἰδέναι μέντοι καὶ τοῦτο χρεὼν, ὡς οὐχ ἁπλῶς οὐδὲ καθ' ἕνα γε τὸν τρόπον τὰς τῶν θείων πατέρων γραφὰς ἐκλαμβάνειν δέον. τὰ μὲν γὰρ αὐτῶν διδασκαλικώτερόν τε καὶ οἰκονομικώτερον ἐξεδόθη τὸν τρόπον, καταλλήλως μὲν τοῖς προσώποις καὶ τοῖς ἄλλοτε ἄλλως ἀνθοῦσι καιροῖς· εὐσεβῶς δ' ἅπαντα· αἱ μὲν γοῦν τῶν γραφῶν οὕτως ἐξεδόθησαν, αἱ δὲ δογματικῶς, αἱ δὲ ἐγκωμιαστικῶς, αἱ δὲ ἀγωνιστικῶς. οὔτ' οὖν τὰς ἄλλοθεν ἀγωνιστικὰς ἄλλοσε μεταφέρειν χρεών. ἐπεὶ οὐδ' εἴ τις πολεμίοις μαχόμενος καὶ ὅλην ἀπασχολῶν τὴν διάνοιαν ἐς τὸ ξίφος καὶ τὴν ἀσπίδα πρὸ ποδῶν ἱστάμενον τὸν συστρατιώτην ἐξώθησεν, οὔτε νόμον ἡγεῖσθαι τὸ 1.517 πεπραγμένον, οὔτε τῷ πεπραχότι δίκαιον ἐγκαλεῖν, τῆς ἀνάγκης ἄλλοσε τηνικαῦτα περισπώσης τὸν λογισμὸν καὶ ἥκιστα συγχωρούσης ἄλλως πεπράχθαι τὸ πεπραγμένον. οὔτ' οὖν τοῦθ' οὕτω χρὴ ποιεῖν, οὔτε μὴν ταῖς ἐγκωμιαστικαῖς ὡς νόμοις κεχρῆσθαι. αὐτονομία γὰρ ἐκ τῆς τέχνης καὶ τοῖς ἐγκωμιάζουσι δέδοται λέγειν ὅσα βουλομένοις εἴη ἄν. ὅσας γε μὴν δογματικῶς τε καὶ ἀποφαντικῶς ἐκεῖνοι ἐξενηνόχασι, τούτοις δ' ἄρα ἀνέγκλητόν τε καὶ ἀσφαλὲς οἷά τισι κανόσι καὶ στάθμαις πρὸς τὴν πίστιν κεχρῆσθαι. ἐγὼ τοίνυν ὥσπερ τοὺς Ἰταλοὺς διασύρω καὶ μέμφομαι, ἰταμῶς οὑτωσὶ καὶ μετὰ πολλῆς τῆς ὀφρύος τῇ θεολογίᾳ ἐπιπηδῶντας, τὸν αὐτὸν δὴ τρόπον αἰσχρὸν καὶ παλίμβολον ἥγημαι, ὧν μὲν ἐπαινοῦμεν τἀναντία ποιεῖν ἡμᾶς, οἷς δὲ ψέγομεν τὰ παραπλήσια. οὐ γὰρ ὅτι ἐκεῖνοι τολμηροὶ καὶ θρασεῖς περὶ τὰ τοιαῦτα, διὰ τοῦτο καὶ ἡμᾶς ἕπεσθαι δεῖ· οὐδ' ὅτι τῆς εὐθείας ἐκεῖνοί γε ἐξετράποντο καὶ ἡμᾶς τῶν καθεστώτων χρεὼν ἀμελεῖν· ἀλλ' ἀκλινεῖς τῶν προσηκόντων ὅρων ἱσταμένους ἐντὸς τοὺς τοιούτους παρακρούεσθαι κρότους, καθάπερ προβλῆτες ἀτίνακτοι τὰ προσπίπτοντα κύματα. δέδοικα γὰρ, μὴ καπνὸν φεύγοντες εἰς πῦρ βλασφημίας ἐμπίπτωμεν. ὃ γὰρ παρ' Ἕλλησι πάλαι τεθρύλληται περὶ Πλάτωνος, ὡς ἐκείνου γε παρὰ Διονύσιον τὸν τῆς Σικελίας ἐπιδημήσαντος τύραννον κονιορτοῦ τὰ βασίλεια ἐνεπίμπλαντο, περὶ τὰς γραμμικὰς ἀσχολίας τηνικαῦτα τῶν πλείστων ὁρμώντων, τοῦτο δὴ καὶ παρ' ἡμῖν τρόπον ἕτερον γίγνεται σήμερον. οὕτω γὰρ καὶ παρ' αὐτοῖς εἰπεῖν τοῖς βαναύσοις ἐκκέχυται τὰ θεολογίας μυστήρια καὶ οὕτω κεχήνασιν ἅπαντες ἐπὶ 1.518 τῷ συλλογιστικῶς ἐμβατεύειν τοῖς λόγοις αὐτῶν, ὥσπερ ἐπὶ τῇ χλόῃ καὶ ταῖς νομαῖς τὰ βοσκήματα. καὶ οἱ τὸ πιστεύειν ὀρθῶς ἀμφίβολον ἔχοντες, καὶ οἱ μηδ' ὅπως δεῖ πιστεύειν εἰδότες μηδ' ὅ,τι ἐστὶν ὃ πιστεύειν φασὶν, ἀγορὰς καὶ περιπάτους καὶ θέατρα πάντ' ἐμπεπλήκασι τῆς θεολογίας καὶ οὐδὲ τουτονὶ τὸν ἥλιον αἰσχύνονται μάρτυρα τῆς ἀναιδείας ποιούμενοι. πῶς δ' οὐκ ἂν εἴη τῶν σφόδρα ἀτοπωτάτων, πάλαι μὲν ὁ πότε τὰ Ἑλλήνων ἤκμαζε δόγματα, τάξιν ἐπιπολάζειν καὶ ἃ τοῖς Δελφῶν θεολόγοις ἐφεῖται μυστήρια, μηδενὶ τῶν ἄλλων ἐξεῖναι μήτε λέγειν μήτε περινοεῖν, κἂν Σωκράτης ᾖ, κἂν Πλάτων, κἂν εἴ τις ἐπὶ σοφίᾳ περιφανής τε καὶ διαβόητος· παρ' ἡμῖν δὲ, οἷς ἀκίβδηλον τὸ τῆς εὐσεβείας ὁμολογεῖται μυστήριον, οὑτωσὶ βεβηλοῦσθαι τὰ θεῖα καὶ πᾶσι τοῖς θεολογεῖν βουλομένοις εἶναι τοῦτ' ἐφειμένον καὶ αὐτοχειροτόνητον. ἀλλ' ὁ πολὺς ἐν θεολογίᾳ Γρηγόριος τοσοῦτον ἀποδειλιᾷ πρὸς θεολογίαν τὴν γλῶτταν κινεῖν, ὥσπερ τὴν χεῖρα πρὸς φλόγα πυρός. ὥστε καὶ πολλοὺς πρὸς παραίτησιν προβάλλεται λόγους, ἐν οἷς οὔθ' ἑαυτὸν ἐγχειρεῖν προθυμούμενον τοῖς περὶ θεοῦ δείκνυσι λόγοις, οὔτε τὸν ἐγχειροῦντα θρασέως ἀποδέχεται. "1οὔτε γὰρ ἐπαινετὸς,"2 φησὶν, "1ὁ πόθος, ἀλλὰ καὶ φοβερὸν τὸ ἐγχείρημα."2 παρεισάγει δὲ καὶ Ὀζᾶν ἐκεῖνον, ὃς τῆς κιβωτοῦ πάλαι ψαῦσαι



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τολμήσας μόνον ἀπώλετο, φυλάσσοντος, φησὶ, τοῦ θεοῦ τῇ κιβωτῷ τὸ σεβάσμιον. εἰ δὲ καὶ βασιλεὺς τάχιστ' ἂν ἐξ ἀνθρώπων ποιήσειεν, εἴ τις τῶν ὑπηκόων 1.519 ἀναιδῶς ἐπὶ τῆς ἑαυτοῦ κεφαλῆς τὸ βασιλικὸν ἐπιθεῖναι τολμήσειε στέφος, πόσων ἂν εἴη κεραυνῶν καὶ πρηστήρων ἄξιος, εἴ τις αὐτονομίᾳ θρασύτητος οὑτωσὶ τῆς θεολογίας κατατολμᾷ; ἐθέλω γὰρ καὶ μικρὸν ἐκ τῶν πάλαι προσθεῖναι τῷ λόγῳ διήγημα, τῇ ὑποθέσει πάνυ τοι σφόδρα προσῆκον. Ἀλέξανδρόν φασιν, ἐκεῖνον τὸν Μακεδόνα, μετὰ τὸν πολὺν ἐκεῖνον δρόμον καὶ τὰ μεγάλα τρόπαια, ἐπειδήποτε ῥᾳστώνης ἕνεκά τινος καὶ θυμηδίας ἐπιβὰς τριήρους ἔπλει περισκοπῶν καὶ ποταμὸν τὸν Εὐφράτην, ἐκπίπτει τῆς αὐτοῦ κεφαλῆς, συμβὰν οὑτωσί πως, ἡ βασιλικὴ καλύπτρα περὶ μέσον τὸν ποταμόν· ἣν τάχιστά τις τῶν ναυτῶν εἰλήφει διανηξάμενος· καὶ αὐτὴν μὲν τῇ χειρὶ βαστάζειν ἅμα καὶ νήχεσθαι μὴ ἔχων, τῇ ἑαυτοῦ κεφαλῇ περιθεὶς ἐξενήξατο κομίζων ταύτην τῷ βασιλεῖ· ὅ γε μὴν βασιλεὺς, ὅτι μὲν τὴν βασίλειον καλύπτραν αὐτῷ διεσώσατο, τάλαντον ἐδωρήσατο· ὅτι δ' αὐτὴν ἀναξίως τῇ ἑαυτοῦ κεφαλῇ περιέθηκεν, ἀφαιρεῖται τῆς κεφαλῆς τὸν ἄνθρωπον. εἰ δ' ἄνθρωπος ἄνθρωπον οὐκ ἠνέσχετο τὴν αὐτὴν ἑαυτῷ περιθέντα καλύπτραν ζῶντα βλέπειν ἐᾶσαι τοῦ λοιποῦ τὴν τὰ πάντα βόσκουσαν αἰθερίαν λαμπάδα, τί φήσομεν περὶ τῶν ἀδεῶς οὑτωσὶ τῇ θεολογίᾳ ἐπιπηδώντων καὶ ταῦτα μήτε δαίμονας δυναμένων ἐκβάλλειν, μήτε θάλασσαν τέμνειν, μήτε ποταμοὺς ὑδάτων παρασκευάζειν ἐκβλύζειν ἐκ πέτρας, ἵνα τούτοις γοῦν μεταπείσωσι τοὺς πολλοὺς καὶ πρὸς ἑαυτοὺς ὡς εἰκὸς ἀνθελκύσωσιν; ἀλλ' ἐγὼ μὲν ἃ συμφέρειν ἐνόμισα, ταῦτα καὶ λέγειν προῆγμαι. εἰ δὲ καὶ τοῖς ἀκούουσιν ἀκοῆς ἄξια ταῦτα φανείη, τῷ θεῷ χάρις τῷ 1.520 πάντων καλῶν χορηγῷ. εἰ δ' οὖν, σκεπτέον τὸ βέλτιον."2 (Γ.) Ταῦτα διεξελθὼν ὁμόστοιχα λέγειν ἔδοξα τοῖς ἐλλογιμωτέροις τῶν ἐπισκόπων τοῖς τε ἄλλοις καὶ μάλιστα Δυῤῥαχίου τῷ πάνυ· ὃς πολιᾷ βίου καὶ συνέσεως ὀξύτητι καὶ μεγαλοφυΐᾳ γνώμης διέπρεπεν ἐν τοῖς ἐπισκόποις, λόγῳ τε τὴν ἀρετὴν κοσμῶν καὶ ἀρετῇ τὸν λόγον. οἷς ἀκολουθεῖν πεπείκασιν ἑαυτοὺς καὶ ὅσοι μὴ λόγοις τὴν γλῶσσαν ὁπλίζειν ἐδύναντο, πᾶσαν ἐριστικὴν ἐξ ἀνάγκης ἀποθέμενοι γνώμην. (Δ.) Ἐν τούτῳ τῷ χρόνῳ καὶ ὁ δεσπότης τετελεύτηκε Κωνσταντῖνος, ἑαυτῷ γε συνθάψας ὁμοῦ καὶ τὰς ἀκαίρους τῶν πολλῶν προσδοκίας. 1.523 α΄. Τοῦ δ' ἐπιόντος ἔτους οἱ Τοῦρκοι πλεῖστα ναυπηγησάμενοι πλοῖα οὐ μόνον τὰς νήσους κακῶς διετίθεσαν τάς τε κατὰ τὸν Αἰγαῖον καὶ μετὰ τὸν Αἰγαῖον, ἀλλὰ καὶ τὰς ἐπ' ἐμπορίᾳ ἐξιούσας ὁλκάδας αἱροῦντες ἐληΐζοντο· συχνὰς δὲ καὶ τὰς ἀποβάσεις ἐς τὴν μεσόγειον ἐποιοῦντο, καθάπερ ἐν φιλίᾳ γῇ, μηδένα τὸν προσιστάμενον ἔχοντες. ἃ δὴ κοινήν τε ἐπῆγε φθορὰν Λατίνοις ὁμοῦ καὶ Ῥωμαίοις καὶ ἔτι μείζονα ἠπείλει τὸν φόβον ἐν τοῖς ἑξῆς. (Β.) Κοινολογοῦνται τοίνυν συνελθόντες οἱ τῶν Λατίνων ἄρχοντες περὶ τοῦ πράγματος πρός τε ἀλλήλους καὶ πρὸς Κάρουλον τὸν τῆς Ἰταλίας ῥῆγα καὶ πρὸς ἄμυναν τῶν πολεμίων παρα 1.524 σκευάζεσθαι ἐπαγγέλλονται. πέμπουσι δὲ καὶ πρὸς βασιλέα πρεσβείαν, διασαφοῦντές τε τὴν κοινὴν τῶν Λατίνων ὁρμὴν καὶ ἅμα ἀξιοῦντες διαναστῆναι καὶ αὐτὸν ἐς τὴν κοινὴν χρείαν καὶ μὴ ἐν παρέργῳ θεῖναι τὰ τῆς σπουδῆς. οὐ γὰρ ἀνεκτὰ ἔφασκον εἶναι, ὅσα Ῥωμαίοις ἐπάγουσι καὶ Λατίνοις οἱ βάρβαροι καθ' ἡμέραν δεινὰ, καὶ ὅσα ἐπάξειν ἔτι ἐπαγγέλλονται. ἄτοπον δὲ καὶ ἄλλως καὶ νωθροτάτης πάντη διανοίας καὶ γνώμης, παρὸν τῇ καθ' ἕκαστον ἔτος γινομένῃ ζημίᾳ καὶ παραπομπῇ τῶν ἡμετέρων χρημάτων πρὸς τοὺς βαρβάρους ἀκόντων ἡμῶν ἐς παρασκευὴν ναυτικῆς δυνάμεως καὶ ἄμυναν κατ' αὐτῶν χρήσασθαι, ἔπειτα ἑκόντας ἐνδιδόναι καὶ ἐς προφανῆ καὶ ἀναμφισβήτητον κίνδυνον ὥσπερ συνωθεῖν μετὰ τῶν ἡμετέρων καὶ ἡμᾶς αὐτούς. ἐπήνεγκαν δὲ τῇ πρεσβείᾳ καὶ ὥσπερ τινὰ ἐπῳδὸν, ὡς εἰ μὴ διανασταίης καὶ σὺ μεθ' ἡμῶν ἐς ἄμυναν τῶν κοινῶν πολεμίων, οὐκ ἂν φθάνοις καὶ αὐτὸς ὑφ' ἡμῶν ἴσα τοῖς ἐχθροῖς πολεμούμενος. (Γ.) Ταῦτα τὸν βασιλέα ἠνάγκασεν


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

εἰς τὴν κοινὴν καὶ αὐτὸν ταύτην χρείαν διαναστῆναι. καὶ ἐπεὶ χρημάτων ἐσπάνιζε τὰ βασιλικὰ ταμιεῖα, πέμπει τὴν ταχίστην τοὺς τὰς ἐπὶ Θρᾴκῃ καὶ Μακεδονίᾳ χώρας καὶ πόλεις ἀργυρολογήσοντας, καὶ ταῦτα πολλὰ πεπονηκυίας ὑπό τε τῶν ἄλλοτε ἄλλως ἐπιόντων φόρων καὶ ὑπὸ τῶν συχνῶν ἐφόδων ἔνθεν μὲν τῶν Τούρκων, ἐκεῖθεν δὲ τῶν Βουλγάρων. τούτων οὕτως ἐχόντων τάς τε παλαιὰς ἐπεσκεύαζον ναῦς καὶ ἑτέρας ἐξ αὐτῶν ἤδη κρηπίδων ἐναυπηγοῦντο παρ' ὅλον τουτονὶ τὸν χειμῶνα. ἔαρος δὲ ἤδη λήγοντος ὁ μὲν βασιλεὺς εἴκοσι ναῦς πε 1.525 πληρωκὼς πρὸς ἔκπλουν παρεσκευάζετο, ναύαρχος ἐθελοντὴς αὐτὸς τοῦ στόλου γιγνόμενος, καὶ ταῦτα πρὸς τῆς συζύγου δεσποίνης καὶ τῶν ἄλλων ἁπάντων κωλυόμενος, διὰ τὸ μὴ ἐς ἀξίαν βασιλικῆς περιωπῆς τὰ τοιαῦτα τῶν ἔργων ἀνήκειν. ὁ δ' ὥσπερ ἐν τοῖς ἄλλοις αὐτουργὸς αὐτὸς τῶν γιγνομένων ἐφιλοτιμεῖτο γίγνεσθαι, οὕτω κἀνταῦθα πολὺ τὸ φιλότιμον ἔσχε καὶ πλήρης ἦν πολεμικῆς ὁρμῆς. ἐκάθητο δὲ ὅμως καὶ τὴν τῶν Λατινικῶν δυνάμεων ἄφιξιν περιμένων. ἀλλὰ περὶ τοὺς νεωστὶ φυέντας ἐν σφίσιν αὐτοῖς θορύβους καὶ ταραχὰς οἱ Λατῖνοι ἀσχοληθέντες ἄπρακτοι καὶ ψευδεῖς περὶ τὰς ἐπαγγελίας ἐφάνησαν. (Δ.) Οἱ δὲ Ῥόδιοι καὶ οἱ τὴν παράλιον Φώκαιαν οἰκοῦντες, ἣ πλησίον κεῖται τῆς Σμύρνης, καὶ πρὸς τούτοις ὁ τῶν Κυκλάδων νήσων ἡγεμονεύων, δόλῳ μεταθέμενοι τὸν σκοπὸν, σύνθημα ἔσχον λάθρα ἐπιθέσθαι ταῖς τε Ῥωμαϊκαῖς νήσοις καὶ αὐταῖς ταῖς τοῦ βασιλέως ναυτικαῖς δυνάμεσι· δείσαντες ἴσως, μὴ ὁ βασιλεὺς τῶν ἄλλων ἀφέμενος ἐπ' αὐτοὺς τρέψηται. ὅθεν ἐπὶ Λέσβον ὁρμήσαντες ἅμα ναυσὶ πεντεκαίδεκα τῆς μὲν ἄλλης νήσου κύριοι γενέσθαι τέως οὐκ ἠδυνήθησαν· αὐτοὶ δὲ τῷ λιμένι τῆς Μιτυλήνης ἐξαίφνης προσχόντες προδοσίᾳ τὴν πόλιν εἷλον εὐθύς. (Ε.) Βουλομένων δὲ τῶν τε Ῥοδίων καὶ τοῦ τῶν Κυκλάδων νήσων ἡγεμόνος τά τε χρήματα διαρπάσαι καὶ τὴν ἄλλην ἐπίσης ἐπικράτειαν διανείμασθαι τῶν Λεσβίων, δόλῳ τινὶ καὶ ἀπάτῃ χρησάμενος ὁ τῶν Φωκαέων ἀρχηγὸς Κατάνης οἰκείαν τε φρουρὰν εἰσήγαγεν εἰς τὴν Μιτυλήνην καὶ ταύτην ἐσφετερίσατο, τούτους παρακρουσάμενος. ἐνόμισε γὰρ ῥᾳδίως ἐκεῖθεν καὶ ὅλης ἄνευ συμμάχων τῆς 1.526 νήσου κρατήσειν, ἅτε πλείονα συναμφοτέρων ἐκείνων μόνος αὐτὸς κεκτημένος δύναμιν. ὀκτὼ μὲν γὰρ ἦλθεν ἔχων τριήρεις μόνος αὐτὸς, ἃς ἐκ Γεννούας ἔφθη πεπληρωκώς· οἱ δὲ Ῥόδιοι τέτταρας· τὰς δ' ἑτέρας τρεῖς ὁ τῶν Κυκλάδων νήσων ἀρχηγός. αὐτὸς μὲν οὖν τοὺς μὲν τῆς Μιτυλήνης οἰκήτορας εὐθὺς ἐξῴκισε τῆς πατρίδος· ὁ δὲ τὴν γυναῖκα καὶ τὰ τέκνα μεταπεμψάμενος ἐκ Φωκαίας ἐκεῖ τὴν οἴκησιν ἔχειν εἵλετο, φρουρὰν ἱκανὴν ἐγκαταλιπὼν τῇ Φωκαίᾳ. κλῆρος δ' αὐτῷ περιελθὼν ἦν ἀπὸ προγόνων ἡ Φώκαια, πρὸς τοῦ βασιλέως καὶ πάππου τοῦ βασιλέως σφίσι δοθεῖσα ἐπιτροπῆς τε εἵνεκα καὶ χρημάτων τινὸς πορισμοῦ. διὸ καὶ κατὰ χρόνους τακτοὺς οἱ τὴν ταύτης ἐφορείαν διαδεχόμενοι γράμμασι βασιλικοῖς ἀνανεοῦντες ἀεὶ διετέλουν τὴν δόσιν τοῦ κλήρου, μὴ λάθῃ παρακρουσαμένη τὴν βασιλικὴν δεσποτείαν ἡ μεταξὺ τοῦ χρόνου μακρὰ περίοδος. ὁ δὲ Κατάνης οὗτος, νοσοῦντα ἑωρακὼς ἤδη τὰ Ῥωμαίων πράγματα, θρασύτερον διετέθη πρὸς βασιλέα καὶ ἠμέλει τῶν καθηκόντων δικαίων. ὅθεν καὶ τὴν τοῦ βασιλέως ὑφορώμενος αἰφνίδιον ἔφοδον ἑαυτόν τε κατὰ πᾶν τὸ δυνατὸν ἠσφαλίζετο καὶ τὴν τῆς Μιτυλήνης ἐμελέτα ἐπιβουλήν. καιροῦ δὲ ἤδη λαβόμενος εἰς πέρας καὶ τὴν ἐπιβουλὴν ἐξέῤῥηξεν. οἱ μέντοι συνδεδραμηκότες ἐπὶ τὴν τῆς Μιτυλήνης ἅλωσιν Ῥόδιοι μετὰ τῶν ἑτέρων τὴν τοῦ Φωκαέως Κατάνη μοχθηρίαν τῆς γνώμης κατεγνωκότες ἐς τὰ οἴκοι ἀνεχώρησαν. (΄.) Τούτων οὕτως ἐχόντων τοῦ προτέρου πλεῖον ἀναλαβόντες θράσος οἱ ἐν τοῖς Γαλάτου οἰκοῦντες Γεννουῖται διὰ τὸ τοῦ 1.527 Κατάνη προτέρημα (Γεννουΐτης γὰρ κἀκεῖνος ἐτύγχανε) πλείονα τῶν προτέρων ἐπῆγον καὶ προσετίθεσαν τοῖς Ῥωμαίοις τὰ ἀδικήματα καὶ τὰς ὕβρεις. διὰ γὰρ τὴν ἀτέλειαν, ἣν παρὰ πρώτου Παλαιολόγου Μιχαὴλ τοῦ βασιλέως εἰλήφεσαν, ὡς ἀνωτέρω εἰρήκαμεν, τὸ πλεῖον τοῦ τῶν Ῥωμαίων ναυτικοῦ προστιθέμενον


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐκείνοις καὶ μετασχηματιζόμενον ἐς μέγα μὲν τὸν Λατινικὸν ηὔξησε πλοῦτον, μέγα δ' ἠλάττωσε τὸν Ῥωμαϊκόν. ὃ δὴ καὶ σκληροτέρους κατὰ Ῥωμαίων αὐτοὺς ὑπέρφρονάς τε καὶ αὐθάδεις ἐπεποιήκει. ὅθεν τήν τε περὶ αὐτοὺς τάφρον βαθυτέραν ἐποίουν καὶ πύργους ὀχυροὺς κατὰ τὸ λεληθὸς ἐν σχήμασιν οἰκιῶν ἀνίστων· καὶ ἐπὶ τούτοις, χρήμασιν ὑποφθείροντες τοὺς τῶν βασιλικῶν προεστηκότας πραγμάτων, ἄδειαν πᾶσαν εἰλήφεσαν, ἀμπελῶνάς τε ὠνεῖσθαι καὶ οἰκίας ἀνιστᾷν ἐπὶ τοῦ πλησιάζοντος λόφου λαμπροῖς πεπυργωμένας τοῖς τείχεσιν· ὡς καὶ δεῆσαν πολεμεῖν Βυζαντίοις, μηδὲν εἶναι τὸ φόβον ἐπάγον καὶ κώλυμα τούτοις. (Ζ.) Ἐπεὶ δ' ἀρτίως ὁ βασιλεὺς τήν τε τῆς Μιτυλήνης ἐπύθετο ἅλωσιν καὶ τούτους αὖ ἐγγύθεν πέρα τοῦ δέοντος ἑώρα θρασυνομένους καὶ ἐς τὰ πλεῖστα παρασπονδοῦντας, περιελθὼν αἰφνιδίως ἐνέπρησε τὰς περὶ τὸν λόφον μεγάλας καὶ ὀχυρὰς ἐκείνας οἰκίας αὐτῶν· ἐν αἷς πολλά τε εὕρηται ὅπλα καὶ τόξα καὶ βέλη καὶ διάφορα. ταῦτα παρὰ προσδοκίαν ἰδοῦσι τοῖς Λατίνοις κατεπτηχέναι καὶ ἐκπεπλῆχθαι ἐπῄει καὶ δεδιέναι τὰ ἔσχατα. ἤλπισαν γὰρ αὐθημερὸν ἐπεισπεσεῖσθαι καί σφισι τὸν βασιλέα όλο 1.528 σχερῶς, πολλῆς περιεστηκυίας εἴπερ ποτὲ ναυτικῆς δυνάμεως. διὸ καὶ λάθρα ὡπλίζοντο καθ' αὐτούς. ἐπεὶ δ' ἄχρι τῆς ὑστεραίας περιμείναντες οὐδὲν πλέον διαπραττόμενον τὸν βασιλέα ἑώρων ἐπ' αὐτοὺς, ἀλλ' ὅλον ἠσχολημένον περὶ τὸν ἐς Μιτυλήνην ἀπόπλουν, ἀναθαῤῥήσαντες μάχην ἐκήρυξαν φανερὰν καὶ ἀδεῶς ἔς τε Βυζαντίους καὶ ἐς αὐτὸν βασιλέα ἐνύβριζον ξυλίνους τε περιήλασαν πύργους τοῖς ἑαυτῶν τείχεσι· καὶ τῶν μεγάλων ὁλκάδων τὰς μὲν εἰς πυθμένας θαλάσσης κατέδυσαν, τὰς δ' ὁπλίσαντες πρὸ τοῦ λιμένος ἀντ' ἄλλων προβόλων καὶ χαρακωμάτων ἔστησαν. ὁ δὲ βασιλεὺς μὴ βουλόμενος τὴν τοσαύτην παρασκευὴν ἐνταυθοῖ περισπᾷν μεγαλοψύχως τε ἐχρήσατο τοῖς παροῦσιν, ἠμεληκὼς τὸ παράπαν αὐτῶν, καὶ πρὸς ἔκπλουν παρεσκευάζετο πάσῃ σπουδῇ, πλείονας ἔτι δυνάμεις ἀθροίζων. (Η.) Ἐπεὶ δὲ μέχρις ὅλων ἑπτὰ ἡμερῶν ἐντὸς τείχους οἱ ἐν τοῖς Γαλάτου Λατῖνοι συγκλεισθέντες ἔμελλον ὑπὸ τοῦ οἰκείου δήμου διασπαραχθήσεσθαι, διὰ τὸ μὴ δύνασθαι φέρειν πλέον τὰ συμπεσόντα σφίσι δεινά· ὕδατός τε γὰρ ἐσπάνιζον καὶ ὅση ἐκ τῶν λαχάνων καὶ ὀπωρῶν ἦν ψυχαγωγία· οἵ τ' αὖ ἀγοραῖοι καὶ πένητες ἄνθρωποι, καὶ ὅσοι ἐκ τῶν ὠνίων τὸ ἐφήμερον ταλαντεύουσι κέρδος, οὗτοι δὲ πλείστην ὑπομένοντες ζημίαν πολλῷ πλέον κατὰ τῶν προεστώτων Λατίνων ἐμαίνοντο· διὰ δὴ ταῦτα πρὸς τὸ ταπεινότερον ἀπαλλάξαντες ὑπέκυψάν τε τῷ βασιλεῖ καὶ συγγνώμην ἔσχον τῆς ἀκαίρου ὀφρύος. (Θ.) Τοῦ γε μὴν ἔτους ἤδη μετὰ τὰς τοῦ κυνὸς ὄντος ἐπιτολὰς, ὅτε δὴ καὶ ἀφθονώτερα τὰ ἀρκτι 1.529 κὰ πνεύματα ἐς τὴν κάτω χέονται θάλατταν, ἄρας ὁ βασιλεὺς μετὰ πάσης τῆς ναυτικῆς δυνάμεως ἔπλει ἐς Μιτυλήνην. αἱ δ' ἑπτὰ τοῦ Κατάνη τριήρεις τὴν Μιτυλήνην παραπλέουσαι, πλείους ἢ κατὰ προσδοκίαν ἐπιούσας τὰς τοῦ βασιλέως ἑωρακυῖαι, αἱ μὲν δύο φθάσασαι προσωρμίσθησαν τῷ τῆς Μιτυλήνης λιμένι, αἱ δὲ πέντε ἀπεγνωκυῖαι ἐς τὴν χέρσον ἐξώκειλαν καὶ πάντες οἱ ἐν αὐταῖς ἀποθέμενοι τὰ ὅπλα ἔφευγον· ὧν οἱ μὲν ἔδραμον εἰς τὴν Μιτυλήνην, οἱ δ' ἀνοδίᾳ χρησάμενοι διεφθάρησαν ὑπὸ τῶν Λεσβίων. τὰς δὲ πέντε ναῦς πλήρεις ὅπλων καὶ ὀψωνίων ναυτικῶν οἱ τοῦ βασιλέως λαβόντες ἀπέπλευσαν ἐς Χίον τὴν νῆσον ἅμα τῷ βασιλεῖ, πληρώσοντες τὰς ἤδη ληφθείσας πέντε τριήρεις ἐκείνας ἐρετῶν τε καὶ ὁπόσοι ἐκ τῶν καταστρωμάτων μάχεσθαι ἔμελλον. μέγα δ' ἐγένετο ἐναντίωμα τῇ τοῦ βασιλέως σπουδῇ καὶ θελήσει ἡ πρὸς τὴν Χίον αὕτη διατριβή. ἀδείας γὰρ ὁ Κατάνης λαβόμενος τήν τε Μιτυλήνην ὠχυρώσατο καὶ πολλὴν εἰσήνεγκε δύναμιν στρατιωτικὴν καὶ χορηγίαν ἀφθονωτέραν τῶν χρειωδῶν· καὶ ἔτι ἐς Φώκαιαν πέμψας ἃς εἶχε δύο ταχυπλοούσας τριήρεις τὰ ὅμοια ἐπεπράχει πολλῇ χρησάμενος τῇ σπουδῇ. μετὰ δὲ ταῦτα καταπλεύσας ὁ βασιλεὺς μετὰ τῶν δυνάμεων ἐς Φώκαιαν, προσκαλεσάμενος δὲ καὶ τὸν τὴν πέριξ ἐπαρχίαν ἔχοντα Τοῦρκον, ἅτε εἰδὼς κἀκεῖνον ἀχθόμενον ἐκ πολλοῦ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τοῖς Φωκαεῦσι Λατίνοις διὰ τὰς ὑπὸ σφῶν ἐπαγομένας αὐτῷ συχνοτέρας ζημίας, περιεστρατοπέδευσεν οὕτω τὸ φρούριον ἔκ τε γῆς καὶ θαλάττης πολιορκῶν, πολλῆς τῆς χορηγίας τῶν χρειωδῶν παραγινομένης ἐς τὰς τριήρεις παρὰ τῶν Τούρκων.
1.530 β΄. Τοῦ μέντοι βασιλέως μετὰ τῶν ναυτικῶν δυνάμεων ἀποδημοῦντος καὶ ἀδείας μακρᾶς ἐπιχωριαζούσης ἐς τὰ βασίλεια, στάσιν τῶν νεωτέρων τινὲς μεμελετήκεσαν, συνεργοὺς ἕξειν ἠλπικότες καὶ τοὺς ἐν τοῖς Γαλάτου Λατίνους διὰ τὰ φθάσαντα σκάνδαλα. ἦν δὲ τῆς στάσεως ὁ σκοπὸς, ὡς ἐλέγετο, τὸ βασίλειον κράτος, εἰ δυνηθεῖεν ἀποκτεῖναι πρῶτον τήν τε δέσποιναν καὶ τὸν ταύτης υἱὸν Ἰωάννην τὸν βασιλέα καὶ ἐφεξῆς ὁπόσοι ἐναντιώσεσθαι μέλλοιεν. ἀλλ' ἐν ὠδῖσιν ἔτι μενούσης τῆς μελέτης καὶ τῶν στασιαστῶν λάθρα τὸ πρᾶγμα διὰ μεγάλης ποιουμένων σπουδῆς, οὐκ ἔλαθε τὰ δρώμενα Καντακουζηνὴν, τὴν τοῦ μεγάλου δομεστίκου μητέρα· ἣν πάρεδρον τῇ δεσποίνῃ μέλλων ὁ βασιλεὺς ἀποπλεῖν καταλέλοιπεν, ἅτε βουλευτικὴν γυναῖκα καὶ σεμνότητος ἤθεσι κοσμουμένην καὶ βαθεῖαν πλουτοῦσαν τὴν σύνεσιν καὶ πάνυ τοι σφόδρα ἐν τοῖς ἀπόροις εὐμήχανον. ἣ δὴ καὶ ὁμοῦ τῇ πάντα ἀρίστῃ δεσποίνῃ, πρὶν ἐπὶ μέγα ῥαγῆναι τὸ πρᾶγμα κακίας, συνέστειλε συνετώτατα· οὐκ ἄνευ μέντοι δυσχερείας ἀποκρουομένης τὸ ῥᾷστον, συνέστειλε δ' οὖν. (Β.) Τοῦ δὲ χρόνου περὶ τροπὰς ὄντος ἤδη χειμερινὰς ὁρῶντες οἱ τὸ τῆς Φωκαίας ἔχοντες φρούριον Λατῖνοι, ὅτι μήτε χειμῶνος ἀκμὴ θραῦσαι δύναται τὸ τοῦ βασιλέως ἐπίμονον, καὶ ταῦτα τῆς ναυτικῆς ὅλης δυνάμεως ἐν ὑπαίθρῳ τὴν πολιορκίαν ἀνυτούσης νύκτωρ καὶ μεθ' ἡμέραν κατὰ τὸ συνεχὲς, μήθ' ἡ μακρὰ τῶν οἰκείων ἀποδημία, μήτ' ἄλλο τι τῶν ὅσα ῥᾳστώνην ἄφθονον παρέχει τῶν χρειωδῶν,
1.531 ἐς ἀπογνώσεις ἐχώρουν, καὶ μάλισθ' ὅτι καὶ τὰ σιτία σπανίζοντα ἐν σφίσιν ἑώρων αὐτοῖς. ὅθεν καὶ διαπρεσβεύονται πρὸς Ῥοδίους καὶ δέονται μὴ περιϊδεῖν κινδυνεύοντας. οἳ καὶ διαλλακταὶ πρὸς βασιλέα ἐλθόντες λύουσι τὴν πολιορκίαν. δεδώκασι γὰρ εὐθὺς οἱ Φωκαεῖς τοὺς υἱέας τοῦ συμμαχοῦντος Ῥωμαίοις Τούρκου τῷ πατρὶ αὐτῶν, οὓς ἐκ πολλοῦ κλέψαντες εἶχον δεσμίους. δεδώκασι δὲ καὶ τῷ βασιλεῖ πίστεις ἀσφαλεῖς ὑπὸ μάρτυσι τοῖς Ῥοδίοις, τήν τε Μιτυλήνην ὅσον αὐτίκα ἀποδώσειν καὶ ὑπηκόους αὐτοὺς εἶναι τῷ βασιλεῖ κατὰ τὸ πρότερον αὖθις ἔθος καὶ τὴν πατρῴαν συμφωνίαν. (Γ.) Καὶ οὕτως ἐκεῖθεν τὴν ναυτικὴν ὁ βασιλεὺς ἀναλαβὼν δύναμιν ἐβουλήθη μὲν ποιήσασθαι τὸν κατάπλουν ἐς Μιτυλήνην· διὰ δὲ τοὺς ἐν Βυζαντίῳ θορύβους τῶν στασιαστῶν καὶ διὰ τὸ καταπεπονῆσθαι τὸν στρατὸν ὑπὸ τοῦ ψύχους ἐπανῆκεν ἐς τὸ Βυζάντιον μετὰ πάσης τῆς ναυτικῆς δυνάμεως. καὶ μετὰ βραχὺ συλλαβὼν τοὺς τὴν βασιλείαν λάθρα σφετεριζομένους καὶ διαστήσας ἰδίᾳ τοὺς στασιώτας αὐτῶν ἐξήταζε καὶ συνῆγε τἀληθὲς ἀφ' ἑκάστων. μετὰ δὲ ταῦτα συνηθροικὼς πᾶσάν τε τὴν σύγκλητον καὶ τοὺς ἐν Βυζαντίῳ τηνικαῦτα ἐπιδημοῦντας ἐπισκόπους σύν γε τῷ πατριάρχῃ, καὶ ὅσοι τοῦ δήμου τῶν Βυζαντίων ἐτύγχανον ἔκκριτοι, εἰς μέσον ἤνεγκε τούς τε στασιαστὰς τούς τε στασιώτας, καὶ ὅσοι ἐτύγχανον μάρτυρες. οἳ καὶ ἀλλήλους ἤλεγχον διαπληκτιζόμενοι καὶ παριστῶντες δι' ἀποδείξεων ἀναμφιβόλων κατ' ἀλλήλων τὰς ἀλλήλων συνωμοσίας καὶ τὰ ἔκτοπα καὶ κάκιστ' ἀπολούμενα ἐκεῖνα βουλεύματα· ὡς
1.532 κἀκείνους ἀφύκτῳ τῶν ἀποδείξεων ἀναγκασθέντας ὁμολογεῖν τὴν ἀπόνοιαν. καὶ τάχ' ἂν διεσπάσθησαν αὐτοῦ πρὸς τοῦ δήμου παντὸς, εἰ μὴ τὸ πολὺ τῆς τοῦ βασιλέως μακροθυμίας καὶ φιλανθρωπίας ἀνέστειλε τὴν ζέουσαν ἐκείνην ὁρμήν. ἔδειξε γὰρ τὴν συνήθη καὶ νῦν ἡμερότητα καὶ τὴν σύμφυτον καὶ ἡλικιῶτιν αὐτοῦ ἱλαρότητα ὁμοίως ἔν τε τῷ προοιμίῳ τῆς δημηγορίας ἔν τε τοῖς ἐπιλόγοις. ὡς δ' ἐν κεφαλαίῳ φάναι, τὰ τῆς δημηγορίας τοιάδε τινὰ ἦσαν. (Δ.) "1Εἶτα ποιμένα τις ἔχων καὶ κύνα περὶ τὸ ποίμνιον, ὦ παρόντες, ὅσῳ προθυμότερον διανυκτερεύοντας βλέπει κατὰ τῶν λύκων, τοσούτῳ καὶ αὐτὸς τόν τε πόθον περὶ αὐτοὺς καὶ τὸν ἡμερήσιον αὔξει δασμὸν τῆς τροφῆς. ἐμὲ δ' οἱ τὰ μάλιστά μοι καθ' αἷμα προσήκοντες, ὁρῶντες


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ὑπέρ τε τοῦ κοινοῦ γένους τῶν Ῥωμαίων καὶ ὑπὲρ αὐτῶν οἴκοι τρυφώντων πόῤῥω που τῆς πατρίδος πλανώμενον καὶ κινδύνοις ἔκ τε γῆς καὶ θαλάττης παραβαλλόμενον, καὶ ταῦτ' ἐν μέσῳ τε χειμῶνι καὶ τοσούτῳ παγετῷ, οὔτ' ἠλέησαν, οὔτε τι τῶν ὅσα παραμυθεῖται ψυχὴν οὕτω σφοδρότατα πάσχουσαν προὐνόησαν. ἀλλ' ἐῤῥύη δίκαιος ἅπας λόγος κατὰ κρημνῶν καὶ φαράγγων· καὶ ὥπλισαν μὲν γνώμην, ὥπλισαν δὲ δεξιὰν κατὰ τῆς ἐμῆς κεφαλῆς. καὶ νῦν τὸ καθ' αὑτοὺς ἐν κόνει μὲν τοὐμὸν αἷμα, ἐν κόνει δὲ τὸ τῶν ἐμῶν τέκνων ὁμοῦ τῇ συζύγῳ· καὶ ἀνατέτραπται μὲν τὰ τῆς τοῦ θεοῦ ἐκκλησίας νόμιμα, ἀνατέτραπται δὲ τὰ Ῥωμαίων πράγματα. πρὸς οὖν ταῦτα ποῖος σίδηρος, ποῖος δ' ἀδάμας οὐ 1.533 παραλύσει τὴν φύσιν;"2 (Ε.) Ἀλλὰ τὸ μὲν τῆς τοῦ βασιλέως δημηγορίας προοίμιον οὕτως ἱκανῶς εἶχεν ἐκκαλέσασθαι δάκρυα. τὰ δὲ μεταξὺ, μακροθυμίας ἱλαρότητι συγκεκραμένης ἤδη, τίς οὐκ ἂν ἰδὼν ἐτεθαυμάκει μακρόν; καὶ μάλισθ' ὅτε καὶ Δημήτριον τὸν δεσπότην ἐλέγχειν βουληθέντας τοὺς κατηγόρους ἀνέκοψε διὰ τὴν τῆς θείας αὐτοῦ Κραλαίνης αἰδῶ, ἅτε καὶ αὐτῆς ἐκεῖ τηνικαῦτα παρακαθημένης σὺν τῇ δεσποίνῃ, καὶ ὅσαι τῶν εὐγενῶν παρῆσαν ἀκροώμεναι, καὶ τὸ θεῖον καὶ ἀγγελικὸν σχῆμα περικειμένης. τότε δὴ καὶ ἡμεῖς ἐγγύς που παρακαθήμενοι λόγοις εὐφήμοις τὴν τοῦ βασιλέως ἡμερότητα μάλιστα πάντων ἐτεθαυμάκειμέν τε καὶ ἐπεκροτήσαμεν καὶ στήριγμα τῇ αὐτοῦ ταύτῃ χρηστότητι ἐδεδώκειμεν. γνώμην γὰρ ἀεὶ καθαρὰν, ὡς εἰκὸς, διεσώζομεν πρός τε τὴν Κράλαιναν καὶ τὸν αὐτῆς ἀδελφὸν διὰ τὸν μακαρίτην καὶ ἀοίδιμον βασιλέα, τὸν πατέρα αὐτῶν· πάντως δὲ καὶ δι' αὐτοὺς, ἐν τοιαύταις τύχαις κατενεχθέντας. ὡς πλέον ἐντεῦθεν μαλαχθέντα τὸν βασιλέα σιωπῇ παρελθεῖν καὶ τὰ Δημητρίου τοῦ δεσπότου ἐγκλήματα. ἦσαν δ' αὐτὰ τοιάδε τινά. ἐς μὲν τοὐμφανὲς ὡμολόγει τοῖς στασιάζουσι· καθ' ἑαυτὸν δ' ἕτερον ἔτρεφε λογισμὸν καὶ πάνυ τοι συνετόν. *** διὰ γὰρ αὐτὴν Κράλαιναν τὰς τοῦ δεσπότου τοῦ αὐτῆς ἀδελφοῦ κατηγορίας τέλεον παρεσκεύασε σιωπᾶσθαι. οὐ μόνα δὲ ταῦτα τὴν τότε τοῦ βασιλέως ἐνδείξασθαι ἔχει χρηστότητα, ἀλλὰ καὶ ἕτερα πλεῖστα. καὶ γὰρ καὶ τὰ μέχρι τέλους τῆς ἐξετάσεως ὁμοίως διή 1.534 νυσε καὶ οὐδὲν ἀπηνὲς ἐνεδείξατο πρὸς τοὺς ἐλεγχθέντας στασιαστάς. ἀλλὰ τοὺς μὲν ἄλλους ἀφῆκε τέλεον· μόνους δὲ τοὺς τοῦ Ἀσὰν υἱοὺς ἐν ἀδέσμῳ καὶ φιλανθρώπῳ κατεῖχεν εἱρκτῇ, ἵνα μὴ ἀτιμωρήτου καθάπαξ τῆς κακίας μενούσης πάντες εἰς τὴν ὁμοίαν κακίαν ὁρμήσωσιν. τὰ μὲν τῆς δημηγορίας ἐκείνης καὶ ἐξετάσεως οὕτως εὐφυῶς πως καὶ ἱλαρῶς διήνυσε τέως. (΄.) Ἐπεὶ δ' ἐκ τῶν πραγμάτων συνῆκεν ὁ βασιλεὺς, πολὺ τῶν πολλῶν διαφέρειν τὴν τοῦ θείου αὐτοῦ σύνεσιν Ἀλεξίου Φιλανθρωπηνοῦ, οὗ δὴ πολλαχῇ καὶ πολλάκις ἐμνήσθημεν ἔμπροσθεν, μετάμελον ἔσχεν ἤδη καθ' ἑαυτὸν οὐ μάλα μικρὸν, ὅτι μὴ κἀπὶ μάλα τοι πλείονα συγκεχώρηκε χρόνον αὐτῷ τὴν τῶν Λεσβίων διοίκησιν, καὶ ὅσαι κατὰ τὸν Αἰγαῖον νῆσοι Ῥωμαίων ὑπήκοοι. οὔτε γὰρ τῶν ἐχθρῶν οὐδεὶς ἂν Μιτυλήνην ἠνδραποδίζετο, οὔτ' ἐς τοσοῦτο ναυαγίων τὰ θαλάττης ἤλαυνε Ῥωμαίοις πράγματα. ὅθεν αὐτὸν τὴν ταχίστην ἐς τὴν ἐκείνων αὖθις ἐπιτροπὴν ἀφικέσθαι προσετετάχει. καὶ ἀπελθὼν ἐς τὴν προτέραν εὐθὺς τὰ πράγματα ἤγαγεν οὗτος κατάστασιν καὶ τοὺς μεταξὺ γενομένους διέλυσε κλύδωνας, μόλις μὲν, καὶ ξὺν πολλῇ περινοίᾳ, διὰ τὴν μεταξὺ γενομένην καινοτομίαν Μιτυλήνης καὶ τῶν ἐν Λέσβῳ πραγμάτων· ἐπανήγαγε δ' 1.535 οὖν. τοὺς γὰρ ἐν Μιτυλήνῃ τῇ πόλει μισθοφόρους πεντακοσίους καὶ φύλακας τῶν Λατίνων λάθρα σύνδυο καὶ σύντρεις μεταπεμπόμενος καὶ βριθούσαις δεξιαῖς ἐς τὰς πατρίδας προπέμπων ἔλαθεν οὕτω φρονίμως κενώσας τὴν πόλιν καὶ Ῥωμαίοις πεποιηκὼς ὑποχείριον. οὐ μόνον γὰρ ἐκ τοῦ γήρως ἔσχε λαμπρὰν ὁ ἀνὴρ τὴν πολυπειρίαν, ἀλλ' ὅτι καὶ τὰ τῆς πολυπειρίας ἐπ' αὐτῷ μέγαν εὗρε τὴν φύσιν συνεργὸν καὶ θεμέλιον. καὶ γέγονεν αὐτῷ διπλοῦς ὁ τῆς ἀρετῆς καρπὸς, πῶς μὲν αὐτοφυής τις καὶ ἀγεώργητος, πῶς δὲ γεωργηθεὶς χρόνων πλειόνων τύχαις καὶ γυμνασίαις. γ΄. Ἀρχομένου γε μὴν ἦρος ἤδη πλῆθος



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Σκυθῶν διαβάντες τὸν Ἴστρον κατέδραμον τὴν Ῥωμαϊκὴν Θρᾴκην ἄχρι θαλάττης Ἑλλησποντίας. ἔνθα δὴ καὶ, συμβὰν οὑτωσί πως, Τούρκων τισὶν ἐντυχόντες, ὁπόσοι λῃστρικόν τινα τρόπον κατὰ τὸ συνεχὲς περαιούμενοι τὸν Ἑλλήσποντον τὴν παράλιον πᾶσαν ληΐζονται Θρᾴκην, τοὺς μὲν δήσαντες ἀπήνεγκαν, τοὺς δ' ἀντιστάντας κατέκοψαν, πολέμιοι πολεμίους, ὥσπερ κύνες τεθνηκότι σώματι πολλάκις ἄρδην ἐπεισπίπτοντες. ὅ γε μὴν ἀσύνηθες ἔδοξεν ἔχειν ἤδη πρὸς τὰς ἄλλας ἐπιδρομὰς τῶν Σκυθῶν, τοῦτ' ἦν. πρότερον γὰρ ἐπιόντες, καθάπερ ἐξ ὄρους χειμάῤῥους ἐξαίφνης καταῤῥαγεὶς, τὰ προστυχόντα τε ἐλάμβανον καὶ εἰς τὴν ὑστεραίαν αὖθις ἀπήλλαττον. νῦν δ' ἐς τοσοῦτον παρέμειναν, ὥστ' οὐ διέλιπον ἐς ἡμέρας ὅλας πεντήκοντα φέροντές τε καὶ ἄγοντες καὶ ἐς κακῶν ἐσχατιὰς συνωθοῦντες τὴν χώραν. εἶτα ἀπῄεσαν, πλῆθος ἄγον 1.536 τες αἰχμαλώτων ὑπὲρ τὰς τριακοσίας, ὡς ἔφασαν οἱ πολλοὶ, χιλιάδας. καὶ τὸ αἴτιον τῆς τοιαύτης ἔφασκον εἶναι καταδρομῆς, ὅτι Ῥωμαῖοι πέμπειν ἠμέλησαν τὰ εἰθισμένα δῶρα τῷ τε τῶν Σκυθῶν ἡγεμόνι καὶ τοῖς περὶ αὐτὸν εὐγενέσιν. ἐδήλωσε δὲ τὴν βαρεῖαν ταύτην αὐτῶν ἔφοδον ἔκλειψις σελήνης ὁμοῦ καὶ ἡλίου, δεκαὲξ ἡμερῶν μεταξὺ γενόμεναι ἄμφω· ἡ μὲν σεληνιακὴ περὶ τὴν πρώτην τῶν ἰχθύων μοῖραν ὄντος τοῦ ἡλίου, ἡ δὲ περὶ τὴν πεντεκαιδεκάτην τῶν αὐτῶν. (Β.) Ἐν τούτοις τοῖς χρόνοις ἦρχε μὲν Τραπεζοῦντος Βασίλειος ὁ υἱὸς Ἀλεξίου τοῦ Κομνηνοῦ, διάδοχος αὐτὸς ἤδη βέβαιος μετὰ πολλοὺς τοὺς ἄθλους τῆς πατρικῆς ἀρχῆς καταστάς. ἐπέμφθη δ' αὐτῷ καὶ σύζυγος Εὐδοκία, ἡ νόθη τοῦ βασιλέως θυγάτηρ. (Γ.) Ὁ δὲ τῶν Αἰτωλῶν τε καὶ τῶν Ἀκαρνάνων ἀρχηγὸς Ἰωάννης ὁ κόντος θανάτῳ βιαίῳ τοῦ ζῆν ἀπήλλαξε, τῆς δίκης, ὡς τὸ εἰκὸς, περιελθούσης καὶ αὐτὸν τελευταῖον, καθάπερ δὴ καὶ τοὺς πρὸ αὐτοῦ. οὗτος γὰρ τὸν ἑαυτοῦ διαχειρισάμενος ἀδελφὸν, ὥσπερ κἀκεῖνος τὸν τῆς μητρὸς ἀδελφὸν, οὕτω τὴν διαδοχὴν ἐκομίσατο τῆς ἀρχῆς. τῆς δὲ δίκης οὐ σιωπᾷν εἰθισμένης ἐς τέλος ἐν τοῖς τοιούτοις, βιαίως καὶ οὗτος τοῦ ζῆν ἀπεῤῥάγη, φάρμακον παρασχούσης λαθραῖον αὐτῷ τῆς συζύγου. νοσημάτων γὰρ οὐκ ὀλίγων ὑποφυομένων ἐν τῇ οἰκίᾳ, δείσασα ἡ γυνὴ τὴν ἐπιβουλὴν τοῦ συζύγου πρὶν φονευθῆναι πεφόνευκε· καὶ οὕτω διάδοχος ἐκείνη σὺν δυσὶ παιδαρίοις τῆς τῶν Αἰτωλῶν τε καὶ Ἀκαρνάνων κατέστη ἀρχῆς. (Δ.) Ἐπεὶ δ' 1.537 ἐκ πολλοῦ καὶ πολλάκις καὶ παρὰ πλείστων ἤκουεν ὁ βασιλεὺς, ὡς οἱ κρίνειν ὀμωμοκότες ὀρθῶς καὶ μὴ παραφθείρειν ἐν μηδενὶ τὸ δίκαιον, περὶ ὧν καὶ ἡμεῖς ἐν τοῖς ἀνωτέρω φθάσαντες δεδηλώκαμεν, ἐκλαθόμενοι μὲν ἐκείνων ἐγγράφων καὶ φρικωδῶν ὅρκων, ἐκλαθόμενοι δ' ἐκκλησιαστικῶν τε καὶ βασιλικῶν ἐνταλμάτων οὐκ ἀδεκάστους ποιοῦνται τὰς κρίσεις· ἀλλὰ δῶρα λαμβάνουσιν ἀδεῶς καὶ κιβδηλεύουσι τὰς δίκας, καὶ τό γε μεῖζον, ὅτι ἐξ ἀμφοτέρων τῶν κρινομένων μερῶν δωροδοκοῦνται μὲν, οὐ κατάστασιν δὲ καὶ πέρας ταῖς δίκαις παρέχονται, ἀλλ' ἑκατέροις ἀνὰ μέρος ἐγχειρίζοντες γραμματεῖα, ἀπόφανσιν δῆθεν τῆς κρίσεως ἔχοντα, εἶτα ἐκπέμπουσι τοῖς προτέροις ἐνεχομένους ἐγκλήμασι καὶ διαπληκτισμοῖς· ἐπεὶ οὖν ταῦτα καὶ τὰ τοιαῦτα παρὰ πολλῶν ὁ βασιλεὺς ἤκουε, τὰ μὲν πρῶτα πείθεσθαι οὐκ ἐδύνατο, τὴν γενομένην ἐκ τῶν ὅρκων ἀσφάλειαν ἐνθυμούμενος· ὀψὲ δὲ βήματος γενομένου καὶ τῶν ἐπισκόπων καὶ πρεσβυτέρων συναθροισθέντων ἐν τῷ μεγίστῳ καὶ θείῳ νεῴ τῆς τοῦ θεοῦ Σοφίας, προκαθίσας ὁ βασιλεὺς ἅμα τῷ πατριάρχῃ πᾶσαν τοῖς βουλομένοις παρέσχετο χώραν ἐλέγχους κατὰ τῶν τοιούτων προφέρειν. καὶ ἤγοντο πλεῖστα καὶ ἀναμφισβήτητα καὶ πλείω τῶν ἀκουσθέντων τἀγκλήματα. καὶ ἵνα τἀν μέσῳ παρέλθωμεν, τῶν μὲν τεττάρων ὁ εἷς ἀθῶος ἀπήλλαξεν, οὐ προστριβέντος αὐτῷ τοῦ τῆς δωροδοκίας ἐγκλήματος· οἱ δ' ἕτεροι, δείσαντες μὴ διαῤῥαγῶσιν ὑπὸ τοῦ δήμου, φθάσαντες ἑαυτῶν κατεψηφίσαντο, οἱ μὲν τῶν τε ληφθέντων χρημάτων ἀπόδοσιν καὶ τοῦ δικάζειν στέρησιν παντελῆ· 1.538 ὁ δ' ἐπίσκοπος ἐπὶ τούτοις καὶ τὴν τῆς ἱερωσύνης ἀπαλλαγήν τε καὶ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀλλοτρίωσιν. ἐξώσθησαν δὲ τῆς βασιλίδος τῶν πόλεων κελεύσει τοῦ αὐτοκράτορος. (δ΄.) Θέρους δ' ἀρχομένου πάλιν ὁμοίως ἐταλαιπώρουν οἱ Θρᾶκες ἐκ τῶν Ἀσιατικῶν Τούρκων. διὰ γὰρ τὴν ἀεὶ τοῦ τοὺς Ῥωμαίους κατατροποῦσθαι συνήθειαν ἀδεῶς ὁπότε βούλοιντο διεπεραιοῦντο καὶ κάκιστα διετίθεσαν Θρᾴκην. οἱ μὲν οὖν τὴν Ἰωνίαν καὶ τὰ ἐπέκεινα κληρωσάμενοι διὰ τὰς πρὸ βραχέος κατὰ Φώκαιαν γενομένας πρὸς βασιλέα σπονδάς, ὡς εἰρήκειμεν, ἡσυχίαν ἦγον ἔν γε τῷ παρόντι. οἱ δὲ τὰ περὶ Τροίαν καὶ ὅσα τοῦ Ἑλλησπόντου παράλια κατοικοῦντες πλείσταις ναυσὶν αὐτοί τε καὶ ἵπποι αὐτῶν τὸν Ἑλλησπόντιον διαπεραιοῦνται πορθμὸν, καὶ κακῶς εὐθὺς διαθέντες Χερσόνησον ἐκεῖθεν εἰσβάλλουσι καὶ ἐς τὴν τῆς Θρᾴκης μεσόγειον, ὅτε δὴ καὶ ὁ βασιλεὺς περὶ Διδυμότειχον ἔτυχε διατρίβων. ὃς ἐπεὶ μὴ ἀξιόμαχον εἶχε στρατὸν, κατὰ πρόσωπον τοῖς ἐχθροῖς ἀπαντᾷν οὐκ ἐθάῤῥει. ἐνέδρας δὲ ποιῶν οὐκ ἠμέλει, αἴθριος διανυκτερεύων καὶ πείνῃ καὶ δίψῃ κατατήκων ἑαυτόν. ὀψὲ δὲ μοίρᾳ τινὶ τῶν ἐπὶ λείαν ἐξιόντων ἐντυχὼν τήν τε λείαν ἀφείλετο καὶ αὐτοὺς ἀπονητὶ διαφθείρει, πεντήκοντα καὶ ἑκατὸν ἐπιλέκτους ἅπαντας ὄντας. ὃ δὴ μαθόντες οἱ λοιποὶ διαπρεσβεύονται πρὸς βασιλέα. καὶ οὕτως οἱ μὲν ἔνσπονδοι εὐθὺς ἀνεχώρησαν οἴκαδε· ὁ δὲ βασιλεὺς τριταῖος ἐς Βυζάντιον ἀφικνεῖται. ἔσπευδε γὰρ διαβῆναι πρὸς Αἰτωλίαν, πονήρως ἐκεῖ τῶν πραγμάτων ἐχόντων μετὰ θάνατον τοῦ τὴν αὐθεντίαν 1.539 ἔχοντος κόντου καὶ τῆς γυναικὸς ἐκείνου καλούσης ἐκεῖθεν ἐπὶ καταλήψει τῆς ἀρχῆς. (Β.) Ἀλλὰ τοῦ αὐτοῦ θέρους ἱσταμένου, καὶ τοῦ βασιλέως παρασκευαζομένου πρὸς ἔξοδον, ἀγγέλλεται δεινὸν ἐξ Ἀσίας ἕτερον. τὸ δὲ ἦν, ὡς ὁ τῶν Βιθυνῶν ἀρχηγὸς Ὄρχανος ὁ Ἀτουμὰν λάθρα στρατολογῶν ἐκ πολλοῦ παρεσκεύασεν ἤδη δύναμιν ἱκανὴν καὶ μάλα τῷ σφετέρῳ βουλήματι ἀποχρῶσαν· ἣν δὴ καὶ ἑτοίμην οὖσαν μέλλειν ἐς τὴν ὑστεραίαν διαβαίνειν ἐξ Ἀσίας διχόθεν, τὴν μὲν ἐξ Ἱεροῦ, τὴν δ' ἐκ Προποντίδος, ἐς τὰ τῆς Βυζαντίδος προάστεια· τοῦτο γὰρ ἕως νῦν διετηρήθη τὸ μέρος πολεμίας χειρὸς μάλα ἀνώτερον. καὶ ἦν σκοπὸς, μετὰ τὸ διαρπάσαι πᾶν ὅσον ἦν ἐκ τῆς πόλεως πλῆθος ἐς ἅλωνας καὶ σίτου κομιδὴν περισπώμενον καὶ ὅσον ἦν ἐν τοῖς ἔξω χωρίοις τὴν οἴκησιν ἔχον, εἶτα καὶ δύο τινὰ τῶν τῆς πόλεως ἔγγιστα φρούρια εἰληφότας ἐκεῖθεν ὡς ἐξ ὁρμητηρίου ἐς μάχην παρατάττεσθαι τῶν Βυζαντίων. μηδὲ γὰρ ἔχειν ἔτι Ῥωμαίους ἀντίπαλόν σφισι δύναμιν, διὰ τὸ καταπεπονῆσθαι καὶ ἐφθάρθαι τῇ τε τῶν χρημάτων ἐνδείᾳ καὶ ταῖς πυκναῖς τῶν πολεμίων ἐφόδοις. ἔχοντας δὲ μεθ' ἑαυτῶν καὶ τὴν γνώμην τῶν ἐν τοῖς Γαλάτου Λατίνων, κουφοτέρας σφίσιν εἶναι τὰς ἐλπίδας καὶ ἐς ἅλωσιν τῆς βασιλευούσης. (Γ.) Ὁ μέντοι βασιλεὺς πυθόμενος τὸν ἔκπλουν ἐκείνων ἐξαίφνης, ἐπεὶ μὴ ἐδίδου καιρὸν ἡ περίστασις ἐς ἀνάλογον παρασκευὴν ἑτοιμάζεσθαι, δεῖν ἔκρινεν οὕτως ἀπαρασκεύως ἐξιέναι πρὸς μάχην, ἔχων ἀντὶ πάσης ὅπλων παρασκευῆς καὶ στρατεύματος τὴν εἰς θεὸν ἀῤῥαγῆ καὶ βεβαίαν ἐλπίδα καὶ 1.540 πίστιν. εἴκοσι μὲν οὖν τῶν ἐν ἡλικίᾳ εὐγενῶν ἀπολέξας καὶ τετταράκοντα τῶν παρατυχόντων στρατιωτῶν ἐκπέμπει διὰ τῆς ἠπείρου, δοὺς ἡγεμόνα σφίσι Καντακουζηνὸν, τὸν μέγαν δομέστικον· αὐτὸς δ' ἅμα τριήρεσιν ἀόπλοις τρισὶν ἐπὶ τὰς τῶν βαρβάρων ναῦς ἐποιεῖτο τὸν πλοῦν. οἱ μὲν οὖν βάρβαροι τέτταρας καὶ εἴκοσιν ἔχοντες ναῦς ἐκ τῶν Ἀσιατικῶν τῆς Προποντίδος κόλπων κατέπλευσαν καὶ ὡρμίσαντο Ῥηγίου ἐγγὺς, περὶ χωρίον ἀπέχον τῆς βασιλευούσης οὐ μεῖον σταδίων ἑκατὸν πρὸς τοῖς δέκα, περὶ ὥραν ἤδη τρίτην τῆς νυκτός. καὶ εὐθὺς ἀποβάντες ὥρμησαν ἐπὶ λείαν ἄλλοι ἄλλοθί που διαμερισθέντες, πρὶν αἰσθέσθαι τοὺς ἐν ταῖς χώραις οἰκοῦντας. καὶ ἦν ὁρᾷν μὲν ἅλωνας καομένας, ἀκούειν δὲ κλαυθμοὺς γυναικῶν καὶ νηπίων ἀπηνῶς ἑλκομένων. περὶ δὲ ὥραν ἐννάτην τῆς νυκτὸς, ἤδη τοῦ λυκαυγοῦς ὑποφαίνοντος, ἧκεν ὁ μέγας δομέστικος ἱππέας ἄγων ἑβδομήκοντα· καὶ διεσκεδασμένοις ἐντυγχάνων τοῖς βαρβάροις ἔκοπτεν αὐτοὺς, καθάπερ οἱ θερισταὶ τὸ λήϊον. ἅμα δὲ καὶ ὁ βασιλεὺς καταπλεύσας εἷλε τέτταρας καὶ δέκα ναῦς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

βαρβαρικὰς, ἀνελὼν τοὺς ἔνδον φρουρούς. αἱ γὰρ δέκα ἔφυγον εὐθὺς, προαισθομένων ἐνίων βαρβάρων καὶ εἰσδραμόντων εἰς αὐτάς. ἅμα δ' ἕῳ καὶ τοῦ βασιλέως ἀποβάντος ἐς ἤπειρον μέγιστον καὶ τῶν πώποτε μνημονευομένων ἔργον τετέλεσται. ἐφάνη γὰρ, ὡς οὐ τοῦ θέλοντος, οὐδὲ τοῦ τρέχοντος, ἀλλὰ τοῦ εὐδοκοῦντός ἐστι τὰ πάντα θεοῦ. μήπω γὰρ τοῦ ἡλίου τὸν μεσημβρινὸν παραλλάξαντος χίλιοι μὲν ἔγγιστα κατεκόπησαν τῶν βαρβάρων· τρια 1.541 κόσιοι δὲ ἑάλωσαν ζῶντες. τῶν δὲ Ῥωμαίων πέπτωκε μὲν οὐδείς· ἵπποι δ' οὐκ ὀλίγοι τούτων κατεκόπησαν. πεζοὶ γὰρ ὄντες οἱ βάρβαροι πράττειν οὐκ εἶχον γενναῖον οὐδὲν πρὸς ὡπλισμένους ἱππέας· ἀπογνόντες δὲ τολμηρότερον κατὰ τῶν ἵππων ἐχώρησαν. (Δ.) Οἱ μέντοι Ῥωμαῖοι, πρὸς ἀπογνώσεως καὶ δειλίας βυθοὺς ἐκ πολλοῦ καταδύντες, τῷ ἤδη περιχαρεῖ σφᾶς τε αὐτοὺς ἀνεκτήσαντο καὶ ἐς τὸν ἔπειτα χρόνον βεβαιοτέρας πρὸς κύριον ἐκτήσαντο τὰς ἐλπίδας. ἔγνωσαν γὰρ ἅπαντες ἐναργῶς, ὡς οὐκ ἀνθρώπινον τὸ πραχθέν· πῶς γὰρ ἐν τοιαύτῃ χρόνων περιφορᾷ, ὅτε τὰ μὲν Ῥωμαίων ἀπέγνωσται πανταχόθεν, τὰ δὲ βαρβάρων ηὔξηται πολλῷ πρὸς θαῤῥαλεώτερον διὰ τὴν μακρὰν τοῦ νικᾷν συνήθειαν; ἀλλὰ δεξιὰ κυρίου ἐποίησε ταῦτα καὶ ὁ βραχίων ἐκείνου τὴν τῶν ὑπεναντίων ἄμαχον ἀπονητὶ συνέτριψε δύναμιν. πολέμων γὰρ, οὓς ἐν ταῖς ἱστορίαις ἀκούοντες θαυμάζομεν διὰ τὸ ἑκατέρωθεν οὐκ εὐαρίθμητον πλῆθος τῶν στρατευμάτων, ἐν ὀλίγοις εὕροι τις ἂν τοσοῦτον μὲν πλῆθος κατακοπὲν, τοσοῦτον δὲ ζωγρηθὲν, ὅσον νῦν ὑπ' ἀνδρῶν ἑβδομήκοντα μόνων. (Ε.) Ἐς δὲ τὴν ἐπιοῦσαν αὖθις ὁ βασιλεὺς ἔκ τε ἠπείρου καὶ θαλάττης λαμπρῶς ὁπλισάμενος ἀφίκετο ἐς τὸν τοῦ Ἱεροῦ πορθμὸν, ἐλπίσας εὑρήσειν καταπλέοντας ἤδη τοὺς βαρβάρους κἀκεῖθεν κατὰ τὴν φήμην. ἀλλ' ἔμεινε τὰ τῶν ἐλπίδων ἀτέλεστα. πυθόμενοι γὰρ οἱ βάρβαροι τὴν τῶν ὁμοφύλων συμφορὰν ἀνεχώρησαν. ὁ μέντοι βασιλεὺς ἀναζεύξας ἐκεῖθεν ἀφίκετο νυκτὸς ἐκ τῶν βασιλείων πεζῇ τεσσαράκοντα καὶ πέντε σταδίων ὁδὸν ἐς τὸν θεῖον 1.542 νεὼν τῆς ὑπεράγνου θεομήτορος τῆς Ὁδηγητρίας, τοὺς εὐχαριστηρίους ἐκ μέσης ἀποδώσων ψυχῆς. ε΄. Ἀλλ' ἐκεῖνο μικροῦ με παρέδραμεν, ὅπερ ἐπανελθὼν ἀναλήψομαι. ἐν τούτῳ τῷ θέρει, τοῦ ἡλίου τῶν θερινῶν ἤδη τροπῶν ἁψαμένου, ἤρξατο φαίνεσθαι κομήτης ἐκ τῶν ἀρκτικῶν μερῶν τοῦ ὁρίζοντος ἀφ' ἑσπέρας ἑκάστης εὐθὺς μετὰ δύσιν ἡλίου. μᾶλλον δ' οὐ κομήτης ἦν, εἴ τις ἀκριβολογεῖν ἐθέλοι, ἀλλὰ πωγωνίας, ῥομφαίᾳ τινὶ ἐοικώς. ἐδόκει μὲν οὖν ἐσχηκέναι τὴν ἀρχὴν ἐκ τῶν τοῦ Περσέως μάλιστα ποδῶν, οἳ τῇ ῥάχει τοῦ ταύρου πλησίον εἶναι δοκοῦσιν· ἐπὶ δὲ τὰ πρὸς ἕω μέρη τοῦ κόσμου πέμπειν τὴν κόμην ἐπὶ πολὺ παρατείνουσαν. εἶτα ἐκεῖθεν ἀρξάμενος ἀνέβαινεν εὐθὺ τοῦ ἀρκτικοῦ πόλου, κινούμενος ἑκάστης ἡμέρας τρεῖς ἔγγιστα μοίρας. ἐπεὶ δὲ παρήλλαξε τὸν ἀρκτικὸν πόλον καὶ μετ' ἐκεῖνον τήν τε μικρὰν ἄρκτον καὶ τὰς καμπὰς τοῦ δράκοντος, ἔψαυσε καὶ τοῦ δεξιοῦ ποδὸς τοῦ Ἡρακλέους καὶ μετ' αὐτὸν τοῦ τῆς Ἀριάδνης στεφάνου. ἐκεῖθεν διέδραμε τὴν ἀριστερὰν χεῖρα τοῦ Ὀφιούχου. καὶ ἐπειδὴ πλάτος ἐνταῦθα ζωδιακοῦ καὶ ἰσημερινὸς καὶ τόπος θερμότητα ἔχων, ἀντέχειν ὁ κομήτης οὐκ ἠδυνήθη, διὰ τὸ ἐξ ὑγρᾶς ἀναθυμιάσεως τὴν ἀρχὴν τῆς συμπήξεως εἰληφέναι. διὸ τήν τε κόμην διέλυσε καὶ αὐτὸς ἠφανίσθη τελέως. φαντασία γὰρ ἦν ἀστέρος, καὶ οὐκ ἀστήρ. προσθήσω τοῖς εἰρημένοις καὶ ἀκοῆς ἄξιον ἄλλο διήγημα. (Β.) Ἐν τούτοις τοῖς χρόνοις μία τῶν Σκυθῶν γυναικῶν, ἐκ τῶν ἐπέκεινα τοῦ Ἴστρου τὴν οἴκησιν ποιουμένων, μήτε σύζυγον μήτε 1.543 παῖδας ἔχουσα, ἐπειδὴ τοὺς ἐκ Θρᾴκης ἀπαγομένους αἰχμαλώτους πρὸ τῶν ταύτης ἑώρα θυρῶν (ἐπόθει δ' ἐκ πολλοῦ προσχωρῆσαι Ῥωμαίοις καὶ τὸ θεῖον δέξασθαι βάπτισμα), ὤνιον διαναστᾶσα σύζυγον ἔλαβεν ἕνα τῶν αἰχμαλώτων Χριστιανῶν, ὅρκοις αὐτὸν ἐμπεδώσασα πρότερον, μὴ λιπεῖν τὴν ταύτης συνοίκησιν, μήδ' εἰ ἄλλοθί που τὴν ἀποικίαν ποιήσαιντο. ἐπεὶ δ' εὐκαιρίας πρὸς μετοικίαν ζητουμένης ἐνιαυτὸς ὅλος ἐτρίβη, ἐν ᾧ δὴ καὶ τέκνα δύο τὸ μὲν γεγέννηκεν, τὸ δ' ἐν γαστρὶ φέρουσα ἦν, ἔτι πλείονα τὴν στοργὴν καὶ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

στεῤῥοτέραν πρὸς τὸν σύζυγον ἔσχε. τούτου δ' οὕτως ἔχοντος ἔτυχεν ἐς τοὐπιὸν ἔτος αἰχμάλωτος ἀπαγομένη καὶ ἡ προτέρα τοῦ ῥηθέντος ἀνδρὸς σύζυγος. ἣν ἐκεῖνος ἐδάκρυσε θεασάμενος. ἡ μέντοι Σκυθὶς ἐκείνη γυνὴ τὴν αἰτίαν τῆς λύπης καὶ τῶν δακρύων μαθοῦσα οὔτ' ἠχθέσθη τἀνδρὶ, οὔτε ζηλοτύπως ἔσχε πρὸς τὴν γυναῖκα· ἀλλ' ὤνιον εἰλήφει καὶ ταύτην, ἵνα καὶ ταῖς χρείαις ὑπηρετῇ τῆς οἰκίας καὶ ἅμα παραμύθιον εἴη τῇ θεωρίᾳ τἀνδρὸς ἐκ τῶν ἔγγιστα. ἐπεὶ δ' εὐκαιρίας γενομένης τῷ θείῳ τε ἐτελέσθη βαπτίσματι καὶ τῇ βασιλευούσῃ τῶν πόλεων ἐπεδήμησε, δραμοῦσα πρὸς τὸν πατριάρχην ἡ προτέρα σύζυγος ἐβόα καὶ ἐστερνοτυπεῖτο καὶ ἀδικεῖσθαι ἔφασκε παρὰ τῆς Σκυθίδος, ἀφελομένης τὸν ἄνδρα αὐτῆς. παρελθούσης μέντοι κἀκείνης καὶ τὰ τοῦ πράγματος, ὡς εἶχεν, ἀκριβῶς διεξελθούσης, οὐκ εἶχεν οὐδεὶς οὐδὲν ἀπὸ δικαίου προφέρειν ἔγκλημα κατ' αὐτῆς. κυρία γὰρ ἦν ἀμφοτέρων, ἅτε χρημάτων οἰκείων ὠνίους ἐξ ἀγρίων φάναι θηρῶν εἰληφυῖα. ὅμως σιωπώντων ἁπάν 1.544 των καὶ μηδὲν ἐχόντων προφέρειν ἔγκλημα κατ' αὐτῆς, κρίσιν ἐπέθηκεν αὕτη τοιαύτην τῷ πράγματι. τῷ μὲν ἀνδρὶ προῖκα τὴν λύσιν παρέσχε διὰ τὴν συνουσίαν καὶ τὴν ἐξ αὐτῆς τῶν παίδων γέννησιν· τῇ δὲ γυναικὶ βούλεσθαι μὲν, μὴ δύνασθαι δὲ διά τε τὴν τῶν χρειωδῶν ἔνδειαν καὶ τὸ ἐπ' ἀλλοδαπῆς εἶναι σὺν δυσὶ βρέφεσι. "1διὸ τὸ δοθὲν ὑπὲρ αὐτῆς κομίσασα (ἔφησε) τίμημα αὐτὴ μὲν ἀπερχέσθω μετὰ τοῦ ἀνδρός· ἐγὼ δ' ἔσομαι τοῦ λοιποῦ μετὰ τῶν βρεφῶν, ἐς τὰς χεῖρας ἀποβλέπουσα τοῦ φιλανθρώπου θεοῦ."2 ταύτην τὴν κρίσιν πάντες ὕμνησαν ἅμα τῷ πατριάρχῃ καὶ τὸ μεγαλοφυὲς τῆς γυναικείας ἐκείνης γνώμης ἐθαύμασαν. ἀλλ' οὐκ εἰς μακρὰν ἡ δίκη τὸ προσῆκον εἴληφε πέρας πρὸς τοῦ δικάζοντος ἄνωθεν ἀῤῥεπῶς φιλανθρώπου θεοῦ. ἐξελθοῦσα γὰρ ἡ γυνὴ περὶ τὴν τῶν λύτρων συναγωγὴν καὶ περιϊοῦσα τὰς γείτονας παρὰ τὴν Θρᾴκην, ὅποι τὴν οἴκησιν ἐπεποίητο πρότερον, εἰς τὰς χεῖρας αὖθις ἐμπέπτωκε τῶν Σκυθῶν, ἐξαίφνης ἐπιδραμόντων κατὰ τῆς Θρᾴκης. κἀκείνη μὲν αἰχμάλωτος ᾤχετο ἀπιοῦσα· ὁ δ' ἀνὴρ ἔμεινε τοῦ λοιποῦ συνοικῶν τῇ ἐκ Σκυθῶν ἐκείνῃ χρηστῇ γυναικί. ʹ. Ἐκάλει δὲ ἤδη τὸν βασιλέα τὰ Αἰτωλῶν καὶ Ἀκαρνάνων πράγματα, πλημμελῶς διακείμενα καὶ νοσοῦντα διὰ τὴν τοῦ δεσπότου αὐτῶν τελευτήν. ἡ γὰρ ἀρχὴ διοικεῖσθαι μὴ δυναμένη παρὰ γυναικὸς χηρευούσης καὶ τέκνων ἀτελῶν ἔτι πλημμελῶς ἐφέρετο, καθάπερ ναῦς ἀγκυρῶν ὀρφανὴ κύμασι καὶ χειμῶνι συνειλημμένη. ἐπεὶ δὲ ᾔδει τοῖς Ἰλλυριοῖς ὁ βασιλεὺς πάλαι εἰ 1.545 θισμένον τό γε ἐπιορκοῦντας καὶ παρασπονδοῦντας ληΐζεσθαι τὴν Ῥωμαίων χώραν καὶ λωποδυτεῖν τοὺς παριόντας καὶ πονηρίᾳ καὶ δόλοις συζῶντας, καὶ συνῆκεν, ὡς καὶ νῦν ἐμπόδιον ἔσονται λάθρα τῇ πρὸς Ἀκαρνᾶνας καὶ Αἰτωλοὺς ἐκστρατείᾳ αὐτοῦ, μεταπέμπεται μισθοφόρους δισχιλίους τῶν περὶ Σμύρναν καὶ Ἰωνίαν κατοικούντων Τούρκων, μεθ' ὧν δὴ καὶ ἀρχομένου ἔαρος ἐσβαλὼν ἐς τὴν Ἰλλυριῶν χώραν ἐδῄωσε ταύτην καὶ λείαν ἐκεῖθεν ἤλασε παμπληθῆ, ὡς πλουσίους ἐκ πενήτων ἐν βραχεῖ γενομένους τοὺς Τούρκους βριθούσαις δεξιαῖς ταχέως ἐπανελθεῖν οἴκαδε. ὁ δὲ βασιλεὺς τούτῳ τῷ τρόπῳ τοὺς Ἰλλυριοὺς πεποιηκὼς ἀσθενεῖς ἀδεῶς διαβαίνει πρὸς Ἀκαρνᾶνας καὶ Αἰτωλοὺς μετὰ τοῦ οἰκείου στρατεύματος καὶ πᾶσαν ἐκείνην τὴν χώραν μετὰ τῶν πόλεων ἀπονητὶ παρεστήσατο, προσεῤῥυηκότων ἑκόντων αὐτῷ τῶν ἐκεῖ δυνατῶν μετὰ τῆς δεσποίνης αὐτῶν Ἄννης, τῆς τοῦ πρωτοβεστιαρίου θυγατρός. (Β.) Ἐν δὲ τούτοις ἀσχολουμένου τοῦ βασιλέως, ἑάλω καὶ ἡ τῶν Βιθυνῶν μητρόπολις Νικομήδεια, τῷ πολλῷ καταπονηθεῖσα λιμῷ, διὰ τὴν ἐπίμονον τῶν ἐχθρῶν πολιορκίαν. τῷ μέντοι μετὰ ταῦτα ἐνιαυτῷ οὐδὲν ἱστορίας ἄξιον πέπρακται, πλὴν ὅτι συνεχῶς τε καὶ ἀδεῶς καὶ κατὰ πλήθη κατέδραμόν τε καὶ κατατρέχουσι Θρᾴκην οἱ Τοῦρκοι. τοῦτο γὰρ, ὡς ἐγνωσμένον ἤδη καὶ σύνηθες, ὀκνῶ διηνεκῶς διηγεῖσθαι. (Γ.) Τῷ δ' ἑξῆς ἔτει ὁ μὲν παῖς τοῦ τῆς Ἠπείρου κρατοῦντος πρότερον κόντου Κεφαλληνίας, τεσσαρεσκαιδέκατον τῆς ἡλικίας ἄγων ἔτος τηνικαῦτα καὶ σύνεσιν τῆς ἡλικίας ἔχων


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

μείζονα, ἐπει 1.546 δὴ τὸν μὲν πατρῷον κλῆρον ὑπὸ τῷ βασιλεῖ γενόμενον εἶδε, τὴν δὲ μητέρα συνθεμένην ἀκολουθῆσαι τῷ βασιλεῖ μέχρι Θεσσαλονίκης, κελεύουσαν δ' ἕπεσθαι καὶ αὐτὸν δίχα τῶν πατρικῶν ἐπισήμων συμβόλων, ἀποστασίαν ἐπινοεῖ· καὶ συμβούλῳ χρησάμενος ἑνὶ τῶν εὐγενῶν τῆς Ἠπείρου ἅμα αὐτῷ φεύγων ᾤχετο ἐς Πάτρας τὰς παλαιὰς παρὰ τὴν σύζυγον τοῦ τελευτήσαντος πρίγκιπος Πελοποννήσου καὶ Ἀχαΐας. ἡ δὲ μήτηρ εὐθὺς ἅμα τῷ βασιλεῖ διασώζεται μέχρι Θεσσαλονίκης, κἀκεῖ πρὸς τοῦ βασιλέως ἱκανὰ χωρία λαβοῦσα προσόδων ἐτησίων ἕνεκα αὐτόθι κατοικεῖν ἔγνωκε τοῦ λοιποῦ. ἐπίτροπός γε μὴν τῆς Ἠπείρου ἐγκαταλέλειπται πρὸς τοῦ βασιλέως ὁ πρωτοστράτωρ Θεόδωρος ὁ Συναδηνός· ὃς καὶ πρὶν ὅλον ἐξήκειν ἐνιαυτὸν αἰφνιδίως ἁλίσκεται πρὸς τῶν τῆς χώρας οἰκητόρων καὶ δέσμιος τῷ τοῦ κόντου δίδοται παιδὶ, πρὸς τὴν Ἤπειρον αὖθις ἐπανελθόντι καὶ ἀναδεξαμένῳ τὴν πατρικὴν ἀρχὴν παρ' ἑκόντων τῶν ὑπηκόων. ζ΄. Ὁ δὲ βασιλεὺς ἐνδημήσας ἐς Ἀδριανούπολιν ἅμα τῇ συζύγῳ δεσποίνῃ τὰς ἐκ πολλοῦ συμφωνίας ἤδη πρὸς πέρας ἤγαγε, δοὺς εἰς γυναῖκα τὴν θυγατέρα αὐτοῦ τῷ Ἀλεξάνδρου παιδὶ τοῦ τῶν Μυσῶν ἀρχηγοῦ, πεντεκαιδέκατον ἄγοντι τῆς ἡλικίας ἔτος ἐτῶν οὖσαν αὐτὴν ἐννέα. καὶ ἦν τὸ λοιπὸν εἰρήνη βαθεῖα μεταξὺ Ῥωμαίων καὶ Μυσῶν. (Β.) Ἐν τούτῳ τῷ χρόνῳ γεννᾶται παιδίον ἐν Βυζαντίῳ, συμφυὲς μὲν ἀπὸ ποδῶν ἄχρις ὀμφαλοῦ, τὰ δ' ἑξῆς διαιρούμενον ὤμους καὶ στέρνα καὶ ῥάχιν, καὶ δύο μὲν ἔχον κεφαλὰς, χεῖρας δὲ τέτταρας· ὃ καὶ μετὰ μίαν ἡμέραν ἐξε 1.547 πεπνεύκει. (Γ.) Ἐφάνη δὲ καὶ πολλῷ τούτου πρότερον παιδίον ἕτερον περὶ Τραϊανούπολιν, ὃ δὴ τρίτου γενόμενον ἔτους ἐψέλλιζε μὲν κατὰ νήπιον· ῥώμην δ' εἶχεν, ὅσην ἂν καὶ εἴκοσιν ἐτῶν ἀνὴρ, καὶ ἤσθιεν ὁμοίως κατ' ἄνδρα κἀν τῇ ἥβῃ τρίχας εἶχεν ἀνδρὸς τελείου. ἀλλὰ πρὶν ἐς πέμπτον ἔτος ἐληλυθέναι, πυρετῷ συσχεθὲν ἐτελεύτησεν. ἡ γὰρ ἔνδεια τῆς τῇ βρεφικῇ ἡλικίᾳ προσηκούσης ὑγρότητος ξηρότητα ἐνεποίησε τῷ σώματι τοιαύτην, οἵαν καὶ εἰκοσαέτης ἔχοι ἄν· κἀντεῦθεν καὶ τὴν ὁμοίαν ἰσχὺν τοῖς μέλεσι καὶ μορίοις αὐτοῦ γε ἐντέθεικεν, ὡς συσχεθῆναι μὲν διὰ ταῦτα τὴν ἁρμόττουσαν ἑκάστῃ τῶν ἡλικιῶν αὔξησιν καὶ τροφήν· μὴ ἔχειν δ' αὐτὴν ἑαυτὴν διοικεῖν τὴν φύσιν, ὡς ἐτάχθη πρὸς τοῦ ποιήσαντος καὶ συνδήσαντος. οὕτω γὰρ τὴν τοῦ ζώου πλάσιν ὁ τεχνίτης θεὸς συνεκέρασεν, ὡς μὴ δεῖσθαι μηδεμιᾶς ἔτι προσθήκης ἢ ἐλλείψεως· ἀλλὰ καθάπερ ἐν ἁρμονίᾳ μουσικῇ τῆς μὲν λυθείσης τῶν χορδῶν, τῆς δὲ ταθείσης ὑπὲρ τὸ εἰκὸς, ἡ τοῦ μέλους φαυλότης ἐλέγχεται, οὕτω κἀνταῦθα τῆς τοῦ ζώου συμπήξεως παρασυρείσης ὑπό τινος ὑλικῆς ἐνδείας ἢ πλεονασμοῦ, καὶ τὸν προσήκοντα παραμειψάσης χρόνον, ἡ εἰς τὰ πρόσω πορεία τῆς γενέσεως καὶ αὐξήσεως διακόπτεται· καὶ γίνεται παραπλήσιον τὸ πάθος, ὁποῖον κἀν τοῖς νεοβλάστοις ὁρῶμεν γινόμενον ἄνθεσιν, ἃ τὴν ὥραν προαρπάσαντα κἀντεῦθεν νεωτερισμοῦ τινος καὶ προπετείας ὄφλοντα δίκην σκηπτοῦ καὶ χαλάζης μαραίνουσιν ἐμβολαὶ καὶ ψύχος ἀταμίευτον ἀφαιρεῖ τὴν ἀκμὴν καὶ πάχνη τις ἔξωρος ἔλεγχος σαφὴς τῆς λιχνείας καθίσταται τοῦ φυτοῦ. 1.548 (Δ.) Φθινοπώρου δ' ἀρχομένου ἤδη σύγχυσις γίνεται πολιτείας ἐν τῇ Γεννούᾳ. τῶν γὰρ γένει καὶ πλούτῳ προὐχόντων τῆς πόλεως ἐκείνης πρὸς τὸ γαῦρον καὶ ὑπεροπτικώτερον ἀποκλινάντων, ἐς τυραννίδα τὴν τῆς δημοκρατίας ὁμοφροσύνην μεταβάλλεσθαι ξυνέβαινε. καὶ διὰ τοῦτο ταλαιπωρούμενοι δεινῶς οἱ δημόται κατεξανίστανται τούτων καὶ ἐξωθοῦσι τῆς πόλεως καὶ καθιστῶσιν ἡγεμόνα τῆς πολιτείας ἕνα τοῦ δήμου, κατὰ τὸ ἀρχαῖον τῆς ὑπατείας τῶν Ῥωμαίων ἀξίωμα, ἢ μᾶλλον κατὰ τὴν τῶν Βενετικῶν πολιτείαν. (Ε.) Τοῦ δὲ χειμῶνος τούτου παρεῤῥυηκότος, καὶ τοῦ ἡλίου τὸν κριὸν παραλλάττοντος, ἐφάνη Ξιφίας ἐν οὐρανῷ, ὅμοιος μὲν τῷ πρὸ τριῶν ἤδη φανέντι τῶν ἐνιαυτῶν, οὐ περὶ τὸν αὐτὸν δὲ τόπον, οὐδὲ τὴν ὁμοίαν ποιούμενος κίνησιν· ἀλλὰ ἀρξάμενος ἀπὸ τῆς τῶν χηλῶν τελευτῆς, ἔνθα τὸν στάχυν τῆς παρθένου τηνικαῦτα παρεῖναι συνέβαινεν, ἐκινεῖτο κατὰ νυχθήμερον ἕκαστον περί που τὰς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

πέντε μοίρας, ἕως κατήντησεν εἰς τὸν λέοντα, κἀκεῖ διελύθη τελέως. (΄.) Τῶν δὲ Τούρκων ὀκτὼ χιλιάδες διαπεραιωσάμενοι τὸν Ἑλλησπόντιον πορθμὸν, μετὰ τῶν ὑποζυγίων οἱ πλείους, ἐληΐσαντο πᾶσαν τὴν ἄχρι Μυσῶν Θρᾴκην, ἣν δὴ καὶ Ῥωμαίοις μὲν ἔρημόν τε καὶ ἀτριβῆ πεποιήκεσαν πᾶσαν· αὐτοὶ δ' ἄγοντές τε καὶ φέροντες οὐκ ὀκνοῦσι νύκτωρ καὶ μεθ' ἡμέραν καὶ τὴν μὲν λείαν πᾶσαν διαβιβάζοντες ἐς Ἀσίαν, αὐτοὶ δ' ἀπαλλάττεσθαι τῆς Θρᾴκης οὐδ' ὀψὲ τοῦ χρόνου βουλόμενοι, ἅτε μηδένα τὸν ἐναντιωσόμενον ἔχοντες. η΄. Ἐν τούτῳ τῷ ἔαρι καὶ Βασίλειος, ὁ τῆς Τραπεζοῦντος 1.549 τὴν ἐξουσίαν διεζωσμένος, νόσῳ βραχείᾳ τὸν βίον ἀπέλιπεν. οἶμαι δέ τις θεομηνία τοῦ βίου τοῦτον ἐξαίφνης ἐξήγαγεν. Εἰρήνῃ γὰρ τῇ τοῦ βασιλέως θυγατρὶ συνοικήσας ἐπὶ σμικρὸν νομίμως ὁμοῦ καὶ δικαίως, μετά γε τῆς ἀνηκούσης ὁμοφροσύνης καὶ σωφροσύνης, εἶτα τοὺς γαμικοὺς μετενήνοχεν ἔρωτας εἰς ἑταιρίδα τινὰ, καλουμένην καὶ ταύτην Εἰρήνην. καὶ ταύτῃ λοιπὸν ἀθέσμως μιγνύμενος εἰς μῖσος ἐτράπετο τῆς νομίμου. τοῦ δὲ χρόνου προβαίνοντος ὁρῶν οὐκ ἀνεχομένην τὴν βασιλίδα τὸ τοῦ πράγματος ἄτοπον, ἀλλ' ἐπιβοωμένην οὐρανόν τε καὶ γῆν καὶ πᾶσιν ἐξαγγέλλουσαν τὸ τῆς καρδίας πῦρ, ἐξήλασε καὶ τῆς αὐθεντικῆς οἰκίας αὐτήν. τάχα δ' ἂν καὶ θάνατον ἐπήνεγκεν αὐτῇ βίαιον, εἰ μὴ ἐδεδίει τὸν δῆμον, σφοδρῶς κατ' αὐτοῦ δι' αὐτό γε τουτὶ θορυβούμενόν τε καὶ στασιάζοντα. ἐν μέντοι ταῖς ἱεραῖς ὑμνῳδίαις καὶ τοῖς πομπικοῖς θεάτροις τῶν πανηγυρικῶν ἑορτῶν Βασιλείου καὶ Εἰρήνης ἡ μνήμη τὴν εὐφημίαν ἐκρότει· κἀντεῦθεν ἐπλήρου τήν τε ἐρωτικὴν ἔφεσιν ὁ Βασίλειος ἑαυτοῦ, καὶ ἅμα τὴν τοῦ δήμου ζήτησιν, προσποιούμενος τὸ λανθάνειν διὰ τῆς ὁμωνυμίας· ὡς καὶ ὑποψίαν διὰ ταῦτα γενέσθαι, λαθραίαις ἐπιβουλαῖς τῆς βασιλίδος Εἰρήνης συμβῆναι τῷ Βασιλείῳ τὸν θάνατον. τελευτήσαντος δ' ὅμως εἴθ' οὕτως εἴτ' ἐκείνως αὐτοῦ, εἰσῆλθε μὲν ἡ νόμιμος ἐκείνη σύζυγος Εἰρήνη μετὰ πάσης τῆς βασιλικῆς ἐξουσίας εἰς τὰ βασίλεια· ἐξήλασε δ' ἐκεῖθεν εὐθὺς τὴν ὁμώνυμον μὲν, ἀλλοτριότροπον δὲ καὶ παράνομον Βασιλείου σύζυγον· καὶ μέντοι καὶ κοινῇ ψήφῳ τῶν Τραπεζουντίων ἐξόριστον πέμπει πρὸς 1.550 τὸ Βυζάντιον ἅμα τοῖς τέκνοις. (Β.) Συνεκπέμπει δὲ καὶ πρέσβεις ἐς βασιλέα τὸν πατέρα αὐτῆς, κομίσοντας τὸν αὐτῇ μὲν νομίμως συζευχθησόμενον, διαδεξόμενον δὲ καὶ τὴν τῆς βασιλείας ἐκείνης ἀρχήν. οἳ δὴ καὶ ἐς Βυζάντιον ἐνδημήσαντες ἐπεὶ τὸν βασιλέα περὶ Θεσσαλονίκην ἤκουον διατρίβειν, ἐκεῖσε καὶ αὐτοὶ ποιεῖσθαι ἐγνώκεισαν τὴν πορείαν. ἐνιαυτῷ γὰρ ἤδη πρότερον ἀπὸ Θρᾴκης ἐς Μακεδονίαν ὁ βασιλεὺς μεταβὰς ἔμελλεν εὐθὺς καὶ εἰς Ἤπειρον διαβαίνειν ἐπὶ τοὺς παρασπονδήσαντας Ἀκαρνᾶνας καὶ Αἰτωλούς. ἀλλ' ἐπέσχεν ἐν πόλει Θεσσαλονίκῃ μικρὸν ἡ συνήθης ἐπήρεια τοῦ σπληνός· ὃς ἐκ πολλῶν ἤδη τῶν χρόνων τροπήν τινα πεπονθὼς καὶ παραφορὰν τοῦ καθήκοντος σφόδρα ἐξῴδηκε νῦν καὶ τὴν ἔνδον γειτονοῦσαν τῶν σπλάγχνων οἰκονομίαν διέδραμεν, ὡς κακοσιτίαν ἐντεῦθεν συμβαίνειν λοιπὸν καὶ μελῶν ἀτονίαν καὶ θάνατον ἀπειλούσας λειποψυχίας. ῥᾴσας μέντοι μικρὸν ἐς Ἀκαρνανίαν ἀπῄει. ἔνθα δὴ τηνικαῦτα καὶ οἱ τῶν Τραπεζουντίων πρέσβεις ἐντετυχηκότες αὐτῷ τὰ τῆς πρεσβείας ἐξήγγειλαν. (Γ.) Διατριβῆς δὲ μεταξὺ γινομένης καὶ τῆς τῶν Τραπεζουντίων ἡγεμονίας ὑπὸ γυναικὶ διοικεῖσθαι καλῶς καὶ βεβαίως οὐ δυναμένης, στασιάζειν τινὲς ἐπεχείρουν καὶ ἀνασείειν τὸν δῆμον. ὅθεν ἀναγκασθεῖσα Εἰρήνη ἡ βασιλὶς τῶν Τραπεζουντίων ἐξέπεμψε ταχυναυτοῦσαν τριήρη μετὰ πρέσβεων ἄλλων, καὶ σύν γε αὐτοῖς τὸν τῆς Τραπεζοῦντος ἀρχιθύτην, κατεπείξοντας τὴν προτέραν ζήτησιν αὐτῆς πρὸς τοῦ βασιλέως 1.551 Ῥωμαίων. οἳ δὴ καταπλεύσαντες ἐς Βυζάντιον καὶ τὸν βασιλέα οὐχ εὑρηκότες ἀποστέλλουσιν ἐς βασιλέα ἱππέας ὀλίγους, οἳ καὶ γένει καὶ ἀξιώματι προέχειν τῶν ἄλλων ἐδόκουν. οἷς ἐνδημήσασι τῇ τῶν Θεσσαλονικέων μητροπόλει οὐκ ἐγένετο ἐντυχεῖν παρόντι τῷ βασιλεῖ. ῥᾴσας γὰρ πρὸ βραχέος ἐκεῖνος, ὡς εἴρηται, ἀπῄει πολιορκήσων τὴν τῶν Ἀκαρνάνων μητρόπολιν. ὅθεν ἔδοξε κατὰ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

χώραν μείνασι, γράμμασι μηνύειν τῷ βασιλεῖ τὴν τῆς ἀφίξεως αἰτίαν αὐτῶν. (Δ.) Ἐπεὶ δ' ἐξουσίας κολακευούσης τὸ ἐπιθυμητικὸν τῆς γυναικείας ὀρέξεως πάντα χαλινὰ διαῤῥήγνυται, λανθανούσαις μίξεσι χρῆσθαι τὴν βασιλίδα Εἰρήνην ἐψιθυρίζετο πρὸς τὸν μέγαν δομέστικον τῶν Τραπεζουντίων. τοῦτο δὲ διατρέχον τὰς τῶν πολλῶν ἀκοὰς κατεστασίαζε τόν τε δῆμον καὶ μάλιστα τοὺς εὐγενείᾳ προὔχοντας· καὶ οἱ μὲν προσεχώρουν τῷ Τζανυχίτῃ, πλούτῳ καὶ δόξῃ τηνικαῦτα δυναμένῳ τὰ μέγιστα· οἱ δὲ τῷ μεγάλῳ δομεστίκῳ. οὕτω δὲ στασιασθείσης καὶ εἰς δύο σχισθείσης τῆς τῶν Τραπεζουντίων πόλεως, εἰς μάχην ἐμφύλιον ἐτελεύτα τὸ πρᾶγμα· ὅτε δὴ καὶ κατακοπῆναί φασι πλείστους τε ἄλλους ἐξ ἑκατέρων τῶν μερῶν καὶ ἐπὶ τούτοις Τζανυχίτην. θʹ. Ὁ μέντοι βασιλεὺς Ἀνδρόνικος, περὶ τὴν πολιορκίαν ἀσχολούμενος τῆς τῶν Ἀκαρνάνων μητροπόλεως, πάντα ἐξουρίας εἶχε τὰ ἐς βούλησιν αὐτῷ γε ἰόντα κατὰ τὸ ἐφικτόν. τοῦ γὰρ μεγάλου δομεστίκου τοῦ Καντακουζηνοῦ παρασπίζοντος καὶ συνδιϊ 1.552 θύνοντος ἄριστα τὴν ἀρχὴν, οὐδὲν δεινὸν αὐτῷ τῶν παρεστώτων ἐδόκει δεινῶν. τήν τε γὰρ χρονίαν ἐν ὑπερορίῳ ἐκστρατείᾳ διατριβὴν καὶ φθορὰν τῆς ἵππου καὶ τοῦ στρατοῦ δεξιῶς διετίθει, καὶ αὖ τὴν ἀπὸ τοῦ σπληνὸς πιέζουσαν νόσον συνετῶς αὐτῷ ἐπεκούφιζε καὶ ἅπαντος τοῦ ἐντεῦθεν ἀπήλλαττε δέους· καὶ εἴ τις πλήττουσα τὴν καρδίαν ὑπῆρχε φροντὶς κοσμικὴ, πάσας ἐξομαλίζων ἐτέλει ῥᾳδίως. καὶ ἐπὶ τούτοις τὰς ἐκ τῶν συγγενῶν τηνικαῦτα παραφυείσας ἐπιβουλὰς μάλα σοφῶς αὐτὸς ἀνεῖργε, συστέλλων καὶ ἀπαλλάττων ἐς τἀσφαλὲς, πρὶν εἰς ἀκοὰς ἰέναι τῷ βασιλεῖ. πολλοῖς γὰρ κοσμούμενος ὁ ἀνὴρ τοῖς πλεονεκτήμασιν, ὅσα τε φύσις χαρίζεται καὶ ὅσα βαθεῖα σύνεσις εὐφυῶς πηδαλιουχοῦσα κοσμεῖ, πρὸς παντὸς ἠγαπᾶτο τοῦ στρατοπέδου· καὶ ἦν οὐδεὶς, ὃς οὐ προὐτίθει τῆς ἑαυτοῦ ζωῆς τὴν ἐκείνου. τό,τε γὰρ φιλότιμον τῆς δεξιᾶς καὶ τὸ τοῦ ἤθους καρτερικὸν οὐδ' ἐν ταῖς ὑπερορίοις διατριβαῖς τε καὶ ἀσχολίαις ἀμείβων ἤμειβεν ὅμως τὰς τύχας τῶν ἐν τοῖς ὅπλοις τότε λιμῷ καὶ λοιμῷ ὑποταλαιπωρούντων ἕς γε τὸ βέλτιον· καὶ ἦσαν ὥσπερ ἐκ μιᾶς οἱ περιλειπόμενοι βοῶντες ἅπαντες γλώττης, στρατιῶται καὶ στρατηγοὶ, λόχοι καὶ λοχαγοὶ, σωτῆρα τοῦτον καὶ τροφέα καὶ πλουτοδότην, καὶ ὅσα τὴν Ῥωμαίων ἡγεμονίαν ἐνδοξοτέραν καθίστησι. (Β.) Καὶ (ἵν' ὡς ἐν κεφαλαίῳ διεξέλθωμεν ὅσα ἐν τούτῳ τῷ χρόνῳ ἡ τοῦ ἀνδρὸς εὐφυῶς κατέπραξε σύνεσις, ἐγγύθεν τε καὶ πόῤῥωθεν ὁμοίως διενεργοῦσα) αὐτοῦ γὰρ ἅμα τῷ βασιλεῖ τὴν τῶν Ἀκαρνάνων πολιορκοῦντος μητρόπολιν, ἑάλωσαν οἱ τυ 1.553 ραννίδα μελετήσαντές τε καὶ ἐπιθέμενοι ἐς Βυζάντιον, πολλοί τε ὄντες καὶ οὐ τῶν ἀφανῶν· περὶ ὧν ὕστερον πλατύτερον λέξομεν. ἑάλω δὲ καὶ Σφραντζῆς ὁ Παλαιολόγος, ὁ τοῦ Συργιάννου φονεὺς, τὰς ὁμοίας ἐξαρτύων κατὰ τοῦ βασιλέως ἐπιβουλάς· συμπαρὼν μὲν αὐτῷ καὶ συστρατοπεδεύων αὐτὸς, ἔχων δ' οὖν καὶ τοὺς ἐκ Θηβῶν Κατελάνους λάθρα οἱ συμπαρασκευαζομένους καὶ ἅμα τοὺς ἀστυγείτονας τῶν Ἰλλυριῶν. ἀλλ' οὗτος μὲν ἔφθη τοῦ βίου προαπελθὼν, πρὶν τὰς ἀξίας ἐνταῦθα δίκας ἐκτῖσαι· οἶμαι τοῦ θεοῦ βαρυτέραν ταμιευσαμένου τῷ δυσμενεῖ τὴν αἰώνιον κόλασιν. (Γ.) Ἐγεγόνει δ' ὑπὸ Ῥωμαίοις τηνικαῦτα ἀπονητὶ καὶ ἡ Φωκαέων πόλις, ἣν μετὰ πολλῆς τῆς ναυτικῆς δυνάμεως πρὸ τεττάρων ἤδη τῶν χρόνων ὁ βασιλεὺς καταπλεύσας τότε μὲν οὐχ εἷλε, νῦν δὲ καιρὸν ἐπιτηρήσαντες οἱ ταύτης ἔνοικοι Ῥωμαῖοι, καθ' ὃν ἐς τὰ εἰθισμένα ἐξῄει κυνηγέσια ὁ τῆς πόλεως ἀρχηγὸς, κατέσχον τε αὐτὴν, βιασάμενοι τοὺς ἔνδον Λατίνους, ὀλίγους ὄντας, καὶ ἅμα τὸ τοῦ βασιλέως ἐπευφήμησαν ὄνομα, ἐπὶ τῶν τοῦ τείχους ἐπάλξεων ἀναβάντες. (Δ.) Τούτων δ' οὕτως ἐχόντων ἀπογνόντες πρὸς τὸ τῆς πολιορκίας ἐκτεταμένον ἐνέδοσαν καὶ οἱ Ἀκαρνᾶνες· καὶ οὕτως ὑποχείριος ἐγεγόνει τῇ τῶν Ῥωμαίων ἡγεμονίᾳ πᾶσα ἡ τῆς παλαιᾶς ὀνομαζομένης Ἠπείρου ἐπαρχία, καὶ οὐδὲν ἦν ἔτι τὸ ἀντιπράττον ἐκεῖθεν. ἀλλ' ἐπανιόντι τῷ βασιλεῖ πρὸς Θεσσαλονίκην συνεπανῄει καὶ ὁ τοῦ τελευτήσαντος κόντου Κεφαλληνίας υἱὸς, οὐ μάλα ἑκὼν, μηδε


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

1.554 μίαν ἔχων ἔτι προσδοκίαν ἐπανελθεῖν ἐς τὴν πατρῴαν τοῦ ἡγεμονικοῦ κλήρου διαδοχήν. οὕτω μεγίστων ἔργων δημιουργὸς εὐφυὴς ἡ τοῦ μεγάλου δομεστίκου καθέστηκε σιωπή. τῶν μὲν γὰρ ἄλλων οἱ λόγοι σκιαὶ μόνον ὑπάρχουσιν ἔργων, τῇ βλάστῃ εὐθὺς καὶ τῇ γλώττῃ συναποθνήσκοντες· τοῦ δ' ἀνδρὸς τουτουῒ καὶ ἡ σιωπὴ ἔργων μεγάλων ἐστὶν αὐτουργός. πολλὴν γὰρ ὁ ἀνὴρ πλουτεῖ τὴν μεγαλοφυΐαν καὶ τὴν περίνοιαν, βαθεῖαν αὔλακα διὰ φρενὸς ὡς ἀληθῶς καρπούμενος. (Ε.) Ἔαρος δ' ἐπιόντος ἀπάρας ὁ βασιλεὺς ἐκ Θεσσαλονίκης ἅμα γυναικὶ καὶ παισὶ δωδεκαταῖος κατέλυσε παρὰ πόλει τῇ ἐπικεκλημένῃ Διδυμοτείχῳ. κἀκεῖ διατρίψας ἡμέρας συχνὰς ἧκεν εἰς τὸ Βυζάντιον, λήγοντος ἤδη τοῦ ἔαρος, βαρείᾳ τῇ ἀπὸ τοῦ σπληνὸς πιεζόμενος νόσῳ καὶ ὀξυτέρᾳ τῇ ῥύμῃ πρὸς θάνατον ἤδη συνελαυνόμενος. ἀπέγνωστο γὰρ καὶ πρὸς τῶν ἰατρῶν, ὅσοι τε τῶν Ῥωμαίων καὶ οἳ τῶν Περσῶν προσεκλήθησαν τούτου γε εἵνεκα, τρεῖς ὄντες αὐτοί. ὧν ἁπάντων λεπτοτέρᾳ ἐπιταττόντων χρῆσθαι διαίτῃ καὶ ὅλῃ προθέσει ψυχῆς τῶν βλαπτόντων ἀπέχεσθαι, ὁ δὲ ὠλιγώρει τελέως αὐτῶν, μόνῃ τῇ ἰδίᾳ βουλήσει χρώμενος ἡγεμόνι τῆς ἑαυτοῦ τραπέζης, ἐναντιωτάτῃ τὸ παράπαν ταῖς τῶν ἰατρῶν οὔσῃ παραγγελίαις. διὰ δὴ τοῦτο καὶ αὔξην ταχεῖαν ὁ σπλὴν εἰληφὼς ἔδραμεν ἄχρι καὶ ἐς τὸ ἧπαρ, καὶ ἥκιστα ζῆν αὐτὸν ἀδεῶς τοῦ λοιποῦ ξυνεχώρει. ἡμέρας οὖν εἴκοσιν ἐν τοῖς βασιλείοις διατετελεκότι καὶ πᾶσαν ἀνθρώπων ὁμιλίαν ἀποσεισαμένῳ ἔδοξε πρὸς τὸ θεῖον ἰέναι τῆς 1.555 θεομήτορος τέμενος, τῆς τῶν Ὁδηγῶν καλουμένης μονῆς. μεγάλας γὰρ εἶχε καὶ ἀῤῥαγεῖς πρὸς αὐτὴν ἀεὶ τὰς εὐφραινούσας ἐλπίδας ἐν πάσαις ταῖς πράξεσιν. ἧκεν οὖν συνήθως καὶ νῦν, αἰτήσων δυοῖν θάτερον, ἢ τοῦ νοσήματος, ἢ τοῦ βίου ἀπαλλαγήν. ι΄. Ἀλλ' ἐκεῖνο μικροῦ με παρέδραμε, τῶν ἀναγκαιοτάτων ὑπάρχον λεχθῆναι. περαιτέρω γὰρ ἰέναι τούτου χωρὶς οὐκ ἂν δυναίμην. διὰ βραχέων τοίνυν ἐπαναλήψομαι. τῆς τῶν Ῥωμαίων ἡγεμονίας ἐξ Ἀνδρονίκου τοῦ πάππου πρὸς τὸν νέον μετατεθείσης Ἀνδρόνικον, ἧκεν ἐξ Ἰταλίας ἀνὴρ ἐς Βυζάντιον, ῥάκος Ῥωμαϊκὸν ὑποδὺς καὶ Βαρλαὰμ ἑαυτὸν ὀνομάσας. οὗτος ἤσκητο μὲν καὶ τὴν Λατίνων δογματικὴν σοφίαν· ἐγεύσατο δ' οὖν καὶ τῆς θύραθεν τῶν Ἑλλήνων, εἰ καὶ μὴ ὡς ἐκεῖνος ᾤετο, ἀλλ' οὖν μετρίως καὶ ἄκρῳ (τὸ τοῦ λόγου) δακτύλῳ. τυχών γε μὴν εὐμενείας βασιλικῆς καὶ πλουσίᾳ τῇ γλώττῃ σεμνύνων τὰ ἑαυτοῦ ἐλοιδόρει καὶ κατεμέμφετο τὴν τῶν Βυζαντίων πολιτείαν, ἄμοιρον εἶναι σοφίας αὐτὸς καταψηφιζόμενος, ἐπιβούλως οὑτωσὶ καὶ κακοήθως διὰ τῆς τῶν ἄλλων λοιδορίας ἑαυτῷ πραγματευόμενος εὔκλειαν δημοτικήν· ὡς καὶ πολὺν ἐντεῦθεν τὸν ἔπαινον πρὸς τῶν φαυλοτέρων καὶ ἀμαθῶν ἐπισπάσασθαι. (Β.) Ἀλλ' οὐκ εἰς μακρὰν ἠλέγχθη πίθηκος ὢν καὶ πρὸς τῶν Βυζαντίων ὀλίγου δέω λέγειν ἁπάντων κατέγνωσται καὶ διακεκωμῴδηται πάνυ τοι σφόδρα περιφανῶς. τὸ δ' ὅπως, ἔξεστιν ἀκούειν τοῖς βουλομένοις 1.556 ἐντυγχάνειν τῷ διαλόγῳ, ὃν ἐγὼ ταῖς τῶν πλείστων καὶ σοφωτέρων δεήσεσιν εἴξας ξυγγέγραφα, πλατύτερον πάντα διεξελθὼν ἐν αὐτῷ. τούτου δ' ἡ μὲν ἐπιγραφὴ, Φλωρέντιος, ἢ περὶ σοφίας· ἡ δ' ἀρχή· πόθεν ἡμῖν ὁ καλὸς Φλωρέντιος διὰ χρόνου καταίρει ἐς τὸ τῶν Κερκυραίων ἐπίνειον; τύχῃ ἀγαθῇ, ὦ φίλε Κριτόβουλε, Σαλαμινία καὶ Πάραλος, αἱ μάλιστα Ἀθηναίων ταχυναυτοῦσαι τριήρεις, δεκαταίους ἡμᾶς Ἀθήνηθεν ἥκουσιν ἄγουσαι πρέσβεις ἐς τὴν τῶν Κερκυραίων βουλὴν, ἀγγελοῦντας ἅττα ἀκηκοὼς καὶ αὐτὸς οὐκ ἂν οἶμαι ἔχοις, ὅπως οὐχὶ θαυμάσαις. πέπλασται γὰρ ἐν τῷ διαλόγῳ καὶ ἠλλοίωται ἡμῖν τά τε τῶν προσώπων καὶ τῶν πραγμάτων ὀνόματα· καὶ ἀντὶ μὲν Βυζαντίων ἡ τῶν Ἀθηναίων εἰσάγεται πόλις· ἀντὶ δὲ τῶν Ῥωμαϊκῶν ἡγεμόνων Ἡρακλεῖδαι καὶ Κεκροπίδαι· ἀντὶ δὲ Νικηφόρου Νικαγόρας· καὶ τὰ ἑξῆς δῆλα τοῖς συνετῶς ὁρῶσιν. (Γ.) Ἀλλὰ γὰρ οὗτος ὁ Βαρλαὰμ τὴν πρώτην ἠτυχηκὼς καὶ τῶν μεγίστων ἐλπίδων ἐκπεπτωκὼς ἑτέραν ἑξῆς ἐβάδισε, βουλόμενος ἐντεῦθεν γοῦν, ἣν ἐκεῖθεν οὐ δεδύνηται, δόξαν θηράσασθαι. καὶ εὐθὺς ὥρμησεν, εἴ τι σαθρόν ἐστιν εἰρημένον


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐνίοις, ἐς προὖπτον ἐλέγχειν, ἵν' ἐκεῖθεν ὡς ἐξ ἀσφαλοῦς δῆθεν ὁρμητηρίου φερόμενος ὕβριν τινὰ καὶ ζάλην τῇ ἐκκλησίᾳ προστρίψηται, κἀντεῦθεν ὑγιέστερα τὰ Λατίνων ἐπιψηφίσηται δόγματα. ἐγρηγόρει τοίνυν καὶ τὴν τῶν ἀσκητῶν ἀναίδην διέβαλλε πολιτείαν, Εὐχίτας 1.557 τε ὀνομάζων αὐτοὺς καὶ Ὀμφαλοψύχους, καὶ ὅσα τούτοις ἑπόμενα, καὶ ἐπὶ τούτοις τῇ τῶν Μασσαλιανῶν αἱρέσει καθυποβάλλων· ἅτε ἐγκαυχωμένων ἀκούων αὐτῶν καὶ γλώττῃ καὶ γραφαῖς, ὡς ἔλεγε, σωματικοῖς ὁρᾷν ὀφθαλμοῖς τὴν τοῦ θεοῦ φύσιν. ταῦτ' ἐκείνοις ἀκούουσι φέρειν οὐκ ἦν. ἀλλὰ Παλαμᾶν τινα, τῶν αὐτῶν προφερέστερον ἐν τοῖς λόγοις, χειροτονήσαντες πρόβολον ἐς τὴν ἐκείνου μάχην γλώττῃ καὶ γράμμασιν, ὡς ἐνῆν, δι' αὐτοῦ τὰς ἐκείνου θέσεις ἀνατρέπειν ἠπείγοντο. τοῦτο πρὸς δύο που καὶ τρεῖς τοὺς ἐνιαυτοὺς ἑκατέρωθεν ἀναπυρσευόμενον πλείω τὴν αὔξην ἀεὶ τῆς κακίας ἐλάμβανεν. ὅθεν καὶ δείσας ὁ Βαρλαὰμ, μὴ χερσὶν ἀσκητῶν διασπαραχθῇ, πλειόνων ἤδη συνηθροισμένων ἔκ τε τοῦ Ἄθωνος, καὶ ὅσοι περὶ Θεσσαλονίκην καὶ Βυζάντιον ἦσαν ἐνδιαιτώμενοι (ᾤοντο γὰρ κατὰ πάντων διαβαίνειν ἐπίσης τὸν ὄνειδον), ἥκει πρὸς τὸν Κωνσταντινουπόλεως ἀρχιθύτην καὶ τὴν ἐκεῖσε τῶν ἐπισκόπων ὁμήγυριν, οὐ μόνον Ὀμφαλοψυχίας καὶ σφαλλομένης εὐχῆς τῷ Παλαμᾷ ἐγκαλῶν, ἀλλ' ἤδη καὶ βλασφήμου θεολογίας, "1ὅτι καινοτέρας (φησὶν) εἰσάγει φωνὰς ἐν τῇ μυστικῇ τῆς ἐκκλησίας θεολογίᾳ καὶ θεωρίας τερατεύεται βλέπειν κόμπου καὶ οἰήσεως μάλα μεστάς."2 (Δ.) Ὅθεν ἐκυροῦτο συγκροτηθῆναι δικαστήριον ἐν τῷ μεγίστῳ νεῷ τῆς τοῦ θεοῦ Σοφίας, παρόντος καὶ βασιλέως αὐτοῦ μετὰ τῶν τῆς συγκλήτου λογάδων, καὶ ὅσοι τῶν σοφωτέρων ἀνδρῶν. ἧκεν ἡ προθεσμία καὶ παρῆσαν ἅπαντες, οὐ μόνον ὅσοι τῇ τῆς χρείας ἀνάγκῃ 1.558 δουλεύοντες ἦσαν, ἀλλ' ἤδη καὶ δημώδης ὄχλος οὐ ῥᾷστα ἀριθμητός. ῥαΐσας δὲ τηνικαῦτα βραχὺ καὶ ὁ βασιλεὺς καὶ ἰσχυρότερος δι' εὐσεβείας φιλοτιμίαν γενόμενος ἑαυτοῦ ἥκει καὶ αὐτὸς ἐπὶ τὸ βῆμα καὶ τοὺς ἱεροφάντορας. τὰ μὲν οὖν τῆς ἐγκαλουμένης θεολογίας σιωπῇ κρύπτεσθαι δεῖν ἐνομίσθη, τοῦτο μὲν καὶ διὰ τὸ μὴ δεῖν τὰ ἱερὰ τῆς θεολογίας μυστήρια βεβήλοις τοῦ δήμου προτίθεσθαι ἀκοαῖς· τοῦτο δὲ καὶ ἵνα μὴ δίκας ἀτόπου γλώττης καὶ γνώμης διδόντος τοῦ Βαρλαὰμ δίκας βλασφήμου τε καὶ ἀκαίρου θεολογίας ὄφλων φανῇ καὶ ὁ Παλαμᾶς, κἀντεῦθεν ἀντὶ τῆς ἁρμοττούσης τοῖς πράγμασιν εἰρήνης καὶ εὐταξίας θόρυβος γένηται καὶ ἀτέκμαρτος σύγχυσις. ὅθεν τὰ τῆς εὐχῆς εἰς μέσον ἐτίθετο. τὰ δὲ τῆς τῶν Μασσαλιανῶν αἱρέσεως ἐπὶ τούτοις ἐγκλήματα, ὅσα κατὰ τοῦ Παλαμᾶ προὐτείνετο, ὑπέρθεσιν εἰς βραχείας ἔσχον ἡμέρας· καὶ εἰ μὴ ὁ τοῦ βασιλέως εἵπετο κατόπιν αἰφνίδιος θάνατος, ταχὺ τὸ πέρας ἐλάμβανον ἂν αἱ αὐτοῦ σφοδραὶ κατὰ τῆς αἱρέσεως τῆς Παλαμικῆς ἐπαγγελίαι· λέγω δὴ τὴν ἐκτομὴν αὐτῆς, μελλούσης ἔτι φύεσθαι. (Ε.) Καὶ ἵνα τἀν μέσῳ συντέμω, μὴ συγχωρηθεὶς ὁ Βαρλαὰμ ἀποδεῖξαι τὰ προτεινόμενά οἱ τῶν θεολογικῶν ἐγκλημάτων, δι' ἅσπερ ἔφθημεν εἰρηκότες αἰτίας, ἐξ ἑτέρων αὐτοῦ συγγραμμάτων ἡττήθη καὶ ἀπηλέγχθη κακογνωμοσύνῃ καὶ αὐθαδείᾳ σύνοικος ὢν καὶ δόξης δημώδους ἐς τὰ μάλιστα ἐραστής. τότε δὲ καὶ ὁ βασιλεὺς, ὥσπερ βακχείᾳ 1.559 τινὶ φιλοτιμίας γενόμενος κάτοχος, πάνυ τοι συνετὴν καὶ πρὸς πάντων θαυμαστωθεῖσαν διῄει δημηγορίαν, λίαν τῷ καιρῷ καὶ τῇ χρείᾳ κατάλληλον. ὅθεν καὶ τἄλλα θέλων εὐφραίνεσθαι καὶ λύπην ἐκτᾶτο διὰ φιλοτιμίαν, ὅτι μὴ κἀμὲ σὺν τοῖς ἄλλοις εἶχεν ἀκροατήν. αἱ γὰρ συνήθεις ἡμῖν ἀλγηδόνες, τῆς ἐμῆς τηνικαῦτα δεινῶς κατορχούμεναι κεφαλῆς, οὐκ εἴασαν ἐκείνῃ κἀμὲ τῇ συνόδῳ παρεῖναι, καὶ ταῦτα διὰ πολλῶν προκληθέντα τῇ προτεραίᾳ πρός τε τοῦ βασιλέως πρός τε τοῦ πατριάρχου καὶ τῆς ὅλης συνόδου τῶν τε κρινόντων καὶ κρινομένων. ἑσπέρας γε μὴν ἰούσης τὸ θέατρον διελύετο. καὶ ὁ μὲν Βαρλαὰμ βαρείᾳ τῇ ἐκ τῆς αἰσχύνης λύπῃ κάτοχος γεγονὼς πλήρεσιν ἱστίοις ᾤχετο ἀπιὼν ἐς Ἰταλίαν καὶ τὰ Λατίνων ἤθη καὶ δόγματα, οἷς καὶ συντέθραπται. ια΄. Ὁ δὲ βασιλεὺς ἐν τῇ τῶν Ὁδηγῶν αὖθις ἀπῄει μονῇ, πάνυ τοι σφόδρα κατάκοπον ἔχων τὸ σῶμα ἔκ τε τῆς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

διαλέξεως ἐκείνης ἔκ τε τοῦ σπληνικοῦ νοσήματος. ἐπεὶ δὲ καὶ περὶ μέσας που νύκτας καθίσας πλέον ἢ ἐχρῆν ἐδεδειπνήκει, ἔλαθε τῇ ὑστεραίᾳ κατενεχθεὶς εἰς ὕπνον καὶ κάρον ἀναισθησίας ὁμότροπον. τῇ δὲ τρίτῃ βραχὺ διάρας τοὺς ὀφθαλμοὺς τήν τε βασιλίδα παρῄνει μὴ κλαίειν, καὶ ἅμα βοήθειάν τινα πρὸς τῶν ἰατρῶν ἐζήτει. καὶ πέμψας πρὸς ἐμὲ τὴν ταχίστην ἠρώτα, εἰ συνεργεῖ τηνικαῦτα καὶ οὐκ ἀντιπράττει τὰ τῶν οὐρανίων φωστήρων ταῖς ἰατρικαῖς πείραις καὶ τέχναις. ἀλλὰ πρὶν τοὺς πεμφθέντας ἐπανιέναι τὰς ἡμετέρας κομίζοντας ἀποκρίσεις, πρὸς μείζω πάλιν 1.560 ἀναισθησίαν ἐτράπη καὶ ἔκειτο πνέων τὰ λοίσθια ἐπὶ τρίτην ἐγγύς που ἡμέραν· καὶ πρὶν τὸν τοῦ Ἰουνίου μηνὸς ἐκείνου πεντεκαιδέκατον ἥλιον ἀνατεῖλαι, ἐτεθνήκει κατὰ τὸ ¯ ¯ω¯μ¯θ ἔτος. ὅ γε μὴν ἅπας τῆς αὐτοῦ ζωῆς χρόνος περί που τὰ πέντε καὶ τεσσαράκοντα ἔτη ἐτύγχανεν ὤν· ἐξ ὧν τὰ τῆς αὐτοκρατορίας ἔτη δυοκαίδεκα ἦν, καὶ ἡμέραι δύο καὶ εἴκοσιν, ἐξ ὅτουπερ εἷλε δηλαδὴ πολέμου νόμῳ τὴν τῶν πόλεων βασιλεύουσαν.

(Β.) Τῇ δὲ τρίτῃ τοῦ πένθους ἡμέρᾳ, τῆς βασιλίδος Ἄννης ἐκεῖθεν ἐπανιούσης ἐς τὰ βασίλεια, μέρος ἤδη τῶν ἐκεῖ συνειλεγμένων ἐγιγνόμην κἀγώ, μόλις τῆς κατεχούσης με νόσου ῥαΐσας. καὶ εὐθὺς προτραπεὶς ὑπό τε τοῦ πατριάρχου καὶ τῶν καθ' αἷμα τῷ βασιλεῖ προσηκόντων ἁπάντων τοὺς τῷ καιρῷ προσήκοντας θρήνους τῇ γλώττῃ διεξελθεῖν, παρελθὼν ἔλεξα τοιάδε. (Γ.) "1Ἡμεῖς δὲ, ὦ παρόντες, ἐπινικίους ᾄδειν καὶ θέατρα συγκροτεῖν ἐγκωμίων τοῦ θειοτάτου βασιλέως ἠλπίζομεν καὶ λογικοὺς στεφάνους ἀνατιθέναι τῇ ἐκείνου βασιλικῇ κορυφῇ, μικράς τινας ἀμοιβὰς μεγάλων ἱδρώτων καὶ μακρῶν καὶ ὑπερορίων καμάτων καὶ μόχθων βραχεῖαν τῆς ἡμετέρας εὐνοίας ἀντίδοσιν. ἀλλὰ, φεῦ τοῦ πάθους, ἑτέραν ὁ χρόνος ἡμῖν ἐσχεδίασε σήμερον συμφορὰν καὶ θρήνους λοιπὸν ἀντ' ἐγκωμίων ἀναγκαζόμεθα πλέκειν καὶ ἀντὶ τῶν ἐκείνου τροπαίων τοὺς ἡμῶν ἀριθμεῖν ὀδυρμοὺς καὶ ἀντὶ τῶν χρηστῶν ἐλπίδων ὅλα τὰ χείρω μαντεύεσθαι. ἀλλ' οἴμοι τῆς συμφορᾶς· τίς Ὀρφεὺς, τίς Ὅμηρος ἀξίας ᾠδὰς καὶ θρήνους 1.561 τῷ μεγάλῳ τούτῳ καὶ, οἷον εἰπεῖν, παγκοσμίῳ πάθει συμπλέξει; πηγαὶ ποταμῶν λίμνας πάσας καὶ θαλάσσας ὅλας, ἵνα ἡλίῳ καὶ σελήνῃ καὶ ἀστράσι τροφὴ γένηται δάκρυα. ὢ τίς ἐκ μέσης τῆς οἰκουμένης τὸν ἡρωϊκὸν ἐκεῖνον ὁπλίτην ἐξήρπασε; τίς τάφος, τίς γῆ, τίς πέτρα τὸν ἡμῶν κατέχωσε θησαυρόν; ὦ μέγα πλάτος ἀέρος, νῦν τὰς σὰς ἀγκάλας ἄνοιξον, καὶ τοὺς παρόντας δέξαι στεναγμοὺς, καὶ ῥῆξον ἄνωθεν ἀξίους ὑετοὺς δακρύων. ἐκεῖνος ἦν ὁ μήτε φθινόπωρον μήτε θέρος εἰς ὅπλων περιμένων χρείαν· ἀλλὰ φύσεις ὡρῶν καὶ στοιχείων καινοτομῶν καὶ θέρος μὲν ἡγούμενος τὴν τῶν χειμώνων δριμύτητα, τρυφὴν δὲ τὴν ἀσιτίαν, καὶ ὕπνον μὲν τὴν ἀγρυπνίαν, ἀναπαύσεις δὲ βασιλικὰς τὸ πόνοις πόνους ἐπιφέρειν καὶ διαδόχους ἄλλους ἄλλων ἀγῶνας ἀγώνων ποιεῖσθαι, θαλασσίων μὲν ἠπειρωτικοὺς, θαλασσίους δ' αὖ ἠπειρωτικῶν. ἀλλὰ νῦν αὐτὸν, βαβαὶ τοῦ πάθους, βραχεῖα συνέκρυψε κόνις. ὢ τίς ἀξία φωνὴ γῇ τε καὶ οὐρανῷ καὶ ἀστράσι τὸ πάθος ἀπαγγείλασα, καὶ οἴκτου ταῦτα δείξασα μεστὰ, συγκαλέσει πάντα πρὸς συμμαχίαν ἐνταῦθα τῶν θρήνων; ἐκεῖνος ἦν ὁ πρός γε τοῖς ἄλλοις κἀκεῖνο τὸ μέγα καὶ περιβόητον ἐργασάμενος τρόπαιον, τὸ γῇ τε καὶ θαλάσσῃ μερισθὲν καὶ ἄμφω τὰ στοιχεῖα ἐμπλῆσαν τοῦ θαύματος· λέγω δὲ τὴν διαβᾶσαν ἐξ Ἀσίας Περσικὴν ἐκείνην καὶ δύσμαχον δύναμιν, ἣν αὐθημερὸν κατηγωνίσατο κράτιστα. ἀλλὰ νῦν αὐτὸν, φεῦ, ὀξύτερον ἐπεισπεσὼν ὁ θάνατος κατηγωνίσατο. σείσθητι γῆ πρὸς 1.562 τὸ νῦν πάθος, ἵνα γένος ἅπαν καὶ ἡλικία πᾶσα τῶν ἀνθρώπων αἴσθησιν τοῦ τοσούτου λαβόντες πάθους πλείους κοινωνοὶ καὶ συλλήπτορες τῶν θερμῶν ἡμῖν γένοιντο στεναγμῶν. οὗτος ἦν ὁ πρὶν ἀκουσθῆναι φαινόμενος τῷ τοῦ δρόμου τάχει καὶ πρὶν φανῆναι διώκων τοὺς πολεμίους τῷ δέει τῆς φήμης· ἀλλ' οἴμοι νῦν αὐτοῦ πολλῷ φανεὶς ὠκύτερος ὁ θάνατος τοὺς τοιούτους φθάσας διέκοψε δρόμους. πηγὴ πυρὸς αἰθερίου, δυοῖν θάτερον καινοτόμησον· ἢ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

παῦσαι τὰς ζωογόνους σπείρων ἐπὶ γῆς ἀκτῖνας· ἢ τοὺς κρατῆρας ὅλου τοῦ σοῦ πυρὸς ἀθροίσας, ῥῖψον κατ' αὐτῆς, ἵνα δὴ τὰς κόμας ῥίψῃ δένδρον ἅπαν καὶ μαρανθῇ τὰ κρῖνα τοῦ ἀγροῦ καὶ λάβῃ γένος χλόης ἅπαν αἴσθησιν καὶ γνῶσιν τοῦ τοσούτου πάθους. ἐκεῖνος ἦν ὁ τοὺς Τριβαλλῶν καὶ Μυσῶν ἡγεμόνας ἐκπλήξας, οἷα καθεύδουσιν ἐπιστὰς πολλάκις αἰφνίδιον, καθάπερ τις αἰθέριος κεραυνός. ἀλλ', οἴμοι, νῦν αὐτὸν ἀργὸν καὶ κείμενον καθάπαξ ἔδειξεν ὁ τάφος. οὐρανὲ, τὰς σὰς πύλας ἀναπετάσας πρόπεμψον βροντὴν ἀξίαν τοῦ μεγάλου τούτου πάθους καὶ θορύβησον τὴν κτίσιν πᾶσαν, ἵνα καὶ τῶν ἀψύχων ἡ φύσις αἴσθησιν λάβῃ καὶ συλλάβοιτο τῶν θρήνων ἅπασα φύσις κτισμάτων ἡμῖν. ὢ πῶς ἡ ταχυτάτη καὶ ὠκύπτερος φύσις νῦν ἠρεμεῖ μὴ κινούμενος; ὢ πῶς πολλάκις ἡμῖν κομίσας χαρὰν ἐκ τῶν πολεμικῶν τροπαίων ἐς τοὐναντίον ἀνέτρεψεν ἅπαντα σήμερον, καὶ χειμῶνα μὲν τὸ ἔαρ πεποίηκε, σκότος δὲ βαθὺ τὸ τοῦ ἡλίου κάλλος, μελανειμονούσης ἡλικίας ἁπάσης καὶ οἷον ἀποκρυπτού 1.563 σης τὴν αὐγὴν τῆς αἰθερίας τοῦ ἡλίου λαμπάδος; ὢ πῶς ὁ πολλοὺς ἐκ τῶν βλεφάρων ἀποκρουσάμενος ὕπνους ὑπὲρ τῶν ὑπηκόων νῦν ἐν τάφῳ τὸν μακρὸν ὕπνον καθεύδει; ὢ πῶς τὸν λίθινον αὐτὸς ὑποδὺς χιτῶνα ἐν βραχεῖ δυστυχῶν ἡμᾶς ἀποδύσασθαι πέπραχεν; ὢ πῶς πρότερον μὲν τὰ τῶν πολεμίων κόπτων καὶ καταβάλλων σώματα νῦν ἐκ τάφου τὰς τῶν ὑπηκόων τοξεύει ψυχὰς ἀφειδῶς; σὺ δ' ὦ θεία βασιλὶς, ποῦ τὸ σὸν καταλέλοιπας κλέος; πῶς καθάπερ εὔκυκλος σελήνη τῶν βασιλείων χθὲς ἐξελθοῦσα σήμερον ἐπανῆλθες ἡμίκυκλος; πῶς καθάπερ δένδρον εὐσκιόφυλλον ἀνθοῦσα σήμερον ἐξαίφνης ἀπήνθησας ὡς χόρτος ἐν ἀγρῷ καὶ ῥόδον ἐν λειμῶνι; πῶς ἐκ τῶν βασιλικῶν θαλάμων χθὲς οἷα λαμπρὰ καὶ πλησιφαὴς πανσέληνος ἀνατείλασα νῦν ἐν πολλοῖς καὶ βαθέσιν ἐκρύβης τοῖς νέφεσι; τίς ἐν βραχεῖ τὸ σὸν ἀπημαύρωσε κάλλος; ποῦ τὴν συγκαταρεύσασαν ἀφῆκας χλόην; τίς τὸν σὸν εὐανθέστατον κῆπον ἐξώρυξε; τίς κλέπτης, τίς λῃστὴς, τίς πρηστὴρ καὶ κεραυνὸς ἐξ οὐρανοῦ; πῶς χθὲς ὡς ἐκ λιμένος τὸν ἔκπλουν ποιησαμένη λαμπρὸν σήμερον ἐπανῆκες, ὡς ἐκ ναυαγίου καὶ κλύδωνος ὅλον ζημιωθεῖσα τὸν πολυτίμητον φόρτον; τίς σου τὸν χρυσοῦν ἀπέκειρε βόστρυχον; τίς ἀφεῖλέ σου τὸ τῆς πορφύρας κράτιστον; τίς τὸν σὸν ἥρπασε λύχνον; τίς τὸν σὸν ἔσβεσεν ἥλιον; τίς σοι τὴν καινοτέραν ταύτην ἡλιακὴν ἔκλειψιν εἴργασται; τίς σου τὴν λαμπρὰν συζυγίαν διέλυσε; τίς ἄγριος χειμὼν τὴν σὴν ἐαρινὴν ἁρμονίαν διέῤῥηξεν; ἀλλὰ συνάρασθέ μοι τοῦ πένθους ἅπας ὁ τῶν Ῥωμαίων δῆμος, καὶ δεῦρο 1.564 κοινῇ τὸν θρῆνον ἐγείρωμεν, κλαίοντες οὐκ ἐκεῖνον, ἀλλ' ἡμᾶς αὐτοὺς ἐν ἐρημίᾳ καταστάντας ἐκείνου. οἱ τὰς τοῦ γένους φλέβας ἕλκοντες ἐκ τῶν βασιλικῶν πηγῶν, δακρύσατε καὶ ὡς συγγενῆ τὸν βασιλέα καὶ ὡς τοῦ γένους καύχημα. οἱ τὰς βασιλείους πατοῦντες αὐλὰς, ζητήσατε τὴν τῶν βασιλείων λαμπρότητα. οἱ στρατιῶται, πενθήσατε τὸν δεξιὸν στρατηγόν· οἱ δοῦλοι, κλαύσατε τὸν φιλάνθρωπον δεσπότην· οἱ καθεύδειν καὶ ἠρεμεῖν εἰωθότες, τὸν ἄγρυπνον φύλακα· οἱ δικασταὶ, θρηνήσατε τὸν χορηγὸν τῆς τῶν νόμων ἰσχύος· οἱ τῆς ἐκκλησίας ἱεροὶ προστάται, ζητήσατε τὸν διάπυρον σπουδαστὴν καὶ συλλήπτορα τῶν δογμάτων· οἱ ἐν ὄρεσι καὶ σπηλαίοις, τὸν πρόβολον καὶ προασπιστὴν τῆς ὑμετέρας εὐκλείας καὶ δόξης· οἱ τῶν θείων ἀσκητηρίων κοσμήτορες, τὴν τῆς ὑμετέρας ἰσχύος ἀκρόπολιν. λογίσασθε τοὺς ὑπὲρ ὑμῶν τελευταίους ἀγῶνας αὐτοῦ, πῶς πεπονηκότος ἤδη καθάπαξ τοῦ σώματος ἔκ τε τῶν πολεμικῶν τραυμάτων ἔκ τε τῶν ἰατρικῶν καυτήρων καὶ πρὸς θάνατον ἐντεῦθεν ἐλαυνόμενος κατεφρόνησέ τε τοῦ σώματος, καὶ τῆς ἑαυτοῦ ζωῆς ἀφειδήσας προθύμως ἐπὶ τὸ βῆμα καὶ τοὺς ἱεροφάντορας ἧκε καὶ οὐ πρότερον ἐκεῖθεν ἀπήλλαξε, πρὶν ἐλπίδας δοῦναι, ὡς τοὺς ὑμῶν ὑβριστὰς καὶ τὰ ἐκείνων διεφθορότα δόγματα, τό γε εἰς ἐκεῖνον ἧκον, συντρίψει τε καὶ ὅλοις δώσει φθορᾶς καὶ ἀπωλείας βυθοῖς τε καὶ κύμασιν. ἀναμνήσθητε, οἵους καὶ ὅσου τοῦ ζήλου μεστοὺς τῶν 1.565 ἱερῶν ἐκείνων χειλέων τοὺς λόγους προήνεγκεν ὑπέρ τε



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τῶν θείων θεσμῶν καὶ τῆς ἀληθείας αὐτῆς. ἀναμνήσθητε ὧν ἐφθέγξατο πρὶν ἥκειν ἐπὶ τὸ βῆμα καὶ τὸν ἱερὸν σύλλογον· ὧν τε αὖθις ἐλθὼν διεξῄει πάνυ τοι μεγαλοφυῶς, καὶ ὥσπερ οἱ πάλαι τῶν θεολόγων, ὁπότε θείας ἐπιπνοίας ἐμφορηθέντες τὴν γλῶτταν ἐδίδουν τῷ ἐνηχοῦντι καὶ φέροντι πνεύματι· καὶ ὅπως τοῦ νοσήματος ὑπὲρ κεφαλῆς αἰωροῦντος τοῦ βίου τὸ πέρας, ὁ δὲ οὐκ ἐνέδωκεν, ἀλλ' ἐπέραινε τὰ βελτίω μάλα προθύμως· οἶμαι τοῦ θεοῦ μεγάλην ταύτην τὴν ζέσιν τῇ τούτου χαρισαμένου ψυχῇ, ἵνα κορωνίδα τινὰ τοῖς ἄλλοις ἐκείνου χρηστοῖς ἀγῶσι καὶ οἷον ἐκσφράγισμα κράτιστον ἐπιθείη, τὸ τοιούτοις λόγοις ἁγνισθῆναι τὴν γλῶσσαν καὶ τοιούτοις νόμοις καὶ δόγμασι συναπελθεῖν αὐτὸν ἐκ τοῦ βίου."2 (Δ.) Ἦν γε μὴν ὁ βασιλεὺς ἡδὺς καὶ χαρίεις τὸ εἶδος, τὸ ἦθος ἱλαρὸς καὶ εὐπρόσιτος, τὴν γνώμην φιλάνθρωπος καὶ πάνυ τοι συμπαθής. συμβουλήν γε μὴν τῶν πάντων οὐδενὸς προσδεχόμενος οὐδεμίαν, μόνῃ τῇ ἑαυτοῦ διετέλει πειθόμενος γνώμῃ καὶ γνώσει. διὸ καὶ κρυψίνους ἦν ὡς τὰ πολλὰ καὶ βαθεῖαν μὲν διὰ φρενὸς καρπούμενος αὔλακα· ἀνομίλητος δ' οὖν καὶ μισῶν περὶ ἑαυτὸν πλῆθος ἀνθρώπων ὁρᾷν. (Ε.) Ὅθεν καὶ οὔτε βασιλικαῖς ἐνέχεσθαι φροντίσι καὶ ἀσχολίαις ἠνείχετο, οὔτε μὴν ἐν ταῖς μεγίσταις τῶν ἑορτῶν τὰ τῆς βασιλείας ἐτέλει νόμιμα, τὰς θεατρικάς φημι καὶ δημοτελεῖς πομπὰς καὶ φιλοφροσύνας καὶ τὰς μεγαλοψύχους εὐεργεσίας τε καὶ διανομὰς τῶν τε χρημάτων ὁμοῦ καὶ ἀξιωμάτων. ὡς κινδυνεύειν ἐντεῦθεν λήθης καταδῦναι βυθοῖς τὰ τῆς βασιλικῆς εὐταξίας ἔθιμα, ὧν τὴν μνήμην 1.566 κατὰ διαδοχὴν οἱ βασιλεῖς τοῖς ὀψιγόνοις παρέπεμπον. πολλοῦ γὰρ παραῤῥυέντος χρόνου, καὶ τῶν εἰδότων θανόντων, δυσχερὲς ἂν γένοιτο γνῶναι τοὺς ἐπιόντας τὰ δέοντα· ἀλλ' ὡς ἔοικεν ἡ πρὸς τὰ φαῦλα σπουδὴ ῥᾳθυμοτέραν ποιεῖ τὴν ἐς τὰ δέοντα φιλοτιμίαν. ἔτρεφε γὰρ κύνας καὶ ὄρνεα κυνηγετικὰ παμπληθῆ καὶ τοσοῦτον ἐς ταῦτα ἥττητο, ὥστε καὶ εἴ τις αὐτῷ ἐντυχεῖν ἐβούλετο, ὄρνεον ἢ κύνα κομίζων ἐτύγχανε ῥᾷστα τοῦ ποθουμένου. ἃ πάντα μετὰ τὴν ἐκείνου τελευτὴν ὁ Καντακουζηνὸς τοῖς χρῄζουσι διεμέρισεν, ἀναλογισάμενος τό,τε παμπληθὲς τῆς δαπάνης καὶ τὸ τούτων ἐς τὰ τῆς βασιλείας πράγματα πάντη μὲν ἀνόνητον, πάντη δ' ἐπισφαλές. πέντε γὰρ καὶ δέκα χιλιάδας φασὶν οἱ τοῦ βασιλικοῦ πρυτανείου διοικηταὶ περὶ τὴν σφῶν δαπάνην καινοτομεῖσθαι. (΄.) Οὕτω γε μὴν πολλὴν καὶ βεβαίαν πρὸς θεὸν ἐκέκτητο πίστιν, ὥστε καὶ ἀφύλακτος διῆγε τὸ πλεῖστον καὶ αὐτῶν ἄνευ τῶν βασιλικῶν πελεκυφόρων. πολλάκις δὲ καὶ οὓς ᾔδει κατ' αὐτοῦ δίκτυα καὶ ἀγχόνας ἀρτύοντας ὁμοστέγους τε ἐποιεῖτο καὶ τούτοις συνδιαιτώμενος ἦν. ἔλεγε γάρ, ὡς ἀνθρώπου ζωὴ τῇ χειρὶ τοῦ θεοῦ συνοικεῖ, καὶ ὅταν ἐκεῖθεν συγχωρηθῇ τὰ τῆς λύσεως, τότε καὶ πᾶσι κινδύνοις ἀνέῳγε θύρα. (Ζ.) Οὐ μόνον δὲ, ἀλλὰ καὶ φύσεώς τις ἰδιοτροπία συνῆν γε αὐτῷ, μὴ φιλοτιμεῖσθαι μηδαμῆ περὶ τὸν τοῦ βασιλικοῦ μεγέθους ὄγκον· ἀλλὰ ταπεινότερον καὶ αὐτῶν γε τῶν ὑπηκόων ὁρᾶσθαι πολλάκις. τουτὶ δ' ἐξ ἑνὸς τῶν πολλῶν παραστήσαι τις ἂν ἐν βραχεῖ. δῆλον γάρ ἐστι τοῖς ἅπασιν, 1.567 ὡς αἱ τοῦ ἐπιπέδου ἐκ διαμέτρου ἀκρότητες τῶν βασιλικῶν τρικλίνων ἀμφότεραι ὑπέρκεινταί που τοῦ μεταξὺ ἐπιπέδου ἄχρι καὶ ἐς τρίτον σπιθαμῆς, καὶ μάλιστα ὅπη καὶ ὁ βασιλικὸς ἕστηκε θρόνος· ἵν' ἴσως ἔχῃ τι κἀν τούτῳ πλέον τῶν ἄλλων ὁ βασιλεὺς ἱστάμενος ἔν τε ταῖς ἱεραῖς ὑμνῳδίαις καὶ ὅτε διαλέγοιτο νῦν μὲν τοῖς ὑπηκόοις, νῦν δὲ τοῖς ἐξ ἐθνῶν πρέσβεσιν. ἐξεῖναί γε μὴν ἐπ' ἐκείνης τῆς στάσεως οὐδενὶ τῶν ἁπάντων τῷ βασιλεῖ συνίστασθαι, πλὴν τῆς συζύγου καὶ τῶν υἱέων καὶ ἀδελφῶν· προσθείην δ' ἂν καὶ τῶν πατραδέλφων. ἀλλὰ τούτου γε ἱσταμένου καὶ ὁμιλοῦντος ἐκεῖθεν οἷς ἐχρῆν ἀνῄεσαν καὶ συνίσταντό οἱ οὐχ ὅπως ἅπασα τῶν εὐγενῶν ἡ νεότης, ἀλλὰ καὶ τῶν χυδαίων καὶ ὑπηρέτου τάξιν ἐχόντων, οἷς πρὸς βουλήσεως ἦν. ὡς καὶ τοσούτους ἐντεῦθεν γίνεσθαι τοὺς συνωθισμοὺς περὶ αὐτὸν πολλάκις, ὡς ὑπείκειν αὐτὸν καὶ ἐνδιδόναι καὶ ἄλλοις μὲν τῆς ὑπερτέρας παραχωρεῖν στάσεως, αὐτὸν δ' ἠρέμα κατιέναι πρὸς τὸ τοῦ ἐδάφους



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

χαμαιζηλότερον, μηδενὶ τῶν ἁπάντων ἀχθόμενον. (Η.) Περί γε μὴν τῆς ἐπὶ κεφαλῆς καλύπτρας ἐπὶ μὲν τῶν πρότερον βασιλέων ἔθος, τοὺς μὲν χρόνῳ προβεβηκότας ἐν τοῖς βασιλείοις χρῆσθαι καλύπτραις, πυραμίδος μὲν ἐχούσαις σχῆμα, Σηρικοῖς δ' ἐνδύμασι κατὰ τὸ ἀνάλογον ἑκάστῳ ἀξίωμα καλυπτομέναις· ὅσοι δ' ἐν ἡλικίᾳ, τούτους δὲ πάντας καθάπαξ ἀκάλυπτον ἔχειν τὴν κεφαλήν. ἐπὶ δὲ τῆς αὐτοῦ βασιλείας ἐς τοσοῦτον ἔῤῥει τὸ ἔθος τουτὶ, ὡς καλύπτραις μὲν κεχρῆσθαι πάντας ὁμοῦ καὶ νέους καὶ ἀφήλικας, ὁμοίως ὥσπερ ἐν ἀγροῖς, οὕτω καὶ βασιλείων ἐντὸς, 1.568 πολυειδέσι δ' οὖν καὶ ταύταις καὶ ἀλλοκότοις καὶ οἵαις ἑκάστῳ πρὸς βουλήσεως ἦν. οἱ μὲν γὰρ Λατινικαῖς ἐκέχρηντο ταύταις, οἱ δὲ ταῖς ἐκ Μυσῶν καὶ Τριβαλλῶν ὁμοίαις, οἱ δὲ ταῖς ἐκ Συρίας καὶ Φοινίκης ἰούσαις, καὶ ἄλλοι ἄλλαις, ὡς ἑκάστῳ δεδογμένον ἦν. τῷ δ' αὐτῷ κἀπὶ τῶν ἐνδυμάτων κατεχρήσαντο ἤθει· ὡς ἐντεῦθεν τοὺς συνετωτέρους καινοτομίαν τινὰ καὶ κατάλυσιν ὑποπτεύειν τῆς βασιλείας καὶ πέρας τῶν ταύτης ἐθῶν καὶ πραγμάτων. ἤδη δ' ἐπῄει τοῦτο συνάγειν τελεωτέρᾳ τῇ γνώσει κἀκ τῶν βασιλείων καὶ περιλάμπρων οἴκων ἐκείνων, καθῃρημένων μικροῦ τῶν ὅλων καὶ ἐς ἀπόπατον καὶ κοπρῶνα καθισταμένων, οἷς παριέναι ξυμβαίνει. παραπλησίως δ' αὖ κἀκ τῶν πατριαρχικῶν ἐθῶν καὶ πραγμάτων, καὶ αὐτῶν γε τῶν μεγίστων καὶ περιφανῶν οἰκιῶν, αἳ δὴ κράτιστος κόσμος ὁμοῦ καὶ ὀχύρωμα τοῦ μεγίστου νεὼ τῆς τοῦ θεοῦ Σοφίας ὑπῆρχον, τοῖς τε πρώτοις συστᾶσαι δημιουργοῖς καὶ τοῖς ἔπειτα προσθῆκαι γινόμεναι κάλλιστα, καὶ μάλα τοῖς πρώτοις ἔργοις προσήκουσαι. πάντων γὰρ ἐπ' ἴσης φθορὰ καὶ κατάλυσις κατωρχήσατο. 2.571 α΄. Τὰ μὲν δὴ μέχρι τούτου πεπραγμένα πρὸ ἐτῶν ἐγγύς που ἑκατὸν καὶ πεντήκοντα ἐν λόγοις ἕνδεκα τῇ προτέρᾳ καθόσον ἐφικτὸν ἐπιτεμόντες ἡμεῖς ἀποδεδώκαμεν βίβλῳ. τὰ δ' ἑξῆς πλατύτερον ἤδη διέξιμεν, ἅτε ἐπιστατικώτερον τούτοις μάλιστα παρηκολουθηκότες. τῶν μὲν γὰρ πλείστων αὐτοὶ παρόντες αὐτήκοοί τε καὶ αὐτόπται γεγόναμεν. ἃ δὲ μὴ αὐτοὶ παρόντες τεθεάμεθα, καὶ ταῦτα δ' ἐξ αὐτῶν ἀκριβῶς ἡμῖν παρειληφέναι συμπέπτωκε τῶν πεπραχότων· ὡς μικρὸν ἢ μηδὲν ἧττω τῆς προτέρας εἶναι τὴν δευτέραν ἀντίληψιν. καὶ οἶμαί γε μάλιστα πάντων, ὁπόσα τοῖς ἐφεξῆς πέπρακται χρόνοις, ἐξεῖναι μανθάνειν τοῖς βουλομένοις ἐκ τῶν εἰρησομένων, μακρῷ τινι βέλτιον ἢ κατὰ πᾶσαν Στοὰν καὶ Ἀκαδημίαν Πλατωνικὴν, ὁπόσον ἀρετῆς πρὸς κακίαν ἐστὶ τὸ διάφορον, καὶ ὅσον αὕτη μὲν τοῖς μετιοῦσι παρέ 2.572 χει τὸ χρήσιμον· ὅσον δ' ἐξ ἀντιπάλου τὸ σφαλερὸν ἐκείνη. κατὰ γὰρ ἀνάλυσιν ἐκ τοῦ τέλους εἰς ἀρχὴν ἀνιόντας, ἐκεῖθεν ἐξεῖναι, καθάπερ ἐν ἀσφαλεῖ τινι πίνακι τῷ χρόνῳ, τὸν ἑκατέρας σκοπουμένους καὶ ἀνιχνεύοντας δρόμον, ὡς διὰ στοιχείων οἱονεί τινων, τῶν ἄλλοτ' ἄλλως Εὐρίπου δίκην ἀχθέντων, τῆς προνοίας ἐντεῦθεν εὐφυῶς ἀναγνῶναι τοὺς λόγους. (Β.) Ὡς γὰρ ἐν ἀπείρῳ τῷ ζόφῳ, ὁποῖον ἄν ποτε καὶ νὺξ ἀφεγγὴς τῷ οἰκείῳ βάψασα μέλανι τὸν ἀέρα δρῴη ἂν, ἀτέχνως τῶν ἀνθρωπίνων φέρεσθαι δοκούντων πραγμάτων, οὐδεὶς οὐδὲν τῶν ἁπάντων, οὐδ' εἰ καὶ κορυφῆς εἴη τριχὸς ἀμυδρότερον, τοὺς ὀφθαλμοὺς διαφεῦγον εὕροι τῆς δίκης. μακρὰν γάρ τινα τὴν αὐτονομίαν καὶ τὸ ἀφετὸν ἐκ προοιμίων αὕτη χορηγοῦσα ταῖς τῶν δρᾷν ἐθελόντων ἄλλοτ' ἄλλαις αἱρέσεσί τε καὶ γνώμαις, καὶ ἅμα κατὰ τὸν τῆς ὑπερφυοῦς ἀγνοίας βυθὸν τὰ ἡμέτερα διακυβερνῶσα, σταθμοῖς ἔπειτα καὶ πλάστιγξιν ἀκριβέσι τὰ τῶν δρωμένων δίδωσι τέλη· ἵνα τοῖς ὀψιγόνοις οἷον αὐτοφυεῖς νομοθέται τὰ τῶν παρεληλυθότων ἔπαθλα γίγνοιτο. οὔτε γὰρ οἷς μοχθηρίᾳ γνώμης καὶ τρόπων ἡλικιώταις διαγέγονεν εἶναι, τὸ χαίρειν ἄκλαυστον ἀπολαύειν εἰς τέλος ἀφιέναι δοκεῖ· οὔτε οἷς κακοπραγεῖν ἐξεγένετο, ἀγέλαστον ἐᾷ παραμένειν καθάπαξ τὸ δάκνον. ἀλλὰ τοιούτους δίδωσι γεωργῆσαι καρποὺς ἐν ἀμήτου καὶ ἅλωνος ὥρᾳ, οἵας ἑκατέρῳ συνέβη σπεῖραι τὰς αὔλακας. βουλοίμην δ' ἂν ἐκ τῶν καθ' ἕκαστα θεωρεῖν ἀλήθειαν πρὸς ψεῦδος, καὶ δικαιοσύνην πρὸς ἀδι 2.573 κίαν, καὶ πραότητα πρὸς ὑπερηφανίαν καὶ τῦφον, καὶ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

πενίαν πρὸς πλοῦτον, καὶ σιωπὴν εὐσχήμονα πρὸς χείλη δόλια καὶ γλῶτταν μεγαλοῤῥήμονά τε καὶ μακράν τινα ῥέουσαν τὴν ἀσχήμονα φλυαρίαν· καὶ δεῖξαι παρεξετάσας, οἵαν ἐπιφέρει τὴν στάθμην τῆς δίκης ὁ ἀκοίμητος ὀφθαλμός. ῥᾷστα γὰρ ἂν ἐν τοιούτῳ τῆς ἀρετῆς γυμνασίῳ ἅμα τε τῆς ἀληθείας ἡ φύσις ἐναργεστέραν λαμβάνοι τὴν πῆξιν, καὶ ἅμα περιφανῶς ἡ κακία φαυλίζοιτο, διὰ τὸ μὴ δ' ἡντιναοῦν ἀρετὴν ὡς ποῤῥωτάτω κακίας ἀνανταγώνιστον τὸ παράπαν εἶναι διαβιῶναι. (Γ.) Ἔχειν γὰρ ἀεὶ καὶ γῆν ἀντιφιλοτιμεῖσθαι πρὸς τὰ αἰθέρια, καὶ δεικνύειν, μὴ μόνοις κλῆρον ἐξαίρετον εἶναι τοῖς οὐρανοῖς φωναῖς ἀφθόγγοις θεοῦ διηγεῖσθαι δόξαν ἀεὶ, ἀλλ' ἐξ ἀντιῤῥόπου καὶ γῆν ἡλίῳ καὶ ἀστράσιν ἀεὶ νέαν ἐξεῖναι διηγεῖσθαι δόξαν θεοῦ, καὶ τοῦ τοσούτου χρήματος ὑπηρέτις ἡ ἱστορία καθίσταται χορηγὸς τοῖς ἀνθρώποις. ἧς ὁπόσον ἐστὶν ἐν βίῳ τὸ χρήσιμον, ἀνδρῶν τε τῶν πάλαι τοῖς πλείστοις ἐστὶν εἰρημένον, καὶ ἡμῖν γε πολλάκις αὐτοῖς ἐξ αὐτοσχεδίου τῆς γλώττης ὑμνῆσαι καθόσον ἐξῆν, καὶ γράμμασι πολλαχῇ τοῖς ἡμετέροις ἐγκατασπεῖραι, κώλυμα ἥκιστα πάντων ὄκνος οὐδεὶς ἐγεγόνει. αὕτη γὰρ ἀναγινώσκειν διδάσκει καθάπερ βιβλίον τῶν αἰωνίων ἔργων τοὺς κύκλους· καὶ διὰ ταύτης οἱ πάλαι θανόντες ὁμιλοῦσι τοῖς ζῶσί τε καὶ ἀεὶ γιγνομένοις, ὡς ἀεὶ παρόντες, καὶ τὰς οἰκείας ἕκαστοι διηγοῦνται πράξεις, καὶ εἴ τι παρὰ τὸν βίον τῶν χρηστῶν καὶ μὴ πεπονθέναι γέγονέ σφισιν, ἀναβίωσιν καινοτέραν δαιμονίως πως τῆς ἱστορίας δημιουργούσης. αὕτη κακίαν ἀεὶ φαυλίζει δι' αἰῶνος ἐλέγχουσα, 2.574 καὶ ἀρετὴν ἀθανατίζουσα σκωλήκων οὐ δίδωσι στόμασι διαφθείρειν ὁμοίως τοῖς σώμασιν. αὕτη μαινομένων δίκην ὑπὸ τύχης καὶ τύφου ματαίου γαυρουμένους παρειληφυῖα τῶν ἀνθρώπων ἐνίους μετριωτέρους ἐργάζεται. τῶν γὰρ φθασάντων τὰ πάθη οἷόν τινα πέλεκυν ἐπισείουσα λανθάνει καθάπερ διδάσκαλος παραδυομένη πρὸς τὴν ψυχὴν, καὶ ἠρέμα τάς τε φύσεις ἀμείβουσα διὰ τῆς τοιαύτης παιδείας καὶ τὰ ἤθη ῥυθμίζουσα, καὶ ἐξ ἀσυνέτων μὲν συνετοὺς, ἐξ ἀφρόνων δ' ἐργαζομένη φρονίμους· καὶ οὑτωσί πως ἐκ τοῦ θηριώδους πρὸς τὸ ἡμερώτερον ὅλας μεθαρμόζουσα πολιτείας. τοὺς μὲν γὰρ ἀγαθοὺς ἐξαίρουσα τοῖς ἐπαίνοις, τοὺς δὲ φαύλους ἐν κακότητος μοίρᾳ τιθεῖσα, ἐναργέστατον τοῖς ὀψιγόνοις γίνεται κάτοπτρον. ὡς γὰρ δι' ἐκείνου σαφεστέρας λαμβάνοντες τὰς ἐμφάσεις τῶν τοῦ προσώπου χρωμάτων τε καὶ σχημάτων οἱ πρὸς αὐτὸ βλέποντες ἐπανορθοῦσιν ὅσον ἐφικτὸν, οὕτω δήπου καὶ διὰ τῆς ἱστορίας τοῖς μετιοῦσιν ἐντίθεται σύνεσις, καὶ ἦθος ῥυθμίζεται ψυχῆς, καὶ ἀκόλαστον σχῆμα θυμοῦ καὶ φωνῆς καὶ διαίτης ἀμείβεταί τε καὶ ἀναπλάττεται πρὸς τὸ βέλτιον, καὶ λανθάνοντα φύσεως ἐλαττώματα καὶ συμπτώματα θεραπεύεται πάμπολλα. μᾶλλον δὲ καὶ κατόπτρου πολλῷ κραταιότερον τὸ τῆς ἱστορίας δείκνυται χρήσιμον. ἡ μὲν γὰρ μυρίας τε καὶ παντοδαπὰς τῶν ἄλλοτ' ἄλλως γινομένων καὶ ἀπογινομένων ἀνδρῶν ὑποδεικνῦσα πράξεις καὶ λόγους σαφεστέραν τὴν τοῦ βελτίονος ἐκ παραθέσεως ἔχει δεικνύειν ἐκλογήν τε 2.575 καὶ μάθησιν. τὸ δὲ κάτοπτρον, μονομερῆ μὲν τὴν ἔμφασιν, συμφυᾶ δὲ τὴν τοῦ ἐνορῶντος φίλαυτον ἔχον ἕξιν, ῥᾳδίως τε ἐξαπατᾷ καὶ τῆς ἀληθοῦς ἐξίστησι διδασκαλίας. βασιλεῦσιν οὖν καὶ ἄρχουσι πολλοῦ τινος ἄξιον ἂν ἡ ἱστορία γίγνοιτο χρῆμα, παραινοῦσα μὴ μέγα φρονεῖν, μήδ' ἐπὶ τῇ παρούσῃ τύχῃ θαῤῥοῦντας πρὸς τὸ βιαιότερόν τε καὶ τυραννικώτερον ἐξάγειν τὸν τρόπον, ἀλλ' ἀεὶ τὸν βασιλεῖ φυλάττειν μόνον προσήκοντα. ὁ μὲν γὰρ γνώμης αὐθαδείαις δημαγωγούμενος καὶ ὀχλοκρατούμενος ἄγεται μᾶλλον ἢ ἄγει, καὶ δοκῶν ἄρχειν ἔλαθε πρῶτος αὐτὸς ὑπὸ τῶν τῆς κακίας εἰδῶν τυραννούμενος. ὁ δὲ τὰς τῆς ἡγεμονίας ἡνίας δικαίως τοῖς ἄρχουσι νόμοις ἑκουσίῳ γνώμῃ διδοὺς, καὶ ὥσπερ μεθόριον ὑπηκόων καὶ νόμων ἑστὼς, ἐπίσης ἄρχειν καὶ ἄρχεσθαι κατὰ τὸν ἥμερον καὶ ἀνθρώπῳ πρέποντα βούλεται τρόπον, πρὸς ἀκριβῆ τινα ζῆλον καὶ μίμησιν ἑαυτὸν προβαλλόμενος τοῖς ὁρῶσιν, ἔμψυχον τῷ ὄντι νόμον καὶ ἄγαλμα ζῶν ἀρετῆς καὶ τὸ τῆς ἀρχῆς σύμβολον ἐκ τοῦ μᾶλλον


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἑαυτοῦ πρῶτον, ἢ τοῦ τῶν ἄλλων ἄρχειν, σαφῶς παρεχόμενος. μηδὲν γὰρ τῶν ἐν βίῳ μόνιμον εἶναι καὶ βέβαιον, μηδὲ τὰς κρηπῖδας ἐπ' ἀσφαλοῦς ἑστάναι τῆς τύχης παιδευόμενος ἐκ τῆς ἱστορίας, δέδιε καὶ βραχεῖαν καιροῦ ῥοπὴν, ῥᾷστα δυναμένην ἀνατρέπειν ἅπαντα, καθάπερ οἱ τοὺς κύβους ἐν τῷ παίζειν ἀναῤῥίπτοντες. οὕτω καὶ φύσεως αὐτῆς ὑπέρτερον ἡ ἱστορία περιφανῶς ἐπεφύκει. ἡ μὲν γὰρ τοῦ εἶναι μόνον κυρία γίνεται· 2.576 ἡ δὲ καὶ τὸ εὖ εἶναι προστίθησιν· ὃ τοσοῦτον ἐκείνου βέλτιον, ὅσον τό γε βλέπειν τοῦ μὴ βλέπειν. (Δ.) Τὰ δὴ τοιαῦτα τῶν τῆς ἱστορίας χρησίμων κἀμὲ πρὸς τὸ γράφειν ὅσα ἐπὶ τῶν ἡμετέρων γέγονε χρόνων παρέπεισε, καὶ διηγήματα προστιθέναι τοῖς φιλοκάλοις ἀνδράσι μεγάλα τε καὶ σπουδαίας ἀκοῆς ἄξια, καὶ μεγάλην δυνάμενα σύνεσιν ἐντιθέναι τοῖς ὅσοι πραγμάτων ἀεὶ καινοτέρων ἐμπειρίαν συνάγειν ποθοῦσι. φέρει γάρ πως οὐχ ἧττον κἀμοὶ τὸ πρᾶγμα χάριν τινὰ πρὸς ἤθους ῥυθμὸν καὶ ἡδονὴν οὐ μικρὰν, μετιόντι συχνότερον ἀφ' ἑτέρων εἰς ἕτερα τῶν διηγημάτων πολυειδῆ καὶ ποικίλα· καθάπερ τοῖς πλέουσι νῦν μὲν πελάγεσιν ἔστιν ἐντυγχάνειν, νῦν δ' ἐκ πελαγῶν ἐς νήσους καὶ ἐπίνεια μετιέναι, καὶ πολυειδέσιν ἐμφιλοχωρεῖν ἐμπορίαις, καὶ πανταχόθεν καρποῦσθαι μακρὰν τὴν ὠφέλειαν. (Ε.) Ἐπεὶ δ' ἱκανῶς ἡμῖν τὰ μέχρι καὶ ἐς τὴν τελευτὴν Ἀνδρονίκου τοῦ νέου λέλεκται βασιλέως, καίριον ἂν εἴη, τούτοις συνάψαντας διεξοδικώτερον ἀφηγεῖσθαι τὰ ἐφεξῆς. ἐπανακτέον τοίνυν τὸν λόγον εἰς ἁρμονίαν, μάλα γέ τοι τῷ τῆς ἱστορίας ὅλῳ προσήκουσαν σώματι. β΄. Τοῦ γάρ τοι βασιλέως τὰ λοίσθια πνέοντος ἔτι παρὰ τὴν τῶν Ὁδηγῶν μονὴν τῆς πανάγνου θεομήτορος, τὸν ἐκείνου παρειληφὼς υἱὸν Ἰωάννην ὁ μέγας δομέστικος ὁ Καντακουζηνὸς, ἔννατον τῆς ἡλικίας ἔτος ἀμείβοντα, καὶ σύν γε αὐτῷ τὸν μετ' αὐτὸν ἀδελφὸν Μιχαὴλ τὸν δεσπότην, ἔτους ὄντα τετάρτου, 2.577 πρὸς τὰ βασίλεια τὴν ταχίστην εἰσήνεγκέ τε καὶ τὴν προσήκουσαν περὶ αὐτὸν δορυφορίαν συνέστησε, πᾶσαν τοῖς βασιλείοις ἀσφάλειαν πορισάμενος πανταχόθεν, δείσας μή τι πάθῃ τῶν ἀδοκήτων ἐξ ἀφανοῦς, οἷα πολλάκις ἐν τοῖς τοιούτοις συμβαίνει. (Β.) Ἀλεξίῳ δὲ τῷ Ἀποκαύκῳ, ὃ πολλάκις ἐπιχειρήσαντι πέρας οὐκ ἦν τῆς μελέτης λαβεῖν, καὶ νῦν ἀμελεῖν οὐκ ἐνῆν αὐτοῦ. πολλάκις γὰρ εἰς ἐπίνοιαν ἐληλύθει, φονεύσας τὸν βασιλέα καὶ ἅμα αὐτῷ Καντακουζηνὸν, ἑτέρῳ παρασχεῖν τὸ βασίλειον περιζώσασθαι κράτος, ἢ τῷ θείῳ τοῦ βασιλέως Κωνσταντίνῳ τῷ δεσπότῃ, ἢ Συργιάννῃ τῷ πολυτροπωτάτῳ καὶ παραπλησίῳ τὴν σύνεσιν καὶ τὴν τῆς γνώμης ἐμβρίθειάν τε καὶ ὀξύτητα. δεινὸς γὰρ ὁμοίως ἐκείνῳ καὶ αὐτὸς ἐν τοῖς κατεπείγουσιν ἦν ἐπινοῆσαι τὰ τῇ χρείᾳ κατάλληλα καὶ πόρον ὀξὺς τοῖς ἀπόροις εὑρεῖν, ὀλίγα μὲν καθεύδων, τὰ πλεῖστα δ' ἐγρηγορὼς, καὶ σκεπτομένῳ τὰ μέγιστα ἐοικὼς καὶ περὶ μεγίστων, καὶ πλείονα καιρὸν ταῖς πράξεσιν ἢ τοῖς λόγοις ἀεὶ παρεχόμενος. εἰ δὲ καὶ πρὸς ἀλήθειαν ὁμοῦ καὶ δικαιοσύνην ἐχρῆτο τοῖς προτερήμασι, μέγα ἂν κλέος αὐτὸς τοῖς Ῥωμαίων ἐτύγχανε πράγμασιν ὤν. νῦν δὲ κατ' ἐκεῖνον τὸν Ἐπιδαύριον Στρατοκλέα αὐλητὴς μὲν ἦν ἀγαθὸς, ἄνθρωπος δ' οὐκ ἀγαθός. γένους γὰρ τῶν ἀδόξων ὑπάρχων ἐκ νέου καὶ πενίᾳ συντεθραμμένος νῦν μὲν τούτῳ, νῦν δ' ἐκείνῳ μισθοῦ διακονούμενος διετέλει τὸν χρόνον· κἀκ τῶν ἐλαχίστων μείζοσιν ἠρέμα τοῖς δεσπόταις ἀμοιβαδὸν χρώμενος, καὶ πᾶσιν ἀντιδοὺς τὰ χείριστα, προδότης σαφὴς καθιστάμενος, ἔλαθεν οὐκ οἶδα πῶς 2.578 καὶ ἐς τὴν αὐτοκρατορικὴν οἰκίαν παρεισφθαρεὶς, ἐπ' ὀλέθρῳ τῆς τῶν Ῥωμαίων, ὡς ἔοικε, τύχης καὶ εὐδοξίας. (Γ.) Τούτῳ τοίνυν ἤδη καιρὸν ἔχειν ἑαυτῷ περιθεῖναι τὸ βασίλειον κράτος νομίσαντι παντοίῳ τοῖς ἐπιχειρήμασι κατὰ τὸν Πρωτέα τὸν Φάριον ἐπῄει γίνεσθαι. καὶ νῦν μὲν περιϊὼν καὶ θωπεύων οὐ μάλα ἠμέλει Καντακουζηνὸν, συνωθῶν τὰ ἐρυθρὰ ὑποδήσασθαι ὑποδήματα· μηδὲ γὰρ εἶναι λέγων τὸ χρῆμα καινὸν, ἀνάγκην πολλάκις ἐπενεγκόντος τοῦ βασιλέως, τὴν πορφύραν λαμπρῶς ὑποδύντα συμβασιλεύειν, αὐτῷ μὲν περιόντι τῷ βίῳ, ἐκείνου δ' εὐθὺς ἀπαλλάξαντος, Ἰωάννῃ τῷ υἱῷ καὶ νέῳ βασιλεῖ. εἶναι γὰρ διπλοῦν καὶ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

σφόδρα ἀναγκαῖον τῷ τοῦ βασιλέως ἐκ πολλοῦ σκοπῷ τὸ καλόν· ἵν' ἅμα μὲν αὐτοῖς συνδιοικῶν τὰ τῆς βασιλείας εἴης πράγματα, ἅμα δ' ἐπίκουρος γίνοιο κράτιστος τῆς τούτων ζωῆς. μηδὲ γὰρ ἔτι λείπεσθαι τὸν λάθρα τῇ βασιλείᾳ ἐφεδρεύοντα, τοῦ διαδεξομένου παρομαρτοῦντος ἐς προὖπτον αὐτίκα. (Δ.) Καὶ ἦν νῦν μὲν ταῦτα λέγων, νῦν δ' ἐκεῖνα· νῦν δ' ἀναστρέφων καὶ ἀφ' ἑτέρου γινόμενος ἕτερος· καὶ ἅμα τῇ βασιλίδι τοὺς γένει καὶ δόξῃ προὔχοντας κατ' αὐτοῦ διεγείρων, καὶ ἰσχυριζόμενος εἶναι τῷ Καντακουζηνῷ διὰ μελέτης σφόδρα κατεσπουδασμένης, ἔργον ποιησαμένῳ ξίφους ἐς τὴν ὑστεραίαν πάντας ἡμᾶς, ἑαυτὸν αὐτοκράτορα καταστήσασθαι βασιλέα. ταῦτα λέγων καὶ κατασκευαζόμενος ἀνέσεισε καὶ αὐτοὺς δὴ τοὺς καθ' αἷμα τούτῳ προσήκοντας κατ' αὐτοῦ· ὡς καὶ αὐτὴν Ἄνναν πεισθεῖσαν τὴν βασιλίδα μηδὲ τὰς 2.579 ἐννέα πενθίμους ἡμέρας παρὰ τὸν τοῦ συζύγου τάφον ἀνύσαι δακρύουσαν, ἀλλὰ μετὰ τρίτην εὐθὺς ἀνιέναι πρὸς τὰ βασίλεια. (Ε.) Ἔνθα ὁ πατριάρχης Ἰωάννης, Ἀποκαύκῳ πειθόμενος,ἀνέγνω βιβλίον ἐκ τοῦ κόλπου λαβὼν, συνθήκας περιέχον, ἃς ὁ βασιλεὺς αὐτῷ τε πατριάρχῃ καὶ τοῖς περὶ αὐτὸν ἐκ πολλοῦ παρέθετο ἐπισκόποις, περί τε συζύγου καὶ παίδων αὐτοῦ, ὁπηνίκα μαχησόμενος ἀπῄει τῷ Συργιάννῃ πρὸς Θετταλίαν, ἁρπάζειν ἤδη μετὰ τῆς τοῦ Κράλη συμμαχίας ἐπιχειροῦντι τὴν Ῥωμαίων ἡγεμονίαν. ταῦτα τοίνυν διεξελθὼν εἰς τὴν τῶν κοινῶν πραγμάτων ἐπιτροπικὴν διοίκησιν εἰσάγειν ἑαυτὸν ἐπειρᾶτο. δίκαιον γὰρ ἔφασκεν εἶναι καὶ σφόδρα τῶν ἀναγκαίων ἄλλως, καθάπερ σώματι ψυχὴν, οὕτω τῇ βασιλείᾳ τὴν ἐκκλησίαν συνῆφθαι. μίαν γὰρ εἶναι σύστασιν καὶ ζωὴν ἀμφοτέρων τουτί. "1ἐπεὶ δὲ καὶ ταυτὶ τὰ τοῦ βασιλέως γράμματα τὴν σωτηρίαν ἐμοὶ τῆς τε συζύγου καὶ τῶν υἱέων σαφῶς ἀνατίθησι, ποῦ δίκαιον (φησὶν) ἐκείνων ἡμᾶς καταῤῥᾳθυμήσαντας ἀμελῆσαι τῶν συνθηκῶν, καὶ οὑτωσί πως ἑκόντας συγχωρῆσαι, κλύδωνας ἀτεκμάρτους ἐπιχεθῆναι τοῖς τῶν Ῥωμαίων πράγμασιν, ὁποῖοι κἀν τοῖς ἀνωτέρω γεγένηνται χρόνοις δι' ἀφέλειαν καὶ ῥᾳθυμίαν τοῦ τηνικαῦτα πατριαρχεύοντος Ἀρσενίου; ἐγὼ τοίνυν ἀντιλήψομαι τῶν κοινῶν ὁμοῦ τῇ βασιλίδι πραγμάτων· ἐγὼ καὶ τῆς τοῦ νέου βασιλέως προστήσομαι σωτηρίας."2 γʹ. Ταῦτα παρὰ πᾶσαν ἀκηκοὼς προσδοκίαν ὁ Καντακουζηνὸς ἔλεξε τοιάδε. "1Ἐμοὶ δ' οὐ τοιούτων ἐδόκει τὰ πράγματα δεῖσθαι λόγων ἐν τῷ παρόντι, ζῶντος ἐμοῦ καὶ συμπαρόντος ὑμῖν, ὃς 2.580 καὶ τοῦ βασιλέως περιόντος τῶν κοινῶν πραγμάτων ἤμην διοικητὴς σχεδὸν ἁπάντων καὶ ῥητῶν καὶ ἀποῤῥήτων κοινωνὸς ἐκείνῳ. ἴσασι δ' οὖν καὶ Ῥωμαίων οἱ πλείους, καὶ πρό γε πάντων ἡ βασιλὶς αὕτη, ὡς τἄλλα μὲν πνέων ἤμην ἐκείνῳ ταὐτὰ, καὶ τῆς ἐκείνου γνώμης ἅπαντ' ἐξήρτητο τὰ ἡμέτερα, καὶ πάντ' ἔδρων ἐγὼ προθύμως ὁπόσα ἐκείνῳ δεδογμένα ἦν, καὶ μηδὲν αὖθις ὃ μὴ δεδογμένον ἦν ἐκείνῳ· τό γε μὴν τοῖς βασιλικοῖς ἐνδύμασι κοσμηθέντα με συμβασιλεύειν αὐτῷ κατὰ τὴν ἐκείνου σπουδὴν καὶ βούλησιν, τοῦτο δ' οὐδαμῇ πρὸς βουλήσεως ἔμοιγε ἦν. τὴν δ' αἰτίαν ἐν τοῖς τῆς ἐμῆς καρδίας θαλάμοις καθεύδειν ἀπόῤῥητον ἐν τῷ παρόντι δίκαιον εἶναι νομίζω. ὅτι δὲ καὶ τὴν μετὰ θάνατον αὐτοῦ διοίκησιν καὶ ἐπιτροπὴν τῶν βασιλικῶν καὶ δημοσίων πραγμάτων ἐμοὶ παρέθετο πολλάκις, καὶ τὸ τοῦ υἱοῦ καὶ βασιλέως Ἰωάννου τῇ ἐμῇ θυγατρὶ προεμνηστεύσατο κῆδος, τά τε ἄλλα, καὶ διὰ τὸ μὴ κίνδυνόν τινα παρακύψαι, καὶ τοῖς κοινοῖς καὶ καθόλου παρεισφθαρῆναι πράγμασι, μάρτυς ἀπαρέγγραπτος Ἄννα ἡ βασιλὶς αὕτη. (Β.) Φαίην μὲν οὖν, ὡς ἰδιοτροπίαν τινὰ τῆς ἑαυτοῦ καλῆς ποιούμενος ἐκεῖνος γνώμης, τοιοῦτος ἦν ἐμοί. φαίην δ' ἂν μᾶλλον, εἰ χρὴ τἀληθῆ λέγειν, ὡς οὐδ' αὐτὸς οὐδαμῇ ποτε ἐνέλιπον πάντα δρῶν καὶ λέγων ὑπὲρ τῆς αὐτοῦ ζωῆς, καὶ προτιμῶν ἀεὶ τῆς ἐμῆς καὶ προτιθεὶς τὴν ἐκείνου. καὶ ἵνα τἄλλα πάντα παρέντες ἑνός που καὶ δυοῖν μνησθῶμεν· ἄρτι τοῦ βασιλέως καὶ πατρὸς Μιχαὴλ τελευτήσαν 2.581 τος, πρὸς ὁπόσην ἐμπέπτωκε θάλασσαν λογισμῶν, ἀκηκοὼς τῶν περὶ βασιλείας προτιθεμένων Ῥωμαίοις ὅρκων πρὸς τοῦ βασιλέως καὶ πάππου, καὶ ὁπόσα τὴν ἐκείνου ψυχὴν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

κατέκλυσαν ῥόθια λύπης, καὶ ὅπως πλὴν ἐμοῦ τῶν πάντων ἦν οὐδεὶς αὐτῷ παρήγορος τότε δεξιὸς καὶ ψυχῆς πιπτούσης βακτηρία καὶ κινδυνεύοντος φρονήματος ἀπόῤῥητον φάρμακον, καὶ οἷον ἀναψύξεως ζέφυρος, οὐκ οἶμαι δεῖν παρ' εἰδόσιν εἰς μῆκος ἐκτείνειν τὸν λόγον. ὅμως ἐπειδὴ, πρὶν Βυζάντιον ἁλῶναι, διαδρὰς τὸν ἐπηρτημένον κίνδυνον, ᾤχετο φυγὰς ἐς τὴν Θρᾴκην καὶ τὰ ἐν ταύτῃ φρούρια, καὶ ἔδει μὴ φίλου μόνον ἐκείνῳ πιστοῦ, ἀλλὰ καὶ χρημάτων καὶ δαπάνης παντοδαπῆς (πάντων γὰρ καθάπαξ ἦν ἐστερημένος πρό γε τῆς φυγῆς ὁμοῦ καὶ κατὰ τὴν φυγὴν ἐκεῖνος), οὐ μόνον πρὸς τὴν ἐνεστῶσαν ἐκείνῳ κεκένωκα χρείαν ἀφθόνως ἐγὼ, ὁπόσα μοι περιῆν ἐκ πατέρων καὶ προγόνων πάμπολλα χρήματα· ἀλλὰ καὶ πάσης ἔγωγε τῆς στρατιᾶς ὑπάρχων αὐτὸς ἡγεμὼν οἴκοθεν ἀεὶ χορηγῶν καὶ αὐτῇ διετέλουν τῶν μισθωμάτων ἀνενδεᾶ τὴν δαπάνην. ὁ γὰρ αὐτὴν προϊέμενος τὴν ψυχὴν ὑπὲρ τῆς ἐκείνου ψυχῆς, ἧς ὁ πᾶς οὐκ ἔστιν ἀντάξιος κόσμος καὶ τὰ τοῦ κόσμου χρήματα, σχολῇ γ' ἂν αὐτῶν ἐφεισάμην χρημάτων καὶ κτημάτων καὶ κτηνῶν ἁπάντων. (Γ.) Καὶ ἵνα τὰ τῶν ἐν μέσῳ κινδύνων συμπτώματα καὶ τοὺς τῶν μακρῶν ἐκείνων δρόμων καὶ περιδρόμων ἱδρῶτας κατὰ τὴν ἑπταετῆ περίοδον ἐκείνην παρέλθωμεν· ἐπειδὴ (δόξαν οὕτω θεῷ) τὴν βασιλίδα πόλιν ἑλὼν μόνος ἦν αὐτοκράτωρ αὐτὸς, τῶν ἐμῶν οὐκ ἐπελάθετο 2.582 πρὸς ἐκεῖνον ἐρώτων καὶ πόθων· ἀλλὰ πάντας ἔστρεφε καθ' ἑαυτὸν λογισμοὺς, ἀνερευνῶν ὅτι ἂν ἀποδοίη βραβεῖον ἄξιον ἐμοί. καὶ ἐπεὶ μεῖζον ἄλλο τῆς βασιλείας οὐχ εὕρισκε, ταύτης, τὸν δεύτερον φάναι πλοῦν, κοινωνὸν ἑαυτῷ καὶ βασιλέα ποιεῖσθαι διὰ μάλα μακρᾶς ἐποιεῖτο σπουδῆς. ᾐδεῖτο γὰρ, πρῶτον μὲν, Δαρεῖον ἐκεῖνον τὸν τῶν Περσῶν βασιλέα, εἰ βάρβαρος μὲν ἐκεῖνος ὢν, ὅμως διὰ τὴν τοῦ Ζωπύρου φιλίαν ὅλαις ὁρμαῖς τῆς ψυχῆς τὴν περιβόητον παραιτεῖσθαι διετείνετο Βαβυλῶνα καὶ ἅμα αὐτῇ τὴν Χαλδαίων καὶ Μήδων ἀρχὴν, εἰ Ζώπυρον ὑγιᾶ πάντῃ θεάσαιτο· αὐτὸς δὲ παιδείας ἀνθρώπῳ πρεπούσης καὶ πατρίου βασιλείας τρόφιμος ὢν ἐκείνου πρὸς ἀμοιβὴν τῶν καλῶν ὀφθείη δεύτερος. ἔπειτα οὐ τοσοῦτον ἐμοῦ γε εἵνεκα τοιαῦτ' ἔφασκεν ἐμοὶ διδόναι βραβεῖα, ὅσον τῆς αὐτοῦ συστάσεως, καὶ ἅμα παίδων καὶ συζύγου, ζῶντός τε καὶ τελευτήσαντος αὐτοῦ. (Δ.) Ἐγὼ δ' ἀκήρατον ἐθέλων φυλάττειν τὸ τῆς ἐμῆς πρὸς ἐκεῖνον φιλίας τερπνὸν, καὶ μὴ δοκεῖν δι' ἔρωτα δόξης ὅσα ἡμῖν ἐσπούδασται δρᾶν, οὐχ εἱλόμην οὐδὲν τῶν ἁπάντων, οὔτε μέτριον οὐδὲν, οὔθ' ὅσα τὴν τοῦ μείζονος ἔχει δόξαν λαβεῖν· ἀλλ' ἔμεινα τούτων ἁπάντων ἀθῶος ἄχρι καὶ εἰς δεῦρο. (Ε.) Ἃ δὲ νῦν ὁ πατριάρχης ἐπιτροπίας προτείνει γράμματα, τῆς τότε χρείας ἕνεκα τούτῳ γεγένηνται, καὶ οὐδαμῇ περαιτέρω. ἐδεδίει γὰρ ὁ βασιλεὺς, οἷα πολλὰ τὸ αὐτόματον παρὰ πᾶσαν ἐπάγει τὴν προσδοκίαν, μὴ αὐτός τε κινδυνεύσῃ καὶ σύν γε αὐτῷ καὶ αὐτὸς ἐγὼ συμπαρὼν, ᾧ τὴν διαδοχὴν ἀεὶ παρετίθει τῆς βα 2.583 σιλείας καὶ τῶν οἰκείων ἁπάντων. μηδὲ γὰρ εἶναι τῶν δυνατῶν, ἐν ἐκείνῳ τῷ ἀγῶνι τοῦ βασιλέως κινδυνεύοντος, ἐμὲ ζῶντα λείπεσθαι. οὕτω γὰρ ἀλλήλαις ἡμῶν αἱ ψυχαὶ συνεκέκραντο, ὡς καὶ πάντας Ὀρέστας ὁμοῦ καὶ Πυλάδας περιφανῶς τῆς ἡμῶν ἡττᾶσθαι συμπνοίας. εἰ γὰρ ἦν ἐφικτὸν, ἀπιόντος εἰς Θετταλίαν τοῦ βασιλέως, ἐν Βυζαντίῳ μένειν ἐμὲ, οὐκ ἂν ἐπισκόπων ἔδει καὶ πατριάρχου καὶ συνθηκῶν περί τε γυναικὸς καὶ παίδων καὶ βασιλικῶν πραγμάτων. ἀλλὰ τοῦ τηνικαῦτα καιροῦ πρὸς τὴν τοιαύτην τὰ πράγματα περίστασιν συνελάσαντος, οὕτως ἐφ' ὡρισμένῳ τὰ τῆς τοιαύτης ἐπιτροπῆς ἐκείνῳ συνεκλείετο τῷ χρόνῳ. ὁ δὲ τὸν τοῦ βασιλέως θάνατον ὥσπερ ἕρμαιον εἰς φιλαρχίαν, ὡς ἔοικεν, εἰληφὼς εἰς μέσον ἄγει δημοσιεύων τὰ πάλαι τοῦ βασιλέως γράμματα, μηδαμῇ τῇ παρούσῃ προσήκοντα χρείᾳ· ὡς μηδὲ πολλῶν ἐμοὶ πρὸς ταῦτα δεῖσθαι τῶν λόγων, πρὸς ἕτερα τῆς παρούσης χρείας τὰ πράγματα συνωθούσης. (΄.) Ἐμοὶ γὰρ, ἵνα τὸ προσῆκον πέρας τοῖς ἐμοῖς ἐπενέγκω λόγοις, τὰ αὐτὰ τῷ θείῳ διεξιέναι λείπεται Παύλῳ· ὅτι τὸν δρόμον τετέλεκα, καὶ τὴν πίστιν τετήρηκα· λοιπὸν ἀπόκειταί μοι ὁ τῆς δικαιοσύνης στέφανος. ὃς ὑπὸ δυοῖν


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ὁριζόμενος τουτωνὶ, τῆς τε ἐπιτροπῆς καὶ διοικήσεώς φημι τῶν βασιλικῶν πραγμάτων καὶ τῆς τοῦ νέου βασιλέως ἐπὶ τῇ ἐμῇ θυγατρὶ μνηστείας, ἡ μὲν ἐπιτροπὴ καὶ διοίκησις τῶν βασιλικῶν πραγμάτων, κατὰ συνέχειαν ἐκεῖθεν ἀεὶ διαβαίνουσα, πρόσεστιν ἔτι μοι. λοιπὸν δ' ἂν εἴη καὶ τὰ τῆς 2.584 τῶν παίδων μνηστείας ἤδη τελεῖσθαι."2 Καὶ ἐπὶ τούτοις ὁ σύλλογος ἔληγέ τε καὶ διελύετο. δʹ. Ὁ δ' Ἀπόκαυκος, ἅμα τῷ πατριάρχῃ προσιὼν ἰδίᾳ τῇ βασιλίδι, μήτε μηδενὸς ἀκούειν ἀνέπειθε τῶν ἀπὸ τοῦ Καντακουζηνοῦ λεγομένων, καὶ ἅμα τῆς τῶν πραγμάτων ἐπιτροπῆς ἀπέχεσθαι τελέως παρακελεύεσθαι. μηδὲ γὰρ εἶναι χρείαν ἔτι τούτου, τῆς βασιλίδος ὁμοῦ τῷ υἱῷ δυναμένης πᾶσιν ἐπιστατεῖν πράγμασι, παραδυναστεύοντός τε καὶ παρασπίζοντος τοῦ πατριάρχου, κατὰ τὴν πάλαι δοθεῖσαν πρὸς βασιλέως ἐπιτροπείαν αὐτῷ. ταῦτα λέγων καὶ πείθων ἐλάνθανεν οἵους καὶ ὅσους τοὺς ἀγρίους τρέφει θῆρας τῶν λογισμῶν ὡς ἐν λόχμῃ τῇ ψυχῇ. διεζωγράφει δ' οὖν καὶ ὑπεσήμαινεν ἀμυδρῶς τοῖς συνετωτέροις τῶν λόγων αὐτοῦ καὶ σχημάτων τὸ ἀλλοπρόσαλλον, οἷον ἐκρήξει χειμῶνα κατὰ Ῥωμαίων ὁ ἄνθρωπος, προσειληφὼς τὸ δύνασθαι. (Β.) Ὅσον μὲν γὰρ προσῆν Καντακουζηνῷ πανταχόθεν τὸ δύνασθαι, τοσοῦτον Ἀποκαύκῳ περιῆν ἀσθενείας· ὅσον δ' Ἀποκαύκῳ τὸ βούλεσθαι χείριστα δρᾷν, τοσοῦτον τῷ Καντακουζηνῷ τὸ μὴ βίαιον πράττειν μηδὲν ὁπωσοῦν κατὰ τῶν ὅσοι ξιφήρη χεῖρα τῇ τούτου ζωῇ καθοπλίζουσι. Καντακουζηνὸς γὰρ, παρὸν ἐκ τοῦ ῥᾄστου κακοὺς φωραθέντας αὐτοὺς καθελὼν, ἀπονητὶ τὸ τῆς αὐτοκρατορίας περιζώσασθαι σκῆπτρον, τοῦτο μὲν οὐ βεβούληται, ἀλλὰ τὴν αὐτῶν ἐκπλαγεὶς ἀγνωμοσύνην οἴκοι κατέμεινε σιωπῶν ἐπὶ δύο καὶ τρεῖς που τὰς ἡμέρας. ὁ δ' Ἀπόκαυκος, πειρώμενος μὲν, οὐ δυνάμενος δὲ καθελεῖν Καντακουζηνὸν, 2.585 ὃν μόνον ἀντίπαλον κράτιστον εὕρισκε τοῖς αὐτοῦ δολεροῖς λογισμοῖς, ὅμως οὐκ ἔληγε τὰ ἑαυτοῦ διηνεκῶς ἐνεργῶν. ἐκστατικὸν γάρ τι χρῆμα διανοίας ὁμοίως πέφυκε πλοῦτος καὶ δόξα, παρ' ἀξίαν τινὶ προσγενόμενα, καθάπερ ἡ μέθη. εἰς γὰρ δόξαν καὶ περιφάνειαν ἐξ ἀσήμου γένους ἐληλυθὼς, συνεργοῦντος καὶ περιθάλποντος Καντακουζηνοῦ, καὶ πλοῦτον μάλα πολὺν καὶ ὑπὲρ τὴν τύχην τὴν ἑαυτοῦ συναθροίσας, τοῦ καθήκοντος εὐθὺς ἐξέστη φρονήματος, καὶ τυραννίδος ἐν τοῖς τῆς ψυχῆς θαλάμοις ἔκρυψεν ἔρωτας, καὶ πάντ' ἐκεῖθεν ἔπραττε, καὶ πάντα συνεισῆγεν ὅσα γεωργεῖ τῆς τοιαύτης κακίας τὴν βλάστην. (Γ.) Βοᾷ δὲ καὶ αὐτὰ μονονουχὶ φωνὴν ἐκπέμποντα λαμπρὰν τὰ τῶν αὐτοῦ γε οἰκιῶν οἰκοδομήματα, μέχρι νῦν τὴν ἐκείνου κακίαν ἐκτραγῳδοῦντα· λέγω δὴ τὸ τῶν Ἐπιβατῶν φρούριον· ἔπειθ' ὅσα περὶ τὸ τεῖχος τῆς βασιλευούσης τῶν πόλεων ἤγειρεν, οἷον ἀμφίβιον καὶ γῇ καὶ θαλάσσῃ μεριζομένην ἔχοντα δίαιταν. πύλας γὰρ ἑκατέρωθέν σφισιν ἐτίθετο πρός τε γῆν καὶ πρὸς θάλασσαν· ἵνα διωκόμενον ἐκ θαλάττης ἤπειρος ὑποδέχοιτο, καὶ τοὐναντίον αὖθις φεύγοντα τὴν ἤπειρον ἡ συνοῦσα καὶ, οἷον εἰπεῖν, ναυλοχοῦσα τριήρης παρὰ τὴν οἰκίαν γίνοιτο παραπομπὸς ἐπ' ἀπίστου στοιχείου θαλάττης ἄχρι τῆς νήσου Πριγκίπου, ἢ ὅποι τῆς τύχης ἄγοι τὸ πέρας αὐτόν. ἔστησε γὰρ κἀκεῖ, καὶ ὁπηδήποτε καταφυγεῖν ἐβούλετο, φρούρια καὶ πύργους οὐρανομήκεις. οὕτω μοχθηρὸς ἦν ὁ ἀνὴρ ἐξ ἀρχῆς, καὶ μελέτας ἔκρυπτεν ἐν τῇ 2.586 ψυχῇ κακίας καὶ δόλου μεστὰς, εἰ καὶ μηδὲν αὐτῶν ἀπόνασθαί οἱ ἐξεγένετο, τοῦ θεοῦ ματαίαν πᾶσαν αὐτοῦ σπουδὴν καὶ μελέτην δεικνύντος, ὡς εἰρήσεται προϊοῦσιν ἡμῖν πλατύτερον. εʹ. Τῆς δὲ φήμης ῥυείσης εἰς ἅπαν τὸ στρατιωτικὸν, καὶ ὅσοι τῶν συνετωτέρων ἐκ πασῶν παρῆσαν τῶν πόλεων, ὡς οἴκοι καθίσας ὁ Καντακουζηνὸς πάντων πραγμάτων ἀπέσχετο, πολὺς ἀνήπτετο θόρυβος κατά τε πατριάρχου καὶ Ἀποκαύκου, καὶ εἴ τινές που τῶν ἐν τέλει σφίσιν εἶεν ὁμόφρονες. εἶναι γὰρ τῶν ἀμηχάνων ἔφασκον, ἀφέντας τὸν πλουτοδότην καὶ κοινὸν τροφέα Καντακουζηνὸν, καὶ συστρατιώτην μᾶλλον ἢ στρατηγὸν, καὶ συνταλαιπωρεῖν εἰδότα κατά τε τὰς ὑπαίθρους καὶ χειμερίας στρατοπεδείας αὐτοῖς, ἕπεσθαι μεμηνόσιν ἀνδράσι, καὶ ὑπὸ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

φθόνου καὶ βασκανίας διεφθορόσιν, ἢ μᾶλλον ἀμαθέσι παντὸς ἀγαθοῦ, ὁπόσα πόλεις οἶδεν ὠφελεῖν, καὶ φοβεῖν ἐχθροὺς, καὶ βασιλικοῖς ἐπίδοσιν διδόναι πράγμασιν. ὥστε καὶ τοῦ θείου προτεθέντος εὐαγγελίου κατὰ τὸ πάλαι κρατῆσαν ἔθος, ὑπὲρ ἀσφαλείας καὶ πίστεως ὀμνύειν τῶν βασιλέων, αὐτοὶ καὶ τοῦ τῆς βασιλείας ἐπιτρόπου Καντακουζηνοῦ προσετίθεσαν τοὔνομα. ὅτε δὴ καὶ ἀντιλέγειν ἐπιχειροῦντι τῷ Ἀποκαύκῳ ἐπεπήδησέ τις ἐξαπίνης ξιφήρης, ἐκεῖνο τὸ Ὁμηρικὸν ἐπειπὼν, αἶψά τοι αἷμα κελαινὸν ἐρωήσει περὶ τὸ ξίφος. ᾧ δὴ καὶ πολλοὶ τῶν στρατιωτῶν συμφρονήσαντες θορύβου πολλοῦ καὶ βοῆς ἐνέπλησαν τὰ βασίλεια· ὡς περιδεεῖς γενομένους ἐκείνους ὁμοῦ τῇ βασιλίδι οἰκτροὺς ἱκέτας γε 2.587 νέσθαι Καντακουζηνοῦ. ὅς γε καὶ μηδὲν τῆς σφῶν ὑπολογισάμενος κακογνωμοσύνης εἰς μέσον ἧκεν εὐθὺς, καὶ ὁμοῦ τῷ ὀφθῆναι πρὸς γαλήνην ἐχώρει τὰ τοῦ θορύβου καὶ κλύδωνος ἐκείνου κύματα, καὶ εἰς εὐδίαν ὁ τοῦ χειμῶνος ἐκείνου γνόφος μετωχετεύετο· καὶ ἀνοίξας τὸ στόμα αὐτοῦ τοιάδε ἐπὶ τῆς βασιλίδος, καὶ ὅσοι παρῆσαν, ἐφθέγξατο. (Β.) "1Τὸ μὲν ἀνθρωπίνοις ἀπροσδοκήτως ἀνθρώπους ὄντας συμφοραῖς ἐντυγχάνειν, καὶ πρὶν ἢ βουλεύσασθαι καὶ πρᾶξαι, πάσχειν τι τῶν δεινῶν, οὐ τοσούτῳ φαίην ἂν ἐγὼ τῶν πασχόντων ὅσῳ τῶν δρώντων ὑπάρχειν τοὔγκλημα. τὸ δ' ἄλλοις ὀρύσσοντας βόθρον αὐτοὺς εἰς ἐκεῖνον προτέρους ἐμπίπτειν, ἀναμφισβήτητόν ἐστι τῶν πιπτόντων ἁμάρτημα. ὡς γίνεσθαι τοῖς μὲν προτέροις τὸ πάθος οὐ μάλα συγγνώμης μακρᾶς ὑπερόριον· τοῖς δέ γε δευτέροις συγγνώμης τε πάσης ὡς πορρωτάτω λίαν ἐῤῥίφθαι συμβαίνειν, καὶ ἅμα τὴν ἐκ τῶν νόμων περιφανῶς ἐφέλκεσθαι ἐπιτίμησιν. ὅμως θεοῦ δικαίως ἐπιστατοῦντος τοῖς πράγμασι, καὶ κατάλληλα τοῖς νοσήμασι τῶν πραγμάτων τὰ τῆς ἰατρείας ἐπάγοντος φάρμακα, χρεὼν καὶ ἡμᾶς ἐκεῖσε τὴν μίμησιν παραπέμποντας οὐκ ἀθάνατον κατὰ τῶν ἁμαρτανόντων τὸ τῆς γνώμης διατηρεῖν ὀργιζόμενον· ἀλλ' ἀναλογιζομένους τὸ τῆς ἀνθρωπίνης φύσεως θνητὸν θνητὴν ποιεῖσθαι καὶ τὴν πρὸς αὐτοὺς ἐπιτίμησιν. ἄλλως τε καὶ ὁ τὸν ὑποπίπτοντα κολάζειν ἐθέλων οὐκ ἐκεῖνον, ἀλλ' ἑαυτὸν ἀδικεῖ, τῆς ἀνθρωπίνης περιφανῶς ἀσθενείας κατεπαιρόμενος. ὀξεῖαι δ' εἰσὶν καὶ αἱ τῆς τύχης μεταβολαὶ, καὶ 2.588 ῥᾷστα τὸ εὔδαιμον ἐξ ἄλλων εἰς ἄλλους ἀμείβουσι· καὶ χρὴ δεδιέναι πάντας τὴν ἀτέκμαρτον τοῦ χρόνου φοράν. ἔγωγ' οὖν οὕτως ἔχων ἀεὶ διατελῶ, ὥστ' ἐοικέναι δοκῶ μοι πτόρθῳ τινὶ πρὸς τὸ ὄρθιον εὐφυῶς ἀπευθυνομένῳ· ὃς ἐκεῖνο κέκτηται πλέον ὁμοῦ, ὅπερ εἰ καὶ αὐτὸς ἐκεκτήμην, ἡμάρτανον ἄν. τὸν μὲν γὰρ εἴ τις βίᾳ χειρὸς ἐπὶ τὰ ἔμπροσθεν μετακλίνας, ἔπειτα τὴν αὐτονομίαν τῆς φύσεως αὖθις ἐκείνῳ παράσχοι, οὐ πρὸς τὸ ὄρθιον εὐθὺς ἐκεῖνος φερόμενος ἀτρεμεῖ· ἀλλ' ἀθρόον ἐπὶ τὰ ὄπισθεν φέρεται καὶ δονεῖται, καὶ θορυβεῖ τὸν ἀέρα μακρόν τινα χρόνον, ἕως ὀψὲ καὶ μόλις ἐπὶ τὴν προτέραν ἠρέμα τῆς εὐθύτητος ἐκείνης ἀνέλθοι στάσιν. ἐγὼ δ' ὑπὸ πολλῶν πολλαχόθεν πολλάκις ἄλλοτ' ἄλλως τὴν εἰρήνην μισούντων ὠθούμενος ἐφ' ἑνὸς ἐρείδομαι τόπου, τῆς πρὸς θεὸν ἐλπίδος, καὶ τῆς συνήθους οὐκ ἐξίστασθαι θέλω πραότητος οὐδ' ἐπὶ βραχύ. ἀλλὰ πέτρα γίνομαι παράλιος καὶ οἷόν τις προβλὴς ἀτίνακτος, τῶν μαινομένων ἀεὶ κατ' ἐμοῦ τῆς οἰασοῦν θαλάττης ῥοθίων καταφρονῶν. κρίκους δέ τινας οἷον ἐμπεφυκότας ἔχω γε κύκλῳ μάλα τοι πλείστους καὶ παντοδαποὺς, ἐρείσματα δήπου τῶν βουλομένων ἐκ πελάγους καὶ κλύδωνος ὁλκάδων ἐξάπτειν καὶ δεσμεῖν τοὺς κάλως ἑαυτῶν. ἂν δέ τινες ἐντεῦθεν ἀποσπασθεῖσαι, συμβὰν οὑτωσί πως, εἴτε τῶν καλωδίων ῥαγέντων, εἴτε τοῦ δεσμοῦ λυθέντος, ἐξωκείλωσι πρὸς τοὺς πελαγίους καταῤῥάκτας καὶ κλύδωνας, οὐ τῆς πέτρας οὐδὲ τῆς ἐμῆς ἐστι γνώμης τοὔγκλημα, ἀλλὰ τῆς τῶν ἐπιβατῶν προφανῶς ἀβουλίας."2 Τότε μὲν οὖν οὕτως εἰπόντος ἐκείνου, κατε 2.589 στορέσθη τὰ πράγματα. (Γ.) Καὶ ἡ μὲν Δημοσθένους ἐκείνου σοφία, πρὸς τὸ τελευταῖον ἐκβὰν τῶν πρὶν ὑπαρξάντων ἕκαστον κρίνεσθαι, λέγει καὶ ἀποφαίνεται. ἐγὼ δὲ τὴν τῶν ἀγαθῶν ἀνδρῶν εὐδοκίμησιν, καὶ αὖ τὴν τῶν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐναντίως ἐχόντων κακίαν, οὐκ ἐκ τοῦ τέλους οἶμαι δεῖν ἐξετάζειν, ἀλλ' ἐκ τῆς ἀρχῆς καὶ τῆς πρώτης ἐπιβολῆς τῶν πραγμάτων. ἐκεῖθεν γὰρ, ὡς ἐκ πηγῆς καὶ ῥίζης, ἀναλάμπειν ἄρχεται τῶν δρωμένων ἡ ἀρετὴ καὶ ἡ κακία· κἀκεῖθεν ἔξεστι συνορᾷν ἀκριβῶς τοῖς ἀσφαλῶς ἐθέλουσι κρίνειν τὴν τῶν δρώντων προαίρεσιν, ὅτι καὶ μόνης τῆς ἀρχῆς τῶν πραγμάτων εἶναι κυρίοις δέδοται τοῖς ἀνθρώποις· τὰ δὲ τέλη πρὸς ὅπερ οὐκ ἴσμεν ἀπόῤῥητοι φέρουσι λόγοι· νῦν μὲν εἰς ὃ σκοπιμώτατον ἦν· νῦν δ' εἰς ὃ μή· καὶ νῦν μὲν ἀκραιφνὲς τὸ τῆς γνώμης βουλόμενον εἰς τέλος ἐκεχωρήκει· νῦν δ' οὐκ ἀμιγές· ἀλλὰ μέμικταί τι καὶ τῶν ἀβουλήτων· ὥσπερ ἂν εἴ τις ἄρας ἐκ Σικελίας οὐκ ἐς Σαρδοῦς καὶ Κύρνου τοὺς λιμένας, οὗπερ ἐβούλετ', ἀφίκετο· ἀλλά τις ἐκ τῶν ἑσπερίων βαράθρων ἀναῤῥαγεὶς καὶ ὑπερεκχυθεὶς ὑβριστὴς καὶ ἀγέρωχος ἄνεμος, ὥσπερ ἐξ ἐνέδρας καὶ λόχου, βίαιον ἐς Κρήτην αὐτῷ πεποίηται τὸν κατάπλουν. οὕτως ἐμοὶ δοκεῖν οὐκ ἐκ τοῦ τέλους τῶν πραττομένων εἶναι βέλτιον ἐξετάζειν ἀνδρῶν ἀρετὴν καὶ κακίαν, ἀλλ' ἐκ τῆς βουλῆς καὶ προαιρέσεως. ἐξέσται δ' ὅμως κἀκ τῶν εἰρησομένων ἐναργεστέραν τὴν τῶν λεχθέντων καρποῦσθαι δύναμιν. ἐντεῦθεν γὰρ ἄν τις θεῷτο μᾶλλον τὴν ἀκολούθησιν ἑκατέρωθεν 2.590 συνδεδραμηκυῖαν κατὰ τὸ ἀνάλογον καὶ ἁρμόττον. ταῖς μὲν γὰρ ἀρχαῖς τὰ τέλη, τοῖς δὲ τέλεσιν αἱ ἀρχαὶ τὴν συμφωνίαν ἀκήρατον πάμπαν εἰλήφεσαν. (Δ.) Ἔγνωσται γὰρ ἅπασι, μὴ μόνον Ῥωμαίοις καὶ Ἕλλησιν, ἀλλὰ καὶ ὅσοις ἔθνεσι πολυειδέσι καὶ βαρβάροις εἶναι συμβέβηκε, μετὰ ποίας πραότητος καὶ δικαιοσύνης ταῖς ἀρχαῖς ἐχρήσατο τῶν πραγμάτων ὁ Καντακουζηνός· μετὰ ποίας δ' αὖ τῆς μοχθηρίας καὶ ἀδικίας ὁ Ἀπόκαυκος. ἔγνωσται δ' αὖ ὁμοίως, καὶ ὅσους τοὺς διαύλους καὶ τὰ παλαίσματα μεταξὺ τῶν τῆς κακίας Τελχίνων ὀρχησαμένων, εἰς οἷον τὰ πράγματα κατηντήκει τὸ πέρας, τοῦ θεοῦ δικάζοντος καὶ ἀθλοθετοῦντος ἐξ ἀφανοῦς, καὶ ἀφθόγγοις καὶ σιωπώσαις φωναῖς ἀναδιδάσκοντος ἅπαντας, ἀγαθῆς προαιρέσεως ἀρχὰς καὶ πηγὰς προτιθέναι τῶν οἰκείων ἔργων, οἷς πρὸς βουλήσεώς ἐστι κατὰ νοῦν προχωρεῖν ἀγαθὸν τὸ γεώργιον. εἰ μὴ γὰρ ταῖς τῶν ἐμῶν διωκτῶν καινοφωνίαις ὁ Καντακουζηνὸς ὁπωσποτε παρενεχθεὶς χώραν ἐκείνοις τῇ τοῦ θεοῦ ἐκκλησίᾳ ζάλην προσενεγκεῖν κατὰ τὴν βασιλίδα Ἄνναν καὶ αὐτὸς ἐδεδώκει, κράτιστος ἂν βασιλέων ἐγίνετο, καὶ ἅμα τὰ Ῥωμαίων πράγματα μεγίστην ἂν δι' αὐτοῦ τὴν ἐπίδοσιν ἀνελάμβανε. νῦν δὲ διὰ κακίαν ἄλλων αἴτιος ὁ πραότατος τῆς τῶν ὅλων ἔδοξεν εἶναι φθορᾶς. ´. Ἔργοις γε μὴν αὐτοῖς ὁρῶν ὁ Ἀπόκαυκος εἰς τοὐναντίον αὐτῷ τὰ τῆς κακίας ἔνεδρα προχωροῦντα, καὶ κακὸς ἐκ τοῦ προφανοῦς ἐλεγχόμενος εἶναι, οὐκ ἠρυθρία τοῖς ὁμοίοις ἐπιβάλλων ἀεί· καὶ ταῦτα τῶν πάλαι σοφῶν θαυμάζοντος ἀκούων τινὸς, 2.591 οὐχ ὅτι πέπλευκέ τις, ἀλλ' ὅτι πέπλευκε δίς. οὐκ ἐπαινετὴν γὰρ τὴν τοιαύτην ἐνόμιζε τόλμαν ὁ σοφὸς, μετά γε δήπουθεν τὸ πολλοὺς ἀπαντλῆσαι θανάτους ἐν τοῖς θαλαττίοις ἀγῶσιν, ἐς τοὺς ὁμοίους αὖθις ἐμβάλλειν κινδύνους. (Β.) Δέον γὰρ, εἰ μή τι πλέον, ἐκείνῳ τἀνδρὶ τῶν τοῦ Καντακουζηνοῦ μεμνημένῳ δωρεῶν, μὴ μόνον τῆς πρὸς τοῦτον ἀπεχθείας ἀπέχεσθαι, ἀλλὰ χάριτας ὁμολογεῖν τὰς μεγίστας, καὶ γλώττῃ καὶ χειρὶ καὶ πᾶσι τρόποις προθυμίας τὸν εὐεργέτην ἀμείβεσθαι, ὅτι πρὸς τοσοῦτον ἐξ εὐτελοῦς ἀνήγαγεν ὕψος αὐτὸν, ὁ δὲ πάντα δίκαια παραδραμὼν μυρίους αὐτῷ συνετίθει καὶ συνεσκεύαζε τοὺς θανάτους, οὐδὲ τοὺς τῶν βαρβάρων Περσῶν αἰδούμενος νόμους, οἳ τοῖς ἀχαρίστοις νόμιμον ἐπάγουσι κόλασιν, μήτε τὰ πρὸς θεὸν εἶναι λέγοντες τὸν τοιοῦτον εὐχάριστον, μήτε πρὸς τοὺς γονέας, μήτε μὴν πρὸς τοὺς φίλους. ἀλλ' ἐχρῆν, ὡς ἔοικεν, ἐκτριβῆναι Ῥωμαίων ἅπασαν πόλιν καὶ χώραν, καὶ αὐτὰ τῆς τοῦ θεοῦ ἐκκλησίας συγχεθῆναι τὰ πράγματα, δι' ἔκτισιν οἶμαι παλαιοτέρων ἅμα καὶ νεωτέρων τοῦ γένους ἁμαρτημάτων. καὶ διὰ τοῦτο συνεχωρήθη τοιαῦτα παρεισφθαρῆναι κακίας ὄργανα καὶ προφάσεις, πλὴν φιλαρχίας καὶ δόξης ματαίας οὐδὲν ἐχούσας τὸ εὔλογον. ἀλλ' ἐς τὸ πρότερον ἴχνος τοῦ λόγου φέρε ἀνακάμψωμεν. (Γ.) Συνορῶν γὰρ, ὡς ἔφημεν, ὁ Καντακουζηνὸς, ὅτι



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

συσκευάζων αὖθις Ἀπόκαυκος οὐ παύεται δόλους καὶ ἔνεδρα κατ' αὐτοῦ, καὶ οὐκ εἰς μακρὰν ἠρεμήσας ἐπιβουλὴν ἐκραγεῖσαν ὄψεται φόνου μεστὴν κατὰ τῆς ἑαυτοῦ κεφαλῆς, ἰδίᾳ παραλαβὼν ἅμα βασιλίδι τὸν πατριάρχην τοιάδε φησί. (Δ.) "1Τῶν ἔξω σοφῶν οἱ χαριέστεροι 2.592 τἀναντία κατὰ τὸν αὐτὸν χρόνον ἐν τῷ αὐτῷ γενέσθαι ὑποκειμένῳ τῶν ἀμηχάνων εἶναί φασι. τούτου δ' οὕτως ἔχοντος, οὐχ ὁρῶ τίς ἂν ἐμοὶ γένοιτο μηχανὴ, ᾗ μεριζομένη πρὸς δύο τἀναντιώτατα παρέχοιτο δρᾷν ἀσφαλῶς ἃ προκεχείρισμαι. τὸ μὲν γὰρ τῶν κοινῶν προνοεῖσθαι πραγμάτων ἁπάντων ἕνα με ὄντα αὐτὸν, καὶ πάντων ἐπιμελεῖσθαι τῶν ὑπεικόντων τῇ βασιλείᾳ ἀνθρώπων μὴ ῥᾳδίως ὑπὸ τῶν πολεμίων βλάπτεσθαι, πᾶσαν ἕλκει πρὸς ἑαυτὸ διάνοιαν, καὶ πᾶσαν λογισμῶν ὑποτάττει φροντίδα· τὸ δ' αὐτοῖς ἐκείνοις, ὧν προνενόημαι, ἐπιβούλοις κεχρῆσθαι κατὰ τῆς ἐμαυτοῦ ζωῆς, τοῦτο δὲ παγχάλεπον ὂν ἀναγκάζει πάντων ἀποστάντα με τῶν ἄλλων φροντίδων μόνης τῆς ἐμαυτοῦ ζωῆς προνοεῖσθαι, καὶ τὴν οἰκείαν ἀσφάλειαν ἐκ παντὸς πραγματεύεσθαι τρόπου. τούτου δὲ τὴν διόρθωσιν ἀμφοῖν ὑμῖν ἀνηρτῆσθαι ἐχρῆν, εἰ τὰ δίκαια πράττειν ἐβούλεσθε, οἷς χρέος ἅπαν ἀνῆπται πᾶσι τρόποις ἐπείγεσθαι ἀποτρέπειν καὶ ἀποκόπτειν, εἴ τι που κατά τε τῶν τῆς βασιλείας ὁμοῦ καὶ τῆς ἐκκλησίας ὑποφύοιτο κακίας βλάστημα, ὃ λυμανεῖται προβαῖνον εἰς αὔξησιν καὶ ἅπαν ἄρδην ἀφανιεῖ τὸ κράτος ἀμφοῖν. ὑμεῖς δὲ μοχθηροῖς ἀνδράσι λάθρα καὶ συχνὰ κοινολογούμενοι, καὶ τοῖς αὐτῶν παραλόγοις ἑπόμενοι λόγοις, τῇ ἀριστερᾷ χειρὶ τὴν δεξιὰν ἀποκόπτειν ἐπειγομένοις ἑκόντες ἐοίκατε. ἔπειτα εἰ μὲν ἐμοῦ τὴν ψυχὴν ἐξάγειν τοῦ σώματος τοῖς ἐπιβούλοις ἦν πρὸς βουλήσεως μόνου, καὶ μὴ κατὰ παντὸς ἐχώρει, τῶν τε φίλων καὶ τῶν ἐκγόνων, τὸ τῆς σφῶν ἀναιδείας ξίφος, ἴσως μὲν ἐσί 2.593 γων ἂν, ἴσως δ' οὔ. οὐ γὰρ πάνυ μοι φαίνεται θεμιτὸν οὐδὲ τοῦτο, προδιδόναι τὴν ἑαυτοῦ τις ἑκών γε εἶναι ψυχὴν, ἄλλου κτῆμα καὶ παρακαταθήκην οὖσαν, πρὶν πρὸς τοῦ δεσπότου γενέσθαι τὴν λύσιν. εἰ δ' οὖν, φρασάτω τις ἐμοὶ παρελθὼν, ὅτου χάριν ἀτάφους τῶν πάλαι δικαστῶν οἱ σοφώτεροι ῥιπτεῖσθαι κατεψηφίσαντο, ὧν αἱ χεῖρες καθ' ἑαυτῶν ἐστρατεύσαντο. ὅμοιον γὰρ εἶναί πως δοκεῖ τὸ τοιοῦτον, ὥσπερ ἂν εἴ τις ἐξ ἀλλοδαπῆς ἰὼν ἄλλου δεσμώτην δραπέτην ἐργάσαιτο. εἰ δὲ πρὸς ἅπαντας ἄρδην ὁμοίως διαβαίνοι τά τε τῆς ἐπιβουλῆς τῶν μοχθηρῶν καὶ τοῦ γε κινδύνου τοὐμοῦ, μανίας οὐκ ἂν ἐλεύθερον ἐς τέλος εἴη τὸ σιγᾷν. εἰ δ' ἀκίβδηλος μὲν ὑμῶν ἡ πρόθεσις ἐμοὶ τετήρηται μέχρι νῦν, ὑπισχνεῖσθε δ' ἔτι καὶ τὴν ἐφεξῆς συντήρησιν αὐτῆς τὸ παράπαν διαφυλάξειν κακίας πάσης ἀμέθεκτον, καὶ ὅσα κατὰ τῆς ἐμῆς ὁμοίως μαίνεται ψυχῆς, ἕτοιμος αὖθις ἐγὼ τήν τε ὑμετέραν ἄρτι περαίνειν δέησιν, καὶ ὁμοῦ τὰς τοῦ μακαρίτου βασιλέως περὶ τῆς τῶν κοινῶν πραγμάτων ἐπιτροπῆς τε καὶ διοικήσεως ἐντολάς. τοῦτο δ' οὐκ ἄλλως ἀναμφισβήτητον ἂν γένοιτο πᾶσιν ἡμῖν, πρὶν ἔνορκον ἡμῖν τὴν ὑπόσχεσιν καταστῆσαι, καθὰ πολλαχῇ καὶ πολλάκις ἐν ταῖς τῶν ἀνθρωπίνων πραγμάτων ἀμφισβητήσεσιν εἴωθε γίνεσθαι. τοῦτο γὰρ ἐμοὶ καταφύγιον ἀσφαλὲς ἐν τῷ παρόντι δοκεῖ, καταστορέσαι δυνάμενον πᾶσαν ἐμῆς ψυχῆς ὑποψίαν καὶ λογισμῶν τρικυμίαν. εἶναι γὰρ καὶ βοτάνην Ἀσκληπιάδαι φασὶ τοῖς λύκοις θανάσιμον, ὑφ' ἣν ταῖς ἀλώπεξι προσιούσαις ἀφόβως καθεύδειν περίεστιν. εἰ οὖν καὶ τοῖς ἀλόγοις 2.594 εὐμήχανόν πως ἡ ἀνάγκη πρὸς σωτηρίαν γίνεται, ἄμεινον δήπου τοῖς λόγῳ καὶ νῷ συμφυεῖ κεχρημένοις ἡμῖν ἐν τοῖς ἐπικινδύνοις πράγμασιν ἐγγύας ἀπαιτεῖν, ὁπόσαι πρὸς τὴν δι' ὅρκων καταφεύγουσι πίστωσιν. ἀμειψαίμην δ' ἂν καὶ αὐτὸς ὑμᾶς τοῖς παραπλησίοις, εἰ μὴ ἱκανὰ πρὸς ἀσφάλειαν πίστεως τὰ προϋπηργμένα δοκοίη. ἐν γὰρ ἐξουσίᾳ γενόμενος τοῦ τῆς αὐτοκρατορίας περιβαλέσθαι τὸ σχῆμα, πρὸς ἐσχάτας ἤδη τοῦ βασιλέως ὄντος πνοὰς, ὅτε καὶ σὺν τοῖς δυσὶν υἱέσιν ἐκείνου τῶν βασιλείων ἔνδον αὐτὸς γενόμενος φρουραῖς στρατιωτικαῖς ἠσφαλισάμην αὐτὰ, μηδενὸς ἀντιπράττοντος, ἀλλὰ πάντων ὑπεπτηχότων τῷ δέει, οὐ ταὐτὸν πέπονθα τοῖς παρ' ἀξίαν ἐντυχοῦσί τινι θησαυρῷ,


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

καὶ ἀμφοτέραις τὸ τῆς ψυχῆς ἀναπιμπλάναι τοῦ ἔρωτος φίλτρον ἐπειγομένοις· ἀλλ' ἔμεινα τῶν τῆς ἐξαρχῆς προθέσεως ὅρων ἐντός. πολλῷ δὲ δήπου σαφέστερον ἐξουσία καὶ πλοῦτος καὶ αὐτόνομος δύναμις γνώμην ἀνθρώπου δηλοῦσιν, ἢ πενία καὶ ὑπεξούσιος δίαιτα. τῷ γὰρ ἀκουσίῳ βιαίως ἐνίων τὰ ἤθη τυραννούμενα λανθάνει διὰ μακροῦ τὰς τῶν ἔξωθεν κρίσεις τῆς ἀληθείας καταψευδόμενα. ἓν μὲν οὖν ἐκεῖνο μετὰ τὴν τοῦ βασιλέως τελευτὴν τῆς ἐμῆς καθαρότητος παραστατικὸν, καὶ ἅμα τῆς ὑμῶν δειλίας ἀναιρετικὸν, ὅτι παρὸν ἐκ τοῦ ῥᾱστου τὸ βασίλειον περιζώσασθαι κράτος, οὔτε πέπραχα τοιοῦτον οὐδὲν, οὔτε βεβούλευμαι, ἀλλ' ἔμεινα πάμπαν τῶν ὅρων τῆς εἰθισμένης τάξεως ἔνδον, ἀκήρατον συντηρῶν τὸ φρονοῦν τῆς ψυχῆς. οὐ γὰρ τοσοῦτον ἀνθρώποις ἀρέσκειν ἔκρινα δεῖν, ὅσον τῷ τῶν ἀδήλων ἐπόπτῃ θεῷ. οἱ 2.595 μὲν γὰρ τῶν δρωμένων ἐς τοὐμφανὲς καθίστανται μάρτυρες μόνων, οὓς καὶ παραλογίσασθαι ἔξεστιν ἐνίοτε, εἴ τις τοὺς τῆς κακίας καρποὺς τοῖς τῆς ἀρετῆς ὑποτίθησι σχήμασί τε καὶ χρώμασι. θεὸς δ' ἐν αὐτοῖς πρὸ τῶν ἔργων τοῖς τῆς καρδίας κινήμασιν ἐρείδει τὰ τῆς ἐξετάσεως ἴχνη, καὶ τὸ βῆμα τῆς δίκης ἐν αὐταῖς συγκροτεῖ τῶν λογισμῶν ταῖς ἀρχαῖς, ἔνθα χώραν οὐκ ἔχει σχῆμα καὶ χρῶμα καλύπτειν, εἴ τι κακίας ἐκεῖ παραφαίνεσθαι βούλοιτο βλάστημα. δεύτερον δὲ, τὸ παρὸν, ὃ καὶ πάσης κέκτηται κακίας ὑπεροχήν. δέον γὰρ τὴν ἐμὴν ἐκείνην αἰδουμένους πραότητα καὶ δικαιοσύνην ὅλῃ γνώμῃ καὶ χειρὶ καὶ γλώττῃ συναίρεσθαι πράξεσι ταῖς ἐμαῖς καθημένους ἀφρόντιδας, ὑμεῖς δὲ ... ἀλλὰ σιωπᾷν ἄμεινον θεῷ τὸ πᾶν ἐπιτρέψαντας."2 (Ε.) Ὁ μὲν οὖν Καντακουζηνὸς ἐνταυθοῖ κατακλείσας τοῦ λόγου τὸν δρόμον, καὶ ὅρκους δοὺς καὶ λαβὼν πρός τε τῆς βασιλίδος πρός τε τοῦ πατριάρχου, μηδὲν τὸ παράπαν ἐπίβουλον μήτε δρᾶσαι μήτε βουλεύσασθαι, ἀναστὰς ἐξῄει τοῦ βήματος. (ʹ.) Καὶ ἦν ὅλος εὐθὺς ἐν ἑτοιμασίᾳ τῆς ἐκστρατείας καὶ τοῦ πρὸς πέρας ἄγειν τὰ πάλαι καλῶς βουλευθέντα. τὰ δ' ἦν, πρῶτον μὲν διανομαὶ κτημάτων πρὸς ἅπαν τὸ στρατιωτικόν· ἔτι τε δωρεαὶ καὶ χάριτες καὶ τῶν πρὶν ὀφλημάτων ἐκτίσεις ἐκ τῶν οἰκείων χρημάτων αὐτοτελῆ τὴν διάρκειαν ἔχουσαι· χρημάτων γὰρ τηνικαῦτα καὶ τοιαύτης δαπάνης ἐσπάνιζε τὰ βασιλικὰ πρυτανεῖα· ἔπειτα ἐκστρατεῖαι κατὰ τῶν πέριξ ἐχθρῶν· ὧν οἱ μὲν ἐπετίθεντο πάλαι καὶ τὰς Ῥωμαίων ἐδῄουν ἀνέδην ὁπόσαι πρὸ 2.596 ὀφθαλμῶν ἐκείνοις ἔκειντο πόλεις ἅμα καὶ χῶραι· οἱ δ' ἐν παρασκευῇ τοῦ λῃστεύειν ἦσαν ἤδη διὰ τὴν τοῦ βασιλέως αἰφνίδιον τελευτήν. (Ζ.) Ἧκον δ' αὐτῷ καὶ γράμματα λάθρα πολλὰ πολλαχόθεν, ἔκ τε Ἀκαρνάνων καὶ Τριβαλλῶν ἔκ τε Θετταλῶν καὶ Πελοποννησίων Λατίνων, τὴν σφῶν ὑποταγὴν ὑπισχνούμενα. ἀρεσκόμενοι γὰρ ἀεὶ τῇ αὐτοῦ μεγαλοπρεπεῖ τε καὶ εὐγενεῖ διαθέσει τῆς γνώμης, ἑκόντες αὐτῷ προῃροῦντο σφᾶς τε αὐτοὺς προδιδόναι καὶ πόλεις τὰς ἑαυτῶν ἐκεῖνοι. καὶ ἦν ἐν μελέτῃ λοιπὸν περιϊὼν, ἅπαντα Ῥωμαίοις ὑπήκοα πεπραχέναι· οἷς μὲν ἐνῆν ἑκοντὶ προσχωρεῖν, νόμοις δεξιοῦσθαι φιλίας· οἷς δὲ πρὸς βουλήσεως ἀνθίστασθαι, τούτους δ' ὅπλων καὶ μάχης τῇ κρίσει παραχωρεῖν. ζʹ. Μετὰ μέντοι τὰς τοῦ Ἀρκτούρου ἐπιτολὰς ἄρας ἐς Θρᾴκην ἐκ Βυζαντίου περὶ τὰ μεθόρια τῶν τε Μυσῶν καὶ Ῥωμαίων περιφανῶς κατεστρατοπέδευσε, δυοῖν ἕνεκα· ἢ γὰρ, δείσαντος Ἀλεξάνδρου, τοῦ τῶν Μυσῶν βασιλέως, τὰς πρὶν ἀνανεώσασθαι καὶ κυρῶσαι σπονδάς· ἢ πολέμῳ τὴν τῶν πραγμάτων ἐπιτρέψαι κρίσιν. οὐ γὰρ ἦν εἰκὸς εἰς Θετταλούς τε καὶ Τριβαλλοὺς ἀπιόντας κατόπιν ἀφεῖναι τὴν τούτου μάχην, ὥσπερ τινὰ κεραυνὸν ἐγγύθεν κατὰ τῆς Θρᾴκης ἐπαιωρούμενον. ὅθεν καὶ κατὰ τὸ τῆς γνώμης βουλόμενον τὰς διαλύσεις ῥᾷστα καταπραξάμενος περιῄει τὰς Θρᾳκικὰς πόλεις καὶ χώρας περισκοπῶν, καὶ ἀναλόγους ποιούμενος αὐταῖς τὰς φρουρὰς ἐκεῖθεν ἄχρι Καλλιουπόλεως· ἔνθα δὴ καὶ ναυτικὴν ἠκηκόει δύναμιν παμπληθῆ 2.597 τῶν Περσῶν ἐξ Ἀσίας εἰς Εὐρώπην μέλλουσαν διαβαίνειν ἐπὶ πονήρῳ τῆς Θρᾴκης καὶ τῶν ἐν ταύτῃ Ῥωμαϊκῶν χωρῶν καὶ πόλεων, ναυαρχοῦντος καὶ τὸν τοιοῦτον ἄγοντος στόλον ἑνός τινος, ὄνομα



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Ἀμούρ. (Β.) Εἰς γὰρ σατραπίας διαιρεθείσης τῆς τῶν Περσῶν ἀρχῆς, ὡς ἀνωτέρω που περὶ τούτων εἰρήκειμεν πλατύτερον, ἄλλοι ἄλλα τῶν παραλίων διέλαχον τῆς Ἀσίας· οὓς οἱ ἀπόγονοι τοῦ χρόνου ῥέοντος διαδεξάμενοι, οἱ μὲν διὰ σύνεσιν καὶ ἐμπειρίαν πολεμικὴν εἰς μεῖζον προκεκοφέναι τὴν τοῦ κλήρου διαδοχὴν ἐπεπράχεσαν· οἱ δὲ νωθρότητι διανοίας τοῖς οὖσι μόλις ἐνέμειναν. εἰσὶ δ' οἳ καὶ τῶν ὄντων τελέως ἐξεπεπτώκεσαν. τούτων τοίνυν ἁπάντων ἰσχυρότερος ὁ Ἀμοὺρ ἐγεγόνει, σπουδῇ καὶ τόλμῃ χρησάμενος ὑπὲρ τοὺς ἄλλους. Λυδίας γὰρ καὶ Ἰωνίας οὗτος ὢν ἡγεμὼν ναυτικοῦ τε στόλου τὴν θάλασσαν ἐμπέπληκε καὶ φοβερὸς ἐν βραχεῖ μὴ ὅτι ταῖς ἐν Αἰγαίῳ νήσοις ἐγένετο θαλαττοκρατῶν, ἀλλὰ καὶ Εὐβοεῦσι, καὶ Πελοποννησίοις, Κρησί τε καὶ Ῥοδίοις, καὶ πάσῃ τῇ ἐκ Θετταλίας ἄχρι Βυζαντίου παραλίῳ. τούτους γὰρ ἅπαντας ὁπότε βούλοιτο ναυστολῶν τε ἐδῄου καὶ φόρους ἐτησίους συνῆγε μάλα τοι βρίθοντας ἐξ αὐτῶν. (Γ.) Οὗτος οὖν ἐκ πολλοῦ, τῆς τοῦ Καντακουζηνοῦ φήμης μετὰ κρότων καὶ ὕμνων μακρῶν διὰ πάσης πορευομένης γῆς καὶ θαλάττης, ἐραστὴς ἐγεγόνει πάνυ τοι σφόδρα διάπυρος, καὶ φιλίαν τηρήσειν αὐθαίρετον ἐπηγγείλατο διὰ βίου παντὸς αὐτῷ τε καὶ παισὶ διαδόχοις αὐτοῦ. καὶ μέντοι καὶ τοιαύτην αὐτὴν εἰς τέλος τετήρηκεν, οἵαν οἶμαι οὐδ' ὁ 2.598 πᾶς ἀλλαχοῦ παρέδειξεν αἰών. καὶ τοῦτο προϊόντων ἡμῶν αἱ κατὰ τὴν ἁρμόττουσαν χώραν ἀφηγήσεις, τῆς ἀληθείας οὐκ ἐκχωροῦσαι, σαφηνιοῦσι τοῖς πᾶσιν ἐς τἀκριβές. νῦν δὲ μόνον τὸ τῇ παρούσῃ χρείᾳ περὶ αὐτοῦ προσῆκον εἰπόντες ἀπαλλαξόμεθα. (Δ.) Τοῦ γὰρ βασιλέως τελευτήσαντος ἤδη, καὶ φήμης διαδοθείσης, ὡς βασκανίᾳ τυραννηθέντες τῶν τῆς βασιλικῆς γερουσίας ἔνιοι τὴν τοῦ Καντακουζηνοῦ καθελεῖν ἐπεχείρησαν δόξαν, σατραπικοῦ τινος οὗτος ἐγεγόνει πλήρης θυμοῦ καὶ βιαίας ὀργῆς· καὶ ἅμα παμπόλλων ἐμπλήσας νεῶν τὸ τῶν Σμυρναίων ἐπίνειον ἔμελλε τὴν ταχίστην, ὡς ἔφαμεν, διαβαίνειν ἐπὶ κακῷ τῶν ἄχρι Βυζαντίου Θρᾳκικῶν χωρῶν καὶ πόλεων. ταῦτα ἐπειδὴ περὶ Χεῤῥόνησον ἀκηκοέναι συνεπεπτώκει Καντακουζηνῷ, διὰ σπουδῆς ἐγεγόνει μακρᾶς πέμψαντι, τὸν τοιοῦτον τὴν ταχίστην ἀναχαιτίσαι στόλον. ὃ δὴ καὶ θᾶττον ἢ λόγος εἰπεῖν ἐγεγόνει, ῥᾷον ἢ κατὰ δοῦλον δεσπότου κελεύοντος, τοῖς τοῦ Καντακουζηνοῦ γράμμασιν ὑπείξαντος καὶ ὑπενδόντος τοῦ βαρβαρικοῦ φρονήματος ἐκείνου. τοῦτο μέγα μὲν, καὶ μακράν τινα ἥκει κομίζον τὴν ἔκπληξιν ταῖς τῶν ἀκουόντων ψυχαῖς. εἴ τις δ' αὐτὸ τοῖς ἐφεξῆς τοῦ ἀνδρὸς ὑπὲρ τοῦ Καντακουζηνοῦ πεπραγμένοις πρὸς φιλίαν δείγμασι παρεξετάζειν ἐθέλει, πολλοστημόριον ἂν τὸ βραχύτατον εἶναι λογίσαιτο. (Ε.) Ἐγὼ δὲ καὶ πρὸς τὸ πάλαι τῆς Ῥώμης κράτος ἐκεῖνο τὸν νοῦν ἀνήνεγκα, καὶ ἀνεμνήσθην, ὅπως πρόσταγμα ἓν τότε Ῥωμαϊκὸν, πᾶσαν ἐπιπορευόμενον γῆν τε καὶ θάλατταν, κατέπληττεν ἅπαντας, καὶ τῷ δέει μικροῦ καὶ ἀπο 2.599 θνήσκειν ἐποίει· καὶ οὔτ' Ἀσία κατ' Εὐρώπης μάχιμον ἐκίνει ξίφος, οὔτε τοὐναντίον αὖθις· ἀλλ' ἅπαν τὸ ἀντιπράττον εἰς ἔνσπονδον ἐκίρνατο σύμπνοιαν· καὶ Κίλιξ μὲν διὰ Βιθυνίας ἄοπλος ἐπορεύετο, καὶ Θρᾲξ διὰ τῆς Ἰταλίας ὁμοίως· καὶ ὡς διὰ φιλίας Σαυρομάται τῆς Ἑλλάδος ἰόντες τῶν τε Παναθηναίων ἦσαν θεαταὶ καὶ ταῖς ἐν Ὀλυμπίᾳ καθίσταντο τετραετηρικαῖς ἁρματηλασίαις ἀνθάμιλλοι· καὶ ἐλογισάμην κατ' ἐμαυτὸν, ὡς καὶ νῦν ἐφ' ἡμῶν τοιοῦτόν τι συνέβαινεν ἂν, εἰ πάμπαν ἐκ μέσου τὰ τῆς συγχύσεως ἀπήλλακτο σπέρματα, ὅσα κατὰ τοῦ Καντακουζηνοῦ συνεσκεύασεν Ἀπόκαυκος. εἶεν. η΄. Αὐτόθι δ' ἀκηκοὼς, ὅτι τε νόσημά τι ἐνέσκηψεν Ἄννῃ τῇ βασιλίδι, καὶ ὅτι τὴν συνήθη κακοτροπίαν Ἀπόκαυκος ἀναξαίνων πεφώραταί τε καὶ φοβηθεὶς ἀπέδρα πρὸς τὸ τῶν Ἐπιβατῶν φρούριον, καὶ τρίτον, ὡς ὁ πατριάρχης ὑπὲρ ἐκείνου τὰς τῆς βασιλίδος Ἄννης ἀκοὰς διαταράττων οὐ παύεται καὶ δεόμενος, τὴν μὲν πρόσω πορείαν ἐπέσχεν· αὐτὸς δ' ἐς Βυζάντιον τάχιστα ἐπανήει· καὶ τὴν μὲν βασιλίδα ῥᾴω τε καὶ ἤδη τοῦ ἐνσκήψαντος ἀπηλλαγμένην εὗρε νοσήματος· τὸν δὲ πατριάρχην ἰδίᾳ λαβὼν μαλακοῖς τισι λόγοις τῆς αὐτοῦ σμικροπρεπείας καθήψατο, καὶ διεξῄει



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τοσαῦτα, ὁπόσα δεξιῶς πως ἐπιῤῥαπίζοντα ἦν τήν τε εὐκολίαν τῶν τρόπων καὶ τὸ τῆς γνώμης ἀβέβαιον· καὶ ὅπως πρὸς ἑαυτὸν στασιάζων, καὶ πολέμια τῇ γλώττῃ διαπραττόμενος ἔργα, ἢ μᾶλλον ὁ τοῖς ἰδίοις μαχόμενος λόγοις 2.600 ἐς τοὐμφανὲς, σχολῇ γ' ἂν ἄλλους στασιάζοντας καὶ μαχομένους ἀλλήλοις πείσειεν εἰς ὁμοφροσύνην ἐλθεῖν ἀστασίαστον. (Β.) Ἔπειτα καὶ δευτέρους ἐπὶ τοῖς προτέροις ἐκείνοις ἀπήτησεν ὅρκους. καὶ ὃς, ἐκ μέσου πάμπαν ποιεῖσθαι βουλόμενος ὕποπτον ἅπαν, ἵνα μή τι πάθῃ δεινὸν ἅπαξ ἐπιορκῶν φωραθεὶς, οὐ μόνον ἱερεῦσι προσήκοντα ὀμώμοκεν ὅρκον, ἀλλὰ καὶ ὃς δημοσίοις ἀνδράσιν εἴθισται· καὶ ἀρὰς ἐπὶ τούτοις προὔτεινε καθ' ἑαυτοῦ τὰς μεγίστας ὁμοῦ καὶ φρικώδεις, εἰ ψευδόμενος ὅλως ἐπὶ τοῖς λεγομένοις ἁλοίη. (Γ.) Τῶν δὴ τοιούτων ἐπὶ τοιαύτῃ καταστάσει συνενεχθέντων, τὴν ταχίστην αὖθις ἐξῄει τοῦ ἄστεος ὁ Καντακουζηνὸς, σὺν πολλῇ τῶν οἴκοθεν χρημάτων παρασκευῇ καὶ ὅσα πρὸς δωρεὰς φιλοτίμους τῶν προσιέναι μελλόντων αὐτῷ παντοδαπῶν ἐθνῶν ὁμοῦ καὶ πρεσβευτῶν καὶ πόλεων παρεσκεύαστο· ἔπιπλά φημι καὶ χλαίνας Ἰταλικὰς ἐξ ἐρίου, καὶ ὅσα ἕτερα μακρὸν τὸ φιλότιμον ἔχουσι τῶν χαρίτων. (Δ.) Ὅ γε μὴν Ἀπόκαυκος ἐς τὸ φρούριον αὑτοῦ συγκλεισθεὶς, ἀντὶ τοῦ μᾶλλον αἰσχύνεσθαι καὶ ἐρυθριᾷν ἐπὶ τῇ αὑτοῦ ἀνάνδρῳ καὶ γυναικώδει διαίτῃ, ὁ δὲ τοὐναντίον ἐτετύφωτό τε καὶ ὀφρύος ἁπάσης μεστὰ διεξῄει ῥήματα, καὶ αὐτοῦ Καντακουζηνοῦ κατεμέμφετο ἀβουλίαν, ὅτι μὴ καὶ αὐτὸς τὴν ὁμοίαν ἡτοιμάσατο πρόνοιαν ἑαυτῷ, ἵν' ἐν καιροῖς ἀνάγκης καὶ φόβου τοιοῦτον ἔχοι πρὸς ἀσφάλειαν φρούριον καταφεύγειν. (Ε.) Ὁ δ' ἀκούων, καὶ τῆς ἐκείνου καταγελῶν εὐηθείας, τοιαύτας ἀντεπῆγε τὰς ἀποκρίσεις. "1Οὐ λίθοις"2, φησὶ, "1καὶ πλίνθοις ἐγὼ τὴν ἐμὴν τειχίζειν ἀσφάλειαν ἔγνωκα 2.601 δεῖν, οὐδ' ἐφ' οὕτω μικροῖς καὶ ψευδέσιν ἐμοὶ τερατεύεσθαι καὶ τοιαύτην ῥημάτων προφέρειν κομψότητα εἴθιστο· ἀλλὰ τῷ ἡδρασμένῳ τοῦ ἤθους ἐγκαρτεροῦντι διηνεκῶς φρούριον ἔχειν ἀθάνατον καὶ ἄγκυραν ἀσφαλῆ πρῶτον μὲν τὰς πρὸς θεὸν ἀναμφισβητήτους ἐλπίδας, καὶ τὴν ἐκεῖθεν ἀκήρατον δύναμιν· ἔνθα μόνῳ γεωργουμένης τῆς γνώμης τῷ τῶν ἀδήλων ἐπόπτῃ θεῷ, τὸ τῆς ἀσφαλείας ἀμάραντον ἀεὶ διαμένει βλαστάνον, μήθ' ἥλιον περιμένον τὴν τοῦ κρείττονος ἑρμηνεύσοντα κρίσιν, μήτε Πλάτωνος καὶ Δημοσθένους γλῶτταν ἁβρὰν καὶ μάλα λαμπρῶς Ἀττικίζουσαν· ἀλλ' αὐτομάτως διὰ τῆς τῶν πραγμάτων ἀκολουθίας ἐπὶ μέσης τὸ θαῦμα μονονουχὶ κηρύττον τῆς οἰκουμένης. ἐν μὲν γὰρ ταῖς τῶν προσκαίρων φρουρῶν καὶ πυργωμάτων τρυφαῖς καὶ βλακείαις ταχὺ τὸ τερπνὸν ἀποθνήσκει τῆς ὥρας ἐφήμερον ἔχον τὴν ῥίζαν. ἐγὼ δὲ τὰς τῶν ἀνθρώπων ψυχὰς ἐμαυτῷ κατεσκεύασα φρούρια καὶ πύργους παμπληθεῖς τε καὶ ἀσφαλεῖς, εἰς οὓς ἐμβέβληκα φέρων αὐτὸς τὴν ἐμαυτοῦ ψυχήν. καὶ ὁ μὲν Πλάτων ἐν ἀλλοτρίῳ σώματι ζῆν τὴν τοῦ ἐρῶντος ἔφη ψυχήν· τὴν δ' ἐμὴν ψυχὴν οὐκ ἐν ἀλλοτρίοις σώμασιν, ἀλλ' ἐν ἀλλοτρίαις συνηνέχθη ζῆν ταῖς ψυχαῖς. μηδὲ γὰρ σωμάτων, ἀλλὰ ψυχῶν ὑπάρχων αὐτὸς ἐραστὴς, καὶ ψυχὰς τοὺς ἐραστὰς εὐτύχησα· καὶ τρόπον ἕτερον ἐμψύχους τὰς τῶν πλείστων πέπραχα ψυχάς. τοιούτους ἐμαυτῷ κατεσκεύακα πύργους ἐγὼ, καὶ οὕτω μετὰ πάσης γαλήνης καὶ ἡδονῆς, καὶ δίχα τινῶν ἑλεπόλεων, τὰς ἁπάντων χειροῦμαι σύν γε θεῷ διαθέσεις καὶ γνώμας· καὶ οὕτως 2.602 ἀναίμακτα κατορθοῦν μεμελέτηκα τρόπαια. ὁ δ' ἐφεξῆς αἰὼν τῶν λεγομένων ἅμα καὶ δρωμένων σοφῶς διαζωγραφήσει τὴν μαρτυρίαν."2 Ἀλλ' ὁ μὲν Καντακουζηνὸς τοιοῦτος τέως τοὺς τρόπους ἐτύγχανεν ὢν, καὶ τοιαῦτα λέγων καὶ πράττων διετέλει.
θ΄. Ἐγὼ δ' ἐκεῖσε ἐπάνειμι, λεπτομερέστερον ἀφηγησόμενος ἕκαστα. Ἀπόκαυκος γὰρ ἐκεῖνος ὁ πάντα δεινὸς εἰς ἐπίνοιαν καὶ πολυτροπώτατος, ἐπειδὴ συγκυκήσας ἅπαντα, ἵνα τὸν ἄρχοντα παρακρουσάμενος αὐτὸς ἐπιβῇ τῆς ἀρχῆς, (ὅπερ δὴ καὶ τοιχώρυχοι νύκτωρ καὶ λῃσταὶ ποιοῦσιν, οὐ πρότερον τὰ ἐν οἰκίᾳ διαρπάζειν ἔχοντες εὐχερῶς, πρὶν ἂν τὸ ἐν αὐτῇ κατασβέσωσι φῶς,) ἠλέγχθη, κατεγνώσθη μὲν,


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

οὐδὲν δ' ἄξιον εἰς ἀμοιβὴν τῆς αὐτοῦ κακίας ἀπήλαυσε πρὸς ἐκείνου. ὅμως αὐτὸς ὑφ' αὐτοῦ τε αἰσχυνθεὶς καὶ δείσας, μὴ τὸ μακρόθυμον ὀψέ ποτε ἀποῤῥίψας τῷ νόμῳ τῆς δίκης χρήσηται κατ' αὐτοῦ, ᾤχετο λάθρα φυγὰς, ὡς εἰρήκειμεν, εἰς τὸ φρούριον τῶν Ἐπιβατῶν οὑτωσί πως λεγόμενον· ὅπερ αὐτὸς ἐκ πολλοῦ πολλοῖς ἀνήγειρεν ἀναλώμασιν ἐν τοῖς παραλίοις τῶν προαστείων τοῦ Βυζαντίου, μικρὸν μὲν, ποικίλον δὲ, καὶ δαιμονίως ὀχυρόν τε καὶ δύσμαχον. εἰς γὰρ ὕψος τύχης ἐξ ἀσήμου γένους ἀρθεὶς φρόνημα ἔσχεν, ὁποῖον ἂν καὶ οἱ μεθύοντες. ὠνειροπόλησε γὰρ ἀποθανόντος τοῦ βασιλέως ἐπιχειρῆσαι κατὰ τῆς βασιλείας αὐτός· εἰ δὲ μὴ δυνηθείη, καταφυγεῖν γοῦν εἰς τὸ φρούριον τοῦτο, καὶ εἶναι πολέμιος τῷ κρατήσαντι. (Β.) Συνήγαγε δ' ἐν τούτοις μὴ μόνον χρημάτων παντοδαπῶν καὶ παντοίων σωροὺς, ἀλλὰ καὶ σίτου 2.603 καὶ οἴνου πλῆθος, καὶ ὄψων παντοίων ταρίχη, καὶ πᾶσαν ἄλλην ἀφθονίαν, ὧν ἐν χρείᾳ καθίστανται ἄνθρωποι· ὕδατά τε εἰσήγαγεν ἔξωθεν δι' ὑπονόμων ἀένναα. περὶ οὗ δὴ καὶ πρὶν ἀποθανεῖν παριόντα φάναι τὸν βασιλέα· "1ἰδοὺ, φωνὴν ἀφιὲν μονονουχὶ περιβομβεῖ μου τὰς ἀκοὰς τὸ φρούριον τουτὶ, προκηρῦττον ἡμῖν τὴν ἐνδόμυχον ἀπιστίαν τε καὶ κακοτροπίαν τοῦ δειμαμένου"2· διακελεύσασθαί τε τῷ Καντακουζηνῷ, αὐτὸ μὲν καθελεῖν, καὶ πρὸς τὸ βασιλικὸν ἐπανασώσασθαι πρυτανεῖον τοὺς ἐν αὐτῷ συνηθροισμένους ἀδίκως σωροὺς τῶν χρημάτων· αὐτὸν δὲ φρουραῖς καὶ δεσμοῖς καθυποβαλεῖν, μὴ πολὺν ἐκρήξει χειμῶνα κατὰ τῶν τῆς βασιλείας πραγμάτων καιροῦ λαβόμενος ὀψέ. ἀλλὰ τῷ πράῳ τε καὶ ἡμέρῳ κἀνταῦθα χρησάμενος ὁ Καντακουζηνὸς ἔλαθεν ἑαυτῷ τε καὶ ταῖς πόλεσι μεγάλην ταμιευσάμενος βλάβην. ὥστε καὶ ἀνόνητα μεταμελόμενος ὕστερον ἐπὶ τῇ κακοβουλίᾳ ἑαυτοῦ τὸν βασιλέα λαμπρῶς ἐπὶ δυσὶν ἐμακάριζε τούτοις. ἀλλὰ γὰρ ἔλαθε τὸ ποικίλον τῶν ὑποθέσεων ἐς τοσοῦτον ἡμᾶς παρενεγκών. ἐπανιτέον τοίνυν. (Γ.) Φυγόντι γὰρ εἰς τὸ φρούριον τῷ Ἀποκαύκῳ, οὐκ ἠμέλει κρύφα μηνύων καὶ γράφων ὁ πατριάρχης αὐτῷ, καὶ ἀνακαλούμενος, καὶ τὰς κατὰ τοῦ Καντακουζηνοῦ συμβουλεύων τε ἐπιβουλὰς καὶ συμβουλευόμενος ὑπ' αὐτοῦ, καὶ ἅμα τὰς τῆς βασιλίδος συχνὰ ὑπορύττων ἀκοὰς, καὶ τὸν μὲν Καντακουζηνὸν διαβάλλων ἀεὶ, τὸν δ' Ἀπόκαυκον μακροῖς τοῖς ἐπαίνοις ἐξαίρων. ῥᾷστα τοίνυν γυναικείαν ἐξαπατή 2.604 σας ἁπλότητα, καὶ πρὸς τὴν ἑαυτοῦ μεθαρμόσας βούλησιν, πάντ' ἔδρα τὰ μελετώμενα. καὶ ἅμα τὸν μὲν Καντακουζηνὸν ἐντίμως προπέμπει τοῦ Βυζαντίου, φρικωδεστάτοις τοῖς ὅρκοις ἐμπεδώσας τὰς πρὸς αὐτὸν πίστεις, καὶ ἐπαρασάμενος ἑαυτῷ τὰς παλαμναιοτάτας ἀρὰς, εἰ μὴ στέργοι διαφερόντως ὁπόσα αὐτῷ πρὸς βουλήσεως εἴη λέγεσθαι καὶ πράττεσθαι τῶν βασιλείων εἵνεκα πραγμάτων, καὶ εἰ μὴ μάχοιτο τοῖς αὐτῷ μαχομένοις· τὸν δ' Ἀπόκαυκον εἰσκαλεῖται βασιλικῶς ἐνσεσημασμέναις ἐπιστολαῖς, μάλα πολλὴν ὑπισχνουμέναις αὐτῷ τὴν τιμὴν καὶ παντὸς ἀμνηστίαν ἐγκλήματος. (Δ.) Ἀπαίροντος τοίνυν ἐκ Βυζαντίου εἰς τὰς Θρᾳκώας πόλεις τῷ Καντακουζηνῷ, ὑπήντησεν ἐξιὼν ὁ Ἀπόκαυκος τοῦ φρουρίου, καὶ ἀποβὰς τοῦ ἵππου προσεκύνησε, βασιλικὴν ἀπονείμας αὐτῷ τὴν τιμήν. τοῦτο γὰρ καὶ πρό γε αὐτοῦ πεποιήκασιν ἄκοντι τούτῳ πάντες, ὅσοι γένους εἵνεκα προσῆκον αὐτῷ, ὅσοι τε τῆς συγκλήτου λογάδες καὶ ὅσοι τῶν μετ' ἐκείνους, εἴτε ὡς ἐπιτρόπῳ τῆς βασιλείας, εἴτε ὡς ἐπὶ τῆς αὐτοῦ βουλήσεως ὁρῶντες ἐξηρτημένον τὸ βασίλειον σκῆπτρον, καὶ ὑποπτεύοντες ἐς τὴν ὑστεραίαν βασιλικοῖς ἐσταλμένον ὀφθήσεσθαι παρασήμοις, εἰ βουλομένῳ γε εἴη αὐτῷ· πάντας γὰρ ὑπεπτηχέναι τῷ δέει, καὶ ὑπείκειν ἴσα τούτῳ καὶ βασιλεῖ. (Ε.) Συνηκολούθησε μέντοι ὁ Ἀπόκαυκος ἄχρι καὶ Σηλυβρίας αὐτῷ, μάλα περιδεής τε καὶ μονονοὺ πρὸ ποδῶν ἱστάμενον βλέπων τὸν κίνδυνον ἑαυτοῦ. συχνοὶ γὰρ οἱ τὸν Καντακουζηνὸν ἐποτρύνοντες ἦσαν, συνειληφέναι τοῦτον, καὶ δέσμιον προπέμ 2.605 ψαι ἐς Διδυμότειχον. οὐ γὰρ ἐλάνθανεν, ὅσον ἐγερεῖ τὸν τῶν πραγμάτων καπνὸν, ἐληλυθὼς ἐς Βυζάντιον. ταῦτ' ἄρα καὶ ὡς ἐκ συμφώνου πάντες ἠνάγκασαν, ἕως ἐν χεροῖν ἔχοι τὸ θήραμα, τὴν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

οὖσαν γαλήνην τοῖς δημοσίοις διατηρῆσαι πράγμασιν. ὁ δὲ τὸ φιλάνθρωπόν τε καὶ ἱλαρὸν ἥκιστα μεταθεῖναι βουλόμενος παρεκρούετο τὴν ἐκείνων παραίνεσιν. πάντα γὰρ τῆς τοῦ θεοῦ χειρὸς ἐξῆφθαι, καὶ πάντ' ἐκεῖθεν ἔλεγε διοικεῖσθαι, καὶ μὴ δύνασθαι τελεσθῆναι μηδὲν, ὃ μὴ ἐκεῖθεν εἴη συνεγνωσμένον· μὴ δ' αὖ εἶναι τῶν ἀδυνάτων μηδὲν, ὃ μὴ ἐκεῖθεν εἴη ἀπεγνωσμένον. ι´. Οὕτω τοίνυν ἐκεῖθεν ἀπολυθεὶς ὁ Ἀπόκαυκος ὁμοῦ τε αὐτὸς ἧκεν ἐς τὸ Βυζάντιον, καὶ ὁ πατριάρχης ἰδὼν εὐθὺς μετεσκεύασεν ἑαυτοῦ καὶ δίαιταν, καὶ γλῶτταν, καὶ γνώμην, καὶ ἦθος ἐξ ἱεροῦ πρὸς τὸ δημοτικώτερον· καὶ ἄρας ἐξ ἱεροῦ τὴν σκηνὴν ἐν τοῖς βασιλείοις καθάπαξ ἐπήξατο. ἔνθα παννύχιός τε καὶ πανημέριος ξύν γε τῷ Ἀποκαύκῳ καθήμενος ἐπὶ τῆς βασιλίδος τοῖς δόλοις οἷς ἔῤῥαπτον ἐπὶ φθορᾷ συνηγόρει καὶ αὐτὸς Καντακουζηνοῦ, καὶ ὅλων δημοσίων συγχύσεων ἀνώρυττε λαμπρὰς καὶ αὐτὸς τὰς πηγάς. καὶ ἦν τὸ μὲν σχῆμα τῆς βακτηρίας καὶ τοῦ ἐνδύματος ἱερὸς ὁ ἀνήρ· τῇ δὲ γνώμῃ καὶ τοῖς ἔργοις οὐδὲν νόμιμον. (Β.) Καὶ πρῶτα μὲν ἑαυτὸν ἀντὶ βασιλέως κεχειροτόνηκεν αὐτοκράτορα· τὸν δ' Ἀπόκαυκον διοικητὴν καὶ ἀγορανόμον καὶ ἐπίτροπον Βυζαντίου τε καὶ τῶν ὑπὸ τὸ Βυζάντιον πόλεων ἅμα καὶ νήσων πασῶν, καὶ ῥητῶν καὶ ἀποῤῥήτων διανομέα. καὶ ἐπὶ τούτοις δόγμα ἦν καὶ ψήφισμα κοινὸν ἐξ ἀμφοῖν, 2.606 ὅρκοις ἐρηρεισμένον φρικώδεσι, μηδαμῇ ποτε Καντακουζηνὸν εἰσδέξασθαι, κἂν πᾶσαν ᾖ μετάνοιαν ἐνδεδειχὼς, κἂν ἀγγέλων μεσιτεύῃ τις ἐξ οὐρανοῦ. (Γ.) Ταῦτα ἀμφοτέρων ἐδόκει τἀπιτηδεύματα. ἦσαν δ' ὡς ἀληθῶς τῆς τοῦ Ἀποκαύκου δεινότητος. ὠνειροπόλησε γὰρ εὐθὺς (ὡς εἴρηται) βασιλείαν, ἧς ἐκ πολλοῦ σπερματικῶς ἐνεφύτευσεν ἴχνη τινὰ λογισμῶν τῇ ψυχῇ· κἀπειδὴ ταῖς τῶν πάλαι βίβλων ἱστορίαις ἐνδιατρίβων ἦν τὰ μάλιστα, ἐς μνήμην ἧκεν Ὀκταβίου Καίσαρος τοῦ Αὐγούστου, καὶ πρὸς ἐκεῖνον λεληθότως ἀνῆγε τὴν μίμησιν. καὶ γὰρ κἀκεῖνος, μετὰ τὸ καθελεῖν τὸν τῆς ἡγεμονίας ἔφεδρον Ἀντώνιον ἅμα Κλεοπάτρᾳ τῇ Αἰγυπτίᾳ, οὐκ ἄλλως ἐνόμισεν ἀνυπεύθυνος αὐτοκράτωρ τῆς ὅλης ἀρχῆς καταστῆναι, ἢ τὸ τῆς βουλῆς συγκλητικὸν ἀξίωμα συγκαθελών. ὅθεν συγχωρῶν ἐκείνοις τοὔλαττον ἐκαρποῦτο τὸ μεῖζον ἀεί. τὸ δὲ ἦν, αὐτοὺς μὲν ἐν τῇ Ῥώμῃ καθημένους τὰς δίκας ταῖς πόλεσι διανέμειν, καὶ τάς γε τῶν ἐπιτρόπων ἀρχαιρεσίας, ὥσπερ ἀπὸ δίφρου καὶ δυνάμεως αὐθεντικῆς· αὐτὸν δὲ τῶν τε ἠπειρωτικῶν καὶ ναυτικῶν δυνάμεων ἔχοντα τὴν ἡγεμονίαν τοῖς ἔξω πολέμοις ἐνασχολεῖσθαι, καὶ διὰ τῆς ἑαυτοῦ ταλαιπωρίας τὸ ἀταλαίπωρον πανταχόθεν οἷον ὑπηρετικῶς περιποιεῖν τῇ συγκλήτῳ καὶ τοῖς πολιτικοῖς πράγμασιν· οὐκ εἰδέναι δυναμένων ἐκείνων, ὡς ὁ τῶν στρατιωτικῶν δυνάμεων ἐγκρατὴς ῥᾷστα τῶν ὅλων χειροῦται τὸ κράτος. (Δ.) Ταύτην οὖν ἐπιβούλως καὶ συνετῶς καὶ ὁ Ἀπόκαυκος ἐληλυθὼς τὴν ὁδὸν, καὶ τοὺς μὲν εὐγενεῖς ἅπαντας κατασκευασάμενος τὸ τῆς βουλῆς δῆ 2.607 θεν διοικεῖν ἀξίωμα, αὐτὸν δ' ἐν ὑπηρέτου σχήματι, μετὰ τῶν στρατιωτικῶν δυνάμεων ταῖς ἔξω μαχαῖς προσταλαιπωρούμενον κατά τε γῆν καὶ θάλασσαν, ἅπαν περιποιεῖν αὐτοῖς τὸ ἀθόρυβον, ἔλαθεν ὑποχειρίους ἅπαντας οὑτωσὶ ποιησάμενος· αὐτοὺς μὲν τοὺς γένει καὶ δόξῃ προὔχοντας εἱρκταῖς τισι ζοφεραῖς ἐγκλείσας, καθάπερ ταῖς μάνδραις οἱ βουκόλοι τὰ θρέμματα· τοὺς δ' ὑπερορίους τῆς πατρίου ποιούμενος πόλεως. τούς γε μὴν περὶ τὴν βασιλίδα πάντας καὶ πάσας χρήμασιν ἁδροτέροις περιελθὼν ἦγεν ἤδη καὶ ἔφερεν οὐ μόνον τὴν βασιλίδα καθάπερ ἀνδράποδον, ἀλλὰ καὶ αὐτὸν πατριάρχην, οὐ τοσοῦτον ταῖς θωπείαις ἐξαπατώμενον, ὅσον ὑποπτήσσοντα τὸ ἐκείνου δραστήριον. ὅθεν οὐδὲν ἦν τῶν δρωμένων, ὃ μὴ τῆς αὐτοῦ βουλήσεως καὶ γλώττης ἤρτητο. (Ε.) Εἰς τοῦτο τοίνυν τύχης τῶν βασιλικῶν ξυνεῤῥυηκότων πραγμάτων, πάντ' ἐδρῶντο τὰ χαλεπώτατα. ὥσπερ γὰρ εἰ τὰς κλεῖς τῆς ἄνω βασιλείας ὁ πατριάρχης ἐκέκτητο ἐν χεροῖν, οὕτω βεβαίας ὑπισχνεῖτο τὰς αἰωνίους ἀντιδόσεις καὶ ἀΐδια τὰ τῶν πόνων ἔπαθλα, εἰ Καντακουζηνὸν ἀνέλοι τις φαρμάκοις δηλητηρίοις, ἢ δολεραῖς τισιν ἐπιορκίαις καὶ γοητείαις δαιμονικαῖς, ἢ ὅτῳ ἂν


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

δυνηθείη τρόπῳ. ὁ δὲ τῶν τε ἐν Βυζαντίῳ καὶ πάσῃ πόλει τοῦ Καντακουζηνοῦ φίλων καὶ συγγενῶν τοὺς ἰσχύοντας ἐν Καρὸς ἐτίθετο μοίρᾳ, καὶ βασιλικῶς ἐνσεσημασμένας ἐπιστολὰς διέπεμπε, τὸν μὲν Καντακουζηνὸν τῆς ἐπιτροπῆς τῶν βασιλικῶν καθαιρούσας πραγμάτων καὶ ἀργὸν ἐν Διδυμοτείχῳ καθῆσθαι 2.608 καθάπερ δεσμώτην διακελευομένας· τὸν δ' αὐτῷ προσανέχοντα στρατὸν τὴν ταχίστην ἐπανακάμψαι πρὸς τὸ Βυζάντιον. ια΄. Οἱ μὲν οὖν ἐν Βυζαντίῳ λογάδες τῶν τοῦ Καντακουζηνοῦ φίλων καὶ συγγενῶν, καὶ σὺν αὐτοῖς ἔνιοι τῶν ἄλλως προσηκόντων, δείσαντες μὴ κατ' ἄνδρα συλλαμβανόμενοι τῆς ἑαυτῶν ἀνδρίας ἀνάξια πάθωσι, συναθροίζονταί τε πρὸς ἑνός τινος οἶκον καὶ κοινολογησάμενοι πρεσβεύονται πρός τε τὸν πατριάρχην καὶ τὸν Ἀπόκαυκον περὶ τοῦ μὴ παθεῖν τι τῶν φημιζομένων δεινῶν· μηδὲ γὰρ ἂν ἀνέξεσθαι παραλόγως οὑτωσί πως ἀγεννές τι πρὶν δρᾶσαι παθεῖν· τοὺς δ' ἀποκρίνασθαι μὲν οὐδὲν πρὸς αὐτούς· πέμψαντας δ' ἀνὰ πᾶν τὸ Βυζάντιον ἀνασεῖσαι τὸν ὄχλον διὰ τῶν δημάρχων, καὶ ἀναφλέξαι τὴν ἄλογον καὶ ἀταμίευτον τοῦ δήμου φορὰν κατ' αὐτῶν τόξοις, καὶ ξίφεσι, καὶ χειροπληθέσι χερμαδίοις τοῖς προστυχοῦσι. (Β.) Τοῦτο δὴ παρὰ πᾶσαν ἐλπίδα βλέποντες ἐκεῖνοι, τοῦ πλήθους ἤδη συῤῥέοντος ἐπ' αὐτοὺς κατὰ ποταμοὺς καὶ σμήνη μελισσῶν καὶ χειμέρια πελάγους κύματα, δραμόντες ἀνεμόχλευσαν μίαν εὐθὺς τῶν ἐκ πολλοῦ κεκλεισμένων τοῦ τείχους πυλῶν· κἀκεῖθεν ἐξιόντες ᾤχοντο ἅπαντες ἀβλαβεῖς, καὶ ὑπὲρ ἑξήκοντά που τὸν ἀριθμὸν ὑπάρχοντες. τὴν μὲν οὖν ἑσπέραν ἐκείνην, καὶ ἅμα τὴν ἐφεξῆς ἡμέραν ἄχρι δείλης ὀψίας, ἐν ἑνί τινι χώρῳ τῶν τοῦ Βυζαντίου ηὐλίσαντο προαστείων, περιμένοντες ἴσως ἐκ Βυζαντίου πρᾶόν τινα καὶ πρὸς εἰρήνην βλέποντα λόγον. ἐπεὶ δὲ τήν τε τῶν οἰκιῶν αἰφνίδιον καθαίρεσιν σφῶν ἠκηκόεισαν, καὶ ἀπαγωγὴν καὶ δή 2.609 μευσιν τῶν οἰκείων, καὶ πάντα δήπου τὰ τῶν ἐλπίδων ἐναντιώτατα, ἄραντες ἐκεῖθεν πλήρεσι ταῖς ἡνίαις ἀφικνοῦνται ἐς Διδυμότειχον, πλεῖστα τὸ παράλογον τῆς σφῶν αὐτῶν θαυμάζοντές τε καὶ ὀδυρόμενοι συμφορᾶς. ὡς δὲ ταῦτα ἰδεῖν καὶ ἀκοῦσαι τὸν Καντακουζηνὸν, περιαλγῆσαί τε τὴν ψυχὴν καὶ δακρύων γενέσθαι ἐγγὺς, καὶ τρικυμίαν ἐξ ἀπορίας μακρὰν ἀναλαβεῖν λογισμῶν, ἐκπληττόμενον τὴν ἀτοπίαν τοῦ πράγματος. (Γ.) Οὔπω τὸ πρῶτον ἠρέμησε κῦμα, καὶ δεύτερον ἀνεῤῥάγη τοῦ προτέρου πολλῷ χαλεπώτερον. ἧκε γάρ τις ἐς τὴν ὑστεραίαν ἀγγέλλων τήν τε τῆς μητρὸς ἄτιμον κάθειρξιν καὶ τὴν τῶν οἴκων αὐτῆς καθαίρεσιν, καὶ τὴν τῆς περιουσίας ἁπάσης δήμευσιν· καὶ ὡς πολλοὶ τῶν γνησίων, ἀνακρινόμενοι καθ' ἡμέραν καὶ ἀπαιτούμενοι τὰ ἐκείνης χρήματα, πᾶσαν ἰδέαν ὑπομένουσι πόνων. οὐδὲν οὖν θαυμαστὸν, εἰ πρὸς τὴν τοιαύτην συμφορὰν οὐκ ἀπέῤῥηξε τὴν ψυχὴν, οὐδ' ἐξέστη τοὺς λογισμοὺς ἐκεῖνος, ἀλλὰ πάνυ θαυμασιώτερον, πῶς παιδείαν εἶναι κυρίου ταῦτα ξυννενοηκὼς ἐπαπεδύσατο πρὸς τοὺς τῆς καρτερίας δούλους, καὶ διετέλεσε τοῖς ὅλοις δεινοῖς ὡς ἀδάμας ἐγκαρτερῶν. ὁ γὰρ καιρὸς ἄλλα ἐπ' ἄλλοις ἡμέρᾳ ἐφ' ἡμέρᾳ ἐπήντλει τὰ τῶν δεινῶν κύματα. (Δ.) Οὔπω συχναὶ παρῆλθον ἡμέραι, καὶ ἧκέ τις ἐκ Βυζαντίου φέρων αὐτῷ βασιλικῶς ἐνσεσημασμένα γράμματα, αὐτὸν μὲν οἴκοι καθήμενον ἠρεμεῖν ἐπιτάττοντα, καὶ μήδ' ὁτιοῦν ἐνεργεῖν τοῦ λοιποῦ τῶν βασιλικῶν· τοὺς δὲ στρατιώτας ἐς Βυζάντιον τὴν ταχίστην ἐπανιέναι. κἄπειτα ἐφοίτων ἕτεραι ἀγγελίαι, φάσκουσαι τὴν 2.610 ἀφαίρεσιν καὶ διανομὴν τῶν αὐτοῦ χωρίων πρὸς βαναύσους ἀνθρώπους καὶ ἀγοραίους, καὶ ὅσοι τῶν συγκλύδων τὴν γλῶσσαν θρασεῖαν ἐξώπλισαν μάλιστα κατ' ἐκείνου. ἆθλα γὰρ καὶ βραβεῖα προὐτίθεντο μὴ τὰ ἐκείνου χωρία μόνα τοῖς ὅσοι πλείους καὶ μείζους ἐξήντλουν κατ' ἐκείνου τὰς λοιδορίας, ἀλλὰ καὶ τιμαὶ καὶ δόξαι καὶ προβιβασμοὶ γερῶν, κἂν ἁλιεύς τις ἦν, κἂν ἀγροῦ καὶ σκαπάνης ἀπόζων ὁ πρὸς τοιαύτας ἐξασκῶν λοιδορίας τὴν γλῶτταν. (Ε.) Ταῦθ' ὁρῶν καὶ ἀκούων ἐκεῖνος νῦν μὲν ἐνεκαρτέρει τῇ συνήθει πρᾳότητι, καὶ ταύτης τροφίμου καὶ ἡλικιώτιδος οὔσης προδότης ἐκ τοῦ ῥᾴστου



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

γενέσθαι οὐκ εἶχε· νῦν δ' ἐσχίζετο τὴν διάνοιαν, καὶ τοὺς λογισμοὺς περί γε τὸ ποιητέον ἐταλαντεύετο. οὐ γὰρ ἑώρα τὴν ἡσυχίαν ἀκίνδυνον, οὔθ' ἑαυτῷ, οὔτε τῷ τοῦ βασιλέως υἱῷ Ἰωάννῃ τῷ Παλαιολόγῳ, οὔτε τοῖς εἰς αὐτὸν συνδραμοῦσιν εὐγενέσιν ἀνδράσιν ἐκ Βυζαντίου. ἤδη γὰρ κἀκεῖνοι πολὺν μὲν ἐν τῇ καρδίᾳ τρέφοντες ἐξ ὧν ἐπεπόνθεισαν τὸν θυμὸν, δεδιότες δ' ἔτι μᾶλλον καὶ ἐς τὸ μέλλον περὶ τὸ ζῆν, προφανῆ τὴν σφαγὴν ἐπέσειον αὐτῷ, εἰ μὴ βασιλικῶς ὑπὸ σφῶν ἀναγορευθείη. αὐτοῦ γὰρ μὴ τοῦτο θελήσαντος, ἕτερον ἐξ αὐτῶν παρεσκευάσθαι πρὸς τοῦτο. μηδὲ γὰρ εἶναι τούτου χωρὶς εἰς τὴν τῶν Ῥωμαίων σωτηρίαν ἀνυσιμώτερον ἕτερον τῶν ἁπάντων πρᾶγμα καὶ διανόημα. (΄.) Εἰς δὴ τοιούτους χειμῶνας θορύβων καὶ περιστάσεων ἐμπεπτωκότι τῷ Καντακουζηνῷ ὅμως οὐδ' οὕτως ἐνδοῦναι νενόμισται πρότερον δεῖν, πρὶν ἐς Βυζάντιον ἁπάσῃ πεπομφότι σπουδῇ πρὸς ἀνάμνησιν αὖθις 2.611 Ἄνναν κομίσαι τὴν βασιλίδα τῶν τε τοῦ βασιλέως συνθηκῶν ἐκείνων, καὶ ὅσα θανόντος ἐκείνου πέπραχεν αὕτη ξύν γε τῶν ἀμφ' αὐτὴν εὐγενῶν ὁρκωμοτήρια, φόβου καὶ φρίκης μεστὰ, τῶν ὁμοίων ἐχόμενα καταστάσεων. ἀλλὰ καὶ οὕτω τοῦ πράγματος γεγονότος ἤνυσται πλέον αὐτῷ γε οὐδὲν, ἢ βλασφημίας καὶ ὅλας ἁμάξας ὕβρεων ἐκεῖνον ἀλλάξασθαι τῆς πραότητος. ιβ΄. Ταῦτ' ἄρα καὶ βιασθεὶς τὰ τῆς βασιλείας περιζώννυται σύμβολα, οὐ τοῦτο βουλόμενος, ὡς ἔλεγεν, οὐδὲ προθεσμίαν τινὰ πάλαι μελετηθεῖσαν ψυχῆς τελῶν. ἀλλ' ὥσπερ οἱ τὸν ἐκ μεγάλου πελάγους ῥέοντα φεύγοντες κλύδωνα τοῖς λιμέσιν ὁρμίζειν τὰς ὁλκάδας ἐπείγονται, οὕτω καὶ αὐτὸς, διαφυγεῖν οὐ δυνάμενος τὸν περιστάντα βίαιον κίνδυνον ἄλλως, ὡς εἰς λιμένα τινὰ τὴν βασιλικὴν κατέφυγε πορφύραν· οἶμαι τοῦ θεοῦ περαίνοντος ἔργον πάλαι προωρισμένον, κἀκ βρέφους αὐτῷ συμβόλοις οὐ πάνυ τυφλοῖς καὶ ἀσαφέσι προαναφωνούμενον, κἂν αὐτὸς ἐδειλία πρὸς τὴν ἐγχείρησιν, μυστήρια θεοῦ γινώσκειν οὐ μάλα δυνάμενος. ἵνα δ' ἐκ πολλῶν ἐνίων μνησθῶμεν, πρῶτον μὲν ἦν ***. (Β.) Ἡμέρα δ' ἦν, καθ' ἣν τὰ τῆς βασιλείας περιεζώσατο σύμβολα, ἐν ᾗ τὰ τῆς μνήμης ἤγετο Δημητρίου τοῦ θείου μάρτυρος. προστάττει δ' ἀναγορεύεσθαι τελευταῖον τοῦτον ὁμοῦ τῇ συζύγῳ βασιλικῶς, μετά γε τὴν τῆς βασιλίδος Ἄννης εὐφημίαν καὶ τοῦ ταύτης υἱοῦ βασιλέως Ἰωάννου. ἐμέμνητο γὰρ ἀεὶ τῆς τοῦ θανόντος βασιλέως φιλίας, καὶ τῶν ἐκείνου περὶ τῆς βασι 2.612 λείας συνθηκῶν ἐκλαθέσθαι οὐ μάλα ἐβούλετο· ἀλλ' ὡς ἐκεῖνον τοὺς ἐκείνου προὐτίθει. πύργον γὰρ ἔλεγεν ἑαυτὸν πρὸς ἐκείνου τοῦ βασιλέως ᾠκοδομῆσθαι πρὸς ἀσφάλειαν τῆς τοῦ παιδὸς βασιλείας· παρὰ τοσοῦτον οὖν εἶναι τῷ παιδὶ τὰ τῆς ἀσφαλείας ἀκίνδυνά τε καὶ βεβαιότερα, παρόσον αὐτὸν ἰσχυρότερον. (Γ.) Ὅθεν καὶ μετὰ τρίτην αὖθις ἡμέραν ἤμειψε τὴν ἐσθῆτα, διὰ τὴν τοῦ θανόντος βασιλέως ἐντάφιον λύπην, ἐκ τῆς πορφύρας ἐς τὸ λευκὸν, ὡς εἴθιστο τοὺς βασιλέας περὶ τὰς λύπας ἀεὶ ποιεῖν· καὶ διήρκεσεν ἐκεῖθεν λευκοῖς ἐνδύμασι χρώμενος, ἕως καὶ τὴν βασιλίδα πόλιν ἑλὼν αὐτοκράτωρ ἀναμφισβήτητος ἐγεγόνει τῆς ὅλης Ῥωμαίων ἀρχῆς. κἀμοὶ τὴν αἰτίαν διαποροῦντι τριῶν ἕνεκα ποιεῖν ἀπεκρίνατο τοῦτο· πρῶτον μὲν τῷ φίλῳ βασιλεῖ τελευτήσαντι δίκαιον ἐκτιννὺς ὄφλημα· δεύτερον διὰ τὴν κατόπιν ἐπιδραμοῦσαν τῆς μητρὸς τελευτήν· καὶ τρίτον, ἐπειδὴ τοὺς σὺν αὐτῷ μακρὸν ὑπομένοντας ἑώρα τὸν κίνδυνον μετὰ τῆς τῶν ἀναγκαίων ἐνδείας, δεῖν ἔκρινε τὴν πολυτελῆ τῶν βασιλικῶν ἐνδυμάτων δαπάνην ἐκείνοις μᾶλλον ἢ ἑαυτῷ ἀναλοῦν. ἀλλὰ γὰρ αὐτὸς μὲν ἐξαπίνης ἐντυχὼν βιαίῳ καὶ ἀνταγωνιστῇ τῷ καιρῷ καὶ τοῖς πράγμασιν οὕτω τὰ κατ' αὐτόν τε διῳκήσατο καὶ ταῖς τοῦ θανόντος βασιλέως συνθήκαις καθόσον ἐφικτὸν διετήρησε τὴν αἰδῶ. (Δ.) Ἡ δ' ὁμόψυχος ξυνωρὶς ἐκείνη, ἀκούσασα τὴν τῶν βασιλικῶν παρασήμων ἐκείνου περιβολὴν, ἀνεπήδησέ τε ὑφ' ἡδονῆς καὶ, μεμηνότων ὥσπερ μιμησαμένη διάθεσιν, πρὸς τερα 2.613 τώδη βακχείαν ἐκίνει τὰ ἤθη. ἀφορμὴν γὰρ εἰληφυῖα τὸ πρᾶγμα, καὶ δικαίωμα μέγιστον εἰς τὸ φανερῶς ἀμύνεσθαι, καὶ τὰ πάλαι τῆς ψυχῆς ἀπόῤῥητα



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀῤῥωστήματα παῤῥησιαζομένῃ καὶ ἀκρατῶς ἐχούσῃ τῇ γλώττῃ ἐς τὰς τῶν ὅλων ἐπαντλεῖν ἀκοὰς, καὶ δικαιοῦν μὲν ἑαυτοὺς ὀρθῶς σκοπουμένους ἐκ πολλοῦ τὴν ἐκείνων δηλαδὴ κακίαν, ἐν σπαργάνοις ἔτι καὶ γάλαξι κυοφορουμένην (μάρτυρα γὰρ εἶναι καὶ κήρυκα διαπρύσιον τῶν προτέρων στοχασμῶν τὸ νῦν πεπραγμένον, πρὸς ἐντελῆ τινα προενεχθὲν τὸν τόκον ὀψέ) ἀνενδοιάστως ἤδη καὶ ἀπαρακαλύπτως πρὸς ἄσπονδον καὶ ἀκήρυκτον ἐκίνησε τὰ πράγματα μάχην. (Ε.) Καὶ ἦν ἰδεῖν εἰς δύο μοίρας σχισθὲν τὸ τῶν Ῥωμαίων γένος ἅπαν κατὰ πᾶσαν πόλιν καὶ χώραν· εἴς τε τὸ συνετὸν καὶ ἀσύνετον· εἴς τε τὸ πλούτῳ καὶ δόξῃ διαφέρον καὶ τὸ ἐνδεές· εἴς τε τὸ παιδείας εὐγενοῦς τρόφιμον καὶ τὸ πάσης παιδείας παντελῶς ὑπερόριον· εἴς τε τὸ ἔμφρον καὶ τεταγμένον καὶ τὸ ἄφρον καὶ στασιῶδες καὶ αἱμοχαρές· καὶ τὰ μὲν βελτίω πάντα πρὸς ἐκεῖνον μετεῤῥυηκότα· τὰ δὲ χείρω πάντα πρὸς τοὺς ἐν Βυζαντίῳ. οἱ γὰρ γένει καὶ πλούτῳ καὶ δόξῃ τῶν πολλῶν ὑπερέχοντες, οἴκους ἀφέντες καὶ γυναῖκας καὶ παῖδας, εἰς ἐκεῖνον ὅλῃ προθέσει ψυχῆς ἐῤῥύησαν, καὶ αὐτῶν δὴ τῶν φιλτάτων τὴν ὑπερόριον προελόμενοι δίαιταν, καὶ βέλτιον ἡγησάμενοι σὺν ἐκείνῳ δυστυχεῖν, ἢ μετὰ τούτων τρυφᾷν· οἶμαι τὸ τοῦ Ἀναχάρσιδος λέγοντες, ὡς κρεῖσσον ἕνα φίλον κεκτῆσθαι πολλῶν ἄξιον, ἢ πολλοὺς ἀξίους μη 2.614 δενός. (΄.) Ὕλην τοίνυν εὑρόντες, ἣν πάλαι ποθοῦντες ἐτύγχανον, φακέλλους γραμμάτων διέπεμπον οἱ Βυζάντιοι πρόεδροι κατὰ πᾶσαν ἐπαρχίαν καὶ πόλιν, ἀνάθεμα καὶ ἀφορισμοὺς περιέχοντα πάντων, ὅσοι φίλοι θέλουσιν εἶναι τοῦ Καντακουζηνοῦ· καὶ ἅμα πᾶν τό,τε δημοτικὸν ἐρεθίζοντα κατὰ τῶν πλουσίων καὶ τὸν βάναυσον ὄχλον κατὰ τῶν δόξῃ καὶ γένει προὐχόντων· ἵνα τῶν οὕτως ἐχόντων ἐκ μέσου γενομένων, εὐχερῶς αὐτοὶ τῆς ἀρχῆς ἐγκρατεῖς καταστῶσι, μηδὲν ὁθενοῦν ἀντίπαλον ὑφορώμενοι. καὶ μέντοι καὶ γέγονεν ἐντεῦθεν μεγίστη καὶ πολυειδὴς φθορὰ πανταχῆ τῶν Ῥωμαϊκῶν ἐν βραχεῖ πραγμάτων, οἵαν οὐδεὶς ἐν βραχεῖ παραστῆσαι δύναται λόγος. (Ζ.) Ὁ μὲν οὖν Καντακουζηνὸς οὐδὲν ἐπιδείξασθαι θάρσος ἐβούλετο, οὐδ' ἐπεχείρει πρὸς οὐδὲν τῶν ἁπάντων σπουδῆς ἄξιον, οἷα φιλοῦσι ποιεῖν οἱ τοιούτοις ἐγχειροῦντες καὶ πρὸς τοιαῦτα πελάγη συνελαθέντες· ἀλλ' ἔμενεν ἥσυχος μετὰ τῆς ἑπομένης αὐτῷ στρατιᾶς. εἶχε γὰρ ὁπλίτας, τῶν μὲν λίαν ἀρίστων καὶ ῥώμῃ σώματος καὶ ψυχῆς ἀνδρίᾳ καὶ πείρᾳ διαφερόντων, ἄχρι καὶ ἐς δισχιλίους ἱππέας· οἳ καὶ τὸ σὺν αὐτῷ θανεῖν πολλῷ τιμιώτερον ἦσαν ἡγούμενοι, ἢ πλὴν αὐτοῦ ζῆν ἄχρι μιᾶς τινος τῆς ἡμέρας. οἱ μὲν οὖν λογάδες τοιοῦτοι καὶ τοσοῦτοι τὸν ἀριθμὸν ἦσαν αὐτῷ· οἱ δὲ μετ' αὐτοὺς ταττόμενοι δὶς τοσοῦτοι. (Η.) Ἐκεῖνος μὲν οὖν διεπρεσβεύετο πρὸς τοὺς Βυζαντίους τὰ πρὸς εἰρήνην συχνὰ, καὶ τῶν βασιλικῶν τοῦ συζύγου τὴν βασιλίδα ἀνεμίμνησκε διαθηκῶν καὶ ἐντολῶν, ἃς ἐκεῖνος ἔτι ζῶν αὐτῇ διετίθετο, περί τε κήδους τοῦ νέου βασι 2.615 λέως καὶ ἐπιτροπῆς τοῦ Καντακουζηνοῦ ἄχρι τῆς πρεπούσης ἡλικίας τοῦ νέου. μηδὲ γὰρ χρῆναι πιστεύειν ἀλλοτρίοις συμβούλοις, καὶ πάντα πρὸς τὴν οἰκείαν σπουδάζουσιν ἔφεσιν, καὶ ὅσα τὴν ταχίστην ἀνατρέψαι δύνανται τὴν πάλαι κατάστασιν, καὶ ὅλα συλλήβδην εἰπεῖν τὰ τῆς βασιλείας πράγματα. (Θ.) Ἡ δὲ τοιαύτη τοῦ ἀνδρὸς ἡμερότης οὐκ ἐμάλαξε τοὺς Βυζαντίους· ἀλλὰ τοὐναντίον ἐξέμηνε πρὸς ἀνυπέρβλητον θράσος τε καὶ ἀπόνοιαν. οὐδὲ γὰρ διὰ φειδῶ τῶν ὁμοφύλων αἱμάτων ταῦτ' ἔφασκον φάσκειν ἐκεῖνον, ἀλλ' ὡς ἐν ἀπογνώσει τῆς ἑαυτοῦ ζωῆς συνωσθέντα. καὶ φανερῶς μὲν ὅπλα πολέμια κατ' ἐκείνου διηνεκῶς συγκροτοῦσιν, ἔκ τε θαλάττης ὁμοῦ καὶ ἠπείρου, ἥκιστά σφισιν ἐνῆν οὔτ' ἠρεμεῖν, οὔτ' οὐδεμιᾶς λαθραίας φείδεσθαι μηχανῆς, ὅσαι τε διὰ φαρμάκων καὶ γοητειῶν καὶ ὅσαι δι' αἵματος. (Ι.) Ἐκεῖνος δ' εἰς θεὸν ὁλοσχερῶς ἀναθεὶς τὰς ἐλπίδας ἔμενεν ἡσυχῇ κατέχων ἔτι τὰ ἑαυτοῦ κατὰ χώραν στρατόπεδα, καὶ ταῦτα πάνυ διψῶντα μάχης καὶ σκύλων πολεμικῶν, καὶ πλείους ἔχοντα τοὺς καλοῦντας τῶν οἰκητόρων τοῦ Βυζαντίου· ὥστε τοὺς πλείους καταγνόντας αὐτοῦ ῥᾳθυμίαν καὶ γνώμης νωθρότητα,



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

καὶ ἅμα ὡς τὸ εἰκὸς ὑποπτεύσαντας κίνδυνον σφῶν τε αὐτῶν καὶ αὐτοῦ, οἴχεσθαι ἀποδράντας ἐκεῖθεν ἐς Βυζαντίους. ἐπέλιπε γὰρ ἤδη καὶ τὰ σιτία σφᾶς κατὰ πλῆθος, ἐς μόνον τὸ Διδυμοτείχου πολίχνιον συγκλεισθέντας μετὰ πολλῶν τῶν ὑποζυγίων. ἠναντιοῦτο γὰρ αὐτοῖς τὰ τῆς τύχης ὁμοῦ καὶ τῆς ὥρας. ὅ,τε γὰρ χειμὼν, 2.616 εἴπερ ποτὲ, ἐγεγόνει βαρὺς καὶ πάνυ τοι σφόδρα συνεχὲς ἐπιφέρων τὸ βάρος· καὶ πρός γε τῶν γραμμάτων ὁπόσα πρός τε τὸν Κράλην Σερβίας καὶ Ἀλέξανδρον, τὸν τῶν Μυσῶν ἀρχηγὸν, καὶ πρὸς οἱουσδήποτε συμμαχίας ἕνεκα ἔπεμπε, πάντα ἡλίσκοντο πρὸς τῶν Βυζαντίων, φρουροῖς καὶ ἡμεροσκόποις διαλαβόντων τὰ κύκλῳ πρός τε γῆς καὶ θαλάττης. ιγʹ. Ὅ γε μὴν πατριάρχης μείζονα τὴν δικαίωσιν τῆς βασιλικῆς ἐπιτροπῆς μηχανώμενος ἑαυτῷ ἔστεψε διὰ πάσης σπουδῆς Ἰωάννην τὸν παῖδα τοῦ βασιλέως, οὐ περιμείνας, διὰ τὸ λίχνον τῆς ἐφέσεως, οὔθ' ἡλικίαν αὐτοῦ, οὔτ' ἐπίσημον ἡμέραν τινὰ τοῦ ἐνιαυτοῦ. ἐνάτη γὰρ ἐπὶ δέκα ἔτυχεν οὖσα τοῦ νοεμβρίου, ἐν ᾗ τὸ βασιλικὸν αὐτῷ περιτέθεικε στέφος, ἀξύμβολός τις φάναι καὶ μάλα ἀνέορτος, τό γε ἧκον εἰς αὐτήν. καίτοι τοῦτο ἐβούλετο μὲν περιφανέστερον ὁ Καντακουζηνὸς καταστῆσαι μετὰ τὸν τοῦ βασιλέως θάνατον εὐθύς· ἐκώλυε δ' αὐτὸς ἐπιβούλως καὶ μάλα σὺν δόλῳ. (Β.) Κατὰ μέντοι τὴν τοῦ δεκεμβρίου τετάρτην καὶ εἰκοστὴν, περὶ δειλὴν ὀψίαν, ὁπότε τὴν γενέθλιον πανήγυριν ἑορτάζομεν τοῦ σωτῆρος Χριστοῦ, ἀνεβίβασε τοῦτον κἀν τῷ τοῦ παλατίου Αἰθερίῳ οἰκίσκῳ· ὅθεν καὶ οἱ πρὸ αὐτοῦ βασιλεῖς εἰώθεισαν τὴν τοιαύτην ἡμέραν προκύπτειν, ἀθροιζομένου τοῦ πλήθους τῶν Βυζαντίων, καὶ παντὸς τοῦ στρατοῦ, καὶ ἀνυμνούντων αὐτοὺς εὐχαῖς τε καὶ εὐφημίαις παντοίαις κάτωθεν, κατ' εἰκόνα τοῦ πάλαι θριάμβου Ῥωμαίων. ἦν δὲ νῦν ὁ τοῦ δήμου κάτωθεν ἐξηχούμενος κρότος καὶ θόρυβος οὐκ εὐ 2.617 φημίαν ἔχων τοῦ βασιλέως ἀκήρατόν τε καὶ ἀμιγῆ· ἀλλὰ συνεκέκρατο καὶ ταῖς κατὰ τοῦ Καντακουζηνοῦ καὶ ἅμα ταῖς τῆς μητρὸς αὐτοῦ λοιδορίαις, λίαν οὔσαις αἰσχραῖς καὶ οὐ πάνυ τοι σώφρονος ἀκοῆς ἀξίαις, ὑποκάοντος τοῦ Ἀποκαύκου καὶ ἀναφλέγοντος δωρεαῖς ἁδροτέραις καὶ ὑποσχέσεσι τὴν τοιαύτην τοῦ πλήθους ὁρμήν. (Γ.) Καὶ ἦν αὐτήκοος τούτων ἁπάντων ἡ τοῦ Καντακουζηνοῦ μήτηρ, δεσμωτήριον οἰκοῦσα μεταξὺ τῆς βασιλείου αὐλῆς, ἔνθα τὸ ἄθροισμα τοῦ δήμου κατὰ ποταμοὺς συνέῤῥει καὶ συνεκροτεῖτο. καὶ μέντοι καὶ τὴν καρδίαν σφόδρα ἐπλήττετο, καὶ στεναγμοὺς ἐκ βάθους ἀνέπεμπεν, ὥσπερ καπνοὺς θολερούς τε καὶ ὁμιχλώδεις, καὶ πολλὴν τὴν ἔνδον τῆς ψυχῆς πικρίαν τοῖς παρακαθημένοις ἀγγέλλοντας. μεριζομένη γὰρ τὴν ψυχὴν πρός τε τὴν ἀφόρητον ἐκείνην τῶν λοιδοριῶν ἀκοὴν καὶ ἀναλογιζομένη πρὸς τίνων ταῦτα δραματουργεῖται, χθὲς καὶ πρότριτα δούλου μοῖραν ἐχόντων πρὸς αὐτὴν, καὶ ἅμα τὴν μνήμην ἀναφέρουσα ἐς τὰς ἐκ βρέφους τύχας καὶ τὸ τῆς ἡλικιώτιδος εὐδαιμονίας ἄνθος ἄχρι γήρως παραμεῖναν ἀκήρατον καὶ ἀκμάζον, καὶ παρατιθεῖσα ἐκεῖνα πάντως ταῖς νῦν ἀντιπάλοις καὶ ἀδοκήτοις τοῦ χρόνου φοραῖς, φέρειν οὐκ εἶχεν· ἀλλὰ πληγείσης σφοδρῶς τὴν καρδίαν, εἰς νόσον ἐτράπη τὸ σῶμα βαρεῖαν καὶ ὑπισχνουμένην ἔσεσθαί οἱ τοῦ βίου τὸ πέρας οὐκ εἰς μακράν. (Δ.) Ἐπιστάσης τοιγαροῦν καὶ τῆς τῶν φώτων πανηγύρεως μετὰ δύο καὶ δέκα ἡμέρας, καὶ τοῦ μὲν βασιλέως ὁμοίως αὖθις προκύπτοντος ἄνωθεν, τοῦ δὲ δήμου κάτωθεν τὰς ὁμοίας εὐφημίας 2.618 καὶ λοιδορίας αὖθις ἐπικροτούντων, ἔκειτο ἡ Καντακουζηνὴ νεκρὰ πρὸς τὸ δεσμωτήριον ἐῤῥιμμένη καὶ ἐπιλελησμένη, καὶ πάνυ τοι σφοδρῶς ἀπῳκισμένη τῆς πάλαι εὐδαιμονίας καὶ δόξης ἐκείνης. ἔφθη γὰρ μικρὸν πρὸ τῆς τῶν σαλπίγγων ἠχοῦς τὸ ζῆν ἀποῤῥήξασα. δείσασα γὰρ οἶμαι ἡ ψυχὴ, μὴ πρὸς τὴν τῶν ὁμοίων αὖθις ἐμπέσῃ λοιδοριῶν τρικυμίαν, συνεστάλη τε πρὸς ἑαυτὴν καὶ προαπεῤῥάγη τοῦ σώματος. τὸ δ' ὅπως συγκεχώρηκε ταῦτα γενέσθαι θεὸς, προϊόντες ἐροῦμεν πλατύτερον, στοχαζόμενοι καθόσον ἡμῖν ἐφικτόν. (Ε.) Ἀλλ' ἐκεῖνο μικροῦ με παρέδραμε. μετὰ γὰρ τὴν τοῦ βασιλέως τελευτὴν, οὐ πολλῶν ἡμερῶν μεταξὺ γενομένων, οὐδὲ τῆς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τῶν πραγμάτων οὔπω συγχύσεως εἰς φῶς ἐκραγείσης, ἀλλ' ἐν ὠδῖσιν ἔτι καὶ μελέταις κυοφορουμένης, συνέβη καθ' ὕπνους τῇ τοῦ Καντακουζηνοῦ μητρὶ, τὸ ἱερὸν δοκεῖν ἀνὰ χεῖρας εὐαγγέλιον εἰληφυῖαν ἄλλο τῶν πάντων οὐδὲν γεγραμμένον ὁρᾷν, ἢ "1αὕτη ἡ ἀλλοίωσις τῆς δεξιᾶς τοῦ ὑψίστου"2, καὶ τοῦτο χρυσοῖς τε καὶ πρὸς ἅπαν κάλλος ἠσκημένοις γράμμασιν ὁμοίως ἀεὶ πανταχῇ· διαπορεῖσθαί τε καθ' ἑαυτὴν, πῶς ἱερὸν εὐαγγέλιον ὃν μηδὲν μηδαμῇ τῶν εὐαγγελικῶν εἶχε ῥητῶν, ἀλλὰ μικρὰ τῶν τῷ θείῳ Δαβὶδ εἰρημένων. τοῦτο ἀφυπνισθεῖσα διηγεῖτο πρὸς ἐνίους τῶν φίλων· καίτοι θεῖον ἔφασκεν εἶναι χρησμῴδημα, καὶ πέρας προαναφωνεῖν τῶν καθ' αὐτὴν πραγμάτων εὐκλεές τε καὶ πάνυ χρηστόν. τὸ δ' ἦν οὐ τοιοῦτον· ὅμως ἔσχεν οὕτω ταυτί. (΄.) Ἓν μὲν δὴ τοῦτο σημεῖον ἦν, ὃ προανεφώνησεν ἐξ ὕπνων καὶ νυκτῶν τὴν τῆς μεγάλης ταυτησὶ 2.619 καὶ περιφανοῦς οἰκίας καθαίρεσιν. δεύτερον δ' ἐκ νυκτῶν μὲν καὶ αὐτὸ, μὴ ἐξ ὕπνου γε μὲν, ἀλλ' ἐξ ἐγρηγόρσεως φάντασμα θεαθὲν ἐναργῶς. εἰωθὸς γὰρ τοῖς εὐγενείᾳ καὶ δόξῃ μεγάλῃ συζῶσι προσώποις, ἄχρι καὶ ἐς μέσας που νύκτας συνδιανυκτερεύειν τοῖς ὅσοι χρείας οἱασδηποτοῦν προσίασιν ἕνεκα, τῇ Καντακουζηνῇ τοῦτο μάλιστα πάντων προσῆν, ἅτε καὶ μάλιστα πάντων δόξῃ καὶ περιφανείᾳ προεχούσῃ, καὶ βουλῶν καὶ ἀποῤῥήτων προεστηκυίᾳ βασιλικῶν. τῆς δὴ τοιαύτης ἐχομένῃ καὶ νῦν συνηθείας, καὶ πόῤῥω νυκτῶν γενομένης τῆς ὁμιλίας, ἔδοξεν αὐτῇ, στᾶσαν πρὸ τῶν θυρῶν ἀφ' ὑψηλοῦ τοῦ πύργου τῆς οἰκίας θεάσασθαί τε τὴν σελήνην ἀνίσχουσαν ἄρτι τοῦ ὁρίζοντος καὶ τῆς ὥρας ἐκεῖθεν καταστοχάσασθαι. τὸ γὰρ περίγειον ἐκ περιστροφῆς τοῦ οἰκείου ἐπαναλαμβάνουσα κύκλου, καὶ ἐς τετράγωνον αὖθις τῷ ἡλίῳ καθισταμένη τὸ δεύτερον ἤδη σχηματισμὸν, ἀκρονύκτους οὐ μάλα ἐβούλετο παρέχειν τῇ γῇ τὰς αὐγὰς, πρὶν ἐς μέσην ἀφικέσθαι τὴν νύκτα τηνικαῦτα τὸν χρόνον. (Ζ.) Οὕτω δὲ στάσεώς τε καὶ σκέψεως ἔχουσα, καὶ ἅμα φροντίδων οὖσα τῶν μελλόντων πλήρης, ἔνοπλον ἱππέα τεθέαται, κάτωθέν τε ἑστῶτα τοῦ πύργου καὶ τῷ δόρατι σημειούμενον τὸ τοῦ πύργου μέγεθος· ὡς ἐκπλαγῆναί τε αὐτὴν τῷ αἰφνιδίῳ καὶ ἀπροσδοκήτῳ τοῦ φάσματος καὶ συστραφεῖσαν ἐκπέμψαι τοὺς καθέξοντας τὸν ἐν ἀωρίᾳ τοιαύτῃ τοιαῦτα μηχανώμενον, καὶ ἀκουσομένους, ὅτου χάριν καὶ ὅθεν ἐκείνῳ ταῦτα δρᾷν προστεταγμένον εἴη. ἐπεὶ δὲ τὴν ταχίστην παλινδρομήσαντας φάναι μηδένα τῶν πάντων ἑωρα 2.620 κέναι, μηδ' εἶναι πάροδον οὐδεμίαν, ὁπόθεν εἰσιτητά γε εἴη ξένοις καὶ ἱππόταις ἀνδράσι, τῶν θυρῶν ἁπασῶν κεκλεισμένων, ἤδη καταπλαγῆναί τε αὐτὴν καὶ, πρὸς ἄλλας ἐννοίας ἀνενεγκοῦσαν τὸ μάντευμα, λύπης πλησθῆναι καὶ δακρύων γενέσθαι ἐγγύς. ιδ΄. Ἐγὼ δ' ἐκεῖσε ἐπάνειμι. τῷ Καντακουζηνῷ γὰρ οὔτε πρὸς τοσαῦτα τὴν ψυχὴν κατενηνέχθαι ῥόθια τῶν δεινῶν συνηνέχθη, οὔτε πρὸς οὓς εὕρισκε συνεχῶς κατ' αὐτοῦ συσκευαζομένους λαθραίας καὶ ἄλλοτ' ἄλλας ἐπιβουλὰς ἀπηγορευκέναι, ἀλλ' ἑστάναι τῶν ἰδίων ὅρων ἐντὸς, ἀκλινεῖς τὰς πρὸς θεὸν ἐλπίδας ὁμοίως ἀεὶ φυλάττοντι· καὶ γράφοντι μὲν ἀεὶ καὶ δεομένῳ λήγειν οὐκ ἦν οὐδαμῇ, κυρωθῆναι ὁπόσα περιὼν ὁ βασιλεὺς ἐνετέλλετο περί γε αὐτοῦ. ἀλλὰ τῶν Βυζαντίων οὐδ' ἄκροις τῶν λεγομένων ἀκούειν θελόντων ὠσὶν, ὅτι μὴ καὶ τοὺς ἀγγέλους σὺν ἀτιμίᾳ καὶ κουρᾷ πομπευόντων ἐπ' ἀγορᾶς καὶ δεσμοῖς καὶ εἱρκταῖς συγκλειόντων, τῷ δὲ οὐ διὰ γλώττης ἐγένετο λοιδορεῖν οὐδενὶ τῶν ἁπάντων. οὐ μὴν οὐδὲ τοὺς ἐν τῷ ὄρει τῷ Ἄθῳ διαπρέποντας ἀρετῇ καὶ ἀσκήσει μεσίτας εἰρήνης ἀπηξίου γίνεσθαι. ἀλλὰ καὶ τούτων ἐλθόντων, ἄπρακτος ἔδοξεν ἡ σπουδή. τὰ μέντοι χρήματα, καὶ εἴ τι κειμήλιον ἦν ἀμφοτέροις ἐκ πολλοῦ τεθησαυρισμένον, πάντα ἀνάλωται πρός τε ἄλλα τῶν κοινῶν καὶ πρὸς τὰς τῶν στρατιωτῶν χρείας. (Β.) Κρύφα γε μὴν συχνοὶ τῶν τῆς Ὀρεστιάδος προὐχόντων, ἑταιρείαν πεποιηκότες, συνέθεντο περιελθόντι Καντακουζηνῷ τὰς πύλας ἀνοῖξαι, πρὶν αἰσθέσθαι τοὺς τυραννήσαντας δημότας, καὶ γράμματα ἔπεμψαν 2.621 ἤδη καλοῦντες αὐτὸν, τὴν


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ταχίστην ἐλθόντα λαβεῖν ἀπονητὶ τὴν πόλιν. καὶ ὃς εὐθὺς διαναστὰς τόν τε στρατὸν ὥπλισε καὶ τὸν Ἄγγελον Ἰωάννην, τὸ Παμφίλου πολίχνιον ὀχυρώσαντα ὡς προσήκει, τάχιστα ἥκειν ἐπ' Ὀρεστιάδα διεμηνύσατο σὺν ἱππεῦσιν ἔγγιστα ὀγδοήκοντα. (Γ.) Καὶ δὴ συνεληλυθότων σφῶν ἐπὶ τὰς ὄχθας τοῦ παραῤῥέοντος τῇ Ὀρεστιάδι ποταμοῦ, χειμὼν τηνικαῦτα ὥσπερ ἐξ αὐτομάτου γέγονε τῆς νυκτὸς ἐκείνης μάλα πολύς· καὶ ὁ ποταμὸς ἐκεῖνος, ὥσπερ αἴσθησιν εἰληφὼς ἀπειλοῦντος θεοῦ, ἀγριαίνων ἦν καὶ σφόδρα πλημμύροντα συνελαύνων ὑπὲρ τὰς ὄχθας τὰ ῥεύματα· ὥστε ἄπορον πρὸς διάβασιν εἶναι τοῖς τοῦ Καντακουζηνοῦ στρατεύμασιν. ἡμέρας οὖν ἔγγιστα διατετριφόσι περὶ αὐτὸν οὐκ ὀλίγας, οὐκ ἔληγεν ὁ χειμών· ἀλλ' ἦν ἑαυτῷ τὴν ὁμοίαν διηνεκῶς συντηρῶν ἀγριότητα. ἀπειρηκότος δ' ὀψὲ καὶ ἀπαλλαγέντος ἐκεῖθεν, ὅ,τε χειμὼν ἐς τὴν ὑστεραίαν ἐλώφα καὶ ὁ ποταμὸς ἠρέμα ἐκείνης ὑφεῖτο τῆς ὕβρεώς τε καὶ ἀγριότητος. τῆς δὴ τοιαύτης πείρας δὶς ἤδη γενομένης, καὶ τῶν ποταμίων ῥευμάτων αὖθις ἐς τὴν ὁμοίαν ἐκείνην ἀναῤῥηγνυμένων ὑπερηφανίαν, ἔγνωσαν ὀψὲ, μὴ ἔκ τινος τύχης, ἀλλ' ἐκ θειοτέρας προνοίας εἶναι τὸ ἐναντίωμα, ῥᾷστα μὲν τὰ πάντα μετασκευαζούσης ὅπη βούλοιτο, καὶ νῦν δ' ἀντιπραττούσης μάλα τοῖς τοῦ Καντακουζηνοῦ προφανῶς ἐγχειρήμασιν· ὡς ἕπεσθαι καὶ τὴν τῶν στοιχείων εὐθὺς ἀγανάκτησιν πολλῷ τῷ θυμῷ ῥέουσαν, ὥσπερ αἰσθανομένων ὀργιζομένου τοῦ δεσπότου, καὶ συνεπιλαμβανομένων, ὡς δούλοις εἰκὸς, καὶ δεικνύντων ἔμπρακτον τὴν πρὸς τὸν δεσπότην τιμὴν διὰ τῆς βλα 2.622 πτούσης ὁρμῆς καὶ μάλα τοι σφόδρα βιαίας ἀνταποδόσεως. (Δ.) Ἐπεκθέοντες δ' οὖν ἑκατέρωθεν ἐνίοτε, νῦν μὲν ἐκ Διδυμοτείχου τινὲς τῶν στρατιωτῶν, νῦν δ' ἐξ Ὀρεστιάδος καὶ τῶν πέριξ πολιχνίων, πολλὴν μὲν ἐκεῖθεν ἐνθάδε λείαν ἤλαυνον, πολλὴν δ' ἐντεῦθεν ἐκεῖσε· νίκην δὲ καὶ τέλος ἐπιθεῖναι τῇ σπουδῇ, οὐκ ἦν οὐδετέρῳ κατ' οὐδετέρου· ἀλλ' ἐδίωκον ἀνήνυτα. αἱ δὲ πόλεις ἐφθείροντο διηνεκῶς ὑφ' ἑαυτῶν ἠρέμα καὶ κατὰ μικρόν· καὶ ἦν, ὡς ἔοικε, βούλημα θεῖον καὶ ψῆφος ἄνωθεν κυρωθεῖσα, ἐκτριβῆναι καὶ γυμνωθῆναι τὰς πόλεις χρημάτων καὶ δόξης καὶ τάξεως ἐκ τῆς ἐμφυλίου ταυτησὶ στάσεως. (Ε.) Τῆς γε μὴν ἐμφυλίου μάχης καὶ ἀλλοφύλου τὸ ἐξαλλάττον καὶ ὑπερέχον ὁ Καντακουζηνὸς ἐξετάζων τὴν μὲν παροξυσμῷ καὶ πυρετῷ, τὴν δὲ θέρμῃ τε θέρους καὶ ψύξει χειμῶνος ἔλεγεν ἐοικέναι· καὶ εἶναι τὸ ὑπερέχον θατέρου πρὸς θάτερον μάλα πολύ. τὴν μὲν γὰρ ἔξωθεν ψύξιν εἶναι καὶ προσθήκαις ἐνδυμάτων ἰᾶσθαι καὶ πυρὸς εὐπορίᾳ· καὶ αὖ τὴν ἔξωθεν ἐπεισόδιον θέρμην ἐνδυμάτων τε ὑφαιρέσεσι καὶ ἀνέμων πνοαῖς· τοὺς δ' ἔνδοθεν τικτομένους πυρετοὺς ἐξ ἐγκάτων δύσμαχον εἶναι καὶ μάλα ἀνανταγώνιστον χρῆμα. ( .) Οἱ δὲ διὰ τὸν Καντακουζηνὸν ἐξόριστοι καὶ δεσμῶται, καὶ ὅσοι λεληθότως ἐν ταῖς πόλεσι τὰ ἐκείνου διετέλουν φρονοῦντες, μετέωροι ταῖς ἐλπίσιν ἦσαν ἔαρος ἐπισείοντος, εὐμενῆ καταστήσεσθαί σφισι τὴν τύχην. ἀλλ' ἄρα ἦσαν μάταια τὰ τῶν ἐλπίδων. ὡς γὰρ ἐπὶ μανδραβόλου τὰ ἐκείνου διηνεκῶς ἐχώρει. 2.623 ιε΄. Ἐπανακτέον δὲ βραχὺ τὴν διήγησιν, ἵνα σαφέστερα γένοιτο τοῖς ἀκούουσι τὰ ἑξῆς. Θεσσαλονίκης μὲν γὰρ, καὶ τῶν πέριξ ἄχρι Στρυμόνος τοῦ ποταμοῦ πόλεων, ἦν ἐπίτροπος ὁ πρωτοστράτωρ Θεόδωρος ὁ Συναδηνός· τῆς δὲ τῶν Σεῤῥῶν πόλεως, καὶ τῶν ἄχρι Χριστουπόλεως πολιχνίων, ὁ τοῦ θανόντος βασιλέως ἐξάδελφος, Γὴμ ὁ Ἀρμένιος· ὃς πρὸ τεττάρων καὶ εἴκοσιν ἐτῶν μετάπεμπτος γεγονὼς ἐξ Ἀρμενίας εἰς Βυζάντιον ὑπὸ τῆς τοῦ πατρὸς ἀδελφῆς, τῆς βασιλίδος δηλαδὴ καὶ μητρὸς Ἀνδρονίκου τοῦ βασιλέως, συνεζύγη τῇ τοῦ Καντακουζηνοῦ ἐξαδέλφῃ, καὶ πολὺν αὐτῇ συνοικήσας χρόνον ἄπαις διέμεινε· θανούσης δ' ἐκείνης, συνεζύγη τῇ τοῦ Συργιάννου θυγατρὶ, ἐξ ἧς καὶ παίδων ἐγεγόνει πατήρ. ἦν δ' ἀεὶ τῇ πατρίῳ τῶν Ἀρμενίων θρησκείᾳ χρώμενος. (Β.) Οὗτος οὖν ἕρμαιον τὴν τοῦ καιροῦ καὶ πραγμάτων σύγχυσιν εὑρηκὼς καὶ λημμάτων πρόφασιν κατέσχε τὰ ἐκεῖ τοῦ Καντακουζηνοῦ χωρία τε καὶ τὰς προσόδους, καὶ ζεύγη μυρία βοῶν, καὶ παντοίων ἄλλων ἀγέλας κτηνῶν, καὶ πάντα ἐξαργυρώσας


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

πλεῖστα χρημάτων ἐκαρποῦτο βαλάντια. πάντας δὲ τοὺς ὑπὸ τὴν ἐπιτροπὴν αὐτοῦ πλουσίους αἰτίαις καθυποβάλλων, ὡς εἶεν ὁμόφρονες δήπου τῷ Καντακουζηνῷ, αὐτοὺς μὲν ἐν φρουραῖς εἶχε· τὰς δὲ σφῶν οὐσίας ἤθροιζεν ὅλαις χερσὶν αὐτὸς ἑαυτῷ. πάντα μὲν τοίνυν ὁπόσα ὁ χρόνος ἐκεῖνος ἔτεκε τὰ δεινὰ, ῥᾴδιον οὐκ ἂν εἴη διεξιέναι. ἔνια δ' ἐν τοῖς λέγεσθαι μέλλουσιν ἄλλα ἄλλοθι κατασπειρόντων ἡμῶν, ἐξέσται δήπου καὶ τῶν λειπομένων ἐντεῦθεν τοῖς βουλομένοις καταστοχάζεσθαι. 2.624 (Γ.) Προειληφέναι μέντοι καὶ προηγήσασθαι τῶν τοιούτων συνεπεπτώκει σημεῖα κακῶν τά τε ἄλλα καὶ ἐπισκότησιν ἡλίου καὶ ἅμα σελήνης πρό γε αὐτῆς μάλα τοι σφόδρα μεγίστην, περὶ ζώδιον ἓν ἀμφοτέρας φημὶ τὸν τοξότην· καὶ πρὶν ὅλον ἑξαμηνιαῖον ἐξήκειν χρόνον ἐς τἀκριβὲς, ἑτέραν αὖθις συνεπεπτώκει γενέσθαι σελήνης ἔκλειψιν, περὶ τὸν ταῦρον γενομένου σαφῶς τοῦ ἡλίου, ἧττω μὲν ἐκείνης, δακτύλων δ' οὖν ¯ι¯δ καὶ αὐτήν. ἔκ τε οὖν τούτου, καὶ αὖ ἐκ τῶν περὶ τὰ τῶν φωστήρων πάθη φανέντων χρωμάτων, μεγάλων προαναφώνησις τοῖς βαθύτερον βλέπουσιν ἐγεγόνει δεινῶν. (Δ.) Δεύτερον δὲ, τὸ τῆς δενδροτομίας. περὶ γὰρ τὸν ὑδροχόον, εὐθὺς μετὰ τὸν αἰγοκέρων, τοῦ ἡλίου γενομένου, νύκτωρ ἁπάσης ἀνέμων σιωπησάσης πνοῆς, κατεῤῥάγη πλῆθος χιόνος οὐ φορητόν· ὑφ' οὗ καταβαρυνθέντα τὰ τῆς βασιλευούσης τῶν πόλεων ἅπαντα δένδρα, καὶ ὅσα τῶν προαστείων αὐτῆς, τοσαύτην τὴν πτῶσιν ὑπέστησαν, ὥσθ' ἡμέρας γενομένης, καὶ τὸ νυκτερινὸν ἑρμηνευσάσης δεινὸν, ἰδεῖν ξένον θέαμα, κλάδου παντὸς ἀπωρφανισμένα τὰ μέσα τῶν δένδρων καὶ σκόλοψί τισιν ἐοικότα καὶ ξύλοις νεκροῖς. ι΄. Ἐπεὶ δὲ καὶ περὶ τῆς βασιλίδος Εἰρήνης τῆς Καντακουζηνῆς, καὶ τῶν δυοῖν αὐτῆς ἀδελφῶν, πολὺς ἡμῖν ἔσται προϊοῦσιν ὁ λόγος, τὰ μέγιστα ταῖς παρούσαις συμβαλλομένων τύχαις τοῦ χρόνου καὶ ὑποθέσεσιν, ἐς τὸ πρότερον ἴχνος τοῦ λόγου φέρε ἐπανακάμψωμεν. εἶχε γὰρ δεσμίους αὐτοὺς τὸ πλησίον ὄρους Ῥο 2.625 δόπης φρούριον τῆς τῶν Αὐδήρων μονῆς ἐκ πολλοῦ, κελεύσει τοῦ βασιλέως Ἀνδρονίκου τοῦ νέου, ἐπ' ἐγκλήματι καθοσιώσεως. ἄρτι δὲ Καντακουζηνοῦ τοῦ βασιλέως ἐν Διδυμοτείχῳ τὰ ἐρυθρὰ ὑποδησαμένου πέδιλα, καὶ τῆς πολεμίας χειρὸς ἑκατέρωθεν παρασκευαζομένης, ἔρις ἐγένετο περὶ σφῶν, ὁποτέρῳ μέρει προτέρῳ γένοιτ' ἂν τῆς εἱρκτῆς ἐξελόντι συμμάχους ἔχειν κατὰ θατέρου κρατίστους. (Β.) Πολλῶν τοιγαροῦν μεταξὺ γενομένων δρόμων καὶ λόγων, καὶ δεδιότων ἐκείνων, μὴ δεσμῶν ἀλλάξωνται δεσμὰ, κουφοτέρων ἴσως δεινότερα, καὶ μηδετέρῳ βεβαίως ἐχόντων μέρει θαῤῥεῖν, ἡ βασιλὶς Εἰρήνη, πολλὴν πλουτοῦσα τὴν σύνεσιν καὶ ἀγχίνοιαν καὶ τοσούτῳ νικῶσα τῇ τῶν φρενῶν ἐν ταῖς βουλαῖς ὀξύτητι, ὅσον ἐν γυναιξὶ τῷ κράτει τῆς γνώσεως καὶ τῇ τῶν ἠθῶν ἁρμονίᾳ, πάντα καλῶς τὴν ταχίστην διέθετο. φρόνημα γὰρ αὐτοφυές τε καὶ αὐτοχάλκευτον εἰπεῖν κεκτημένη ἔμπρακτον παρεῖχε τῷ συζύγῳ καὶ βασιλεῖ καὶ μεγίστην ἐν τοιαύταις γενομένῳ ταῖς περιστάσεσι τὴν ἐπικουρίαν· καὶ εἰ μὴ τὸ πᾶν αὐτῷ τῆς βασιλείας αὕτη κεχάρισται κράτος, ἀλλ' οὖν καὶ μάλα δήπου σφόδρα γε τὸ πλεῖστον μέρος· νῦν μὲν λόγοις ἐπαγωγοῖς ἀναζωπυροῦσα πεπτωκότα φρονήματα τῶν ἀμφὶ τὸν βασιλέα συγγενῶν καὶ φίλων ἀληθῶν· νῦν δ' ἀφθόνῳ χειρὶ τὸν ἐν ἐξορίᾳ συνέκδημον αὐτοῖς γεγονότα προϊεμένη πλοῦτον, ἢ μᾶλλον τὰ τῶν μεγάλων ἐκείνων πλούτων περιλειφθέντα λείψανα, καθὰ προϊοῦσιν ἡμῖν ἐναργέστερον πάντα λελέξεται· νῦν δ' οὖν ἁπάσῃ δραμοῦσα σπουδῇ, καὶ δι' ἑαυτῆς αὐτὴ βεβαίας παρασχομένη 2.626 τοῖς ἀδελφοῖς τὰς ἐγγύας, τάχιστα ἐπανῆκε, μεθ' ἑαυτῆς αὐτοὺς τῷ συζύγῳ βασιλεῖ μάλα καθ' ὥραν προσαγαγοῦσα, γνησίους καὶ ἀσφαλεῖς ἐπικούρους. (Γ.) Ἐπεὶ δ' ἐκ Συναδηνοῦ, ὃς τηνικαῦτα Θεσσαλονίκης ἐπετρόπευε, γράμματα ἐφοίτα συχνὰ, διεγείροντα τὴν ταχίστην αὐτὸν διαβάντα ἐς Μακεδονίαν ἐγκρατῆ Θεσσαλονίκης ἐκ τοῦ ῥᾴστου γενέσθαι· εἶναι γὰρ παρεσκευασμένον ἐξ ἐκείνου τουτὶ λαθραίαις σπουδαῖς ἐκ πολλοῦ· διὰ δὴ ταῦτα καὶ ἄσμενος, τὴν Διδυμοτείχου ἐπιτροπὴν παραδοὺς Εἰρήνῃ τῇ συζύγῳ καὶ βασιλίδι σὺν


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τἀδελφῷ Μανουὴλ τῷ Ἀσὰν, ἀφίκετ' εὐθὺς καὶ ὠχύρου τὸ φρούριον, ὃ Πολύστυλον ὀνομαζόμενον πάλαι πρὸς θάλατταν νῦν αὐτὸς ἐξ οἰκείας δαπάνης συνεστήσατο παρὰ τὰς τοῦ Νέστου ἐκβολάς· ὃς ποταμῶν τῶν ἐν Θρᾴκῃ μέγιστος ἐκ τῶν τοῦ Αἵμου ὀρῶν ῥηγνύμενος ἀποπτύει τὸ ῥεῖθρον ἐς τὰ τοῦ Αἰγαίου πελάγους κράσπεδα. (Δ.) Ἄρτι δ' εἰς πέρας ἥκοντες τῆς οἰκοδομίας, ἀφικνεῖσθαι πλησίον ἤμελλε καὶ Χρέλης ὁ Τριβαλλός· ὃς πρὶν ὑφ' ἡγεμόνι τελῶν τῷ τῶν Τριβαλλῶν ῥηγὶ, δι' αἰτίας οἱασδήτινας τὰ δεσμὰ τῆς ὑποταγῆς ῥήξας, οἰκείαν κατέστησεν ἀρχὴν ἑαυτῷ Στρουμμίτζαν, ὑπερνέφελον φρούριον, καὶ ὁπόσα περὶ Στρυμόνα τὸν ποταμὸν ἄχρι καὶ ἐς Ἀμφίπολίν ἐστι χωρία. διὰ γὰρ τὴν τῶν Ῥωμαίων ἐμφύλιον στάσιν κολακευόμενος ὑπ' ἀμφοῖν τοῖν μεροῖν, φοβερός τις καὶ πάνυ τοι δυσεπιχείρητος τῷ Κράλῃ Σερβίας ἐγίνετο· καὶ ἦν οὑτωσί πως ἀπολαύων τοῦ χρόνου, κἀν τοῖς τῶν ἄλλων δυστυχήμασιν 2.627 αὐτὸς εὐτυχῶν, κἀκ τῆς τῶν γειτόνων δυσπραγίας ἰδίαν εὐδαιμονίαν καρπούμενος. συννοῶν δ' ὅμως ἔτι καὶ οὐ μάλα ἀνύποπτον τὴν εἰς τοὔμπροσθεν βασιλικὴν εὔκλειαν ποιούμενος τοῦ Καντακουζηνοῦ, φίλος εἶναι καὶ σύμμαχος αὐτῷ διετείνετο. ὅθεν καὶ ἐπειδὴ μιμησάμενοι τοὺς ἐν Θερμοπύλαις τριακοσίους ἐκ τῆς Σπάρτης, τὴν τοῦ Ξέρξου πάλαι παραφυλάττοντας δίοδον, προκατειλήφεσαν οἱ τοῖς Βυζαντίοις προσκείμενοι τὰ περὶ τὴν Χριστούπολιν στενὰ, καὶ σὺν ἐπιμελείᾳ μὴ πάνυ τοι ἐῤῥαθυμημένῃ καθήμενοι παρεφύλαττον νύκτωρ ἅμα καὶ μεθ' ἡμέραν, ὡς ἄβατον ἐντεῦθεν τῷ βασιλικῷ τοῦ Καντακουζηνοῦ στρατῷ γίνεσθαι, διαμηνυθεὶς καὶ ὁ Χρέλης ἧκε Χριστουπόλεως ἔγγιστα, χεῖρα στρατιωτικὴν ἐπαγόμενος οὐ μικρὰν, συνεργήσων τε καὶ, τό γε εἰς δύναμιν ἧκον, ῥᾳδίαν ποιήσων ὁπώσποτε τῷ βασιλεῖ τὴν ἐς Θεσσαλονίκην πάροδον. (Ε.) Τούτων δ' οὕτως ἐχόντων, οἱ μὲν ἐναπολειφθέντες ἦσαν ἐν Διδυμοτείχῳ μετὰ τῆς βασιλίδος Εἰρήνης καὶ τἀδελφοῦ Μανουὴλ τοῦ Ἀσὰν ἔνοπλοι στρατιῶται καὶ ἱππεῖς πλέον ἢ πεντακόσιοι· στρατηγοὶ δὲ δύο μὲν, Μανουήλ τε ὁ Ταρχανειώτης, τῶν συγγενῶν ὑπάρχων τις τῷ βασιλεῖ, καὶ Γεώργιος ὁ Φακρασῆς· καὶ μετ' αὐτοὺς ἕτεροι δύο. ὧν ἁπάντων τὴν καρτερίαν, καὶ τὴν περὶ τὰς ἐνοπλίους μάχας ἀνδρίαν καὶ ἐμπειρίαν, ἡ τῶν καθ' ἕκαστα πράξεων μαρτυρία προϊόντος τοῦ λόγου δείξει σαφέστατα. οὕς γε μὴν ὁ βασιλεὺς ἑπομένους εἶχε, πρὸς ἣν ἀφηγεῖσθαι μέλλομεν ὑπερόριον ἐκστρατείαν, ἦσαν πλὴν τῶν ὅσοι τόξοις ἅμα καὶ σφενδόναις καὶ τοιού 2.628 τοις ἑκηβόλοις ἐχρῶντο βέλεσι, τῶν μὲν λογάδων ἱππέων οὐχ ἧττους ἢ δισχίλιοι· τῶν δὲ συγγενῶν, καὶ τῶν ἄλλως εὐγενῶν ἀνδρῶν, καὶ ἅμα ὁπόσοι τῆς σφῶν θεραπείας ἦσαν, ἐς τὸ ἔγγιστα τῶν πεντακοσίων ἀνῆγον τὸν ἀριθμόν. ὧν ἔκκριτοι πάντων ὑπῆρχον μάλιστα οἵ τε δύο τοῦ βασιλέως υἱεῖς, Ματθαῖος καὶ Μανουήλ· καὶ μετ' αὐτοὺς ὅ,τε τῆς βασιλίδος Εἰρήνης ἀδελφὸς Ἰωάννης ὁ Ἀσὰν καὶ ὁ τοῦ βασιλέως πρωτεξάδελφος Ἰωάννης ὁ Ἄγγελος. ὧν ἁπάντων τὴν ἐν τοῖς δεινοῖς μεγαλοψυχίαν, καὶ ὁπόσα χειρὸς καὶ γνώμης ἐνεδείξαντο μεγαλοφυοῦς ἔργα καὶ τρόπαια, ἐν τοῖς καθήκουσι τόποις προβαίνων ὁ λόγος δηλώσει καθ' ἕκαστα. 2.631 α'. Λήγοντος δ' ἤδη τοῦ ἔαρος, ἄρας ὁ βασιλεὺς Καντακουζηνὸς ἐκ τῶν τοῦ Νέστου ποταμοῦ ἐκβολῶν, κἀξ εὐωνύμων ἀφεὶς τοὺς τὰ στενὰ τῆς Χριστουπόλεως παραφυλάττοντας, διὰ τῆς ἄκρας τοῦ ὄρους τὰς οἰκείας διεβίβασε δυνάμεις· μακροτέρᾳ μὲν καὶ ἐπιπόνῳ χρησάμενος τῇ πορείᾳ διὰ τὰς δυσχωρίας τῶν τε πετρῶν καὶ φαράγγων καὶ τῶν ἐκ τῆς λόχμης ἐκείνης δένδρων καὶ ἀκανθῶν· διεβίβασε δ' οὖν, καὶ κατεστρατοπέδευσε περί 2.632 που τὰ ἱππήλατα τῶν Φιλίππων, ἔνθα πάλαι Βροῦτος καὶ Κάσσιος ἐπολέμησαν Ὀκταβίῳ Καίσαρι. (Β.) Διαναπαύοντι δ' αὐτόθι τὴν στρατιὰν προσῆλθεν αὐτῷ καὶ ὁ Χρέλης, ἐγγυώμενος πάντα οἱ τὰ κατὰ βούλησιν ἄσμενος ἐκτελεῖν. ὁ δὲ φίλον μὲν ἔχειν αὐτὸν ἔλεγε βούλεσθαι· τῆς μέντοι συμμαχίας αὐτῆς χρείαν ἥκιστα ἔχειν ἐν τῷ παρόντι. ξυνενόει γὰρ αὐτὸν γλώττῃ μὲν ὁμολογεῖν αὐτῷ φιλίαν διὰ τὸν ἐνεστῶτα φόβον τῶν ὅπλων· τὴν δὲ γνώμην εἶναι μετέωρον καὶ καραδοκοῦντα



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

σαφῆ καὶ αὐτοδίδακτα τῆς μάχης ὄψεσθαι τὰ τέλη. ὅθεν λόγοις καὶ αὐτὸς χρησάμενος πρὸς αὐτὸν φιλίαν μακρὰν ἐπαγγελλομένοις, ἐπὶ πολλαῖς τε δεξιωσάμενος ταῖς ἡμέραις, εἶτα ἀπέλυσε χαίροντά τε καὶ γείτονα χρηστὸν τοῦ λοιποῦ καὶ αὐτὸν ἐπαγγελλόμενον εἶναι. (Γ.) Αὐτὸς δὲ μικρὸν ἐκεῖθεν προβὰς εἷλε καθ' ὁμολογίαν φρούριον Ῥεντίναν καλούμενον. δέον δ' ὀλίγων ἐντὸς ἡμερῶν ἀπιόντα περιστρατοπεδεῦσαι τὰ τῆς Θεσσαλονίκης τείχη, καὶ περικροτῆσαι τῷ πλήθει τῶν ὅπλων καὶ τῇ ῥώμῃ τῶν ἀνδρῶν, καὶ ἐπιῤῥῶσαι μὲν τὸν ταύτης ἐπιτροπεύοντα τέως Συναδηνὸν, καὶ ὅσοι τούτῳ ταὐτὰ σπουδάζοντες ἦσαν ὑπὲρ αὐτοῦ, καταπλῆξαι δ' ἐκ τοῦ αἰφνιδίου τοὺς τἀναντία κατ' αὐτοῦ φρονοῦντας· ὁ δ' ἡμέραν ἐξ ἡμέρας παρακρουόμενος ἔτριβε τὸν χρόνον ἐνταῦθα καθήμενος, οὐ στρατιωτικὸν, ἀλλ' ἴδιον τρόπον αὐτοῦ καὶ συνήθη κἀνταῦθα τελῶν. μηδὲ γὰρ ἐθέλων ὅλως ὁμόφυλον αἷμα χεόμενον τοῖς οἰκείοις θεάσασθαι ὀφθαλμοῖς ἀναίμακτον ἐζήτει στῆσαι τρόπαιον. διὸ καὶ περιμένων ἐκάθητο τὴν τῶν Θεσσαλονι 2.633 κέων ἴσως διὰ φόβον ἑκούσιον καὶ ὑπόσπονδον προδοσίαν. μεταξὺ δ' ὅμως εἷλε καθ' ὁμολογίαν καὶ τὸ Μελενίκου πάνυ τοι ἐχυρὸν καὶ δύσμαχον φρούριον, Βυζαντίοις πάλαι προσκείμενον· καὶ τὸν τῆς βασιλίδος Εἰρήνης ἀδελφὸν Ἰωάννην ἐπίτροπον αὐτοῦ καταλελοιπὼς διὰ μελέτης ἤδη πεποίηται τὰς δυνάμεις ἄγειν ἐπὶ Θεσσαλονίκην. (Δ.) Ἀλλ' ἡ τοῦ χρόνου ταχίστη φορὰ βραδυτῆτα πραγμάτων οὐκ οἶδε φιλεῖν. ἐμοὶ γὰρ τῶν ζωγράφων ἐκείνους πολλάκις ἐπῄει θαυμάζειν, καὶ τῶν ἀνδριαντοποιῶν ὁπόσοι τῆς χρονικῆς περιόδου τὸ τάχος μιμεῖσθαι διὰ τῆς τέχνης ἐθέλοντες ἄνδρα ποιοῦσιν ὀπισθοφάλακρον μὲν ὡς ἐπίπαν, οὐ πάνυ δ' ἀναφαλαντίαν, ἀλλὰ μέτωπον προϊσχόμενον λάσιον καὶ κόμην ἐκεῖθεν μακρὰν καθειμένον. τἄλλα γὰρ ὄντες σοφοὶ μόνης λείπονται φωνῆς ἐνταῦθα· καὶ ταύτην δὴ ταῖς τῶν χρωμάτων ἥκιστα μιμεῖσθαι δύνανται βαφαῖς· ὅθεν σιγῶσαν οὑτωσί πως ἱστᾶσι νομοθεσίας εἰκόνα, καὶ ἀνεκλάλητον κήρυκα πᾶσιν ἀεὶ διανέμουσιν, οἷς ἐῤῥᾳθυμημένον τὸν βίον ἀνύειν οὐκ ἔστιν αἰδὼς, μονονουχὶ βοῶντες, ὡς κατόπιν ἰοῦσι τριχῶν οὐ παρέξει λαβὴν ὁ Καιρὸς, ἀλλ' ὄλισθον καὶ ἀποτυχίαν τοῦ ποθουμένου μακρὰν, τῆς ἐμπροσθίας ἤδη τοῦ χρόνου λαβῆς παρεῤῥυηκυίας καὶ ὅλως ἀπηγορευκυίας ἅπαν τὸ ἁμιλλώμενον. (Ε.) Κἀνταῦθα τοίνυν οὑτωσὶ τῆς βραδυτῆτος ἐκείνης ἐκτεινομένης, ὑπωπτεύθη μὲν ὁ Συναδηνὸς τὰ βασιλέως φρονῶν· ὑπωπτεύθησαν δ' οἱ περὶ αὐτὸν ἅπαντες στρατιῶται, καὶ ὅσον τῆς Θεσσαλονίκης τὸ ἔκκρι 2.634 τον, καὶ κινεῖται κατ' αὐτῶν ὁ δῆμος ῥαγδαίως, καὶ γίνεται φόνος συχνὸς ἐξ ὁμοφύλων ξιφῶν ἐν εὐανδρούσῃ καὶ πολυανθρώπῳ πόλει. καὶ τάχ' ἂν αὐτός τε ἐφθείρετο ὁ Συναδηνὸς καὶ σύν γε αὐτῷ πάντες οἱ ταὐτὰ φρονοῦντες αὐτῷ, εἰ μὴ τῶν τῆς πόλεως μίαν καθελόντες πυλῶν εἰς τὸ πρὸ τῆς πόλεως καταπεφεύγεσαν φρούριον, ὃ Γυναικόκαστρον μὲν πρὸς τῶν ἐγχωρίων καλεῖται, ἀπέχει δὲ Θεσσαλονίκης σταδίους διακοσίους. (΄.) Καὶ ἦν τὸ τῆς ὥρας τηνικαῦτα περὶ τὰς τοῦ θέρους ἀρχάς. ἧκε δ' εὐθὺς ἐκ Σεῤῥῶν καὶ ὁ Ἀρμένιος Γὴμ ἐς Θεσσαλονίκην, πολλὴν ἐπαγόμενος δύναμιν στρατιωτικὴν, καὶ ἀνεῤῥώννυεν ὅσον εἰκὸς τὸ τῆς πόλεως φρόνημα, κατενηνεγμένον ὑπὸ τῶν αὐτῇ περιστάντων κινδύνων. τούτων δ' οὕτως ἐχόντων, κατέπλευσε καὶ ὁ ναυτικὸς ἐκ Βυζαντίου στόλος παρὰ τὸ τῶν Θεσσαλονικέων ἐπίνειον, ναύαρχον ἔχων Ἀλέξιον τὸν Ἀπόκαυκον καὶ πλέον ἢ πεντήκοντα τριηρῶν ὅπλα καὶ δύναμιν, ὥσπερ ἐξ αὐτομάτου συμπεπτωκότων οὑτωσὶ τῶν πραγμάτων ἐπ' εὐδαιμονίᾳ Θεσσαλονίκης. (Ζ.) Ἄρας δ' ἐκ τῆς στρατοπεδείας ἐκείνης ἤδη καὶ ὁ βασιλεὺς ἧκε παρὰ τὸ Γυναικόκαστρον, καὶ ἥνωται τῷ τε Συναδηνῷ καὶ τοῖς ἀμφ' αὐτὸν φυγάσι τῶν Θεσσαλονικέων στρατιωτῶν. κοινολογησαμένων δὲ πρὸς ἀλλήλους ὁπόσα εἰκὸς, ἐπειδὴ ἐμεμαθήκει τὸ τελευταῖον ὁ Συναδηνὸς, σκεύη μέν τινα χρυσᾶ τε καὶ ἀργυρᾶ, λίθοις καὶ μαργάροις ὁμοῦ περιηνθισμένα, ἐπιφερόμενον τὸν βασιλέα, χρημάτων δ'



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

οὐδὲν, ὁπόσα στρατιώταις εἰσὶν ἐφόδια πρόχειρα πρὸς διανομὴν καὶ λῆψιν τῶν ἐπιτηδείων, πρύμναν τε 2.635 ἐκρούσατο καὶ τὴν γνώμην εὐθὺς μετέθετο, ἐς ἀπόγνωσιν τὸν οἰκεῖον πίπτοντα βλέπων στρατὸν ὑπ' ἐνδείας τῶν ἀναγκαίων, καὶ ἅμα γραφαῖς καὶ χρημάτων καὶ τιμῶν ὑποσχέσεσιν ἐνδιδόντας, ὁπόσαι λάθρα καὶ συχνὰ πρὸς τοῦ Ἀποκαύκου σφίσιν ἐπέμποντο. καὶ ἦν καιροφυλακῶν ἐξ ἐκείνου καὶ ὥραν ζητῶν, ἐν ᾗ ἂν ῥᾷστα συνειληφὼς αὐτὸν δέσμιον παραδοίη τῷ Ἀποκαύκῳ. οὕτως ἀμφιῤῥεπὴς καὶ ἄστατος ἦν τὴν γνώμην ἀεί. β΄. Θέρους μὲν οὖν ἐνειστήκει καιρὸς, καὶ ὁ Συναδηνὸς Θεόδωρος ἐπιβουλεύων πεφώραται· καὶ ἅμα θόρυβος ἀνὰ πᾶν τὸ τοῦ βασιλέως στρατόπεδον ἦν, καὶ ὑποψίαι καὶ ἁρπαγαὶ κατ' ἀλλήλων καὶ δι' ἀλλήλων, καὶ ἀτέκμαρτος ἀκοσμία. ἤδη γὰρ καὶ ἡ τῆς τοῦ Ἀποκαύκου στρατιᾶς παρεδείκνυτο ἔφοδος. καὶ τάχ' ἂν πρόχειρος τοῦτο ἦν ᾅδης τῷ βασιλεῖ τηνικαῦτα καὶ τελευταῖος ἥλιος, εἰ μὴ τοῦ προφανοῦς αὐτὸν ὑπὲρ ἐλπίδα πᾶσαν ὁ θεὸς ἐξείλετο κινδύνου. τοῦτον γὰρ ἐκ μέσης ψυχῆς ἐπικαλεσάμενος, καὶ ἅμα θαῤῥεῖν ἑαυτῷ παρακαλεσάμενος, τὸ ἀνακλητικὸν τὰς σάλπιγγας ἐκέλευσεν ἀνακρούσασθαι· καὶ συνέῤῥει τὸ στρατιωτικὸν περὶ αὐτὸν εὐθὺς, ὅσοι μὴ δι' ἀσθένειαν λωποδύταις ἄλλοι ἄλλοις ἐν τοσαύτῃ περιπεσόντες συγχύσει γυμνοὶ διεσπάρησαν ἄλλοι ἄλλοσε. (Β.) Ἐπεί γε μὴν ὁ βασιλεὺς ἐθεᾶτο περὶ αὐτὸν τῆς δυνάμεως τό,τε πλεῖστον καὶ βέλτιστον ἀθροιζόμενον, εἰς τάξεις διῄρει καὶ φάλαγγας, καὶ διέταττεν εἴς τε τὸ δεξιὸν καὶ τὸ εὐώνυμον κέρας· τὰ μέσα τῆς φάλαγγος οὐ τοσοῦτον εἰς βάθος, ὅσον εἰς μῆκος ἐκτείνων λεπτότερον, διὰ τὴν 2.636 ὀλιγανδρίαν· καὶ τούτοις ἐπιστήσας στρατηγοὺς Ἰωάννην τὸν Ἄγγελον, καὶ ὅσοι αὐτῷ παραπλήσιοι τήν τε πολέμιον πεῖραν καὶ τὴν τοῦ γένους ἦσαν ἐγγύτητα, τὴν τῶν ἐναντίων ἵστατο περιμένων ἔφοδον. ἀντιπαρετάττετο μὲν γὰρ ἐκ θατέρου καὶ ὁ Ἀπόκαυκος. εἰς χεῖρας δ' ὁμόσε ἰέναι σφίσιν οὐ μάλα ἐτόλμα, τοὺς περὶ τὸν βασιλέα βλέπων ὁπλίτας πολὺν τὸν ἐν τῇ μάχῃ θυμὸν πνέοντας καὶ ἅμα τὴν ψυχὴν ἐξ ἀπογνώσεως ἑτοίμως ἔχοντας ἀφιέναι. (Γ.) Ὅθεν ἠρέμα συστραφεὶς ἀπῄει συντεταγμένος τὴν ἐπὶ Τριβαλλοὺς ὁ βασιλεὺς, τοῦ προδήλου κακοῦ τὸ ἀμφισβητούμενον προελόμενος. τῶν γὰρ ἀλλοφύλων ἐνίοις ἴσμεν πολλάκις τὴν ἐκ περιστάσεως ἑκούσιον καταφυγὴν δυσωπητικωτέραν πως γινομένην πρὸς οἶκτον, νέμεσιν ἴσως δεδιόσι δήπου θειοτέραν καὶ ἀνθρωπίνην αἰδῶ· ἣ φύσιν ἀπόῤῥητον ἔχει τινὰ, πείθειν τοὺς πλείστους ὁπώσποτε δυναμένην, τοὺς προηυτυχηκότας οἰκτείρειν, ὅταν ὁ βίος αὐτοῖς ἐς τἀναντία χωρήσῃ, καὶ μὴ ἐν τῷ φθονουμένῳ τῆς τύχης ἀσαλεύτους ἔχῃ τὰς ἁβρὰς κρηπῖδας. τὸ δ' ὁμόφυλον, ἅπαξ τοῦ εἰκότος ἀποῤῥαγὲν, ἀνήκεστον ὡς τὰ πολλὰ καθίσταται πρὸς ὀργὴν καὶ χύσιν αἵματος συγγενοῦς. (Δ.) Σπουδῇ τοίνυν τὴν πρόσω διαβὰς πορείαν ἐκεῖ που περὶ τοὺς ὅρους, οὓς ἡ κακοπραγία Ῥωμαίων ἀφελομένη παρέσχετο Τριβαλλοῖς, τὴν νύκτα πᾶσαν ηὐλίσατο, ἐκεῖνο τὸ Λεωνίδου τοῦ Σπαρτιάτου, τοῦ ἐν Θερμοπύλαις, πρὸς τοὺς οἰκείους ἀντιστρόφως φθεγξάμενος· "1δεῦτε δειπνήσωμεν, ἵνα ἐν ᾅδου ἀριστή 2.637 σωμεν"2. τῇ γε μὴν ὑστεραίᾳ πέμπει τοὺς τὸν Κράλην Σερβίας τὴν ταχίστην διδάξοντας τῆς συμπεσούσης τύχης τὴν τραγῳδίαν καὶ πρὸς οἶκτον κινήσοντας ὅσον εἰκὸς, ἀναμνησθέντα τοῦ τῶν ἀνθρωπίνων πραγμάτων ἀπίστου καὶ ἀβεβαίου· καὶ ὡς ἀδήλους καὶ ἥκιστα ὡρισμένας ἔχει ταυτὶ τὰς ἐφόδους καθ' ὧν πορεύεται· καὶ ὡς χρὴ περὶ τῶν κακοπραγούντων ὁπώσποτε βούλεσθαι τοὺς εὐπραγοῦντας ἀεὶ τὰ προσηνῆ καὶ χρηστὰ, δεδιότας τοὺς ἀφανεῖς τοξότας τῆς τύχης καὶ τὰς τῶν ἄλλοτ' ἄλλως ἐρχομένων συμφορῶν λαβυρίνθους, τῶν πραγμάτων ἀεὶ συμφυὲς τὸ ἀπροσδόκητον πέρας μᾶλλον ἐχόντων, ἢ τὸ προσδοκώμενον, καὶ τὸ ἀτυχὲς μᾶλλον ἢ τὸ ἐπιτυχές. ἀλλά τις τῶν ἄγχιστα Ῥωμαίοις τὴν δίαιταν ποιουμένων ἐκεῖ Τριβαλλῶν, προλοχίσας τινὰς τῶν οἰκείων παρὰ τὴν ὁδὸν, χειροῦται τοὺς πρέσβεις, καὶ σφᾶς τὴν ταχίστην κομίζει τῷ Ἀποκαύκῳ δῶρον ποθούμενον· καὶ στοργὴν ὁμοῦ καὶ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

φιλοφροσύνην πολλὴν εὑρηκὼς διὰ τοῦτο μετατίθησιν εὐθὺς καὶ σχῆμα καὶ δίαιταν ἐκεῖνος ἐκ Τριβαλλῶν ἐς τὰ τῶν Ῥωμαίων ἤθη. (Ε.) Τούτου δ' οὕτως συνενεχθέντος, ἦν τις τῶν ἐνδόξων Τριβαλλῶν, τῆς χώρας ἡγεμονεύων καὶ ἄκρας ἐκείνης, Λιβέριος ὄνομα. τούτῳ φιλία τις ἦν ἐκ παλαιοῦ πρὸς βασιλέα· ἧς ὁ βασιλεὺς ἐπὶ καιροῦ νῦν εἰς ἀνάμνησιν ἰὼν ἔπεμψεν εὐθὺς αὐτῷ δεξιὰν καὶ λόγους, ὁποίους καὶ ὅσους ἡ χρεία καὶ ὁ καιρὸς ἀπῄτει· καὶ ἅμα συνταξάμενος ὥδευε τὴν ἐπὶ τὸν Κράλην Σερβίας, ὁπλίτην τε ἐπαγόμενος τὸν οἰκεῖον στρατὸν, θεῷ 2.638 δὲ καὶ ἀδήλοις ἐλπίσι τὰ κατ' αὐτὸν ἐπιτρέψας. πολὺς γὰρ αὐτῷ πανταχόθεν ἐπήρτητο τοῦ συρφετώδους ὄχλου καὶ ἀγροικικοῦ, λάθρα καὶ λαμπρῶς ἐπιτιθεμένων ἄλλοθεν ἄλλων, κατὰ διαστήματά τε καὶ συστήματα, καὶ τὴν οὐραγίαν ἀκρωτηριάζειν πειρωμένων καὶ τῶν σκευοφόρων ἔνια διαρπάζειν. τὰ πλεῖστα γὰρ τολμῶσι (φάναι) γίνεται δεινὰ, Ὅταν δι' ἐχθρᾶς ποὺς ἀμείβηται χθονός. (΄.) Ἀλλὰ πρὶν ἡμέρας ὅλης ὁδὸν ἀνύσαι, σπεύσας ὁ Λιβέριος ὑπήντησεν αὐτῷ παρὰ τὴν ὁδὸν, καὶ χειρὶ καὶ γνώμῃ καὶ πάσῃ προθέσει δεξιωσάμενος τῆς ψυχῆς, καὶ ἐφ' ἡμέραις συχναῖς ξενίσας, ἀνέπαυσέ τε καὶ λόγοις ἀνέῤῥωσε φιλανθρωποτέροις, ἀθυμίας μακρᾶς ἐμβριθέσι ῥοθίοις περιαντλούμενον φρόνημα. ὅ γε μὴν βασιλεὺς τὸν ἐνόντα καὶ αὐτὸς ἀντιφιλοτιμούμενος τρόπον ἠμείβετό τε καὶ δαψιλέστερον ἐξ ὧν ἐπεφέρετο λιθοκολλήτων σκευῶν αὐτῷ καὶ ἀργυρωμάτων ἀντεχαρίζετο, καὶ ἅμα τὸν υἱέα Μανουὴλ ἐπηγγέλλετο δώσειν ἐπὶ θυγατρὶ γαμβρὸν, εἰ πάντα βοηθήσειε τρόπον αὐτῷ καὶ τὰ πρὸς τὸν Κράλην Σερβίας εὔοδα θείη, διαλλακτὴς αὐτὸς καταστάς. ὁ δὲ παρόντα θεώμενος ἤδη καὶ τὸν τοῦ βασιλέως υἱὸν, καὶ τῆς τε ἐπανθούσης τῷ ἤθει χάριτός τε καὶ ἀστειότητος καὶ ἅμα τῆς ἀγχινοίας θαυμάζων, ὅτι πολλῷ τινι μέτρῳ ταύτην ἐπλούτησε πρεσβυτέραν ἢ κατὰ τὴν τῆς ἡλικίας ἀκμὴν, σφόδρα τε ὑπερήσθη τῷ λόγῳ καὶ μάλα τοι ἄσμενος ὑπεδέχετό τε καὶ ἀντεπηγγέλλετο πάντα πάνυ προθύμως πράσσειν τὰ κατὰ γνώμην, καὶ εἰ δέοι 2.639 κινδύνους μακρούς τε καὶ ὑπερβάλλον τὸ μέγεθος κεκτημένους ὑφίστασθαι. (Ζ.) Καὶ μὲν δὴ βεβαίοις καὶ ἀσφαλέσι τοῖς πρὸς τὸν Κράλην αὐτοῦ γράμμασιν ἐφοδιασθέντι, καὶ παραπομποὺς τοὺς ἀποχρῶντας παρειληφότι, πεντεκαιδεκαταίῳ συμπέπτωκεν ἐς τὸ τῶν Σκοπίων ἀφικνεῖσθαι πολίχνιον· οὗ τῶν κρασπέδων ἅπτεται παραῤῥέων ὁ ποταμὸς Ἀξιὸς, ἐξ ὀρῶν τῶν αὐτῶν τῷ Στρυμόνι ῥηγνύμενος· ὃς οὐχ οὕτω μέγιστος ὢν ἐκ πηγῶν εὐθὺς, ἀλλ' οὖν ἐς τὸ κάταντες ἰὼν, καὶ πλείστοις ἄλλοις ποταμοῖς καὶ χειμάῤῥοις τὸ ῥεῦμα κοινούμενος, καὶ ἐς Βαρδάριον μετατιθέμενος τοὔνομα, ἐνίοτε καὶ ναυσίπορος ἐνιαχοῦ καθίσταται. (Η.) Ἐνταῦθα δὴ καταλύσασιν ἱκανός τις ἔδοξεν εἶναι ὁ χῶρος, ἀθυμίᾳ βαθείᾳ καὶ πόνῳ μακρῷ βεβαπτισμένον ξενίσαι στρατὸν, εἰ καὶ ἥκιστα πάνυ τελέως, ἀλλ' οὖν οὐδὲ πάνυ τοι ἧττον ἢ τελέως. εἰ γὰρ καὶ ἡδὺν τῷ πεινῶντι πάντα τινὰ ἄρτον εἶναί φασιν, ἀλλ' οὖν καί σφισι τέως τό γε ἀλλοφύλοις ἄγεσθαι νεύμασι, προσηνέσι δ' ὁπωσδηποτοῦν, ἡδύ τι καὶ φιλάνθρωπον ἐνομίζετο. τὸ γὰρ ἐν ὅροις ὑπερορίοις ἀπηρτημένους τοσοῦτον, καὶ τῶν οἰκείων ὄντας ἐκδήμους οὐ μάλα ἐθέλοντας, εὐσεβέσιν ἀνδράσι περιτυχεῖν, καὶ καταγωγίοις οἱοισδήτισι ξενισθῆναι, ὅμοιον ἦν, ὥσπερ ἂν εἰ ἐκ ναυαγίου μεγάλου καὶ κλύδωνος ἀπροσδοκήτῳ προσεσχηκέναι συνέβη λιμένι τινί. τὸ γὰρ βοσκηματῶδες ἦθος ἐκεῖνο καὶ ὄρειον, καὶ τὸ τῆς γλώττης καὶ γνώμης ἀπαίδευτόν τε καὶ βάρβαρον, ἡ τῆς διαίτης εἰρηναία καὶ ἔνσπονδος 2.640 ἔκρυπτεν εὔνοια, μάλα τοι ἐν ἀνάγκης παραφανεῖσα καιρῷ, τὸ πάνυ βραχὺ τῆς εὐθυμίας πάνυ τοι πολλαπλάσιον δρῶντι περιφανῶς. (Θ.) Ἐνταῦθά γε μὴν κατὰ χώραν αὐθημερὸν καταλελυκότα τὸν βασιλέα ἐντυχεῖν ἐς τὰ ἐνδότερα τῶν Τριβαλλῶν μετὰ τὴν ὑστεραίαν τῷ Κράλῃ γεγένηται, καὶ ἀσπασμοὺς τοὺς προσήκοντας ἀλλήλοις ἀντιδοῦναι βασιλικῶς ἑκάτερον ἑκατέρῳ, καὶ χάρισι χάριτας, καὶ ὅσα εἰκὸς ἐν φιλοτιμίαις καὶ φιλοφροσύναις τοιαύταις ἀλλάξασθαι, εἰ καὶ μὴ ὁμοίως ἑκατέρωθεν μεγαλοπρεπέσιν. χαρίζεται μὲν γὰρ ὁ βασιλεὺς τῷ τε Κράλῃ καὶ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τῇ συζύγῳ πολυτελῆ τινα κειμήλια τῶν αὐτοῦ θησαυρῶν· ἀντιδίδωσι δ' ὁ Κράλης τῷ τε βασιλεῖ τὰ εἰκότα, καὶ ἅμα νομὰς, καὶ διαίτας, καὶ καταγώγια, καὶ ὅσα πρὸς τὸ ζῆν ἐστιν ἐπιτήδεια τῷ τοῦ βασιλέως στρατῷ, γλισχρῶς μὲν καὶ σμικροπρεπῶς, καὶ κατὰ τὸ σύντροφον ἔθος. ἔσχε δ' οὖν ὅμως οὕτω ταυτί. γ΄. Καὶ ἦν ὁ καιρὸς τηνικαῦτα περὶ τὰς τοῦ Ὠρίωνος ἐπιτολάς· καὶ δεκαμηνιαῖον ἐνταυθοῖ τοῦ λοιποῦ συνελόντι φάναι τὸν πάντα διέτριψε χρόνον· ἐν ᾧ πολλῆς ὁ τούτου στρατὸς πεπείραται δυσχερείας, κατά τε τὴν δίαιταν, καὶ ὁπόσα δεῖ τοῖς ἐν ἀλλοτρίᾳ τὸν βίον ἀνύουσι γῇ. ἐνδείᾳ γὰρ πιεζόμενοι χρημάτων οἱ πλεῖστοι πάνθ' ὑφίσταντο τὰ χαλεπώτατα. ὅσοις μὲν οὖν ἄηθες τὸ πάσχειν ὑπῆρχε κακῶς, δυσκαρτέρητος ἦν ὁ τόπος· καὶ ὁ χειμὼν ἐκεῖνος τοῦ βίου συχνοὺς ἀπήνεγκεν. οἷς δὲ σύντροφον ἦν ἐκ πολλοῦ τὸ λιτὸν τῆς διαίτης, καὶ τό γε κατὰ τοὺς πάλαι Σπαρτιάτας ἐκείνους ἀρκεῖσθαι μάζῃ καὶ ὕδατι, καὶ προσταλαιπωρεῖ 2.641 σθαι τοῖς ὅπλοις νύκτωρ καὶ μεθ' ἡμέραν, τούτους οὐ μάλα ἐξέπληττεν ὅσα φέρει δεινὰ τὸ τῆς ἀλλοτρίας ἄηθες γῆς· ἀλλ' ὃ τοὺς ἄλλους ἐποίει ταλαιπωρεῖν, σφίσι βίος ἦν ἀταλαίπωρος. οὕτω ῥᾴδιον ἡ συνήθεια καὶ κοῦφον καὶ οὐ σφόδρα ἐπίπονον· ὥστε καὶ εἴ τις, ἐκ προθέσεως ἀγαθῆς ὡρμημένος, τὸν ἄριστον ἕλοιτο βίον, ἀταλαίπωρον ἂν εἶναί οἱ εὐθὺς τοῦ λοιποῦ βίον τε ἀνύειν ἀνώδυνον καὶ ἡδονὴν ἀθάνατον ἐν θνητῷ κτᾶσθαι σώματι. (Β.) Ἐγὼ δ' ἐνταυθοῖ τῆς ἱστορίας γενόμενος ἐβουλόμην λεπτομερεστέραν τινὰ ποιήσασθαι τὴν ἀφήγησιν, καὶ δημηγορίας ἐκθεῖναι τοῦ βασιλέως, ἅς τε πρὸς τὸν Κράλην πεποίηται καὶ ἃς πρὸς τὸν οἰκεῖον στρατὸν ἐν καιροῖς τοῖς ἀνήκουσι, καὶ ἃς πρὸς αὐτὸν ἐκεῖνοι. δεῖν γὰρ ὡς τὰ πολλὰ καὶ πράξεσι λόγους καὶ λόγοις πράξεις πανταχῇ παρεζεῦχθαι· μὴ μόνον ὅτι ψυχῆς εἰκόνες ἀμφότερα καὶ τῆς ἐν αὐτῇ κατοικούσης γνώμης καὶ γνώσεως αὐτάγγελοι κήρυκες, κἀντεῦθεν χρῆναι σαφεστέραν τὴν τῶν ἱστορουμένων προσώπων καὶ πραγμάτων γίνεσθαι δήλωσιν διὰ τῶν τοιούτων· ἀλλὰ καὶ ὅτι σκιαγραφία τίς ἐστι τῶν πράξεων ὁ λόγος· καὶ τούτων μὲν οὗτος ἡγεῖται· τούτου δ' αὗται κατόπιν ἔρχονται. ἀλλ' ἐπειδήπερ ὁρῶμεν ἐνίους τῷ πλείονι μέρει τῆς συγγραφῆς ἐν ταῖς δημηγορίαις καταχρωμένους, διὰ τὸ μάλιστα πάντων ἐν ταύταις ἔχειν τὴν τῆς ῥητορικῆς ἐνδείκνυσθαι δύναμιν καὶ τὸ τῆς σφῶν σοφίας φιλότιμον, ὡς συμβαίνειν ἐντεῦθεν τὸ πάρεργον μεῖζον τοῦ ἔργου καθίστασθαι, τὴν μέσην ἡμεῖς βαδίζειν ἐκρίναμεν δεῖν. ἐπανιτέον τοιγαροῦν ὁπόθεν εἰς ταῦτα ἐξέ 2.642 βημεν. (Γ.) Τοῦ γάρ τοι βασιλέως τῷ Κράλῃ συνόντος καὶ συνδιαιτωμένου, οὐκ ἦν ἀμελεῖν οὐδαμῆ Βυζαντίοις τῶν κατ' ἐκείνου ἐπιβουλῶν· ἀλλὰ δόλοις δόλους συνέῤῥαπτον, καὶ μυρίους ἀεὶ θανάτους ἐξήρτυον κατ' αὐτοῦ. πέμπουσι τοίνυν ἐς μὲν τοὐμφανὲς πρέσβεις ἀπαγγελοῦντας περί τε κήδους ὅσα ἐξείη, καὶ δυοῖν αἱρέσεων προτεθεισῶν βασιλέως ἕνεκα, ὁποτέρᾳ προσθεῖναι βούλοιτο δηλοῦν, ἢ δέσμιον τουτονὶ μετὰ τῆς ζωῆς δηλαδὴ, ἢ τὴν αὐτοῦ κεφαλὴν ἀφελόντα τοῦ σώματος ἐν Βυζάντιον μηδὲν μελλήσαντα πέμπειν ὡς τάχιστα· ἥξειν τε γὰρ κατόπιν εὐθὺς αὐτῷ τήν τε θυγατέρα τῆς βασιλίδος, νύμφην ἐπὶ τῷ ἐκείνου παιδὶ, καὶ ἅμα τὴν τῶν μέχρι Χριστουπόλεως ἐκεῖθεν χωρίων καὶ πόλεων ἔγγραφον κυριότητα· ὡς γίνεσθαι μίαν λοιπὸν ἀρχὴν αὐτῷ συνεχῆ τὴν ἐκ Δαλματίας καὶ Ἰλλυρίδος, καὶ ὅσα μεταξὺ τῶν πρὸς ἕω τοῦ Ἰονίου κόλπου ψαύει πλευρῶν, ἄχρι Φιλίππων καὶ Χριστουπόλεως. (Δ.) Καὶ τὰ μὲν τῆς πρεσβείας καὶ προφανῆ τοιαῦτ' ἦν. ἃ δὲ κρύφα συχνὰ καὶ πολύτροπα προσεπέμπετο φάρμακα, ὁπόσα τὸ θανάσιμον εἶχεν ἐμφωλεῦον, ὀξύ τε καὶ δυσκαρτέρητον, Μιθριδάτου τινὸς ἐδεῖτο σαφέστερον ἀριθμεῖν· ὃς τὴν ἐκ Παφλαγονίας ἔχων ἀρχὴν, ὁπόση διὰ Κολχίδος καὶ Λαζικῆς καὶ τῶν Καυκασίων ὀρῶν ἐρχομένη, καὶ παραλλάττουσα Τάναϊν καὶ Μαιῶτιν, διήκει μέχρι καὶ ἐς Σκύθας τοὺς ἑσπερίους, καὶ πολέμιον κτησάμενος τὴν πάλαι Ῥωμαίων ἀκμὴν, καὶ δεδιὼς μὴ ζῶν ἁλώσιμος τῇ Πομπηΐου γένηται χειρὶ καὶ τύχῃ, 2.643 πάντων ἐπειρᾶτο φαρμάκων, καὶ πάντων ἐζήτει τὸ κράτιστον καὶ ταχύτατον εἰς τὴν χρειώδη τοῦ βίου



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀπαλλαγήν. ὃ τοίνυν ἐκεῖνος ἐτόλμα καθ' ἑαυτοῦ, τοῦτ' ἔδρων ἐπιεικῶς οἱ Βυζάντιοι κατὰ τοῦ βασιλέως, μήτε μηδενὸς τῶν δηλητηρίων φαρμάκων, μήτε μηδεμιᾶς φειδόμενοι τῶν ἐπιβουλῶν, ὁπόσαι τε τοῖς πάλαι εὕρηνται δεινοῖς τὴν κακίαν καὶ ὁπόσαι τοῖς νῦν διὰ τὴν τοιαύτην ἐπινενόηνται χρείαν. (Ε.) Θαυμάσαι δ' ἄν τις, ὅπως ἅπαντ' αὐτόθεν ἠλέγχετό τε καὶ ἄπρακτα ἦν, τοῦ θεοῦ τὸν ἄνδρα φυλάττοντος ἀπαθῆ καὶ πάντων ἀνώτερον· οὐκ οἶδ' ὁπότερον, εἴτε τὴν ἄδικον καταδίκην, ἣν οἱ Βυζάντιοι καθάπαξ ἐψηφίσαντο κατ' αὐτοῦ, καὶ ὧν ἐζημίωται πολυειδῶν καὶ ποικίλων χρημάτων, ἃ προσῆν ὑπὲρ ἀριθμὸν τουτωΐ, μακρόθυμον ὑπομονὴν ἀποχρῶσαν ἡγουμένου πρὸς βάσανον γνώμης, περὶ ἣν τὸ κριτήριον ἅπαν τῆς θείας ταλαντεύεται δίκης· εἴθ' ὅτι μάλιστα πάντων αὐτὸς ὑβριζόμενος οὔτε μὴν ἀνθύβριζεν ἐς τὸ παρὸν, οὔτ' εἰς τὸ μέλλον ἠπείλει, κότον ἴσως ἔχων ὄφρα τελέσσῃ· ἀλλ' ἐκήδετο μάλιστα τῆς τῶν ὑβριζόντων καὶ πολεμούντων σωτηρίας ἅπαντα τρόπον, καθόσα φιλία δίδωσιν ἀκραιφνής. (´.) Καὶ ἵν' ἐκ πολλῶν μέτρια παραθῶμεν ἐνταυθοῖ· τοσαύτην εἶχε τὴν τῶν κακῶν ἀμνηστίαν, ὥστ' ἐν τοσούτοις συνειλημμένος κινδύνοις, καὶ οἷον εἰπεῖν ἐν ᾅδου βεβυθισμένος γαστρὶ, μεμνῆσθαι τῷ ἱερεῖ παρεκελεύετο πρῶτον μὲν Ἄννης τῆς βασιλίδος ἐν ταῖς ἱεραῖς ὑμνῳδίαις, δεύτερον δὲ τοῦ ταύτης υἱέως, καὶ τρίτον αὐτοῦ 2.644 μετὰ τῆς ὁμοζύγου βασιλίδος Εἰρήνης· καὶ ταῦτα ἐν ἀλλοτρίᾳ ὢν δυναστείᾳ καὶ γῇ, καὶ μηδ' ἐλεύθερον ἀέρα δυνάμενος ἀναπνεῖν. οὐ μόνον δ', ἀλλὰ καὶ ὅπουπερ ἂν ἀλλαχῇ πανταχῇ δι' εὐφήμου τῆς μνήμης τὸ οἰκεῖον ἤλπιζεν ὄνομα δύνασθαι φέρεσθαι, κἀκεῖ προηγεῖσθαι τῆς βασιλίδος Ἄννης τοὔνομα καὶ πρός γε τοῦ ταύτης υἱέως μεθ' ἁπάσης ἐκέλευε γνώμης καὶ προαιρέσεως· ὥσπερ ἄρα καὶ πρὸς Αἰτωλούς τε καὶ Θετταλοὺς τὸν Ἄγγελον ἀποστέλλοντι Ἰωάννῃ, ὥσθ' ἑκόντων ἄρχειν αὐτῶν, ὡς προϊόντες ἐροῦμεν πλατύτερον, προὔργου γέγονε διακελεύεσθαί τε καὶ παραγγέλλειν τούτου γε εἵνεκα μάλιστα πάντων, καὶ μὴ πρότερον μεθιέναι, πρὶν αὐτὸν τελεσιουργὰ τὰ τοιάδε πρὸ παντὸς ἐπαγγείλασθαι δρᾶν παραγγέλματα. εἴσεται δὲ πάντως ἐς τὸ ἀκριβὲς, ὃς ἂν ἐντύχῃ ζητήσας τῷ πρὸς αὐτὸν θεσπίσματι, ταῦτά τε καὶ ὅσα τούτοις προστίθησιν ὅμοια, τῇ βασιλείᾳ Ῥωμαίων πᾶσαν νέμειν αἰδῶ καὶ εὐλάβειαν διὰ βίου κελεύων. (Ζ.) Τοῦθ' ἱκανὸν ἔγωγε μόνον καὶ ἀποχρῶν ἥγημαι, τῶν ἄλλων ὁπόσα τὴν ὁμοίαν τοῦ ἤθους εὐγένειαν ἔχει σιωπωμένων, ἅπαντας πείθειν, οἷς νοῦ καὶ φρονήσεως μέτεστιν ὁπωσοῦν, θειοτέρᾳ προνοίᾳ διοικεῖσθαι τὰ πάντα, καὶ μηδαμῇ κατὰ τὸ αὐτόματον φέρεσθαι, μηδ' ἀπὸ τύχης τινὸς, μήτε μηδὲν τῶν ἁπάντων ἕτερον, μήτε τὴν τούτου πρὸς τὴν βασιλεύουσαν πόλιν ἀναίμακτον εἴσοδον καὶ τὴν τῶν βασιλικῶν ἀντίληψιν θρόνων, οὕτω μακροὺς καὶ πολυειδεῖς καὶ θανάτου φάναι γείτονας νενικηκότι κινδύνους· ἀλλ' αὐτῷ μὲν ἀμοιβὴν τῆς μακρᾶς καρτερίας, πᾶσι δ' αὖ ἐλπίδων 2.645 ἔρεισμα χρηστῶν, οἷς ἡ γνώμη τὴν τῶν δεινῶν καρτερίαν πέρας εὐγενὲς ἐκδέξεσθαι ὑπισχνεῖται. (Η.) Εἰ γὰρ πάντα καθ' ἕκαστα βουληθείημεν ἀφηγεῖσθαι, ὁπόσα πέπρακται μὲν ἐπίβουλα κατ' αὐτοῦ τοῖς ἐχθροῖς, καὶ ὁπόσοι φιλίας ὑποκριταὶ, πάντων δ' ὑπέρτερος πρὸς τῆς ἄνωθεν ἦν τηρούμενος δεξιᾶς, δέδια μή τις φιλίας με γράψηται πρὸς τὸν ἄνδρα μακρᾶς τῶν ὅσοι γυμνάσιον ἕτεροι γλώττης ποιοῦνται τὴν τῶν ἔν γε τῷ παρόντι γινομένων συγγραφικὴν ἀφήγησιν ἡμῖν γε παραπλησίως. εἰ γάρ τις τῶν ἔξωθεν τοῦ τὰ τοιάδε συγγράφειν ἑστὼς γυμνασίου, καθάπερ τις Ἑλλανοδίκης καὶ ἀπαθὴς ἀθλοθέτης, ἐθέλοι σκοπεῖν, ὄψεται μὲν τοὺς ἄλλους ὀργῇ καὶ θυμῷ στρατηγουμένους καὶ γράφοντας παρὰ τοσοῦτον πάθους ἐκείνους οὐ μάλα ἐκτὸς, παρόσον ἀληθείας οὐδ' ὅλως ἔμεγε ἐκτός. (Θ.) Οὐ γὰρ λελείψεταί μοι τῶν πάντων ὥσπερ οὐδὲν τῶν ἐπαινουμένων, οὕτως οὐδὲ τῶν ψεγομένων οὐδὲν, εἴ τι καὶ τούτῳ σαφῶς ἀνθρώπῳ γε ὄντι ἡμάρτηται, εἴτε κατὰ γνώμην καὶ βούλησιν, εἴτε κατ' ἄγνοιαν, εἴτε καὶ τῆς τοῦ χρόνου τε καὶ τῶν ἀναγκαίων βιαζομένης πραγμάτων φορᾶς. πάντων γὰρ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τούτων μόνα τὰ κατὰ γνώμην καὶ βούλησιν ἔχει τὸ κράτος τῶν ψόγων καὶ τῶν ἐπαίνων. ὅσα δὲ ῥεούσης τό γε δοκεῖν αὐτομάτως καὶ λόγων τῶν προσηκόντων τῆς τύχης ἐκτὸς, καὶ νῦν μὲν τὸ εὔδαιμον χορηγούσης τοῖς γινομένοις ὅλῃ δεξιᾷ καὶ δρόμοις ἀσχέτοις, νῦν δὲ τῆς εὐθείας ἀποπλανώσης, καὶ πρὸς κρημνοὺς ὁδηγουμένης ὁμοῦ καὶ σκοπέλους ἀτοπημάτων, καὶ πράγματα θρήνων μεστὰ καὶ δακρύων μακρῶν προ 2.646 ξενούσης, οἷς κακοπραγεῖν πρὸς τῆς ἀγούσης τὰ πάντα προνοίας νενομοθέτηται, ταῦτα δ' οὔτ' ἂν αὐτὸς ἐπαινοίην ἑκών γε εἶναι, οὔθ' ὁλοσχερῶς ταῖς τῶν ψεγομένων ἔγωγε θείην μερίσιν. οὐ γὰρ πράξεις μᾶλλον αὐτὸς ὁμολογήσαιμ' ἂν ταῦτ' εἶναι τοῦ δρῶντος, ἢ φοράν τινα ἄλογον (ὥς γε εἴρηται) τύχης, ἢ εὐγνωμονούσης, ἢ χοίνικας συμφορῶν οὐ μάλα εὐμενῶς ἀπεμπολεῖν αἱρουμένης καθ' ὧν ἐπείγεται δυσμενῶς. ὡς γοῦν ἀστεφάνωτον, ὃ μὴ κατὰ πρόθεσιν γνώμης εὐδοκιμεῖ, οὕτως ἀκατηγόρητον οἴομαι δεῖν, ὃ μὴ κατὰ προαίρεσιν ἀτυχεῖ. (I.) Δειχθέντος τοιγαροῦν, ὡς διὰ τὴν ἑκούσιόν τε καὶ ἀπὸ γνώμης ἐκείνην καρτερίαν, καὶ τὸ μὴ ἐθέλειν ἀμύνεσθαι τοὺς τότε λυποῦντας, οὐδὲ μέχρι χειλέων ἄκρων, νηνεμίαν αὐτῷ τῶν κινδύνων κατέστησεν ὁ δίκαιος ἄνωθεν ἀθλοθέτης ἐν τοσούτῳ χειμῶνι καὶ κλύδωνι τῶν κακῶν, δειχθήσεται πάντως πλατύτερον κατὰ χώραν ἡμῖν γενομένοις, τοῦ λόγου προβαίνοντος, καὶ ὅπως ἐν ὑστέροις συμπέπτωκε τούτῳ πάντα τἀναντιώτατα, τηρεῖν βουλομένοις τὸ τῆς ἱστορίας ἀληθὲς ταυτησὶ, καὶ πεῖσαι τοὺς ταύτῃ συνεσομένους τῷ χρόνῳ, καὶ κατ' ἐμπάθειαν ἡντιναοῦν μήτε τὰ ἐπαίνων καὶ θαύματος τοῦ ἀνδρὸς, μήθ' ὅσα τῆς ἐναντίας ἐβλάστησε ῥίζης, ἐξαίρειν τῷ λόγῳ νομίζειν ἡμᾶς τοῦ χρεὼν ὑψηλότερον· ἀλλ' αὐτὴν ὡς ἔτυχεν ἔχουσα τὴν ἀλήθειαν ἀφηγουμένοις πιστεύειν, καὶ μίαν τινὰ τὴν ὠφέλειαν ἑκατέρωθεν πάντας καρποῦσθαι, συνορῶντας εἰκός τε καὶ μάλα τοῖς σπέρμασιν ἁρμόττον κατόπιν ἰὸν τὸ γεώργιον· οἷς μὲν ἐξ ἀγαθῆς προαιρέσεως ὁρμᾶσθαι ἐνῆν, 2.647 ἀγαθόν· οἷς δ' ἐξ ἧς ἀντιβαίνει μοίρας τὰ χείρω καὶ μοχθηρῶς τὸ ἀδικοῦν ἀνθοπλίζεται πρὸς τὴν τῆς ἀληθείας εὐθύτητα, τούτοις δ' αὖ τοὐναντίον ἅπαν. ὅθεν δὴ καὶ ἐπανακτέον τὸν λόγον. (IA.) Ὁ γάρ τοι βασιλεὺς, τριάκοντά που μόνας ἡμέρας ὡμιληκὼς τῷ Κράλῃ μετά γε τὴν εἰς αὐτὸν κάθοδον, τελευτῶντος ἤδη τοῦ θέρους ἐκείνου, καὶ ἀρχομένου τοῦ φθινοπώρου, καὶ τῶν ἀμπέλων ἀκμαζουσῶν καὶ μονονουχὶ τοὺς τρυγητῆρας τρανῇ τῇ γλώττῃ προκαλουμένων, ἧκε μετά τε τῶν οἰκείων δυνάμεων, καὶ πρός γε μακρῷ πλειόνων τῶν ἐκ Σερβίας ὅπλων, ἐπὶ τὴν πόλιν Σεῤῥῶν, αἱρήσειν ἐλπίζων αὐτὴν ἀμαχητὶ, συλλαμβανόντων ἴσως ἔνδοθεν συχνῶν προδοτῶν, ὁπόσοι θερμότερον τούτῳ προσέκειντο, καὶ μάλα ῥᾳδίαν τὴν εἴσοδον κρύφα γράφοντες ἐπηγγέλλοντο. ἀλλὰ τοῦ θεοῦ κἀνταῦθα σαφῶς τοῖς τούτου βουλήμασιν ἀντιπράττοντος, ἄπρακτός τε ἦν ἡ σπουδὴ καὶ μάταιος ὄχλος ἡ πᾶσα παρασκευή. πρὶν γὰρ αὐτὸν περιστρατοπεδεύσαντα τῇ πόλει πολεμίους χεῖρας ἐπενεγκεῖν, νόσημά τι θανάσιμον ἐνσκήπτει τῷ στρατοπέδῳ τῶν Τριβαλλῶν· εἴτε τῆς τῶν σταφυλῶν ἀταμιεύτου καὶ ἀφειδοῦς βρώσεως, εἴτ' ἄλλης ἡγησαμένης αἰτίας, οὐκ οἶδ' ὁπότερον. πάσης οὖν ἀμηχανούσης καὶ χειρὸς καὶ γνώμης ἰατρικῆς πρὸς τὸ πάθος, συχνοὶ καθ' ἡμέραν ἑκάστην νεκροὶ κατωρύττοντο· καὶ ἐπειδὴ βραχυτάτων ἐντὸς ἡμερῶν ὑπὲρ τοὺς χιλίους ὁ θάνατος ἐξήνεγκε τοῦ βίου, καὶ πλείους ἐπὶ τούτοις ἐξάγειν ἠπείγετό τε καὶ ἐπηγγέλλετο, ἄραντες 2.648 τὴν ταχίστην ἐπανῆκον ἐκεῖθεν ἅπαντες, ἀπαγγέλλοντες τῷ Κράλῃ τὸ χωρὶς ἀνθρωπίνου πολέμου συμπεπτωκὸς δυστύχημα τῷ στρατῷ. δʹ. Τούτων δ' οὕτως ἐχόντων, ἐπειδὴ καὶ ὁ τοῦ φθινοπώρου καιρὸς ἑξῆς ἐτελεύτα, καὶ ῥᾴδιον οὔπω μανθάνειν τοῖς φίλοις ἦν, ὅπως ἔχει τὰ βασιλέως, ἐν ἀλλοτρίᾳ γῇ συνδιαιτωμένου βαρβάροις καὶ ξένοις ἤθεσι, δέδειχε μὲν δὴ πρῶτος Ἀμοὺρ ὁ Πέρσης, ὁ Λυδῶν ἀρχηγὸς, ὅσον ἐν τοῖς καρδίας θαλάμοις ἔθαλπε τὸν τοῦ βασιλέως ἔρωτα. χειμῶνος γὰρ ἤδη μεσοῦντος, καὶ θαλάσσης ὁμοῦ καὶ ἀέρος πολλὴν ἐχόντων τὴν ἀταξίαν καὶ σύγχυσιν, σὺν πολλῷ τῷ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

στρατῷ διαβὰς τὸν Ἑλλησποντίαν πορθμὸν ἐζήτει μάλα τὸν φίλον θερμῶς. καὶ ἐπειδὴ ῥᾴδιον οὐκ ἦν αὐτῷ μήτ' ὀφθαλμοῖς οἰκείοις ἐκεῖνον θεάσασθαι, μήτε μαθεῖν ἐν οἵαις τύχαις ἐκεῖνος τηνικαῦτ' ἦν· ἐκώλυε γὰρ τὸ πολὺ τοῦ ψύχους, καὶ ἅμα χιὼν τηνικαῦτα κατενεχθεῖσα κατὰ δαψιλὲς ἀπόρευτον ἐποίει καὶ ἄβατον τὴν ἐς ἐκεῖνον ὁδόν· ἐλθὼν ἡσυχῇ παρεστρατοπέδευσε περὶ τὰ τοῦ Διδυμοτείχου προάστεια, καὶ δουλικήν τινα πεπομφὼς ἐκεῖθεν Εἰρήνῃ τῇ βασιλίδι προσκύνησιν, αἴθριος διενυκτέρευέ τε καὶ διημέρευεν ἐγκαρτερῶν τῇ τῆς χειμερινῆς ὥρας ἐκείνης σκληρότητι, καὶ τὸν φίλον ἀπόντα ζητῶν, κἀκ μέσης ἀποκλαιόμενος τῆς ψυχῆς· καὶ πολλὰ πρὸς τῆς βασιλίδος καλούμενος εἰς ὄψιν ἐκείνῃ τὸ παράπαν ἐλθεῖν οὐκ ἠνείχετο. (Β.) "1Ποίοις γὰρ"2 ἔφασκεν "1ὄμμασι βλέψω δακρύων δακρύουσαν ἐπὶ τῷ βασιλεῖ, τοσοῦτον ἀποδημοῦντι χρόνον ἐν ἀλλοφύλων χερσὶ, καὶ ἥκιστα σαφῶς ἐγνωσμένῃ γῇ. αὐτός τε 2.649 γὰρ διαῤῥαγείην ἂν πρὸς τὰς παρούσας τύχας ἐκείνης ἰδὼν, καὶ τὰς περισχούσας τὴν βασιλικὴν οἰκίαν τραγῳδίας τε καὶ ἀδοκήτους φεῦ συμφοράς· καὶ ἅμα αὐτὴν, ἀντὶ τοῦ παραμυθήσασθαι, πρὸς μείζους ἀναφλέξω τοὺς θρήνους. οὐ θεωρίας οὖν ὁ παρὼν καιρὸς οὐδὲ λόγων, ἀλλὰ δακρύων μακρῶν. ἐμβριθὲς γὰρ τὸ πάθος, καὶ δριμείας μὲν κομίζειν δοκεῖ μοι τὰς φλεγμονὰς, δριμυτέρους δ' ἐπάγειν μου τῇ ψυχῇ τοὺς πρηστῆρας· ἐπεὶ τὸν ἐντυπωθέντα μου τῇ καρδίᾳ κάλλιστον φίλον βλέπειν οὐκ ἔχω, τοῖς βασιλικοῖς στρατοπέδοις περικυκλούμενόν τε καὶ ἐγκαλλωπιζόμενον."2 (Γ.) Καὶ οὐκ ἔλεγε μὲν ταῦτα τῇ γλώττῃ, οὐκ ἔπασχε δὲ τὴν ψυχήν. ἀλλὰ μακρῷ τινι μεῖζον τὸ πάθος ἔνδον αὐτοῦ τὴν ψυχὴν ἐπυρπόλει καὶ ἔκαιεν, ὡς ἐμφανέστερον πολλαχῇ προϊοῦσαν δείξειν τὴν ἱστορίαν αὐτὸς ἰσχυρίζομαι. οὕτως οὐ βάρβαρον ὁ βάρβαρος εἶχε τὸν τρόπον, ἀλλ' ἥμερον καὶ παιδείας Ἑλληνικῆς τὸ παράπαν ἐχόμενον. ἡ γὰρ ὁμοιότης τῶν τρόπων, εἰ μή τι πλέον, ἀλλ' οὖν Ὀρέσταις ὁμοῦ καὶ Πυλάδαις σαφῶς εἰσποιεῖ· οἱ μὲν γὰρ ὁμόφυλοι, κἀξ αἱμάτων συγγενικῶν, καὶ νόμων καὶ μαθημάτων μετεσχηκότες ὁμοῦ τῶν αὐτῶν· ὁ δὲ βάρβαρον ἔχων τὴν γένεσιν, καὶ βαρβάροις ἤθεσί τε καὶ νόμοις συντεθραμμένος, καὶ ἀλλοφύλῳ χρώμενος φωνῇ καὶ γλώττῃ καὶ διαίτῃ, καὶ πολλαῖς μὲν θαλάσσαις, πολλοῖς δ' ὄρεσί τε καὶ φάραγξι Καντακουζηνοῦ διϊστάμενος, ἄμικτον εἶχε πάντη τὸν βίον αὐτῷ καὶ ἀγνῶτα καὶ ἀλλόφυλον· φαίην δ' ἂν καὶ ἐν 2.650 ἐχθρῶν τεταγμένον μοίρᾳ· ὡς μακροῖς τισι διὰ ταῦτα τοῖς μέτροις τουτονὶ παρελαύνειν ἐκείνους εἰς λόγον φιλίας, καὶ πολὺ τὸ ὑπερβάλλον τῆς θέρμης τὴν τούτου μᾶλλον κεκτῆσθαι σχέσιν, ἢ τὴν ἐκείνων. (Δ.) Εἰ δέ τις Καντακουζηνῷ χαριζόμενος τὸ πᾶν τῆς βελτίονος αἰτίας τουτωῒ φέρων ἀνατιθείη, ἀδικήσειεν ἂν ἐς τὸ προφανὲς τὴν ἀλήθειαν. ἀμφοτέροις γὰρ εἴ τις τουτὶ παρέχοιτο τἀγαθὸν, οὐδένα ἂν σχοίη, ὅστις καὶ μέμφεσθαι βούλοιτο. εἴ τις δ' ἐκείνου καθάπαξ τοῦτ' ἀφαιροίη τἀγαθὸν, ὅτι βάρβαρον ἔσχε τὸ γένος καὶ ἥκιστα συγγενὲς, οὐδένα ἂν οἶμαι σχοίη τῶν πάντων, ὅστις οὐκ ἐπιεικῶς μέμψαιτο. τὴν γὰρ τῆς ψυχῆς ὁμόνοιάν τε καὶ συγγένειαν οὐχὶ τὸ γένος, ἀλλ' ἡ τῆς γνώμης δείκνυσι ταυτότης. ὡς γὰρ ἐν τοῖς μουσικοῖς ὀργάνοις, ὅσα ἐν αὐλοῖς καὶ λύραις καὶ κιθάραις καὶ τυμπάνοις, οὐχ ἡ τῶν τόπων ἐγγύτης τὴν τῆς ἁρμονίας δημιουργεῖ συμφωνίαν, ἀλλ' ἡ τῆς φωνῆς ἐμμελὴς ὁμοιότης, κἂν ἀλλήλων πόῤῥω που τὴν τοπικὴν τύχωσιν ἔχοντα θέσιν τὰ τῆς φωνῆς τελεσιουργὰ, οὕτω δὴ τὸ παραπλήσιον δείκνυται κἀν ταῖς τῶν ἀνθρώπων ψυχαῖς, κἂν ἀλλοφύλους ἔχοντες τύχωσι τὰς τοῦ γένους κρηπῖδας, κἂν μυρίοις ὅροις γῆς καὶ θαλάττης ἀλλήλων ἀπέχωνται. (Ε.) Βεβαιότερα δ' ἔσται τοῖς εἰρημένοις ἐχέγγυα, ὁπόσα προϊόντι τῷ λόγῳ λελέξεται περὶ τοῦ βαρβάρου τοῦδε τὸ γένος καὶ οὐ τὸν τρόπον ἀνδρός· οἷον δὴ κἀκεῖνο. πλεῖστα γὰρ τῆς βασιλίδος Εἰρήνης ἐκ Διδυμοτείχου πεμπούσης, ὁπόσα εἰς τροφὴν ἐπιτήδεια, καὶ ὅσα ἐν ἐνδύμασι, καὶ ὅσα νυκτερινῆς σκέπης ἀποπληροῦντα χρείαν τὴν τοῦ χειμερίου ψύχους ἀποσοβεῖν ἐδύναντο τηνικαῦτα 2.651 δριμύτητα, οὐδὲν οὐδαμῆ προσεδέξατο· ἀλλ' ἔφησεν εἶναι σαφῶς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τῶν ἀτοπωτάτων, ἐν ἀλλοτρίᾳ καὶ ὑπερορίῳ γῇ σκληρότητι πλείστῃ προστετηκότος τοῦ φίλου, διάγειν ἐν εὐπαθείαις αὐτόν. καὶ εἰ μὲν ἐνῆν αἵμασι ψυχῆς βάψαντα σκηνὴν ἐν ταύτῃ με σκηνοβατεῖν, ἦν ἄν μοι τοῦτο παραμύθιον εὐγενὲς πρὸς ἔνδειξιν τῆς ἐν καρδίᾳ φλογὸς καὶ τοῦ πρὸς τὸν φίλον ζῶντος πόθου. ἐπεὶ δ' ἀσώματος ἡ ψυχὴ γενομένη κηλῖσιν αἱμάτων οὐκ ἀναπέφυρται, οὐχ ὁρῶ τίς μηχανὴ βελτίων γένοιτ' ἂν ἐμοὶ τῶν περισχουσῶν με νῦν ὀδυνῶν ἀπαλλάττουσα. (΄.) Ἐλύπει γὰρ καὶ κομιδῇ συνετάραττε μὴ μόνον τὸ τοῦ βασιλέως πάθος αὐτὸν, ἀλλ' οὐχ ἧττον καὶ τὰ τῆς βασιλίδος δάκρυα, κατὰ τὰς πολυπενθεῖς τρυγόνας θρηνούσης τε καὶ ἀνιωμένης μάλα πικρῶς περὶ τοῦ συζύγου καὶ βασιλέως, καὶ σφόδρα ἀδημονούσης, καὶ ἅμα πανταχόθεν ἐς βύθους ὠθουμένης μακροὺς, τοῦ καθάπαξ καὶ αὐτό γε τὸ ζῆν ἀπογνῶναι. οἵ τε γὰρ ἐκ Βυζαντίου πολέμιοι, μέχρι προαυλίων Διδυμοτείχου συχνὰς τὰς ἐφόδους ποιούμενοι, μικροῦ καὶ τειχήρεις ἐβιάζοντο τούτους καθῆσθαι· ὅ,τε λιμὸς μετὰ τῶν συνεχῶν καὶ πολυπλόκων ἐπιβουλῶν χαλεπώτερος πολλῷ τῶν ἔξωθεν πολέμιος ἦν, ἅτε συνέστιος καὶ ὁμόστεγος ὑπάρχων αὐτός· οἵ τε φρουροὶ καὶ ἡμεροσκόποι τῶν Βυζαντίων, τὰ ἔνεδρά τε πάντα καὶ τὰς παρόδους διαλαχόντες, ἐμποδὼν ἐγίγνοντο μάλα γε ἐθελούσῃ δι' ὁτωνδήποτε λάθρα μανθάνειν περὶ τοῦ βασιλέως. (Ζ.) Παρεμυθεῖτο τοίνυν τοιαύτης τύχης τρα 2.652 γῳδίαις συνοῦσαν αὐτὴν, καὶ ὑπισχνεῖτο πάσῃ ψυχῆς προθυμίᾳ τὰ κατὰ γνώμην ἅπανθ' ὑπηρετεῖσθαι, κἂν δέῃ καὶ θάνατον ὑπομένειν αὐτόν. ἐπεὶ δ' ἡ φορὰ τοῦ χειμῶνος ἐκείνου νύκτωρ καὶ μεθ' ἡμέραν ἀεὶ πρὸς τὸ ἀκμαιότερον προὔκοπτε, καὶ ἀνέλπιστον τέως ἐτίθει τὸ τοῦ ἀέρος μειδίαμα, καὶ ἅμα πολλὴ καὶ συνεχής τις ἐπενέμετο φθορὰ τὸν Περσικὸν στρατὸν, ἣν ἡ τοῦ χειμῶνος ἔτικτεν ἀκμὴ καὶ πρός γε τῶν ἀναγκαίων ἡ ἀπορία, καὶ μήθ' ἑαυτῷ μήτε τοῖς φίλοις ἕν γε τῷ παρόντι βοηθεῖν αὐτῷ ῥᾴδιον ἦν, ἐμποδὼν ἱσταμένου τρόποις ἀπορρήτοις τοῦ θείου βουλήματος, οἴκαδε τὸν Ἑλλήσποντον διαβὰς ἐπανήει. (Η.) Τῆς δὴ τοιαύτης τοῦ Πέρσου σπουδῆς εἰς τοῦτο τέλους ἐληλυθυίας, δεύτερος ὁ τὰ πολέμια κράτιστος, καὶ τῶν ἐν Διδυμοτείχῳ καταλειφθέντων στρατηγῶν (ὡς εἰρήκειμεν) εἷς, Μανουὴλ ὁ Ταρχανειώτης, ὃς δὴ καθ' αἷμα προσήκων τῷ βασιλεῖ καὶ ἡρωϊκός τις ἦν ὁ ἀνὴρ, καὶ τὰ πάντα γενναῖος, καὶ χεῖρα καὶ γνώμην καὶ σώματος ἀναδρομὴν, καὶ πολλαῖς μὲν ἐναθλήσας μάχαις πολεμικαῖς, πολλαῖς δ' ἐγκαρτερήσας πληγαῖς, κράτιστος γέγονε τὰ ἐς πεῖραν πολεμικήν· δι' ἃ δὴ καὶ στρατηγὸς τῶν ἐν Διδυμοτείχῳ δυνάμεων πρὸς τοῦ βασιλέως καταλειφθεὶς ψυχή τις ἦν τοῖς ἐκεῖ τηνικαῦτα καὶ χρηστῶν ἐλπίδων θησαυρός· οὗτος οὖν μόνος θαῤῥήσας τέως ἐπὶ ζήτησιν ἐξῄει τοῦ βασιλέως, πεμφθεὶς ἐκ Διδυμοτείχου πρὸς τῆς βασιλίδος Εἰρήνης· οὐ γὰρ ἦν ἠρεμεῖν ἀγνοοῦσιν ὅποι τὸ τῆς βασιλείου τύχης τε καὶ συμφορᾶς εἰπεῖν τραγῳδικῆς ἐκεχωρήκει πρᾶγμα· δι' ὃν πολλούς τε 2.653 ἀνηντλήκασι μόχθους καὶ βίας καὶ ἔτ' ἀντλεῖν ἔμελλον. διὰ δὴ δέος οὗτος τὴν εὐθεῖαν καταλιπὼν ἐπὶ τὰ εὐώνυμα ἀνοδίαις τε διετέλεσε χρώμενος καὶ πρὸς χωρία παραβαλλόμενος ὑψηλὰ καὶ δυσπόρευτα, ἕως ὑπερβαλὼν τὸ ὄρος τὸν Αἷμον ἔλαθεν εἰς τὴν Τριβαλλῶν ἐκπεπτωκὼς γῆν ἀθῷος κακῶν. ἔνθα τὸν βασιλέα ζητήσας τε καὶ εὑρὼν, καὶ ὅσα εἰκὸς ὡμιληκὼς, τάχιστα ἐπανῆκεν εἰς Διδυμότειχον, ἀγγελίας κομίζων τοῖς τε ἄλλοις καὶ μάλιστα πάντων Εἰρήνῃ τῇ βασιλίδι σφόδρα ἀληθεῖς καὶ ἀκαπηλεύτους, καὶ δόξας ὥσπερ ὑφ' ἡλίῳ μάλα καομένοις ζέφυρός τις ἀναψύξεως. καὶ ταῦτα μὲν τοῦτον ἔσχε τὸν τρόπον. ε΄. Ἦρος δ' ἀρχομένου τὰς δυνάμεις αὖθις ἀναλαβὼν ὁ βασιλεὺς ἦγεν ἐπὶ τὴν πόλιν Σεῤῥῶν, καὶ ὅσα πέριξ εἰσὶ φρούρια καὶ πυργώματα μέχρι Φιλίππων. κἀπειδὴ πεῖραν προσάγων ἐν τοῖς ὁμοίοις ἦν ἀτυχήμασιν, ἐμποδὼν ὡς ἔοικεν ἱσταμένου τοῦ θείου βουλήματος, ἔδοξεν αὐτῷ διαβαίνειν εἰ δύναιτο μέχρι καὶ ἐς Διδυμότειχον, τοὺς μάλα ποθοῦντας ὀψόμενός τε καὶ ὀφθησόμενος. ἐπεὶ δὲ τοῖς περὶ αὐτὸν ἐπικούροις τε καὶ συμμάχοις Τριβαλλοῖς, ἀκηκοόσι πολλὴν εἶναι τὴν ἐφεδρεύουσαν τῶν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐναντίων δύναμιν περὶ τὰ πρόσω στενὰ τῆς Χριστουπόλεως, ἀνθίστασθαι συνέβαινε πρὸς τὸ δόγμα διὰ δειλίαν καὶ δέος, καὶ ἄλλως βλακικωτέροις οὖσι καὶ τὰς ὑπερορίους οὐ σφόδρα ἀγαπῶσιν ἐκστρατείας, ὀπίσω ἀπήλλαττεν αὖθις ἐς τὰς τῶν Τριβαλλῶν νομὰς καὶ αὐτὸς, ἄκων τε καὶ μάλα πλείστους ἐπαγόμενος κατὰ καρδίας τοὺς τῆς λύπης ἄνθρακας, διὰ τὸ μὴ κατὰ 2.654 γνώμην δήπουθεν αὐτῷ τὰ πράγματα ἀπαντᾷν. πεποίηται μέντοι τὴν ἀναχώρησιν μέχρι καὶ ἐς πόλιν τὴν Στρουμμίτζαν, καὶ ὅσα ἐπέκεινα χωρία ἦν ἀναπεπταμένα τε καὶ ἱππήλατα· ἔνθα δὴ καὶ τὸν Κράλην Σερβίας τὰς ἐπαύλεις ποιεῖσθαι τέως συνέβαινεν. (Β.) Εἷς δ' ἦν ἤδη τῶν αὐτῷ ἑπομένων καὶ ὁ Ἀσὰν Ἰωάννης. ὃ γὰρ πρὸ βραχέος ἐπιτροπεύων ἦν Μελενίκου φρούριον, ἐντολαῖς νῦν βασιλικαῖς τῷ Χρέλῃ παραδεδωκὼς πρὸς βασιλέα ἀφίκετο, καὶ διετέλει συνὼν αὐτῷ, συσκηνοῦντι τέως τῷ τῶν Τριβαλλῶν ἡγεμόνι. (Γ.) Ἔτυχε δ' ἀφιγμένη τηνικαῦτα κἀκ πόλεως Βεῤῥοίας πρεσβεία τῷ Κράλῃ, λόγους περὶ ὧν ἀπῄτει κομίζουσα καὶ ζητοῦσα μαθεῖν ἀκριβῶς, ἃ κατὰ γνώμην ἐστίν. ἀπῄτει δ' ὑπήκοον τὴν πόλιν τούτῳ γενέσθαι καὶ ὑποχείριον, τῇ ἀκροπόλει φρουρὰν Τριβαλλῶν ἐμβαλόντι, πρὶν ἂν ἀκουσίων αὐτῶν πολέμου νόμοις ἐξανδραποδίσηταί τε καὶ διαρπάσῃ καὶ πόλιν καὶ οἰκίας ἅμα καὶ γυναιξὶ καὶ τέκνοις. τοῖς μέντοι πρεσβεύουσι καταπλαγεῖσι πρὸς τὴν τῶν λεγομένων ἐμβρίθειαν καὶ ἀποτομίαν ἔδοξε βέλτιον λάθρα κοινολογήσασθαι τῷ βασιλεῖ Καντακουζηνῷ, καὶ δοῦναι λαμπρὰς τὰς ἐγγύας, εἰ βούλοιτο τὴν ταχίστην λαθὼν παρεισελθεῖν καὶ λαβεῖν ἀπονητὶ τὴν πόλιν αὐτός. εἶναι γὰρ μανιώδους ψυχῆς καὶ γνώμης, αἱρεῖσθαι πρὸ τοῦ ἡμέρου τὸ βάρβαρον, καὶ προτιμᾷν τῆς ὁμοφύλου τὴν ἀλλόφυλόν τε καὶ νόθον ἡγεμονίαν. τούτων οὕτω συσκευασθέντων καὶ κυρωθέντων πρὶν αἰσθέσθαι τοὺς Τριβαλλοὺς, λόγοις ἀπατηλοῖς τισι μετεωρίσαντες τὴν τοῦ Κράλη διάνοιαν οἱ ἐκ Βεῤῥοίας πρέσβεις ἐπ' οἴκου ἀνεχώρησαν, ἀπαγγέλλοντες τοῖς ἐν Βεῤ 2.655 ῥοίᾳ τήν τε τῶν τοῦ Κράλη λόγων βαρύτητα καὶ ἃς ἀναγκασθέντες αὐτοὶ συνθήκας αὐτοκρατορικὰς πεποίηνται πρὸς βασιλέα, τοῦ καιροῦ σχεδιάσαντος τὴν τοιαύτην παραχρῆμα ἐπίνοιαν. (Δ.) Βραχεῖαι μετὰ τοῦτο παρῳχήκεσαν ἡμέραι, καὶ τὰς οἰκείας ὁ βασιλεὺς δυνάμεις ἀναλαβὼν ἐπὶ κυνηγέσια δῆθεν ἐξῄει, καὶ περιπάτους ἀνέσεώς τινος καὶ ῥᾳστώνης βασιλικῆς. καὶ μὲν δὴ οὔπω τρεῖς ἐκεῖθεν ἡμέραι παρῆλθον, καὶ τὴν πορείαν ἐπιταχύνας σφόδρα ἀταλαίπωρον εὗρε τὴν εἰς Βέῤῥοιαν εἴσοδον, σὺν πάνυ πολλῇ τῇ προθυμίᾳ καὶ ἡδονῇ καὶ ὑπτίαις τὸ δὴ λεγόμενον ὑποδεξαμένων τῶν Βεῤῥοιέων χερσί. τοῦτο γὰρ ἓν πρᾶγμα ὂν ἀμφοτέροις ὠφελείας μακρᾶς καὶ γαλήνης ἅμα γέγονεν αἴτιον, ἀπαλλαγεῖσι τῶν τοῦ Κράλη χειρῶν ἐν ταὐτῷ. θεοῦ δ' ἦν πάντως τὸ χρῆμα, τοῦ τὰ δυσχερῆ ποιοῦντος ῥᾴδια, καὶ τοὐναντίον αὖ ὁπότε βούλοιτο, καὶ οἷστισιν ἐθέλοι τρόποις. (Ε.) Ἐπεὶ γὰρ τεθέαταί τε καὶ ἔγνω σαφῶς τὸν βασιλέα περιφρονούμενόν τε καὶ ὑβριζόμενον ὑφ' ὧν ἐν ἐλπίσιν ἔκειτο δοχῆς καὶ στοργῆς ἀξιοῦσθαι, μετέθετό τε τὴν γνώμην εὐθὺς καὶ αὐτὸς καὶ δρασμὸν ἐκ τῆς μνήμης γίνεσθαι ἑκών γε εἶναι ἐδίδου τῶν τε μελετηθέντων καὶ κυρωθέντων ἐν τῷ ἀφανεῖ τῆς οἰκείας καρδίας βουλευτηρίῳ τοῦ ἐπιόντος χρόνου πρὸς ἀμοιβὴν δι' αὐτὸν ἀγαθῶν· καὶ πρὸς ἐπιβουλὰς τέως ἀπησχόλει τὸν νοῦν, καὶ ὅλος πρὸς Βυζαντίους ἦν ὑποῤῥέων, καὶ πρὸς τὰς ἐκεῖθεν ἠρέμα καθελκόμενος ὑποσχέσεις. (΄.) Ἀλλ' ὥσπερ πανταχοῦ τὰ τῆς ἀνθρωπίνης μελέτης ἡττώμενα κεῖται τοῦ θείου βουλήματος, οὕτως ἐπικρατέστερα κἀνταῦθα νῦν 2.656 ἐγεγόνει, ἃ μηδ' ὅλως οὐδαμῇ προσεδοκᾶτο τοῖς κινδυνεύουσι, μηδ' ἐπὶ καρδίαν ἀνέβη θνητήν. τῷ μὲν γὰρ βασιλεῖ ἥδιστόν τι καὶ ἐλευθέριον ἀναπεπνευκέναι ἐπῆλθεν ὀψὲ, καὶ τῶν κατ' αὐτὸν πραγμάτων ἀρχὴν νομίσαι τουτὶ καὶ κατάστασιν πρώτην· τῷ δὲ τῶν Τριβαλλῶν ἀρχηγῷ δι' ὀργῆς ποιεῖσθαι τὸ συμβὰν, καὶ μεταμέλῳ μακρῷ τὴν ψυχὴν κατατήκειν, ὅτ' ἐν χεροῖν ἔχων μεθῆκεν ὑπ' ἀβουλίας τὸν μακρῶν θησαυρῶν γενησόμενον αἴτιον, κατά τε πλοῦτον ἀρχῆς ὁμοῦ καὶ χρημάτων καὶ ἀφοβίας τῶν ἐφεξῆς


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

δαψίλειαν. (Ζ.) Ἐβούλετο μὲν οὖν πόλεμον ἄρασθαι κατ' αὐτοῦ, καὶ μάχης ἄρξαι περιφανοῦς. δεδιὼς δ' αὖ, μὴ πρὸς ἀθέτησιν πρῶτος χωρήσας αὐτὸς τῶν ὀμωμοσμένων ἀντιπράττοντι προφανῶς ἐντύχῃ τῷ θείῳ, κἀντεῦθεν ἥττης ἀγώνισμα γένηται μέγα καὶ ἅμα τῆς ἐξ ἀνθρώπων χλεύης κληροῦχος εὐθὺς, ἐπέσχεν ἕς γε τὸ παρὸν, σιγῶσι λογισμοῖς δαπανῶν τὴν ψυχήν. ἔφθη γὰρ ἑκατέρων μεταξὺ δι' ὅρκων βεβαιωθεῖσα συμφωνία, μηδέτερον μηδετέρῳ ποτὲ γίνεσθαι κώλυμα πρὸς εὐτυχίαν ἡντιναοῦν ἀπαλλαγεῖσιν ἀλλήλων, ἀλλ' ἐμμένειν τοῖς ἀσύλοις ὅροις ἀεὶ τῆς φιλίας, καὶ συγχωρεῖν ταῖς τῶν Βυζαντίων ὑπηκόοις πόλεσιν, ὅτῳ βούλοιντο προσχωρεῖν ὁπώσποτε, νῦν μὲν καθ' ὁμολογίαν, νῦν δ' ἐκ πολιορκίας ἑκατέρων ἄλλη ἄλλῳ, ἐμποδὼν οὐδενὸς οὐδενὶ καθεστῶτι. ταύτῃ τοι καὶ διὰ μυχῶν ἔκρυψε σιωπῆς τὸ συμβὰν οὐ μάλα ἐθέλων. ΄. Ἐν δὴ τούτοις ἧκεν ἐκ Θετταλίας καὶ ὁ τοῦ βασιλέως 2.657 πρωτεξάδελφος, ἱππέας ἐπαγόμενος Θετταλῶν τοὺς ἀρίστους, Ἰωάννης ὁ Ἄγγελος, συνησθησόμενός τε τῷ γεγονότι τοῦ εὐτυχήματος καὶ εἴ τις εἴη χρείας ἔφεσις ἐπικουρήσων τὰ κράτιστα. ἀξιόμαχον γὰρ ἤδη καὶ αὐτὸς ἐκτήσατο δύναμιν, ἀφ' οὗ τῷ τοῦ βασιλέως ἐπέμφθη δόγματι πρὸς τὴν τοιαύτην ἀρχὴν, ἔτι τῷ Κράλῃ συνόντος ἐν ὅροις τῶν Τριβαλλῶν, ὡς ἀνωτέρω που διελάβομεν. (Β.) Τάχιστα γὰρ ἀπιὼν ἐκεῖσε πρὸς αὔξην ἤγαγε τὰ Θετταλῶν πράγματα, διεῤῥωγότα καὶ κάμνοντα δι' ἀλλήλων ταῖς ἀναρχίαις οὐχ ἧττον, ἢ τοῖς ἐκ πολλοῦ κατασχοῦσιν αὐτὰ Κατελάνοις. εἰς γὰρ τρυφὴν καὶ πότον ἤδη τῶν ἀπογόνων ἐκκυλισθέντων, μάλα ἀσθενῶς ἔσχε τὰ κατ' αὐτοὺς, ὡς μηδ' ἀντιπάλους ἔτ' εἶναι δύνασθαι, μὴ ὅτι μεγάλαις δυνάμεσιν, ἀλλ' οὐδὲ τοῖς παρασπωμένοις ἠρέμα καὶ διεῤῥηγνυμένοις οἴκοθεν μέρεσι. (Γ.) Τοιούτοις τοίνυν ὁ Ἄγγελος συμβεβηκὼς πράγμασιν, ἀνὴρ δεινὸς τὰ πολέμια, τά τε πλεῖστα τῆς Θετταλίας οἰκείαν ἔσχεν ἀρχὴν καὶ ἅμα παρεξιὼν Αἰτωλούς τε ὑπηγάγετο καὶ Λοκροὺς τοὺς Ὀζόλας. εἷλε δ' ὁμοῦ καὶ Ἀκαρνανίαν ἅπασαν τοῦχρόνου χωροῦντος, ὑποχείριον πρότερον σχὼν καὶ τὴν ταύτης ἡγεμονίδα Ἄνναν, τὴν τοῦ πρὸ ἐτῶν ἤδη συχνῶν τεθνηκότος κόντου Κεφαλληνίας σύζυγον, ὡς ἀνωτέρω καὶ περὶ τούτου διαλαβόντες εἰρήκειμεν. ἣν ἀνελεῖν εὐθὺς παρώξυνον ἔνιοι· μηδὲ γὰρ ἠρεμήσειν αὐτῆς τὸ φίλαρχον, διὰ μακρῶν ἤδη τῶν χρόνων ἐν τῇ ψυχῇ στηριχθέν· ἀλλ' ὥσπερ ἄνθρακες ἀχύροις τισὶν ἐμφωλεύον 2.658 τες ἀγνοοῦνται λάθρα τὴν ὕλην ἐσθίοντες, μέχρις ἂν εἰς ὕψος ἀναῤῥιπίσωσι τὸ μεμηνὸς τῆς φλογός· οὕτω δὴ καὶ αὐτὴν ἐφεδρεύσειν ἐς ἀεὶ ταῖς τῆς ἐξουσίας ἐλπίσι, μέχρις ἂν συνεξεταζομένη τοῖς ζῶσιν ἕτερον ὁρᾷ περιεζωσμένον τὰ σκῆπτρα τῆς ἀρχῆς. αὐτὸς δὲ τούτων ἁπάντων τὸ τῆς συγγενείας προτιμήσας ἀνομοθέτητον δίκαιον τοῦ μὲν ἀναιροῦντος ἐφείσατο ξίφους· ἐν ἀδέσμῳ δ' οὖν προσέταξε τηρεῖσθαι ταύτην φρουρᾷ· ἵνα μὴ παραπλήσιον αὖθίς τι δράσῃ, καθάπερ ὅτε πρὸς Ἀνδρονίκου τοῦ βασιλέως ἐν Θεσσαλονίκῃ μετενεχθεῖσα χρόνῳ ὕστερον ᾤχετο λάθρα φυγοῦσα εἰς τὴν τῶν Ἀκαρνάνων αὖθις ἀρχήν. ἀλλὰ ταῦτα μὲν ἐν τοῖς ἑξῆς διαρκέστερον ἀφηγησόμεθα. νῦν δ' ἐκεῖσε ἐπάνειμι. ζ΄. Ἀναλαβὼν γὰρ ὁ βασιλεὺς τὰς ἑαυτοῦ δυνάμεις, καὶ ἅμα τοὺς ἐκ Βεῤῥοίας ἐστρατολογημένους, ᾔει πρὸς τὰς τῶν Θεσσαλονικέων ἐπαγγελίας. κρύφα γὰρ ἐκεῖθεν ἔνιοι τούτῳ διεμηνύσαντο, εἰ θᾶττον ἢ τῶν οὕτω βεβουλευμένων αἰσθέσθαι τὸν δῆμον ἴοι ἐπὶ τὰ τείχη, ῥᾳδίαν εὑρεῖν δι' αὐτῶν τὴν ἐς τὴν πόλιν πάροδον. ἰών γε μὴν ἔγνω τὴν ἐπιβουλὴν ῥυεῖσαν ἐς τὰς τοῦ δήμου φατρίας καὶ πρὸς θυμοὺς ὁπλομάχους ἀναφλέξασαν ἅπαντας κατά τε τῶν ἐπιβούλων καὶ αὐτοῦ. διὸ δὴ καὶ ἀπρακτούσας ἀνειληφὼς τὰς ἐντεῦθεν ἐλπίδας ἐπὶ Βέῤῥοιαν εὐθὺς ἀναχωρεῖν ἐποιεῖτο διὰ σπουδῆς. (Β.) Ἐπὶ τούτοις γὰρ καὶ ὁ Βυζάντιος κατέπλευσε στόλος ἐς τὸ τῶν Θεσσαλονικέων ἐπίνειον, ναύαρχον ἔχων Ἀλέξιον τὸν Ἀπόκαυκον καὶ ναυτικὴν 2.659 δύναμιν μάλα πολλήν. ἦσαν γὰρ Ῥωμαϊκαὶ μὲν νῆες πλείους ἢ πεντήκοντα· Περσικαὶ δὲ, κατὰ συμμαχίαν ἑπόμεναι, δύο καὶ εἴκοσι. τὰ γοῦν κατὰ Θεσσαλονίκην



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

πράγματα διαθέμενος αὐθήμερον ὁ Ἀπόκαυκος ὡς ἐβούλετο, καὶ ἅμα καθοπλίσας καὶ παρασκευασάμενος ἐς τὴν ὑστεραίαν ἥν τε εὗρεν ἐν Θεσσαλονίκῃ δύναμιν στρατιωτικὴν καὶ ἣν ἐπαγόμενος ἧκεν αὐτὸς ὁμόφυλόν τε καὶ ἀλλόφυλον ναυτικὴν, τὴν διὰ γῆς ἐπὶ Βέῤῥοιαν ἐπιταχύνειν ἐνεθυμήθη πορείαν, εἴ πως δυνηθείη καταλαβεῖν περὶ τὴν τοῦ μεταξὺ Βεῤῥοίας καὶ Θεσσαλονίκης ῥέοντος ποταμοῦ διάβασιν τὸν τοῦ βασιλέως στρατόν. ἐνταῦθα γὰρ ἀνύσειν ᾤετο μάλιστα τόλμης ἀγώνισμα καὶ τρόπαιον ἔνοπλον, κατακερματισθέντων ἴσως τῶν πολεμίων, καὶ τῶν μὲν διαβάντων ἤδη, τῶν δ' ἔτι διαβαινόντων, τῶν δὲ παρὰ τὸ χεῖλος τῆς διαβάσεως ἑστηκότων. (Γ.) Τῷ γε μὴν βασιλεῖ κατεσπουδασμένην ποιουμένῳ τὴν ἀναχώρησιν οὐδὲ τὴν πρόσω πορείαν ἄμοχθόν τε καὶ ἀταλαίπωρον εὑρεῖν ἐξεγένετο. τοῦ γάρ τοι ποταμοῦ ἥκισθ' ὅποι βουλομένοις εἴη τοῖς ἀεὶ διαβαίνειν ἐθέλουσι προσηνὲς πανταχῇ καὶ βάσιμον παρεχομένου τὸ ῥεῖθρον, ἀλλ' ἐν βραχέσι τόποις, καὶ τούτοις οὐκ ἐς προὖπτον κειμένοις ὅτῳ ἂν εἴη βουλομένῳ παντὶ διαβαίνειν, ἀλλ' ἀγνώστοις ὡς τὰ πολλὰ καὶ πολλὴν ἐπίκρυψιν ἔχουσιν, οὐ μόνον ἐν χειμῶνός τε καὶ ἦρος ὥραις, ὁπηνίκα δαψιλέστερον ἔχει τὸ κράτος ἡ τῶν ὑδάτων φύσις, βαπτίζουσά τε καὶ κατακλύζουσα τὰ εἰθισμένα μέρη τῆς γῆς, ἀλλὰ καὶ θέρει τε καὶ φθινοπώρῳ, ἐνέδραν ἐποιήσαντο παρὰ τὰς ἐπὶ θάτερα τοῦ ποταμοῦ δισχίλιοί που τὸν ἀριθμὸν ὁπλῖται τῶν Τριβαλλῶν, ἔνθα 2.660 μάλιστα διαβαίνειν ἐπίδοξος ἦν ὁ βασιλεὺς κατὰ τὴν ἐπάνοδον ὁμοῦ τῷ στρατῷ, ὡς ἂν ἐξαίφνης ἀγνοοῦσι περὶ τὴν διάβασιν ἐπεισπεσόντες περιβόητον στήσωσι τρόπαιον ἐν βραχεῖ. τούτους γε μὴν οἱ πρόδρομοι τῶν στρατιωτῶν τοῦ βασιλέως πόῤῥωθεν θεασάμενοι αὐτοί τε ἀπεγνώκεσαν καὶ μακρὰν τὴν δειλίαν ταῖς βασιλικαῖς δυνάμεσιν ἐμβεβλήκεσαν. (Δ.) Καὶ τάχ' ἂν ἐν ἐκείνῳ τῆς ὥρας ἐφθείροντο, μεταξὺ δυοῖν στρατῶν πολεμίων ὡς ἐν δικτύῳ συνειλημμένοι, καὶ ἅμα τοῦ ποταμοῦ τὴν στρατοπεδείαν καὶ τὴν ὀφειλομένην παράταξιν κωλύοντος, εἰ μὴ θεὸς ἐκ τοῦ σχεδὸν ἀπροσδόκητον ἐχαρίσατο τὴν ἐπίκουρον χεῖρα· ὃς τὰ μὲν προσδοκώμενα πολλάκις ἄπρακτα τίθησι, τοῖς δὲ μηδαμῇ προσδοκηθεῖσι δεξιὰν χαρίζεται τὴν λῆξιν. Ἀπόκαυκος μὲν γὰρ δειλίᾳ μακρᾷ τὴν ὁρμὴν ἀνεχαίτισεν ἑαυτοῦ· ἀνὴρ δέ τις τῶν ἐγχωρίων, ἄρτι τὴν Τριβαλλῶν διαδρὰς προνομὴν, ἧκεν αὐτόμολος τηνικαῦτα τῷ βασιλεῖ, δείξειν ἐπαγγελλόμενος ἑτέραν τῆς ἐγνωσμένης διάβασιν, εἰ δαψιλεστέρους τοὺς μισθοὺς ἀπολάβοι. ἐπὶ δὴ τοιούτοις τῷ βασιλεῖ τῆς διαβάσεως γενομένης, ἐκπλαγέντες ἐκεῖθεν οἱ Τριβαλλοὶ τὸ τοῦ πράγματος παράδοξον ᾤχοντο τὴν ταχίστην ἀνὰ τὴν χώραν ἄλλος ἄλλοθι διασκεδασθέντες. η΄. Οὕτω δὲ κακῶν ἀπαθῆ πρὸς Βέῤῥοιαν διασεσῶσθαι τὸν βασιλέα Ἀπόκαυκος ἀκηκοὼς ὁμοῦ τῷ στρατῷ οὐκ ἐνέβαλεν (ὡς ἔφημεν) εὐθὺς εἰς τὴν πολεμίαν, ἀλλ' ὑφῆκε τῆς ὁρμῆς. ἐκ γὰρ τοῦ φανεροῦ πολεμεῖν καὶ συστάδην ποιεῖσθαι τὰς μάχας πρὸς 2.661 μάχιμον στρατὸν οὐ μάλα ἐθάῤῥει, πλῆθος μὲν ἔχων μυρίον αὐτὸς, ἀπὸ κώπης δ' ἐς γῆν ὀψὲ μετενηνεγμένον τὸ πλεῖστον. ὅθεν ἀπεσταλκὼς πρὸς τὸν Κράλην πρεσβείαν, ἠρεθισμένον ἤδη καὶ αὐτὸν (ὡς δεδήλωται) κατὰ βασιλέως, ἐκάθητο μὲν περιμένων συμμαχικὸν ἐκεῖθεν στρατόν· ἀπέφραττε δὲ καὶ τὸ τοῦ ποταμοῦ στόμα, τριήρεις ἐφιστὰς κατὰ θάλατταν, ὅποι κατιὼν ἀποπτύει τὸ ῥεῖθρον ἐκεῖνος, μή που λαθὼν ὁ βασιλεὺς ἀκάτιον ἐκπέμψῃ πρὸς τὸν σατράπην Ἀμοὺρ, συμμαχίαν αἰτῶν. ἔπειτα πέμψας ἠρώτα τὸν βασιλέα, ὅ,τι βούλοιτο δρᾷν περὶ ἑαυτοῦ, συγκεκλεισμένος τε οὑτωσὶ πανταχόθεν καὶ μέλλων ἐς τὴν ὑστεραίαν πολιορκεῖσθαι. (Β.) Ὁ δ' ἀπεκρίνατο, σύνηθες οὐκ εἶναι πρὸς πολεμίους πολεμίοις ἐξαγγέλλειν στρατηγικὰ μυστήρια. ὅμως ἐπειδήπερ σοι ἐξ ἁλῶν εἰς τὸ στρατήγιον ἀναξίως πάνυ σαυτοῦ παρεληλυθότι στρατιωτικῆς ἐμπειρίας ὡς πορρωτάτω βαδίζειν ἕπεται, μῦθον ἐρῶ σοι οὐκ ἄμουσον ἔγωγε πρῶτον· ἔπειτα καὶ περὶ ὧν ἤρου με τἀληθῆ σοι οὐκ ἀποκρύψομαι, ἵνα σαφέστερον εἰδείης αὐτὸς, ὅσῳ περιφρονητικῶς ἔσχον ἐγὼ περὶ τὸν ὄγκον τῆς σῆς ὑπερηφανίας, καὶ ὅπως σοὶ μὲν


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τὸ σὸν καταλείπειν ἴδιον ἐθέλω κἀνταῦθα, ἐμοὶ δὲ τοὐμόν. ἴδιον δὲ σοὶ μὲν ἀεὶ τὸ χαίρειν τοῖς ψεύδεσιν· ἐμοὶ δὲ τῇ φύσει τῆς ἀληθείας. Ἀνήρ τις τῶν αἰθερίων ὀρνίθων ἑνός ποτε γενόμενος ἐγκρατὴς ἤρετο αὐτὸν, ἐνὶ οἷς ἐστι λογισμοῖς. ὁ δ' ἀπεκρίνατο· οὐ τὰ ἐμά σε χρεὼν, ὦ ἄνθρωπε, διερευνᾷν ὅπως ἔχει, ἀλλ' ὅπως ἕξει τὰ σά. εἴ τι γὰρ ἐγὼ 2.662 μαντικὸς, ἐρῶ σοι περὶ ἐμαυτοῦ μὲν ἥκιστα, περὶ σοῦ δὲ μάλιστα. τοῖς μὲν γὰρ τῶν ἀνθρώπων οἰωνοσκόποις τέχνην ἀθροίζειν ἐξ ὀρνίθων ἐπὶ τὸ ἐσόμενον συμβαίνει πολλάκις διά τε καθέδρας αὐτῶν καὶ πτήσεως καὶ κλαγγῆς, οὐκ ἐπίπαν εἰπεῖν ἐς τἀσφαλὲς πανταχοῦ τῆς τούτων διανοίας ἀπὸ στοχασμοῦ διασώζειν ἐξικνουμένης τὴν κρίνουσαν ψῆφον. ἐγὼ δ' ὄρνις ὢν οὐκ ἀπὸ καθέδρας καὶ πτήσεως καὶ κλαγγῆς ἀνάρθρου τὸ μέλλον ἀναγινώσκειν σοι δώσω, πρὸς ἀνάγκας ἀδήλους τε καὶ μὴ πάνυ σαφεῖς συνωθῶν σε, ἀλλὰ φωνήεντα χείλη καὶ λόγων ἔναρθρον δύναμιν. ἄκουε γοῦν. εἰ μὲν ἀπολῦσαί με προθυμηθείης, ὁ παῖς σοι τεθνήξεται· εἰ δὲ κρατεῖν ἐθέλοις, οὐκ ἂν φθάνοις τεθνηκυῖαν θρηνῶν τὴν γυναῖκα. ἐπλήγη τὴν ἀκοὴν ὁ ἀνήρ· καὶ διηπόρει καθ' ἑαυτὸν, μεγίστην ἑκατέρωθεν ὁρῶν τὴν ἐμβρίθειαν τοῦ παρ' ἐλπίδα δεινοῦ. ὅμως ἐν ἐκλογῇ δυοῖν γενόμενος ἀφύκτων κακῶν τὸ κουφότερον ὁ ταλαίπωρος εἵλετο, καὶ λύσιν τῷ ὄρνιθι παρασχὼν εὐθὺς ἐθρήνει τὸν παῖδα κείμενον. τοῦ μύθου τοίνυν οὕτως ἔχοντος, ἄκουε καὶ δι' ὃν ὁ μῦθος εἴρηται λόγον. Ἐπεὶ τῶν στρατιωτικῶν ἐν πείρᾳ γεγένημαι πάλαι πραγμάτων, ὥς γε καὶ αὐτὸς οἶσθα, οἶδα καὶ ὅσην τὴν ἡμερήσιον αὐτὸς ἀεὶ δαπάνην ποιῇ τῶν χρημάτων περί τε τὴν ἑπομένην σοι ναυτικὴν δύναμιν περί τε τὰς πεζικὰς φάλαγγας, καὶ ἐπὶ τούτοις ὅσα τε ἀναλίσκεις καὶ ὅσα ἐς ἀεὶ ἀναλώσεις, συχνὰ περὶ συμμαχίας πρεσβευόμενος πρὸς τὸν ἡγεμόνα τῶν Τριβαλλῶν· καὶ μὴ πρός γε μόνον ἐκεῖνον ἔχων τοῦ χρέους τὸ βίαιον δαψιλεστέραν πέμπειν τὴν δεξιὰν, μὴ δὲ πρός γε δήπου μετ' ἐκεῖνον τὴν ἡγεμονίδα 2.663 σύζυγον, ἀλλ' ἐπὶ τούτοις θωπεύειν ζητεῖν καὶ χρήμασι περιέρχεσθαι τοῖς ἑκάστῳ προσήκουσι τῶν τοῖς ἡγεμόσι παραδυναστευόντων Τριβαλλῶν· ἃ πάντα σε τὴν ταχίστην ἀπειρηκέναι βιάσονται καὶ μάλα τοι προθυμούμενον. Τὰ δ' ἐμὰ στρατόπεδα, ἥ τε περὶ ἐμὲ διηνεκὴς δύναμις καὶ Θετταλία μικροῦ πᾶσα. ἀκούειν δ' οἶμαί σε τὴν Θετταλικὴν ἵππον ἡλίκη, καὶ ὅσην ἔχει τὴν ἐμπειρίαν ὁ στρατὸς ἐκεῖνος πρὸς τὰ πολέμια, καὶ ὅπως μακρῶν καὶ ποικίλων πολέμων εἰσὶν ἀθληταί. ταῦτα δ' οἴκοι καθῆσθαι προσετετάχειν ἐγὼ μέχρι καὶ ἐς τὸν τῆς χρείας καιρὸν, ἵνα δυοῖν οὐδέτερον τῶν οὐ συμφερόντων ὁρῷτο γινόμενον· μήτε γὰρ ἐν ἀλλοτρίᾳ τὴν δίαιταν ἄπρακτον τρίβοντας ἐνεῖναι δαπανᾷν ἑαυτοὺς ἐν οὐ καιρῷ, μήτε τοὺς ἡμετέρους δῃοῦν ἀγροὺς καὶ τὰς ἀμπέλους ἐν ἀκμῇ τοῦ καρποῦ καθεστηκυίας ἁρπάζοντας διαφθείρειν· οἷα φιλεῖ τοῖς στρατοπέδοις συμβαίνειν ὡς τὰ πολλὰ διὰ τὴν δημοτικὴν ἀναρχίαν. ἡ γὰρ τῶν τοιούτων φθορὰ τοῖς μὲν ἔχουσι ζημίαν παρέχει καὶ βλάπτει τὰ μέγιστα· τοῖς δ' ἁρπάζουσι μικρὰ πολλάκις ἢ οὐδὲν ὤνησεν, ἀλλ' ὡς ἔπος εἰπεῖν, Χείλεα μέν τ' ἐδίην', ὑπερῴην δ' οὐκ ἐδίηνε. ταῦτ' οὖν ἐμοὶ μὲν, στρατιωτικαῖς ἐμπειρίαις συντεθραμμένῳ, προειδέναι ἔπεισι· σοὶ δ' οὔ. Διὸ σοὶ μὲν ἐν τοῖς παρέργοις τὴν ὅλην ἰσχὺν περιγίνεται δαπανῶντι τελευτᾷν εἰς ἀμηχανίαν, καὶ 2.664 τὴν τῶν χρημάτων ἀπειρίαν κενοῦν εἰς πράξεις κακοπραγούσας, δι' ἀπειρίαν τοῦ στρατηγεῖν· ἐμοὶ δ' ἐμπειρίαις συντεθραμμένῳ στρατηγικαῖς τὴν τῶν χρημάτων ἔνδειαν πράξεων εὐπορίαν ποιεῖσθαι χρηστῶν καὶ πλοῦτον κατορθωμάτων τὸ τέλος ἐνδείκνυσθαι. τούτων δ' οὕτως ἐχόντων, ἕψεται δή σοι λοιπὸν τὸ τοῦ μύθου. εἰ μὲν γὰρ ἀπιδὼν πρὸς τὸ τῆς δαπάνης πολύχουν μὲν, ἀνόνητον δὲ, καὶ ἅμα πρὸς τοὺς ἐπιόντας ἐκ τῶν πολέμων κινδύνους, παλινδρομεῖν τὴν ταχίστην ἐθελήσειας ἐς Βυζάντιον οἴκαδε, συμψήφῳ δι' ἀπόγνωσιν τῇ ἀνάγκῃ χρησάμενος, μακρὸν μὲν ὀφλήσεις τὸν γέλωτα· αἰσχρὸν γάρ φασιν Ὁμηρίδαι, δηρόν τε μένειν κενεόν τε νέεσθαι. καὶ πρός γε ζημιώσῃ τὰς πόλεις, ἃς ἐπιὼν αὐτὸς ἀπονητὶ καθέξειν ἐλπίζω. εἰ δὲ τὸ μὴ τοιούτοις



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

περιπεπτωκέναι κινδύνοις ὁμοῦ καὶ ὀνείδεσι φυλαττόμενος παραμένειν ἔτι φιλονεικοίης, οὐκ ἂν φθάνοις μετὰ τοῦ γέλωτα ὄφλειν μακρὸν καὶ τὴν κεφαλὴν ἀφαιρούμενος, καὶ βιαίως οὕτως ἀποῤῥηγνὺς τὴν ψυχὴν, ἐπειδὰν κυκλωθεῖσα ἡ πόλις, τὸ σὸν νῦν ὁρμητήριον, ἔκ τε γῆς καὶ θαλάττης μετὰ πολλῶν ἐπιόντος ἐμοῦ τῶν δυνάμεων, ἐπὶ τὸν αἴτιον τρέψηταί σε τὴν ὀργήν. Μεταπέμψομαι γὰρ οὐ Θετταλικὴν μόνον ἵππον, καὶ ὅσα ἐκεῖθεν στρατόπεδα, ἀλλὰ σοῦ γε εἵνεκα καὶ Περσικὰς ἐξ Ἀσίας δυνάμεις. σὺ γὰρ ἤδη τοῦτ' ἐπεπράχεις πρῶτος, καθ' ὁμοφύλων δι' ἐμὲ Περσικὴν ἐλάσας δύναμιν. τὸ δ' ἐκ τῶν ὁμοίων τὸν ἀδικήσαντ' ἀμύνεσθαι, εἰ μὲν 2.665 ἀνενέγκλητον εἶναι κρίνοις αὐτὸς, ἀθῶος ἐγὼ, καὶ πρὸς αὐτῶν τὴν μαρτυρίαν τοῦ συγκεχωρηκότος λαμβάνω τῶν βασκαινόντων. εἰ δ' εἰς ἐγκλήματος λόγον ἀνάγεις τοὐμὸν πρᾶγμα, ὥρα σοι λογίζεσθαι, πηλίκων καὶ ὅσων τῶν ἐγκλημάτων ὑπεύθυνον σὺ σαυτὸν ἐπεπράχεις ἐθελοντὴς, κατά τε μηδὲν ἀδικοῦντος ὅπλα τοσαῦτα κινῶν ἀσεβῶν ἀναμὶξ καὶ ὁμοφύλων, καὶ πάντων ἀφειδῶν χρημάτων, καὶ πᾶσαν Ῥωμαίων γῆν διαφθείρων, καὶ νεὼς καθαιρῶν, καὶ μιασμάτων ἐμπιπλὰς ἱερὰ, καὶ πολυτρόπως τοῖς θείοις ἐμπαροινῶν, καὶ πάσης πολιὰν εὐγενείας ἐκ μέσου ποιῶν, καὶ πάντα φύρδην ἄνω καὶ κάτω κυκῶν καὶ διαστρέφων· ἵνα τί γένηται; ἵνα σὺ μόναρχος καταστῇς, μείζοσιν ἢ κατὰ σὲ καὶ τὴν τύχην τὴν σὴν ἐπιβάλλων πράγμασι. τῆς ἀπονοίας· ὥσπερ ἂν εἰ μηδεὶς τῶν γινομένων ἐπόπτης δίκαιος ἦν, καὶ πάντα διοικῶν πρὸς τὸ βέλτιον, ἀλλ' ἀκυβέρνητον εἶχε τὸ πᾶν καὶ πλημμελῆ τὴν φοράν. Καὶ ταῦτ' οὐδὲ πρὸς τὰς ἐμὰς φυγὰς καὶ τύχας ἀπιδὼν συνέσεως ὁτιοῦν εἰς δυσώπησιν ἐδυνήθης λαβεῖν, ὅπως τοὺς μὲν φίλους, καὶ πολλὰς ὀφείλοντας ἔμοιγε χάριτας, ὡς πολεμίους ἐξώπλισε κατ' ἐμοῦ τὸ μανιῶδες τῆς γνώμης· τοὺς δ' ἐχθροὺς καὶ δυσμενεῖς, ὑφ' ὧν μοι προσῆκε πάσχειν μᾶλλον κακῶς, φίλους αἱ τῆς δίκης πλάστιγγες ἔδειξαν ἀκριβεῖς· καὶ ὃν ὁ ὑμέτερος κλύδων εἰς πυθμένας κατήνεγκε συμφορῶν, ὑπέρτερον παραδόξως ὑμῶν ἐπεπράχει θεός. καὶ νῦν, ὡς ὁρᾷς, ἐμοὶ μὲν ἐξουρίας ἅπαντά γε χωρεῖ, καὶ χωρήσει ξύν γε θεῷ. σὺ δ' ὅλους 2.666 ἀνηλωκὼς χρημάτων σωροὺς, τῶν τ' ἐμῶν δηλαδὴ μεθ' ὅσα τοῖς βασιλικοῖς ἐνῆν πρυτανείοις καὶ ὅσα πᾶσιν εὐγενέσι ταμιευόμενα πέπραχας ἅρπαγμα ληστρικὸν, οὐδὲν πλέον κατορθοῖς, ἢ τὸν Πηνελόπης ὑφαίνεις ἱστόν· ὃν πανημέριον ὑφαινόμενον τὸ σκότος ἀνέλυε τῆς κατόπιν νυκτός. δῆλον οὖν ἂν ἐντεῦθεν εἴη καὶ τοῖς μικρὰ φρονοῦσιν, ὡς ὑμῖν μὲν ἀδικοῦσιν ἥκιστα συλλαμβάνειν ἐθέλει τὸ θεῖον· ἀδικουμένῳ δ' ἔμοιγε καὶ μάλα μάλιστα. καὶ δέον ὑμᾶς, ἀφοσιουμένους τὴν ἐκ θεοῦ νέμεσιν, τὸ τῆς ὀργῆς ἐπίσχειν ἀταμίευτον, ὑμῖν δ' ἠρεμεῖν οὐκ εἰς μνήμην οὐδ' ὀψὲ τῶν χρόνων ἔρχεται. Ὅμως εἰ μὴ ἐν τῷ αὐτίκα φεύγων αὐτὸς οἰχήσῃ, κακοδαιμονία δέ τις συνέστιος κατὰ χώραν ἄχρι καὶ ἐς ἑβδόμην ἡμέραν διακαρτερεῖν ἀναγκάσει, ἔργα λόγων ὄψει πολλῷ κραταιότερα. (Γ.) Ταῦτ' εἰπὼν τοὺς μὲν πρέσβεις ἀφῆκε πορεύεσθαι· αὐτὸς δ' ἀκάτιον κατεσκευακὼς λάθρα δι' ἁμάξης κατήνεγκεν ἀλλαχόθεν εἰς θάλατταν, σταδίους Βεῤῥοίας διέχουσαν ἑξήκοντα καὶ ἑκατὸν, δι' οὗ τὴν καλέσουσαν ἀπεστάλκει πρεσβείαν τὸν τῆς Λυδίας σατράπην Ἀμούρ. καὶ ἦν ὁ καιρὸς τηνικαῦτα παρὰ τὰς τοῦ κυνὸς ἐπιτολάς. θʹ. Ἐπανιόντων δὲ τῶν πρέσβεων ἐκ Βεῤῥοίας, Ἀπόκαυκος διακηκοὼς, "1Ἐγὼ δ' οὐκ ἄν ποθ' ὁμολογήσαιμι νόθον εἶναι καὶ μὴ πάνυ προσῆκον τοῖς στρατηγεῖν αἱρουμένοις (ἔφη) τὸ ψεύδεσθαι, ὅτι μὴ καὶ μάλιστά σφισιν ἁπάντων εἶναι τῶν ἀναγκαιοτάτων. δυοῖν γὰρ ὄντοιν πραγμάτοιν, ἀληθείας καὶ ψεύδους, 2.667 ἓν ἐξ ἀμφοτέρων πορίζεται κέρδος ὁ στρατηγὸς, καθ' ὁπότερον ἴδῃ συνωθοῦσαν τὸ συμφέρον τὴν τῆς χρείας ἀνάγκην. φιλοσόφοις γὰρ καὶ ὅσοις τὸ μὴ πάντη τοῦ βίου κοινωνικὸν πραγματεύεται ἴδιον ἂν εἴη τὸ ψεύδους παντὸς ἄμικτόν τε καὶ ἀβαφῆ τὴν γλῶτταν τηρεῖν, οἷς οὐδεμία πρόσεστι βίου φροντὶς, παρενηνέχθαι τῆς ἀληθείας πείθουσα. οἷς δ' ἀληθεύσασι μὲν ἐνίοτε διακινδυνεύεται πόλεις αὐτάνδρους καὶ στρατόπεδα πάντ' ἀπολέσθαι, ψευσαμένοις



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΠΤΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

δ' ὅλην ἀκραιφνῆ χαρίσασθαι σωτηρίαν· ποῦ οὐκ ἂν ἀτοπίας ἐλαύνοι, πρὸ τοῦ συμφέροντος ψεύδους αἱρεῖσθαι τὸ τὰ ἔσχατα βλάπτον τῆς ἀληθείας; ἐγὼ γὰρ μυριάκις ἂν ἑλοίμην, ἐξὸν μετὰ τοῦ ψεύδεσθαι, σώζειν καὶ πόλεις ὁμοῦ καὶ στρατόπεδα, τοῦ γε ξὺν τῇ ἀληθείᾳ πρὸς βάραθρον ἀπωλείας ἐλαύνειν ἅπανθ' ἑκών. ἀνυποστάτου γὰρ ὄντος καὶ ἀνουσίου τοῦ ψεύδους, ἀνάγκη τὸν τούτῳ χρώμενον, ὁπότε χρῷτο, μηδὲν ἄλλο γε δρᾷν, ἢ σιωπήν τινα καὶ φειδὼ τῆς ἀληθοῦς οὐσίας πραγματεύεσθαι· καθάπερ δήπου καὶ ὅσα τῶν κειμηλίων πολυτελέστερά τε καὶ τιμιώτερα τοῖς ἔχουσι νῦν μὲν καλύπτεται τοῦ συμφέροντος εἵνεκα, νῦν δ' ὥσπερ ἀνακαλυπτήρια θύειν τοῖς τῶν ἀνθρώπων ὀφθαλμοῖς τὸν ἴσον ἔξεστι τρόπον. ὥστ' οὐ δικαίως ὁ Καντακουζηνὸς τὴν γραφὴν ἐμοὶ τοῦ ψεύδεσθαι, ὥς γε οἶμαι, προστρίβεται, τοῦ λυσιτελοῦς ὡς μάλιστα ποιουμένῳ τὴν πρόνοιαν. ἐγὼ γὰρ ἐλάττωμα ἂν ἡγησάμην, εἰ μὴ τοιοῦτος εἴην· κἀκείνῳ δ' αὖ, εἰ στρατηγοῦ ποιεῖν ἐβούλετο πρᾶγμα, τότ' ἄν με λοιδορεῖν ἐχρῆν, ὅτε μὴ οὕτω τοῖς ἀνὰ χεῖρας ἑώρα με πράγμασι προσιόντα. 2.668 Ἐμὲ δ' ἐκεῖνο μάλιστα πάντων ἐπαίρει θαυμάζειν ἐκείνου, πῶς ταῦτ' ἐπείγεται δρᾷν, οἷς ὀνειδίζων ἐκτόπως ἐμοὶ λοιδορεῖται, τὴν βαρβαρικήν φημι καὶ ἀλλόφυλον συμμαχίαν. εἰ γὰρ ἐν ἀλλοτρίοις πταίσμασιν ἰδίαν ἀσφάλειαν ἐγκωμίων αὐτὸς ἐπορίσατο καὶ τῷ ὄντι τά μοι πεπραγμένα μεμίσηκε, ποθεῖν οὐκ ἐχρῆν, οὐδὲ μιμεῖσθαι. τὸ γὰρ μιμεῖσθαι φιλοῦντός ἐστιν, οὐ μισοῦντος, καὶ θαυμάζοντος μᾶλλον ἢ ψέγοντος. οὐδεὶς γὰρ ἃ μισεῖ δρᾷν ἐκ ψυχῆς ἐπείγεται, τοῦ βιαζομένου παντὸς ἐκ ποδῶν ἱσταμένου. εἰ δὲ γλώττῃ μὲν λοιδορεῖται τούτοις οἷς ἐμὲ πράττοντα βλέπει, ἔργοις δ' οὐχ ὅπως οὐκ ἀποσπεύδει τὴν μίμησιν, ἀλλὰ καὶ προσεπιδαψιλεύεται, δῆλον ὡς οὐχ ὅτι μισῶν λοιδορεῖται, ἀλλ' ὅτι μὴ πρῶτος αὐτὸς ἐπεπράχει δυσχεραίνει· ὥστε δυοῖν ὁπότερον καθ' ἑτέρου ψηφισθείη, καὶ θατέρῳ τοῦτο δικαίως ἀκολουθήσῃ, καὶ ὁμοίως ἀμφοτέροις ἢ τὰ τῆς ἐπιτιμήσεως ἢ τὰ τῆς συγγνώμης ἐφ' ὁμοίοις τοῖς πράγμασιν ἕψεται."2 (Β.) Ἐκεῖνος μὲν οὖν ταῦτ' ἔλεξε, σφόδρα τῆς ἑαυτοῦ καταψευδόμενος φύσεως, καὶ πιθανότητι γλώττης τὴν τῶν πραγμάτων ὑποκλέπτων ἀλήθειαν. ἔθος γὰρ αὐτῷ διηνεκὲς τουτὶ, καὶ πολλάκις τούτῳ περιφανῶς ἐνεκαλλωπίσατο, ἕτερα μὲν τῇ γλώττῃ προφέρειν, ἕτερα δ' ἐν τῇ διανοίᾳ καλύπτειν, καὶ μαχομένην δεικνύειν τῇ γλώττῃ τῶν λογισμῶν τὴν μελέτην. πολλὰ μὲν οὖν κἀνταῦθα τῇ γλώττῃ θρασυνόμενος τοῖς ἔργοις ἠλέγχετο. αὐτὸς μὲν γὰρ διὰ δέος ἐν Θεσσαλονίκῃ παρέμεινε· τὴν δὲ στρατιὰν 2.669 τῶν ἐπισήμων ἑνὶ παραδοὺς ἐπὶ Βέῤῥοιαν ἔπεμψε, παραγγείλας ἄχρι τριῶν ἐκεῖ παραδείξαντας ἑαυτοὺς ἡμερῶν τὴν ταχίστην ἐπανιέναι. οὐ γὰρ δράσοντάς τι γενναῖον σφᾶς ἐπεπόμφει· τῶν γὰρ ἀμηχάνων ἓν ἐδόκει τοῦτ' αὐτῷ· ἀλλ' ὅσον μὴ φωραθῆναι τὴν τούτου δειλίαν τοῖς πλείστοις. τοῦ γάρ τοι θράσους ἀνδρίᾳ καὶ τόλμῃ πολεμικῇ συνοικεῖν οὐδαμῇ δυναμένου, πῶς ἂν αὐτὸς, μακρὸν μὲν ἐν τῇ γλώττῃ τὸ θράσος ἔχων, μακροτέραν δ' ἐν τῇ ψυχῇ τὴν δειλίαν, γεγυμνωμένοις ξίφεσιν ἢ αὐτός ποθ' ὁμιλήσειεν, ἢ πείσειεν ἄλλους; θᾶττον μεντἂν τοῦ σώματος ἀποῤῥηγνυμένην θεάσαιτο τὴν ψυχὴν, ἢ συῤῥηγνυμένου πολέμου πάταγον ὅπλων ἀκούσειεν. (Γ.) Ἐπεὶ τοίνυν πεπαῤῥησιασμένῃ μάχῃ τὸν πολέμιον οὐκ ἐνῆν κατεργάσασθαι, πρὸς τὰς ἐν κρυφῇ συνήθεις αὖθις ἔβλεψε μηχανὰς καὶ τοὺς λαθραίους δόλους. κἀπειδή γε ἠκηκόει τὴν βασιλέως οἰκίαν εἶναι παρὰ τὸ τεῖχος τῆς πόλεως ἔνδον· ἀφ' ἧς ἐξιόντα τὸν βασιλέα περὶ μέσας που νύκτας μεμονωμένον τε καὶ ἀφύλακτον ὡς τὰ πολλὰ περισκοπεῖν ἐκ τῶν ἐπάλξεων, εἰ ἐπίοιεν ἔξωθεν αἱ τῶν ἀντιπάλων δυνάμεις καὶ ὅπως ἂν ἐγρηγόρσεως ἔχοιεν οἱ τὴν πόλιν ἔνδοθεν φρουροῦντες, ὅσοι τε τὰς κατὰ μέσην τὴν πόλιν ἔνοπλοι περιῄεσαν ἀγυιὰς καὶ ὅσοι πάντα πύργον καὶ πᾶν ἡμιπύργιον διαλαγχάνοντες φωναῖς ἀλλεπαλλήλοις τὰ νυκτερινὰ παρεμετροῦντο διαστήματα· πολλοῦ τινος ἐπρίατο μισθοῦ τῶν εὐφυῶς ἐχόντων τῆς τοξικῆς ἀσκήσεως ἕνα τινὰ, καὶ τοῦτον εἰς Βέῤῥοιαν πέμψας κατὰ τὸ λεληθὸς 2.670 παρήγγειλε νύκτωρ ἐξιόντα


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τῆς οἰκίας τὸν βασιλέα καιρίαν βαλεῖν ἐκ τοῦ τείχους, καὶ παραχρῆμα σχοίνῳ διὰ τῶν ἐπάλξεων διεκπεσόντα πρὸς τὸ στρατόπεδον ἀπαθῆ τὴν σωτηρίαν πορίσασθαι. τῆς τοίνυν ὥρας ἐληλυθυίας, ἐν ᾗ τὸν βασιλέα τῷ εἰωθότι χρῆσθαι γέγονε περιπάτῳ παρὰ τὸ τεῖχος τῆς πόλεως, τρὶς μὲν εὐθὺς ὁ τοξότης ἐκεῖνος ἐτείνετο τὸ τόξον· τρὶς δ' ἀτυχῶν περὶ τὴν ἀποστολὴν τοῦ βέλους ᾐσθάνετο, νάρκης οἱονεί τινος ἐμπεδούσης παραχρῆμα τὴν χεῖρα καὶ κατὰ γῆς νεκρὸν τὸ βέλος ῥιπτούσης. τῆς μέντοι τοῦ τόξου νευρᾶς ἐν τῇ τρίτῃ ῥαγείσης πείρᾳ, ἐκπλήξει καὶ δέει ληφθέντα τὸν ἄνθρωπον ἅμα ἕῳ προσιέναι τε τῷ βασιλεῖ καὶ τόν τε δόλον ἐξαγγεῖλαι περιπαθῶς καὶ ὃ περὶ τὴν τάσιν τοῦ τόξου συμπέπτωκε τέρας. αὐτὸς μὲν οὖν συγγνώμης τυχὼν ἐπορεύετο. (Δ.) Ὁ δ' Ἀπόκαυκος, ὁρῶν οὐ ταχεῖαν ἰοῦσαν τὴν ἐκ τῶν Τριβαλλῶν αὐτῷ σύμμαχον δύναμιν, ἠρέμα πρὸς ἀπογνώσεις ἐχώρει τῇ γνώμῃ. ἐδεδίει γὰρ, μὴ αἰφνίδιον ὁ βασιλεὺς τὰ Θετταλικὰ μεταπεμψάμενος ὅπλα πρὸς τοὺς ἐσχάτους ὤσῃ κινδύνους αὐτοῦ τὰ στρατεύματα. οὐ μετὰ πολλὰς οὖν ἐκεῖθεν τὰς ἡμέρας ἀναζευγνύειν ἐκέλευε τά τε ἄλλα καὶ μάλισθ' ὅτι καὶ φήμη πάντας ἄρτι ἐπεπορεύετο, τὴν τοῦ Περσικοῦ στόλου βαρεῖαν διαγγέλλουσα ἔφοδον, ἣν καὶ παντὸς ἐνόμιζε θανάτου φοβερωτέραν. διὸ καὶ κομιδῇ βραχείας τῇ Θεσσαλονίκῃ ἐνδιατετριφὼς καὶ αὐτὸς ἡμέρας ᾤχετο σὺν ὀλίγαις ναυσὶν ἀποπλεύσας, καὶ ταύταις ταχυναυτούσαις ὡς μάλιστα. ὑπωπτευκὼς γὰρ ἦν, καὶ μάλα κατὰ σκοπὸν, ὡς αἰσθήσεως 2.671 γενομένης ἀνὰ τὴν πόλιν τοῦ φόβου τε καὶ τῆς γε τοῦ δρασμοῦ μελέτης, δυοῖν ἕψεται θάτερον· ἢ γὰρ καθέξειν αὐτὸν τοὺς Θεσσαλονικέας ἐπίκουρόν τε καὶ κοινωνὸν τῆς προσδοκωμένης πολιορκίας, ἢ βιάσασθαι συναποπλεῖν αὐτῷ τάς τε τριήρεις πάσας καὶ ἅμα τὴν σύν γε αὐτῷ ναυστολήσασαν Περσικὴν δύναμιν μεθ' ὁμοίας τῆς γνώμης· ὃ μεῖζον τῶν ἄλλων ἐνόμιζεν εἶναι κακῶν ἑαυτῷ, καὶ κινδύνων μειζόνων μεστόν. τό,τε γὰρ πλῆθος ἐν ταῖς φυγαῖς ἐμπόδιον οὐ μικρόν· καὶ πρός γε τὸ δύναμιν ἀλλόφυλον ἑπομένην ἔχειν, φεύγοντα δύναμιν ἄλλην, ἐχθρὰν μὲν αὐτῷ, φίλην δὲ καὶ ὁμόφυλον ταῖς ἑπομέναις αὐτῷ Περσικαῖς ταύταις ναυσὶν, ὅμοιον ἐλογίζετο, ὥσπερ ἂν εἴ τις τὸν ἔξωθεν ἀνασοβεῖν τῆς οἰκίας ἐπειγόμενος ἐμπρησμὸν ἔνδοθεν ἑκὼν αὐτὴν ὑφῆπτεν αὐτὸς, σπουδαιοτέραν τινὰ τὴν ἐπικουρίαν οὕτω πως τἀλλοτρίῳ πυρὶ μηχανώμενος. ταῦτ' οὖν ἅπαντ' ἐν νῷ συλλαβὼν ᾤχετο λάθρα φυγὼν, ὡς ἡμῖν γε δεδήλωται. (Ε.) Ὅσαι μὲν οὖν ἁρπαγαί τε καὶ ἀνδραποδισμοὶ τοῖς ἐναπολειφθεῖσιν ἐγίνοντο Πέρσαις ἐκεῖ κατὰ τῶν εὐσεβῶν, καὶ ὅσαι κατὰ τῶν ἱερῶν ἀτοπίαι κατὰ τὸ ἀφειδὲς ἐτολμῶντο, ῥᾴδιον οὐκ ἂν εἴη διεξιέναι, βουλομένοις ἐφ' ἕτερα τρέπειν τοῦ λόγου τὸν δρόμον ἡμῖν. ἴσασι δ' οὖν οἱ παθόντες, καὶ ὅσοι τῶν τοιούτων οὐ μάλα πεφύκασιν ἀδαεῖς ἀποσυλᾶν εἰκασμοὺς κἀξ ὧν γε τεθέανται ξυμβάλλειν καὶ ἃ μὴ τεθέανται. ι΄. Βραχεῖαι παρῆλθον ἡμέραι καὶ ἡ ναυτικὴ τῶν Περσῶν 2.672 κατέπλευσε δύναμις, ἐς ἔγγιστα διακοσίων νεῶν ἀναφερομένη τὸ πλήρωμα καὶ ναύαρχον ἔχουσα τὸν τῆς Λυδίας σατράπην Ἀμούρ· ὃς οὐκ εἰς τὸ τῶν Θεσσαλονικέων ἐπίνειον καταῖραι τὸν στόλον ἀφῆκεν, ἀλλ' ἴδιον αὐτὸς ἐποιήσατο ναύσταθμον, σταδίους Θεσσαλονίκης ἀπέχον οὐχ ἧττον ἑξήκοντα. οὐ μὴν τοσαύτας ἔχων τῆς Ἀσίας ἐξέπλευσεν· ἀλλὰ τριακοσίαις μὲν ταῖς πάσαις ἀνήχθη· ναυαγίᾳ δὲ χρησάμενος κατὰ τὸν ἀνάπλουν, ἀγριωτέρων τῶν ἀπαρκτίων τηνικαῦτα ῥευσάντων πνευμάτων, αὐτὸς μὲν σὺν ταῖς εἰρημέναις ἐκτοπισθεὶς ἄκων εἰς Εὔβοιαν ἐξώκειλε, καὶ ταύταις ἀπ' ἀλλήλων ὡς τὰ πολλὰ διεσκεδασμέναις· αἱ δ' ἄλλαι κατ' ἄλλα μέρη διεσώθησαν τῆς Εὐρώπης, ὅσαι μήτ' ἐν ταῖς ἀκταῖς συνετρίβησαν, μήτε κύμασι διαναυμαχήσασαι κατηνέχθησαν αὔτανδροι. βουλευομένου δ' ἐκεῖθεν ἐπὶ συχναῖς ἡμέραις ἐξ Εὐβοίας πεζῇ διὰ Θετταλίας ἰέναι ἐς Βέῤῥοιαν, αὐτόθι τὰς ναῦς καταφλέξαντα πρότερον, ἐῤῥάϊσε μὲν ἡ τῶν κυμάτων ὕβρις ὀψέ· μαλακώτερον δ' ἐξ ἀπογείων προσβαλεῖν ἤρξατο τοῖς ἱστίοις τὸ πνεῦμα. ὅθεν καὶ ἄραντες ἐκεῖθεν ἠθροίσθησαν ἐς ὃν δεδηλώκαμεν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ναύσταθμον, τῆς Θεσσαλονικέων πόλεως ἄγχιστα. (Β.) Οἱ μὲν οὖν πλείους, τὴν ἱκανὴν ἀπολιπόντες φρουρὰν ταῖς ναυσὶν, ἐπὶ λείαν εὐθὺς ὥρμησαν, καὶ τὰ πλείω τῶν Τριβαλλοῖς ὑπεικόντων χωρίων ἐκάκωσαν μάλιστα, ἀνθρώπους καὶ βοσκήματα συναρπάζοντες ἐξ ἀγρῶν, καὶ οἰκίας πυρπολοῦντες, καὶ πολλοῖς τὸν πολέμιον σίδηρον καταφέροντες ἀνανταγώνιστον. τῷ γε μὴν ναυάρχῳ τοῦ στόλου κατὰ χώραν μείναντι 2.673 ἧκε μετὰ βραχὺ καὶ ὁ βασιλεὺς ἐκ Βεῤῥοίας, τῶν ἐκεῖ πραγμάτων ἐπίτροπον τὸν υἱὸν καταλελοιπὼς Μανουήλ· ὃς ἄρτι καθ' ἡλικίαν τὸν ἔφηβον παραλλάττων, καὶ μήπω μηδὲ τὸν πρῶτον ἀνθήσας ἴουλον ἐν ταῖς παρειαῖς, πρεσβυτικὴν ἐν τῇ ψυχῇ τὴν σύνεσιν ἔβοσκε καὶ ἅμα τῷ πατρὶ πρὸς ταῖς ὑπερορίοις καὶ ὑπαίθροις στρατοπεδείαις μακρὰ συγκακοπαθήσας πρὸς λαμπρὰν τῆς στρατηγικῆς ἐμπειρίας γεγύμνασται ἄσκησιν· καὶ δι' αὐτό γέ τοι τουτὶ τὴν τῆς τοιαύτης πόλεως ὁ βασιλεὺς καὶ πατὴρ ἐπεπιστεύκει ἐπιτροπὴν, ἣ κρηπὶς καὶ ῥίζα τέως αὐτῷ τῆς ἐκ τῶν χειρόνων ἐς τὰς βελτίους τύχας κατέστη μεταβολῆς. οὕτω τοίνυν ἐλθὼν ἐκ Βεῤῥοίας ὁ βασιλεὺς, καὶ ἀμφὶ τοὺς τῆς Θεσσαλονίκης ἀγροὺς τῷ τῆς Περσικῆς δυνάμεως ἐντετυχηκὼς ἡγεμόνι, καὶ ἀσπασάμενος τὰ εἰκότα, περὶ τῶν πρακτέων ἄμφω κατὰ σφᾶς ἐβουλεύοντο. (Γ.) Τοῖς γε μὴν Θεσσαλονικεῦσι, τειχῶν ἐντὸς συγκλεισθεῖσι μετὰ τῶν ποιμνίων καὶ βουκολίων, αὐτοῖς τε ἐστενοχωρεῖτο τὰ ἐπιτήδεια καὶ τοῖς ἀλόγοις ζώοις χιλὸς οὐκ ἦν· ἃ

δὴ καὶ καθ' ἡμέραν ἄλλα ἐπ' ἄλλοις ἔπιπτον, καὶ τὸ ἐντεῦθεν δυσῶδες νοσεῖν παρεσκεύαζε τὸν ἀέρα· ὑφ' ὧν ἀχθομένοις συνέβαινε στασιάζειν λαμπρῶς τοῖς πολίταις. οἷς μὲν γὰρ κτήσεις ἦσαν ἀγρῶν, ἄχθεσθαι ἐνῆν, τῶν ἀγρῶν δῃουμένων· οἷς δ' ἀγέλαι ποιμνίων, καὶ ζεύγη βοῶν, καὶ ὁπόσα τῶν ἀχθοφόρων ζώων, ἀνιᾶσθαι συνέβαινε καὶ αὐτοῖς, αὐτά τε θεωμένοις εἰκῆ φθειρόμενα καὶ ἀθρόας τὰς ἐπ' αὐτοῖς ἐλπίδας θνησκούσας αὐτῶν. οἷς δ' ἡλικιῶτις ἦν ἡ πενία καὶ τὸ κοῦφον τοῦ βίου τὸ 2.674 μὴ βουλόμενον ἰσχυρῶς ἐμάστιξε τῆς ψυχῆς, τούτοις δ' ἔφεσις νεωτέρων συνήκμαζε ταραχῶν καὶ θορύβων, καὶ κατὰ τῶν πλουσίων ἡ βασκανία τῶν ὀφθαλμῶν ἐτείνετο, καὶ τὸ μανικὸν ἠσκεῖτο σφόδρα τῆς γνώμης. (Δ.) Τούτων δ' οὕτως διῃρημένων διπλῇ, καὶ τρίτη μοῖρά τις αὐτοῖς ἐπεφύετο συρφετώδης, δικαιοσύνης πέρι καὶ ἀδικίας οὐδὲν ἐπαΐουσα, ἀλλ' ἀγομένη ῥᾳδίως καθάπερ ὅπλον τοῖς ἄγειν ἐθέλουσιν, ὅποι τὸ αὔθαδες ὑφηγεῖται τῆς γνώμης, ἐπὶ πονήρῳ τῶν φθονουμένων. οὔτε γὰρ αὐτονομίᾳ δουλεύειν οἶδεν ὁ δῆμος οὗτος, οὔτε νόμοις ἀνδρῶν παλαιῶν, τὸ ζῆν ἐν ταῖς βίβλοις ἐχόντων, κἀκεῖθεν τὰ πολιτικὰ ῥυθμιζόντων πράγματα, καὶ τοῖς τῶν ἀτόπων κινήμασιν ἕξεων πρὸς τὸ εὔδαιμον νομοθετούντων ἀεί· ἀλλ', ὥσπερ θαλάττης κύματα πᾶσιν ἀγριαίνουσι πνεύμασιν εὐχερῶς ὑπείκοντα τὰς δυστυχεῖς καταδύουσι τῶν ὁλκάδων αὐτάνδρους, οὕτως οὗτοι τὰς τῶν εὐδαιμόνων οἰκίας ἐκ βάθρων ἀνατρέποντες τὸ πολέμιον ἀκρατῶς κατὰ τῆς τῶν ἀθλίων κεφαλῆς ἐπιφέρουσι ξίφος ἀφειδῶς καὶ ξύν γε λόγῳ οὐδενί. (Ε.) Πεπλασμένης οὖν ἀρτίως εἰς τὸν δῆμον ῥυείσης φήμης, ὡς τοῖς πλούτῳ καὶ ἀγροῖς καὶ βοσκήμασι βρίθουσιν ἀναπετάσαι τὰς τῆς πόλεως πύλας κρύφα μελετηθείη τῷ βασιλεῖ Καντακουζηνῷ τὴν ζημίαν οὐ φέρουσιν, εἰς ἀντίπαλον ἔστησαν μοῖραν οἱ πλούτου καὶ δόξης ἐφιέμενοι πένητες, καὶ τὴν ἀνάῤῥησιν τοῦ ὀνόματος τοῦ βασιλέως Ἰωάννου τοῦ Παλαιολόγου μετὰ τῆς μητρὸς ἐπὶ μέσης τε διαῤῥήδην ὕμνουν τῆς πόλεως καὶ ἅμα Ζηλωτὰς σφᾶς αὐτοὺς ἐπωνόμαζον, ὀνόμασι 2.675 χρηστοῖς τὴν τῆς κακίας ὑπόθεσιν περιπέττοντες, καὶ τὸν δῆμον εἰς συμμαχίαν ἐκάλουν, κερδῶν ἑτοίμων ἐλπίσι τοὺς σφῶν θυμοὺς παραθήγοντες. (´.) Οὕτω δὴ οὖν ὥσπερ βιαίου κατασκήψαντος πνεύματος εἰς τὴν πόλιν, θόρυβος ἀνὰ πάντας δημότας ἐπεχωρίαζεν ἄτακτος, καὶ πάντες ἀθρόοι τῶν οἰκιῶν εὐθὺς ἐξεχέοντο, καὶ τῶν ἔξωθεν πολεμίων αὐτοὶ πικρότεροι τοῖς πλουσίοις ἐγίνοντο, τόν τε ἐν ταῖς οἰκίαις πλοῦτον ἅρπαγμα λῃστρικὸν καθιστάμενοι καὶ αὐτῶν ὅσοις ἐνετύγχανον


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀφειδῶς ἀποσφάττοντες, καὶ πολιτικῶν αἱμάτων κρατῆρας κενοῦντες ἐν ταῖς πλατείαις τῆς πόλεως. τό γε μὴν ἔκκριτον, καὶ ὅσον τῆς πόλεως ὄψις ὑπῆρχεν, εἰς τοῦτο κακοδαιμονίας ἠλάθη διά γε δὴ τὸ τῆς οὐσίας εὔδαιμον. τούτων δ' οἱ μὲν θανάτου δίκην ἔδοσαν αὐθημερὸν ταῖς τῆς δημοτικῆς παρανοίας ὁρμαῖς· ὧν δ' ἐν ὑποψίαις ἔτι τὸ τῆς τύχης ἔκειτο μέλλον (πλείους δ' εἶναι τῶν ἑαλωκότων συνέπιπτεν σφᾶς), τούτοις δ' ἐσκυθρωπακόσιν ἐνῆν οἰκουρεῖν, φυλαττομένοις ὡς τὰ πολλὰ τό γ' ἐν ἀγοραῖς καὶ θεάτροις παῤῥησιάζεσθαι. (Ζ.) Καὶ τάχ' ἂν ἐτεθνήκεσαν ὑπὸ δέους, εἰ μή τινες ἐκ βασιλέως ἔξωθεν ἐλπίδες εἰσπορευόμεναί πως ἀνεῤῥώννυόν τε πρὸς τὸ εὔψυχον καὶ τὸ λογιζόμενον τῆς ψυχῆς πρὸς τὸ νῆφον ἀνεκαλοῦντο. μόναι γὰρ αὗται μοχθούντων ἑωρῶντο τέρπουσα τηνικαῦτα κρηπὶς λογισμῶν, καὶ πρός γε, φροντίδων εἰς ἀπόγνωσιν ὀλισθαίνειν κινδυνευουσῶν, πρᾶος φάναι καί τινος ἀπόζων εὐθυμίας ζέφυρος. εἰ γὰρ καὶ τὸ ψεῦδος ὁμόστεγον ἐνίοτε φαίνονται κεκτημέναι, ἀλλ' οὖν τοιαῦτά πως εἴδω 2.676 λοποιεῖν ἐπεφύκεσαν ἀεὶ καὶ προτυποῦσθαι, καθάπερ ἐκ γειτόνων παριοῦσαι παρήγοροι πιπτούσαις ἐξ ἀθυμίας ψυχαῖς, τὰς τῆς ὀρέξεως φαντασίας συλλήπτορας ἔχουσαι. ἀλλὰ τὸ μὲν πάσχειν ἐκ διαδοχῆς συνεχῶς τοῖς ταλαιπώροις ἐλέλειπτο καὶ παρῆν· τὸ δὲ τῶν ἐλπίδων προμηθὲς σκιά τις ἦν ἡδονῆς καὶ δικτύοις συναγομένη πνοή· οἷς τὸ μὲν διαῤῥεῖν ἀθρόον ἔνεστι πάντως, τὸ δὲ μένειν ὅλως οὐκ ἔνεστι. (Η.) Τῷ μὲν γὰρ τῶν Περσῶν ἡγεμόνι περιστρατοπεδεύειν ἐδόκει τὴν πόλιν ἔκ τε γῆς καὶ θαλάττης, καὶ ὅλον τὸ τῆς πολιορκίας ἐπάγειν ἐκ τοῦ παραχρῆμα βίαιον, καὶ μὴ τρίβειν ἡσυχῇ καθημένους τὸν χρόνον, ἔργοις ἐνὸν τὰ τῆς μάχης ἐν βραχεῖ κρίνεσθαι τά τε ἄλλα καὶ μάλισθ' ὅτι καὶ σύμμαχον συνέβαινε τῇ ἔξωθεν ἤδη γίνεσθαι πολιορκίᾳ καὶ τὴν ἔνδοθεν ἀναφλεγομένην τῶν οἰκητόρων στάσιν. τῷ δὲ βασιλεῖ τοῦτ' οὐδαμῇ συνεδόκει, τὸν μάρτυρα τιμῶντι Δημήτριον· καὶ ἄλλως δ' οὐκ ᾤετο χρῆναι τῆς ἰσχύος αὐτοῦ τὴν περιουσίαν ἐκ τῆς τῶν πολιορκουμένων φαίνεσθαι συμφορᾶς· ἀλλ' ἀπειρηκότας ὀψὲ τοὺς στασιαστὰς τῷ τε λιμῷ καὶ τῇ τῆς πολιορκίας ἀνάγκῃ καθ' ὁμολογίαν παραδώσειν σφᾶς τε αὐτοὺς καὶ τὴν πόλιν. (Θ.) Ἐπεὶ δὲ τριακονθημέρου παρῳχηκότος ἐνταῦθα χρόνου τὰ κατὰ γνώμην οὐκ εὔοδα ἑωρᾶτο, τὴν μὲν ἄλλην δύναμιν ἀφίησι διαπόντιον ὁ βάρβαρος οἴκαδε ἀπιέναι, τὸν ἀνάπλουν διὰ τῆς Θρᾳκώας κελεύσας παραλίου ποιεῖσθαι· δεδιὼς ἴσως μή πού τις ἔτι χρείας προϊοῦσιν ἀνάγκη τούτῳ προσγένηται σφῶν· ἑξακισχιλίους δ' ἀπολεξάμενος μόνους κατέσχε παρ' 2.677 ἑαυτῷ. οὓς ἐπαγόμενος ἐπ' ἀτελέστοις ἀπαίροντι συναπῄει ταῖς ἐλπίσι τῷ βασιλεῖ, πολλὰ μὲν κατειρωνευόμενος τῆς αὐτοῦ περὶ τὰ θεῖα δεισιδαιμονίας, πολλὰ δὲ μεμφόμενος, ὅτι μηδείς ποτ' οἶκτος αὐτὸν εἰσῄει τῶν τὰ δεινότατα πασχόντων δι' αὐτὸν ἐν τῇ πόλει· ἀλλ' οἶκτος οἶκτον ἀντέκρουσε μικροῦ τινος ἄξιος τὸν ξύν γε τῷ ὠφελίμῳ πολλήν τινα τὴν ἀνάγκην ἐπιφερόμενον· ὡς εἰναί φησι τελευτᾷν εἰς τὸ προφανὲς ἀφειδὲς τὴν τοῦ οἴκτου τοῦδε ἐπωνυμίαν, καὶ βραχεῖαν μέν τινα τὴν τοῦ λυσιτελοῦς παρεχομένην δόκησιν, μείζονα δὲ τὴν ζημίαν εἰς τοὐμφανὲς προξενοῦσαν. (Ι.) Ἑβδομαῖοι μὲν οὖν ἰόντες ἐκεῖθεν τὰ περὶ Χριστούπολιν ἀπονητὶ διέβησαν στενά· κἀκεῖθεν αὖθις ὡς διὰ φιλίας πορευόμενοι τῶν ἐνταῦθα διϊσταμένων ἀπεπειρῶντο πόλεων. καὶ τὸ μὲν φθινόπωρον ἐν τούτοις ἐτελεύτα. ὁ δὲ χειμὼν τοῦ συμφυοῦς λοιπὸν τὰς ἀκμὰς ἀνεχάλκευε ψύχους. ιαʹ. Ἡμεῖς δ' ἐπειδὴ μὴ μονοειδῆ τὴν ἱστορίαν ἐκθεῖναι προὐθέμεθα, μηδὲ μόνοις πᾶσαν ἀσχολίαν τοῖς Ῥωμαϊκοῖς παρέχεσθαι πράγμασιν, ἀλλ' ἐνιαχοῦ καὶ παρεξιέναι, τῆς χρείας ὁπώσποτε συνελαυνούσης εἰς τὴν ἀνάγκην, εἰκὸς εἶναι κἀνταῦθα λοιπὸν ἡγούμεθα, τὸν τῆς προκειμένης εἱρμὸν ὑποθέσεως ἐς τὴν ὑστεραίαν ὑπερθεμένους, καθὰ καὶ πολλαχῇ πεποιήκαμεν πρότερον, ἐφ' ἕτερα καὶ τήμερον τρέψαι τὸν λόγον, κἀκείνων μετρίως μνησθῆναι, ὁπόσα κατὰ τὸν αὐτὸν ἐν ἄλλοις ἔθνεσι πέπρακται χρόνον· ἃ δοκεῖ μέν πως ἀλλότρια διὰ τὸ τῶν τόπων ὑπερόριον· ἔστι δ' ὅμως καθ'


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἕτερον τρόπον οἰκεῖα καὶ πάνυ 2.678 ταῖς Ῥωμαϊκαῖς ἀφηγήσεσι κοινωνοῦντα. ἡ γάρ τοι βασιλεύουσα πόλις αὕτη κοινὴ τῆς ὅλης εἰπεῖν οἰκουμένης ἐστὶν ἑστία καὶ κοινὸν πρυτανεῖον· καὶ χορηγεῖ μὲν δαψιλῶς πᾶσαν τοῖς ἅπασι χρείαν· γεωργοῦσι δ' αὐτῇ καθάπερ δεσποίνῃ πᾶσα γῆ τε καὶ θάλασσα καὶ πάντες ἄνεμοι· καὶ ὁρῶμεν πανταχόθεν τὴν σιτοπομπίαν ἰοῦσαν ἀφθόνως ἐνταῦθα χειμῶνος καὶ θέρους, ἦρός τε καὶ φθινοπώρου· καὶ ναυστολοῦσιν εἰς ταύτην ὁλκάδες τε καὶ τριήρεις ἀεὶ, καρπῶν μὲν ἁπάντων ἄγουσαι γονὰς, τεχνῶν δὲ παντοδαπῶν ποικίλματα. πάντα γὰρ ὅσα πᾶσιν ἑκασταχοῦ γίνεται ἀτερπῆ τοῖς κεκτημένοις εἶναι δοκεῖ πως, καὶ φρονεῖν οὐδὲν οὐδαμῇ γενναῖον δύνανται, πρὶν ἂν ἐς τὸ μέγα τοῦτο καὶ οἰκουμενικὸν τῆς πόλεως θέατρον περίβλεπτόν τινα ποιήσωνται τὴν ἐπίδειξιν. δι' ἃ δὴ καὶ ἡμεῖς τὰς τοιαύτας ἀναγκαζόμεθα ποιεῖσθαι παρεκδρομὰς, ἵνα μὴ τὰ τῶν ἐνίοτε καὶ ἐνιαχόθεν συμβαινόντων συμπτωμάτων αἴτια τῇ τε βασιλευούσῃ τῶν πόλεων καὶ τοῖς ἐνταῦθα πράγμασι, μὴ προγινωσκόμενα τοῖς ἐντυγχάνειν τῇ ἱστορίᾳ μέλλουσι, δύσβατά πως καὶ φαραγγώδη φάναι τὰ μεταξὺ χωρία τοῦ λόγου δοκῇ καὶ μακρᾶς τινος εὐκρινείας δεόμενα. (Β.) Καὶ μὲν δὴ λεκτέον ἡμῖν πρότερον, ὁπόσα Τραπεζουντίοις κατὰ τοῦτον συνεπεπτώκει τὸν χρόνον. μετὰ γὰρ τὸν Κομνηνὸν Ἀλέξιον, τὸν ἀδελφιδοῦν Ἀνδρονίκου τοῦ γηραιοῦ βασιλέως Ῥωμαίων τοῦ Παλαιολόγου, Βασίλειος ὁ υἱὸς τὴν τῶν Τραπεζουντίων ἡγεμονίαν διαδεξάμενος ἔγημε νόθον τοῦ νέου βασιλέως Ἀνδρονίκου τοῦ Παλαιολόγου θυγατέρα Εἰρήνην· ᾗ 2.679 καὶ βραχύν τινα συμβεβιωκὼς χρόνον ἐτελεύτησεν ἄπαις. σχοῦσα δὲ τὴν ἡγεμονίαν αὐτὴ ὑπερόριον μὲν ἐς Βυζάντιον ἀπεστάλκει τὴν ἄνθρωπον, ᾗ πρὸς λαθραίαν ἐμίγνυτο κοίτην Βασίλειος, ὁμοῦ τοῖς δυσὶ νηπίοις υἱέσιν· ἅμα τε ἐπρεσβεύετο καὶ δεύτερον ἄνδρα οἱ πεμφθῆναι τῶν παρὰ Βυζαντίοις γένει καὶ δόξῃ προὐχόντων, ὃς ἂν πρὸς βουλήσεώς τε ᾖ τῷ βασιλεῖ καὶ πατρὶ καὶ κατὰ τὴν αὐτοῦ διατελέσῃ βούλησιν τὴν ἀρχὴν διοικῶν τῶν Τραπεζουντίων. οὔπω τοίνυν ἐξ Ἀκαρνάνων ἐπανεληλυθότα τὸν βασιλέα εὑροῦσι τοῖς πρέσβεσιν ἔδοξε μείναντας κατὰ χώραν πέμψαι τοὺς ἐροῦντας ἐκείνῳ τήν τε ἄφιξιν σφῶν καὶ τὸν τῆς ἀφίξεως τρόπον. (Γ.) Ἐπεὶ δὲ τοῦ χρόνου χωροῦντος τῷ Βυζαντίῳ καὶ ὁ βασιλεὺς ἐπιδεδημηκὼς οὐκ εἰς μακρὰν μὲν αὐτὸς ἐτεθνήκει, τὴν δὲ τῶν δημοσίων φροντίδα πραγμάτων γνώμῃ τῆς βασιλίδος Ἄννης Ἰωάννης ὁ Καντακουζηνὸς ἐτύγχανε διοικῶν, μέγας ὢν ἔτι δομέστικος, πρὸς μὲν τῆς τῶν Τραπεζουντίων ἡγεμονίδος Εἰρήνης τὴν ζήτησιν ἐπινεύειν οὐκ εἶχεν εὐθὺς, ἀλλ' ἐφ' ἑτέρας ἐτρέπετο σκέψεις. ὁρῶν γὰρ τὸ διεῤῥωγὸς ἐπὶ πολλὰ τῆς τῶν Τραπεζουντίων γνώμης συνῆκε, μὴ πρὸς ἁπάντων εἶναι τὴν γνώμην αὐτῆς στεργομένην. νόμος γὰρ ἐκείνοις οἷον ἄφυκτα δυνάμενος, μηδ' ὑπ' οὐδενὸς ἑκουσίοις τῶν ἁπάντων γενῶν ἄρχεσθαι βούλεσθαι, πλὴν τῶν ὅσοι τὸ γένος ἐκ Κομνηνῶν κατίασιν ἔχοντες. διὰ δὴ ταῦτα καὶ τὴν ταύτης παρ' οὐδὲν θέμενος αἴτησιν ἐπὶ τὴν ἐκείνων ἡγεμονίαν τὸν τοῦ προτετελευτηκότος Ἀλεξίου πέπομφεν ἀδελφὸν Μιχαὴλ τὸν Κομνηνὸν, περί που τὰ ἓξ καὶ πεντήκοντα ἔτη γενομένην ἔχοντα ἤδη τὴν ἡλικίαν. 2.680 (Δ.) Τῶν γε μὴν ἐκεῖ συγκλητικῶν οἱ μάλιστα πάντων ἰσχύοντες διά τε δόξης ὄγκον καὶ πλούτου δύναμιν ἐφ' ἕτερον ἐτρέποντο βούλευμα. ἵνα γὰρ αὐτοῖς ἐπ' ἀδείας εἴη τῆς ἀρχῆς κατορχεῖσθαι καὶ ἄγειν καὶ φέρειν τἀκεῖ πράγματα ὅπη τὸ βουλόμενον ὑποτίθησιν, ἓν ἐκ τῶν νόθων Βασιλείου βρεφῶν προσεποιοῦντο ζητεῖν εἰς τὸ τῆς ἡγεμονίας πρόσχημα. ὅθεν εἰς τὸ τῆς Τραπεζοῦντος ἐπίνειον καταπεπλευκότα τὸν Κομνηνὸν θεασαμένοις τὰ μὲν βεβουλευμένα δρᾷν ἐς προὖπτον εὐθὺς οὐ μάλα ἐδόκει, ἵνα μὴ φωραθεῖσιν ἐμποδὼν ὁ δῆμος γένηται, σύμμαχον ἔχων καὶ τὴν ἄρτι συγκαταπεπλευκυῖαν τῷ Κομνηνῷ δυοῖν Λατινικῶν νεῶν δύναμιν· ἀλλ' ἐν τῷ αὐτίκα ξύν γε ταῖς ἀνηκούσαις τιμαῖς δεξάμενοι πρὸς τὸ ἐκεῖ ἀρχεῖον ἀνήγαγον. γενομένης δ' ἑσπέρας, αὐτὸν μὲν ὡς ἐν εἱρκτῇ τῷ παλατίῳ κατέκλεισαν· τῶν δ' αὐτῷ προσκειμένων ὄχλων, ὅσοι μὴ δρασμῷ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

διεσώθησαν ἐς τὰς τριήρεις, οἷς μὲν κατακεκόφθαι, οἷς δ' ἐς δεσμωτήριον παραπεπέμφθαι γεγένηται. αὐτὸν δ' αὖ ἐς τὴν ὑστεραίαν διαπόντιον τῷ ἐκτομίᾳ φρουρεῖν ἐπεπόμφεισαν, τῆς τῶν συγκλητικῶν μὲν ἐκείνων φατρίας ὑπάρχοντα καὶ αὐτὸν, ἔχοντα δὲ τὴν τῶν οὑτωσί πως ὠνομασμένων Λιμνίων τηνικαῦτα ἐπιτροπήν· ὧν διακοσίους ἐγγὺς διέχει σταδίους ἡ Τραπεζουντίων μητρόπολις. τούτων δ' οὕτω διαπεπραγμένων, ὑπὸ δυοῖν ἢ τριῶν διῳκεῖτο συγκλητικῶν τὰ ἐκεῖ πράγματα, πλημμελῶς μὲν καὶ λάθρα, τοῦ δήμου σφίσι λοιδορουμένου καὶ στάσιν ἐγείρειν διὰ μελέτης ἔχοντος· διῳκεῖτο δ' οὖν. (Ε.) Ἐπεὶ δὲ τοῖς τὸν κίνδυνον διαδρᾶσιν ἐκεῖνον 2.681 (γένους δ' ἦσαν τῶν Σχολαρίων) ἐς Βυζάντιον ἐπανιέναι συνέβη, καθάπερ ἐκ πελάγους καὶ κλύδωνος ἐς λιμένα τινὰ καὶ γαλήνην, ἔργον ἦν ὅτῳ ἂν δυνηθεῖεν τοῖς διώκταις ἐκείνοις ἀμύνασθαι τρόπῳ. διὸ τὴν βασιλίδα Ἄνναν λόγοις καὶ ὑποσχέσεσιν ὑπελθόντες παντοίοις ἔπεισαν δοῦναί σφισιν εἰς τὴν τῶν Τραπεζουντίων ἡγεμονίαν τὸν τοῦ Κομνηνοῦ Μιχαὴλ υἱὸν, εἰκοστὸν τηνικαῦτα τῆς ἡλικίας ἄγοντα χρόνον. μισθοῦ τοίνυν τρεῖς Λατινικὰς εἰληφότας τριήρεις, καὶ τοῦτον ἐμβεβληκότας, δεκαταίους ἐς τὸν τῶν Τραπεζουντίων κατᾶραι λιμένα συμπέπτωκεν. ἐπεὶ δὲ πρὸς ὅπλα ἐκεχωρήκεσαν ἔνδοθεν οἱ νεωτερίσαντες πρότερον, στάσις ἐγεγόνει τοῦ δήμου κατ' αὐτῶν· καὶ ἅμα καὶ ἡ Λατίνων ἔξωθεν ὁπλισαμένη δύναμις τάς τε πύλας τῆς πόλεως ἀνεμόχλευσάν τε καὶ ξὺν οὐδενὶ πόνῳ τῶν τε ἀντιπάλων τάχιστα ἐγκρατεῖς ἐγεγόνεισαν καὶ τῶν σφῶν οὐσιῶν ἔστιν ἃς διηρπάκεισαν. (΄.) Τῆς οὖν ἡγεμονίας οὕτως ἐς τὸν τοῦ Κομνηνοῦ παῖδα περιεληλυθυίας, καὶ τῶν ἐς τοῦτο ἐσπουδακότων Σχολαρίων τὰ μέγιστα ἤδη δυναμένων, τίσις τῶν τολμηθέντων πρὶν κατὰ σφῶν ἐγένετο αὕτη. τῶν μὲν γὰρ αἰτίων οἱ πρῶτοι καὶ δόξῃ καὶ ἀξιώματι δύο κεφαλικήν τε ἔδοσαν τιμωρίαν καὶ τὰς οὐσίας ἀφῄρηνται. ὅσοι δ' ἐκείνων δευτέραν καὶ τρίτην εἶχον τὴν τάξιν, τούτοις δ' ὑπερόριον σχεῖν κατεψήφιστο δίαιταν διὰ βίου. (Ζ.) Ἀλλὰ πρὶν ὅλους τρεῖς ἐξήκειν ἐνιαυτοὺς, τῆς ἀρχῆς καὶ ὁ νέος ἐκβέβληται ἡγεμών. ἐν γὰρ οὐδενὶ ποιησάμενος τὴν τῶν πρεσβυτέρων ἐκείνων Σχολαρίων παραίνεσιν ἧλιξ ἥλικα ἔτερπε, καὶ νεωτερί 2.682 ζων οὑτωσὶ νύκτωρ καὶ μεθ' ἡμέραν τρυφαῖς καὶ πότοις ἀδεέστερον ἐσχόλαζε, καὶ αὐλητρίσι καὶ ὀρχηστρίσι διετέλει συνασελγαίνων καὶ τοὺς ἡγεμονικοὺς θησαυροὺς τῶν Τραπεζουντίων ἀναλίσκων ἐν τοῖς τοιούτοις· ὡς ἀγανακτήσαντας τοὺς Σχολαρίους μεταπέμψασθαί τε τὸν πατέρα τοῦ νέου ἡγεμόνος ἐκ τῶν Λιμνίων Μιχαὴλ τὸν Κομνηνὸν (ἔτυχε γὰρ καὶ ὁ κατέχων αὐτὸν ἐκτομίας ἐκεῖ προτετελευτηκὼς) καὶ αὐτὸν μὲν τοῖς ἡγεμονικοῖς ἐγκαθιδρύσασθαι θρόνοις, τὸν δὲ νεωτεριστὴν δέσμιον ἐς τὴν τῶν Βυζαντίων ἐκπέμψαι φρουράν. (Η.) Τήν γε μὴν ἡγεμονίαν οὕτω διαζωσάμενος ὁ Κομνηνὸς Μιχαὴλ, ἣν πάλαι μὲν ὁ πατὴρ ἐκ διαδοχῆς εἶχε προγονικῆς, ἐκείνου δ' ἀπαλλάξαντος, Ἀλέξιος ὁ τούτου διεδέξατο ἀδελφὸς, καὶ μετ' ἐκεῖνον, ὥς γε εἰρήκειμεν, διὰ τῶν μεταξὺ δυοῖν μειρακίων εἰς τοῦτον κατεληλυθέναι ξυνέδραμεν, ἐπέραινεν ἐφ' οἷς ὁμωμόκει. τὰ δὲ ἦν αἱ συμφωνίαι καὶ τὰ ὁρκωμοτήρια, ὅσα γε τοῖς Σχολαρίοις, αἰτίοις ὑπάρξασι τῆς ἡγεμονίας αὐτῷ καὶ δύναμιν τῶν ἄλλων συγκλητικῶν κεκτημένοις μείζω καὶ ἡγεμονικὴν, συνέθετο· σχῆμα μὲν αὐτὸς διασώζειν ἡγεμονίας· τῶν δ' ὅσα πράσσεσθαι μέλλοι πάντων εἶναι προβουλευτὰς καὶ διανομέας σφᾶς, καὶ ῥητῶν καὶ ἀπορρήτων ἐπιγνώμονας καὶ βεβαιωτάς. (Θ.) Τοῦ δὲ χρόνου ῥέοντος, ἐπειδὴ τὴν σφῶν αὐθάδειαν ὅ,τε δῆμος ἐμίσει καὶ τό σφισιν ἀντικείμενον τῶν ἀπολωλότων μέρος εἰς τὸ δύνασθαι ἤδη προὐχώρει, τὴν τοῦ δήμου πρὸς ἐκείνους ἀπέχθειαν ἔχον ἐπίκουρον, ἔριδές τε καὶ στάσεις ἀναφυόμεναι μεταξὺ πρὸς 2.683 ἀνάγκας ἦγον ἑκατέρους δεῖσθαι τῆς τοῦ Κομνηνοῦ Μιχαὴλ αὐτοκρατορικῆς ἐξουσίας· κἀντεῦθεν ξυνέβαινεν αὐτὸν ἐν βεβαίῳ κατέχειν τὰ τῆς ἡγεμονίας σκῆπτρα, μηδενὸς ἐμποδὼν τῇ ἐξουσίᾳ τῶν κατὰ γνώμην καθισταμένου. καὶ ταῦτα μὲν τῇδέ πη ἔσχεν. ιβ΄. Ἐν δὲ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τούτῳ τῷ χρόνῳ σπάνις ἐπίεζε σίτου Βυζαντίους τε καὶ πλείστας τῶν ἐν τῇ Θρᾴκῃ Ῥωμαϊκῶν πόλεων. τῶν γάρ τοι Ῥωμαίων τοῖς ἐμφυλίοις περισπωμένων πολέμοις, συχνὰς ποιούμενοι τὰς ἐφόδους οἱ ἐξ Ἀσίας ἀδεῶς μονήρεσι καὶ τριήρεσιν ἐς τὴν Θρᾴκην περαιούμενοι Τοῦρκοι, καὶ μάλιστα ἐν ἀκμῇ τοῦ σίτου, τάς τε χώρας ἐνεπίμπρασαν καὶ τὰ κτήνη ἤλαυνον, ἄνδρας τε καὶ γυναῖκας ἠνδραποδίζοντο, καὶ πάντ' ἐποίουν τὰ χαλεπώτατα· ὡς ἀοίκητόν τε καὶ ἀγεώργητον ἐντεῦθεν καταλειφθῆναι τὴν γῆν. μία μὲν οὖν αὕτη πρόφασις Ῥωμαίοις γίνεται τοῦ λιμοῦ. δευτέρα δὲ καὶ μείζων, ὅτι καὶ ἡ ἐκ τοῦ Εὐξείνου πόντου κατὰ τὸ εἰωθὸς ἐνιαύσιος κατιοῦσα σιτοπομπία ἐξ αἰτίας ἐπαύσατο τῆσδε καὶ αὕτη. (Β.) Ἔστι Λατίνων τῶν ἐκ Γεννούας ἄποικος πόλις, ἣ πρὸς τῶν ἐγχωρίων καλεῖται Καφᾶς, καὶ τοῦ πρὸς τῇ Μαιώτιδι Βοσπόρου τριακοσίους καὶ χιλίους σταδίους διέχουσα, παρὰ τὰ εὐώνυμα τοῦ Εὐξείνου πόντου κειμένη πλευρὰ, εἴ τις πρὸς ἄρκτους ποιεῖσθαι τὸν ἀνάπλουν ἐθέλοι, καὶ τόν τε βόρειον πόλον καὶ τὴν Ἑλίκην ἔχειν πρὸ ὀφθαλμῶν. εἰωθὸς γὰρ τοῖς Λατίνοις, καὶ μάλιστα τοῖς ἐκ Γεννούας, ἐμπορικῷ τὰ πλεῖστα καὶ θαλαττίῳ βίῳ προσταλαιπωρεῖσθαι, καὶ τὰς τῶν χρημάτων προσόδους τῶν τε κοινῶν καὶ ἰδίων ἐντεῦθεν 2.684 πορίζεσθαι, δόγμα τουτὶ κοινὸν ἐκ πολλοῦ κατέστη καὶ ψήφισμα τῇ σφῶν πολιτείᾳ τὰ μέγιστα ὠφελοῦν, σπονδὰς καὶ φιλίας συντίθεσθαι πρὸς τοὺς τῶν παραθαλασσίων πόλεων ἡγεμόνας, ὁπόσας λιμένες ἀγαθοὶ περικλύζουσί τε καὶ προσκλύζουσι, καὶ ἀνέμων οὐ δεδίασι κλύδωνας. ἀναγκαζομένοις γὰρ ἐς τοὺς αὐτόθι τόπους καταίρειν, καὶ τὰς ἐμπορικὰς χρείας διδόναι τε καὶ λαμβάνειν, οὐ πρότερον ἔδοξε ῥᾴδιόν σφισιν εἶναι, πρὶν φίλους γίνεσθαι, οἷς τῶν ὁρμητηρίων ἡγεμόσιν εἶναι συμπέπτωκε. φόρους τοίνυν παρέχεσθαι ὑπισχνούμενοι, καθ' ὁπόσην καὶ οἵαν τὸ σύνθημα γένοιτο ἑκατέρωθεν τάξιν, καὶ χρειωδῶν ἁπανταχόθεν ἁπάντων εἰσκομίζοντας προτιθέναι κατ' ἐξουσίαν ὠνεῖσθαι τοὺς βουλομένους, καὶ οὕτως ἐπὶ ῥητοῖς τὸ συγκεχωρηκὸς δεχόμενοι καταγώγια καὶ νομὰς ἐπαύλεων πρός τε ἑαυτῶν ἀνεγείρουσι καθέδρας τε καὶ οἰκήσεις, καὶ ὅσα πρὸς ὑποδοχὴν ἀποχρῶντ' ἂν εἴη τῶν ἀγωγίμων. (Γ.) Κατὰ δὴ τοῦτον τὸν τρόπον οὐ πολλοῖς τισιν ἔτεσι πρότερον καὶ ἡ ῥηθεῖσα πόλις ᾠκίσθη τοῖς ἐκ Γεννούας Λατίνοις, προσεληλυθόσι πρότερον τῷ τῶν Σκυθῶν ἡγεμόνι καὶ τὸ ἐνδόσιμον εἰληφόσιν ἐκεῖθεν. ἥκιστά γε μὴν ὡς ἔχει τήμερον τείχους ὁμοῦ καὶ μεγέθους εὐθὺς ἔκτισται ἐξ ἀρχῆς, ἀλλὰ τάφρῳ καὶ σκόλοψι βραχύν τινα χῶρον ὁρίσαντες ἀτείχιστον ᾤκουν αὐτόν· ἠρέμα δ' ἔπειτα καὶ κατὰ βραχὺ προϊόντος τοῦ χρόνου λίθους ἔκ τε γῆς καὶ θαλάττης κομίζοντες οἰκίας ἔς τε πλάτος καὶ μῆκος ᾠκοδόμουν, πρὸς πολὺν τὸν ἀέρα τὸν ὄροφον ἀναφέροντες· ὡς ἐν βραχεῖ τῷ χρόνῳ πλείονος ἢ κατὰ 2.685 τὸν δοθέντα κατὰ τὸ λεληθὸς δράξασθαι τόπου. προφάσει δ' οἰκιῶν πλειόνων ἔτι καὶ μειζόνων, τῆς χρείας δῆθεν τῶν εἰσκομιζομένων ἀναγκαζούσης καὶ τῶν πρὸς τὴν πρᾶσιν καὶ ἀγορὰν προτιθεμένων ὠνίων, εὐρυχωροτέρους ἐτίθεντο τοὺς τῶν σκολόπων τε καὶ τάφρων ἕλικας, καὶ τειχῶν ὑπετίθουν κρηπῖδας, μειζόνων ἐλπίδων ἐπαγγελίαν ἐχούσας· καὶ οὕτω σμικρὸν ἐπὶ σμικρῷ τιθέντες πόλιν ἐχυρῶς τοῦ τειχίσματος ἔχουσαν κατεστήσαντο· ὡς ἐν βεβαίῳ τὴν τῶν ἐνοικούντων ἀσφάλειαν ἤδη κεῖσθαι, καὶ μὴ εὐχερῶς ὑφ' ὁτωνδήποτε ἔχειν πολιορκεῖσθαι. (Δ.) Τῷ δὴ τοιούτῳ προτερήματι τοὺς Λατίνους ἐπαρθέντας πρὸς τὸ ὑπεροπτικώτερον αὔξειν συνέβαινε τὴν σφῶν αὐτῶν συγγενῆ τῆς αὐθαδείας κηλῖδα· ὡς ἐκ τοῦ μείζονος ἤδη καὶ τοῖς κατὰ συνήθειαν προσιοῦσι Σκύθαις τὰς ἀποκρίσεις διδόναι. ἄρτι τοίνυν θρασύτερον λόγον ἀποδοὺς ἑνί τινι τῶν ἐν τῇ ἀγορᾷ Σκυθῶν τις τῶν τὰ ὤνια κεκτημένων Λατίνων μύωπι πέπληκται πρὸς τοῦ Σκύθου. ὁ δ' εὐθὺς ἀνεῖλε ξίφει τὸν παίσαντα· καὶ θόρυβος ἐντεῦθεν ἀνὰ τὴν ἀγορὰν διεσκέδασται πάνυ τοι πλεῖστος. (Ε.) Τοῦτο πρὸς ὦτα γενόμενον τῷ τῶν Σκυθῶν ἀρχηγῷ ὀργῆς ἐπεπράχει πλήρη καὶ θυμοῦ βαρβαρικοῦ μεστόν· περιφρόνησιν γὰρ ἑαυτοῦ τὴν μεγίστην εἶναι τὸ πρᾶγμα ᾠήθη, πρὸς μέσην αὐτοῦ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τὴν ἡγεμονίαν καὶ ἐπικράτειαν γεγονός· καὶ πέμψας ἀπαλλάττεσθαι τοῦ οἰκείου τόπου τὴν ταχίστην ἐκέλευε τοὺς Λατίνους. οἱ δὲ πρὸς ὅπλα χωρήσαντες, καὶ τὴν πόλιν ἀσφαλισάμενοι, τραχέσι λόγοις καὶ ὑπερηφάνοις τοὺς πρέσβεις ἀπέπεμψαν. τοῦτο πρὸς ἐσχάτην ἐξέμηνε τὸν Σκύθην ὀργὴν ἔτι· καὶ μοῖραν 2.686 ἀπολεξάμενος Σκυθικὴν, καὶ μάλα ἄλλην, οὐκ ἀνίει πέμπων ἄλλην ἐπ' ἄλλῃ συχνὰ πρὸς πολιορκίαν αὐτῶν. (΄.) Ἀλλ' ἐκεῖνοι τὰς ἐπάλξεις ἔνδοθεν καταφράξαντες ἀνδράσι καὶ ὅπλοις καὶ πᾶσι μηχανήμασιν ἐκηβόλοις πολλὰ τῶν Σκυθικῶν κατεγέλων βελῶν. ἄλλως τε καὶ θαλαττοκρατοῦντες αὐτοὶ, καὶ τὴν τῶν ἐπιτηδείων ἀφθονίαν ἐκ θαλάσσης ἐσκομιζόμενοι, περὶ ἐλαχίστου τὰς τῶν Σκυθῶν ἐφόδους τε καὶ περιστρατοπεδεύσεις ἐτίθεντο· καὶ τό γε μεῖζον, ὅτι τριήρεσι πλείσταις περιπλέοντές τε καὶ παραπλέοντες πᾶσαν τὴν τῶν Σκυθῶν παραλίαν δύο τὰ χαλεπώτατά σφισι προὐξένουν· ἓν μὲν, ὅτι μηδαμῇ καταίρειν τῶν φορτηγῶν ὁλκάδων οὐδ' ἡντινοῦν συνεχώρουν ἀγορᾶς καὶ πράσεως ἕνεκα· ὃ σφόδρα ἐκείνους ἐλύπει, τό,τε περιττεῦον ἀνόνητον ἔχοντας καὶ τὸ ἐνδέον ἀνεπινόητον· δεύτερον δ', ὅτι καὶ τῶν νεῶν ἐκπηδῶντες ἐνίοτε καὶ ἐνιαχοῦ πολλὴν ἐκ τῆς Σκυθικῆς κατῆγον τὴν λείαν ἐς τὰς τριήρεις· ὡς ἀντεστράφθαι τὰ τῆς πολιορκίας καὶ πολιορκεῖσθαι μᾶλλον τοὺς Σκύθας δοκεῖν, ἢ πολιορκεῖν. (Ζ.) Ἐν δὴ τοῖς τοιούτοις μακροῦ μεταξὺ τριβομένου τοῦ χρόνου, σίτου τε σπάνει τὰς Ῥωμαίων πιέζεσθαι πόλεις καὶ ὅσα τῶν ταριχευτῶν ἐδωδίμων ἐκ τῆς Μαιώτιδος καὶ τῶν ἔγγιστα ποταμῶν συνηνέχθη. ἔξεστι μέντοι θαυμάζειν, ὁπόσοις μὴ διασέσεισταί πως τὸ λογιζόμενον τῆς ψυχῆς, ὅπως ἀποκλεισθείσης οὑτωσὶ τῆς ἄνωθεν σιτοπομπίας, ἐμέλησεν εὐθὺς τῇ προνοίᾳ σιτοπομπίας ἑτέρας ἀνεῳγέναι θύραν. Ἰωνία γὰρ καὶ Φρυγία καὶ πρός γε Βιθυνία, καὶ ὅσον ἐπέκεινα χῶρον 2.687 χεῖρες Περσικαὶ γεωργοῦσι, πολὺν ἐχορήγουν τηνικαῦτα τὸν σῖτον ταῖς πόλεσι, καὶ ψυχοῤῥαγούσας ἡ θεία πάλιν οὕτως ἀνέῤῥωσε χείρ. (Η.) Τήν γε μὴν Λατινικὴν κατὰ Σκυθῶν ἐκείνην αὐθάδειαν εἰς νοῦν οἱ Τραπεζούντιοι βαλλόμενοι καὶ δείσαντες, μὴ καὶ κατ' αὐτῶν τι νεωτερίσωσιν ὅμοιον καὶ οἱ παρὰ σφᾶς προσοικοῦντες ὁμοίως Λατῖνοι, περιστάντες αἰφνίδιον τοὺς μὲν πλείους ἔργον ἀπέφηναν ξίφους· οἷς δὲ περιλειφθῆναι συμπέπτωκε, τούτοις δὲ ταπεινότερον κεχρῆσθαι Τραπεζουντίους διαγέγονε τοῦ λοιποῦ. καὶ ταῦτα μὲν τῇδέ πη ἔσχεν. ιγ΄. Ὥσπερ δὲ ψηφίσματος κατὰ τοῦτον τὸν χρόνον καὶ κοινοῦ τινος δόγματος ἐκ θεοῦ κατὰ πάσης ὁμοῦ κυρωθέντος τῆς οἰκουμένης, ἀρχάς τε καὶ ἐξουσίας, καὶ ὅσαι δημοκρατίαι καὶ ἀριστοκρατίαι, συγκεχύσθαι στασιασθείσας ἐφ' ἑαυτὰς καὶ πρὸς ἐμφυλίους ἀναῤῥιπισθείσας μάχας, οὐδὲν οὐδαμῇ σχεδὸν ἐλλέλειπται μέρος, ὃ μὴ τοῦ τοιούτου παραπολελαύκει δεινοῦ, εἰ καὶ μὴ κατὰ τὸν ἴσον δήπουθεν τρόπον, ἔς γε τὸ μεῖζον καὶ ἧττον. κρίματα γὰρ εἶναι ταῦτα θεοῦ πάντας θνητοὺς λογισμοὺς ὑπερβαίνοντα, εἰ μή πού τις ἐξ εἰκασίας τινὸς στοχαζόμενος φάσκει παλαιωθεῖσαν κακίᾳ τὴν γῆν, καὶ δευσοποιοῖς τισι καπηλευθεῖσαν κηλῖσι, καθαρόν τε καὶ πάσης χαμερποῦς ἐμβριθείας ὑπέρτερον χαρίσασθαι βουληθέντος ταύτῃ πτερὸν, ἵν' ἐλευθέριον καὶ μετέωρον καὶ εἰρήνης ὀψέ ποτε ἀναπνεύσῃ τερπνότητα, εὐνομίας καὶ δικαιοσύνης ἀγομένη κανόσι καὶ στάθμαις. (Β.) Καὶ 2.688 πρῶτον μὲν οἱ ἐν Γεννούᾳ τῇ πόλει Λατῖνοι Τοῦζον ἐκεῖνον, ὃν εἰς δουκὸς ἀνήγαγον ἐκ μακέλλης ἀξίαν πρό γε δυοῖν τοῖν ἐνιαυτοῖν, συστάντες ἀρτίως ἐξήλασαν, ἐκπολεμωθέντων λάθρα κατ' αὐτοῦ πρὸς τῶν περὶ Σπίνουλαν καὶ Σερτώριον εὐγενῶν· οἳ τῆς ἐξουσίας ἐπειλημμένου Τούζου, τῆς πόλεως ἐξώσθησαν ἀγεννῶς, τῶν δημοτῶν ἅτε ἐπὶ μέγα δυνάμεως ἐληλυθυῖαν ἰδόντων τὴν τούτων ἀρχὴν καὶ τυραννικώτερον ἤδη τῶν δημοσίων ἁπτομένην πραγμάτων. συγχωρηθέντες γὰρ αὖθις ἐντὸς γενέσθαι Γεννούας μετριώτερον ἄγοντας βίον, τοῖς δὲ βραχὺ μετριάσασι τάχιστα παλινδρομεῖν ἐδόκει ἐς τὴν πρὶν ὑπερηφανίαν καὶ τὸν τυραννικὸν ἐκεῖνον τῦφον. ὅθεν συστάντων ἐπ' αὐτοὺς αὖθις τοῦ δήμου, τῆς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

πόλεως ἀγεννέστερον νῦν ἐξωθοῦνται· καὶ γίνεται δοὺξ ἕτερος, τῷ πρὶν παραπλήσιος, ἐξ εὐτελῶν καὶ αὐτὸς τὰς τύχας ἕλκων τοῦ γένους· ὡς ἂν ἐνθύμιον σύντροφον ἔχων ἀεὶ τὴν τοῦ γένους κηλῖδα καὶ τὰς ἐκ γενέσεως τύχας ἐν τῷ μετρίῳ καὶ προσηνεῖ τοῦ φρονήματος ἐρείδῃ τῶν λογισμῶν τὰς κρηπῖδας. (Γ.) Ἀλλὰ καὶ τοῦ τῶν Αἰγυπτίων μεταλλάξαντος ἡγεμόνος εἰς πολλὰ τὴν ἀρχὴν τοῖς παισὶ διελοῦσι στασιάζειν πολὺν πρὸς ἀλλήλους ἤδη χρόνον γεγένηται· ὡς καὶ τὰ τῶν Αἰγυπτίων ὑποῤῥεῖν καὶ ἐς τὸ ἀσθενέστερον ἐντεῦθεν ἀεὶ ξυνελαύνεσθαι πράγματα. (Δ.) Ναὶ μὴν καὶ οἱ περὶ τὸν Ἄτλαντα τὸν ἑσπέριον Λίβυές τε καὶ Μαυρουσίων οἱ πλείους, Ἀννίβαν ἐκεῖνον τὸν πάλαι τὸν Καρχηδόνιον μιμησάμενοι τέως, πλήθει μεγάλων δυνάμεων τὸν Γαδειραῖον διαπεραιούμενοι τράχηλον τοῖς μὲν Εὐρώπην οἰκοῦσι 2.689 γένεσι τῶν Ἱσπανῶν διὰ μάχης γίνονται, καὶ πολέμοις πολέμους συνάπτοντες ἐπὶ μείζους βαδίζουσι μάχας ἀεί. (Ε.) Καὶ Βρεττανοὶ δ' ὁμοίως, ναυτικαῖς δυνάμεσι διαβαίνοντες ἐς τὴν Κελτῶν ἤπειρον, μεγάλους συγκροτοῦσι πολέμους. (´.) Ἔτι μὴν τὸ Σκυθικὸν ἐκεῖνο γένος, οἳ τὴν Ἀσσυρίων καὶ Μήδων καὶ Περσῶν, καὶ ὅσα ἐπέκεινα τῶν ἐθνῶν, πάλαι πολὺν ἤδη χρόνον κατέσχον γῆν καὶ τὸ τῆς αὐθεντίας ἅπαν ἐκείνων κράτος, νῦν εἰς διαφόρους διαλυθέντες ἀρχὰς συχνὰ κατ' ἀλλήλων ὁπλίζονται, κἀπὶ μέγα καπνοῦ καὶ φλογὸς ἐγερεῖν ἡ τούτων ἔρις ὑπισχνεῖται τὸν ἐκ τῆς μάχης φόνον. (Ζ.) Ἄρτι δὲ καὶ συνδρομὴν τὰ τῶν διαφόρων Λατίνων ποιησάμενοι γένη κατὰ τῶν Περσικῶν ἐξῄεσαν νεῶν, ὅσαι πειρατικόν τινα βίον καὶ λῃστρικὸν ἀναμετροῦντες ληΐζονται τὰς ἐκείνων ὁλκάδας τε καὶ τριήρεις, ὅσαι κατ' ἐμπορίαν ἀνιοῦσαί τε καὶ κατιοῦσαι τὴν θάλατταν ἅπασαν τὰς ἐμπορικὰς κομίζονται χρείας. τῶν γε μὴν εἰρημένων νεῶν εἰς ἑπτὰ καὶ εἴκοσιν ἦν ὁ ἀριθμὸς ἀνιών. Κύπριοι δ' ἦσαν αὗται καὶ Ῥόδιοι, Σαλαμίνιοί τε καὶ Οὐενετῶν, καὶ ὅσαι πρός τε Πάππα καὶ Γεννούας συνήεσαν. πᾶσαι δ' ὁμοῦ παρὰ τὸν τῆς Σμύρνης ἐξαίφνης καταπεπλευκυῖαι λιμένα εἷλον ἐξ ἐφόδου καὶ ὃ παρὰ τὸν λιμένα φρούριον ἦν Περσικόν. καί σφισι μὲν ἦν κατὰ γνώμην, ὡς ἐξ ἀσφαλοῦς ὁρμητηρίου συχνὰ ἐπεκθέουσιν ἐκεῖθεν ἐς τὴν μεσόγειον ἀνωθεῖν ἐκ τῶν παραλίων ἠρέμα τὸ βάρβαρον πᾶν. τά γε μὴν πράγματα ἥκιστα κατὰ γνώμην ἦν προχωροῦντα. 2.692 α´. Ἀλλὰ ταῦτα μὲν ὕστερον ἐν τοῖς προσήκουσι τόποις λελέξεται διαρκέστερον. νῦν δ' ἐπανιέναι ἡμῖν ἀναγκαῖον ἂν εἴη, ὁπόθεν εἰς ταῦτα προήχθημεν καὶ ὅπη τὸν πρὶν ἡμεῖς κατελύσαμεν λόγον. ἦν δ' ἡ περὶ τὰ τῆς Χριστουπόλεως στενὰ τοῦ Καντακουζηνοῦ διάβασις ὁμοῦ τῷ Ἀμοὺρ, τῷ τῶν Περσῶν ἐκείνῳ σατράπῃ. διαβάντι γὰρ ἔδοξε πεῖραν προσάγειν ταῖς πόλεσι, καὶ οἷς μὲν καθ' ὁμολογίαν παραδιδόναι οἱ σφᾶς αὐτοὺς ἐθελοντὰς πρὸς βουλήσεως εἴη τῇ ἐκείνου χειρὶ, τῶν προσηκόντων γερῶν ἀξιοῦν· οἷς δὲ τοὐναντίον, τούτοις δὲ τοὐναντίον. (Β.) Μεθ' ἡμέρας οὖν ἀναλαβὼν τὰς δυνάμεις ἧγεν ἐπὶ τὴν πόλιν, ᾗ Περιθόριον ὄνομα. ἣν δὴ καὶ περιστρατοπεδεύσαντες, ἐπεὶ κἀκεῖνοι πολεμεῖν ἔγνωσαν, ἐπολιόρκουν. ἐπεὶ δ' ἐπὶ πολλαῖς κάμνοντες ταῖς ἡμέραις ἐπέραινον οὐδὲν, ἄπρακτος λοιπὸν ἀναζεύξας ἐκεῖθεν οὐδὲ μιᾷ τῶν ἄλλων ἔτι προσάγειν βεβούληται· ἀλλ' ὅλαις ἡνίαις ἤλαυνεν ἐπὶ Διδυμότειχον, οὐκ ἀγαθὸν κἀν ταῖς ἄλλαις εἶναι κρίνας οἰωνὸν τὴν ἀποτυχίαν εὐθὺς ἐξ ἀρχῆς ἐκείνης τῆς πόλεως. (Γ.) Αὐτόθεν τοίνυν λαμπρῶς αὐλιζόμενοι, καὶ τῆς μακρᾶς ἐκείνης καὶ ἐπιπόνου διαίτης τὴν ἀνάλογον ἀλλαττόμενοι θυμηδίαν τε καὶ ῥᾳστώνην, φρουρούς τε ἐκείνους Διδυμοτείχου τῆς πόλεως καὶ ἅμα στρατιώτας καὶ στρατηγοὺς ταῖς προσηκούσαις ἠμείβετο δεξιώσεσι καὶ φιλοφροσύναις· καὶ πρό γε πάντων Εἰρήνῃ τῇ βασιλίδι πολλοὺς ἀπὸ γλώττης τοὺς ἐκ ψυχῆς ἀπεδίδου χαριστηρίους, ὧν τε ἐκαρτέρησε μακρῶν ὁμοῦ καὶ ποικίλων ἀνια 2.693 ρῶν ἐν τῷ τῶν μεταξὺ μεγάλων ἐκείνων πραγμάτων κλύδωσι καὶ ὧν ἐνεδείξατο γενναίων ἀγώνων, ἔν τε βουλαῖς καὶ δώροις παντοίοις καὶ μειλιχίοις λόγοις, δι' ὧν ὁμοῦ στρατηγούς τε καὶ στρατιώτας ἀνεῤῥώννυέ τε καὶ πρὸς τὸ εὐψυχότερον



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

διανίστασθαι παρεσκεύαζε· πὴ μὲν θωπεύουσα, πὴ δ' ἐλέγχουσα· καὶ πὴ μὲν ταῖς ὀξυῤῥόποις τῶν πραγμάτων ἐκείνων ποικίλαις μεταβολαῖς τὴν τῆς οἰκείας ἀντιτιθεῖσα διανοίας ὀξύτητα, πὴ δ' οἰκονομικῶς ἀντιπράττουσα ταῖς ἐκ Βυζαντίου λάθρα καὶ συχνὰ προσιούσαις ἄλλοτ' ἄλλοις τῶν ἐς Διδυμότειχον στρατιωτῶν ὁμοῦ καὶ στρατηγῶν ὑποσχέσεσί τε καὶ δολεροῖς μηχανήμασι, καὶ λαμπρῶς ἀνιστῶσα κινδυνεύοντα πίπτειν φρονήματα. μάλιστα δὲ τοῦ δραστηρίου καὶ τῆς ἀγχινοίας αὐτὴν ὁ σατράπης Ἀμοὺρ ἐξεπλάγη τεθαυμακώς, ἐπειδή γε ἐμεμαθήκει ταύτην οὖσαν αἰτιωτάτην, ἀνθρωπίνως εἰπεῖν, τῆς διαμονῆς καὶ συστάσεως τοῦ τε στρατοῦ καὶ Διδυμοτείχου τῆς πόλεως καὶ δι' αὐτῶν τῆς τῶν ὅλων τῷ βασιλεῖ πραγμάτων ἐν ἀσφαλεῖ καταστάσεως. καὶ ταῦτα μὲν τοῦτον ἔσχε τὸν τρόπον· καὶ ὁ χειμὼν ἐν τούτοις ἐτελεύτα. (Δ.) Ἦρος δ' ἀρχομένου οἱ μὲν Βυζάντιοι τῶν ληστρικῶν κατὰ Διδυμοτείχου πολέμων καὶ λόχων ἀποστάντες, δέει τῆς ἐκεῖ Περσικῆς δυνάμεως, πρὸς ἕτερα πάλιν ἐχώρουν βουλεύματα. καὶ δὴ βέλτιον ἔδοξεν εἶναί σφισι, χρημάτων ἀφθονίᾳ κρύφα περιεληλυθόσιν Ἀμοὺρ, τὸν σατράπην καὶ ἡγεμόνα τῆς Περσικῆς δυνάμεως, πεῖσαι καταλιπόντα Θρᾴκην καὶ φίλων ἔρωτας οἴκαδε πρὸς Ἀσίαν τάχιστα ἐπανήκειν. (Ε.) Τὰς δὲ τοιαύτας ὑπο 2.694 σχέσεις ἐκείνου δείξαντος Καντακουζηνῷ, ἔδοξε τὰς τοιαύτας ἐπινοίας ἑτέραις κατασοφίσασθαι βαθυτέραις. "1χρήματα γὰρ εἰς δέκα,"2 φησὶ, "1χιλιάδων ἐπέκεινα ἀριθμὸν ἀνιόντα τοῖς Βυζαντίοις ἐκδεδωκόσιν, σφίσι μὲν ζημία μεγίστη γίνεται καὶ ἀσθένεια πρὸς τὰ πολεμικά· ἡμῖν δὲ λαβοῦσιν ἰσχὺς προστίθεται μάλα κρατίστη πρὸς τὸ τῆς κοινῆς ταυτησὶ μάχης κλυδώνιον."2 τούτων τοίνυν εἰς τοῦτο μελέτης ἰόντων καὶ πρός γε μειζόνων ἐπὶ τούτοις ἑτέρων, καὶ ἅμα προστιθεμένης καὶ τῆς τοῦ Περσικοῦ ταλαιπωρίας στρατοῦ, ὁποία καὶ ὅση διάγουσιν ἐν ἀλλοτρίᾳ γῇ, καὶ μηδὲν εἰς αὐτάρκη τοσούτου στρατοῦ κεκτημένῃ δίαιταν, ᾤχετο διαβὰς εἰς Ἀσίαν ὁ σατράπης Ἀμοὺρ μετὰ τῆς δυνάμεως, ἐπαγγειλάμενος ὀλίγῳ ὕστερον ἐπίκουρος ἰσχυρότερος Καντακουζηνῷ ἐπανήξειν. β΄. Κατὰ δὲ τοῦτον τὸν χρόνον ἐξαίσιοί τινες ἀνεῤῥώγεσαν κατὰ Βυζαντίου καὶ τῶν αὐτοῦ προαστείων σεισμοὶ καὶ βρασμοὶ θαλάττιοι, καὶ ὡς ἐκ πετροβόλου θυμοῦ πλήρους ἐῤῥίφησαν κατὰ τῶν τῆς γῆς καρπῶν χάλαζαι· ὡς ἐκεῖνα τῆς γραφῆς συμπεσεῖν· ψεύσασθαι ἔργον ἐλαίας, καὶ τὰ πεδία μὴ ποιῆσαι βρῶσιν· συκῆν τε μὴ καρποφορῆσαι καὶ γεννήματα ἐν ταῖς ἀμπέλοις οὐκ εἶναι· ἐκλιπεῖν τε ἀπὸ βρώσεως πρόβατα καὶ μὴ ὑπάρξαι βόας ἐπὶ φάτνας. ἄρξασθαι μέντοι συνέβη τοὺς τοιούτους σεισμοὺς καὶ κλόνους τῆς γῆς ἐν μέσῳ που τῷ φθινοπώρῳ, ἄρτι τοῦ ἡλίου τὰ τοῦ σκορπίου προοίμια παραλλάττοντος. καὶ τὴν μὲν πρώτην ἡμέραν δὶς ἐτίναξε τὴν γῆν ὁ θεός· οὕτω γε μὴν ἐμβριθῶς, ὡς ἀπογνῶναι τοὺς πλείστους τὸ ζῆν ὑπὸ δέους· οἰκίας τε καταπε 2.695 σεῖν ἐγεγόνει καὶ τὰ πλεῖστα τῶν τοῦ Βυζαντίου τειχῶν. ἀμπέλων δὲ φραγμοὺς καὶ κήπων περιβόλους οὐδὲ μεμνῆσθαι χρή. πάντες γὰρ μικροῦ κατεῤῥίφησαν ἄχρι κρηπίδων· ὡς δυσπρόσοδον γίνεσθαι πᾶσαν ἀγυιὰν τοῖς παριοῦσι, σωρηδὸν ἐῤῥιμμένων τῶν ἐντεῦθεν ἐρειπίων. (Β.) Ἐκκέχυται δ' ὁμοῦ καὶ τὸ τῆς θαλάττης ῥόθιον ὡς πоῤῥωτάτω τῆς χέρσου· καὶ μάλισθ' ὅπη πεδιὰς καὶ ἱππήλατος ἦν ἡ γῆ, μέχρι καὶ ἐς δέκα σταδίους. συνεξήλασε δ' ἔνια καὶ ἐνιαχοῦ τῶν ἀκατίων, ὅσα πρὸς τοῖς λιμέσι καὶ τοῖς ἄλλοις παραλίοις, καὶ συνέτριψεν ἐν τῇ μεσογείῳ· καὶ πλείστας δὲ κατέκλυσε χώρας, αὐτοῖς ἀνδράσι καὶ ποιμνίοις καὶ ζεύγεσι. παλινδρομοῦντός γε μὴν τοῦ ῥοθίου μεθ' ἱκανὸν πρὸς τὰς συνήθεις καὶ τεταγμένας εὐνὰς, ἦν ἰδεῖν ἰλύος τὰ πάντα μεστὰ καὶ ἰχθύων νεκρῶν. (Γ.) Αἴσθησιν μέντοι τοῦ τοιούτου γενέσθαι φασὶ τιναγμοῦ καὶ σεισμοῦ μέχρι Λυσιμαχίας, καὶ βραχύ τι Χεῤῥονήσου ἐπέκεινα· ἥκιστα δ' οὖν τὸν ἴσον γε τρόπον· ἀλλ' ὥσπερ ἐξ ὁρμητηρίου καὶ ῥίζης τινὸς ἀρξάμενον τοῦ Βυζαντίου ἠρέμα καὶ κατὰ βραχὺ προϊόντα τε ἐνδιδόναι καὶ ὑφειμένως βαδίζουσαν κατὰ τὸ ἀνάλογον ἀεὶ ταῖς ἐφεξῆς παραπέμπειν χώραις καὶ πόλεσι τὴν τοῦ κλόνου



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

συνάφειαν· παραμεῖναι δ' ἄχρι καὶ αὐτοῦ γε τοῦ θέρους ἐφ' ἡμέρᾳ καὶ νυκτὶ, μείζω τε καὶ ἐλάττω τὴν αἴσθησιν παρεχόμενον. (Δ.) Κατὰ μέντοι περίοδον χρονικὴν τοῦ κατόπιν βαδίζοντος φθινοπώρου ἐκ τῆς αὐτῆς ὡσαύτως ἡμέρας ὅμοιοι πάλιν ἀρξάμενοι τὴν γῆν συνετάραττόν τε καὶ ἐθορύβουν σεισμοί· ὡς ἐκ τῆς τῶν τοιούτων σεισμῶν συν 2.696 εχείας τόν τ' ἐπὶ τοῦ πλινθωτοῦ κιόνος ἐν ἀγγελικῷ τῷ σχήματι χαλκοῦν ἀνδριάντα καὶ ἅμα τὸν τοῦ προβεβασιλευκότος Παλαιολόγου τῇ βίᾳ καταγωνισθέντας τῷ μὲν ἐπὶ θατέρου τῶν ὤμων κεκλίσθαι τὴν κεφαλὴν, τῷ δὲ πρὸ ποδῶν ἐῤῥίφθαι τὸν ἐν χεροῖν τῆς πόλεως σχηματισμόν· ὡς εἰκασμοῖς τισιν ἐντεῦθεν ἐννοίας τινὰς ἀναλεξαμένοις ἐνίοις ἀποπεφάνθαι, μὴ εἰς μακρὰν τῆς τῶν Παλαιολόγων αὐτοκρατορίας ἔσεσθαι τὴν καταστροφήν. (Ε.) Κἀπὶ τούτοις τὸ προπεπονθὸς τῆς ἑῴας ἀψῖδος τοῦ τῆς τοῦ θεοῦ Σοφίας νεὼ καταπονούμενον ἡσυχῆ παρεῤῥήγνυτο μᾶλλον ἀεὶ, καὶ πολλὰς ἐκεῖθεν ψηφίδων καὶ πλίνθων κατέῤῥιπτε, μέχρι τῆς παντελοῦς πτώσεως· περὶ ἧς ἡμῖν κατὰ χώραν ἰοῦσιν ἀποχρώντως λελέξεται. νῦν δ' ἐπανακτέον τὸν λόγον καὶ διηγητέον, ὅσα ἐν τῷδε τοῦ χρόνου ἰδίᾳ συνεπεπτώκει γενέσθαι τοῖς Βυζαντίοις. γʹ. Ἐπεὶ γὰρ Ἀποκαύκῳ τὰ κατὰ γνώμην οὐκ εὔοδα κατὰ τοῦ βασιλέως ἐβάδιζεν· ἀλλ' ἐκείνῳ μὲν ἐκ τοῦ τῆς ἀπογνώσεως βυθοῦ δεξιῶς ἀνέβαινεν ἠρέμα τὰ πράγματα καὶ ἀνεῤῥώννυτο πρὸς τὸ εὐθαρσέστερον· τούτῳ δ' οὔτε τὰ κατὰ θάλατταν ἐλπίδας παρεῖχε θαῤῥούσας, οὔτε τοῖς κατ' ἤπειρον δεξιόν τι καθίστατο σύμβολον· ἐφ' ἑτέρας ἐτρέπετο μηχανάς. ἔγνω γὰρ προβιβασμοῖς γερῶν καὶ προσόδων πόροις ὑπελθεῖν τόν τε πατριάρχην καὶ ἅμα τὸν Γαβαλᾶν Ἰωάννην· ὃς γλωττοδαίδαλόν τινα πρὸς τῆς φύσεως κτησάμενος εὐστομίαν μάλα τοι πιθανὸς ἐδόκει τοῖς ἀκούουσι, τοῖς τε ἄλλοις καὶ ὅσοι τὴν βασίλειον συνεκρότουν σύγ 2.697 κλητον καὶ βουλήν. (Β.) Πολλοῖς τοίνυν τὸν πατριάρχην κυκλούμενον υἱέσι καὶ κηδεσταῖς καὶ ἀπογόνοις, καὶ πλήθει συγγενείας παντοδαπῆς, τιμαῖς ἄλλαις ἄλλους μετεωρίσας, καὶ χωρίων ἐπιδόσεσιν εὔπορον καταστήσας τὸν βίον αὐτοῖς, ξένας ἔπειτα ἐπενόει τιμῶν παρενθήκας τῇ πατριαρχικῇ δι' αὐτὸν περιωπῇ. αἱ δὲ ἦσαν, μήτ' ἐν ὑπογραφαῖς, μήτ' ἐν καλύπτρᾳ κεφαλῆς ἕπεσθαι τοῖς παλαιοῖς ἐθισμοῖς, μήθ' ὑποδήμασι τοῖς ὁμοίοις ἔτι κεχρῆσθαι, ἀλλ' ἐρυθροῖς μὲν αὐτοῖς· Σηρικοῖς δὲ καὶ χρυσοῖς τὴν καλύπτραν ὑφάσμασι κεκοσμῆσθαι· χρώματι δ' αὖ ὑακινθίνῳ τὰς τῶν ἐπιστολῶν καὶ ψηφισμάτων ἐγχαράττειν ἐπισημασίας. (Β.) Καὶ τὸ εὔλογον τῆς αἰτίας προσεπιφέρων τῇ καινοτομίᾳ καὶ προθεραπεύων ἔφασκεν ὡς "1πάλαι ἐχρῆν κεκυρῶσθαι τουτὶ τὸ δικαίωμα τῇ τῆς βασιλευούσης τῶν πόλεων ἐκκλησίᾳ, ἅτε πασῶν ὁπόσαι ὑφ' ἥλιον πόλεις εἰσὶν ὑπερεχούσης κατά τε μέγεθος καὶ πολιτείας εὐγένειαν. καὶ πρός γε ἔτι Κωνσταντίνῳ τῷ μεγάλῳ βασιλεῖ τειχίσαντι ταύτην, καὶ τὸ τῆς Ῥώμης ἀξίωμα μετὰ τῆς βασιλείας ἐνταυθοῖ μετενηνοχότι, καὶ ἃ τῇ ἐκκλησίᾳ παρέσχεν ἐκεῖ προνόμια, συνηκολούθησε καὶ ταῦτα καὶ μετηνέχθη πρὸς ταύτην ὡς τὸ εἰκός. εἰ δὲ τοῖς ἐκεῖθεν ἠμέληται ἐπισκόποις καὶ διαδόχοις ἐνθάδε τῶν θρόνων, τί πρὸς ἔπος ἡμῖν τήμερον; οὐ γὰρ νόμον τοῖς ὀψιγόνοις εἶναι χρεὼν, ἃ τοῖς γονεῦσιν ἐκ περιπετείας τινὸς πεπλημμέληται, ἀλλὰ διόρθωσιν μᾶλλον τοῖς ἄνω γίνεσθαι κάτωθεν, ὥσπερ ῥεύματος ἀνατρέχοντος ἐπ' ἀγαθῷ τοῦ βίου· ἐξεῖναί γε μὴν καὶ οἷς πρὸς βουλή 2.698 σεως ἂν συνορᾷν γένηται, καὶ τὸν χρόνον, ὥσπερ ἐκ ταὐτομάτου σαφῶς εἰς τοῦτο συνελάσαντα τύχης τὰ πράγματα, μονονουχὶ συλλαμβάνοντά πως ἡμῖν καὶ μάλα εὔοδα προκαθιστῶντα τῆς μελέτης ἡμῶν ταυτησὶ τὰ προοίμια. ἢ φρασάτω τις ἐμοὶ παρελθὼν, ποῖος χρόνος εἶδεν εἰς ταὐτὸ ἀμφότερα συνενεχθέντα, βασιλείαν ἅμα καὶ ἐκκλησίαν· καὶ πατριάρχην ἅμα καὶ τοῦ τῶν δημοσίων κηδομένου πραγμάτων βασιλέως χηρεύουσαν βασιλίδα πρὸς ἓν καὶ ταὐτὸ ξυνιέναι καλῶς ἐνδιαίτημα, καὶ οἶκον δυσὶ τὸν αὐτὸν ἐν ταὐτῷ καθίστασθαι, τὸ βασιλικὸν παλάτιον· καὶ τὸν μὲν ἀποσώζειν εἰκόνα ψυχῆς, τὴν δὲ σώματος· καὶ τὸν μὲν ἀντὶ μὲν βασιλέως τοῖς πράγμασι γίνεσθαι τοῖς πολιτικοῖς, ἀντὶ δὲ πατρὸς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τῷ ταύτης ὀρφανῷ παιδὶ τῷ νέῳ βασιλεῖ· τὴν δ' ὑπείκειν ὅσα καὶ ἡγεμόνι χρηστῷ καὶ μόνῳ δυναμένῳ σώζειν τὴν ἀρχὴν ἀσφαλῶς, ὅσα καὶ κυβερνήτης, καθάπερ ὁλκάδα πλημμελῶς ἐφ' ὑγραῖς ταλαντευομένην θαλάττης ἀγκάλαις. εἰ δὲ ταῦτα τῇδε ἔχει καὶ οὐδὲν ὑποτρέχει ψεῦδος τὰ εἰρημένα, τί κωλύει καὶ παρασήμοις καί τισι τεκμηρίοις βασιλικοῖς σκιωδῶς πως κεχρῆσθαι πρὸς τὴν τῶν οὕτως ἀληθῶν βεβαίωσιν;"2 (Δ.) Οὕτω μὲν οὖν εἰρωνικοῖς μᾶλλον ἢ γοητεύουσιν ἄλλως ὑπερχόμενος λόγοις καὶ τὸ παθητικὸν τῆς τοῦ πατριάρχου θωπεύων ψυχῆς ὁ Ἀπόκαυκος τἄλλα μὲν ἀσμένως προσήκασθαι ἐπεπείκει· τὸ δὲ τῶν ἐρυθρῶν πεδίλων νῦν μὲν ἥκιστα διὰ τὸ τῆς καινότητος θράσος· χωροῦντος δ' ὀψὲ τοῦ χρόνου, διὰ τὸν τῶν δυοῖν ἐθι 2.699 σμὸν, ἐπαγγείλασθαι εὐπαράδεκτόν πως ἔσεσθαι καὶ τὸ τρίτον. τὰ γὰρ ἐκπληκτικὰ τῆς ὑπερηφανίας οὐ τὸ τῆς ὥρας αἰφνίδιον κατασβέσαι δύναται, ῥᾶστα μεντἂν ἐκπυρσεῦσαι μᾶλλον καὶ φθόνον ἐγεῖραι σκληρόν τινα καὶ δυσκαρτέρητον· τοῦ δὲ χρόνου ῥέοντος, ὁμαλῶς πως ἤδη καὶ τὸ τῆς ἐκπλήξεως ἐκείνης δαπανᾶσθαι καὶ μαραίνεσθαι θράσος, ἠρέμα καὶ κατὰ μικρὸν ἐμμελετηθείσης ταῖς τῶν ἐντυγχανόντων ὄψεσι διὰ τὸ συνεχὲς τοῦ συνδιαιτᾶσθαι. τούτου μὲν οὖν ἕνεκα τοῖν δυοῖν ἀρκεσθῆναι καινοτομήμασι μόνοις ἐν τῷ παρόντι, τοῦ τρίτου μετεωρισθέντος ἐς τοὐπιόν· μὴ ἐπιστῆσαι πρότερον ἐθελήσαντα, καὶ γνόντα τὴν τῶν προτέρων ἐνταῦθα διάνοιαν, ἐν τῷ μετρίῳ τοῦ ἤθους ἵστασθαι, καὶ μὴ κινεῖν πατέρων ὅρια· ἀλλ' ἥττω γενόμενον δόξης, πολλὴν ἐπιφερομένης τὴν ἀωρίαν, ἀγώγιμον εἶναι τοῦ λοιποῦ τοῖς ἐμπαίζειν ἐθέλουσι, μέχρι τοῦ, συμφέροντος ἐξ αὐτῶν ἐναργῶς τῶν πραγμάτων σαφῆ τὸν χρόνον σύμβουλον ἐσχηκότα, συνιέναι μὲν ὡς φείδεσθαι χρόνου καὶ τύχης ἐχρῆν, μὴ δυνηθῆναι δ' οὖν οὐδὲ μικράν τινα τὴν ἐν δεινοῖς ἀσφάλειαν ἑαυτῷ πορίσασθαι, ἀλλ' ἐς ἀτεκμάρτους καὶ μάλα παντοδαποὺς κακῶν συνωσθῆναι βυθούς. (Ε.) Τὸ γὰρ τῆς ἐπισκοπῆς ἀξίωμα καὶ τὸ ψυχῶν ἄρχειν, τοῦ κρατίστου μέρους τῶν ἐν τῷ κόσμῳ συλλήβδην ἁπάντων εἰπεῖν, σφόδρα τοι μέγιστον καὶ περιφανὲς εἰδόσι τοῖς τὰς ἀρίστας πάλαι συντάττουσι τῶν πολιτειῶν νομοθέταις καλῶς ἔχειν ἔδοξε, τὸ τῆς ἀνθρωπίνης γνώμης φυλαττομένοις 2.700 εὐόλισθον καὶ ἐπισφαλὲς, ὥσπερ δεσμῷ τινι τῷ ταπεινοτέρῳ τοῦ σχήματος κολάζειν τῆς τύχης τὸ μέγεθος, ἵνα μὴ τὸ τοῦ θράσους ἀκόλαστον ὥσπερ μέθη τις ἐγγένηταί τῳ, καὶ πρὸς τυραννίδος ὑπόθεσιν ἐξοκεῖλαν μεγάλων ἄρξῃ τοῖς πολιτικοῖς πράγμασι τῶν κακῶν. τὸν δὲ τῆς βασιλείας ὄγκον σωμάτων μὲν καὶ δημοσίων ἄρχειν πραγμάτων, ἥττονος μέρους ἢ κατ' ἐκεῖνο· ὅπλων δὲ καὶ στρατιωτικῶν θορύβων περιβεβλῆσθαι δύναμιν, καὶ τούτοις τὸ τοῦ μεγέθους ἐκείνου κατὰ τὸ εἰκὸς λειπόμενον ἀντανισοῦν. αἱ γὰρ ἁπλαῖ καὶ μονοειδεῖς πολιτεῖαι ῥᾶστα πρὸς ἀτοπίαν ἐκτρέχουσιν, ἐρημίᾳ τοῦ βοηθήσοντος· μιγνύμεναι δέ πως καὶ ἀνακεραννύμεναι μετριώτερον τὸ ἐπικίνδυνον ἔχουσι, θατέρου θάτερον ἐπιῤῥωννύντος καὶ ἀνεγείροντος, ὅταν εἰς κακίας ἐκτοπίζηται βάραθρον, καὶ τυραννίδος ἐνοχλοῦντες διασαλεύωσί τινες τὸ λογιζόμενον θόρυβοι. ὅθεν ἐκεῖνο μὲν λύσιν καὶ ἀταξίαν εἰσάγει τὸ μέρος καὶ ἀνατρέπειν δίδωσι χώραν ἠρέμα τοὺς θεμελίους τῆς εὐταξίας εἰς ἔδαφος, ἣν μή τις ἐπίσχῃ· τὸ δ' αὐτοφυᾶ καὶ αὐτογεώργητον ἔχει τὴν χάριν τοῦ κρείττονος καὶ κόσμος τις ἀτεχνῶς ἐναρμόνιος ὅλῳ τῷ βίῳ καθίσταται. (΄.) Δέον τοιγαροῦν καὶ πατριάρχην τουτονὶ τοῖς εἰθισμένοις νομίμοις ἐμμένειν, καὶ μὴ σαλεύειν ὅρους σὺν λόγῳ πάλαι κειμένους· ὁ δὲ κακοβουλίᾳ χρώμενος λέληθεν ἅμα ἑαυτῷ καὶ τὰ Ῥωμαίων ἀπολωλεκὼς πράγματα, σφίσιν ἐν βραχεῖ παντοδαπῶν ἐπινεύσας κλύδωνας συμφορῶν. καίτοι εἰ φοβερὸς καὶ περίβλεπτός τις βα 2.701 σιλεῦσιν εἶναι καὶ ἄρχουσιν αὐτῷ πρὸς βουλήσεως ἦν, ἐς τὸν σωτῆρα βλέπειν ἔδει τούτῳ Χριστὸν, καὶ τὴν ἔνδοξον ἀδοξίαν ἐκείνου μιμεῖσθαι, οὗ μάλιστα καὶ τὴν εἰκόνα φέρειν τὸ τῆς ἱερατείας νενόμισται σχῆμα. εἰ γὰρ Ἀλέξανδρος ἐκεῖνος ὁ μέγας, ὁ καθ' ὅλης μικροῦ τῆς Ἀσίας ἐλάσας, τὸ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Διογένους αἰδούμενος ἐμακάριζεν εὐτελὲς καὶ ἀπέριττον, μᾶλλον ἢ τὸν τῆς ἑαυτοῦ βασιλείας ὄγκον καὶ πλοῦτον· πολλῷ ἂν δήπου ῥᾷον τουτονὶ βασιλεῖς τε καὶ ἄρχοντες ἐμακάριζον, εἰ οὗ τὴν εἰκόνα τέτακται φέρειν, τούτου τὸ ἄτυφον καὶ λιτὸν τῆς διαίτης ἀεὶ διετέλει μιμούμενος. ἀλλὰ μὴν πρὸς ἐναντίους ὁπώσποτε περιτρέψας κανόνας τὴν εὐσχήμονα καὶ βελτίστην κατάστασιν τῆς αὐτονομίας ἐκείνης, οὗ μὲν τυχεῖν ἐπεθύμει, περιφανῶς ἐκπέπτωκεν· οὗ δ' εἶχε, περιφανέστερον ὁμοῦ καὶ αὐτοῦ συνεκπέπτωκεν, ἀντὶ μὲν δεσπότου καὶ πατρὸς ἑαυτὸν προφανῶς καταστήσας ἀνδράποδον· ἀντὶ δὲ περιβλέπτου δόξης, ἀδοξίας κληροῦχον λαμπρᾶς. οὕτω μακρὰν ἐπισύρεται πανταχοῦ τὴν ἀωρίαν τὸ ἄγαν φιλοτιμεῖσθαι, καὶ πρὸς ὕπαιθρον παρεξάγει μανίαν ἡ τῆς ἐξουσίας αὐθάδεια. (Ζ.) Τούτου μὲν δὴ οὖν οὕτω ῥᾷστα τὴν γνώμην ἐξανδραποδισάμενος ὁ Ἀπόκαυκος ἐπὶ τὸν Γαβαλᾶν Ἰωάννην λοιπὸν προσῆγε τὰς μηχανὰς καὶ τὰς ἑλεπόλεις τῶν δόλων· καὶ εἰς γυναῖκα τὴν θυγατέρα κατεγγυᾶσθαι μετεωρίσας ὅρκοις ἠνάγκασε τὰ βεβουλευμένα κυροῦν καὶ πιστοῦσθαι τοῦτον, εἰ τοῖς αὐτοῦ καθάπαξ βουλήμασιν ἕπεσθαι βούλοιτο. τὰ δὲ ἦν, ὁπόσοι τῶν εὐγενῶν καὶ περιβλέπτων τὴν δόξαν τὸ τῆς συγκλήτου πλη 2.702 ροῦσι βῆμα, πάντας ἕνα παρ' ἕνα δεσμοῖς καὶ φρουραῖς ἐγκλείειν, ἄλλους ἄλλαις αἰτίαις καθυποβάλλοντα ἐξ αὐτοσχεδίου τὸν πιθανώτερον τρόπον. (Η.) Τούτων δ' οὕτω ῥυέντων, καὶ τὴν τῶν δημοσίων αὐτῷ μὲν διοίκησιν εὐθὺς ἐγχειρίζει πραγμάτων· αὐτὸς δ' ἄρας ἐκ Βυζαντίου σύν γε πατριάρχῃ καὶ τῷ βασιλεῖ Παλαιολόγῳ τάχιστα ἐχώρει πρὸς Πείρινθον, πρόφασιν μὲν ὡς ἐπὶ Καντακουζηνὸν ἐκστρατεύων τὸν βασιλέα· τῇ δ' ἀληθείᾳ δυοῖν πραγματευόμενος θάτερον, ἢ τῷ τῶν Ἐπιβατῶν, εἰ δυνηθείη, συγκλείσας φρουρίῳ βίᾳ τῷ βασιλεῖ τὴν θυγατέρα δοῦναι γάμου ξυναλλαγαῖς, ἢ τόν γε δεύτερον ἐλαύνοντι πλοῦν τῷ βασιλεῖ Καντακουζηνῷ δι' αὐτῶν ποτε σπείσασθαι, Λέσβον καὶ Χίον ἀλλαξαμένων σφῶν ἐς διηνεκῆ τινα κλῆρον. (Θ.) Ταῦθ' ὁρῶσι μακρὰν τοῖς συνετωτέροις ἔκπληξιν ἐνεποίει, καὶ ἀσυλλόγιστον ἐδόκει τὸ πρᾶγμα, πῶς τῷ μανιώδει τῆς γνώμης ἡ Ἄννα προδεδωκυῖα τὴν τῶν πραγμάτων ἡγεμονίαν πάντων ἀπείπατο, τυφλωθεῖσα καθάπαξ ὑπὸ ζηλοτυπίας καὶ μηδενὸς τῶν πραττομένων αἰσθάνεσθαι θέλουσα· ἀλλὰ καθάπερ ἔξω στηλῶν Ἡρακλείων τῆς τοσαύτης ἀπωλείας καθισταμένης, οὕτω διακειμένη. ἦν γὰρ ἐν ἐλπίσι τοῦ ἔρωτος πείθοντος ***σα βίον τοὐντεῦθεν ἄλυπον ἕξειν, καὶ φροντίδος ἁπάσης τὸ παράπαν ἀπηλλαγμένον. ψυχὴ γὰρ ἀπαιδαγώγητον ἄγουσα βίον, καὶ ὄψιν οὐ μάλα κολάζειν προμελετήσασα, ἔλαθε πολλάκις αἰχμάλωτος ἀπαχθεῖσα, κα 2.703 θάπερ λάφυρον ἀπροόπτως ἑαυτὴν εἰς ἄχαλκον ἐμβαλοῦσα πόλεμον λογισμῶν ἀφανείᾳ κεκαλυμμένων, καὶ πρὶν καλῶς τῆς πολεμίας ἐφόδου τὸ βίαιον αἰσθέσθαι, ᾤχετο θελγούσης λαβοῦσα πυρκαΐας ὑπομνήματα. δʹ. Ἐγὼ δ' ἐνταυθοῖ κἀκείνου μεμνήσομαι, χρόνον μὲν τὸν αὐτὸν συνενεχθέντος, σαφηνείας δ' εἵνεκα μείζονος ἄνωθέν ποθεν ἦρχθαι ὀφείλοντος. ἔαρος γὰρ ἐπιστάντος ἤδη, τὰς οἰκείας ὁ βασιλεὺς δυνάμεις συναγαγὼν ἀπῄει πρὸς τοὺς ἐπέκεινα Ῥοδόπης τοῦ ὄρους αὐλῶνας καὶ τὰ ἐκεῖσε πρὸς ἀποχρῶσαν νομὴν ἀναπεπταμένα πεδία. προσάγων δὲ καὶ πεῖράν τινα ταῖς ἐκεῖ πόλεσιν εἷλε καθ' ὁμολογίαν πόλεις δύο, τήν τε Κομοτηνὴν καὶ τὴν Γρατιανοῦ καλουμένας. (Β.) Ἔνθα δὴ καὶ τὸ πρὸς Μομιτίλου γέγονεν ἐκεῖνο σύμπτωμα· ὃς διφυής τις γενόμενος ἐξ ἀφανῶν γονέων ἐν μεθορίοις Πατριβαλῶν καὶ Μυσῶν λῃστρικὸν ἐκ μειρακίου καθ' ἑταιρείαν ἡλικιῶτιδα βίον ἄγειν προσήρηται, ἔνεδρά τε δὴ καὶ λόχους κατασκευαζόμενος αἰφνίδιον ἐπέφερε τοῖς παριοῦσι τὸν ὄλεθρον. τριακοντούτης δ' ἄρτι γενόμενος ἐς τὸ ἀνθρωπικώτερον ἐκ τοῦ θηριώδους ἐκείνου τὸν βίον ἀλλάξασθαι ἔγνωκε. καὶ δὴ προσεληλυθὼς ἑνί τινι τῶν ἐνδόξων Ῥωμαίων μισθοῦ διακονεῖσθαι τέταχεν ἑαυτόν. ἔπειτ' ὀλίγου ῥέοντος χρόνου, τὴν δουλείαν τε ἀπείπατο ταύτην καὶ ἐς τὰ πρότερα τῆς λῃστείας ἐπαλινδρόμησεν ἤθη, καὶ πολλὴν ἠρέμα καὶ κατὰ μικρὸν προσεταιρισάμενος χεῖρα



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἔμπρακτον ἐδείκνυ τὸ τῆς 2.704 ψυχῆς δραστήριον, νῦν μὲν ταῖς ἄκραις τῶν Μυσῶν ἐμπίπτων ὥσπερ κεραυνὸς ἐκ τοῦ αἰφνιδίου, νῦν δὲ ταῖς τοῦ Καντακουζηνοῦ προσβάλλων κρύφα δυνάμεσι, νῦν δὲ τὰς τῶν Βυζαντίων ληϊζόμενος ἐξ ἐφόδου χώρας. (Γ.) Δείσας δ' ὅμως, μὴ συνελθόντες οἱ πρὸς αὐτοῦ κακούμενοι κακῶς κακὸν γειτόνημα διαφθείρωσι, προσελάσας, σύμμαχος ὑπόσπονδος καὶ δοῦλος ἐθελοντὴς εἵλετο λέγεσθαί τε καὶ εἶναι Καντακουζηνοῦ τοῦ βασιλέως· πλὴν οὐχ ὥστε καὶ συνεῖναι, καὶ ὅπη πορεύεσθαι βούλοιτο ἕπεσθαι· ἀλλ' αὐτονομίᾳ χρώμενον κρύφα κατὰ τὴν συμφυᾶ συνήθειαν τοῖς ἐκείνου προσβάλλειν ἐχθροῖς, ἐπὶ κέρδεσιν ἑαυτοῦ τε καὶ ὅσοι ξύν γε αὐτῷ μισθοῦ ληστρικοῦ στρατεύεσθαι εἵλοντο. (Δ.) Ἐπεί γε μὴν τοῦ χρόνου χωροῦντος ὅσοι τῶν πενήτων αἱμοχαρεῖς καὶ αὐθάδεις ὄντες ἐτύγχανον, ὀλίγοι κατὰ πολλοὺς καὶ πολλοὶ κατ' ὀλίγους ἀθροιζόμενοι, κατὰ συμφωνίαν αὐτῷ προσεῤῥύησαν ἔκ τε Τριβαλλῶν καὶ Μυσῶν, καὶ ὅσοι μιξοβάρβαρον ἐπὶ τούτοις ἤνυον δίαιταν, ὡς ἐπέκεινά που τῶν δισχιλίων ἐπιλέκτων ἱππέων εἶναι, οἳ θυμοῦ πνέοντες πάντες ἀρεϊκοῦ τὴν σφῶν αὐτῶν μᾶλλον ψυχὴν ἢ τοῦτον καταπροέσθαι διϊσχυρίζοντο· ὡς ἀποχρῆναι λοιπὸν καὶ πρὸς ἀντίπαλον ἤδη καθίστασθαι μοῖραν, ᾧ ἂν βούλοιτο μέρει τῆς ἐμφυλίου Ῥωμαίων μάχης· σύμβολα τῆς δεσποτικῆς ἀξίας οἱ Βυζάντιοι πέμπουσιν αὐτῷ, καὶ λάθρα κατὰ τοῦ βασιλέως ὁπλίζουσι Καντακουζηνοῦ. ἐκεῖθεν οὖν καιροφυλακῶν ὁ Μομιτίλας ἀεὶ διετέλει, καὶ τὴν ἐπίθεσιν ἐν μυχοῖς τῆς καρδίας ἐκυοφόρει, καὶ ἀνεκύκλει τοῖς λογισμοῖς. 2.705 (Ε.) Ἄρτι δ' ἐν ἀκμῇ τῆς ἠρινῆς καθισταμένης ὥρας, ὅτε τὸ ποικίλον τῆς χλόης τὰς πεδιάδας κοσμεῖ, καὶ τῶν τέως ἀναβιούντων δένδρων οἱ πλόκαμοι μετὰ τῶν ἀνθέων τὰς τῶν ἀνθρώπων ὄψεις ἐφέλκονται, νέαν χαριζόμενοι τέρψιν καὶ ἡδονὴν τῇ ψυχῇ, καὶ ἅμα χιλὸν ἡ γῆ προσηνῆ καὶ νομὴν αὐτοφυᾶ τοῖς ἀλόγοις ζώοις, ἔδοξε καὶ τῷ βασιλεῖ Καντακουζηνῷ περὶ Μοσινούπολιν, ἐξιόντι Κομοτηνῶν τῆς πολίχνης, πήξασθαι τὸ στρατόπεδον, κἀνταῦθα περὶ τῶν πρακτέων βουλεύσασθαι, τά τε ἄλλα καὶ ὅπως ἀπαντῆσαι χρεὼν τοῖς Ἀποκαύκου καινοτέροις βουλεύμασι καὶ ταῖς ἐκστρατείαις. (΄.) Δένδρῳ γε μὴν ἐντυχεῖν ἐνταυθοῖ που συνέβη, κλάδους ἔχοντι μάλα εὐμήκεις, καὶ δίκην φάναι ὀρόφου βαθεῖαν μὲν τῇ γῇ τὴν σκιὰν ἐμπαρεχομένους, ἐμποδὼν δέ πως καὶ ταῖς ὑπερβολαῖς τοῦ ἡλίου καθισταμένους, καὶ ἀφαιρουμένους τὸ κάειν αὐτόν. ὑπὸ δὲ τῷ δένδρῳ πηγή τις ἀνέβλυζε, χορόν τινα ποιουμένη τῷ ὕδατι, οὕτω μέντοι διαυγής, ὡς καὶ τὸ τοῦ δένδρου κάλλος πως ἀποματτομένην αὐτὴν καθ' αὑτὴν τὴν ὑπογραφὴν, καὶ δύο μιᾶς τινος ῥίζης δοκεῖν εἶναι φύεσθαι δένδρα· τὸ μὲν ἄνω, τὸ πρὸς ἡμᾶς ἀνίσχον· τὸ δ' ὑπὸ γῆν αἰωρούμενον. ὑπὸ δὴ τούτῳ βραχὺ κατακλίνας ὁ βασιλεὺς ἑαυτὸν εἰς ὕπνον ἐτράπη, καὶ ἅμα ἐδόκει φωνῆς ἀοράτως ἀκούειν, "1ἔγειραι,"2 λεγούσης, "1ὁ καθεύδων, καὶ ἀνάστα ἐκ τῶν νεκρῶν, καὶ ἐπιφαύσει σοι ὁ Χριστός"2· εὐθύς τε διαγρηγορήσαντα, ζάλην ἔχοντα λογισμῶν ἀναστῆναι· καί τις ἐκεῖ παρὼν 2.706 ᾀσμάτων δημιουργὸς λύραν τε ἡρμόσατο ἐξεπίτηδες καὶ, οἷον πείθειν ἅπαντας ἀνέχειν ἐπ' αὐτοῦ, ᾆσμα ἀνεκρούσατο. καὶ ἦν τὸ τοῦ ᾄσματος· "1ἄνδρες (φησὶν) οἱ τῷδε τῷ δένδρῳ καὶ τῇδε τῇ σκιᾷ προσεοικότες ἀτεχνῶς, παρόσον νῦν μὲν ὥρας μετέχοντες φαίνεσθε, ὅσον δ' οὔπω ἀωρίας ἐπιδραμούσης οἰχήσεσθε πρὸς μαρασμόν τε καὶ φθορὰν, δεῦρο δὴ χαίρωμεν, καὶ ἐντρυφῶμεν τῇ νεότητι, πρὶν τὸν θάνατον αὐτῆς κατορχήσασθαι."2 (Ζ.) Τὴν δὴ τοιαύτην μαθὼν ὁ Μομιτίλας ἐκ τῶν ἡμεροσκόπων διατριβὴν, ἔγγιστά που ποιούμενος ἐξεπίτηδες τὰς διατριβὰς καὶ φιλίαν ὑποκρινόμενος, ἔγνω πρὶν ἀθροισθῆναι τὸ στράτευμα, καὶ πρὶν τὸ δρᾶμα τὸν βασιλέα μαθεῖν, ἐπιθέσθαι οἱ τελέως ἀφροντιστοῦντι. ἐν τούτοις ὄντων τοιγαροῦν τῶν πραγμάτων ἐκείνοις, καὶ τοῦ ἡλίου τῆς ἡμέρας ἤδη τοὺς μεταξὺ παραλλάττοντος δρόμους, ἀγγέλλεται Μομιτίλας ὁπλίτην στρατὸν ἐπαγόμενος καὶ ὅλαις ἡνίαις ἐλαύνων ἐς τὸ τοῦ βασιλέως στρατόπεδον. τοῦτο πάντας ἐκ τοῦ παραχρῆμα λογισμοὺς ἔθραυσέ τε καὶ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

συνεκύκησε τοῦ τε βασιλέως καὶ ὅσοις ξύν γε αὐτῷ παρεῖναι τετύχηκεν, ἀπαρασκεύοις καὶ τούτοις, καὶ πάνυ βραχέσιν, καὶ τῆς τύχης οὕτω λαμπρῶς ἐλαυνούσης καὶ συνωθούσης ἐν στενῷ κομιδῇ τῆς ὥρας τὸ πρᾶγμα, καὶ μηδεμίαν οὐδ' ὁθενοῦν ἐχούσης διαφυγὴν καὶ ἀπόδρασιν. τοῖς τε γὰρ ἵπποις ἀνὰ τὴν πόαν διεσκεδασμένοις νέμεσθαι τέως συνέβαινε· καὶ ἅμα τῆς στρατιᾶς τὸ μὲν ἔτι περὶ τὴν Κομοτηνῶν πόλιν ἀπεριμερίμνως τὰς ἀγορὰς περιῄει, τὰ πρὸς χρείαν ὠνούμενοι· τὸ δ' ἐξιὸν οὐκ ἐν σπουδῇ πρὸς βασι 2.707 λέα πρόνοιαν ἐποιεῖτο ποιεῖσθαι τὴν ἄφιξιν, ἅτε μὴ προμαθόντες τὸ συμβάν· ἀλλ' ἠρέμα καὶ κατὰ σχολὴν ἐπορεύοντο. (Η.) Ὅμως εἰς θεὸν ὁ βασιλεὺς ἀνατείνας τὰς χεῖρας ἅμα τοῖς ἀμφ' αὐτῷ κἀκ τῶν ἐνόντων ὡς ἐνῆν ὁπλισάμενοι ἐμάχοντο, τοῦ προστυχόντος ἕκαστος ἐπιβαίνοντες ἵππου, δίχα σαλπίγγων καὶ παρατάξεως, καὶ τὸν ᾅδην κατ' ὀφθαλμοὺς ἱστάμενον ἄντικρυς βλέποντες. καὶ ἦν ἰδεῖν μάλα ἀγχιστρόφους καὶ οὐκ ἐν προνοίᾳ τινὶ τὰς διεξόδους καὶ διεξελάσεις τῆς μάχης καθισταμένας· ἀλλὰ φύρδην ἄλλους ἄλλοις ξυῤῥηγνυμένους. ὅθεν καὶ ὀλίγοι μάλα, πρὸς μάλα πολλῶν ἔνθεν κἀκεῖθεν κυκλούμενοι, κατηκοντίζοντό τε καὶ ξυνέπιπτον. (Θ.) Ὁ δὲ βασιλεὺς, τοῦ ἵππου πεσόντος ἐκ τῶν πληγῶν, ἐκ γῆς ὁπόσον ἐνῆν τοῖς ἐπιοῦσιν ἐμάχετο, ἕως τῶν ὑπασπιστῶν εἷς παρελάσας ἀπέβη τοῦ ἵππου, καὶ τῷ μὲν βασιλεῖ φυγῇ πορίζεσθαι τὴν σωτηρίαν ἐδίδου· αὐτὸς δὲ πολλὰς πολλαχῇ δεξάμενος τὰς πληγὰς κατηνέχθη, βραχύ τι καὶ ἀδρανὲς ἐμπνέων· ὡς περιφρονηθέντα τοῖς πολεμίοις ἐσαῦθις οἷον ἀναβιῶναι. ἡ δὲ φήμη τὴν ταχίστην ἀνὰ πᾶσαν ἐληλυθυῖα τὴν περίχωρον ἠνάγκασεν ἄλλους ἐπ' ἄλλοις βοῇ τε καὶ δρόμῳ σποράδας καὶ ἀσυντάκτους ἐς ἐπικουρίαν τε ἰέναι τὸν τοῦ βασιλέως στρατὸν καὶ ἅμα τοὺς πολεμίους ὀπίσω ἀπαλλάττεσθαι. τοῦ δὴ τοιούτου διασεσωσμένος ὁ βασιλεὺς ὑπὲρ ἅπασαν προσδοκίαν κινδύνου τε καὶ συμπτώματος ἄρας μετ' οὐ πολὺ πρὸς Διδυμότειχον ἄπεισι. καὶ ταῦτα μὲν τοῦτον ἔσχε τὸν τρόπον· καὶ τὸ ἔαρ ἐν τούτοις ἐτελεύτα. 2.708 ε΄. Θέρους δ' ἀρχομένου πολλὴ καὶ βαρεῖά τις ἀπησχόλει παρασκευὴ τὸν Ἀπόκαυκον, ἐπὶ Διδυμότειχον ἀπιέναι μετὰ πολλῶν τῶν δυνάμεων. ἐπεὶ γὰρ ἐς μόνον τὸ Διδυμότειχον ὁ Καντακουζηνὸς μετὰ τῆς δυνάμεως κατηντήκει, πᾶσα δ' ἀπῆν συμμαχίας ἐλπὶς πανταχόθεν (ὅ,τε γὰρ Μυσῶν ἀρχηγὸς Ἀλέξανδρος Βυζαντίοις ἐκ πολλοῦ συνεμάχει· τόν τε σατράπην Ἀμοὺρ ἀνθεῖλκεν ὁ τῶν Λατίνων κατὰ Σμύρνης ἐπίπλους· καὶ ἅμα Τριβαλλοὶ τοῦ ἐκείνου διψῶντες ὑπῆρχον αἵματος), ταῦτα δὴ πάντα συνιδὼν ὁ Ἀπόκαυκος, ἄρας ἐκ Πειρίνθου πάσαις δυνάμεσι Βυζαντίοις καὶ Θρᾳκικαῖς, παρεστρατοπέδευσεν ἐπὶ Διδυμότειχον. (Β.) Καὶ πρῶτα μὲν ἐπεχείρει δόλοις καὶ μηχαναῖς ἑλεῖν τὸ τοῦ Πυθίου φρούριον, οὑτωσί πως ὀνομαζόμενον καὶ παρὰ τὰς ὄχθας ἱδρυμένον Ἕβρου τοῦ ποταμοῦ. τοῦτο σταδίους ἐγγὺς ὀγδοήκοντα διέχον Διδυμοτείχου, καὶ γεγονὸς ἐρείπιον, ἐκ πολλοῦ Καντακουζηνὸς ἀνειληφὼς ὁ βασιλεὺς πολλαῖς χρημάτων δαπάναις ὠχύρωσέ τε κἀπὶ πλεῖστον ἀνιέναι πέπραχε τοῦ ἀέρος, καὶ ὥσπερ ἑαυτοῦ ταμιεῖον εἶχεν ἐκεῖθεν αὐτὸ, καὶ λαμπραῖς ἠσφαλίζετο ταῖς φρουραῖς. τοῦτο τοίνυν περιστρατοπεδεύσας Ἀπόκαυκος ὅλαις ἐπολιόρκει χερσί. (Γ.) Τοῦ δ' ἐν Διδυμοτείχῳ στρατοῦ τὸ πλεῖστον, τήν τε τῶν πολεμίων βαρεῖαν ὁρῶντες ἔφοδον καὶ ἅμα τὸν ἔνδον λιμὸν πολέμιον ἡγούμενοι χείρονα, καὶ πρός γε τοὺς ἑαυτῶν ἱπποκόμους ἀκηκοότες ὁμοῦ τοῖς ἵπποις ἀθρόον ἐς Ἀπόκαυκον ηὐτομοληκότας, δρασμῷ τε ἐχρήσαντο καὶ αὐτοὶ καὶ τῷ τῶν πολεμίων προσεῤῥύησαν στρατοπέδῳ, 2.709 τοῦ θέρους ἐν ἀκμαῖς ὄντος ἤδη τοῦ σίτου. καὶ ἦν ἐν οὐ μάλα φορηταῖς τὰ βασιλέως περιστάσεσι πράγματα, καὶ πᾶσαν εἰπεῖν ἀνθρωπίνως ἀποσειόμενα σώζουσαν προσδοκίαν. (Δ.) Ἐν τοιούτοις δ' ὄντι τῷ βασιλεῖ τοῖς δεινοῖς προσετίθετο καὶ ἡ τῶν ἅμα αὐτῷ στρατιωτῶν ὁμοῦ καὶ στρατηγῶν καὶ συγγενῶν ἐπίθεσις. ἰδίᾳ γὰρ προσιόντες ἕκαστοι διὰ τὸν καιρὸν καὶ τοὺς ἐφεστῶτας κινδύνους ἀπῄτουν οἱ μὲν Λέσβον, οἱ δὲ Λῆμνον, οἱ δὲ Χίον· ἄλλοι



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

δ' ἄλλα τε χωρία καὶ προσόδων εὐπορίας, τέως μὲν ἐν ἐγγύαις ἐγγράφοις· ὅτε δ' ἐγκρατὴς καθάπαξ τῆς ὅλης γένοιτο βασιλείας, ἐπιτελῆ καὶ τὰ ἐν ἐγγύαις ἐπηγγελμένα καθίστασθαι. μηδὲ γὰρ ἐπ' ἀδήλοις ἐλπίσιν οὕτω διακυβεύειν τὸ ζῆν, ἐν ὀφθαλμοῖς ἤδη τῶν κινδύνων ἑστώτων, οἴεσθαι τὴν τοῦ βελτίστου σφίσι μοῖραν ἱδρύσθαι, ἀλλ' ἐνέχυρον εἶναί τι βέβαιον, οὗ πριάμενος ἄν τις τὸν θάνατον ἀνεπίφθονον γοῦν τὴν τῶν περιλειφθέντων ψῆφον ἔχοι καρποῦσθαι. (Ε.) Τοιαῦτά γε μὴν ἀπαιτοῦσιν ἐκείνοις πρὸς οὐδὲν οὐδαμῇ γε ἐνδιδόναι ἐπῄει τῷ βασιλεῖ, φάσκοντι, μὴ δύνασθαι τἀλλότρια μήτε νῦν ὑπισχνεῖσθαι, μήτε μὴν μετά γε τὴν τῆς αὐτοκρατορίας ἀντίληψιν, εἰ γένοιτο, προΐεσθαι τοῖς οὐκ ἐν λόγῳ ζητοῦσιν. νῦν μὲν γὰρ τὸ παράπαν ὑπάρχειν ἀλλότρια, πολιορκουμένων τε καὶ ζῆν ἀσφαλῶς μηδαμῇ πω συγχωρουμένων· καὶ τότε δ' αὖ ἕτερον ἀλλότρια τρόπον· πάντων γὰρ πάντ' εἶναι τῶν ὑπεικόντων τῇ βασιλείᾳ τὰ τῆς βασιλείας πράγματα· τῶν βασιλευόντων δ' οὔ. οἷς οὖν πρὸς βουλήσεως εἴη ἂν τοὺς παρόντας συνδιενεγκεῖν ἡμῖν τῶν κινδύνων 2.710 διαύλους, οὐκ ἂν ἀμελήσαιμεν οὐδ' αὐτοὶ, εἰ περιγενέσθαι γένοιτο, μὴ οὐκ ἀμείψασθαι τοῖς ἀνήκουσι τρόποις, ὁπόσα τῶν ἐφ' ἡμῖν· οἷς δ' οὔ, τούτοις δ' οὐκ ἄν ποτ' ἐνοχλήσαιμεν, ὁπότερον ἕλοιντ' ἂν δρᾷν, εἴτε πρὸς τὰς τῶν πολεμίων ἐπαγγελίας αὐτομολεῖν, εἴτε καθημένους οἴκοι πόῤῥω γίνεσθαι βελῶν. καὶ ταῦτα μὲν τοῦτον ἔσχε τὸν τρόπον. (ʹ.) Χρόνου δὲ περὶ τὴν πολιορκίαν συχνοῦ τριβομένου, καὶ περὶ ἀνέσεις ἀσχολουμένων τῶν νέων ἐν τῷ τῶν πολεμίων στρατοπέδῳ, ἔδοξε τῷ ἐπὶ θυγατρὶ τοῦ Ἀποκαύκου γαμβρῷ Ἀνδρονίκῳ τῷ Παλαιολόγῳ, ἀναψύξεώς τε εἵνεκα καὶ φιλοτιμίας ἅμα νεωτεριζούσης, ἀποδυσαμένῳ διανήξασθαι πᾶν τὸ τοῦ ποταμοῦ πλάτος ἐκείνου. ἀλλὰ πρὶν μέσον διαβῆναι τοῦ ποταμοῦ τὸ ῥόθιον, νάρκῃ τινὶ πεδηθεὶς ὑπὸ ψύχους, ὡς ἔοικεν, ὥσπερ τις ἄψυχος φόρτος, ἐς τοὺς τῶν ὑδάτων πυθμένας νεκρὸς κατενήνεκται. πρώτη μὲν οὖν αὕτη γέγονε θραῦσις Ἀποκαύκῳ τῆς δόξης καὶ ἅμα προαναφώνησις τῆς ἐπὶ τὰ χείρω μεταβολῆς καὶ καταστροφῆς. (Ζ.) Δεύτερον δ' ἐπὶ τούτῳ συνεπεπτώκει τῷ Ἀποκαύκῳ δυστύχημα τόδε. ὁ Γαβαλᾶς Ἰωάννης, ἐκ πολλῶν ἤδη σημείων αἰσθόμενος Ἀπόκαυκον παραλογιζόμενον, κἀν τῷ παρακρούεσθαί πως δεικνύντα τὸ ἥκιστα βούλεσθαι τὴν πρὸς αὐτὸν τοῦ κήδους ἐγγύην, λάθρα προσιὼν Ἄννῃ μηνύει τῇ βασιλίδι, ὡς Ἀπόκαυκος μελετῴη, μετενεγκὼν εἰς τὸ ἑαυτοῦ φρούριον βασιλέα τὸν σὸν υἱὸν, διὰ τοῦ πατριάρχου συζεῦξαι τῇ ἑαυτοῦ θυγατρί. χρεὼν οὖν ἐκ Πειρίν 2.711 θου σε τάχιστα μεταπέμψασθαι τοῦτον, πρινὴ τὸ θήραμα γενέσθαι δικτύων ἐντός. (Η.) Οὗ τελεσθέντος εὐθὺς, φωραθεῖσαν αἰσθόμενος τὴν ἐπιβουλὴν ὁ Ἀπόκαυκος ἔγνω παραχρῆμα καταλελυκὼς τὴν πολιορκίαν ἐκείνην φθῆναι τὸν ἐφεστῶτα κίνδυνον, διαβὰς εἰς Βυζάντιον τὴν ταχίστην. ἔδοξεν οὖν ἐπανιόντι, πρὶν αἰσχυνομένοις ὄμμασι τὴν βασιλίδα θεάσασθαι, χρήμασι παμπληθέσι περιελθεῖν τὴν γυναικωνῖτιν, ἐν ᾗ τὸ μάλιστα δυνάμενον ἦν τηνικαῦτα, καὶ ἅμα τὴν θεραπείαν ἅπασαν, ὅση τὴν αὐτοκρατορικὴν οἰκίαν ἐπλήρου. ὃ δὴ τάχιστα πεπραχὼς, καὶ δι' αὐτῶν καὶ βασιλίδι τὰ κάλλιστά τε καὶ τιμιώτατα τῶν κειμηλίων προσοίσειν ἐπαγγειλάμενος, τῆς προτέρας αὖθις ἔτυχεν εὐδοξίας. καὶ σπεύσας ὠχύρωσεν αὖθις καὶ ἀνεπλήρωσεν, εἴ τί που τοῦ μεγάλου τείχους τῆς πόλεως τεθραυσμένον ὑπὸ τῶν σεισμῶν ἐλλέλειπται, καὶ εἴ τί που τῶν ἔξωθεν ἐληλαμένων δύο προτειχισμάτων, τοῦ τε πάλαι τῷ τῆς πόλεως οἰκιστῇ συγκατοικοδομηθέντος ὁμοῦ τοῖς μεγάλοις τείχεσι καὶ οὗπερ ἀρτίως, διὰ τὸν τοῦ Καντακουζηνοῦ καὶ τῆς ἐκεῖθεν πολιορκίας φόβον, πρὸς ἀνδρόμηκες ὕψος αὐτὸς ἀνήγειρεν ἐξωτέρω, περὶ τὰ χείλη τῶν μεγίστων καὶ θαυμασίων τάφρων, ἀρξάμενος ἀπὸ τῶν πρὸ τοῦ παλατίου πυλῶν, καὶ περιελάσας ἄχρι τῶν χρυσέων ἔγγιστα διὰ τῆς χέρσου πρὸς ἕω. ʹ. Γεγονέναι δ' ἐν τούτοις τοῖς χρόνοις συμπέπτωκε καὶ χαλάζης φορὰν συνεχῆ καὶ ῥαγδαίαν, τῆς ἐπιπολαζούσης ἤδη περὶ τὰ Ῥωμαίων πράγματα θεομηνίας σύμβολον οὖσαν καὶ ταύτην, 2.712 καὶ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

οἷόν τι πῦρ ἐπὶ πυρὶ προσεπενηνεγμένην. πολύχουν γὰρ κατά τε τῶν ἀσταχύων καὶ τῶν γε ἄλλων ἐγγενέσθαι τὸ βλάβος καρπῶν· τῶν γε μὴν ἀμπέλων, τούτων δὲ καὶ πάντων μάλιστα, ὡς μηδὲ τοὺς ἔπειτα χρόνους ἀναβιῶναι δύνασθαι. (Β.) Εἰδέναι γὰρ οἶμαι πάντας, ὡς οὐχ ὅτε καὶ καθ' ὧν ἐνσκήπτει τὸ τῆς χαλάζης σῶμα καρπῶν, τότε μόνον καὶ τούτους μόνους ἐκτυφλοῖ καὶ μαραίνει, ἀλλὰ καὶ τὰ πέριξ ἅμα, καὶ ἐς πολὺν τὸν χρόνον ὁ μαρασμὸς ἐπιβόσκεται πάντα, ὥσπερ αἰσθήσει τινὶ διοικουμένων καὶ τῶν φυτῶν, καὶ τὸν τοῦ κοινοῦ δεσπότου θυμὸν καθάπαξ ἐκπληττομένων, καὶ ὑπὸ δέους συστελλομένων, καὶ αὐτῆς ἀποῤῥηγνυμένων τῆς ζωογόνου ψυχῆς. λίθῳ μὲν γὰρ ὑπ' ἀνθρωπίνης πληγέντος χειρὸς ἀπίου καὶ μήλου καὶ βότρυος καὶ τῶν τοιούτων, τὸ μὲν πληγὲν τραῦμα μὲν ἔχει, νεκροῦται δ' ἥκιστα· τὸ γειτονοῦν δ' ὅμως οὔτε πληγῆς τινος ᾔσθετο, οὔτ' ἐπεπόνθει φθορὰν, καὶ ταῦτα τοῦ μὲν πλήττοντος λίθου τραχέος τε ὄντος καὶ ὀξύτητας περὶ αὐτὸν διαφόρους τε καὶ πλείστας ἴσως ἔχοντος, τῆς δὲ χαλάζης ἥκιστα τούτων οὐδέν· γίνεσθαι γὰρ τὴν χάλαζαν, ὅταν τῆς ἀναγούσης καπνώδους κάτωθεν ἀναθυμιάσεως ἐπὶ τὰ μετεωρότερα διακρίνηται διὰ θέρμης ἔνδειαν ἡ ἀτμώδης αὐτῆς ἀνάχυσις. ἐκείνης γὰρ διὰ κουφότητα φερομένης μετεωρότερον, ὑπολείπεται διὰ βάρος αὕτη περὶ τὸν μεταξὺ τόπον, ἔνθα πολυτελέστερον τὸ ψύχος οἱ τοῦ ἀέρος ταμιεύουσι κόλποι. τῶν μὲν γὰρ ἑκατέρωθεν τόπων ὁ μὲν ἄνω τῇ κύκλῳ φορᾷ καὶ περι 2.713 στροφῇ τοῦ οὐρανίου συμπεριδινούμενος σώματος νεφῶν ἥκιστα ποιεῖσθαι δύναται σύστασιν· ὁ δ' αὖ περιγειότερος, καὶ αὐτὸς διὰ τὸ τῶν ἡλιακῶν ἀνακλάσεων ἔντονον διαῤῥέων, ἥκιστά πως οὐδ' αὐτὸς ἂν δυνηθείη νέφους σύστασιν ποιεῖσθαι· ὡς τῆς ἑκατέρωθεν μάχης ἐς τὸ ἀπρακτοῦν οὑτωσὶ τελευτώσης, ἰσχύος λαμπρᾶς τινος ἀντίληψιν λείπεσθαι ἔχειν ἐνταυθοῖ τὸ ψυχρὸν, καὶ νεφῶν τῇ τῶν ὑγρῶν ἀνάλογον πηλικότητι σύστασιν ἤδη ποιεῖσθαι. ὧν μεταβαλλομένων, ὄμβρον γίνεσθαι πρότερον, οἱονεὶ συνθλιβομένου τοῦ ἀέρος, καὶ μηκέτι μηδαμῇ δυναμένου φέρειν τὴν ἐμβρίθειαν τοῦ ὑγροῦ. ἀλλ' ἐπειδὰν εἰς ὄμβρον οὕτω διαλυθῇ τὸ ἐκ τοῦ νέφους ὑγρὸν, βιαιοτέραν ἔχοντος ἤδη τὴν θέρμην τοῦ περιέχοντος, καὶ πανταχόθεν ἀντιπεριϊσταμένου, καὶ βίᾳ περὶ τὰ μέσα ξυνελαύνοντος, χάλαζα γίνεται, πλίνθου τινὸς συμπίλησιν μιμουμένης, ὡς εἰπεῖν, καὶ δημιουργούσης τῆς φύσεως, ἐξ ἀγεωργήτων καὶ μετεώρων πηγῶν καὶ ῥευμάτων. τὰ δὲ τοιαῦτα συμπτώματα σπάνια μεντἂν ἐν θέρει που γίγνεσθαι διὰ τὴν βραχύτητα τοῦ τῷ ἀέρι ἐγκαρτεροῦντος ὑγροῦ· δαψιλέστερα δ' ἐν ἔαρος ὥρᾳ τε καὶ φθινοπώρου, ἅτε παραπλησίως πως τὴν μέσην θέρους καὶ χειμῶνος χώραν εἰληφότων, καὶ θέρμης εὐπορίαν ὁμοῦ καὶ ὑγρότητος ἐντεῦθεν ἐχόντων, ἃ τὴν χάλαζαν, ὡς εἰρήκειμεν, ἰσχύει κατασκευάζειν. (Γ.) Ἐκ γοῦν ὕδατος οὕτω τῆς χαλάζης τὴν γένεσιν ἐχούσης, χαύνου στοιχείου καὶ διαῤῥέοντος, κἄπειτα πετρῶν καὶ ξύλων καὶ φλογῶν ἁπασῶν τὴν βλάβην πολλῷ 2.714 τῷ μέτρῳ κραταιοτέραν ποιούσης, πῶς οὐ θεομηνίας ἂν εἴη σαφοῦς τὰ ἐκ τῶν τοιούτων; ζʹ. Ἀλλὰ γὰρ ὅσα γε ἐκ πολλῶν τῶν πρὸς ἡμᾶς τῆς τοῦ θεοῦ φιλανθρώπου καὶ δικαίας ὀργῆς σημείων ἐρανισάμενοι τῇδε τῇ ἱστορίᾳ συνυφάναμέν τε καὶ συνυφανοῦμεν, εἰ ζῆν ἡμῖν ἐξείη, μεγάλα μέν πως δόξειεν ἂν τοῖς τε νῦν ὁρῶσιν ἅπανθ' ὁμοῦ καὶ τοῖς ἔπειτ' ἐντευξομένοις, καὶ οἷα μήπω πρίν. ὅμως ἦν ἄν πως φορητὰ, εἰ μὴ πᾶσιν, ἀλλ' οὖν οἷς ἡ τῶν πραγμάτων ἐντέθεικε πεῖρα σύνεσιν, καὶ οὓς ἡ τῆς ψυχῆς εὐλάβεια πέπεικε, ταῖς γραφαῖς ἑπομένους, κυρίου παιδείαν εἶναι νομίζειν καὶ τῶν συντρόφων καὶ ὁμηλίκων κηλίδων ἰατρείαν τινὰ, εἰ μὴ καὶ τὰ τῆς ἐκκλησίας ναυάγια προσετίθετο, καὶ τῶν πάλαι κοιμηθέντων σκανδάλων ἀρτιγενεῖς ὁμοίως ἐπεφύοντο κῆρες, μακροὺς ὀλέθρους ψυχῆς ἐπιφέρουσαι καὶ ῥᾷστα πρὸς ἀπωλείας πυθμένας καταβαπτίζουσαι. (Β.) Ἀλλὰ τούτων ἔνια καὶ ἡμῖν κατ' ἐπιτομὴν ἐνταῦθα λελέξεται. πάντα γὰρ ὁμοῦ διεξιέναι, πρὸς ἄλλην ἀσχολουμένοις πραγματείαν, ῥᾴδιον οὐκ ἂν εἴη, μέγιστόν τε ὂν ἔργον καὶ μεγίστης δεόμενον πραγματείας. καὶ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

πρῶτον μὲν ἐνταῦθα κείσθω διήγημα τῶν περὶ τὸν Ἄθω τὸ ὄρος ἐν τούτοις ἑαλωκότων τοῖς χρόνοις Μασσαλιανῶν καὶ Βογομίλων. (Γ.) Τά τε γὰρ ἄλλα τὸ ὄρος ὁ Ἄθως θαυμάζεσθαι ἄξιον εἶναι δοκεῖ μοι, ὅτι τε πρὸς ἀέρα κέκραται πάνυ τοι εὐφυῶς καὶ ὅτι πολλῇ τινι καὶ παντοδαπῇ τῇ χλόῃ κοσμεῖται, καὶ σφόδρα φιλοτίμως εἰπεῖν 2.715 ἐκ τοῦ ῥᾴστου τῶν ἐντυγχανόντων τὴν αἴσθησιν δεξιοῦται, καὶ πολλὴν εὐθὺς προβάλλεται τὴν τῆς τέρψεως ἡδονήν· καὶ ῥεῖ πανταχόθεν ὥσπερ ἐκ θησαυρῶν τό,τε εὔπνουν τῆς ὀδμῆς καὶ τὸ τοῦ ἄνθους εὔχρουν· καὶ καθαραῖς τὸ πλεῖστον ὁμιλεῖ ταῖς ἡλίου ἀκτῖσι· δένδρεσί τε πολυειδέσι κομᾷ καὶ ἄλση καὶ λειμῶνας ποικίλους, ἔργα χειρῶν ἀνθρωπίνων, πλουτεῖ· καὶ γένει παντοίων ὀρνίθων περιηχεῖται· καὶ σμήνη μελιττῶν ἐκεῖ περιτρέχει τὰ ἄνθη, καὶ ἠρέμα τὸν ἀέρα περιβομβεῖ. καὶ τέρψεώς τις πέπλος ἐντεῦθεν ὑφαίνεται ξένος ἐκεῖ συμμιγὴς, οὐκ ἦρος ὥρᾳ μόνῃ, ἀλλ' ἐν ἅπαντι καιρῷ καὶ χρόνῳ, ὁμοζυγοῦντος ἀεὶ τοῦ τῶν τεσσάρων ὡρῶν κύκλου πρὸς ὁμοίαν τὴν χάριν καὶ ἡδονὴν τῶν ἀνθρωπίνων αἰσθητηρίων· καὶ μάλισθ' ὅτ' ἐκ μέσου τοῦ ἄλσους καὶ τῶν φυτῶν ἐκείνων ὄρθριος ἡ τῆς ἀηδόνος ἠχήσασα μουσικὴ συνᾴδοι τοῖς ἐκεῖ μονάζουσιν εἰπεῖν καὶ συνυμνοῖ τὸν κύριον. ἔχει γὰρ κἀκείνη καὶ κιθάραν ἐπὶ στήθους ἔνθεόν τινα, καὶ ψαλτήριον ἔμφυτον, καὶ μουσικὴν ἐναρμόνιον, ἐξ αὐτοσχεδίου περισαλπίζουσαν τοὺς ἀκούοντας πάνυ τοι ἐμμελῶς. καὶ ἅμα πηγαῖς αὐτοφυῶν ὑδάτων ὁ χῶρος ἄρδεταί τε καὶ περιαντλεῖται πολλαῖς. ῥύακες ἀποβλύζοντες ἄλλοθεν ἄλλοι μυρίων γίνονται παῖδες πηγῶν, καὶ ἀλλήλοις ἠρέμα καὶ λάθρα, κλέπτοντες ὥσπερ τὸν δρόμον, κοινοῦνται τὸ ῥεῦμα, οἷον ἐπίτηδες καὶ αὐτοὶ σιωπῶντες, καί τινος παιδείας αἰσθανομένοις ὁμοίως ἀντιποιούμενοι, καὶ διδόντες ἐξουσίαν μακρὰν τοῖς ἐκεῖ μονασταῖς, ἀθόρυ 2.716 βον βίον ἀνύοντας, τὰ πτερὰ τῆς εὐχῆς ἡσυχῇ πρὸς θεὸν ἀνα2.716 πέμπειν, ὅτι καὶ πολλὴν πρὸς ἡσυχίαν παρέχει τὴν εὐφυΐαν τοῖς τὴν οὐράνιον ἐν γῇ μετιέναι ἐθέλουσι πολιτείαν, καὶ πρός γε τὴν χορηγίαν τῶν εἰς τροφὴν παντοίαν ἐπιτηδείως ἐχόντων ἄφθονον οἴκοθεν οἴκαδε τὸν ἅπαντα χρόνον πορίζεται· καὶ ἅμα θαλάσσῃ μακρᾷ στεφανοῦται, πολλὴν ὡς ἐκ κύκλου κομιζούσῃ τὴν χάριν αὐτῷ, παρὰ τοσοῦτον μὴ νῆσον εἶναι καθάπαξ αὐτὸ συγχωρούσῃ, παρόσον ἰσθμῷ τινι μὴ σὺν πόνῳ καρποῦσθαι καὶ τὴν ἔξω χεομένην εἰς μῆκος ἅμα καὶ πλάτος ἤπειρον δίδωσι. καὶ ἁπλῶς πανταχόθεν ἐκεῖ τὰ τῆς ἀρετῆς συγκροτεῖται γνωρίσματα πρός τε τῆς φύσεως πρός τε τῆς τῶν οἰκούντων ἀσκήσεως. οὐ γυναίων ὅλως ἐκεῖ ξυναυλία, καὶ ἀκόλαστον ὄμμα, καὶ χλιδῶσα κομμωτικὴ, καὶ ὅσα τὴν ἀρχαίαν τοῦ ὄφεως ὁμιλίαν ἐκείνην εἰς ἐγκαινίων τινὰ συνάγει πανήγυριν καὶ μακροῦ κυκεῶνος καὶ κλύδωνος τὸν βίον ἐμπίπλησιν· οὐδ' ἐμπορίαι δημόσιοι, καὶ ἀγοραὶ, καὶ ἀγορανόμοι, καὶ δικαστικὰ βήματα, καὶ γλώττης ἐπίδειξις, καὶ τῦφος ἀπὸ δίφρου θεσπίζων τὰ τῆς ὀρέξεως νόμιμα. οὐδὲ δουλεία καὶ αὐθεντία μερίζει τὸν βίον ἐκεῖ· ἀλλ' ἰσηγορία, καὶ μετριότης φρονήματος, καὶ ἤθους σεμνότης, καὶ δικαιοσύνης εὐγένεια σκηνοβατεῖ καὶ περιχορεύει τὸν χῶρον ἐκεῖνον, καὶ ὅσα τὴν ἔνθεον ἐν γῇ δημιουργεῖ πολιτείαν, καὶ τὴν ὄντως ἐν ψυχῇ φιλοσοφίαν ἐργάζεται. οὐ πλοῦτος ἐκεῖ καὶ δαπάνη χρημάτων καὶ βλακεύουσα θρύψις ἐμπολιτεύεται· ἀλλ' ἅπαν ἐστὶν ἀληθῶς σε 2.717 μνόν τε καὶ ἐλευθέριον ἦθος, καὶ ἐς τὰ τῆς ἀρετῆς ἀνάκτορα σπεῦδον, καὶ τὸν Δώριον τρόπον ὡς ἀληθῶς ἡρμοσμένον πρὸς τὰ καλά. (Δ.) Πᾶσαν μὲν γὰρ αὐτομάτως εἰπεῖν καὶ ὁ χῶρος ἐκεῖνος ἀποσπεύδει καὶ ἀπωθεῖται κακίαν, πᾶσαν δ' εἰσποιεῖ καὶ εἰσοικίζεται ἀρετήν· παρὰ τοσοῦτόν τε φιλόκαλος, παρόσον ἐστὶ μισοπόνηρος. καὶ τοῦτο πάλαι προανεφώνησέ τε καὶ προεθέσπισεν, οὐ χείλεσι καὶ φωνητικοῖς ὀργάνοις τισὶν, ἀλλ' ἔργοις οἷον ἐμψύχοις καὶ διὰ πάσης γῆς καὶ θαλάσσης τὸ κήρυγμα τοῦ καλοῦ παραπέμπειν καὶ ἐξηχεῖν δυναμένοις. Ξέρξου γὰρ ἐκείνου τοῦ πάλαι τὸ βάρβαρον καὶ ἀγέρωχον φρόνημα, ἀσελγαῖνον ἅμα καὶ τρυφῶν κατὰ τῆς τῶν ὅλων φύσεως, καὶ τὰ στοιχεῖα πάντα καινοτομεῖν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐπαιρόμενον, ἐπεὶ καὶ τοῦ ὄρους τουτουῒ τὸν ἰσθμικὸν αὐχένα διορύξας μετεστοιχείου καὶ μετεσκεύαζε τὸν χῶρον πρὸς νῆσον, καὶ τὰς ἠπειρωτικὰς ἐφ' ὑγραῖς διεβίβαζε τέως θαλάττης ἀγκάλαις, καὶ νηΐτην τὸν ἠπειρώτην ἐδείκνυ στρατὸν, ἐπὶ τοῦ πανδήμου θεάτρου τῆς οἰκουμένης περιφανῶς ἐξήλεγξε, καὶ πρὸς τὸ ἀνθρωπικώτερον τοῦ τύφου τὸ πλεῖστον ἀπήλλαξε, καὶ δι' ἐκείνου πάντας ἐδίδαξε βασιλέας, καὶ στρατηγοὺς, καὶ σατράπας, τὸ τῆς ὀφρύος ἄκαιρον ἀποῤῥίπτοντας μετριώτερα δήπου φρονεῖν. οὕτως ἐξ ἀρχῆς ἡ φύσις ἐργαστήριον αὐτὸ κατεσκεύακεν ἀρετῆς, καὶ πάντας ἕλκει πρὸς ἔρωτας ἄνωθεν ἑαυτοῦ, μὴ μόνον ὅσοις τοῦ τῆς ἀρετῆς καὶ τῆς ἡσυχίας ἐκείνης ὁπώσποτε γεύσασθαι μέλιτος ἐξεγένετο, ἀλλὰ καὶ ὅσοις 2.718 δι' ἀκοῆς τὰ ἐκεῖ μαθεῖν συνέβη χρηστά· ὥστε καὶ τῶν ἀεὶ καὶ μέχρι νῦν διηνεκῶς οἰκησάντων αὐτὸ περιβοήτους μὲν καθίστησιν, ὅσοι καθαρόν τε καὶ ἀκαπήλευτον, καὶ ζιζανίου παντὸς ἀμιγὲς καὶ ἐλεύθερον, εἰς τέλος τὸ τῆς ἀρετῆς διετέλεσαν συντηροῦντες γεώργιον· ἐξοστρακίζει δ' αὖ ἐκεῖθεν καὶ ὅλαις χερσὶν ἐξελαύνει καὶ ἀπωθεῖται τὴν τῶν ὑποκριτῶν καὶ βεβήλων συνοίκησιν. (Ε.) Καὶ τὰ μὲν ἀρχαιότερα διηγουμένων ἐστὶν ἑτέρων ἀκούειν αὐταρκῶς. ἐγὼ δὲ τὰ νεωστὶ διηγήσομαι, τὰ περὶ τὸν Κρῆτά φημι Ἰωσὴφ καὶ τὸν Λαρισσέα Γεώργιον, καὶ ὅσοι περὶ τὴν σφῶν μιαρὰν ἐβάκχευσαν τράπεζαν, ὅσα δὴ καὶ φοιτηταὶ πρὸς διδασκάλων τὰ μυσαρὰ μυσταγωγούμενοι δόγματα· ἔτι τε τὰ περὶ Μωσέα τὸν ζωγράφον καὶ Ἰσαὰκ καὶ Δαβὶδ καὶ Ἰὼβ, καὶ ὅσοι βεβήλους ἔχοντες πάμπαν καὶ γλώττας καὶ γνώμας καὶ χεῖρας ὀνόμασι βελτίστων ἀνδρῶν, καὶ περιβοήτων τὴν ἀρετὴν, περιστέλλειν ἐπονηρεύσαντο τὴν ἐνδόμυχον ἀπόνοιαν καὶ ἀσέβειαν τῆς ψυχῆς, παραπλησίως τοῖς τάφοις, οἳ τὰ ἔνδον μακρᾶς ἀπόζοντες δυσωδίας τιτάνῳ καὶ χρυσῷ τὰ ἔξω κοσμοῦνται. ὑποδύονται γὰρ καὶ αὐτοὶ καὶ σχῆμα καὶ ὄνομα βελτίστων ἀνδρῶν, καὶ τὴν ἀρετὴν ἐπισήμων, καθάπερ οἱ ἐν τοῖς δράμασιν Ὀρέσται καὶ Πυλάδαι καὶ Θησεῖς καὶ Πέλοπες, ἵνα τὸν ἰὸν κατὰ τῶν ἀκεραιοτέρων τῆς σφῶν αὐτῶν ἐξεμοῦντες κακίας λανθάνωσιν. (´.) Εἶναί γε μὴν τὰ ἐκείνων μυσαρὰ καὶ ἀκάθαρτα δόγματα, φησὶν ὁ εἰς τὸ τῶν Βυζαντίων ἱερὸν κομισθεὶς συνέδριον ἔγγραφος τῆς 2.719 αὐτῶν ἀσεβείας τόμος πρὸς τῶν θεοφόρων τοῦ ὄρους ἀνδρῶν, τά τε ἄλλα, ὅσα μηδ' ἀκοῇ σωφρονεῖν αἱρουμένων φέρειν εἶναι ῥᾴδια, καὶ ὅτι τὰς θείας λάθρα συντρίβοντες κατακαίουσιν εἰκόνας· καὶ ὅτι τὸ τοῦ διδασκάλου σεμνύνοντες οὖρον τοῖς ἐδέσμασιν αὐτῶν ἐπιῤῥαίνουσι· καὶ ὅτι τὴν ἔνσαρκον καὶ θείαν οἰκονομίαν οὐδαμῇ προσίενται· καὶ ὅσ' ἄῤῥητ' ἀμείνω. τί γὰρ πλείω καταλέγειν δεῖ καὶ καταμιαίνειν τὰς τῶν εὐσεβῶν ἀκοὰς, ἐξὸν ἐκ τοῦ τόμου τοῖς βουλομένοις μανθάνειν σαφέστερον· ὃς πάντα διεξιὼν διαῤῥήδην τὴν σφῶν στηλιτεύει κακίαν, τοῖς πατριαρχικοῖς ἐγγεγραμμένος κώδιξι. (Ζ.) Τοὺς γὰρ καθαροὺς καὶ ἀψευδεῖς οὐκ εἰς τέλος λαθεῖν ἐδυνήθησαν ὀφθαλμοὺς τῶν ἐκεῖ φιλοθέων ἀνδρῶν, καὶ μόνῳ ζώντων θεῷ· ὥσπερ οὐδὲ τοὺς καθαρὰν τὴν γευστικὴν κεκτημένους λαθεῖν ἂν δυνηθείη ποτὲ συνανακραθὲν ἀψίνθιον μέλιτι, οὐδὲ τὴν ὄσφρησιν πολλῷ μᾶλλον ῥόδοις μιγνύμενόν τι δύσοδμον. ὅθεν, οἷα βιαίῳ πυρὶ, τῷ θείῳ ζήλῳ τὴν ἑαυτῶν ψυχὴν ἐκπυρσεύσαντες ἐπὶ ζήτησιν ἀκριβεστέραν ἐτράποντο τοῦ κακοῦ, ἠρέμα καὶ κατὰ βραχὺ κυνηγέτου δίκην ἀνιχνεύοντες ἐκ τῶν τῆς κακίας παραφυάδων τὴν ῥίζαν εὑρεῖν· καὶ εὑρόντες ἔστιν οὓς μὲν αἷς προσῆκε προήκαντο τιμωρίαις, ἔστι δ' οὓς ὡς ποῤῥωτάτω παλάμαις ἁπάσαις ἐκεῖθεν ἀπήλασαν. ἦσαν δ' οἳ καὶ λαθόντες ἐκεῖθεν ἀπέδρασαν, πρὶν ἢ τελέως ἔκπυστον τὴν κακίαν γενέσθαι· οἳ δὴ καὶ πρὸς πόλεις μετεῤῥυήκεσαν Θεσσαλονίκην καὶ Βέῤῥοιαν, καὶ ἣ κατὰ πασῶν ἅπαν 2.720 ἔσχε τὸ κράτος. ἔνθα δὴ γενομένοις σφίσιν οἶμαι νενόμισται, κοινῆς ἑστίας τῶν πανταχόθεν τῆς οἰκουμένης μάλιστα πασῶν ὑπαρχούσης αὐτῆς, καὶ ἅμα πολυγλώσσου καὶ πολυμιγοῦς φωνῆς καὶ γνώμης ἐπιπολαζούσης, συσκιάσαι μὲν τὴν ἑαυτῶν κακίαν, μιμήσασθαι δὲ τῶν ὀρνίθων τοὺς δρυοκολάπτας, οἳ τοῖς δένδρεσι


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

περιπετόμενοι, καὶ ὅλον τοῖς ῥάμφεσι τὸν φλοιὸν περικρούοντες, καὶ τὸ ὑγιαῖνον παρατρέχοντες ἅπαν, μόνῳ τῷ σαθρῷ καὶ σεσηπότι χρονίζουσι περικαθήμενοι μέρει, κἀκεῖνο σιτοῦνται πρὸς βάθος κοιλαίνοντες. η΄. Ἐπεί γε μὴν μετὰ τὸν βασιλέως θάνατον πρὸς ἐμφύλιον στάσιν τὰ Ῥωμαίων ἠγέρθη πράγματα, καὶ ὥσπερ ἐν χειμῶνι καὶ νυκτὶ τὰ πάντα ζόφος ἦν, ὡς μηδ' ἄστροις, τὸ θρυλλούμενον, ὅποι φέροιτό τις δύνασθαι τεκμαίρεσθαι, καὶ πάντ' ἄνω τε καὶ κάτω μεταπίπτοντα, παρὰ τοσοῦτον ἐκ τοῦ σύνεγγυς ἐτίθει τε καὶ μάλα τῶν ἐλπιζομένων ἑκάστοις ἐποίει τὸ ἐπικίνδυνον, παρόσον πόῤῥω καὶ δυσέλπιστον τἀσφαλές· (ἐν γὰρ διχοστασίῃ φασὶ τὸν μὲν πάγκακον τυγχάνειν τιμῆς, τὸν δὲ καὶ ὁπωσοῦν μετέχοντα τοῦ βελτίονος θρήνων πάσχειν ἄξια καὶ τραγικῶν ἀπολαύειν τῶν συμφορῶν·) τῶν κρατίστων εἶναι κἀμοὶ τὸν ἡσύχιον ἔδοξε βίον ἑλέσθαι, τῶν βασιλικῶν ἀφεμένῳ θεάτρων. τοῦ γὰρ ἐρεθίζοντος καὶ μάχην ἀντίπαλον ἀνιστῶντος οὐκ ὄντος, παύσασθαι τὸ νεμόμενον τῆς κακίας ᾠήθην. ὅθεν ἐπειδὴ τοῖς ἄλλοις παραινοῦντί μοι τοὺς πειθομένους ἥκιστ' ἔχειν ἐνῆν, τὸ κατ' ἐμαυτὸν ἐποίουν αὐτός. θόρυβον μὲν γὰρ ἐξ εἰρήνης ῥᾴδιον καὶ τοῖς φαυλοτά 2.721 τοις καὶ βάναυσον ἄγουσι βίον ποιεῖν· ἐκ δὲ θορύβων εἰρήνην, οὐδὲ τοῖς σφόδρα συνετοῖς μάλα τοι εὔοδον. τὸ μὲν γὰρ αὐτονομίᾳ φύσεως ἄγεται· ἡ δὲ φύσις ἄτακτον καὶ ἀνώμαλον ὡμολόγηται εἶναι· τὸ δὲ παιδείᾳ καὶ συνέσει βεβουλευμένῃ καὶ σώφροσι λογισμοῖς οἰακίζεται. ὅθεν τὸ μὲν καὶ τὰς οὐκ οὔσας ἀναπλάττει προφάσεις, ἐφόδια πορίζον ταῖς μάχαις· τὸ δὲ καὶ τὰς οὔσας ἐκτέμνειν πειρᾶται, καθάπερ ἰατρὸς πρὸ τῆς βλάστης ἐν τῇ ῥίζῃ τὴν θεραπείαν τεχνώμενος. (Β.) Ἐμοὶ μὲν οὖν διά τε ταῦτα βέλτιον τὸν ἡσύχιον ἔδοξε βίον ἑλέσθαι, καὶ ἅμα μεμνημένῳ κἀκεῖνο τὸ Ζήνωνος τοῦ σοφοῦ, ὅπως ἐν συμποσίῳ μακρῷ, τῶν ἄλλων σοφῶν ἐπιδεικτικῶς τοῖς ἐκ Βαβυλῶνος ὁμιλούντων πρέσβεσιν, μόνος αὐτὸς ἐσιώπα, καὶ τὴν αἰτίαν τῶν πρέσβεων ἐρομένων τῆς σιωπῆς, ἵν' ἔχοιεν ἀπαγγέλλειν τῷ βασιλεῖ σαφές τι περὶ αὐτοῦ· "1πορευθέντες ἀπαγγείλατε,"2 φησὶν, "1ἰδεῖν ἐν Ἀθήναις ἄνθρωπον, σιωπᾷν ἐν συμποσίῳ δυνάμενον."2 (Γ.) Οὕτω δὴ πεπραχὼς καὶ αὐτὸς ἑώρων ὥσπερ ἐκ σκοπιᾶς σφόδρα ἀντιφιλονεικοῦντας τοὺς ἑκατέρωθεν ἀναβράσαντας κλύδωνας ἔκ τε τῶν δημοσίων ἔκ τε τῶν ἱερῶν τῆς ἐκκλησίας πραγμάτων, ὅστις λάβῃ τὸ μεῖζον, καὶ δίκην ὁλκάδων δυοῖν ἐν μέσῳ πλημμελῶς καὶ ἀτάκτως ἀγομένων, καὶ φερομένων φοράν τινα καὶ κίνησιν ἀκυβέρνητόν τε καὶ ἄλογον καὶ ἀνώμαλον, καὶ οἵαν ποιεῖ τὸ αὐτόματον· ὡς μετὰ τοῦ μὴ δύνασθαι μηδὲ βούλεσθαι βοηθεῖν περιστατουμένοις ἀλλήλοις· ἀλλ' ὁμοίως ἑαυτοῖς τε καὶ ἀλλήλοις ἐς 2.722 τοὐμφανὲς ἑκών γε εἶναι τὸν ἔσχατον ὄλεθρον ἀμφοῖν πραγματεύεσθαι· ὡς τὴν τῶν ἐντεῦθεν ἄντικρυς κυμάτων μίμησιν κορυφουμένην εἶναι ὁρᾷν πανταχόθεν εἰς Ὀλύμπους καὶ Καυκάσους, καὶ εἴ τι τῶν ὀρῶν ὑπερνέφελόν τέ ἐστι καὶ μέχρι καὶ ἐς αἰθέρος φοιτᾷ γειτονήματα. (Δ.) Καίτοι καὶ Ἀθηναίων τοῖς πάλαι σοφοῖς οὐκ ἄλλοτέ ποτε στασιάζειν, καὶ γλωττοδαίδαλον μάχην ἐγείρειν, καὶ πὺξ ἀπὸ στόματος ἀκοὰς ἐνοχλεῖν ἀπαντώσας ἐπῄει, ἢ ὅτε τῶν ἔξω θορύβων τε καὶ πολέμων ἐκδήμων πάμπαν ἦσαν ἀπηλλαγμένοι. τότε γὰρ καὶ πρὸς διαφόρους αἱρέσεων φάλαγγας ὥραν εἶχε τὰ Ἑλλήνων σχίζεσθαι δόγματα, νῦν μὲν Ἐπικουρείων, νῦν δὲ Πυθαγορείων, καὶ ὅσοι τῷ χρόνῳ τὴν μνήμην παρέδοσαν ἄφθονον τῶν τὴν τῆς ἔριδος χορηγίαν παρεχομένων. ἐνταῦθα δὲ μυρίων ἔνδοθέν τε καὶ ἔξωθεν δημοσίων ἐπιῤῥεόντων θορύβων καὶ τραγικῶν συμφορῶν, μείζονα τὸν ἄλλως ἀναῤῥιπιζόμενον τῶν δογμάτων ἔβλεπον πόλεμον, καὶ τὸ τῆς θεολογίας σεμνὸν ἐν ταῖς ἀγυιαῖς καλινδούμενον καὶ ἐνοχλούμενον ὑπὸ τῆς τῶν παλαμναίων καὶ Φαρισαίων φάλαγγος. καὶ εἴ τινες ἀντίπαλοι Μακκαβαῖοι, καὶ ὅσοι διὰ τὸν χρόνον ἦσαν ἐφεκτικοὶ, τότε δὴ κληδόσι τε καὶ φήμαις, καὶ εἴ πού τις ὑπῆρχεν ἐγγαστρίμυθος καὶ Βάκχη καὶ Φοιβόληπτος, ὥρα πᾶσι λαμπρά τις ἀναίδην ὑπῆρχε ληρεῖν, ὡς τὰ καὶ τὰ προβήσεται, καὶ τὰ καὶ τὰ γενήσεται. (Ε.) Τούτοις δὴ θαῤῥήσας



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἧκε κἀκ τῶν Κελτικῶν τε καὶ Γαλατικῶν βαράθρων τις σοφὸς καὶ οὐ σοφὸς ἀνὴρ Γαλάτης, πολλὰ τῶν μήπω 2.723 γενομένων διατεινόμενος προειδέναι πρὸς τῶν μετεώρων, καὶ ὅσα ὁ τῆς καθ' Ἕλληνας πεπρωμένης μίτος ὑφαίνει, τά τε ἄλλα καὶ περὶ τῶν Ῥωμαϊκῶν πραγμάτων, ὅποι σαφῶς προβήσεται· καὶ ὡς τεθνήξεται μὲν ἐς τὴν ὑστεραίαν ὁ Καντακουζηνός· οἰχήσεται δ' ἅπαν ἀντίπαλον καὶ πολέμιον γένος, πρὶν ὅλον ἐξήκειν ἐνιαυτόν. τοῦτον ὡς ἐξ οὐρανίων ἀντύγων προσαγόμενον ὑπὸ τῶν ὁμοφύλων Λατίνων ἡ βασιλὶς θεασαμένη τε καὶ ἀκούσασα, ἔπειτ' ἀνερευνᾷν ἐθέλουσα τὰς τῶν λεγομένων αἰτίας μετάπεμπτον ποιεῖται κἀμὲ, καὶ οὐ μάλα ἐθέλοντα, ἵνα συνιεὶς τῶν λεγομένων ἀδέκαστος εἴην κριτής. ὁπόσα μὲν οὖν ἐκεῖνος διῄει, βέβαια τὰ παρὰ τῶν ἀστέρων ἐνδεικνύμενος πεπρωμένα, ἄκαιρον εἶναι καθ' ἕκαστα διηγεῖσθαι νομίζω. λέξω δ' ἐξ ὧν πρὸς ἀναίρεσιν αὐτὸς ἐκείνου περιφανῶς ἀντεισήνεγκα μέτρια. (ʹ.) "1Καὶ πρῶτον ὁ Πτολεμαῖος ὁ πάνυ φησὶν, ὡς οὐχ ἅπαντα τοῖς ἀνθρώποις ὑπό τινος ἄνωθεν ἀνάγκης συμβαίνειν οἴεσθαι χρὴ, καὶ ἄτρεπτα γίνεσθαι καθ' εἱμαρμένην τινὰ τὰ γιγνόμενα· ἀλλ' αὐτὴν μὲν τὴν τῶν οὐρανίων κίνησιν ἐξ αἰῶνος ἄτρεπτον κατὰ γένεσιν θείαν καὶ τάξιν ἀποτελεῖσθαι· τήν γε μὴν τῶν ἐπιγείων ὑπὸ φύσεως μὲν διοικεῖσθαι, συμφυὲς τὸ τρεπόμενόν τε καὶ ῥέον ἐχούσης ἀεί· ἕπεσθαί γε μὴν ὁπώσποτε καὶ τὴν ἄνωθεν αἰτίαν, κατὰ συμβεβηκὸς, οὐ μὴν ὡς ἐπίπαν ἀνθρώποις καταληπτήν· πολύχουν μὲν γὰρ ἔχειν τὴν δύναμιν διὰ τοῦ ἀέρος ἥλιον καὶ σελήνην πρὸς τὰ ἐπίγεια κατά τινας λόγους καθολικωτέρους, πᾶσιν οἷς νοῦ καὶ 2.724 φρονήσεως μέτεστι σύμφωνον ἂν εἴη. τάς γε μὴν γενεθλιαλογικὰς ἐπισκέψεις καὶ ὅσα παρ' ἐνίων γνωμολογεῖται περὶ τῆς ἑκάστων ἰδιοτρόπου συγκράσεως, τοῦτο δ' ὄχλον εἶναι μάλα τοι σφόδρα μάταιον καὶ μόχθον ἀνήνυτον καὶ ἀκατάληπτον κεκτημένον τὸ πέρας οὐ Πτολεμαίῳ μόνον τῷ πάνυ δοκοῦν ἐστιν, ἀλλὰ καὶ τῷ τὰ θεῖα πολλῷ Βασιλείῳ. τούτοις δὴ καὶ τὰ Χαλδαίων ἄντικρυς συνᾴδει, Μὴ τὰ πελώρια μέτρα γαίης (φασκόντων) ὑπὸ σὴν φρένα βάλλου· οὐ γὰρ ἀληθείης ἐν χθονί ἐστι φυτόν. μηδὲ μέτρει μέτρον ἠελίου, κανόνας συναθροίσας· ἀϊδίῳ βουλῇ φέρεται πατρὸς οὐχ ἕνεκέν σου. μήνης ῥοῖζον ἔασον· ἀεὶ τρέχει ἔργῳ ἀνάγκης. ἀστέριον προπόρευμα σέθεν χάριν οὐκ ἐλοχεύθη. αἴθριος ὀρνίθων ταρσὸς πλατὺς οὔποτ' ἀληθής· οὐ θυσιῶν σπλάγχνων τ' ὄθομαι· τάδ' ἀθύρματα πάντα, ἐμπορικῆς ἀπάτης στηρίγματα· φεῦγε σὺ ταῦτα, μέλλων εὐσεβίης ἱερὸν παράδεισον ἀνοίγειν, ἔνθ' ἀρετὴ σοφίη τε καὶ εὐνομίη συνάγονται. εἴη δ' ἂν καὶ ἄλλως ῥᾴδιον, εἴ τις ἀναιρεῖν ἐθέλοι τὴν πεπρωμένην. εἰ γὰρ ἐξ ἀνάγκης οἱ λῃσταὶ λῃστεύουσιν, ἐξ ἀνάγκης δ' αὖ καὶ ὁ νομοθέτης τὸν λῃστὴν τιμωρεῖται, μάχεται λοιπὸν ἡ πε 2.725 πρωμένη τῇ πεπρωμένῃ, καὶ ἡ ἀνάγκη τῇ ἀνάγκῃ· μάχης δὲ καρπὸς φθορὰ καὶ λύσις γενέσεως. ἔφθαρται ἄρα τὸ τῆς πεπρωμένης ἄτρεπτον, καὶ διοικεῖται πάντα κατὰ θείαν πρόνοιαν, ὅπως ἂν ἑκάστοις ἐστὶν ἐνδεχόμενον."2 (Ζ.) Ταῦτα δὴ καὶ ὅσα παραπλήσια πρὸς ἡμῶν εἰρημένα ἐπεστόμισέ τε τὸν Γαλάτην καὶ ἄφθογγον ἔχων τὴν γλῶτταν ἐκεῖνος ἀπῄει τοῦ συνεδρίου. Ἀλλ' οὐκ Ἀτρείδῃ Ἀγαμέμνονι ἥνδανε θυμῷ.ὡς γὰρ σπινθῆρες καλάμην διέδραμον τὴν τῆς βασιλίδος ψυχὴν, καὶ κότον ἔσχεν, ὄφρα τελέσσῃ καιροῦ προϊόντος, εἰ καὶ τέως ἐχεμυθοῦσα χαροπὸν διὰ τοὺς παρόντας ἐδείκνυ τὸ πρόσωπον. ὅ,τε γὰρ ἀνὴρ ἐκεῖνος πατριώτης ἦν αὐτῇ καὶ ὁμόγλωττος· τά τ' ἐκείνῳ πεφρασμένα κατὰ νοῦν ὑπῆρχεν ἐκείνῃ καὶ σφόδρα καθ' ἡδονὴν, καὶ ἀκοῆς ἀντιφθεγγομένης ἥκιστα πάντων ἐδεῖτο πρὸς ταῦτα. ὅμως ἔσχεν οὕτω ταῦτα· καὶ πρώτη τις ἦν αὕτη πρόφασις, τὸ τῆς ἐμῆς ἐκείνης ἡσυχίας συνεχὲς διακόψασα καὶ μήνιδος ἐγκατορύξασα σπέρματα ταῖς τῆς καρδίας αὔλαξι τῆς βασιλίδος κατ' ἐμοῦ· δευτέρα δὲ καὶ τελευταία, ἣν προϊόντες ἐν τοῖς καθήκουσι τόποις ἐροῦμεν, τὰ μεταξὺ διηγησάμενοι πρότερον. (Η.) Ἀλλὰ ταῦτα μὲν ἐς τόδε λεχθέντα ἀρκεῖν οἴομαι δυοῖν ἕνεκα· ἑνὸς μὲν, ὅτι πρὸς ἀναγκαιοτέρας τήμερον ἡμᾶς ὑποθέσεις ὁ λόγος ἀνθέλκει, πρὸς ἃς καὶ ὁ τοῦ λόγου μάλιστα καὶ τῆς ἐξ ἀρχῆς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

προθέσεως τείνει σκοπός· δευτέρου δ', ὅτι πολλὰ πολλῶν εἰρηκότων καὶ ἀγωνισαμένων ὑπὲρ τῆς ὑποθέσεως, ὡς ἐνῆν, οὐ 2.726 μακρῶν οἶμαι ἂν ἔτι τῶν ἡμετέρων δεήσεσθαι λόγων· ἀλλ' ὡς ἐν προσθήκης μέρει, καὶ κριτικῆς τινος ψήφου, καὶ τουτωνὶ ξυνεῤῥυηκότων, εἰ καὶ βραχέα δοκεῖ πως, ἀλλ' οὖν τόν γε ἴσον δυνήσεσθαι τρόπον εἰς τὴν ἀληθείας ἐνάργειαν. διόπερ ἐκεῖσε ἐπανιτέον. θʹ. Ἐπεὶ γὰρ ὁ Ἀπόκαυκος ἐς βυθοὺς πρὸς τοῦ Γαβαλᾶ κατενεχθῆναι δυστυχημάτων παρεκινδύνευσε μὲν, ἀνένηξε δ' οὖν καὶ ἐς τὴν πρὶν ἀφίκετο εὐδοξίαν, ὥς γε εἴρηται, δι' ὧν λοιπὸν αὐτὸν ἀμυνεῖται πάσας κεκίνηκε μηχανάς· ἕως, μὴ τὰ μείζω τῶν δεινῶν ὑποστῇ, δείσας αὐτὸς ἐς τὸν μέγιστον τῆς τοῦ θεοῦ Σοφίας κατεπεφεύγει νεών. ἔνθα μετὰ συχνόν τινα χρόνον, πολλὰς καὶ ποικίλας ἀκούων τὰς καθ' ἑαυτοῦ ἀπειλὰς, καὶ δείσας αὖθις, μὴ κἀκεῖθεν ἀνάρπαστος ἐξαπίνης γενόμενος ἐς ταρτάρους καὶ ζόφους δεσμωτηρίων ῥιφῇ, κἀκεῖνο πιεῖν ἐγγένηται τουτωΐ τὸ ποτήριον, ὅπερ ἄλλοις αὐτὸς κεκέρακε πλείοσι, τὸ μοναδικὸν ἐξ ἀνάγκης ὑπέδυ σχῆμα. φθάσας γὰρ αὐτὸς καταλέλυκε τὴν τοιαύτην ἄσυλον ἐκ πολλοῦ, τῶν προσφύγων ἀρχαίαν ἀσφάλειαν, ἐνδιδόντος καὶ αὐτοῦ τοῦ τὸν πατριαρχικὸν διέποντος θρόνον. διὸ καὶ αὐτοὶ πρὸς ἐσχάτας ἐνεπεπτώκεισαν ἀτιμίας καὶ περιαγωγὰς κακοδαίμονας, ὡς εἰρήσεται. τοῖς γὰρ τὰ θεῖα προφανῶς οὑτωσὶ περιφρονηταῖς εἰκὸς ἐν ἐσχάτοις τοιαύτας ἐπιέναι τίσεις, εἰς παιδαγωγίαν τοῦ βίου, δραστικώτερόν πως καταστέλλειν τὸ θηριῶδες τῆς τύχης ἰσχύουσαν. (Β.) Ἀλλὰ γὰρ ἔαρος ἐπιστάντος ἐν τούτοις, τὸν Ἑλλήσποντον μετὰ πολλῆς ὁ σατρά 2.727 πης Ἀμοὺρ τῆς Ἀσιανῆς δυνάμεως περαιωσάμενος ἧκεν ἐς Διδυμότειχον· κἀκεῖθεν αὖθις ἧκε μετὰ βασιλέως ἄχρι καὶ ἐς Βυζάντιον, θέας τε ἕνεκα καὶ πείρας εἰ δέοι. ἐπεί γε μὴν ἐληλύθει κἀκ συμμέτρου τοῦ διαστήματος νῦν μὲν ἱστάμενος, νῦν δὲ περιϊὼν ἐσκόπει καὶ συνεώρα, πολλή τις αὐτὸν συνέσχε κατάπληξις τοῦ τε μεγέθους τῆς πόλεως καὶ τοῦ τῶν τειχῶν ὕψους καὶ κάλλους, ἔτι τε καὶ τῆς τῶν πέριξ τάφρων θαυμασίας οἰκοδομῆς, καὶ τῆς τῶν προτειχισμάτων στάσεώς τε καὶ τάξεως ἐθαύμαζε δ' ἕτερον τρόπον, καὶ ὅπως οὐκ ἦν ἐπὶ τῶν ἐπάλξεων, ὡς εἴωθε ταῖς μεγάλαις τε καὶ πολυανθρώποις πόλεσι, πλῆθος ἀνδρῶν· ἀλλὰ πλὴν ὀλίγων ἔρημον ἐδόκει τὸ τεῖχος πολεμικῆς ἁπάσης παρασκευῆς καὶ δυνάμεως. ὁ γὰρ Ἀπόκαυκος, μᾶλλον τὴν ἔνδοθεν ὁρμὴν δεδιὼς τοῦ δημοτικοῦ πλήθους, ἢ τὴν τῶν ἔξωθεν πολεμίων ἔφοδον, ἄδειαν οὐκ ἐδίδου τοῖς βουλομένοις ἐπὶ τὸ τεῖχος ἅπασιν ἀνιέναι, ἀλλ' οἷς μάλιστ' ἐθάῤῥει τῶν ὁπλιτῶν καὶ ἱππέων. τούτων γὰρ τοὺς μὲν ἔνδον ἀΰπνους ἔστησε φύλακας τῶν πυλῶν· τοὺς δὲ περιϊέναι διανυκτερεύοντας τά τε τείχη καὶ πᾶσαν ἔνδον προσετετάχει τὴν πόλιν. (Γ.) Οὔπω τέτταρες ἡμέραι παρεληλύθεσαν, καὶ ἄρας ὁ βασιλεὺς ἀπῄει μετὰ τοῦ Ἀμοὺρ, καταπολεμήσων τῷ Μομιτίλᾳ, πρὸς μέγα δυνάμεως κατὰ βραχὺ προϊόντι καὶ χειρουμένῳ πόλεις καὶ χώρας Ῥωμαϊκὰς ἀεί. καὶ τὸ ἔαρ ἐν τούτοις ἐτελεύτα. διαβάσης δὲ τὴν Ῥοδόπην τὸ ὄρος τῆς τε Ῥωμαϊκῆς ὁμοῦ καὶ Περσικῆς δυνάμεως, ἐν παρασκευαῖς ὁ Μομιτίλας ἦν τοῦ πολέμου. εἶχε γὰρ τέως πόλεις ὑφ' ἑαυτῷ Ξάν 2.728 θειάν τε καὶ Περιθόριον, καὶ ὅσα ἐφ' ἑκάτερα καὶ μεταξὺ πολίχνιά τε καὶ χωρία, καὶ στρατεύματα ἱππικὰ τεττάρων ἐπέκεινα χιλιάδων. (Δ.) Θέρους δ' ἤδη μεσοῦντος, καὶ τῆς γῆς ἐν ἀκμαῖς ὑπαρχούσης τοῦ σίτου, τὰς δυνάμεις ἀνειληφὼς ἁπάσας ὁ βασιλεὺς ἐγγύς που τοῦ Περιθορίου παρεστρατοπέδευσε, καὶ εἰς τάξιν πολεμικὴν διεκόσμει τε καὶ συνέταττε σφᾶς. ἤδη δὲ καὶ ὁ Μομιτίλας, ὁρμητήριον ὀχυρὸν ἑαυτοῦ τὸ Περιθόριον καταστησάμενος, ἐξῄει πολλαῖς τε πεφραγμένος ταῖς δυνάμεσι καὶ πλείονι ἐκτετυφωμένος τῷ θράσει. οὐδὲ γὰρ οὐδὲν οὔτε μικρὸν οὔτ' ἀγεννὲς ὑπολογίζεσθαι ἦν αὐτῷ περὶ ἑαυτοῦ· ἀλλ' ὥσπερ ἐν χερσὶ τὴν νίκην ἤδη καὶ πρὸ τῆς πείρας ἔχων τῶν πολεμίων, οὕτω μακρῷ τῷ θράσει ῥέων ἐς μέσους ἤλαυνε τοὺς πολεμίους. (Ε.) Ὁ δὲ βασιλεὺς κατὰ μέτωπον τῶν πολεμίων ἑαυτὸν κατὰ τῶν Ῥωμαϊκῶν δυνάμεων συνταξάμενος τὴν ἔφοδον καὶ τὸν δρόμον



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐκαρτέρει τοῦ Μομιτίλου. τὰς δὲ Περσικὰς δυνάμεις, πολλάς τινας οὔσας, εἰς ἀκριβῆ περιήλασε κύκλον, ὡς ἐν μέσῳ, καθάπερ ἐν εἱρκτῇ καὶ δικτύῳ, συγκλεισθῆναι Μομιτίλαν μετὰ πάσης αὐτοῦ τῆς δυνάμεως. ἐπεὶ δὲ καὶ τοῖς τῶν σαλπίγγων τε καὶ τῶν τυμπάνων κρότοις συνανεκίρνατο καὶ ἡ τοῖς βαρβάροις ἤθεσι τῶν Περσῶν περὶ τοὺς πολέμους ἡλικιῶτις κλαγγὴ, πολύς τε ἀνὰ πάντα τὸν χῶρον ἐκεῖνον ὁ θόρυβος ἦν καὶ πολλὴν ἐξ ἀπροσδοκήτου τῷ Μομιτίλᾳ τὴν κατάπληξιν ἐνεποίει καὶ πρὸ τῆς πείρας, καὶ τὸ γαῦρον ἐκεῖνο σφόδρα καὶ μετέωρον ἔθραυε φρόνημα. (΄.) Καὶ ἵνα τὰς ἐν μέσῳ τύχας καὶ ἀγχιστρόφους ἕλικας τοῦ πολέμου παρέλθωμεν, τῶν ἵππων εὐθὺς ἀποβάντες οἱ πλείους 2.729 τῆς Περσικῆς δυνάμεως ἐν τόξοις ἅπαντες ἦσαν κατὰ κύκλον περιστάντες. οἱ δ' ἐν μέσῳ στρεφόμενοι, καθάπερ μονιοί τινες ἄγριοι, διακόψαι καὶ διαφυγεῖν τὴν τῶν Περσῶν οὐκ ἐδύναντο φάλαγγα. ἐνέκειντο γὰρ εὐθὺς οἱ τοῦ βασιλέως ἱππεῖς, νῦν μὲν κατὰ μέτωπον ἀπαντῶντες, νῦν δὲ κατὰ νώτου συχνοῖς τοῖς δόρασι παίοντες. καὶ ἐπειδὴ τὴν τοῦ Μομιτίλου πᾶσαν ἵππον ἐν βραχεῖ παμπληθέσιν οἱ Πέρσαι περιπείραντες βέλεσι νεκρὰν ἐποιήσαντο, πεζοὶ λοιπὸν πρὸς πεζοὺς ἐμάχοντο καὶ ἐν χερσὶν ὁ πόλεμος ἦν. καὶ συνελόντι φάναι, μηδένα τῆς Μομιτίλου φασὶ δυνάμεως ἐν τοῖς ὅπλοις λελεῖφθαι, μηδὲ φυγάδα λαθόντα γενέσθαι τινά· ἀλλ' αὐτόν τε ξίφους ἔργον Μομιτίλαν καὶ ἅμα πᾶσαν ἄρδην αὐτοῦ γενέσθαι τὴν στρατιὰν, πλὴν ὀλίγων, ὅσοι ζῶντες ἑάλωσαν. ι΄. Τέτταρες μεταξὺ παρῆλθον ἡμέραι καὶ ὁ Ἀπόκαυκος ἐν Βυζαντίῳ πρὸς τῶν δεσμίων, ἐντὸς τοῦ πρὸς ἀνίσχοντα ἥλιον παλαιοῦ παλατίου, μετὰ μεσημβρίαν ἤδη τῆς ἡλιακῆς γενομένης ἀκτῖνος, ἔσφακταί τε καὶ αὐτὸς καὶ σκότους καὶ λήθης ὁ πολὺς ἐκεῖνος ὑπῆλθε μυχοὺς ἐν βραχεῖ, μηδενὸς τῶν μακρῶν ὀχυρωμάτων ἐκείνων συναραμένου, περὶ ἃ μακράς τε ἀνηλώκει δαπάνας καὶ περὶ ἃ τὸ πλεῖστον ἀπησχόλει τοῦ βίου. τὸ δ' ὅπως, ἐρῶν ἔρχομαι τρανώτερον. (Β.) Ἐπεὶ γὰρ εἰς μεγάλων πραγμάτων θορύβους καὶ διοικήσεις ἐνέβαλεν ἑαυτὸν, καὶ πολλοὺς ἐκτήσατο, ὅσοι τε τὸ τῆς τύχης ἐβάσκαινον ὕψος καὶ ὅσοι παθόντες κακῶς ὑπ' αὐτοῦ καιρὸν ἐζήτουν ἀμύνασθαι, δέους περιῄει 2.730 νύκτωρ καὶ μεθ' ἡμέραν μεστός· ὡς πολλὴν μὲν διὰ ταῦτα περὶ αὐτὸν δορυφορίαν ἔχειν ὁπλιτῶν καὶ ἱππέων, ὁπότε τὰς τῆς πόλεως περιοδεύοι πλατείας, πολλαῖς δὲ καὶ τὴν οἰκίαν κατάφρακτον ἔχειν δυνάμεσιν, ὁπότ' οἴκοι καθῆσθαι χρεία τις εἴη τἀνδρί· καὶ τυραννίδος μελέτας ἐν καρδίᾳ τρέφειν μὲν ἐκ πολλοῦ, νῦν δὲ καὶ μάλα μάλιστα, ὅτε πάντας τοὺς δόξῃ καὶ γένει προὔχοντας εἶχε δεσμώτας, καὶ ἦν οὐδεὶς, ὃς ἀντᾶραι βλέφαρον ἦν αὐτῷ, ἀλλὰ πάντες ἐδεδίεσαν, ὥσπερ πάλαι Συρακούσιοι Διονύσιον τὸν Σικελίας τύραννον. (Γ.) Ὅθεν ὀχυρόν τινα πύργον τῶν ἔνδον τοῦ παλαιοῦ παλατίου ἀπολεξάμενος κατασκευάζειν ἐγνώκει πρὸς μάλα πολὺ τοῦ ἀέρος τὸ ὕψος ἀνάγοντα, καὶ οἰκίσκους ἐν αὐτῷ πολλοὺς μὲν, χώρημα δ' ἕκαστον ἔχοντα μήκους ἅμα καὶ πλάτους οὐδὲν ὀργυιᾶς μᾶλλον· τόν γε μὴν ἐπὶ τῶν ἐπάλξεων περίδρομον οὐκ ἔσωθεν ἀλλ' ἔξωθεν εἶναι ἐληλαμένον· αἴτιον δ' ἵνα πάντας ὁπόσους ἐκεῖνος εἶχε δεσμώτας, καὶ ὅσους ἕξειν διὰ μελέτης εἶχε, συναγαγὼν καὶ συγκλείσας ἐντὸς μηδεμίαν ἀνεῳγμένην αὐτοῖς ἐάσῃ πύλην, δι' ἧς ἄν τις εἰσέλθοι τε καὶ ἐξέλθοι· ἀλλὰ λίθοις καὶ τιτάνῳ περιφράξας ἁπάσας ὥσπερ ἐν τάφῳ ζῶντας κατέχῃ. (Δ.) Ἐπεὶ δὲ τέλος εἶχε τὰ τῆς ξένης ἐκείνης οἰκοδομίας καὶ ἔδει τριῶν ἡμερῶν μεταξὺ τοὺς δεσμώτας ὁμοῦ συγκλεισθῆναι πάντας ἐντὸς, καθάπερ εἰς λήθης φρούριον ἢ κοινὸν πολυάνδριον, εἰς ἀπόγνωσιν ἧκον οἱ δέσμιοι προφανῆ τῆς παρούσης ζωῆς καὶ τοῦ κοινοῦ τοῖς πᾶσιν ἡλίου· 2.731 καὶ σφῶν αὐτῶν ἀφειδήσασιν ἐπὶ τὸ παραβολώτερον τοὺς τῆς τύχης κύβους ἀναῤῥίπτειν ἐπῄει, καὶ πρὶν ζῶντας εἰς τὸν προκείμενον ἐμβληθῆναι τάφον, δυοῖν ἐργάσασθαι θάτερον· ἢ ξίφει τὸν τύραννον διαχρησαμένους τὴν τοῦ βίου σφίσιν αὐτοῖς ἐλευθερίαν πορίσασθαι· ἢ τὸν ἀνδράσι πρέποντα θάνατον ἅπαξ ἐκτίσασι μακρῶν τοῦ λοιποῦ δεινῶν ἀπηλλάχθαι. εἰς τέτταρας μὲν δὴ τῶν εὐγενεστέρων τὸ τοιοῦτον διαβεβηκὸς


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

βούλευμα περαιτέρω προβαίνειν οὐκ ἐκρίθη δεῖν, ὡς μὴ ἔκπυστον φωραθείη γενόμενον. τὸ γάρ τοι προφανὲς τῶν ἐλπίδων ἀναμφισβητήτους τινὰς ὑπετίθει τὰς ὑποσχέσεις, ἐπιχειρήσασιν ἥξειν ἅμα πάντας συλλήπτορας τοὺς δεσμώτας, καὶ μὴ προμελητήσαντας, ἐς τὸ κοινὸν τῆς ἐλευθερίας στάδιον. (Ε.) Εἰωθὸς οὖν Ἀποκαύκῳ συχνότερον ἐνδημεῖν ἐκεῖ, καὶ μάλιστα νῦν ἐπιταχύνοντι πρὸς τοὖργον τοὺς τέκτονας· ἐπειδὴ καὶ ἡ τελευταία παρῆν ἡμέρα, καθ' ἣν εἰς πέρας ἔδει προενεχθῆναι τὸ βούλευμα, ἧκε μεθ' ὕπνον καὶ τράπεζαν ὀψόμενος, τὴν τῆς ξένης εἱρκτῆς τελευταίαν οἰκοδομίαν καὶ τὸν ἀνενδεᾶ τῆς ὅλης ἀπαρτισμὸν ὑποθέσεως. καὶ ἐπειδὴ κατὰ τοὺς τῆς ἡμέρας ἐκείνης ὕπνους (ἑνδεκάτη δ' ἦν ἰουνίου) θόρυβοί τινες ἐξ ὀνείρων ἀγρίων αὐτὸν ἐξεφόβησαν, οἷα φιλεῖ πολλάκις ἐν τοῖς τοιούτοις προαναφωνεῖν τὸ δαιμόνιον, ὃ μὲν αὐτῷ σωτηρίας εἶχεν ἐλπίδας, οὐ μεμελέτηκεν· ὃ δ' εἶχεν εἰς τοὺς ἐπηρτημένους αὐτῷ κινδύνους ὀξύτερα τὰ ἐφόδια, τοῦτο δὴ καὶ βέλτιον εἰς σωτηρίαν εἶναι κέκρικέ τε καὶ εἵλετο. τὸ δ' ἦν, ἔξω παρὰ τὰς τοῦ παλατίου ἐκείνου πύλας ἀφέντα τοὺς δορυφό 2.732 ρους αὐτοῦ καὶ ὑπασπιστὰς ὁμοῦ πάντας μεθ' ἑνός τινος εἰς τὸ τοῦ φιλοτεχνήματος θέατρον εἰσιέναι. οὕτω γὰρ ἐνόμισε, μήτ' ἐξ αὐτῶν ἐντὸς ἐγγενέσθαι οἱ ἐπιβουλήν τινα, μήτ' ἔξωθεν ἐξ ἀλλοτρίων ἴσως καὶ δημοτῶν ξυμμελετηθεῖσαν· εἶναι γὰρ μεγίστην ταῖς πύλαις ἀσφάλειαν τοὺς οἰκείους ἐκείνους ὑπασπιστάς. οὕτως ὁ δρασσόμενος τοὺς σοφοὺς ἐν τῇ πανουργίᾳ αὐτῶν τὴν τούτου διάνοιαν ἔσφηλεν, ἵνα ῥᾷον μᾶλλον τῶν ἀλλοτρίων αὐτὸς ἑαυτῷ καταστήσῃ τὸν κίνδυνον. (΄.) Εἰσιόντος οὖν καὶ ἀρξαμένου τοῖς οἰκοδόμοις διαλέγεσθαι περὶ τῶν πρακτέων, τὸ προστυχὸν ὁ Ῥαοὺλ πρῶτος ἁρπάσας ῥόπαλον (μηδὲ γὰρ παρεῖναι ξίφος οὐδὲν ἐκεῖ τοῖς δεσμίοις) καὶ πρὸς τὸ μανικώτερόν τε καὶ ἐνθουσιῶδες τοῦ ἤθους ἐλθὼν ὑπὸ δέους καὶ ἀπογνώσεως ἐξέδραμε κατ' αὐτοῦ, τοιάδε φθεγγόμενος. "1ἕως πότε σου τὴν ἀπήνειαν ἡ ταπίγεια βόσκουσα τοῦ ἡλίου λαμπὰς διακαρτερήσει βλέπουσα; ἕως πότε θεῖοι κεραυνοὶ καὶ πρηστῆρες ἐν αἰθέρι τὴν σὴν καθευδήσουσι ταμιεύοντες κόλασιν; ἀλλ' ὥρα σοι νῦν, ἀλιτήριε, δυοῖν θάτερον· ἢ σὺν ἐμοὶ τῷ ἡλίῳ τῷδε συγκαταδῦναι πρὸς ᾅδην τήμερον· ἢ σοῦγε θανόντος ἐλευθέροις βλέπειν, εἰ βουλομένῳ γε εἴη θεῷ, βλεφάροις λευκὰς τοὐντεῦθεν ἡμέρας ἐμὲ ξυνορᾷν."2 ταῦτ' ἔλεγε καὶ ἅμα ἐμβριθεστέρῳ βραχίονι κατενεγκὼν τὸ ῥόπαλον τὴν ἐκείνου γενναίως ἐπάταξε κεφαλήν. καιρία μὲν οὖν οὐκ ἐγένετό τις ἐκείνῳ τότε πληγή· ῥιφείσης δ' οὖν τῆς καλύπτρας, γυμνῇ λοιπὸν περιϊὼν ἐπεβοᾶτο τῇ κεφαλῇ τοὺς ἐξαιρησομένους τῆς ἀθρόας ἐκείνης καὶ αἰφνιδίου περιστάσεως. ἀλλ' 2.733 ἦν τὸ παράπαν οὐδεὶς, πλὴν ἑνὸς, ὃς εὐθὺς συμπλακεὶς τῷ Ῥαοὺλ ἔπαιέ τε καὶ ἐπαίετο· καὶ ἦν ὠθισμὸς ἐν ἀμφοτέροις μακρὸς, ὁπότερος ἂν ἀνέλοι τὸν ἕτερον πρότερος. ἀλλ' οὐδέτερος οὐδετέρῳ κίνδυνον ἐνεγκεῖν ἐδυνήθη. τούτων δ' οὕτως ἐχόντων, ἕτερος τῆς τῶν Παλαιολόγων σειρᾶς ἀθρόον τῷ Ἀποκαύκῳ ἐπιπηδᾷ, τὰ παραπλήσια λέγων καὶ δρῶν τῷ προτέρῳ, καὶ ἅμα ἄλλος, καὶ ἐπὶ τούτοις ἕτερος· καὶ οὕτω, συνελόντι φάναι, βιαίως ἐκεῖνος ἀπέῤῥηξε τὴν ψυχὴν, ἁπάσης ἔρημος βοηθείας, ὁ πάντα χρήματα παρὰ πάντα δαπανῶν τὸν βίον ὑπὲρ τοῦ μὴ βιαίᾳ χρήσασθαι τελευτῇ. (Ζ.) Ἔλαθε γὰρ ὡς ἔοικεν ἑαυτὸν, θεοῦ μὲν ἀφαιρῶν τὴν πρόνοιαν, ἀνθρωπίναις δὲ προσαρτῶν ἐπινοίαις τε καὶ σπουδάσμασι τῆς παρούσης τοῦ βίου διαγωγῆς τὰ ἐνέχυρα. καὶ διὰ τοῦτο τοὺς ἄλλους διαβάλλων καὶ καθειργνὺς καὶ τοὺς ἐκείνων ἀφαιρούμενος βίους ἐπὶ σαθροῖς θεμελίοις ἐπετίθει τὰ τῆς ἰδίας ἀσφαλείας ὀχυρώματα· παραπλήσιον ποιῶν, ὥσπερ ἂν εἰ πρηστῆρας ἐκ γειτόνων ἁρπάζων μηδὲν αὐτῷ προσήκοντας αὐτοχειρίᾳ τὴν ἑαυτοῦ προφανῶς ὑφῆπτεν οἰκίαν. διὸ καὶ παραμύθιον μὲν ἡ ἐκείνου γέγονε τελευτὴ τοῖς τε διὰ πενίαν οὐκ ἔχουσιν ὅτῳ χρήσονται φαρμάκῳ πρὸς τὰς ἐπιούσας ὁμοίως τοῦ χρόνου τύχας καὶ κῆρας καὶ οἷς ἔφεσις τῶν κακῶς ὑπ' αὐτοῦ πραττομένων ἐκδίκησιν θεάσασθαι ἦν, πρὶν ἀπογνώσει σφᾶς δεδωκότας ἕν τι


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

πεπονθέναι τῶν ἀθεμίτων· καὶ ἅμα παιδευτήριον, ἐς τὸ σῶφρον τοὺς θρασυτέρους ἀνθέλκον, καὶ οἷς τὰ ἀτόλμητα ξὺν οὐδενὶ δέει τολμᾶται. καὶ ταῦτα μὲν τοῦτον ἔσχε 2.734 τὸν τρόπον. (Η.) Πρίν γε μὴν αἴσθησιν τοῦ δράματος ἐγγενέσθαι τοῖς ἔξω, δεσμὰ πάντα καὶ κλοιοὺς οἱ δεσμῶται ῥήξαντες εἰς τὴν τοῦ πτώματος θέαν μετὰ πάσης ἐπεξέθεον ἡδονῆς, οὐ μεῖον διακοσίων ὑπάρχοντες· ὧν εἷς τις σκεπάρνῳ τεκτονικῷ (ξίφος γὰρ ἥκιστα παρῆν) τοῦ λοιποῦ τὴν κεφαλὴν ἀφελόμενος σώματος ἐπὶ τῆς ἐπάλξεως ἔστησεν, ὥστε καταφανὲς γενέσθαι τὸ δρᾶμα καὶ πᾶσι τοῖς ἔξωθεν ἤδη παρὰ τὰ τείχη ποταμηδὸν εἰσρέουσι δήμοις· ὥσθ' ὅσοι μὲν αὐτῷ κατὰ γένος ἢ καθ' ἑταιρείαν εἶεν προσήκοντες μηκέτι πονεῖν ἀνήνυτα, πάσης τελέως σβεσθείσης τοῦ ζῆν ἐκεῖνον ἐλπίδος· ὅσοι δ' ἀπεχθῶς εἶχον αὖ πρὸς ἐκεῖνον, τούτους δ' ἐῤῥῶσθαι τὰς διανοίας, καὶ συμμαχεῖν ἔξωθεν ἀδεῶς τοῖς ἔνδοθεν ὑπὲρ τῆς κοινῆς ἐλευθερίας ἠγωνισμένοις. ἔπειτα διελόντες ἑαυτοὺς εἰς τάξεις καὶ μοίρας τὴν τῶν πυλῶν ὁμοῦ καὶ ἐπάλξεων διέλαχον φυλακήν. (Θ.) Μέγιστον δ' ὅμως ὑπῆρχέ σφισιν ἐμπόδιον εἰς τὴν τῆς παραδόξου ταυτησὶ σωτηρίας συντηρητικὴν ἑαυτῶν δύναμιν ἥ τε τῶν πρὸς τὸ ζῆν ἀναγκαίων σπάνις καὶ ἡ τῶν ὅπλων τε καὶ τῶν ἀμυντηρίων βελῶν ἔνδεια. οὐ γὰρ εἶχον ὅθεν ἐκ τοῦ παραχρῆμα ῥᾷστα κομίσονται τὰ τῆς χρείας, ἀπροσδόκητον σχεδιασάσης τῆς περιστάσεως τὸ πραχθέν. ὅμως τῆς νυκτὸς ἐπιούσης ἐκείνης, καὶ πάντων ἐκείνων ἐν ζάλῃ καὶ τρικυμίᾳ λογισμῶν ὑπαρχόντων μεγίστῃ, ἧκε τριήρης ἐκ τῶν Γαλάτου περὶ μέσας που νύκτας, ἐκ τοῦ παραλίου τείχους κομίζουσα τούτοις ἄρτον καὶ οἶνον, καὶ ὅσα τὸ τῆς ὥρας 2.735 συνεχώρει στενὸν ἐδώδιμα, καὶ ἅμα ἐπαγγελίας καὶ φιλανθρώπους λόγους, καθ' ὁπότερον βούλοιντο δρᾷν· εἴτε μένειν αἱρουμένοις κομίζειν ἐς τὴν ὑστεραίαν ὅπλα καὶ βέλη πολέμια· εἴτ' ἐκεῖθεν ἀπαλλάττεσθαι διὰ δέος, δέξασθαι προθύμως ἐς τὸ ἐν τοῖς Γαλάτου σφῶν αὐτῶν φρούριον, καὶ πᾶσαν περιποιήσασθαί σφισιν ἀσφάλειαν. ταῦτ' εἰπόντες ἐπανῄεσαν οἴκαδε, χρηστὰς ἐλπίδας μὲν τοῖς ἐντὸς τείχους καταλιπόντες, οὐκ εἰς χρηστὸν δ' οὖν πέρας ἐληλυθυίας. πέμψασα γὰρ ἡ βασιλὶς Ἄννα (οὐ γὰρ ἐλελήθει τὸ γεγονὸς) ἀπέφραξέ τε καὶ ἀνεχαίτισε τὴν ἔφοδόν τε καὶ τὸν εἴσπλουν τῆς κρύφα μελλούσης ἐπιέναι Λατινικῆς ἐς τὴν ὑστεραίαν δυνάμεως. (Ι.) Τοῦτο πρὸς ἀπόγνωσιν ἤγαγε τοὺς τειχήρεις ἐκείνους. οὔτε γὰρ ὅπλον ἦν σφισιν οὐδὲν φυλακτήριον, οὔτ' ἀσπὶς, οὔτε τόξον, οὔτε βέλος οὐδὲν ἀμυντήριον· καὶ πρός γε τὸ τεῖχος ἀμεληθὲν ἐκ πολλοῦ διεῤῥωγὸς ἦν τὰ πλεῖστα μέρη τοῦ τε περιπάτου καὶ τῶν ἐπάλξεων. τὴν μὲν οὖν νύκτα πᾶσαν ἐκείνην οὕτως ἐπ' ἐλπίσιν ἀμφισβητησίμοις ἐντὸς τείχους ηὐλίσαντο, τάς τε πύλας φυλάττοντες καὶ τὰ τείχη περιϊόντες. ἕωθεν δ' ὡς εἶδον σύρφακα καὶ χυδαῖον ὄχλον, παρὰ τὸν γείτονα συνιόντας ἱππόδρομον θέας εἵνεκα, καὶ ἥκιστα συμμαχίας ἡστινοσοῦν, ἐξ ὧν γε ἠλπίκασιν· (ᾤοντο γὰρ, ἐπεὶ μισητὸς ὑπῆρχε τοῖς ὅλοις σχεδὸν Βυζαντίοις Ἀπόκαυκος, ἅπαντας ἥξειν εὐθὺς, στασιάσαντας κατὰ τῶν ἀρχόντων καὶ βασιλέων, ἀπαλλάξαντος ὃν ὡς τύραννον ἐδεδίεσαν·) ὡς οὖν ἕτερα ἀνθ' ἑτέρων ἑώρων καὶ 2.736 οὐ κατὰ γνώμην ἐχώρει τὰ δρώμενα, περὶ διαλλαγῶν ὡμίλουν τοῖς ἔξωθεν πρὸς τῆς βασιλίδος ἰοῦσιν Ἄννης. καὶ τάχ' ἂν ἐγίγνετό τι χρηστὸν ἐκείνοις, εἰ μή τινος δαιμονίου κεκώλυκε βασκανία. ἀλλ' ἐχρῆν, ὡς ἔοικεν, ἐν θεομηνίας καιροῖς μηδὲν ἀτόλμητον παροφθῆναι τῶν ἀθεμίτων. ἔσχε δὲ οὕτως. (ΙΑ.) Ἡ τοῦ Ἀποκαύκου γυνὴ, τὸ ἐνδόσιμον πρὸς τῆς βασιλίδος Ἄννης λαβοῦσα, προσκαλεῖται πᾶν τὸ Γασμουλικὸν, καὶ χρημάτων χορηγίᾳ δαψιλεστέρᾳ πείθει, τὰς τριήρεις αὐθημερὸν ἀφεμένους ἅπαντας, ὅπλα δ' ἐκεῖθεν ἀνειληφότας καὶ βέλη πάντα, περιεληλυθέναι πολιορκοῦντας τὸ τοῦ παλατίου ἐκείνου φρούριον, ἕως εἰσπηδήσαντας ἡβηδὸν τοὺς ἐντὸς ἀνελεῖν, τοὺς μὲν ὡς ἀνδροφόνους, τοὺς δ' ὡς ἀνδροφόνοις δήπουθεν ὁμόφρονας καὶ ὁμοστέγους. πρὸς δὴ τοιούτους φόνους ἀγοραίων καὶ ἀσυνέτων ἀνδρῶν ὁπλίσασα δεξιὰς ἐκείνη χρημάτων ἁβραῖς (ὡς εἰρήκειμεν) δεξιώσεσι καὶ οἴνου κρατήρων πολλῶν


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐμφορεῖσθαι δίδωσιν ἀφθόνως, ἵν' οὑτωσὶ τοῦ καθήκοντος ἐκστάντες λογισμοῦ μαινομένων δίκην χωρῶσι πρὸς τὰς τῶν ἀνθρώπων σφαγάς. ἐπεὶ δ' οὕτω ταῦτ' εἶχε καὶ ὁ τοῦ ἡλίου δρόμος ἤδη τὰ μεσημβρινὰ παρήλλαττε ὑψώματα, δραμόντες ἐκεῖνοι κύκλῳ τὸ φρούριον περιέστησαν ἅπαν, ἀσπίσι καὶ ὅπλοις ἅπασι πεφραγμένοι, καὶ ἅπαν βέλος ἐκηβόλον ἐν χεροῖν περιφέροντες, καὶ ὅσα θύρας ἀναμοχλεύουσιν ὄργανα καὶ κατασείουσι τείχη καὶ ἀποσπῶσι λίθους ἐκ θεμελίων· ὧν οἱ μὲν τὰ βέλη πέμποντες ἔξωθεν κατὰ 2.737 πλῆθος καὶ δίκην βαθέων νεφῶν πάντας τοὺς ἔνδον τῶν ἐπάλξεων ἀπήλασαν ἐκ τοῦ παραχρῆμα, μηδὲν ὁθενοῦν ἔχοντας ὅπλον, ἢ φυλακτήριον, ἢ δι' ὧν ἀμυνεῖταί τις τὸν ἐπιόντα πολέμιον. οἱ δὲ τὰ ἐκμοχλευτήρια φέροντες ὄργανα, προσιόντες ἔξωθεν τά τε τείχη πολλαχόθεν διώρυττον καὶ τὰς πύλας ἀνεμόχλευον· ὡς ἐν πάνυ βραχείᾳ καιροῦ ῥοπῇ, πολλῶν πολλαχόθεν τῶν εἰσόδων ἀνοιχθεισῶν, πάντας ἄρδην εἰσρυῆναι τοὺς πολεμίους. (ΙΒ.) Ἦν τότε ἰδεῖν τοὺς μὲν ἀθλίους ἐκείνους ἀφειδῶς ἀναιρουμένους καὶ πρὸς ᾅδην ἐκ τῶν χθὲς πεμπομένους δεσμῶν· τοὺς δὲ φόνου πνέοντας ἄνδρας ἐκείνους εἰς πολυειδεῖς καὶ ποικίλας σφαγὰς χρωμένους τοῖς ξίφεσι ξὺν πολλῇ καὶ μανιώδει τινὶ τῇ ὠμότητι καὶ βαρβαρικῇ τῇ θρασύτητι. γυμνοὶ μὲν οὖν ἀσπίδων οἱ τάλανες ὄντες ἐκεῖνοι καὶ ἄοπλοι, καὶ ἥκιστα διαφυγεῖν τὸν παρόντα δυνάμενοι κίνδυνον, οἱ μὲν ἤδη ἐκόπτοντο, οἱ δ' ἐξεχέοντο φεύγοντες σύνδυο καὶ σύντρεις καὶ κατὰ πλῆθος, καὶ διὰ τῶν μεσοτοίχων καταῤῥέοντες ἐς τὴν ἐχομένην τῆς Νέας μονὴν διεμερίζοντό τε τὰς θείας εἰκόνας ἀντ' ἄλλου φυλακτηρίου παντὸς ἱεροῦ· οἱ δ' ἐνεχειρίζοντο τὰ ἐπὶ τῆς θείας τραπέζης τῶν μυστηρίων ἱερὰ σκεύη, δυσωπήσειν οἰόμενοι τοὺς ἀναιδεῖς ἐκείνους καὶ μανιώδεις λῃστὰς διὰ τῶν τοιούτων· οἱ δ' ἠγκαλίζοντο τήν τε θείαν τράπεζαν καὶ τὸν ὑπὸ ταύτῃ στυλίσκον· οἱ δὲ γυμνούμενοι τέλεον ἐθελονταὶ τὰ ἱμάτια πρὸ ποδῶν ἐῤῥίπτουν, οἰόμενοι διὰ τῆς γυμνώσεως πρὸς οἶκτόν τε μαλάξειν τὸν φονικὸν ἐκείνων 2.738 τρόπον, αἰδεσθέντων ἴσως τὴν κοινὴν τῆς φύσεως γύμνωσιν· καὶ ἅμα μηδεμίαν τοῦ λοιποῦ πρόφασιν ὑποψίας λιπεῖν, τοῦ κρύπτεσθαι εἵνεκα Καίσαρος ἐν σφίσι νόμισμα, μηδ' ἄλλο τῶν πάντων εἶδος κέρδους ἄξιον ἔχειν οὐδέν. δειναὶ γὰρ αἱ μὴ προμελετηθεῖσαι περιστάσεις ἐπινοίας πρὸς τὸ ἀκίνδυνον ἄλλοις ἄλλας αὐτοσχεδιάζειν, αὐτοφυᾶ διδάσκαλον τὴν περιϊσταμένην ἀνάγκην λαμβάνουσιν, ὅταν αἰφνίδιος θάνατος εἰς ἀπόγνωσιν σφᾶς ἀπελαύνῃ βίου. (ΙΓ.) Ἀλλὰ τὴν ἀναιδῆ καὶ θηριώδη τῶν ἀνδροφόνων ἐκείνων ὁρμὴν μαλάττειν ὅλως ὥραν οὐκ εἶχεν οὔτε δάκρυα τῶν πασχόντων, οὔτ' ἦθος ἐλεεινὸν, οὔθ' ὁ ἱερὸς ἐκεῖνος τόπος, ἐν ᾧ σωτηρίας εἵνεκα κατεπεφεύγεσαν οἱ ταλαίπωροι· ἀλλὰ δίκην ἱερείων ἐπὶ βωμοῦ τηνικαῦτα καὶ οὗτοι ξὺν οὐδενὶ κόσμῳ πάντες ἐθύοντο, καὶ ῥύακες αἱμάτων ἐντεῦθεν τὸ θεῖον ἔβαπτον ἔδαφος· εἰκόναι τε θεῖαι καὶ ἔπιπλα, καὶ ὅσα τῆς θείας μυσταγωγίας σκεύη παρῆν, ἀσμένως ἅπαντα καὶ ἀδεῶς ἐῤῥιπτοῦντό τε καὶ διηρπάζοντο· τά θ' ἱμάτια τῶν ἀνῃρημένων οἱ πάντολμοί τε καὶ ἀναιδεῖς ἐκεῖνοι, πλουσίων αἱμάτων πλήρη, τῇ θείᾳ λαμβάνοντες ἐπετίθουν τραπέζῃ. πῶς ἂν δυναίμην ἀδακρυτὶ καταλέγειν τὰ θρήνων μακρῶν καὶ δακρύων ἄξια, ὅσα ἐπὶ τοῦ θείου τεμένους τότε τὴν ἐλεεινὴν τραγῳδίαν ἐκείνην βαρβαρικῶς καὶ ἀσμένως χορηγεῖν ἐξεγένετο; εἴθε ἦν ἀντὶ μέλανος εἰς δάκρυα τὸν κάλαμον βάπτοντι γράφειν καὶ διηγεῖσθαι τῆς τόθ' ἡμέρας τὴν συμφορὰν ἐναργέστερον, ὡς ἕκαστα πέπρακται. οὕτω 2.739 γὰρ ἂν οἶμαι δακρύσειν ἅπαντας ἐκ τοῦ ῥᾴστου θερμῶς, οἴκτου καὶ σπλάγχνων φυσικῶν ἐμπλησθέντας. ὅμως εἶχεν οὕτω ταυτί. καὶ τὸ μὲν ἄλλο πλῆθος, ὅσον ἐκ τοῦ σύρφακος ὄχλου κατὰ ποταμοὺς συνέῤῥει, τὰς καλύβας τῶν ἐκεῖ μοναζόντων ἠνδραποδίζοντό τε καὶ διήρπαζον ἀδεῶς· καὶ αὐτὰς δ' οὖν μετὰ τῶν παστάδων τὰς θύρας ἀναμοχλεύοντές τε καὶ διαμεριζόμενοι τοῖς χαμαιτυπείοις προσῆγον, ἀσελγείας μίσθωμα. οἱ δ' ἀναιδεῖς ἐκεῖνοι καὶ φόνου πνέοντες ἄνδρες, τῶν ἀνῃρημένων τὰς κεφαλὰς ἔστι δ' ὧν καὶ τὰς χεῖρας ἐκτέμνοντες, περιῄεσαν


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐπιδεικνύμενοί τε τὸ τῆς κακίας ἄγος, εἰς ἔκπληξιν τῶν ὁρώντων καὶ δέος, καὶ πᾶσαν ἀγυιὰν ἐμπιπλῶντες ἀνθρωπίνων αἱμάτων τε καὶ σαρκῶν. (ΙΔ.) Καὶ ἦν μὲν θρήνων καὶ δακρύων ἄξια τὰ δρώμενα καὶ θέατρον ἀνόσιον τῇ βασιλευούσῃ ταύτῃ τῶν πόλεων· οὐδεὶς δ' ἐτόλμα τοῖς ὁρωμένοις ἢ τοῖς νεκροῖς ἐκείνοις ἐπιδακρῦσαι καὶ στεναγμὸν ἀποδοῦναι, οὔτε τις τῶν φίλων, οὔτε τις τῶν συγγενῶν, οὔτε μὲν οὐδεὶς τῶν ἄλλως φίλοικτον ἐχόντων καρδίαν. ἔφεδροι γὰρ ὀφθαλμοὶ παραπορευόμενοι συνήρπαζόν τε καὶ τὰ ἱμάτια περιδύοντες ἔπαιον ὡς ἐπιβούλους καὶ ἀντιθέτους Ἄννῃ τῇ βασιλίδι. πάντα γὰρ ἦν εὐφροσύνη λαμπρά τις καὶ τέρψις ἄῤῥητος ἐκείνῃ τὰ δρώμενα, καὶ πάνυ τοι σφόδρα κατὰ γνώμης ἐντρύφημα· ὡς ἐντεῦθεν καὶ δέει μακρῷ συσχεθέντας τοὺς περιστέλλειν κατὰ τὸν ἀνθρώπινον καὶ φύσει πρέποντα νόμον ἐθέλοντας, ὁπόσοι κατὰ γένος καὶ φιλίαν τοῖς κειμένοις προσῆκον, 2.740 ἀπέχεσθαι τούτων ἁπάσῃ σπουδῇ, μὴ μετὰ τοῦ ἀποτυχεῖν τῆς βουλήσεως καὶ τοῖς ὁμοίοις δεινοῖς περιπέσωσι. τοιαῦτα γὰρ ἔφασκον εἶναι τὰ τῇ βασιλίδι ἐντεταλμένα, καὶ ἅμα ἀτάφους κατὰ θαλάττης ῥιφέντας τροφὴν ὀρνέοις καὶ ἰχθύσι γενέσθαι. ἀλλὰ τοῦτο μὲν οὐκ ἐτελέσθη, ἐνίων τὴν τοῦ λαοῦ κραυγὴν καὶ τὴν ἐντεῦθεν λοιδορίαν εἰς τὰς ἐκείνης ἀνενεγκόντων ἀκοὰς, καὶ τὸν ἀναφυόμενον οὐκ ἀκίνδυνον θόρυβον. διὸ καὶ φιλοθέων ἔνιοι, δειλίαν ἀποκρουσάμενοι πᾶσαν, ἄλλος ἄλλον ἄλλοθι τῆς μονῆς ἀνελόμενοι κατώρυξαν. τὰ δ' ἐπὶ τούτοις ἔστιν ἀκούειν διαρκέστερον ἄλλων διεξιόντων. (ΙΕ.) Ἐπεὶ δ' ὁ ἐκ τῆς προτέρας συζύγου πρῶτος Ἀποκαύκου υἱὸς ἐπίτροπος ἦν τηνικαῦτα Θεσσαλονίκης καὶ τὸν τοῦ πατρὸς φόνον ἀκήκοε, τὴν γνώμην εὐθὺς ἐς Καντακουζηνὸν μεταθεῖναι κέκρικε δεῖν, καὶ ἅμα συμφέρειν εἰς ἔργον αὐτῷ τὰ τῆς γνώμης προενεγκεῖν. ὅθεν καὶ τρόπον λοιπὸν ἐζήτει, δι' οὗ Θεσσαλονίκην ἂν αὐτῷ παραδοίη. προσεταιρισάμενος οὖν ὁπόσον ἔκκριτον ἦν τῆς Θεσσαλονίκης τὸν Ἀθηναῖον μιμεῖται Πεισίστρατον καὶ τὴν Θεσσαλονικέων χειροῦται ἀκρόπολιν, ἵν' ἐκεῖθεν ὡς ἐξ ὁρμητηρίου τῆς κεφαλῆς κατατρέχων καὶ τὸ πᾶν τῆς πόλεως ἐκ τοῦ ῥᾴστου σῶμα κατάσχῃ. ἀλλ' οὐδὲν τῆς τοιαύτης ἀπώνατο ἐπινοίας. αἱ γὰρ τραγικαὶ κῆρες τοῦ πατρὸς, μᾶλλον ἢ αὐτοῦ, τὰς παρούσας περιφανῶς ἀντέκρουον τύχας. διὸ καὶ δυοῖν ἡμερῶν μεταξὺ κηρύγματος γενομένου δημοτικοῦ, πάντες ἐπεξέθεον κατὰ ποταμοὺς ἐπὶ τὴν ἀκρόπολιν, καὶ οὐ πρότερον ἐκεῖθεν ἀπέστησαν, πρὶν τὴν ἀκρόπολιν ἐκπο 2.741 λιορκῆσαι, καὶ τοὺς ἔνδον πολέμου νόμοις ἀνδραποδίσασθαι, καὶ τὸν τοῦ Ἀποκαύκου υἱέα σὺν τοῖς ἀμφ' αὐτὸν ξίφει διαχρησαμένους ἀνὰ πάσας τὰς τῆς πόλεως πλατείας περιενεγκεῖν ἀπηνῶς τὰς δυστυχεῖς αὐτῶν κεφαλὰς, εἰς ἔκπληξιν τῶν ὅμοια βουλευομένων. ια΄. Ἀλλ' ἐκεῖνο μικροῦ με παρέδραμε, τὸ τοῦ Βατάτζη δηλαδὴ Ἰωάννου· ὃς καὶ αὐτὸς ἀσήμου γένους ὑπάρχων πλούσιος ἐξ ἀπογραφικῶν ἐγεγόνει ἐμποριῶν, ἄλλας ἐξ ἄλλων ταχὺ μετιὼν, καὶ παραλλάττων ἀεὶ τῶν εὐτελεστέρων τὰς μείζους. ἄρτι δὲ καὶ τὴν τῆς Θεσσαλονίκης ἐπιτροπείαν χρήμασι μακροῖς ὠνησάμενος πρὸς τῆς βασιλίδος ἐκεῖσε πέμπεται Ἄννης. οὐ μάλα δὲ συχνοῦ ῥυέντος χρόνου, πρὶν τὴν κερδαίνουσαν πήραν ἐμβριθεστέραν ὡς ἐβούλετο διαπράξασθαι, ἐκεῖθεν ἐκβάλλεται, τοῦ Ἀποκαύκου διάδοχον τὸν υἱὸν ἀποστείλαντος· ὃν τὴν τοῦ δήμου φορὰν παρανάλωμα ξίφους ἐργασαμένην μικρῷ δεδηλώκαμεν πρότερον. (Β.) Οὗτος οὖν ὁ Βατάτζης, εἰς αἰσχύνης λόγον τὸ πρᾶγμα θέμενος, καὶ λύπης μεστὸς γεγονὼς, προσεῤῥύη τῷ Καντακουζηνῷ· καὶ ὁρμητήριον τὸ τῆς Θρᾳκικῆς περιστάσεως ἔχων φρούριον συνεχεῖς ἐκεῖθεν ἐποιεῖτο τὰς ἐκδρομάς· καὶ ἦν ἐς τὰ μάλιστα φοβερός τε καὶ ὄλεθρος προφανὴς οἷς ἐπῄει καὶ καθ' ὧν ὡπλίζετο, ἅτε δύναμιν ἔχων συχνὴν ἐξ Ἀσίας, ἣν ἐκ Τροίας ἐζητηκότι πέπομφεν ὁ σατράπης Σουλυμὰν, γαμβρὸς ἐπὶ θυγατρὶ πρὸ βραχέος αὐτῷ καταστάς. (Γ.) Ἕως μὲν οὖν Ἀπόκαυκος ἔζη, θερμὸς ἦν καὶ μάλα τοι σφόδρα Βυζαντίοις λυπηρὸς ὁ Βατάτζης, 2.742 διὰ τὸν τοῦ Ἀποκαύκου παῖδα δηλαδὴ καὶ τὴν ἀφαίρεσιν τῆς ἐπιτροπῆς ἀπεχθῶς διακείμενος πρὸς αὐτόν. ἐπεὶ δ'



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Ἀπόκαυκος μὲν ἐξ ἀνθρώπων ἦν, ἀγώνισμα ξίφους γενόμενος, καὶ ἔδει Βυζαντίοις ἀνδρὸς θερμοτέρου καὶ δραστήριον ἐπιεικῶς ἔχοντος φρόνημα, γράμματα ἐφοίτα συχνὰ πρὸς τῆς βασιλίδος Ἄννης αὐτῷ, μακρῶν δωρεῶν καὶ ἀξιωμάτων ἐπαγγελίας κομίζοντα, εἰ βούλοιτο διάδοχος ἐλθὼν καταστῆναι καὶ βουλῆς καὶ τρόπων καὶ δόλων Καντακουζηνοῦ. ταῦτα τὴν ἐκείνου διάνοιαν ἔθραυσε, καὶ τὴν γνώμην μετήνεγκεν· καὶ τοῦ καιροῦ καθάπερ ὀστράκου μεταπεσόντος, πλείω τὴν συμμαχίδα δύναμιν ἐκ Περσῶν μετεπέμπετο· καὶ συχνὰ κατατρέχων ἐδῄου καὶ ἔκαε τὰς τῷ Καντακουζηνῷ προσεῤῥυηκυίας χώρας καὶ πόλεις, καὶ τὰ τῶν Βυζαντίων ἔπειθε ῥᾷστα φρονεῖν, τὴν ἐνεστῶσαν ἀνάγκην διαδιδράσκειν ἐθέλοντας. (Δ.) Ἀλλ' οὐδ' αὐτὸς τῆς τοιαύτης ὤνατο σπουδῆς. ἐπεὶ γὰρ ὁ Καντακουζηνὸς τὴν διαστροφὴν καὶ μετάθεσιν τῆς τοῦ Βατάτζη διακήκοε γνώμης, τάχιστα συνέστειλεν εἰς τὰ φρούρια πάντας καρποὺς ὁμοῦ τοῖς ἀνθρώποις καὶ τοῖς βοσκήμασιν, ἐπειπών, ὡς εὑρήσει τὰς τῆς ἐπιορκίας ἐκτίσεις πρὸς τοῦ ἐπιορκουμένου θεοῦ· ὡς ἐντεῦθεν ἐλθόντα μετὰ τῆς Περσικῆς δυνάμεως Βατάτζην ἐρήμοις τε ἐντυγχάνειν οἰκητόρων ταῖς χώραις καὶ ταῖς πόαις ἄνευ βοσκημάτων, καὶ λιμῷ διὰ ταῦτα πιεζομένους ἐπάγεσθαι Πέρσας. ταῦτα παρὰ τὰς ἐπαγγελίας καὶ τὰς ἐμβριθεῖς ἐκείνας ἐλπίδας θεασαμένοις τοῖς βαρβάροις ἄχθε 2.743 σθῆναί τε ἐξεγένετο καὶ ἀποκτείνασι τοῦτον ἐς Καντακουζηνὸν τὴν ταχίστην μεταθεῖναι τὴν γνώμην ὁμοῦ τῇ χειρί. τοῦτο δὴ βουληθεῖσι καὶ πέπρακται παραχρῆμα· κἀκ τοῦ δεινοῦ καὶ προσάντους ἐς τὸ δεξιόν τε καὶ εὐμενέστερον τὰ τῆς τύχης ἔῤῥει τῷ Καντακουζηνῷ, τοσούτων ἐχθρῶν ἀπονητὶ οἷον ἐξ αὐτομάτου φάναι καταστρεφομένων. 2.746 α΄. Κράλῃ δὲ τῷ Τριβαλλῶν ἡγεμόνι κόρος οὐκ ἦν, ἐντρυφῶντι ταῖς Ῥωμαϊκαῖς κατ' ἀλλήλων καὶ δι' ἀλλήλων στάσεσι, καὶ καιρὸν εἶναι λογιζομένῳ προσήκοντα μάλιστα τοῦτον αὐτοῦ τῇ πλεονεξίᾳ καὶ δώρων τῆς τύχης τὸ κράτιστον. διὸ καὶ καθάπερ φλὸξ ἐπῄει καὶ ἐπενέμετο διηνεκῶς τὰς πρόσω πόλεις καὶ χώρας Ῥωμαίων δουλούμενος, μηδενὸς ὄντος, ὅτῳ ἂν ἀνθίστασθαι ᾖ ταῖς τοιαύταις αὐτοῦ γε ὁρμαῖς. Βυζαντίοις μὲν γὰρ πολλῷ δι' ἐφέσεως μᾶλλον ἦν, καὶ σιωπῶσι καὶ ἐκλαλοῦσι, προδεδόσθαι οἱ μέχρι Χριστουπόλεως ἅπαντα, ἢ Καντακουζηνῷ προσγενέσθαι κτήσασθαι. Καντακουζηνῷ δὲ τοῦτο μὲν ἀβούλητον ὅλως ἦν· περισπωμένῳ δ' ὅμως ἐς τὰς ἐκ τῶν ὁμοφύλων μάχας καιρὸς ὑπερμαχεῖν οὐκ ἐνῆν. διὰ δὴ ταῦτα καὶ πλὴν Θεσσαλονίκης ἅπαντα μέχρι στενῶν Χριστουπόλεως ἐκείνῳ δεδούλωνται· μεθ' ὧν καὶ Σεῤῥῶν ὑπάρχει τὸ μέγα τε καὶ θαυμάσιον ἄστυ, λιμῷ καὶ πολιορκίᾳ μακρᾷ προδοθὲν καθ' ὁμολογίαν, δυοῖν ἀμηχάνοις ἐχθροῖς. (Β.) Ἐντεῦθεν ὁ Κράλης μείζων ἑαυτοῦ καταστὰς καὶ δαψιλεστέραν ἑαυτῷ ποριζόμενος τὴν ὀφρὺν (ᾤετο γὰρ οὐδὲ τῶν μέχρι Βυζαντίου λειπομένων Ῥωμαίοις ἀνθέξειν οὐδὲν πρὸς 2.747 τὴν ἐκείνου ῥώμην τε καὶ ἡγεμονικὴν ἀρχὴν) βασιλέα Ῥωμαίων ἑαυτὸν ἀνηγόρευσε, τήν τε βάρβαρον δίαιταν ἐς τὰ Ῥωμαίων ἤμειψεν ἤθη καὶ καλύπτρᾳ καὶ πάσαις στολαῖς διασήμοις, ὁπόσαι τῇ μεγάλῃ ταύτῃ γε προσήκουσιν ἀρχῇ, περιφανῶς ἐχρήσατό τε καὶ χρῆταί γε μέχρι καὶ ἐς ἐμέ. ἤδη δὲ καὶ πρὸς τὸν υἱὸν τὴν ὅλην ἡγεμονίαν ἐνείματο· καὶ τῷ μὲν ἄρχειν παρέσχε, κατὰ τὰ εἰθισμένα τοῖς Τριβαλλοῖς, τῆς ἔκ τε κόλπου τοῦ Ἰονίου καὶ αὖ Ἴστρου τοῦ ποταμοῦ μέχρι τῆς τῶν Σκοπίων πόλεως, ἧς καὶ ποταμὸς Ἀξιὸς ἄνωθέν ποθεν μέγιστος κάτεισι παραψαύων ἡγεμονίας· ἑαυτῷ δ' αὖ τῶν ἐκεῖθεν Ῥωμαϊκῶν χωρῶν καὶ πόλεων, κατὰ τὴν εἰθισμένην Ῥωμαίοις δίαιταν, ἄχρι καὶ ἐς τὰ περὶ Χριστούπολιν τῶν παρόδων στενά. τά γε μὴν ἐκ τῶν τοιούτων στενῶν ἄχρι Σηλυβρίας καὶ Δέρκου πάντ' εἶχεν ἤδη Καντακουζηνὸς ὑποχείρια, πλὴν Χεῤῥονήσου. (Γ.) Περσικαὶ δὲ δυνάμεις, ἐξ Ἀσίας δι' Ἑλλησπόντου πᾶσαν ὥραν διαπεραιούμεναι, καθάπερ ἐξ οἰκείων ἐς οἰκείας νομὰς καὶ ἐπαύλεις, συχνὰς ἐποιοῦντο νύκτωρ καὶ μεθ' ἡμέραν τὰς θηριώδεις ἐφόδους κατὰ τῶν Θρᾳκικῶν πόλεων, νῦν μὲν αὐτονομίᾳ χρώμενοι λῃστρικῇ, νῦν δὲ συμμαχεῖν προσποιούμενοι Καντακουζηνῷ. ὅπως δ' ἄρα



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἦν, ἐνόσουν αἱ πόλεις καὶ μάλα πονήρως εἶχον Ῥωμαίοις πᾶσι τὰ πράγματα. οὔτε γὰρ ὑποζυγίων, οὔτε ποιμνίων οὐδὲν τοῖς ταλαιπώροις Θρᾳξὶν ἐλέλειπτο, οὔτε βοῶν ἀροτήρων οὐδεὶς, δι' ὧν οἱ γεωργοὶ τὰς τῆς γῆς ἀναμοχλεύοντες αὔλακας τὸν ἡμερήσιον καὶ ἀναγκαῖον ἐκπορίζονται δασμὸν τῇ γαστρί. κἀντεῦθεν ἀσπό 2.748 ρου τε καταλελειμμένης τῆς γῆς καὶ ἀνθρώπων ἐρήμου παντάπασι, καὶ τὸ ὅλον εἰπεῖν θηριώδους, ἀπορία χρημάτων ἐμάστιζε μὲν ἱκανῶς τὸν βασιλέα Καντακουζηνὸν, περιϊόντα Θρᾴκην· ἐμάστιζε δ' οὐχ ἧττον καὶ Βυζαντίους, τῆς βασιλίδος Ἄννης καίριον οὐδὲν περὶ τὴν τῶν πραγμάτων μελετᾷν οὔτ' εἰδυίας οὔτ' ἐθελούσης διοίκησιν· ἀλλ' ἀφαιρουμένης μὲν τὸν τῶν ἱερῶν εἰκόνων κόσμον ἀνέδην, καὶ ὃν μὲν ἐκποιουμένης, ὃν δὲ χωνείᾳ παραπεμπούσης· προφάσει μὲν διὰ τὴν ἐς τὰ κοινὰ χρείαν, τὸ δὲ πλεῖστον εἰς ἑαυτῆς ἴδιον κέρδος. (Δ.) Ταῦτα δ' ἐργαζομένη οὐδὲ τοῦ κακουργεῖν ἀπέσχετο τοὺς ἐνδόξους, καὶ ὅσοι χρημάτων οἰκείων περιουσίᾳ προὔχειν ἐδόκουν. δι' ἃ δὴ καὶ ἐς τὸ μέγα καὶ περιβόητον ἱερὸν τῆς τοῦ θεοῦ Σοφίας, ἀσύλου πάλαι καταφυγῆς κεκτημένον προνόμια, καταφεύγοντας ἀπέσπων φεῦ ἀπηνῶς, καὶ πάσαις ἀπεώθουν χερσὶν εἰς εἱρκτὴν καὶ λήθης ἅπαν φάναι φρούριον· ὡς ἀναγκασθέντας ἤδη λοιπὸν τοὺς ταλαιπώρους (ἐφευρετικὸν γὰρ εἶναί φασι τὴν ἀνάγκην) ἐς τὸ τοῦ Γαλάτου καταφεύγειν φρούριον, τῆς περιστάσεως τοῦτο μηχανησαμένης ἐξ αὐτομάτου φρούριον ὀχυρὸν καὶ ἱεράν τινα ἄγκυραν καὶ ἄσυλον ὄντως καταφυγήν. καίτοι καὶ βαρβάροις καὶ Ἕλλησι, καὶ πάσῃ γῇ καὶ θαλάσσῃ, καὶ πάσαις ἡγεμονικαῖς ἐξουσίαις, εἰθισμένον ἀεὶ δι' αἰῶνος οἴκτου καὶ σπλάγχνων τοιαῦτα κεκτῆσθαι δείγματα. Χριστιανοῖς δ' οὖσιν ἡμῖν, καὶ νῦν μάλιστα χρῄζουσι τῆς ὁμοίας πρὸς θεοῦ τυγχάνειν συμμαχίας, 2.749 ἀπείρηταί τε καὶ παραλέλυται. (Ε.) Οὐ μόνον δὲ, ἀλλ' ὥσπερ κάλω ῥαγέντος καὶ δόγματα τῆς ἐκκλησίας ἀνατέτραπται, καὶ θεῖοι πατέρων κανόνες συγκέχυνται καὶ πεπάτηνται. δι' ἃ δὴ καὶ αὐτὸ τοῦ ναοῦ τὸ κάλλος ἠκρωτηρίασται, καὶ ἐς τὸ ἔδαφος ἔῤῥιπται· δεικνύντος οὑτωσὶ προφανῶς τοῦ θεοῦ καὶ διὰ τῶν φαινομένων τὴν τῶν οὕτω παρανομουμένων ὑπερβολὴν, καὶ οἷον τὴν μέλλουσαν προαναφωνοῦντος καὶ ἀπειλοῦντος ἐκδίκησιν. καί μοι δοκεῖ διὰ τοῦτ' ἄνευ σεισμοῦ καὶ περικλονήσεως γῆς γεγενῆσθαι τὸ πάθος τουτί. β΄. Ἑσπέρα μὲν γὰρ ἦν ἤδη καὶ οὐρανὸς αἴθριος, περί που τὰ μέσα τῆς νυκτὸς, ὅτε πᾶσι μὲν ἀνθρώπων ὀφθαλμοῖς βαθεῖς ληνοβατοῦσα κίρνησι τοὺς ὕπνους ἡ τῆς νυκτὸς σιωπὴ, πρὸς δ' ᾠδὰς νυκτερινὰς ἀλεκτρυόνες τάς τε πτέρυγας κινεῖν καὶ τὰς ἐμφύτους σάλπιγγας ἀνοίγειν ἐμμελῶς μελετῶσι, καὶ τηνικαῦτα πέπτωκεν ἡ μία τῶν αἰθερίων φάναι τεττάρων ἁψίδων, ἡ πρὸς ἥλιον ἀνίσχοντα βλέπουσα, συνεφελκύσασά τε καὶ συγκαθελοῦσα ἑαυτῇ καὶ ὅσον ὑπήρειδεν ὃ ἐπεκάθητο ἡμισφαίριον· καὶ συντέτριπται μὲν τὰ κρυπτόμενα κάλλη τοῦ βήματος· συντέτριπται δ' ὁ τῶν θείων ἐκείνων κόσμος εἰκόνων· ἡ δὲ διὰ πάντων ἥκουσα χάρις ἔσβεσται ταχὺ, καθάπερ ἄνθος ἐν ἀγρῷ καὶ ῥόδον ἐν λειμῶνι, ὁπότ' ἀκρὶς καὶ κάμπη τις ἀδόκητος ἀθρόον ἐπιδράμοι. ἡ δὲ τοὺς ἱεροὺς ἐκείνους κιόνας περιελίττουσά τε καὶ ποικίλλουσα καὶ νικῶσα τὸ ἁμιλλώμενον ἅπαν Φειδίου λαξευτικὴ παντάπασιν ἐῤῥύη τε καὶ ἔσβεσται, λεπτότητα μιμησαμένη ψηφίδων. πανη 2.750 γύρεις δὲ καὶ ξυναυλίαι καὶ ἅμιλλαι συνήθεις ἐκεῖ, λογικαί τε καὶ ἱεραὶ, παννύχιοί τε καὶ πανημέριοι, πρὸς ἀφωνίαν μετήνεγκαν τὴν σπουδὴν ὑπ' ἐκπλήξεως. καὶ νῦν τὸ παγκόσμιον θέατρον, τὸ πάσης γλώττης τερπνὸν ἀφήγημα, ὁ πάσης ἀκοῆς γλυκὺς θόρυβος, ἀόρατον ἕστηκε θέαμα, καὶ στήλη τις οἷον ἔμψυχος δι' αἰθέρος ποιουμένη τὴν τραγῳδίαν, καὶ πάσης γῆς προκαλουμένη δάκρυα, καὶ ὥσπερ στόμα διὰ τῆς ὀροφῆς ἄνω διάρασα περιφανῶς ἡλίῳ καὶ ἀστράσι τὴν ἀδικίαν προσαγγέλλει, καὶ τοὺς οὐρανοὺς μονονουχὶ προσκαλουμένη μάρτυρας ἐκεῖνα δὴ τὰ τῶν προφητῶν περιᾴδει πρὸς κύριον· "1υἱοὶ μητρός μου ἐμαχέσαντό με· ἐπάταξάν με, ἐτραυμάτισάν με· καὶ ἡ ὑπερηφανία τῶν μισούντων με ἀνέβη διὰ παντός."2 (Β.) Τούτων δ' οὕτω



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

συμβεβηκότων, τῆς φήμης ἕωθεν ῥυείσης καὶ ἀνὰ πᾶσαν διαδοθείσης τὴν πόλιν, βοὴ καὶ θρῆνος ἠγείρετο μείζων, ἢ κατ' ἐκεῖνον τὸν πάλαι, ὁπότε Ναβουχοδονόσορ ὁ Ἀσσύριος, ἄρδην ἐξανδραποδισάμενος Ἱερουσαλὴμ, ὁμοῦ καὶ τὸ τοῦ Σολομωντείου νεὼ καθεῖλέ τε καὶ ἀφῄρηται κλέος. ἐκενοῦντο τοίνυν οἰκίαι πᾶσαι καὶ ἀγοραὶ καὶ θέατρα, καὶ πάντες ἐπὶ τὴν θέαν τοῦ πάθους ἀθρόον ἐξέθεον· καὶ οὐδεὶς ἦν, ὅτῳ προὐργιαίτερον ἕτερον ἦν τῶν ἁπάντων, ὃ τῆς σπουδῆς ἀπασχολῆσαι ταύτης ἂν δυνηθείη. περιστάντες οὖν καὶ ἀπολοφυράμενοι πάντες, ὁπόσον εἰκὸς, ἔπειτα κύψαντες ἐξεφόρουν τὴν ὕλην τῶν ἐρειπίων· καὶ ἦν οὐδεὶς τῶν ἁπάντων τέως ἀξυντελής· οὐδ' ἦν ἐκεῖ διακρίνειν πλούσιον ἐκ πενήτων, οὐδ' ἐξ ἀδόξων ἔνδοξον, οὐδ' ἐκ δεσπότου δοῦλον, οὐ 2.751 μεντἂν οὐδ' ἐκ βαναύσων εὐγενῆ. ἀλλὰ πρὸς μίαν ἐπίσης ἀνεκίρνατο πάντων ἡ πρόθεσις ζήλου φοράν. πολύ γε μὴν τῶν ἀνδρῶν ἡ τῶν γυναικῶν ὑπερεῖχεν εἰς τοὖργον σπουδή. ἅτε γὰρ εὐπαθέστερον πρὸς δακρύων τὸ γένος φορὰν, πλουσίοις λοιπὸν τοῖς δάκρυσι ῥαίνουσαι τάς τε πλίνθους καὶ πέτρας ἐκείνας ἔπειτα ἐπετίθουν τοῖς ὤμοις, οὐδαμῆ περιλάμπρων ἐνδυμάτων ἐνταῦθα φροντίζουσαι, ῥηγνυμένων καὶ κόνεως πληρουμένων ὑπό τε τῆς πολυμιγοῦς ἐκείνης ὕλης ὑπό τε τῆς ἐξ ἀλλήλων καὶ δι' ἀλλήλων συνεχοῦς τε καὶ ἀγχιστρόφου περιφορᾶς. εἶπεν ἄν τις πηγὰς ἀφιέναι δακρύων τὴν ὕλην ἐκφορουμένην ἐκείνην· οὕτω κατὰ ποταμοὺς ἐχώρει τότε δάκρυα πασῶν ἐκεῖ γυναικῶν, ἐνδόξων ὁμοῦ καὶ ἀδόξων, καὶ οὕτω μακροῖς ἀνεμίγνυτο θρήνοις ὁ ζῆλος ἐκείνων καὶ ἡ σπουδὴ, ῥᾳστώνης οὐδεμιᾶς δυνηθείσης διακόψαι τὸν δρόμον καὶ τὴν συνέχειαν, ἐφ' ὅλοις ἐγγύς που νυχθημέροις τριάκοντα. (Γ.) Ἐλέγετο μέντοι πρὸς τῶν πολλῶν, ὡς εἰ μὴ προϋπάρχειν συνέβαινε τὰς πρὸς ἕω κρηπῖδας καὶ τὰ ἐρείσματα, ὁπόσα πρὸς Ἀνδρονίκου τοῦ βασιλέως πάλαι ἀνῳκοδόμηνται πάνυ τοι φιλοτίμως, κἂν πολλαπλάσιον ἐγεγόνει τὸ πτῶμα καὶ τῶν γε ἀνιάτων ἓν ἦν. καὶ ταῦτα μὲν τοῦτον ἔσχε τὸν τρόπον· καὶ τὸ θέρος ἐν τούτοις ἐτελεύτα. (Δ.) Κακῶν δ' ἀνακωχή τις οὔτ' ἦν, οὔτ' ἠλπίζετο· ἀλλ' ἐφ' ἑτέροις ἕτερα διηνεκῶς ἐπέῤῥει, καὶ ἐπὶ τὸ χεῖρον ἦξε καὶ προὔβαινε. ἥ τε γὰρ γῆ παντάπασιν εἰπεῖν ἄσπορός τε καὶ ἀγεώργητος ἐλείπετο· τῶν τ' ἐπιτηδείων 2.752 μακρά τις ἐπεπόλαζε σπάνις διὰ τὰς τῶν ἄλλοτ' ἄλλων πολεμίων ἐφόδους· καὶ ἅμα χρημάτων πόρος ἦν οὐδεὶς οὐδαμόθεν, οὔτε τοῖς πένησιν ἐννοῆσαι δι' ἐργασίας ἡστινοσοῦν, οὔτε τοῖς ἄρχουσιν, ὅθεν ἔρανόν τινα δασμολογοῦντες ἀργυρολογήσουσι. καὶ ἦν ἰδεῖν κενουμένας τὰς πόλεις, καὶ τοὺς μὲν ἐς ἀλλοδαπὴν μετοικοῦντας, τοὺς δ' ἐν ἀπογνώσει μένοντας. (Ε.) Καὶ Λακεδαιμόνιοι μὲν πάλαι χρυσοφορεῖν τὰς γυναῖκας ἔπαυσαν, καὶ ἅμα οἱ τὸ τῆς πάλαι Ῥώμης διοικοῦντες ἀξίωμα, ψηφίσμασί τε καὶ δόγμασι δημοσίοις καὶ ἀσαλεύτοις ἑκάτεροι· οἱ μὲν διὰ τὸ ἐν Λεύκτροις ὑπὸ Θηβαίων σφίσι γενόμενον πάθος, ὁπότε δὴ μικροῦ τὴν πᾶσαν ἔκειρεν ὁπλιτικὴν ἀκμὴν τῆς Σπάρτης Ἐπαμεινώνδας ἐκεῖνος, Βοιωταρχῶν τηνικαῦτα· οἱ δὲ δι' Ἀννίβαν τὸν Καρχηδόνιον, ὁπότε περί τε Κανύσιον πεδίον καὶ Ἀφείδιον ποταμὸν τοῖς κατὰ Ῥωμαίων μακροῖς ἐκείνοις τροπαίοις τελευταῖον τοῦτ' ἐπιθεὶς καὶ συγκλείσας τὴν μυριάριθμον ἐκείνην Ῥωμαίων κατηγωνίσατο στρατιάν· ὡς τοῖς πλουσίοις ἐκείνοις αἵμασι βαφῆναί τε ποταμοῦ τὸ ῥόθιον καὶ, ἄνευ ὕδατος, αἱμάτων ἔχειν ἄνωθεν εἶναι δοκεῖν τὰς πηγάς. (΄.) Νῦν δ' ὥσπερ ἐξ ἑνός τινος αὐτομάτου κηρύγματος, διαδραμόντος ἁπάσας πόλεις Ῥωμαίων, μήτε μηδένα ἀνδρῶν μήτε γυναικῶν μηδεμίαν λαμπροφορεῖν, ἀλλ' ὁμόσε πάντας ἑλέσθαι μελαίναις ἐσθῆσι ξυνεπεπτώκει κεχρῆσθαι, οὓς μὲν λύπης ἕνεκα προϋπαρξάσης ἅπαξ, οὓς δὲ διὰ τὰς κοινὰς καὶ δημοσίους κῆράς τε καὶ συμφορὰς τῶν ὁμοφύλων· ὡς μὴ πόλει καὶ πολιτείᾳ τὰ Ῥωμαίων ἐοικέναι πράγματα, ἀλλ' 2.753 ἀμαυρά τινα καμνόντων εἴδωλα εἶναι, καὶ πόῤῥωθεν μονονοὺ προαναφωνοῦντα ἀλλήλοις τὴν ἔνδον τῆς ψυχῆς φλεγμονὴν, ὅσην ἑκάστῳ δαψιλῶς χορηγεῖν οὐ λήγει τὸ κακόδαιμον νῦν τῆς Ῥωμαίων τύχης·


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

παραπλησίως τῶν ἰατρῶν ἐκείνοις, ἐπάγοντος τοῦ θεοῦ τοῖς κοινοῖς τε καὶ ἰδιάζουσι Ῥωμαίων πράγμασι τὴν ἰατρεύουσαν δίκην, οἳ μὴ τῇ ὀξυτάτῃ καὶ ἀνυσιμωτάτῃ κέχρηνται καυτηρίᾳ, ὅτι μὴ τῇ μαλακωτέρᾳ τε καὶ διὰ μακροῦ ποιουμένῃ τοῦ χρόνου τὴν ἴασιν· ὃ πολλῷ δὴ τοῦ προτέρου δοκεῖ πως ἀνιαρότερον, οὐ συνιεῖσι τοῖς πλείστοις τοὺς θείους καὶ οἰκονομικοὺς τῆς προνοίας τρόπους, ὁπότε καιρὸν ἐθέλοι διδόναι μετανοίας τοῖς τὰ μέγιστα ἁμαρτάνουσιν. ἀνθρώποις μὲν γὰρ πολλῷ ῥᾷον τὰς οἰκείας ἐστὶν οἰκοδομίας καθαιρεῖν, ἢ κτίζειν· θεῷ δὲ, φιλανθρώπῳ γε ὄντι, ταχίστην μὲν τὴν οἰκοδομὴν καὶ σύστασιν, καὶ θᾶττον ἢ λόγος, τῶν γινομένων ποιεῖσθαι· τὴν δέ γε καθαίρεσιν διὰ μακροῦ τε τοῦ χρόνου καὶ βραδυτέραν ὡς τὰ πολλὰ, καὶ μάλα μόλις· μονονουχὶ δεικνύντι περιφανῶς, ἑκάτερον εἶναι, τὸ μὲν αὐτῷ κατὰ βούλησιν, τὸ δὲ κατ' ἀμφότερα· τό,τ' ἀβούλητον *** καὶ ὃ πρὸς διόρθωσιν ἔχει κράτιστον σύμβουλον ἅμα καὶ σύμμαχον τὸν τοῦ χρόνου δίαυλον. γʹ. Ταῦτ' ἐννοῶν καὶ αὐτὸς οὔτε νωθρότητα περὶ τὰ πολέμια καὶ ἀφέλειαν περὶ τὴν ἐνεστῶσαν περίστασιν ἔχω καταγινώσκειν τοῦ βασιλέως Καντακουζηνοῦ, οὔτε ζηλοτυπίαν καὶ κότον ἀπέραντον Ἄννης αἰτιᾶσθαι, καὶ ἀκατάλλακτον ἔχθραν· ἀλλὰ μυστικωτέρους τινὰς τῆς προνοίας τρόπους· ἣ τὰ πάντα καλῶς 2.754 διοικοῦσα τὰς ἐν ἄλλοις ἡμαρτημένας αἰτίας καιροῖς ἐν ἑτέροις λαμπρῶς ἀποδίδωσι, γεωργίας μιμουμένη λόγους· ἣ καὶ αὐτὴ τὴν τῶν σπερμάτων καταβολὴν ἐν ἄλλοις τῇ γῇ ποιουμένη καιροῖς ἐν ἑτέροις τρυγᾷ τοὺς καρπούς. (Β.) Διὰ δὴ ταῦτα καὶ μνησθῆναι μιᾶς τινος ἀνεπιφθόνως τῶν ἐπιστολῶν Καντακουζηνοῦ, γενομένοις ἡμῖν ἐνταυθοῖ τῆς διηγήσεως, πρὸς βουλήσεως γίνεται· αἳ διὰ τοῦτο σεσίγηνταί μοι μέχρι νῦν, καὶ ταῦτα πολλαί τινες οὖσαι καὶ συνεχεῖς αἱ πεμπόμεναι πρὸς αὐτοῦ Βυζαντίοις, ὅτι πολλήν τινα τὴν ὑπόπτωσιν εἶχον καὶ σμικροπρεπῆ τινα τὴν παράκλησιν· ἐξὸν διαγρηγορήσαντι στρατηγικώτερον τρόπον κραταιοτέραν ποιήσασθαι καὶ σπουδαιοτέραν τὴν τοῦ ἀγῶνος κρίσιν, καὶ μὴ μάτην οὕτω τρίβειν τὸν χρόνον, καὶ φθείρειν μὲν ἑαυτὸν, φθείρειν δὲ τὰ Ῥωμαίων οὐ δέον πράγματα, ὡς καὶ ἐς γόνυ πεσόντα ἤδη μηκέτ' ἐλπίζειν ῥᾳδίως ἐπὶ τῶν εἰθισμένων κρηπίδων ἑστήξειν· ἔχειν γὰρ αὐτὸν, εἴπερ ἐβούλετο, πρὸς ἀρχαιότερα τὴν μίμησιν ἀναφέρειν τῶν ἔργων, Ἀλεξίου τοῦ Κομνηνοῦ δηλαδὴ καὶ τῶν πρὸ αὐτοῦ (ὧν ἡ ὀξύτης εὐχερῶς Βυζαντίοις ἀφείλετο, προσηκόντως φυλάττεσθαι τὴν τῶν πολεμίων ἐπίνοιαν καὶ τὸ τῆς ἐφόδου τάχος) καὶ μυρία ἐν ἄλλοις ἄλλα τῶν τε ὁμοφύλων καὶ ἀλλοφύλων, παραπλησίαις καὶ μείζοσιν ἐντετυχηκότων ἄλλοτ' ἄλλως ἄλλων περιστάσεσι βιαίων καὶ δυσανταγωνιστικωτέρων μάλα πραγμάτων. (Γ.) Ὅμως ἐπεὶ τοῖς τῆς προνοίας ἀποῤῥήτοις πελάγεσι τὸ τῶν τοιούτων λόγων ἐπαφήκαμεν σκάφος, φέρε τὴν ὑπόσχεσιν ἀποδῶμεν, μιᾶς τινος τῶν Καντα 2.755 κουζηνοῦ μακρῶν ἐς Βυζαντίους ἐπιστολῶν ποιησάμενοι μνήμην, τοῦ τε μήκους ὑφαιρούμενοι τὰ πλεῖστα, τοῦ ἐπαχθοῦς εἵνεκα, καὶ ἅμα τὸ ἀκαλλὲς τῶν λέξεων πὴ μὲν μικρὸν ὑπερείδοντές τε καὶ ἀνεγείροντες, τοῦ εὐπρεποῦς εἵνεκα τῶν ἀκούσειν μελλόντων, πὴ δ' ἐῶντες, διὰ τὴν τῆς ἀληθείας ἐναργεστέραν τῶν λεγομένων δήλωσιν. (Δ.) "1Οἶσθα"2, φησὶν, "1ἁγιώτατε δέσποτα πατριάρχα, τὴν φιλίαν, ὁπόσην ἐνεδειξάμην πρὸς σὲ καὶ τὴν σὴν τιμὴν, καὶ ὁπόσοι σοι κατὰ γένος προσῆκον· ὅσην τε σπουδὴν εἰσήνεγκα, πρὸς τὴν πατριαρχικὴν ἀναχθῆναί σε περιωπὴν, μήτε μηδεμιᾶς γενομένης μνήμης οὐδενὶ τῶν ἐπισκόπων καὶ πρεσβυτέρων ἐν ταῖς πατριαρχικαῖς ψηφηφορίαις περὶ σοῦ, μήτ' αὖ ἡμῶν εἰσαγαγόντων τὴν μνήμην ὀψὲ τὴν σὴν, ἀναμφίλεκτον εὑρηκότων τὴν εἰσαγωγὴν, ἀφανείᾳ τετιμημένην τέως μακρᾷ καὶ βαθείᾳ. ὅμως οἶσθα, ὁπόσους τηνικαῦτα διηντλήκαμεν ὑπὲρ τῆς σῆς τοὺς πόνους τιμῆς, πάντων ἀνθισταμένων μικροῦ, καὶ τυραννικὴν καλούντων ἐκείνην ἡμῶν τὴν σπουδήν. οἶσθα δ' αὖ καὶ μετὰ τὸ γενέσθαι, πόσαις ἐνέτυχες περιστάσεσι πρὸς τοῦ Ἀποκαύκου, τὰς βασιλικὰς ὑπορύττοντος ἀκοὰς, καὶ συχνὰ τῶν θρόνων σε πείθοντος καθελεῖν. ὧν ἁπάντων


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

καθαιρέτης ὑπῆρχον αὐτὸς, μηχανήμασιν ἀνθιστὰς μηχανήματα καὶ ἑλεπόλεσιν ἑλεπόλεις, καὶ πύργος σοι γινόμενος κράτιστος καὶ θεμέλιος ἄσειστος. Δέον οὖν καὶ σὲ τοῖς ὁμοίοις ἡμᾶς ἀμείβεσθαι, σὺ δὲ καὶ προσεπιδαψιλεύσω τὰ χείριστα καθ' ἡμῶν. δεηθῆναί σε χρεὼν τοίνυν τοῦ θεοῦ, μὴ παραπλησίου τυχεῖν ἐκείνου κριτοῦ. καὶ εἰ μὲν εἰς πεῖ 2.756 ραν ἰὼν πρότερον συνεβούλευες μὲν ἐμοὶ τὰ δοκοῦντα χρηστὰ, εὕρισκες δ' οὖν δυσανασχετοῦντα καὶ μὴ πειθόμενον, ἄν τινα πρόφασιν ἡ σὴ καθ' ἡμῶν τῆς κακίας ταύτης συσκευή. νῦν δ' οὐδένα σοι λόγον εὐπροφάσιστον οἶμαι λελεῖφθαι, πρὸς ἀπολογίαν τῶν οὕτω δρωμένων ἰόντι. ἅπαξ γὰρ ἀπειρηκότι παντάπασι τὴν πρὸς ἐμὲ τοῦ λοιποῦ συμφωνίαν, ἐξ οὐδεμιᾶς προφάσεως, οὐδένα περὶ τῶν ἀποβαινόντων ἐντεῦθεν τοῖς Ῥωμαίων πράγμασι δυσχερῶν ποιεῖσθαι λόγον πεφρόντικας. Εἰ οὖν ὀψὲ γοῦν, μετὰ τὴν πεῖραν τῆς ἀποβάσεως καὶ τῶν ἐν ὄψει διηνεκεῖ κακῶν, εἰς τὸ τῆς εἰρήνης ἀποβλέψαις καλὸν, σώζεις μὲν τὸ κατάλειμμα τῶν Ῥωμαίων, σώζεις δὲ σαυτὸν, καὶ βασιλέα τὸν νέον, μετὰ τῆς μητρὸς καὶ βασιλίδος Ἄννης. εἰ δὲ τοῖς ὁμοίοις ἔτι θέλεις ἐμμένειν, ἡμεῖς μὲν οὐκ ἐθελονταὶ βουληθείημεν ἄν ποτε γενέσθαι τῆς οἰκείας τύχης καὶ ζωῆς προδόται· σοὶ δ' ἔσται μετάμελος ἀνόνητος, αἰσχυνομένῳ καὶ κινδυνεύοντι περὶ τὰ μέγιστα, σύν γε δὴ τοῖς ταὐτά σοι συμβουλευομένοις. Ὄμνυμι δέ σοι τὴν ἁγίαν καὶ ζωαρχικὴν τριάδα, τὸν ἕνα θεὸν, ὡς οὔτε ζῶντος τοῦ μακαρίτου βασιλέως, οὔτε θανόντος, μεμελέτηκα οὔτε βεβούλευμαι δρᾷν τῶν ἁπάντων οὐδὲν, ὃ μὴ κατὰ γνώμην ἦν ἐκείνῳ, τῶν βασιλείων ἕνεκα πραγμάτων δηλαδὴ, οὔτε μὴν κατὰ τῆς ἐκείνου συζύγου, οὔτ' αὖ κατὰ τοῦ νέου βασιλέως κἀκείνων υἱέως· οὔθ' ἣν ἀπεδίδουν μετὰ τὸν τοῦ βασιλέως θάνατον βασιλικὴν ἔμοιγε τιμὴν, ἐν ταῖς ὑπαντήσεσι τῶν οἰκείων ἀποβάντες ἵππων, τῆς 2.757 ἐμῆς ἐτύγχανε γνώμης, ἀλλά τις ἰδιότροπος ἐκείνων ὁρμή. ἐγὼ δὲ πάντ' ἔδρων ἀεὶ μετὰ τῆς οἴκοθεν δαπάνης, ὅσα συντήρησιν εἶχε τῆς τούτων ζωῆς, καὶ ἀσφαλείας σφίσιν ὑπῆρχεν ἀκρόπολις. Οὐ τοίνυν σιωπήσειν εἰς τέλος τὴν θείαν οἴομαι δίκην, τοσαύτης μὲν ῥαγείσης κατ' ἐμοῦ καὶ τῶν σὺν ἐμοὶ τῆς ἀδικίας ἐξ ὑμῶν, τοσούτων δὲ χεθέντων αἱμάτων, τοσούτων δὲ γενομένων καὶ γινομένων διὰ τὴν ὑμετέραν κακίαν ἐφόδων βαρβαρικῶν, τοσούτων δ' αἰχμαλώτων νύκτωρ καὶ μεθ' ἡμέραν ἀπαγομένων· ἀλλὰ ταχεῖαν καὶ ἀποχρῶσαν καὶ καθ' ὑμῶν ἐποίσειν τὴν ἐκδίκησιν, ὥσπερ δῆτα καὶ κατὰ τῶν ἄλλων, οὓς ἔργον ξίφους, ἐμοῦ σιωπῶντος, ἐπεπράχει τὸ θεῖον πρὸ ὀφθαλμῶν ὑμῶν, ἵν' ὑμεῖς τοῖς τῶν ἄλλων κακοῖς παιδευθείητε. εἰ μέντοι τοσαύτην ἐθρέψατε δι' ἐμὲ τὴν θηριωδίαν ἐν τῇ ψυχῇ κατὰ πάντων ἁπλῶς Χριστιανῶν, καὶ σιδήρου μὲν παντὸς σκληροτέραν ἐκτήσασθε τὴν καρδίαν, φειδὼ δὲ πᾶσα καὶ οἶκτος ἅπας καθάπαξ ἐῤῥύη τῶν σπλάγχνων, μάρτυς ἔστω πρῶτον μὲν ὁ τὰ πάντα βλέπων ἀκοίμητος ὀφθαλμὸς τοῦ θεοῦ· δεύτερον δ', ἡ τὰ πάντα βόσκουσα τἀν γῇ λαμπὰς ἡλίου, ὡς τό γ' ἐμὸν παντάπασι μέρος ἀπολελόγημαι, καὶ πλειόνων οὐ δέομαι λόγων. Ἅπτομαι δ' οὖν καὶ τῶν σῶν γονάτων ἁπάσῃ προθέσει ψυχῆς, καὶ πρὸς τὸν ἁπάντων ὁρκίζω σε ποιητὴν, μὴ κατοκνήσαντι γένοιτό σοι τὴν ἡμετέραν ταύτην γραφὴν λήθης ἐκδοῦναι ῥοθίοις καὶ ἀφανείας πυθμέσι καλύψαι. ἀλλὰ κοινῶσαι φίλοις καὶ συγγενέσι, κοινῶσαι συνετοῖς ἀνδράσιν· ἵνα δυοῖν θάτερον, ἢ τὰ συνοίσοντα συμβουλεύσασι πείθεσθαι ἔχῃς, 2.758 ἢ μάρτυρες γοῦν τῶν γινομένων τε καὶ ἀποβαινόντων εἶεν αὐτοί."2 (Ε.) Ἐκεῖνος μὲν οὖν ἐρυθροῖς τε καὶ οἰκειοχείροις εἰς μῆκος ἐκτείνας γράμμασι τὴν ἐπιστολὴν, καὶ πολλῇ τῇ περὶ τὴν δέησιν σμικροπρεπείᾳ τοῦ ἤθους χρησάμενος, ἵνα τῷ ἄκρῳ τοῦ μέσου τύχῃ, τὸν λόγον ἐνταῦθά που κατέπαυσεν. ἡμεῖς δὲ, τἀναγκαιότερα τῆς προθέσεως ἐκεῖθεν ἐρανισάμενοι, τὴν προσήκουσαν ἐξεθέμεθα δήλωσιν ἐνταυθοῖ. δ΄. Τῷ γε μὴν πατριάρχῃ ταῦτα ἀκηκοότι, οὐχ οἵαν κατὰ τῶν πρὶν πεμπομένων, τοιαύτην κἀνταῦθα τὴν ὀφρὺν ἐπεδείξατο· ἀλλ' ἐς τὸ σωφρονέστερον τὴν διάθεσιν τῆς ψυχῆς ὑπὸ τῶν τοῦ χρόνου κυμάτων πεπεισμένος τρέπειν τοιάδε τινὰ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀπεφθέγξατο. (Β.) "1Ἀμφοτέροις (φησὶν) εἰκότως ἄν τις ἐπιτιμήσειε, Καντακουζηνῷ τε κἀμοὶ, ἀνθρωπίνως διατεθεῖσι πρὸς τὴν παροῦσαν σπουδὴν, καὶ μηδὲν ὑψηλότερον ἐννοεῖν βουληθεῖσιν, ὡς εἰ μὴ κἂν τὰ τῆς ἄνωθεν συνεπιλαμβάνοι προνοίας, μάταιος πᾶσα καθάπαξ εἰπεῖν τῶν ἀνθρώπων σπουδή. ὅθεν ὀψὲ, μετὰ μακρὰν καὶ δριμυτέραν τὴν πεῖραν, τὸ δέον μανθάνειν ἀρχόμεθα, ὅτε δυσχερὴς ἡ τῶν σφαλμάτων ἐστὶ διόρθωσις. ὁ μὲν γὰρ εἰς τὸν βασιλέα Μιχαὴλ τὸν Παλαιολόγον τὴν μνήμην ἀνενεγκὼν ἐμέμψατο τὴν εἰς τὸν τοῦ τελευτήσαντος βασιλέως υἱὸν ἀδικίαν καὶ τὴν τοῦ βασιλείου κράτους τυραννικὴν ἀντίληψιν· καὶ βέλτιον ἢ κατ' ἐκεῖνον εἰς τὴν τοιαύτην καὶ αὐτὸς ἐληλυθέναι βεβουλημένος ἐγχείρησιν, αὐτὸς μὲν ὑπούλως καὶ μετά τινων ἀπατηλῶν καὶ σεσοφισμένων προφάσεων, τὸ βασίλειον περιζώσασθαι κράτος βεβού 2.759 λευται· τὸν δὲ τοῦ τετελευτηκότος υἱὸν βασιλέως εἰληφέναι γαμβρὸν ἐπὶ θυγατρὶ πρὸς διαδοχὴν τῆς βασιλείας· πρᾶγμα δικαιότερον ἴσως καὶ ἥμερον, καὶ πάσης μέμψεως ὑπερόριον ἔχον τὸν πόδα. οὗ κατὰ βούλησιν θείαν οὐκ ὄντος, ὡς ἔοικε, συνεπεπτώκει κἀμὲ πρὸς ἐπισφαλεῖς διανοίας τὸν νοῦν ἀγαγεῖν, καὶ πολέμιον ἰσχυρὸν τοῖς ἐκείνου τοιούτοις βουλεύμασι καταστῆναι, ἀναμνησθέντα τῆς τοῦ τηνικαῦτα πατριαρχεύοντος Ἀρσενίου νωθρότητος· δι' ἣν, ὡς ἡμῖν γε νενόμισται, ἐπιορκίαι ποικίλαι τε καὶ φρικώδεις προὔβησαν, καὶ τὰ τῆς τότ' ἀδικίας ἐπὶ τὸ μέγιστον προκεχωρήκει· ὡς ἐκεῖθεν τῆς τοῦ θεοῦ σφοδρῶς ἐκκαυθείσης ὀργῆς, τὰ μέγιστα κατὰ Ῥωμαίων βλαστῆσαι κακὰ, καὶ μακροὺς κακοδαιμονίας ἐγερθῆναι κατὰ τῶν κοινῶν πραγμάτων καὶ βιαίους κλύδωνας ἄχρι καὶ ἐς τὴν τήμερον. ᾤμην γὰρ, ὡς εἰ ζῶσαν ἔχων ἐκεῖνος τότε ψυχὴν ἀνθίστατο τοῖς ἐκείνου περὶ τῆς βασιλείας βουλεύμασί τε καὶ πράγμασιν, ἥκιστ' ἂν δήπου τοσαῦτα κατὰ Ῥωμαίων ἐκέχυτο τὰ δεινά. ὅθεν τὴν τότε προσήκουσαν μὲν θεραπείαν, ἥκιστα δὲ γενομένην, ἐν τοῖς νῦν καιροῖς καὶ πράγμασιν ἐπιδείκνυσθαι θέλων αὐτὸς, καὶ πολύν τινα τὸν τῦφον καὶ τὴν ὀφρὺν ἐπισυρομένους θρέψας λογισμοὺς, ἁπάσῃ προθέσει ψυχῆς εἰς τὸν κατὰ τοῦ Καντακουζηνοῦ διανέστην πόλεμον, λαμπρᾶς τινος δῆθεν προφάσεως ἔχων ἐφόδια πρὸς διέγερσιν, τά τε ἄλλα καὶ ὅπως ἐκ τοῦ παραχρῆμα πρὸς ὑπεροψίαν ἤθους ἑαυτὸν μετεσκεύασε, καὶ ἅμα κἀν ταῖς τῶν οἰκείων ἐπιστολῶν ἐπισημασίαις τὸ σύνηθες δοῦλον ἀπείπατο, ἀφαιρούμενος 2.760 ἄντικρυς Ἄννης τῆς βασιλίδος καὶ τοῦ ταύτης υἱοῦ τὴν ἡγεμονικὴν ἐξουσίαν. διὸ καὶ πεπράχαμεν ἄμφω πλέον οὐδὲν, ἢ πᾶσαν ἐκτρῖψαι Ῥωμαίων ἄρδην ἰσχὺν, καὶ μέχρι θεμελίων αὐτῶν καθελεῖν, εἴ τί που χρηστῶν ἐλπίδων τοῖς πράγμασι λέλειπται ζώπυρον. τοῖς γὰρ ἀνθρωπίναις ἀναρτῶσι τὸ πᾶν ἐπινοίαις ἐξ ἀβουλίας ἐς τοιαύτας κατενηνέχθαι κῆρας οὐδὲν ἀπεικὸς ὅτι μὴ καὶ τῷ θείῳ μάλα προσῆκον σκοπῷ, χαλινὸν μὲν ἐπιτιθέντι σαφῆ τῇ τῶν ἀνθρωπίνων λογισμῶν αὐθαδείᾳ, διδασκαλίαν δ' ἐναργῆ διὰ τῆς τῶν πραγμάτων πείρας περιφανῶς τοῖς ἐφεξῆς αἰῶσι παραπέμποντι· ὡς ἡμῖν τὰ τῆς παροιμίας ἄντικρυς συμβαίνειν ἐκείνης, ἡ κάμηλος (λεγούσης) ἐπιθυμιάσασα κεράτων καὶ τὰ ὦτα προσαπώλεσεν. ἐπιθυμιάσαντες γὰρ καὶ αὐτοὶ δόξης καὶ τύχης μείζονος, καὶ καιρὸν ἔχειν ἑκάτεροι δόξαντες ἐκτεῖναι τοὺς τῶν Ῥωμαίων ὅρους, καὶ τῶν ὄντων ἐξέστημεν· κἀκ πλουσίων πένητες, κἀξ ἐνδόξων ἄδοξοι γεγενήμεθα. ἃ τοίνυν ἐχρῆν ἡμῖν καὶ διανοεῖσθαι καὶ δρᾷν ὑπὲρ τοῦ κοινῇ συμφέροντος, πρὶν ἢ παθεῖν, ὀψὲ γοῦν, μετὰ τὸ παθεῖν, ἄξιον καὶ διανοεῖσθαι καὶ δρᾷν· ἵνα μὴ καὶ τῶν ἁλιέων ἐκείνων ὦμεν χείρους, οἷς μετὰ τὸ πληγῆναι τὴν τῶν καθηκόντων προσγίνεσθαι ἔπεισιν αἴσθησιν."2 (Γ.) Ταῦτα διανοηθεὶς καὶ φθεγξάμενος ὁ πατριάρχης λόγοις πιθανωτέροις ὑπῄει καὶ ἐπεχείρει πείθειν συνθέσθαι καὶ τὴν βασιλίδα Ἄνναν. εἶναι γὰρ ἔφασκε βέλτιον, ἑκόντας Καντακουζηνῷ σπεισαμένους, τὴν κρείττω μοῖραν καρποῦσθαι, πρὶν ἀφαιρε 2.761 θέντας ἅπαντα οὐχ ἑκόντας μηδὲ τῆς ἐλαχίστης ἀδακρυτὶ κληρούχους εἶναι δύνασθαι. πρὸς ταῦτα δυσχεράνασα λίαν ἡ βασιλὶς ἐπίβουλον ἐκάλει τὸν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

σύμβουλον, καὶ ὅλαις παλάμαις πόῤῥω που τῶν ὀφθαλμῶν ἐώθει τὸν ἄνθρωπον. αὕτη σκανδάλων ἀρχὴ καὶ κατάστασις πρώτη κατὰ τοῦ πατριάρχου τῇ βασιλίδι καθίσταται. (Δ.) Ἀφ' οὗ γὰρ τὸ τῆς ζηλοτυπίας αὐτὴν κατέσχε πάθος, ὃ κατὰ τοῦ βασιλέως Καντακουζηνοῦ καὶ τῆς βασιλίδος Εἰρήνης εἰς τὸ δαψιλέστερον ἔθρεψεν, οὐδ' ἄκροις ὠσὶν οὐδαμῇ ποτ' ἠνείχετο λόγον ἀκούειν ὑπὲρ ἐκείνων συμβατικόν. ἀλλ' ἦν αὐτῇ διάπυρος ἔρως καὶ ξένον ἐντρύφημα, λοιδορίας ἁπάσας καὶ βλασφημίας ἀσέμνους κατ' ἐκείνων καὶ λέγειν ἀεὶ, καὶ λεγόντων ἄλλων ἀκούειν. τοῦτο περιφανῆ καὶ κατάδηλον πέπραχε πᾶσιν ἐν βραχεῖ τῆς ὅλης κακίας τὴν ῥίζαν, ὅθεν καὶ ἡ τῆς ἐμφυλίου μάχης ἐβλάστησε πρόφασις, καὶ ὅπως εἰς τέλος παρέμεινε δαπανῶσα καὶ φθείρουσα τὰ Ῥωμαίων πράγματα. ἦν δ' ἡ τῆς βασιλίδος Ἄννης ζηλότυπος καὶ χαιρέκακος γνώμη, καθάπερ ἡμῖν ἐν τοῖς ἀνωτέρω πολλάκις εἴρηται λόγοις· ἧς τὴν Ῥωμαίων ἠλλάξατο προδήλως εὐδαιμονίαν αὕτη, καὶ δι' ἣν τῶν ὅλων προδότις πραγμάτων ἐγένετο. (Ε.) Οὐ τοσοῦτον δ' οἶμαι νεμεσῴη ἄν τις αὐτῇ, μὴ δυνηθείσῃ διαβλέψαι καὶ διακρῖναι τὸ κρεῖττον ἀπὸ τοῦ χείρονος, γυναικί τε οὔσῃ καὶ ἀλλοφύλου τροφῆς καὶ διαίτης ἡλικιώτιδι, καὶ ἅμα μὴ δυναμένῃ παντάπασιν ἀνανῆψαι τοῦ τῆς ζηλοτυπίας πάθους, ὅσον αὐτῷ τε πατριάρχῃ καὶ συγκλήτῳ πάσῃ καὶ γερουσίᾳ τοσαύτῃ, τῇ παραλόγῳ ταύτῃ καθάπερ ἀν 2.762 δράποδα πειθομένοις ἐξουσίᾳ, κύβον τ' ἀναῤῥῖψαι τοσοῦτον 2.762 καὶ πρὸς ἕνα λαθόντας ἐθελοντὰς ῥιφῆναι κίνδυνον, καὶ κοινὸν ἀλλήλοις γενέσθαι δυστύχημα καὶ ναυάγιον. ἀλλὰ ταῦτα μὲν ἐν τούτοις ἦν· καὶ ἡ τῶν τῆς βασιλίδος Ἄννης κατὰ τοῦ πατριάρχου σκανδάλων πρόφασις ἐκ τοιούτων σπινθήρων ἀναῤῥιπίζεσθαι πρὸς αἰθερίας φλόγας ἔσχε τὴν ἀρχήν. ε΄. Ὁ δὲ Καντακουζηνὸς, ἀπογνοὺς τὴν ἐντεῦθεν εἰρήνην, ἑτέρας ἐπεχείρησε τέμνειν αὔλακας ἐννοιῶν τε καὶ πράξεων. καὶ πρῶτον μὲν σπεύσας εἷλε Σηλυβρίαν καθ' ὁμολογίαν, ἐν ᾗ καὶ πύργον εἰς ἀκροπόλεως ἀσφάλειαν ᾠκοδομήσατο πάνυ τοι ὀχυρόν. ἔπειτ' ἀπιὼν εἰς Ὀρεστιάδα καὶ συνηθροικὼς τούς τε κατὰ Θρᾴκην ἐπισκόπους, καὶ ὅσοι φυγάδες ἐκ Βυζαντίου γενόμενοι συμπαρῆσαν αὐτῷ, βασιλικὴν περιτίθησι τῇ κεφαλῇ ταινίαν, κατὰ τὸ πάλαι κεκρατηκὸς τοῖς βασιλεῦσιν ἔθος, τῇ τοιαύτῃ πανηγύρει διακονησαμένου τοῦ τῶν Ἱεροσολύμων πατριάρχου. ἔτυχε γὰρ καὶ αὐτὸς μετὰ τῶν ἐκ Βυζαντίου φυγάδων ἐκεῖ τηνικαῦτα παρών. ἔπειτα κραταιότερον ἐπέθετο Βυζάντιον ἑλεῖν ταῖς κρύφα συσκευαῖς καὶ ἐπιβουλαῖς. (Β.) Διὸ καὶ τὸν τῆς Βιθυνίας σατράπην Ὑρκανὸν, μεγίσταις δωρεαῖς τε καὶ ὑποσχέσεσι τῆς βασιλίδος Ἄννης ὁρῶν ὑποκλίνειν σκεπτόμενον, καὶ ἅμα συννοῶν, ὡς τὰ μέγιστα σφῆλαι δύναται πᾶσαν ἣν ἂν οὗτος ἐπιβάληται δρᾶν κατὰ Βυζαντίων ἐγχείρησιν, γείτων τε ὢν ἐγγύτατος καὶ τῇ δυνάμει τοὺς κατ' αὐτὸν ἤδη Περσικοὺς ὑπεραίρων σατράπας, τῶν ἀναγκαίων ἐνόμισεν, ἀγαγέσθαι γαμβρὸν ἐπὶ τῇ θυγατρὶ 2.763 Μαρίᾳ, πάλαι τοῦτο ζητοῦντα σὺν σφοδρῷ καὶ φλέγοντι τῷ πόθῳ, καὶ πρὸς τοὺς ἐσχάτους ἐλάσαι κινδύνους, εἰ μὴ τῆς ἐρωμένης ἐπιτυχὴς γένοιτο, σφοδρῶς ἀπειλοῦντα. οὐ γὰρ ἦν που τῶν εἰκότων, ὡς πoῤῥωτάτω που διαιτώμενον, πάνυ τοι νέας οὔσης καὶ εὐπροσώπου τῆς κόρης καὶ γένους εὐδαίμονος, ἐραστὴν ἐκ μόνης γενέσθαι τῆς ἀκοῆς, ἄνδρα παρηβηκότα καὶ βάρβαρον. κἀπειδὴ τοὺς περὶ ψυχῆς ἑώρα τὸν Καντακουζηνὸν ἀγῶνας τέως σταδιοδρομοῦντα, καιρὸν ἔχειν ᾠήθη, κραταιότερον ἐπιθέσθαι τῇ ζητήσει. διὸ καὶ νῦν μὲν ταῖς τῆς συμμαχίας ὑποσαίνων ἐλπίσι, νῦν δὲ ταῖς ἀπειλαῖς περιδεᾶ καθιστῶν (ἦν γὰρ εἰς πλοῦτον ἐληλακὼς βαθὺν καὶ σφόδρα πολυτελῆ, καὶ μεγάλην ἔχων ἀρχὴν ἐν Ἀσίᾳ, καὶ πολλὴν περιβεβλημένος δύναμιν ὅπλων καὶ στρατῶν Περσικῶν) οὐκ εἰς μακράν γε ἐτετυχήκει τοῦ ποθουμένου, καὶ τὰς τῆς βασιλίδος Ἄννης σπονδὰς εὐθὺς ἀπείπατο. καὶ ἦν ἐντεῦθεν φοβερός τις καὶ ἄμαχος Καντακουζηνός. (Γ.) Ἀχθεσθεῖσά γε μὴν ἡ βασιλὶς Ἄννα τῷ γεγονότι καὶ ἀπογνοῦσα τῶν ἐκεῖθεν ἐλπίδων ἐφ' ἑτέρας ἐτρέπετο· καὶ δῶρα τὴν ταχίστην δαψιλέστερα



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

πέμψασα τοῖς περὶ Φιλαδελφίαν σατράπαις Κᾶρας καὶ Λυδοὺς συνήθροισε, καὶ Ἴωνας, καὶ ὅσοι τῶν ἱππέων ἦσαν ἐκεῖθεν ἐπίλεκτοι Περσῶν. καὶ τὸ ἔαρ ἐν τούτοις ἐτελεύτα. (Δ.) Ἄρτι δὲ τοῦ ἡλίου τὰς θερινὰς ποιουμένου τροπὰς, τὸν Ἑλλήσποντον ἡ Περσικὴ διαπεραιωσαμένη δύναμις αὕτη, εἰς ἓξ χιλιάδας ἔγγιστά που τὸν ἀριθμὸν ἀναφέρουσα, λείαν Μυσῶν τὰ ἐκεῖθεν ἄχρι καὶ ἐς Βυζάντιον ἐπιπορευομένη πάντα πεποίηται, μη 2.764 δὲν διακρίνουσα, ὁποτέρας εἴη τὰ ἐν ποσὶν αὐθεντίας· ἀλλ' ὁμοῦ πάντα κέρδους ἕνεκα λογιζομένη χρήματα. ἐπεὶ δὲ ξύν γε τῷ πάντ' ἀριθμὸν ὑπερβαίνοντι πλήθει τῶν αἰχμαλώτων καὶ τῶν λαφύρων ἐκείνων πρὸ τῶν τοῦ Βυζαντίου τειχῶν ἰόντες ηὐλίσαντο, πολλῆς τῆς δεξιώσεως καὶ φιλοφροσύνης ἠξίωνται πρὸς τῆς βασιλίδος Ἄννης, μηδαμῆ τῶν πρασσομένων αἰσθάνεσθαι βουλομένης, μηδ' οἶκτον γοῦν τινα βραχὺν λαμβανούσης ὁπωσοῦν τοῦ μεγάλου πάθους ἐκείνου καὶ τῆς κοινῆς τῶν αἰχμαλώτων κραυγῆς, ἣ μέχρι τῶν αἰθερίων ἀψίδων ἀναφερομένη μικροῦ πᾶσαν ἐξέπληττεν ἀκοὴν Βυζαντίων καὶ πάντας ἠνάγκαζεν ὀφθαλμοὺς ἀφιέναι δακρύων πηγάς· καὶ μάλισθ' ὅτε δίκην ὁρμαθῶν ἁλύσεσι δεδεμένους ἐκ τῶν τραχήλων κομίζοντες τοὺς ἀθλίους οἱ βάρβαροι παρὰ τὰς τῆς πόλεως πύλας συχναῖς ταῖς μάστιξιν ἔπαιον, ἔπληττον, ἐτίτρωσκον, πολυταλάντου πράσεως ἕνεκα. ἐφ' οἷς ἀμείλικτος ἔμενε τὸ παράπαν αὐτὴ, καὶ ὥσπερ ἐπεντρυφῶσα τοῖς γινομένοις. ἅτε γὰρ οἶμαι ἀλλόφυλος οὖσα, καὶ ἅμα τὴν τῆς γνώμης ἕξιν σκληροτέραν ἐκ φύσεως ἐσχηκυῖα, πᾶσιν ὁμοίως ἤχθετο Ῥωμαίοις καὶ κατὰ πάσης ἄρδην ἐχώρει τύχης. (Ε.) Ἐπεὶ δ' ἐκείνων ζητούντων τοὺς ἐπὶ τοὺς πολεμίους ἄξοντας, καὶ ἡγεμόνας ἐσομένους τῆς ὁδοῦ καὶ τῆς μάχης, στρατιώτας Ῥωμαίων πολλή τις ἦν ἀπορία καὶ σπάνις, καὶ οὐδ' εἰς τὴν τοῦ Βυζαντίου φρουρὰν ἀρκέσειν ᾤοντο τοὺς ἐν ὅπλοις τηνικαῦτα παρόντας, ἀναστρέψαντες πάντα τε ἐδῄωσαν τὰ τοῦ Βυζαντίου προάστεια 2.765 μέχρι Σηλυβρίας, κἀκεῖ σπεισάμενοι τῷ Καντακουζηνῷ καὶ δῶρα πρὸς ἐκείνου λαβόντες, ὁπόσα εἰκὸς, διεπεραιώθησαν οἴκαδε, μήτε μηδὲν ὧν χάριν ἐκλήθησαν καὶ πᾶν τοὐναντίον δράσαντες. καὶ ταῦτα μὲν τοῦτον ἔσχε τὸν τρόπον. (΄.) Πρό γε μὴν τοῦ ἐνιαυτοῦ τούτου, κατ' αὐτὰς τοῦ Ὠρίωνος τὰς ἐπιτολὰς, ἤρξατο φαίνεσθαι Ξιφίας ἐν οὐρανῷ, περὶ τὴν κεφαλὴν τῆς Ἑλίκης τὰ πρῶτα· ἐκεῖθεν ἐπὶ τὸν ζῳδιακὸν ὁσημέραι ποιούμενος τὴν πορείαν ἧκε περὶ τὰ τέλη τοῦ λέοντος, ὅπη καὶ τὰς ἡλίου πορείας ἔτυχε τηνικαῦτα γίγνεσθαι, κἀκεῖ διελύθη. καὶ εἶναι Ῥωμαίων καὶ τοῦτο τοῖς πράγμασιν ἔδοξεν ἥκιστα πάνυ χρηστὸς οἰωνός. ΄. Τοῖς δ' ἐκ Γεννούας ὑπὸ Τούζου τοῦ νέου δουκὸς ἐξωσθεῖσιν ἐκείνοις Λατίνοις διὰ τὸ τοῦ τρόπου τυραννικώτερον, ὡς εἰρήκειμεν, ἐπειδὴ πλούτῳ καὶ δόξῃ τῶν πολλῶν διαφέρειν ἐνῆν, ἄδοξόν τι καὶ ἀγεννὲς ἐδόκει, πλανήτην ἐπὶ μακρὸν οὑτωσὶ βίον τρίβειν ἀπόλιδάς τε καὶ ἀνεστίους. ὅθεν τριήρεις κατασκευάσαντες ἐγγύς που τριάκοντα ἐς Χίον τὴν νῆσον ἐξαίφνης κατέπλευσαν, μηδαμῆ τῶν Χίων τὸν τοιοῦτον προεγνωκότων ἐπίπλουν. ἦ γὰρ ἂν ἐς τὸ δαψιλέστερον ἐσκομισάμενοι τἀπιτήδεια δυσάλωτοί πως ἢ μᾶλλον ἀνάλωτοι τὸ παράπαν ὄντες ἐτύγχανον. δῆλον δέ· καὶ γὰρ ἕως τὰ προστυχόντα σφίσιν ἐνῆν εἰς ἀποτροπὴν τοῦ λιμοῦ, θαῤῥαλεώτερον τοῖς πολεμίοις ἀνθίσταντο, καὶ συχνὰ τῶν πυλῶν ἐπεκθέοντες συχνοὺς τῶν Λατίνων ἐτίτρωσκόν τε καὶ ἔκτεινον. (Β.) Τῆς δὲ πολιορκίας ἐκτεινομένης 2.766 διὰ γῆς καὶ θαλάττης, καὶ πάσης ἐντεῦθεν ἀποκλεισθείσης ἔξωθεν σιτοπομπίας καὶ πάσης ὅπλων ἐπικουρίας, τά τε χρειώδη πάντα ἐπέλιπε καὶ ὁ λιμὸς ὑφέρπων ἐντὸς ἠνδραποδίζετό τε καὶ ψυχὰς ὁμοῦ τοῖς σώμασιν ἐδαπάνα, μαστίζων τε καὶ περιελαύνων ἐς τὸ ἀμήχανον. ὅθεν ἀπογνόντες οἱ Χῖοι παρέδοσαν ἑαυτοὺς ὑποσπόνδους τοῖς πολεμίοις. τοῦ δὴ τοιούτου δυστυχήματος ἔργον καὶ Φωκαεῖς, οἱ πρὸς τῇ παραλίᾳ τῆς Ἰωνίας οἰκοῦντες, γεγένηνται, καταπλευσάντων σφίσι τῶν πολεμίων εὐθὺς μετὰ τὴν τῶν Χίων ἅλωσιν. καὶ τὸ θέρος ἐν τούτοις ἐτελεύτα. (Γ.) Φθινοπώρου δ' ἐπιγενομένου



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

βασιλικὰς τριήρεις κατασκευασάμενος ὁ Φακεωλάτος εἰς ἐκδίκησιν δῆθεν τῶν Χίων ἐξέπλευσε, τῶν πάνυ μὲν πλουσίων ὑπάρχων, τύχης δ' οὖν οὐκ ἐνδόξου, ἀλλ' ὁποίας καὶ πρὶν ὁ Ἀπόκαυκος· δραστήριος δ' ὅμως, καὶ δεινὸς ὁμιλῆσαι ποικίλοις πράγμασιν. ἐπεὶ τοίνυν παραπλέων τὸν τοῦ Αἰγαίου αὐχένα τριήρους μιᾶς ἀναγομένης πολεμίας ἐπιτυχὼν, καὶ ἅμα μεγίστης ὁλκάδος ὁμοεθνοῦς, πρὸ τοῦ Τενεδίου λιμένος ἐπ' ἀγκυρῶν σαλευούσης, ὁπλισάμενος διεναυμάχησέ τε καὶ εἷλεν ἄμφω, πολλοὺς μὲν τῶν πολεμίων ἐν τῇ ναυμαχίᾳ κτείνας, ἔστι δ' οὓς καὶ αὐτὸς τῶν οἰκείων ἀποβαλών· τοῦτ' αἰσχύνην τε καὶ ζημίαν σφῶν αὐτῶν οἱ ἐν τοῖς Γαλάτου νομίσαντες ἐπέσχον τὴν ἐκεῖθεν ἐς Βυζάντιον σιτοπομπίαν εὐθὺς, οὐκ ἄλλοθέν ποθεν οὖσαν τὴν τοιάνδε τοῖς Βυζαντίοις ἐμπορίαν εἰδότες, ἢ παρὰ σφίσι κεῖσθαι, εὖ τε ἔχειν τοῦ ζῆν καὶ λιμῷ διακινδυνεύειν τεθνάναι. οὐ μὴν ἀλλ' ἐπὶ τούτοις καὶ ἕτερα 2.767 προσενεγκεῖν ἠπείλουν δεινά. ὧν οὐ φέρειν τὸ βίαιον οἱ Βυζάντιοι δυνάμενοι τάς τε ναῦς ἐπηγγείλαντο ἀποδοῦναι καὶ πᾶσαν συνεκτῖσαι ζημίαν, ὁπόσα τῶν πραγμάτων ἔν τε τῇ ναυμαχίᾳ καὶ μετὰ τὴν ναυμαχίαν ἐστέρηνται. καὶ ἐπὶ τούτοις αἱ τοιαῦται προὔβησαν σπονδαί. (Δ.) Ἦν δ' ὅμως περιδεὴς ὁ Φακεωλάτος, καὶ φόβοις μάλα συνισχημένος μακροῖς, ἀπειλὰς κατ' αὐτοῦ διακηρυττόντων συχνὰ τῶν Λατίνων τὰς παλαμναιοτάτας· ὡς ἀναγκασθέντα φρουρὰν περὶ αὐτὸν ἔχειν ὁπλιτικὴν, ὁπότε τῆς οἰκίας ἐξιέναι βούλοιτο, καὶ ὁπόσους καὶ ὅποι τοὺς περιπάτους ποιοῖτο. καὶ ταῦτα μὲν τοῦτον ἔσχε τὸν τρόπον· καὶ τὸ φθινόπωρον ἐν τούτοις ἐτελεύτα. ζʹ. Ἠρεμεῖν δ' οὐκ ἐνῆν οὐδαμῇ τῆς ὀργῆς ἐκείνης τὴν βασιλίδα, οὐδ' ὀψὲ τοῦ χρόνου μαλάττειν ὁπωστιοῦν καὶ σβεννύειν τὴν φλόγα, ἣν ἡ τοῦ πατριάρχου βουλὴ πρὸς τὴν ἐκείνης ἀνῆψε ψυχὴν, παραινοῦντος καὶ πείθειν (ὡς εἴρηται πρὸ βραχέος) ἐπιχειροῦντος, σπείσασθαι Καντακουζηνῷ, καὶ βεβαίαν εἰρήνην συνθέσθαι, πρὶν ἐς ἐσχατιὰς ὀλέθρου τὰ Ῥωμαίων ἐληλυθέναι πράγματα, ἐκείνου μὲν ἐπιεικῶς αὐξομένου, ἡμῶν δ' ὑποῤῥεόντων ἡσυχῇ καὶ μαραινομένων ἀεὶ, καὶ ἐς τὸ μὴ εἶναι κινδυνευόντων ἄρδην χωρεῖν. ταύτῃ τοι καὶ μελέτας ἤθροιζεν ἐν τῇ ψυχῇ συχνὰς ἐπὶ συχνὰς, καὶ ἄλλας δήπουθεν ἐπ' ἄλλας, περὶ τοῦ πῶς καὶ τίνι τρόπῳ ῥᾷστα καθελεῖ τοῦ θρόνου τὸν πατριάρχην· καὶ ἣν οὐδεμίαν τῶν ἄλλων εὑρεῖν ἀνυσιμωτέραν, ἢ τοὺς περὶ 2.768 τὸν Παλαμᾶν οἰκειώσασθαί τε καὶ σφᾶς κατ' ἐκείνου λαμπρῶς ἐς τὸ κραταιότερον ἀνθοπλίσαι, πολλὴν ἐκ πολλοῦ κατ' ἐκείνου τρέφοντας ἐν τῇ ψυχῇ τὴν βλάπτουσαν ὁρμὴν διὰ τὴν τοῦ τόμου κατάλυσιν. (Β.) Ἐπεὶ δ' ἔτυχεν ἐν μιᾷ τῶν ἐντὸς βασιλείων εἱρκτῇ δέσμιον ἐκ πολλοῦ κατέχουσα Παλαμᾶν, ὡς μὲν ἔμοιγε οἴεσθαι ἦν, διὰ τὴν ἐς Καντακουζηνὸν ἐκείνου φιλίαν· ὡς δὲ τὰ πρὸς ἐκείνης ἅμα καὶ τοῦ υἱέως ἐδήλου πεμφθέντα βασιλικῶς ἐνσεσημασμένα γράμματα πρὸς τοὺς ἐν τῷ Ἄθῳ τῷ ὄρει μονάζοντας ἄνδρας, διὰ τὴν τῶν δογμάτων καινοτομίαν, ἣν ἐς τὴν τοῦ θεοῦ παρεισενεγκὼν αὐτὸς ἐκκλησίαν κυκεῶνος καὶ ζάλης ἐπλήρωσε ταύτην μακροῦ· πρὸς ἅπαν ἤδη τὴν γνώμην περιφανῶς μετήνεγκε τὸ ἀντίπαλον, καὶ συνεργῷ κατὰ τοῦ πατριάρχου κέχρηται τούτῳ, καὶ πᾶσαν εὐμένειαν τούτῳ χαρίζεται, τήν τε περὶ τὰ δόγματα γνώμην ἐκείνου κυροῦσα καὶ ταῖς ἐκείνου λαμπρῶς ἀγομένη βουλαῖς, καθάπερ ὁλκάδος ἱστίον, ὁπότε βίαιός τις καὶ ῥαγδαῖος ἀνέμου καταῤῥεύσειε δρόμος, ἄνωθέν ποθεν ἐξ ἀρκτικῶν ἀκροτήτων καταῤῥαγείς. (Γ.) Διόπερ, ὥσπερ πύλης πόλεως ἀνεῳγυίας ἤδη τοῖς πολεμίοις περιφανῶς, δογμάτων καὶ νόμων ἀνέδην εἰσεχέοντο κλύδωνες, καὶ παῤῥησίαν αὖθις εἶχον εἰσαγωγαὶ καινοφωνιῶν, καὶ θόρυβος ἀνὰ πᾶσαν ἐφοίτα τὴν πόλιν, ἀντιφθεγγομένων ἐπισκόπων καὶ πρεσβυτέρων, καὶ ὅσοι βαθείας διὰ φρενὸς ἐκαρποῦντο τὰς τῆς σοφίας αὔλακας. καὶ μάχαι διὰ ταῦτα καὶ ἔριδες ἀνεφύοντο συνεχεῖς κατ' ἀλλήλων καὶ δι' ἀλλήλων· καὶ ἡ ὑπερηφανία τῆς κακίας ἐπὶ μέγιστον ὕψους 2.769 ἀνῆγε τὴν κεφαλήν. (Δ.) Τούτων δ' οὕτως ἐχόντων, πολλὰ περὶ τῆς ἐμῆς σιωπῆς ἡ βασιλὶς ὑπῆρχεν ἀμφισβητοῦσα, καὶ τῆς ἐμῆς διὰ μελέτης ἐποιεῖτο


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

πειρᾶσθαι γνώμης. καί με καὶ μὴ βουλόμενον αὖθις κριτὴν προσκαλεῖται, καὶ οἷόν τινα γνώμονα τῶν αὐτῆς τε καὶ τοῦ πατριάρχου περὶ τοῦ Παλαμᾶ φιλονεικιῶν· δυοῖν ἐν νῷ ἔχουσα θάτερον πεπραχέναι· εἰ μὲν γὰρ ὁμόφρων ἐκείνῃ κατὰ τοῦ πατριάρχου γενοίμην, ἵλεώ τε ταύτης τυχεῖν καὶ βασιλικῶν ἀπολελαυκέναι χαρίτων, μακρὸν τὸ φιλότιμον κεκτημένων· εἰ δ' οὖν, ἀνανεώσασθαι νῦν καὶ τὴν τῷ χρόνῳ παρεῤῥυηκυῖαν ἤδη διὰ τὸν Γαλάτην ἐκεῖνον μῆνιν· ἣν πάλαι καθάπερ βωμὸν ἐγκαθιδρύσασα τοῖς τῆς ψυχῆς συνετήρει θαλάμοις, καὶ πάνθ' ὁμοῦ τὰ χαλεπώτατα καθ' ἡμῶν δεδρακέναι. (Β.) Προσεληλυθότας οὖν καὶ καθίσαντας προσειποῦσα καὶ ἁπαλωτέροις τὰ πρῶτα πρὸς ἡμᾶς χρησαμένη τοῖς λόγοις τὰς τοῦ Παλαμᾶ προεκόμιζε καινοφωνίας. καὶ ἐπειδὴ πειθομένους οὐχ εὕρισκεν, ἀλλ' ἰσχυρῶς τῶν πατρίων ἀντεχομένους ὅρων καὶ νόμων, καὶ ὅσα τῶν συνοδικῶν εἰσι παραδόσεων ἔγγραφα παραγγέλματα, καὶ ἅμα κἀκεῖνα τοῦ θείου προφέροντας Παύλου· εἴ τις εὐαγγελίζοιτο (λέγοντος) ὑπερόρια τῆς ἐκείνου διδασκαλίας, εἶναι ἀνάθεμα, κἂν ᾖ τῶν οὐρανίων τις ἀγγέλων· μηδὲ γὰρ εἶναι πρὸς ἡμῶν, ἄλλο τι θεοῦ προτιμᾷν· (παραπλήσιον γὰρ ἂν εἴη τουτὶ, ὥσπερ ἂν εἴ τις τῇ ἀριστερᾷ χειρὶ τὴν δεξιὰν ἀποκόπτειν ἐβούλετο·) ἀλλὰ πάντα κάτω ῥιπτοῦντας πρὸς αὐτὸν μόνον βλέπειν· ἀγριαίνουσα ἤδη 2.770 καθ' ἡμῶν ἑωρᾶτο, καὶ πολὺν ὠδίνουσα τὸν θυμὸν, καὶ μάλισθ' ὅτι καὶ τοὺς παρακαθημένους ὑπηχοῦντας εἶχε καὶ σφόδρα ἐπικροτοῦντας κολακικώτερον τρόπον. διὸ καὶ κακῶς μὲν ἀφίει, κρατερὸν δ' ἐπὶ μῦθον ἔτελλεν, ἔγγραφον τὴν ἐμὴν ἀπαιτοῦσα γνώμην ἐν τῷ αὐτίκα, ὡς ἂν βεβαιότερον ἀντιλέγειν ἔχοιεν οἱ ταύτης ὁμόφρονες. (΄.) Καὶ τοῦτ' ἔστιν, ὃ καὶ τὴν ἐμὴν πρὸς ἀνάγκας ἴσως ἀντιῤῥήσεων ἤνεγκε γλῶτταν, ἐνίοτε καὶ ἐνιαχοῦ μάλα τοι σφόδρα γενναίως ἐπὶ τῷ θεμελίῳ τῆς δεδομένης εὐσεβείας ἵστασθαι παραινοῦντος τοὺς προσιόντας, καὶ μηδ' ἄχρι στιγμῆς ταῖς τηνικαῦτ' ἐπιπολαζούσαις καινοφωνίαις ἐγκλίνειν, μεμνημένους τῶν εὐαγγελικῶν τε καὶ ἀποστολικῶν παραινέσεων· καὶ ὅσα ὁ μέγας ἐν θεολογίᾳ Γρηγόριος, ἐς τὰς ὁμοίας ἐμπεπτωκὼς περιστάσεις τῆς ἐκκλησίας, διέξεισιν· "1ἡμεῖς (λέγων) οἱ καὶ μέχρι τῆς τυχούσης κεραίας καὶ γραμμῆς τοῦ πνεύματος τὴν ἀκρίβειαν ἕλκοντες οὔποτε δεξόμεθα (οὐ γὰρ ὅσιον) οὐδὲ τὰς ἐλαχίστας πράξεις εἰκῆ σπουδασθῆναι τοῖς ἀναγράψασι, καὶ μέχρι τοῦ παρόντος μνήμῃ διασωθῆναι· ἀλλ' ἵν' ἡμεῖς ἔχωμεν ὑπομνήματα καὶ παιδεύματα τῆς τῶν ὁμοίων, εἴ ποτε συμπέσοι καιρὸς, διασκέψεως· ὥστε τὰ μὲν φεύγειν, τὰ δ' αἱρεῖσθαι, οἷον κανόσι τισὶ καὶ τύποις, τοῖς προλαβοῦσιν ἑπόμενοι παραδείγμασι·"2 καὶ ὅσα ὁμοίως ὁ μέγας Βασίλειος ἐν τῷ περὶ πίστεως ἔφασκε λόγῳ, φείδεσθαι παραινῶν καὶ τῶν ὀνομάτων ἢ ῥημάτων ἐκείνων, ἃ λέξεσι μὲν οὐκ ἐμφέρεται τῇ θείᾳ γραφῇ, διάνοιάν γε μὴν αὐ 2.771 τὴν ἐκείνην τὴν ἐγκειμένην τῇ γραφῇ διασώζει. (Ζ.) Ὥσπερ δ' οὐ πάνυ τοι ῥᾴδιον εἶναι δοκεῖ δύνασθαι συνορᾷν ἀσφαλῶς τὸ δίκαιον, εἴ τις ἐν λιμένι καὶ γαλήνῃ καθήμενος ἡσυχῆ τῶν ἐν πελάγει κύμασι καὶ πνεύμασι προσταλαιπωρούντων ἀγρίοις τοὺς πόνους ἐξετάζειν ἐθέλοι, οὐδ' αὖ τὸ βίαιον τοῦ χειμερίου ψύχους, εἴ τις ὥρᾳ θέρους βούλοιτο κρίνειν ὁποῖον καὶ ὅσον· οὕτω καὶ εἴ τις ἀγώνων τοιούτων ἄπειρος ὢν, ἔπειτ' ἐξ ἡσυχίας ὁρμώμενος κρίνει τοὺς ἀγῶσι μακροῖς ἐναθλοῦντας ὑπὲρ τῆς ἀληθείας. πρόχειρον γὰρ ἔχει πρὸς λοιδορίας τὴν γλῶτταν, ὅτι μὴ πέπεικέ τις δρῶν καὶ λέγων, μηδὲ τὸ πᾶν τῆς νίκης ἐξείργασται· πρὸς τὴν παροῦσαν ἡσυχίαν καὶ οὐ πρὸς τὴν τότε βίαν παραμετρῶν τῶν πραγμάτων καὶ λόγων τὰ τέλη, ὡς ἔοικεν· οὐκ εἰδέναι δυνάμενος, ὡς οὐ τὴν αὐτὴν ἔχει τάξιν καὶ δύναμιν ἀγῶνος καὶ ἡσυχίας καιρὸς, καὶ χειμῶνος καὶ θέρους, καὶ πρός γε ἔτι λιμένος καὶ διαποντίου κλύδωνος. εὔδηλον γὰρ δήπου τοῖς ὅλοις, ὡς ἀμειβομένης τῆς τῶν ἀγώνων ὥρας συναναιρεῖται καὶ ἡ τῆς ἀποβάσεως ἀκριβὴς μαρτυρία καὶ τὸ προσῆκον τοῖς πράγμασι δίκαιον. ὁ δ' αὐτός μοι δοκεῖ καὶ τὸ στεφανοῦσθαι τοὺς πάλαι τῆς ἀληθείας μάρτυρας ἀναιρεῖν, ὅτι πάντα τὸν τῆς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀθλήσεως ἀνύσαντες δίαυλον οὔτε πεπείκασι τοὺς τυράννους, οὔτε μὴ πείσαντες οὐκ ἀνεῖλον τὰς σφῶν κεφαλὰς, οὐδὲ τοῦ παρόντος βιαίως ἐξήνεγκαν βίου. τούτων δ' οὕτως ἐχόντων, οὔκουν οὐδ' ἐμὲ λοιδορίας ὑπεύθυνον ἡγεῖσθαι δίκαιον, ὅτι καλῶς εἰπὼν ἥκιστα 2.772 πέπεικα τὸ τῆς γνώμης ἐκείνης ἀντίθετον· ἀλλ' ἐκείνη μέμφεσθαι δίκαιον μᾶλλον, ὅτι μοι καλῶς εἰπόντι ἥκιστα πέπεισται. τῶν μὲν γὰρ λόγων ἐγὼ κύριος· τῶν δὲ πράξεων ἡ δυναστεύουσα χείρ. πάσης δ' ὑπέρτερον λοιδορίας τίθησι τὸ μὴ κατὰ γνώμην ἅμα καὶ πρὸς τὸ βέλτιστον φερομένην ὁρμὴν ἁπαντῶν. οὐ γὰρ πὺξ ἐνάλλεσθαι κατὰ τῶν τῆς ἀληθείας ἐχθρῶν ὁ τῆς εἰρήνης παραινεῖ λόγος· ἀλλ' ἡμέρῳ τε ἤθει καὶ πραείαις γλώττης ἀγκάλαις αὐτοῖς προσιέναι. (Η.) Οὐ μέμφεσθαι τοίνυν, ὅτι μὴ θαυμάζειν ἄξιον μᾶλλον, ὅτι παρὸν ἡμῖν ἐκ τοῦ ῥᾴστου σιγώσης γλώττης βασιλικὴν εὐμένειαν πρίασθαι, μακρὸν τὸ φιλότιμον τῶν χαρίτων ὑπισχνουμένην, οὔτε κλονουμένην διάνοιαν ἐκτησάμεθα, καὶ ἅμα τῶν ὅρων τῆς εἰθισμένης ἐς τὰ χρήσιμα τάξεως ἔνδον ἐμείναμεν, ἀκήρατον συντηροῦντες τὸ φρόνημα τῆς ψυχῆς. οὐ γὰρ τοσοῦτον ἀνθρώποις ἀρέσκειν ἐκρίναμεν δεῖν, ὅσον τῷ τῶν ἀδήλων ἐπόπτῃ θεῷ. οἱ μὲν γὰρ τῶν δρωμένων ἐς τοὐμφανὲς καθίστανται μάρτυρες μόνων, οὓς καὶ παραλογίσασθαι ἔξεστιν ἐνίοτε, εἴ τις τοὺς τῆς κακίας καρποὺς τοῖς τῆς ἀρετῆς ὑποτίθησι σχήμασί τε καὶ χρώμασι. θεὸς δ' ἐν αὐτοῖς πρὸ τῶν ἔργων τοῖς τῆς καρδίας κινήμασιν ἐρείδει τὰ τῆς ἐξετάσεως ἴχνη, καὶ τὸ βῆμα τῆς δίκης ἐν αὐταῖς συγκροτεῖ τῶν λογισμῶν ταῖς ἀρχαῖς· ἔνθα χώραν οὐκ ἔχει σχῆμα καὶ χρῶμα καλύπτειν, εἴ τι κακίας ἐκεῖ παραφύεσθαι βούλοιτο βλάστημα. (Θ.) Τούτων δ' οὕτω συμβεβηκότων, οἴκοι λοιπὸν καθημένοις τὴν καταψηφισθεῖσαν ἡμῶν ἐξορίαν νύκτωρ καὶ μεθ' ἡμέραν ἐπῄει καραδοκεῖν. καὶ τάχ' ἂν εἰς ἔργον τὰ καθ' ἡμῶν μελετώμενα προὔβαινεν, εἰ μὴ Καν 2.773 τακουζηνῷ μεταξὺ Βυζάντιον ἑλεῖν ἐγίγνετο· ὃ δὴ καὶ λέξων εἰμὶ σαφέστερον. η΄. Ἐπεὶ γὰρ, ὡς ἔφθημεν εἰρηκότες, ἔνοπλον ἔχειν φρουρὰν συγκεχώρηται τῷ Φακεωλάτῳ, τὴν τῶν Λατίνων διὰ τὴν προγεγονυῖαν σκανδάλου πρόφασιν δεδιότι αὐθάδειαν, προσεληλυθέναι συνέβη τινὰς τουτωὶ, οἷς λάθρα ἐσεφοίτα γράμματα ἐκ Καντακουζηνοῦ, μηχανήσασθαί τινα τρόπον, ὃς ἂν ῥᾳδίαν ποιήσηταί οἱ τὴν ἐς Βυζάντιον εἴσοδον· οἷς ἐπαγγελίαι μακραὶ συνεπλέκοντο χρημάτων ἅμα καὶ τιμῶν· τούτοις οὖν προσεληλυθόσι καὶ προσεταιρισαμένοις αὐτὸν, καὶ ἀνακαλύψασι τὴν τῶν μελετωμένων δύναμιν, συνάρασθαί σφισι καὶ αὐτὸς ἐπηγγέλλετο πάσῃ χειρὶ καὶ σπουδῇ. (Β.) Καὶ δὴ λοιπὸν ἑτέραν πλείω τῇ προτέρᾳ δυνάμει προσειληφὼς (ἐν ἐξουσίᾳ γὰρ ἦν αὐτῷ, πρὸς τῆς βασιλίδος πρότερον τὸ συγκεχωρηκὸς εἰληφότι, διὰ τὴν προειλημμένην τῶν Λατίνων πρόφασιν, ὁπόσην ἂν εὐποροίη φρουρὰν ἑαυτῷ πορίζεσθαι) ὅλος τῶν ἔργων ἐγίγνετο. παρὰ γὰρ ἑκόντων τῶν συνειδότων ταξιάρχου καὶ στρατηγοῦ φροντίδα λαβὼν ἠξίου μὴ περὶ ὅσα διατριβὴν ἔχει χρόνιον τρίβειν τὴν σπουδὴν, ἀλλ' εἰς τὸ τοῦ ἔργου κεφάλαιον ἐμβαλεῖν, καὶ ἐν βραχεῖ μετὰ τῆς ἐνούσης ἰσχύος τὸν ὅλον ἀναῤῥῖψαι κίνδυνον· καὶ μάλιστα νῦν, ἐρημίας ἀντιπάλων ὅπλων μακρᾶς ἐπιπολαζούσης ἤδη τῇ πόλει. μηνύει τοίνυν τῷ βασιλεῖ Καντακουζηνῷ τὴν ὅλην τῆς ἐγχειρήσεως πρόθεσιν, οὐ πάνυ τοι πόῤῥω τοῦ Βυζαντίου τὰς διατριβὰς ποιουμένῳ· καὶ ἅμα κελεύει, σπουδῇ παρελάσαντα σὺν ἐπιλέκτοις 2.774 ὀλίγοις ἱππεῦσιν, ὡς μὴ κατάφωρον τοῖς ἀντιθέτοις τὸ δρᾶμα γένοιτο, περὶ τὰ τείχη τῆς πόλεως ἐς ῥητήν τινα ἑσπέραν ἡσύχοις ποσὶν ἐφεδρεύειν, καραδοκοῦντα τὴν ἔνδοθεν ἀναμόχλευσιν τῶν πυλῶν. (Γ.) Ἄρτι δὲ περὶ πρώτην φυλακὴν τῆς νυκτὸς γενομένης, ἐν ᾧ τῆς ὥρας μάλιστα τῶν τε ἀνθρώπων οἱ πλεῖστοι, τὰς ἑσπερίους σβεννύοντες δᾷδας, τῇ τῶν ὕπνων ἡγεμονίᾳ τὸ τῶν βλεφάρων ἐκδιδόασι στάδιον, καὶ πᾶσαι τῆς πόλεως αἱ ὁδοὶ παντὸς ἐρημίαν ἔχουσιν ὄχλου, μεταπέμπεται τούς τε συνειδότας τῶν Βυζαντίων ἱππέων καὶ ἅμα τῶν συγγενῶν τοὺς οἰκειοτάτους, καὶ ἐπὶ τούτοις τὴν πεζικὴν ἐκείνην φάλαγγα, ἣν εἰς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

φυλάκων καὶ φρουρῶν εἰρήκειμεν εἶναι τάξιν αὐτῷ· ξὺν οἷς ἅπασι, πλείους τῶν ἑκατὸν γενομένοις, ἐς πύλην ἀπιὼν, ἣ χρυσεία καλεῖται, ταύτην τε ἀνεμόχλευσε καὶ ἅμα ἐκεῖθεν ἀρξάμενος πάσας ὁμοίως ἀνεπέτασε, διϊὼν ἄχρι τῶν βασιλείων ἐγγύς. (Δ.) Τοῦ μέντοι τείχους ἐντὸς γενόμενος καὶ ὁ βασιλεὺς μετὰ τῶν οἰκείων ὅπλων, αἵματος ἐμφυλίου παντάπασι καθαράν τε καὶ ἀμιγῆ τῆς προνοίας τὴν εἴσοδον διατηρησάσης, ἠρέμα τε καὶ ξύν γε ἀνηκούσῃ τάξει παρῄει μέχρι καὶ ἐς τὰς βασιλείους πύλας, αὐγαζούσης ἤδη τῆς ἕω. κἀπειδὴ κεκλεισμένας τε εὗρεν αὐτὰς καὶ ἅμα ἐπὶ τῶν ἐπάλξεων φρουρὰν ἐθεᾶτο καὶ ὅπλα πολέμια, ἐπὶ πόδα τε ἀνεχώρει καὶ ἀνεζεύγνυε, καὶ ἀντὶ χάρακος ἄλλου καὶ στρατοπέδου ἐς τοὺς ἄντικρυ τῶν βασιλείων ὑψορόφους οἴκους σκηνῶσαί τε ἐξ αὐτοσχεδίου κέκρικε δεῖν τηνικαῦτα καὶ ὅ,τι χρὴ ποιεῖν διασκέψασθαι. 2.775 ἦγε δ' ὁ φεβρουάριος τηνικαῦτα τρίτην ἡμέραν τοῦ ¯ ¯ω¯ν¯ε ἔτους. καὶ ὁ μὲν βασιλεὺς Καντακουζηνὸς ἐν τούτοις ἦν. (Ε.) Ἡ δὲ βασιλὶς Ἄννα, τῆς ἀκροπόλεως ταύτης ἐντὸς συγκλεισθεῖσα, καὶ πρὸ ὀφθαλμῶν ὁρῶσα τὴν ἑαυτῆς σπουδὴν τελευτῶσαν εἰς ἀπραξίαν, οὐδ' οὕτω μεταμανθάνειν ἔγνω τὸ δέον ὀψὲ γοῦν, καὶ ταῦτα μήθ' ὅπλων εὐπορίαν ἐντὸς κεκτημένη, μήτε στρατιωτῶν πλῆθος εἰς φρουρὰν ἀποχρῶν· ἀλλὰ πέμπουσα κρύφα τόν τε δῆμον ἠρέθιζε τῶν Βυζαντίων κατὰ τοῦ βασιλέως, μεγάλων ἐλπίδων τὰς σφῶν ἐμπιπλῶν ἀκοάς· καὶ ἅμα Λατινικὰς στρατιωτῶν ἐκ Γαλάτου μετεπέμπετο φάλαγγας, καὶ ὅσα ἐς βελῶν καὶ μηχανημάτων ἀντιπάλων ἀρκέσουσι χρείαν. ζητοῦντί γε μὴν τῷ βασιλεῖ Καντακουζηνῷ, διδόναι τὴν ἀκρόπολιν μετ' εἰρήνης ἑκοῦσαν, εἰ βούλοιτο κοινωνεῖν τε τῆς βασιλείας αὐτῷ καὶ μετὰ τὴν ἧτταν, καὶ ἡγεῖσθαι μετὰ τοῦ υἱέως ἐν ἅπασιν, ὁπόσα τιμὴν σὺν αἰδοῖ τε καὶ κόσμῳ φέρει σφίσι βασιλικῶς, ἔν τε εὐφημίαις καὶ ἀναστάσεσι καὶ καθέδραις καὶ ὅσα μετὰ τοῦ πρέποντος ἕποιτο λόγου (τοιαύτην καὶ γὰρ εἶναι τούτῳ τὴν τῆς γνώμης ἐξ ἀρχῆς πρόθεσιν) καὶ μὴ μάτην οὕτω τρίβειν τὸν χρόνον, καὶ τὸν ἐκ τῆς ἁλώσεως περιμένειν πρόδηλον κίνδυνον· ἡ δὲ τὴν ἀπὸ Σκυθῶν εἰπεῖν ἀντεδίδου ῥῆσιν, ὕβρεσί τε πλύνειν τοὺς ἀγγελιαφόρους ἐκέλευεν ἐκ τοῦ τείχους καὶ μηδ' ἄκροις ὠσὶ προσίεσθαι τὰ λεγόμενα. (΄.) Ἄρτι δὲ τῆς ἑσπέρας ἐληλυθυίας, καὶ περὶ λύχνων ἁφὰς τῶν ἀνθρώπων ἀσχολουμένων, κατέπλευσαν ἐς αἰ 2.776 γιαλὸν δύο ταχυναυτοῦσαι τριήρεις ἐκ τῶν Γαλάτου, πλήρεις στρατιωτῶν τε καὶ ὅπλων Λατινικῶν, δυοῖν θάτερον ἐν νῷ διαπράξασθαι ἔχουσαι, ἢ τῇ βασιλίδι συμμάχους ἔσεσθαι, τοῦ πληρώματος ὅλου παρεισελθόντος ἐντὸς, ἢ παισί τε καὶ χρήμασιν ὁμοῦ συναρπάσαντας ἀπάγειν αὐτήν. ἀλλὰ τὸν ἐπίπλουν αἰσθόμενοι σφῶν οἱ περὶ τὸν Καντακουζηνὸν σφᾶς τε ἀπήλασαν τὴν ταχίστην, τόξα πολλὰ περιστήσαντες, καὶ τὴν ἀκρόπολιν ἔξωθεν τέως ἐν φυλακῇ ἐποιοῦντο, τὴν ἱκανὴν ἐπενεγκόντες στρατιάν. (Ζ.) Οἱ μὲν οὖν ἄλλοι πάντες, πολιορκεῖν ἐς τὴν ὑστεραίαν αἱρούμενοι, καὶ τὴν τῆς νίκης κρίσιν τοῖς ὅπλοις ἐπιτρέπειν, οὐ μάλα γέ τοι ἀρεστὰ τῷ βασιλεῖ Καντακουζηνῷ προθυμεῖσθαι ἐδόκουν. ἀλλὰ τὸν αὐτῷ συνήθη τρόπον κἀνταῦθα τηροῦντι, καὶ χωρὶς αἵματος ἐμφυλίου τὰ κατὰ γνώμην τελεῖν οἰομένῳ βέλτιον εἶναι, καὶ δευτέραν καὶ τρίτην ἐπῄει πέμπειν πρεσβείαν, καὶ ἀναμιμνήσκειν τὰ πρότερα, ὅθεν τε ἤρξατο καὶ ὅποι πεπόρευται, καὶ ὅπως ἐς τοιοῦτον ταυτὶ κατηνέχθη τὸ πέρας, ἐς ὁποῖον αὐτὸς ἀεὶ προὔλεγέ τε καὶ διεμαρτύρετο, κρύφα τε καὶ ἐς προὖπτον, καὶ γράφων καὶ πρεσβευόμενος. προσκαλεσάμενος οὖν τὸν τῶν Φιλίππων ἀρχιθύτην, καὶ ὅσοι ξύν γε αὐτῷ πρὸ δυοῖν που τοῖν ἐνιαυτοῖν πρέσβεις πρὸς τῆς βασιλίδος Ἄννης ἐπέμφθησαν ἐς Διδυμότειχον ὄντι αὐτῷ, διεξῄει τοιάδε. (Η.) "1Πάλαι μὲν ὁ κύριος, ἀγανακτῶν ἐπὶ τῷ ἠγαπημένῳ τῶν Ἰουδαίων λαῷ, οὓς πρότερον διὰ Μωσέως τὸν νόμον διδοὺς διεμαρτύρετο, λέγων· πρόσεχε οὐρανὲ καὶ λαλήσω· καὶ ἀκουέτω γῆ ῥήματα ἐκ στόματός 2.777 μου· τοὺς αὐτοὺς κἀπὶ τοῖς ἐλέγχοις τῶν ὕστερον παραβάσεων διεμαρτύρατο, διὰ Ἡσαΐου λέγων· ἄκουε οὐρανὲ, καὶ ἐνωτίζου ἡ γῆ· υἱοὺς ἐγέννησα καὶ ὕψωσα, αὐτοὶ δέ με ἠθέτησαν· καὶ τὰ ἑξῆς.



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τὸν αὐτὸν δὴ τρόπον καὶ αὐτὸς ἐγὼ τήμερον, ὑμᾶς προσκαλεσάμενος μάρτυρας τῶν πάλαι μοι πρὸς ὑμᾶς λεχθέντων καὶ δι' ὑμῶν πρὸς Ἄνναν τὴν βασιλίδα, ἀναμνῆσαι τῶν εἰρημένων ἀρτίως ἔκρινα δεῖν, καὶ πρέσβεις ὑμᾶς ἐμοὶ πρὸς ἐκείνης τότε πεμφθέντας πρέσβεις τοὺς αὐτοὺς ἐκείνῃ πρὸς ἐμοῦ νῦν ἤδη πεμφθῆναι. ἴστε πάντως, ὅτε πρεσβεύσοντες ἥκετε, ὅσα ὑμῖν εἶπον ἀπαγγεῖλαι τῇ βασιλίδι· ὡς ὁ θεὸς, δίκαιος ὢν, καὶ δίκαια κρίνειν οἶδε, καὶ σὺν δίκῃ τὰς τῶν πραγμάτων ἀποβάσεις ποιεῖσθαι· ὃ τοίνυν σύνηθες τῷ θεῷ ποιεῖν τοῖς τε ἀδικοῦσιν ὁμοῦ καὶ ἀδικουμένοις, τοῦτο καὶ νῦν ἐλπίζω κἀπὶ τοῖς νῦν ὄψεσθαι πράγμασι. καὶ τί δεῖ πρὸς εἰδότας πάντα διεξιέναι καθ' ἕκαστα; ἴστε γὰρ ὡς, οὐ μάντις ὢν, προὔλεγον τὴν τῶν ἐμῶν ἐπιβούλων φθορὰν καὶ τὴν ἐμὴν ἐς Βυζάντιον ταύτην εἴσοδον· ἀλλὰ πρὸς τὸν τῆς δίκης ἔφορον καὶ ἀκοίμητον ὀφθαλμὸν ἀφορῶν, κἀκείνῳ προσαναρτῶν τὰς ἐμοὶ πρὸς ὑμῶν ἐπενηνεγμένας ἀδίκως ἐπιεικῶς συμφορὰς, ἤλπιζόν τε καὶ προὔλεγον τὰς ἐκβάσεις ἐν ὑμῖν ἀκροαταῖς. διὰ δὴ ταῦτά μοι καὶ ἀξιοχρεώτερον ἔδοξεν, ὑμᾶς καὶ οὐχ ἑτέρους διαμαρτύρασθαι καὶ πρέσβεις εἰσπέμψαι τῇ βασιλίδι, ἵνα συνείραντες τὰ πρότερα τοῖς παροῦσι καὶ τά γε προειρημένα μετὰ τῶν ἐκβάσεων παραινέσητε τοὺς τῆς δίκης αἰδεῖσθαι θρό 2.778 νους, καὶ μὴ περαιτέρω θεομαχεῖν, καὶ θεοῦ κρίσιν δικαίαν πειρᾶσθαι συγχεῖν, καὶ τοῖς ἀδυνάτοις οὑτωσὶ προδήλως ἐπιχειρεῖν, ἐπ' ὀλέθρῳ τῶν τε παίδων καὶ ἑαυτῆς. ἐγὼ γὰρ τῆς αὐτῆς ἔχομαι γνώμης ἀεί· καὶ δυνάμενος ὅπλοις καὶ δυνάμεσιν ὁμοῦ τῇ ἀκροπόλει χειρώσασθαι τοὺς ἔνδον ἅπαντας ἐν βραχεῖ τὴν θέλησιν οὐκ ἔχω συνᾴδουσαν."2 (Θ.) Ταῦτ' εἰπὼν προὔπεμπεν αὐτούς. οἱ δὲ ἀπελθόντες καὶ πάντα συνείραντές τε καὶ ἀπαγγείλαντες ἄνωθεν καὶ ἐξ ἀρχῆς Ἄννῃ τῇ βασιλίδι ἤνυσαν οὐδὲν πλέον, ἢ ὅτι πρὸς πλείονα κακίαν ἀναφλεχθεῖσαν ἰδόντες κατεπλάγησάν τε καὶ ἀνεχώρησαν. ἐπεὶ δὲ ταῦθ' ὁ βασιλεὺς ἠκηκόει, καὶ ὡς τῆς αὐτῆς ἀεὶ σκληρότητος ἡ βασιλὶς ἔχεται ἔγνω, καὶ τὴν αὐτὴν οἱ ταύτης λόγοι μετὰ τῆς γνώμης τηροῦσι βαρύτητα, καὶ οὐδὲν τῶν προτέρων ἀτυχημάτων παρέσχεν αὐτῇ τὸ λυσιτελοῦν ἀπλανῶς ἰδεῖν, ὥρμησε μὲν τὰ πρῶτα πολέμου νόμῳ καὶ πολιορκίᾳ δοῦναι τὴν τοῦ πράγματος ἔκβασιν· ἔπειτα ἐπέσχεν αὖθις, καὶ πρὸς τὴν ἀμείνονα τῆς πραότητος τύχην τὸ τῶν πρακτέων ἀνετίθετο βούλευμα. (Ι.) Ἀλλ' οὐκ ἤρεσκε τοῦτο τοῖς ἀμφ' αὐτὸν στρατιώταις καὶ στρατηγοῖς. ὅθεν τῆς ὑστεραίας ἐπιούσης ἐν παραβύστῳ κατὰ σφᾶς αὐτοὺς αὐτοὶ ποιοῦνται συνθήκας, αἰφνίδιον ἐπιθέσθαι τῇ ἀκροπόλει, πρὶν αἰσθέσθαι τὸν βασιλέα. καὶ δὴ μικρὸν ὕστερον ἢ κατὰ μεσημβρίας εἶναι τὸν ἥλιον, τῶν σημείων ἀρθέντων, κύκλῳ περιστάντες οἱ μὲν τοῖς ἑκηβόλοις ἐχρῶντο βέλεσιν· οἱ δ' ἐν χεροῖν ἀνειλημμένοι πῦρ καὶ φρυγάνων φακέλλους ὑφῆψαν τὴν πρὸς τῷ τεμένει τῶν Βλαχερνῶν τῆς 2.779 ἀκροπόλεως πύλην· καὶ ἅμα εἰσέῤῥει τὸ πλῆθος τῶν ὁπλιτῶν. κἀπειδὴ τὸ παράλιον οὕτω τῆς ἀκροπόλεως μέρος ἑάλω, καὶ οἱ στρατιῶται τὰς τῶν οἰκητόρων οὐσίας διήρπασαν, οὐ λήγειν ἔτι τῆς βλαπτούσης ἐκείνης ὁρμῆς ἐνενόουν· ἀλλ' ἔμελλον ἤδη πειρᾶσθαι καὶ τῶν ἀνωτέρω τῆς ἀκροπόλεως μερῶν καὶ ὅλον ἐκεῖσε λαμπρῶς τὸ πολέμιον πῦρ ἐνεγκεῖν. καὶ τάχ' ἂν ἁλώσεως ἔργον ὁμοῦ καὶ πυρὸς κἀκεῖνα ἐγίγνετο παραχρῆμα, εἰ μὴ κεκώλυκε πέμψας ὁ βασιλεὺς τὸ τῆς ὁρμῆς ὑπερβάλλον. καὶ ταῦτα μὲν τῇδέ πη ἔσχεν. (ΙΑ.) Ἡ δὲ βασιλὶς Ἄννα ἐν τοῖς μεγίστοις τῶν φόβων τὴν νύκτα πᾶσαν ἐκείνην διήνεγκεν. ἅμα δ' ἕω προσκαλεσαμένη τοὺς ἀμφ' αὐτὴν περὶ τῶν πρακτέων συνδιεσκέπτετο· καὶ κοινῷ συνεδόκει ψηφίσματι, πέμψασθαι δεξιὰν, οὐκ ἐπὶ τοῖς ἡμαρτημένοις συγγνώμην ζητεῖν (σμικροπρεπὲς γὰρ ἐκείνῃ νενόμισται τοῦτο καὶ ἥκιστα εὔδαιμον, σκληρότητι καὶ ὀφρύϊ συντετηκυίας γνώμης) ἀλλ' ἐπαγγελίας ἐνόρκους περὶ μεγάλων καὶ ξένων πραγμάτων, ὑπερηφανίᾳ κεκομψευμένας μακρᾷ, ὁπόσαι ξύν γε τοῖς ἀωρίαν μακρὰν ἐπισυρομένοις ζητήμασιν ἄλλοις καὶ τὸ μὲν μοναρχεῖν ἀπῄτουν, τὸ δὲ συνάρχειν ἀπελέγοντο. καὶ ἵνα μὴ ἐν μικροῖς μακρὸν ἀναλίσκωμεν λόγον, ἀστοχήσασα τῶν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀκαίρων ἐκείνων ἐλπίδων, καὶ δείσασα μὴ, ἐπὶ ξυροῦ τῶν πραγμάτων αἰωρουμένων αὐτῇ, καὶ ἄκοντος τοῦ Καντακουζηνοῦ παραπόληται πρὸς τῶν ἄλλων, ὅσοι πρὸς αὐτῆς ἐπεπόνθεισαν τὰ ἀνήκεστα, πρὸς τὰς φιλανθρώπους νένευκε τοῦ βασιλέως συμβάσεις, συνάρχειν ἅμα καὶ προεδρεύειν. 2.780 θʹ. Καὶ ἀνοιχθέντων ἤδη τῶν βασιλείων, ἐξεχέοντο κατὰ πλῆθος οἱ δέσμιοι, ὅσοι τε τῶν εὖ γεγονότων καὶ ὅσοι τῶν ἄλλως ἐχόντων. μόνῳ δ' Ἰωάννῃ τῷ πατριάρχῃ, τῆς ἀξίας τέως ἐξωσθέντι, ἐξιέναι οὐκ ἐνῆν· περὶ οὗ καὶ διαλαβεῖν ὀφείλοντας ἔνια, πρὶν ἐνταυθοῖ κατεληλυθέναι τοῦ λόγου, καὶ ἄκοντας ἡμᾶς ὁ τῶν ἄλλων σφόδρα παρέσυρεν εἱρμός. (Β.) Ἐξότου γὰρ Ἄννα ἡ βασιλὶς τὴν ἑαυτῆς πρὸς Καντακουζηνὸν ἐξεπολέμωσε γνώμην, συνεργῷ τε ἅμα καὶ πιστοτάτῳ ἐκέχρητο τῷ πατριάρχῃ τούτῳ συμβούλῳ πρὸς ἃ πάντα κρύφα τε καὶ ἐς τοὐμφανὲς δρώμενα ἦν· καὶ νῦν μὲν αὕτη τῆς ἐκείνου γνώμης ὁλοσχερῶς ἐξήρτητο, νῦν δὲ τῆς ἑαυτῆς ἐξαρτώμενον εἶχεν ἐκεῖνον· καὶ συνελόντι φάναι, φρόνημα ἓν ἀμφοτέροις ἦν ἐν ἅπασι, τοῖς τε ἄλλοις δηλαδὴ καὶ οἷς ὁ Παλαμᾶς ἐδογμάτιζε καινοτέροις καὶ ἀήθεσι πάνυ τῇ τοῦ θεοῦ ἐκκλησίᾳ. καὶ δεῖγμα τοῦ λόγου σαφὲς, ἃ τοῖς τὸν ἡσύχιον ἐν Ἄθῳ τῷ ὄρει βίον ἀσκοῦσιν ἔπεμπεν αὕτη γράμματα ξύν γε τῷ πατριάρχῃ κατὰ τοῦ Παλαμᾶ· τά τε οἰκεῖα ταύτης φημὶ καὶ ὅσα ὁ ταύτης υἱὸς Ἰωάννης ὁ βασιλεὺς ὑπ' αὐτῆς προστατττόμενος ἔγραφεν· οἷς τά τε ἄλλα ἐνεγέγραπτο καὶ δὴ καὶ ὡς ἥκιστα χρῆναι νομίζειν, εἱρκταῖς καὶ φρουραῖς ἐνέχεσθαι Παλαμᾶν διά γε δὴ τὸ Καντακουζηνῷ τὴν γνώμην τίθεσθαι, ὅτι μὴ διὰ τὸ ξὺν οὐδενὶ κόσμῳ περιϊόντα θεοτήτων ἀκτίστων διδάσκειν ἀπειράκις ἀπείρων ἑσμὸν, κατ' ἀλλήλων διϊσταμένων (εἶναι γάρ φησι τὰς μὲν ὑπερκειμένας καὶ νοητάς· τὰς δ' ὑφειμένας καὶ ὁρατὰς) καὶ τοιοῦτα ἄττα βλασφημοῦντα συγ 2.781 χεῖν καὶ ταράττειν τὴν τοῦ θεοῦ ἐκκλησίαν. (Γ.) Διετέλει γε μὴν ἡ τοιαύτη παρ' ἀμφοτέροις ἀκμάζουσα σύμπνοια καὶ ὁμοφροσύνη, τῷ τε πατριάρχῃ δηλαδὴ καὶ τῇ βασιλίδι, πρὶν δι' ἀκριβοῦς γε τῆς πείρας ἀπογνόντα τὸν πατριάρχην τῆς τῶν κοινῶν σωτηρίας πραγμάτων ἄρξασθαι παραινεῖν αὐτῇ τὰ συνοίσοντα, καὶ βουλευτὴν καθίστασθαι περὶ ξυναλλαγῶν καὶ σπονδῶν πρὸς τὸν Καντακουζηνόν. ἀφ' οὗ δὲ τοιαύτην ἔγνω συμφέρον βαδίζειν ὁδὸν, παραχρῆμα καθ' ἑαυτοῦ καὶ τὴν βασιλίδα ἐξέμηνε. καὶ τοῦτ' ἦν ἀρχὴ καὶ κατάλυσις πρώτη συμπνοίας τε καὶ ὁμοφροσύνης ἐκείνης, καὶ νόσημα, μήτε μάλαγμα μηδὲν μήτε καταδέσμους οὐδένας παραδεχόμενον. πᾶσαν μὲν οὖν ἐκεῖθεν ἡ βασιλὶς ἐπίνοιαν στρέφουσα κατὰ τῆς τοῦ πατριάρχου καθαιρέσεως, καὶ πάντας ἐφ' ἑαυτῆς κυλίουσά τε καὶ ἀνακυκλοῦσα λογισμοὺς, οὐδὲν ἀνυσιμώτερον εὕρισκεν ἐς τὴν τοιαύτην πρόθεσιν, πλὴν τοῦ δογμάτων ἐκείνων, ὧν ἐξ ὅλης ἀπεωθεῖτο πρότερον τῆς ψυχῆς, καὶ ἀθέσμων φωνῶν τοῖς περὶ τὸν Παλαμᾶν κοινωνήσασα φίλους ἑαυτῇ καταστήσασθαι, καὶ συμμάχοις σφίσι χρήσασθαι θερμοτέροις κατ' αὐτοῦ. (Δ.) Πρῶτον μὲν οὖν ἀπρόϊτον ὡς ἐν εἱρκτῇ τῷ οἴκῳ συγκεκλεῖσθαι τοῦτον ἐπέταττεν· ἔπειτα συνόδους ἐπισκόπων νύκτωρ καὶ μεθ' ἡμέραν ἤθροιζέ τε καὶ ὥπλιζε κατ' αὐτοῦ. τὴν γοῦν ὑστεραίαν ὁρισαμένη ποτὲ πρὸς τὴν ἐκείνου καθαίρεσιν ἀθροισθῆναι τοὺς ἐπισκόπους ἐπέσχεν ἡ νὺξ ἐκείνη, φλεγμονὴν τῷ λαιμῷ δεινὴν ἐπενεγκοῦσα, θάνατον ἀπειλοῦσαν πάνυ τοι σφόδρα αἰφνίδιον. καὶ ἦσαν ἐντεῦθεν ἄχρι τριῶν 2.782 ἡμερῶν οἱ τοῦ θανάτου φόβοι κυκλοῦντες καὶ τὸ τῆς ψυχῆς ταράττοντες λογιζόμενον. τὸ γὰρ τοῦ θεοῦ μακρόθυμον ἐπεῖχεν ἔτι τὰ τῆς τελευταίας ὀργῆς βέλη καὶ τὸν τῆς γυναικὸς ἀνεβάλλετο ὄλεθρον, πλὴν ὅσον τὴν ἀπειλὴν ἐν τοιούτοις ἀῤῥωστήμασί τε καὶ πράγμασιν ἀμυδρῶς ἐζωγράφει, μεταμελείας καιρὸν μαινομένῃ ψυχῇ παρεχόμενον. ἐπεὶ δὲ ἡ τετάρτη ῥᾷονά τε ἐπεπράχει καὶ ὑπερσχεῖν παρεσκεύασε, τοὺς προτέρους αὖθις ἀνεκαλεῖτο κατὰ τοῦ πατριάρχου τρόπους, καὶ ἐς τὰ πρότερα ἐπαλινδρόμει βουλεύματα. ἓξ μεταξὺ παρεῤῥύησαν ἡμέραι, καὶ τὴν ὑστεραίαν αὖθις ὁρισαμένη τοὺς ἐπισκόπους ἐπὶ τοῖς ὁμοίοις ἐπέταττεν αὖθις



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀθροίζεσθαι. (Ε.) Ἄρτι δὲ τοῦ ἡλίου τῆς γῆς ὑπερκύψαντος, σπουδῇ ταχύνας ἧκεν αὐτῇ μοναδικὸν καὶ ἡσύχιον ἄγων βίον ἀνὴρ, ᾧ σύνηθες φοιτῶντι συχνότερον ἀκούειν τὰς μυστικὰς τῶν λογισμῶν ἐξαγορεύσεις αὐτῆς. καὶ δέλτον ἐγχειρίζων ἔλεγεν αὐτῇ, πρὸ τῶν θυρῶν εὑρεῖν αὐτομάτως ἐξιόντα αὐτὸν ὀρθριαίτερον, ἀγνοῶν ὅστις ὁ ῥίψας εἴη, καὶ ὅτου χάριν. τά γε μὴν ἐγγεγραμμένα εἶχε πρῶτον μὲν ὅρκους φρικώδεις κατὰ τοῦ πνευματικοῦ ἐκείνου ἀνδρὸς καὶ κολάσεων δεινῶν ἀπειλὰς, ὅσαι ψυχῇ καὶ σώματι μακρὰν ἐπιφέρουσι καὶ ἀφόρητον τὴν δριμύτητα, εἰ βουληθείη διὰ δειλίαν, ἢ δι' οἱονδήτινα τρόπον, συστεῖλαι καὶ ἥκιστα ἐθελῆσαι δοῦναι τῇ βασιλίδι τὴν δέλτον. ἔπειτα ἔστρεφε τὸ τοῦ λόγου πρόσωπον ἐς τὴν βασιλίδα· καὶ ἦν ἡ τῶν λεγομένων δύναμις τοιαύτη. "1εἰ μὴ παύσῃ μαχομένη καὶ πόλεμον ἐγείρουσα κατὰ τῶν ἱερῶν τῆς ἐκκλησίας δογμάτων, οὐκ ἂν φθάνοις φθείρουσα τὴν σὴν αὐθεντίαν καὶ τὸν τῆς οἰκείας δόξης 2.783 ὄλεθρον αὐτὴ ἑαυτῇ δημιουργοῦσα καὶ ἐξυφαίνουσα."2 τούτων αὐτήκοος ἡ βασιλὶς γεγονυῖα ἐχαλέπηνέ τε καὶ ὀξύτερον ἀνεβόησε, λοιδορουμένη σφόδρα τἀνδρὶ, καὶ ἀπειλοῦσα τὰ μέγιστα τῶν δεινῶν, εἰ τῶν βασιλείων ἔνδον ὀφθείη τοῦ λοιποῦ. κἄπειτα διαῤῥήξασα τὴν δέλτον ξὺν πολλῷ τῷ θυμῷ τὸν προκείμενον ᾔει κατὰ τοῦ πατριάρχου σκοπόν· καὶ συνεκάλει τοὺς ἐπισκόπους, καὶ ὅσοι τῆς τοῦ Παλαμᾶ φατρίας ὑπῆρχον, λῆρον ἡγησαμένη τὰ ἠκουσμένα. (ʹ.) Ὅθεν ἀπεκλείοντο μὲν αἱ πύλαι τῶν βασιλείων ἅπασιν, ὅσοι τῷ πατριάρχῃ συνηγοροῦντες εἶεν· ἀπεκλείετο δ' ὁ πατριάρχης αὐτὸς παῤῥησίας ἁπάσης καὶ τῆς ἐς τὴν σύνοδον ἐκείνην τῶν ἐπισκόπων ἀπαντήσεως. καὶ οὕτως ἐρήμῃ χρησάμενοι δίκῃ καθαίρεσιν ἔγγραφον ἐποιήσαντο κατ' αὐτοῦ, δι' οὐδὲν ἕτερον αἴτιον, ἢ ὅτι τὸν Παλαμᾶν ὁμοῦ ταῖς αὐτοῦ καινοφωνίαις ἀναθέματι καθυπέβαλλε, καὶ τὸν ὑπὲρ ἐκείνου κατέλυε τόμον ὑστερογενέσιν ἑτέροις τόμοις. ἐκείνην μὲν οὖν τὴν ἡμέραν ἐν τούτοις ἡ βασιλὶς ἀνηλωκυῖα περὶ δύσιν ἡλίου τρυφῶσαν παρετίθει τράπεζαν καὶ χλιδῶντα συμπόσια τοῖς ἐς τὴν τοῦ πατριάρχου καθαίρεσιν ἀγωνισαμένοις· καὶ γέλωτές τινες οὐ μάλα εὐσχήμονες καὶ χαρμόσυνα διηγήματα πανταχόθεν τὴν εὐωχίαν ἐκείνην συνεκρότουν τε καὶ ἐθώπευον. ἄρτι δὲ περὶ τὰς τῶν ὀρνίθων ᾠδὰς τῆς νυκτὸς γενομένης ἐκείνης, πάντα ἐς τοὐναντίον τὰ τῆς χαρᾶς ἐκείνης ἀντέστραπται. ἑσπέρας γὰρ ηὐλίσατο ἀγαλλίασις, καὶ εἰς τὸ πρωῒ κλαυθμός. καὶ ταῦτα μὲν τοῦτον ἔσχε τὸν τρόπον. (Ζ.) Τῷ δὲ βασιλεῖ Καντακουζηνῷ, τῶν βασιλείων ἐντὸς γενο 2.784 μένῳ, προσήκων τόπος ἥκιστα ἦν εἰς καταμονήν· καὶ ταῦτα μήπω μηδὲ τῆς συζύγου παρούσης, ἀλλ' ἐν Διδυμοτείχῳ διατριβούσης ἔτι. οἷς μὲν γὰρ ἁρμόττουσαν ἔχειν ἐνῆν οἰκήμασι δίαιταν βασιλεῖ, ταῦτα προκατέχουσαν οὐκ ἐξέστησεν Ἄνναν τὴν βασιλίδα ξύν γε τῷ παιδὶ καὶ βασιλεῖ Ἰωάννῃ, οὐδ' ἐμποδὼν ἐγεγόνει τὴν προτέραν σφᾶς ἐν τούτοις ἔχειν ἀνάπαυσιν· ἀλλ' ὥσπερ σφίσι τῶν βασιλικῶν πρωτείων ἐξεκεχωρήκει λαμπρῶς ἔν τε καθέδραις καὶ εὐφημίαις, οὕτω κἀν ταῖς οἰκήσεσιν ἐπεπράχει. αὐτὸς δ' ἐν τοῖς περὶ τὸν Ἀλεξίου τοῦ πάλαι μέγιστον τρίκλινον ἐρειπίοις μᾶλλον ἢ οἰκήμασιν εἰπεῖν δέδωκε φέρων οἰκεῖν ἑαυτόν. (Η.) Ἰωάννην γε μὴν τὸν πατριάρχην, δέσμιον τηνικαῦτα παρόντα τοῖς βασιλείοις εὑρὼν, οὐδὲ μιᾶς ἠξίωσε προσαγορεύσεως. διώκτην γὰρ αὐτοῦ καταστάντα, καὶ θερμὸν ἐξ ἀρχῆς πολέμιον, οὔτ' εὖ τι δρᾷν εἶχε, τῆς καρδίας ἥκιστα προθυμουμένης ὁμαλὸν πρυτανεύειν οὐδέν· οὔτ' αὖ τοῖς αὐτοῦ κακοῖς κακὰ προστιθέναι κέκρικεν ἕτερα δεῖν· πλὴν ὅτι ταῖς τοῦ Παλαμᾶ πειθόμενος εἰσηγήσεσι τῇ τε τῆς ἐπισκοπῆς καθαιρέσει προσεπῆγε καθαίρεσιν καὶ ἅμα ἐν τῇ τοῦ θείου Βασιλείου μονῇ προστεταχὼς ἀπενεχθῆναι τέως ἐς Διδυμότειχον ἐκεῖθεν ἐξόριστον μετ' ὀλίγον αὐτὸν ἐπεπόμφει. (Θ.) Καὶ ταυτὶ μὲν, ἰδίας καὶ πολυτελεστέρας δεόμενα πραγματείας, κεφαλαιωδῶς πως ἡμεῖς καὶ σφόδρα τοι πεφεισμένως οὑτωσὶ διεξεληλύθειμεν, πλείσταις ἄλλαις διεξιέναι λόγοις ἀφθονωτέροις τὰς ὑποθέσεις γλώτταις παραχωροῦντες, καὶ ἄλλοτ' ἄλλαις ἀεὶ πανταχόθεν εἰς ἕνα τινὰ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

συγκεκροτημένον 2.785 ἐχούσαις δρόμον τὸ πέρας· οἷς ἐντυγχάνειν τέ ἐστι ῥᾷστα τοῖς βουλομένοις καὶ ἅμα τὸ πολύχουν τε καὶ ποικίλον τῶν ὑποθέσεων ἀκριβέστερον ἐκμανθάνειν. τούτων δ' οὕτως ἐχόντων, ἐξέσται λοιπὸν ἐπανιοῦσι τῶν τῆς ἱστορίας ἡμῖν ἐκείνων ἔχεσθαι πάλιν ὁμοίως εἱρμῶν, κἀκεῖθεν τῆς τῶν ἑξῆς ἀφηγήσεως ἄρχεσθαι, τὰ πλείω συντομίας εἵνεκα τῶν μεταξὺ, καὶ ὅσα πλείστοις ἄλλοις ἰδίᾳ τε καὶ δημοσίᾳ ἐστὶν εἰρημένα, παραλιμπάνοντας. ι΄. Ἐπεὶ γὰρ τοῖς περὶ τὸν Παλαμᾶν τὸ σπουδαζόμενον ἅπαν ἦν, ἀεὶ συνιστᾷν καὶ ἐποικοδομεῖν τὰς σφῶν αὐτῶν καινοφωνίας, πόῤῥωθέν τε καὶ ἐγγύθεν, ἔπειθ' ὑποῤῥέοντα μὲν πρὸς τὸ ἀδοξότερον τὰ τῶν Βυζαντίων ἑώρων πράγματα, τὰ δὲ τοῦ Καντακουζηνοῦ πρὸς τὸ ἐπικρατέστερον ἀνιόντα, Ἄνναν μὲν ἐς προὖπτον αὐτοὶ καὶ λαμπρῶς ἐθώπευον τὴν βασιλίδα, διά τε τῶν αὐτῇ προσῳκειωμένων ἀρχόντων καὶ ὅσον τὴν βασίλειον ἐπλήρου γυναικωνῖτιν πλῆθος, ἵνα δὴ συναγωνιζομένην ἔχοιέν σφισιν αὐτὴν ἅμα τοῖς ἀμφ' αὐτὴν ἅπασιν· εἶχον γὰρ εὐφυῶς ὑποδραμεῖν καὶ ἀναμοχλεῦσαι ῥᾷστα γνώμας ἀνθρώπων, τοῦ πονηροῦ παραθήγοντος πνεύματος· λάθρα δὲ γραφαῖς καὶ πολυτρόποις μηχαναῖς τῷ Καντακουζηνῷ συνεκρότουν, πόῤῥωθεν καὶ αὐτὸν ἐς τὰς οἰκείας καινοφωνίας μεθέλκοντές τε καὶ ἁρμοζόμενοι. διὸ καὶ τοῖς προδιδοῦσιν αὐτοὶ συνήργουν τὰ κράτιστα ἐς τὴν τοῦ Καντακουζηνοῦ πρὸς Βυζάντιον εἴσοδον. καὶ οὑτωσὶ λοιπὸν ἐξανδραποδισαμένοις ἐκείνου τὴν γνώμην ἅπασαν μικρόν τι τὸ κωλύον ἅπαν ἐνομίζετο, καὶ μόγις μέγα, φέρειν καὶ ἄγειν Καντα 2.786 κουζηνὸν εἰς ἅπαν τὸ σφίσι βουλόμενον, ἀφ' οὗ τὸ βασίλειον ἐς τὸ ἐντελὲς περιεζῶσθαι ξυνεῤῥύη κράτος. (Β.) Δόξαν οὖν ἐς τοὺς ἰδίους τῷ Παλαμᾷ τρόπους ἀνυσιμώτατον δυοῖν πεπραχέ
ναι θάτερον· ἢ ἑαυτὸν, εἰ δυνηθείη, τοῖς πατριαρχικοῖς ἐγκαθιδρῦσαι θρόνοις, ἢ γοῦν τῆς φατρίας τό γε δεύτερον ἕνα ὁντινοῦν· ἐπειδήπερ αὐτῷ μὲν ἥκιστα κατὰ σκοπὸν ἐχώρει τὸ πρᾶγμα, ἀντεισενεγκεῖν Ἰσίδωρον ἐξεγένετο, ὃς Μονεμβασίας μὲν ἐψήφιστο πρότερον· ἔπειτα διὰ τὸ ταῖς τοῦ Παλαμᾶ καὶ αὐτὸν ἁλίσκεσθαι καινοφωνίαις καθῄρηταί τε καὶ τῆς ἱερᾶς ἀφώρισται κοινωνίας· δι' ὃν δὴ καὶ πατριαρχεύσαντα νῦν τὸ τῆς ἐκκλησίας εὐθὺς ἐῤῥάγη σύστημα. (Γ.) Καὶ πρῶτον μὲν τῶν ἐπισκόπων οἱ πλείους ἐς τὸ τῶν θείων ἀποστόλων ἀθροισθέντες τέμενος, δεύτερον δ' ἐς τὴν Στεφάνου τοῦ θείου πρωτομάρτυρος μονὴν, αὐτόν τε Ἰσίδωρον καὶ ὅσοι ὁμόφρονες εἶεν ἀναθέματι κανονικῷ καθυπέβαλλον, καὶ ἅμα τὴν ψῆφον ὑπογραφαῖς ἰδίαις κυρώσαντες παῤῥησίᾳ σφίσιν ἐπεπόμφεισαν. ἐφ' οἷς ἀχθεσθέντες σφόδρα τὸν βασιλέως θυμὸν ὀξύνουσι κατ' αὐτῶν. κἀντεῦθεν τοῖς μὲν παραθεωρεῖσθαι ξυνέβαινε, κἀξ ἐνδόξων ἀδόξοις καθίστασθαι, κἀξ εὐπόρων αὖ αἰφνίδιον ἀπόροις· τοῖς δ' ὑπερορίοις γίνεσθαι τῆς μεγάλης πόλεως, οἷς μὲν ἑκοῦσιν, οἷς δ' οὔ. (Δ.) Καὶ τὰ ἐπὶ τούτοις ἔστι διηγουμένων ἑτέρων ἀκούειν πλατύτερον· ὅπως μὲν ἄλλος ἄλλοθι διεσπάρησαν ἅπαντες, καὶ ἀπεῤῥίφησαν μετὰ τῆς παῤῥησίας καὶ τῶν ἐλέγχων· ὅπως δ' αὖ τῶν πανταχῇ θαλάσσης τε καὶ γῆς ὀρθοδόξων ἐς Βυζάντιον συχνὰ ἐσεφοίτα γράμματα, 2.787 ζήλου θείου μεστὰ, περιφανεῖ παραπεμπόντων ἀναθέματι Παλαμᾶν ὁμοῦ καὶ Ἰσίδωρον, καὶ ὅσοι ὁμόφρονες ἔκ τε Ἀντιοχέων φημὶ καὶ Ἀλεξανδρέων καὶ ἅμα Τραπεζουντίων ἐπισκόπων καὶ πρεσβυτέρων· ἔκ τε Κυπρίων ὁμοῦ καὶ Ῥοδίων καὶ ὀρθοδόξων προσοίκων· ἔκ τε Μυσῶν καὶ Τριβαλλῶν, καὶ ὅσοι τοῖς τῶν θείων πατέρων ὅροις ἐμμένειν μακρῷ παρειλήφεσαν ἐθισμῷ, καὶ μηδέν τι νεώτερον δέχεσθαι παρ' οὐδενὸς τῶν ἁπάντων, κἂν ἀγγέλων τις ἐξ οὐρανοῦ κομίζῃ. ια΄. Ἡμεῖς δ' ἐς τοσοῦτον ἥκομεν τοῦ παρενεχθῆναι λαθεῖν τῷ πολυειδεῖ καὶ ποικίλῳ τῶν ὑποθέσεων, ὥσθ' ἃ παρεῖται δοκεῖν εἶναι τὰ καιριώτερα. τὰ δέ ἐστιν, ὅπως τε ἑκάτερος ἑκατέρῳ χορηγῷ καὶ ταμίᾳ τοῦ ἀξιώματος ἐχρήσατο· Καντακουζηνῷ μὲν Ἰσίδωρος τῆς πατριαρχίας, Καντακουζηνὸς δ' Ἰσιδώρῳ τῆς βασιλείας τὸ δεύτερον. ἡ γὰρ ἐν Διδυμοτείχῳ πρὶν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀναγόρευσις τὸ τέλειον ἔχειν ἥκιστα ἐδόκει τοῖς Παλαμίταις. (Β.) Γεγονέναι δὲ τὰ τοιαῦτα συμπέπτωκε κατὰ τὸν ἐν Βλαχέρναις θεῖον νεών. τὸ γὰρ θαῦμα τῆς οἰκουμένης ἐκεῖνο, τὸ μέγα λέγω καὶ περιβόητον τῆς τοῦ θεοῦ Σοφίας τέμενος, ἀφ' οὗ τὸ μέρος ἐκεῖνο καθήρηται, πρὸς τὸ ἀχρεῖον φεῦ ἀπενεχθὲν, μακράν τινα τὴν ἀωρίαν εἶχε τοιαύταις ἑορταῖς διακονεῖσθαι καὶ πανηγύρεσιν. μὴ οὖν πρὸς τοσοῦτον οὗτος ἀποχρῶν πλῆθος πνιγηρόν τι χωρίον ἐδόκει καὶ ἀτερπές. τοῦ γὰρ δημοσίου βήματος ἐκείνου μῆκος ἀνάλογον ἔχειν ἀπαιτουμένου τῷ τε ὕψει καὶ πλάτει, ἐφ' οὗ τοὺς 2.788 βασιλικοὺς ἔδει τεθῆναι θρόνους, ἐχρῆν ἑκατέρωθεν τὴν προσήκουσαν ἔχειν εὐρυχωρίαν καὶ τοὺς τοῦ θεραπευτικοῦ τάγματος, ὁπότε δεήσειεν· ὡς εἶναι βραχὺ λοιπὸν τὸ λειπόμενον τοῦ νεὼ πρὸς ὑποδοχὴν διαφόρων ὄχλων. ὅμως ἐφαμίλλου τῷ μεγίστῳ θείῳ ἐκείνῳ τεμένει τῶν πάντων ὄντος οὐδενὸς, ὁ δεύτερος ἐξ ἀνάγκης ἔδοξε πλοῦς εἰς τὴν χρείαν αὐτός. (Γ.) Καὶ ἦσαν οἱ τοὺς βασιλικοὺς τηνικαῦτα θρόνους πληροῦντες ἐκείνους δυοῖν τε βασιλέων ὁμωνύμων ὁμοφροσύνη καὶ ἅμα βασιλίδες τρεῖς, Ἄννα τε καὶ Εἰρήνη ἡ Καντακουζηνὴ μετὰ τῆς θυγατρὸς Ἑλένης. τούτων δ' οὕτω τετελεσμένων, περὶ δεκάτην ὥραν που τῆς πρώτης καὶ εἰκοστῆς τοῦ μαΐου ἵππων εὐθὺς ἐπιβάντες, ὡς εἶχον, μετὰ τῶν βασιλικῶν ἐνδυμάτων ἐκείνων ἧκον ἐς τὸ παλάτιον. κἀκεῖ τὴν συνήθη πεποιηκότες ἐμφάνειαν ἀφ' ὑψηλοῦ τοῦ βήματος εἶτα κατῄεσαν, καὶ τράπεζαν παρετίθεσαν, ἐπὶ πέντε θρόνων αὖθις καθίσαντες. (Δ.) Τοσαύτῃ δὲ πενίᾳ κατείχετο τὰ βασίλεια τηνικαῦτα, ὥστ' οὐδὲν ἦν τῶν τρυβλίων καὶ ἐκπωμάτων ἐκεῖ χρυσοῦν ἢ ἀργυροῦν· ἀλλ' ἔνια μὲν καττιτέρινα, τὰ δ' ἄλλα πάντα κεραμεᾶ καὶ ὀστράκινα. ἐξ ὧν ἔξεστι συνιέναι τοῖς ὅσοι μὴ ἀδαεῖς τῶν τοιούτων καὶ περὶ τῶν ἄλλως ὀφειλομένων, ὁπόσα μὴ κατὰ τὸ εἰκὸς τελεῖσθαι ξυνέβαινε, τῷ τῆς ἐνδείας βιαίῳ τῶν τότε τυραννουμένων πραγμάτων καὶ λόγων καὶ ἐγχειρημάτων. ἐῶ γὰρ λέγειν, ὅτι καὶ τὰ βασιλικὰ τῆς ἑορτῆς ἐκείνης διαδήματά τε καὶ περιβλήματα, ὡς ἐπὶ τὸ πλεῖστον, χρυσοῦ μὲν εἶχον τὴν φαντασίαν καὶ λίθων δῆθεν πολυτιμήτων· τὰ δ' ἦν ἐκεῖνα μὲν 2.789 ἀπὸ σκύτους, ὁπόσα χρυσὸς ἐπιχρώζει πρὸς τὴν τῶν σκυτέων ἐνίοτε χρείαν· ταῦτα δ' ἐξ ὑέλων, παντοδαπὴν ἐχόντων χροιὰν πρὸς τὸ διαυγές. ἦσαν δ' οὗ καὶ σποράδην εἰπεῖν εὐκοσμίαν ἔχοντες ἀληθεύουσαν λίθοι πολυτελεῖς καὶ μαργάρων στιλπνότης, οὐκ ἀπατῶσα τὰς ὄψεις· οὕτως ἔῤῥει καὶ σφόδρα ἔσβη καὶ κατηνέχθη τὰ τῆς ἀρχαίας ἐκείνης εὐδαιμονίας τε καὶ λαμπρότητος τῶν Ῥωμαϊκῶν πραγμάτων· ὡς νῦν γε μηδ' ἄνευ αἰσχύνης ἔχειν ἡμᾶς ἐκτιθέναι τὴν τῶν τοιούτων ἀφήγησιν. (Ε.) Αἰτίαι δ' ἦσαν τῆς τοιαύτης καταφορᾶς τε καὶ κακοδαιμονίας· πρώτη μὲν, ἡ τῶν ἐμφυλίων στάσεων φορά τε καὶ σύγχυσις· ᾗ ῥᾴστη μὲν ἡ τῶν ὄντων ἦν χρηματικῶν εἰσόδων ἀνατροπή· ῥᾴστη δ' ἡ τῆς οὐκ οὔσης δαπάνης εὕρεσις καὶ ἐπίνοια· δευτέρα δὲ καὶ τελευταία, τὸ φιλάργυρόν τε καὶ χρυσομανὲς τῆς γνώμης τῆς τε βασιλίδος Ἄννης καὶ Ἀλεξίου τοῦ Ἀποκαύκου· οἷς ἡ τοῦ στρατεύεσθαιχρεία κατὰ τοῦ Καντακουζηνοῦ, πρόφασιν παρασχοῦσα πλουτεῖν κακοτρόπως, ὅλαις ἐξαντλεῖν ἐπινενόηται χερσὶ τὰ ἐκ πολλοῦ τοῖς βασιλικοῖς ταμιείοις ἐντεθησαυρισμένα πολυτελῆ κειμήλια. προσποιούμενοι γὰρ ἑτέροις πιπράσκειν τὰ μὲν αὐτῶν αὐτοὶ κατ' ἐκλογὴν ἐσφετερίζοντο λάθρα· τὰ δ' αὐτοὶ ἑαυτοῖς ἐπίπρασκον, πάνυ τοι εὔωνον, καὶ ὁποία βουλομένοις σφίσιν ἦν, τὴν πρᾶσιν ποιούμενοι. ἦν δ' ὅμως καὶ ἐξεπίτηδες τὸ γινόμενον, ὡς αὐτοῖς ἐνίοτε ἐκλαλούμενον ἦν· ἵν' εἰ τύχοι παρειληφὼς τὴν βασίλειον ἀρχὴν ἐς Βυζάντιον εἰσεληλυθὼς ὁ Καντακουζηνὸς, μὴ εἶναί οἱ χρημάτων εὐπορίαν, δι' ὧν τοῖς ἡγεμόσιν ἰσχὺς κατ' ἐχθρῶν 2.790 περιγίνεται καὶ κόσμος τῇ ἀρχῇ δημιουργεῖται· ἀναλογίαν γὰρ ἔχειν βίῳ παντὶ τὰ χρήματα, καὶ μάλιστα πάντων ταῖς ἡγεμονικαῖς ἀρχαῖς, ὁποίαν δήπου τοῖς πᾶσι ζῴοις ἡ τῶν νευρῶν σύμπηξίς τε καὶ ἁρμονία. (΄.) Ὅθεν ἐλθόντι τῷ Καντακουζηνῷ πάντ' ἦν παντάπασι κεκενωμένα τὰ βασιλέων ταμιεῖα· καὶ πλὴν ἀέρος καὶ κόνεως


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

καὶ τῶν Ἐπικουρείων εἰπεῖν ἀτόμων, εὕρηται πλέον οὐδὲν ἐν αὐτοῖς. δέον οὖν ζητῆσαι καὶ λαβεῖν ἃ μὲν ἐκ τῆς βασιλίδος Ἄννης εἰς τὰς τῶν βασιλικῶν ἐνεργειῶν ἀναγκαίας δαπάνας· ἃ δ' ἐκ τῶν τὰ δημόσια κατεδηδοκότων, κἀκεῖθεν πορισαμένων τὴν τοῦ πλουτεῖν εὐπορίαν, κἀκ πενήτων πάνυ τοι γεγονότων ἐξαίφνης πλουσίων· ὁ δὲ σιωπῇ παρέδραμεν ἅπαντα· εἴθ', ὡς ἐμοὶ δοκεῖ, τῇ συμφυεῖ καὶ συντρόφῳ πραότητι κἀνταῦθα χρώμενος· εἴθ', ὡς ὁ τῶν πλείστων ἐκράτει λόγος, δειλίας τε συνισχημένος τρόποις ἐξ ὁμοφυοῦς τινος ἀφελείας καὶ ἅμα δεδιὼς ἀδόκητόν τινα στάσιν, ἔτι τεταραγμένων αὐτῷ τῶν πραγμάτων καὶ ἀνωμάλων ὄντων. (Ζ.) Τοσοῦτον γὰρ ἀπέσχετο τοῦ μηδενὶ δι' ὄχλου γενέσθαι τῶν ὅσοις, τῷ καιρῷ πρὸς ἁρπαγὴν χρησαμένοις συμμάχῳ, διανείμασθαι ξυνεπεπτώκει τά τε αὐτοῦ καὶ τὰ τῶν ἀκολουθησάντων αὐτῷ πράγματα, οἰκίας τε καὶ ἀγροὺς δηλαδὴ, καὶ ὅσα χρυσὸς καὶ μάργαρος καὶ λίθοι πολυτελεῖς συνοικοδομοῦσι καὶ συνυφαίνουσιν· ὥστε καὶ ὀφείλων ἀποδοῦναι πρὸς τῶν ἡρπακότων ἀνειληφότα μὲν τὸ οἰκεῖον ἅπαν πρότερον τοῖς μυρίους ὑπομεμενηκόσι δι' αὐτὸν κινδύνους, προσαποδοῦναι δ' αὖ καὶ τὰ τοῖς πόνοις ἀνάλογα ἔπαθλά σφισιν, ὁ 2.791 δὲ οὐδ', ὅποι καταλύσειεν ἐκείνων ἕκαστος ἑσπέρας, ἦν πεφροντικώς· ἀλλὰ καὶ ἀπαιτοῦσιν ἐπετίμα, καὶ καταβοῶσιν ἤχθετο, καὶ διανυκτερεύοντας ἐν τοῖς ὑπαίθροις καὶ πλανωμένους ἐς ἀλλοτρίας θύρας ὑπερεώρα, ὑπόδειγμα τιθεὶς, ὡς ἔφασκε, σφίσιν αὐτὸς ἑαυτὸν διὰ τῆς τῶν παθημάτων ταὐτότητος, ὥσπερ τις βραβευτὴς καὶ ζυγοστάτης μέσος ἱστάμενος καὶ νέμων ἐπίσης ἑαυτῷ τε καὶ τοῖς ἄλλοις τὴν τοῦ βίου ῥοπὴν καὶ τὴν τῶν ὕβρεων πρόφασιν· ῥίζοθεν οὕτως ἐκτέμνων καὶ ἀποφράττων κακῶς τὰς τὸ δίκαιον σοφιζομένας τῆς κρίσεως γλώττας. ἀλλὰ περὶ μὲν τοῦ εὖ τε καὶ ὡς ἑτέρως τὰ τοιαῦτα τῷ Καντακουζηνῷ ἐψηφίσθαι τε καὶ πεπράχθαι κρίνειν παρίημι τοῖς τῇδε τῇ ἱστορίᾳ κατὰ τὸ εἰκὸς ἐντυγχάνουσι, καὶ συνάπτειν εὐφυῶς δυναμένοις ταῖς ἀρχαῖς τῶν πραγμάτων τὰ τέλη, καὶ παρεξετάζειν, ὥσπερ ἐφ' ἑνός τινος σώματος, τὴν ἀλληλουχίαν καὶ συστοιχίαν τῶν κατὰ μέρος καὶ καθ' ἕκαστα πεπραγμένων τε καὶ λελεγμένων. ἐγὼ δ' ἐκεῖσε ἐπάνειμι. (Η.) Ἑβδόμη γὰρ μετὰ τὴν ἀναγόρευσιν καὶ στεφηφορίαν ἐκείνην ἡμέρα παρῆν· καὶ ὁ αὐτὸς ἐν Βλαχέρναις εἶχε θεῖος ναὸς μετὰ τοῦ βήματος καὶ τῶν δίφρων ἐκείνων τούς τε βασιλέας ὁμοῦ καὶ τὰς βασιλίδας· καὶ τὰ νόμιμα τῆς τῶν νέων βασιλέων προετελεῖτο συζυγίας, Ἰωάννου φημὶ καὶ Ἑλένης, τοῦ μὲν ἑξκαιδεκαέτους ὄντος, τῆς δὲ δυοῖν ὑποβεβηκυίας ἐτῶν ἐκείνου. ιβ΄. Ἐπεὶ δὲ στρατὸς καὶ δῆμος ἅπας ἤσχαλλέ τε καὶ τὰ μέλλοντα μᾶλλον ἢ τὰ παρόντα ἐδεδίει δικαιωτήρια, διὰ τὸ ἐκ 2.792 κεκόφθαι καὶ ἀφωρίσθαι τῆς τῶν Χριστιανῶν κοινωνίας πρὸς τοῦ πατριαρχεύσαντος Ἰωάννου, τῆς ἐμφυλίου στάσεως ἄρτι καθισταμένης, εἴ τίς τε Καντακουζηνὸν ὡς βασιλέα καὶ εἴ τις Παλαμᾶν μετὰ τῆς φατρίας εἰς κοινωνίαν προσίεσθαι βούλοιτο, ἔγγραφον ὁ πατριαρχεύων τέως Ἰσίδωρος, ἐπ' ἄμβωνος ἀναβεβηκὼς, διεξῆλθε συγχώρησιν, ἣ καὶ ἦν τῶν ἁπάντων οὐδεὶς ᾧ ἤρεσκέ τε καὶ προσεδέδεκτο· ἀλλ' ὑπηνέμια παντάπασιν ἐδόκει, καὶ ἀμυδρότερα πάσης σκιᾶς, καὶ χλεύης καὶ μυκτῆρος ἄξια μακροῦ, καὶ μικροῦ δέω λέγειν, ἦν οὐδεὶς ᾧ μὴ γέλως τὰ λεγόμενα ἦν, καὶ ὅμοια ὥσπερ ἂν εἴ τις ἄμφω τὰς ὄψεις τελέως ἀφῃρημένος τοὺς τῶν ὀφθαλμῶν τὸν ἕτερον πεπηρωμένους ἰατρεύειν ὑπισχνεῖτο. τοῖς γε μὴν σεμνοτέροις ταῦτα δὴ τὰ τοῦ εὐαγγελίου διὰ γλώττης ἦν, "1ἔξελε (φάσκουσι) πρῶτον, ὑποκριτὰ, τὴν δοκὸν ἐκ τοῦ ὀφθαλμοῦ σου, καὶ τότε τὸ κάρφος τὸ ἐν τῷ ὀφθαλμῷ τοῦ ἀδελφοῦ σου"2· καὶ αὖ ἐπὶ τούτοις ὁπόσα γε τούτοις ὁμόστοιχα. "1δέον γὰρ αὐτὸν (ἔφασκον) συγγνώμην ἑαυτῷ τὴν μείζω ζητεῖν ἐπὶ διπλοῖς καὶ πολλαπλοῖς τοῖς ἐγκλήμασιν, ὁ δὲ τοὺς οὐδὲν αὐτοῦ δεομένους ἀναιδῶς οὑτωσὶ θεραπεύειν ἠξίου, τοὺς μὴ πάνυ λεπροὺς, εἰπεῖν, ὁ πάνυ λεπρὸς, καὶ τοὺς μικρᾶς δεομένους καθάρσεως ὁ ῥύπου καὶ πηλοῦ μεστὸς, κατὰ τοὺς χοίρους, οἳ τῷ βορβόρῳ ἐγκαλινδοῦνται."2 τοιούτοις μὲν δὴ καὶ μείζοσι τούτων αἱ πολλαὶ καὶ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

διάφοροι γλῶσσαι τῶν τηνικαῦτα παρόντων ἐκεῖ πρὸς αὐτὸν ἐπετόξευον σκώμμασι· καὶ σύνδυο καὶ σύντρεις ἐκ διαστήματος ἀθροιζόμενοι διηπόρουν ἀλλήλοις τά γε τοιαῦτα κοινούμενοι καὶ τὴν ἀναίδειαν λοιδοροῦντες ἐκείνου λάθρα καὶ ὑπ' 2.793 ὀδόντα. (Β.) Ἦσαν δ' οἳ καὶ ἐκκεκαλυμμένως ἐς προὖπτον ἐλοιδοροῦντο τἀνδρὶ, μηδὲν ὑγιὲς μήτε δρῶντι, μήτε λαλοῦντι, μήτ' ἐν τῷ τότε παρόντι τῆς ὥρας, μήτ' ἐς τοὐπιὸν τοῦ χρόνου. μετὰ γὰρ βραχύν τινα χρόνον, διὰ τὸ τῆς αὐτοῦ ῥαγῆναι κοινωνίας τοὺς πλείους τῶν ἐπισκόπων καὶ πρεσβυτέρων, πλῆθος ἀγοραῖον ἑαυτῷ θιασώτας ἀθροίσας τοιούτων τὴν ἐκκλησίαν ἀντὶ τῶν ῥαγέντων ἐνέπλησεν, ἐπισκόπους σχεδιάσας καὶ πρεσβυτέρους ἑτέρους, ὥσπερ οἱ μῦθοι πάλαι τοὺς σπαρτοὺς καὶ αὐθημερινοὺς γίγαντας, καὶ οὕτω κατὰ τῆς εὐσεβείας ἀμαθῶν λογίων ὁπλίσας πλεῖστα συνέδρια. (Γ.) Ἔπειτα θεραπεύειν ἠξίου λυπούμενον τῆς τῶν πατριαρχικῶν ἀποτυχίας θρόνων τὸν Παλαμᾶν, διδάσκαλόν τε ὄντα τοῦ θιάσου καὶ τῆς φατρίας καί οἱ τῶν ἀξιωμάτων αἴτιον· καὶ τοῦτον ἐπίσκοπον χειροτονεῖ Θεσσαλονικέων· οἷ καὶ ἀπιόντα μήτε τινὸς τετυχηκέναι ξενίας πρὸς τῶν ἐκεῖ ξυμπέπτωκε πολιτῶν, καὶ ἅμα τὴν ἀπὸ Σκυθῶν πόῤῥωθεν εἰληφότα ῥῆσιν, εἰπεῖν, καθάπερ τι Κυλώνειον ἄγος ἐξ αὐτῶν εὐθὺς ἐπανιέναι ἐληλαμένον τῶν τῆς πόλεως ἀγρῶν καὶ προαστείων, πρὶν ἐντὸς γενέσθαι πυλῶν καὶ πρὶν ἐγγὺς ἐληλυθέναι τείχους. (Δ.) Ἀλλὰ ταυτὶ μὲν ἑτέροις καταλελοιπότας ἡμᾶς, οἳ πραγματείαν εἰς μῆκος ἰδίαν πεποίηνται πάνθ' ὁπόσα τοῖς ἐκκλησιαστικοῖς συμβέβηκε τότε δόγμασιν, χρεὼν, ἃ τῇ ἱστορίᾳ κεφαλαιώδως πως εἰρῆσθαι προσῆκον, ἤδη διεξιέναι κατὰ τὸν ἄνω που παραλελειμμένον εἱρμόν. 2.795 α΄. Τῶν μὲν οὖν Θρᾳκικῶν πόλεων οὐδεμία, πλὴν τῆς παραλίου Μηδείας, ἐλέλειπτο, τοῦ μὴ ἐς ὑποταγὴν καταστῆναι τῷ Καντακουζηνῷ μετὰ τὴν ἐς Βυζάντιον εἴσοδόν τε καὶ τὸ τῆς αὐτοκρατορικῆς ἀναγορεύσεως ἐντελές. ἐν δὲ Μακεδονίᾳ, τῶν ἄλλων ὑπηκουσῶν τῷ τῶν Τριβαλλῶν ἡγεμόνι, Βέῤῥοια μὲν καὶ αὐτὴ μετ' ὀλίγον τῶν ὑπηκόων αὐτοῦ ἐγεγόνει, συμμαχίας ἄνευ ἐπὶ μακρὸν ἀντέχειν οὐ δυναμένη πρὸς βαρβαρικὴν καὶ ἐπίμονον μάχην, φυγάδος ἐκεῖθεν μεταξὺ γενομένου τοῦ τηνικαῦτα ἐπιτροπεύοντος Μανουὴλ, τοῦ τοῦ βασιλέως υἱοῦ. Θεσσαλονίκῃ δ' οὐκ ἤρεσκεν οὐδενὶ προσρυῆναι, μήτε τῷ Καντακουζηνῷ, μήτε μὴν τῷ τῶν Τριβαλλῶν ἡγεμόνι. (Β.) Στάσις γὰρ ἐκ πολλοῦ κατεῖ 2.796 χεν αὐτήν· καὶ Ζηλωτῶν οὑτωσί πως ὠνομασμένων ἄθροισμα τῶν ἄλλων ἐπρώτευε· καὶ ἦν πρὸς οὐδεμίαν τῶν πολιτειῶν τὴν μίμησιν ἀναφέρουσα. οὔτε γὰρ ἀριστοκρατική τις ἦν, ὁποίαν τοῖς πάλαι Λυκοῦργος Λακεδαιμονίοις ἀνύειν προσετετάχει· οὔτε τις δημοκρατικὴ, καθάπερ τῶν Ἀθηναίων ἡ πρώτη τε καὶ ἣν ἐκ τετραφύλων εἰς δεκαφύλους ἐπεπράχει Κλεισθένης· οὔθ' ἥν τε Ζάλευκος τοῖς Ἐπιζεφυρίοις Λοκροῖς ἐβράβευσε καὶ ἣν τοῖς ἐν Σικελίᾳ Χαρώνδας ὁ Καταναῖος· οὔτε τις ὑπὸ δυοῖν ἢ πλειόνων εἰς ἕν τι κραθεῖσα καινότερον εἶδος, ὁποῖαί τινες ἦσαν ἥ τε Κυπρίων καὶ ἣν ἐν τῇ πάλαι Ῥώμῃ τὸν δῆμον, κατὰ τῶν ὑπατικῶν ἀνδρῶν στασιάσαντας, καταστήσασθαι λέγεται· ἀλλ' ὀχλοκρατία ξένη τις καὶ οἵαν φέροι ἂν καὶ ἄγοι τὸ αὐτόματον. θρασύτεροι γάρ τινες, εἰς αὐτοχειροτόνητον αὐθεντίας ἄθροισμα συλλεγέντες, πᾶσαν ἐκεῖ κατατρέχουσιν ἡλικίαν, τῆς τε πόλεως ἐκδημαγωγοῦντες τὸν ὄχλον πρὸς τὸ βουλόμενον καὶ τῶν πλουτούντων ἀφαιρούμενοι τὰς οὐσίας, τρυφῶντές τε αὐτοὶ καὶ μηδενὶ τῶν ἔξωθεν ὑπεῖξαι κελεύοντες ἡγεμόνων, ἀλλὰ τοῦτ' εἶναι κανόνα καὶ νόμον τοῖς ἄλλοις, ὅπερ ἂν ἐκείνοις δόξειεν. (Γ.) Ἥ γε μὴν Θρᾳκικὴ Μήδεια, ἣ δυτικωτέραν τε ἔχει Βυζαντίου τὴν θέσιν καὶ πρὸς τῷ ἄκρῳ τοῦ Εὐξείνου κειμένη πόντου σταδίους ἐντεῦθεν ἀπέχει μικρόν τι τετρακοσίων ἐπέκεινα, πρὸς ὀλίγον ἀποστατήσασα, καὶ καθ' ἑαυτὴν γενομένη, πολλὰ μὲν ἔδρασε κατὰ Βυζαντίων δεινὰ, πλεῖστα δ' ἐπεπόνθει· τέλος δὲ πολιορκηθεῖσα 2.797 προὔδωκεν ἑαυτὴν Καντακουζηνῷ καθ' ὁμολογίαν. καὶ ταῦτα μὲν τῇδέ πη ἔσχε. (Δ.) Σεβαστοκράτορες δ' ἐπὶ τούτοις ὑπὸ τοῦ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

βασιλέως οἱ δύο τῆς βασιλίδος Εἰρήνης κεχειροτόνηνται ἀδελφοὶ, Ἰωάννης καὶ Μανουὴλ, καὶ τοῖς τῷ τοιούτῳ προσήκουσιν ἀξιώματι παρασήμοις, ἔν τε καλύπτραις καὶ ὑποδήμασιν ἅμα, κεκόσμηνται. ὧν ἅτερος, ὁ Ἰωάννης, ὀλίγῳ ὕστερον ἐς τὸ τῶν Ἐπιβατῶν ἀπιὼν φρούριον τῇ Ἀλεξίου τοῦ Ἀποκαύκου θυγατρὶσυνεζύγη· ᾗ συνῳκήκει πρότερον ὁ Παλαιολόγος Ἀνδρόνικος, ὃν πνιγῆναι κατὰ τὸν περὶ Διδυμότειχον καὶ Ἀδριανούπολιν ποταμὸν ἀνωτέρω που δεδηλώκαμεν. βραχὺν δ' ἐκεῖ διατετριφότα χρόνον ἔπειθ' ἑκόντα προὔπεμπε τὸν Ἰωάννην σύν γε τῇ νέᾳ συζύγῳ λαμπρῶς ἡ πενθερὰ ἐς τὸ τῆς Τραϊανουπόλεως ἔγγιστα φρούριον, τὴν τῶν Ἀδήλων λέγω μονήν. ἔνθα τὰς τῶν οἰκήσεων ἐπαύλεις καὶ τοὺς ἀγροὺς ἐκ πολλοῦ πρὸς Καντακουζηνοῦ κεκλήρωται τοῦ βασιλέως. ἐδεδίει γὰρ ἐκείνη, μὴ χειρωσάμενος ἐκεῖνος τὸ τῶν Ἐπιβατῶν φρούριον μετὰ τῶν χρημάτων ἐκεῖθεν ἐξόριστον ταύτην ποιήσηται. (Ε.) Κατὰ τοῦτον μέντοι τὸν χρόνον νόσημα τοῖς ἀνθρώποις ἐνέσκηψε βαρὺ καὶ λοιμῶδες, ἀρξάμενον ἀπὸ Σκυθῶν καὶ Μαιώτιδος καὶ τῶν τοῦ Τανάϊδος ἐκβολῶν ἦρος ἄρτι καθισταμένου, καὶ διήρκεσεν ἅπαντα τὸν ἐνιαυτὸν ἐκεῖνον, μεταβαῖνον καὶ διαφθεῖρον ὡσαύτως μόνην ἐς τἀκριβὲς τὴν παράλιον οἰκουμένην, πόλεις ὁμοῦ καὶ χώρας, τάς τε ἡμετέρας καὶ ὅσαι κατὰ τὸ συνεχὲς διήκουσιν ἄχρι Γαδείρων τε καὶ στηλῶν Ἡρακλείων. δευτέρου δ' ἐπιόντος ἔτους μετέβη καὶ ἐς τὰς τοῦ Αἰγαίου νήσους. ἔπειτα καὶ Ῥοδίων ἥψατο, καὶ Κυπρίων ὁμοίως, 2.798 καὶ ὅσοι τὰς ἄλλας νέμονται νήσους. ἐπενέμετο δὲ τὸ πάθος ἐπίσης ἄνδρας καὶ γυναῖκας, πλουσίους καὶ πένητας, γηραιοὺς καὶ νέους, καὶ ἁπλῶς εἰπεῖν, οὐδεμιᾶς οὔθ' ἡλικίας οὔτε τύχης ἐφείδετο. ἐκενοῦντο δ' οἰκίαι πλεῖσται καθάπαξ τῶν οἰκητόρων ἁπάντων μιᾶς ἡμέρας, ἢ καὶ δυοῖν ἐνίοτε, μηδενὸς μηδενὶ βοηθεῖν δυναμένου, μήτε δὴ τῶν γειτονούντων, μήτε μὴν τῶν κατὰ γένος καὶ καθ' αἷμα προσηκόντων οὐδενός. οὐ μόνους γε μὴν ἀνθρώπους τὸ πάθος οὑτωσὶ διετέλει μαστίζον· ἀλλὰ καὶ εἴ τι κατ' οἶκον ὡς τὰ πολλὰ τοῖς ἀνθρώποις ἐκείνοις συνέζη τε καὶ συνῴκει τῶν ἄλλων ζώων· κύνας φημὶ καὶ ἵππους καὶ ὀρνίθων παντοῖα γένη, καὶ εἴ τινες ἐν τοῖς τῶν οἴκων τοίχοις οἰκοῦντες ἔτυχον μύες. σημεῖα δὲ τοῦ τοιοῦδε νοσήματος ἦν ἐξανθοῦντα, καὶ τοῦ ἀθρόου πρόδρομα θανάτου ἐκείνου, ὀγκώδης τε ἔκφυσίς τις περὶ τὰς ἀρχὰς τῶν μηρῶν καὶ τῶν βραχιόνων καὶ ἅμα αἱματώδης φθόη· ἃ τοὺς συσχεθέντας αὐθημερὸν ἐνίοτε, καθημένους ἢ βαδίζοντας, τοῦ παρόντος ἀπῆγε τάχιστα βίου. ὅτε δὴ καὶ Ἀνδρόνικος, ὁ τῶν υἱέων τοῦ βασιλέως νεώτερος, ἐτεθνήκει. β΄. Τῶν μέντοι πραγμάτων ἐν τούτοις ὄντων, ἔδοξε τῷ Ἀσὰν Ἰωάννῃ, τοῖς περὶ τὴν Ἀδριανούπολιν χωρίοις ἄρτι τὰςδιατριβὰς ποιουμένῳ, τὸν ἀδελφιδοῦν ἰδίᾳ παρειληφότι Ματθαῖον (ὃς καθ' ἡλικίαν προὔχων τῶν βασιλέως παίδων τῶν τε ἐν Θρᾴκῃ πόλεων τὴν ἐπιτροπὴν πρὸς τοῦ πατρὸς καὶ βασιλέως ἐκληρώσατο τηνικαῦτα, καί οἱ συμβέβηκεν ἐν ταὐτῷ ξυνιέναι τῷ θείῳ, καὶ κυνηγεσίοις χρήσασθαι τοῖς αὐτοῖς) ὧν αἱ καρδίας αὖ 2.799 λακες θαλαμεύουσι λογισμῶν ἐκείνῳ κοινώσασθαι· καὶ ἀρξάμενος ἔλεξε τοιάδε. (Β.) "1Εἰ μὲν τύχην"2, φησὶν, "1τινὰ καὶ τυραννοῦσαν πεπρωμένην τοῖς ἀνθρώποις τὰ πράγματα πρυτανεύειν οἴεσθαι ἔπεισί σοι, ἢ τῷ αὐτομάτῳ δεδωκυῖαν τὴν τῶν πραγμάτων ὀθόνην ἀτέκμαρτόν τινα καὶ ἀκυβέρνητον φέρεσθαι πλοῦν, σιωπᾶν τε ἄμεινον καὶ τὸν τῆς πεπρωμένης ἄδηλον περιμένειν μίτον. εἰ δὲ προαιρέσει καὶ βουλῇ τὰ ἐφ' ἡμῖν ὡς ἐπὶ τὸ πλεῖστον διοικεῖσθαι δέδοται, τοῦ χάριν, παρὸν ἡμᾶς ἐκ τοῦ ῥᾴστου καρποῦσθαι τὸ ζῆν ἀκινδύνως, ἐθελοντὰς ἡμῖν αὐτοῖς παντοδαπῶν περιπλέκειν δίκτυα φόβων; οἶσθα γὰρ, ὡς μυρίους ἐν τῇ ὑπερορίᾳ διηντλήκαμεν μόχθους μετὰ μακρῶν καὶ παντοδαπῶν τῶν κινδύνων, ὁπόσοι θανάτου γείτονες ἐπεφύκεσαν, τῷ σῷ πατρὶ περιποιούμενοι τὸ ἀκίνδυνον· ὡς δεύτερα εἶναι τὰ Διοσκούρων ἐγκώμια, καὶ εἴ τινες Ὀρέσται καὶ Πυλάδαι τὸν μακρὸν ἐμπεπληκότες αἰῶνα φιλαδελφίας ὑποδειγμάτων, εἴ τις τὰ ἡμέτερα τοῖς ἐκείνων ἀντεξετάζειν ἐθέλει. καὶ ἦν ἡ τοὺς τοιούτους ἀεὶ κατὰ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τοῦ σοῦ μηχανωμένη πατρὸς διωγμοὺς καὶ θανάτους Ἄννα ἡ βασιλὶς, πρόσωπον ἀληθείας ἔχουσαν οὐδ' ἡντινοῦν προβάλλεσθαι δυναμένη πρόφασιν κατ' αὐτοῦ. παρ' ἧς ἐγώ τε καὶ οὑμὸς ἀδελφὸς Μανουὴλ πολλὰς ἐδεξάμεθα λάθρα μεθ' ὅρκων παντοίων γραφὰς, ἡμῖν τε κτημάτων ὁμοῦ καὶ χρημάτων προσόδους ἐπαγγελλομένης καὶ ἅμα τοῖς καθειργμένοις γονεῦσιν ἐλεύθερον ἥλιον. ἀλλ' ἡμεῖς γε, τοὺς τῆς δίκης σέβειν ἐθέλοντες θρόνους, ἐν ἀσαλεύτοις ἔχειν ὅροις ἐρηρεισμένους τοὺς πόδας ἐκρίναμεν δεῖν, καὶ μὴ διὰ φαυλότερον ἀγαθὸν διηνεκεῖς τινας τῷ συνειδότι μάστι 2.800 γας προξενεῖν. τὸ γὰρ διὰ τὴν ἐμαυτοῦ σωτηρίαν σε μετὰ τοῦ σοῦ προδιδόναι πατρὸς (ἐῶ γὰρ τὴν ἄλλην ἐνταῦθα λέγειν συγγένειαν, ᾗ τῶν κινδύνων ξυμμετέχειν τε καὶ παραπολαύειν ξυνέβαινεν) ὅμοιον ἦν, ὥσπερ ἂν εἰ ἐμαυτὸν ἀντ' ἐμαυτοῦ προεδίδουν, καὶ τοὐμὸν ἑκὼν παρεῖχον αἷμα κατὰ γῆς κενοῦσθαι διὰ τοὐμὸν εἰπεῖν αἷμα. οὕτως εἰς αἰνίγματος λόγον τὴν ἐντεῦθεν ἀνέφερον ἔννοιαν, καὶ λύσιν οὐχ εὕρισκον οὐδεμίαν, ὥστε καθ' ἕν γέ τι παραλογίσασθαι τὰς τῶν τότε λογισμῶν κρηπῖδας. ἃ γοῦν οὑτωσί πως ἐφυλαξάμην αὐτὸς ἐν τῷ τότε παρόντι μὴ δρᾶν, νῦν τὸν πατέρα τὸν σὸν κατὰ σοῦ καὶ τῆς σῆς ὁμοῦ συγγενείας ἁπάσης ὁρῶ δεδρακότα· ναὶ μὴν καὶ κατὰ πάντων, ἁπλῶς εἰπεῖν, ὁπόσοις τοὺς μακροὺς ἐκείνους τετύχηκεν ἄθλους δραμεῖν, στρατιώταις καὶ στρατηγοῖς, οἷς μὲν τοὺς ὑπερορίους ἐκείνους, οἷς δὲ τοὺς κατ' οἶκον, καὶ οἷς τὰς ἐν δεσμωτηρίοις κακώσεις. οὐ γὰρ ἁπλοῦν ὑπῆρχεν ὃ τοῖς ταλαιπώροις τότε ξυνηνέχθη πάθος, οὐ δ' ἐπὶ βραχύν τινα τὸν χρόνον, ὅτι μὴ παντοδαπὸν καὶ ποικίλον, κἀπὶ μακροῖς ἐντεταμένον τοῦ χρόνου τοῖς ὅροις. οὕτω χαλεπὰ μὲν, οἷς ἐθελοντὰς ἡμεῖς ἑαυτοὺς καθήκαμεν πάθεσι τότε· χαλεπώτερα δ' οἷς ἄκοντες νῦν πρὸς τοῦ σοῦ πατρὸς ὑπεβλήθημεν ἀναξίως ἡμῶν. ὑπὲρ γὰρ ἐλευθερίας εὐδαίμονος τρέχοντες δουλείαν ἐλάθομεν ἀλλαξάμενοι κακοδαίμονα τῶν μακρῶν ἐκείνων πόνων καὶ δρόμων. οὓς γὰρ ὡς ἐπιβούλους σφοδροὺς τῆς ἡμετέρας ἐφεύγομεν ζωῆς, τούτους δεσπότας μάλα τοι ἄσμενος ἡμῖν ὁ σὸς ἐκεχειροτονήκει πατήρ· ὥσπερ ἂν εἰ ἐπίτηδες οὕτω τοὺς πολλοὺς ἡμεῖς ὑπεμένομεν πόνους, ἵνα τὰ τῶν διωκόντων ξίφη 2.801 θᾶττον ἢ κατὰ τὴν ἐκείνων βούλησιν τοῖς ἡμετέροις λαιμοῖς προσαράξωμεν, καὶ ἵνα παρὰ τοσοῦτον πικρότερα τῶν διωγμῶν τὰ τῶν ἀμοιβῶν καρπωσώμεθα τέλη, παρόσον τότε μὲν ἐλπίδες εὐδαίμονες ἡμῶν τὸ ἡδόμενον ἔβοσκον· νῦν δὲ καὶ τὰς τῶν ἐλπίδων γλυκείας αὔρας ὁ σὸς ἡμῶν ἐκ τοῦ προφανοῦς ἀφῄρηται πατήρ. εἶναι γὰρ τῶν ἁπάντων οἶμαι μηδένα, ὃς ἂν ἐνέχυρα παρέχεσθαι δύναιτο, μὴ θάνατον εἶναι ταχύπουν εὐθὺς τὰ πάντων ἡμῶν ἐπιτίμια πρὸς τῆς βασιλίδος Ἄννης, οἷς δήπουθεν ἐξέσται ζῆν μετά γε τὴν τοῦ σοῦ πατρὸς ἀπαλλαγήν. φέρε τοίνυν, ἕως ἡμῶν αὐτῶν ἡμεῖς ἐσμεν κύριοι, γενναῖόν τι δρᾶσαι προθυμήθητι, ταῖς ἐμαῖς ὑπὲρ σοῦ καὶ ἡμῶν πειθόμενος συμβουλαῖς, ἵν' οὑτωσί πως τὸν αἰσχρὸν καὶ ἀκλεᾶ κίνδυνον ἀποκρούσασθαι δυνηθῶμεν. μέρος γὰρ τῆς ὅλης ἀρχῆς ὑφελόμενος οἰκείαν σαυτῷ περιποιήσασθαι προθυμήθητι βασιλείαν, ζῶντι μὲν ὑπήκουσαν τῷ σῷ πατρὶ, τελευτῶντι δὲ, ἰδιότροπον ἐσομένην σοι τοῦ ζῆν καταφύγιον ἀσφαλές. δυοῖν γὰρ ἐντεῦθεν ἡμῖν ἔσται θάτερον, ἢ τὴν σώζουσαν ἐκ τἀσφαλοῦς κατακτήσασθαι τύχην, ἢ τῶν τοῦ παρόντος ἀπηλλάχθαι τὴν ταχίστην βίου δυσχερῶν· οἷς συνεζηκέναι, μόνοις εἶναι φορητὸν ἐκείνοις οἶμαι, οἷς οὐκ ἄχαρι φαίνεται οὐδὲ σφόδρα κακόδαιμον, μάρτυρας τῆς αἰσχύνης διὰ βίου τὰς τοῦ ἡλίου κεκτῆσθαι αὐγάς."2 ἀλλ' ὁ μὲν Ἀσὰν Ἰωάννης τοιάνδε τινὰ διεξῄει τὴν συμβουλὴν πρὸς τὸν ἀδελφιδοῦν Ματθαῖον, ἑαυτῷ τε κἀκείνῳ καὶ συγγενέσι καὶ φίλοις προμνώμενος τὸ ἀκίνδυνον. (Γ.) Πρὸς ὃν ὁ ἀδελφιδοῦς Ματθαῖος ἠμείβετο τάδε. "1κἀγὼ 2.802 τοῖς αὐτοῖς ἀεὶ περιστοιχίζομαι φόβοις νύκτωρ καὶ μεθ' ἡμέραν, ὦ βέλτιστε· καὶ ὥσπερ τῶν Περσῶν ἐκείνων αἱ ναυτικαὶ δυνάμεις Ἐρέτριαν πάλαι καὶ Ἀρτεμίσιον περιεληλυθυῖαι συνεῖχον, οὕτω τὴν ἐμὴν καρδίαν παντοδαποὶ κυκλοῦσιν ἀεὶ χοροὶ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

λογισμῶν, ὥσπερ νῆσον φορτίδες τινὲς καὶ τριήρεις, φόβων γέμουσαι καὶ φροντίδων μακρῶν, αἳ τῆς μελλούσης ἡμῖν, ὥσπερ ἐξ ἐφόδου λῃστρικῆς, κατάγουσαι φέρουσι μνήμας προφανοῦς κακοδαιμονίας. ἐξ ὧν ὠδῖνας μὲν ἔχειν ἔνεστι, καὶ τὰς ἐντεῦθεν ὑπομένειν ἀλγηδόνας· τίκτειν δ' ἥκιστα ἔνεστι, καὶ ἀποσκευάζεσθαί πως τὸ λυποῦν, ὑφορωμένῳ τοὺς πατρίους τῆς γενέσεως νόμους, οἳ μηδ' ἐς τὰ προφανῆ συγχωροῦσι δίκαια πατράσιν υἱέας ἀντινομοθετεῖν. καί σοι πολλάκις ἐγὼ τὸ ἀπόῤῥητον βουληθεὶς ἐξειπεῖν τὴν μαιευσομένην ὅμως οὐκ εἶχον γλῶτταν. ἀρχομένη γὰρ πρὸς φῶς ἐξάγειν τὸ τῆς καρδίας ἔμβρυον τοὺς τόνους εὐθὺς παρελύετο τῆς ὁρμῆς, καθάπερ ὑπὸ νάρκης τινὸς ἐνδυναστευούσης σφοδρῶς πεδουμένη, τῆς τοῦ πατρὸς αἰδοῦς δηλαδή· καί μοι τὰ τῆς γνώμης ἐς τὸ μηδὲν αὖθις ἐχώρει, καὶ κατεστρέφετο ῥᾷστα. εἰ οὖν περὶ ἄλλων ὁτωνδήποτε πραγμάτων ὁ λόγος ἦν, καὶ ἥκιστα περὶ τὸ ζῆν ὁ πᾶς ἡμῖν ἐκινδυνεύετο φόβος, παρὰ τοσοῦτον ἠμέλησα ἄν, παρόσον μὴ ὅτι τῶν πολλῶν οὐδὲν αὐτὸς διαφέρειν οἴομαι, ἀλλ' εἰ καὶ σύνεσιν εἶχον ἐκ φύσεως οὑτωσὶ κεχορηγημένην, ὡς διὰ μέγεθος αἰθερίων ψαύειν δοκεῖν ἀντύγων, καὶ οὐρανίαις τισὶ ξενοδοχεῖσθαι σκηναῖς, ῥᾷστα ἂν ἔγωγε φέρων ὑπέζευξα ταύτην τοῖς τῶν τοῦ πατρὸς βουλημάτων ποσί. νῦν δ' οὖν, 2.803 ἵνα καὶ αὐτὸς πλατυτέρῳ χρήσωμαι λόγῳ, σοῦ καθάπερ τινὰ θύραν ἡμῖν ἀνοίξαντος, ὃς καὶ δευτέραν μοι σώζεις τάξιν πατρὸς, ἐπειδὴ πᾶσι φίλον ἀνθρώποις τὸ ζῆν, καὶ πολλοὶ πολλάκις, ὑπὸ τῶν ἀθρόων περιστάντων κινδύνων, τὴν βασίλειον, ὥσπερ τινὰ φρουρὰν, περιεζώσαντο δύναμιν, ἄκοντες μὲν, ἀναγκαίως δὲ, οὔκουν αἰτιώμενος ἔμοιγέ τις ξὺν δίκῃ πάντως αἰτιῷτο ἂν, εἰ καὶ αὐτὸς, ὑπὸ τῶν ὁμοίων ἐλαυνόμενος φόβων, ἐς τὴν τῶν ἐρυθρῶν ὑποδημάτων ἀντίληψιν καταφεύγοιμι. ὅμοιον γὰρ ἂν ποιοίη τις ἐνταυθοῖ, τὰ τοιαῦτ' εὐλαβούμενος, ὥσπερ ἂν εἰ χειμῶνι μεγίστῳ περιπεσὼν ἐν πελάγει μέσῳ καὶ κύμασιν, ἐν οἷς τῆς ὁλκάδος συμβὰν οὑτωσί πως ῥαγείσης ἐξὸν αὐτῷ σανίδος ἐπειλημμένον τινὸς διαποντίους μὲν ἔχειν κινδύνους, ἔχειν δ' ὅμως ὁμοῦ καὶ τὰς ἐλπίδας τοῦ ζῆν αἰωρουμένας, ὥσπερ ἀπὸ λεπτοῦ τινος καὶ ἀραχνώδους ὑφάσματος, ὁ δ' ἀφειδῶν παντάπασιν ἑαυτοῦ πυθμέσιν ὑποβρυχίοις ὑδάτων ἐθελοντὴς ἑαυτὸν παραπέμπῃ. τοῦτο δὲ παραπληξίας ἔγγιστ' ἂν εἶναι δόξειε τοῖς ὅσοι καλῶς τὰ τοιαῦτα βούλονται κρίνειν. τὰ γὰρ ἐξ ἀφανοῦς τινος ἀνάγκης ἐπιόντα δεινὰ συγγνώμην σαφῆ τοῖς πάσχουσι νέμει. οἷς δ' ἀπὸ γνώμης ἰδίας εἰς τὰς τῶν δεινῶν ἐμπίπτειν ἕπεται λαβυρίνθους, μεγάλη τις χορηγεῖται νέμεσις, παρ' οἷς σχολὴ τὰ τοιαῦτα φιλοτιμότερον σκέπτεσθαι. ἐγὼ δ' ἵνα τι καὶ βαθύτερον φθέγξωμαι, οὐδὲ τῆς πατρικῆς ὑπερόριον γνώμης ὂν εὑρίσκω τουτί. αὐτὸς γάρ μοι τοὺς τοιούτους προεζωγράφησε τρόπους ἐν ἑαυτῷ, ὁπότε συνελαθεὶς καὶ αὐτὸς ὑπὸ τῶν περιστάντων κινδύνων εἰς τοῦτο προήχθη 2.804 τὸ σχῆμα τῆς βασιλείας, ὥσπερ εἰς ἀσφαλείας ἀκρόπολιν· ὡς νῦν γε δυοῖν θάτερον ἐλπίζειν ἔσεσθαί μοι πρὸς τοῦ πατρὸς ἕψεται· ἢ γὰρ, ὡς μιμησάμενον τὴν ἐν ἀπόροις εὐπορίαν αὐτοῦ, τὸν υἱὸν ἐπαινέσειεν ἄν πως ἐμέ· ἢ εἰ λοιδορεῖσθαί μοι ἐπιχειροίη, λάθοι ἂν αὐτὸς ἑαυτῷ περιφανῶς λοιδορούμενος ἢ ἐμοί· ὡς μηδ' ἔχειν παρ' οὐδέσιν Ἑλλανοδίκαις τὸ συγκεχωρηκὸς ἐμοὶ τῆς ἐγχειρήσεως ἐπεξιέναι."2 (Δ.) Ταῦτ' εἰπὼν καὶ αὐτὸς τὸν μὲν θεῖον ξυνδιαφέρειν παρήγγειλε τὴν ἐγχείρησιν, καὶ τοῖς ἑκασταχοῦ στρατιώταις ὁμιλεῖν τὰ εἰκότα· αὐτὸς δὲ τὴν τῆς Ὀρεστιάδος κατειληφὼς ἀκρόπολιν ὅλην ἐκεῖθεν ὠχύρου τὴν πόλιν, καὶ πρὸς ἔργα παρεσκευάζετο, ἐκδημαγωγῶν τε καὶ μαλακοῖς τισι λόγοις ἐξιδιούμενος τὰ στρατόπεδα. γʹ. Ταῦτ' οὐκ ἦν ἀκούοντι ἠρεμεῖν τῷ πατρὶ, ἀλλ' ἀθυμίαις ἐνασχολεῖν, καὶ συντήκειν συχνὰ τὸ θυμούμενον τῆς ψυχῆς, πάλαι διανειμαμένῳ τοῖς μὲν υἱέσι τὰς ἀνελευθέρους τοῦ βίου τύχας, τῷ δὲ γαμβρῷ Παλαιολόγῳ τὰς τοῦ βασιλείου κράτους διαδοχάς. διὸ καὶ αὐθημερὸν ἐξιέναι πάνυ τοι προθυμούμενος, ὅμως ἐπεῖχεν ἔτι, καὶ ἐνεκαρτέρει τῷ τῆς γνώμης βουλευτηρίῳ. καὶ μέντοι καὶ ἥκιστα μάλα τοι ἀρεστὸν ἐδόκει, δυοῖν ἕν γέ τοι δρᾶν ἐκ τοῦ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

παραχρῆμα. οὔτε γὰρ ἄνευ ὅπλων ἐκ Βυζαντίου πρὸς γνώμην ἰέναι ἐθάῤῥει, ταῖς τῆς φιλοτιμίας ἄρτι διανηχομένην ἀκμαῖς· οὔτε μεθ' ὅπλων αὖ ἐκεῖ διαβαίνειν καὶ στρατοπέδων. ἐκμῆναι γὰρ ἂν οὑτωσὶ μᾶλλον πρὸς αἰθερίους φλόγας ὡς ἐν σποδιᾷ καθευδούσας ἔτι τὰς ἐν τῇ ψυχῇ τοῦ νεανίσκου κι 2.805 νήσεις, ὑπὸ δυοῖν ὀχληθείσας παθῶν, φιλοτιμίας ὁμοῦ καὶ δειλίας. (Β.) Καὶ μὲν δὴ λοιπὸν ἐκπέμπειν ἐδόκει βέλτιον Εἰρήνην τὴν βασιλίδα, βαθείαις τε χρωμένην ταῖς τῆς συνέσεως αὔλαξι καὶ ἅμα οἰκονομικὴν ἐς τὰ μάλιστα οὖσαν ἔκ τε πείρας καὶ φύσεως, καὶ μαλακωτέρους τινὰς ξὺν τῷ πιθανῷ, καὶ ὅλως εἰπεῖν μητρικοὺς τῷ παιδὶ κομίζειν εἰδυῖαν λόγους. ἐξιούσης τοίνυν αὐτῆς, ἐπειδὴ περὶ Πάμφιλον ἐγεγόνει τὴν πόλιν, πρὸς ἀπάντησιν αὐτὸς ἐπορεύετο μάλα τεθαῤῥηκὼς τῆς μητρὸς, καὶ ἅμα ἐπειγόμενος κατὰ τὴν πορείαν, πρὶν ἐς Ὀρεστιάδα ἀφικέσθαι τὴν μητέρα, ἔξω που προκατειληφέναι, καὶ τὸν τῆς ἀφίξεως πόῤῥωθεν πυθέσθαι σκοπόν. ἡ δὲ τοὺς ἐκείνου σοφῶς παρακρουσαμένη δρόμους ἔλαθεν ἐντὸς Ὀρεστιάδος παρεισπεσοῦσα, πρὶν αἰσθέσθαι τὸν υἱόν. (Γ.) Ἐπεὶ δὲ παρὰ τὴν ὁδὸν ὁ Ματθαῖος ἠκηκόει τὸ δρᾶμα, καὶ βαθυτέραις ἔγνω σαφῶς τῆς μητρὸς κατασοφισθεὶς ἐπινοίαις, ἐς τὴν ὑστεραίαν καὶ αὐτὸς τῇ Ὀρεστιάδι ἐπιδεδήμηκε, καὶ τῇ τε μητρὶ τὴν προσήκουσαν ἀπεδίδου προσκύνησιν καὶ ἅμα πρὸς ἅπαν τὸ κελευόμενον ὑπισχνεῖτο παρέχειν ὑπείκοντα ἑαυτὸν, εἰ δέος ἅπαν ἐξέλοιτο τῆς ἐκείνου ψυχῆς, μήτηρ τε οὖσα καὶ ψυχὴν καλῶς εἰδυῖα θεραπεύειν ἀμφιῤῥεπῶς ταλαντευομένην ὑπὸ δειλίας, καὶ φόβῳ τινασσομένην τοῦ μέλλοντος γνώμην υἱοῦ φιλομήτορος συνιστᾷν. ἡ δὲ μάλα βασιλικῶς προσειποῦσα καὶ μετά τινος ἐπιεικοῦς μεγαλοπρεπείας δεξιωσαμένη τὸν υἱὸν τάδε διέξεισιν. (Δ.) "1Ἐγὼ (φησὶν) ὦ παῖ, τὴν παροιμίαν, τὴν ἀεί τι Λιβύη, φάσκουσαν, φέρει καινὸν, ἐπαινῶ μὲν, 2.806 οὐ τελέως δέ· διότι μὴ τέλειον ἔχει τὸ τῆς ἀποφάνσεως δόγμα καὶ ψήφισμα. περὶ γὰρ ὅλης γῆς καὶ θαλάττης ἀποπεφάνθαι προσῆκον, ἡ δὲ περὶ μόνης Λιβύης τὸ δόγμα ἐξήνεγκε, μικροῦ τινος μέρους οὔσης αὐτῆς, καὶ βιαίαν ἐχούσης τὴν μίμησιν πρὸς τὴν τῆς ὅλης γῆς ἀριστοκρατίαν. Λιβύης μὲν γὰρ ἡ καινότης ζώων τε μόναις τερατομόρφοις ἰδέαις ὁρίζεται καὶ πρός γε ἔτι τῶν ἐκεῖθεν διὰ μῆκος ὁδοῦ σπανίως παρακομιζομένων ἐς τὰ ἡμέτερα ἤθη πραγμάτων ἄλλων, ἰδιοτροπίαν τινὰ κεκτημένων, ὁπόσα ξενίζοντα φύεται παρὰ τῇ σκληρᾷ καὶ ἀνημέρῳ ἐκείνῃ γῇ. τῆς δὲ πάσης γῆς ἡ καινότης μαρασμῷ καὶ χλόῃ καὶ χαρᾷ καὶ λύπῃ μερίζει τὸν βίον διηνεκῶς, καὶ δόξῃ καὶ ἀδοξίᾳ, καὶ νόσῳ καὶ ὑγιείᾳ, καὶ θανάτῳ καὶ ζωῇ, καὶ ἁπλῶς εἰπεῖν, ἀρετῇ καὶ κακίᾳ, καὶ τροπαῖς καὶ ἀλλοιώσεσι παντοίαις τε καὶ μέτρον ἅπαν ἐλαυνούσαις. καὶ θαῦμα μὲν, πῶς ταῖς καινοποιΐαις ταύταις ἄμφω κεκτῆσθαι δοκεῖ, καὶ παίζει τὰς τῶν ἀνθρώπων γνώμας, καὶ τοῖς μὲν ἀνθεῖν ἀεὶ δοκεῖ, καὶ τοὺς τῆς τύχης πόδας ἕκαστον ἐπ' ἀσφαλοῦς ἐρείδειν· τοῖς δὲ μηδὲν κεκτῆσθαι βέβαιον μηδ' ἀσφαλές. βραχεῖα γάρ τις ὥρα πολλάκις καὶ μία ῥοπὴ διαστήματος χρονικοῦ μεταβάλλει πρὸς τοὐναντίον ἅπαν, καὶ ῥίπτει πολλὰ τῶν ἑστάναι δοκούντων εἰς ἔδαφος· καὶ αὖ πρὸς ὑπερήφανον ἐνίοτε τύχην ἀνάγει τὰ ἀφανῆ. Θαῦμα δὲ, πῶς ἀμιγὲς οὐδὲν οὐδ' αὐτοτελὲς τῶν ἁπάντων εὑρίσκεται παντάπασιν οὐδαμῆ, οὔθ' ἃ τῶν ἀγαθῶν, οὔθ' ἃ τῶν φαύλων εἶναι νομίζουσιν ἄνθρωποι· ἀλλὰ τὰ ἀλλήλων διηνεκῶς πολέμια καὶ μαχόμενα σύντροφόν 2.807 πως ἔχει τὴν βλάστην, καὶ μίαν δήπου τινὰ τὴν εἰς φῶς προενεγκοῦσαν μητέρα προΐσχεται· καὶ τὰ τὴν ἄσπονδον ἔχθραν πρὸς ἄλληλα κεκτημένα ξένας τινὰς ἐν ἀνθρώπου θύει ψυχῇ τὰς σπονδάς· καὶ οὔτε βίον ἄλυπον ὄντα παρ' οὐδενὶ τῶν ἁπάντων ὁρῶμεν, οὔτε λύπην παντάπασιν ἀτερπῆ· ἀλλ' εἶναι συμβαίνει καὶ λύπην αἰτίαν χαρᾶς, καὶ αὖ μητέρα λύπης χαράν. ταῦτα μὲν εἶναι συμφυᾶ πως, καὶ ἐγκατῳκοδομημένα τοῖς πράγμασιν, ἡ πεῖρα ξυγχωρεῖ συνιέναι ταῖς συνετωτέραις ψυχαῖς· τὸ δὲ μεγέθη καὶ σμικρότητας τούτοις διδόναι, τοῦτο δ' οἶμαι δήπουθεν ὡς τὰ πολλὰ τῶν ἐφ' ἡμῖν ὑπάρχειν ἕν. Ὃς γὰρ μεγάλοις ἐφίεται πραγμάτων ὕδασιν


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐγκυβιστᾷν, ἀνάγκη τούτῳ καὶ μεγάλους ὑφίστασθαι τῶν κινδύνων τοὺς κλύδωνας· ᾧ δὲ βραχυτέροις ἐνδιαιτᾶσθαι νομίζεται ἀποχρῶν, τούτῳ δὲ καὶ μετριωτέραις κεχρῆσθαι ταῖς λύπαις τοῦ βίου χρεών. βασιλεία τοίνυν ἐν τοῖς τοῦ βίου πράγμασι μέγιστον εἶναι χρῆμα νομίζεται τύχης καὶ, ἵν' εἴπω, τὸ κράτιστον τῆς εὐδαιμονίας ὕψος. τὸ δὲ μικροῖς τισιν ὀβολοῖς ὁρίζεσθαί τῳ τοῦ βίου τὴν εὐπορίαν, καὶ τριβωνοφορεῖν, καὶ ἱκανὸν εἶναι ὃ τῇ φύσει τὸ ἀναγκαῖον μόνον χαρίζεται, τοῦτο δὲ κακόδαιμον φαίνεται, καὶ τούτων ἑνὸς, οἷς ὁ πλεῖστος ὄχλος καταρᾶται. ᾧ δ' ἑκατέροις τοῖς βίοις ἐν πείρᾳ γενέσθαι τετύχηκεν, ἄρχεσθαι μᾶλλον οὗτος ἢ βασιλεύειν ἕλοιτ' ἂν οἶμαι μάλα προθύμως, καὶ πένητα μᾶλλον τρίβειν βίον, ἢ ὃς μυρίαις περιστοιχίζεται δόξαις καὶ χρήμασιν· εἰ δ' οὖν, λεγέτω τις παρελθὼν, πῶς Ἀλέξανδρος ἐκεῖνος ὁ μέγας, ὁ μέχρις Ἰνδῶν τὰ τῆς Εὐρώ 2.808 πης διαβιβάσας ὅπλα, τὸν εὐτελῆ τοῦ Διογένους πίθον καὶ τὴν διεῤῥωγυῖαν ἀμπέχεσθαι μᾶλλον ἐσθῆτα ποθεῖν ὡμολόγει, ἢ τὴν τῆς ὅλης Ἀσίας τε καὶ Εὐρώπης ἔχειν ἀρχὴν, καὶ τὸν Βαβυλώνιον ἐκεῖνον περιβεβλῆσθαι πλοῦτον· ὅθεν καὶ τὸ πολὺ τῆς ῥᾳστώνης χεθὲν Δαρείῳ καὶ Πέρσαις ὄνειρον ἔδειξεν εἶναι σαφῶς τὰς δοκούσας εὐδαίμονας τύχας τοῦ βίου. οὐδὲν γὰρ οὕτω μεστὸν ὑποψίας καὶ ἀπιστίας, ὡς βασιλεία καὶ δυναστεύουσα χείρ. ᾧ μὲν γὰρ βασιλεύεσθαί πως τετύχηκεν, ἕνα μόνον οὗτος δέδιε, τὸν βασιλέα· φαίην δ' ἂν, οὐδ' αὐτὸν, εἰ τὰ δίκαια φυλάττειν, ὅστις ποτ' ἂν ᾖ, ἐθέλει, καὶ τὴν λαχοῦσαν μοῖραν στέργειν τοῦ βίου. ᾧ δὲ βασιλεύειν ἔξεστιν, οὗτος μετὰ τῶν ἐμφανῶν ἐχθρῶν πλείους ἔχει καὶ τοὺς κρύφα τὰς πλείους συσκευάζοντας τῶν ἐπιβουλῶν. οὐκ ὀκνήσω δ' εἰπεῖν, ὡς καὶ αὐτοὺς ἀεὶ δέδιεν, ὁπόσοι φυλάκων ἔχουσι τάξιν αὐτῷ, καὶ περίεστι τρέμειν ἀεὶ, καὶ Ταντάλειον, τὸ δὴ λεγόμενον, βόσκειν βίον. Ταῦτ' ἐννοῶν, φίλτατε, πείθου μητρὸς εὐνοούσης βουλαῖς, καὶ μὴ γνώμαις ἑτέρων συμφέρεσθαι δίδου, οἳ πρὸς ἓν δὴ μόνον τὸ οἰκεῖον σκοποῦντες συνοῖσον προσωπείῳ τινὶ κέχρηνταί σοι, μέχρις ἂν τὸ βουλόμενόν σφισι κατωρθωκότες αὐτοῖς, ἔπειτα καὶ σοὶ τὴν τοῦ βίου σχεδιάσωσιν ἐπιβούλως ἀπαλλαγήν· μηδὲ παραπλήσια τίθει τοῖς διώκταις ἡμῶν τὰ ἡμέτερα. παρόσον γὰρ ἐκείνων καὶ ἡμῶν τὸ συνάγον εἰς ὁμόνοιαν ἦν τῶν ἁπάντων μετὰ τὴν ζάλην οὐδὲν μεταξὺ, παρὰ τοσοῦτον ἡμῶν τε καὶ σοῦ τὸ τὴν τοῦ αἵματος ἕνωσιν διϊστῶν τῶν ἁπάντων ἔστιν οὐδὲν μεταξύ. τί γὰρ ἂν εἴη τὸ πεῖσαι δυνά 2.809 μενον σπλάγχνα φύσεως ὑπ' ἀλλήλων τε καὶ δι' ἀλλήλων ῥήγνυσθαι· ὧν τὴν ἀπόῤῥητον σύμπηξιν μόνος οἶδεν ὁ ξυνδήσας ἀλύτοις τισὶ καὶ ἀδαμαντίνοις δεσμοῖς; ἢ τί τῶν ὑφ' ἡλίῳ καὶ ἀέρι πάντων ἡδὺ γένοιτ' ἂν τοῖς γονεῦσιν ἡμῖν, σοῦ μὴ παρόντος; ὡς νῦν γε τοῦτ' ἔστιν ὅ με μάλιστα ζῶσαν μετὰ τοῦ σοῦ κατάγει πατρὸς εἰς πυθμένας ᾄδου, ὅτι σύ γε ἡμῶν ἕνεκα τοιούτους ἔθρεψας ἐν σεαυτῷ λογισμούς. τί δ' ἄλλο τῶν πάντων εἴη θανάτου παντὸς γονεῦσι πικρότερον, ἢ τέκνων καταστροφὴ, καὶ τέκνων ἀγαθῶν· ὧν ἡ μνήμη καὶ μόνη τούτοις δημιουργεῖ πνοὴν καὶ τὸ θάλλειν ἐκ περιουσίας χαρίζεται τῇ ψυχῇ; ἀνάμεινον δ' εἰ βούλει μικρὸν, μέχρις ἂν καὶ αὐτὸς τέκνων γένῃ πατήρ· καὶ τότε διὰ τῆς πείρας εἴσῃ καλῶς, ὁπόσην οἱ τεκόντες τοῦ φίλτρου τὴν φλόγα βόσκουσιν ἐν μέσοις τοῖς σπλάγχνοις ὑπὲρ τῶν τέκνων. νῦν γὰρ οὐκ ἔχω, τίσι χρησαμένη λόγοις πείθειν ἄν σε δυναίμην τελέως, πρὶν εἰς τὴν τῶν λεγομένων σε πεῖραν ἀφῖχθαι. Μὴ δὴ παρίδῃς δάκρυα μητρὸς, μηδὲ μόχθον ἐν λήθῃ ποιήσῃς τοσαύτης ὁδοιπορίας, ὁπόσην ἐγὼ διανύσαι καὶ συντεμεῖν τάχιον ἢ κατὰ πάντα εὔζωνον ἄνδρα προτεθύμημαι διὰ σὲ, ἵνα δήπου μὴ σεαυτὸν ἀτεκμάρτοις περιβάλῃς κινδύνοις, καὶ καπνὸν φεύγων εἰς πῦρ ἐμπέσῃς, καὶ σκιὰν φυλαττόμενος ὑποψίας, ἐν ἀδήλῳ μέλλοντος φόβου καλινδουμένην, εἰς κρημνοὺς ἀποτόμους περιφανῶς συνωθήσῃς σαυτὸν ἑκοντὶ (ὃ τοῦ ἀκουσίου πάθους ἐστὶ μακρῷ χαλεπώτερον, ὁποῖον καὶ ἡμῖν τὸν ἑξαέτη χρόνον ἐξεγένετο πάσχειν ἐκεῖνον ἐλαυνομένοις, ὥς γε οἶσθα) καὶ ὃν διέφυγον 2.810 τότε θάνατον, τούτου σὺν σοὶ διὰ σέ πως παραπολαῦσαί μοι γένηται.



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

οἷς μὲν γὰρ ἀκουσίοις ἔπεισι τὰ δεινὰ, συγγνώμη τις εἴωθεν οἴκτῳ συγκεκραμένη συνεξακολουθεῖν. οἷς δ' ἐξ ἰδίας ἀβουλίας συμβαίνει πηγὰς ἀνορύττειν κακῶν ἑαυτοῖς, τοσοῦτον νεμεσᾶσθαί σφισιν εἰκὸς, ὅσον οὐδὲ τοὺς ἐλεήσοντας καταλιμπάνουσιν ἑαυτοῖς ξύν γε λόγῳ τῷ πρέποντι. Εἰ δέ μοι πολλὰ τῶν πάλαι πρὸς μέσον ἄγεις ὑποδειγμάτων, ὁπόσα πρὸς τοὺς ὁμοίους σε φόβους ἐνάγουσι, καὶ ξύν γε τοῖς ἄλλοις, ὅτι καὶ Μάρκιον ἐκεῖνον, τὸν τῇ πάλαι στρατηγήσαντα Ῥώμῃ ποτὲ, ἐς τοσόνδε τὰ μητρὸς ἔσφηλε δάκρυα, ὡς μυρίαις ὑφ' ὧν στεφανοῦσθαι ἐχρῆν καλυφθέντα λίθων βολαῖς θανεῖν δυστυχῶς, ἀλλὰ τἀληθῆ περί γε τἀνδρὸς ἐκείνου μαθὼν τὴν ἀμείνω κρίσιν ἕλοιο ἄν. πάσης γὰρ ἐκεῖνος ἀποκλείσας ἑαυτὸν ἀπολογίας, καὶ θύραν οὐδεμίαν συγγνώμης ταῖς ἐπιούσαις καταλελοιπὼς ἐλπίσιν, αὐτὸν ἑαυτῷ κατήγορον ἐκ τοῦ σύνεγγυς εἶχε, καὶ πολλὰ ταῖς τοῦ συνειδότος σκηναῖς αὐλιζόμενά οἱ παραπέπηγε κέντρα. τὰς γὰρ πλείστας Ῥωμαίων χώρας καὶ πόλεις θᾶττον ἢ λόγος ἀφελόμενος τὰς μὲν τοῖς ἐναντίοις ἐχαρίσατο, τὰς δ' ἐξηνδραποδίσατο καὶ κατέσκαψε χεῖρον ἢ τὰς Θήβας Ἀλέξανδρος. καὶ διὰ τοῦτο Μάρκιος εὔελπις ἥκιστα ἦν, οὐδὲ πάροδον ὅλως εἰς πίστιν εἶχον ταῖς Ῥωμαίων ψυχαῖς αἱ Μαρκίου συνθέσεις· οἵ τε Ῥωμαίων αὖ πολέμιοι φρικώδεσιν ὅρκοις αὐτὸν προκατειληφότες, ἔπειτα μέγαν ἐξ ἀσθενοῦς ταῖς οἰκείαις ξυμμεμαχηκότες δυνάμεσιν ἐπεπράχεσαν· ἃς βραχύ τι παρακρούσασθαι διὰ τὰ μητρὸς δόξας δάκρυα ἔλα 2.811 θεν εἰς τοὺς ἐσχάτους ὀλέθρους ὠλισθηκώς. σὺ δ' οὔτε βλάβην τοῖς Ῥωμαίων οὐδεμίαν παρέσχες πράγμασιν, οὔθ' ὅρκοις οὐδέσι δέσμιον σεαυτὸν προκατέστησας. ταῦτα γὰρ ἅπαντα προκατειληφυῖα λαμπρῶς ἡ τῆς ἐμῆς ἀφίξεως ἀνεχαίτισεν αὕτη σπουδή· ὡς εἶναί σοι μηδὲν ἐμποδὼν τῶν ἁπάντων ταῖς μητρικαῖς παραινέσεσι πείθεσθαι. Ἔπειθ' ὁρᾷς καὶ εἰς ὅσον μὲν βραχύτητος ἡ Ῥωμαίων ἀρχὴ συνεστάλη, εἰς ὅσον δὲ πενίας τὰ Ῥωμαίων ἐῤῥύη πράγματα· ὡς μηδὲ λέγειν θαῤῥεῖν φειδοῖ τῆς τῶν ἀκουσομένων αἰδοῦς. ὅμως ἐξ ἑνός γέ του δηλώσω σοι τρόπου. ἴσασι μὲν γὰρ τῶν Ῥωμαίων καὶ βαρβάρων οἱ πλεῖστοι τὸν πλοῦτον πρὸ τῆς συγχύσεως καὶ τῶν διωγμῶν ἐκείνων, ὁπόσος τοῖς σοῖς γονεῦσιν ὑπῆρχεν ἡμῖν, ἔν τε χρυσῷ καὶ ἀργύρῳ καὶ λίθων καὶ μαργάρων πολυτελείᾳ, ἔν τε ποίμναις καὶ βουκολίοις καὶ μυριάσι παντοίων θρεμμάτων καὶ βοσκημάτων. ἴσασι δὲ καὶ τῶν παρεστώτων οἱ πλείους τὸ τῶν ἡμετέρων πλῆθος ἀποθηκῶν, αἳ τοῖς ἐκ γῆς παντοδαποῖς γεννήμασιν ὑπερεξεχέοντο, καὶ τὰ ταμιεῖα ἐκεῖνα, ὁπόσα βρίθοντα κομιδῇ τοῖς ἐτησίοις καρποῖς τε καὶ θησαυροῖς ἐστενοχωροῦντο. τῆς δὲ καθ' ἡμέραν ἑκάστην τραπέζης τὴν ἀφθονίαν καὶ πολυτέλειαν, ἀλλὰ καὶ ταύτην, ὅσοι μετεῖχον ἐκείνης καὶ παραπέλαυον, ἴσασιν ἅπαντες, τά τε ἄλλα καὶ ὡς οὐδ' ἄχρι καὶ ἐς τὸ τοῦ δεκάτου μέρος ἐκείνης ἀνήκειν τὰ τῆς βασιλικῆς ἡμῖν τραπέζης δύναται τήμερον. οὕτως ἀσθενῶς ἔσχε, καὶ ἐς τοσοῦτον ἔῤῥει καὶ κατενήνεκται δυστυχίας τὰ Ῥωμαίων πράγματα προφανῶς· ὡς ἐξεῖναι σκοπεῖν σε, γλυκύτατε, τί καταλελοιπὼς τῷ πατρὶ καὶ τοῖς γε ἀμφ' αὐτὸν ὁμοῦ καὶ σὺν αὐτῷ, 2.812 τί ποτ' ἂν λάβοις αὐτὸς ἰδίᾳ πρὸς εὐπορίαν σοί τε καὶ τοῖς γε ἀμφὶ σὲ στρατιώταις. Οὔτε γὰρ ἄνευ ὅπλων καὶ στρατιωτικῶν δυνάμεων δυνατὸν βασιλείαν συνίστασθαι, καὶ μάλιστα τὴν ἐκ νεωτερισμοῦ· οὔτε χρημάτων ἄνευ, τό γε μεῖζον εἰπεῖν, ὅπλα καὶ στρατιωτικὰς εἰκὸς ἀθροίζεσθαι δυνάμεις. στρατιωτῶν γὰρ ἄνευ ἐνίοτε μεγάλα καὶ καθ' αὑτὸν ἰσχύοντα πάντες ἴσασι τὸν χρυσὸν, καὶ πάσης ἑλεπόλεως μείζω. πρὶν γὰρ αἰσθέσθαι τοὺς πλείους, εὑρίσκεται πολλάκις ῥᾳδίως προδεδομένη τοῖς πολεμίοις ἡ πόλις διὰ χρυσόν. οἶσθα δ' αὖ καὶ ὅσος ἐκ τῶν στρατοπέδων τοῖς ἄγουσιν ὄχλος μετὰ κινδύνων ἕπεται, μήτε πολέμων παρόντων, μήτε μισθῶν διδομένων αὐτοῖς. οἷς γὰρ ὁρίζεσθαι τὸν βίον ἐν τῷ μισθοῦ στρατεύεσθαι ἔπεισι, τούτοις ἀνάγκη καὶ τὸν μὲν πόλεμον πολλῷ τῆς εἰρήνης ἡγεῖσθαι βελτίω, τὴν δ' εἰρήνην πολλῷ χαλεπώτερον τοῦ πολέμου χρῆμα. ὁ μὲν γὰρ πόλεμος σὺν τῷ μισθῷ καὶ βιαίας ἁρπαγῆς καθίσταται


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

σφισιν αἴτιος, ἀφ' ὧν ἀφθονία τραπέζης ἀμόχθου προτίθεται· εἰρήνη δὲ τοὐναντίον ἄφθονος καὶ τῶν ὄντων δαπάνη καθίσταται. σὺ δ' ἀμφοτέρων ἐστερημένος ἐν τῷ αὐτίκα οὐκ ἂν φθάνοις φθείρων σεαυτὸν, ἢ βασίλειον σεαυτῷ περιποιούμενος κράτος. Ἢν γοῦν ἐμοὶ πείθεσθαι θέλῃς, τῇ μᾶλλον ἢ σὺ σαυτὸν ποθούσῃ μητρὶ, ἐμοὶ τὰ σὰ προσανάθου, βραχὺ περιμείνας, ἕως ἂν τὴν ταχίστην ἐς τὸν σὸν ἐπανιοῦσα πατέρα, ξὺν τῷ ἄφοβον εἶναί σε, καὶ τὰ τῆς εὐπορίας ἐκεῖθεν ἐν μεγάλῃ σοι ποιήσωμαι προμηθείᾳ."2 (Ε.) Ταῦτ' 2.813 εἰποῦσα καὶ τὴν τοῦ υἱοῦ μαλάξασα γνώμην ἡ βασιλὶς Εἰρήνη, καὶ σφόδρα τοῖς οἰκείοις πειθόμενον δείξασα λόγοις, καὶ τἄλλα πάνθ', ὁπόσα ἐπὶ τούτοις χρεὼν, οὐ μάλα συχναῖς ταῖς ἡμέραις καλῶς διαπραξαμένη, τάχιστα ἐς Βυζάντιον ἐπανήει· κἀνταῦθα τὴν τοῦ υἱέως μεμαθηκυῖα τελευτὴν Ἀνδρονίκου λίαν ἐφ' ἱκαναῖς ἐπένθησεν ἡμέραις. καὶ ταῦτα μὲν τῇδέ πη ἐφέρετο. δʹ. Μετὰ δὲ τὰς τοῦ Ἀρκτούρου ἐπιτολὰς ἄρας ἐκ Βυζαντίου ὁ βασιλεὺς ἧκεν ἐς Διδυμότειχον, συμβιβάσων καὶ ἀποκαταστήσων οὓς ἡ βασιλὶς, ὡς εἴρηται, Εἰρήνη θορύβους ἔφθη κατευνάσασα. καὶ πρῶτον μὲν ἐκεῖθεν τὸν πατριάρχην ἐκβεβληκὼς Ἰωάννην ἐν τοῖς Βυζαντίου ἀρχείοις δέσμιον ἐπεπόμφει φρουρεῖσθαι, ἵνα μὴ τοῖς ἐκεῖ νεωτερισμοῖς συναράμενος καὶ αὐτὸς μεγίστης καὶ δυσεφίκτου τοῖς δημοσίοις γένηται πράγμασι βλάβης αἴτιος. ὃς καὶ μικρὸν ἐπιβιοὺς ἐνταῦθα ἐτελεύτησε, πέντε καὶ ἑξήκοντα γεγονὼς ἐγγὺς ἔτη· πατριαρχεύσας μὲν περί που τὰ τεσσαρεσκαίδεκα· ζήσας δὲ μετὰ τὴν καθαίρεσιν μῆνας δέκα. ἦν δὲ ὁ ἀνὴρ τὴν μὲν ἡλικίαν οὐ πάνυ εὐμήκης· τὴν δὲ τοῦ προσώπου ἰδέαν πάνυ εὐσχήμων· τήν τε γλῶτταν ἀκώλυτον ἔχων ἐν τῷ λέγειν· καὶ κανόνων ἐκκλησιαστικῶν καὶ νόμων, ὅσοι κατὰ τὰς δίκας ἰχνηλατοῦσι τὰς ἀναφυομένας ἐν τοῖς πολιτικοῖς πράγμασιν ὑποθέσεων, πάνυ τοι ἠσκημένος ἐκ νέου. τῆς γε μὴν Ἑλληνικῆς παιδείας οὐ πάνυ τοι σφόδρα μετέσχε, πλὴν ἢ ὅσον ἄκρῳ δακτύλῳ γεύσασθαι. ἀνεπλήρου δ' ὅμως τὸ ἐκεῖθεν ἐλλιπὲς ἡ τῆς φύσεως ὀξύτης. οὕτω γὰρ εὐφυής τε καὶ μνήμων ἦν, ὡς 2.814 δύνασθαι λέγειν ἀπὸ στόματος, ὅσα ποτὲ προανεγνώκει, μέχρι καὶ ἐς διάστημα δυοῖν καὶ τριῶν ἀσφαλῶς ὡρῶν. διὰ δὴ τοῦτο κἀκ τῶν θείων γραφῶν ἐρανιζόμενος τὰ ταῖς ἑκάσταις τῶν ἑορτῶν ἐς διδασκαλίαν τοῖς ἠθροισμένοις ὄχλοις κατάλληλα δημοσίᾳ διῄει πάντ' ἀπὸ στόματος ἀποτάδην, ὥσπερ ἀπὸ βιβλίου, μηδαμῇ ποτε μήτε γλώττης ἐνιαχοῦ διὰ λήθην ἀκροσφαλοῦς γινομένης, μήτε τῆς διανοίας ὑστεριζούσης κατὰ τὴν τῶν λεγομένων πρόοδον· ἀλλ', ὥσπερ ἐν ἁρμονίᾳ καὶ λύρᾳ, συνηχούντων ἐς τὸ πάνυ τοι εὐφυὲς καὶ ἀπεξεσμένον ἀμφοῖν. (Β.) Τούτων δ' οὕτως ἐχόντων, ἰδίᾳ παρειληφὼς ὁ βασιλεὺς ἐκεῖ τὸν υἱὸν, λόγων τε πειθοῖ καὶ πατρικῶν ἀβύσσοις παραινέσεων, λογισμῶν τε ἐκείνων ὑπέρτερον, ὁπόσοι πλήρεις τῶν μελλόντων ἦσαν φόβων, ἔπραττε καὶ ἅμα τῆς Ῥωμαίων ἡγεμονίας ἀποτεμόμενος μέρος ἡγεῖσθαι διὰ βίου παρεῖχεν, οἱονεί τινα σατραπικὴν καὶ αὐτόνομον ἡγεμονίαν, πρός τε τὸ ἀσφαλῶς καὶ βεβαίως καὶ ἅμα τῶν ὑποπτευομένων φόβων ὡς πορρωτάτω ζῶντα διατελεῖν. τὸ δὲ ἦν, μῆκος μὲν, ὅσον τὸ ἐκ Διδυμοτείχου πρὸς ἄνεμον ζέφυρον ἀποκλῖνον, ἄχρι που τῶν τῆς Χριστουπόλεως ἔγγιστα προαστείων· εὖρος δ', ὅσον τὸ ἐκ θαλάττης εἰς Ξάνθειαν ἀνιὸν τὸ πολίχνιον, καὶ ὅσα μικρὸν ἐπέκεινα κεῖται χωρία. παρασήμοις γε μὴν τοῦ μεγέθους συμβόλοις κεχρῆσθαι ἐπέτρεπεν, ὅσα βασιλείας μέν εἰσιν ἧττω, ἀξιωμάτων δ' ἁπάντων ἄλλων ἐπέκεινα· παρήγγελλέ τε, καθάπερ εἰκόνα καὶ ἀφορμήν τινα μείζονος εἶναι νομίζειν τοῦτ' ἐξουσίας. (Γ.) "1Σοὶ μὲν γὰρ εὐφυῶς,"2 φησὶν, "1ἄρχοντι, καὶ 2.815 ξύν γε τῇ προσηκούσῃ προνοίᾳ ταυτὶ τὰ μέτρια τῶν ὑπηκόων διοικοῦντι πράγματα, ἐξέσται δήπου καὶ μείζονός ποθ' ἡγεμονίας ἐπειλημμένῳ πρὸς τὸ ἄμεινον ἄγειν· καὶ ἅμα οἷς ἀφορᾷν περιγίνεται πρὸς σὲ, καὶ τοῖς γε σοῖς ὁπώσποτε φιλοῦσιν ἐγκαλλωπίζεσθαι προτερήμασι, καὶ τούτοις δ' αὖ βεβαίας λελείψεται κτᾶσθαι προσδοκίας ἐπὶ σοὶ, ὅσαι τῆς ἀγαθῆς φλεβὸς ἀπορρέουσαι βίον προμνῶνταί σφισιν εὐδαίμονα. οὐδεμία γὰρ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐῤῥαθυμημένη καὶ ἀνανταγώνιστος ἀρετὴ λαμπρῶν ἀξιοῦται γερῶν, ὁπόσα περιφανεῖς βραβεύει στεφάνους. ἐπεὶ καὶ σύνεσιν ἀνδρὸς καὶ γνώμην ἡγεμονικὴν οὔτ' ὄψις, οὔτε μαντικοί τινες τρίποδες, εἴ τινες εἶεν χρηστηριαζόμενοι, τοῖς πολλοῖς οὑτωσὶ προσημαίνειν δύνανται, ὡς ἡ ἐπὶ τῆς χρείας καὶ τῶν καιρῶν ἀναλάμπουσα πεῖρα τῶν τε λόγων καὶ πράξεων. πολλοῖς γὰρ ἐξ ἀπειρίας ὁ φανταστικὸς νοῦς μεγάλας ὑποτίθησι πλάττων εὐτυχίας τε καὶ μακαριότητας, καθάπερ αἱ ζωγράφων χεῖρες τοὺς τύπους τοῖς χρώμασι, παίζουσαι κατὰ τὸ βουλόμενον τῆς ψυχῆς. ἡ δ' ἐκ τῶν πραγμάτων πεῖρα, οἷον ἔμψυχος διδάσκαλος καθισταμένη, μέγαν ἐντίθησι νοῦν, καὶ σωφρονέστερον εἰς ἁρμονίαν προδείκνυσι βίου τὸν ἄνθρωπον. Ἐγὼ δέ σε καὶ φραγμὸν οἱονεί τινα τίθημι τῆς ἡμετέρας ἀρχῆς καὶ ἐπικρατείας, ὡς ἐξεῖναί σοι, δίκην προβλῆτος ἀναδεδειγμένῳ, τὰς οἷον ἐξ ἀχανοῦς πελάγους τῶν Τριβαλλῶν τρικυμίας σεαυτῷ μὲν ἀφορμὰς λαμπρῶν διδόναι τροπαίων, τοῖς δ' ἡμετέροις ἀσφάλειαν πράγμασιν. ἐξ ὧν περιέσται σοι μάλιστα καὶ ὁ πολὺς τῶν ἐπαίνων ἑσμὸς ἐκ τοῦ κοινοῦ τῶν Ῥωμαίων γένους, 2.816 κοινὸν τοῖς ὅλοις χαριζομένῳ τουτὶ τἀγαθόν. τῷ ὄντι γὰρ ἡ τῶν ἡγεμονικῶν εὐγένεια πράξεων ἐν τῇ ὑπηκόων γνώμῃ τὸ τίμιον ἔχει. εὖ γὰρ πάσχοντες ἰσοθέους διδόασί σφισι τιμάς· κακοπραγοῦντες δὲ δρᾷν οὐκ ὀκνοῦσι πᾶν τοὐναντίον, ταῖς παντοδαπαῖς τοῦ βίου τύχαις ῥᾷστα συναλλοιούμενοι. Οὐκ ἀγνοῶ δ' ἔγωγε, ὡς ἐγκαλεῖν τὸ τῆς χάριτος ἔχεις ἡμῖν ἄχαρι, καὶ ὡς σταλαγμόν σοι παρέχοντες εὐφροσύνης ὅλα σοι πελάγη συμφορῶν ἐπαντλοῦμεν. ἐκεῖνα γάρ σοι παρέχομεν ἔχειν χωρία, ὁπόσα διηνεκῶς τὸ πολέμιον ἐπιβόσκεται πῦρ, καὶ ὅσα οὐχ ἧττον τῶν μεθ' ἡμέραν καὶ νύκτωρ δῃούντων ἐστὶν ἐθνῶν, ἢ ἡ ἡμετέρα. ἃ γὰρ ἀεὶ κατατρέχοντες ἀτριβῆ τινα πράττουσιν ἐρημίαν ἐκ μὲν θαλάττης αἱ λῃστρικαὶ τῶν ἐξ Ἀσίας δυνάμεις Περσῶν, ἐκ δ' ἠπείρου τῶν Τριβαλλῶν αἱ φανεραὶ καὶ λανθάνουσαι κατὰ τὸ συνεχὲς ἐκδρομαὶ καὶ στρατοπεδεῖαι, ταῦτά σοι κλῆρον παρεσχηκέναι γέγονεν ἡγεμονίας ἡμᾶς, ἄπαυστον μάχην μᾶλλον εἰπεῖν καὶ κίνδυνον ὑπὲρ κεφαλῆς αἰωρούμενον, οἱονεί τινα λίθον Ταντάλειον, ἢ διανομὴν προμηθῆ. καὶ δίκαια μὲν πάντως ἔσται σοι τὰ λεγόμενα, ἢν ταῦτα προφέρειν ἐθέλῃς ἡμῖν, οὐ μάλα γε μὴν ἰάσιμα. οὐδὲ γὰρ, καίπερ ἐθέλουσι καὶ πολλὰ σκεπτομένοις, ἡμῖν παρέσται μέρος σοι πλὴν τοῦ δοθέντος ἕτερον ἀντιδιδόναι. Ὁρᾷς γὰρ ὡς εἰς στενὸν κομιδῇ τὰ Ῥωμαίων ἐλήλαται πράγματα, καὶ ἄβατός τις μικροῦ καὶ θηριώδης ἡμῖν ἀντὶ πάντων ἡ τῆς Θρᾴκης ἥπλωται μόνη γῆ· πόλεις δ' ὀλίγαι περὶ αὐτὴν γένους διασώ 2.817 ζουσι λείψανα μόλις Ῥωμαϊκοῦ, δίχα προαστείων καὶ αὗται καὶ τῶν ὀφειλομένων προθύρων εἰς εὐκοσμίαν πολιτικὴν, καὶ πρός γε μακροῖς τισιν ὅροις καὶ διαστήμασιν ἀοικήτοις ἀλλήλων διεστηκυῖαι· καθάπερ ἐν μακρῷ πεδίῳ καὶ παμπληθεῖ καλάμῃ μετὰ θέρος καὶ δρέπανον σποράδες ἅμα καὶ εὐαρίθμητοι στάχυες. ἐῶ γὰρ τὴν τῶν ἔνδον ἀριθμεῖν τραγῳδίαν, ἣν ἡ κατ' ἀλλήλων πολύχους ἐπήνεγκε στάσις· ὡς εἰδώλοις γέ τισιν ἐοικέναι μᾶλλον οἰκητόρων, ἢ οἰκήτορσιν. οὕτω δυστυχῶς ἔχει τὰ καθ' ἡμᾶς πράγματα νῦν, καὶ οὕτως ἡ τῶν ἐμῶν διωκτῶν ἐμφύλιος καὶ δυσπαραμύθητος στάσις οὐ μόνον μεγίστας τοῖς φαυλοτέροις παρέσχεν ἀρχὰς εἰς ἐθισμὸν ἀταξίας ὁμοῦ καὶ τραχύτητος, ἀλλὰ πάνυ τοι σφόδρα καὶ τὴν τῶν ἀλλοφύλων ἐχθρῶν καθ' ἡμῶν ἐπέῤῥωσε δύναμιν. Ἢ πόθεν ἄλλοθεν μέγας καθ' ἡμῶν ὁ Τριβαλλὸς ἐγεγόνει· ὃς καθάπερ ποταμὸς πλημμυρήσας, καὶ μακροῖς διαστήμασι τοὺς οἰκείους ὑπερβὰς ὅρους, τὰ μὲν τῆς Ῥωμαίων ἡγεμονίας παμπληθέσιν ἤδη ῥοθίοις κατέκλυσε, τὰ δ' ἀπειλεῖ κατακλύσειν; δυσαριθμήτοις γὰρ διαστήμασι γῆς ἡμῶν ἀφιστάμενος τοσαύτην εἴληφε τόλμαν καὶ δύναμιν, ὡς καὶ τὴν ἡμετέραν ἤδη συνεχῶς κατατρέχειν τὰ τούτου στρατόπεδα, καὶ μηδενὸς κωλύοντος ἐξ ἐφόδου ληΐζεσθαι, καὶ τὸν τῶν ἐπιδορατίδων ψόφον ἐς τὰς ἡμετέρας ἔχειν τέως ἀκοὰς παραπέμπειν· καὶ ταῦτα μηδὲν μηδαμῇ τι πλέον γενναιότητος γνώρισμα πρός γε τὸ νικᾷν παρεχόμενος, ἢ τὰς Ῥωμαίων τύχας οἰκείαν τιθέμενος εὐβουλίαν καὶ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

δύναμιν. Ἔπειτα τίνα με οἴει ψυχὴν ἔχειν, ὦ φίλτατε, ἢ ποίοις 2.818 ὀδυνῶν ἄνθραξι πυρπολεῖσθαι τὴν τῶν πατρικῶν σπλάγχνων σύμπηξιν, ὁπότε σε θορυβούμενον οὕτω καὶ τὴν ψυχὴν ὑπὸ τῶν μελλόντων θραυόμενον φόβων ὁρῶν κατὰ βούλησιν ἀναψύχειν ἥκιστα δύναμαι· ἀλλ' ὥσπερ πολλοῖς τισι κεκυκλωμένος ἀντιπάλοις ξίφεσιν, ἀνθέλκουσί τε καὶ ἀντιπερισπῶσιν ἑκάστοις πρὸς ἑαυτὰ, πρὸς οὐδὲν τῶν ἁπάντων ἀποκλίνειν ἔχω μετά τινος εὐφυοῦς λογισμοῦ, οἷος ἂν ἐφόδια εἴη κεκτῆσθαι ἱκανὸς ἐς χωρίον κατάγειν εὐλίμενον, καὶ τοιούτων θορύβους κυμάτων δυνάμενον ἀποκρούεσθαι; πρὸς μὲν γὰρ τὰς τοῦ μακαρίτου βασιλέως ἐκείνου καὶ φίλου κατὰ τὸ εἰκὸς ἐντολὰς ἀποβλέπων τῷ ἐκείνου παιδὶ τὸν βασίλειον ἀναγκάζομαι περιποιεῖσθαι κλῆρον· πρὸς δ' αὖ τὰς ἐνόρκους ἐπαγγελίας, ἃς τοῖς ξύν γε ἐμοὶ διωκομένοις καὶ κινδυνεύουσιν ἔπραττον ὑπ' ἀνάγκης ἐγὼ, τὸν περὶ ψυχῆς ἀγωνιζόμενος πολύμοχθον ἐκεῖνον δίαυλον, καὶ καταφεύγων ὡς εἰς φρουρὰν ἀναγκαίαν τὴν τῶν βασιλικῶν συμβόλων ἀντίληψιν, αὖθις ἀναγκάζομαί σφισι διανέμειν τὰ λειπόμενα τῶν βασιλικῶν χωρίων, οὐ μάλα σὺν ἡδονῇ. Ταῦτ' οὖν ἐννοοῦντί σοι, φίλτατε, φέρειν γενναίως εἰκὸς, εἴ τι μὴ κατὰ βούλησιν εἴη παρακομιζόμενον ὑπὸ τῶν ἀεὶ τοῖς ἀνθρωπίνοις ἐφεδρευόντων πράγμασιν ἐπαχθῶν. μὴ γὰρ νῦν πρῶτον ἄρχεσθαι οἴου διὰ σὲ τὴν τοῦ βίου δυσέφικτον ταύτην δυσχέρειαν. ἀλλ' ἀεὶ περιχορεύει τἀνθρώπινα πάνθ' ὁμοίως, καὶ πάσης ἐπίσης κατορχεῖται τύχης καὶ ἡλικίας. τὸ μὲν οὖν λύπης ἄθικτον διανύσαι τὸν βίον, τοῦτο δ' ἀδύνατον εἶναι νόμιζε, καὶ τῆς ἀνθρωπίνης ὡς πορρωτάτω φύσεως· τὸ δὲ τἀπιόντα διηνεκῶς ἐξ ἀδήλου δεινὰ πειρᾶσθαι φέρειν γενναίως, 2.819 τὴν τῶν ναυτιλλομένων μιμούμενον κυβερνητικὴν, τοῦτο δ' ἀνδράσι προσῆκον νοῦν ἔχουσι, καὶ μάλιστα τοῖς ἀρχαῖς πολιτικαῖς ἀσχολοῦσι τὸν ἅπαντα βίον. ἀγαπητὸν γὰρ ἂν εἴη τὰ τῆς λύπης ἐπίσης ἀνακεκρᾶσθαι τοῖς εὐφραίνουσι, καὶ μὴ πλεονεκτεῖν τὰ χείρω. ὁρῶ μὲν γὰρ, ὡς πολύχουν μὲν ἀεὶ τὸ δυστυχὲς ἐπιῤῥεῖ τοῖς ἡμετέροις καθάπερ ἐκ λόχου δεινῶς ἐπιτιθέμενον πράγμασι· τὸ δ' εὔδαιμον σφόδρα τοι σπάνιον· καὶ τοῦτο δ' οὐ μόνιμον, ἀλλὰ δίκην ἄνθους τάχιστα μαραινόμενον· οἶμαι, τοῦ θεοῦ παίδευμα τοῦθ' ἡμῖν δραστικώτατον μάλα ἐπάγοντος, ἵνα μὴ μέγα φρονῶμεν, ὑπέρτερα τῆς τοῦ θνητοῦ φύσεως ἀναλογιζόμενοι. διὰ δὴ τοῦτο καὶ Αἰσώπῳ πάλαι τῷ Φρυγὶ τὸν θεὸν οὐχ ὕδατι νομίζειν ἐπήει τὴν γῆν, ἀλλὰ δάκρυσι, φυράσαντα πλάσαι τὸν ἄνθρωπον."2 (Δ.) Ταῦτ' εἰπὼν ὁ βασιλεὺς τὸν μὲν υἱὸν ἀφῆκεν ἐπὶ τὸν δοθέντα γίνεσθαι κλῆρον· αὐτὸς δὲ ταχὺ τὰ ἐκεῖθεν, ὡς ἐδύνατο, καθιστάμενος πράγματα τὴν ἐς Βυζάντιον ἐπορεύετο. εʹ. Ἐμοὶ δ' ἐνταυθοῖ γενομένῳ τῆς ἱστορίας ἀνακεφαλαιώσασθαι ἔπεισιν, ὅσα μοι διὰ τὸ τῶν πολλῶν παρεῖται ἐπίφθονον, οἷς προὔργου τοὺς γείτονας γίνεται μέμφεσθαι, περὶ σφῶν αὐτῶν ἀφηγουμένους τὰ βέλτιστα· βασκανίαν εἰδότι πᾶσιν ἀγαθοῖς ἐπιφυομένην, ἣ τὴν φύσιν ἀντιστρατευομένην ἔχει ταῖς ἀληθείαις διηνεκῶς. ἄλλως τε καὶ τῆς κακίας ἐν σπαργάνοις ἔτι καὶ γάλαξι κρυπτομένης, καὶ τὴν ἀγαθὴν τῶν πραγμάτων προσδοκίαν τέως προβαλλομένων, ἄφυκτον ἥκιστα εἶχεν ἑπομένην ἐνταῦθα τῶν λόγων τὴν χρείαν ὁ χρόνος. νῦν δ' ἐπειδὴ τά τε τῶν ὠδίνων ἐῤ 2.820 ῥάγη καὶ λαμπρὸν ἐγείρουσι τὸν πυρσὸν οἱ τῶν ἐναντίων σπινθῆρες πραγμάτων κατὰ τῆς ἀληθείας, καὶ δέος μὴ τοῦ μέλλοντος ἀνθρώποις ἅπασιν ἐν ἀδήλῳ κειμένου, τῆς κάτω ζωῆς ἡμῶν τελευτῇ μεταξὺ χρησαμένων, πρὶν καλῶς ξυννενοηκέναι τοὺς λόγους τῆς συμφορᾶς, ἀγνοῆται τοῖς ἐσομένοις τἀμὰ, ὅπως τε προσηνέχθημεν τοῖς τῆς ἐκκλησίας οὕτω ταραττομένης πράγμασι καὶ ὅπως τῷ βασιλεῖ προσιόντες ὅσον τὸν ζῆλον ἐνεδειξάμεθα, ἀναγκαῖον ἡμῖν ἐψήφισται, βραχέα τῶν πολλῶν συνελόντας εἰπεῖν. (Β.) Ἄρχουσι μὲν γὰρ τὰ ἥδιστα λέγειν ὑπηκόους εἶναι ἀκίνδυνον, πρὸς δὲ τὸ τραχὺ καὶ ἀντίξουν, καὶ ἥκιστα κατὰ γνώμην, θήγειν τὴν γλῶτταν, δυσπρόσοδον μὲν εὑρίσκειν ἀκολουθεῖν τὴν ἀκρόασιν, πρόχειρον δ' εἰς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

λοιδορίας τὴν δεσπόζουσαν γλῶτταν καθ' ἑαυτοῦ, καὶ πρός γε προχειροτέραν εἰς τιμωρίας τὴν χεῖρα, δοκεῖ μοι παρ' οὐδενὸς ἀγνοεῖσθαι. διό μοι διεξιέναι βουλομένῳ τὴν παῤῥησίαν καὶ τὸ θέατρον ἐκείνου τοῦ ζήλου δεδιέναι περίεστι, μὴ πολλοστημόριον τῆς ὅλης λέγων ἀληθείας μηδὲ πολλοστημόριον ψεύδους δόξω καταλιμπάνειν. ὑφορώμενος οὖν καὶ τοὺς τὴν ἀλήθειαν ἐνίοτε τραχεῖαν δύσηχον ἡγουμένους, ὁπότε τι γενναῖον ἔχοι πρὸς ὄγκον ἡ τῆς ἀρετῆς ἐπίδειξις, καὶ μάλισθ' ὁπότε περὶ ἑαυτοῦ τις ἀφηγεῖσθαι τὰ λῴονα βούλοιτο, καὶ εἰ μυρίων ἔχοι θεασαμένων μάρτυρας ὀφθαλμοὺς, ἑκὼν ἀφωνίᾳ τὰ πλεῖστα παρίημι. (Γ.) Ἐμοὶ γὰρ λαμπρὰν ἐσχηκότι φιλίαν ἐκ πολλοῦ πρὸς βασιλέα, καὶ πρὶν ἐς τὰς βασιλείους ἀνα 2.821 βεβηκέναι τύχας, διά τε τοὺς τῆς πραότητος τρόπους καὶ ὅσα τἀνδρὶ προσῆν ἐκ φύσεως ἕτερα τὰ χρηστὰ, ἐλπίδων ἔχειν ἐν τῇ ψυχῇ λειμῶνας εἰπεῖν ἀγαθοὺς ξυνέβαινε μάλιστα πάντων, λύσειν αὐτὸν αὐτίκα τῆς βασιλικῆς ἐξουσίας ἐπειλημμένον τὴν τῆς εὐσεβείας οἰομένῳ πολιορκίαν, ἣν οἱ τῆς ἀντικειμένης φατρίας Τελχῖνες πονήρως ἀνέφλεγον· καὶ τοῦτό μοι τῶν μοχθούντων λογισμῶν ἐγίγνετο κατάλυμα τερπνὸν, καὶ φροντίδων ὀλισθαίνειν εἰς ἀπόγνωσιν κινδυνευουσῶν πρᾶός τις καὶ γέμων εὐφροσύνης ζέφυρος· οἰομένῳ, καθάπερ τὸ ἔαρ ἐλευθερίαν τῶν χειμερίων νεφῶν ταῖς ἡλιακαῖς ἀκτῖσι παρέχεται, οὕτως ἐλευθερίαν τῆς κατεχούσης ὑπὲρ τῶν θείων δογμάτων λύπης εὑρήσειν κἀμέ. (Δ.) Ἐπεὶ δ' ὡς πoῤῥωτάτω τῆς ἐμῆς ἤδη ἀπόδημον γνώμης ἑώρων αὐτὸν, καὶ τὸ τῶν εὐγενῶν ἐκείνων ἐλπίδων ἀνθοῦν ἐνδιαίτημα μαραινόμενόν τε καὶ τῇ τῆς ἐναντίας μοίρας κακίᾳ παραχωροῦν τε καὶ καθάπαξ ἡττώμενον, βέλτιστον ἔδοξεν εἶναί μοι, τὰς τῶν ζητήσεων ἄλλας ἄλλοις παρακεχωρηκότι περιφανῶς, ὁπόσαι τὴν τῶν ἀναγκαίων πορίζειν ἔχουσιν ἔνδειαν, ἐπὶ τὸ προμηθὲς ὁμόσε τῆς τοῦ φίλου κεχωρηκέναι ψυχῆς. στρατόπεδα γὰρ, ὡς εἰπεῖν, λογισμῶν παντοδαπῶν καὶ ποικίλων, ὑφ' ἡγεμόνι τῷ ζήλῳ τοῦ κρείττονος ἐν ἐμοὶ διηνεκῶς συγκροτούμενα, θανάτου γέμουσαν εἶναι τὴν ἐνταυθοῖ σιωπὴν ὑπετίθεντο, σώματος μὲν ἴσως ἥκιστα, ψυχῆς γε μὴν καὶ μάλα μάλιστα. μηδὲ γὰρ ἀφεστάναι δειλίας, αἰσχίστου νοσήματος, τὸ τὸν τοῦ ζήλου θησαυρὸν ἀφωνίᾳ μακρᾷ θαλαμεύειν, μηδ' αὖ ἀγνοεῖν ἡμᾶς, τὸν ἐν τῷ 2.822 τῆς δειλίας σκότῳ κρυπτόμενον πόθον τῶν ἀγαθῶν ἥκιστα δύνασθαι συνιδεῖν τὴν τῆς θεοῦ παῤῥησίας ἀλήθειαν. ᾧ γὰρ προφάσεις δῆθεν εὐλόγους ὑπὲρ δειλίας πλάττειν εἴη ἐθέλοντι, τὸν ἀκοίμητον οἰομένῳ λανθάνειν ὀφθαλμὸν τοῦ θεοῦ, λέληθε προφανῶς αὐτὸς ἑαυτὸν ἀπολλὺς καὶ καθ' ἑαυτοῦ στρατευόμενος ἄντικρυς. τοσοῦτον γὰρ διαφέρειν ἐς τὴν τοῦ κρείττονος μοῖραν οἴομαι τὴν παῤῥησίαν ἐνταῦθα τῆς σιωπῆς, ὅσῳ τῶν ἐκ γῆς φυομένων ὁπόσα πρὸς τὸ αἰθέριον μετεωρίζει φῶς τοὺς καρποὺς τῶν ἐν τοῖς κόλποις τῆς μητρὸς γῆς ταμιευομένων. ἐκεῖνοι μὲν γὰρ καὶ πρὸ γεύσεως ὄσφρησίν τε καὶ ὀφθαλμὸν ἑστιῶσι λαμπρῶς, καὶ χαρίζονταί γε ἀφῇ, καὶ τέρψεως σχεδὸν ἁπάσης ἁπάσαις αἰσθήσεσι γίνονται ἄγαλμα· τούτων δὲ οὐκ εὐπρόσοδον οἱ πλεῖστοι ταῖς αἰσθήσεσιν, οὐδ' ἱλαράν τε καὶ ἄλυπον παραχρῆμα προσάγουσι τοῖς χρῄζουσι τὴν ἑαυτῶν φορὰν, ἀλλ' ὅλην ὅλης ὡς τὰ πολλὰ δριμύτητός τε καὶ δυσωδίας σφόδρα ἀπόζουσαν. ἄλλως τε καὶ οἷς μὴ εἶναι παῤῥησίαν ὁμοῦ τοῖς καιροῖς ἕπεται, τούτοις δήπου καὶ εὐπροφάσιστόν τινα χώραν ἀπολογίας εἰς ἀπόδρασιν λείπεσθαι, βραχεῖς τινας πάντως ἢ μηδένας εἶναι τοὺς ἀντεροῦντας οἶμαι. μήτε γὰρ παῤῥησίαν, ἧς θεμέλιος ἄσειστος προειληφυῖα γίνεται φιλία, τῶν προσηκόντων πόῤῥω καιρῶν, μήτε καιροὺς παῤῥησίας τοιαύτης ἄνευ ἐντελές τι δύνασθαι δρᾷν. εἶναι γὰρ καὶ παῤῥησίαν φιλίας χωρὶς ἀμαυρόν· καὶ αὖ καιρὸν, ἀμφοῖν ἐκείνοιν λειπόμενον, περαίνειν μὴ δύνασθαι τῶν δεόντων 2.823 μηδέν. ἡμῖν δ', οἷς τὸ θαῤῥεῖν ἐκ πολυετοῦς ἐκείνῳ συντέθραπται φιλίας καὶ ὁμιλίας, ἄτοπον εἶναι ἐδόκει, σιωπῇ καθυφεῖσθαι τοὺς τῶν ἀναγκαίων ἐς τὴν χρείαν καιρούς. (Ε.) Ὅθεν ὁμιλίας ἕνεκα καὶ νῦν συχνὰ καλοῦντι τῷ βασιλεῖ συχνὰ καὶ αὐτῷ μοι



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

φοιτᾶν ἐς αὐτὸν περιῆν, δι' οὐδέν τι τῶν πάντων ἕτερον ἐμὲ τῆς προθυμίας εἰς τὴν σπουδὴν ἐγειρούσης, εἰ χρὴ τὸ τῆς καρδίας ἀνακαλύπτειν ἀπόρρητον ἐνταυθοῖ καὶ μὴ παρακρούεσθαι τὴν ἀλήθειαν, ἢ τοῦ μὴ καθυφεῖναι, οἷς ἂν δι' ἐφέσεως εἴη, πατέρων ὅρια κινοῦσιν, ἐκτόπους ἀντεισάγειν καινοφωνίας, ἀλλ' ἐμμένειν τοῖς δεδομένοις δόγμασι παραινεῖν ἀσφαλῶς. καὶ ἦν οὐδὲν, ὃ μὴ ποιῶν καὶ λέγων ὑπῆρχον ἐγὼ, παντοδαπὸς γιγνόμενος, καὶ πάντα κάλων κινῶν, νῦν μὲν τὸν κολακικώτερον τρόπον καὶ λόγοις καὶ γράμμασι πρὸς αὐτὸν ἐνδεικνύμενος, ἵν' οὑτωσί πως τὸ ἦθος πρότερον τιθασσεύσας αὐτοῦ πρὸς τὸ βουλόμενον σχοίην πειθόμενον· νῦν δ' ἐλέγχων καὶ ψυχῆς αὐτῷ νωθρότητα ὀνειδίζων, καὶ ὅσα Ῥωμαίους δεινὰ καταλήψεται προλέγων διὰ τὰ τοιαῦτα τῆς ἐκκλησίας ναυάγια. "1οἷς μὲν γὰρ τῶν εὖ κειμένων πατρίων (ἔφασκον) νομίμων οὐδεμία τολμᾶται παράβασις, εὔδρομον μὲν τὴν τοῦ βίου φορὰν πρὸς εὐδαιμονίαν, εὐέλπιδα δὲ τὴν τῶν ἐπηγγελμένων τοῖς δικαίοις ἐς τὸ μέλλον ἀποκατάστασιν εἶναι· οἷς δὲ τοῖς εὖ κειμένοις οὐχ ἕπεται δόγμασιν ἕπεσθαι τῶν πατέρων, τούτοις δ' ἀνήκεστα μὲν τὰ τοῦ βίου περιχωρεῖν παλαίσματα, καὶ μάλα ταῖς προαιρέσεσιν ἐναν 2.824 τία τῶν πραττομένων τὰ τέλη· ἀνηκέστους δὲ καὶ δυσέλπιδας μᾶλλον τὰς μετὰ τὸν βίον καταγωγὰς ἀπαντᾷν."2 (´.) Ἄρτι δὲ καὶ τὴν ἀντικειμένην φατρίαν ξυνενόουν ἐγκειμένην ἑτέρωθεν, λάθρα τε καὶ προφανῶς αὐτὸν διεγείροντας, ἐξορίας με δρᾷν τὴν ταχίστην ὑπεύθυνον. ἐδεδίεσαν γὰρ, οἶμαι, μὴ τῷ τοῦ ἡμετέρου ζήλου πυρὶ, καθάπερ σίδηρος, ὀψέ ποτε μαλαχθεὶς εὐπαθέστερος γένηται πρὸς πειθὼ, καὶ ὅλην μεταβαλὼν τὴν τῶν δικτύων ἐπίβουλον θήραν ἀνασοβήσῃ. διὸ καὶ ἐς τὸ παραβολώτερον μᾶλλον ἐκεῖθεν τὸν ἐμὸν καὶ αὐτὸς ἀνεχάλκευον τρόπον, καὶ ἀφειδέστερον ἤδη τοῖς πρὸς αὐτὸν ἐλέγχοις ἐχρώμην, δυοῖν ἕνεκα· ἢ γὰρ αἰδεσθέντα παύσειν τὸ τοῦ κατὰ τῆς ἐκκλησίας πολέμου βίαιον, ἢ κἀμὲ τοῦ Βυζαντίου τάχιστα ποιεῖν ἠναγκάσθαι ἐξόριστον. μηδὲ γὰρ ἀνεκτὸν εἶναί μοι, τὴν τῶν δογμάτων καινοτομίαν ὀφθαλμοῖς ὁρᾷν εὐσεβεῖν αἱρουμένοις. ἀλλ' ἦν ἄρα τὰ λεγόμενα μάταιος ὄχλος, καὶ ἐπόνουν ἀνήνυτα. οὔτε γὰρ οὐδὲ βραχὺ τῆς προθέσεως ἐκείνης ἐκεῖνος ἐνδοῦναι προῄρηται· αἰσχύνην γὰρ ἐνόμιζεν εἶναί οἱ τὴν τοῦ τρόπου μετάθεσιν, καὶ τὴν τῆς δόξης μεταβολὴν, ᾗ τὴν ἰσχὺν αὐτὸς ἐξ ἀρχῆς χαρισάμενος τῆς ὅλης μάλιστα πάντων ἔδοξεν ὑποθέσεως αἴτιος· οὔτ' ἐμοί τι δεινὸν ἐπάγειν, πάνυ τοι λοιδοροῦντί τε καὶ χλευάζοντι, οὔτ' οἴκοθεν αὐτὸς βεβούλευται, οὔτε ξυνωθούντων ἄλλων παρενήνεκται. ἀλλ' ἦν ἀπὸ τοῦ ἴσου μοι διαλεγόμενος, μετὰ τῆς συνήθους πραότητος ἀεὶ, ὥσπερ οἱ μὴ δυνάμενοι τοὺς ἐναντίους ἀμύνεσθαι· τὴν μίμησιν, οἶμαι, πρὸς Ἀδριανὸν εὐστόχως ἀνάγων τὸν αὐτοκράτορα, 2.825 ὃς αὐτῷ φιλονείκως ποτὲ διαφερομένου Φαβωρίνου τοῦ φιλοσόφου, ἐξὸν ἀποκτείνειν, ὁ δὲ οὐδαμῇ παρωξύνετο, ἀλλ' ἐνεκαρτέρει τῷ μειλιχίῳ τοῦ ἤθους, ἀπὸ τοῦ ἴσου διαφερόμενος. διὸ κἀνταῦθα μᾶλλον ὁ βασιλεὺς ἐθαυμάζετο πρὸς τῶν παρόντων διὰ τὸ τοῦ ἤθους ἥμερον, ἤπερ ἐγὼ διὰ τὸ τοῦ ζήλου θυμοειδές. (Ζ.) Τούτων δ' οὕτως ἐχόντων, καὶ οὕτω χωρούσης τῆς τῶν πραγμάτων τύχης, οὐδ' οὕτως ἦν ἡσυχῇ καθήμενον φέρειν ἐμέ· ἀλλ' ἐδυσφόρουν καὶ ἤσχαλλον, καὶ μέσης ἥπτετό μου τῆς καρδίας τὸ πάθος· καὶ καιρὸν τῆς ἐμῆς ἐζήτουν προθέσεως ἄξιόν τι, πρὶν ὑπὸ λύπης παθεῖν, δεδρακέναι. τοῦ δὲ χρόνου χωροῦντος ἐς τὸ τοῦ φθινοπώρου πέρας, ἐπειδὴ τῷ βασιλεῖ διὰ Ματθαῖον τὸν υἱὸν, ὡς εἴρηται, διὰ σπουδῆς ἀφικνεῖσθαι ἐς Διδυμότειχον ἦν, ἵνα δὴ λυπούμενον ἐκεῖνον παραμυθούμενος τὰς τῆς βασιλίδος Εἰρήνης ἐπαγγελίας εἰς ἔργον ἀγάγῃ, τοῦτον ἐγὼ τὸν καιρὸν ἀγαθὸν ἡγησάμενος ἕρμαιον, καὶ τοῖς σκοπουμένοις ἐπιεικῶς μοι προσήκοντα, πρόσειμι κατ' ἰδίαν Εἰρήνῃ τῇ βασιλίδι, καὶ ἅμα τοῦ τε ζήλου δῆλον τίθημι τὸ φλέγον καὶ τούς γε ὑπὲρ εὐσεβείας ἄνθρακας ἀνακαλύπτω τῆς ἐμῆς καρδίας, κἀπὶ νέῳ καὶ ἀκμάζοντι τῷ τοῦ παιδὸς τὴν καρδίαν τέως ἠσχολημένην πένθει τῆς ἐκείνου τελευτῆς αἰτιώτατον



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἔφασκον εἶναι τὴν τῶν δογμάτων κατάλυσιν· ἧς ὁ ἐκείνου πατὴρ ἐνδιαίτημα βέβαιον πεπραχὼς τὴν καρδίαν μεγίστην τοῖς κακοῖς ἐδεδώκει ῥοπὴν εἰς τὴν τῆς κακίας ἐπίδοσιν. ταῦτ' εἰπὼν καὶ πλείω τοῖς εἰρημένοις ἀκόλουθα παρενείρας ἐκ τῆς γραφῆς ῥᾷον ἢ κατὰ τὰς ἐλπίδας 2.826 αὐτὴν ἐπεπείκειν. ἀγχίνους γὰρ οὖσα γυνὴ, καὶ δεισαμένη μὴ πένθος ἐπὶ πένθει προσλάβῃ παροξυνομένου θεοῦ, ξυνῆκεν εὐθὺς καὶ κράτιστος ἦν τοῦ λοιποῦ τοῖς ἐμοῖς συνήγορος λόγοις, ἥκιστά τε ἐκεῖθεν ἔληγε λοιδοροῦσα καὶ σκληροτέροις τοὺς τῆς ἐκκλησίας λύκους βάλλουσα σκώμμασιν. ἐντεῦθεν τοὐμὸν ἐν πάσαις ἔκειτο γλώσσαις ὄνομα, πρᾶγμα τετελεκότος μικροῦ τοῖς ὅλοις ἀπογνωσθὲν καὶ ἥκιστα, πρὶν εἰς ἔργον ἐλθεῖν, ἐλπιζόμενον. τοῦτο ταῖς ὀδυνωμέναις ὑπὲρ τῆς ἐκκλησίας ψυχαῖς ἡδείας ἀναπνοῆς τινος ἔδοξεν ἔαρ καὶ γλυκὺς θησαυρὸς εὐφροσύνης, καὶ οὐδὲ πόῤῥω χρηστῶν τινων ἦν ἐλπίδων, οὐδ' ἔτι μέγα πεῖσαι καὶ βασιλέα λοιπὸν, συμμαχούσης ἤδη τῇ ἀληθείᾳ καὶ βασιλίδος. (Η.) Ταῦτ' οὐκ ἦν ἀνεκτὰ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ· ἀλλὰ θόρυβος σφᾶς ἠγκαλίζετο· καὶ μυρίων θανάτων ἦν φορτικώτερον. διὸ καὶ πρὸς ἓν ἀθροιζόμενοι σύστημα πάντες, ὁπόσοι τῆς πονηρᾶς φατρίας τὰς τῶν ἐν Βυζαντίῳ φροντιστηρίων διέλαχον προεδρίας, καὶ πρό γε τούτων ὁ τὸν πατριαρχικὸν ἔχων Ἰσίδωρος θρόνον, προσῄεσαν Εἰρήνῃ τῇ βασιλίδι, πολλὴν ἐμοῦ δρῶντες τῇ γλώττῃ καταδρομὴν, καὶ πολλὰς καταχέοντες λοιδορίας, καὶ τὴν ἐμὴν ἀποσείεσθαι πείθειν ἐπιχειροῦντες ὁλοσχερῶς ὁμιλίαν. ἐπεὶ δὲ πολλὰ μογήσαντες ἤνυσαν μὲν οὐδὲν, ἠλαύνοντο δ' οὐκ ἄνευ μέμψεων ἐκεῖθεν μακρῶν, γράμματα ἐς βασιλέα τὴν τῶν ἀποβάντων ἔχοντα δήλωσιν πέμπουσιν, ἀξιοῦντες ἀφέμενον ὅσα οἱ ἀνὰ χεῖρας ἔτυχεν ὄντα δημοσίων 2.827 φροντίδων γέμοντα πράγματα ἐς Βυζάντιον τάχιστα ἀφικνεῖσθαι, σφῶν βοηθήσοντα δόξῃ, κινδυνευούσῃ τὰ καίρια, καὶ ὅσα ἐπὶ τούτοις ἀκόλουθα ἦν τῷ σκοπῷ· τά τε ἄλλα δηλαδὴ καὶ ὅσοις τὰς παλαμναιοτάτας ἐμοὶ προσάπτειν αἰτίας ἀπεῖναι οὐκ ἦν. (Θ.) Ὧι δὴ καὶ πρὸς τὴν ἀκοὴν εὐθὺς διαταραχθέντι μικρά τε τῶν ὅσα οἱ ἀνὰ χεῖρας ἦν τηνικαῦτα πεφροντικότι τάχιστα ἐς Βυζάντιον ἐδόκει τῶν ἀναγκαίων πορεύεσθαι, οὐ τοσοῦτον συστάσεως ἕνεκα τῶν καινοφωνιῶν, ὅσον τοῦ μὴ θορύβους ἐντεῦθεν ἐπιχωριάζειν τῇ μεγίστῃ πόλει τῶν Βυζαντίων. ἀφιγμένῳ δ' ἔργον ἦν οὐδὲν οὐδενὸς προϊστάμενον, ἢ ξύν γε τῷ πατριάρχῃ διάλεξιν πρός με πεποιημένοις πείθειν πειρᾶσθαι, μακρᾷ τινι θύοντα σιωπῇ, μηδαμῇ ταῖς τῆς ἀτόπου φάλαγγος καινοφωνίαις συχνὰ διαλοιδορούμενον μακρὰν παρέχειν ῥοπὴν, οἷς αὐτοὺς διασύρειν καὶ ὅλαις ταράττειν γλώτταις καὶ χείλεσιν ἐλευθέροις ἔρως μακρός. (Ι.) Ὡς δὲ πολλῶν ἐκεῖ ῥυέντων ἀντιπάλων λόγων μάταια λέγων καὶ βλασφημῶν ὁ πατριάρχης ὑφ' ἡμῶν ἠλέγχετο προφανῶς, οὐ μόνον ὅτι πλῆθος θεοτήτων ἀπειράκις ἀπείρως ὑφειμένων τῆς θείας οὐσίας, ἀκτίστων μὲν, ὁρατῶν δὲ καὶ ἀνουσίων, δοξάζειν ἐδόκει ξύν γε τῷ Παλαμᾷ, ἀλλὰ κἀξ ὧν ἰδίᾳ τοὺς μὲν εἰωθότας ἐπ' ἐκκλησίας ἄνωθεν τριαδικοὺς τῶν ἁγίων ᾄδεσθαι ὕμνους ἐς τἀφανὲς ἐῤῥίφθαι κατεδίκαζεν, ἐξουσίαν βουλομένοις πυρὶ καὶ θαλάττῃ χαρίζεσθαι παρεχόμενος· αὐτὸς δ' οἰκείους ἄρτι πεποιηκὼς, ἀτόπου φάναι γαστρὸς ἔκγονα βλάσφημα, τούτους ἀντ' ἐκείνων προσέταξεν ᾄδεσθαι· ἐν οἷς 2.828 τά τε ἄλλα γράφων ἦν καὶ ὡς οὐ τὴν οὐσίαν χρεὼν, ἀλλ' ἀνούσιόν τινα καθ' αὑτὴν λέγειν ἐνέργειαν εἶναι κυρίως θεόν· θέσει δὲ καὶ τὴν οὐσίαν, συγχωροῦντος ἴσως τοῦ ἀνθρωπίνου πόθου κατὰ τὸ ἀνάλογον, ὥσπερ καὶ ἄνθρωποι κατὰ χάριν υἱοὶ καλοῦνται θεοῦ καὶ θεοί· καὶ τὸ τοῦ συμπεράσματος σκοπιμώτατον, μὴ τὴν οὐσίαν, ἀλλὰ τὴν τῆς οὐσίας ἐκείνην ἀπεῤῥωγυῖαν ἐνέργειαν ἐκ τῆς παρθένου καὶ θεοτόκου σεσαρκῶσθαι Μαρίας· ἀμέθεκτον γὰρ εἶναι καὶ ἀνεπίστροφον τελέως τῶν κατὰ γῆν τὴν οὐσίαν ἐκείνην, ἐν τοῖς ἄνω που τόποις ὁριζομένην· πολλῶν οὖν ἐκεῖ ῥυέντων, ὡς εἴρηται, καὶ ποικίλων ἐξ ἀντιπάλου λόγων, καὶ μικροῦ τῆς ὅλης ἐκείνης ἐνταυθοῖ καινοτομηθείσης νυκτὸς, ἐπεὶ μὴ τὰ τῆς ὑποθέσεως ἄλλως ἠρεμήσειν ὁ βασιλεὺς


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ξυνενόει, Ἰσιδώρου μὲν ἐκείνου τοὺς νέους κανόνας ἀφανείας δοθῆναι προσετετάχει πυρί· παῤῥησιάζεσθαι δ' αὖθις τοὺς εἰωθότας ἐκ παλαιοῦ. τούτων δ' οὕτω συντεταγμένων καὶ συμπεφωνημένων, τράπεζα πολυτελὴς ἡμῖν παρεκομίζετο, σημεῖον ὁμοφροσύνης. καὶ συνεστιασθέντες οὕτω τοῖς βασιλεῦσιν ἀνέστημεν, ἐλπίσαντες ἐς τὴν ὑστεραίαν καὶ βασιλικοῖς κυριωθήσεσθαι γράμμασι τὰ συμφωνηθέντα, ὡς μὴ ἀμφίβολα τὰ γιγνόμενα εἴη ταῖς ἁπανταχῇ θαλάττης καὶ γῆς ὑπὲρ τῶν πατρίων τῆς εὐσεβείας δογμάτων ἀντεχομέναις θεοῦ ἐκκλησίαις. (ΙΑ.) Ἀλλ' οὐκ εἰς μακρὰν τὰ τῆς συμφωνίας ἐκείνης οὐδὲ πᾶσιν ἤρεσκε τοῖς ἐκ τῆς ἀντικειμένης φατρίας βέβαια παραμένειν· ἀλλ' ἀνάγκην προσῆγον τῷ βασιλεῖ, μετάπεμπτον καὶ Παλαμᾶν ἐς τὴν τῶν δεδογμένων 2.829 ποιεῖσθαι βουλὴν, μὴ θόρυβον, ὡς περιφρονούμενος, ἐπιὼν ἀνα2.829 φλέξῃ, τὴν τοῦ μύθου τοῦ Ἀττικοῦ μιμούμενος Ἔριν ἐκείνην, ἣν τῷ τερατώδει τοῦ μήλου μεγίστην πάλαι φασὶν ὑφάψαι στάσεως φλόγα καὶ μάχην τῷ τῶν θεῶν συνεδρίῳ, ὅτι μὴ ἐς τὴν κοινὴν ἐκείνην τῶν τῆς Θέτιδος γάμων τράπεζαν ἐσεκλήθη καὶ αὕτη. διὰ δὴ ταῦτα μετάπεμπτος ἐκ Διδυμοτείχου καὶ Παλαμᾶς ἐς Βυζάντιον τάχιστα γίνεται. καὶ ἵνα τἀν μέσῳ τοῦ φορτικοῦ χάριν παρέλθω, πρὸς τοὺς κατ' ἐμοῦ καὶ αὐτὸς ὁμοίως, μᾶλλον δ' εἰπεῖν οἰκειότερον κατὰ τῶν τῆς ἐκκλησίας δογμάτων, πολέμους ὁπλίζεται. καὶ ἐπειδὴ τὸν ἀγῶνα θυμοῦ καὶ κενοδοξίας πνέων εἰσῄει μακρᾶς, ἐμοῦ μηδένα πάρεδρον ἔχοντος σύμμαχον, πλὴν μόνου θεοῦ, καθάπερ καὶ ἐς τοὺς πρότριτα διαλόγους, αὐτὸς πρός γε τοῖς ἄλλοις καὶ αὐτὸν βασιλέα, τὸ τῆς ἰσχύος κεφάλαιον, κράτιστον εἶχε σύμμαχον. ἃ μὲν οὖν ἐμοί τε κἀκείνοις ἐν προοιμίοις λελάληται, μηδεμιᾶς ἐς τὴν παροῦσαν ἀφήγησιν ἔχοντα χρείας ἀνάγκην, σιωπῇ παρατρέχειν κεκρίκαμεν δεῖν. τὰ δ' ἐφεξῆς εἶχεν οὕτω. (ΙΒ.) Μὴ χρείαν ἔφασκον ἔγωγε εἶναι δευτέρων ἔτι διαλόγων καὶ κρότων ἀπὸ γλώττης μαχίμων ἐμοὶ, εἰ βέβαιοι μένουσιν αἱ τῆς προτέρας ἐκείνης διαλέξεως καταστάσεις. εἰ δ' ἐκεῖνα παντάπασι λέλυται καὶ ἐς τοὺς λήθης ἔῤῥιπται ῥύακας, οὐδ' οὕτω μοι πάλιν δευτέρων δεῖ συζητήσεών τε καὶ ἀποδείξεων. εἰ γὰρ ἃ πρὸ βραχέος βασιλεῖ τε καὶ πατριάρχῃ δέδοκται, νῦν ἀραχνίων λέλυται τρόπον, πῶς ἂν οἷα καὶ Παλαμᾷ περὶ τῶν 2.830 αὐτῶν πεπράξεται, πιστά τε καὶ ἀναμφισβητήτως ἡμῖν ἔχοντα φανείη, εἰ ἄρα καὶ αὐτός μοι ξυμφωνεῖν ἐπαγγέλλοιτο, πρὸς ἃ δὴ καὶ πειθομένοις ὑμῖν ἐχρώμην, τῷ μεγέθει τῆς ἀξίας πλεῖστον ὑμῶν λειπόμενος, καὶ ἅμα τῇ τῶν τρόπων αἰδοῖ καὶ σεμνότητι πολὺ τὸ ἐνδεές τε καὶ ὑφειμένον ἐκ πολλῶν πολλάκις ἐνδεδειχώς; (ΙΓ.) Πρὸς ἅπερ ὁ Παλαμᾶς, "1οὐδ' ἐμοὶ"2, φησὶ, "1διαλέξεων δεῖ καὶ κριτηρίων ἄλλων, ἅπαξ εἰληφότι τὰ πρὸς δικαίωσιν καὶ ἀσφάλειαν ἔγγραφα τῶν ἐμοὶ λαληθέντων ὁπώσποτε πρὸς Ἰωάννου τοῦ πατριάρχου καὶ τῶν τότε συνεδρευόντων ἐπισκόπων ἐκείνῳ ψηφίσματα."2 πρὸς ἅπερ ἐμοὶ τοιάνδε ποιεῖσθαι τὴν ὑποφορὰν ξυνέπιπτεν. "1εἰ μὲν δὴ καὶ μέχρι καὶ ἐς τέλος ὑπὸ τοῦ δεδρακότος ἐκείνου τὸ κῦρος εἶχεν ἐκεῖνα, καὶ μὴ οὐκ εἰς μακρὰν ἑτέροις διασέσεισταί τε κἀκ βάθρων ἀναμεμόχλευται στεῤῥοτέροις γράμμασι καὶ ψηφίσμασι, σοὶ μὲν ἴσως, εἰ καὶ μὴ τῇ ἀληθείᾳ, τὸ παράπαν εἶχε τὸ εὔλογον. εἰ δ' αὐτῷ γε δήπου τῷ δεδρακότι, μετὰ πλειόνων ἢ πρότερον αὖθις τῶν ἐπισκόπων συσκεψαμένῳ, καὶ τὸ ἐν τοῖς ψηφίσμασιν ἐκείνοις πολύχουν τῆς ἀτοπίας σαφῶς ξυνεωρακότι, πάσαις ῥοπαῖς τῆς ψυχῆς γράμματι γράμμα, καὶ ψηφίσματι ψήφισμα, περιεσκεμμένοις τε καὶ νομίμοις τὰ λίαν ἀπερίσκεπτά τε καὶ μηδαμῆ ποτε νόμιμα, τελέως ἀνέτρεπέ τε καὶ ἅμα συγγνώμην τῆς ἀγνοίας ἐξ ἡμῶν τε καὶ ὅσοι τῆς ὀρθῆς οὐκ ἐξέστησαν δόξης ὁμοίως οὐκ ἠμέλει ζητῶν, ποῦ δίκαιον τὸ τῆς ἀληθείας παραδραμόντας φῶς τῷ τῆς κακίας ἑκόντας πλανᾶσθαι σκότῳ;"2 (ΙΔ.) "1Ἀλλ' ἔμοιγε τὰ πρὶν βεβαιότερα τῶν ὑστέρων δοκεῖ γραμ 2.831 μάτων εἶναι,"2 φησὶν ὁ βασιλεὺς, τὸν λόγον διαδεξάμενος καὶ σύμμαχος τῷ Παλαμᾷ θερμὸς ἀποροῦντι γινόμενος. "1εἰ γὰρ ἃ κατέλυσα, φησὶν ὁ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀπόστολος, πάλιν οἰκοδομῶ, παραβάτην ἐμαυτὸν συνίστημι."2 πρὸς ὃν ἐμοὶ τοιάδε, πρὶν εἰς ἑτέρας ἐμβεβληκέναι τῶν ἀντιῤῥήσεων, ἀνθιστᾶν τετύχηκε τοῖς λεχθεῖσιν ἐπιχειρήματα· "1εἰ παραβάτην αὐτὸν ἐθέλοι τις κρίνειν, ὦ βασιλεῦ, ἅτε θραυόμενον αὐτὸν ὑφ' αὑτοῦ, πολλὴν ἐμοὶ καὶ οὕτω φημὶ τὸ εἰκὸς παρέχει τὴν συμμαχίαν. συγκαταλύονται γὰρ αὐτῷ μετὰ τῶν ὕστερον ἑνί γέ τῳ τρόπῳ καὶ τὰ πρὶν ἐκεῖνα ψηφίσματα, εἰ μὴ τυραννοίη τὴν ἀλήθειαν ἀντιπνέον ἁμηγέπη τὸ ψεῦδος, ἀλλὰ πηγὴ δικαιοσύνης ἐπιχωριάζουσα λαμπρῶς τὸ δέον χορηγοίη ταῖς τὰ τοιαῦτα κρίνειν καὶ ῥυθμίζειν προθυμουμέναις γλώτταις· καὶ μακρῶν διὰ ταῦτ' ἐν βραχεῖ πραγμάτων ἀπηλλαγμένοις νέα τήμερον συγκροτείσθω δικαστήρια περὶ τῶν τοῦ Παλαμᾶ παμπόλλων τε καὶ ποικίλων ἐξ ὑπαρχῆς καινοφωνιῶν. εἰ δὲ πολύτροπον τὸ τῆς λήθης καὶ τῆς ἀγνοίας νόσημα, ταῖς τῶν ἀνθρώπων ἐνδυναστεῦον διανοίαις, παρέλκοι τὸν ἡγεμόνα λογισμὸν ὡς τὰ πολλὰ πρὸς ἀπάτης κρημνοὺς ἐκ προοιμίων· τοῦ δὲ χρόνου μετὰ τῆς πείρας τὰ πεπραγμένα γυμνάζοντος, τὸ ἀληθείας ἀνακαθαίρεται κράτος καὶ τὰ νέφη τοῦ ψεύδους καὶ τῆς ἀπάτης ἐκ μέσου λαμπρῶς ἐλαύνεται, οὐκ ἂν εἴη τῶν ἀπεικότων τουτὶ καὶ ἅμα τῶν εἰθισμένων ὡς πορῤωτάτω βαδίζον τρόπων, εἰ καὶ πατριάρχην τἀληθὲς ἠγνοηκότα πρότερον, διὰ τὴν τῆς σαφηνείας τῶν γεγραμμένων ἐπίκρυψιν, ἐπιοῦσα μετὰ τῆς ἁρμοττούσης πείρας ἡ τὰ δρώμενα ξὺν χρόνῳ γυμνάζουσα γνῶσις ἐπηνώρθου τε 2.832 καὶ οἷς ἐμμένειν χρεὼν ἐδίδασκε δόγμασί τε καὶ γράμμασιν. ἔπειτα εἰ τοῖς προτέροις καθάπαξ τῶν ὅσα πράττεται πᾶσι τὴν τοῦ δικαίου δίδως ῥοπὴν, ὅρα μὴ καθ' ἑαυτοῦ τὴν ψῆφον ἐγείρῃς τῶν νόμων τῶν σῶν, καὶ ταῖς ἰδίαις δίκαις γένῃ περιπετὴς ἐν βραχεῖ. οἱ γὰρ ἐκεῖνα τὰ πρῶτα τοῦ Παλαμᾶ βεβαιώσαντες ἐπίσκοποι γράμματα, οὗτοι καὶ κατὰ πάντων Ῥωμαίων ἐγγράφους ἐξήνεγκαν τόμους καὶ πολύτροπά τινα τὰ ψηφίσματα· δι' ὧν τῷ αἰωνίῳ πυρὶ παρέπεμψαν, εἴ τινες εἶεν, οἷς πρὸς βουλήσεως εἴη τὸν Καντακουζηνόν σε βασιλέα τε δέχεσθαι καὶ Χριστιανὸν ἀποκαλεῖν· ἐν ὑστέροις δ' ἀκόντων αὐτῶν ἐγκρατῆ γεγονότα τῶν βασιλείων σκήπτρων καὶ θρόνων ὅλαις ἀνηγόρευον βασιλέα φωναῖς, μικρὰ τῶν οἰκείων ἐκείνων ἀρῶν φροντίσαντες. εἰ οὖν τὰ πρότερα, κατὰ τὰς σὰς δίκας, τῶν ἐπισκόπων ψηφίσματα κἀνταῦθα κρατοίη καὶ βεβαιότερα τῶν ὑστέρων εἴη, ἐγὼ μὲν οὐκ ἂν εἴποιμι· σὺ δ' αὐτὸς ἀῤῥεπῶς δίδαξον, ὅπη χωρεῖ τὰ τῆς καταδίκης περιφανῶς. δυοῖν γὰρ ἔποιτ' ἂν θάτερον, εἰ πηγὴ δικαιοσύνης πρυτανεύει τοὺς τῆς δίκης ῥύακας. ἢ γὰρ κἀνταῦθα προτιμότερ' ἂν θείημεν τὰ πρῶτα, κατὰ τὴν σὴν ἐπ' ἐκείνοις κρίσιν· καὶ βεβαιοῦται λοιπὸν ὁ κατὰ Ῥωμαίων ἐκφωνούμενος ἐκεῖθεν ἀναθεματισμὸς διὰ σὲ, καὶ ἅμα λύεταί σοι τὸ τῆς βασιλείας ἰσχυρὸν ἐν βραχεῖ σὺν τῇ εὐσεβείᾳ· ἢ τῶν προτέρων ἀθετουμένων, διὰ τὸ τῆς συναρπαγῆς καὶ τῆς ἀπάτης ἔγκλημα, σοὶ μὲν κυροῦται τὸ τῆς βασιλείας κράτος ἐς τὸ ἀθῶον μετὰ τῆς εὐσεβείας· λύονται δ' αἱ τοῦ Παλαμᾶ καινοφωνίαι, καθάπερ ὁ τῆς Χαλά 2.833 νης πύργος· συνάπτεται δὲ τὰ διεστῶτα τῆς ἐκκλησίας μέρη πρὸς ὁμόνοιαν καὶ εἰρήνην. εἰ δ' αὐθεντικῶς οὑτωσὶν ἐκεῖ μὲν τὴν νίκην τοῖς προτέροις δίδως, ἐνταυθοῖ δὲ τοῖς ὑστέροις, τυραννὶς τὸ πρᾶγμα καὶ κανόνας πάντας ὑπερβαῖνον θείους καὶ ἀνθρωπίνους. καὶ εἰ φοβερόν σοι τὸ ἐμπεσεῖν εἰς χεῖρας θεοῦ ζῶντος νομίζεται, ὥρα σοι λοιπὸν ἐκλογίζεσθαι τοὺς ἐντεῦθεν φόβους, ὁποῖοι καὶ ὅσοι, παῖδάς τε ἔχοντι καὶ πλείστην συγγένειαν, καὶ πρό γε πάντων ψυχὴν καὶ σῶμα· ὧν τῇ μὲν τὰ ἐκεῖ δεδίττεται κολαστήρια, τῷ δὲ μυρίοις ὑποκεῖσθαι καὶ ποικίλοις συμπίπτει νοσήμασι."2 (ΙΕ.) Τῶν δὲ παρακαθημένων κολάκων ἑνός τινος τὴν ἐμὴν τῷ ἀγκῶνι πλευρὰν συμπιλήσαντός τε καὶ ἀντειπόντος, ὡς τὰ ἥδιστα λέγειν χρεὼν βασιλεῦσι, μακρῷ κινηθεὶς καὶ ὑπερζέσας τῷ ζήλῳ κολακείαν τε ἐνεκάλουν ἐκείνῳ καὶ σμικρολογίαν ψυχῆς, καὶ ὅσα τούτοις ἕποιτ' ἄν. σιγῆς τοίνυν γενομένης ἐν τούτοις, καὶ μηδὲν ἔχων ὁ Παλαμᾶς ἀντιφθέγγεσθαι, μαρτυρίας ἠξίου συγχωρηθῆναι παράγειν γραφικὰς εἰς ἐκδίκησιν τῶν αὐτοῦ καινοφωνιῶν. ἐμοῦ δ' ἀποτρεπομένου


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

καὶ τὴν τῆς τοιαύτης ὁμοιότητα πρὸς Ἄρειον καὶ Σαβέλλιον καὶ Νεστόριον, καὶ ὅσοι τὰς οἰκείας αἱρέσεις ἐκ τῶν θείων γραφῶν κακοτρόπως συνιστᾷν ἐπεχείρουν, ἀνάγοντος, ὁ σύλλογος ἡμῶν διελύετο. ἐπεὶ δ' ἐκεῖθεν μακρὸν ἐπιπολάζοντα βλέπειν ἐπῄει μοι τὸν τῆς κακοδοξίας θόρυβον, ὥραν δ' ἀνύειν τὸ *** μὴ τὴν ἔμπρακτόν σφισι 2.834 παρέχειν ἐδύνατο συμμαχίαν. καὶ ταῦτα μὲν τοῦτον ἔσχε τὸν τρόπον· καὶ ὁ χειμὼν ἐν τούτοις ἐτελεύτα. ʹ. Ἄρτι δὲ τοῦ ἡλίου περὶ τροπὰς γενομένου τὰς ἰσημερινὰς, καὶ τοῦ κριοῦ τοῖς μακροῖς κέρασι τὰς τοῦ ἐνιαυτοῦ θύρας ἐς τὸ τῆς ἡμέρας εὖρος λαμπρῶς διανοίγοντος, πρέσβεις πρὸς τὸν Τριβαλλὸν ὁ βασιλεὺς ἀπεστάλκει, τοὺς ὅρκους καὶ τὰς συνθήκας ἀναμνήσοντας καὶ τὴν ἐκεῖθεν ἐλέγξοντας παρέκβασιν. ἐπεὶ δ' ἐκεῖνος φρόνημα μέγιστον ἐκ τῶν συνεχῶν τροπαίων ἀνειληφὼς ἄπρακτον ἀπιέναι εὐθὺς ἐκέλευε τὴν πρεσβείαν, ἄρας ὁ βασιλεὺς ἐξῄει τοῦ Βυζαντίου, μεσοῦντος ἤδη τοῦ ἦρος, στρατολογήσων τε ἐκ τῆς Θρᾴκης τὴν ἐνυπάρχουσαν δύναμιν κατ' ἐκείνου καὶ τὸν φίλον Ἀμοὺρ ἐξ Ἀσίας μεταπεμψόμενος μετὰ δυνάμεων Περσικῶν. ὁ μὲν οὖν βασιλεὺς ἑβδομαῖος ἐς Διδυμότειχον ἀφικνεῖται. (Β.) Τῷ δ' Ἀμοὺρ ἠθροικότι πλεῖστον ὅμιλον πεζικῶν τε καὶ ἱππικῶν δυνάμεων ἔδοξε, πρὶν ἐς Θρᾴκην καὶ Μακεδονίαν διαβαίνειν, ἄκοντι διαπράξασθαι καὶ πρόῤῥιζον ἐξελεῖν, εἰ δύναιτο, τὸ ἐν Σμύρνῃ φρούριον τῶν Λατίνων, ὡς μὴ ὀρφανὴν ἀπιόντος αὐτοῦ καταλελειμμένην τὴν πάτριον γῆν συχνὰ κατατρέχοντες οὗτοι ληΐζωνταί τε καὶ τὰ ἔσχατα δρῶντες φαίνωνται τῶν δεινῶν. τὴν γὰρ Λατινικὴν ὀφρὺν οὐδέποτ' ἠρεμήσειν ἤλπισεν ἐν ὅροις μεῖναι, καιρὸν ἐξιέναι καὶ κατατρέχειν ἔχουσαν. ὅθεν προσελάσας προὐκαλεῖτο πρὸς πόλεμον. οἱ δὲ παραχρῆμα τὰς πανοπλίας ἀναλαβόντες εἰς μάχην ἐξῄεσαν, οὐχ ἧττον 2.835 τῇ δυνάμει θαῤῥοῦντες, ἢ τῇ τῶν ὅπλων λαμπρότητι. ἐπεὶ δὲ πολύς τε καὶ πανταχόθεν ὁ τῶν Περσικῶν δυνάμεων ἔῤῥει πόλεμος, καὶ ἀντιβλέπειν οὐ μάλα ἐδύναντο, ἐπὶ πόδα τε ἀνεχώρουν αἰσχρῶς καὶ τὰς πύλας ἀσφαλισάμενοι τοῦ φρουρίου τοῖς ἑκηβόλοις ἐκ τῶν τειχῶν ἐμάχοντο βέλεσι· δι' ὧν καιρίαν πληγέντος Ἀμοὺρ, ἐκ τοῦ παραχρῆμα νεκρῷ γενέσθαι ξυμπέπτωκεν. ὃν οἱ προσήκοντες ἀνειληφότες τῆς τε μάχης ἀπέχεσθαι τοῖς στρατιώταις παρεκελεύοντο καὶ αὐτὸν ἐς τὰ οἴκοι φοράδην ἀπῆγον. (Γ.) Τούτου δ' οὕτω κεχωρηκότος, ἐν λύπαις εἶναι τῷ βασιλεῖ ξυνέβαινε, τῆς τε προσδοκωμένης ἐκεῖθεν Περσικῆς λελειμμένῳ συμμαχίας καὶ ἅμα φίλου μεγίστην αὐτῷ διὰ βίου τηρήσαντος εὔνοιαν ἐστερημένῳ. ἓν μὲν δὴ τοῦτο τῆς κατὰ Τριβαλλῶν ἐκστρατείας ἐμποδὼν ἐγεγόνει τῷ βασιλεῖ. δεύτερον δὲ, τὸ κατὰ τῶν νεφρῶν ἐνσκῆψαν αὐτῷ περὶ τὰς θερινὰς τοῦ ἡλίου τροπὰς νόσημα, τάς τε ἀλγηδόνας δριμείας ἐπάγον αὐτῷ καὶ τὴν τοῦ βαδίζειν ὑποκλέπτον ἐλευθερίαν τε καὶ ῥᾳστώνην, καὶ ἅμα τὰς τῶν ἰατρῶν ἐπαγγελίας οὐ μάλα τοι πρὸς τὸ εὔελπι καθαρῶς ἀθροίζεσθαι συγχωροῦν ἐκ τοῦ σύνεγγυς. καὶ τρίτον ἐπὶ τούτοις, ἡ τῶν ἐν τοῖς Γαλάτου Λατίνων κατὰ Βυζαντίων ἐξ οὐδεμιᾶς προφάσεως ἐπανάστασις, ἣ μετὰ τὰς Ὠρίωνος ἐπιτολὰς εὐθὺς πεποίηται τὰς ἀρχάς· περὶ ἧς μικρὸν ὕστερον προϊόντες ἐροῦμεν πλατυτέρᾳ τῇ γλώττῃ. νῦν δ' ἐκεῖνο ἐπαναλήψομαι. ζʹ. Ἄρτι τοῦ ἡλίου τὰς θερινὰς τροπὰς παραλλάττοντος, Περσική τις δύναμις, ἐξ αὐτονόμου καὶ ληστρικῆς ἄλλη ἄλλοθεν ἠθροισμένη τροφῆς καὶ διαίτης, ἐς Θρᾴκην ἐξ Ἀσίας πε 2.836 ποίηται τὴν διάβασιν. καὶ ἐπειδήπερ ὁπόσα θαλάττης ἐγγὺς ὑπῆρχε χωρία πᾶσι καθάπαξ ἀοίκητον εἶναι συνέβαινεν ἐρημίαν διά γε τὰς συνεχεῖς τῶν ἐχθρῶν ἐφόδους, εἰς δύο σχίζεται μοίρας· καὶ τῶν μὲν ἱππέων ἡ φάλαγξ, εἰς διακοσίους καὶ χιλίους τὸν ἀριθμὸν ἀναφέρουσα, ἐπὶ τὰ ὅσα περὶ Βιζύνην εἰσὶ χωρία τοὺς δρόμους ὅλαις ἤλαυνε ταῖς ἡνίαις· ἡ δὲ πεζικὴ δύναμις, ἐκ δὶς ἑπτακοσίων εὐζώνων ἀνδρῶν συγκειμένη καὶ αὕτη, δυτικωτέραν πεποίηται τὴν ὁρμήν. συνέβαινε γὰρ αὐτῇ τήν τε Ῥοδόπην τὸ ὄρος, καὶ ὅσαι περὶ Διδυμότειχον οὖσαι τυγχάνουσι πόλεις, ἐξ ὑπερδεξίων ἀφεμένῃ τὴν ἔφοδον ἐφ' ὅσα ἐπέκεινα κεῖται χωρία ποιεῖσθαι· ὧν Ματθαίῳ τῷ τοῦ βασιλέως


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

υἱῷ τὴν ἐπιτροπὴν, ὡς ἀνωτέρω διείληπται, κεκτημένῳ οὐ μάλα τοι ἀνεκτὸν ἐνομίσθη κατ' ἐξουσίαν ἀπονητὶ ποιήσασθαι τὴν τῆς λείας ἐκεῖθεν ἐᾶσαι τοὺς Πέρσας ἀπαγωγήν. ῥᾴδιον δ' ἥκιστα ὂν ἐκ μόνης τῆς Γρατιανουπόλεως, ἐν ᾗ τουτονὶ τηνικαῦτα παρεῖναι ξυνέβαινε, στρατὸν τοῖς βαρβάροις ἀντίπαλον παραχρῆμα συναγαγεῖν, ἐκ τῶν ἐνόντων τριακοσίους ἱππέας ἀνειληφὼς, καὶ πεζικήν τινα φάλαγγα, μεγάλην ἐβράβευσε δι' ἀβάτων χωρίων τῷ δρόμῳ τὴν ταχύτητα, μὴ λάθῃ φυγοῦσα μετὰ τῆς λείας ἡ λῃστρικὴ δύναμις. τόπου τοιγαροῦν ἐντυχὼν ἐπιτηδειότητι, δι' οὗ τὴν ἀναστροφὴν οἱ βάρβαροι δρᾶν ἐνομίζοντο, τήν τε ἐφεδρείαν ἐνταῦθα πεποίηται καὶ τῶν εὐζώνων ἐνίους προὔπεμπεν εἰς κατασκοπήν· ἀφ' ὧν περὶ τὴν λείαν ἀσχολεῖσθαι πόῤῥω που τῆς στρατοπεδείας ἔτι τοὺς βαρβάρους ἀκούων ἀριστοποιεῖσθαι μετρίως ἐπέτρεπε τοὺς στρατιώτας. ἐπεὶ δέ σφισιν οὐκ ἦν εὐμαρὲς ὕδατος εὐπορεῖν, 2.837 ὅθεν ὑδρευσαμένους τὴν ἀνάγκην ἔσται παραμυθεῖσθαι τῆς φύσεως, ὅσην ἥ τε τοῦ δρόμου ταλαιπωρία καὶ τὸ φλέγον τῆς ὥρας ἤνεγκεν, αὐτοὶ μὲν περὶ τὴν τῶν ὅπλων ἐγίνοντο χρείαν, τὸ πολὺ τῆς ἡμέρας ἄσιτοι διακαρτερήσαντες· Ματθαῖος δὲ στρατηγῶν εἰς τάξεις διῄρει τὴν δύναμιν· καὶ τοὺς μὲν ἱππέας ἔς τε τὸ δεξιὸν καὶ λαιὸν διαμερισάμενος κέρας ὑφ' ἡγεμόσι τοῖς ἀρίστοις ἐς τὰ τῶν ἄκρων τὸ πεζὸν παρενέβαλε μέσα, ταξιάρχοις καὶ αὐτὸ παραδοὺς οἷς τὰ πολέμια κρατίστοις εἶναι τετύχηκεν· αὐτὸς δὲ τῶν ἱππέων ἐνίους ἔχων περιῄει, πρὸς εὐψυχίαν καὶ ῥώμης ἐπίδειξιν διεγείρων τὰς φάλαγγας. (Β.) Τῆς δ' ἡμέρας ἐς τὸ πλέον ᾗ κατὰ μεσημβρίαν εἶναι τὸν ἥλιον γενομένης, οἱ βάρβαροι πολλὴν ἐπαγόμενοι πόῤῥωθεν παρεδείκνυντο λείαν. ἐγγύτερον δ' ἤδη γενόμενοι κατεπλάγησαν μὲν τὴν τῶν Ῥωμαίων θεασάμενοι στρατιὰν, τῇ τῶν ὅπλων λαμπρότητι διαλάμπουσαν· κατεφρόνησαν δ' αὖ, οὐ πάνυ πολλὴν ξυννενοηκότες οὖσαν αὐτήν. ἔδοξεν οὖν ἄμεινον, τὴν λείαν ὀπίσω διαλιπόντας μικρὸν, ἀθρόους ὑφ' ἑνὸς ἱσταμένους αὐτοὺς τὴν τῶν Ῥωμαίων εὐρώστως ἔφοδον διακαρτερεῖν. διὸ τοὺς ἐλαφροτάτους τοξότας πρότερον σφῶν αὐτῶν ἐς τὴν οὐραγίαν θέντες παραγγέλλουσι νῦν μὲν ἐπικεῖσθαι, νῦν δ' ἀποχωρεῖν ἐκ μεταβολῆς καὶ φυγομαχεῖν, κατὰ τό σφισιν ὡς τὰ πολλὰ εἰωθὸς, καὶ συχνὰ τοῦτο δρῶντας ἐξαπατᾷν καὶ ἐπιταράττειν τὴν τῶν Ῥωμαίων τάξιν. (Γ.) Τῶν μέντοι Ῥωμαίων σοβαρῶς ἐπιόντων, καὶ τῶν σαλπιγκτῶν ἀνακρουομένων τὸ ἐνυάλιον, ἐπηλάλαξάν τε εὐθὺς οἱ Πέρσαι καὶ μετὰ μακροῦ τινος θράσους αὐτοῖς συνεῤῥήγνυντο, συνασπισμός τις τὰ πρῶτα 2.838 δόξαντες βαρὺς καὶ παράταξις μάλα δυσπρόσοδος· ὡς εὐθὺς ἐξ ἀρχῆς τὸ μὲν συνεχὲς τῆς πεζικῆς τῶν Ῥωμαίων διακόπτεσθαι φάλαγγος· καὶ ἅμα τὸ εὐώνυμον τῶν ἱππέων, πιεζόμενον ἔξωθεν ὑπὸ τῶν ἐλαφρῶν ἐκείνων τουρτῶν, τὰς ψυχὰς θορυβεῖσθαι. Ματθαῖος δ' ὁ στρατηγὸς περιϊὼν λόγοις τε ἀνεῤῥώννυε πρὸς τὸ εὐθαρσέστερον τοὺς οἰκείους καὶ τοῖς θλιβομένοις ἀεὶ προσιὼν παρεβοήθει μέρεσιν. ἔπειτα μείζονος δεομένην τῆς βοηθείας τὴν στρατιὰν ξυννενοηκὼς ἐς τὸ τῆς τόλμης παραβολώτερον ἑαυτὸν μετεσκεύασε, καὶ πρὸς μέσους ἐμβάλλει τοὺς πολεμίους ξύν γε τοῖς ἀμφ' αὐτὸν, νεανικώτερον τρόπον μᾶλλον ἢ προμηθέστερον· καὶ ὅλην εὐθὺς ἐκλόνησέ τε καὶ διέσεισε τὴν ἐκείνων φάλαγγα, τοὺς μὲν κατὰ μέτωπον ἀπαντῶντας γενναίως καταβάλλων τε καὶ συμπατῶν· τοὺς δ' ἄλλους πρὸς ἄνανδρον κατακλείων ἀμηχανίαν· ὡς ἐντεῦθεν ἀναῤῥωσθέντας Ῥωμαίους εὐτολμότερον ἐς τοὺς κινδύνους τέως παραβάλλεσθαι, καὶ τοὺς κατὰ πρόσωπον ἅπαντας διωθεῖσθαί τε καὶ φονεύειν εὐρώστως. ἀλλὰ πολλούς τινας καὶ συνεχεῖς διεξελαύνων ἐν τῇ μάχῃ τοὺς δρόμους ὁ στρατηγὸς Ματθαῖος, καὶ πλεῖστα τῶν πιπτόντων πολεμίων σώματα συμπατῶν, ἔλαθε τοῦ ἵππου πεσόντος ἐς γῆν ἐκριφεὶς καὶ ἀπὸ γῆς μαχόμενος τοῖς ἐπιοῦσιν. ἔνθα δὴ πολὺς ὁ ἀγὼν ἑκατέρωθεν συνέστη, τῶν μὲν πολεμίων ἀποκτείνειν ἐπειγομένων, τῶν δὲ Ῥωμαίων ἀντεχομένων μάλα γενναίως καὶ τὰς ἑαυτῶν ὑπὲρ τοῦ στρατηγοῦ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

προδιδόντων ψυχάς· ἕως ἵππου παρενεχθέντος ἐπιβὰς κατὰ κράτος ἤλαυνε κόπτων τοὺς πολεμίους· ὡς μηδὲ λελεῖφθαι, ὃς γοῦν ἀπαγγελεῖ τῇ Ἀσίᾳ τὸ πάθος. (Δ.) Τοῦτο 2.839 Ῥωμαίοις ἔδοξεν ἀγαθὸς οἰωνὸς καὶ μακρῶν ἐλπίδων προοίμιον. τὸ μὲν γὰρ ἐπιοῦσαν δέξασθαι, πρὶν ἢ προσδοκῆσαι, καὶ ἀποκρούσασθαι τὴν τῶν πολεμίων ἔφοδον, μακρῷ τινι κραταιότερον, ἢ πολεμίων χώραν αὐτόν τινα καταδραμόντα στήσασθαι τρόπαιον. οἷς γὰρ ἐς ὑπερορίους ἐκστρατείας παρασκευάζεσθαι μεμελέτηται, τούτοις δὴ καὶ περιττῶς τε μάλα καὶ σοβαρῶς ὁπλίζεσθαι ἀναγκαῖον, καὶ πάντα πρὸς τὸ ἀνενδεὲς καὶ φιλοτιμότερον ἐκ πολλοῦ τοῦ χρόνου τελεῖν, ἅτ' ἐν ἀλλοτρίᾳ γῇ ποιεῖσθαι μέλλουσι τὰς ὑπαίθρους στρατοπεδείας· οἷς καὶ εἰ νικῷεν, μέτριος μέν τις ἕπεται ἔπαινος, θαῦμα δ' οὔ, τῶν παραδόξων οὐδενὸς πεπραγμένου, ἀλλ' ἑνὸς τῶν ὅσα τῶν προσδοκωμένων ἦν. οἷς δ' οἴκοι καθημένοις ἀπροσδοκήτοις τὸ πολέμιον ἔπεισι πῦρ, θαυμαστὸν, εἰ μὴ ζημιωθεῖεν τὸ ζῆν. εἰ δὲ γενναίως καὶ εὐθαρσῶς ἀνταγωνισαμένοις μετὰ πάνυ μικρᾶς καὶ τῆς προστυχούσης δυνάμεως γένοιτο ἀποκρούσασθαι, τοῦτο δ' ἤδη καὶ θαυμάζεσθαι ἄξιον. εἰ δὲ καὶ οὕτω κατατροπώσασθαι γένοιτο, ὡς μηδὲ πυρφόρον λελεῖφθαι, τὸ δὴ λεγόμενον, τοῦτο δ' ἐκείνων μακρῷ τινι βέλτιον. (Ε.) Καὶ ἡ μὲν πεζικὴ τῶν Περσῶν ἐκείνη δύναμις ἐς τοῦτο τύχης ἐλήλαται καὶ ἠφάνισται. τῆς δ' ἱππικῆς κατόπιν ὁ βασιλεὺς ἐξ Ὀρεστιάδος τὴν δίωξιν κατεσπουδασμένην μετὰ χιλίων ἱππέων πεποιηκὼς, ἐπειδήπερ ἀσυντάκτοις ἐκ τῆς λείας ἀναζευγνύουσιν ἐντετύχηκε, τοὺς μὲν τριακοσίους ἀπηντηκότας εὐτόλμως ἔργον ἀπέφηνε ξίφους· οἷς δὲ πόῤῥωθεν αἰσθέσθαι ξυνηνέχθη τῆς μάχης, τούτοις δὲ φυγῇ τὴν σωτηρίαν δίχα τῆς λείας πορίζεσθαι ἐξεγένετο σποράσι καὶ ἀσυντάκτοις. 2.841 αʹ. Τοῦ μέντοι βασιλέως ἐν τοῖς τοιούτοις ἀσχολουμένου, μάχην κατὰ Βυζαντίου τοῖς ἐν Γαλάτου Λατίνοις πεποιηκέναι συμπέπτωκεν, αἰτίαν μὲν ἐμφανῆ τινα καὶ εὐπρόσωπον ἥκιστα ἔχουσιν ἐγκαλεῖν οὐδεμίαν· δεδιόσι δ' αὔξησιν ἴσως τοῦ τῶν Βυζαντίων ναυτικοῦ κἀντεῦθεν καὶ τῶν κατὰ σφᾶς ἀθροιζομένων ἐξ ἐμπορίας φόρων ὕφεσιν. (Β.) Αὐτοὶ γὰρ ἐξ ἀρχῆς ὀλίγα τινὰ καὶ φαῦλα περὶ τὸν τόπον οἰκήματα συγχωρηθέντες συστήσασθαι, ἔπειτα ἔλαθον τοῦ χρόνου χωροῦντος ἐπὶ μέγα δόξης τε καὶ δυνάμεως ἀναβάντες. τῶν γὰρ βασιλέων, συμβὰν οὑτωσί πως, στασιαζόντων κατ' ἀλλήλων ὑπὲρ τῆς ἀρχῆς, καὶ τῶν Ῥωμαϊκῶν ἐντεῦθεν πραγμάτων ταραττομένων καὶ σφόδρα πονήρως διατιθεμένων, οὗτοι λάθρα καὶ δολίως ὑπερχόμενοι νῦν μὲν τούσδε, νῦν δὲ τούσδε, καὶ ὑπισχνούμενοι συμμαχίαν παρέχειν καὶ ὅπλων καὶ ὁπλιτῶν εὐπορίαν ἔκ τε γῆς καὶ θαλάττης, ἔλαθον μὴ μόνον τὴν τῶν Βυζαντίων εὐπορίαν καὶ μικροῦ πᾶσαν τὴν ἐκ θαλάττης πρόσοδον παρελόμενοι, ἀλλὰ καὶ ὅσα τῶν δη 2.842 μοσίων πολυειδῶς ἔχοντα πραγμάτων ποικίλον πορίζει τοῖς ἀρχικοῖς πρυτανείοις τὸν πλοῦτον· ὡς ἐντεῦθεν τὴν μὲν ἐκείνων ἐκ τῶν φόρων ἐπέτειον γίνεσθαι πρόσοδον διακοσίων ἔγγιστα χιλιάδων, τὴν δὲ Βυζαντίων βίᾳ καὶ μόλις τριάκοντα. διὰ δὴ ταῦτα μεγαλαυχούμενοί τε καὶ τῆς τῶν Βυζαντίων ἀσθενείας ἡμέραν ἐξ ἡμέρας κατορχούμενοι οἰκίας τε διωρόφους καὶ τριωρόφους ἀνίστασαν, καὶ πλείονος αὖ ἐπειλημμένοι πρὸς τὸ ἄναντες τόπου πύργους τε ᾠκοδόμουν δυσανταγώνιστον κεκτημένους τὸ ὕψος καὶ ἅμα τείχη καὶ περιβόλους μακρὰν τὴν εὐρυχωρίαν ἔχοντας ἄλλους ἐπ' ἄλλοις συχνοὺς περιήλαυνον· καὶ πρός γε ἔτι τάφρους καὶ ὀχυρώματα ἐπ' αὐτοῖς καὶ ὅσα πολεμίοις δυσεπιχείρητον ἀπειλοῦσι τὴν πάροδον ὤρυττον. (Γ.) Ἄρτι δὲ καὶ ναυτικὸν συνίστασθαι βουληθέντος τοῦ βασιλέως Καντακουζηνοῦ διὰ τὰς συχνὰς τῶν Περσικῶν δυνάμεων ἐφόδους κἀκ τῆς Ἀσίας ἐς Θρᾴκην νύκτωρ καὶ μεθ' ἡμέραν διαβάσεις, καὶ ἅμα τοὺς ἐκ θαλάττης οἰκονομικώτερον τρόπον κουφίσαντος φόρους βουλομένοις καταίρειν εἰς τὸν τῶν Βυζαντίων λιμένα, ὃ μάλιστα τοῖς Λατίνοις ἦν ἀεὶ βοηθοῦν καὶ κραταιότερον αὐτοῖς τὸ δύνασθαι διηνεκῶς ἐργαζόμενον, ὑπόνοιαν ἔσχον μάλα θρασεῖαν, καὶ ἔδεισαν μὴ θαλαττοκρατησάντων


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Ῥωμαίων ὑποῤῥυεῖσα ἡ αὐτῶν δύναμις μετὰ τῆς τοῦ κέρδους εὐπορίας αὐξήσῃ τάχιστα Ῥωμαίους. ὃ δὲ μάλιστα ἐκ τοῦ παραχρῆμα καὶ σύνεγγυς ἔθραυε τὴν ἐκείνων ψυχὴν, ἡ τῆς Χίου πρόφασις ἦν. ἐδεδίεσαν γὰρ, μὴ πρὸ βραχέος ἔτι τῶν ὁμοφύλων ἐπιβούλως ἀφελομένων κατα 2.843 πλεύσας ὁ τῶν Ῥωμαίων στόλος αὖθις αὐτὴν ἀφέληται, πρὶν εἰληφέναι τὸν εἰς συντήρησιν κραταιοτέραν ἀρκέσαντα χρόνον αὐτῇ. ὅθεν αἰτίας καθ' ἡμέραν μάχης ῥάπτοντες ἦσαν ἄλλας ἐπ' ἄλλαις, οὐδὲν κεκτημένας ἰσχυρὸν καὶ εὐπρόσωπον, φόνους τε Βυζαντίων ἐργαζόμενοι, κρύφα μὲν τὸ πρῶτον, ἐκκεκαλυμμένως δ' ἔπειτα καὶ πλὴν σκηνῆς καὶ προσωπείου. (Δ.) Τούτων δ' οὕτω δρωμένων, ἐθελοκωφεῖν ἐδόκουν Βυζάντιοι· τοῦτο μὲν καὶ εἰρηνεύειν ἐθέλοντες· τοῦτο δὲ καὶ τὴν σφῶν αὐτῶν ξυννοοῦντες ἀσθένειαν, πολυειδῆ τινα καὶ ποικίλην τοῦ χρόνου τούτοις ἐπενεγκόντος, ἐκ τοῦ περιφρονητικῶς διατίθεσθαι τοὺς κατὰ διαδοχὴν τῶν ἀρχικῶν ἐπειλημμένους ἐκ παλαιοῦ ἐς ὅσα πολιτικήν τε καὶ οἰκονομικὴν ἔχει πρόνοιαν τῶν ὑπηκόων ὁμοῦ καὶ τῶν δημοσίων πραγμάτων· οὐκ οἶδ' ὅντινα τρόπον ἐκείνοις ἥκιστα βουλομένοις εἰδέναι, ὡς τοὺς βεβαίως καὶ ἀσφαλῶς βιοῦν ἐθέλοντας, καὶ φοβεροὺς μὲν εἶναι τοῖς ἐχθροῖς, ποθεινοὺς δὲ τοῖς φίλοις ἀεὶ, οὐχ ὅταν ἐν ὀφθαλμοῖς ἔρχηται τὰ δεινὰ παρασκευάζεσθαι χρεὼν, ὅτ' ὄνησιν οὐδεμίαν ἔχει τὸ σπούδασμα, ἀλλὰ πόῤῥωθεν ἀεὶ μελετᾷν, τίνα τε χρὴ προορᾶσθαι καὶ τίνα φυλάττεσθαι, καὶ αὖ τίνα προσίεσθαι καὶ οἰκειοῦσθαι πρὸς παρασκευὴν, ὧν μήπω μὲν πάρεστιν ἡ χρεία, μέλλει δὲ τοῦ χρόνου ῥέοντος καὶ παντοδαπὰς καὶ παντοίας πλέκοντος τοῖς ἀνθρώποις τὰς τύχας· οὐδὲ συνιέναι παντάπασι, τίνι καὶ ὅσῳ δικαιοσύνη πρὸς ἀδικίαν συγκρινομένη διαφέρει, χρηματικῶν τε αὖ προσόδων προμήθεια καὶ ὅπλων κτῆσις πρὸς ἀμέλειαν τούτων· ἔτι τε πολιτειῶν εὐ 2.844 νομίαι καὶ κανόνες ἀῤῥεπεῖς δικαστηρίων ὁμοῦ καὶ βουλευτηρίων πρὸς ἀστάθμητον καὶ συγκεχυμένον βίον. ὅμοιον γὰρ ἂν εἴη, ὥσπερ ἂν εἴ τις παραβάλλειν βούλοιτο καὶ θεωρεῖν, ὅσον ἐν πελάγει διαφέρει καλῶς οἰακιζομένη ναῦς τῆς ἄνευ οἰάκων καὶ πόῤῥω παντὸς προμηθοῦς τοῖς πολλοῖς ἐκείνοις καὶ ἀνημέροις κύμασιν ἐπιπηδώσης· οἷς πολλῷ δήπου βέλτιον ἂν ἦν οἴκοι καθημένους ἀδοξεῖν καὶ μισεῖν παῤῥησίαν ὁμοῦ καὶ πολιτικὴν εὐγένειαν, ἢ τοσούτοις κινδύνοις παραβάλλεσθαι καὶ τοσαύτῃ διακυβεύειν ἀφροσύνῃ τὸ ζῆν. (Ε.) Ὃ μὲν οὖν Ῥωμαίους ἔχειν, ἄρχοντας ὀφείλοντας εἶναι, ἐχρῆν, τοῦτο Λατίνοις προσγέγονε παρελομένοις καὶ μεταθεῖσιν ἐντεῦθεν ἐκεῖσε διὰ πρόνοιαν οἰκονομικὴν καὶ σεσοφισμένην σπουδήν. ἅπαντα γὰρ παρεσκεύασταί σφισι λαμπρῶς, σῖτος καὶ ὅπλα καὶ χρήματα καὶ ναυτικὴ δύναμις τῆς τῶν Βυζαντίων διηνεκῶς ὑπερέχουσα. (´.) Ὅθεν ἐπεὶ καὶ νῦν οὐδὲν αὐτοῖς ἐμποδὼν ἐνομίζετο θαλαττοκρατεῖν βουληθεῖσι, καὶ δεκατευτήριον ἴδιον ἑαυτοῖς καταστήσασθαι τὸν αὐχένα τοῦ Πόντου, πρὸς φανερωτέραν ἤδη παρασπόνδησιν καὶ ἀθέτησιν τῶν πάλαι γενομένων σφίσιν ἐς τοὺς Ῥωμαίων βασιλεῖς ὅρκων καὶ νόμων ἐξεῤῥάγησαν· καί τι μονῆρες ἀκάτιον ληστρικῶν ὁπλιτῶν ἐμπλήσαντές τε νυκτὸς καὶ πρὸς Ἱερὸν καὶ αὐχένα τὸν διαπόντιον ἀναπλεύσαντες μίαν τινὰ Ῥωμαϊκὴν ἁλιάδα κατέσχον, πολλῶν ἐκεῖ τηνικαῦτα δικτύοις χρωμένων ἐς ἰχθύων ἄγραν, καὶ ξίφους ἔργον τοὺς πλείστους ἐπεποιήκεσαν. (Ζ.) Ἄρτι δ' ἡλίου ἐς ἀνατολὰς ἐληλυθότος, καὶ τὸ τῆς νυκτὸς 2.845 ἐκείνης ἀνόσιον ἀδίκημα τοῖς Βυζαντίοις ἑρμηνεύσαντος, λύπης μὲν ἄξιον ἐνομίσθη, μάχης δὲ καὶ πολέμων ἥκιστα. αἰσθόμενοι δ' ὅμως, ὡς οἱ Λατῖνοι τειχήρεις γενόμενοι, καὶ τὴν ἐς Βυζάντιον ἐκείνην συνήθη τε καὶ διηνεκῆ διάβασιν κοιμίσαντες, ἐφ' ὅλας ἡμέρας τρεῖς που καὶ τέτταρας πρὸς ὅπλα λεληθότως παρεσκευάζοντο καὶ τριήρεσι καὶ μεγίσταις ναυσὶ τὸ οἰκεῖον τέως περιέφραττον ἐπίνειον, τὰς τοῦ Βυζαντίου πύλας καὶ οὗτοι συγκλείσαντες ἐκάθηντο μετέωροι, πρὸς τὴν ἀδηλίαν τοῦ μέλλοντος ἀποβλέποντες. (Η.) Ἀμφιβολίας δὲ μεταξὺ καὶ διχοστασίας ἐν τῇ τῶν Λατίνων βουλῇ γενομένης, ἅτε οὐκ ἐθελόντων, οἷς ἐξ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐμπορίας καὶ ναυτικοῦ βίου τὸ πλουτεῖν περιῆν, ἀφεμένους ἐν τῇ τῆς εἰρήνης ἀνέσει πωλεῖν τε καὶ ἀγοράζειν, καὶ τῆς οὕτω τρυφώσης ἀσχολίας ἐς τὴν κερδαίνουσαν πήραν ὁλοσχερῶς ἐκκενοῦν τὸ φιλότιμον, ὅπλοις καὶ μάχαις ἐνδιατρίβειν, ἐξ ὧν τἀναντιώτατα τοῖς προειρημένοις ἅπαντα περιέσεσθαι δέος, πενίαν δηλαδὴ καὶ ἀδοξίαν καὶ τὸν περὶ τὸ ζῆν κίνδυνον καὶ, εἰ χρὴ τἀληθέστερον φάναι, τοῦ θεοῦ μηνίσαντος ἴσως διὰ τὴν οὕτω προφανῆ παρασπόνδησιν καὶ πρὸς τοὺς εὐεργέτας ἀχαριστίαν, τὸν τοῦ γένους ὄλεθρον παντελῆ, ἧκον μετὰ συχνάς τινας ἡμέρας ἐς Εἰρήνην τὴν βασιλίδα πρέσβεις ἐκεῖθεν, πὴ μὲν ἑαυτοὺς μεμφόμενοι, πὴ δὲ πλανωμένας καὶ ἀνιδρύτους αἰτίας προβαλλόμενοι καὶ ζητοῦντες ὅπως ποθ' ἑαυτοὺς ἀθωοῦν. τοῦ γὰρ βασιλέως ἀποδημοῦντος, ὡς ἔφημεν, καὶ περὶ Διδυμότειχον διατρίβοντος, ἐς Εἰρήνην τὴν βασιλίδα τὴν τῶν ἐν Βυζαντίῳ δημοσίων πραγμάτων διοίκησιν καὶ φροντίδα προενηνέχθαι ξυμπέ 2.846 πτωκεν. (Θ.) Ἐπεὶ οὖν ἐς αὐτὴν ἧκον οἱ πρέσβεις, τάχ' ἂν λαβόντες ἀπήεσαν τὴν συγχώρησιν καὶ ἀνάληψιν καὶ ἀνανέωσιν τοῦ πρὶν φιλικοῦ καθήκοντος, εἰ μὴ καὶ τὰ τῶν νεωτεριζόντων ὄχλων ἐκεῖ προσετίθεσαν ζητήματα. τὰ δὲ ἦσαν, λῦσαι τὴν τοῦ ναυτικοῦ παρασκευὴν Βυζαντίους, καὶ ὅσα τῆς ὁμοίας ἐξήρτηται ἀπονοίας. ὧν αὐτήκοος ἡ βασιλὶς Εἰρήνη γεγονυῖα περιμεῖναι ἐκέλευσε, μέχρις ἂν διὰ γραμμάτων δηλώσασα τῷ βασιλεῖ τὰ τῆς ὑποθέσεως, ἐκεῖθεν τὸ κῦρος δέξηται τῶν πραχθησομένων. (Ι.) Ὅθεν δὴ καὶ ἐκκλησίαν συνέλεξεν ἐς τὴν ὑστεραίαν. καὶ ἐπειδὴ παρῆσαν ἅπαντες, ὅσοι τε τῶν συγκλητικῶν καὶ ὅσοι τοῦ Βυζαντίων δήμου συνετώτεροι εἶναι ἐδόκουν, ἐβουλεύετο καὶ τὴν ἑκάστου γνώμην ἐζήτει μαθεῖν, ὁπότερον βούλοιντο, μάχῃ τὴν τῶν πραγμάτων ἐπιτρέπειν κρίσιν, ἢ θεμένους τὰ ὅπλα τὴν προτέραν ἄγειν εἰρήνην. καὶ ἦν οὐδεὶς, ὃς μὴ σφοδρότερον κατεσπουδασμένην ἔφαινε γνώμης ὁρμὴν ἐς τὸ μάχεσθαι. ἐκ πολλοῦ γὰρ πολλῶν ἕνεκα τοῖς Λατίνοις ἀχθόμενοι, καὶ ζητοῦντες καιρὸν ἀμύνασθαι, καὶ ἅμα οἰόμενοι ῥᾳδίως ἀφανιεῖν αὐτοὺς καὶ συντρίψειν ὀστράκου δίκην, ἐβόων ἅπαντες ἀπολεγόμενοι τὰς σπονδὰς, καὶ δύσηχός τις καὶ πολύμορφος ἀκοσμία ῥημάτων ἦν. β΄. Ταῦτα μαθόντες οἱ Λατῖνοι, ἐπεὶ διὰ μελέτης εἶχον ἐκ πλείστου τὸ πρᾶγμα καὶ πρὸς δημόσιον εἶδον ἤδη ῥυεῖσαν τὴν κακίαν φῶς, παραχρῆμα συνεσκευασμένους ἔδειξαν καὶ προητοιμασμένους σφᾶς αὐτοὺς εἰς ἔργα πολέμου. τριήρεις γὰρ ἐς μάχην εὐθὺς ὀκτὼ καὶ μονήρεις παμπόλλους προὔφαινον, ὅπλα τε 2.847 καὶ βέλη παντοῖα. καὶ μέντοι καὶ τεσσάρων ἐντὸς ἡμερῶν καταπλεύσαντες ὅλῃ δυνάμει κατὰ Βυζαντίων, ὄντων ἀπαρασκεύων ἔτι, πᾶσαν ἐμπιπρῶσι τὴν παραλίαν, πάνυ τοι σφόδρα μεστὴν οὖσαν ξύλων παντοίων καὶ οἰκιῶν, ὅσαι τὰς ἐμπορικὰς ὑποδέχονται χρείας. ἐμπιπρῶσι δὲ καὶ τῶν Βυζαντίων νεῶν ὅσαι κατιοῦσαι νεωστὶ μετὰ τὰς ἐμπορίας ἔτυχον ἔτι ἐπ' ἀγκυρῶν σαλεύουσαι καὶ ὅσαι ἐς γῆν εἱλκυσμέναι ἦσαν· καὶ πρό γε τούτων ὅσαι τῶν τριήρων κελεύσει τοῦ βασιλέως ἄρτι ἐναυπηγοῦντο. κατεσκευάζοντο μὲν γάρ· οὔπω δ' εἰς θάλασσαν ἔφθησαν καθελκυσθεῖσαι. (Β.) Πέντε δὲ τῶν μεγίστων οὐσῶν, ὅσαι καιναὶ συγκατασκευάζονται, αἱ μὲν τρεῖς σὺν ἑτέραις μονήρεσιν οὐκ ὀλίγαις, ἐπεὶ ἀπηρτισμέναι ἐς τὸ ἀνενδεὲς ἔτυχον οὖσαι, νύκτωρ καθελκυσθεῖσαι πρὸς τῶν ναυάρχων διὰ τὴν τοῦ πολεμίου πυρὸς ἔννοιαν ἀνήχθησαν περὶ τὰς τοῦ ποταμοῦ ἐκβολὰς, ἔνθα καὶ τοῦ πορθμοῦ τὸ πέρας ἐστίν. ἐκεῖ γὰρ ἐξ ἀντιπεριστάσεως τῶν δύο περάτων τοῦ τε ποταμοῦ καὶ τοῦ θαλαττίου κόλπου πολλὴ συσσωρευομένη ψάμμος τε καὶ ἰλὺς ἑκατέρωθεν καὶ ἀποθινοῦσα τὸ στόμα, καὶ μόλις στενήν τινα καὶ δυσέμβολον ἀφιεῖσα διέχειαν βάθους, ὅσην δὴ καταῤῥέων ὁ ποταμὸς ἐξ ἀνάγκης ῥήγνυσιν, ἑκατέρωθεν τὸ πᾶν εὖρος ἄβατον οὐ μόνον μεγάλαις καταλείπει τριήρεσιν, ἀλλὰ καὶ ὅσα δίκροτ' ἂν εἴη καὶ κενὰ τῶν πλοίων, διὰ τὴν τοῦ ἐπιπολάζοντος ὕδατος βραχύτητα, καὶ ταῦτα δυσπόρευτον οἶμαι ἂν τὴν δίοδον ἔχοι ὡς τὰ πολλά. αἱ δ' ἕτεραι δύο μετὰ καὶ τῶν ἐγκαινιζομένων ἐκ παλαιότητος ἐπὶ τὸ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

2.848 βέλτιον πολεμίου πυρὸς ἔργον ὁμοῦ τοῖς φλεγομένοις ἅπασιν ἐκείνῃ γεγένηνται τῇ ἡμέρᾳ. (Γ.) Μηδὲν δ' οὖν οἱ πολέμιοι μελλήσαντες, ἐπεί γε ἀδείας ἁπάσης, ὁπόσης ἐβούλοντο, σφόδρα ἀπέλαυον, ἀπονητὶ διαβάντες ἐμπιπρῶσι καὶ τὴν πέραν ἅπασαν ὁμοίως παράλιον. πνεῦμα δὲ κατὰ τύχην ἀπ' ἄρκτου ῥεῦσαν σφοδρότερον πολλοῦ μὲν καὶ ταχέος ἐνέπλησε τὴν τῶν Βυζαντίων πόλιν καπνοῦ, πλείονος δὲ τὴν καρδίαν τῆς λύπης, ὅσην αἰσχύνης θ' ὁμοῦ καὶ ζημίας προΐσχουσιν αὔλακες. καὶ ἦν ἰδεῖν αὐθημερὸν τὸν ἔξω πάντα κόσμον τῆς πόλεως ἐν βραχεῖ μαραινόμενόν τε καὶ δάκρυα προκαλούμενον συνετῶν ὀφθαλμῶν. (Δ.) Οὐ μόνον δὲ, ἀλλὰ καὶ χαρακώματα πλεῖστα καὶ σανίδας παντοίας προετοιμασάμενοι πόῤῥωθεν, ἐν τούτῳ τοῦ χρόνου τὰ τείχη τῶν προτέρων παρεκβαλόντες ὅρων, πολλοῦ τινος ἐδράξαντο τόπου πρὸς τῶν μετεωροτέρων· ὃν δὴ στύλοις πυκνοῖς καὶ πολυπλόκοις διασταυρώσαντές τε καὶ παρεκτείναντες ἐς τρίγωνον σχῆμα, καὶ ἐπ' αὐτοῖς σανίδας ἐλάσαντές τε καὶ προσηλώσαντες δίκην ἐπάλξεων καὶ αἰθερίων περιπάτων, εἶτα σπουδῇ καὶ πολυχειρίᾳ πᾶσαν τὴν κύκλῳ περιταφρεύουσι χώραν, ἄνδρες ὁμοῦ καὶ γυναῖκες, ὅλας νύκτας ἀΰπνους διατελοῦντες καὶ μηδὲν τῶν ἡμερῶν διαφερούσας δεικνύντες ἐς τὴν κατεσπουδασμένην ἐργασίαν ἐκείνην. (Ε.) Ἐν τούτῳ συχναὶ προσβολαὶ κατὰ τῶν πυλῶν τῆς πόλεως ἐγίνοντο, καὶ μάλιστα κατὰ τῶν εἰρημένων νεῶν, ἃς, ὡς εἰρήκειμεν, οἱ ναύαρχοι καθελκύσαντες εἰς ἀσφάλειαν ἤγαγόν τε καὶ φρουρὰν περὶ αὐτὰς ἔστησαν. ἀμυνομένων δ' εὐρώστως τῶν 2.849 Βυζαντίων, ἐξεκρούοντο πανταχόθεν καὶ ἀπῄεσαν τραύματα πλεῖστα λαβόντες· πλὴν ὅτι θαλαττοκρατήσαντες, ὡς ἐβούλοντό τε καὶ πάλαι ἐμηχανῶντο, οὐ μόνον πάσας ἐχειροῦντο τὰς ἐξ Ἑλλησπόντου καταίρειν ἐς Βυζάντιον ἐπειγομένας φορτηγοὺς νῆας, ἀλλὰ καὶ ὅσαι τὴν σιτοπομπίαν ἐκόμιζον ἐκ τοῦ Εὐξείνου, πάσας ἐπίσης εἶργον τοῦ εἴσπλου καὶ ἐξηνδραποδίζοντο· ὡς ἐντεῦθεν σπάνιν ἐγγενέσθαι τῇ πόλει σίτου καὶ τῶν ἄλλως ἐχόντων ἐπιτηδείων. (΄.) Ἡ δὲ βασιλὶς Εἰρήνη, τοῦ πράγματος αἰφνιδίου συμπεπτωκότος αὐτῇ καὶ τῶν προσόδων ἀποκεκλεισμένων πανταχόθεν, στρατιώτας μὲν ὀλίγους ἐκ τῶν παρατυχόντων δοῦσα τῷ υἱῷ Μανουὴλ, ἐπιτρόπῳ τηνικαῦτά γε ὄντι τῶν Βυζαντίων, περιϊέναι τὴν πόλιν ἐκέλευε καὶ παραθαῤῥύνειν ὡς ἔξεστι τὸν ὄχλον εἰς ἄμυναν· πειρᾶσθαι δὲ διαπεραιούμενον καὶ κατὰ τῆς τῶν πολεμίων πόλεως, ἀπροσδοκήτους καὶ αἰφνιδίους ποιούμενον τὰς ἐφόδους. ὃ δὴ νύκτωρ καὶ μεθ' ἡμέραν ποιῶν ἐκεῖνος ἔκαεν ὅσα τείχους ἐκτὸς ἦσαν αὐτοῖς προαύλια καὶ οἰκήματα πρὸς καταγωγὴν τῶν ἐξ ἐμπορίας. αὕτη δὲ συχνὰ τῶν Βυζαντίων τοὺς προέχοντας μεταπεμπομένη λόγοις ὁμοῦ καὶ χρησταῖς ἐλπίσιν εὐθυμοτέρους καθίστα, καὶ ἐβεβαίου τὸ πρόθυμον σφῶν, καὶ ῥᾴους τὴν ψυχὴν εἰργάζετο πρὸς τὸν πόλεμον. (Ζ.) Ἤδη δὲ κἀκ βασιλέως ἔξωθεν ᾔεσαν στρατιῶται σποράδες ἄλλοι ἄλλοθεν ἐς Βυζάντιον καὶ λόγοι παραμυθούμενοι Βυζαντίους καὶ παρακελευόμενοι, μὴ πεπτωκὸς ὅλως κτήσασθαι φρόνημα πρὸς τὴν ἀπροσδοκήτως ἐπενεχθεῖσαν ταυτηνὶ συμφοράν· μηδὲ γὰρ ἀνέξε 2.850 σθαι τὸν τῆς δίκης ἔφορον ὀφθαλμὸν ἐς τέλος καθευδῆσαι, καὶ τοσαύτην σιγῇ παρελθεῖν ἀδικίαν. καὶ ταῦτα μὲν τῇδέ πη ἔσχε· καὶ τὸ θέρος ἐν τούτοις ἐτελεύτα. γ΄. Φθινοπώρου δ' ἀρχομένου, ἐπεὶ μὴ κατὰ τὰς ἐλπίδας ἐχώρει Λατίνοις τὸ πρᾶγμα· ἐνόμιζον γὰρ, μηδ' εἰς ὅλην πεντεκαίδεκα ἡμερῶν ἀρκέσειν τοὺς Βυζαντίους περίοδον, γενομένους τειχήρεις καὶ τῶν ἔξωθεν εἰωθότων ἐπιτηδείων παρακομίζεσθαι ἀποκεκλεισμένους, ἀλλὰ ἀπογνώσειν αὐτίκα μάλα, καὶ πρώτους δεήσεσθαι σπονδῶν, καὶ ἀνακαλέσασθαι σφᾶς ἐς τὴν πρὶν φιλίαν· ἐπεὶ οὖν αὐτούς τε ἑώρων οὐκ ἐπιστρεφομένους καὶ αὖ τὴν βασιλίδα Εἰρήνην τοῖς Βυζαντίοις ὁμόφρονα γινομένην κατ' ἐκείνων τελέως, καὶ ὁπλίτας συνιστῶσαν, καὶ ἀμυντήρια περὶ τοὺς πύργους ἱστῶσαν, ἔς τε τὰς πετροβόλους μηχανὰς ὅλῃ σπουδῇ διανισταμένην, ὅσαι βάρη πέμπουσι λίθων ἐγγύς τε καὶ πόῤῥω, δι' ὧν οἵ τε σφῶν πολέμιοι συνετρίβοντο οἶκοι καὶ ὅσαι τῶν μεγίστων


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ὁλκάδων προτειχίσματος δίκην σφίσι προὐβέβληντο, ἐς τἀναντία τῶν λογισμῶν τὰς αὔλακας ἔτεμνον ἤδη, χρόνιον ἔσεσθαι τὸν πόλεμον οἰηθέντες. διὸ καὶ πρεσβείας πέμπουσι πανταχῇ, συμμαχίαν αἰτοῦντες, ὅθεν φιλία σφίσι προσεδοκᾶτο καὶ ὁμοφροσύνη πρὸς τοὖργον. (Β.) Ὅ γε μὴν τῶν Βυζαντίων κύκλος καὶ ὁ τοῦ τείχους περίβολος, μέγιστος ὢν καὶ μεγίστης δεόμενος φυλακῆς, ἀνάλογον οὐκ εἶχε στρατόν. ὅμως πολλῆς γενομένης ἐξ ἁπάντων προθυμίας, ὅπλα πάντα πρὸς ἀγορὰν ἐξεφέροντο καὶ ἵπποι πάντες. τέκτονές τε αὖ καὶ σκυτοτόμοι καὶ χαλκεῖς καὶ 2.851 χαλκοτύποι πάντες ἐν ὅπλοις ἦσαν. ἐῶ λέγειν χυτρέας καὶ σκαπανέας, ὅσοι μισθοῦ στρατεύεσθαι τέως ἀρξάμενοι κώπης ἥπτοντο ἤδη καὶ θαλάττης ἐπειρῶντο. ἀλλὰ καὶ δοῦλοι πρὸς τῶν δεσποτῶν ὡπλίζοντό τε καὶ τὴν δεξιὰν εἰς τόξων καὶ βελῶν ἐῤῥυθμίζοντο χρείαν, τῆς ἀπροσδοκήτου περιστάσεως πάντας εἰς μίαν συνελαυνούσης προθυμίαν. (Γ.) Οἱ δὲ Λατῖνοι μετεπέμψαντο μὲν ἐκ Χίου τριήρη μίαν καὶ ὁπλίτας συχνούς. ἧκον δ' αὐτοῖς καὶ ὅσαι κατ' ἐμπορίαν ἔκδημοι τούτοις τῶν μεγίστων ἦσαν ὁλκάδες. καὶ ἦν εὐοπλότατος ὄχλος σφίσι πολὺς ἤδη καὶ ἄφθονα τὰ ἐπιτήδεια, καὶ πολέμου φάναι λαμπρὸν ἐργαστήριον ἡ τούτων ἐδόκει πόλις· ὥστε θαῤῥήσαντες ἤδη μὴ μόνον τοὺς ἔξωθεν ἐκ μετεώρου βάλλειν ἐπιχειροῦντας σφᾶς ἀποκρούεσθαι εὐχερῶς, ἀλλὰ καὶ κατὰ θάλατταν, δύο μὲν τῶν μεγίστων ὁλκάδων ἀπολεξάμενοι, πετροβόλα καὶ αὐτοὶ σφισιν ἐπέστησαν μηχανήματα, δι' ὧν ἔβαλλον τὰς ἡμετέρας πετροβόλους μηχανάς· ἐς δὲ τὴν τούτων μείζω καὶ τρίτην, κεραίας καὶ δοκοὺς μεγάλους, τοὺς μὲν ὀρθίους, τοὺς δ' ἐγκαρσίους καὶ ἀγχωμάλους, ἀπὸ μέσης τῆς νεὼς ἐς τὴν πρώραν καταθέμενοι, πρὸς τὸ ὑψηλότερον προϊούσας ὁμαλῶς ἀεὶ καὶ τὸ πλέον ἐχούσας μετέωρον μέχρι πολλοῦ τοῦ ἀέρος, ὥστε καὶ ὑπὲρ τὰ τείχη τῶν Βυζαντίων ἐπαίρεσθαι, σανίσι τε πυκναῖς περισφίγξαντες καὶ κύκλῳ πολὺν τὸν τῶν μεγίστων ἀσπίδων φραγμὸν περιθέμενοι, καὶ πολλοὺς ὁπόσοι τῶν μάλιστα ἐπιλεκτῶν ὁπλιτῶν ἦσαν ἐμβαλόντες, ταύτην ὁμοῦ ταῖς παρασπιζούσαις ἐννέα τριήρεσιν τῷ τείχει προσήγαγον, πῦρ καὶ 2.852 ξίφη πάντα, ὅσα τε ἀγχέμαχα καὶ ὅσα τῶν ἑκηβόλων, καὶ πάντα φάναι σκεύη θανάτου μεθ' ἑαυτῶν ἄγοντες. (Δ.) Τῆς οὖν προσβολῆς γενομένης μάλα βαρείας καὶ δόξαν ἐχούσης ἀνανταγώνιστον, εὐρώστως ὅμως ἠμύνοντο οἱ Βυζάντιοι ἔκ τε τῶν ἔνδον τειχῶν κἀκ τῶν ὑψηλοτέρων οἰκιῶν· καὶ ἁπλῶς εἰπεῖν, ἔσωθέν τε καὶ ἔξωθεν, καὶ ἐκ τῶν ἐπάλξεων αὐτῶν, ἐφ' ὧν οἵ τε ἱστοὶ καὶ αἱ κλίμακες τῶν Λατίνων ἀπῃώρηντο· ὡς γίνεσθαι τὴν μάχην ἡρωϊκήν τινα, κατὰ στόμα καὶ ἐκ χειρῶν ἁπάσης ἀφειδοῦσαν ζωῆς. καὶ ἦν ἰδεῖν νιφάδεσσι μὲν χειμερίῃσιν ἐοικὸς τῶν τε χερμαδίων λίθων τὸ πλῆθος καὶ τῶν βελῶν φερομένων κατὰ τῆς Λατινικῆς ἐκείνης φάλαγγος, συχνοὺς δ' ἐπὶ συχνοῖς πίπτοντας, καὶ ἄλλους ἐπ' ἄλλοις ἀμοιβαδὸν ἀγομένους καὶ φερομένους συχνὰ, ἀντὶ μὲν ζώντων νεκροὺς, ἀντὶ δὲ νεκρῶν ζῶντας· τὰς δ' ἀσπίδας ἐκείνας καὶ τοὺς θυρεοὺς ἀρασσομένους τε καὶ συντριβομένους ὑπὸ Βυζαντίων συχνὰ, καθάπερ σκεύη κεραμέως. καὶ ὁ μὲν τῶν ἱσταμένων ἔτι Λατίνων, ὅθεν δήποθεν τὸν πεσόντα δραξάμενος καὶ μικρὸν ἀφελκύσας, εὐθὺς καὶ αὐτὸς πεσὼν ἐδεῖτο τοῦ ἀφελκύσοντος· ὁ δ' ἤδη μέλλων ἑλκύειν ἐπὶ τοῦ καταστρώματος κατεῤῥήγνυτο, καὶ πρηνὴς ἐφ' ὃν εἷλκεν ἔπιπτεν· ὁ δ' ἀνθιστάμενος βραχύν τινα χρόνον ἐπετύγχανε μὲν οὐδενὸς ὧν ἐφίετο καὶ ἐφ' ἅπερ ἔσπευδεν· ἐλείπετο δ' οὐδενὸς τῶν, ὅσα ῥᾷστον ἐπάγουσιν ᾅδην. καὶ ἦν ὁ ἀγὼν πολυειδὴς καὶ πολύμορφος, καὶ πολλή τις ἑκατέρωθεν ἡ φιλοτιμία καὶ τὸ εὔτολμον, οὐχ ὅστις περισωθείη, ἀλλ' ὅστις ὑπὲρ τοῦ καλοῦ θα 2.853 νεῖται, πλείστους καταβαλὼν πολεμίους. (Ε.) Ἐπεὶ δὲ τῆς ἡμέρας κλινούσης ἤδη, καὶ τῶν πολεμίων ἀπεγνωκότων, διὰ τὸ ἐπιλελοιπέναι τούς τε κατ' ἐκλογὴν ἐκείνους ὁπλίτας σχεδὸν ἅπαντας αὐτοῖς βέλεσι καὶ αὐταῖς ἀσπίσι καὶ ὅσα προτειχίσματα ἦσαν αὐτοῖς καὶ φραγμοὶ, καὶ δεισάντων, μὴ καὶ εἰσπηδήσαντες οἱ Βυζάντιοι καὶ αὐτὴν μὲν αὔτανδρον ἕλωσι τὴν ὁλκάδα, τῶν δ' ἐν ταῖς τριήρεσι τραυματίας τοὺς πλείστους


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐργάσωνται, τά τε πρυμνήσια εἵλκυσαν καὶ τὰς τριήρεις εἰς συμμαχίαν τῆς ἀπαγωγῆς συγκαλέσαντες, σφόδρα ἡττημένοι καὶ δεδακρυμένοι ἀπῄεσαν μὲν, ἥκιστά γε μὴν τῷ οἰκείῳ προσέσχον ἐκ τοῦ εὐθέος λιμένι· ἀλλὰ μέχρις ἡλίου δύντος πελάγιοι, τὰς οἰκείας ἀνακωχεύσαντες ναῦς, τοὺς οἰκείους συνέστελλον νεκροὺς καὶ τραυματίας ἀνελάμβανόν τε καὶ ἐθεράπευον. ἑσπέρας δ', ὅτ' οὐκέτι ῥᾴδιον ἦν τοῖς ἐντὸς φρουρίου παραχρῆμα τὴν τῶν οἰκείων αἰσθέσθαι φθορὰν, καὶ θόρυβόν σφισι γενέσθαι τινὰ, καὶ κραυγὴν μανιώδη παρεισπεσοῦσαν εἰς τὸ φρούριον ταρᾶξαι καὶ δειλίαν ταῖς ψυχαῖς τῶν λειπομένων ἀνδρῶν ἐμποιῆσαι, ἔξω τῶν οἰκείων ὅρων κατήχθησαν· καὶ θάψαντες ἐκεῖ τοὺς νεκροὺς ἡσυχῇ τῷ οἰκείῳ προσέσχον ἤδη λιμένι, δειλίᾳ τε πολλῇ τὰς ψυχὰς τοῦ λοιποῦ γινόμενοι δέσμιοι καὶ πάνυ τοι σφόδρα δι' ἐφέσεως μάλα μακρᾶς τὴν τῆς μάχης ἀπαλλαγὴν τιθέμενοί τε ἅμα καὶ προσδοκῶντες. (΄.) Ἀλλ' ὀψὲ τὰς ἐλπίδας ἀπάτην οὔσας μεμαθηκότες ἔπεμπον μὲν πρεσβείαν ὑπὲρ εἰρήνης ἐς βασιλέα, συνῆγον δ' οὖν καὶ συμμάχους ὁπλίτας ἔκ τε τῶν οἰκείων καὶ τῶν ὅθεν δήποτε φίλων καὶ συγγενῶν· καὶ ἀποτυγχάνοντες τῆς εἰρήνης 2.854 εἰς χρονιώτερον ἤδη παρεσκευάζοντο πόλεμον, χρήματά τε ἀπαριθμούμενοι καὶ συνεισφέροντες· οὐδὲ λόγους ὅμως συνήθους ὀφρύος ἀφιέναι ἠμέλουν μεστούς. δ΄. Ἄρτι δὲ τοῦ φθινοπώρου μεσοῦντος ἀφικνεῖται καὶ βασιλεὺς ἐς Βυζάντιον, στρατόν τε ἐπαγόμενος ἠπειρώτην καὶ ἅμα ναυπηγήσιμα ξύλα παραγγέλλων, τὰ μὲν ἐξ ὄρους ἤδη τμηθέντα, τὰ δ' ἔτι τεμνόμενα, φέρειν· καὶ ἠθροίζετο ναυπηγῶν καὶ τεκτόνων πλῆθος ἅπαν ἐς τὸ περὶ τὸν τοῦ Βυζαντίου ἱππόδρομον νεώριον. ὀψὲ γὰρ ἔγνωσαν κακῶς βουλευσάμενοι Βυζάντιοι περὶ τὴν ἔξω τειχῶν συσκευὴν τῶν νεῶν· καὶ ἡ τοῦ φθάσαντος πάθους ἀπειλὴ συνετωτέρους ἐπεποιήκει πρὸς τὴν τῶν δρωμένων ἑξῆς ἐπανόρθωσιν. (Β.) Τῇ δ' ὑστεραίᾳ τοὺς Βυζαντίους ἐς ἐκκλησίαν καλέσας ἀνεμίμνησκεν, ὅτι "1τῶν ἐνεστώτων δεινῶν τούτων ὑμεῖς πάντως ὑμῖν αὐτοῖς αἴτιοι, καὶ οὐκ ἄλλος τῶν πάντων οὐδείς. μέμνησθε γὰρ, ὅπως τὸν πέρυσι χρόνον ἐνταυθοῖ συνεληλυθότες ἐπηγγείλασθε πάντες, χρήματά τε καὶ ὅπλα συνεισενεγκεῖν οἴκοθεν, διὰ τὴν τῶν βασιλικῶν πρυτανείων σπάνιν, πρὸς κατασκευὴν καὶ σύστασιν ναυτικῆς δυνάμεως· ἵνα τε τοῖς μὲν φίλοις ὦμεν ποθεινοὶ, τοῖς δ' ἐχθροῖς φοβεροί· ἔπειτ' οἴκαδε πᾶσιν ἀναχωρήσασιν οὐκ ἐμέλησεν οὐδενὶ περὶ οὐδενὸς ὧν ἐπηγγείλασθε δρᾷν ἐπὶ τῷ σφῶν αὐτῶν ὠφελίμῳ· ἀλλ' αὖραί τινες τοὺς ὑμετέρους λόγους ἀέρος κόλποις ἀδήλοις ἐξαπίνης διεμερίσαντο. νῦν οὖν πρὸ ὀφθαλμῶν κείμενα βλέποντες ἃ προὐξένησεν ἡμῖν ἡ τότ' ἀμέλεια σκέψασθε, τί δεῖ δρᾷν, ἐπὶ 2.855 ξυροῦ λοιπὸν τῶν κακῶν ἱσταμένων καὶ ὑπὲρ κεφαλῆς ἡμῖν αἰωρουμένων ἐς τὸ βίαιόν τε καὶ ἄφυκτον. ὁρᾶτε γὰρ, ὡς ἐν ταῖς ἐπιθαλαττίοις πόλεσι, καὶ μάλιστα πασῶν τῇ βασιλίδι ταύτῃ τῶν πόλεων, ἂν τὸ θαλαττοκρατεῖν ἀφέληταί τις τῶν πολεμίων, τὸν περὶ τοῦ ζῆν εὐθὺς ἐπεκρέμασε κίνδυνον, ἣν μή τις ἐθέλῃ προφανῶς ἐλευθέρου βίου βαρυδαίμονα καὶ Ταντάλειον οἷον ἀλλάξασθαι, καὶ ζημιωθῆναι μὲν χρημάτων καὶ οἰκιῶν, ζημιωθῆναι δὲ γυναικῶν καὶ παίδων αὐτῶν. δυοῖν γὰρ ἕψεται θάτερον, ἢ τῆς κεφαλῆς ἢ τῶν τοιούτων στέρεσθαι ζῶντα καὶ πολλαπλοῦν τὸν τῆς πικρίας κρατῆρα κιρνᾷν νύκτωρ ἅμα καὶ μεθ' ἡμέραν αὐτὸς ἑαυτῷ. φέρε οὖν τὸν ὑμέτερον ἐμοὶ δηλοῦν μὴ κατοκνήσητε τρόπον, ἵνα γνῶ καὶ αὐτὸς, εἰ τῆς προτέρας κατέγνωτε ἀμελείας. ἀνάλογον γάρ ἐστιν, ὡς καθάπερ ποιμένι παντὶ, εἰ μὴ τὰ πρόβατα ἕπεσθαι βούλοιτο, ἀλλ' ἀντιβαίνοι καὶ τὴν ἐναντίαν ὁδεύειν ἐθέλοι, οὐκ ἄδηλον ἂν εἴη, ὡς ὅσον οὐκ ἤδη τεθνήξεται, κρημνοῖς καὶ φάραγξι καὶ λύκοις περιπεσόντα, οὕτω καὶ βασιλεῦσι καὶ ἡγεμόσιν ἀνδρῶν, ἢν μὴ σύνδρομα ᾖ τὰ τῶν ὑπηκόων, ἀλλ' ἀντιβαίνῃ καὶ ἀντιπράττῃ, οὐ πόῤῥω γ' ἂν εἶεν ὀλέθρου καὶ δεινῶν τῶν ἐσχάτων."2 (Γ.) Τούτων αὐτήκοοι γεγονότες Βυζάντιοι οὐκέτι πλείω συνείρειν εἴων τὸν βασιλέα· ἀλλ' ἀναστάντες μιᾷ φωνῇ πάντες ἀπείπαντο μὲν τὴν τῶν Λατίνων εἰρήνην,



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

κατέγνωσαν δ' ἑαυτοὺς τῆς πρὶν ἀμελείας, ἐπαγγελίας τε ἔδοσαν, ἐθελοντὰς συνεισφέρειν εἰς ἐράνου φορὰν τὰ προσόντα, καὶ παῖδας αὐτοὺς εἰ δέοι χρημάτων ἀλλάττεσθαι 2.856 κοινῆς ὠφελείας ἕνεκα. καὶ ταῦτα μὲν τοῦτον ἔσχε τὸν τρόπον, καὶ ἀπηλλάττοντο εἰς τὰ ἴδια ἕκαστοι. πολλὴ δέ τις ἐντεῦθεν ἐφαίνετο περὶ τὴν ὅπλισιν ἡ φιλοτιμία, καὶ ὀξεῖά τις ἦν ἡ σπουδὴ περί τε κατασκευὴν νεῶν καὶ πετροβόλων μηχανημάτων μεγάλων τε καὶ μικρῶν καὶ μισθοφορικοῦ στρατοῦ, ὅσοι τε ἐς τὰς ναυτικὰς δυνάμεις καὶ ὅσοι ἐς τὰς πεζικὰς ἀρκέσουσι φάλαγγας. ὅθεν χρημάτων οὐκ ὄντων εἰς τὴν δαπάνην, ἐπράττετο πρὸς Βυζαντίων, ἔνια μὲν παρ' ἑκόντων, τὰ δὲ πλεῖστα παρὰ σφόδρα ἀκόντων. ἐξεπέμποντο δὲ καὶ οἱ τὰς Θρᾳκικὰς ἀργυρολογήσοντες πόλεις καὶ χώρας τῆς κοινῆς καὶ ἀναγκαίας ταυτησὶ χρείας εἵνεκα. (Δ.) Ἐνίας γε μὴν οἱ Λατῖνοι τῶν ὅσαι προτειχίσματος δίκην ὁλκάδες τὸν οἰκεῖον ἐπλήρουν λιμένα καταγνυμένας τε καὶ δυομένας ὁρῶντες ὑπὸ τῶν Βυζαντίων πετροβόλων μηχανημάτων τάχιστα πάσας ἐκεῖθεν ὡς πορῤῥωτάτω μετήνεγκαν· καὶ ἦν λοιπὸν τὰ ἐν τῷ λιμένι τείχη σφῶν βοηθείας καὶ σκέπης παντάπασιν ἔρημα. ὅθεν ἔπεμπον μὲν ἐν Γεννούᾳ, ἔπεμπον δ' ἐν Ῥόδῳ τοὺς ἢ βοήθειαν ἐκεῖθεν ἄξοντας ἢ τοὺς τὴν εἰρήνην πρεσβεύσοντας. Γέννουα μὲν οὖν ἰδίους ἔχουσα θορύβους καὶ γείτονας μάχας ἀπείπατο πέμπειν βοήθειαν. Ῥόδιοι δ' ἐκπέμπουσιν εὐθὺς μίαν τριήρη μετὰ τῶν τὴν εἰρήνην πρεσβευσόντων· οἳ πολλὰ μὲν εἰπόντες, ἐπεὶ ἐληλύθασι, πολλὰ δ' ἀκηκοότες, τῶν σπουδαζομένων ἤνυσαν οὐδὲν, ἅτε οὐκ ἐπαγγειλάμενοι μήτε τοῦ ληφθέντος ἐν τῇ μάχῃ τόπου τῶν προτέρων ὁρίων ἐπέκεινα μήτε τῆς γενομένης ἄλλης ὑπὸ σφῶν ζημίας ἀπόδοσιν. ὅθεν καὶ ἀπῄεσαν αὖθις ἐς Ῥόδον ἄπρακτοι· πλὴν 2.857 ὅτι πολλὰ τῶν πολυτελῶν κειμηλίων καὶ χρημάτων οἱ ἐν τοῖς Γαλάτου ἐνθέμενοι τῇ Ῥοδίᾳ τριήρει ἐς Ῥόδον δι' αὐτῶν ἔπεμπον, δεδιότες περὶ τοῦ μέλλοντος. ἦσαν δ' οἳ καὶ γυναῖκας καὶ παῖδας ἐξέθεντο διὰ τὸ τοῦ μέλλοντος ἄδηλον. (Ε.) Ἐπεί γε μὴν αἵ τε ἐν Βυζαντίῳ καὶ ἀλλαχῆ ναυπηγούμεναι τριήρεις συνεσκευάσθησαν ἤδη τῷ βασιλεῖ, μεγάλαι μὲν ἐννέα, μονήρεις δὲ καὶ διήρεις πλείους, πολλοὶ δὲ καὶ τῶν ἐν Βυζαντίῳ πλουσίων φιλοτιμότερον εἰς τοὖργον διατεθέντες λέμβους στρατιώτιδας καὶ ἀκάτια συνεσκευάσαντό τε καὶ ἐξώπλισαν ἐξ οἰκείας δαπάνης, μετάπεμπτοι γίνονται καὶ ὅσαι κατ' ἄλλας τῶν ὑπηκόων ἦσαν πόλεων· ὧν αἱ μὲν καιροῦ λαμβανόμεναι νύκτωρ ἀπῄεσαν ἐς τὸν τῶν Βυζαντίων λιμένα, μόλις λανθάνουσαι τὰς Λατινικὰς τριήρεις, αἳ διηνεκῶς ἐπιτηροῦσαι καὶ παραφυλάττουσαι πόῤῥωθεν ἐκώλυον τὸν εἴσπλουν ἐκείνων, αἴθριοι διανυκτερεύουσαι τὸν χειμέριον χρόνον ἐκεῖνον. ἐνταῦθα γὰρ τὸ ναυτικὸν ἐκεῖνο πελάγιον ἀεὶ δειπνοποιεῖσθαί τε καὶ ἀριστοποιεῖσθαι καὶ καθεύδειν οἱ τριηράρχαι ἠνάγκαζον· ὡς συμβαίνειν ἐντεῦθεν, πολιορκεῖσθαι μὲν Βυζαντίους ἐκ θαλάττης ὑπὸ Λατίνων, πολιορκεῖσθαι δ' αὖ ἐξ ἠπείρου Λατίνους ὑπὸ Ῥωμαίων, καὶ εἶναι δεσμίους ἐξ ἑκατέρων ἑκατέρους καὶ ὑπ' ἀλλήλων ἀλλήλους. ε΄. Ἄρτι δὲ τοῦ ἔαρος ἐπιλάμποντος, καὶ τῶν τε ἀγρίων πνευμάτων τὴν χειμερίαν ἐκείνην αὐλητικὴν τρεψαμένων ἐς τὸ καθεύδειν, καὶ μακρᾶς ὁμοῦ τῆς γαλήνης ἐπιχωριαζούσης τοῖς κύμασιν, ἐπεὶ πάντα ἦν ἔκ τε γῆς καὶ θαλάττης ἀπηρτισμένα καὶ οὐδὲν τῶν ἐς μάχην ἀνηκόντων ἐπιτηδείων τοῖς Βυζαντίοις 2.858 ἐλείπετο, παρεσκευάζοντο πρὸς ἀναγωγὴν ἑκατέρωθεν αἱ τριήρεις, ἔκ τε τῶν ἐντὸς Βυζαντίου φημὶ νεωρίων καὶ ἔτι οὗπερ ἔφθημεν εἰρηκότες ναυστάθμου, πρὸς ὃν ἐξ αὐτοσχεδίου βιασθεῖσι τοῖς ναυάρχοις ἐν ἀρχαῖς τῆς μάχης καταπεφευγέναι ξυμπέπτωκε, παρὰ τὰς τοῦ ποταμοῦ δηλαδὴ ἐκβολὰς, ἔνθα καὶ τὸ τοῦ θαλαττίου κέρως ἀναπαύεται ἄκρον. αἱ μὲν οὖν ἐκ Βυζαντίου περὶ δείλην ὀψίαν ἐκπλεύσασαι, δέον καιρόν τινα δοῦναι γυμνασίᾳ μικρᾷ γοῦν, καὶ ἀνθαμιλλήσασθαι πρότερον πρὸς ἀλλήλας, καὶ πεῖραν τῆς εἰρεσίας ποιήσασθαι καθ' ἑαυτάς· μηδὲ γὰρ εἶναι πάντας ἐν συνηθείᾳ θαλάττης καὶ κώπης, ἀλλ' ἀπόζοντας τοὺς πλείους δενδροτομίας τε καὶ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

σκαπάνης· αἱ δὲ μικρὸν προβᾶσαι σχάζουσι τὰς κώπας, οὐ μάλα σὺν τάξει καὶ κόσμῳ στρατηγικῷ, ἀλλ' ἐν ἀκοσμίᾳ τὸ πλεῖστον, καὶ ἑτεροζυγοῦσαν τὴν εἰρεσίαν ποιούμεναι, καὶ τοῦ εὐθέος παραγομένην. (Β.) Ἐπεὶ δὲ καὶ νὺξ παρῆν ἤδη καὶ αὗται παρὰ τὸν αἰγιαλὸν ἦσαν ὁρμοῦσαι πρὸ τῶν ἑῴων τοῦ Βυζαντίου τειχῶν, ἐπῄει ἐξ ἀπογείων πνευμάτων θόρυβος ταῖς ναυσὶ καὶ διαταράττειν ἐδόκει μικρόν. περὶ δὲ δευτέραν φυλακὴν τῆς νυκτὸς ἧκεν ὅλῃ σπουδῇ πρὸς αὐτὰς ἡ πρὸς κατασκοπὴν ἐκπεμφθεῖσα πρὸ βραχέος ταχυναυτοῦσα τριήρης, Λατινικὴν ὁλκάδα μεγίστην ἀγγέλλουσα πλήρεσιν ἱστίοις ἐξ Ἑλλησπόντου ἀναγομένην· καὶ ἅμα οἱ ναύαρχοι πολλῷ τῷ θαῤῥοῦντι τοῖς τε ναύταις καὶ ἐπιβάταις, τοῖς μὲν ἐπὶ τὴν εἰρεσίαν, τοῖς δ' ἐπὶ τὰ ὅπλα χωρεῖν ἐσήμαινον τῇ σάλ 2.859 πιγγι. σπουδαιότερον μὲν οὖν τὸν ἔκπλουν ποιησάμενοι τάχιστα τὴν ὁλκάδα περιεκύκλουν, καὶ τὴν ὀθόνην καθέλκειν ἐκέλευον. ἡ δ' οὐχ ὑπήκουε τὰ πρῶτα, ἀλλὰ μάχης ἥπτετο καὶ πολέμου. ἐπεὶ δὲ τά γε βέλη κατὰ πλῆθος πανταχόθεν ἐπῄεσάν σφισι, καὶ περιῆν τοῖς ὁπλίταις εἰσπηδῶσι φονεύειν σφᾶς, ἐνέδοσάν τε ἄκοντες καὶ χεῖρας ὤρεγον εἰς οἶκτον παρακαλοῦντες. ἀλλ' ὤναντο τῆς παρακλήσεως οὐδέν· ἐπεὶ φθάσαντες ἔνιοι τῶν ναυτῶν ἐκ τῆς τριήρους τήν τε ὁλκάδα ὑφάπτουσι καὶ τοὺς ἔνδον ἅπαντας ἐμπιπρῶσι, καὶ ἡ φλὸξ ἤρετο πελάγιος ἐπὶ πολλῇ τῇ νυκτί. (Γ.) Τούτων δ' ἀσχολουμένων περὶ ταῦτα, κατὰ σφᾶς αὐτοὺς ἐβουλεύοντο οἱ Λατῖνοι, πολλὴν τρικυμίαν ἔχοντες λογισμῶν καὶ τοὺς ἐσχάτους κινδύνους σφῶν αὐτῶν μονονοὺ πρὸ ὀφθαλμῶν ἱσταμένους ὁρῶντες. οἱ μὲν οὖν ἄλλοι πάντες ἀσφαλέστερον εἶναι ἐψηφίζοντο, καταλιπόντας τὴν θάλατταν φυλάττειν τὸ φρούριον· μηδὲ γὰρ δύνασθαι δι' ὀλιγανδρίαν πρὸς δύο μερίζεσθαι μάχας, ὁμοῦ κατὰ σφῶν ἐπιούσας ἔκ τε γῆς καὶ θαλάττης· θᾶττον μεντἂν ἑκατέρων ἀποτυχεῖν, ἢ μιᾶς τινος εὐμενοῦς πειραθῆναι. μόνος δ' ὁ ναύαρχος μετὰ σταθεροῦ καὶ γενναίου τοῦ τῆς ψυχῆς παραστήματος ταῖς πάντων ἀντέλεγε ψήφοις. κατασκέψασθαι γὰρ ἔφασκε καὶ καταγνῶναι τοῦ Ῥωμαϊκοῦ στόλου πολλὴν ἀπειρίαν, ἀναγομένου τε καὶ καταίροντος τῇ προτεραίᾳ μὴ κατὰ νόμους στρατηγικούς, καὶ οὐ πόῤῥω διὰ ταῦτα χρηστῶν εἶναι ἐλπίδων. τῆς γοῦν πλείονος μοίρας, μᾶλλον δὲ τοῦ παντὸς κράτους ἐν τῇ θαλάττῃ κειμένου, εἶναι ἔφασκε δεῖν ἐνταῦθα, εἰ μὴ τὴν πᾶσαν, τὴν γοῦν πλείονα θεῖναι σπουδήν. 2.860 (Δ.) Ὅθεν μεγάλας μὲν ἐννέα τριήρεις, μονήρεις δὲ πλείστας, ἐπιλέκτων ἐμπλήσας ὁπλομάχων ναυτῶν, καὶ τριηράρχους ἐπιστήσας τοὺς μάλα ἀρίστους, καὶ μικρὸν τοῦ λιμένος προβὰς, ἵστατο περιμένων ἐν τάξει τὸν τῶν Βυζαντίων ἐπίπλουν, δυοῖν ἔχων ἐν νῷ διαπράξασθαι θάτερον· εἰ μὲν κατὰ νόμους ὁρῴη στρατηγικοὺς ἐπιόντας ἐπ' αὐτὸν, πρύμναν τε κρούσασθαι καὶ τῶν νεῶν ἐκπηδήσαντας ἐντὸς γενέσθαι τοῦ φρουρίου πλησίον ἑστῶτος· εἰ δ' οὖν, ὁμόσε χωρεῖν ἐς τοὺς πολεμίους. ´. Ἐπεὶ δ' ἡμέρας γενομένης ὁμιχλῶδές τι καταῤῥέον ἐκ πελάγους πνεῦμα τὸ θαῤῥεῖν ἀφῄρει τοὺς Βυζαντίους, ἐνθαρσέστερος ὁ τῶν Λατίνων ἐγίγνετο ναύαρχος. συνῄεσαν δ' ὅμως ἔξωθεν μὲν αἱ πεζικαὶ τῶν Ῥωμαίων φάλαγγες μετὰ πολλῶν καὶ μεγάλων θυρεῶν καὶ παντοδαπῶν φρυγάνων, ὅσα τροφὴ τῷ πυρὶ καθίσταται πρόχειρος· προὐφαίνετο δὲ καὶ ὁ στόλος ἤδη κάμπτων τὴν τοῦ Βυζαντίου βορείαν ἄκραν, ἔνθα πύργοι τε δύο ἀνῳκοδόμηνται λίθων λευκῶν καὶ ἀπεξεσμένων ἐς τὸ τῆς ἁρμονίας εὐφυὲς, καὶ ἅμα Δημητρίου τοῦ μάρτυρος ἵδρυται ἱερόν. ἔδοξε δ' αὐτοῖς ἐπίμοχθος ἡ καμπὴ διὰ τὰς ἐκεῖ γινομένας ἀεὶ θαλαττίους ἕλικάς τε καὶ οἷόν τινας λαβυρίνθους, κατὰ τὴν παρ' Ἕλλησιν ᾀδομένην Σκύλλαν καὶ Χάρυβδιν, ἣν ἐκεῖνοι κατὰ τὸν πορθμὸν εἶναί φασιν, ὃς μεταξὺ τοῦ τε Ἰταλικοῦ Ῥηγίου καὶ τῆς Σικελικῆς κεῖται Μεσήνης. ἔσφηλε δ' αὐτοὺς ἐς τὰ μάλιστα τότε καὶ τὸ μὴ ἀνάλογον ἔχειν ἐν τοῖς τῶν νεῶν κοιλώμασι κάτω 2.861 τὴν ψάμμον· ὅπερ εἴωθε τοῖς ἐπὶ θάλατταν ἀεὶ ναυστολοῦσιν ἔρεισμα γίνεσθαί τε καὶ εἶναι τοῦ πλοῦ καὶ θεμέλιος κράτιστος. (Β.) Δέον οὖν κατὰ μέτωπον στήσαντας τοὺς τριηράρχους τὰς ναῦς ἀντιπρώρους ταῖς τῶν πολεμίων ναυσὶ καὶ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀπὸ μόνης τῆς πρώτης ἐκπλῆξαι θέας αὐτοὺς, οἱ δὲ τῆς προσηκούσης ἐκπεπτωκότες γνώσεως, μίαν παρὰ μίαν κάμπτοντες τὴν ἄκραν ἐκείνην ὑπέφαινον. πρώτη μὲν οὖν ἡ ναυαρχὶς ἐδείκνυτο, σχολῇ κατιοῦσα καὶ βιαζομένη μάλα πλησίον τὸν πλοῦν ποιεῖσθαι τῆς γῆς· καὶ μετ' ἐκείνην ἀπ' οὐρᾶς ἑτέραν δίκην ὁρμαθοῦ καὶ σειρᾶς ἐχομένας ἀλλήλων ἐς μῆκος· πρύμναν τε πρώρας ἄλλης ἐχομένην καὶ οὕτως ἀμοιβαδὸν ἁπάσας καὶ παραλλὰξ ἑτέραν ἑτέρας ἐξηρτημένας καὶ στοιχηδόν πως πλεούσας, ἕως προσέσχον τῷ αἰγιαλῷ τῷ ἐκ διαμέτρου καὶ κατ' εὐθεῖαν τοῦ Λατινικοῦ κειμένῳ φρουρίου, ἀπέχουσαι τῆς γῆς ἡμιπλέθρου μεῖον. εἰ μὲν οὖν κἀνταῦθα γενόμεναι τὰς πρώρας ἐπὶ μετώπου τοῖς Λατίνοις ἵστασαν, περιμένουσαι τὴν ὥραν τῆς προσβολῆς, εὖ ἂν οἶμαι εἶχεν· ἢ τό γε βέλτιον, εἰ μὴ διακόψασαι τὸν παράλιον ἐκεῖνον πλοῦν προὐχώρουν ὁμοίως ἄχρι τῆς ἐσχατιᾶς τοῦ πορθμοῦ, ὅπη δηλαδὴ καὶ τὰς ἄλλας εἰρήκειμεν ἵστασθαι, κἀκεῖθεν ὁμοῦ ταῖς ἄλλαις ἐπαναστρέψασαι τὸν ἐπίπλουν ἐν τάξει κατὰ τῶν πολεμίων ἐποιοῦντο, καὶ οὕτως εὖ ἂν οἶμαι εἶχεν. νῦν δὲ ἀλλ' ἑτέραν ὁ δαίμων ἔδωκεν ἔννοιαν καὶ δειλίαν· καὶ μετήνεγκεν ἀθρόον καὶ περιέστησεν ἐς τοὐναντίον τὰς τῶν καυχημάτων καὶ ἀπειλῶν 2.862 ἀποβάσεις ἡ τύχη. (Γ.) Δέον γὰρ ἡρωϊκῶς κατὰ τὰς ἐπαγγελίας ἀγωνίσασθαι, οἱ δ' ὑπότρομοι γενόμενοι, μηδενὸς ἀντιπράττοντος, μήτε ξίφους γυμνωθέντος, μήτε βέλους ἐπ' αὐτοὺς ἀκροβολισθέντος, ἔφευγον ἅπαντες, τῶν καταστρωμάτων ἐξαίφνης σύνδυό τε καὶ σύντρεις ἐκπηδῶντες ξὺν οὐδενὶ κόσμῳ κατὰ τῆς ὑποκειμένης θαλάττης· ὧν οἱ μὲν διανήχεσθαι εἰδότες, ῥίπτοντες τὰ ὅπλα, μόλις ἐς γῆν ἐξέπιπτον· οἱ δὲ πλείους τῷ βάρει τῶν ὅπλων κατεδύοντο. καὶ ἦν ἰδεῖν θέαμα ἐλεεινὸν, ἀσπαίροντας ἐν τῷ βυθῷ τοὺς φοβεροὺς καὶ μετεώρους ἐκείνους ὁπλίτας, δίκην ἰχθύων καὶ καρκίνων, καὶ ἀλλήλων ἐχομένους ἀπρὶξ καὶ ἀναδῦναι μὴ δυναμένους, ἀλλὰ ταμιευομένους ἐς τὴν ὑστεραίαν ὑπὸ τῆς τύχης ἑστιάτορας αὐτοὺς τοῖς ἑαυτῶν δαιτυμόσιν ἔσεσθαι ἰχθύσιν. οὕτως ἀνάνδρους τὸ ἀδικεῖν ποιεῖ τοὺς ἀνδρείους, καὶ παίγνιον δυστυχὲς τὰ ἡρωϊκὰ δεικνύει φρονήματα τὸ θεοῦ κατεπαίρεσθαι. (Δ.) Ἐπεὶ γὰρ πρὸ τῆς μάχης, νύκτωρ καὶ μεθ' ἡμέραν ἀεὶ στρατευόμενοι πολλῷ τῷ τῆς γλώττης ὑβρίζοντι κατὰ τῶν Βυζαντίων χηρῶν καὶ ὀρφανῶν, πάντων πολεμίων ἔδρων οὗτοι τὰ χείριστα, καὶ προφάσει διὰ τὰς ναῦς σανίδων καὶ στυπτίων ὅλας ἀνέτρεπον οἰκίας, καὶ ὅλας οὐσίας ἠνδραποδίζοντο, κἀν τοῖς τοιούτοις προανηλώκεσαν τῆς ἀρεϊκῆς ἀνδρείας τὸν ὄγκον ἐκεῖνον, ἔλαθον κύμασι καὶ βυθοῖς θαλαττίοις νῦν ἐνταυθοῖ τὰς γενναίας θάψαντες ἐλπίδας ἀθρόον καὶ τοῦ ἠπειρωτικοῦ τὸν ὑγρὸν καὶ ὑποβρύχιον ἀλλαξάμενοι βίον. τῷ γὰρ ἡμαρτηκότι τοῦ συνειδότος βρίθοντας ἔχοντες λογισμοὺς, καὶ 2.863 ἀναμιμνησκόμενοι δεήσεων ἐκείνων ὀρφανικῶν, ὡς ἔοικε, καὶ δακρύων ἐλεεινῶν, ὥσπερ μεθυούσας εἶχον τὰς χεῖρας πρὸς ὅπλα καὶ ἀκροσφαλεῖς πρὸς κινήσεις τοὺς πόδας, καὶ ἅμα τεθραυσμένην τὴν διάνοιαν ἐς τὰς πρὸς τὸ κρεῖττον ἐλπίδας, ἔργοις τοῖς τηνικαῦτα μανθάνοντες, ὅτε μηδέν σφισιν ὄφελος ἦν, μὴ εἶναι χρεὼν ἐν τοῖς ὅπλοις τὰς χρηστὰς ἀνέχειν ἐλπίδας, ἢν μὴ παρῇ τὸ δίκαιον μετὰ τῆς τοῦ εὐσεβεῖν εὐθύτητος. μόνοις γὰρ τοῖς σὺν δίκῃ δρωμένοις τὸ δυνάμενον τῆς ψυχῆς ἀσφαλῶς ἐρείδεταί τε καὶ τὸ θάῤῥος ἐν περιστάσεσιν ἀκλόνητον ἔχει. καὶ γὰρ εἰ κατὰ τῶν ἀλλοτρίων τὰ τοιαῦτα γινόμενα τῶν ἀδικημάτων εὐθύνεται πρὸς τοῦ κοινοῦ δεσπότου θεοῦ, πολλῷ μᾶλλον εἰ ὁμόφυλον εἴη τὸ ἀδικούμενον. (Ε.) Τὸ δὲ ξένον ἐκεῖνο θέαμα βλέπων ὁ τῶν Λατίνων ναύαρχος πόῤῥωθεν τὸ μὲν πρῶτον διηπορεῖτο καθ' ἑαυτὸν, καί τινα ἐνόμιζεν εἶναι ὑπόκρισιν καὶ δραματουργίαν· ἔπειτα ἔγνω θεομηνίαν εἶναι τὸ πρᾶγμα σαφῆ· καὶ ἡσυχῇ παρακελευσάμενος ἐρέττειν τὸ τῆς ἡγεμονίδος πλήρωμα προῄει παραγγείλας ἕπεσθαι καὶ τὰς ἄλλας τριήρεις κατόπιν. ἐπεὶ δ' ἐλθὼν κενὰς τὰς Ῥωμαϊκὰς τὸ παράπαν εὗρε τριήρεις, ἀναδησάμενος εἷλκέ τε πάσας ἠρέμα καὶ ὑπέστρεφεν ἄγων ἐς τὸ τῶν Λατίνων ἐπίνειον· πλὴν ὅσαι διήρεις τε


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

καὶ μονήρεις καὶ λέμβοι πλήθους ἕνεκα διαδρᾶσαι τὴν ἅλωσιν ὑπερόριοι τῶν κινδύνων ἐγένοντο. (΄.) Τούτων δ' ἐς τοῦτο τύχης κατενεχθεισῶν, ἐφαίνοντο ἐπιπλέουσαι ἤδη καὶ ὅσαι παρὰ τὰς ἐκβολὰς, ὡς εἰρήκειμεν, ἵσταντο πάλαι τοῦ ποταμοῦ τριήρεις μέγισται μὲν τρεῖς, 2.864 μείους δὲ παμπληθεῖς. ἐπεὶ δὲ κατὰ μέσην γενόμεναι τὴν πορείαν ἐρήμους ἀνδρῶν ἑλκομένας εἶδον ὑπὸ τῶν πολεμίων τὰς ὁμοφύλους νῆας, ἔστησαν ὥσπερ τινὶ νάρκῃ πεδηθεῖσαι καὶ μὴ δυνάμεναι μήτε πρόσω μήτ' ὀπίσω ποιεῖσθαι τὸν πλοῦν, ἕως τοῖς ὁμοίοις ταῖς ἄλλαις περιέπιπτον καὶ αὗται κακοῖς. ἦν γὰρ ἰδεῖν εὐθὺς καὶ τούτων ἅπαν τὸ πλήρωμα, τριηράρχους ὁμοῦ καὶ ναύτας, κατὰ κεφαλῆς ἐς θάλατταν πίπτοντας τὸν ὅμοιον τοῖς προπεπονθόσι τρόπον, πρὶν ἢ γεγυμνωμένον θεάσασθαι ξίφος καὶ πρὶν πολεμίας αἰσθέσθαι τινὸς ἀπειλούσης βοῆς. (Ζ.) Διενείματο δ' ὁμοίως τὸ τῆς δειλίας ἐκείνης δεινὸν καὶ ὅσοι παρὰ τὸν αἰγιαλὸν καὶ τοὺς πύργους ἦσαν ἑστῶτες. μεστὰ γὰρ ἦν ἅπαντα ὄχλων παντοδαπῶν, οὐ μόνον τά τ' ἔνδον πυλῶν καὶ ὅσα τῶν ἐκτὸς, ἀλλὰ καὶ τὸ κατὰ τὰς ἐπάλξεις πλῆθος ἀνδρῶν ἀριθμὸν πάντα νικῶν ἦν· ὧν οὔτε σαλπιγκτὴς ἦν τις, οὔτε τι κύμβαλον, οὔτ' οὐδὲν ὁπόσα εἴωθεν ἐν πολέμοις εὐθαρσοῦς παραστήματος γίνεσθαι παρακλητικὰ, λήθης μακρᾶς τινος τῶν ἐν τούτοις χρησίμων, οὐκ οἶδ' ὁπόθεν καὶ ὅπως, ἐπιπλανηθείσης τέως καὶ διανεμηθείσης τὰς Ῥωμαίων ψυχάς. ἀλλὰ πλὴν τοῦ ἀναπνεῖν ἄντικρυς εἶναι πάντες ἐδόκουν νεκροί· συνωθούμενοί γε μὴν ὑπ' ἀλλήλων ἐν τῇ πρὸς τὰ ἔνδον φυγῇ συνέπιπτόν τε καὶ συνεπάτουν ἀλλήλους, καὶ ταῦτα καὶ αὐτῶν τῶν πολεμίων ἑστηκότων, καὶ θεωμένων ἀτενῶς, καὶ σφόδρα πρὸς τὸ τοῦ δράματος ἐκπεπληγμένων παράδοξον· ὥστε καὶ δέον σκιρτᾷν ἐκείνους ὑπὸ τῆς μεγάλης εὐτυχίας ἐκείνης, τῶν δὲ καὶ ἠλέουν ἔνιοι τοὺς πάσχοντας, καὶ στῆναι παρεκελεύοντο, καὶ σφᾶς αὐτοὺς 2.865 οἰκτείρειν τῆς δαιμονιώδους ἐβόων ταυτησὶ συμφορᾶς, καὶ μὴ μάτην οὕτω προδιδόναι θανάτῳ, διώκοντος μηδενός. οὕτως ἀνυπέρβλητον τὸ τῆς συμφορᾶς ἐκείνης πάθος, καὶ μηδὲν καταλελοιπὸς τῶν ἐφ' ὁμοίοις πάλαι παραδειγμάτων, ἁμιλλᾶσθαι ῥᾳδίως τούτῳ παρατιθέμενον. ζ΄. Ἀλλὰ γὰρ εἰς τοῦτο τύχης τὸν στόλον συνελαθέντα βλέποντες οἱ πόῤῥωθεν πολιορκεῖν ἀφ' ὑψηλοῦ τὸ τῶν Λατίνων φρούριον ἐκπεμφθέντες στρατιῶται Βυζαντίων τε καὶ ὅσοι κατὰ συμμαχίαν ἐκλήθησαν Θρᾷκες ἅμα καὶ Πέρσαι, χιλιάδες οὐ μείους τῶν τριῶν, τοῖς ὁμοίοις καὶ οὗτοι δεινοῖς περιέπιπτον, καὶ θυρεοὺς ἐκείνους καὶ ὅπλα καὶ μηχανήματα καταλιμπάνοντες ἔφευγον σποράδες τε καὶ ἀσύντακτοι, μηδενὸς ὄντος τοῦ πολέμιόν τι καὶ ἄγριον γρύζοντος· καὶ οὐ πρότερον ἔστησαν, πρὶν σπουδῇ τὸν ποταμὸν διαβάντες ἐλευθέριόν τι ἀνεπεπνεύκεσαν ἤδη. (Β.) Τῆς μέντοι θεομηνίας ταυτησὶ τὰς αἰτίας ἄλλοι ἄλλας ἐτίθεντό τε καὶ ἐψηφίζοντο. ἐγὼ δ' ἑτέροις ταύτας ἀπαριθμεῖν ἀφεὶς τὸν λόγον ἐφ' ἕτερα τρέψομαι· τοῦτο μόνον προσθεὶς, ὡς εἰ θρασύτερον ἴσως οἱ Λατῖνοι τότε διετίθεντο, καὶ τῷ παρὰ προσδοκίαν πᾶσαν μεγίστῳ ἐπαρθέντες εὐτυχήματι τουτωὶ Βυζαντίους φεύγοντας καὶ ὑπ' ἀλλήλων ἀκλεῶς καταπατουμένους ἄχρι πυλῶν ἐδίωκον, ὀλίγου ἂν ἐδέησε πλῆθος ἐκεῖ διαφθαρῆναι παντοίων καὶ παντοδαπῶν ἀνθρώπων. ἀλλ' ἐπέσχε κύριος τὸν θυμὸν αὐτοῦ, καὶ μέτρια σφᾶς εὐθὺς ἐπεπείκει φρονεῖν, καὶ μὴ τὰς ἀλλοτρίας τύχας ἴδια νομίζειν ἑαυτῶν εὐτυχή 2.866 ματα, μηδὲν ἐς τὸ παράλογον τοῦτο τρόπαιον ὅλως ἔνοπλον εἰσενεγκόντων ἔργον ἢ συνετὸν μηχάνημα, ἀλλ' ἄθυρμα σαθρὸν θεοῦ τὴν ἀνθρωπίνην δεικνύντος σπουδὴν καὶ γέλωτα σαφῆ τὴν τῶν μεγαλοφρονεῖν ἐφ' ἑαυτοῖς οὐκ ὀκνούντων ὀφρύν. διὸ καὶ πέμψαντες εὐθὺς ἐς βασιλέα τὴν προτέραν αὖθις ὁμοίως ἐζήτουν εἰρήνην, εἰ καὶ μὴ ἐφ' ὁμοίαις ταῖς συμφωνίαις. (Γ.) Ἀλλ' οὔπω τέτταρες ὅλαι παρῆλθον ἐκεῖθεν ἡμέραι, καὶ κατέπλευσεν ἐς τὸ τοῦ Γαλάτου φρούριον ἐκ Γεννούας ταχυναυτοῦσα μία τριήρης, πρέσβεις ἄγουσα τοὺς πάντα τελέσοντας ἀσμένως, ἃ πρὸς βουλήσεως εἴη Βυζαντίοις. καταλῦσαι μὲν, ὅσον



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

δηλαδὴ τοὺς οἰκείους παρεκβαλόντες ὅρους οἱ Λατῖνοι παρακατέσχον τοῦ τῶν Ῥωμαίων τόπου· ἀποδοῦναι δὲ καὶ ἣν ἐπήγαγον Βυζαντίοις ζημίαν ἐς τὸ ἀνενδεές· καὶ ἅμα προσθέντας χρήματα τυχεῖν τῆς προτέρας εἰρήνης ὑπὲρ τὰς ¯ρ χιλιάδας· καὶ ὅρκους ἔπειτα δοῦναι φρικωδεστάτους ὑπὲρ τοῦ μηκέτι πρὸς τοὺς ὁμοίους ἀπενεχθῆναι νεωτερισμούς· ἀλλὰ μεμνημένους τῶν παρ' ἐλπίδα συμπεπτωκότων σφίσι μετριωτέρους εἶναι τοῦ λοιποῦ. ἐπεὶ δ' ἐλθοῦσι κἀκείνοις τὸ μέγα τοῦτο καὶ παρὰ πᾶσαν ἔγνωσται προσδοκίαν τῶν ὁμοφύλων εὐτύχημα, μέσοις τε γεγονέναι δυοῖν ξυνεπεπτώκει καὶ τὴν αἰσχρὰν ἐκείνην εἰρήνην παρασκευάσαι ποιήσασθαι, ὁποίαν καὶ Πελοποννησίους ἐπὶ Ἀνταλκίδου πάλαι πρὸς Πέρσας συνθέσθαι ἀκούομεν, δέει τῆς ναυτικῆς τῶν Ἀθηναίων δυνάμεως ἐν τοῖς τότε χρόνοις περιφανῶς θαλαττοκρατούντων. (Δ.) Τούτων δ' οὕτω ξυνηνεγμένων, οὐκ ἔκρινε δεῖν ὁ βασιλεὺς, 2.867 ἀναπεπτωκὼς διὰ τύχης ἀγνωμοσύνην, ἀπογνώσει δοῦναι τῶν λογισμῶν τὰς ἡνίας καὶ τὸ τῆς γνώμης κράτος, ἅτ' εἰς ἀποριῶν ἐσχατιὰς τῶν πραγμάτων ἐληλαμένων. ὅ,τε γὰρ ναυτικὸς στόλος, χρήματα πάντα μικροῦ συνελὼν, ὑπ' ἐχθροῖς ἐγεγόνει· ἥ τ' ἐλπὶς τῶν ἐτησίων προσόδων, εἰ μὴ τὸ πᾶν, ἀλλ' οὖν τὸ πλεῖστον ἐκκέκοπται μέρος. 2.869 α΄. Ἄλλου μὲν ἴσως ἂν τινος ἦν, τοσούτῳ πελάγει συμφορᾶς ἀδοκήτου συνειλημμένου, τὴν ταχίστην ἀπειρηκέναι· βασιλεύοντι δ' ἀπαγορεύειν ἐν τοῖς τοιούτοις οὐ μάλα ἐνῆν. ἀλλ' ὥσπερ ἐν ταῖς παρατάξεσι τῶν πολέμων ὁ στρατηγὸς τὰ πεπονηκότα καὶ τρεπόμενα μέρη τῆς φάλαγγος τοῖς ἀνακλητικοῖς τῶν σαλπίγγων οὐκ ἐᾷ διαῤῥήγνυσθαί τε καὶ τελέως ἑκόντας τοῖς πολεμίοις παρασχομένους τὰ κράτη τῆς νίκης ἀπαγορεύειν, οὕτω καὶ οὗτος οὐκ εἰς ἀπογνώσεις ἔβλεψε καὶ ῥᾳστώνην αἰσχύνης μεστήν· ἀλλὰ νῦν μὲν ἕτερα ἐφ' ἑτέροις ἐπινοῶν διετέλει τῶν ἐπιχειρημάτων· νῦν 2.870 δὲ τάς τε νενεουλκημένας ἐκ παλαιοῦ τῶν νεῶν καθελκύσας ἐπεσκεύαζέ τε καὶ μετεσκεύαζε πρὸς τὴν ἐνεστῶσαν χρείαν· ἄλλας τε καινὰς κατεσκεύαζε πλείους καὶ μείζους τῶν πρὶν, ξύλων ναυπηγησίμων συχνῶς ἐξ ὄρους κομιζομένων ὅλῃ σπουδῇ. ἐπεὶ δὲ καὶ χρημάτων ἐν τούτοις ἔδει, οἵ τε συνήθεις φόροι πρὸς αὔξην ἀνήγοντο καὶ ἅμα καινοί τινες ἐφ' ἑτέροις ἕτεροι ἐπενοοῦντο, τῆς ἀνάγκης τὴν εὐπορίαν τῶν εἰς ταῦτα ἐνθυμημάτων ῥᾷστα ἐφευρισκούσης. (Β.) Ἐν τούτοις δ' ὄντων τῶν πραγμάτων νόσῳ βαρείᾳ καὶ ὁ πατριάρχης Ἰσίδωρος ἁλίσκεται. ἡ δὲ ἦν γαστρὸς κένωσις διηνεκὴς ἅμα καὶ πολυήμερος, πάσης χειρὸς καὶ τέχνης ἰατρικῆς ἀπρακτούσης ἐνταῦθα. καίτοι τήν γε ἀρχὴν οὐ μάλα θρασυτέραν αὕτη τὴν ἔφοδον ἔδειξεν· ἀλλ' ἠρέμα καὶ κατὰ μικρὸν καὶ βάδην εἰπεῖν ἐπιχωριάζειν ἐδόκει, ὥσπερ παίζουσα τὰς τῶν πολλῶν ἐλπίδας. ἦν γὰρ ἀπὸ λύπης ἐσχηκυῖα τὰς ἀφορμὰς (ὁ πολὺς τέως ἐκράτει λόγος), ἥτις ἐκ σιωπωμένης αἰσχύνης εἶχε τὴν πρόφασιν. ἦν γὰρ τοῖς οἰκείοις ὀνείροις προσέχων ὁ ἄνθρωπος· καὶ τοῦτ' ἔργον ἔχων ἁπάντων προϊστάμενον καὶ λόγων καὶ πραγμάτων ἐνθουσιασμὸν ὠνόμαζε· καὶ τούτοις διηνεκῶς ἐγκαλλωπιζόμενος ἐψεύδετο μὲν προφανῶς, οὐκ ᾐσχύνετο δέ· ἀλλ' ἦν ὡσαύτως τῷ τε βασιλεῖ καὶ τοῖς ἄλλοις οἱονεὶ προφητείας τινὰς καὶ θεοπτείας ἄνωθεν ἀπαγγέλλων· μεθ' ὧν ἦν καὶ ἡ τοῦ πέραν Γαλατικοῦ φρουρίου καταστροφὴ, ἣν προδεδεῖχθαι διετείνετο τουτωὶ πρὸς θεοῦ βεβαίως καὶ ἀσφαλῶς· ὡς θαῤῥήσαντα καὶ τὸν βασιλέα ἐπὶ τὴν μάχην ταχῦναι, πρὶν τελέως τὴν τοῦ 2.871 στόλου παρασκευὴν ἐξαρτύσαι. ἐπεὶ οὖν αἴτιος τῷ γε μείζονι μέρει τῆς μεγίστης ἀπωλείας ἐκείνης ἔδοξεν οὗτος γενέσθαι τέως Ῥωμαίοις καὶ ὠνειδίζετο πρὸς ἁπάντων, οὐκ εἶχεν ἑστῶσιν ὀφθαλμοῖς ὁρᾷν οὔτε μὴν αὐτὸν βασιλέα, οὔτε τῶν ἄλλων ὅσοι ξυνέσεως ἦσαν μέτοχοι· ἀλλὰ κατεδύετο πρὸς πυθμένας ἰδίας αἰσχύνης. καὶ οὕτω λοιπὸν νοσήσας ἐπὶ μακρὸν, καὶ οὕτω δαπανηθείσης τῆς ἔνδον οὐσίας αὐτοῦ, τῆς παρούσης μετέστη ζωῆς. (Γ.) Ἔπειτα ψῆφον προτιθεμένων ἄλλων, ὃς ἂν μετ' ἐκεῖνον τοῦ θρόνου διάδοχος γένηται, πολλή τις ἦν σπουδὴ καὶ διάπυρος τοῖς τοῦ Παλαμᾶ θιασώταις, μηδένα ποτὲ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

προβληθῆναι, ὃς μὴ πλήκτης καὶ πάροινος εἴη καὶ πάσης καὶ παντοίας παιδείας ἐς τοσοῦτον ἄμοιρος, ὅσον οἱ ἀπὸ σκαπάνης ὁμοῦ καὶ δικέλλης ὀψὲ τῆς ὥρας ἀπαλλάττοντες ζάκοτόν τι καὶ θηριῶδες ἦθος οἴκαδε φέρουσιν· ἵν' ἐνταῦθα ῥᾷστον εἴη σφίσι διωκτῶν ἁπάντων αὐτὸν καταστῆσαι βαρύτατον κατὰ τῶν εὐσεβεῖν αἱρουμένων καὶ τῆς τοῦ Παλαμᾶ κοινωνίας ἀπέχεσθαι πᾶσαν σπουδὴν ποιουμένων. ἄλλων οὖν ἄλλους προβαλλομένων, μεταπέμψασθαι πείθουσιν οὗτοι τῶν τοῦ Παλαμᾶ φίλων ἐξ Ἄθωνος ἕνα, τοὔνομα Κάλλιστον· ᾧ πρὸς ἀπήνειαν ἐξ ἀνοίας ἅμα καὶ ἀπονοίας ἡρμόσθαι τὴν φύσιν πάντων μάλιστα ξυνεβεβήκει, καὶ εἶναι μηδὲν μηδαμῶς τῷ σκοπῷ καὶ τῇ σπουδῇ τῶν προσκεκληκότων ἀπᾴδοντα. (Δ.) Πρίν γε μὴν τοῦτον ἰέναι, ἰδίᾳ ἐμὲ καὶ συχνὰ παραλαμβάνουσιν ἐπῄει βασιλεῖ τε καὶ βασιλίδι θωπείαις παντοίαις περιϊέναι· καὶ χρημάτων ἐπαγγελίαις καὶ χορηγίαις 2.872 ἀφθόνοις τῶν γε ἄλλων καὶ ἃ τῶν ἐν βίῳ καλῶν καὶ τιμίων ψυχαῖς ἂν εἴη φιλοδόξοις κατ' ἔφεσιν πειρᾶσθαί με πείθειν καὶ ἄγειν ἐς τό σφισι βουλόμενον· ὧν τὰ μὲν ἤδη ἐχορηγεῖτο, τὰ δ' ἔμελλεν. ᾤοντο γὰρ δι' ἑνὸς ἐμοῦ γε εὐθὺς, εἴ τινές ποτ' ἄρ' εἶεν, καὶ ὅπη διαιτῷντο, πάντας ἑτέρους, ὁπόσοι ἀνθίστανται πρὸς ὁπόσα τῷ Παλαμᾷ βλασφημεῖται καινὰ καὶ ἔκφυλα δόγματα, προσάξεσθαι. ἀλλ' ἦσαν ἄρα πάντως ἄνθρακες οἱ τῶν ἐλπίδων ἐκείνοις θησαυροί. τὸ γὰρ ἀνενδεὲς ἐμὲ τῶν ἀναγκαίων καὶ ἡ τἀληθοῦς ἐκλογὴ λήρους ἔπειθ' ἡγεῖσθαι τὰ λεγόμενα. (Ε.) Ὁ δ' ἁπάντων μάλιστα τὴν ἐλπίζουσαν γνώμην ἐστήρικτο καὶ ἀνακεκρᾶσθαί σφισι δι' αὐτό τινα ἡδονὴν ταῖς ἐλπίσιν ἐποίει, τὸ τῆς πατριαρχείας ἀξίωμα ἦν· ὃ δώσειν αὐτίκα μάλα μοι ἐπηγγέλλοντο, τῆς χρείας διωθουμένης σφοδρότερον καὶ τοῦ καιροῦ προκαλουμένου τὸν προστησόμενον ἀπαραίτητα. ἤκουόν γε μὴν ἐξ ἐμοῦ τἀναντιώτατα πάντα. πρῶτον μὲν γὰρ καθηπτόμην ὁμαλῶς πως αὐτῶν περὶ ὧν ἡμῖν ὑπισχνοῦντο, πῶς οὐκ ὀκνοῦσι τοῖς αὐτοῖς ἐγχειροῦντες, ἃ πολλάκις εἰποῦσι καὶ ἀποτυχοῦσιν ἀκριβῶς ἐγνωκέναι ξυμπέπτωκεν, ὡς πηλοῦ καὶ κόνεως οὐδὲν ἐμοὶ διαφέρειν δοκεῖ τὰ τοιαῦτα, καὶ ταῦτα νῦν, ὅτε πίστεως ἄρνησις ἀπαιτεῖται. ὡς γὰρ ἐν κακοῖς εὐτυχεῖν δυστύχημα μέγιστον, οὕτως ἐν κακοῖς ἀδοξεῖν τῶν εὐτυχημάτων τὸ κράτιστον. ἔπειτα ἔλεγον, ὡς βασιλεῦσιν οὖσι χρεὼν μὴ τὰ καθήκοντα νόμιμα ἑκοντὶ παραδιάγειν ὁμοῦ καὶ τῶν ἱερῶν τῆς τοῦ 2.873 θεοῦ ἐκκλησίας κιγκλίδων ἐλαύνειν ἤθει τοιούτῳ, ἥκιστά τινος φειδοῦς ἢ κολάσεως μεσιτευούσης καὶ ὑφαιρούσης τὴν τοῦ κράτους ἀσέλγειαν· ἀλλ' ἰατροῖς μᾶλλον γίγνεσθαι πάνυ προθύμως καὶ ἅμα κολασταῖς τῶν ἀθέσμων σάλων καὶ ἐκτροπῶν, εἴ γε βουλομένοις εὐσεβεῖν εἴη. τὸ μὲν γὰρ ἄξιον θρήνων μακρῶν καὶ ἐς τὸ μέλλον μνήμης ἐκ τῶν ὀψιγόνων πρὸς ἀπέχθειάν τε καὶ ὕβριν ἀνατρεχούσης ὁλοσχερῶς (ἐῶ γὰρ ὡς ἐγνωσμένης ἤδη μεμνῆσθαι τῆς ἀϊδίου φλογὸς ἐκείνης, ἣ τοῖς οὕτω βιοῦσιν ἠπείληται)· τὸ δ' ὑμνούσας γλώσσας ἀπαιτεῖ τῶν τε νῦν ὄντων τῶν τε γενησομένων ἀνθρώπων εὐσεβῶν καὶ ἅμα ψυχῆς ἀκήρατον εὐφροσύνην, ἣν μὴ τελευτῶσιν αἰῶσιν ἀκούομεν ἀπονενεμῆσθαι. (΄.) Οὕτω τοίνυν ἡμῶν ἀπογνοὺς, ἐπεὶ τὸν ἤδη ῥηθέντα ἐξ Ἄθωνος ὄρους ἥκοντα ἤδη τεθέαται, εὐθὺς καὶ μὴ πάνυ τοι σφόδρα προθυμουμένων τῶν ἐπισκόπων τῆς τέως σωζομένης ἐπαρχίας, εἰς πατριάρχην προβάλλεται, δι' οὐδὲν ἕτερον ἐπισπεύσας τὴν αὐτοῦ προβολὴν, ἢ ὅτι πρὸς διωγμὸν ἄριστα ὁ ἀνὴρ ἐπεφύκει καὶ ὄργανον ἦν πρὸς τιμωρίας ἀπανθρώπους καὶ θηριώδεις δημοσίων ἁπάντων ἀπανθρωπότερον. πάσης γὰρ ὢν παιδείας ἀξύνετος μάλα τοι ἐχώρει πρὸς τὸ κολάζειν καὶ ὑβρίζειν ἀσέμνως καὶ πρός γε ἔτι χειρὶ καὶ βακτηρίᾳ πλήττειν, ἀσχέτῳ θυμῷ, καὶ λόγοις αἰσχροῖς καὶ σφόδρα ἀπᾴδουσι ᾧ περιέκειτο σχήματι, καὶ οὗτινος ἤδετο εἶναι τρόφιμος ὄρους, καὶ ἧστινος πνευματικῆς πολιτείας. οὐ μόνον δὲ, ἀλλὰ καὶ οὓς ἐκόλαζε καὶ οὓς ἐδίω 2.874 κεν εὐσεβεῖς, δέον ἐλεεῖν λιμῷ καὶ δίψῃ θνήσκοντας καὶ πάσῃ ταλαιπωρίᾳ, ὁ δὲ καὶ ἀτάφους ἐῤῥίφθαι ἐκέλευε. καὶ ἦν ἔγκλημα ἕτερον αὖθις τουτὶ πρὸς τιμωρίας ἔτι λοιπὸν τὰς ὁμοίας, οἷς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τῇ γῇ κρύπτειν ἔργον ἦν τοὺς τοιούτους, καμπτομένοις τῇ τῆς φύσεως ὁμοιότητι. ἐς τοσοῦτον κατὰ τῆς εὐσεβείας ηὐξήθη τότε τὰ χείρω. ἠλαύνοντο γὰρ ἀφειδῶς, οἱ τοῖς ὅροις ἐμμένειν φιλονεικοῦντες τῆς πατρίου νομοθεσίας, οἰκιῶν, πόλεων, ἱερῶν, ἀγώγιμοι δεσμωτηρίοις ἤγοντο εὐχερῶς· ἀπειλαὶ τοῖς ἄλλοις ἐκηρύττοντο μείζους τῶν ἔργων, ὅσοι δέει τοῦ μὴ τὰ ἀνήκεστα πάσχειν ἤθους χρώμασι πολυειδέσι δῆθεν κοινωνικοῦ τὴν εὐσέβειαν ἔκρυπτον. (Ζ.) Καὶ ἦν ταῦτα ἐφόδια τῆς τοῦ βασιλέως γνώμης, κρύπτεσθαι βουλομένης, ἀρεστά. δυοῖν γὰρ ὄντοιν, δι' ὧν οὓς ἂν βούλοιντο προσάγεσθαι ἐγχειροῦσι τῶν ἡγεμόνων οἱ πλείους, ὃ μὲν ἐπιεικείας εἶχε σημεῖον, ἑαυτῷ ἔνεμε· λέγω δὴ τὸ πείθειν· ὃ δ' ἀπηνείας, τῷ πατριάρχῃ καὶ τοῖς περὶ τὸν Παλαμᾶν ἐνεδίδου, καθάπερ ἀνέμοις ὁλκάδος ὀθόνην. λανθάνειν γὰρ τοὺς πλείστους πειρώμενος, οὔτ' αὐτὸς ὁλοσχερῶς ἔδρα ταυτὶ, οὔτε δημοσίοις γραφαῖς παρεῖχε τοὐνδόσιμον. ὅτι δὲ δρῶσιν αὐτοῖς οὐκ ἀνθίστατο, ἄντικρυς ἀνομοθέτητόν τινα νόμον ἐς τὸ δρᾷν ἀδεῶς ἐχαρίζετό σφισιν· ὥσπερ καὶ οἱ λαχάνων ἐν χρείᾳ γινόμενοι ῥύακα ἄνωθέν ποθεν ἐπαντλοῦσι ὕδατος ἐξ ἀφανοῦς. ἔλεγε γὰρ, ὡς ὅτε τὰ ἴσα φθέγγωνται ἥ τε τοῦ ἄρχοντος βούλησις καὶ ἡ τῶν ἐκ τύχης δρωμένων χρεία, μετὰ τοῦ εὖ ξυγκειμένου πρὸς τὴν τοῦ 2.875 ἄρχοντος βούλησιν, τότε συμφέρεσθαι καὶ τὸν ἄρχοντα χρὴ τοῖς οὑτωσὶ φερομένοις· ὅταν δ' ἕτερον μὲν τὰ πράγματα δρόμον βαδίζῃ, ἕτερον δ' ἡ τοῦ ἡγεμόνος βούλησις, τότε χρὴ τἀν μέσῳ κἀκεῖνον παρατρέχοντα τῇ τῆς αὐθεντικῆς βουλήσεως χρείᾳ μᾶλλον ἢ τῷ τῶν κειμένων κανόνων ἔθει συμφέρεσθαι. τὸ μὲν γὰρ ἡγεμονίας, τὸ δὲ δουλείας εἶναι σημεῖον· ἄτοπον οὖν δουλεύειν ἑκόντα, ᾧ τὰ τῆς ἡγεμονίας ἀνεῖται σκῆπτρα. διὰ δὴ ταῦτα, μικρὰ τῶν ἄλλων φροντίσας, ἐπέραινε ὅσα αὐτῷ τε καὶ Παλαμᾷ πρὸς βουλήσεως ἦν. μία γὰρ ἦν αὐτῷ καὶ τοῖς ἀμφὶ τὸν Παλαμᾶν ἡ βούλησις. (Η.) Δεδιὼς δ' ὅμως καὶ τὰς τῶν πλείστων λοιδορίας, αἳ κἀν ταῖς ἀγοραῖς ἀνέδην ἐκαλινδοῦντο, τὸ τυραννικὸν καὶ βίαιον ἐγκαλοῦσαι τῆς πίστεως, βέλτιον ἐνόμισεν εἶναί οἱ, καὶ σύνοδον συγκροτῆσαι διὰ τῶν ἐπὶ Θρᾴκης ἐπισκόπων προϊόντος τοῦ χρόνου, καὶ δεῖξαι ἐς προὖπτον τὰ καινοφανῆ τοῦ Παλαμᾶ μὴ αἰσχρῶς ἔχειν δόγματα· ὡς ἂν εἰς πολλοὺς χεομένης καὶ διασκιδναμένης τῆς τῶν τοιούτων ἐγκλημάτων λοιδορίας, ἢ ἀπιστῆται παντάπασι ἡ καινοτομία τῆς πίστεως, ἢ τό γε δεύτερον ἧττον λυπῇ, μὴ πρὸς ἕνα αὐτὸν ἀεὶ κινουμένων τῶν ὅλων γλωσσῶν, ἀλλ' ἐς πλείστους ἤδη μεριζομένων. ἀλλὰ τοῦτό γε ἠνία τὸν Παλαμᾶν, ἥκιστα παῤῥησιάζεσθαι τοὺς τῆς αὐτοῦ κακίας ἐλέγχους βουλόμενον, ἀλλ' ἐπιβουλαῖς ἀεὶ καὶ διαβολαῖς ἀφθόγγοις τὰ τῶν διωγμῶν ἐκείνων εἴδη δι' ἄλλων, καὶ μάλιστα τῶν ἐν ἐξουσίαις, κρύφα ἐπιτελεῖν. διὸ καὶ προφασισάμενος ἄλλα 2.876 ἐπ' ἄλλοις ᾤχετο φεύγων, νῦν μὲν εἰς Λῆμνον, νῦν δ' ἐκεῖθεν εἰς Θεσσαλονίκην· περὶ ὧν πλατύτερον εἰρήσεται προϊοῦσιν. τέως δ' ἐκεῖνο ἐπαναλήψομαι. (Θ.) Πρὶν γὰρ ὅλους μετὰ τὴν χειροτονίαν τρεῖς παριέναι μῆνας, τῶν ἐπισκόπων συνέβη ῥαγῆναι τοὺς πλείστους τῆς πατριαρχικῆς κοινωνίας, ὅσοι διομνύμενοι εἰσήγγελον εἶναι σαφῆ Μασσαλιανὸν αὐτὸν καὶ τῶν ἐν Ἄθωνι ὄρει πρὸ ἐτῶν οὐ μάλα συχνῶν φανερῶς ἁλόντων ἕνα· περὶ ὧν ἀνωτέρω που τῆς ἱστορίας καὶ ἡμεῖς εἰρηκότες ἐσμέν. ἐπεὶ δὲ καὶ αὐτὸς ἀνθιστάμενος εἰσῆγεν, ἐξ ἀντιπάλου ῥέων, διωμοσίαν καὶ ἀντεγκλήματα κατὰ τούτων ἑκάστου, τὸν μὲν τυμβωρυχίας διώκων, τὸν δὲ πορνείας, τὸν δὲ Βογομίλων αἱρέσεως, τὸν δὲ τοῦ τὴν ἱερωσύνην ὤνιον διδόναι καὶ ἀπεμπολεῖν εἰς ἄνδρας μάλα τοι σφόδρα αἰσχίστους, καὶ ἄλλους ἄλλων, καὶ γέγονε σχίσμα μέχρι καὶ ἐς πολύν τινα χρόνον, μέσος ὁ βασιλεὺς καταστὰς ἔπεισεν ἀλλήλοις ἀφεῖναι τἀγκλήματα, λάθρα καθυφέντας ἃς κατ' ἀλλήλων γραφὰς καὶ λοιδορίας ἐξήνεγκαν φανερῶς, ἵνα μὴ προσθήκη καὶ τοῦτο γένηται τοῖς κατ' αὐτῶν ἐπενηνεγμένοις περὶ πίστεως παρ' ἡμῶν ἐγκλήμασιν. οὕτω τοίνυν ἐν κακοῖς κακῶς καὶ αἰσχρῶς ἀλλήλοις σπεισάμενοι ξυνῄεσαν ἀλλήλοις λοιπὸν, ἡμέραν ἐξ ἡμέρας ἐπιβουλὰς καθ' ἡμῶν ἄλλας ἐπ' ἄλλας


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

συῤῥάπτοντές τε καὶ ξυντιθέμενοι. β΄. Ἄρτι δὲ τῶν φθινοπωρίνων τοῦ ἡλίου τροπῶν ἐν προθύροις αὐλιζομένων τοῦ ἔτους, τριήρεσι καὶ μονήρεσιν ἄρας ἐκ Βυζαντίου ὁ βασιλεὺς Καντακουζηνὸς ὁμοῦ τῷ ἐπὶ θυγατρὶ 2.877 γαμβρῷ Παλαιολόγῳ τῷ βασιλεῖ ἀπῄει ἐς Θεσσαλονίκην, ἄρχειν ἐκεῖ καταστήσων αὐτόν. καὶ τηνικαῦτα κατέπλευσαν ἐς Βυζάντιον Βενετικαὶ τριήρεις τρεῖς καὶ τριάκοντα κατὰ τοῦ Γαλατικοῦ φρουρίου τῶν Γεννουϊτῶν, μάχης τε ἀρξάντων αὐτῶν ἐκ πολλοῦ καὶ ἀπειλούντων σφίσιν ἀπώλειαν. τοῖς γάρ τοι Γεννουΐταις τουτοισὶν, ἐπαρθεῖσι τῷ κατὰ Βυζαντίων ἐκείνῳ σαθρῷ προτερήματι τῆς ἀδόξου ναυμαχίας ἐκείνης, οὐκέτι καθεκτοῖς εἶναι τὴν γνώμην ἐνῆν· ἀλλ' ὀνειροπολεῖν ἐπῄει τὴν τῆς ὅλης θαλάσσης ἡγεμονίαν. καὶ διασφετεριζόμενοι πρῶτον τὸν Εὔξεινον πόντον, διὰ τὰ ἐκεῖθεν κέρδη, οὐ μόνον Βυζαντίοις ἐπέταττον ἡγεμονικῶς ἤδη καὶ πολλῷ τῷ θράσει ῥέοντες, ἀπέχεσθαι τῆς Μαιώτιδος καὶ Tανάϊδος, ἔτι τε Χερσῶνος καὶ ὅσα τῶν Σκυθῶν ὑπὲρ τὸν Ἴστρον παραλίας ἐστὶ χωρία περιπλέοντας ἐμπορεύεσθαι, πλὴν ᾗ ὅπη ἂν ἐξ αὐτῶν τὸ ἐνδόσιμον εἴη· ἀλλὰ καὶ Βενετικοὺς αὐτοὺς τῆς ἐκεῖθεν ἀπήλαυνον ἐμπορίας, μελέτην ἔχοντες ὅσον οὐδέπω καὶ τριήρεσι συχναῖς τὸν αὐχένα τοῦ Πόντου συγκλειθέντες κατὰ τὸ τοῦ Σαράπιδος ἱερὸν καταστῆσαι δεκαδευτήριον τυραννικὸν καὶ βίαιον, εἴ τινες εἶεν βουλόμενοι τὸν Εὔξεινον πόντον εἰσπλεῖν τε καὶ ἐκπλεῖν. (Β.) Τοῦτο καὶ πάντας μὲν ἠρέθισε πρὸς ταραχὴν λογισμῶν, οἷς θαλάττιος ἅπας ἐστὶν ὁ βίος· πάντων δὲ μάλιστα Βενετικοὺς, χρήμασί τε καὶ ναυσὶ μακροῖς τισι μέτροις πλεονεκτοῦντας. ἐλπίσαντες οὖν καὶ βασιλέα σύμμαχον ἕξειν καὶ κοινωνὸν εἰς τοὖργον, ἅτε διὰ τὴν ἧτταν ἐκείνην 2.878 καὶ τὴν ἐκ τῆς ἥττης αἰσχύνην ἠρεθισμένον καὶ αὐτὸν πρὸς ὀργὴν κατ' αὐτῶν, ἧκον (ὡς ἔφημεν) ὅπλα καὶ τριήρεις ἄγοντες κατὰ σφῶν. ἐπεὶ δ' οὔθ' ὁ βασιλεὺς παρῆν, οὔτε τῷ καιρῷ συμμάχῳ χρῆσθαι ἐνῆν (εἶναι γὰρ περὶ τὰς τοῦ Ἀρκτούρου συνέβαινε τοῦτον ἐπιτολὰς, ὅθ' ὑετοί τε καταῤῥήγνυνται μάλιστα πλεῖστοι καὶ ψύχος ἀταμίευτον ἤδη προτρέχον λυπεῖ τοὺς ἐν τοῖς ὑπαίθροις διανυκτερεύοντας ἐν θαλάττῃ καὶ ὅπλοις), ἡμέραις βραχέσι διέγνωσταί σφισιν ἐγκαρτερήσασι, πεῖραν ἀκροβολισμῶν πολεμικῶν δόντας καὶ λαβόντας, οἴκαδε ἀποπλεῖν· καὶ μάλιστα ὅτι καὶ τριήρεις ἑτέρας ἐπύθοντο ἀναχθείσας ἤδη ἐκ Γεννούας κατά τε Εὐβοίας καὶ Κρήτης καὶ ὅσαι Βενετικοῖς ὑπήκουον τότε. τεσσαρεσκαίδεκα γὰρ οὐσῶν τῶν Γεννουϊτικῶν, ἃς ἀνιοῦσαι τῶν Βενετικῶν αἱ τριήρεις συνέκλεισαν ἐν Αὐλίδι καὶ Ὠρεῷ τοῖς κόλποις τοῖς ἐγγὺς Εὐβοίας, αἱ μὲν δέκα ἑάλωσαν αὔτανδροι· αἱ δὲ τέτταρες λαθοῦσαι τὸν κίνδυνον ἔφυγον. αὗται τοίνυν αἱ τέτταρες, ἀδείας λαβόμεναι διὰ τὴν τῶν Βενετικῶν ἐκστρατείαν, πολλὴν ἐνεποίουν ταῖς Βενετικαῖς νήσοις τὴν βλάβην. διὸ δὴ σπουδῇ πολλῇ καὶ προθυμίᾳ ἀπέπλευσαν πρὸς ἐκδίκησίν τε καὶ ἄμυναν. καὶ ταῦτα μὲν τοῦτον ἔσχε τὸν τρόπον. (Γ.) Ἄρτι δὲ τοῦ ἡλίου μετὰ τροπὰς ὄντος χειμερινὰς καὶ τῶν ἀνταρκτικῶν ἀπηλλαγμένου γειτονημάτων, ἐπανῆκεν ὁ βασιλεὺς ἐκ Θεσσαλονίκης, ἔνθους ὅλος ὑφ' ἡδονῆς. ἀπηλλάχθαι γὰρ ἤδη νενόμισταί οἱ φόβων ἀποῤῥήτων, καὶ ἀπηρτῆσθαι καθάπαξ ἤδη πάσης ὑποψίας, 2.879 ἐκ ποδῶν γενομένου τοῦ τὴν διαδοχὴν τῆς βασιλείας τοῖς υἱέσιν ἀδεῶς αὐτὸν παραπέμπειν κωλύοντος. καὶ τοῖς πράγμασιν εἶναι νομίσας εἰρήνην τε καὶ ἀσφάλειαν, τοῦ λοιποῦ πρὸς ἣν ἐπὶ νοῦν εἶχε τῶν ἐπισκόπων συστήσασθαι σύνοδον, ὑπὲρ τῶν τοῦ Παλαμᾶ δογμάτων, ὅλος ἠσχόλητο. ἧκε γὰρ ἤδη καὶ ὁ Παλαμᾶς ἐκ Θεσσαλονίκης ἐς Βυζάντιον, παντοίαις ἀνεπτερωμένος ἐλπίσι, ῥᾷστα καὶ ξὺν οὐδενὶ πόνῳ τὰ κατὰ βούλησιν αὐτῷ ἐπαγγειλαμένου ἐπιτελεῖν, καὶ εἰ μυρία τῶν δημοσίων εἴη πραγμάτων ἀνθέλκοντα κύματα. (Δ.) Ἤδη δὲ τῆς ἡμέρας ἐνεστηκυίας, ἐν ᾗ ἔδει τῶν τῇ μεγάλῃ τοῦ θεοῦ ἐκκλησίᾳ ὑπηρετουμένων ἕνα, ἐπ' ἄμβωνος ἀναβάντα, τῶν μὲν εὐσεβῶν βασιλέων καὶ πατριαρχῶν ἀνακηρύττειν τὰς μνήμας, τῶν δ' ἀσεβῶν ἀναθέματι παραπέμπειν καὶ ἀραῖς αἰωνίοις, γέγονέ τι τεράστιον ἀπροσδόκητον.


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

σεσίγηται γὰρ κατὰ λήθην παρασυρὲν οὑτωσί πως τοῦ τε νέου βασιλέως Ἀνδρονίκου τοὔνομα καὶ ἅμα τὸ τοῦ πατριάρχου Ἰσιδώρου. ὃ καὶ σαφῶς οἰωνὸς ἔδοξεν εἶναι τοῖς ξυνετῶς στοχαζομένοις τῶν γενομένων καὶ φερομένων ἄλλοτ' ἄλλως πραγμάτων. μηδὲ γὰρ εἶναι θεῷ (φασὶ) δεδογμένον, ὡς ἔοικεν, ἐπ' ἐκκλησίας ὑμνεῖσθαι μήτε τὸν βασιλέα, πρῶτον τὴν τοῦ Παλαμᾶ πολύθεον πλάνην μετεωρίσαντα πρὸς ὑπερθέσεις καὶ ἀνεξέταστον λελοιπότα καὶ ἀδιόρθωτον, μήτε τὸν Ἰσίδωρον, πρῶτον εἰσενεγκόντα τοῖς πατριαρχικοῖς θώκοις αὐτὴν καὶ δημοσίᾳ ἀνακηρύξαντα λόγοις ἅμα καὶ πράγμασιν· ὥς γε καὶ ἡμῖν ἀνωτέρω που τῆς 2.880 ἱστορίας ἐν τοῖς καθήκουσι διείληπται τόποις. ἐπεὶ δ' ἐς τὴν ὑστεραίαν ἀκουσθὲν Ἄννῃ τῇ βασιλίδι καὶ συζύγῳ ἐκείνου, πρὸς λύπην ἀφόρητόν τε ἔδοξε καὶ οὐ μάλα ἀνύποπτον, δίκαιον εἶναι τῷ βασιλεῖ νενόμισται Καντακουζηνῷ, τὴν ἐφεξῆς κυριακὴν ἡμέραν ἀθροισθῆναί τε τὸν λαὸν αὖθις καὶ μόνην τὴν τοῦ ὀνόματος ἐκείνου γενέσθαι ἀνάῤῥησιν. καὶ ταῦτα μὲν τῇδέ πη ἔσχε· καὶ ὁ χειμὼν ἐν τούτοις ἐτελεύτα. (Ε.) Ἄρτι δὲ τοῦ ἡλίου τοὺς ἠρινοὺς ἀμείβοντος κύκλους, καὶ τῇ γῇ ἐκ τῆς νέας χλόης εὐανθῆ καὶ ποικίλον τοῖς χρώμασι ἱστουργοῦντος χιτῶνα, καὶ δένδρα πάντα πρὸς ἀναβίωσίν τε καὶ παντοίων γένεσιν καρπῶν ἀφθόγγοις σάλπιγξι προσκαλουμένου, κατέπλευσαν ἐς τοὺς τοῦ Βυζαντίου λιμένας Βενετικαὶ τριήρεις τέσσαρες καὶ δέκα. αἳ δὴ τὸν τοῦ Εὐξείνου πόντου διαζώσαντες αὐχένα τὰς ἐκ Μαιώτιδός τε καὶ Χερσῶνος καὶ τῶν ἐκεῖθεν κατιούσας χωρίων ἐξ ἐμπορίας Γαλατικὰς τριήρεις τῶν Γεννουϊτῶν ξυνελάμβανον. ἄσπονδον γὰρ ἐπ' ἀλλήλους τέως τὴν μάχην θεμένους οὐκ ἦν ἠρεμεῖν, οὐ νύκτωρ, οὐ μεθ' ἡμέραν, οὐδ' ἐπὶ βραχὺ τῆς ὥρας· ἀλλὰ πάντας τόπους καὶ λιμένας διερευνᾷν, καὶ πᾶσι τρόποις ἐπιχειρεῖν, ὅθεν ἂν εἴη τὴν ἀλλήλων δρῶντας φθορὰν ὑπερτέρους τοῦ λοιποῦ καθίστασθαι. εἰληφόσι δὲ καὶ συμμαχίας ἐκ Κατελάνων καὶ Βυζαντίων, ἐγκοτούντων σφίσι καὶ αὐτῶν διὰ τὰ φθάσαντα πταίσματα, εὐπετέστερον τῆς μάχης ἥπτοντο καὶ τοῦ πολέμου, κατὰ πάντων ἅμα χωρίων καὶ λιμένων καὶ πόλεων, καὶ ὅποιπερ ἂν εἶεν Γεννουϊτῶν γένος, ἀσχέτως ὁρμώμενοι. 2.881 γ΄. Ἐπεὶ δ' ἡ παρασκευὴ τῶν ὅπλων μέγαν τε ἔσεσθαι τὸν πόλεμον ἐπαγγέλλεται, καὶ ἐς πλείονα διαρκέσοντα χρόνον, τοὺς δ' ἐπαίνους, ἢ τοὐναντίον, οὐκ ἀρχόμενα καρποῦται τὰ πράγματα· τελευτῶσι δ' ἐς τὰ μάλιστα τὸ κράτος ἕπεται τῆς κρίσεως, φέρε μικρὸν ἐπισχόντες ἐνταῦθα τοῦ λόγου τὸν δρόμον ἐφ' ἕτερα τρέψωμεν, οἷς τὰ μάλιστα παρηκολουθηκότες ἐς τέλος, ξύν γε ταῖς προσηκούσαις ἐπιστασίαις, ἀκριβῆ τὴν πεῖραν εἰλήφαμεν, ὥστ' ἔχειν ὀψιγόνοις ἀσφαλῆ καὶ βέβαια τὰ τῆς διηγήσεως παραπέμπειν. εἴπερ γάρ τι τῶν ἁπάντων ἕτερον, καὶ τοῦτο δ' ἐς τὰ μάλιστα πάντων εἰδέναι τετύχηκέ μοι, τῆς χρονικῆς ἀεὶ διδασκούσης με τῶν ἐν βίῳ περιόδου πραγμάτων, πεπεισμένον ἅμα καὶ δεδογμένον εἶναι τοῖς ἅπασιν, ἀληθείας ἔχεσθαι δεῖν πρό γε πάντων τὴν ἱστορίαν, ἡγεμονικόν τι κράτος εἰληφυῖαν ἀρχῆθεν, ἄπονον διδασκαλίαν ἀνοίγειν τοῖς ἀεὶ ἐπιοῦσιν ἀνδράσιν, ὥσπερ ἐξ ἀρχετύπων τῶν φθασάντων, τά τ' ὠφέλιμα καρποῦσθαι περιφανῶς καὶ ὅσα φαυλιζομένας ἐκληρώσατο κῆρας καὶ τύχας ἁπάντων ὁλοσχερῶς ἀπέχεσθαι, οἷς ἂν πρὸς βουλήσεως ᾖ βίων αἱρεῖσθαι τοὺς κρείττους· εἶναι δὲ τοὺς τῆς ἐκκλησίας χειμῶνας καὶ κλύδωνας, οὓς ἡ τῶν ἀρχόντων ἁπλότης καὶ ἡ τοῦ ἄρχειν ἀπειρία τοῖς ἀθλίοις προὐξένησε Ῥωμαίοις, ξυναπαχθέντων ταῖς τοῦ Παλαμᾶ καινοφωνίαις καὶ ἀσεβέσι δόγμασι· καθάπερ τὰ κοῦφα τῶν σκευῶν, ἐπειδὰν ποταμίοις ξυναπαχθέντα ῥοθίοις πρὸς ἀδήλους καὶ ἀτεκμάρτους ἐσχατιὰς καταφέρηται, ῥαχίαις καὶ πέτραις ἄλλοτ' ἄλλαις ῥηγνύμενα. περὶ ὧν πολ 2.882 λοί μοι πολλάκις προσεληλυθότες τῶν ἀρετῇ καὶ συνέσει καὶ καθαρότητι βίου καὶ πίστεως ὀρθοδόξου διαλαμπόντων δεύτερα τίθεσθαι τἄλλα με ξυνώθησαν ἅπαντα κινδυνευούσης τῆς εὐσεβείας· ἐχεμυθεῖν γὰρ ἴσως ἐνίοτε πρὸς τἄλλα, διὰ φιλίαν χαριζομένους ἐνίους τοὺς γράφοντας ἄφθογγον γλώττης πάροδον, ἀνεπίφθονον



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

εἶναι δοθήσεσθαι ἂν ἴσως πρὸς ἐνίων, ὅσοι φιλίαις τοιαύταις ἡττῶνται καὶ ἄλλως ἀστόργως ἔχειν πεφύκασι πρὸς λοιδορίαν· οὗ δὲ θεὸς τὸ κινδυνευόμενον, τἄλλα παρατρέχοντας πρὸς αὐτὸν μόνον βλέπειν, πάτριον εἶναι δόγμα τε καὶ παράγγελμα. (Β.) Τοῦ γάρ τοι βασιλέως τεττάρων ἤδη ἐτῶν ἐπαγγελίαις μετεωρίζοντος, οἷς ἐνετύγχανε ὁμιλῶν, ὡς βούλοιτο καθολικὴν σύνοδον συγκροτῆσαι, ἐν ᾗ, κατὰ τὸ κρατῆσαν πάτριον ἔθος, παρεῖναι δοκεῖ καὶ τοὺς ἑκάστοθεν τῆς οἰκουμένης πατριάρχας καὶ ἐπισκόπους, μετέωρον ἦν τὸ πλῆθος ἐλπίσι χρησταῖς αἰωρούμενον. ἄρτι δ' ἐπιδημήσας ἐκ Θεσσαλονίκης ὁ Παλαμᾶς, ὡς εἴρηται, ἕτερα ἀνθ' ἑτέρων ξυνετίθει τε καὶ ξυνέῤῥαπτε σκέμματα. ὡς γὰρ ἔριον, καὶ εἴ τι τῶν κουφοτέρων, ἀστατεῖ καὶ ῥᾳδίως ἀνέμῳ παντὶ συμφέρεται, οὕτω καὶ οὗτος καθάπαξ ἁλόντα τῇ δυσσεβείᾳ ἦγέ τε καὶ ἔφερε μάλα ῥᾳδίως τὸν βασιλέα πρὸς τὸ βουλόμενον. εἰδὼς οὖν, ὡς καθάπερ νυκτερίσι καὶ γλαυξὶ βλαβερὰν τὴν τοῦ ἡλίου λαμπάδα συμβαίνει γίγνεσθαι, καὶ τῆς τῶν ὀφθαλμῶν ἀσθενείας αὐτῶν ἀταλαίπωρον ἔλεγχον, οὕτω καὶ τὴν τῶν δογμάτων αὐτοῦ σαθρότητα μᾶλλον ἂν βλά 2.883 ψειεν ἢ ὠφελήσειε κρίσις δημοτελὴς καὶ θεατρικὴ πανήγυρις, συνεβούλευε βέλτιον εἶναι διωγμοῖς καὶ κολάσεσιν ἄλλαις ἐξαναλῶσαι τοὺς ἀντιπαραταττομένους, προφάσεσί τισι χρησάμενον, οἵαις πάλαι καὶ Ἰουλιανὸς καὶ ὅσοι κατ' ἐκεῖνον. πᾶς γὰρ ὁ τὰ φαῦλα πράσσων μισεῖ τὸ φῶς, καὶ οὐκ ἔρχεται πρὸς τὸ φῶς, ἵνα μὴ φανερωθῇ τὰ τῆς κακίας ἔργα αὐτοῦ. (Γ.) Τῷ δὲ, τὸ μὲν ἄντικρυς οὑτωσὶ καὶ ἀπαρακαλύπτως τῶν μακρῶν ἐκείνων ἐπαγγελιῶν καταψεύσασθαι, οὐκ ἀνεύθυνον εἶναι ταῖς τῶν πλείστων ἐδόκει γνώμαις, οὐδὲ λοιδορεῖν εἰωθυίαις γλώσσαις ἀνάλωτον· τὸ δὲ σκιάν τινα σχεδιάσαντας συνόδου πρότερον, προφάσεσιν ἔπειτα παντοδαπαῖς, ὁποῖαι τοῖς δυναστεύουσι ῥᾷστα καὶ κατὰ βούλησιν φέρονται, κολάζειν, τοῦτο δὲ τὴν ὕβρεως ἀκόλαστον κίνησιν θραύειν, οἶμαι, καὶ ἀμβλυτέραν ποιεῖν. ἐκ δὴ τοιούτων ἀρχῶν καὶ σπερμάτων πονηρῶν ἀρξαμένοις πονηρὰ ξυνηνέχθη γίγνεσθαι κατὰ τὸ εἰκὸς τὰ γεώργια, καὶ ὠδίνουσιν ὄρος, κατὰ τὴν παροιμίαν, τεκεῖν ἐξεγένετο μῦν. κἀπειδὴ Θρᾴκης ἐπέκεινα πλείων οὐκ ἦν ἐπαρχία Ῥωμαίοις, μόνους τοὺς Θρᾳκικοὺς εὐθὺς μεταπέμπεται ἐπισκόπους, καὶ τούτων οὐχ ἅπαντας, ἀλλ' ὅσους καὶ οἵους συλλήπτορας τῆς βουλήσεως ἤλπισεν ἕξειν, οὐ πλείους ἀριθμῷ τῶν δύο καὶ εἴκοσιν ὄντας· καὶ τούτων δὲ τοὺς πλείους ἀντὶ τῶν ἐξωσθέντων ἀδίκως ὁσίων ἐκείνων ἀνδρῶν ξυνέβαινεν εἶναι, καὶ τὰ χειρόγραφα τῆς ἀσεβείας δόντας τῷ Παλαμᾷ· ὧν οἱ μὲν τῶν ἐξ ἀρότρου καὶ σκαπάνης ὑπῆρχον ἀπαλλαττόντων ὀψὲ 2.884 τῆς ἡμέρας καὶ μόλις συλλαβίζειν εἰδότων τὰ τῶν γραμμάτων στοιχεῖα· οἱ δὲ τῶν χθὲς καὶ πρώην ἱεροσύλων, κἀν χαμαιτυπείοις καλινδουμένων ὡς τὰ πολλὰ, καὶ μηδὲν πλέον προεισενεγκόντων εἰς τὸν βαθμὸν, πλὴν τοῦ αἱρεσιώτας εἶναι συντίθεσθαι τῷ δυσσεβεῖ Παλαμᾷ. δʹ. Τούτων δ' οὕτως ἐχόντων, προσεληλυθὼς ἰδίᾳ τῷ βασιλεῖ τήν τε οὖσαν ἡμῖν ἐκ παλαιοῦ φιλίαν ἐκ προοιμίων διῄειν ἐγὼ, καὶ ὅσην τὴν πρόνοιαν ὑπὲρ τῆς αὐτοῦ ποιοῦμαι τιμῆς καὶ ψυχῆς, καὶ εἴ τι πρὸς διαμονὴν καὶ σύστασιν εἴη βίου καὶ παίδων αὐτοῦ. ἔπειτα πρὸς ἐλέγχους ἐχώρησα τοὺς συνήθεις, ὑπέρ τε τῆς κοινῆς τῶν ἐκκλησιῶν εἰρήνης καὶ εὐσεβείας ἀγωνιζόμενος, ἐν ὅροις μένειν τοῖς πατρίοις αὐτὸν, καὶ μὴ πηδᾷν ὑπὲρ τὰ ἐσκαμμένα, μηδ' οὕτως ἀμαθέσι καὶ ἀσέμνοις ἀνδράσι τὰ τῆς θεολογίας προδιδόναι μυστήρια, τὰ ἅγια τοῖς κυσὶ, καὶ τοὺς μαργαρίτας τοῖς χοίροις. (Β.) Τά τε οὖν ἐκ τῆς θείας γραφῆς καὶ τὰ ἡμέτερα συνείρων, "1τί δρᾷς"2, ἔφασκον, "1πῆ φρενῶν εἶ; τί σφηκίας ἐγείρεις κατὰ τῆς πίστεως; τί τοὺς μηδὲ τὰ ἐν ποσὶν εἰδότας θεολογεῖν παρασκευάζεις; τί τὸν Χαλάνης οἰκοδομεῖν ἐπείγῃ, τὰ πρὸς ἀπαρτισμὸν οὐκ ἔχων; τί πρὸς οὐρανὸν ἀνίπτασθαι, πεζὸς ὤν; τί χειροτονεῖς κατὰ τῶν ἁπλουστέρων ψυχῶν θεολόγους αὐθημερὸν, καὶ ποιεῖς λογίων ἀμαθῶν τυραννικὰ συνέδρια; τί τοῖς ἀραχνίοις ἐνδεσμεῖν προθυμεῖς τοὺς ἀσθε 2.885 νεστέρους, ὡς δή τι μέγα καὶ βασιλικὸν ἔργον δρῶν; τί σχεδιάζεις



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

διαλεκτικῶν πιθήκων ἀνάδοσιν, καθάπερ οἱ μῦθοι πάλαι τοὺς γίγαντας; τί τῆς σῆς κολάσεως ἐκπυρσεύεις τὴν φλόγα; τί τοῖς παισὶ γεωργεῖς στεναγμῶν καὶ πένθους ἀστάχυας; τί κλῆρον ἑκὼν αὐτοῖς καταλείπεις τὴν τοῦ προπάτορος ἀράν; τί τριβόλους καὶ κακίας ἄκανθαν βιάζῃ τὴν γῆν αὐτοῖς ἀνατέλλειν, καὶ δακρύων ἅλμην τηλικαύτην; τί δυστυχίας καὶ λύπας, ἐξὸν εὐθυμίαν καὶ δόξαν; μνήσθητι ὅτι θνητὸς εἶ καὶ θνητὴν ἔλαχες φύσιν. φοβερὸν τὸ ἐμπεσεῖν εἰς χεῖρας θεοῦ ζῶντος. Εἰπὲ πῶς ἄλλαι μὲν αἱ τεττάρων ἤδη ἐτῶν ἐπαγγελίαι, ἕτερα δ' αὖ τὰ τέλη; καθολικὴν μὲν γὰρ πεποιηκέναι σύνοδον τὰ τῆς σῆς ἐπαγγελίας ἦν, πατριαρχῶν ἁπάντων καὶ ἐπισκόπων κληθέντων· νῦν δ' οὐδὲ μερικοῦ τινος ἴχνη διασώζουσαν σχεδιάζεις βουλευτηρίου. καὶ πρὶν μὲν ἐλπίδων ἴχνη διορθώσεως τῶν τοῦ Παλαμᾶ καινοφωνιῶν ἔβοσκον τὰς ἐκείνων ψυχάς· νῦν δὲ τυραννικὸν ὁρῶ σε βῆμα παρασκευάζοντα σὸν ἐν γωνίᾳ, καθάπερ ἐν σπηλαίῳ λῃστῶν. πῶς γὰρ εἴη ἂν σύνοδος, τῶν θείων τῆς ἐκκλησίας κανόνων καὶ θεσμῶν ὑπερόριος οὖσα; κανόνας γὰρ ἐκ μεταφορᾶς καλεῖσθαι ξυμπέπτωκε τοῦ τεκτονικοῦ καὶ κοινοῦ κανόνος. ὥσπερ οὖν τῷ τεκτονικῷ κανόνι πλατυτέραν ἔχειν τὴν χρείαν ἀνάγκη, κατὰ πᾶσαν γῆν τε καὶ θάλασσαν, καὶ ὅπηπερ ἂν εἶεν ἐνοικοῦντες ἄνθρωποι· ταῖς δὲ τῶν ἀνθρώπων ἡγεμονίαις μερικάς τινας καὶ 2.886 οἷον σπερματικὰς καὶ διαφόρους εἰπεῖν· οὕτω καὶ τοῖς τῆς ἐκκλησίας κανόσι καὶ τοῖς πολιτικοῖς νόμοις καθολικωτέραν ἔχειν ἀνάγκη τὴν χρείαν, καὶ ἄρχειν τῶν ἀρχόντων, καὶ ἡγεῖσθαι τῶν ἡγεμόνων. σὲ δὲ τοὐναντίον δρᾷν ἐθέλοντα βλέπων δέδια μὴ ἐναντιούμενά σοι τὰ δρώμενα γένηται, καὶ τοῦ σκοποῦ παντάπασιν ἀντίπαλα. ἐπεὶ καὶ οἰκοδόμος καὶ τέκτων, ἂν μὴ καθέτῳ καὶ στάθμῃ καὶ τοῖς τοιούτοις χρῶντες κανόσιν, οὐκ εἰς μακρὰν τὴν καθαίρεσιν ἴδοι ἂν τῶν δρωμένων, τοῦ τῆς ἁρμονίας κράτους οὐδαμῆ τὴν ἐπίστασιν τῶν ἔργων ἰθύναντος. ἐπεὶ τοίνυν καὶ σὺ τοῖς τῆς ἐκκλησίας κανόσιν οὐχ ἕπῃ, ἴσθι καταλυθησόμενος ὑπὸ τῆς ἐκκλησίας, ἢ μᾶλλον ὑπὸ τοῦ τῆς ἐκκλησίας ἡγουμένου θεοῦ, καὶ εἰ μὴ αὐτίκα μάλα, ἀλλ' οὖν οὐδ' εἰς μάλα μακράν. Οἶσθα γὰρ ὡς σὺ πρῶτος ἄνωθεν προστάτης γενόμενος τῆς τοῦ Παλαμᾶ δυσσεβείας ὁμοῦ τῇ μητρὶ τοῦ τοσούτου θορύβου τῇ ἐκκλησίᾳ κατέστης αἴτιος. διὸ καὶ μηνίσαντος τοῦ θεοῦ, τῆς εὐδαιμονίας καὶ δόξης ἐκείνης γυμνὸς κατελείφθης αἰφνίδιον, καὶ γέγονας εὐθὺς ὑπερόριος πατρίδος ἅμα καὶ γένους. καὶ ἡ μὲν σὴ μήτηρ αἰσχίστην ἔτισε τοῦ βίου τελευτὴν, λιμῷ καὶ ψύχει δαπανηθεῖσα καί σου τοῦ φιλτάτου τὴν στέρησιν πικρὸν ἐντάφιον ἐνεγκαμένη· σὺ δὲ πολλοὺς καὶ ποικίλους ἀναμετρήσας βίου πλάνους κατά τε Θρᾴκην καὶ Μακεδονίαν καὶ Τριβαλλοὺς, Περσικοῖς ἔπειτα καὶ σατραπικοῖς ὑπ' ἀνάγκης ἔθεσί τε καὶ δόγμασι κεκοινώνηκας, ὡς καὶ τοσοῦτον περὶ τὸ γένος ἀγνώμονα καταστῆναι καὶ οἴκτου 2.887 παντὸς ἀλλότριον, ἐγκαταλειφθέντα σε πρὸς θεοῦ, ὥστε καὶ τοὺς τῶν αἰχμαλώτων Ῥωμαίων νεκροὺς καὶ τῶν ἔτι κλαυθμυριζόντων βρεφῶν τὰ σώματα συμπατεῖν, καὶ ἀναλγήτως ἐπιβατεύειν, καὶ μηδὲ τὴν τὰ πάντα βόσκουσαν ἡλίου φλόγα αἰδεῖσθαι, μηδὲ τοὺς αἰθερίους τοῦ θεοῦ κεραυνοβόλους πρηστῆρας, ὡς τὸ εἰκὸς, δειλιᾷν. ἐπιλείψει με διηγούμενον τὸ τῆς χρονικῆς περιόδου τάχος πάντα καθ' ἕνα, ὅσα δι' ἀνάγκην σε πεπραχέναι καὶ ὅσα πεπονθέναι ξυνεῤῥυήκει, δεινὰ καὶ κατάρας ὁμότιμα, διὰ τοὺς μυρίους χειμῶνας καὶ κλύδωνας, ὧν πρόξενος αὐτὸς ξύν γε τῇ μητρὶ κατέστης τῇ τοῦ θεοῦ ἐκκλησίᾳ. Ἄννῃ δὲ τῇ βασιλίδι τί τῶν πάντων ἕτερον ἢ τὰ τοιαῦτα τῆς βασιλείας καθέστηκεν αἴτια ἐκπεσεῖν; ἴσασι γὰρ ἅπαντες, ὡς ὁμοῦ τε τὴν τοῦ Παλαμᾶ δυσσέβειαν ἐστήριξε καὶ αὐθημερὸν τὴν αὐθεντίαν ἀπολώλεκε, τῆς δίκης μὴ ἀνασχομένης ἐνταῦθα μακροθυμεῖν καὶ ὑπερτίθεσθαι παντάπασιν. Ἔπειτα τῆς βασιλικῆς ἐξουσίας καὶ πρὸς σὲ μετενεχθείσης ὀψὲ, ἐπειδὴ τῆς τοῦ θεοῦ παιδείας ἐκλαθόμενος καὶ αὐτὸς, καὶ τῶν Παλαμικῶν ἐκείνων αὖθις ἀντεχόμενος δογμάτων, πᾶσαν ἄδειαν ἐδίδους αὐτῷ τοὺς μὲν ἐξωθεῖν τῶν ἐπισκοπικῶν καὶ πάσης ἐξουσίας



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

θρόνων ἀδίκως καὶ ξύν γε οὐδενὶ λόγῳ, τοὺς δ' ἀντεισάγειν, τὰ χειρόγραφα τῆς ἀσεβείας ἀπαιτουμένους ὁμοῦ καὶ διδόντας πρότερον· οἶσθα ὡς φίλος ὢν ἔγωγε προέλεγόν σοι καὶ διεμαρτυρόμην ἀεὶ, ὡς οὐκ ἀτιμώρητος ἀπαλλάξεις θεοῦ ἀχθομένου, ἀλλὰ λυπηθήσῃ περὶ τὰ φίλτατα, ζημιωθεὶς τῶν παίδων ἕνα τῶν σῶν; οὐδὲ γὰρ ἀπεικὸς 2.888 ἐκ τῶν φθασάντων ἀκριβῆ με τῶν ἔμπροσθεν γίνεσθαι εἰκαστὴν, ἅτε καὶ ἀκριβῶς, ὅσον τῆς ἀσεβείας τὸ μέγεθός ἐστιν, εἰδότα. βραχὺς παρελήλυθε χρόνος καὶ πεῖραν τὰ προειρημένα εἰλήφει· καὶ ὁ νεώτερός σοι τῶν παίδων μικρὰ νοσήσας ἀπῆλθε. Καὶ ἵνα τἀν μέσῳ παρέλθω, τῆς ὁμοίας ἐχόμενα ἀληθείας, οἶσθα πάλιν, ὡς ἰδίᾳ καὶ δημοσίᾳ σοι παραινῶν οὐκ ἠρέμησα, τῆς τοιαύτης ἀπέχεσθαι δυσσεβείας, ἵνα μὴ χείρων ὁ βίος ἀεί σοι γίνηται. οὕτω πρὸς σὲ φιλικῶς διεκείμην, καὶ οὕτω κηδόμενος διετέλουν. σὺ δὲ οὐκ ἠμέλεις τἀναντιώτατα δρῶν καὶ μελέτας ἄλλας ἐπ' ἄλλαις συντιθεὶς κατὰ τῆς εὐσεβείας, ὡς ἔξω Γαδείρων καὶ Ἀτλαντικοῦ πελάγους βεβυθισμένων τῶν ἐκ θεοῦ σοι κατὰ πόδας γινομένων μαστίγων τε καὶ ἀνταποδόσεων. Τρόπος γὰρ καὶ τοῦτο προνοίας ἐστὶ θεοῦ, κωλύειν τοὺς ἁμαρτάνοντας μυρίαις ἐνταῦθα πληγαῖς, πρὶν κυρωθῆναι τὸν τῆς μελλούσης ἀϊδίου κολάσεως κλῆρον ἐκεῖνον. ἱεροσυλία γὰρ καὶ πορνεία καὶ ἀνδροφόνων ἔργα διαβόητον πρὸς ἁπάντων τὴν ὕβριν εἰλήφει, τῶν τε δρώντων ἅμα καὶ πασχόντων, καὶ πᾶσιν ἄλλοις, οἷς ἀκουστὸν ἐξείη ἂν γίνεσθαι· καὶ οὐκ ἀκόλαστον ἔχειν τοῖς δρῶσιν ἕπεται παντάπασι τὸ συνειδός. πλήττει γὰρ ὡς τὰ πολλὰ ξίφους δίκην αὐτὸ τὰ τῶν ἔργων αἰσχρὰ, αἰδοῖ τῶν ἀνθρωπίνων ὄψεων καὶ τῶν ἀκοιμήτων τοῦ θεοῦ ὀφθαλμῶν· καὶ ἴσμεν πολλοὺς ἐκ μεταμελείας βελτίους τῶν ἀεὶ σωφρονούντων φανέντας· τὰ δὲ τῶν δυσσεβῶν αἱρέσεων ἐγκλήματα, μέγιστα πάντων 2.889 ἁμαρτημάτων ὄντα, κεκαλυμμένον ἔσχε πως τὸ τῆς κακίας χρῶμα, καὶ ἄδηλον ὡς τὰ πολλὰ τοῖς πολλοῖς καὶ δυστέκμαρτον, καὶ δυσθεράπευτον, ἅτε γραφικῶν προφερομένων ῥήσεων κἀκεῖθεν, ἐκ τῆς ἐναντίας δηλαδὴ μερίδος, εἰ καὶ μὴ ὁμοίως οἷς τὸ εὐσεβεῖν ἕδραιον μεμένηκεν ἐπὶ ταῖς τῶν πατρίων θεμελίων κρηπῖσι. Διὸ τῶν ἁλισκομένων ἐνίους ἀφίησιν ὁ θεὸς τῇ κακίᾳ συμφθείρειν, εἴτε διὰ παιδείαν ἄλλων, εἴτε καὶ διὰ τὸ ἀσύνετον ἔχειν καρδίαν καὶ ἥκιστα διορθοῦσθαι δύνασθαι, εἴτε καὶ δι' ἀμφότερα. οὐ γὰρ ἴσμεν τὰ τοῦ θεοῦ κρίνειν ἀνεξερεύνητα κρίματα. οἷς δ' εὐμενῶς ἔχει διὰ παλαιοτέρων χρηστότητα πράξεων, ἢ δι' ἑτεράττα ὁπόσα τῇ ἐκείνου σοφῇ προνοίᾳ ἀνήρτηται, τούτους δ' ἐμποδίοις παντοδαποῖς καὶ ποικίλοις ἀφιστᾷν ἐπείγεται, ὡς εἰρήκειμεν, τῆς σφαλλομένης ἐκείνης ὁρμῆς, μεῖζον ἢ κατὰ πατέρα φιλότεκνον πρᾶγμα ποιῶν. Ὃ δὴ κἀπὶ σοῦ ξυννενόηκα δρῶντα μὲν ἐκεῖνον, σὲ δὲ παιδείας ἐκείνης τὸ παράπαν οὐκ αἰσθανόμενον. ὃ δὴ καὶ μέσην μοι τέμνει τὴν καρδίαν, ἀφόρητον τὴν ὀδύνην ἐπάγον, δεδιότι μὴ κρατῆρες ὀργῆς ἐκεῖθεν ἀκαθέκτου, κατὰ σοῦ καὶ παίδων τῶν σῶν κενωθέντες, ὄλεθρον ἐξαπίνης δράσωσι παντελῆ. Μὴ δὴ τοὺς τῶν κολάκων λόγους, ὅτι τῷ τῆς γλώττης μέλιτι καταγοητεύουσι τὰ τῆς ἀκοῆς πρόθυρα, τῶν ἐμῶν προτιμᾷν βούλου. οἱ μὲν γὰρ ὠδίνουσι πόνον καὶ λύπας μακράς· οἱ δ' ἐμοὶ κύουσιν ἀληθευούσης εὐφροσύνης καρπούς. λόγοι μὲν γὰρ σοφῶν ὡς βούκεντρα, φησί τις τῶν πά 2.890 λαι σοφῶν· ἀλλ' οὗτοι σαφῶς εἰσὶν, οἱ τὰς εὐδαίμονας γεωργοῦσι τύχας."2 (Γ.) Ἐμοὶ μὲν οὖν ταῦτα εἰπόντι ὑγιὲς οὐδὲν ἐξ ἐκείνου πυθέσθαι γεγένηταί τι ξύνδρομον τοῖς ῥηθεῖσιν, ἀλλὰ σκολιά τινα ῥήματα, διανοίας καθάπερ ἀρνησαμένης θεσμοὺς καὶ νόμους δικαιοσύνης καὶ ἀληθείας. ἐπεὶ οὖν εἰς πῦρ τε ἔδοξα ξαίνειν καὶ δικτύῳ θηρεύειν ἀνέμους, τάχιστα ἐκεῖθεν ἀπήλλαγμαι, μηδὲν πλέον ἀνύσας, ἢ τοὺς ἐκείνου θυμοὺς παροξύνας κατὰ τοῦ τὰ ὑγιαίνοντα τούτῳ φάρμακα προσάγοντος ἐμοῦ. ἰδοὺ γὰρ ὠδίνησεν ἀδικίαν, συνέλαβε πόνον, καὶ ἔτεκε διδύμους καὶ τριπλᾶς τὰς κατ' ἐμοῦ μελέτας. εἶτα δεδιὼς, μὴ οὐκ ἔχων ὅπως καὶ ὅθεν ἀρξάμενος ἀμύνεσθαί με τὸν αὐτοῦ Προμηθέα δόξῃ τὸν ἑαυτοῦ θεραπεύειν θυμὸν (οὔτε γὰρ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

χωρίοις καὶ ἀμπελῶσι καὶ ὕλαις πολυειδέσι προσηλῶσθαι βεβούλημαι πώποτε, οὔθ' ὅσας τε καὶ οἵας βασιλεῖς χορηγοῦσι τιμάς τε καὶ δόξας τῆς ἐμῆς ἐλευθερίας ἀλλάξασθαι ἠνεσχόμην, οὐ μὴν οὐδὲ πλούτου δή τινος τὴν ἀρετὴν ἀμείψασθαι τῶν λόγων· ταῦτα γάρ εἰσι δι' ὧν ἀμύνονται βασιλεῖς τῶν ὑπηκόων οἷς ἔχθονται, ζημιοῦντες ἐκ τοῦ ῥᾴστου), ἐς τὴν αὐτῷ μελετωμένην λοιπὸν ἀνήρτησε τὰ ἡμέτερα σύνοδον λῃστρικήν. (Δ.) Καὶ ἐπειδήπερ εἰς τελείαν ὁ ἀνὴρ ἐξεῤῥάγη τέως κακίαν, καὶ μάταια τὰ τῶν ἀγαθῶν ἡμῖν ἐλπίδων ἤδη ἐδόκει, ἀπράκτῳ μοι λοιπὸν ἐς τὰ οἴκοι περιειστήκει γίγνεσθαι, τῶν λόγων ἀπεγνωκότι. γενομένοις δ' ἐπ' ἐμαυτοῦ συχνοῖς καὶ ἀλλεπαλλήλοις περιαντλεῖσθαί με κύμασι λογι 2.891 σμῶν ξυνεῤῥύηκεν, οἷα κατὰ τῶν θερμοτέρων ψυχῶν τὰ τῆς ἐκκλησίας τίκτει ναυάγια, ἅτε φάρμακον ἐξ ἀνθρώπων, ταχεῖαν τὴν λύσιν ἐπαγγελλόμενον, ἥκιστα δυναμένῳ λαβεῖν ἐπὶ νοῦν. ὅθεν ὁμόσε χωρεῖν ἐς τὸν δι' ἀθλήσεως ἔγνωκα θάνατον, τῆς τοῦ καιροῦ περιστάσεως εἰς τοῦτ' ἀνάγκης ἡμᾶς περιελαυνούσης· ἵνα καὶ πλείους ὑπάρχοντες ἕτεροι, οἷς μακρὸν καὶ διάπυρον ζῆλον ἐν σπλάγχνων κυοφορούμενον ἔτι μυχῷ περιθάλπουσιν, οὔπω καιρὸν πρὸς ἐπίδειξιν ἐξεγένετο σχοῦσι παῤῥησιάσασθαι τὴν ἀλήθειαν, νῦν γοῦν ὥσπερ ἐμφανεῖ καὶ δημοσίῳ ἐμοὶ χρησάμενοι παραδείγματι, πρὸς ἴσον καὶ αὐτοὶ τῆς εὐσεβείας σφᾶς αὐτοὺς ἐπιῤῥώσαντες σταδιοδρομήσωσι δίαυλον. κἀκ δὴ προοιμίων λοιπὸν, τῶν ἱερῶν καὶ μοναδικῶν ἀνδρῶν καὶ συνήθων μεταπεμψάμενος, τὸ σκέμμα τούτῳ κοινοῦμαι· καὶ ἅμα τήν τε στολὴν ὑπ' αὐτοῦ πρὸς τὸ μοναδικὸν καὶ αὐτὸς, ὡς εἴωθε γίνεσθαι, τέως ἤμειψα σχῆμα· καὶ τοῦ λοιποῦ γε ἐπηγγειλάμην, ἢν μὴ ὁ παρὼν ἡμᾶς ἀπαγάγῃ τοῦ βίου καιρὸς, καὶ τὴν δίαιταν ὡς εἰκὸς μεταθεῖναι, τὴν τῶν βασιλείων ματαίαν διατριβήν τε ἅμα καὶ παῤῥησίαν ὁλοσχερῶς ἀποτιναξάμενον. καὶ ταῦτα μὲν ἐς τόδε ἐκεχωρήκει. ε΄. Ἄρτι δὲ καὶ τῆς ἡμέρας ἐνεστηκυίας, ἐν ᾗ πρὸς τοὺς ὑπὲρ εὐσεβείας ἀγῶνας ἐχρῆν ἡμᾶς καθαρῶς ἀποδύεσθαι, πρωΐας ἔτι οὔσης, πρὶν τὰς τῶν ἡλιακῶν εἰς γῆν ἐκχυθῆναι λαμπάδων αὐγὰς, μικρὸν τοῦ δωματίου προκύψας ὁρῶ κατὰ πλῆθος ἰόντας ἡμῖν ἄνδρας λογάδας, καὶ τούτων τοὺς πλείους ἀσκήσει μοναδικῇ διαλάμποντας· οἳ τῶν οἰκείων ἐκ πολλοῦ διωχθέντες, 2.892 καὶ ἄλλος ἄλλοθι διασπαρέντες, στενὸν καὶ ἀπαράκλητον ἔβοσκον βίον, καὶ τοῦτον ἥκιστα φόβων ἀπηλλαγμένον· ἀλλ' οἱ μὲν τὰ ἴχνη ὧν τε ἐπεπόνθεισαν δεινῶν καὶ ὧν ἐν ἐπαγγελίαις ἡ πεῖρα τέως ἐτίθετο περιφέροντες ἦσαν ἐν τῇ ψυχῇ· οἱ δὲ καὶ τὴν ἀκοὴν ἔναυλον ἔχοντες τῶν καθ' ἡμέραν λοιδοριῶν τε καὶ ἀπειλῶν. ἦσαν δ' οἳ καὶ μᾶλλον ἢ τριακοντούτη διηνυκότες ἄσκησιν, ἐν οἰκίσκοις βραχέσιν ἐγκεκλεισμένοι παντάπασι, τεθνήκασι μὲν τῷ πλείονι μέρει τοῦ βίου, ἧκον δ' ὅμως ἤδη καὶ τὸ λεῖπον τεθνηξόμενοι καὶ τέλει μαρτυρικῷ τὸν ὅλον κοσμήσοντες βίον. ὧν ἐνίους φοράδην ἐσκομιζομένους ὑφ' ἑτέρων ἰδὼν διὰ γῆρας βαθὺ ἐδάκρυσά τε καὶ τοῦ ζήλου τεθαύμακα τὸ σφοδρόν. (Β.) Ἐπὶ τούτοις καὶ ὁ τῶν Ἐφεσίων διέπρεπεν ἀρχιθύτης· ἀνὴρ πρεσβύτης μὲν, ὀγδοηκοστὸν γὰρ ἤδη παρήλλαττεν ἔτος τῆς ἡλικίας, ἐῤῥωμένος δὲ τὰς φρένας καὶ τὰ αἰσθητήρια πάντα, καὶ μάλα μᾶλλον ἢ κατὰ νεανίσκον. ἐπήνθει δ' αὐτῷ καὶ κόσμιον εἶδος καὶ γλώττης εὔστροφος ἠχὼ καὶ φιλοσοφία συναυξηθεῖσα αὐτῷ, ὅση τε καθ' Ἕλληνας καὶ ὅση τῆς θείας αὐλῆς. (Γ.) Καὶ ἅμα παρῆν, ᾧ τὰ περὶ τὸ ὄρος τὸ Γάνος χωρία ἐπιτέτραπται διέπειν πνευματικῶς καὶ τὸν ἐκεῖ ποιμαίνειν ἀρχιερατικῶς κλῆρον καὶ λαὸν τοῦ θεοῦ, πολιὰν μὲν ἐπαγόμενος τρίχα, πολιὸν δὲ φρόνημα· καὶ ὅσον τὸν ἔξω φαινόμενον ἄνθρωπον εἶχε ξυντετηκότα, τοσοῦτον ἀνθοῦντα τὸν μὴ φαινόμενον. ὑπερόριος γὰρ τῆς ἐπισκοπῆς, διὰ τὸ μισεῖν πονηρῶν ἐκκλησίας καὶ 2.893 λοιμῶν ξυναυλίας, ἐκ πολλοῦ γεγονὼς, πάσῃ τῶν ἀναγκαίων αὐθαιρέτῳ στενοχωρίᾳ δαπανῶν διετέλει τὴν ἑαυτοῦ ζωήν. (Δ.) Τῶν γε μὴν ἑτέρων ἐπισκόπων ὅσοι τὸν ἴσον ᾔεσαν ζῆλον καὶ τρόπον οὐδενί γε ἐς τόδε ξυμπέπτωκεν ἐλλελεῖφθαι. ταῖς γὰρ σφῶν ἐκκλησίαις παρεισφθαρέντων, ὁπόσοι ἀγύρται καὶ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

βαναυσώδεις καὶ ἄνδρες ἄντικρυς αἱμάτων, ἔξω στῆναι πέπρακται σφᾶς προμηθείας ἁπάσης ὡς πορρωτάτω. ὧν δή που τὰ σώματα, μὴ ἐγκαρτερῆσαι τῇ σπάνει τῶν ἀναγκαίων δεδυνημένα, καὶ ὅσαι ταύτῃ δυσπραγίαι καθάπερ ὁμοφυεῖς τινες τύχαι καὶ κῆρες ἕπονται, πάσης σκληρότητος ἐφόδια λαμπρῶς ἐφελκόμεναι, καὶ ἄλλ' ἐπ' ἄλλοις ἀντλοῦσαι κακίας πολυειδῆ καὶ πολύτροπα ῥόθια, πρὸς τὰς αἰωνίους ἐκείνας καὶ μακαρίας σκηνὰς μετῳκίσθησαν. παρῆν δ' οὖν ἀντὶ πολλῶν κἀκ τῆς Ἀντιοχείας ἐπαρχίας ὁ Τύρου ἐπίσκοπος· ἀνὴρ συνετὸς καὶ πολὺν ἐκ φύσεως τρέφων τὸν ἐς τὰ δίκαια ζῆλον, κἀπὶ τῶν τῆς εὐσεβείας κρηπίδων μάλα ἀκλινὴς αὐτός τε ἱστάμενος καὶ ἄλλους ἐπιρρωννύειν ὢν ἱκανός. οὗτος ἐν χεροῖν ἔχων τὰ πάλαι τῷ τὴν Ἀντιόχειαν πατριαρχικῶς διέποντι γεγονότα ψηφίσματα καὶ γράμματα κατὰ τῆς τοῦ Παλαμᾶ δυσσεβείας, καὶ ἅμα ἀπὸ στόματος ἤδη τὴν ἐκείνου κηρύττων γνώμην καὶ θέλησιν, αὐθαιρέτῳ καὶ αὐτὸς ἠκολούθει προθέσει ψυχῆς τοῖς θείοις ἀνδράσιν, οὓς ἐξ ἑωθινῆς πρὸς τὴν ἡμετέραν οἰκίαν ἔφθημεν εἰρηκότες ἀθροίζεσθαι. (Ε.) Συνῄεσαν δὲ καὶ τῶν ἐλλογίμων ἀνδρῶν καὶ σοφῶν οὐκ ὀλίγοι, πεφραγμένοι καλῶς τοῖς ἐκ τῶν θείων ὅπλοις γραφῶν κἀκ τῶν φαινομένων ἠθῶν εὐθὺς 2.894 οὐδαμῆ τοὺς ὑπὲρ εὐσεβείας καπηλεύσειν ἐοικότες ἀγῶνας· Δεξιός τε, ὃς λόγῳ καὶ ἀρετῇ τὸν βίον ἀεὶ κοσμῶν ἔδειξε καὶ νῦν ἐν τοῖς ὑπὲρ εὐσεβείας ἀγῶσιν οὐδαμῆ ψευδομένην ἔχων τὴν κλῆσιν, καὶ ἅμα Ἀθανάσιος, ἀθανασίας πλήρεις ἔχων τοὺς λογισμούς. (΄.) Ἐπὶ τούτοις καὶ ὁ τῶν ἐμῶν εἰσῄει χορὸς μαθητῶν, καὶ οἵτινες ἔτι σφίσιν ἐφοίτησαν, τὸν αὐτὸν ἀγωνισόμενοι τῷ διδασκάλῳ δρόμον. ὧν τὸ πρὸς τοὺς ὑπὲρ εὐσεβείας κινδύνους πρόθυμόν τε καὶ εὐγενὲς καὶ τὴν ἔμπρακτον εὐδοκίμησιν ἱκανῶς δεδειχέναι δοκῶ μοι τοὺς ἐν ἐκείνῳ τῷ μαρτυρικῷ σταδίῳ περιφανεῖς ἀγῶνας καὶ τὰ ἐπιπεπαρρησιασμένα τῆς γλώττης σεμνὰ παλαίσματα. (Ζ.) Καὶ ἵνα τοὺς ἄλλους ἐάσω, οὓς οὔπω καὶ τήμερον ἐς ὄψιν ἰέναι περιειστήκει μοι, παμπόλλους τε ὄντας καὶ πάντας ἀλλήλοις ἁμιλλωμένους τὴν ἀρετὴν καὶ τὸν βίον, καὶ τῆς ἔνδον κατὰ θεὸν ἀγαλματοφορουμένης προθέσεως αὐτάγγελον κήρυκα τὴν τοῦ ἤθους εὐσχημοσύνην αὐτομάτως φάναι προβαλλομένους τοῖς ὅσοι ξύν γε συνέσει καὶ περινοίᾳ σοφῇ θεωροῦσιν· ἐπεὶ τὰ τῆς ὥρας ἤδη ἐνειστήκει, ἐν ᾗ καὶ τὴν ἐς τὰ βασίλεια ἐνδημίαν ἡμῶν γίγνεσθαι ἔδει, οἱ μὲν προὔχοντες ἀρετῇ καὶ συνέσει τοῖς ἄλλοις τὰ παρακλητικὰ τοῦ ἀγῶνος περιεσάλπιζον, ὥσπερ ἐν στρατοπέδῳ. (Η.) Ἐγὼ δὲ περιβλεψάμενος ἅπαντας "1ἡ μὲν προθυμία τῶν συνεληλυθότων"2, ἔφην, "1οὐκ ἀγεννής· ἡ δὲ παράταξις ἀσθενής, τὴν τοῦ βασιλέως καὶ χεῖρα καὶ γνώμην μάλα ἀντίπαλον ἔχουσα. βαρύτερον 2.895 δ' οἶμαι τῶν πάντων ἕτερον εἶναι οὐδὲν τοῖς ὑπηκόοις, ἢ πολέμιον κεκτῆσθαι σφίσιν αὐτοῖς τὸν τὴν αὐτοκράτορα περιζωννύμενον δύναμιν βασιλέα. ἴστε γὰρ ὡς μὴ μόνον αὐτὸς ἑαυτὸν, ὅτι μὴ καὶ οἷς τὰς παλαμναιοτάτας ἐγκαλεῖν ὀφείλομεν ἡμεῖς δυσσεβείας, ἡμῖν χειροτονεῖ δικαστάς· καὶ ἅμα ταῖς ἔξωθεν ἀπειλαῖς ἡμῶν κατασείειν πειρᾶται τὸ φρόνημα καὶ τὸ εὐγενὲς προαναστέλλειν παράστημα τῆς ψυχῆς. καὶ στρατηγοῖς γὰρ ἀγαθοῖς καὶ κυβερνήταις εὖ τὰ θαλάττια ἠσκημένοις, ἢν μήτε ξύμμαχος ὁ καιρὸς καὶ τὰ πνεύματα ᾖ καὶ ἅμα τοῖς σφῶν ἐναργῶς ἀντιπράττῃ σοφίσμασι, μάταιος ἀμφοῖν ἡ σπουδή. καί μοι ἐπὶ γλώττης εἴη τὸ Λεωνίδῃ πάλαι τῷ Σπαρτιάτῃ ῥηθὲν πρὸς τοὺς ξύν γε αὐτῷ στρατευσαμένους κατὰ Περσῶν· ὁπότε δηλαδὴ ἐς τὰ περὶ Θετταλίαν Τέμπη γενόμενος, καὶ τὰς ἐκεῖ δυσχωρίας καὶ τὰ ἔνεδρα προειληφὼς, ἐκάθητο ἐνεδρεύων τε ἅμα καὶ περιμένων κωλύειν τὰ Περσῶν ὅπλα καὶ τὴν Ξέρξου πρὸς Ἑλλάδα διάβασιν. ἐπειδὴ γὰρ κατὰ ποταμοὺς τὰ τῶν πολεμίων ἐκεῖνος ἑώρα στρατόπεδα ἐπιρρέοντα, ἐς προὖπτον προὐτρέπετό τε καὶ ἀνερρώννυε θάνατον τοὺς οἰκείους· καὶ "1δεῦτε ἀριστήσωμεν ἄνδρες"2, ἔλεγεν, "1ἵνα ἐν ᾅδου δειπνήσωμεν"2· ὅτε δὴ καὶ τριακόσιοι ὄντες αὐτοὶ, μυρίους ἀνελόντες, αὐθήμερον εὐκλεῶς καὶ αὐτοὶ κατεκόπησαν. τοῦτ' οὖν ἐκεῖνο καὶ αὐτὸς ὑπαλλάξας μικρὸν, δεῦτε, πρὸς τοὺς


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

παρόντας ἔφασκον, ἀδελφοὶ, τὸν ἔσχατον ἀσπασμὸν ἀποδῶμεν ἀλλήλοις, ἵνα ἐν ᾅδου δειπνήσωμεν· ἢ μᾶλλον ἐν παραδείσου ξύν γε θεῷ τὸν ἀθλητικὸν ἐρείσωμεν πό 2.896 δα, ὅπη τὸ μέλι τῆς ἡδονῆς ἀκήρατον εἶναι καὶ ἀδιάδοχον δεδιδάγμεθα. οὐδὲ γὰρ οὐδὲ ἀπαθὲς ἡμῖν ἀπαλλάξειν οἶμαι τὸ ζῆν ἄχρι καὶ ἐς τὴν ὑστεραίαν."2 (Θ.) Ἀπιόντας γε μὴν συχνοὶ τῶν οἰκιῶν ἐκπηδῶντες, ἄνδρες ὁμοῦ καὶ γυναῖκες, εὐφήμοις προὔπεμπον ἡμᾶς ταῖς φωναῖς. ἦσαν δ' οἳ καὶ πάντας φόβους ἀποσεισάμενοι, θαῤῥοῦντες εἵποντο, θαμὰ περιτρέχοντες ἔνθεν καὶ ἔνθεν, σύνδυο καὶ σύντρεις· ἔστι δ' οὗ καὶ κατὰ πλῆθος, καὶ πλείους ἀεὶ ποιοῦντες ἡμῶν· παραπλήσιον ὥσπερ ἂν εἴ τις ποταμῶν τῶν μεγίστων, ἐξ ὄρους ὑψίστου ῥηγνύμενος, οὐ τοιοῦτος μὲν ὑπάρχων ἐκ πηγῶν εὐθὺς, ἐς δὲ τὸ κάταντες ἰὼν, καὶ ἄλλοις ἔτι χειμάῤῥοις καὶ ῥύαξι τὸ ῥεῦμα κοινούμενος, ἐπὶ τοσοῦτον αὔξει μεγέθους, ὡς καὶ ναυσίπορον ὡς τὰ πολλὰ καθίστασθαι. οὕτω κατάδηλος ἅπασιν ἀναμὶξ καὶ νέοις καὶ γέρουσι, καὶ ἀνδράσι καὶ γυναιξὶν, ἡ τοῦ παλαμναίου δόγματος ὑπῆρξε κακία. ʹ. Ἄρτι δὲ περὶ ὥραν τῆς ἡμέρας καθισταμένην δευτέραν ἐντὸς καὶ ἡμεῖς τῶν βασιλείων γιγνόμεθα· καί τινες τῶν πελεκυφόρων ὁμοῦ καὶ ῥαβδούχων, τῆς ἐνδοτέρας τοῦ βασιλέως ἐθάδες ὄντες, ἡμᾶς θεασάμενοι πόῤῥωθεν, σπουδῇ πρὸς ἡμᾶς ἀφίκοντο, τήν τε πρόοδον ἀναστέλλοντες καὶ αὐτοῦ περὶ τὴν αὔλειον περιμένοντας ἡσυχάζειν κελεύοντες· ἀσχολεῖσθαι γὰρ ἤδη τὸν βασιλέα περὶ θεραπείαν τινὰ κατεσπουδασμένην τῶν Ναζιραίων ἐκείνων καὶ νέων δογματιστῶν, ὅσοι τε περὶ σφᾶς ἐπίσκοποι καὶ ὅσοι πρεσβύτεροι, καὶ πᾶσαν ἁπλῶς εἰπεῖν ἐκείνην ἡλικίαν· εἶναι 2.897 δὲ τὰ τῆς θεραπείας ἐκείνης οὐκ ἀμβροσίαν καὶ νέκταρ οὐράνιον· ἦ γὰρ ἄν τινες ἦσαν ἀναίμονες καὶ αὐτοὶ, καὶ ἀθάνατοι ἐκαλοῦντο· ἀλλ' εὐωχίαι, καὶ τράπεζαι πολυτελεῖς, καὶ ἀνθοσμίαι, καὶ ἀκρατοποσίας φάναι ἀγῶνες· πρὶν ὑπὲρ τὸν ὁρίζοντα γενέσθαι τὰς τοῦ ἡλίου αὐγὰς, παρασκευασθεῖσαί τε καὶ καρυκευθεῖσαι λίαν ἐπιμελῶς καὶ ἀνενδεῶς, καὶ ὡς τοῖς οὕτω γαστριζομένοις ἁγίοις ἐκ βασιλέως ἥρμοττε πρὸς ἡδονήν· ἵνα τὴν σφίσιν εἰωθυῖαν ἐντεῦθεν, ὡς ἔοικεν, εἴη ἀνειληφόσι τοῦ ἡγεμονικοῦ κάθαρσιν, εὐπλαστότερον οὕτω περ ἐπὶ θεοπτείας ἀνατυπουμένου, θαῤῥαλεώτερόν τε καὶ ἀδεέστερον, ὡς ἀπὸ σκήπτρου, θεμιστεύειν καὶ ἀποδισκεύειν τοὺς λόγους τοῖς ἐφημέροις ἡμῖν, ἥκιστα δυναμένοις ἀπὸ κοιλίας φωνεῖν, ἀλλὰ μόναις ἐγκεκυφόσι
καὶ οἱονεὶ προσπεπατταλευμένοις ταῖς πατρίοις βίβλοις, καὶ ταῖς ἐκεῖθεν ἐξηρτημένοις εἶναι, καθάπερ ἀδαμαντίναις ἀεὶ σειραῖς, νομοθεσίαις δογματικαῖς. (Β.) Καὶ ταῦτα μὲν τοῦτον ἔσχε τὸν τρόπον· καὶ ἡμεῖς ἄλλος ἄλλοθι τῆς βασιλείου ἐκείνης αὐλῆς, κατὰ συζυγίας τινὰς καὶ δεκάδας, ἐκ διαστήματος ἠρέμα καὶ βάδην σκιδνάμενοι περιπάτῳ ἐχρώμεθα, καθάπερ οἱ ἐν Ἀκαδημίᾳ πάλαι Σωκρατικοί· πλὴν ἢ ὅτι τὰ θεῖα τῆς ἐκκλησίας ἡμῖν ἐπὶ στόματος ἦσαν δόγματα. ἦσαν δ' οἳ καὶ ὡς ἔτυχεν ἐπ' αὐτοσχεδίου ἐκάθηντο, οὐκ ἐπὶ ποταμοὺς Βαβυλῶνος, πρὸς Ἀσσυρίαν πόῤῥω πατρίδος αἰχμάλωτοι ἀπαγόμενοι· ἀλλ' ἐπὶ γῆς ἀλλοτρίας, εἰπεῖν, ἀλλοτρίοις δόγμασι χρῆσθαι καὶ προσκυνεῖν 2.898 ἀναγκασθησόμενοι. διὸ καὶ αὐτοῦ περιμένοντες τὸ πολὺ διετετελέκειμεν τῆς ἡμέρας ὕπαιθροι, ἅμα τῷ ἡλίῳ καὶ ταῖς θεριναῖς ἐκείναις ἀκμαῖς τῆς αἰθερίας καμίνου φλεγόμενοι, ἔνδον τῶν θεωρητικῶν ἐκείνων εὐωχουμένων ἀνδρῶν μυστικώτερον. (Γ.) Ἄρτι δὲ τοῦ ἡλίου περὶ σταθερὰν ἀκριβῶς γενομένου τὴν μεσημβρίαν, ἐπὶ τὸν Ἀλεξίῳ πάλαι τῷ βασιλεῖ δομηθέντα μετῄεσαν τρίκλινον· ἔνθα δὴ προκειμένων τῶν βάθρων, οἱ ἀρχιερεῖς καὶ οἱ πρεσβύτεροι συνῄεσαν ἅμα τῷ βασιλεῖ, συνδιασκεψόμενοι, πρὶν ἡμᾶς εἰσιέναι, τὰ πάλαι πολλάκις μελετηθέντα τε καὶ συσκευασθέντα βουλεύματα καθ' ἡμῶν, πῶς ἂν ἐπὶ καιροῦ νῦν εἰς πέρας ἄγειν εἴη αὐτοῖς εὐπετῶς τε καὶ ὡς ἂν τοῖς παροῦσιν ἀκροαταῖς ἀγνοηθείη, λαθόντα ὅτι ξὺν δόλῳ πέπρακταί τε καὶ δεδραματούργηται πολυετεῖ. εἰσῄειμεν δ' οὖν ὀψὲ καὶ ἡμεῖς, τῶν θυρωρῶν καλεσάντων. καὶ ὁ βασιλεὺς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

εὐθὺς τῷ εὐαγγελίῳ παρακειμένῳ προσκύνησιν ἀπονείμας βραχεῖαν, ἡμῶν γε εἵνεκα, πολλὰ πολλάκις τὰς τῆς θείας καὶ οἰκουμενικῆς ἕκτης συνόδου προτεθῆναι πράξεις ἀπαιτούντων, κατὰ τὴν ἐκεῖ τοῦ τότε βασιλέως κατάστασιν, καὶ τοὺς ὅρκους γενέσθαι καὶ νῦν ἐφ' ἡμῶν· ἔπειτα αὐτός τε ἐκάθισε καὶ ἅμα ὁμοῦ τοῖς ἄλλοις καθεσθῆναι προὐτρέψατο καὶ ἡμᾶς. (Δ.) Λέγειν δ' ἀρξάμενος παρεμίγνυ τοῖς λεγομένοις καὶ ὅρκους διεσπασμένους τινὰς καὶ αἰνιγματώδεις, ἐπαρώμενός πως ἑαυτῷ καὶ τέκνοις ὄλεθρον, εἰ τῷ ἑνὶ μέρει πρόσθοιτο τὴν γνώμην ὁποσονοῦν. καὶ ἦν, ὡς ἔδειξεν ἐπὶ 2.899 τῶν ἔργων, διλήμματα τὰ φθεγγόμενα· καὶ πῶς μὲν οὔ· τῷ Παλαμᾷ τὰ ἴσα πνέων ἐξ ἀρχῆς, καὶ νύκτωρ καὶ μεθ' ἡμέραν προὐργιαιτέραν τῶν ἀνὰ χεῖρας ποιούμενος δημοσίων τὴν αὐτοῦ ὁμιλίαν, καὶ ταῦτα συῤῥάπτων καθ' ἡμῶν καὶ συσκευάζων δίκτυα, κἀμοὶ λογικῶς μαχόμενος ἰδίᾳ καὶ δημοσίᾳ βιαιότερον ἢ κατ' αὐτὸν εἰπεῖν Παλαμᾶν; εἰ οὖν τὸ ἡμέτερον ἔβλεψε μέρος ἐκεῖνος, ᾧ τὴν γνώμην ἥκισθ' ὑπισχνοῖτο προστίθεσθαι, εὐώρκησε μέν· ἀπολωλέναι δ' ὅμως πέπραχε τὴν ἑαυτοῦ ψυχὴν, εἰς Ἡρώδην τὸν πάλαι τὴν μίμησιν ἄντικρυς ἀνενεγκὼν, ὃς προφητοκτόνου πρόβλημα κακίας τὸν ὅρκον πεποίηται. εἰ δὲ πρὸς οὐδέτερον βλέπειν ἐνῆν τοῖν μεροῖν τὴν τοῦ ὅρκου διάνοιαν, ἀλλ' ἰσόῤῥοπα ἐπ' ἀμφοῖν τὰ τῆς γνώμης ἐκρέματο τάλαντα, τοῖς δ' ὀμωμοσμένοις ἥκισθ' ὕστερον ἐνέμεινεν, ὡς ἔργοις ἔδειξεν αὐτοῖς, καπηλεύσας ἐπὶ θεάτρου τοσούτου τὴν δίκην, τὰς τῆς ἐπιορκίας οὐκ ἄν ποτε λοιδορίας ἐκφύγοι, ἑαυτὸν ἐπίορκον αὐθαίρετον πεπραχώς. (Ε.) Ἑαυτοῦ γὰρ τὴν τοῦ Παλαμᾶ λογιζόμενος ἧτταν, ἔπειτ' ἰδὼν, ὡς οὐκ ᾤετο, κατὰ κράτος τοῖς ἡμετέροις ἡττώμενον λόγοις, πρύμναν τε ἐν μέσῃ πορείᾳ ἐκρούσατο καὶ ῥίψας τὴν ἀλωπεκῆν εὐθὺς τὴν ἀρκτικὴν μετενέδυ, καὶ ἄλλος ὅλος ἐξ ἄλλου καθίστατο, μηκέτι καθεκτὸς εἶναι δυνάμενος, ἀλλὰ βοῶν καὶ ἀπειλῶν, εἰ μὴ σιγῴημεν· μηδὲ γὰρ ἀνέχεσθαι τῶν οἴκων ἐντὸς τῶν αὐτοῦ, λέγειν μὲν βουλομένων ἡμῶν, αὐτοῦ δ' ἀκούειν ἥκιστα δεχομένου· καθάπερ αὐτὸς ἐκ 2.900 λαθόμενος ἑαυτοῦ καὶ τῶν ὅρκων ἐκείνων, καὶ μήτε τοῦ ξυνόντος πλήθους τὸ συνειδὸς μήτε τὰς τῆς γνώμης κρίσεις ὅλως αἰδεσθεὶς ἐκείνων, ἐφ' οἷς ἡλίσκετο μάλα ἐπ' αὐτοφώρῳ ψευδόμενός τε καὶ ἀδικῶν. ὃ μὲν γὰρ ἦν, οὐκ ἦν· ὃ δ' οὐκ ἦν, ἦν· ἀντὶ μὲν βασιλέως, τύραννος ἀκραιφνής· ἀντὶ δὲ δικαστοῦ, κατήγορος καὶ διώκτης ἡμῶν ἀπροφάσιστος. οὕτως ἐγκαταλειφθεὶς ἀπὸ τῆς τοῦ θεοῦ δεξιᾶς ὁ ταλαίπωρος ἐξέστη τε ἑαυτοῦ καὶ τοῖς ὁρῶσιν ἄθυρμα λαμπρὸν ἐγίνετο πρός τε τοῦ τρόπου πρός τε τῶν λόγων καὶ ἅμα τοῦ μειρακιώδους ἤθους ἐκείνου. ζʹ. Ἀλλ' ἐπειδήπερ οἱ πλείους, φιλιστοροῦσαν καὶ φιλήκοον κεκτημένοι ψυχὴν, πρόσω ἰέναι ἡμᾶς οὐκ ἐῶσι, πρὶν ἐς εὐρύτερον τὴν τῶν ἐκεῖ παραθεῖναι λαληθέντων τε καὶ πραχθέντων ἀφήγησιν, ὑπόδειγμα τῷ βίῳ χρηστὸν ἀθλητικῆς ἐνστάσεως, καὶ οἷς ὑπὲρ τῶν θείων ἔνεστι δογμάτων ζώπυρον καιροῦ καλέσαντος ἀγωνίσασθαι· φέρε, τὰς τῆς κεφαλῆς ἀλγηδόνας ἐν δευτέρῳ τῆς τῶν φιλαρέτων ἀνδρῶν ἐφέσεως θέμενοι λέγωμεν, ὁπόσον οὕτως ἔχουσιν ἐφικτὸν ἂν εἴη. εἰ γὰρ ὑγιῶς ἔχουσιν οὐκ ἄν ποτε γένοιτο λέγειν ἀθρόον ἅπαντα συνελόντας, σχολῇ γ' ἂν εἴη δήπου, καὶ χρόνῳ καὶ κεφαλῆς ἀλγηδόσι τοσαύταις, καὶ ἅμα ταῖς νῦν παρεισπεσούσαις διὰ τὴν τῶν δογμάτων καινοτομίαν λύπαις δαπανωμένοις, λέγειν ἅπαντα κατ' ἴχνος ἰόντας· ὅτε γάρ μοι πρὸς εὐρωστίαν εὖ πεφυκέναι ἐνῆν τὴν τῶν αἰσθητη 2.901 ρίων ἀκμὴν, οὐχ ὁ νῦν καιρός· ὅτε δ' ὁ νῦν καιρὸς, οὐκ ἐκείνως ἔχειν συμβαίνει. (Β.) Καὶ εἰ μὴ τετυφῶσθαι δοκοίην ἐνίοις, ἔξεστι τὸ πεφυκὸς τἀληθοῦς ξυνορᾷν κἀκ τῶν ἀγώνων, οὓς διηντλήκαμεν, ἐκ Καλαβρίας ἤδη πρῶτον ἐπιδεδημηκότος κἀμοὶ πρὸς ἔριν συμπλακέντος Βαρλαὰμ ἐκείνου· ὃς πολλὴν ἐπαγόμενος κατὰ τῆς κοινῆς τῶν Ῥωμαίων σοφίας ὀφρὺν τότε πρῶτον ᾔσθετο μάτην ἀκούων σοφὸς, τὰς τῆς σοφίας κέδρους ἐκείνης ἐξαίφνης ἀφαιρεθείς· καθάπερ πεύκη καὶ κυπάριττος, ὁπότε σφᾶς ἀπογυμνοῖ τῆς κόμης ὑλοτόμου βρίθουσα παλάμη. ἃ πάντα καὶ γραφῇ δεδωκότες



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

στήλην τῆς ἐκείνου κακίας τῷ χρόνῳ παρέσχομεν. ἐῶ λέγειν οὓς ἐν ταῖς ἱστορίαις τῶν γιγνομένων, ἃς καὶ αὐτὰς γραφῇ παρεπέμψαμεν ἐς τὸ μονιμώτερον, κατεβαλόμεθα πόνους, καὶ οὓς ἐν τοῖς ἀντιῤῥητικοῖς τε καὶ στηλιτευτικοῖς, ἄλλοτ' ἄλλοθεν ἀναφυομένων παντοδαπῶς ἀντιπάλων τῆς ἀληθείας· καὶ πρός γε ὅσους ἐν ἐξηγήσεσι τῶν ἐς τὸ γριφωδέστερον τοῖς παλαιοῖς εἰρημένων ἐνεδειξάμεθα. (Γ.) Διὰ δὴ τῶν τοιούτων πόνων οἱ τοῦ τὰ πάντα μαραίνοντος ὀδόντες χρόνου παρατρώγουσι προσιόντες ἠρέμα καὶ κατὰ μικρὸν, καὶ τὸ ὑγιαῖνον τοῦ σώματος ὑπορύπτουσιν, ἔχοντες ὁμοῦ καὶ τὴν τῆς ἁρμονίας δανείστριαν φύσιν συνέκδημον φορολόγον, ἀναφυομένην ὀψὲ καὶ αὐτὴν δραστικώτερον καὶ βιαίως δάνειον ἀπαιτοῦσαν· καὶ νῦν μὲν τὰς τῶν ὀμμάτων αὐγὰς ἀμβλύνουσαν, νῦν δὲ τὴν 2.902 συνδετικὴν τῶν τε χειρῶν καὶ γονάτων ἀναλυτικὴν ἁρμονίαν καθίζουσαν ἔφεδρον· καὶ ταῦτα μὲν ὅτε μᾶλλον, εἴπερ ποτ', ἐχρῆν τήν τ' οἰκείαν εἰς τὸ ἀκμαιότατον ἔχειν δύναμιν καὶ ἅμα, εἴ τις ἦν μηχανὴ, κἀκ τῶν ἔξωθεν ὁπόθεν δήποτε προσκτᾶσθαι ζητεῖν. οὐ γὰρ Κουρῆτές τ' ἐπίκουροι καὶ Αἰτωλοὶ μενεχάρμαι γέροντί μοι πολεμοῦσιν ἤδη πρόσφατον πόλεμον, καὶ μέχρις αἵματος ὁρωμένου σαλεύοντα τὸ τοῦ δρόμου φιλότιμον· ἀλλ' ἐπέθεντό μοι δράκοντες ἐξ ἀφανοῦς, καὶ κραταιοὶ ἐζήτησαν τὴν ψυχήν μου, τὰς φονευτρίας χεῖρας ἐν σκοτομήνῃ βάλλοντες καὶ ἀναίμακτα παρέχειν ἐπειγόμενοι τραύματα· ὃ καὶ μᾶλλον χαλεπωτέρας ἐμοὶ προξενεῖ τὰς ὀδύνας. ἀναίμακτα γὰρ κἀμοῦ κατ' ἐκείνων τελοῦντος τὰ τρόπαια, δυσδιάγνωστον τοῖς τῶν ἔξωθεν ὁρώντων πολλοῖς συμβαίνει τὴν κρίσιν καθίστασθαι, καὶ μάλα τοι εὐδιάβολον τοῖς ἡμῶν διώκταις. τοῖς μὲν γὰρ οὐκ εἰδόσιν οἰκονομεῖν ἐν κρίσει τοὺς λόγους, λῆρος ἅπαν νενόμισται πίστεως καὶ δογμάτων μυστήριον· οἷς δ' εἰδέναι πρόσεστι, καὶ ἀλλάττεσθαι δι' ἀνάγκην συμβαίνει. πειράσομαι δ' οὖν ὅμως ὅσον ἐφικτὸν, ὡς εἴρηται, τὴν τῶν φιλοθέων ἐκείνων ἀνδρῶν ἐκπεραίνειν αἴτησιν, ἡγεμόνας τῆς ἐμῆς προστησάμενος γλώττης τὰς περὶ θεὸν ἐλπίδας· ὑπὲρ οὗ καὶ τὴν ἀθλητικὴν ταυτηνὶ διαπλέομεν θάλασσαν. (Δ.) Ἀξιῶ δ' ἔγωγε, μηδένα τῶν ἐντυγχανόντων πρόχειρον εἰς τὰς καθ' ἡμῶν λοιδορίας ἔχειν τὴν γλῶτταν, εἰ 2.903 παρ' ὅλην μικροῦ τὴν ἱστορίαν, ὅσα μὲν φύσει τε καὶ προαιρέσει προσῆν ἐγκλήματα τῷ βασιλεῖ, σιγῇ κρύψαντες, ἐπαίνοις τὸ πλεῖον διὰ φιλίαν ἐχαρισάμεθα, καὶ ἅμα διὰ τὸ σύνεργον καὶ συλλήπτορα τῶν τῆς εὐσεβείας ἔχειν ἀγώνων αὐτὸν, βασιλέα τε ὄντα καὶ τὸ πᾶν ἐν τῇ χειρὶ τῆς νίκης καρπούμενον διὰ τὴν ἀρχήν· νῦν δ' ἀνακαλυπτήρια παρὰ πᾶσαν προαίρεσιν θύειν, ὡς εἰπεῖν, ἥκιστα πάντων ὀκνοῦμεν. πρῶτον μὲν γὰρ αἰδοῖ τῶν συνόντων τῇ ἀκροάσει καὶ ἡμῖν ἀγωνιζομένοις, ὑπὲρ τοὺς τετρακοσίους που πάντως ὄντων, ἀνδρῶν εὐγενῶν ἀναμὶξ καὶ τῶν ἄλλως ἐχόντων, καὶ ἅμα βασιλίδων, καὶ ὅσαι συνῄεσαν ἄλλαι τῆς φήμης δημαγωγούσης, γένους καὶ αὐταὶ καθ' ἕτερον λόγον τὰ πρῶτα φέρουσαι, λαλεῖν τὴν ἀλήθειαν εἶναι χρεὼν, μὴ προφανῶς αὐτοὶ ἑαυτοῖς καταγνώσεως οὐ μάλα τοι ἐλαχίστης αἴτιοι καθιστῶμεν καὶ τὰ τῆς ἐκείνων χλεύης ἑκόντες ἐφ' ἑαυτοὺς ἑλκύσωμεν δίκτυα. δεύτερον δὲ κἀπὶ μὲν τῶν ἄλλων ἁπάντων, εἰ φιλίᾳ τις χαρίζεσθαι θέλων, ἔπειτ' ἐνίοτε καὶ ἐνιαχοῦ ψευδόμενος φαίνοιτο, συγχωροίη ἂν οἶμαί τις ἴσως, ὅστις ὁμοίαις ἐμπέπτωκε τύχαις καὶ πείραις· οὗ δὲ θεὸς τὸ κινδυνευόμενον, εἰ ἐγκαλύπτεσθαί τις ὁπώσποτε βούλοιτο, πάντων οἶμαι ταῖς γλώτταις ἠκονημέναις ἐξ αὐτομάτου πρὸς τὰς αὐτοῦ λοιδορίας ἐντυγχάνειν· καὶ ὁ πάντα τἄλλα ἐπιεικέστατος, εἰ μὴ λάλος ἐνταῦθα βούλοιτο γίγνεσθαι καὶ γλώτταις ὅλαις τἀνδρὶ νεμεσᾷν, 2.904 ἀλλὰ φείδοιτο λοιδορίας ἡστινοσοῦν, θαυμάζοιμ' ἂν αὐτὸς, εἰ μὴ ἐς ἀβύσσους αἰσχύνης καὶ πυθμένας γίνοιτο ὑποβρύχιος, ὅστις ποτὲ ἂν ᾖ, χαλεπὸν ἀεὶ γειτόνημα τὸν τοῦ συνειδότος κτησάμενος πέλεκυν. τοσούτου τοίνυν Ὀλύμπου δεινῶν ἐπισειομένων ἡμῖν, εἰ ψεύδεσθαι βουληθείημεν, ἐνταῦθα μάλα μᾶλλον ἀνάγκη, τἄλλα παρατρέχοντας, καὶ πρὸς θεὸν μόνον ὁρῶντας, λαλεῖν τὴν


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀλήθειαν. ἔπειτ' οὐδὲ παράδοξον ἄλλως, ἐν τοῖς ἄλλοτ' ἄλλως ῥέουσι καὶ φερομένοις πράγμασι, καὶ ἀόριστον ἀνύουσι πλοῦν, τὸν αὐτὸν νῦν μὲν τὸ ἐπιτυχὲς καρποῦσθαι, νῦν δ' ἐν τῷ κλήρῳ τῶν ναυαγούντων ἀπροσδοκήτως ῥιπτεῖσθαι. τούτου δ' οὕτως ἔχοντος, οὐκ ἂν δικαίως αἰτίαν φεροίμεθα, εἰ τῆς ἀληθείας καὶ ἡμεῖς ἐν τῇδε τῇ βίβλῳ τὴν βελτίστην εἰσάγοντες πρόνοιαν τοὺς αὐτοὺς νῦν μὲν τοῖς ἐπαίνοις ἐξαίρομεν, ὅπη μὴ τοὺς ἀκούοντας βλάπτεσθαι περιγίνοιτο· νῦν δὲ τἀναντιώτατα δρῶντες φαινοίμεθα. (Ε.) Ἔτι καὶ τοῦτο τοῖς εἰρημένοις προσκεῖσθαι χρεὼν ἐνταυθοῖ. οἶμαι γὰρ τῶν ἁπάντων οὐδένα δικαίως ἐμοὶ νεμεσᾷν, εἰ περὶ θεοῦ καὶ τῶν πατρίων τῆς ἀληθείας δογμάτων κινδυνευόντων ἀπὸ τοῦ ἴσου διαλεγοίμην τῷ βασιλεῖ, πάντας καθάπαξ ἀποκρουσάμενος κολακείας λόγους, καὶ μηδεμιᾷ τὸν τῆς διανοίας κάλαμον βάπτειν δειλίᾳ καὶ συστολῇ βουληθεὶς, μηδ' ὑφεῖναι μηδαμῆ τοῦ τόνου μέχρι τελευτῆς αὐτῆς. κακοδαίμονα γὰρ ἐγὼ τὸν τοιοῦτον καλεῖν οὐκ ἄν ποτ' ὀκνήσαιμι, ὃς ἐν δευτέρῳ τῶν ἐνυπνίων τοῦ βίου τὰ θεῖα τιθέμενος οὔτε τοὺς 2.905 τῆς δίκης αἰδεῖται θρόνους, οὔτε μὴν τοὺς αἰθερίους δέδιε θεοῦ πρηστῆρας. ἐν γὰρ τοῖς περὶ θεοῦ καὶ τῶν θείων δογμάτων ἀγῶσιν αὐτὸν μόνον ἡγεῖσθαι δεῖν βασιλέα, τοὺς δ' ἄλλους ἐπίσης ὁμοδούλους ἅπαντας, πλουσίους ἀναμὶξ καὶ πένητας, βασιλεῖς τε καὶ ἰδιώτας, καὶ ὅσοις τοῦ θιάσου καὶ τῆς χορείας ἐκείνης μετέχειν ὁπώσποτε συμπίπτει. η´. Ἑβδόμην μὲν οὖν ἦγε καὶ εἰκοστὴν ὁ μάϊος μὴν, ἐν ᾗ συγκαλεῖν ἡμᾶς δεδογμένον γέγονε βασιλέα πρὸς ἣν ὠνόμαζε σύνοδον. ἀρξάμενος δ' ἄνωθεν διεξῄει, πῶς διαβόλῳ προὐργιαίτατον ἀεὶ πολεμεῖν ἀνθρώποις, ὥσπερ τινὰ κλῆρον εἰληφότι λαμπρὸν, ἀφ' οὗ τῷ προπάτορι συμπλακεὶς ἐστήσατο τρόπαιον· καὶ δι' αὐτό γέ τοι θεὸν ἐθελῆσαι τὴν ἀνθρωπείαν ἀναδεξάμενον φύσιν δι' αὐτῆς ὁδοὺς ἡμῖν ἀγαθὰς ὑποδεῖξαι, δι' ὧν ῥᾷστον ἂν εἴη τοῖς γε ἐθέλουσι τὸν ἀντίπαλον κατασείειν· εἶθ' ὅπως καὶ ὁ διάβολος, ἑτέραν αὖθις τραπόμενος, εἰδωλολατρείαν εἰσήνεγκεν ὁμοῦ ταῖς ἄλλοτ' ἄλλαις αἱρέσεσι, κατά τε τῆς τοῦ θεοῦ ἐκκλησίας καὶ τῶν δογμάτων αὐτῆς· ὅπως τε θεῖαι καὶ ἱεραὶ κατόπιν συγκροτούμεναι σύνοδοι τὰ τοιαῦτα τῆς ἐκκλησίας νοσήματα ἐθεράπευον· καὶ ἐπὶ τούτοις ὅπως καὶ ἐφ' ἡμῶν Βαρλαὰμ τὸν Λατινόφρονα, τὸν ἐκ Καλαβρίας ὁρμώμενον, ἤνεγκεν ἐπὶ πονήρῳ τῆς ἡμετέρας εἰρήνης, ἄνδρα σοφὸν μὲν, ἐριστικὸν δέ τινα καὶ κενοδοξίας ἡλικιώτην· ὃς ἐπεὶ τὰ μὲν πρῶτα συμβεβληκὼς ἑτέραν καὶ περὶ σοφίας ἠγωνισμένος ἐπίδειξιν ἥττηταί τε καὶ τῆς 2.906 νικώσης οὐ μάλα ἀσμένως ἐκείνοις παρακεχώρηκε, καθ' ὧν εὐδοκιμεῖν ἐδόκει μάλιστα, δεύτερον πλοῦν τῶν δογμάτων τοῦ Παλαμᾶ συνεπλάκη, διθείας τε ἔγκλημα προστριβόμενος καὶ ὁπόσα τῷ τοιούτῳ ἐποικοδομεῖσθαι ἕπεται θεμελίῳ. καὶ ἵνα μὴ διατρίβωμεν ἐπὶ τοῖς οὕτω προδήλοις, ἐξέσται τοῖς βουλομένοις ἐκ τῶν τότ' ἐπὶ τούτοις τομογραφηθέντων τῇ ἐκκλησίᾳ τοῦ θεοῦ καὶ τῷ τηνικαῦτα πατριαρχεύοντι ψηφισμάτων μανθάνειν τὸ καθεστώς. ἐκείνου γε μὴν ὁπώσποτ' ἀπιόντος, ἕτερός τις διαδεξάμενος τὰς ἐκείνου κατὰ τοῦ Παλαμᾶ λοιδορίας, Ἀκίνδυνος ὄνομα, τὴν ὁμοίαν ἐκείνῳ καὶ αὐτὸς καταδίκην ὑφ' ὑμῶν εἰλήφει τε καὶ ἠλάθη. νῦν δ' ἀναστάντες, οὓς οὐκ οἶδα πῶς ὀνομάσας ὀρθῶς ἂν φάναι δόξω, τὰ αὐτὰ καὶ οὗτοι τῷ Βαρλαὰμ κατὰ τοῦ θείου φθέγγονται Παλαμᾶ. ὧν αἴτιον τὴν ἐμὴν ἔπεισιν οἴεσθαι πραότητα, ᾗ χρώμενος ἄχρι καὶ ἐς τὴν τήμερον διετέλεσα. ἀλλ' οὐ χαιρήσουσιν ἔτι διαγρηγορήσαντος ἐμοῦ καὶ τὴν ἐκ θεοῦ δεδομένην μοι χεῖρα καὶ κρίσιν ἔς γε τὸ τῆς εἰρήνης χρήσιμον ἀνειληφότος αὐθεντικῶς. δῆλον γὰρ εἶναι τοῖς ἅπασιν οἶμαι, μηδένα τῶν πάντων εἶναι, ᾧ πρό γε ἐμοῦ, βασιλέως ὄντος, τὰς τοιαύτας εὐθύνειν προσήκει δίκας· ἢ ποῦ τῇ βασιλείᾳ τὸ εὔδαιμον φυλάττοιτο, τὸ κρίνειν οὐκ ἐχούσῃ τοὺς ὑπηκόους; ἢ τῷ ποτε διοίσει δεσποτεία δουλείας, τῆς κρίσεως τῶν πραγμάτων οὐκ ἐφ' 2.907 ἑνὸς ἱσταμένης, τοῦ τὴν ἀρχὴν ἔχοντος καὶ δυναμένου μετ' ἐξουσίας αὐτοκρατορικῆς τοὺς μὲν τῆς πλεονεξίας κωλύειν, τοῖς δὲ τὸ ἐνδέον ἐπανισοῦν.



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

πολλοῦ μεντἂν ἦν ἀξία δικαστικὴ βασιλείας κεχωρισμένη, εἰ δικάζοντος ἄλλου τὸ κελευόμενον ποιεῖν ἐχρῆν βασιλέα. τούτου δ' οὕτως ἔχοντος, ἐρέσθαι βούλομαι πρότερον ἐν βραχεῖ τουτουσὶ, δυοῖν θάτερον ἑλομένους ἁπλῶς ἀποκρίνασθαι. εἰ μὲν γὰρ τοῖς ἅπαξ δεδογμένοις κατὰ τοῦ Βαρλαὰμ τῇ τοῦ θεοῦ ἐκκλησίᾳ στέργοιεν, μηδὲν πλέον ἐρίζοντες, ὁμοφρονοῦντες ἔστωσαν ἡμῖν τοῦ λοιποῦ, καὶ κοινῇ τὸν Βαρλαὰμ ἀναθέματι παραπέμπωμεν. εἰ δ' οὖν τοὐναντίον πρόδηλον, καὶ ὡς ὁμόφρονας ἐκείνῳ λοιπὸν τῆς αὐτῆς ἐκείνῳ καταδίκης ἀξιοῦν καὶ αὐτοὺς ἡμῖν ἕψεται. καὶ εἰ μὴ σὺν δίκῃ ταῦτα λέγω, τὴν μέσην ἰὼν ἀπαρεγκλίτως ὁδὸν καὶ μηδαμῆ τῷ ἑνὶ προστιθέμενος μέρει, ὄλεθρον εἴη κύριος ἐπάγων ἐμοί τε καὶ παντὶ τῷ γένει τοὐμῷ προφανῆ· εἰ δ' οὖν, ἐλεγχέτω τις παρελθὼν, εἴ τι τοῖς ἐμοῖς λεγομένοις εὑρίσκοι διεφθορὸς καὶ ἥκιστα τὴν τῆς ἐκκλησιαστικῆς ὁμονοίας ἐπισπεῦδον κατάστασιν. 2.909 α΄. Ἐκείνῳ μὲν οὖν ἄλλα μεταξὺ παρενείραντι πλεῖστα, τὸν αὐτὸν ἐλαύνοντα δρόμον καὶ τρόπον, ἐνταυθοῖ που τὸν λόγον καταλελυκέναι συμπέπτωκεν, αὐθημερὸν βουλομένῳ τὴν ὅλην ὑπόθεσιν καταστήσασθαι. τοῦτο γὰρ εἶναι τῷ Παλαμᾷ καὶ αὐτῷ βασιλεῖ τὸ σκοπιμώτατον, ἐν βραχεῖ μακρῶν ἑαυτοὺς ἀπαλλάττειν ἐνθυμουμένοις πραγμάτων. σιωπῆς τοιγαροῦν γενομένης, καὶ τῶν ἑταίρων ἁπάντων ἀφορώντων εἰς ἐμὲ καὶ λέγειν προτρεπομένων, ἐπεὶ τὸ συγκεχωρηκὸς ἐξ ἑκατέρων ἐγὼ τῶν μερῶν εἰλήφειν, ἔλεξα τοιάδε. (Β.) "1Ἐπειδήπερ, ὦ βασιλεῦ, καὶ πράξεως ἁπάσης καὶ λόγου παντὸς ἡγεῖται σκοπὸς (τούτου γὰρ ἐκτὸς καὶ λόγος ἅπας μάταιος καὶ πρᾶξις πᾶσα), πυθέσθαι πρότερον ἐχρῆν ἡμῶν τὸν τοῦ παρόντος συλλόγου σκοπόν· εἶτα τοὺς λόγους πρὸς ἐκεῖνον εἰσάγειν ἐκτεινομένους. καὶ τοξότας γὰρ ὁρῶμεν οὐ τοῦτο καὶ κυβερνήτας οὐ πρός γε τὸ τοξεύειν ἢ πλεῖν τὸν σκοπὸν ἔχοντας μόνον, οὐδὲ τοῦτο βουλομένους ἁπλῶς· ἀλλ' οὗ ἕνεκα τό,τε τοξεύειν ὁ τοξότης καὶ τὸ πλεῖν ὁ κυβερνήτης ἐνεστήσαντο· ὡς ἐὰν μὴ τοῦτό γε ᾖ, μάταιος ἀμφοῖν ἡ σπουδή. τίς γὰρ ὄνησις μοχθεῖν εἰκῇ καὶ ναυαγίοις καὶ κύμασι χειμερίοις ὡς τὰ πολλὰ παραβάλλεσθαι, μή τινος ὠφελείας καὶ κέρδους τῷ σκοπῷ καὶ προθέσει προβεβλημένου; ὅμως ἐπειδήπερ ἔκ τινων ἰχνῶν τῆς σῆς ξυνήκαμεν δημηγορίας, ἐκ ποδῶν τὰ τῆς ἐκκλησίας γενέσθαι ναυάγια τὸν σκοπὸν τῆς παρούσης εἶναι σπουδῆς, πρὸς τοῦτ' ἀνάγκη καὶ τοῦ ἡμετέρου λόγου τὸν σκοπὸν καὶ τὰς ἡνίας ἰθύ 2.910 νειν. ἐπειδὴ γὰρ οὐχ ἥκομεν ἐθελονταὶ, ἀλλ' ἤχθημεν οὐ μάλα ἐθελονταὶ, καὶ ἡμᾶς ἀνάγκη τὸν τοῦ λόγου δρόμον ἰθύνειν, οὐ πρὸς ἃ τὸ βουλόμενον ἡμῖν ὑφηγεῖται, ἀλλὰ πρὸς ἅπερ ἡ τὸ κράτος ἔχουσα χεὶρ καὶ γλῶττα βιάζεται, καὶ δεικνύειν μέχρι ποῦ βασιλεῦσιν ὑπείκειν χρεὼν καὶ μέχρι ποῦ μὴ χρεών. Ὁ γάρ τοι σοφὸς Σολομῶν, τρία φήσας ὑπάρχειν, οἷς εὐόδως ἔνεστι πορεύεσθαι, καὶ τὸ τέταρτον, ὃ καλῶς διαβαίνει, τοῦτ' εἶναι βασιλέα πρὸς ὑπηκόους δημηγοροῦντα ἀπεφήνατο. ὅσα γὰρ ἂν ἐθέλοι λέγειν καὶ οἷα καὶ ὅτε καὶ ὅπου καὶ πρὸς οἵους καὶ ὅσους, χρείας ἐφεστηκυίας ἡστινοσοῦν, εὐόδως ἅπαντ' ἐξέσται βασιλεῖ μελετᾷν, ἐφ' ὅσον τε καὶ ὅπως ἂν ἐθέλοι, πρὶν ἐφεστηκέναι τὴν χρείαν· τοσαῦτα δ' αὖ τῆς χρείας ἐνστάσης καὶ τοιαῦτα λέξειεν, ὅσα δὴ μεμελέτηκε, κωλύειν μὲν ἥκιστα δυναμένου τῶν ἀκροατῶν οὐδενὸς, ἐπικροτούντων δὲ ἁπάντων τοῖς ὕμνοις ὁμοῦ καὶ οἷον ἁμιλλωμένων σπουδῇ πρὸς ἀλλήλους, ὃς ἂν παρελάσειε ταῖς κολακείαις τοὺς ἄλλους. τηνικαῦτα γὰρ καὶ εὐροώτερός τις αὐτὸς ἑαυτοῦ γίνεται καὶ τοὺς ἀντιλέγειν ἐθέλοντας, εἴ τινές ποτ' ἄρ' εἶεν, ὡς ἀμαθεῖς παρατρέχει· κἂν Σωκράτης ᾖ, κἂν Πλάτων, κἂν Πυθαγόρας, μηδὲν εἶναι τῶν πάντων οὐδὲν, ὅπερ ἂν ἐν Καρὸς εἶναι κωλύσῃ μοίρᾳ τετάχθαι τὸν δυστυχῆ· ὥστ' εἰ μελετῴη τις τῶν τοιούτων πρὸ τῆς πείρας, μάταιά τε καὶ ἄπρακτ' ἂν εἴη μεμελετηκὼς, τοῦ βασιλέως πρὸς ἕτερα τοῦ λόγου τὸν δρόμον ἀνθέλκοντος· καὶ μικρὰ ἢ οὐδὲν ἀπεοικέναι δόξει 2.911 τῷ καθ' ὑδάτων γράφειν πειρωμένῳ, ἢ δικτύῳ θηρεύειν ἀνέμων πνοάς. οὔτε γὰρ ὁ τοῦ λέγειν καιρὸς, ὧν μεμελέτηκεν, αὐτῷ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

παρέξει τὸ καίριον, οὔθ' ἃ μεμελέτηκε λέγειν ἐθέλων μακρὰν ἑστήξει τοῦ ναυαγίου· ἀλλὰ πάσας ἐν ἀκαρεῖ τὰς κακοδαίμονας ἀναμετρήσει τύχας. Διὰ δὴ ταῦτα, καὶ πρός γε διὰ τὸ μὴ τοὺς πανταχόθεν τῆς οἰκουμένης ἐπισκόπους τῶν ὀρθοδόξων παρεῖναι, τῆς ζητήσεως οὔσης περὶ δογμάτων οὐδαμῇ τῇ τοῦ θεοῦ ἐκκλησίᾳ συνήθων, ἥκιστα πρὸς βουλήσεως εἶναι συνέβαινε, παριέναι ἡμᾶς ἐνταυθοῖ· ἀλλ' οἴκοι καθημένους ἡσυχῇ τὸν ἅπαντα διαβιβάζειν βίον· χρεὼν γὰρ εἶναι, πρό γε τῶν ἄλλων ἁπάντων, ἐν τούτοις τὰ πάτρια ἔθη καὶ προνόμια σῶα καὶ ἀκλινῆ καθάπαξ τηρεῖσθαι, ὅπερ γέγραπται καὶ ὅπως πέπρακται· καθὰ καὶ ὁ πολὺς τὴν θεολογίαν φάσκει Γρηγόριος· "1ἡμεῖς καὶ μέχρι τῆς τυχούσης κεραίας καὶ γραμμῆς τοῦ πνεύματος τὴν ἀκρίβειαν ἕλκοντες οὔποτε δεξόμεθα (οὐδὲ γὰρ ὅσιον) οὐδὲ τὰς ἐλαχίστας πράξεις εἰκῆ σπουδασθῆναι τοῖς ἀναγράψασι, καὶ μέχρι τοῦ παρόντος μνήμῃ διασωθῆναι· ἀλλ' ἵν' ἡμεῖς ἔχωμεν ὑπομνήματα καὶ παιδεύματα τῆς τῶν ὁμοίων, εἴ ποτε συμπέσοι καιρὸς, διασκέψεως."2 Ἀλλὰ καὶ ἡ βίβλος τῶν πράξεων τῆς θείας καὶ οἰκουμενικῆς ἕκτης συνόδου, περὶ τῆς βραδυτῆτος τῶν δυτικῶν ἐπισκόπων ἀπολογουμένη, τὴν τῶν ἐκ Βρεττανίας καὶ τῶν Ὠκεανείων ἐκείνων μερῶν, καὶ ὅσοι καθ' ἕτερα τῆς Εὐρώπης ἐκείνων 2.912 κλίματα, συνδρομὴν ἐπισκόπων αἰτίαν τίθησιν· "1ἀναγκαίου τοῖς ἅπασιν ὄντος, ἐξ ὅλης (φησὶ) τῆς κοινότητος, καὶ ἥκιστα μονομέρεως, τὰ τοιαῦτα τελεῖσθαι· ἵνα τὰ τῇ θείᾳ καὶ ἀποστολικῇ πίστει πραττόμενα πάντες γιγνώσκοντες ὁμοφωνῶσιν ἀλλήλοις"2. Καὶ ὁ θειότατος δ' ὁμοίως Μάξιμος ἐν τῇ πρὸς Πύῤῥον διαλέξει μὴ δύνασθαι καλεῖσθαι σύνοδόν φησι τὰ σημεῖα μὴ κεκτημένην· οὔτε γὰρ κατὰ νόμους καὶ κανόνας γενέσθαι συνοδικοὺς καὶ θεσμοὺς ἐκκλησιαστικοὺς, οὔτε ἐπιστολὰς ἢ τοποτηρητὰς πρὸς τῶν ἄλλων πεμφθῆναι πατριαρχῶν· καὶ διὰ τοῦτο σκανδάλων διχονοίας τὴν οἰκουμένην πληρῶσαι. Ὅμως ἐπειδὴ καὶ ἄκουσιν ἐληλυθόσι δέδωκας, ἥντινα δήπου καὶ ἐδεδώκεις, χώραν τοῦ λέγειν, χρεὼν, καθάπερ ἐν ταῖς ἱπποδρομίαις τοὺς δρόμους τε καὶ περιδρόμους καθαίρουσι τῶν ἁμιλλητηρίων ἵππων, ξύλων καὶ λίθων καὶ τῶν τοιούτων ἅπαν δεικνύντες ἐλεύθερον τοὔδαφος, οὕτω καὶ νῦν ἐφ' ἡμῶν ἀρξαμένων λέγειν, ἐπηρείας ἁπάσης ἐλεύθερον εἶναι δεῖν αἰτῶ τῶν λόγων τὸν δίαυλον. ἀγάλματι γὰρ ἐοικέναι τινὶ καὶ τὸν λόγον συμβαίνει· καὶ ὥσπερ ἐκ κεφαλῆς ἐκεῖ τῆς πλάσεως ἀκωλύτου μέχρι ποδῶν ἐληλυθυίας, ὁρᾶται πρὸς τἀκριβὲς τὰ τῆς ἁρμονίας· καὶ θαυμάζεται μὲν, εἰ καλῶς τῷ τεχνίτῃ πέπρακται· εἰ δ' οὖν, αἰσχύνης ἀθλητὴς περιφανῶς ὁ πλάστης καθίσταται· οὕτω κἀνταῦθα τοῦ λόγου μηδενὸς ἐφεδρεύοντος, μηδὲ τὸ συνεχὲς ἀνασοβοῦντος 2.913 ὥσπερ ἐκ λόχου μέχρι τελευτῆς αὐτῆς, ἐξέσται τοῖς παροῦσι κρίνειν ὀρθῶς, εἴτε κατὰ λόγους ἡμῖν ὁ λόγος ἔδραμεν, εἴθ' ὑπερόριος γέγονε τοῦ τῆς ἀληθείας σκοποῦ. Ἔπειτα, εἰ καὶ τοῦθ' ἡμῖν ἐξείη μὴ σιωπῇ παρεληλυθέναι, τὰ τοῖς δικαίοις προσήκοντα βήμασι καὶ δόξωμεν ἀγνοεῖν, ἐπειδὴ σὺ σαυτῷ τὴν τοῦ κρίνειν ἐπιτετραφὼς ἐξουσίαν, ἃ τοῖς ἁπανταχῆ τῆς οἰκουμένης συνιοῦσιν ἐχρῆν τῶν ἐπισκόπων ὀρθοδόξοις, ὀμωμόκεις μὴ καπηλεύειν τὰς δίκας, ἐχρῆν μὴ προειλημμένον γοῦν εἶναί σε τοῖς τοῦ κατηγορουμένου δικτύοις, μηδ' αὐτοῦ σε πρόμαχον ἐκ πρώτης, ὅ φασι, γραμμῆς ἀπαρακαλύπτως καθιστάμενον, λέγειν ὁποῖα τοῦτόν γ' ἐχρῆν· ἀλλὰ τοὺς τὰς κατηγορίας προβαλλομένους πυθόμενον πρότερον, καὶ ἃς ὁ τἀγκλήματα ἔχων αὐτὸς ἀπολογίας καὶ λύσεις ἑκάστοις λέγων ἀντιτίθησιν, ἔπειτα τὴν σὴν ἐπάγειν σε κρίσιν, κατὰ τοὺς ἐν τούτοις κρατήσαντας πάλαι τῆς ἐκκλησίας κανόνας καὶ νόμους. ἀψινθίῳ γὰρ ἐοικέναι τὴν πρόληψιν ἔγωγε λέγω. ὡς γὰρ ἐκεῖνο, τῆς γλώττης ὁπώσποθ' ἁψάμενον, τοσοῦτον ἐσχεῖ τῇ γευστικῇ τὸ τῆς πικρίας δραστήριον, ὡς πολλοῦ τε ἅμα καιροῦ καὶ πολλῶν δεηθῆναι γλυκέων εἰς τὴν πρὶν τοῦ φυσικοῦ καθήκοντος ἀντίληψιν, οὕτω κἀν τοῖς δικασταῖς τὴν πρόληψιν ἴσμεν ὡς τὰ πολλὰ δυναμένην. τῶν γὰρ δικαζομένων ἑνός τινος προειληφότος τοῦ δικαστοῦ τὴν διάνοιαν πιθαναῖς ταῖς προδιηγήσεσιν, οὕτω



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

δευσοποιόν τε καὶ δυσαπό 2.914 νιπτον γίνεσθαι τὸ πάθος ἐκείνῳ συμβαίνειν, ὡς δυοῖν θάτερον γίνεσθαι κινδυνεύειν· ἢ τὸ τῆς ζημίας παράλογον ὑφίστασθαι τὸν ἐπιόντα καὶ κακούργων φεύγειν γραφὴν ἐνίοτε παραλόγως ἠναγκασμένον, ἢ πολλὰς ἀνατλάντα τρικυμίας ἀντιθέσεων καὶ πολλὰς καὶ διαφόρους εἰσενεγκόντα μαρτυρίας ἀξιοπίστων ἀνδρῶν, εἰ τύχοι, ὀψὲ καὶ μάλα μόλις τῆς ἀληθείας ἐπιτυγχάνειν. Εἰ δ' ἅπαξ προειληφότος ἐκεῖ τινος, τοιόνδε συμβαίνει τὸ νόσημα γίνεσθαι, τί ἂν τις φαίη περὶ τοῦ Παλαμᾶ τουτουῒ καὶ τῆς τοῦ θιάσου φρατρίας, ὅλους ἐνιαυσίους χρόνους καὶ ὅλας ἡμέρας μηνῶν καὶ ὅλας ὥρας ἡμερῶν ἰδίᾳ σοι προσομιλούντων καὶ τὰ τοιαῦτα συνιστουργούντων καὶ ὑφαινόντων ἐς τὸ τοῦ σφόδρα ἐπείγεσθαι ἐντελὲς, καὶ μηδὲ νῦν ἐν τοσούτῳ θεάτρῳ τὸ ἔθος ποιεῖν αἰδουμένων, ἀλλ' ἐγειρομένων συχνὰ καὶ λάθρα σοι πρὸς οὓς κοινολογουμένων περὶ τῶν πρὶν κυρωθέντων (οἶμαι) πολλάκις, μὴ λάθῃ τι διαῤῥυὲν τῆς μνήμης ἐπὶ καιροῦ νῦν, ὅτε μάλιστα ῥώμην ἐκείνοις πλείω χαρίζεσθαι δεῖ; τί τοίνυν ἄν τις ἡμῶν εἴποι πρῶτον; τί δ' ἄν τις ὕστατον, ἐς τὸ πάνυ βραχύτατον περιϊσταμένης τῆς ὥρας, ἐν οὕτω δημοσίῳ σταδίῳ, πάσης ὑφαιρουμένης συνδιασκέψεως, ἐνταῦθα μᾶλλον, εἴπερ που, τὴν χρείαν ἐχούσης; προσκείσθω δ' οὖν καὶ τουτὶ τοῖς ἄνω λεχθεῖσι, δι' ἃ δηλαδὴ τὸν ἄκαιρον ἀγῶνα τοῦτον ἥκιστα πάντων ἡμῖν πρὸς βουλήσεως ἦν εἰσιέναι. Ἐπὶ τούτοις ἔστω καὶ τὸ τῶν κα 2.915 νόνων καὶ νόμων δίκαιον, οἷς ὑπείκειν δέον δουλείας θ' ἅμα καὶ δεσποτείας ἁπάσας, ἐν ἠπείρῳ πάσῃ καὶ θαλάσσῃ, τὸ ἀντίστροφον ἐνταῦθα καὶ δρῶντα καὶ δημηγοροῦντα σαφῶς ἠκηκόειμέν σε· καὶ ἔγνωμεν τοῦτ' ἐκεῖνο, τὴν Λεσβίαν οἰκοδομὴν, ἣ τοῖς λίθοις τὴν τοῦ κανόνος προσάγουσα στάθμην, καὶ οὐκ ἐκείνῳ τοὺς λίθους, πάνυ σαθρὰς τοῖς χρωμένοις καὶ ἀβεβαίους παρεῖχε τὰς τοῦ μένειν ἐλπίδας ἄχρι καὶ ἐς τὴν ἐπιοῦσαν ἀκλόνητον. καὶ μαρτυροῦσι τῷ λόγῳ πᾶσαι πόλεις καὶ πολιτεῖαι, ὅσαι τε τοῖς παλαιοτέροις κανόσι καὶ νόμοις ἁρμοττόμεναι διηνεκὲς καρποῦνται τὸ εὔδαιμον καὶ ὅσαι τῆς ἀνομίας ἐξορχουμένης αὐτῶν διηνεκέσι καὶ ταχείαις φθείρονται μεταβολαῖς. Ἔπειτα καὶ μὴ μεταίρειν ὅρια πατέρων δόγματα καὶ τοῦθ' ἱδρύειν τῆς τοῦ θεοῦ ἐκκλησίας. μηδὲ γὰρ εἶναι σφᾶς τοὺς εἰρηκότας μᾶλλον ἢ τὸ πνεῦμα τὸ ἅγιον. δῆλον δὲ ἐκ τῶν καθ' ἕκαστον ἂν εἴη τοῦτό γε μάλιστα. Τῶν γάρ τοι προφητῶν λεγόντων ἔστιν εὐθὺς ἀκούειν, οὐχ ὅτι "1τὰ καὶ τὰ φαμὲν ἡμεῖς"2· ἀλλὰ "1τάδε λέγει κύριος· καὶ τὰ καὶ τὰ προστάττει τὸ πνεῦμα τὸ ἅγιον."2 εἶτ' ἐλθὼν ὁ γεννηθεὶς ἐκ παρθένου θεὸς λόγος "1ἐγὼ (φησὶ) ἀπ' ἐμαυτοῦ λαλῶ οὐδὲν, ἀλλ' ὅσα πρὸς τοῦ πατρὸς ἠκηκόειν"2· διδάσκων ἡμᾶς οὑτωσὶ, μὴ τοῖς ἑαυτῶν, ἀλλὰ τοῖς τῶν πατρίων κανόνων ἕπεσθαι δόγμασί τε καὶ ὅροις. καὶ ἀρξάμενος οὐκ ἀφ' ἑαυτοῦ, ἀλλ' ἀπὸ Μωσέως καὶ πάντων τῶν προφητῶν, διηρμήνευεν αὐ 2.916 τοῖς τὰ περὶ ἑαυτοῦ. καὶ τῷ διαβόλῳ πάλιν, τοὺς λίθους ἄρτους ποιεῖν ἀναγκάζοντι καὶ τὰς τῆς γῆς ὑπισχνουμένῳ χαρίζεσθαι βασιλείας, οὐκ εἶπεν ὁ θεὸς, "1ὕπαγε ὀπίσω μου, Σατανᾶ"2· ἀλλὰ τὰς τῶν πατέρων προβάλλεται ῥήσεις, "1γέγραπται,"2 λέγων, "1οὐκ ἐπ' ἄρτῳ μόνῳ ζήσεται ἄνθρωπος"2· καὶ δὶς καὶ τρὶς τὸ "1γέγραπται"2 τίθησι πρὸς ἀκριβῆ νουθεσίαν ἡμῶν, τοῖς τῶν πατρίων ὅρων κανόσιν ἕπεσθαι διὰ πάντων ἄντικρυς παραγγέλλων. καὶ περὶ τοῦ θείου δὲ ἐπαγγειλάμενος πνεύματος "1ἐλθὼν (φησὶ) ὁ παράκλητος ἀφ' ἑαυτοῦ λαλήσει οὐδὲν, ἀλλ' ὅσα ἂν ἀκούσῃ."2 εἶτ' ἐλθὼν ὁ θεῖος ἀπόστολος Παῦλος "1ἐγὼ παρέδωκα (φησὶ) τῶν ἐμῶν οὐδὲν ὑμῖν, ἀδελφοὶ, ἀλλ' ὃ καὶ παρέλαβον ἀπὸ τοῦ Ἰησοῦ."2 καὶ πάλιν Τιμοθέῳ γράφων "1σὺ δὲ μένε (φησὶν) ἐν οἷς ἔμαθες καὶ ἐπιστώθης· τὰς δὲ βεβήλους καινοφωνίας παραιτοῦ."2 καὶ πάλιν· "1εἴ τις ὑμῖν εὐαγγελίζεται (φησὶ Κολοσσαεῦσι) παρ' ὃ παρελάβετε, ἀνάθεμα ἔστω, καὶ ἂν ἄγγελος ἐξ οὐρανοῦ τις ᾖ, κἂν ἐγὼ Παῦλος."2 ὅρα ὁπόσην ἔχει τὴν ἰσχὺν τὰ τῶν πατρίων κανόνων ὅρια καὶ ὅσοις τισὶ τοῖς κλείθροις καὶ μοχλοῖς τοὺς ἀεὶ διαδόχους ἀσφαλίζεσθαι διαγέγονεν. εἶτ' ἐλθόντες τῆς εὐσεβείας ἀθληταὶ καλῶς ἐπὶ τῷ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

θεμελίῳ τῶν ἀποστόλων καὶ προφητῶν τοὺς ἑαυτῶν ᾠκοδόμησαν ἀγῶνας καὶ τὰ μαρτυρικὰ παλαίσματα. Σὺ δ' εἰ μὴ καὶ τὴν τῶν κανόνων δουλώσαις ἐλευθερίαν, νόμος αὐτοῖς ἐκείνοις γινόμενος, ἀνίσχυρον λείπεσθαί σοι φάσκεις τὴν βασιλείαν, καὶ μηδὲν ἐνεῖναι ταύτῃ σεμνόν. εἰ γὰρ ἅπερ ἄλληλα 2.917 πέφυκε συνιστᾷν, ταῦτ' ἀλλήλων φαῖμεν εἶναι φθαρτικὰ, οὐδὲν ἔτι τούτων λελείψεται τῆς οἰκείας οὐκ ἐξιστάμενον φύσεως· καὶ τοῖς τοῦτο συγχωροῦσιν ἄνω ποταμῶν συμβήσεται χωρεῖν τὰς πηγάς. οὐ γὰρ ᾧ τῶν πατρίων κανόνων καὶ γνωμῶν ἄρχειν βούλεταί τις, τὸ σεμνὸν τῇ βασιλείᾳ περιποιεῖ· ἀλλ' ᾧ τοῖς πατρίοις κανόσι καὶ νόμοις ὑπείκειν ἐθέλει· οὐχ ἕως ἂν σωφρονεῖν τις ἐθέλοι, ἄλλως ἔχειν συγχωρεῖν οὐδαμῇ ποθ' ἕλοιτ' ἂν οὐδενί. οὐδὲ γὰρ ἐκεῖνοι τὴν ἰσχὺν καὶ τὸ κόσμιον ἀφαιροῦσι τὴν βασιλείαν, ἀλλ' ἐκεῖνοι τοῦτ' αὐτῇ βεβαιοῦσιν. εἰ γὰρ οὗτοι πολιτειῶν καὶ ἀρχῶν εὐνομεῖν βουλομένων κατάλυσις, σχολῇ γ' ἂν ἄλλο τι τῶν πάντων γένοιτο σύστασις. Ἔπειτα καὶ τῶν ἄλλων ἁπάντων ἐξαιρουμένων, ἅ τ' ἔφθημεν εἰρηκότες καὶ ἃ προϊοῦσιν εἰρήσεται, τίς ἂν τοιούτῳ δικαστηρίῳ πιστεύσειεν, ἔνθα κατὰ ταὐτὸν ὅρκοι τε ἅμα καὶ ὅρκων κατάλυσις γίνεται τῶν αὐτῶν, παραπλήσιον ὥσπερ ἂν εἴ τις, τῇ ἀριστερᾷ τὴν δεξιὰν ἀποκόπτων χεῖρα, σώζειν μᾶλλον ἔλεγεν αὐτὴν οὑτωσί. Καὶ μὴν εἰδέναι σε οἶμαι καὶ τοῦτο, καὶ διὰ μνήμης ἔχειν ἔτι χλοαζούσης, πολλὰ πολλάκις πρὸς σέ μου φαμένου, μὴ σὲ τὸν ἰατρεύσοντ' εἶναι τὰ τῆς ἐκκλησίας τοιαῦτα νοσήματα. πῶς γὰρ, τὸν τούτων αἴτιον ἀεὶ γιγνόμενον; ἀλλὰ μήπω τοῦτο· ἀλλ' ἀναλαβὼν τὴν ἀρχὴν ἐφεξῆς ἀκριβέστερον τῶν παρόντων ἕνεκα διηγήσομαι· ἵν' εὐπαρακολούθητος ἅπασιν ἡ διήγησις γένοιτο, σημειουμένοις ἕκαστα πρός γε τοὺς καθήκοντας τόπους."2 (Γ.) Ὁ δὲ βασιλεὺς ἐχαλέπαινε καὶ διῴδει θυμούμενος ἐφ' ἑαυτοῦ, καὶ συ 2.918 χνὰ στρεφόμενος ἐπὶ τοῦ βασιλικοῦ θρόνου, καὶ τοὺς πόδας ἀμοιβαδὸν νῦν μὲν ἐφαπλῶν, νῦν δὲ συναιρῶν καὶ συνάπτων. ἔστι δ' οὗ καὶ σιγᾷν ἐκέλευέ με, ἐνιαχοῦ τὴν ἡμέραν ἡμᾶς ἐπιλιμπάνουσαν προβαλλόμενος, μετά γε μὴν τῆς συνήθως ἐπιπολαζούσης τῷ ἤθει πρᾳότητος. ἔφθη γὰρ δημοσίᾳ προκαταληφθεὶς ταῖς τῶν ἐμῶν προκαταστάσεσι λόγων, μήτ' αὐτὸν, μήτ' ἄλλον τῶν πάντων οὐδένα, τοῖς ἐμοῖς ἐμποδὼν καταστῆναι λόγοις ἐᾶσαι. συνεκρότει δ' αὐτῷ τὴν πρᾳότητα καὶ χορὸς οἰκείων τὰ μάλιστα, περὶ αὐτόν τε ἱστάμενος καὶ λαθραίοις μὲν θυμοῖς ῥηματίσκιά τινα πέμποντες καθ' ἡμῶν ἐνιαχοῦ καὶ σποράδην, αὐτοῦ δ' ἀνυμνοῦντες προφανῶς τὸ μακρόθυμον. (Δ.) "1Ἐπεὶ γὰρ ὁ Παλαμᾶς ἀεὶ τὸν Καλαβρὸν αἴτιον τῆς αὐτοῦ βλασφημίας εἶναι προβάλλεται Βαρλαὰμ καὶ σὲ τοῦτο πέπεικε λέγειν ἤδη, ἄκουε δή. φημὶ γὰρ, ὡς καθάπερ Γρηγορίῳ τῷ θεολόγῳ τοὺς Ἀρειανοὺς κατατρέχοντι, τὸν υἱὸν ὅμοιον ἁπλῶς τῷ πατρὶ λέγοντας εἶναι, καὶ ἅμα προστιθέντας πανούργως καὶ τὸ κατὰ τὰς γραφὰς λέγειν, τουτὶ τὸ κατὰ τὰς γραφὰς ὅμοιον φησὶ δέλεαρ τοῖς ἁπλουστέροις εἶναι, τῷ χαλκῷ τῆς ἀσεβείας περικείμενον· οὕτω καὶ Παλαμᾷ τουτωῒ δέλεαρ κατὰ τῶν ἁπλουστέρων εὕρηται τοὔνομα Βαρλαὰμ, μισουμένου διὰ τὴν τῶν Λατίνων θρησκείαν τῷ Ῥωμαίων δήμῳ παντὶ, ὅσοι πεῖραν ἔσχον αὐτοῦ. Εἶχε γὰρ τήνδε τὴν νόσον αὐτὸς καὶ πρὶν Βυζαντίοις ἐπιδεδημηκέναι τὸν Βαρλαὰμ, καὶ ὁρᾷν ἐπ' ἐμοῦ τε καὶ πλείστων ἄλλων διετείνετο 2.919 τήν γε τοῦ θεοῦ σωματικοῖς ὀφθαλμοῖς οὐσίαν· οὐ μόνον δ' αὐτὸς, ἀλλὰ καὶ ὁ τούτου διδάσκαλος καὶ ὁμώνυμος Γρηγόριος ὁ Δριμύς. καὶ πολλὰς ἐπήγαγον αὐτοῖς ἐγὼ τὰς λοιδορίας, ἐκ τῶν θείων γραφῶν καταισχύνας τὴν ἄκαιρον καὶ ἀπαίδευτον γλῶτταν αὐτῶν, ὅσον ὁ τότε παρεῖχε καιρός. καὶ τοῦτο δῆλον πέπραχα σοφοῖς ἀνδράσιν ἐγὼ, τῷ τε μεγάλῳ φημὶ λογοθέτῃ καὶ ὅσοι μετὰ τῆς σοφίας καὶ ἀρχιερωσύνῃ τὴν ἑαυτῶν ἐκόσμησαν ἀρετήν. οἷς καὶ φρικῶδες εὐθὺς ἀκούσασι γέγονε, καὶ Μασσαλιανῶν ἐκάλεσαν αἵρεσιν ταυτηνὶ, κἀμὲ τῶν τοιούτων ἀπέχεσθαι παρῄνεσαν ὁμιλιῶν προθέσεσιν ὅλαις ψυχῆς· εἶναι γὰρ παλαιάν τινα φήμην, ὡς μέλλον κατὰ τῆς τοῦ θεοῦ ἐκκλησίας ἔσεσθαί τινα μάλα μεγίστην αἵρεσιν, κἀκ πασῶν συμμιγῆ καὶ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ποικίλην, ἣν διορθωθήσεσθαι παγκοσμίου μικροῦ συναχθείσης συνόδου, πάντων σχεδὸν συνιόντων ἐπισκόπων ἅμα καὶ πατριαρχῶν· καὶ ταύτην ὀγδόην τε εἶναι καὶ τελευταίαν ὁμοῦ. Τοῦ δὲ χρόνου ῥέοντος, ἐπιμῖξαι καὶ Βαρλαὰμ ἐγεγόνει Ῥωμαίοις, Καλαβρίας τῆς αὐτοῦ γενόμενον μετανάστην πατρίδος, καὶ γνωστὸν ἐνταῦθα γενέσθαι τοῖς ἄρχουσι, καὶ φιλίας οὐ πάνυ μικρᾶς πρὸς αὐτῶν ἠξιῶσθαι διὰ τὸ περιὸν τῆς σοφίας· καὶ σοὶ μάλιστα πάντων καὶ πρὸ πάντων γενέσθαι δεκτὸν, ἅτε φιλολογεῖν ἐξ ἀρχῆς αἱρουμένῳ, καὶ βίβλους πολλὰς καὶ παντοίας κτᾶσθαι φιλοτιμουμένῳ, καὶ λέγειν τι καὶ ἀκούειν καινότερον ἐν σπουδῇ τιθεμένῳ μεγίστῃ. Μετὰ δέ τινα χρόνον φήμη μακρὰ καὶ συνεχὴς, 2.920 διαθέουσα τὰς τῶν πολλῶν ἀκοὰς, ὀψὲ καὶ ὡς ἡμᾶς ἀφίκετο, δηλοῦσα τὸν Βαρλαὰμ, ἐν Θεσσαλονίκῃ λόγοις τισὶν ἐντυχόντα τοῦ Παλαμᾶ, ἐπιλαβέσθαι διαῤῥήδην γράφοντος αὐτοῦ καὶ λέγοντος, σωματικοῖς ὀφθαλμοῖς ὁρᾷν τοῦ θεοῦ τὴν οὐσίαν. ἴσασιν ἅπαντες πάντως μαρτυροῦντα τοῦτ' αὐτὸ καὶ ὃν ὁ Παλαμᾶς εἰς δικαίωσιν ἑαυτοῦ προβάλλεται τόμον. Τοσούτων τοίνυν ἐλέγχων οὑτωσὶ πρὸ ποδῶν ἱσταμένων ἐκ τοῦ προφανοῦς, καὶ πρὶν φανῆναι Βαρλαὰμ ἐν ὅροις Ἑλληνικοῖς δεικνύντων ἔχειν τὴν νόσον ἐνταῦθα τὸν Παλαμᾶν, τίς ὄνησις ἀληθὴς ταῖς τοῦ Παλαμᾶ περιέσται κατηγορίαις, ἐπὶ σαθρῷ θεμελίῳ συχνὰ καταφεύγειν, τοὔνομα λέγω τοῦ Βαρλαάμ; πάντως διὰ τὸ τῆς θρησκείας μισηθῆναι καὶ διωχθῆναι τὸν ἄνθρωπον, ἐλπίσας ἔσεσθαί τι καὶ τοῦτο βοήθημα καθ' ἡμῶν, συνδιαβληθησομένων ἐκείνῳ. εὐπροσώπου γὰρ ἡ κακία προφάσεως εὐπορήσασα ῥᾳδίως ἐπὶ τὸ ψεύδεσθαί τε καὶ διαβάλλειν καὶ πραγμάτων χειμῶνας ἐγείρειν χωρεῖ. Οἶμαι γὰρ ὡς εἰ πάνυ πολὺν ἐσκόπει χρόνον, πῶς ἂν ἐπαινέσειε μὲν τὸν οἰκεῖον ἐχθρὸν Βαρλαὰμ ὁ σεμνὸς οὑτοσὶ Παλαμᾶς, ἑαυτοῦ δ' οὑτωσὶ φανερῶς τοὺς ἐλέγχους δείξειε τῆς δυσσεβείας ἄφυκτον ἔχειν καὶ ἄμαχον τὴν ἰσχὺν, οὐκ ἂν βελτίω τε καὶ καθαρωτέραν ταύτης εἰληφέναι ποτὲ πρόφασιν. τὸ γὰρ πλεῖστα καμόντα ἀρχὴν εὐπρεπῆ ταῖς ἀπολογίαις τῶν κατ' αὐτοῦ λεγομένων προθεῖναι, ἔπειτα μὴ δυνηθέντα, σαθρῷ ἐξ ἀνάγκης ἐρείδεσθαι ψεύδει, ποῦ οὐκ ἂν ἀτόπου γλώττης ἤλασεν, 2.921 ἢ τίνος ἂν ἐφείσατο λοιδορίας κατὰ τῶν διωκόντων, εἰ σκιᾷ γοῦν τινι περιετύγχανεν ἀληθείας. οὐ γὰρ ὁ Βαρλαὰμ ἦν, ὡς ἐκ τῶν τοῦ Παλαμᾶ φαίνεται λόγων καὶ βίβλων, ὃς εἰσενεγκεῖν τῇ τοῦ θεοῦ ἐκκλησίᾳ δοκεῖ τήν τε τῶν Μασσαλιανῶν δυσσεβῆ ταύτην αἵρεσιν καὶ ἅμα τὸ τῆς διθεΐας καὶ πολυθεΐας ἔγκλημα· ἀλλ' ὁ Βαρλαὰμ ἦν μᾶλλον ὁ τοῦτον εἰσάγοντα δείξας. Ἀκούσας γὰρ (φησὶν) ὁ Βαρλαὰμ τῶν περὶ τὸν Παλαμᾶν λεγόντων τὰ καὶ τὰ, διθεΐας ἔγκλημα τουτοισὶ προσετρίψατο. ὁρᾷς ἐναργῆ τὴν μαρτυρίαν αὐτὸν καθ' αὑτοῦ κομίζοντα, βέλτιον ἢ κατὰ πάντ' ἐχθρὸν καὶ πολέμιον. πρῶτον μὲν γὰρ αὐτοῦ κατηγορηκέναι τὸν Βαρλαὰμ, σωματικοῖς ὀφθαλμοῖς τοῦ θεοῦ τὴν οὐσίαν ὁρᾷν ἐγκαυχωμένου, φησὶ, τοῦτο δὴ τὸ τῶν Μασσαλιανῶν· εἶτα τὸ ἄφυκτον τῆς κατηγορίας ἐκφεύγειν πειρωμένῳ, καὶ διαιρέσει τῆς μιᾶς τρισυποστάτου χρωμένῳ θεότητος εἰς οὐσίαν καὶ χάριν, ἑτεροφυᾶ μὲν, ἄκτιστον δὲ καὶ αὐτὴν, διθεΐας ἔγκλημα προστρίψασθαι. Καὶ τό γε μεῖζον, ὅτι τὰς τοιαύτας αὖθις αὐτὸς ἐκ διαδοχῆς κατηγορίας ἀναλύειν πειρώμενος ἐκ τοῦ πονηροῦ θησαυροῦ τῆς καρδίας αὐτοῦ ἐς τὸ πολλαπλάσιον ἐμφανίζει γράφων τὴν αὐτοῦ κακίαν, καὶ τοῖς οἰκείοις ἀεὶ πτεροῖς ἁλισκόμενος, ὥσπερ σειρᾶς τινος μιᾶς ἀρξαμένης ἐκεῖθεν καὶ ἀλλήλαις ἐξηρτημένας τὰς βλασφημίας ἐχούσης, μείζους καὶ χείρους ἀλλήλων ἀεί. Τὸ γὰρ ὄνομά τινος ἐνεργείας καθ' αὑτὸ προστησάμενον, οἱονεί τι γένος εἰς ἀπειράκις ἀπείρους διαιρεῖν ἀκτίστους θεότη 2.922 τας, πῶς μὲν ἰδίᾳ καὶ καθ' αὑτὰς ἁπάσας ὑφισταμένας, πῶς δ' ἀνυποστάτους, ποίας ἀτοπίας ἐκπέφευγεν ὑπερβολήν; οὕτω σαθρὸν ἡ τοῦ ψεύδους κακία, καὶ στῆναι μὴ δυναμένη διηνεκῶς ἑαυτῇ περιπίπτει. Τὰ δὲ τοιαῦτα τῆς ἐκκλησίας ναυάγια φεύγοντας ἡμᾶς, γαλήνῃ συνεζηκότας βίου μακρᾷ, μάλα ἄκοντας ἐπὶ θέατρα καὶ δικαστήριον καθέλκεις, καὶ ὡς δή τινας τῶν κακούργων



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐπιτιμᾷς· οὐ μικρά· πλείω δ' ἀπειλεῖς, καὶ συνελαύνεις πανταχόθεν συνιέναι μὲν τῶν δεόντων οὐδὲν, ἀπροφάσιστον δ' ὡς ἐπὶ πᾶν εἰπεῖν τὴν πειθῶ τῇ τοῦ Παλαμᾶ πολυθεΐᾳ θύοντας ἐναγίζειν. ποία ταῦτα δέξαιτ' ἂν ἀκούειν ψυχὴ, θεὸν ἕνα προσκυνεῖν εἰδυῖα, καὶ ταύτῃ συντραφεῖσα τῇ δόξῃ περιφανῶς; εἰς τοσαύτην γὰρ ἡμᾶς συνελαύνει δυσχωρίαν καὶ οὕτω δυσδιεξόδευτον τὸ τῆς σῆς δημηγορίας ἀκροτελεύτιον, ὡς ἀφύκτοις ἅμμασιν ἐνδεσμεῖσθαι νομίζειν μᾶλλον ἡμᾶς σιωπᾷν, ἢ τὸν ἐπὶ μέσης ἵστασθαι λίμνης μυθευόμενον ἐκεῖνον Τάνταλον· ὃν ἀϊδίῳ μὲν τῇ δίψῃ φλέγεσθαι λόγος, φοβεῖσθαι δ' ἀεὶ τὸν ἀφόρητον φόρτον ἐκεῖνον τοῦ λίθου, καὶ πίνειν κύψαντα μὴ δυνάμενον. τοῦτο δ' οὐ δικαστοῦ παρίστησιν ἦθος, ἀλλ' ὄψιν ἔχει πικρῶς ἐφεδρεύοντος καὶ τὰ ξίφη τῆς ἐπιβουλῆς θήγοντος καθ' ἡμῶν. Ὅμως οὐχ ἡμῖν γε τοσοῦτον μέλει τοῦ Βαρλαὰμ, ὅσον σοί γε χρεών· ὃς ἔπηλυν ὄντα τοσαύτην εἰς αὐτὸν ἐνεδείξω ξενίαν, καὶ οὕτω λαμπρὰν τὴν δαψίλειαν αὐτῷ κατὰ πάντ' ἐχαρίσω, ὡς 2.923 ἑτέρου μὴ δεῖσθαί σε μάρτυρος ἢ σαυτοῦ. ὥστ' οὐκ ἐμοί σε χρεὼν ἐγκαλεῖν δι' ἐκεῖνον καὶ τὴν ἐκείνου συνεχῶς προφέρειν αἰτίαν μᾶλλον ἢ σαυτῷ. οὐ γὰρ ἔγωγ' ἂν αὐτὸς ὁ ταῖς ὑπεροχαῖς εἰμι τῶν τιμῶν εἰς ἀγέρωχον ἐκεῖνον ἐγείρας ὀφρὺν καὶ μετέωρον φρόνημα· οὐδ' ἔγωγ' αὐτὸς ὁ μεγαλοῤῥήμονά σοι διδάσκαλον, καὶ διὰ σοῦ τοῖς ἄλλοις αὐτὸν τοῦ θείου Διονυσίου χειροτονήσας, καὶ ἅμα διαπρύσιον ἑρμηνέα τῶν μυστικῶν τῆς ἐκκλησίας δογμάτων, καὶ ὅσα τῆς καθ' ἡμᾶς θεολογίας εἰσὶ μυστήρια καὶ δι' αὐτά γε ταῦτα καὶ τὰ τοιαῦτα, τὴν πάτριον γῆν ἐν δευτέρῳ θεῖναι τῆς ἀλλοδαπῆς ταυτησὶ αὐτὸν ἀναγκάσας· οὐδ' ἔγωγ' αὐτὸς ὁ καὶ κατὰ πάσης ἄλλης Ῥωμαίων σοφίας ἐντεῦθεν αὐτὸν μανῆναι πεπεικώς· ἀλλ' ἔγωγ' αὐτὸς ὁ τὰς κέδρους εἰμὶ τῆς ὀφρύος ἐκείνου συντρίψας περιφανῶς, καθάπερ ὅτε δρῦν καὶ κέδρον καὶ κυπάριττον ἀπογυμνοῖ τῆς κόμης ὑλοτόμου βρίθουσα παλάμη· ἔγωγ' αὐτὸς ἐκεῖνός εἰμι ὁ τότε συστείλας καὶ ἀναχαιτίσας ἐκεῖνον, ἔν τε γαλήνῃ καρδίας καὶ ἅμα τῇ τῆς ἀσφαλοῦς ἐπιστήμης ἐπιεικείᾳ, καθάπερ παράλιος ψάμμος ἀγριουμένην θάλασσαν· ἥτις ὁπόταν ὑβριστὴς καὶ ἀγέρωχος ἄνεμος, ἄνωθέν ποθεν ἐξ ἀρκτικῶν καταῤῥεύσας πηγῶν, αὐτῆς ἀναμοχλεύει τὰ κύματα, διεγείρεταί τε πρὸς ἀνήκεστον θράσος καὶ ἀπειλεῖ κατὰ τῆς ἠπείρου πόλεμον περιφανῆ· ἀλλ' ἐπειδὰν ἀκούσῃ τῆς φωνῆς τῆς παραλίου ψάμμου, χείλεσιν ἀφθόγγοις ἀναγινωσκούσης τοὺς κανόνας τοῦ κτίσαντος, εὐθὺς ἀναχωρεῖ, προφανῆ δειλιῶσα θεοῦ προστάγματα καὶ ἀναχαιτίζουσα παύει θρασυνόμενον ῥόθιον. πῶς οὖν ἄν τις τῷ τοιούτῳ στέρξειεν, 2.924 ὅστις τὸν αὐτὸν ἐπὶ τοῖς αὐτοῖς νῦν μὲν ἐπαινεῖ, νῦν δὲ ψέγει; ὃν γὰρ εἰς αἰθέρα φάναι ἀνῆγες τέως, ὡς ἐν θεολογίαις κράτιστον, μηδὲν εἰδότα δεικνύεις ἀρτίως. πῶς δ' ἄν τις ἐμοὶ νεμεσῴη, ἐκεῖνον καὶ τότε καὶ νῦν ἐπὶ τοῖς αὐτοῖς ἐπίσης λοιδοροῦντι, ἐφ' οἷς ἡμῖν δηλαδὴ πεπολέμηκε; λέγω δὴ τῷ περὶ Ἕλληνα λόγον καὶ τὴν θύραθεν παιδείαν χωλεύειν τὸν ἄνδρα τὰ κράτιστα. καὶ σοὶ μὲν γέγονε ὁ φίλος ζῶν, ἐχθρὸς τεθνηκὼς, καὶ ὁ τελέως τότε χρηστὸς πᾶν τοὐναντίον ἄρτι ὤν· ἐμοὶ δ' ὥσπερ τότε ἐχθρὸς, οὕτως οὐκ ἄρτι ὢν φίλος. ὥστε σὺ μὲν ἀρτίως ἐκεῖνον λοιδορῶν φίλον λοιδορεῖς· ἐγὼ δὲ τῆς ἐμῆς καὶ νῦν φιλίας τιθέμενος ὑπερόριον πρὸς τὸν οὐδαμῇ ποτε φίλον τοῦτο φαίνομαι δρῶν. ὃς οὖν ἐν πᾶσι τοὺς τῆς θεωρίας καὶ τῆς τῶν πραγμάτων πείρας θεμελίους ἀσαλεύτους ὁμοίως τηρεῖ, τοῦτον ἄρα πᾶς τις οἶμαι κρίνειεν ἂν λέγειν ὀρθῶς, κἀν τοῖς γε ἄλλοις ἅπασι, καὶ οἷς συντέθραπται δόγμασι τῆς πίστεως, βεβηκέναι καλῶς. Ἔπειτα πῶς τῆς ἐκείνου κρίσεως αὔταρκες πέρας τότ' εἰληφυίας, νῦν ἀνακρίνειν βιάζῃ, πλείοσιν ἄλλαις ἡμῖν βλασφημίαις ἁλισκομένου τοῦ Παλαμᾶ, ἃς ὁσημέραι γράφων ἐκεῖθεν προστίθησί τε καὶ ἐπιδείκνυται. οὐ γὰρ ἴσμεν ὄντος ἐκείνου νεκροῦ πυνθάνεσθαι ἅ τε ἔφασκε τότε καὶ ἃ νῦν. εἰ δ' ἀναγκαῖον ὑμῖν ἐστι τοῦτο, ἔστι παρ' Ἕλλησί τις σοφιστὴς νεκρικοὺς διαλόγους ποιούμενος. ἐκεῖνος, εἰ βούλεσθε, κομιεῖ τὰ ἐκείνου λεχθέντα τε καὶ λεγόμενα πάνυ καλῶς. ἡμῖν γὰρ ἀδύνατον σφό 2.925 δρα τουτί."2 (Ε.) Τοῦ μέντοι



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Παλαμᾶ παραφθεγξαμένου τι πρὸς ὀργὴν διὰ τὰς εἰρωνείας, εἰχόμην ἐγὼ τῶν ἑξῆς, οὐδὲ μικρὰ γοῦν παραβομβοῦντος ἐκείνου πεφροντικώς. "1Φαίη δ' ἄν τις ἴσως τἀληθοῦς φροντιστὴς παρελθών, μηδαμῇ τὸν Παλαμᾶν ἀπαλλάττειν εἰκότως τῶν ἐγκλημάτων, εἰ Λατῖνος ὢν ἐκεῖνος οὐκ ὤκνησε παῤῥησίᾳ τῆς ἀσεβείας ἐλέγχους αὐτῷ παριστᾷν. Οὐ γὰρ ὅτι Λατῖνοι, τοῦ γένους ἀφιστάμεθα· ἀλλ' ἐνίων χάριν ἐγκλημάτων· ὧν ἐν μέρει κειμένων, τἄλλα πάνθ' ἥκιστ' ἂν εἶεν ἡμῖν ἀκοινώνητοι. ἦ γὰρ ἂν καὶ τὴν ἔνσαρκον αὐτῶν δογματιζόντων οἰκονομίαν καὶ θάνατον καὶ ταφὴν καὶ ἀνάστασιν πρός γε τοῖς ἄλλοις τοῦ θεοῦ καὶ σωτῆρος ἡμῶν, ἡμῖν γε δήπου διὰ τὸ Λατίνους εἶναι ὁμολογεῖν οὐκ ἐξείη. ἄπαγε. οὐδὲ γὰρ οὐδὲ Σισίνιον τὸν Ναυατιανὸν ἡ πρώτη παρεκρούσατο σύνοδος διὰ τὴν θρησκείαν, ἀλλὰ καὶ κράτιστον ἔσχεν ἐπίκουρον κατὰ τῆς Ἀρείου μανίας. καὶ Ὠριγένην δ' ἀποσειόμενοι τῶν γε βίβλων τὰς πλείστους ἥκιστ' ἀποσειόμεθ' αὐτοῦ. μάρτυρες τῶν λεγομένων μάλα τοι ἀψευδεῖς αἱ κατὰ Κέλσου τοῦ καταράτου μάχαι καὶ ἀντιῤῥήσεις καὶ τἄλλ' ὁπόσα τοῖς θείοις πατράσι φιλοπονήσασι προσείληπται βιβλία ἐκείνου τῶν τῆς θείας γραφῆς ἐξηγητικῶν. καὶ ἵνα σιωπήσω τὰ πλεῖστα, τὴν ἁγίαν τετάρτην καὶ οἰκουμενικὴν παραινοῦσαν εὑρίσκομεν σύνοδον, καὶ ὁμοίως τὴν ἕκτην, μὴ πάνθ' ὅσα φάσκειν ἐγγίνεται τοῖς αἱρετικοῖς φεύγειν ἡμᾶς εἶναι χρεών. εἰ γὰρ ἕνα θεὸν ὁμολογούντων ἐκείνων ποιητὴν ἁπάντων ἡμεῖς 2.926 ἀποσχοίμεθα, τάχιστ' ἂν τὴν τοῦ πυρὸς ἐφ' ἑαυτοὺς ἑκόντες ἑλκύσαιμεν γέενναν. οὗ τί τῶν ἁπάντων χείριστον; καὶ τῶν ἀργύρου δὲ καὶ τοῦ χρυσοῦ μεταλλευτῶν οὐχ ὁμιλητῶν ἡγεμόσι καθισταμένων, διὰ τὸ πάνυ τοι ἀγροικίζεσθαι, τοὖργον περὶ πλείστου τούτοις καθίσταται. καὶ ἁλουργίδες δ' ἔτι καὶ πορφύραι χρήσιμοι τοῖς βασιλεῦσίν εἰσιν· ἀλλ' οὐδὲ μικρᾶς γοῦν τινος οἱ δρῶντες θέας ἐκείνων ἴσως τυγχάνουσιν οὗτοι, ἀλλ' ἐνίοτε καὶ μισοῦνται διὰ τὸ τῆς ἐκεῖθεν ἀηδίας ἀπόζειν. οὔκουν οὔτ' ἐκεῖνον ἄρα τῆς ἀληθοῦς ἀπάγει κατηγορίας τὰ τῆς θρησκείας, οὔτε τῷ Παλαμᾷ βοηθεῖ, οὐχ ἕως ἂν ἁλίσκοιτο τούτοις προφανῶς τοῖς ἐγκλήμασιν. Ἐκεῖνό γε μὴν ἐροίμην ἂν ἡδέως σε, πῶς τῶν Ἰωάννῃ τῷ πατριάρχῃ γραφέντων, περί τε τῶν τοῦ Παλαμᾶ καὶ Βαρλαὰμ καὶ τῆς ἐκκλησίας θορύβων, τὰ μὲν ἀρεστά σοι γίνεται, τὰ δ' οὔ, πρός γε τὸ τῷ Παλαμᾷ βουλόμενον ἀνθέλκοντί τε καὶ μεθέλκοντι μετὰ πολλῆς τῆς ἀρχικῆς ἐξουσίας τὰς ψήφους. ἢ γὰρ ἅπασι στέργειν χρεὼν τοῖς ἐκείνῳ πατριαρχεύοντι πεπραγμένοις κατά γε τοὺς τῆς ἐκκλησίας θεσμοὺς, ἢ μηδὲν τῶν ἁπάντων. ἀλλὰ τοῦ πρώτου κρατοῦντος, χώραν οὐκ ἔχει τὸ δεύτερον. Εἰ δὲ δεῖ μερίσαντας ἡμᾶς εἰς δύο τἀκείνῳ πραχθέντα περί γε τοῖν δυοῖν τούτοιν ἀνδροῖν ἑκατέρῳ ἑκάτερα δοῦναι, τῷ μὲν τὰ πρῶτα, τῷ δὲ τὰ δεύτερα, σκεπτέον ποτέροις τῆς κρίσεως αἱ βελτίους ἕψονται ψῆφοι. ἀεὶ γὰρ ἦν πατριάρχης ἐκεῖνος, ἄχρι ἧς ἡμέρας αἱ μέσαι φυλακαὶ τῆς νυκτὸς ἐγκρατῆ Βυζαντίου κατέστησάν σε, ἱερέας τε χειροτονῶν καὶ ἐπισκόπους καὶ τὰς τῶν 2.927 δικαστηρίων ψήφους ἐπισφραγίζων. ἐμοὶ δοκεῖ τοῖς δευτέροις. εἰ γὰρ καὶ πάλαι κείμενοι νόμοι πολιτειῶν λυόντων πολλάκις, δυοῖν θάτερον, ἢ κακοῦ τινος ἀπαντήσαντος δι' αὐτοὺς, ἢ βελτιόνων δευτέρων φανέντων ἐκ τῆς τῶν πραγμάτων δεδοκιμασμένης πείρας καὶ τριβῆς, σχολῇ γ' ἂν κωλύσειέ τις ἐφ' ἑνὸς ἀνδρὸς λελῦσθαι τοῖς δευτέροις αὐτοῦ τὰ πρῶτα, κακοῦ τινος ἀπαντήσαντος ἐκ τῶν πρώτων, κἀκ συναρπαγῆς συμβὰν οὑτωσί πως ἴσως ἀπατηθέντος. εἰ δὲ καὶ λύσις δοκεῖ μὲν εἶναι τῶν πρώτων τὰ δεύτερα τἀνδρὸς ἐκείνου, οὐκ ἔστι δὲ, ἀλλ' ἔχει τὴν προσήκουσαν ἀκολούθησιν ἄμφω, εἴ τις μετὰ γνώμης βούλοιτο κρίνειν ἀπαθοῦς, ἢ που σαφὴς ἀδικία, ξὺν αὐθαδείᾳ λύειν καὶ κυροῦν, τοὺς μὲν ἐκείνου ταδὶ, τοὺς δὲ ἐκείνου ταδί. Ὧν συγχωρουμένων τοῖς ἄρχουσιν, οὐκ οἶδ' ὅπη στήσεται καὶ ποῖ περιχωρήσει τὰ τῆς ἐκκλησίας δόγματα καὶ πρός γε τὰ τῆς πολιτείας πράγματα, πρὸ ποδῶν ἐναργῶς τῆς τῶν ὅλων φθορᾶς ἱσταμένης. οὐ γὰρ εἰς ἕνα τινὰ καὶ δύο τὰ τῆς ἐκκλησίας ἵστασθαι πέφυκεν, ἀλλὰ πάνθ' ἑξῆς τὰ πρόσω λαμπρῶς ἐπιβόσκεται· καὶ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

νόμος οὗτος διὰ πάσης γράφεται γῆς, κακῶν ἀρχηγὸς τῶν μεγίστων. οὐ γὰρ ἔτ' ἔθη καὶ νόμιμα προσήκοντ' ἄρχουσί τε καὶ ἀρχομένοις ἔσται τηρούμενα οὐδ' ὁ μὲν ἐπιτάξει, ὁ δ' ὑπακούσεται· ἀλλ' ἔσθ' ὁμοῦ πάντα χρήματα, καὶ αὐτοῖς πρώτοις κομιεῖ τὴν βλάβην τοῖς ἀρξαμένοις τε καὶ προδείξασιν. Εἰ μὴ διὰ γοῦν ἄλλο τι, διὰ γοῦν 2.928 τἀποβαίνοντα ἐκεῖθεν ἄτοπα, τηρεῖν ὑπάρχοντος ἀναγκαίου τὰ μήκει χρόνου βεβαιωθέντα καὶ γράμμασι κυρωθέντα νόμιμά τε καὶ δόγματα, στέργειν λοιπὸν καὶ ἡμῖν καὶ δέχεσθαι τοὺς κατὰ καιροὺς ἐπισκόπους καὶ βασιλέας, οἷς ὑπὲρ οἵων δή τινων ψηφίζονται, καὶ οἷς οἵων δή τινων καταψηφίζονται· ὡς ὁμοίαν συνάγεσθαι τὴν ἀνάγκην κἀνταῦθα, στέργεσθαι καὶ τοὺς κατὰ τοῦ Παλαμᾶ ψηφισθέντας τε καὶ γραφέντας διὰ τὰς ἄλλας αὐτοῦ βλασφημίας ἀναθεματισμοὺς Ἰωάννῃ τῷ πατριάρχῃ, ταῖς ἄλλαις ἐπίσης ἐκείνου χειροτονίαις καὶ πράξεσιν, αἳ μέχρι καὶ ἐς τὴν τήμερον κατὰ τὸ ἀκλινὲς διασώζονται. τούτου δ' οὕτως ἔχοντος, εὖ ποιεῖν καὶ ἡμᾶς ἐξ ἀνάγκης ἕπεται, τὴν τοῦ Παλαμᾶ κοινωνίαν ἀποσειομένους καθάπαξ καὶ ἀποτρέποντας."2 (΄.) Τοῦ δὲ βασιλέως τὴν μακρηγορίαν ἡμῖν ὀνειδίζοντός τε καὶ ἀνακόπτοντος, "1ἔτι μικρὸν εἰπὼν ἀπαλλάξομαι"2, ἔφην ἐγώ. καὶ ἀνενεγκὼν ἐκεῖσε τὸν λόγον, "1ἢν ἐθέλῃς,"2 ἔφην, "1ὦ βασιλεῦ, μάλα τοι ῥᾴστη γένοιτ' ἂν ἡ τῆς εὐσεβοῦς εἰρήνης τῇ τοῦ θεοῦ ἐκκλησίᾳ πρὸς τὸ πρότερον τῆς ἁπλότητος ἴχνος ἀνάλυσις. τῆς γὰρ δυνάμεως τῇ βουλήσει καλῶς συντρεχούσης, μηδὲν ἂν ἔτ' εἶναι μηδαμῇ μήτε πρὸς τὸ κάλλιστον, μήτε μὴν πρὸς τὸ χείριστον, ὃ γένοιτ' ἂν ἐμποδών. καὶ Κωνσταντίνῳ ἐκείνῳ τῷ βασιλεῖ τριακοσίων ἐγγὺς ἐνιαυτῶν εἰδωλολατρίας ἐν βραχεῖ διορθώσασθαι ἐξεγένετο· καὶ τοὐναντίον αὖθις, Ἰουλιανοῦ πρὸς εἰδωλολατρίας νενευκότος, μικροῦ πάντες ἦσαν αὖθις ὁμοίως ὑπήκοοι τὴν ταχίστην παλιν 2.929 δρομήσαντες· καὶ οὕτω γε προϊὼν τις ἀεὶ ῥᾳδίως τοῖς ἄρχουσιν ἑπόμενον ὄψεται τὸ ὑπήκοον, καθάπερ πνοαῖς ἀνέμων πίπτοντα φύλλα δρυὸς, καὶ εἴ τι τῶν οὕτω ῥᾳδίων καὶ κούφων. φέρε τοίνυν, ἀπόδος, ὦ βασιλεῦ, τὴν πρὶν εὐκοσμίαν ἐκείνην τῇ τοῦ θεοῦ ἐκκλησίᾳ, ἣν αἱ τοῦ Παλαμᾶ διεσπάραξάν τε καὶ διεμερίσαντο καινοφωνίαι, μυρίων ὅλην μικροῦ θορύβων τὴν οἰκουμένην ἐμπεπληκυῖαι. Ῥᾷστον δ' ἔσται σοι πάντως τουτὶ, φλογὶ πυρὸς τὴν ὅλην αὐτοῦ βίβλον βουληθέντι χαρίσασθαι, πασῶν ἀναμὶξ τῶν αἱρέσεων οὖσαν συμφόρημα. εἰ δὲ τῶν ἀμαθῶς ἐχόντων ἐνίους διαδιδράσκοι τὰ βλάσφημα, διά τε τὴν τῶν λέξεων σύγχυσιν καὶ τὸ τῆς φράσεως σκοτεινόν τε καὶ ὁμιχλῶδες, ἡμεῖς ἀναπτύξαντες δείξομεν καθ' ἕκαστά τε καὶ κατὰ πλῆθος. Τοιαῦτα γὰρ τὰ τῶν αἱρέσεων ἐπιτηδεύματα, ποικίλα τινὰ καὶ δυσδιάκριτα, καὶ πολλὴν τὴν ὁμοιότητα διασώζοντα πρὸς τὰς ἐν ὄρεσι λόχμας καὶ φάραγγας· ἵν', ὡς ἐκεῖθεν οἱ λῃσταὶ τοῖς ἐν ἁπλότητι παριοῦσι καρδίας ἀπροόπτως ἐπιπηδῶσιν, οὕτως ὡς ἐκ σκότους οὗτοι τοῦ ξυμμιγοῦς καὶ γριφώδους τῶν ὁμωνύμων ἅμα καὶ πολυωνύμων λέξεων τὸ τῆς εὐσεβείας βάλλωσι ἁπλοῦν. ἐχρῆν ἂν ἴσως ἐξ ἀντιθέτου, τῆς εὐσεβείας ἁπλότητι κοσμούσης, πολυμιγῆ τινα καὶ ποικίλην τὴν ἀντίπαλον εἶναι κακίαν. Καὶ τοῦτο δῆλον τίθησιν εὐθὺς ὁ πολὺς ἐν θεολόγοις Γρηγόριος· "1ἦν ὅτε ἤκμαζε τὰ ἡμέτερα (φάσκων) καὶ καλῶς εἶχεν· ἡνίκα τὸ μὲν περιττὸν τοῦτο καὶ κατεγλωττισμένον τῆς θεολογίας καὶ ἔντεχνον οὐδὲ 2.930 πάροδον εἶχεν εἰς τὰς θείας αὐλάς· ἀλλὰ ταὐτὸν ἦν ψήφοις τε παίζειν, τὴν ὄψιν κλεπτούσαις τῷ τάχει τῆς μεταθέσεως, ἢ κατορχεῖσθαι τῶν θεατῶν παντοίοις καὶ ἀνδρογύνοις λυγίσμασι, καὶ περὶ θεοῦ λέγειν τι καὶ ἀκούειν περίεργον· τὸ δ' ἁπλοῦν τε καὶ εὐγενὲς εὐσέβεια ἐνομίζετο. ἀφ' οὗ δὲ Σέξτοι καὶ Πύῤῥωνες καὶ ἡ ἀντίθετος γλῶσσα, ὥσπερ τι νόσημα δεινὸν καὶ κακόηθες, ταῖς ἐκκλησίαις ἡμῶν εἰσεφθάρη, καὶ ἡ φλυαρία παίδευσις ἔδοξε, καὶ ὅ φησι περὶ Ἀθηναίων ἡ βίβλος τῶν πράξεων, εἰς οὐδὲν ἄλλο εὐκαιροῦμεν, ἢ λέγειν τι καὶ ἀκούειν καινότερον, ὢ τίς Ἱερεμίας ὀδύρεται τὴν ἡμετέραν σύγχυσιν καὶ σκοτόμαιναν, ὁ μόνος εἰδὼς ἐξισοῦν θρήνους πάθεσιν;"2 ὅρα ὅπως τὴν πρὶν ὁ μέγας


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τῶν θείων μακαρίζων δογμάτων ἁπλότητα θρήνων ἄξιον μακρῶν τὸ περιττὸν καὶ ποικίλον ἥγηται τῆς θεολογίας, ἅτε χειμώνων καὶ ναυαγίων αἴτιον τῇ τοῦ θεοῦ γινόμενον ἐκκλησίᾳ. Οἷς γὰρ ἀναγκαίοις εἶναι γέγονε, πρὸς τοῦ δημιουργοῦ τῆς φύσεως ἁπλᾶ καὶ τοῖς πᾶσιν εὐπόριστα δεδόσθαι ταῦτα συμπέπτωκεν· ἵνα μὴ δυσχεροῦς τῆς ἀναγκαίας τῇ φύσει χρείας καθισταμένης, ὄλεθρος τοῖς οὖσι κατόπιν ἀκολουθῇ. καὶ πρῶτον ἐπὶ τῶν σωματικωτέρων τὸν λόγον γυμνάσαντες ἐκ τῶν τῇ αἰσθήσει γνωριμωτέρων, ὡς διὰ βαθμίδος τινὸς, ἀναγάγωμεν εὐπαρακολουθητότερόν τινα τρόπον ἐπὶ τὰ θεῖα τῆς ἐκκλησίας δόγματα. οἶμαι γὰρ, ὡς τὸ μέγα τοῦτο στοιχεῖον, τὸν ἀέρα, τὸν ἄφθονον 2.931 πάσης φύσεως πλοῦτον, διὰ τοῦτο πᾶσι προὔθηκεν ὁ θεὸς ὄρεσι καὶ σπηλαίοις καὶ νήσοις καὶ ἠπείροις, ἄχρις αἰθέρος καὶ οὐρανίων ἀντύγων, ἁπλοῦν καὶ ἀποίκιλον, ἵνα μηδὲν μηδαμῇ τῶν εἰς χρείαν ἰόντων τὴν τοῦ ζῇν αἰτίαν καθ' οἱονδήτινα ζημιοῖτο τρόπον· καὶ οὐδὲν ἁπλῶς τῶν ἐν κόσμῳ τούτου γέγονεν ἄμοιρον, πλὴν ἢ ὃ παντάπασιν ἐστέρηται τῆς γενέσεως. Ἔπειτα τὸ τῆς αἰθερίας ἐκείνης λαμπάδος φῶς ἀρίθμει μοι δεύτερον ἀναγκαῖον· τὴν οὐρανίου λέγω πέπλου πορφύραν, τὴν τἀπίγεια πάντα βόσκουσαν ἡλίου φλόγα. πᾶσι γὰρ καὶ οὗτος ἰδίᾳ καὶ δημοσίᾳ τοῖς βουλομένοις ἀεὶ δῶρον ἄσυλον πρόκειται, πλουσίοις ἐπίσης καὶ πένησιν, ἄρχουσι καὶ ἀρχομένοις· καὶ οὐδὲν ἐπὶ γῆς ἀμέτοχον τῶν ἐκείνου γέγονεν ἀγαθῶν, πλὴν ἢ ὃ μὴ μετέσχε τοῦ εἶναι. Ἐπὶ τούτοις καὶ τρίτον ὅρα μοι ἀναγκαῖον τῇ φύσει, τὴν ὑγρὰν τῶν ὑδάτων οὐσίαν, ἄπειρον καὶ αὐτὴν κεχυμένην ἀέρι καὶ γῇ καὶ πᾶσι τόποις ἐμφανέσι καὶ ἀφανέσι. μαρτυροῦσί μοι τῷ λόγῳ ποταμοὶ καὶ λίμναι καὶ πηγαὶ καὶ ὅση τοῖς ἐγκάτοις ἔνεστι τῆς γῆς ὑδάτων φύσις. ἀλλὰ γὰρ, ἵνα μὴ λάθωμεν εἰς μῆκος λόγου παρενεχθέντες, τοῖς τῶν μεγίστων τοῦ κόσμου στοιχείων ἡδίστοις καθ' ἕκαστα λόγοις ἐνδιατρίβοντες, ἐς τὸ πρότερον ἴχνος τὸν λόγον φέρε ἐπανακάμψωμεν. Τὸν γὰρ αὐτόν μοι τρόπον ὅρα κἀνταῦθα περὶ τῆς πίστεως. ὡς γὰρ τῶν εἰρημένων οὐδὲν οὐδαμῇ ποικίλον καὶ πολυσχιδὲς ἀποπέφανται, ὡς τὸ μὲν τῶν μερῶν ἐφ' ἑκάστου τούτων μετέχεσθαι, τὸ δ' οὔ· καὶ τὸ μὲν ὑπὸ τοῦδε 2.932 μὲν, ὑπ' ἐκείνου δ' οὔ· ἀλλὰ πάντα πάσης ἐπίσης τῆς τούτων μετέχειν δέδεικται φύσεως, κατὰ τὴν ἰδίαν ἕκαστα δύναμίν τε καὶ βούλησιν· οὕτω καὶ ὁ τῆς πίστεως λόγος, ἁπλοῦς καὶ ἀποίκιλος, πᾶσιν ἐπίσης πλουσίοις καὶ πένησι δέδοται, ἄρχουσί τε καὶ ἀρχομένοις. Οὐ γὰρ ἄλλο μὲν τὸ βασιλέων καὶ ἡγεμόνων εἶναι βάπτισμα νόμος, ἄλλο δὲ τὸ σκαπανέων καὶ ἁλιέων· οὐδ' ἐκείνου μὲν τόδε, ἐκεῖνο δὲ τοῦδε· ἀλλ' ἓν καὶ ταὐτὸν καὶ πᾶσι καὶ ἀεί. "1ἐν ἑνὶ γὰρ (φησὶν ὁ ἀπόστολος) πνεύματι ἡμεῖς πάντες εἰς ἓν σῶμα ἐβαπτίσθημεν αὐτοῦ, εἴτε Ἰουδαῖοι, εἴτε Ἕλληνες, εἴτε δοῦλοι, εἴτε ἐλεύθεροι· καὶ πάντες εἰς ἓν πνεῦμα ἐβαπτίσθημεν"2· ὡς ἂν μηδαμῇ μηδενὶ τῶν πιστῶν τὸ ζωτικὸν ὡς ἀληθῶς τῆς ψυχῆς ζημιοῦσθαι ἐξῇ, μήτε καθ' οἱονδήτινα χρόνον, μήτε καθ' οἱονδήτινα τρόπον. Καὶ ὥσπερ ἐκεῖ, κατὰ μὲν τὸ τῆς ἀναγκαίας χρείας ἀνάλογον, καὶ ἡ τῶν ἀναγκαίων στοιχείων ζυγοστατεῖται χορηγία, πολύχους ὁμοῦ καὶ ἀνενδεής· τὰ δ' ἄλλ' ὁπόσ' ἐνδεχομένην ἔσχε τὴν χρείαν, καὶ ἥκιστα πᾶσιν ἐπίσης ἐπάγουσαν τὴν ἀνάγκην, σπανιώτερά πως καὶ ἄλλα ἄλλοις προσώποις καὶ ἄλλα ἄλλοις μερίζεται τόποις, τῆς πρὸς ἀλλήλους ἕνεκα φυσικῆς ἑνώσεώς τε καὶ σχέσεως, οὕτω κἀνταῦθά μοι σκόπει τὰς ποικίλας τῶν ἀρετῶν ἰδέας ἄλλας ἄλλως ἄλλοις, ἐπὶ τῶν συστοίχων ἴσως καὶ ἀντιθέτων ἐλαττωμάτων, μεριζομένου τοῦ κτίσαντος. ὥσπερ γὰρ εἰ ὁ πάντων ἐκεῖ προμηθεὺς τὰ τοῦ βίου τερπνὰ διανέμειν ἐπίσης ἅπασιν ἅπαντ' ἐδίδου τῇ φύσει, ἀνέραστος ἦν δήπου γε καὶ ἀταλαίπωρος ἡ τούτων ζήτησις, μηδενὸς μηδενὶ 2.933 κατὰ μηδένα γέ τινα χρῆσθαι δεομένου τὸν τρόπον, καὶ ῥᾷστα δὴ τοὐντεῦθεν τῆς φιλαλληλίας ὑποτέμνεσθαι συνέβαινε τοὺς λόγους· ἐπειδὴ δ' ἔδει κοινωνὸν τὸν ἄνθρωπον εἶναι διὰ τὸ τῆς ἀγάπης χρήσιμον καὶ ἀνακέκραται λοιπὸν τοῖς λυπηροῖς τὰ ἡδέα, λυπεῖ μὲν τῷ ἐνδεῖ, τέρπει δ' αὖ ἐν προθύροις οἰκίζων τὴν


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐλπίδα τῆς εὐπορίας, διδοῦσαν παλάμην ἀντίπαλον τῇ πλεονεξίᾳ τοῦ ἐνδεοῦς· καὶ ζητεῖ μὲν οὗτος, δίδωσι δ' ἐκεῖνος· καὶ τοὐναντίον αὖθις καὶ διὰ πάντα ἑκάτερον· καὶ νόμος τοῦτο γίνεται φιλίας καὶ δεσμὸς ἀλλήλοις ἄφυκτα ἰσχύων· καὶ τοῦτ' ἔστιν ὃ γῆ μὲν πλωτὴν ἐργάζεται θάλασσαν καὶ ταύτην αὖθις ἐκείνῃ βάσιμον· καὶ Τάναϊς μὲν δι' αὐτό γέ τοι τοῦτο δρόμον ποιούμενος ὑπερόριον ἐπιῤῥεῖ τῇ Ἑλλάδι, καὶ Ἴστρος ἐπ' Αἴγυπτον ἔρχεται, καὶ Μαιώτιδι Νεῖλος κοινοῦται τὸ ῥεῦμα· οὕτω κἀνταῦθα δίδοσθαί φησι ὁ θεῖος ἀπόστολος παρὰ τοῦ πνεύματος ἄλλῳ μὲν λόγον σοφίας, ἄλλῳ δ' ἑρμηνείαν γλωσσῶν, ἄλλῳ δὲ προφητείαν, καὶ ἄλλῳ μὲν ἰαμάτων χαρίσματα, ἄλλῳ δ' ἐνεργήματα δυνάμεων· καὶ ἄλλοις μὲν ἄλλα, καὶ ἑτέροις ἕτερα· ἐν οἷς ἐνίοτε καὶ ἐπιστῆμαι καὶ τέχναι τὸ κράτος ἔχουσι· ὡς μήτ' εἰς ὀφρὺν ἐκφέροιτο διὰ τὸ ἀνενδεὲς τὸ τῆς εἰκόνος ἀρχέτυπον ἐνθυμούμενός τις, μήτ' εἰς ἀπογνώσεως ὀλισθαίνοι βυθοὺς, ἀχορήγητον ἔχων τὴν φύσιν παντὸς ἀγαθοῦ καὶ μηδαμῇ παρ' οὐδενὸς εἰς οἱανδήτινα χρείαν κατὰ μηδένα καλούμενος χρόνον· ὡς γίνεσθαι δῆλον ἐκ τούτων ἁπάντων, τήν τε τῶν ἀναγκαίων φύσιν εἶναι μίαν καὶ ἅμα πᾶσιν ὁμοίαν τὴν κτῆσιν· τὴν δέ γε τῶν ἐνδεχομένων οὔτε μίαν, οὔτε 2.934
πᾶσιν ἐπίσης ὁμοίαν ἀεὶ, ἀλλ' ἄλλοτ' ἄλλως καὶ ἄλλοις ἄλλως ἔχουσαν· τὴν μὲν οὖν τῶν εὐσεβῶν πίστιν πάτριον τοῖς ἀναγκαίοις ἀποδιδόναι, τὴν δὲ τῶν δογμάτων σοφίαν τῷ τῆς πίστεως ἐποικοδομεῖν θεμελίῳ, καθόσον καὶ ὅπου καὶ ὅτε καὶ οἷς ἂν ἐνδέχοιτο. ἄνευ μὲν γὰρ τῆς ἁπλότητος τῆς ἐκ τοῦ θείου βαπτίσματος πίστεως, Χριστιανὸν ἀδύνατον εἶναι· σοφίας δ' ἄνευ δογμάτων, οὐδὲν κωλύει. "1Ἦ γὰρ οὐδὲν ἂν ἦν τῆς πίστεως ἡμῶν ἀδικώτερον, εἰ πρὸς τοὺς σοφοὺς ἔπιπτε μόνον"2, φησὶν ὁ θεῖος Γρηγόριος. τοὺς γὰρ τοιούτους λαβυρίνθους, κατ' ἐκεῖνον τὸν ὄφιν, καὶ ὁ τῶν αἱρετικῶν ὑποδυόμενος θίασος, καὶ εἰς διδασκάλους ἕνεκα κενοδοξίας μετασχηματιζόμενοι, συναρπάζουσι κακουργίαις ῥημάτων διανοίας ἀπειροκάλους, ἐκ τῶν ἐντεῦθεν ὑποδειγμάτων λυμαινόμενοι τὴν ἀλήθειαν καὶ τὸ τῆς θεολογίας καταῤῥυπαίνοντες, ὡς ὁ μέγας ἔφη Βασίλειος. καὶ τοῦτον εἶναί φημι καὶ ὃν ὁ θεῖος πεφόβηται φόβον ἀπόστολος, "1μήπως (φάσκων) φθαρῇ τὰ νοήματα ἡμῶν ἀπὸ τῆς ἁπλότητος τῆς ἐν Χριστῷ"2. "1εἰ γὰρ αὐτὸς ὁ Σατανᾶς μετασχηματίζεται"2, φησὶν, "1οὐ μέγα εἰ καὶ οἱ διάκονοι αὐτοῦ μετασχηματίζονται ὡς διάκονοι δικαιοσύνης."2
Ἃ μὲν οὖν εἰκὸς ἦν εἰπόντας περὶ τῆς πίστεως, δεῖξαι ὅσον τὸ ἀναγκαῖον, δίχα προσθήκης καὶ ἀφαιρέσεως στέργειν αὐτῇ, καὶ ὅσον αὖθις τῶν δογμάτων τὸ ἐνδεχόμενον, καὶ ὡς ἅπασι μὲν ἀνάγκη Χριστιανοῖς τὴν δέουσαν εἰδέναι τῆς πίστεως προσκύνησιν, οὐ πᾶσι δ' ὁμοῦ καὶ τὴν τῶν δογμάτων ὁμοίαν σοφίαν καὶ τὸ θεο 2.935
λογεῖν, οὐ μὴν οὐδ' ἀεὶ, οὐδ' ἄνευ κοινῆς συνόδου τῶν πανταχῇ τῆς οἰκουμένης ἐπισκόπων· καὶ ὡς πρὶν ἢ φανῆναι τὸν Καλαβρὸν Βαρλαὰμ, θησαυρὸς τῶν τοιούτων ἦν καινοφωνιῶν ἡ τοῦ Παλαμᾶ καὶ γλῶττα καὶ χεὶρ, εἴρηται· μετρίως μὲν νῦν, διὰ τὴν τῶν ἀντιθέτων ὀχλοκρατίαν· εἰρήσεται δ' ἑξῆς πλατύτερόν τε καὶ καθαρώτερον, εἰ πᾶσα δυναστεύουσα χεὶρ ἀπείη. Δυοῖν οὖν ὁπότερον ἂν βούλοιτο Παλαμᾶς αἱρείσθω· ἢ τῶν ἀκαίρων καὶ μηδὲν αὐτῷ προσηκουσῶν προφάσεων ἀφιστάμενος δεχέσθω παραπλησίως ἡμῖν τὴν τῆς εὐσεβοῦς ἁπλότητα πίστεως, πάσας πρότερον τὰς αὐτοῦ πυρὶ παραδεδωκὼς βλασφημίας· ἢ τῆς αὐτοῦ κοινωνίας ἀφισταμένους ἡμᾶς ἐνοχλείτω μηδέν. οὐ γὰρ νόμος ἐκκλησίας, οὔτ' αὐτῷ, μηδαμῶς εὐσεβεῖν αἱρουμένῳ, βίαιον ἐπιφέρειν οὐδὲν, οὔθ' ἡμῖν εὐσεβοῦσιν· ἣν μή τις βούλοιτο τυραννεῖν. τί γὰρ κενοδοξίας ἐνταῦθα δεῖ, τῇ ψυχῇ μαχομένης καὶ τῷ αἰωνίῳ παραπεμπούσης πυρί; ἢ τίς φρονήσει καὶ νῷ διοικῶν ἑαυτὸν, ἔπειτα τὸ σκεῦος τοῦ πνεύματος ὁρῶν τὸν ἀπόστολον λέγοντα, ὡς οὐδέν εἰμι καὶ ὡς οὔπω κατειληφέναι λογίζομαι ἐμαυτὸν, οὐχ ὑποπτήσσει καὶ ὑποπίπτει, ἵνα καὶ σύνεσιν ἔχειν δόξῃ, καὶ ἅμα τῆς ὀρθῆς οὐκ ἀπόσχηται πίστεως; καὶ τῶν ἀσταχύων γὰρ τοὺς πίπτοντας μᾶλλον ἀγαπωμένους ἴσμεν τοῖς γεωργοῖς, ἢ τοὺς ἀκλινῶς ἱσταμένους. ἐφόδιον γὰρ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ταῖς τῶν σχημάτων ἐναλλαγαῖς, ἐκεῖ μὲν τὸ βρίθεσθαι τοῖς καρποῖς, ἐνταῦθα δὲ τῆς κουφότητος τὸ κακόδαιμον. εἶεν."2 2.936 β΄. Ἀλλὰ γὰρ ἐμοὶ μὲν (ὡς ἐν κεφαλαίῳ φάναι) τοιάδε, πρὸς βασιλέα καὶ τοὺς ἐκείνου λόγους τὰς ἀποκρίσεις εὐθύνοντι, διειλέχθαι συμπέπτωκεν. ὁ δὲ τὸ μέσος εἶναι κατὰ τὰ ὁμωμοσμένα πόῤῥω που θέμενος ὅλος τῆς τοῦ Παλαμᾶ γνώμης ἅμα καὶ γλώττης αὖθις ἀντιποιούμενος ἦν. τοῖς γὰρ ἐκείνου τοσοῦτο παρείχετο λόγοις τἀγώνισμα, ὅσον οὐδ' ἂν εἰπεῖν ἔχω θαῤῥούντως τοῖς ἰδίοις, εἴπερ αὐτὸς ἄντικρυς ὁ τοῖς ἐγκλήμασί τε ἐνεχόμενος καὶ τὰς εὐθύνας ὑπῆρχε διδούς. διὸ καὶ τοῖς ἐμοῖς ἀχθομένῳ λόγοις ἐῴκει κομιδῇ, τὴν ἑτέραν καὶ οὐδαμῇ τὴν ἐκείνου βαδίζειν αἱρουμένῳ, ὥσπερ ἂν εἰ μόνοις τοῖς ἐκείνου βουλεύμασι πέπρωται κύκλῳ περιῤῥεῖν τὰς τῆς δικαιοσύνης πηγάς. ἐμοὶ γὰρ μάλα τοι δεδογμένον ἐπῄει γίγνεσθαι σκοποῦ προτεθέντος ἐκ προοιμίων, ἐκεῖνα λέγειν, ὅθεν ἂν τὰ τῶν σκανδάλων αἴτια τῆς ἐκκλησίας ἐξαιρεθῆναί τε ῥᾷστα καὶ ξὺν οὐδενί ποτε γένοιτο πόνῳ. ὁ δὲ ὥσπερ ὠδίνων, καὶ περιστρέφων ἅπαντα τὸν σκοπὸν ἐξ ἀρχῆς εἰς ἅπερ ἦν τῷ Παλαμᾷ πρὸς βουλήσεως, ἐκεῖ κἀμὲ τὰς τῶν λόγων προσηνάγκαζεν ἀνθέλκειν ἡνίας. (Β.) Ὅθεν ἐξὸν ἐμὲ παῤῥησιαστικώτερον τοῖς ἐλέγχοις κεχρῆσθαι, εἰ Παλαμᾶς αὐτός μοι τὰς ἀντιῤῥήσεις εἰσῆγεν, ἔγωγε ὑφιέμην, οὐ μάλα ἑκὼν ἀνάγκῃ δουλεύων. καὶ πῶς γὰρ οὔ· ᾧ καὶ δι' εὐλάβειαν βασιλικὴν ὑφειμένως πως προενηνεγμένῳ τοὺς λόγους, ὑπὲρ τοῦ μηδὲν ἀπηχὲς εἰπεῖν σκοπουμένῳ, πολλαί μοί τινες καὶ βαρεῖαι γεγόνασιν ἐκεῖθεν ἀπέχθειαι καὶ πρὸς τὸν τοῦ λόγου δρόμον ἐφόδια φθαρτικὰ, 2.937 τὸ τοῦ ἤθους ἐλεύθερον φυλάττειν ἀδούλωτον εἰθισμένῳ, καὶ μάλιστα νῦν ὀφείλοντι, περί γε θεοῦ καὶ τῶν τῆς ἐκκλησίας ἐκείνου δογμάτων τοῦ ἀγῶνος ὄντος ἡμῖν; (Γ.) Ὡς ἂν ἡ συμφωνία διηνεκὴς τοῦ πρώτου σκοποῦ τοῖς ἄλλοτ' ἄλλως μεταξὺ παραπλεκομένοις πράγμασιν ἐπίσης ἀκήρατος μένῃ, ἦν ὠθισμός τις καὶ βία παρ' ἑκατέροις ἡμῖν, ὁποία κἀν τοῖς ὁπλομάχοις ἀγῶσι ὡς τὰ πολλὰ καθίσταται, βιαζομένων ἑκατέρων τῶν στρατοπέδων, πρὶν συῤῥαγῆναι τὰς τάξεις, περὶ τοῦ ποτέροις ἂν προκατειλῆφθαι γένοιτο τὸν ὑπερέχοντα τόπον, ὡς ἐνταῦθα τοῦ παντὸς ἀγῶνος τὰς τῆς νίκης στρέφοντος ἐλπίδας, κἀν τούτῳ τὰς ἀδήλους τοῦ πολέμου προκατατιθεμένου τύχας ὡς τὰ πολλά. (Δ.) Ὁ μὲν γὰρ πρῶτον τοὺς τῆς σηπίας με τρόπους ἔλεγε μιμεῖσθαι· καθάπερ γὰρ ἐκείνην, μηχανωμένην δρασμὸν, τὸ μέλαν ἐμεῖν κατὰ τῆς τῶν ἁλιέων σαγήνης, οὕτως ἔφασκε κἀμὲ, πρὸς ἕτερα μεθαρμόζειν κατὰ τὸ λεληθὸς τὸν ὅλον σκοπὸν τοῦ ἀγῶνος ἀεὶ πειρώμενον, κατ' ἐκείνου μηχανᾶσθαι ξενηλασίαν φάναι τινὰ, καὶ τοῦ Θαβωρίου φωτὸς ἀπελαύνειν πανούργως, αὐτάρκη πρόφασιν ἐς τὴν προκειμένην ὑπόθεσιν ἔχειν οἰομένου τουτί. δεύτερον ἐνεκάλει μοι, κακῶς εἰσάγειν τὸ περὶ τοῦ μὴ δεῖν θεολογεῖν κεφάλαιον, τῶν ἁγίων ἄνω καὶ κάτω διαῤῥήδην θεολογούντων· οἷς καὶ τὸν Παλαμᾶν ὑποδείγμασι χρώμενον τὰς νέας ἔλεγε γράφειν θεολογίας, ὑπὲρ ὧν τὸ οἰκεῖον αἷμα διδόναι καὶ μάλα προθύμως ὁ ἀῤῥεπὴς κριτὴς διετείνετο· ἃς καὶ καυ 2.938 θῆναι λέγοντος μᾶλλον ἐμοῦ, καθήπτοντο μάλα σφοδρῶς καὶ παῤῥησίᾳ Παλαμᾶς καὶ Ἡρακλείους, σύν γε τῷ πατριάρχῃ, τότε λέγοντες καυθήσεσθαι σφᾶς, ὅτε καὶ τὸ τοῦ Χριστοῦ εὐαγγέλιον, εἰς ταὐτότητος λόγον φεῦ τὴν ἀμφοτέρων τιθέντες ἁρμονίαν. καὶ ἔτι καὶ τρίτον ἔγκλημα τουτὶ προσῆγεν ἐμοὶ, λέγω δὴ τὸ τῆς ἐμῆς ὁμιλίας πρὸς βασιλέα σκληρὸν καὶ οὐκ ἐνδιδόμενον οὐδαμῇ· μηδὲ γὰρ εἶναι σοφῶν βασιλεῦσιν ὁμιλεῖν οὑτωσί. (Ε.) Περὶ οὗ καὶ βραχέα εἰπὼν ἀπήλλαγμαι, οὐ μόνον τοὺς τῶν ἁγίων πάλαι πρὸς βασιλέας εἰς μέσον ἀγαγὼν διαλόγους, ἀλλὰ καὶ τῶν ἔξω σοφῶν ἐνίους, Σόλωνος πρὸς Κροῖσόν φημι τῶν Λυδῶν βασιλέα, καὶ Πλάτωνος πρὸς Διονύσιον, τὸν τῆς Σικελίας, καὶ πλείους ἄλλους, ὧν οὐ χρεία μεμνῆσθαι τανῦν. πῶς γὰρ ἂν μιγείη τὰ ἄμικτα, σοφία λέγω καὶ κολακεία; εἰ γὰρ σοφὸς, οὐ κόλαξ· εἰ δὲ κόλαξ, οὐ σοφός. ὅταν δὲ καὶ περὶ τοῦ θεοῦ τὰ τῆς διαλέξεως ᾖ, τότ' οὐδ' εὐσεβὴς ὁ κόλαξ. ἄλλως τε καὶ τῆς σοφίας, εἰ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

πρὸς ἀνθρωπίνην ἅπασαν συγκρίνοιτο εὐγένειαν, τοσοῦτο διαφερούσης ὅσον ὀβολοῦ λυχνίτης, τοσοῦτο διαφέρειν χρεὼν καὶ τὴν τῶν σοφῶν ὁμιλίαν, συγκρινομένην πρὸς ἀνδραποδώδη καὶ ἀγεννῆ κολακείαν. ἦ πολλὴ μεντἂν ἀλογία γε εἴη, καὶ παραπλήσιον, ὥσπερ ἂν εἰ ἐνεκάλει τις Ἀχιλλεῖ μὴ βουλομένῳ Θερσίτην εἶναι, ἢ τῷ λέοντι μὴ τὴν ἀλωπεκῆν ἀλλαττομένῳ τῆς λεοντῆς. (΄.) Περὶ δὲ τοῦ τῆς σηπίας μέλανος καὶ πάνυ τεθαύ 2.939 μακα, πῶς οἷς ἐγκαλεῖσθαι ἐκεῖνον ἐχρῆν, τὰ μὲν προφανῆ παρατρέχοντα, τὰ δ' ἀφανῆ καὶ πόῤῥω μνήμης ἐς μέσον ἄγοντα, ταῦθ' ἡμῖν αὐτὸς ἐγκαλεῖν οὐκ ὀκνεῖ, καὶ ταῦτα καὶ περὶ αὐτῶν ἐν ἑτέρῳ που τὰ εἰκότα προδιαλαβοῦσι. "1ὅμως ἐπείπερ οὐ διαλείπεις"2, ἔφην, "1περὶ τὸ Θαβώριον ἀναστρεφόμενος καὶ πᾶσαν εἰς τοῦτο φέρων ὑπόθεσιν, οὐκ ἔχων (ὡς ἔοικεν) ὁρμητήριον ἕτερον, ἢ μὴ ἔχων ἀσφαλέστερον, ἐγώ σου καὶ ταύτην λῦσαι πειράσομαι τὴν ἀνάγκην, οὐ πάνυ προσῆκον ἡμῖν. τί γὰρ ἔδει νεκρικῶν ἡμῖν διαλόγων τήμερον, μυρίας ἄλλας καινοφωνίας προκομίζουσι, ὁποίας ἐκεῖθεν ἀεὶ καὶ γράφων καὶ λέγων ὁ Παλαμᾶς ἁλίσκεται;"2 (Ζ.) Λέγειν τοίνυν ἀρξάμενος τὸ συνεχὲς ὑπ' ἐκείνου διεκοπτόμην τῶν λόγων, δειλιῶντος οἶμαι τὸ τῶν ἐλέγχων ἄμαχόν τε καὶ δυσεκβίαστον, ὅτι λύσιν τῶν ἤδη προτεινομένων αὐτὸς οὐκ εἶχεν ἀνανταγώνιστον. γ΄. Ὅμως ὑμῖν οὐκ ὀκνήσω διεξιέναι τὰ καιριώτερα κατὰ τὸ συνεχὲς ἐν τῷ ἄρτι, τό,τε διάπυρον τῆς ὑμῶν ἀκροάσεως παρακρούεσθαι δυσωπούμενος καὶ ἅμα ἐπιῤῥαπίζειν αὐτοῦ βουλόμενος τὸ νομίζειν ἐκεῖθεν ἔχειν, εἰς ἅπερ ἐνεχόμενος ἐγκαλεῖται, βοήθημα γοῦν τι μικρόν. (Β.) Ἔφασκον γὰρ μήτε τοῖς τότ' ἐκείνου χρείαν ζητήσεως, μήτε τοῖς νῦν. ἃ γὰρ ταῖς ἀεὶ παροιμίαις ὄνειδον ἔχει περιφανῆ κομιδῇ, ταῦθ' ὁ Παλαμᾶς οὐκ αἰσχύνεται δρῶν. τὸ γὰρ "1ἄμας ἀπαιτούμενον ἀρνεῖσθαι σκάφας"2 πάλαι μὲν ταῖς παροιμίαις ἐπαίζετο· νῦν δὲ τούτῳ καὶ σφόδρα σπουδά 2.940 ζεται. ἐγκαλουμένῳ γὰρ, ἄκτιστον λέγοντι βλέπειν φῶς καὶ θεὸν σωματικοῖς ὀφθαλμοῖς, ἔπειτ' ἀπόδειξιν ἐναργῆ κεκτημένῳ μηδαμῇ μηδενὸς τῶν ἁγίων, ἐπικουρίαν ἔδοξεν ἔσεσθαί οἵ τινα, εἰ ὥσπερ εἰς καταφυγὴν ὀχυρὰν ἀνεχώρησε πρὸς Θαβὼρ τὸ ὄρος καὶ τὸ φῶς ἐκεῖνο. καὶ εἰ μέν τινα προεκόμιζεν ἐνταῦθα γοῦν τῶν ἁγίων, ταὐτὸν ἐκείνῳ φάσκοντ' εἶναι τουτὶ τῷ ἐν Θαβωρίῳ, συγγνώμη τις ἂν ἴσως ἦν, εἰ καὶ μηδὲν ὀνήσειν ἔμελλεν αὐτῷ ψευδομένῳ τὴν πρώτην ὑπόθεσιν. νῦν δ' οὐδεὶς εὑρίσκεται τῶν ἁγίων λέγων ἃ αὐτὸς τερατεύεται. θέσιν δ' ἑαυτοῦ ποιούμενος ταύτην αὐτὸς ψευδῆ καὶ ἀσύστατον οὕτως ἄνεισιν εἰς τὸ ὄρος, πρὶν καθαρθῆναι καὶ γλῶτταν καὶ διάνοιαν. (Γ.) Ἐκ πολλοῦ γὰρ εἰκονομαχίαν νοσῶν ὁ ἀνὴρ, ὡς ὑπὸ πολλῶν πολλάκις καὶ τοῦτο μεμαρτύρηται μὲν, σεσίγηται δὲ μὴ προσιεμένου τοῦ βασιλέως, αἰνιγματωδῶς πως τοῖς αὐτοῦ ποιήμασιν ἐπισπείρει τὸ νόσημα. οἱ γὰρ εἰκονομάχοι μεταβεβλῆσθαι τὴν τοῦ κυρίου σάρκα κατὰ τὴν μεταμόρφωσιν ἔλεγον ἐπὶ φῶς ἄφθαρτόν τε καὶ ἄκτιστον θεότητα. δῆλον δὲ ἐκ τῶν τότ' ἀγωνισαμένων κατὰ τῆς αἱρέσεως θεοφόρων καὶ θεολόγων ἀνδρῶν. ὧν ἕνα Θεόδωρον τὸν Γραπτὸν προχειρισάμενοι διὰ τὸ σύντομον, ὃς Εὐσεβίῳ τῶν τότε λογίων τῷ πρώτῳ συμπλακεὶς εἰς διάλεξιν τάδε φησὶ, δείξομεν ἐν βραχεῖ. (Δ.) Πρῶτον μὲν οὖν εἰσάγει λέγοντα ἐκεῖνον, ὡς τὸ σῶμα τοῦ Χριστοῦ μεταμεμόρφωται καὶ ἀπηθανάτισται καὶ ἄφθαρτόν ἐστι, καὶ ἡ τοῦ δούλου μορφὴ ἐν τοιούτοις γενομένη ἐξ ὅλων 2.941 ὅλη μεταβέβληται ἐπὶ φῶς ἄῤῥητον καὶ ἀνεκδιήγητον, αὐτῷ τῷ θεῷ λόγῳ πρέπον. εἶτα ἐλέγχει αὐτὸν λέγων· "1ἀλλὰ κατακομψεύεται Εὐσέβιος, ἐπὶ φῶς ἄῤῥητον καὶ ἀνεκδιήγητον καὶ τῷ θεῷ λόγῳ πρέπον τὴν τοῦ κυρίου σάρκα μεταβεβλῆσθαι. καὶ τί ἂν εἴη τοῦτο τὸ φῶς, ζητεῖν ἐπάναγκες. οὐ γάρ πω σαφῶς ὅ, τι ἐστὶν ὁ γεννάδας ὑπέδειξε νῦν, ὅτι μὴ τῷ θεῷ λόγῳ πρέπον προσθείς· εἰς ὕστερον δὲ ἐρεῖ ἐκδηλότερον. ὅμως πρὸς τὰ δεδογμένα αὐτῷ ἐν τῷ παρόντι τὸν λόγον ἡμεῖς ἐξετάσωμεν. τί οὖν ἐστιν; ἆρα οὐσία τις καὶ ἐνυπόστατον καθ' αὑτὸ ὑφεστὼς καὶ μὴ δεόμενον ἑτέρου πρὸς ὕπαρξιν; ἢ ποιότης ἀσώματος καὶ ἀνούσιος, ἐν ἄλλῳ τὸ εἶναι



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

οὐκ ἐν ἑαυτῇ θεωρούμενον ἔχουσα; ἀλλ' εἰ μὲν οὐσία ἐστὶ, πότερον ἀγγελική; ἐπεὶ καὶ ἄγγελος φῶς καὶ τοῦ πρώτου καὶ ἀνωτάτω φωτὸς μαρμαρυγὴ καὶ ἀπόλαμψις. ἀλλ' οὐκ ἂν τοῦτο εἴποι."2 καὶ μετ' ὀλίγον· "1εἰ θεία οὐσία, πῶς εἰς τοῦτο μετῴχετο; εἰ μὲν ἐν ἰδίᾳ ὑποστάσει καθ' ἑαυτὴν θεωρουμένη μετελθοῦσα, καὶ οἷον ἄλλο καὶ εἰδικὸν ἀποτεμομένη πρόσωπον, εἰς τὴν τοῦ λόγου διαπρέπον ἐμφέρειαν, μηδεμιᾷ τῶν ἐν τῇ τριάδι νοουμένων συμπαρυποστᾶσα καὶ συμφυεῖσα, τετρὰς σαφῶς αὐτῷ ἡ τριὰς ἀποτετέλεσται. καὶ ὁρᾶτε, ὡς φιλότιμος περὶ τὴν θείαν οὐσίαν Εὐσέβιος, ἀφθονίᾳ ὑποστάσεως πληθύνων καὶ αὔξων τὰ ἀπλήθυντα καὶ ἀμείωτα καὶ πάσης τῆς ὁπωσοῦν ὑφέσεως καὶ πλεονασμοῦ παντάπασιν ἀνεπίδεκτα. εἰ δ' 2.942 εἰς τὴν τοῦ λόγου συγχεθεῖσα καὶ ὥσπερ συνουσιωθεῖσα παρῆλθεν ὑπόστασιν, μετὰ πλείονος τῆς εὐγνωμοσύνης προσθήκην καὶ αὔξησιν τῇ τοῦ λόγου αὐτῇ δίδωσιν ὑποστάσει· ἥτις οὐκ ἄλλη παρὰ τὴν τοῦ πατρὸς οὐσίαν τῇ φύσει ἐστὶ, τῷ χαρακτηριστικῷ δὲ τῆς ἰδιότητος μόνον κατὰ τὴν γέννησιν διαφέρουσα. οὕτω πρὸς τὴν ὑπερπλήρη καὶ ἀπροσδεᾶ καταδαψιλευόμενος φύσιν τὴν ἑαυτοῦ σαφῶς ἐκπομπεύει μανίαν, ὥστε σύνθεσιν ἐπὶ τῆς ὑπερηπλωμένης καὶ πάσης ἁπλότητος ὑπερέκεινα οὐσίας ἐπινοεῖν, ἐξ ἧς καὶ πάθος ἐξ ἀνάγκης ἕψεται ἐπὶ τῆς μακαρίας καὶ ἀπαθοῦς θεότητος."2 καὶ μετ' ὀλίγον· "1ὑπόλοιπον δ' οὖν ἐστι ζητεῖν, εἰ ποιότητα τοῦτο ἀσώματον ἢ ἀνούσιον εἶπε, τί συμβαίνει· οἷον ἀπόῤῥοιάν τινά τινος οὐσίας καὶ ἀπαύγασμα, εἰς ἣν ἡ μορφὴ ἐκείνη μεταβέβληται; ἀλλ' οὐδὲν ἧττον ἡ πασῶν ἐσχάτη ὕβρις καὶ ἀτοπία τῷ θείῳ προστρίψεται σώματι. λωβήσαιτο γὰρ ἂν τὸν τοῦ εἶναι λόγον, καὶ ταύτῃ τὸ ἀνύπαρκτον εἰσαχθήσεται. ἄλλως τε οὐδ' ἔνεστι ποιότητα ὑποκειμένου δίχα καθ' ἑαυτὴν ὅτι ποτέ ἐστι διαδειχθῆναι, κἂν τῶν οὐσιωδῶν αὐτὴν εἴποι τις· ἣ καὶ εἰς οὐσίας μέρος ἀνάγεται. ὡς δ' ἐπὶ παραδείγματος εἰπεῖν, οὐκ ἂν τὸ λογικόν που συσταίη ὑποκειμένου ἄνευ, ὅ ἐστι τὸ ζῶον, εἰ μὴ πρότερόν τις ὑπόθοιτο οὐσίαν ἔμψυχον αἰσθητικήν. ὡσαύτως καὶ εἰ τὸ θνητὸν, ἢ ἀθάνατον, ἤ τι τῶν τοιούτων. ἐν τίνι γὰρ ἂν σχοίη τὴν ὕπαρξιν;"2 καὶ ἀλλαχοῦ· "1ὅτι μὲν γὰρ τὸ φθαρτὸν τοῦτο ἐν 2.943 δύσασθαι δεῖ ἀφθαρσίαν καὶ τὸ θνητὸν ἀθανασίαν, ὁ μέγας μυσταγωγεῖ ἀπόστολος. τὸ δὲ σῶμα ἀσωματότητα ἐνδύσασθαι, ἢ τὸ κτιστὸν γενέσθαι ἄκτιστον, ἢ τὸ περίγραπτον εἰς ἀπεριγραψίαν μετατεθῆναι, οὔπω μέχρι καὶ τήμερον ἤκουσται."2 καὶ ἀλλαχοῦ· "1τὸ φύσει ἁπλοῦν οὔτε ὁρᾶσθαι, οὔτε εἰδοποιεῖσθαι, οὔτε πάσχειν τι καθ' ὀντιναοῦν τρόπον πέφυκεν. ἀπαθὲς γὰρ καὶ ἄφθαρτον καὶ πάντη ἀκατάληπτον καὶ ἀπερίγραπτον· τοῦτο δὲ τί ἂν εἴη ἄλλο ἢ θεός;"2 καὶ μετ' ὀλίγον· "1εἰ γὰρ ταὐτὸν εἶεν, οὐ δύο ἂν εἶεν, ἀλλὰ μία φύσις. ἡ γὰρ σύνθεσις τὸ διάφορον τῶν συντρεχόντων ᾄδει καὶ ἑτεροούσια εἶναι δηλοῖ."2 (Ε.) Ἐντεῦθεν ἐξεῖναι τοῖς βουλομένοις οἶμαι συνορᾶν, ὁμοῦ τῷ καταράτῳ Εὐσεβίῳ ἐκείνῳ καὶ Παλαμᾶν ἐλεγχόμενον, ἅτ' ἐκείνῳ ταὐτὰ γράφοντα καὶ φρονοῦντα. ὅτι μὲν γὰρ καὶ θεῖαι τῶν ἁγίων εἰκόνες καὶ τοῖς περὶ τὸν Παλαμᾶν ἐῤῥιπτοῦντο πρὸς πῦρ, δῆλον μὲν τοῖς θεασαμένοις τε καὶ τὸ ἀπόῤῥητον ἐξειποῦσι καὶ ὅρκῳ βεβαιωσαμένοις τουτὶ πρὸς πολλούς· ὅτι δὲ φωραθέντες, καὶ δείσαντες τὴν τοῦ πλήθους ὁρμὴν, καὶ μάλιστα διὰ τὸ ἐπεισπεσὸν ἕτερον νέφος τῶν ἐγκλημάτων αὐτοῖς, προσκυνεῖν ὑποκρίνονται καὶ αὐτοὶ, καὶ πρὸς τοὺς θείους συνεισιέναι ναοὺς, σιωπῇ καλύπτεσθαι ἐπεπράχεσαν. σιωπητέον καὶ ἡμῖν ἐν τῷ ἄρτι. (´.) Δεικτέον δ' οὖν τὴν συμφωνίαν ἀμφοῖν ἔκ τε τῶν σφίσιν ἀεὶ λεγομένων καὶ ἅμα τῶν τοῦ μεγάλου τοῦδε πατρὸς ἐλέγχων. ὁ μὲν γὰρ εἰκονομάχος Εὐσέβιος ὅλον ἐν τῇ μεταμορφώσει μεταβεβλῆσθαί φησι τὸ τοῦ 2.944 κυρίου σῶμα πρὸς φῶς ἕτερον, ἄφθαρτόν τε καὶ ἄκτιστον. ὁ δὲ 2.944 Παλαμᾶς τοῖς μίαν ἄκτιστον θεότητα κηρύττουσι μεμφόμενος, καὶ θεμέλιον ἐκ τοῦ Θαβωρίου τούτου κατασκευάζων φωτὶ, ἄλλο τίθησιν εἶναι παρὰ τὴν οὐσίαν ἐκεῖνο τὸ φῶς, ἄκτιστόν τε καὶ ἄφθαρτον θεότητα μεταξὺ θεοῦ καὶ ἀγγέλων. φησὶ γὰρ οὑτωσὶ κατὰ λέξιν, παραφθείρων τῶν ἁγίων τοὺς λόγους· "1ὁ τοίνυν λέγων τὴν λαμπρότητα τῆς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

θείας φύσεως, ἧς καὶ οἱ θεῷ λειτουργοῦντες ἄγγελοι μετέχουσι, καθ' ἣν καὶ οἱ δίκαιοι λάμψουσι ὡς ἥλιος, μήτ' οὐσίαν εἶναι θείαν, μήτ' ἀγγελικὴν, οὐ τίθησι μεταξὺ θεοῦ καὶ τῶν ἀγγέλων φῶς, ὃ μήτε θεός ἐστι μήτ' ἄγγελος· ἐπεὶ καὶ Διονύσιος ὁ θεῖος τοὺς ἐν θεῷ τῶν ὄντων λόγους, ὧν ἄγγελοι καὶ ἄνθρωποι μετέχουσιν, οὐκ εἶναί φησιν οὐσίαν οὔτε θείαν οὔτε ἀγγελικήν."2 ὁρᾷς πῶς ἐπειγόμενος ἄκτιστόν τε καὶ ἄφθαρτον καὶ ἄλλην θεότητα δεῖξαι τόδε τὸ φῶς καὶ Διονύσιον διαβάλλει τὸν μέγαν, τἀκείνου παρεξηγούμενος· ὡς ἡμῖν γε πλατύτερον ἐν τοῖς κατ' αὐτοῦ στηλιτευτικοῖς καὶ ἀντιῤῥητικοῖς δέδεικται λόγοις τρανότερον; σαφέστερον δὲ ἐν τῷ περὶ φωτὸς αὐτοῦ τίθησι λόγον. "1οὐσία μὲν γὰρ θεοῦ (φησὶν) οὐκ ἔστι· καὶ γὰρ ἀνέπαφος ἐκείνη. ἄγγελος οὐκ ἔστι· δεσποτικοὺς γὰρ φέρει χαρακτῆρας."2 (Ζ.) Καὶ οὐ μόνον δὲ τὸ τοῦ κυρίου σῶμα καὶ οὗτος γεγενῆσθαί φησιν ἄκτιστον, ἀλλὰ καὶ τὰ τῶν ἐναρέτων ἀνθρώπων· καὶ ὀνομαστὶ μὲν τὸν Μελχισεδὲκ τίθησιν ἄναρχόν τε γενέσθαι καὶ ἄκτιστον, ἀορίστως δὲ τοὺς κατὰ τὸν Παλαμᾶν ἅπαν 2.945 τας. παραθήσομαι δὲ καὶ αὐτὰς κατὰ τὸ ἀπαράλλακτον τὰς αὐτοῦ ῥήσεις· "1πῶς οὐκ ἄκτιστος ἡ χάρις, δι' ἣν καὶ οἱ μετέχοντες αὐτῆς ἄναρχοι καὶ ἄκτιστοι καὶ ἀτελεύτητοι καὶ ἀΐδιοι καὶ οὐράνιοι κατ' αὐτὴν παρὰ τῶν πατέρων προσηγορεύθησαν;"2 (Η.) Ἃ μὲν οὖν δοκεῖ τῷ καταράτῳ καὶ Παλαμᾶς συμφωνεῖν Εὐσεβίῳ, ταῦτά ἐστιν. ἃ δ' ἐπαύξων οὗτος τὰς ἐκείνου παρήλασε βλασφημίας, κακίαν ἐπὶ κακίᾳ προσεπιδαψιλευσάμενος, εἶμι ἐρῶν. ὄνομα γὰρ θεὶς ἐνέργειαν τῷ φωτὶ γενικὸν, ἔπειτα διαιρεῖ πρὸς ἀπειράκις ἀπείρους θεότητας, ἀκτίστους τε ἅμα καὶ διαφόρους ἀλλήλων, δύναμιν δηλαδὴ καὶ σοφίαν καὶ ζωὴν καὶ βουλὴν καὶ ἀλήθειαν καὶ ὕπνον καὶ μέθην καὶ ὅσα τῇ τῶν ἀνθρώπων ἐφεύρηται ἀπορίᾳ κατὰ διαφόρους καιροὺς ὀνόματα· ὡς εἶναι θεότητας ταύτας κατ' εἶδος, ἀτελεῖς μὲν καθ' ἑαυτὰς καὶ δεομένας ἀλλήλων· συντιθεμένων δ', ἐπιγίγνεσθαί σφισι τὴν τελειότητα. (Θ.) Ἐντεῦθεν καὶ εἰς τοσαύτην ἤλασε τὸ πρᾶγμα κακίαν, ὡς καὶ παῤῥησιασθῆναι τὰς τοιαύτας βλασφημίας ἐπὶ μέσης τῆς τῶν ἐπισκόπων ἐκείνων ἀτόπου φάλαγγος, παρόντων καὶ ἡμῶν, ὡς μὴ ὤφελε, καὶ ψήφῳ κοινῇ βασιλέως ὁμοῦ καὶ σύν γε πατριάρχου τῶν ἐπισκόπων ἐκείνων, ἄλλην μὲν τὴν οὐσίαν εἶναι θεότητα, ἄλλην δὲ, καὶ σφόδρα διάφορον, τὴν ἐνέργειαν· καὶ ἅμα μὴ τὴν οὐσίαν εἶναι τὴν ἁγιάζουσαν οὔτε τὸν ἡμῖν μεταλαμβανόμενον θεῖον ἄρτον. ἅπερ ἀκηκοότων ἡμῶν, ὢ δίκη καὶ ἀνοχὴ θεοῦ, κατὰ ποταμοὺς ἐχώρει τὰ δάκρυα· κἄ 2.946 πειτα ἐφεξῆς δημοσίᾳ ῥαγεῖσαν ἔτι κακίαν ἄλλην ἰδόντες ἐπέσχομεν τοῦ δακρύειν, οἶμαι τῶν τοῦ ἐγκεφάλου ξηρανθέντων ὑγρῶν ὑπ' ἐκπλήξεως· ἤδη γὰρ καὶ χεῖρας ἐπιβάλλειν ἤρξαντο μετ' ὀργῆς ἀναστάντες ἅμα τῷ πατριάρχῃ καὶ οἱ ἐπίσκοποι καθ' ἡμῶν, μηδ' ἀκούειν τά γε τοιαῦτα ἀνεχομένων. ἀλλὰ ταῦτα μὲν ὕστερον· νῦν δ' ἐπαναληπτέον ἐκεῖθεν τὸν λόγον, ὅθεν εἰς ταῦτα ἐξέβημεν ἄκοντες, τῇ μνήμῃ συγχυθέντες τοῦ πάθους. (Ι.) Παρέσται δ' ἐντεῦθεν τοῖς ἁπλῶς ἐθέλουσι κρίνειν, ἀναλεγομένους ἕκαστα, ταῖς τε βλασφημίαις τοὺς ἐλέγχους τοῦ θείου καὶ μεγάλου πατρὸς ἐκείνου συμβάλλειν, καὶ αὖ τοῖς ἐλέγχοις τὰς βλασφημίας, καὶ παρ' ἄλληλα συνορῶντες ἐπιψηφίζεσθαι, πῶς καὶ τὴν τῶν εἰκονομάχων ἐξαρχῆς κτησάμενος αἵρεσιν προσεπεδαψιλεύσατο καὶ αὐτὸς τῇ αὐτοῦ κακίᾳ προσθήκας ἀτοπωτέρας. εἰ γὰρ δείξαιμεν αὐτῷ μαχόμενον ἄντικρυς τὸν μέγαν ἐκεῖνον διδάσκαλον, καθ' ἡσυχίαν ἡμῖν ᾗ βουλόμεθα ὁ τῆς ἀποδείξεως χωρήσει σκοπός. (ΙΑ.) Καὶ περὶ μὲν τοῦ φωτὸς βραχείας ἡμῖν δεήσει τῆς γλώττης. τοῦ γὰρ θείου ἐκείνου πατρὸς πυνθανομένου σοφώτατά τε καὶ ὑψηλότατα, ὁπότερον αὐτὸς ἐθέλει ἀποκρινέσθω· εἴτ' οὐσίαν εἶναι τουτὶ τὸ φῶς καὶ ἐνυπόστατον ἀποφαίνοιτο, καθ' αὑτὸ ὑφεστηκὸς καὶ μὴ δεόμενον ἑτέρου πρὸς ὕπαρξιν· ἢ ποιότητά τινα ἀνούσιον καὶ ἀσώματον, ἐν ἄλλῳ τὸ εἶναι ἔχουσαν καὶ οὐκ ἐν ἑαυτῷ θεωρούμενον. συναχθήσεται γὰρ τριῶν ἕν γέ τι τὸ ἄτοπον. εἰ γὰρ οὐσίαν φαίη, ἢ ἄγγελος ἔσται, 2.947 καὶ διαλύεται τὸ ἄκτιστον αὐτοῦ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

μετὰ τῆς θεότητος· ἢ τετάρτη ὑπόστασις, καὶ τὸ ἄτοπον ὅσον ὁ θεῖος δείκνυσι πατὴρ καὶ διδάσκαλος. εἰ δὲ ποιότητά τινα ἀνούσιον καὶ ἀπόῤῥοιαν ἄλλης οὐσίας, εἰσαχθήσεται τὸ ἀνύπαρκτον τῆς θεότητος. μᾶλλον δὲ ἀδύνατον εἶναί φησι, ὑποκειμένου δίχα καθ' ἑαυτὴν συστῆναι ποιότητα· ὥσπερ οὐκ ἂν τὸ λογικὸν εἴπῃ τις, οὖσαν διαφορὰν οὐσιώδη τἀνθρώπου, μὴ τοῦ ζώου πρότερον ὑποκειμένου, ὅ ἐστιν οὐσία ἔμψυχος αἰσθητική· εἶναι γὰρ τὰ οὐσιώδη καὶ φυσικὰ τῆς οὐσίας καὶ φύσεως μέρη τὴν ἐπιστήμην ὁρίζεσθαι. εἰ δ' ἐπὶ τῶν συνθέτων, πολλῷ μᾶλλον ἐπὶ τῶν ἀμερῶν καὶ ἁπλῶν ἔσται, καὶ ἔτι μᾶλλον ἐπὶ θείας φύσεως, τὰ οὑτωσὶ λεγόμενα. δʹ. Οὕτω τοίνυν διὰ τούτων τοῖς εἰκονομάχοις συγκαταλυομένου τοῦ Παλαμᾶ πρὸς τοῦδε τοῦ σοφωτάτου καὶ θείου διδασκάλου, φέρε λύσωμεν καὶ ἡμεῖς τὴν ἐπιδαψιλευθεῖσαν τῷ ἀνοσίῳ προσθήκην, αὐτῷ πάλιν συμμάχῳ χρώμενοι τῷ ἁγίῳ καὶ οἷς ἄλλοις πολλοῖς τε καὶ εὐμηχάνοις κατὰ τῶν εἰκονομάχων ὅπλοις ἐχρήσατο· ἵνα πολλαχόθεν οὗτος μακροῖς τισι τῆς κακίας μέτροις καὶ τοὺς εἰκονομάχους φαίνηται νικῶν, καὶ ἅμα συναναφαίνηται μὴ παρέργως κἀκ τοῦ παρήκοντος εἰς τὸ Θαβώριον ἀεὶ καταφεύγων ὄρος, ἀλλὰ καὶ μετὰ μάλα πικρῶς ἐφεδρευούσης περινοίας. (Β.) Ἐξεταστέον οὖν ἐστιν ἡμῖν, πῶς ἄκτιστον γεγονέναι λέγει τὸ τοῦ κυρίου σῶμα· καὶ ταῦτ', ἐκκηρύκτων τῇ ἐκκλησίᾳ περιφανῶς γενομένων, ὁπόσοι πάλαι τουτὶ παρελήρη 2.948 σαν· καὶ ἅμα, πῶς οἱ κατὰ τὸν Παλαμᾶν ἄκτιστοί τε καὶ ἄναρχοι γίνονται ἄνθρωποι. τῆς γὰρ ὁμοίας ἔχονται κακοδοξίας ἀπρὶξ καὶ ταυτὶ, λέγω δὴ τῆς τῶν εἰκονομάχων, ἣν ὡς ἀρχὴν καὶ θεμέλιον κράτιστον τῆς ὅλης προὔθετο σαθρᾶς οἰκοδομῆς αὐτοῦ. (Γ.) Ἵνα γὰρ τὰς τῶν ἄλλων ἐν τῷ παρόντι παρεὶς ἀντιῤῥήσεις ἁγίων μόνῳ τῷ σοφῷ κἀνταῦθα καὶ θείῳ ἐκείνῳ χρήσωμαι διδασκάλῳ, τῷ καὶ τηνικαῦτα μὲν ἀντιστάντι πρὸς τὸν τῆς εἰκονομαχίας ἐκεῖνον πόλεμον, καὶ πολλὰ μὲν πεπονθότι, πολλὰ δ' ἀντειπόντι, καὶ ὡς πύργον Χαλάνης διὰ τέλους ἄχρι καὶ τῶν ἀτόμων τὴν πλάνην καθῃρηκότι, καὶ νῦν ὁμοίως τοὺς τὰ ὅμοια νοσοῦντας ἐκείνοις καθαιροῦντι· "1ὅτι μὲν"2, φησὶ, "1τὸ φθαρτὸν τοῦτο ἐνδύσασθαι δεῖ ἀφθαρσίαν καὶ τὸ θνητὸν ἀθανασίαν, ὁ μέγας μυσταγωγεῖ ἀπόστολος· τὸ δὲ σῶμα ἀσωματότητα ἐνδύσασθαι, ἢ τὸ κτιστὸν γενέσθαι ἄκτιστον, ἢ τὸ περίγραπτον εἰς ἀπεριγραψίαν μετατεθεῖσθαι, οὔπω καὶ τήμερον ἤκουσται."2 ἐντεῦθεν μανθάνειν ἡμῖν σαφῶς περιγίνεται, ὅτι τε τοῖς εἰκονομάχοις ταῦτα παραλελήρηται καὶ τῆς ἐκείνων ἐστὶ κακοδοξίας· καὶ νῦν ὁρᾶται περὶ τὴν αὐτὴν αὐτοῖς καὶ Παλαμᾶς βακχεύσας τράπεζαν καὶ ὅλον εἰς κόρον ἐκροφήσας τὸν τῆς κακοδοξίας ἐκείνης κρατῆρα. (Δ.) Ἀλλὰ μικρὸν ἐπισχόντες πυθέσθαι θελήσωμεν καὶ πῶς προϊὼν ὁ μέγας οὗτος διδάσκαλος σοφωτάτην ποιεῖ τὴν τῶν ῥηθέντων εὐκρίνειαν. "1πᾶν γὰρ,"2 φησὶ, "1τὸ μεταβαλλόμενον ἢ καθ' αὑτὸ ἢ κατ' οὐσίαν μεταβάλλεται· ὃ δὴ περὶ γένεσιν καὶ φθο 2.949 ρὰν θεωρεῖται· ἢ κατά τι τῶν ἐν αὐτῷ, καὶ τοῦτο διχῶς· ἢ κατὰ τὸ ποσὸν, καθ' ὃ ἡ αὔξησις καὶ ἡ μείωσις δείκνυται· ἢ κατὰ τὸ ποιὸν, ἐξ οὗ ἐμφαίνεται ἡ ἀλλοίωσις· ἥ ἐστι μετασχηματισμὸς χαρακτῆρός τινος, ἢ κατά τι τῶν τοῦ ὑποκειμένου πράγματος ἐξαλλαγὴ, χωριστῶς ἢ ἀχωρίστως ἐπισυμβαίνουσα· ὅπερ ἀλλοῖον μὲν καὶ διάφορον τοῦ προτέρου δείκνυσιν, οὐ μὴν ἄλλο τι τὸ ἀλλοιούμενον ἀπεργάζεται. οὐ γὰρ οὐσιωδῶς μετέβαλεν· ἀλλ' ἐκ τοιοῦδε τὸν αὐτὸν τοιόνδε κατὰ τὸ ποιὸν γενέσθαι πεποίηκε. τοῦτο δ' οὐκ ἔστιν ἐξ ὅλων ὅλον μεταβεβλῆσθαι. τὸ γὰρ ὑποκείμενον πάντως ὑπομένει σωζόμενον. εἰ δὲ κατὰ τὸ ποσὸν μετέβαλεν, αὔξησίν τινα ἢ μείωσιν ἐδέξατο καὶ παραλλαγὴν, κατὰ τὸν σωματικὸν ὄγκον μεγέθει διενέγκασα, ἥ ἐστι τοῦ γε ἤδη προϋπάρχοντος καὶ εἰδοπεποιημένου ἐπίδοσις ἢ ὕφεσις. ἀλλ' οὐδὲ ταῦτα ἄλλο τι παρὰ τὸ ἐξαρχῆς ὑπάρξαν ποιεῖ, ἀλλ' ἐκ τοσοῦδε τὸν αὐτὸν τοσόνδε κατὰ τὸ πηλίκον γενέσθαι πεποίηκεν. οὐκοῦν οὐδὲ κατὰ τοῦτον τὸν τρόπον ἐξ ὅλων ὅλη μεταβέβληται ἡ μορφή. τί οὖν ἐστι; λείπεται λέγειν καθ' αὑτὴν μεταβεβλῆσθαι. τοῦτο δὲ περὶ τὴν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

οὐσίαν αὐτὴν ἤδη τὴν μεταβολὴν ἐνδείκνυται, περὶ ἣν ἡ γένεσις καὶ ἡ φθορὰ θεωρεῖται. ἐπεὶ οὖν ὡμολόγηται ἡμῖν τὸ τοῦ Χριστοῦ σωματικὸν ὑπάρξαν εἶδος (καὶ τοῦτο οὐδ' ἂν αὐτὸς οἶμαι ἀρνηθείη· δοκεῖ γὰρ εὐγνωμονεῖν ποσῶς περὶ τὴν ἐξαρχῆς ὕπαρξιν· ἐπεὶ πόθεν αὐτῷ ἡ μεταβολὴ πορισθήσεται;) 2.950 μεταβέβληται δὲ κατ' αὐτὸν ἐξ ὅλων ὅλη ἡ τοιαύτη μορφὴ, πᾶσα ἀνάγκη ἐκ γενέσεως εἰς φθορὰν, κἀκ τοῦ ὄντος εἰς τὸ μηδαμῆ εἶναι κεχωρηκέναι. εἰ τοίνυν κατ' αὐτὸν ἐξ ὅλων ὅλη μεταβέβληται, οὐδὲν ἄρα αὐτῆς ὑπολέλειπται· ἐκποδὼν οὖν τὸ σῶμα καὶ ἔφθαρται· καὶ οὔτε σῶμα, οὔτε μορφὴ, οὔτ' ἄλλο τι λοιπόν ἐστιν. εἰς τοιοῦτον αὐτοὺς τῆς ἀτοπίας βόθρον καὶ ἀθεΐας ἡ σεσοφισμένη καὶ ἀστειοτάτη τοῦ λόγου κατεκρήμνισε περιπέτεια."2 (Ε.) Καὶ ταῦτα μὲν τῇδέ πη γέγραπται τῷ ἁγίῳ, σοφώτατά τε καὶ ὑψηλότατα, τὸν τῆς εἰκονομαχίας προστάτην ἐξελέγχοντί τε καὶ καταλύοντι· ᾧ καὶ αὐτὸς εὐθὺς συνεξελέγχεταί τε καὶ συγκαταλύεται ὁ σεμνὸς Παλαμᾶς, ἐκείνῳ ταὐτὰ καὶ γράφων καὶ φρονῶν, πὴ μὲν ἐκείνου τῆς γλώττης ἐξηρτημένος, οἷα δρυὸς ἐπειλημμένος κιττός· πὴ δὲ τὸ τοῖς διδαχθεῖσιν ἐμμένειν κατειρωνευόμενος, ὅποι προσθήκης δέοιτο, καὶ φιλοτιμίας ἀγώνισμα ποιούμενος κράτιστον, τὸν διδάσκαλον ὑπερσχεῖν. καὶ γὰρ ὑπ' Εὐνομίου τοῦ καταράτου καὶ τὸ τῆς ἐνεργείας ὄνομα τῇ θείᾳ τριάδι πάλαι παρεισαχθὲν ἐπὶ πονήρῳ τῆς ἐκκλησίας περὶ πλείστου καὶ τοῖς εἰκονομάχοις ὕστερον ἐγεγόνει τοῖς οἰκείοις προσθεῖναι καὶ τοῦτο κακοῖς, καὶ ἅμα τῷ κατόπιν ἐκείνοις ἀκολουθοῦντι νῦν Παλαμᾷ· καθάπερ καὶ τὸν γύπα φασὶ τὸ ὄρνεον τὰ μὲν ὑγιαίνοντα τῶν σωμάτων παριέναι· ἃ δὲ νοσεῖ, ταῦτα δ' ἀσμένως προσίεσθαι. (΄.) Διὸ προσεχῶς μὲν τὰ τοῦ θείου πάλιν διδασκάλου προενεγκοῦσιν εἰς μέσον ῥήματα, οἷς κατ' Εὐσεβίου τοῦ δυσσεβοῦς τηνικαῦτα παρὼν ἐκεῖνος ἐχρήσατο, ἔπειτα 2.951 καὶ δι' ὧν τοῖς θείοις ἐμέλησε πάλαι πατράσι, Βασιλείοις καὶ Γρηγορίοις φημὶ, τὸν ἀλιτήριον ἐκεῖνον τοῖς ἀντιῤῥητικοῖς καταχῶσαι Εὐνόμιον, καὶ ἡμῖν ἀποχρήσειν οἶμαι μιᾷ πληγῇ καὶ κατὰ τῶν τούτου σπλάγχνων ἐλάσαι τὸ τῶν ἐλέγχων ἐκείνων ξίφος. (Ζ.) Εὑρίσκομεν οὖν ἐκεῖνον, παρεῖναι λέγοντα τοῖς ἅπασι τὸν θεὸν αὐτόν. οὐ γὰρ ἐνεργείᾳ ψιλῇ φησι κατά τινας τῶν πάλαι, τὰ τοιαῦτα ληρωδησάντων, κενῶσαι μὲν τοὺς οὐρανοὺς λεγόντων τῆς ἑαυτοῦ ὑποστάσεως κατὰ τοὺς καιροὺς τῆς θείας σαρκώσεως, εἶναί τε οὐσιωδῶς σὺν ἡμῖν, ἐνεργείᾳ δὲ καὶ ἀξίᾳ μόνῃ πρὸς τὸν θεὸν καὶ πατέρα. ἐπεὶ ἕτερον οὐσίαν καὶ ἄλλο ἐνέργειαν, ὥσπερ ἐπὶ τῶν σωματικῶς θεωρουμένων, οὕτω δὲ κἀπὶ τοῦ θείου λόγου ἐτίθεντο, ὅπερ τοῖς εὐσεβέσιν ἀπείρηται. ἐπὶ γὰρ τῶν ἁπλῶν καὶ ἀσωμάτων ἐν οὐδενὶ διαφέρειν ἴσασιν. οὐ γὰρ διοριστέον ταῦτα ἀλλήλων, ἵνα μὴ σύνθετον τὸ ὑπὲρ πᾶσαν ἁπλότητα νοοῖτο. οὔτε γὰρ ἡ θεία οὐσία ἀνενέργητος εἴη ἄν ποτε, οὔτ' ἀνούσιος ἡ ἐνέργεια. καὶ μετ' ὀλίγα· "1οὕτω γὰρ ἂν εὐσεβῶς νοηθείη ἡ μὲν θεία ἐνέργεια ἀΐδιος, μᾶλλον δ' αὐτενέργεια, τῷ μὴ διωρίσθαι τῆς οὐσίας τὴν ἐνέργειαν, ἀλλὰ τὸν αὐτὸν λόγον ἐπιδέχεσθαι διὰ τὴν τῆς ἁπλῆς καὶ ἀσωμάτου φύσεως ἰδιότητα."2 (Η.) Ὁρᾷς ὅπως τε κατ' ἴχνος τῷ θείῳ καὶ οὗτος ἕπεται Βασιλείῳ καὶ οἷον ἐφερμηνεύει τἀκείνου, καὶ ὅπως τοῖς κατ' ἴχνος, οἷς ἐκεῖνος ἐμάχετο, ἑπομένοις καὶ οὗτος ἐπίσης καθάπαξ μαχό 2.952 μενος φαίνεται; ὥστε ὁ τὸν ἕτερον λοιδορῶν καὶ θάτερον πάντως ὁμοίως λοιδορεῖ. λοιδορῶν οὖν ὁ Παλαμᾶς Θεόδωρον ἐκεῖνον τὸν μέγαν τῆς ἐκκλησίας προστάτην, ἅτε τοῖς εἰκονομάχοις οὕτω μαχόμενον, ὁμοῦ καὶ τὸν μέγαν εὐθὺς λοιδορεῖ Βασίλειον· ὁ δὲ τοῖς θείοις τούτοις πατράσι μαχόμενος τοὺς ἑτεροδόξους ἐξ ἀνάγκης, οἷς οὗτοι μάχονται, φαίνεται φιλῶν. ἔστι μὲν οὖν κἀντεῦθεν δῆλον τό γε τοῖς τῆς εἰκονομαχίας προστάταις τὸν Παλαμᾶν ἐν ἅπασιν ἀεὶ καὶ συνεχῶς ἀκολουθεῖν, ὡς ἐξ ὁρμητηρίου ἀρξάμενον τοῦ Θαβωρίου φωτὸς ὁμοίως ἐκείνοις· καὶ τοῦτ' ἔστι τὸ αἴτιον, ἀεὶ διὰ στόματος ἄγειν αὐτὸν τὸ Θαβώριον. (Θ.) Ἀλλ' ἐκεῖνο μικροῦ με παρέδραμεν. εἰ γὰρ ὁ τῆς οὐσίας λόγος οὐδὲν ἕτερον ἢ πρᾶγμά ἐστιν αὐθύπαρκτον, μὴ δεόμενον ἑτέρου πρὸς ὕπαρξιν, ὡς ὅ,τε τῆς ἐπιστήμης διδάσκει



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

λόγος καὶ ὁ θεῖος οὗτος διδάσκαλος ἔφθη προειρηκὼς, εἴη ἂν καὶ ὁ τῆς ἐνεργείας λόγος ὁ αὐτὸς, κἂν τοῖς ὀνόμασι διαφέρειν δοκῶσι, πρᾶγμα δηλαδὴ αὐθύπαρκτον, μὴ δεόμενον ἑτέρου πρὸς ὕπαρξιν. οὕτω γὰρ ἂν καὶ ὁ τῆς ταὐτότητος σώζοιτο λόγος· καθὰ πάλιν ὁ αὐτὸς οὗτος ἔφησεν ἀλλαχοῦ· "1εἰ ταὐτὸν εἶεν, οὐ δύο ἂν εἶεν, ἀλλὰ μία φύσις. ἡ γὰρ σύνθεσις τὸ διάφορον τῶν συντρεχόντων ᾄδει καὶ ἑτεροούσια εἶναι δηλοῖ."2 (Ι.) Ὅτι μὲν οὖν ἐνέργειαν καὶ δύναμιν καὶ σοφίαν καὶ ζωὴν, καὶ ὅσα τοῖς ἀνθρώποις ἔπεισιν ὀνομάζειν τὸ θεῖον, τὰ τῶν διδασκάλων τῆς τοῦ θεοῦ ἐκκλησίας δόγματα μὴ διαιρεῖν τῆς οὐσίας ἐπὶ θεοῦ συγχωρεῖ, οὔτε φῶς 2.953 ἄκτιστον ἄλλο παρὰ τὴν θείαν λέγειν οὐσίαν, οὔτε θεότητας τῆς μιᾶς ἐπέκεινα τρισυποστάτου φύσεως, οὔτ' ἀσώματόν τε καὶ ἄκτιστον δύνασθαι γίνεσθαι τὸ τοῦ Χριστοῦ σῶμα, εἴρηται. εἰ δ' ἐπὶ Χριστοῦ τοῦτ' ἀδύνατον, τίς οὕτως εὐήθης ἂν εἴη, ὥστ' ἄνθρωπον γίνεσθαι λέγειν ἄκτιστόν τινα τῶν πάντων, ἀσώματόν τε καὶ ἄναρχον κατὰ τὸν τῆς φύσεως λόγον, καὶ ὅσα τοῖς ἀσεβέσιν αὐτονομουμένῃ γλώττῃ προῖκα ληρεῖν συγκεχώρηται. οἷς γὰρ ἐς ἀρετῆς προκόπτειν ἐγγίνεται λόγον, τούτοις οὐκ ἀκτίστοις γίνεσθαι πρόσεστι. πολλοῦ γε καὶ δεῖ. τοὐναντίον μεντἂν μᾶλλον δεήσειε γενέσθαι κτιστοῖς ἐς τὸ πολλαπλάσιον, ὡς ἄλλοις τε πλείστοις ἐστὶ δεδογμένον καὶ δὴ καὶ Παύλῳ τῷ θείῳ· εἴ τις ἐν Χριστῷ καινὴ κτίσις, ἀνακαινίζεσθαι τὴν πρὸς τὰ κρείττω ῥοπὴν καὶ ἀντίληψιν τῶν καλῶν· ἣν δὴ κτίσιν καὶ ὁ θεῖος ἐπιζητεῖ Δαβὶδ, καρδίαν καθαρὰν ἐν αὐτῷ κτίζεσθαι, καὶ πνεῦμα τοῖς ἐγκάτοις εὐθὲς ἐγκαινίζεσθαι. 2.955 α΄. Πολλῶν δ' ἐπιῤῥεόντων, εἰ μαρτυρίας ἁγίων εἰσάγειν ἐθέ2.955 λοιμεν, οὐθ' αἱ τῆς κεφαλῆς ἀλγηδόνες ἐῶσι τανῦν διεξιέναι καθ' ἕκαστα πάντα, οὔτ' ἀνάγκη πᾶσα νῦν λέγειν ἀθρόον, ὁπόσα καὶ ταῖς ἄλλαις ἐκείναις λῃστρικαῖς συνόδοις ἀκούειν καὶ λέγειν συμπέπτωκεν. εἰρήσεται δὲ κατὰ χώραν γενομένοις ἑκάστων ἅπαντα, προϊόντος ἡμῖν σύν γε θεῷ τοῦ λόγου. νῦν δὲ ἐκεῖσε ἐπάνειμι. (Β.) Ἐπεὶ γὰρ δεύτερον ὁ βασιλεὺς ἐκεῖ μοι προσῆγεν ἔγκλημα, τὴν τοῦ θεολογεῖν ἀπαγόρευσιν, τοὺς ἁγίους ἄνω καὶ κάτω διαῤῥήδην θεολογεῖν προβαλλόμενος, οἷς καὶ Παλαμᾶν ὑποδείγματι χρώμενον τὰς νέας ταύτας ἔλεγε γράφειν θεολογίας, ὑπὲρ ὧν καὶ τὸ οἰκεῖον αἷμα διδόναι μάλα προθύμως ὁ ἀῤῥεπὴς κριτὴς ἰσχυρίζετο, φέρε καὶ πρὸς τοῦτ' ἀπαντήσωμεν, ἔφην ἐγώ. (Γ.) "1Ὅτι μὲν δεδιέναι ἡμᾶς δεῖν, καὶ μὴ ἐξεῖναι τοῖς βουλομένοις θεολογεῖν, θείων πατέρων φασὶ θεσμοὶ καὶ κανόνες, 2.956 ἴσασι οἷς ἔθος αὐτοὺς μετιέναι. ὅτι δὲ καὶ μὴ περιεργάζεσθαι νόμους πατρίους, καὶ ἅπερ ἐκείνοις θέσθαι τῇ ἐκκλησίᾳ συμπέπτωκεν ὅρια μὴ κινεῖν, καὶ τοῦτο δόγμα καὶ νόμον ἐκείνων εἶναι, οἶμαι τὸν ἀντεροῦντα εἶναι μηδένα, πλὴν ἢ ὅστις τε βούλοιτο χλεύης ὑπεύθυνον προῖκα δρᾷν ἑαυτὸν ἀνθρωπίνης καὶ ὃς ἔνοχος εἶναι ταῖς ἐκείνων οὐ φρίττει ἀραῖς. ἦ πολλὴ μεντἂν ἀωρία, Πυθαγορείους μὲν πενταετηρικῇ μὲν γλώττης σιγῇ, μακροτέρᾳ δ' αὖ πολλῷ συγκαταθέσει ψυχῆς, τὰ τοῦ διδάσκοντος δέχεσθαι δόγματα· ἡμᾶς δ', οἷς εὐαγγελικῇ συντετράφθαι γέγονεν εὐσεβείᾳ, μὴ μάλα ἐθέλειν περιεργίας ἁπάσης ὡς ποῤῥωτάτω τοῖς πατρίοις ἐμμένειν κανόσι καὶ δόγμασι. ἡδέως δ' ἄν σ' ἐροίμην, εἰ πρὶν ἐκείνους θεολογῆσαι, ἔοικεν ἀνθρωπίνην αὐτοὺς συννενοηκέναι δύναμιν ὑπερβαίνειν καὶ θανάτου μείζω κίνδυνον ἀπειλεῖν ἀθανάτου ψυχῆς τοῖς οὕτως αὐτομολοῦσι πρὸς τὴν ἐγχείρησιν· καὶ νῦν δεῖ μᾶλλον πείθεσθαι μετὰ τὴν πεῖραν αὐτοῖς προσταχθέν· εἰ δὲ πρὶν πειραθῆναι, δεῖ μᾶλλον ἡμᾶς, ἀμαθεῖς τινας ὄντας καὶ μάλα ἀξυνέτους, τῶν ὑπὲρ νοῦν φοβεῖσθαι τὴν πεῖραν, ὁμοίως ἐκείνοις, μακρῷ σοφωτέροις ἡμῶν καὶ πρὸ τῆς πείρας οὖσι, καὶ μὴ ἐπιπηδᾷν ἀδεῶς οὑτωσὶ τῇ θεολογίᾳ, καθάπερ τῇ γε χλόῃ τὰ βοσκήματα. ἦ γὰρ ἂν ὅμοιον εἴη, ὥσπερ ἂν εἰ δέκα τινὲς τῶν ἀπὸ γενέσεως τυφλῶν, ἐκκλησίαν ἀθροίσαντες, 2.957 περὶ χρωμάτων ἤριζον τῆς ἀνὰ χεῖρας κρόκης, ἕκαστος ἀληθεύειν οἰόμενος ἢ κατὰ πάντας. οἶμαι ἂν πάντα τινὰ τῶν ὁρώντων θρήνου καὶ γέλωτος εἰληφέναι σπονδὰς ἐν ψυχῇ, καὶ Δημοκρίτους ἅμα καὶ Ἡρακλείτους δοκεῖν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐνταῦθα συνημμένους. τίς γὰρ οὐκ ἂν ἐκείνους ἐθρήνησε, τῆς τῶν ὀμμάτων οὕτως ἀπηρτημένους αὐγῆς τὸν ἅπαντα βίον; τίς δ' οὐκ ἂν τὸ Σαρδόνιον ἐπεγέλασε, περὶ ὧν οὐκ ἴσασι διαπληκτιζομένους ἄρτι ὁρῶν; ὅμως εἰ δοκεῖ, τῆς ἐπιπλήξεως μικρὸν καθυφέντες θεωρήσωμεν, ἅ τε πρὸς ἀπαγόρευσιν ἡμῖν τοῦ θεολογεῖν ἐπιτάττουσι καὶ ἃ θεολογεῖν καὶ πῆ καὶ ὅπως δὴ συμπέπτωκεν· ὡς ἂν κἀνταῦθα ῥυθμός τις ᾖ καὶ θεμέλιος εὐταξίας ὁ τὰ τῆς γλώττης περιζωννύμενος σκῆπτρα, καὶ μὴ τοὐναντίον κανὼν μὲν εὐβουλίας ἀκανόνιστος ᾖ φιλοτιμία, θεσμὸς δ' εὐκαιρίας, ἄθεσμος ἀκαιρία. ὅπη γὰρ φιλοτιμία τρόφιμος ἀβουλίας, διὰ μυχῶν ἀκαιρίας δραμοῦσα, τῶν ὅρων καταχορεύει τῆς εὐταξίας, ἐκεῖ καὶ πέρας ἀκολουθεῖν ταῖς τῶν πράξεων ἐπιβουλαῖς ἀντιστρατευόμενον, καὶ μάλα γέ τοι τῶν εἰκότων. πρῶτος μὲν οὖν ὁ πολὺς ἐν θεολογίαις Γρηγόριος τοσοῦτον ἀποδειλιᾷ πρὸς θεολογίαν τὴν γλῶτταν κινεῖν, ὅσον τὴν χεῖρα πρὸς φλόγα πυρός· ὡς καὶ πολλοὺς εἰς παραίτησιν λόγους προβάλλεσθαι, ἐν οἷς οὔθ' ἑαυτὸν ἐγχειρεῖν τοῖς περὶ θεοῦ προχείρως δίδωσι λόγοις, οὔθ' ᾧ θρασέως ἐγχειρεῖν ἂν γένοιτο ἀποδέχεσθαι. "1οὔτε γὰρ ἐπαινετὸς"2, φησὶ, "1ὁ πόθος· ἀλλὰ καὶ φοβερὸν τὸ ἐγχείρημα."2 εἰσάγει δὲ καὶ Ὀζᾶν ἐκεῖνον, ὃς τῆς 2.958 κιβωτοῦ πάλαι μόνον ψαῦσαι τολμήσας ἀπώλετο, φυλάσσοντος θεοῦ, φησὶ, τῇ κιβωτῷ τὸ σεβάσμιον· καὶ ἅμα μηδὲ τῶν τοίχων τοῦ ἱεροῦ ψαῦσαι τοῖς πολλοῖς ὂν ἀσφαλὲς, ἑτέρων φησὶν ἐδέησε τοίχων, τῶν ἔξωθεν. καὶ πάλιν· "1ἀκούεις γέννησιν· τὸ πῶς μὴ περιεργάζου. ἀκούεις ὅτι πνεῦμα τὸ προϊὸν ἐκ τοῦ πατρός· τὸ πῶς μὴ πολυπραγμόνει. εἰ δὲ πολυπραγμονεῖς υἱοῦ γέννησιν καὶ πνεύματος πρόοδον, κἀγὼ σοῦ πολυπραγμονῶ τὸ κρᾶμα ψυχῆς καὶ σώματος. πῶς εἶ χοῦς καὶ εἰκὼν θεοῦ; τί τὸ κινοῦν σε, ἢ τί τὸ κινούμενον; πῶς τὸ αὐτὸ καὶ κινεῖ καὶ κινεῖται; πῶς αἴσθησις ἐνταῦθα μένει καὶ τὸ ἐκτὸς ἐπισπᾶται; πῶς ὁ νοῦς ἐν σοὶ μένει καὶ γεννᾷ λόγον ἐν ἄλλῳ νοΐ; πῶς λόγῳ νόημα διαδίδοται; εἰ σαυτὸν οὐκ ἔγνως, ὅστις εἶ ὁ περὶ τούτων διαλεγόμενος, εἰ ταῦτα οὐ κατέλαβες, ὧν καὶ ἡ αἴσθησις μάρτυς, πῶς θεὸν ἀκριβῶς, ὅπερ τε καὶ ὅσον ἐστὶν, εἰδέναι ὑπολαμβάνεις; πολλῆς τοῦτο τῆς ἀλογίας."2 καὶ πάλιν· "1τὸ τάχος ἔστω σοι μέχρι τῆς ὁμολογίας, εἴ ποτε ταύτην ἀπαιτηθείης· τὸ δ' ὑπὲρ ταύτην, εἶναι δειλότερον. ἐκεῖ μὲν γὰρ ἡ βραδυτὴς, ἐνταῦθα δὲ ἡ ταχυτὴς ἔχει τὸν κίνδυνον."2 εἰ δέ τις ἐνίστασθαι βούλοιτο, λεγέτω μοι παρελθὼν, τί βουλόμενος οὐκ ὀλιγάκις ὁ μέγας οὗτος διδάσκαλος οὑτωσί πως τοὺς ἑαυτοῦ σχηματίζει λόγους τοῖς τἀναντία προφέρουσι, καὶ νῦν μὲν ὄντα γεγέννηκε καὶ συλλογιζομένοις, 2.959 νῦν μὲν κτίσμα τὸν υἱὸν, νῦν δὲ θελήσεως υἱόν. πρὸς γὰρ τὰς ἀτόπους ἐπιεικῶς καὶ πέρα τῆς φύσεως ἐρωτήσεις ἐκτόπους ἐπιεικῶς κἀκεῖνος τὰς ἀποκρίσεις εἰσάγει, καί φησι· "1πάλιν οἱ σωματικοὶ τὰ σωματικά. περὶ γὰρ ἐμὲ καὶ σὲ ταῦτα."2 καὶ πάλιν, "1θέλων σε,"2 φησὶν, "1ὁ σὸς πατὴρ γεγέννηκεν, ἢ μὴ θέλων;"2 καὶ αὖθις· "1ὁ χρόνος ἐν χρόνῳ, ἢ οὐκ ἐν χρόνῳ;"2 καὶ τὰ ἑξῆς παρίημι λέγειν, οἷς ὁπλίζει τὰς γλώσσας ἡμῶν, ὁπότε καὶ ἡμῖν βουλομένοις εἴη τὰς ἐκτόπους τῶν ἀντιθέτων ἀναλύειν ἔριδας. ταῦτα δ' οὐ βουλομένου θεολογεῖν ἐστιν, ἀλλὰ καὶ σφόδρα τι φεύγοντος, καὶ νουθετοῦντος ἡμᾶς, οὐ λόγοις μόνον, οὐδ' ἔργοις μόνον, ἀλλὰ καὶ πράξεσιν εὐλόγοις καὶ λόγοις ἐμπράκτοις."2 (Δ.) Ἐγὼ δὲ πολλὰ λέγειν ἔχων ἐκ τῶν τοῦ μεγάλου τοῦδε πατρὸς καὶ διδασκάλου τῆς ἐκκλησίας εἰς τὴν τῶν ἔμοιγε εἰρημένων ἀπόδειξιν, ὁπόσα γοῦν μοι κἀκεῖ λελάληται, λέγω δὴ περὶ τοῦ μήτε θεολογεῖν, μήτε περιεργάζεσθαι μήτε τοὺς ταῦτ' ἐπιτάττοντας, μήθ' ὧν ἕνεκα ἐπιτάττουσιν, ἱκανὰ καὶ ταῦθ' ἥγημαι πρός τε τὴν τῆς ἐμῆς ἀληθείας ἔνδειξιν πρός τε τὴν τῶν ἀντιθέτων ἀναίρεσιν. οὐ γὰρ ἀσυνέτοις νῦν ὁμιλοῦμεν, ἵνα πλειόνων δεοίμεθα λόγων. ἄλλως τε καὶ ᾧ τὸ ἱκανὸν οὐχ ἱκανὸν, οὐδὲν ἱκανόν· ᾧ δὲ καὶ τὸ μικρὸν ἱκανὸν, πάντ' οἶμαι γένοιτ' ἂν ἱκανά. ἰτέον οὖν ἐστι κἀπὶ τοὺς ἄλλους ἡμῖν, ἵν' ἐξ ἑκάστων βραχέα ἐρανισάμενοι, οἷς ἂν μήθ' ὑφιέναι τοῦ μάχεσθαι μήτ' αὖ συνιέναι ῥᾳδίως ἐξῇ, τούτων τὰ στόματα ῥᾳδίως ἡμεῖς ἀποῤῥάψωμεν. φησὶ 2.960



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τοίνυν καὶ ὁ πολὺς τὰ θεῖα Βασίλειος· "1ἀρκέσθητι λέγειν ὡς ἐδιδάχθης· καὶ μή μοι τὰ σοφὰ ταῦτα λέγε, ὅτι ἀγέννητόν ἐστιν, ἢ γεννητόν· καὶ εἰ μὲν ἀγέννητον, πατήρ· εἰ δὲ γεννητὸν, υἱός· εἰ δὲ μηδέτερον τούτων, κτίσμα. ἐγὼ γὰρ μετὰ τοῦ πατρὸς οἶδα, οὐ μὴν δὲ πατέρα, τὸ πνεῦμα· καὶ μετὰ τοῦ υἱοῦ παρέλαβον, οὐχ υἱὸν δ' ὠνομασμένον."2 καὶ πάλιν· "1ἀκολουθότερον ἦν, διὰ τὸ γεγεννῆσθαι τὸν υἱὸν, γέννημα προσαγορευθῆναι καὶ οὐχ υἱόν· ἀλλ' οὐκ εἴρηται. διὸ χρὴ τὸν πρὸ ὀφθαλμῶν ἔχοντα τὸ τοῦ Χριστοῦ δικαστήριον καὶ εἰδότα ὅσος ὁ κίνδυνος ἀφελεῖν τι ἢ προσθεῖναι τοῖς παραδεδομένοις ὑπὸ τοῦ πνεύματος, μὴ παρ' ἑαυτοῦ φιλοτιμεῖσθαι καινοτομεῖν· ἀλλὰ τοῖς προκατηγγελμένοις παρὰ τῶν ἁγίων ἐφησυχάζειν."2 καὶ πάλιν· "1πίστιν δὲ ἡμεῖς οὔτε παρ' ἄλλων γραφομένην ἡμῖν νεωτέρων παραδεχόμεθα, οὔτ' αὐτοὶ τὰ τῆς ἡμετέρας διανοίας γεννήματα παραδιδόναι τολμῶμεν, ἵνα μὴ ἀνθρώπινα ποιήσωμεν τὰ τῆς εὐσεβείας ῥήματα· ἀλλ' ἃ παρὰ τῶν ἁγίων πατέρων δεδιδάγμεθα, ταῦτα τοῖς ἐρωτῶσι διαγγέλλομεν."2 καὶ πάλιν· "1ὅτι τὸ τῆς θεολογίας μυστήριον τὴν ἐκ τῆς ἀβασανίστου πίστεως ζητεῖ συγκατάθεσιν, πιστεῦσαι δεῖ (φησὶν) ὅτι ἔστι θεὸς, καὶ μὴ ζητῆσαι μηδὲ ζυγομαχῆσαι τί ἐστιν."2 ὁρᾷς καὶ τὸν μέγαν τοῦτον διδάσκαλον, ὅσην τοῖς τοιούτοις ἀποδίδωσι τὴν αἰδῶ, καὶ αὐτός τε ὁμολογεῖ μὴ τολμᾷν μήτε τὰ θεῖα περιεργάζεσθαι, μήθ' ἕτερόν τι νεώτερον δέχεσθαι, 2.961 μήτ' αὐτοὺς παρεισάγειν· ἀλλ' ἐμμένειν ἁπλῶς τοῖς δοθεῖσι περὶ πίστεώς τε καὶ θεολογίας δόγμασι τῶν πρὸ αὐτοῦ διδασκάλων τῆς ἐκκλησίας αὐτός τε ἐπαγγέλλεται καὶ ἡμῖν ἐγκελεύεται; τίς οὖν οὕτως ἀνόητος ἔσται, ὡς τοιοῦτον κανόνα καὶ στάθμην τῆς ἐκκλησίας ταπεινώσει τοσαύτῃ χρώμενον βλέπων, ἔπειτα παρὰ φαῦλον θέμενος, εἰς ἀνδραποδώδη θελήσειεν ἀποτρέχειν ἤθη, καὶ πλὴν τῆς ὀψοποιητικῆς τε καὶ κραιπαλώσης ὀφρύος, καὶ τοῦ πρὸς ἀργύριον ὅλον ἀπασχολεῖν τὸ τοῦ νοῦ φανταζόμενον, πλέον εἰδότας ἀνθρώπους οὐδὲν, καὶ τῆς εὐνομίας τὴν ἀνομίαν ποιεῖσθαι κανόνα; Ἀλλ' ἵνα καὶ τὰ πλεῖστα τούτου παραδραμὼν ἐφ' ἑτέραν ἔλθω μεγάλην τῆς ἐκκλησίας σάλπιγγα, φησὶ καὶ ὁ θεῖος ἐν ταπεινώσει καρδίας Χρυσόστομος· "1τὰ γεγραμμένα δέχομαι· τὰ μὴ γεγραμμένα οὐκ ἐπιζητῶ. τὰ παραδεδομένα ἀσπάζομαι· τὰ μὴ παραδεδομένα οὐ πολυπραγμονῶ."2 καὶ πάλιν· "1σοφός τις"2, φησὶ, "1παραινεῖ λόγος, χαλεπώτερά σου μὴ ἐπιζήτει, καὶ ἰσχυρότερά σου μὴ ἐξέταζε. ἃ προσετάγη σοι, ταῦτα διανοοῦ."2 καὶ πάλιν· "1ἀρκεῖ πρὸς εὐσέβειαν εἰδέναι ὅτι ἔστι θεὸς, καὶ μηδὲν πλέον ζητεῖν."2 καὶ πάλιν· "1ἐὰν προσέλθῃ σοι"2, φησὶ, "1Μανιχαῖος, λέγων τὴν ὕλην προϋπάρχειν, κἂν Μαρκίων, κἂν Ἑλλήνων παῖδες, λέγε πρὸς αὐτούς· ἐν ἀρχῇ ἐποίησεν ὁ θεὸς οὐρανὸν καὶ τὴν γῆν. ἀλλ' οὐ πιστεύοι τῇ γραφῇ; ἀποστράφητι λοιπὸν αὐτὸν, ὡς μαινόμενον καὶ ἐξεστηκότα."2 καὶ πάλιν· "1οὐ παύσῃ, ὦ ἄνθρωπε, τὰ περιττὰ ζητῶν; περιττὸν γὰρ τοιαῦτα εἰκῇ πολυπραγμονεῖν. οὐδὲν τῆς ἀμαθίας ταύτης σοφώτερόν ἐστιν· ἐν 2.962 οἷς οἱ μὲν ἐπαγγελλόμενοι μηδὲν εἰδέναι σοφώτατοι πάντων εἰσίν."2 ἀλλὰ γὰρ ἐπιλείψει χρόνος ὅλος, κομίζειν θελήσαντα καὶ τοῦ μεγάλου τούτου φωστῆρος τῆς ἐκκλησίας, ὁπόσα θεολογεῖν τε ἀποτρέπει καὶ μόνην ἀσπάζεσθαι τῶν δογμάτων ὁμοῦ καὶ τῆς πίστεως ἁπλότητα. ἀλλ' ὅρα δή μοι καὶ τὸν μέγαν τῆς ἐκκλησίας ἀθλητὴν καὶ διδάσκαλον Ἀθανάσιον, μὴ ἀνέχεσθαι φάσκοντα τῶν κατὰ τῆς πίστεως ἐπιχειρούντων καινοτομεῖν, κἂν τὰς ἀπὸ τῶν γραφῶν λέξεις φθέγγωνται. "1οὐ γὰρ ὀρθῇ διανοίᾳ, ἀλλ' ὡς ἔνδυμα προβάτων τὰ ῥήματα περιβαλλόμενοι, ἔνδον τὰ Ἀρείου φρονοῦσιν, ὡς τῶν αἱρέσεων ἡγεμὼν διάβολος. καὶ γὰρ κἀκεῖνος ἐλάλει μὲν τὰ ἐκ τῶν γραφῶν, ἐφιμώθη δὲ παρὰ τοῦ σωτῆρος."2 ἀκούεις καὶ τούτου ταὐτὰ τοῖς προειλημμένοις διδάσκοντος. ἀλλὰ μηδὲ τὸν ἀσκητικώτατον παραδράμωμεν Ἰσαὰκ, παῦσαι λέγοντα θεολογεῖν, οὐ μόνον μετ' ἀλλοτρίων τῆς πίστεως, ἀλλὰ καὶ μετὰ τῶν οἰκείων αὐτῆς· μηδὲ τὸν πολὺν Ἰωάννην, τὸν τῆς ἀσκητικῆς ὑποστάτην κλίμακος· ὃς τὸ αἴτιον ἐφεξῆς οἱονεὶ τῆς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΠΤΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐκείνου ῥήσεως ἀποδίδωσι οὑτωσίν· "1οὐ γὰρ ἐγκληθησόμεθα"2, φησὶν, "1ἐν ἐξόδῳ ψυχῆς, ὅτι οὐ τεθεολογήκαμεν, ἀλλ' ὅτι ἀδιαλείπτως οὐ πεπενθήκαμεν."2 καὶ τί δεῖ βίβλων ἁμάξας ὅλας ἁγίων κομίζειν ὑμῖν, οἷς ἐξ ὀνύχων ἐστὶ γινώσκειν τὸν λέοντα; βαδιοῦμαι δ' ἐφ' ἕτερα. οὐ γὰρ εἶπον μὲν οἱ διδάσκαλοι ταυτὶ, οὐκ ἠσφαλίσαντο δὲ τοῖς προσήκουσι μοχλοῖς καὶ κλείθροις· οὐδ' ἠσφαλίσαντο 2.963 μὲν, οὐ περιήλασαν δ' ἐπ' ἐκείνοις ἔτι πύργους φάναι καὶ ἡμιπύργια, καὶ ἀφύκτοις συνέσφιγξαν ἀραῖς καὶ ἀναθέμασι. μετὰ γὰρ τό γε τοὺς εὐαγγελιζομένους ἕτερα μακρῷ καθυποβαλεῖν ὁ θεῖος ἀπόστολος ἀναθέματι καὶ τάδε φησὶν, εἰς μαρτύριον βεβαιότερον συμβιβάζων τὰ πάλαι τοῖς νῦν. "1γέγραπται γὰρ,"2 φησὶ, "1ἐπικατάρατος πᾶς ὃς οὐκ ἐμμένει πᾶσι τοῖς γεγραμμένοις ἐν τῷ βιβλίῳ τοῦ νόμου τοῦ ποιῆσαι αὐτά."2 ἐῶ γὰρ τὰς τῶν θείων καταλέγειν τούτοις συνόδων οἰκουμενικὰς πράξεις, ὅσοις καθ' ἕκαστον ἀναθέμασι τοὺς ἐκείνως ἔχοντας βάλλουσιν. ἀλλ' ἵν' ὡς ἐν κεφαλαίῳ συνελὼν εἴπω· "1πάντα,"2 φασὶ, "1τὰ παρὰ τὴν ἐκκλησιαστικὴν παράδοσίν τε καὶ ὑποτύπωσιν τῶν ἁγίων πατέρων καινοτομηθέντα τε καὶ πραχθέντα ἢ πραχθησόμενα, ἀνάθεμα ἔστω."2 β΄. Ἐπὶ τούτοις ἀνέκοψέ μοι τοῦ λόγου τὸν δρόμον ὁ βασιλεύς· καὶ λέγειν αὐτὸς ἐθέλων διχῇ καὶ τριχῇ τὴν γνώμην ἐσχίζετο. ἐβούλετο μὲν γὰρ τὰ τῷ Παλαμᾷ περαίνειν ἐπηγγελμένα, καθ' ἡσυχίαν δηλαδὴ καθημένῳ τοῖς ἄλλοις ὁμοῦ, καὶ προσωπεῖον αὐτοῦ παρ' ὅλον αὐτὸς καθίστασθαι τὸν ἀγῶνα λόγοις ἅμα καὶ πράγμασιν· ἐβούλετο δ' αὖ καὶ φιλοτιμίας ἐπίδειξίν τινα τῷ συλλόγῳ παρέχειν ποικίλον, μνημόσυνον ἑαυτῷ μηχανώμενος δῆθεν αἰώνιον καὶ γέμον καυχήματος ἐμβριθοῦς. ἔπειτα τὴν τοῦ ἀγῶνος διάθεσιν βλέπων οὐ κατὰ γνώμην ἐκβεβηκυῖαν αὐτῷ (οὐ γὰρ εἶχεν ἐκ πείρας ἰσχὺν ἀπαντᾷν εἰς τὰς προτεθείσας τῶν θείων πατέρων χρήσεις· οὔτ' αὖ λογισμῶν αὐτοχθόνων καρ 2.964 πός τις ὑπῆρχεν αὐτῷ, ἵν' ὅλην ἐκ περιουσίας ἑαυτῷ τὴν τοῦ συνειδότος πιστεύων ἡγεμονίαν μὴ ῥᾷστα ταῖς τῶν ἔξωθεν αἰφνιδίως ἐπεισρεόντων ἀπροσδοκήτων παρέχῃ παθῶν ἐμβολαῖς τὸ τῶν λογισμῶν περιτρέπεσθαι βουλευτήριον) ἐπὶ πόδα τε ἀνεχώρει καὶ συνεστέλλετο παραχρῆμα. πολλῶν οὖν ἀνελίξας ἐν βραχεῖ λογισμῶν λαβυρίνθους, καὶ πολλῶν ἠθῶν ἐπιπλανηθῆναι χρώματα δοὺς τῷ προσώπῳ κατὰ τὸ συμβεβηκὸς, καὶ μικράττα φθεγξάμενος, ὅσα τοῖς τοῦ λόγου προοιμίοις ἀρκέσειν εἰς κεφαλὴν ἐδόκει, τῷ Παλαμᾷ λοιπὸν τὴν τῶν ἐμοὶ προτεθέντων ἀπάντησιν παρεχώρει. (Β.) Τῷ δὲ καὶ αὐτῷ παρὰ προσδοκίαν τοῖς τοιούτοις ἐμπεπτωκότι (οὐ γὰρ ἦν ἐν μελέταις δεήσεσθαι λόγων οὐδὲ μικρῶν εἰς ἀπάντησιν· κατορθώσειν γὰρ ᾤετο πάντ' ἐν βραχεῖ βασιλικῆς δυνάμει χειρὸς καὶ χείλεσιν ἀφθόγγοις, ὡς μηδὲν εἰς τὴν ὑστεραίαν ὑπολειφθῆναι φροντίδος λείψανον ἡμετέρας) διηπορεῖτο καθ' ἑαυτὸν, αἰσχυνόμενος γλώσσῃ κωφῇ παραθέσθαι τὸ πρᾶγμα, καὶ φωραθῆναι γυμνὸς τῶν τῷ καιρῷ προσφυῶν νοημάτων. (Γ.) Ὀλιγομαθὴς γὰρ οὗτος ὢν, ὅταν ἰδίᾳ τοῖς προστυχοῦσιν ὁμιλῇ, ἢ δι' ἀμαθίαν οὐκ ἔχουσιν ἀντιφθέγγεσθαι, ἢ διὰ φιλίαν ἐλέγχειν συστελλομένοις, ἢ τό γε μεῖζον δεδιόσι μὴ τῆς αὐτοῦ πρὸς βασιλέα διαβολῆς ἀγώνισμα γένοιντο (ταὐτὸν γάρ ἐστι Παλαμᾷ τε ἀντειπεῖν κἀκ τοῦ προφανοῦς διαλοιδορεῖσθαι καὶ βασιλεῖ), ἐπαινεῖσθαι ἔδοξεν ἐνίοις ἐνιαχοῦ. ἐς δ' ὑπαίθρους ἀντιλογίας καὶ ἀντιθέσεις, κατ' ἔνστασιν ἀντιπαράστα 2.965 σιν ἐχούσας, εἰσαγόμενον πρόσωπον, ἀθαρσέστατός ἐστιν ἐπιεικῶς ὁ ἀνὴρ καὶ κομιδῇ ψοφοδεής· καὶ τὸ συνεχὲς ἀεὶ τῶν αὐτῷ λεγομένων καὶ γραφομένων συγχέων καὶ φθείρων ἐξ ἀμαθίας ἡμιτελῆ τινα καὶ ἡμίεργα φαίνεται κῶλα καὶ κόμματα συνυφαίνειν ταῖς τῶν λόγων ἐννοίαις· ὡς αἰνιγματώδεις εἶναι δοκεῖν αὐτοὺς καὶ ἀμφιβίους καὶ ἀμφιῤῥεπεῖς, καὶ οἷα τὰ βουγενῆ ἀνδρόπρωρα τοῖς θύραθεν λέλεκται φιλοσόφοις. οὐ μόνον δ' ἐκ τοῦ γε τὴν τῶν λόγων ἀλληλουχίαν αὐτὸν διασπᾷν ἀσαφῆ καὶ ἀδιανόητον τοῖς ἀκούουσι τίθησι τὴν διάνοιαν, ἀλλ' ὡς ἐπὶ τὸ πλεῖστον καὶ τοῦθ' ἁλίσκεται δρῶν ἐξεπίτηδες, ταῖς τῶν λέξεων ὁμωνύμοις καὶ διλήμματον νοῦν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

καλυπτούσαις χρώμενος· ἵνα κλέπτης ὢν ἀνασοβῇ τὴν σαγήνην τῆς ἀληθείας, ἐντεῦθεν ἐκεῖσε μετάγων τὸν νοῦν, κἀκεῖθεν ἐνταῦθα. καὶ ὥσπερ τοὺς τοῦ Πλάτωνος διαλόγους (ὡς ἔφη τις) ἄνω καὶ κάτω παιδικοὶ καθυβρίζουσιν ἔρωτες, οὕτω καὶ τούτου τοὺς λόγους ὁμωνυμίας ἐκτόπου καθυβρίζουσι σμήνη, νῦν μὲν ἄκοντος, ἀμαθίας ἀνακιρναμένης τῇ κακονοίᾳ· νῦν δ' ἑκόντος, πλάνης εἵνεκα τῶν ἀκουόντων, κρυπτούσης μὲν τὴν τῶν λόγων κακίαν, βλαπτούσης δ' ἔτι μᾶλλον, διὰ τὸ ἀμφιῤῥεπὲς τῶν λέξεων καὶ διπρόσωπον, οἷς ἂν μὴ σὺν ἐπιστήμῃ διεξιέναι ἐξῇ. τῷ γὰρ τῆς λέξεως οὗτοι παραπλησίῳ συναρπαζόμενοι ῥᾷστα τῷ τῆς πλάνης ἀγκίστρῳ περιπείρονται, ἀντὶ τοῦ προσήκοντος τῷ μὴ προσήκοντι τοῦ σημαινομένου προστρέχοντες ἐξ 2.966 ἀγνοίας, καθάπερ καὶ στρουθοὶ καὶ ἰχθύες ῥᾷστα ταῖς τῶν θηρευτῶν ἁλίσκονται παγίσιν, ὁρῶντες μὲν τὸν δόλον, οὐ συνορῶντες δὲ τὴν ἔνδον μηχανὴν, καὶ τῷ μὲν δόλῳ προσφύονται, τῇ ὑποκειμένῃ δὲ συνέχονται μηχανῇ. διὰ δὴ ταῦτα καὶ γέλωτα ὀφλισκάνων μειδιᾷν μὲν τῷ προσώπῳ δοκεῖ καὶ αὐτὸς, δεινὸν δ' ἐν καρδίᾳ καὶ παντὸς ἡγεῖται θανάτου μεῖζον· καὶ τὴν ἧτταν ἐξ ἀληθείας καρπούμενος διαπρίεται ὑπ' ὀργῆς· καὶ ἀμύνεσθαι βουλόμενος μὲν, οὐ δυνάμενος δὲ, καθάπερ εἰς ἀσπίδα καὶ τεῖχος καταφεύγει τὸν βασιλέα, μάλα θρασεῖαν καὶ διαβάλλουσαν ἐπαγόμενος γλῶτταν· καὶ οὑτωσί πως, οἱονεί τινι πανοπλίᾳ, τῇ βασιλικῇ καταχρώμενος αὐθεντίᾳ, τοῖς νικῶσιν ἀντιπεριϊστᾷν τὴν ἧτταν δοκεῖ· καθάπερ τὰ βρέφη, ἅπερ ὁπότε ταῖς τῶν γονέων χερσὶν ἀνεχόμενα τοῖς οἱοισδήτισιν ἀστείου χάριν ἀνδράσιν ἐπιῤῥιπτεῖται, χαίρει τε καὶ οἷον ἐπαγάλλεται τῇ νίκῃ, καὶ τὰς χεῖρας ἐπικροτεῖ. τὸν γὰρ αὐτὸν καὶ οὗτος τρόπον ποιῶν ὡς ἐφ' ὁμολογουμέναις ταῖς νίκαις σκιρτᾷ, καὶ οὐκ αἰδεῖται νηπιώδη μνηστευόμενος ἑαυτῷ καυχήματα, καὶ οἷα κἂν παῖς δραχμῆς ἐκ τῆς ὀρχήστρας ἢ ὀβολοῦ πρίασθαι αἰσχυνθείη. γράμμασι γὰρ σχεδὸν παντάπασιν ἀνομίλητον εὑρίσκων αὐτὸν ἄλλας τε τίθησι συσκευάζων διαβολὰς καὶ ῥᾷστα δεδίττεται, βασιλείας προφασιζόμενος κίνδυνον, εἰ ἐπικρατέστερά πως τὰ τῶν ἀντιθέτων λογικὰ προβλήματα γένοιτο· καὶ οὕτω κατεπᾴδων καὶ παρεξάγων τὰ ὦτα διηνεκῶς ῥᾷστα πρὸς τὸ βουλόμενον ἔχει συνεφελκόμενον· κἄπειτα μετὰ γαύρου καὶ μετεώρου περιϊὼν τοῦ ἤθους καὶ τοῦ φρονήματος ὅλην ἐπὶ τῆς ὀφρύος οἴεται φέρειν 2.967 τὴν Πιερίαν. (Δ.) Νῦν οὖν ἐπὶ τοσούτου θεάτρου πρὸς βασιλέως μικρὸν εἰς τὴν καθ' ἑαυτὸν ἀπάντησιν ἀφεθεὶς παρὰ τοσοῦτον ἧκε στενοχωρίας, ὥστε καὶ ἃ πολλάκις κἀν ταῖς ἀγυιαῖς κἀν ταῖς πλατείαις ἦν μεγαληγορῶν, λέληθε τέως αὐτὸν, καὶ ἀκροσφαλῆ τινα καὶ παραπεποδισμένην προὔτεινε γλῶτταν. οὐκ ἔχων γὰρ ἐκ τοῦ ῥᾴστου προχειροτέραν τοῖς λόγοις ἀρχὴν παρασχεῖν τὸν εἰωθότα καὶ νῦν ἐδόκει βαδίζειν δρόμον, κἀκεῖνον αὖθις τῆς ἀπορίας ποιεῖσθαι προκάλυμμα, καθάπερ οἱ κοχλίαι τὰ ὄστρακα καὶ τοὺς εἰωθότας καὶ ἀεὶ φερομένους οἰκίσκους. ὃ δὲ ἦν τὸ Θαβώριον ὄρος, ᾧ καὶ πάσας πανταχοῦ τῶν οἰκείων λόγων παρεκβάσεις ἐξεπίτηδες καὶ τὴν πλείστην ὡς ἐπὶ τὸ πλεῖστον τούτῳ δίδωσι τῷ μέρει τὴν διατριβήν. (Ε.) "1Ἐγὼ γὰρ (φησὶ) τῶν πατέρων ἀκούων, τὸ ἐν ὄρει τῷ Θαβωρίῳ φῶς τοῦ σωτῆρος λεγόντων ἄκτιστόν τε καὶ, παρὰ τὴν τοῦ θεοῦ οὐσίαν, ἄλλην θεότητα καὶ ἐνέργειαν, οὐκ ἄν ποτε φαίην ταὐτὸν ἐνέργειαν καὶ οὐσίαν θεοῦ, οὐδὲ τὸν υἱὸν καὶ λόγον τοῦ θεοῦ, σοφίαν καὶ δύναμιν καὶ ἁγιασμὸν καὶ ζωὴν καὶ ἀλήθειαν καὶ βουλήν. ταὐτὸν γὰρ ἂν εἴη λέγειν θεὸν ἀνενέργητον καὶ ἄσοφον καὶ ἀδύναμον καὶ ἀβούλητον καὶ ἄζων καὶ ἁπλῶς πάντων ἐστερημένον. εἰ γὰρ μὴ τὴν ἐνέργειαν φαίημεν διαφέρειν τῆς οὐσίας ἐκεῖ τοῦ θεοῦ, καὶ ἄλλην τινὰ καθ' ἑαυτὴν εἶναι θεότητα ταύτην, ἥτις ἐστὶ σοφία καὶ φῶς καὶ ζωὴ καὶ δύναμις καὶ ἁγιασμὸς καὶ ὅσα ἡ θεία γραφὴ τὸν θεὸν ὀνομάζει, λείπεται θεὸν 2.968 ἀνενέργητον οἴεσθαι σέβειν ἡμᾶς, καὶ ὅσα γε εἰρηκότες ἔφθημεν. ἢ πῶς ἂν εἴη κοινὴ τῶν τριῶν ὑποστάσεων, μὴ καθ' αὑτὴν ἀνυπόστατος οὖσα, θεότης ἑτέρα φύσεως καὶ ὑποστάσεων ἐκείνων; ἢ πῶς ἄλλως ἂν εἴη κοινὴ θεοῦ καὶ ἀνθρώπων



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐνέργεια, ἄκτιστός τε καὶ οὐσιώδης καὶ φυσική; οὐ γὰρ θέμις τὴν οὐσίαν οἴεσθαι τοῦ θεοῦ πρὸς τὰ γήϊνα κατιέναι καὶ σοφίζειν καὶ ἁγιάζειν καὶ ζωοποιεῖν (ἄπαγε· βλάσφημον γὰρ καὶ δαιμόνων εὕρεμα σκοτεινόν), ἀλλ' ἀφ' ἑκάστης ἕκαστα γίνεσθαι τῶν ἀκτίστων τούτων ἐνεργειῶν· ὧν οἱ μετέχοντες ἄκτιστοί τε γίνονται καὶ ἄκτιστα πράγματα, ὅσα τε νῦν καὶ ὅσα τοῖς προφήταις ἐφάνη θαυμάσια· ὧν καὶ βάτος, ἡ καινομένη μὲν, οὐ δαπανωμένη δέ· καὶ τὸ πύρινον ἅρμα τοῦ Ἠλίου, καὶ ὁ τὸν Ἰσραὴλ ὁδηγῶν πύρινος στῦλος ἐκεῖνος· καὶ ὁ τὰς ρπ χιλιάδας τῶν Ἀσσυρίων ἐν ῥιπῇ θανατώσας ἄγγελος· προσθήσω δ' ἔτι καὶ τὴν ἀνθρώπινον ἀφεῖσαν φθέγμα τοῦ Βαλαὰμ ὄνον, καὶ ὅσα τοιαῦτα κατὰ καιροὺς ἐγεγόνει θαύματα. οὐ γὰρ μετέχει τῆς οὐσίας οὐδαμῇ τῶν ἐν κόσμῳ κτισμάτων οὐδὲν τοῦ θεοῦ. τάχιστα γὰρ ἂν φθαρείη τὰ πάντα, πρὶν ἢ φθῆναι μετασχεῖν. φθαρτικὴ γὰρ ἐκείνη καὶ ἀναλωτικὴ τοῖς ἐγγίζειν ἐπειγομένοις ἐστί. σύμφωνα τοιγαροῦν τοῖς πατράσι λέγοντί μοι καὶ γράφοντι μικρὰ φροντίζειν ἔπεισι τῶν ἐγκαλούντων, ἅπαξ θεσμοθετηθὲν καὶ ἐπιψηφισθὲν, τῇ τοῦ Βαρλαὰμ καταλέγεσθαι μοίρᾳ, καὶ ἀποψηφίζεσθαι σφᾶς κατ' 2.969 ἐκεῖνον, ὁπόσοι μου κατηγορεῖν οὐκ ὀκνοῦσιν ἀεὶ, καὶ πολυθεΐαν καταψηφίζεσθαι, καὶ τἄλλα ὅσα σφίσιν ἠρίθμηταί τε καὶ συλλελόγισται κατ' ἐμοῦ. ἢ οὐκ ἴσασι, ὡς ὅτε ἐμοῦ πολυθεΐαν οὗτοι καταψηφίζονται, μονοθεΐαν ἐγὼ καταψηφίζομαι σφῶν καὶ γίνεταί σφισιν ἡ κατηγορία τοῦ ἐγκλήματος μείζων. οὐ γὰρ Ἰουδαίων καὶ Περσῶν εἰμι παῖς, ἵνα καὶ μονοθεΐτης ἀκούω, καθάπερ οἱ τάλανες οὗτοι. εἰ δέ που ταῖς λέξεσι οὗτοι μόναις προσχόντες ἥκιστα ταῖς διανοίαις συμβιβάζειν ἴσασιν αὐτὰς, τί τοῦτο τῇ ἀληθείᾳ λυμαίνεται, τῆς τῶν λόγων ἐννοίας ὑγιαινούσης;"2 (΄.) Ταῦτ' ἔλεγε· καὶ ἅμα, οἷς ἀεὶ μὴ στέργειν προὔθετο καὶ οἷς τὴν ἔργῳ παρέχεται μάχην καὶ ἀνθίσταται κομιδῇ τῶν λόγων αὐτοῦ πανταχῇ, τούτων μέρος ἀπειληφὼς προεκόμιζε. ταῖς γὰρ τῆς ἁγίας καὶ οἰκουμενικῆς ἕκτης συνόδου πράξεσι προὔργου ποιούμενος μάχεσθαί τε καὶ ἀντιπράττειν, ὡς προϊοῦσι δειχθήσεται, διαφθείρας τὸν νοῦν, ἐκ τοῦ μηδαμῇ συνιέναι δύνασθαι, διὰ τὰς ἐμφύτους κῆρας τῆς τε κακοηθείας καὶ ἀμαθίας, ὅμοιον ποιῶν τοῖς Ἐπικουρείοις· ὡς γὰρ ἐκεῖνοι, τῇ σφετέρᾳ δυνάμει τὸ τοῦ ἡλίου παραμετροῦντες φαινόμενον, ποδιαῖον τὸν ἥλιον ἀπεφαίνοντο εἶναι, οὕτω καὶ οὗτος τὴν ἀμβλύτητα τῆς ἑαυτοῦ διανοίας ταῖς τῶν ἁγίων προσνέμει γραφαῖς· καὶ ὥσπερ ἀσυμφώνους τῇ διανοίᾳ τὰς λέξεις τοῖς οἰκείοις συντίθησι λόγοις αὐτὸς, οὕτω καὶ τῶν ἁγίων οἴεται τὰς γραφὰς, καὶ οὕτω ταύτας παρεξηγεῖται. ἦν δ', ὃ τῆς ἁγίας ἕκτης συνόδου μόνον ἀπειληφὼς 2.970 προὔτεινε, τὸ, τὴν ἄκτιστον ἐνέργειαν ἄκτιστον οὐσίαν χαρακτη2.970 ρίζειν· κἀκ τῶν τοῦ θείου Βασιλείου τὸ, ἐκ τῶν ἐνεργειῶν γνωρίζομεν τὸν θεόν· ἡ γὰρ οὐσία αὐτοῦ μένει ἀμέθεκτος. γ΄. Ταῦτα δ' οὐχ ὅτι τὸν νοῦν εἰδέναι δυνάμενος ἔλεγεν, ὡς δειχθήσεται προϊοῦσιν ἡμῖν (μηδὲ γὰρ ἀνελέγκτους ἡμῖν οἴεσθε παραδραμεῖσθαι κἀκείνας ὁπόσας ἠκηκόειτε βλασφημίας αὐτοῦ. αἱ μὲν γὰρ καὶ προκαταλέλυνται μικρὸν ἀνωτέρω, λόγοις θ' ἡμετέροις καὶ γραφικαῖς μαρτυρίαις· αἱ δὲ προϊοῦσιν ἡμῖν ἱστὸς ἀράχνης σύν γε θεῷ φανήσονται) οὐχ ὅτι τοίνυν οἶδεν ἐκεῖνα προὔτεινεν. ἀλλ' ὁρῶν ὡπλισμένους ἡμᾶς καὶ σφόδρα τοι πεφραγμένους ἀφθόνοις ταῖς θείαις γραφαῖς, δεδιὼς μὴ ἀπὸ πρώτης, ὅ φασι, γραμμῆς κληροῦχος τῆς ἥττης γένηται, πρὶν εἰς ἐξέτασιν μείζω καὶ τελειοτέραν ἐληλυθέναι, συμφέρειν ἔδοξεν αὐτῷ, μετεωρίσαντι τὰς τῶν πολλῶν ἀκοὰς, δεῖξαι καὶ ἑαυτὸν τὰς θείας συνόδους ὁμοῦ τοῖς ἁγίοις πατράσι συναιρομένας ταῖς βλασφημίαις αὐτοῦ κεκτημένον, δέλεαρ τοῦτο τοῖς ἁπλουστέροις προτείνων, τῷ χαλκῷ τῆς ἀσεβείας αὐτοῦ περικείμενον. (Β.) Ἐπεὶ καὶ ὅταν συχνὰ ἐπιφέρῃ, κατὰ τοὺς θείους λέγειν πατέρας, τυφλὸν καὶ ἀσαφὲς τοῦτ' ἐπιφέρων, μήθ' οἵτινές εἰσιν οἱ λέγοντες, μήθ' ἃ λέγουσιν ἀποσαφῶν, οὐκ ἄλλους ἐν νῷ ἔχειν οἶμαι πατέρας αὐτὸν, ἢ ἑαυτὸν καὶ ὅσοι κατ' αὐτὸν κακόδοξοι πάλαι γεγένηνται. πλὴν γὰρ αὐτοῦ οὔθ' εὕρηταί ποθ' 2.971 οὕτω γραφόμενά τε καὶ νοούμενά τῳ τῶν ἁπάντων ἑτέρῳ μέχρι


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

καὶ ἐς τὴν τήμερον οὐδενὶ οὔτε πρὸς αὐτοῦ, οὔτε πρὸς ἡμῶν, οὔτε πρὸς ἑτέρου τῶν ἁπάντων οὐδενός. ἧ γὰρ ἂν ἐτίθει τε καὶ τὰς ἁπάντων ἀκοὰς περιηύλει, λαλίστερος ἑαυτοῦ γιγνόμενος, καὶ περιεκρότει πλέον ἢ θαλάττης ὑβριζούσης φλοῖσβοι παραλίους πέτρας. (Γ.) Ὅτι γὰρ ἀνωτέρω μικρὸν πρὸς τοῦ σοφωτάτου δέδεικται πατρὸς ἐκείνου τοῦ Γραπτοῦ Θεοδώρου, ὅτε τὰς τοῦ μεγάλου φωστῆρος τῆς ἐκκλησίας Βασιλείου ῥήσεις διερμηνεύων προκεκόμισταί μοι, ἐπὶ τῆς ἁπλῆς καὶ ἀσωμάτου λέγων φύσεως τὸν αὐτὸν ἐπιδέχεσθαι λόγον τὴν ἐνέργειαν τῇ οὐσίᾳ· (πρᾶγμα γὰρ αὐθύπαρκτον, μὴ δεόμενον ἑτέρου πρὸς σύστασιν, ὁπότερον ἂν ἐθέλοι τις, ἀπεφήνατο) δῆλον παντί που. ὅτι δὲ καὶ τοῦτ' ἐκείνῳ κατὰ ταὐτὸν κομιδῇ λαμπρῶς συναποδείκνυται, δῆλον ἂν εἴη καὶ τοῦτο τοῖς βουλομένοις. τὸ γὰρ ἄκτιστον ἐνέργειαν ἄκτιστον οὐσίαν χαρακτηρίζειν, εἰπόντα, μήτε μὴν διαφορὰν ἀκτίστου πρὸς ἄκτιστον (πῶς γάρ, ὃ τοῖς πᾶσι ὁμοῦ πατράσιν ἀπείρηται, μηδὲν τῆς θείας καὶ τρισυποστάτου φύσεως ἕτερον ἄκτιστον εἶναι διαῤῥήδην ὁμολογοῦσι) μήθ' ὅτι ἕτερον θατέρου θάτερον, τὴν πρὸς ἐκεῖνα δεικνύντος ἐστὶ συμφυΐαν τε καὶ ταὐτότητα. μηδὲ γὰρ ἄν ποτε φύσιν ἔχειν, ἐν τοῖς οὕτως ἀναγκαίοις διαφωνεῖν τοὺς ἁγίους. ὡς γὰρ ἐκεῖ λόγων ταὐτότης, οὕτως ἐνταῦθα τὸ χαρακτηρίζειν εἰς ἕνωσιν ἄγει τὰ τῇ λέξει δύο δοκοῦν 2.972 τα. τὸ γὰρ χαρακτηρίζειν τῷ δηλοῦν ταὐτόν ἐστιν· ὡς ἂν εἰ ἔλεγεν· ἡ ἄκτιστος ἐνέργεια, ἐπεὶ τῆς ἁπλῆς καὶ ἀσωμάτου λέγεται φύσεως, αὐτὴν τὴν ἄκτιστον οὐσίαν χαρακτηρίζει, καὶ δηλοῖ, καὶ παρίστησι. καὶ ἅμα βεβαιοῖ μοι τὸν λόγον ὁ χαρακτὴρ καὶ ἡ ἀπαράλλακτος τοῦ πατρὸς εἰκὼν, ὁ υἱός. (Δ.) Εἰ δὲ βούλεσθε, καὶ μαρτυρίας ἐγὼ προενεγκεῖν οὐκ ὀκνήσω μυρίας διαφόρων πατέρων, ἃς κατὰ τῶν ὁμοίων τῇ δόξῃ τἀνδρὶ τουτωῒ καλῶς ποιοῦντες ἐκεῖνοι πάλαι γεγράφασιν. αὐτίκα τοίνυν ὁ μέγας φησὶν Ἀθανάσιος· "1οὐκ ἀμφίβολον, ὅτι αὐτός ἐστιν ἡ τοῦ πατρὸς ζῶσα βουλὴ καὶ ἐνούσιος ἐνέργεια, καὶ λόγος ἀληθινός."2 καὶ πάλιν· "1ἑνὸς ὄντος υἱοῦ, τοῦ ζῶντος λόγου, μίαν εἶναι δεῖ τελείαν καὶ πλήρη τὴν ἁγιαστικὴν καὶ φωτιστικὴν ζωὴν, οὖσαν ἐνέργειαν αὐτοῦ καὶ δωρεὰν, ἥτις ἐκ πατρὸς ἐκπορεύεται."2 καὶ πάλιν· "1ἀλλ' οἱ ἀσεβεῖς οὐ θέλουσι λόγον καὶ βουλὴν ζῶσαν εἶναι τὸν υἱὸν, περὶ δὲ τὸν θεὸν βούλησιν καὶ φρόνησιν καὶ σοφίαν, ὡς ἕξιν συμβαίνουσαν καὶ ἀποσυμβαίνουσαν."2 (Ε.) Καὶ ὁμοίως ὁ θεῖός φησι Κύριλλος· "1εἰ ὁ υἱός ἐστιν ἡ ζῶσα καὶ οὐσιώδης ἐνέργεια καὶ δύναμις καὶ σοφία τοῦ πατρὸς, ἐνέργεια πάντως καὶ τοῦ υἱοῦ τὸ πνεῦμα τὸ ἅγιον."2 καὶ πάλιν· "1οὐκ ἀλλότριόν ἐστι τῆς θείας οὐσίας τὸ πνεῦμα τὸ ἅγιον, ἀλλ' ἐνέργεια φυσική τε καὶ οὐσιώδης καὶ ἐνυπόστατος."2 (΄.) Ὁρᾷς μαρτυρίας κομιδῇ σαφεστάτας, καὶ πᾶσι γνωρίμους αὐτόθεν, καὶ μηδὲν μήτ' αἰνιγματῶδες μήτε γρῖφον ἐχούσας, ἀλλ' ἐμφανῶς καὶ διαῤῥή 2.973 δην ἀπαγγελλούσας ἡμῖν, ἐπὶ τῆς ἁπλῆς καὶ θείας φύσεως τῇ οὐσίᾳ ταὐτὴν τὴν ἐνέργειαν εἶναι, καὶ οἷον αὐτοενέργειαν τὴν οὐσίαν, ὡς ἀνωτέρω που δέδεικται διαρκέστερον. ὁρᾷς δ' ὡς καὶ ἀσεβεῖς προφανῶς τοὺς μὴ ταῦτα βουλομένους ἀποκαλοῦσι οἱ θεῖοι πατέρες, καὶ ὅσα ἐπὶ τούτοις ἔτι φασίν. ἄλλως τε καὶ τὸ τὸν υἱὸν καὶ τὸ πνεῦμα τοῦ πατρὸς ἐνέργειαν φάσκειν τοὺς ἁγίους, τί δηλούντων ἐστὶν ἕτερον, ἢ τὸ τῆς οὐσίας καὶ ἐνεργείας ταὐτόν; (Ζ.) Εἰ γὰρ τῇ τῶν λέξεων δοίημεν προφορᾷ καθάπαξ ἕπεσθαι τὰς ἐννοίας, καθάπερ ἐπὶ τῶν συνθέτων, οὕτω κἀπὶ θεοῦ, οὐ διπλοῦν ἔσται μόνον τὸ ἁπλοῦν, ἐξ οὐσίας δηλαδὴ καὶ ἐνεργείας συγκείμενον, ἀλλὰ καὶ σφόδρα γέ τοι πολλαπλοῦν. τί γὰρ ἂν φαίη τις, τῶν ἁγίων ἀκούων λεγόντων, ἕνα θεὸν, μίαν ἀρχὴν αἰώνιον, ἄκτιστον, ἀγένητον, μίαν οὐσίαν, μίαν θεότητα, μίαν δύναμιν, μίαν θέλησιν, μίαν ἐνέργειαν, μίαν ἐξουσίαν, μίαν κυριότητα, μίαν βασιλείαν, ἐν τρισὶ τελείαις ὑποστάσεσι γνωριζομένην μιᾷ προσκυνήσει; μὴ πολλαπλοῦν καὶ ποικίλον καὶ πολυσύνθετον λέγουσι τὸν θεόν; ἄπαγε· πῶς γάρ, οἷς καὶ πᾶσαν ὥραν καὶ καιρὸν ἐμέλησε, σφίσι τε αὐτοῖς καὶ ἅμα ἀλλήλοις ὁμόφωνα λέγειν ἀεὶ, καὶ μὴ μᾶλλον μηδ' ἧττον ἀντίφωνον περὶ τῶν


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τοιούτων μηδὲν μηδαμῇ μηδεπώποτε φθέγξασθαι; ἁπλοῦν γάρ φασιν εἶναι τὸ θεῖον καὶ ἀσύνθετον· τὸ δ' ἐκ πολλῶν καὶ διαφόρων συγκείμενον, σύνθετον. εἰ γὰρ τὸ ἄκτιστον, φασὶ, καὶ ἄναρχον καὶ ἀσώματον καὶ ἀθάνατον 2.974 καὶ αἰώνιον καὶ ἀγαθὸν καὶ δημιουργικὸν καὶ τὰ τοιαῦτα οὐσιώδεις διαφορὰς εἴποιμεν ἐπὶ θεοῦ, τὸ ἐκ τοσούτων συγκείμενον οὐχ ἁπλοῦν ἔσται, ἀλλὰ σύνθετον· ὅπερ ἐσχάτης ἀσεβείας ἐστίν. ὁρᾷς; (Η.) Εἰ δ' οὕτως ἐπὶ τούτων, πῶς δ' οὐκ ἂν κἀπὶ δυάδος ὁμοίως νοηθείη διπλόη τις καὶ διαφορὰ τῆς ὑποκειμένης οὐσίας πρὸς τὴν ἐνέργειαν, ἐκεῖ διάφορον κατὰ τὸν Παλαμᾶν οὖσαν; ἡ γὰρ δυὰς οὐχ ἓν, οὐδ' ἁπλοῦν, οὐδ' ἄναρχον, οὐδ' ἄπειρον, ἀλλὰ σύνθετον ἐκπεπερασμένον. (Θ.) Πρὸς γὰρ τοῖς ἄλλοις καὶ ὁ θεῖος τάδε περὶ τῶν τοιούτων διέξεισι Μάξιμος. "1ἡ δυὰς οὔτ' ἄπειρος, οὔτ' ἄναρχος, οὔτ' ἀκίνητος, οὔτε μὴν ἀρχὴ καθόλου τινὸς εἶναι δυνήσεται."2 καὶ πάλιν· "1οὐδεὶς δὲ, μεμοιραμένος ὁπωσοῦν τοῦ λογίζεσθαι, εἴποι ἂν ἄπειρον εἶναι, ᾧ ἐξ ἀϊδίου συνθεωρεῖταί τι ἢ συνεπιθεωρεῖται κατ' οὐσίαν διάφορον."2 καὶ μετ' ὀλίγον· "1καθ' ὃν γὰρ εἴποιμεν λόγον ἢ τρόπον δύνασθαί τι ἕτερον αὐτῷ κατ' οὐσίαν διάφορον παραβάλλεσθαι, τὸν ὅλον τῆς ὅλης ἀπειρίας αὐτῷ συναφαιροίμεθα λόγον. εἰ δ' ἄπειρον εἶναι οὐ δύναται, ᾧ ἐξ ἀϊδίου συνυπάρχει ἕτερόν τι κατ' οὐσίαν διάφορον, ἄπειρον εἶναι οὐδαμῶς ἐνδέχεται δυάδα."2 καὶ ἀλλαχοῦ· "1οὐδὲν τῶν ὄντων ἄναρχον, ᾧ ἕτερον συνεπινοεῖται, οὐδ' ἀπερίγραπτον, οὗ τι ἕτερον προεπινοεῖσθαι δύναται."2 εἰ δέ τις μὴ ῥᾳθυμοτέραν πως ἔσχε τάξιν περί γε τὰ τοιαῦτα, ἀναγνώτω καὶ τῆς περὶ θεολογίας ἑκατοντάδος τουτουῒ τοῦ ἀνδρὸς 2.975 κεφάλαια ¯γ, ¯δ, ¯ε, ¯ , πολλὴν τοῖς ῥηθεῖσι διασώζοντα τὴν συμφωνίαν. (Ι.) Εἰ οὖν μήτε προεπινοεῖσθαι μήτε συνεπινοεῖσθαι τῇ θείᾳ δύναταί τι ἕτερον οὐσίᾳ, πῶς ἕτερον καὶ διάφορον οὖσα κατὰ τὸν Παλαμᾶν ἡ ἐνέργεια θεότης ἄκτιστος ἂν εἴη, παντὸς τοῦ μετὰ τὴν οὐσίαν ἐκείνην συναριθμουμένου τοῖς κτίσμασιν; δʹ. Ὅτι δὲ μὲ, καὶ πλείω προθυμούμενον λέγειν, ἥκιστα συνεχώρουν αἱ συνήθεις τῆς κεφαλῆς ἀλγηδόνες (ἡ γὰρ τῶν σπλάγχνων δριμύτης, αὔξην εἰληφυῖα μακρὰν ἐκ τῶν λογισμῶν ἀγώνων ἐκείνων, καὶ ἅμα τοῦ τῆς ὥρας καύματος, καὶ πρός γε τῆς πανημερίου νηστείας, καὶ ἄκοντα μάλα συνώθει σιγᾷν· οὐ γὰρ ἐξ ἑωθινοῦ ταῖς Συβαριτικαῖς ἐκείναις τραπέζαις καὶ ἡμεῖς κατὰ τοὺς παλαμναίους ἐνησχολήμεθα, οὐδ' ὅσα Διονύσου περιχορεύουσι θίασοι διατριβὴν παρέχειν ἐγνώκειμεν, ἀλλὰ παννύχιοί τε καὶ πανημέριοι φροντίδες καὶ θείων κινδυνευόντων μελέται δογμάτων τὴν ἡμῶν ἀπησχόλουν τότε ψυχήν) διὸ καὶ τὸν λόγον οἱ σὺν ἐμοὶ λογάδες ἄνδρες ἐκεῖνοι διαδεξάμενοι, ὧν τὸν βίον ἔφθημεν εἰρηκότες ἀρετὴν ὁμοῦ καὶ σοφίαν κοσμεῖν, ἄριστά τε καὶ τελεώτατα διειλέχθησαν, καὶ μάλα γενναίαν τὴν ὑπὲρ τῆς ἀληθείας ἔνδειξιν ἐνεδείξαντο. ῥᾴδιον δ' ἔσται κἀκεῖνα μανθάνειν τοῖς βουλομένοις ἐξ ὧν κἀκείνοις γεγένηται ὑπομνήματα. οὐδὲ γὰρ σιγῇ κρύψαντες οὐδ' αὐτοὶ λήθης ἀφῆκαν κληροῦσθαι βυθούς· ἀλλ' ὅσον ὁ τοῦ διωγμοῦ καιρὸς καὶ αὐτοῖς ὁμοίως ἡμῖν συγκεχώρηκε, γραφῇ τὰ τοιαῦτα παρέπεμψαν, καὶ, ὅσον 2.976 ἐφικτὸν, τὰ τῆς ἐκκλησίας ἐξετραγῴδησαν ἕκαστος πάθη, μήπου καὐτοῖς ὀψιγόνοις αἱ τῶν ἀντιθέτων πλεονεκτήσασαί πως διαβολαὶ τὰς ἀπειροκάλους λυμήνωνται διανοίας, οὐ σιδήρῳ καὶ πυρὶ καὶ ὅπλοις βαρβαρικοῖς, ἀλλὰ τῇ τῆς πολυμιγοῦς αἱρέσεως ἐκείνης κακίᾳ, θάνατον ἀθάνατον τῇ ἀθανάτῳ ψυχῇ προξενήσασαι. (Β.) Ἄρτι δὲ καὶ νὺξ ἐπιοῦσα ἠρέμα καὶ κατὰ βραχὺ τὰς ἡλιακὰς αὐγὰς ἐπεβόσκετο, καὶ τὰ τῆς ἡμέρας συνέστελλε κράσπεδα, καὶ τῶν ἀνθρωπίνων ὀφθαλμῶν τὸ καθαρῶς ἐν οἴκοις βλέπειν ἀφῃρεῖτο, καὶ λαμπάδες πυρὸς εἰσεφέροντο, φῶτα κτιστὰ κομίζουσαι· καὶ ἅμα ἀνεγινώσκοντο πάλιν, ἃ κατὰ τοῦ Βαρλαὰμ ἐκείνου τοῦ Καλαβροῦ περὶ τοῦ θείου φωτὸς ἐψήφισται πάλαι πολύν τινα χρόνον, κατὰ τὴν σφετέραν ἀεὶ συνήθειαν. μηδὲ γὰρ ἄλλην ἔχοντες ἀποστροφὴν οὐδαμῇ, μηδὲ προκάλυμμα τῆς σφετέρας ἥττης οὐδὲν, περὶ τὸ ὄρος ἐκεῖνο διηνεκῶς ἐξ ἀνάγκης εἱλοῦνται, καὶ συχνὴν παρ' ἐκεῖνο κακούργως



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ποιοῦνται τὴν ἀναχώρησιν, μὴ λάθῃ ῥοθίοις ἴσως παρενεχθέντα σιγῆς τὰ σφίσιν ἀεὶ τιθηνούμενά τε καὶ γαλακτοφορούμενα τῆς εἰκονομαχίας ὄργια. (Γ.) Σιγῆς οὖν ἡμῶν καταψηφισθείσης, καὶ τῶν ἐκεῖ ῥηθέντων τὰ πλείω κατὰ τὸ σφίσι βουλόμενον ἐξηγουμένων αὐτῶν, καὶ ἣν ὁ ἐκ Δαμάσκου φησὶ Ἰωάννης ὑπερτελῆ καὶ προτέλειον δόξαν, ἐκείνων ὑφειμένην ἀποδεικνύντων εἶναι θεότητα, τῆς θείας ἑτέραν οὐσίας, καὶ ἄκτιστον μὲν καθ' ἑαυτὴν, διαφέρουσαν δ' ἀπειράκις ἀπείρως, καὶ ἠλλοτριωμένην ἐκείνης παντάπασι, καὶ ἀνού 2.977 σιον, ἐτόλμησέ τις τῶν ἡμετέρων, "1ὦ ἥλιε,"2 περιπαθῶς ἀναβοῆσαι καὶ "1τί ἄν τις (φάναι) φαίη περὶ τοῦ σαρκωθέντος λόγου θεοῦ, ἐπεὶ γὰρ ὑπὲρ ταύτην οὐ δύναταί τι ὑπάρχειν (πῶς γὰρ, ὑπερτελῆ καὶ προτέλειον οὖσαν; τῆς γὰρ ὑπερτελοῦς οὐδὲν τελεώτερον) ἔοικεν αὐτὸν ὑποβεβηκότα καὶ τῆς ὑφειμένης ταύτης εἶναι καὶ τῶν κτισμάτων πολλῶν. καὶ λύεται μὲν εὐθὺς τὸ μέγα τῆς ἐνσάρκου οἰκονομίας μυστήριον, καὶ ἅμα πάντα συλλήβδην εἰπεῖν ἐκκλησίας δόγματα· καὶ οὐδὲ ποιητὴν τοῦ παντὸς ἔχει τις ἂν ἔτι δοξάζειν ἕτερον, πλὴν τῆς νεωστὶ ψηφισθείσης καὶ δογματισθείσης ταύτης ἀνουσίου καὶ ὑφειμένης θεότητος. καὶ ματαία λοιπὸν ἡ μέχρι νῦν ὀρθοδόξων εὐσέβεια, καὶ δῆμος ἁγίων ἔφθαρταί πως, μὴ συνέντων ἃ κηρύττει Παλαμᾶς. τῆς ἀνοχῆς σου Χριστέ!"2 ταῦτ' εἶπε· καὶ πάνυ σφοδρῶς ἐπιτιμηθεὶς ἔπτηξέ τε καὶ σεσιώπηκεν. ἤκουσε γὰρ, μὴ θεμιτὸν ἐν βασιλείοις εἶναι, βασιλικοῖς βουλήμασί τε καὶ δόγμασιν ἀντιλέγειν, ὃς τὸν ἐς τὴν ὑστεραίαν ἥλιον ἀπαθὴς θεάσασθαι βούλοιτο. καὶ πολλῶν δ' ἄλλων ἐπὶ τούτοις ἐκεῖ λαληθέντων ἐκείνοις κατ' ἔφεσιν ἡγεμονικὴν, ὁ σύλλογος διελύετο, τριταίους αὖθις προσταχθὲν ἐς τὴν ὁμοίαν ἐκκλησίαν δεῖν ἀθροισθῆναι ἡμᾶς. ἀλλ' ἐκεῖνο μικροῦ με παρέδραμε. (Δ.) Πρὶν γὰρ δεδυκέναι τὸν ἥλιον, ἠρέμα καὶ κατ' ὀλίγους ὁ δῆμός τε ὑπεξῄεσαν καὶ ἅμα ἐπὶ τούτοις καὶ σὺν τούτοις, ὅσον τῆς πόλεως ὄψις ὑπῆρχε, σύνδυο καὶ σύντρεις λεληθότως 2.978 ὑπεξιόντες, ἀνεχώρουν οἴκαδε· οἳ δὴ καὶ τρανῇ τῇ φωνῇ, διϊόντες τε καὶ περιϊόντες, ἐκήρυττον ἅ τ' εἶδον ἅ τ' ἤκουσαν· ὡς ἀκουστὴν ἐν βραχεῖ καὶ θεατρικὴν γενέσθαι πάσῃ τῇ πόλει τὴν μετ' αἰσχύνης ἧτταν τοῦ Παλαμᾶ, καὶ οἵτινες εἶεν ὁμόδοξοι τουτωΐ, καὶ ἅμα τὰς αἰτίας, δι' ἃς ἡττήθη τε καὶ ᾐσχύνθη. ὅθεν τῶν οἰκιῶν ἐκθέοντες, ὡς ἔτυχον ἕκαστοι, φύρδην εἰπεῖν, ἄνδρες, γυναῖκες, ὁμοῦ καὶ παισὶ, τάς τε παρόδους καὶ τὰς τριόδους συχνοὶ καὶ σποράδην καὶ ἀναμὶξ διελάγχανον, ἄλλοι κατ' ἄλλα μέρη τῶν ὁδῶν συνιστάμενοι, καὶ ἐποπτεύοντες καὶ ἀνερευνῶντες ὅστις εἴη ὁ Παλαμᾶς, ἐφιέμενοι τοὺς ὀδόντας ἐμπῆξαι τῷ ταλαιπώρῳ, ὅτι τὰ πάτρια τῆς τοῦ θεοῦ ἐκκλησίας καταλύειν τολμῴη δόγματα· καὶ ἅμα συχνοῖς ἀναθέμασι καθυπέβαλλον, ὥσπερ ἀπὸ συνθήματος ἅπαντες· ὡς ἐκεῖνον, δείσαντα μὴ διασπαραχθῇ περιφανῶς οὑτωσὶ, συσταλῆναί τε τὴν ταχίστην καὶ ἀποκρύψασθαι. τῶν δ' ἄλλων, ὅστις ἔγνωσται σαφῶς τῆς ἐκείνου φατρίας ὢν, χωρὶς πληγῶν οὐδεὶς ἀπηλλάττετο, πλὴν ὅστις ὑπόκρισιν ἑτέρου προσώπου λαμβάνων ὁμοίως τοῖς ἄλλοις ἀναθέματι καὶ ἀραῖς Παλαμᾶν καὶ αὐτὸς καθυπέβαλλε. καὶ μὲν δὴ κατόπιν ἡμᾶς ἐπιόντας τοῖς ὕμνοις ἐγέραιρόν τε καὶ ἐστεφάνουν, ὡς τῆς πατρίου δόξης καὶ εὐσεβείας ἀθλητὰς καὶ προβόλους καὶ ῥᾷστα δὴ τὸ ζῆν ἑτοίμους προΐεσθαι λαμπρῶς ὑπὲρ τῶν κειμένων ἄνωθεν τῆς τοῦ θεοῦ ἐκκλησίας δογμάτων. (Ε.) Καὶ ὁ μὲν τῆς πρώτης ἡμῖν ἡμέρας ἐκείνης πλοῦς οὕτω καλῶς καὶ σὺν ἀσφαλείᾳ διήνυσται, τῆς τοῦ θεοῦ δεξιᾶς οἰακιζούσης τὴν τῶν ἡμετέρων ἀγώνων ὁλκάδα καὶ κῦμα 2.979 πᾶν ἀντιβαῖνον ἰσχυρῶς ἀποτρεπομένης. πολλαῖς γὰρ χειμώνων ἀντιπνοίαις περιτυχόντες, ἀρχοντικῶν τε καὶ ἡγεμονικῶν, πολλαῖς δ' ἐμπεπτωκότες πειρατῶν εἰπεῖν ἐφεδρείαις, πρεσβυτέρων, ἐπισκόπων τε καὶ τῶν τοιούτων (ἐῶ γὰρ τῶν γε παραβομβούντων κολάκων τὸ πλῆθος) ὑπερέσχομεν ξύν γε θεῷ, κινδύνου παντὸς καταπεπλευκότες ὑπέρτεροι. εἰ δὲ μὴ καὶ τοὺς ἀνθισταμένους αἰσθέσθαι πεπείκαμεν, καὶ ἀνανῆψαι, καθάπερ ἐκ μέθης μεγάλης, τῆς πλάνης, καινὸν οὐδέν. κύριοι γὰρ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἡμεῖς οὐ τῆς τῶν ἀλλοτρίων γνώμης, ἀλλὰ τῆς πρὸς τὸ τοῦ ζήλου καλὸν ὁρμῆς καὶ τῶν ὑπὲρ τῆς ἀληθείας λόγων· τῶν δ' ἐντεῦθεν ἀποβαινόντων, μόνη καθάπαξ ἡ δυναστεύουσα κρίσις ἅμα καὶ χείρ. ταύτην δ' εἰς ἀντίπαλον τῆς ἀληθείας μοῖραν ἀποῤῥαγεῖσαν ὁλοσχερῶς, καὶ τῷ χρόνῳ βεβαιωθεῖσαν, σιδηρᾶν τινα καταστῆναι ξυμπέπτωκε καὶ ἀνεπίστροφον ὅλως εἰς τὴν τοῦ κρείττονος φύσιν. οὐ γὰρ δικαιοσύνης ἄσκησις, οὐδ' ἐπιστήμης κανόνες, ἀνεχάλκευσάν τε καὶ οὕτως ἐσφυρηλάτησαν, ἀλλ' ἐριννύες κακοδαίμονες καὶ πονηρῶν Τελχίνων θίασος. τὰ μὲν γὰρ ἀπὸ δικαίας ἀρχόμενα ῥίζης καὶ εὐπαγοῦς μονιμώτερον καὶ τὸ ἄνθος φυλάττει, καὶ οὐ ῥᾷστα θορυβούμενον ὑφ' ἡλιακοῦ τινος καύσωνος· τὰ δ' ἀσθενῆ καὶ ἀδόκιμον ἔχοντα τοῦ καλοῦ τὴν ἀρχὴν ἐν μέσῃ τῇ ἀναδρομῇ μαραινομένην ὡς τὰ πολλὰ τὴν τῆς ἀρετῆς ἀκμὴν καταλείπει. διότι ἐκεῖ μὲν αὐτοφυεῖς τινες καὶ αὐτόχθονες τοῦ καλοῦ συνοικοῦντες τρόποι πρόδρομον κήρυκα τὴν τοῦ ἄνθους 2.980 αὐτάρκη παρέχονται βλάστην, ἐκ τῆς προφανοῦς οἱονεὶ μαντικῆς τἀφανοῦς τὴν εὐγένειαν ἐμφανίζοντες. ἐνταῦθα δ' ἀχορήγητον ἔχουσαι ῥίζαν ἀγαθῶν πηγῶν ἀφθονίας, αἱ τοῦ ψεύδους αὔλακες, βραχὺ φανεῖσαι, λοιπὸν ἀπεκρύψαντο. τὸ γὰρ ἀπ' εὐνοίας καὶ δικαίου πηγαζόμενον ζήλου, εἰ μὴ προσηκόντων ἐπιτυχὲς κατασταίη, ἀδικεῖται μὲν οὐκ αὐτό· ἀλλ' ὃς τὰς τῆς δίκης μὲν λαχὼν διευθύνειν πλάστιγγας, ἔπειτα τῆς τοῦ προσήκοντος ἀποῤῥαγεὶς φαντασίας, οὐκ ἐνέμεινεν οἷς ἔστερξεν. εʹ. Ὁ μέντοι Παλαμᾶς περίφοβον ὅλην ἐκείνην τὴν νύκτα διενεγκὼν, καὶ μάλιστα πεφροντισμένην, ἅμα ἕω ἀπῄει ἐς τὰ βασίλεια, ὑβριοπαθῶν καὶ μανίας μεστός· καὶ τῷ βασιλεῖ παραστὰς γλώττης ἀσελγείᾳ τὸ μαινόμενον ἐδημοσίευε τῆς ψυχῆς, τά τε χθὲς αὐτῷ συμπεσόντα περιπαθῶς ἀφηγούμενος καὶ πρὸς πάντας θυμοὺς ἐκριπίζων αὐτοῦ καθ' ἡμῶν τὴν ψυχήν· καθάπερ θαλάττης πρόσωπον, ὁπότε βαρὺς καὶ μαινόμενος ἀπαρκτίας ἐνσκήψειεν ἐπ' αὐτὴν, αἰτίους ἡμᾶς ὁμόσε προφασιζόμενος γεγενῆσθαι τῆς τῶν Βυζαντίων ἐκείνης φορᾶς κατ' αὐτοῦ. (Β.) Καὶ "1εἰ μὴ διαναστῆναι βούλοιο πρὸς ἐκδίκησιν,"2 φησὶ, "1κατὰ τῆς βασιλείας αὐτῆς αὐτίκα μάλα τὸν κίνδυνον ἥξειν προσδόκα. οἶσθα γὰρ, οἶσθα σαφῶς, ὡς ἅπερ ἐμοὶ νενόμισται περὶ πίστεως καὶ δογμάτων, ταῦτα πάντως καὶ σοί. ἐῶ γὰρ λέγειν λοιδοριῶν καὶ χλευασμῶν, εἰρωνείας μεστῶν, ὁπόσοι πολλοὶ καὶ ποικίλοι παρὰ τὰς ἀγυιὰς καὶ πλατείας ἀκρατῶς καλινδοῦνται, μακρὰν ἡμῖν τὴν ἀσέβειαν ἐγκαλοῦντες, καὶ τῆς ὅλης πίστεως ἐμφανῆ παρα 2.981 σπόνδησιν. οὐ γάρ ἐστιν, οὐκ ἔστιν, ἐμοὶ μαχομένους σοί γ' εὐνοεῖν· οὐδ' αὖ τοῖς ἐμοῖς ἀντιλέγοντας δόγμασιν ἅμα συναίρεσθαι σοί. σὺ δ' εἰ μὴ πρὶν, ἀλλὰ νῦν ὀψὲ γοῦν ὀρθῶς τῶν ἐμῶν βουλευμάτων ἐκείνων μεμνήσῃ. ἢ οὐδὲ λόγων ἐγώ σοι προὔλεγον οὐδὲ μικρῶν γοῦν μεταδιδόναι χρή σφισι καὶ παῤῥησίας; ἢ πόθεν ἄλλοθεν παμπληθὲς κεκίνηται καθ' ἡμῶν, καὶ τίς εἰς τοσαύτην καὶ τοιαύτην κακίαν ἐξέμηνε τὴν ταχίστην, μὴ μόνον ὁπόσον τοῦ δήμου, ἀλλ' ἤδη καὶ ὅσον ὄψιν ἔχει τιμῆς τε καὶ γένους εὐκλεεστέρου; οὐδαμόθεν ἄλλοθεν, ἢ τῆς τοῦ Γρηγορίου μακρηγορίας ἐκείνης, οὐδὲν γαληνὸν οὐδὲ λεῖον ἐχούσης, ἀλλὰ πολὺ μὲν καὶ ποικίλον, καὶ οἷον εἰπεῖν ἀκανθῶδες ὅλον, τῆς περινοίας τὸ ὑφέρπον ἀπεμφαινούσης· δημοτερποῦς δ' ἄλλως, καὶ πρός γε τὸ δημαγωγικώτερον εὖ συγκειμένης, καὶ συναναχρωννυμένης ἠρέμα πρὸς τὴν πλὴν ἡμῶν τῶν ἄλλων θέλησιν. ἢ πῶς οὐκ ἂν εἰς θάρσος ἐπῆρτο περιφανῶς, οὐδὲν ἀντιβαῖνον καὶ βίαιον φάσκοντά σε θεώμενος, οὐδὲ δρῶντα μηδὲν κατὰ τῆς παῤῥησίας καὶ τῶν ἐλέγχων ἐκείνων, καὶ ὅσα μεταξὺ χαριεντίσματα προὔφερε, κοινῇ κατειρωνευόμενος ἅπαντας καὶ σκώπτων εἰς ἀμαθίαν, καὶ μηδὲν ἐκ τοῦ ἥττονος φάσκων, ἀλλ' ὅλον τὸν λόγον κατατείνων δόλιχον ἀδεῶς κἀπὶ γλώττης συχνὰ παρεισκυκλῶν ἐκ τοῦ μείζονος τὸ πάτριον σέβας τῆς πίστεως, καὶ τὸ μὴ χρῆναι κινεῖν πατέρων ὅρια, μηδ' εὐαγγελίζεσθαι τῶν κυρω 2.982 θέντων καὶ παραληφθέντων ἕτερα, ἀλλ' ἐκείνοις μόνοις ἐμμένειν καὶ στέργειν τὸν ἅπαντα



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

χρόνον, οἷς τε ἔμαθέ τις καὶ ἐπιστώθη πρὸς τῶν ἀποστολικῶν κανόνων καὶ θεσμῶν. καὶ τί δεῖ πάντ' ἐκεῖνα λέγειν καθ' ἕκαστα; ἴσασι γὰρ ἅπαντες, ὁπόσοι τοῦ θεάτρου γεγόνασιν ἐκείνου μεστοὶ, πῶς ἐκείνην σχεδὸν ἀνάλωσε τὴν ἡμέραν, ἐν ἁπλότητι λόγων ὑποκαθημένην τε καὶ ὑφέρπουσαν οἱονεὶ προλοχίζων καὶ παραμιγνὺς περίνοιαν, καὶ τὰ μὲν οἰκεῖα ἐξαίρων, τῶν κειμένων ὅρων δῆθεν ἐξιόντα οὐδαμῆ, πασῶν δὲ καὶ παντοίων γεμούσας ἐκτόπων ἐπιεικῶς ἀποφαίνων βλασφημιῶν τὰς ἐμὰς συγγραφάς· ὡς πάνθ' ὁμοῦ λαμπρῶς ἐκδημαγωγηθῆναι τὰ πλήθη· παροξυνθῆναι δ' ἅπαντας καθ' ἡμῶν, ὅσοι τε τῶν εὐπατριδῶν καὶ ὅσοι τῶν ἄλλως ἐχόντων. ἀλλ' ἄγε δὴ, μεταπεμψάμενος πάντας ἀγορανόμους ὁμοῦ καὶ δημάρχους, κέλευε μαστιγίας ἐκείνους ἅπαντας ἀποδεῖξαι ταχέως, καὶ τῶν ἱματίων γυμνοὺς, καὶ ἅμα πάσαις καὶ παντοδαπαῖς ἐγκεκλεισμένους εἱρκταῖς, ὅσοι τοῦ σύρφακος ὄχλου τυχόντες οὐκ αἰδοῦνται τοῖς ὑπὲρ δύναμιν ἐγχειροῦντες, ἵνα μονότροπός τις ἅπασι γένηται φόβος· ὥστε τῆς ἀγοραίου καὶ θεατρικῆς παῤῥησίας τὴν ταχίστην ἀποσχομένους πρὸς τὴν ὡρισμένην ἕκαστον ἐπείγεσθαι τοῦ βίου τελευτὴν οὑτωσί. κἄπειτά σοι δεδογμένον ἔστω, καὶ προὐργιαίτατον ἁπάντων μάλιστα, συνέδριον ἅμα τῷ πατριάρχῃ τήμερον πάντων ἐνταῦθα γενέσθαι τῶν ἐπισκόπων. ἅπασι γὰρ ἐπὶ ξυροῦ τὰ τῆς καταδίκης ἐπίσης ἵσταται, συλλειτουργοῖς καὶ ὁμόφροσιν ἅπασιν οὖσιν ἡμῖν· καὶ χρὴ πᾶσιν ἐπίσης φροντίζειν ὑπὲρ σφῶν αὐτῶν. εἰ δέ τινες, εὐλαβείας προφάσει, τῆς ἡμῶν ὁμο 2.983 νοίας ἀποῤῥήγνυσθαι πάνυ τολμῷεν, τάχιστ' ἂν σοῦ βουλομένου τῆς σφετέρας αἴσθοιντο κακοβουλίας. οὔτε γὰρ ἐκείνους ἕξουσιν οὓς εἵλοντο φίλους, καὶ ἅμα οὓς ἔχουσιν, ἀπολωλεκέναι σφίσι δεήσει· μᾶλλον δ' ὧν ἔχουσιν ἐπισκοπῶν στερήσονται, καὶ ἅμα τῶν προσδοκωμένων ἀπὸ σοῦ λημμάτων ἥκιστα ἐπιτεύξονται· καὶ πρός γε ὧν ἀποτυγχάνουσι οὗτοι βλέποντες ἀντιλαμβανομένους ἑτέρους, ἀποπνιγήσονται ῥᾷστα τοῖς ἐκτόποις νέφεσι τῶν λογισμῶν· καὶ ἢ μεταμεληθέντες ἐμπειρίας τοῖς ἄλλοις ὑπόδειγμα πρὸς τὸ βέλτιον ἔσονται· ἢ τῇ κακοβουλίᾳ στοιχήσαντες, ἥνπερ εἵλοντο, ταύτῃ καὶ συμφθαρήσονται, γεγονότες εἰς ἀβάτους ἐρημίας ἐξόριστοι. ταύτην ἔγωγε μόνην ὁρῶ τὴν ὁδὸν, ἐπιῤῥῶσαι μὲν ἱκανὴν τὰ ἡμέτερα, τὰ δὲ τῶν ἀντιθέτων ῥᾳδίως κατενεγκεῖν. εἰ γὰρ ἀνίσχυροι τήμερον ὑφ' ἡμῶν οὑτωσὶ καθιστάμενοι παρανόμων γράφονται ἡμᾶς, εἰ χώραν ἕξουσι τοῖς προβαλλομένοις ἐγκλήμασι καὶ θρόνων καὶ τιμῶν ἀπελαύνειν ἡμᾶς, ποῦ οὐκ ἂν αἰσχύνης ἐλάσειε τὰ ἡμέτερα, ποῦ δ' οὐκ ἂν ὀφρύος καὶ τύφου τὰ σφέτερα αὐτῶν; ἦ πολλὴ μεντἂν εἴη ῥαθυμία, καὶ θανάτου φάναι γείτων κομιδῇ, περιορᾷν καθημένους ἡμᾶς οὑτωσὶ ἀργοὺς, καὶ τὰ μέγιστα περὶ ἐλαχίστου τιθέντας, μὴ πρὶν ἢ πᾶν τι παθεῖν, ἀντιπεριάγειν ἐκείνοις ὅλῃ δυνάμει τἀγκλήματα καὶ τοὺς ἐντεῦθεν κινδύνους, ἡμᾶς δὲ καθῆσθαι κριτὰς ἐκείνων καὶ ἄρχοντας, καὶ ὅπερ ἂν ἡμῖν δόξειε, τοῦτ' εἶναι σφίσι νόμον καὶ δόγμα, καὶ πᾶν ὅτιπερ ἂν ἡμῖν αὐτοῖς ἐπι 2.984 κλώσειε πεπρωμένη καὶ τύχη, τοῦτ' εἶναι στεῤῥὰν τῶν σφίσι πραγμάτων κρηπῖδα καὶ ἀμετάκλωστον βίου παντὸς ἐφόδιον."2 (Γ.) Καὶ ταῦτα μὲν οὕτως εἴρηται τῷ θαυμαστῷ Παλαμᾷ· καὶ οὐκ εἴρηται μὲν, οὐ πέπρακται δ' εὐθύς· οὐδὲ πέπρακται μὲν εὐθὺς, οὐχ ὡς συντέτακται δέ· ἀλλὰ καὶ πέπρακται μὲν αὐθημερὸν, τελεώτερον δ' ἢ καθ' ἅπαν τὸ σύνθημα. οὕτως ὀξύῤῥοπον δείκνυσιν εἰς ἔργα τὸν βασιλέα τῆς τοῦ Παλαμᾶ τιμῆς ὁ πόθος, καὶ πάντων ἔργων ἔμπροσθεν τὰ τῆς ἐκείνου γνώμης τίθεται δόγματα. τὰ μὲν γὰρ ἔπραττε παραχρῆμα, τὰ δ' ἐπηγγείλατο παραχρῆμα. (Δ.) Ἦν τότε ἰδεῖν παντοδαπῶν ἀνθρώπων μεριζομένας τὰς γνώμας, καὶ τῶν μὲν θαρσαλεωτέρων μάλιστα νῦν γινομένων, καὶ πλείονα πῆξιν τῇ πρὸς θεὸν ἐλπίδι καὶ πίστει παρεχομένων, καὶ πρὸς ἀθλητικοὺς ὁπλιζομένων τὴν γνώμην ἀγῶνας καὶ μαρτυρικὰ παλαίσματα· τοὺς δ' ὑπ' ὀδόντα τῇ θηριωδίᾳ λοιδορουμένους τῶν διωκτῶν· τοὺς δ' ὑπεπτηχότας ὑπὸ φρίκης καὶ δέους τῶν τε παρόντων καὶ φαινομένων δεινῶν, τῶν θ' ὑποπτευομένων μὲν, μείζω δ' ἢ κατὰ τὰ φαινόμενα τὸν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

θόρυβον τῇ ψυχῇ προαναφωνούντων· καὶ νῦν μὲν καταδυομένους καὶ κρυπτομένους· νῦν δ' ἀναδυομένους, ὡς ἐξ ᾅδου πυλῶν, καὶ φαινομένους οἷς ἐθάῤῥουν, καὶ στεναγμοῖς ἀφθόγγοις ὁμοῦ καὶ δάκρυσι κλεπτομένοις ὑποδηλοῦντας τὴν ἄδηλον κάμινον τῆς ψυχῆς. εἶεν. ΄. Οὕτω γε μὴν τουτωνὶ γιγνομένων, καὶ οὕτω πανηγυρί 2.985 ζοντος διωγμοῦ τῆς πόλεως θέατρον γενομένης ἁπάσης, ἧκεν ἡ τρίτη τῆς προθεσμίας ἡμέρα, καθ' ἣν ἐχρῆν τὴν δευτέραν συνιόντας αὖθις ἡμᾶς ἐκτελεῖν ἐκκλησίαν· καὶ πάλιν εἰς τὴν ἐμὴν οἰκίαν τὸ καθ' ἡμᾶς ἠθροίζετο μέρος, κατὰ τὴν ἤδη ῥηθεῖσαν εἰκόνα τῆς πρώτης ἐκείνης ἡμέρας. ἐμοὶ μὲν οὖν ἅπαν ἀπηγορευκότι τὸ εὔελπι, δι' ἃ μοι δεδήλωται, καὶ μηκέτι μηδὲν τὸ ἁμιλλώμενον λείπεσθαι πρὸς τοσαύτην ἐξ ἀντιπάλου ῥαγεῖσαν κακίαν σαφῶς ἐγνωκότι, καὶ ἅμα ῥοπὴν εἰληφυίας ἐκ τῶν παρόντων ἀγώνων καὶ λογισμῶν ἐπιπονώτερον ἤδη πολλῷ τῆς ἐμῆς συνορῶντι κατορχουμένας κεφαλῆς τὰς συνήθεις ὀδύνας αὐτῆς, βέλτιον ἔδοξεν, ἐῤῥῶσθαι φράσαντα συνόδους καὶ παῤῥησίας τοιαύτας οἴκοι καθῆσθαι, κἂν τι δέῃ παθεῖν, οἴκοι τοῦτο παθεῖν· ἵν' εἰ μή τι τὸν ἅπαντα βίον οὐ μὴ τεθέαται οἶκος πρὸς ἀρετὴν διακείμενον εὖ, ἀλλ' οὖν τοῖς ἐμοῖς τελευταίοις βαπτόμενος αἵμασιν ὀψὲ γοῦν μίαν ταύτην γνοίη με κεκτημένον ἀρετὴν πολλοῦ τινος ἀξίαν, τὸ μὴ πολλοῦ τινος ἄξιον νομίζειν τὸ ζῆν. (Β.) Διὸ τοῖς ἄλλοις ἀνάγκην προσῆγον μὴ βραδύνειν, ἀλλὰ τοῖς ἐμοῖς βοηθοῦντας νοσήμασιν ἀπιέναι προθύμως, οὐκ εἰς ἐλέγχους καὶ διαλέξεις ἀληθείας ζητουμένης· ἀπειρηκέναι γὰρ καὶ αὐτὴν ἤδη καὶ πρὸς αἰθερίους ἀποπτῆναι θαλάμους, ἀφανείᾳ κεκαλυμμένην μακρᾷ· ἀλλ' εἰς σφαγὴν καὶ μαρτυρικὰ παλαίσματα καὶ θανάτου μακροῦ δεινότερα δεσμωτήρια. τοιαύτην γὰρ καθ' ἡμῶν ἐξενηνέχθαι χθὲς καὶ πρότριτα, δεσμοῖς ἀδαμαντίνοις τισὶ καὶ ἀῤῥήκτοις κεκυρωμένην, ψῆφον πρὸς τῶν ἀντιπάλων καὶ τῆς ἐξουσίας ἀρχόντων. τῶν γὰρ 2.986 μετριωτέρων, ἃ τοῖς ἐξωτερικοῖς καὶ τὸ πλεῖστον δημοτικοῖς κατεψήφισται, τὰ μὲν ἤδη πέπρακται, τὰ δ' ἔτι πράττεται, τὰ δὲ καὶ πραχθήσεται. καὶ τούτων οὐδὲν οὐδένα πάντων ὑμῶν ἀγνοεῖν οἴομαι, θορύβου τοσούτου τὴν πόλιν περιηχήσαντος ἅπασαν. χρεὼν οὖν, μὴ φιλοψυχοῦντας, ἀλλ' ἐῤῥωμένους, ὁμόσε πρὸς τοὺς τοιούτους χωρεῖν ἀγῶνας. θνητῆς γὰρ λαχοῦσι φύσεως ἣν μὴ νῦν θανεῖν ἐξῇ, διὰ γοῦν τὸ τῆς φύσεως ὄφλημα τεθνήξεσθαι πάντως ἕψεται προϊοῦσι· καὶ δεῖ μὴ τὸν ἀκλεᾶ πρὸ τοῦ μετ' εὐκλείας περιμεῖναι θάνατον. (Γ.) Μιᾷ δ' ἀπειρηκότων φωνῇ, μὴ ἐθέλειν χωρεῖν ἐς βασιλείους προκλήσεις καὶ οὕτω βαρβαρικὰ συνέδρια πλὴν ἐμοῦ, δείσας ἐγὼ μὴ πρόφασιν τοῦτ' εἰληφόσιν ἐκείνοις, οἷς πάντα λίθον κινεῖν καθ' ἡμῶν περίεστιν, ἐρήμην καθ' ἡμῶν εὐχερῶς καταδιαιτᾷν ἐπιγένηται, μάλα μόλις τῆς καθέδρας ἐξαναστὰς ἅμα πᾶσιν ἐκείνοις ἀπῄειν ἐκεῖσε ἀποθανούμενος, καὶ τῇ ἐκεῖ τελευτῇ συμπαραπέμψων τὰ πολυετῆ μου τῆς κεφαλῆς νοσήματα. (Δ.) Ἄρτι δὲ περί που τὰ μέσα γενομένοις τῆς βασιλείου αὐλῆς ἀπήντησέ τις ἡμῖν τῶν πάνυ τῷ βασιλεῖ προσῳκειωμένων, καὶ μόνον ἁπάντων ἔμεγε ἀπειληφὼς προσῆγε τῷ βασιλεῖ. κοινολογήσασθαι γὰρ ἔλεγε βούλεσθαί μοι τῶν αὐτῷ γε ἀποῤῥήτων ἔστιν ἅ. προσεληλυθότι μοι γοῦν τυχεῖν προσγεγένηται μὲν, παρὰ δόξαν μὲν ἐμοὶ, σφίσι δ' ἐξεπίτηδες σφόδρα, τινὸς τῶν πάνυ μοι φίλων ἐκ παλαιοῦ, διὰ βασιλικῆς κἀκείνου προκλήσεως ἐκεῖσε τηνικαῦτα παρόντος 2.987 ἐμοῦ γε εἵνεκα. ὧν μεταξὺ καθεσθέντι μοι λέγειν ἤρξαντο κατὰ συνεκδοχὴν καὶ ἀμοιβαδὸν, παρὰ θατέρου ἅτερος τὰς τῶν λόγων ἀφορμὰς πορίζοντές τε καὶ ποριζόμενοι, καὶ πείθειν ἐπιχειροῦντες, πρῶτον μὲν χρημάτων ἐπαγγελίαις ἀφθόνοις, καὶ ὅ μοι πρὸς βουλήσεως εἴη ἂν ἕτερον ἅπαν. ἐπεὶ δ' ἐντεῦθεν τῶν σκοπουμένων ἠλαύνοντο, μηδὲ τὴν πρώτην ἀκοὴν ἐμοῦ γε προσιεμένου μηδὲ μικρὸν γοῦν, τὸν δεύτερον πλοῦν διαλέγεσθαι ἐπεχείρησαν. (Ε.) Καὶ ἦν ἡ τῆς διαλέξεως εἰσαγωγή· ὅτι τε τῆς θεότητος ὄνομα δεύτερόν ἐστι τῆς θείας οὐσίας καὶ ταῖς ἀκτίστοις ἐνεργείαις κυρίως μᾶλλον ἁρμόττει· καὶ ὅτι τῶν τοιούτων


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀκτίστων ἐνεργειῶν πολλὴ καὶ ἄπειρος ἐκ τῆς θείας οὐσίας ἐστὶν ἡ διαφορὰ, κἀκ τῶν ἐνεργειῶν γινώσκομεν τὸν θεόν· καὶ ὡς ὁ μέγας φησὶ Βασίλειος, "1ἐκ μὲν τῶν ἐνεργειῶν γνωρίζειν λέγομεν τὸν θεὸν ἡμῶν, τῇ δ' οὐσίᾳ αὐτοῦ προσεγγίζειν οὐχ ὑπισχνούμεθα. αἱ μὲν γὰρ ἐνέργειαι αὐτοῦ πρὸς ἡμᾶς καταβαίνουσιν· ἡ δ' οὐσία αὐτοῦ μένει ἀπρόσιτος."2 ταῦτα καὶ τὰ παραπλήσια λέγοντες ἐπῆγον οἰκείας παρεξηγήσεις καὶ συλλογισμοὺς ἐκτόπους καὶ ἀνοσίους καὶ μαινομένους· ὡς ἐπειδὴ πρὸς ἡμᾶς αἱ ἐνέργειαι καταβαίνουσι, κἀκ τούτων γνωρίζομεν τὸν θεὸν, ἄκτιστοι ἄρα εἰσὶ θεότητες· καὶ ὅσοι μὴ συμφωνοῦσιν ἡμῖν, βλασφήμους ἑαυτοὺς καθιστῶσι περιφανῶς. (ʹ.) Ἐμοὶ δὲ καὶ ἀσθενῶς ἔχοντι, καὶ μόνῳ τῶν ἄλλων ἀπειλημμένῳ συμμάχων ἀπροσδοκήτως ἐνε 2.988 δρευόντων δικτύων ἐντὸς, τί ἔδει ποιεῖν ἕτερον, ἢ βραχυλογίᾳ χρησαμένῳ, εἰ δυναίμην, ἀπαλλάττεσθαι τὴν ταχίστην; οὐ γὰρ φυγομαχεῖν εὐθὺς ἐχρῆν, καὶ ταῦτα πρόφασιν ἱκανὴν κεκτημένους ἀποφυγῆς τήν τε νόσον καὶ ἅμα τὴν μόνωσιν. ἦ γὰρ ἂν κατὰ νώτου κείσεσθαι ἔμελλον, δειλίας γραφόμενοι καὶ λειποταξίου δίκην ἐπάγοντες. πρὸς μὲν οὖν τὸ τῆς θεότητος ὄνομα, μὴ τῇ οὐσίᾳ μᾶλλον ἢ ταῖς ἐνεργείαις ἁρμόττειν κυρίως καὶ πρώτως, πρώτην ποιουμένῳ καὶ τὴν ἀπάντησιν, ἤρκεσε παραχρῆμα πρὸς λύσιν τὸ τοῦ θείου πατρὸς ἐκεῖνο γεγονὸς ἀνὰ στόμα· "1θεοῦ δὲ ὅταν εἴπω, λέγω πατρὸς, υἱοῦ, καὶ ἁγίου πνεύματος, οὔτε ὑπὲρ ταῦτα τῆς θεότητος χεομένης, ἵνα μὴ δῆμον θεῶν εἰσαγάγωμεν, οὔτε ἐντὸς τούτων ὁριζομένης, ἵνα μὴ πενίαν θεότητος κατακριθῶμεν."2 καὶ πάλιν· "1θεοῦ δὲ ὅταν εἴπω, ἑνὶ φωτὶ περιαστράφθητε καὶ τρισίν· ἑνὶ μὲν κατὰ τὸν τῆς οὐσίας λόγον, εἴτ' οὖν θεότητος· τρισὶ κατὰ τὰς ἰδιότητας, εἴτ' οὖν ὑποστάσεις, εἴ τινι φίλον καλεῖν, ἢ πρόσωπα. οὐδὲν γὰρ περὶ τῶν ὀνομάτων ζυγομαχήσομεν, ἕως ἂν πρὸς τὴν αὐτὴν ἔννοιαν αἱ συλλαβαὶ φέρωσι. διαιρεῖται γὰρ ἀδιαιρέτως, ἵνα οὕτως εἴπω, καὶ συνάπτεται διῃρημένως. ἓν γὰρ ἐν τρισὶν ἡ θεότης, καὶ τὰ τρία ἓν, τὰ ἐν οἷς ἡ θεότης, ἢ τό γε ἀκριβέστερον εἰπεῖν, ἃ ἡ θεότης· τὰς δὲ ὑπερβολὰς καὶ ἐλλείψεις ἐλλείψωμεν."2 καὶ ὁ Νυσσαέων δ' ὁμοίως φάσκει Γρηγόριος· "1εἰ τὸ ΘΕΟΣ ὄνομα οὐσίας σημαν 2.989 τικόν ἐστι, μίαν οὐσίαν ὁμολογοῦντες τῆς ἁγίας τριάδος ἕνα θεὸν εἰκότως δογματίζομεν, ἐπειδὴ μιᾶς οὐσίας ἓν ὄνομα τὸ ΘΕΟΣ ἐστι."2 καὶ πάλιν· "1ἔστι τοίνυν ἰδίωμα τῆς ἀϊδίου οὐσίας, ἧς ἐστι πατὴρ καὶ υἱὸς καὶ ἅγιον πνεῦμα, τὸ πάντα ἐποπτεύειν καὶ θεωρεῖν καὶ γινώσκειν, οὐ μόνον τὰ ἔργῳ γινόμενα, ἀλλὰ καὶ τὰ τῷ νῷ λαμβανόμενα· ὅπερ μόνης ἐστὶν ἐκείνης τῆς οὐσίας. ἐντεῦθεν εἰλημμένον τὸ ΘΕΟΣ ὄνομα, κυρίως λεγόμενον, σημαίνει τὴν οὐσίαν ἐκείνην, ἣ δεσπόζει πάντων ὡς ἀληθῶς."2 καὶ πάλιν· "1μιᾶς τοιγαροῦν ὑπαρχούσης τῆς οὐσίας, ἧς ἐστι πατὴρ καὶ υἱὸς καὶ ἅγιον πνεῦμα, καὶ ἑνὸς τοῦ παραδηλοῦντος αὐτὴν ὀνόματος, φημὶ δὴ τοῦ ΘΕΟΣ, εἷς θεὸς ἔσται κυρίως καὶ ἀκολουθότερον τῷ λόγῳ τῆς οὐσίας."2 (Ζ.) Ταῦτα μὲν δὴ οὖν, καὶ ὅσα ἄλλα τῶν θείων πατέρων ἐκ τοῦ προχείρου τέως ἐπῄει τῇ μνήμῃ, τὴν ὁμοίαν ἀκολουθίαν ἀεὶ διασώζοντα, καθόσον ἐφικτὸν, προενεγκόντες ἐκείνῃ τῇ διαλέξει περὶ τοῦ τῆς θεότητος ὀνόματος ἐξ αὐτοσχεδίου δεδώκαμεν. καὶ ἅμα ὠνείδιζον ἔγωγε σφίσιν, ὅτι τῶν θείων πατέρων τῇ θείᾳ οὐσίᾳ τὸ τῆς θεότητος ὄνομα διαῤῥήδην διδόντων, αὐτοὶ παρεξηγούμενοι προδήλως ἐκείνους συκοφαντοῦσιν. ὄνομα γὰρ κύριον ἢ μὴ ὑπάρχειν ὅλως τῇ θείᾳ φασὶν οὐσίᾳ, ἢ ἡμῖν γε μὴ ὑπάρχειν· ὃ δ' οὖν σφίσι δογματισθὲν ἐκ τῶν τιμιωτέρων ἡμῖν ἐκδέδοται, στέργειν καὶ ἡμᾶς εἶναι ἀνάγκην, καὶ μηδαμῇ περαιτέρω προβαίνειν, μηδὲ πολυπραγμονεῖν. εἰ δέ που καὶ δι' οἰκονομίαν τινὰ ἐνίοις ἐνίοτε καὶ ἐνιαχοῦ 2.990 παρέφθεγκταί τι, δόξαν ἴσως ἐναντιολογίας παρέχον, μὴ νόμον εἶναι τὸ σπάνιόν τε καὶ δυσδιάγνωστον. (Η.) Περὶ δ' ὧν αὖθις τὸν μέγαν εἰσῆγον ἐκεῖνοι Βασίλειον, λέγοντα γινώσκειν ἐκ τῶν ἐνεργειῶν ἡμᾶς τὸν θεόν· ἀλλὰ μὴν ἀκτίστους ἐκεῖνος ἥκιστα φάσκει θεότητας εἶναι τὰς τοιαύτας ἐνεργείας, ἔγωγε ἔφασκον. ἢ γοῦν μὴ δι' ἑαυτῶν ἀναγινώσκειν ὅλως



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀπεφαινόμην αὐτούς, ἢ ἀναγινώσκοντας μὴ γινώσκειν ὅλως ἃ ἀναγινώσκουσιν. εἰπὼν γὰρ ὁ θεῖος πατὴρ, ἐκ τῶν ἐνεργειῶν γινώσκειν ἡμᾶς τὸν θεὸν, ἐν τῇ αὐτῇ παρακατιὼν ἐπιστολῇ ἑαυτὸν αὐτὸς ἐξηγεῖται, φάσκων· "1οἱ μαθηταὶ πότε αὐτὸν προσεκύνησαν; οὐχ ὅτε τὴν κτίσιν αὐτῷ εἶδον ὑποτεταγμένην; ἀπὸ γὰρ θαλάσσης καὶ ἀνέμων ὑπακουσάντων αὐτῷ ἐγνώρισαν αὐτοῦ τὴν θεότητα. οὐκοῦν ἀπὸ μὲν τῶν ἐνεργειῶν ἡ γνῶσις· ἀπὸ δὲ τῆς γνώσεως ἡ προσκύνησις"2. "1καὶ ἅμα ὁρᾶτε,"2 ἔφασκον, "1ἐνεργείας τὰ θαύματα λέγοντα τὸν θεῖον διδάσκαλον. πῶς οὖν θάλασσαν καὶ ἀνέμους καὶ τὰ τοιαῦτα θεότητας ἀκτίστους φατὲ, καὶ τοὺς θείους πρηστῆρας οὐ φρίττετε; ἔπειτα οὐδέ τοι τὸν τῶν ὄντων γινώσκομεν αἴτιον· κἀκ τῆς διαφορᾶς τῶν ὄντων τὴν τοῦ ὄντος διδασκόμεθα σοφίαν, τὸν υἱόν· καὶ ἐκ τῆς τῶν ὄντων φυσικῆς κινήσεως τὴν ἐνυπόστατον τοῦ ὄντος μανθάνομεν ζωὴν, τὴν τῶν ὄντων ζωοποιὸν δύναμιν, τὸ πνεῦμα τὸ ἅγιον."2 (Θ.) Ὁ βασιλεὺς δ' εὐθὺς ἀνίσταται, γέμων ὀργῆς καὶ θυμοῦ· καὶ βραχὺ προβὰς τοῦ θαλάμου τὸ ποιητέον ἐκοινολογεῖτο κρύφα τῷ τε Παλαμᾷ καὶ τοῖς ἐπισκόποις· εἶναι 2.991 γὰρ ἀνίσχυρον ἐνταυθοῖ τὴν ἐκ λόγων πειθώ. καὶ ῥᾴονα πάντων ἄλλων εὕρισκε τρόπον οὐδένα, τὴν ταχίστην ἀποσκευάσασθαι πάντας ἡμᾶς, ἢ καθ' ἃς ὁ Παλαμᾶς τε αὐτῷ προεζωγράφησεν ὑποθήκας καὶ αὐτὸς ἤδη πείρᾳ μεμάθηκεν ἀκριβῶς. αἱ δὲ ἦσαν ἀποψηφίζεσθαι κομιδῇ τὴν διὰ γραφικῶν ἀποδείξεων ἤδη διάλεξιν· ἥκιστα γὰρ εἶναί σφισιν ἐντεῦθεν τὰς ἀποβάσεις λυσιτελούσας· θᾶττον γὰρ ἂν παθεῖν ὑφ' ἡμῶν αὐτοὺς, ἃ δρᾷν καθ' ἡμῶν ἐμελέτησαν, ἢ δρᾷν ἃ παθεῖν ἡμᾶς ἐμελέτησαν. συνέθεντο δ' ἐξῶσαι τοῦ συνεδρίου καὶ τὸν Τύρου ἐπίσκοπον, τοῦ τῶν Ἀντιοχέων πατριάρχου τὰ δίκαια φέροντα· εἰ δ' ἐπιμένων ἐνίσταιτο, προβαλλόμενος τὴν ἐκείνου κατὰ τοῦ Παλαμᾶ καθαίρεσίν τε καὶ ἀποκήρυξιν, κἀκεῖνον αὐτῷ συγκαθελεῖν εὐθὺς καὶ τῆς ἡμῶν ἐκτεμεῖν ἐκκλησίας. (Ι.) Ὅθεν ἔδοξεν, ὕβρεσι καὶ διαβολαῖς ἀποσκευασαμένοις πρότερον ἡμᾶς ἐκπληκτικώτερον τρόπον, καθ' ἡσυχίαν ψηφίζεσθαί τε καὶ δογματίζειν τὰ τοιαῦθ' ἅπαντα κατὰ βούλησιν, μηκέτ' ὄντος ὃς ἀντιστήσεται μηδενός· εἶναι γὰρ ὡς τὰ πολλὰ πολλάκις ἔφασκον τὰ τῶν δρωμένων θρασύτερα πολλῷ τῶν πραοτέρων ἀνυσιμώτερα. ταῦτα πολὺν ἐνέσταξεν ἵμερον ταῖς τῶν ἐπισκόπων ψυχαῖς, ἐξ ἁμάξης ἀναίδην παῤῥησιάζεσθαι καθ' ἡμῶν. καὶ τί γὰρ μοχθηροτέραις ψυχαῖς, ἀμαθίᾳ συντεθραμμέναις παντὸς ἀγαθοῦ, ῥᾷον ἄλλο τῶν ἄλλων ἕτερον, ἢ πρὸς ἀτόπους ὁρμὰς προτροπή; δείσαντες γὰρ, μὴ πρὸς τῶν θείων γραφῶν ἀσεβεῖς ἐξελεγχθῶσιν, ἀσέβειαν δρῶσι πάνυ πανηγυρικὴν ὁμοῦ 2.992 καὶ θεατρικήν· ὅμοιον, ὥσπερ ἂν εἴ τις ἐν πελάγει νηχόμενος, εἶτα ψεκάδας ἰδὼν καὶ βροχῆς ἀμυδρὰ προοίμια, ὕφαλος κατεδύετο πρὸς τὸ πέλαγος, μὴ διάβροχος ὑπὸ τῶν ἀερίων ψεκάδων ἐκείνων γένηται. (ΙΑ.) Ὁ μὲν γὰρ Παλαμᾶς, παρεγκλίνας μικρὸν, ἐξενολόγει καὶ συνήθροιζε τῶν περιβομβεῖν καὶ παραβομβεῖν καὶ παραφθέγγεσθαι δυναμένων οἷς ἐνετύγχανεν· οἱ δ' ἠκόνουν τὰς ἀτόπους καθ' ἡμῶν γλώττας. ζʹ. Εἰσκεκληκότες γὰρ καὶ ἡμᾶς ὀψὲ μετ' ὀργῆς, βίαιοι καθάπαξ καὶ τἀνόσια πάντα γίνονται τολμηροὶ καθ' ἡμῶν· καὶ τῆς τοῦ θεοῦ ἐκκλησίας προστάται καὶ οἱ ποιμαίνειν λαχόντες τὸν τοῦ θεοῦ διαφθείρουσιν ἀμπελῶνα· καὶ ὅσα κατὰ τῶν τοιούτων ἡ θεία ἐτραγῴδησε πάλαι γραφή. (Β.) Καὶ πρῶτον μὲν ὁ βασιλεὺς, ὑπὸ δειλίας ἐλαυνόμενος ἐκείνης, ἣν ὁ Παλαμᾶς πρότριτα ταῖς τῆς ἑαυτοῦ ψυχῆς ἐνέσπειρεν αὔλαξι, τὰς παλαμναιοτάτας ὕβρεις καὶ ἀπειλὰς καθ' ἡμῶν ἐξετόξευεν, οὐκ Ἀτλαντικοῦ κληρουχίας πελάγους, καὶ γῆς ποιήσειν ἔξω τῆς οἰκουμένης (Ξέρξου γὰρ ταῦτα καὶ τῆς ἐκείνου βαρβαρικῆς ἀπονοίας καὶ τρυφῆς ἦν) ἄλλα δ' ἐκείνων μείζω καὶ σφόδρα ἀπᾴδοντα, ὡς εἰρήσεται προϊόντος τοῦ λόγου. τῶν γὰρ ἀνίσων καὶ ἀνομοίων ἀρχῶν τε καὶ προαιρέσεων, ἄνισά τε καὶ ἀνόμοια πάντως εἶναι εἰκὸς καὶ τὰ τῶν πραττομένων ἑκατέρωθεν λήγοντα. οὐδὲ γὰρ πάτριον ἐκεῖνος ἐξώμνυτο σέβας, οὐδὲ θρησκείαν θρησκείας ἠλλάττετο, οὐδ' ἐθῶν καὶ δογμάτων ἔθη



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

καὶ δόγματα, παλαιῶν καινότερα 2.993 καὶ νεότακτα· οὐδ' ὅρκους ἐπάτει θρησκευομένου θεοῦ. (Γ.) Εἰ δέ τις ἐνίσταιτο, Ξέρξην θαυμάζων ἐκεῖνον, ὅτι γῆς καὶ θαλάσσης ἦρχε πάνυ τοι πλείστης, καὶ στρατὸν ἐπήγετο μυριάριθμον, ὧν ἡμεῖς παντάπασιν ἐστερήμεθα· ἀλλὰ θεοτήτων καὶ θεῶν ἀπείρων τε καὶ ἀκτίστων ἥκιστα εἶχε στρατόπεδα· ἀλλὰ πάντ' ἦσαν αὐτῷ κτιστὰ καὶ θνητὰ κατ' αὐτόν. ὃ δὴ καὶ αὐτὸς ἑαυτῷ μεμαρτύρηκε, νῦν μὲν γελῶν, νῦν δὲ δακρύων· τὸ μὲν ὅτι πλείστης ἠπείρου καὶ θαλάττης καὶ στρατοπέδων ἄρχει παμπόλλων· τὸ δὲ ὅτι, θνητῶν καὶ προσκαίρων ὑπαρχόντων, οὐδεὶς ὑπὲρ τὰ ἑκατὸν ἔσται φαινόμενος ἔτη, οὔτ' αὐτὸς, οὔτ' οὐδεὶς οὐδαμῇ τῶν αὐτῷ ἑπομένων. οὐ γὰρ ἦν πω τότε Παλαμᾶς, οὐδὲ τῷ πολλῷ συνῆν ἐκείνῳ βασιλεῖ παραπλήσιος ἐν τοσούτοις στρατεύμασιν οὐδεὶς Παλαμᾷ τουτωῒ, τεχνητὴν κτίζων ἀθανασίαν καὶ ἀκτισίαν, καθάπερ τοὺς κεραυνοὺς καὶ πρηστῆρας ἐκ γῆς οἱ Κύκλωπες πάλαι κατὰ τοὺς μύθους τῷ Διΐ· ἐνταῦθα δὲ τοὺς τοιούτους φόβους ὑπερορίους εἶναι, καὶ λήθης καλύπτεσθαι μάλα πυθμέσιν ὑποβρυχίοις, ἅ τ' ἀκτίστων ἅμα καὶ ἀθανάτων τῶν τ' ἐχόντων ἅμα καὶ τῶν ἐκ τῶν ὑπαρχόντων. εἶεν. (Δ.) Ἀρξαμένων δ' ἑξῆς καὶ τῶν ἐπισκόπων λαλεῖν, ἦν ἀκούειν νῦν μὲν δικτύων καὶ θαλάσσης ἀπόζοντας λόγους· νῦν δὲ σκαπάνης τινὸς καὶ δικέλλης ἀξίους· νῦν δ' οὐδὲν καμινιαίας αἰθάλης ἀπεοικότας, τῷ ἀμαυρῷ τε καὶ δυσήχῳ καὶ ἀνάρθρῳ τῆς λαλιᾶς. καὶ 2.994 συνελόντι φάναι, πλὴν τῶν ἐπισκοπικῶν ἐνδυμάτων οὐδὲν ὑγιὲς ὁρᾷν καὶ ἀκούειν τέως ἦν ἐκεῖ. (Ε.) Βουληθέντων δὲ καὶ ἡμῶν ἀντιφθέγξασθαί τι μικρὸν, κραυγαῖς ἀσήμοις τε καὶ ἀνάρθροις καὶ συνεχεῖ πατάγῳ χειρῶν ἐξεπίτηδες ἡμᾶς τε ὑπερεφώνουν ἐκεῖνοι καὶ σιωπᾷν κατηνάγκαζον, καθάπερ ἀγριουμένης θαλάττης μεμηνότα κύματα τοὺς ἀνὰ τὸν αἰγιαλὸν ὁμιλοῦντας ἠρέμα. ἐῶ γὰρ λέγειν, ὅτι παρ' οὐδὲν ἐληλύθεσαν ἡμᾶς διαῤῥῆξαι, καθάπερ αἱ Βάκχαι πάλαι Πενθέα, φασὶν ἀττικίζοντες μῦθοι. ἀλλ' ἡμῶν γε ἐπιμενόντων ἔτι, καὶ μικράν τινα λόγου ζητούντων χώραν ἡμῖν ἐγγενέσθαι, οὔτ' ἤκουεν οὔτε προσεῖχεν οὐδείς. (΄.) Ὀψὲ δ' ἐνιδὼν βλοσυρόν τι καὶ ἀπηγριωμένον ὁ βασιλεὺς πρὸς ἡμᾶς, "1χαρίεν,"2 ἔφη, "1τουτὶ, κατεσπουδασμένους ἐθέλειν ποιεῖσθαι λόγους τῆς ἐμῆς οἰκίας ἐντὸς, οὐχ ἑκόντος ἐμοῦ, τοὺς τῆς ἐμῆς θελήσεως ἐχθίστους, καὶ οὓς οὐκ ἔχω πῶς ὀνομάσας."2 ταῦτ' ἔλεγεν ὁ ἀῤῥεπὴς ἐκεῖνος κριτὴς, ὁ τὴν μέσην καὶ ἀπαρέγκλιτον καὶ οὐδαμῇ ποθ' ἑτεροῤῥεπῆ βαδίζειν ὀμωμοκώς. (Ζ.) Ἐγὼ τοίνυν, καὶ πάλαι μὲν περιαλγὴς ὢν ἐκ τῆς κεφαλῆς, ἤδη δὲ καὶ λύπῃ λύπην προσειλήφειν, ἐκ τοῦ μηδὲ τριτημόριον πρὸς τῶν ἀντιθέτων ἐμοὶ καταλελεῖφθαι τοῦ χοροῦ τῶν ἐμῶν φοιτητῶν. ἰδόντες γὰρ ἐκεῖνοι τῇ προτεραίᾳ πλείστους μὲν ἐμὲ περιϊσταμένους ἐκείνων, πλείστους δ' ἔγγιστα καθημένους ἐμοῦ, ζηλοτυπίᾳ βαρείᾳ τὸν οἰκεῖον καθ' ἡμῶν ἀνεχάλκευσάν τε καὶ ἀνεπύρσευσαν 2.995 φθόνον ἐς τὸ πάντη ἀκμαιότερον, καὶ τῶν τε οἰκείων ἐκείνοις ἠπείλησαν δήμευσιν καὶ ἀγώγιμον εἰς εἱρκτὴν τοὐπιτίμιον εἶναι, εἴ τις ἁλοίη τὸ δεύτερον ἔτι συνέδριον ἐμοὶ συμπαρών. διὸ καὶ ὅσοι τὰς ψυχὰς ἀσθενέστεροι πρὸς τοιούτους ἦσαν ἀγῶνας καὶ πείρας, ἠρέμα τῆς ἐμῆς ἐγγύτητος ἀπηλλάττοντο· οἱ δ' ἔτι παρέμενον τῇ προτέρᾳ σιγῇ, ὡς ἑκάστῳ προαιρέσεώς τε καὶ γνώμης ἐνῆν. (Η.) Ταῦτα τοίνυν ὁρῶν ἐγὼ, καὶ ἅμα τὸν βασιλέα πολυτρόπως ἐπ' αὐτοφώρῳ μαχόμενον ἡμῖν συνορῶν, καὶ πρός γε ἔτι φόνου πνέοντας τοὺς ἐπισκόπους καθ' ἡμῶν, ἀναστὰς ἐξῄειν τοῦ βήματος καὶ ἅμα ἑώρων συνεξιόντας ἅπαν τὸ μέρος ἐμοί. καὶ θροῦς ἐγεγόνει πολὺς, τοῦ μὲν βασιλέως κατέχειν ἐγκελευομένου τοῖς πελεκυφόροις, καὶ μὴ ἐᾷν ἀπιέναι ἡμᾶς· ἡμῶν δὲ αἱρουμένων θάνατον μᾶλλον, ἢ τὸ λῃστρικὸν ἐκεῖνο συνέδριον ἑστῶσιν ὁρᾷν ὀφθαλμοῖς. ὀψὲ δ' ὁ σεμνὸς Παλαμᾶς, αὐτῷ λογισάμενος εἶναι καθ' ἡδονὴν τὴν ἡμῶν ἀπουσίαν, ἀφιέναι παρῄνει τῷ βασιλεῖ. ῥᾷον γὰρ εἶναί σφισιν ἔλεγεν ἐντεῦθεν ἡμᾶς τε φυγοδικίας γράφεσθαι καὶ σφᾶς ταχίστην ἐπιτιθέναι ταῖς καθ' ἡμῶν οὕτω ψήφοις τὴν τελευτὴν, ἢ παρόντων καὶ ἀντιλεγόντων ἡμῶν. (Θ.) Διὸ καὶ, ἀπιόντων



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἡμῶν, ὕμνοις οἱ περὶ Παλαμᾶν πάνυ παμπόλλοις ἐγέραιρον τὸν βασιλέα, ἐξ οὐρίας ἐκείνοις τὰ κατὰ βούλησιν παρεχόμενον πλεῖν· καὶ τοιαύταις κολακείαις τὸ τῆς ψυχῆς ἐκείνου κατέψων ἡδόμενον. ὡς γὰρ ἐς τὰς ἱπποδρομίας ῥᾳδίαν ταῖς τῶν ἵππων δίδωσιν ἁμίλλαις τὰ τῶν πεδίων ἱππή 2.996 λατα, οὕτως ἀνειμένας εἴωθε παρέχειν καὶ αὐτὸς κομιδῇ τοῖς κόλαξι τὰς ἀκοὰς ἀεί. εἶτα καθ' αὐτοὺς αὐτοὶ καὶ λέγοντες καὶ δρῶντες ἐπέραινον ὅσα τὸ βουλόμενόν σφισιν ἐπήγγελλε τῆς ψυχῆς. 2.998 α΄. Καὶ ταῦτα μὲν τοῦτον ἔσχε τὸν τρόπον, καὶ οὕτω τὰ τῆς δευτέρας καθέδρας ἠνύετο. ὁ μέντοι βασιλεὺς καθ' ἑαυτὸν τῇ ὑστεραίᾳ γενόμενος, καὶ συνιδὼν, ὡς οὐκ εὔοδά σφισι τὰ τῆς καθ' ἡμῶν ἔσται ἐπιβουλῆς, εἰ μὴ παροῦσιν ἡμῖν ἐπιθεῖεν τὰ ψηφιζόμενα, δύο παρῆλθον ἡμέραι, καὶ μετάπεμπτον ἔσχεν ἐμὲ, καὶ ταῖς εἰωθυίαις αὖθις θωπείαις τε καὶ τῶν βασιλικῶν ἐκείνων δωρεῶν ἐπειρᾶτο παραφέρειν ἐπαγγελίαις· οὐκ οἶδα, εἴθ' ἑκὼν ἐπιλανθανόμενος, εἴτ' ἄκων ἀπατώμενός τε καὶ συναρπάζειν ἐπιχειρῶν. ἃ γὰρ οὐ δὶς καὶ τρὶς μόνον, ἀλλ' ἑπτάκις εἰπεῖν ἑπτὰ διελὼν καὶ εἰπὼν, καὶ ἀποτυχὼν, ταῦτα παρεισκυκλῶν ἀεὶ καὶ ἐς ταὐτὰ παλινδρομῶν, ἕτερά τε καὶ διάφορα πρὸς διαφόρους, καὶ οὐ πρὸς ἕνα ἐμὲ τὰ αὐτὰ, λέγειν ᾤετο. (Β.) Ὅμως ταῦτα λέγων προσενεκάλει τὰ πρότριτα γεγονόθ' ἡμῖν, ἡμῶν καθαπτόμενος, μὴ συνιέντων δῆθεν τῆς σπουδῆς ἐκείνης καὶ τοῦ σκοποῦ, πρὸς εἰρήνην ἀστασίαστον οἰκονομικῶς σχηματίζοντος καὶ ποικίλλοντος τούς τε λόγους καὶ διὰ κύκλου τινὸς, ἀδήλου τοῖς 2.999 πλείστοις, περιϊόντος καὶ περιάγοντος, καὶ τὰς διαφόρους τῶν πλείστων μετεωρίζοντος γνώμας. κἀκείνῳ μὲν, ταῦτα καὶ τὰ τοιαῦτα λέγοντι, τὰς εἰωθυίας καὶ μείζους τῶν ἀντιῤῥήσεων ἀντεπῆγον αὐτός. καὶ πολλὴν ἰδίᾳ διατετριφότες ἐν τούτοις ἡμέραν ἐπ' ἀτελέστοις αὖθις διελύθημεν ταῖς ἐλπίσι. ὅμως ἠξίου πάλιν καὶ ἐπηγγέλλετο, συνεληλυθόσιν αὖθις ἡμῖν διδόναι τὴν τοῦ λέγειν ἅπασαν ἄδειαν, ὡς εἰκὸς, καὶ μὴ συνηγορεῖν ὁμοίως ἔτι τῷ Παλαμᾷ, μηδὲ τοῖς ἐκείνου πᾶσαν διδόναι ῥοπήν. (Γ.) Ἓξ παρῆλθον ἐκεῖθεν ἡμέραι, μέχρις ἂν ἐς αὐτάρκη παρασκευὴν τὰ ἐκείνων ἀπαρτισθῇ καθ' ἡμῶν δίκτυα. ὧν γὰρ ἐν τοῖς δυσὶν ἐκείνοις ἀπετύγχανον συνεδρίοις, ταῦτ' ἐπανορθοῦντες (ὡς ᾤοντο) νῦν πρὸς τὸ σφίσι βέλτιον, θαῤῥαλεώτερον ἤδη τὸ τοῦ ἀγῶνος ἀνεκαλοῦντο στάδιον. καὶ πάλιν εἶχεν ἡμᾶς τὸ συνέδριον ἐκεῖνο καὶ τὸ βασίλειον βῆμα. β΄. Βέλτιον δ' ἔδοξεν ἡμῖν, ἐκ πρώτης εἰπεῖν ἀφετηρίας ἀποκρουομένοις τὰς τῶν ἐφεδρευόντων ἐκείνων ἐπιβουλὰς, παῤῥησίᾳ τὸ τῆς καθολικῆς ἀναγνῶναι πίστεως ἱερὸν σύμβολον, ἐς κοινὴν καὶ συνήθη τοῖς ὀρθοδόξοις ὁμολογίαν. (Β.) Οὗ δὴ γενομένου, τῶν τοῦ Παλαμᾶ βλασφήμων δογμάτων τὰ γνωριμώτερα τοῖς πολλοῖς, ὑφ' ἡμῶν ἐκλεγέντα, πρὸς τοῦ ἡμετέρου μέρους ἀνεγινώσκετο παῤῥησίᾳ, παρακειμένων ἅμα καὶ τῶν αὐτοῦ συγγραμμάτων, καὶ τὸ ἀπαράλλακτον ἅπαν περιφανῶς μαρτυρούντων. ὅθεν οὐκ ἦν αὐτῷ πρὸς οὐδὲν ἀναδύεσθαι τῶν ἐγκεκλημένων, καίτοι πολλάκις μὲν ἐπιχειρήσαντι, πολλάκις δ' ἐπι 2.1000 σχεθέντι, ἐμποδὼν τῶν αὐτοῦ συγγραμμάτων ἐκ τοῦ προφανοῦς ἱσταμένων καὶ ἐπιστομιζόντων λαμπρῶς. καὶ τὰ μὲν πλεῖστα διὰ μῆκος καὶ κόρον παρεῖται. τῆς γὰρ αὐτῆς κἀκεῖνα ποιότητος ἦν. ὥσπερ γὰρ ἐπὶ θαλάττης πικρᾶς οὐ τόδε μὲν τῶν μερῶν ἀπωθεῖται τὴν γεῦσιν, ἐκεῖνο δ' οὔ· ἀλλὰ πάνθ' ὁμοῦ τὴν αὐτὴν παρέχει τοῖς γευομένοις ποιότητα· οὕτω καὶ πάντ' ἐκεῖνα τἀνδρὸς τουτουῒ συγγράμματα τῶν αὐτῶν ἐκπέφανται βλασφημιῶν ἐχόμενα. διαφορὰν μὲν γὰρ ἴσως εὗρεν ἄν τις κατὰ τὸ μᾶλλον καὶ ἧττον τοῦ βλασφημεῖν· κακίας δ' οὐδὲν οὐδαμῇ τῶν μερῶν ἐξιστάμενον. (Γ.) Ἦν γε μὴν τοιαδὶ τὰ προκομισθέντα, καὶ οὕτως ἔχοντα. *** (Δ.) Τούτων ἔνια μὲν κἀν τῷ πρώτῳ τῆς ἡμέρας βήματι, προκομισθέντα πρὸς ἐμοῦ, περιφανῆ τὴν ἀντίῤῥησιν ἔσχηκεν, ὡς ἀνωτέρω μοι γέγραπται· τῶν δ' ἄλλων ἔνια καὶ αὐτὸς ὡμολόγει κατὰ τὴν λέξιν ἡμαρτῆσθαι αὐτῷ, καὶ διορθοῦσθαι ὑπισχνεῖτο· κατὰ μέντοι τὸν νοῦν πάντ' ἔχειν ὑγιῶς διετείνετο. ἀποδεικνύειν δ' ἀρξάμενος οὐκ εἶχεν ἁγίων οὐδένα σύμμαχον, ὅτι



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

μὴ συγχέων καὶ παραφθείρων καὶ ἅμα παρεξηγούμενος, καὶ οἷον αὐτὸς ἑαυτῷ μαχόμενος. ὁ γὰρ τῷ οἰκείῳ νῷ τὰς οἰκείας λέξεις μὴ τιθέναι συμφώνους δυνάμενος ἄκων αὐτὸς ἑαυτῷ μάχεται· ὁ δ' ἑαυτῷ μαχόμενος σχολῇ μεντἂν ἑτέρῳ συμφωνοίη τῶν πάντων, σχολῇ δ' ἂν ἀπόσχοιτο πάσαις ἁγίων γραφαῖς 2.1001 διαφέρεσθαι, πὼς μὲν δι' ἀμαθίαν, πὼς δὲ δι' ἀγνωμοσύνην καὶ μοχθηρίαν ψυχῆς. λόγος μὲν γὰρ ἀνθρώποις ἅπασι δίδοται· τρόπος δ' ἀγαθὸς οὐ πᾶσιν, οὐ μὴν οὐδὲ τὸν λόγον εὖ διοικοῦσα σύνεσις. ὅθεν ἀποκρουόμενος πανταχόθεν καὶ ἐπιστομιζόμενος καὶ μὴ ἔχων μηδαμῇ βεβαίαν ἀποστροφὴν ἐπὶ τὸ Θαβώριον αὖθις ἐποιεῖτο τὴν ἀναχώρησιν, Βαρλαὰμ καὶ βίον αὐτοῦ προφασιζόμενος, καὶ ὅσα τισὶν ἀραχνίοις ὑφαίνεσθαι προσεῴκει. ὅθεν καὶ λίαν εὐχεροῦς καὶ προδήλου τυγχάνοντα τῆς ἀναλύσεως μόνον εἶχε τὸν βασιλέα λαμπρῶς ὑπερείδοντα, κατὰ τὸ μηδαμῇ προσῆκον, μηδὲ καλύπτειν τὴν ἀδικίαν ἰσχῦον, τοσούτου παρόντος πλήθους ἀνδρῶν. (Ε.) Ἐγὼ μὲν οὖν βραχύ τι ὑπειπὼν, ἔπειτα πὼς μὲν διὰ τὴν εἰρημένην ἀδικίαν, πὼς δὲ διὰ τὰς τῆς κεφαλῆς ἀλγηδόνας, τοῖς σοφοῖς ἐκείνοις συμμάχοις ἀφῆκα διαγωνίζεσθαι. ἐπιῤῥαπίζειν δ' ὅμως καὶ οὑτωσί πως τοῦ Παλαμᾶ τὴν ὀφρὺν σκεψαμένῳ ἕνα τῶν ἐμῶν εἰσάγειν ἐπῄει μοι φοιτητῶν ἀντ' ἐμοῦ πρὸς τὴν ἐκείνου πάλην, ἵνα μᾶλλον αἰσχύνοιτο. τὸ γὰρ ἄντικρυς πρὸς ἐκεῖνον ἐμὲ διαλέγεσθαι καὶ τὴν ἀκαιρίαν ἐκείνου φιλονεικεῖν ἐκείνῳ μὲν εἶχε τιμὴν, ἐμοὶ δὲ καὶ μάλα πάντων ἥκιστα. τοσαύτην τοίνυν ἔδοξε πᾶσι τοῖς τότε παροῦσιν αἰσχύνην ὁ Παλαμᾶς ὠφληκέναι καὶ κωμικήν τινα χλεύην, ὑπ' ἐκείνου τοῦ νεανίου κατὰ κράτος ἡττώμενος, ὅσην λεγόντων ἐστὶν ἀκούειν ἁπάντων. κοινὸν γὰρ τοῖς ὅλοις ἀφήγημα γέγονε Παλαμᾶς ἐκεῖθεν καὶ γελοῖον τοῖς ὅλοις ἐντρύφημα. (΄.) Ἀλλὰ νὺξ ἐπὶ τούτοις 2.1002 ἰοῦσα τῶν οἴκοι μεμνῆσθαι καὶ μάλιστα πάντων τοὺς ἡμετέρους ἠνάγκαζε, νήστεις τ' ὄντας καὶ πόῤῥω που βαδίζειν ἄλλον ἄλλοθι τῆς πόλεως ὀφείλοντας, προμηθείας ἁπάσης ἐρήμους, καθάπερ ἀπόλιδάς τε καὶ ἀνεστίους τινὰς γεγονότας ὑπὸ τοῦ διωγμοῦ τουτουΐ. μετὰ γὰρ τὰς ἀποψηφίσεις καὶ παντελεῖς καταδίκας καὶ τιμωρίας, τά τε δικαστήρια καὶ τὰ τῶν ἐξετάσεων βήματα συνιστᾷν ἐπῄει τοῖς ἀῤῥεπέσι τούτοις κριταῖς, τοῖς καὶ ἀκαπήλευτον ὀμωμοκόσι φυλάττειν τὸ συνειδός. τριῶν οὖν μόνων, ἠναγκασμένως καὶ τούτων καὶ μάλα μόλις, ἐκ τῶν τῆς διπλῆς δεκάδος κεφαλαίων τὴν ἐξέτασιν εἰληχότων, κἀν τοῖς τρισὶ δημοσίαν τὴν ἧτταν εἰληφότος τοῦ Παλαμᾶ, ἐς τὴν ἐπιοῦσαν τὰ ἐφεξῆς παρεπέμπετο ψῆφον. καὶ ταῦτα μὲν, ἐς τοῦτο τύχης ἐλάσαντα, τοὺς ἐλέγχους ἐκείνου τἀνδρὸς καὶ τὸν σύλλογον ἔλυσεν. γ΄. Οὐκ ἦν δὲ ἠρεμεῖν οὐδαμῇ Παλαμᾶν ἐπὶ τούτοις, οὐδὲ τὸν τῦφον μετριάζειν ἐκεῖνον, ὡς πορρωτάτω τὴν λῆξιν ᾖ κατὰ τὰ προσδοκώμενα τῶν μελετηθέντων οὑτωσὶ σχεδιασάντων. κενοδοξία γὰρ, ἀποτυγχάνουσα τῆς ἐφέσεως, μεμηνυίας τινὸς ἀναιδείας γίνεται μήτηρ, καὶ πᾶσαν ψυχῆς ἐλευθερίαν ἀνδραποδίζεται, καὶ ὅλους ἀναμοχλεύει θεμελίους ἀγάπης. ναὶ μὴν οὐδ' αὐτῷ τὰ τοιαῦτ' ἔδοξεν ἀρεστὰ βασιλεῖ, ἔρεισμα κράτιστον ἐπαγγειλαμένῳ καὶ τεῖχος εἶναι μὴ ῥᾷστα μηδέσι ῥηγνύμενον παρ' ὅλον αὐτῷ καθίστασθαι ἀγῶνα. ὅθεν Εὐρίπου δίκην ἅπαντ' εὐθὺς ἐκεῖνα ἀνετρέπετο, καὶ κρατῆρες ὅρκων ἐκείνων ἀνεκίρναντό 2.1003 τε καὶ συνεχέοντο, καὶ εἰρηναίων ἐπαγγελιῶν ἐκείνων ἐπατοῦντο θεσμοὶ καὶ συμβόλαια. καὶ πάλιν βουλαὶ καὶ μελέται παλίνστροφοι διενυκτέρευόν τε καὶ κύβων δίκην ἀνεῤῥίπτοντο. οὕτω μὲν οὖν ἡγεμόνες ἐκεῖνοι, τῶν ἐφεξῆς συνεδρίων τὰς καθ' ἡμῶν εἰληφότες μελέτας καὶ συσκευὰς, ὁποίας καὶ ὅσας ἱκανὰς ᾤοντ' εἶναι, τήν τ' οἰκείαν ἀποτρίψασθαι δειλίαν καὶ ἅμα ἡμᾶς τὴν ταχίστην ἀποσκευάσασθαι, πρὸς βάραθρον ἀφανείας ὠσάμενοι, ἐκκλησίαν ἐκήρυττον, δίκης ὄνομα χρηστὸν ἀναθέμενοι γνώμαις ἀδίκοις καὶ ἀνοσίοις (Β.) Καὶ παρῆμεν ἡμεῖς, πὼς μὲν οὐ σφόδρα ἑκόντες, πὼς δὲ καὶ σφόδρα τουτί· ἄκοντες μὲν, ἐπεὶ μὴ λέληθεν ἡμᾶς τὰ καθ' ἡμῶν, ἅ τε τὴν μελέτην ἔμπρακτον ἔσχεν καὶ ἃ τὴν πρᾶξιν ἐν προθύροις ἔτι σφίσιν αὐλιζομένην ἐταμιεύετο, καὶ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

μάταιον εἰς τοὐμφανὲς τὴν ἡμῶν παρεῖχεν εἰσαγωγήν· ἑκόντες, ὅτι πρὸς θεὸν βλέποντες, καὶ τὸν τοιοῦτον τῆς ἀθλήσεως ὑπ' ἀθλοθέτῃ τρέχοντες ἐκείνῳ δίαυλον, τὰς ἀγαθὰς οὐκ ἐφεύγομεν τοῦ μέλλοντος ἐλπίδας, εἰ καὶ τὸ τῆς εὐσεβείας κράτος, ἔτεσι πλείστοις καὶ βίβλοις ἁγίων μακραῖς κυρωθὲν, ὁ παρὼν οὐκ ἠγκαλίζετο χρόνος· ἀλλὰ καὶ αὐτὴν τὴν τοῦ λέγειν ἅπασαν ἄδειαν ἡμῶν τε ἀφαιρούμενος καὶ τοῖς δρᾷν εὐχερῶς τὰ κατὰ βούλησιν ἔχουσιν ἔκτοπα χαριζόμενος τὰ τῆς ἀληθείας ἀνάκτορα πᾶσιν ὅπλοις καθαιρεῖν τε καὶ λύειν ἠπείγετο, μήτ' ἀκοῆς μήτε γνώμης οὐδεμιᾶς μήτε νέμεσιν θείαν μήτ' ἀνθρώπων προσδεχομένης αἰδῶ. (Γ.) Τοῦ μέντοι βήματος οὕτω συγκρο 2.1004 τηθέντος, εἰδώς τε ἅμα καὶ ἰδὼν μεγάλῳ στρατηγουμένους θυμῷ τὸν βασιλέα καθ' ἡμῶν προοιμιάζεσθαι θέλοντα λόγους τὴν πρώτην, ὅσον ἐφικτὸν, ἀνέστελλον ἔφοδον ἔγωγ' αὐτὸς, ἐπὶ τὸ προκείμενον καὶ τὸ πρότερον ἴχνος τοῦ λόγου (φάσκων) ἐπανέλθωμεν, ὡς ἂν ὁ λόγος καθ' εἱρμὸν ὁδεύων λήξεσιν ἐντύχοι χρησταῖς. οὐ γὰρ ἂν φθάνοιμεν ἄλλως κρημνοῖς καὶ φάραγξι καὶ σκοπέλοις ἀτόποις εἰπεῖν περιπίπτοντες, καὶ πλάνους ἀντλοῦντες τῶν Ὀδυσσέως χαλεπωτέρους· καὶ οὐ τέλος θορύβων ἡμῖν ὁ παρὼν ἔσται καιρὸς ἐγγυώμενος, ἀλλ' ἀρχὰς θορύβων ἐφ' ἑτέροις ἑτέρων, κἀπὶ διωγμοῖς διωγμῶν. ταῦτα παρὰ τὴν πρόθεσιν τῆς ψυχῆς ἀκηκοότι τῷ βασιλεῖ, οὐ προθύμως μὲν οὐδ' ἀνεπαχθέσιν ἤθεσιν, ἐνδιδόναι δ' οὖν ἐξεγένετο βραχύ τι, καὶ ὅσον ἀφοσιώσασθαι τὴν τῶν παρόντων ὑπόνοιάν τε καὶ νέμεσιν. (Δ.) Ὅθεν εἰσιὼν ὁ ἀναγινώσκων ἀρχὴν ἐποιεῖτο κεφαλαίων τὸ τέταρτον. τὰ γὰρ τρία τῇ προτεραίᾳ ἀνέγνωσταί τε καὶ κατέγνωσται, μὴ δυνηθέντος τοῦ γεγραφότος καὶ βεβλασφημηκότος ἰατρεύειν οὐδὲν οὐδαμῇ, οὐ μᾶλλόν γε ἢ λίθοις ὀπτικὴν προσααρμόττειν δύναμιν. μόλις οὖν καὶ μετὰ μάλα μακροῦ τοῦ τῆς ψυχῆς ἀκουσίου λαληθῆναι συγχωρηθέντων ἑνὸς καὶ δυοῖν κεφαλαίων, ὁ Παλαμᾶς αἰσχυνόμενος αὖθις ἐπὶ μετρίοις οὐκ ἤνεγκεν, ἅτε μᾶλλον ἤδη συνορῶν καὶ τῶν φίλων ἐπισκόπων ἐνίους ταραττομένους πρός γε τὸ ὑπερβάλλον τῶν ἐκτόπων ἐκείνων βλασφημιῶν, καὶ θορυβεῖν ἐπιχειρούντων ἐκεῖνο τὸ βῆμα, καὶ ἀπο 2.1005 σκώπτειν πεπαῤῥησιασμένῃ καὶ ἀπαρακαλύπτῳ τῇ γλώσσῃ, μηδὲ δύνασθαι λεγόντων φέρειν τὰς τῶν ἀρχόντων καὶ ἀρχομένων λοιδορίας, διὰ τὸ συσκιάζειν τοσούτους πειρᾶσθαι βλασφημιῶν θησαυροὺς, κἀκ τῶν ἀλλοτρίων κακῶν ἴδιον ὄλεθρον καρποῦσθαι ψυχῆς· ὥστε καὶ πάνυ τοι ἐλαχίστου ἐδέησεν ἐκπολεμωθῆναι κατ' ἀλλήλων ἐκείνους, ἔριδος ἐξ ἀλλήλων μεριζομένων ἀλλήλοις ἐγγινομένης καὶ ἀναῤῥιπιζομένης ἀεὶ πρὸς τὸ μεῖζον, καὶ οὔσης λοιπὸν αὐτάρκους, ἡμῶν σιωπώντων, ἀπονητὶ πρὸς εὐδίαν τοὺς τῆς ἐκκλησίας κατευνασθῆναι χειμῶνας. (Ε.) Οὐ γὰρ ἔχων οὐδὲν ὑγιὲς ἀντιλέγειν ὁ Παλαμᾶς ἤχθετο, νῦν μὲν πρὸς ἐκείνους θυμομαχῶν καὶ βιαζόμενος ἀνήνυτα· νῦν δ' ὀνειδίζων τῷ βασιλεῖ, καὶ φανερῶς προδοσίαν ἐγκαλῶν, παρὰ τὰς συνθήκας ὅλως ἐνδεδωκότι τοῖς ἐγκαλοῦσιν· ὥστε καὶ τοὺς παρόντας ἐρεθίζειν οἷς διεξίασι κατ' αὐτοῦ. ὅθεν καὶ συχνὰ στρεφόμενος ἐπὶ τῆς καθέδρας οἷς μὲν διελοιδορεῖτο θρασύτερον μᾶλλον ἢ πικρότερον, καὶ πικρότερον μᾶλλον ἢ κατὰ τὴν οἰκείαν λῆξιν ἕκαστον· οἷς δ' ἠπείλει κολάσεις πικροτέρας μᾶλλον ἢ ἐδύνατο· νῦν δὲ ἐμήνυε κρύφα τῷ βασιλεῖ πρὸς οὓς διὰ τῶν θαλαμηπόλων τὴν ἀπόῤῥητον φλεγμονὴν τῆς ψυχῆς. (´.) Ὁ δὲ (καὶ γὰρ οὐδὲ πρότερον τελέως ἀπείχετο συμμαχῶν αὐτῷ σποράδην κἀκ συχνῶν τῶν διαστημάτων ἀκροβολίζων καὶ ξιφῶν ὀξυτέρους λόγους καθ' ἡμῶν καὶ ὑπὲρ αὐτοῦ) ἀλλὰ νῦν ἁπάσας πύλας ἀναπετάσας ἐκείνης τῆς σκηνῆς καὶ τοῦ δράματος πρὸς ἐμφανοῦς κακίας καθ' ἡμῶν ἐξεῤῥάγη πυρσὸν, οὐ θυραῖόν τινα τουτονὶ οὐδ' ἔπη 2.1006 λυν ἢ νέηλυν καὶ ἐπεισόδιον τέως ἀνειληφὼς, ἀλλ' ἐγχώριόν τε καὶ ἐγκείμενον, καὶ ὅλον πάθεσιν ἐμφύτοις συμπεφυρμένον, κἀκ μέσης ἐκπυρσευόμενον νῦν τῆς καρδίας, καθάπερ τοὺς τοῦ Σικελικοῦ πυρὸς ἀναφυσωμένους κρατῆρας ἐκ τῶν ὑποχθονίων τυφώνων ἀκούομεν, καὶ τῷ φίλῳ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Παλαμᾷ, καθάπερ θεῷ τινι, προθυμούμενον σπένδειν, οὐ μόνον ὅσα γῆ καὶ θάλασσα βαλαντίοις καὶ τραπέζαις ἀναθήματα γεωργεῖ· οὐδ' ὅσα παραπλήσιον ἔχει πρὸς ἡδονὴν, ἀλλ' ἐναγίζειν ἤδη καὶ τὰς ἡμετέρας ὕβρεις τε καὶ τὰς καταδίκας καὶ τοὺς πολυτρόπους θανάτους αὐτῷ. ὠσάμενος οὖν τοὺς ἡμετέρους λόγους, ὡς φόρτιον ἀβούλητον καὶ σφόδρα μισούμενον, καὶ τὸ πρόσωπον ἀποστρέψας πρὸς τοὺς ἀμφὶ τὸν Παλαμᾶν ὁ ἀῤῥεπὴς διαμένειν ὀμωμοκὼς δικαστὴς, ὅλην τε ἐδίδου σφίσι τὴν ἀκοὴν μετὰ τῆς καρδίας καὶ ὅλα τὰ κατὰ βούλησιν ἐπέτρεπε λέγειν τε καὶ ἀναγινώσκειν πλατείᾳ τε καὶ ἀπηγκωνισμένῃ τῇ γλώττῃ, μηδεμίαν ὑφορωμένους ἐν οὐδενὶ πρὸς οὐδένων ἀντιφατικὴν καὶ ἀντίπαλον ἔφοδον λόγων. ἤδη γὰρ καὶ τοῖς τῶν ἐπισκόπων ταραττομένοις τὰ ἔσχατα τῶν κακῶν ἀπειλήσας φρίττειν ἐπεπράχει καὶ τρέμειν σιγῇ. (Ζ.) Ἀναγινωσκομένων τοίνυν παρεκβολῶν γραφικῶν, αἱ μὲν ἐπ' ἄλλον ἠλέγχοντο τοῖς συνετωτέροις φερόμεναι νοῦν, καὶ οὐδαμῇ κατὰ τὴν σφῶν παραφερομένην ἐξήγησιν· αἱ δ' εἰσήγοντο παρακεκομμέναι τε καὶ ἀνεστραμμέναι παντοδαπῶς. ἃ γὰρ τοῖς ὑγιαίνουσι δόγμασιν ἀναγκαῖα, ταῦτα τῷ ἐκείνων ἀχρεῖα ἐδόκει σκοπῷ· ἃ 2.1007 δ' ἐκείνοις ἀναγκαῖα, ταῦτα κῆρες ἐπισφαλεῖς καὶ νοσήματα τοῖς ὑγιαίνουσι μέγιστα δόγμασιν ἦν. δι' ὃ καὶ ὧν τὴν κτῆσιν συνεφιλοτιμοῦντο καὶ ἐπεδείκνυντο, τούτων τὴν ὑγιαίνουσαν χρῆσιν ἐς τὸ νοσῶδες ἤλαυνον ἀδεῶς. (Η.) Ὅσα μὲν οὖν τηνικαῦτα παρηνομήθη, καὶ ὅσα μυσαρῶν ἐκείνων δογμάτων κεκύρωται, ἐροῦμεν ἕκαστα προϊόντες πλουσιωτέρᾳ τῇ γλώττῃ. κατὰ σχολὴν γὰρ ἡμῖν γενομένοις, καὶ ἀδείας ἐπειλημμένοις ξύν γε θεῷ τῆς ὀφειλομένης, ἐξέσται ῥᾳδίως ἐκτιθέναι μὲν ἐκεῖνα καθ' ἓν, ἐπάγειν δ' ἑξῆς καὶ ὅσαι προσήκουσιν ἀντιῤῥήσεις κατὰ συζυγίαν καὶ συστοιχίαν ἀμοιβαδὸν, ὑπὸ μάρτυσι καὶ στάθμαις ἀπαραγράπτοις ταῖς τῶν ἁγίων φωναῖς· ὡς ἂν εἴη τοῖς ὀψιγόνοις ὅπλα μὲν κατὰ τῆς σφῶν ἀσεβείας ταυτὶ, προτειχίσματα δὲ καὶ θυρεοί τινες πολεμουμένης εὐσεβείας. ἐμοὶ γὰρ νύκτωρ καὶ μεθ' ἡμέραν ἐπισείουσι μὲν τὴν τῆς τελευτῆς ἀπειλὴν αἱ συνεχεῖς τῆς κεφαλῆς ἀλγηδόνες, λύπας δ' ἐπάγουσιν οἱ τῆς τοῦ θεοῦ ἐκκλησίας πολεμουμένης ἀεὶ πρὸς τὸ κραταιότερον κλύδωνες, θανάτων πολλῷ πικροτέρας. ἐῶ λέγειν τὰς τῶν Παλαμιτῶν ἐπιβουλάς τε καὶ πολυτρόπους ἐφεδρείας, αἵ μοι καὶ αὐταὶ τὰς ἀνδροφόνους ἐπισείουσι χεῖρας, τοῦ ἡμετέρου νύκτωρ καὶ μεθ' ἡμέραν διψώσας αἵματος· καὶ δέος μὴ, πρὶν ἡμᾶς (οἷς ἀκριβῶς εἰδέναι τὰ τοιαῦτ' ἐγεγόνει, αὐτόπταις καὶ αὐτηκόοις καὶ αὐτοπαθέσιν αὐτοῖς ἡμῖν γεγονόσι) παραδοῦναι ταυτὶ, τὸν βίον γένηται μεταθεῖναι, κἂν 2.1008 τεῦθεν τὸ κράτος τῆς ἀληθείας ἀμαυρωθὲν ἀπορίας παράσχῃ μακρὰς, οἷς ἀναζητεῖν ποτ' ἐξείη τὰ ἴχνη τῆς εὐθείας τῶν θείων δογμάτων ὁδοῦ, τριβόλων καὶ ἀκανθῶν καὶ ζιζανίων ἐκτόπων καὶ πολυτρόπων ἐπιφυέντων, καὶ δυσείκαστα πάνυ τοι σφόδρα πεποιηκότων ἴσως τῆς πάλαι εὐδαιμονίας τὰ ὑπομνήματα. οὐ γὰρ μόνοις ἡμῖν τὰς ἀνδροφόνους ὁπλίζουσι χεῖρας αὐτῶν· ἀλλὰ καὶ τῶν ἱερῶν βίβλων μεγάλας ἀφαιροῦσιν ἀποτομίας, ὅλας δυάδας καὶ τετράδας φύλλων χαρτῴων ὀξείαις μαχαίραις ἐκτέμνοντες, κἀκεῖνα τῶν θείων ἀποῤῥηγνύντες γραφῶν, ἃ μὴ παραφέρειν ταῖς παρανομουμέναις ἐξηγήσεσι πρὸς τὸ βουλόμενον δύνανται τῆς ψυχῆς, ἰσχυρὰν καὶ δυσεκβίαστον τὴν ἀντίπαλον ἰσχὺν κεκτημένα. τοῖς μὲν γὰρ κεφαλὰς ἀνθρώπων ἀφαιρεῖν οὐ φρίττουσιν οὐδὲ μόγις μέγα ἄν ποτε φανείη γραφῶν κεφαλὰς ἀφαιρεῖν εὐσεβῶν. (Θ.) Ἀλλ' ἐκεῖσε ἐπάνειμι, τῶν αὐθημερὸν ἐκεῖ παρανομηθέντων ἑνός που καὶ δυοῖν εἰς ἔνδειξιν μνησθησόμενος, ἐξ ὀνύχων φάναι τὸν λέοντα, κἀκ τοῦ κρασπέδου τὸ ὕφασμα. ἐπειδὴ γὰρ ἡμῖν μὲν τὸ λέγειν οὐκ ἔτι ἐνῆν, τὸ δὲ σιωπᾷν ἐνῆν, καταψηφισθὲν οὑτωσί· ἐκείνοις τὸ μὲν σιγᾷν οὐκ ἐνῆν, τὸ δὲ λαλεῖν ἀνέδην καὶ μάλα ἐνῆν ἐκ διαμέτρου τὰ κατὰ βούλησιν ἅπαντα· πολὺς κατέσχε τὸ βῆμα σάλος ἐκεῖνο καὶ θόρυβος, καὶ οἷος ἂν γένοιτο νηῒ, πνευμάτων ἀγρίων τὸ πέλαγος συγκυκώντων, καὶ βροντῶν αἰθερίων τὸν πέριξ ἀέρα κρατούντων, καὶ πᾶσαν ἐπικλυζόντων ἀκοὴν καὶ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

σύνεσιν λαλιᾶς. οὐ γὰρ 2.1009 μόνον ἐκ τῆς πολυγλώσσου κραυγῆς ἐκείνης καὶ τρικυμίας καὶ τῆς τῶν λεγομένων ἀκοσμίας· ἀλλὰ καὶ ὁ τῶν χειρῶν πάταγος πλείονα τὸν θόρυβον ἐνεποίει τῷ συνεδρίῳ, οὐ παροδικῶς πως συνενεχθεὶς, κατὰ τὰς ἀπροσδοκήτους ἐπιούσας ὁπώσποτε τύχας, ἀλλὰ καὶ μάλα γέ τοι ἐξεπίτηδες· ἵνα μηδὲν τῶν παρανόμως ἐκεῖ δογματιζομένων, κατὰ τὸ πρόσφατόν τε καὶ ἄηθες τῇ τοῦ θεοῦ ἐκκλησίᾳ, ἡμῖν ἠκουσμένον γένοιτο, μηδὲ μικρά τις ἀντιλογίας ἐκεῖ πρὸς ἡμῶν τολμηθείη ῥοπή. ὅμως εἰ καὶ μὴ πάντων ἐν ἀκηράτῳ γεγόναμεν ἀκοῇ, ἀλλ' οὖν ἀπέχρησε, τῶν γε πλειόνων ἀκηκοόσιν, ὡς ἔχειν εἰκάζειν ἐντεῦθεν καὶ τῶν μὴ σαφῶς ἠκουσμένων τὴν φύσιν. οὐδὲ γὰρ οὐδ' ἐκείνων τελέως ἀνηκόους ἡμᾶς γενέσθαι ξυμπέπτωκεν. τὰ γὰρ ὑστερόφωνα τῆς συνεχοῦς ἑκάστων ἐκείνων ἠχοῦς, τῶν πέριξ τῆς βασιλικῆς ἐκείνης οἰκίας ἐκπηδῶντα σφαιρῶν καὶ ἡμισφαιρίων, καί τινων ἰχνῶν ἐκεῖθεν ἀποσυλῶντα μιμήσεις, φιλανθρώπως εἰπεῖν ἡμᾶς ἐδεξιοῦτό τε καὶ ἐξένιζε, τὸ λυπούμενον τῆς ψυχῆς ἡμῶν οὑτωσὶ κολακεύοντα. (Ι.) Εἰς τοσαύτην γε μὴν τὸ πρᾶγμα κακίαν ἤλασε τότε, καὶ τοσαύτην εὗρον τὴν εὐκαιρίαν βλασφημίαι μεταξὺ τῆς ἀτόπου καὶ ἀμαθοῦς τῶν ἐπισκόπων ἐκείνης φάλαγγος, ὡς καὶ ψήφῳ κοινῇ βασιλέως ἅμα καὶ πατριάρχου, ξύν γε πᾶσιν αὐτοῖς, δεδιόσι τὴν ἀρχοντικὴν ἐξουσίαν τοῖς πλείστοις, κυρωθῆναι μὲν, θεότητα λέγεσθαί πως καὶ τὴν οὐσίαν· κυρίως δὲ θεότητα ἄκτιστον καὶ σφόδρα διάφορον τῆς θείας οὐσίας, τὴν 2.1010 ἐνέργειαν, ἀνούσιόν τινα καθ' αὑτὴν οὖσαν· μεριζομένην δ' ὅμως εἰς διαφόρους καὶ μερικωτέρας ἀκτίστους ἐνεργείας, δύναμιν δηλαδὴ καὶ σοφίαν καὶ ζωὴν καὶ ἀλήθειαν καὶ φῶς καὶ κρίσιν καὶ μέθην καὶ ὕπνον καὶ ὅσα ταῖς τῶν ἀνθρώπων ἐφεύρηταί πως ἀπορίαις ὀνόματα. καὶ ἅμα κατόπιν κεκύρωται, μὴ τὴν οὐσίαν εἶναι, τὴν τὸν ἡμῖν μεταλαμβανόμενον ἁγιάζουσαν ἄρτον, οὐ μὴν οὐδ' ὃ βαπτιζόμεθα θεῖον βάπτισμα, ἀλλ' ἄκτιστόν τινα χάριν καὶ ἐνέργειαν, τῆς θείας οὐσίας ἑτέραν καὶ πάντη διάφορον. οὕτω τοῦ συνεδρίου καὶ τοῦ βήματος ὁ δαίμων ἀσελγῶς ἐκείνου κατωρχήσατο. (ΙΑ.) Ταῦτα ὁρώντων τοίνυν καὶ ἀκουόντων ἡμῶν, ὢ δίκη καὶ ἀνοχὴ θεοῦ, κατὰ ποταμοὺς ἐχώρει τὰ δάκρυα, σιωπῇ κυπτόντων εἰς γῆν. περιττὸς γὰρ ὑπὲρ τοῦ τὰ δέοντα ποιεῖν λόγος ἅπας, ὅτε ᾖ τῶν ἀκουόντων πρὸς τὸ χεῖρον ὁμόνοια. ἤδη δὲ καὶ πόῤῥω νυκτῶν ἦν τὸ τῆς ὥρας, καὶ πρὸ μικροῦ τινος δᾷδες εἰσῄεσαν ἡμμέναι, ὅτε καὶ χεῖρας ἐπιβάλλειν ἤρξαντο μετ' ὀργῆς βαθείας ἀναπηδήσαντες σύν γε τῷ πατριάρχῃ οἱ ἐπίσκοποι καθ' ἡμῶν, μηδ' ἀκούειν τά γε τοιαῦτα ἀνασχομένων, ἀλλὰ μόνοις στεναγμοῖς ἀφθόγγοις τοὺς ἀκάπνους καπνοὺς ἀναπεμπόντων τῆς ψυχῆς, τοῦ καιροῦ μὴ διδόντος ἄλλως ἡμῖν θεραπεύειν τοῦ ζήλου τὴν φλόγα καὶ τὴν τῶν σπλάγχνων ὀδύνην ἀπογυμνοῦν, ἐν τοιαύταις τύχαις οὖσι, καὶ τοιούτοις ἐξαίφνης θηρσὶ περιπεπτωκόσι, καὶ μηδενὸς ἡμῖν ἡμέρου καὶ φιλανθρώπου παρ' οὐδένων οὔτε νῦν ἀπαντῶντος, οὔτ' ἔπειτ' 2.1011 ἐλπιζομένου. καὶ τί γὰρ ἂν ὑγιὲς ἔδει δρᾷν ἀμαθέσιν ἀνδράσιν, ἐς κρίσιν θείων ἐληλυθόσι δογμάτων, ἀπὸ κώπης καὶ χύτρας τοῖς πλείοσιν ἀναχθεῖσιν ἐς τὸ ἐπισκοπεῖον σχεδὸν εἰπεῖν αὐθημερὸν, καὶ παντοδαπῆς καὶ μακρᾶς ἀναπλάσεως καὶ τυπώσεως σφόδρα δεομένοις, πρὸς φαντασίαν σκιᾶς γοῦν τινος παιδευτικῆς; πολλοῦ γὰρ εἰπεῖν δεῖ, πρὸς ἀναθεώρησιν μούσης τινὸς ἐλλογίμου· εἶναι γὰρ τῶν χαλεπωτάτων, ἔμφυτον μοχθηρίαν ἐπὶ πλεῖστον λανθάνειν, περιστελλομένην τοῖς παρὰ φύσιν σχηματισμοῖς τοῦ βελτίονος. τὸ γὰρ παρὰ φύσιν, βίαιον ὂν, διηνεκῶς ἐνοχλεῖται τῇ φύσει, μὴ δυναμένῃ πολύν τινα χρόνον τῆς ἐλευθερίας τὸ συμφυὲς ζημιοῦσθαι, ἀλλὰ δυσανασχετούσῃ καὶ ἀναζωπυρούσῃ τὸ ἦθος, μέχρις ἂν εἰς τὸν ἔμφυτον ἐθισμὸν τῆς κακίας ἐκείνης παλινδρομήσῃ. (ΙΒ.) Καὶ πρῶτον μὲν τοῖς δυσὶν ἐκείνοις ἀρχιερεῦσιν ἡμῶν, καθάπερ θῆρες, ἐπεισπεσόντες, ἤθεσιν ἀγρίοις καὶ λόγοις ἀσέμνοις τε καὶ μεμηνόσι, κατεῤῥήγνυον τὰς ἐσθῆτας καὶ κατέσπων τὰ τῆς ἀρχιερωσύνης σημεῖα, οἷς συνανεσπῶντο καὶ τρίχες τῆς ὑπήνης τῶν ταλαιπώρων ἐκείνων· οὐκ ἐξεπίτηδες μὲν,



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐγίγνετο δ' οὖν τῇ ῥύμῃ τῆς ἀκαθέκτου βίας ἐκείνης, τῇ σκέψει καιρὸν οὐ παρεχομένης, ἐν σκότει προσέχειν ἅ τέ σφισιν ἐδρᾶτο καὶ ἃ τοῖς δρωμένοις ἐπηκολούθει. τοὺς γὰρ δᾳδούχους μετὰ τῶν ἑσπερίων φώτων ἐκείνων ὀπίσω κατὰ νώτου λιπόντες διὰ σπουδὴν, καὶ ταῖς ἑαυτῶν σκι 2.1012 αῖς τοὺς κολαζομένους συγκρύπτοντες, ἔλαθον τἀνόσια λῃστρικώτερον ἢ ἐβούλοντο δράσαντες τρόπον. τυφλὸν γὰρ θυμὸς ἅπας. ἂν δὲ καὶ τῶν ἀγροίκων καὶ ἀμαθῶν ὁ θυμούμενος ᾖ, βαβαὶ καθ' ὧν ὁρμᾶται, φλογὸς ἁπάσης ὀξύτερον κεχυμένος, ἣ τὰ πρόσω πάντα σφοδρότερον ἐλπίδος ἁπάσης ἐπινεμομένη καὶ κατεσθίουσα δαπανᾷ καὶ κακῶς διατίθησιν. (ΙΓ.) Ἔπειτα τῶν ἐμῶν χειρῶν τοὺς ἐμοὺς βιαίως ἀφήρπαζον μαθητὰς, οἳ μέχρι τέλους ἐμοὶ παραμείναντες συνεμάχουν ἐν τῷ σταδίῳ ἐκείνῳ, καὶ τοῖς ἄθλοις τῶν διαλέξεων ἐκείνων συνηγωνίζοντο, καθάπερ σκύλακες εὐγενεῖς, ὧν τὸ ὑλακτικὸν ἐγκαίρως γινόμενον καὶ ὁ μέγας ὑμνῶν Χρυσόστομος, διὰ τὸ τῶν ζώων εὐνοϊκὸν, καὶ θεὸν ἀποδέχεσθαι φάσκει τοὺς ὑπὲρ τῆς εὐσεβείας ὑλακτοῦντας ἀνθρώπους καθ' ὁμοιότητα τῶν κυνῶν. τούτων δὲ τοὺς μὲν δεσμωτηρίοις τοῖς πικροτέροις παρέπεμψαν· τοῖς δ' ἠπείλησαν τὰ δεινότατα, εἰ μὴ τὴν ἐμὴν ὁμιλίαν ἑκόντες ἐξομόσαιντο τέλεον. οἱ γὰρ πλείους, ὡς εἴρηται, δείσαντες ἐκείνας αἳ τῇ προτεραίᾳ σφίσι κολάσεις ἠπείληνται, τὴν ἐμήν τε ἀπείπαντο φθάσαντες συνδιαίτησιν παραχρῆμα καὶ ᾤχοντο διασπαρέντες ἄλλος ἄλλοθι τῶν τῆς ἀφανείας μυχῶν· ὅτε δηλαδὴ καὶ ὁ τῆς Τύρου διαληφθεὶς ἐπίσκοπος, εἷς τῶν τῆς Ἀντιοχέων ἐπαρχίας ἐπισκόπων ὑπάρχων, ἰταμώτερον τότε διωχθεὶς ἐκεῖθεν τάς τε συνό
δους ἐκείνας ἀπείπατο τοῦ λοιποῦ καὶ τῇ οἰκίᾳ συσπειραθεὶς τὸν ἡσύχιον καὶ ἄκων ἤνυε βίον ἐκεῖθεν. εἶεν. (ΙΔ.) Ἔμοιγε 2.1013 μέντοι τέως εἰπόντες μὲν οὐδὲν ἀγεννὲς οὐδ' ἄκοσμον ἀφῆκαν οἴκαδε ἀπιέναι ξύν γε τοῖς δυσὶν ἐκείνοις ἀρχιερεῦσι, καὶ οὓς τῶν ἐλλογίμων ἀνδρῶν λογάδας ἔφημεν συναθλεῖν ἐς τέλος ἡμῖν. δ΄. Μετὰ δ' ἡμέρας ἔστιν ἃς πέμψαντες οἴκοι καθεῖρξαν καὶ ἡμᾶς, οὐ πενταετηρικήν τινα σιωπὴν ἡμῖν ἐπιτάξαντες, κατὰ τὴν τῶν Πυθαγορείων ἐκείνων, ἀλλ' ἀΐδιόν τινα καὶ εὖ μάλα ἀτερπῆ, οὐ διὰ τὸ βίαιον καὶ ἀκούσιον μόνον, ἀλλὰ καὶ διὰ τὴν ἔτι προσθήκην τοῦ μήτε γράφειν, μήτε βλέπειν, μήτ' ἀκούειν μηδενὸς τῶν ἁπάντων. μηδὲ γὰρ μόνων τῶν γνωρίμων καὶ φίλων, οὐδ' αὖ τῶν γνησίων καὶ γειτόνων ἡμᾶς ἐγύμνωσαν, ἀλλὰ καὶ παντὸς θεράποντός τε καὶ ὑπηρέτου, οὓς ὡς τὰ πολλὰ βακτηρίαν τῷ γήρᾳ γίγνεσθαι εἴωθεν. οὕτως ἀπηνῶς καὶ αὐτοχειρίᾳ ταῖς ἡμετέραις ψυχαῖς ἐκεῖνοι ἐπεπήδησαν, καὶ οὕτω θηριωδῶς ταῖς ἡμετέραις ἐχρήσαντο συμφοραῖς, μᾶλλον δ' αὐτοί γε αὐτόχρημα συμφορῶν γινόμενοι πλοῦτος ἡμῖν, οἱ ποιμένες τότε τῆς ἐκκλησίας εἶναι καυχώμενοι. οἱ δὲ παιδευταὶ τῶν κακῶν κεραυνοὶ ῥᾳθυμεῖν καὶ καθεύδειν ἐῴκεσαν. ἦ γὰρ ἂν αἰθερίας πληγῆς πειραθέντες, καὶ τῆς τῶν οἰκείων λόγων καὶ πράξεων παρανοίας καὶ ἀσελγείας αἰσθόμενοι, βελτίους ὀψὲ γοῦν ἑαυτῶν ἐγίγνοντο. καὶ ταῦτα μὲν τοῦτον ἔσχε τὸν τρόπον. (Β.) Ἐμοὶ δ' ἄχθεσθαι καὶ δακρύειν ἂν περιῆν, τὴν ὀξεῖαν ὁρῶντι φορὰν τῆς κακίας εὐδρομοῦσαν ἀεὶ, καὶ κόρον οὐδένα τῆς ἐς τὰ καίρια τὴν 2.1014 τοῦ θεοῦ ἐκκλησίαν βλαπτούσης ὁρμῆς μεμνημένην λαμβάνειν, εἰ μὴ λόγοι τῶν πάλαι σοφῶν ἀνέψυχον ἡμῶν τὸ τῆς ψυχῆς ἐμπαθὲς, τὴν τῶν πραγμάτων ἀστάθμητον χύσιν ἡμῖν προβαλλόμενοι. ὅσα γὰρ τῶν πραγμάτων μὴ κανόνες καὶ νόμων στάθμαι χειροτονοῦσιν, ἀλλὰ τύχαι καὶ δυναστεύουσαι χεῖρες, ταῦτα καὶ τὸν δρόμον ἀνώμαλον ἔχει διηνεκῶς, καὶ οἷον ἀμπώτιδες εἰκονίζουσι καὶ πλήμμυραι θαλάττης, καὶ ὅσαι μεταβολαὶ τῶν ἐντεῦθεν Εὐρίπων· οἷς οὔτε τὸ χαίρειν ἄκλαυστον συγχωρεῖται μένειν ἐς μῆκος ἀεὶ, οὔτε τῷ λυπεῖσθαι καθάπαξ ἄμικτον ἔχειν ἀεὶ τὸ χαῖρον· ἀλλὰ μέμικται πάντα. κἀκ τοῦ τοιούτου πλάνου καὶ κύβου, τοῖς διαφόροις ἐντρέχοντος βίοις, ἔστιν ἐφιστῶντας τὴν διάνοιαν τοὺς συνετωτέρους μανθάνειν, ὥσπερ ἐκ στοιχείων καὶ συλλαβῶν, ἔστιν ἃ τῶν ἐγκεκρυμμένων τοῖς πράγμασι μυστηρίων, καὶ μὴ θορυβεῖσθαι καὶ ξενοπαθεῖν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

πρὸς τὴν τῶν φαινομένων ἀήθειαν, ἀλλὰ κἀν μέσαις ταῖς συμφοραῖς, καὶ μάλιστα ταῖς κατὰ θεὸν, τῷ τῆς γνώμης ἑστῶτι βεβαίως ἐγκαρτερεῖν. αἰνίγματι γὰρ ἐοικότες οἱ τῶν ἀνθρώπων βίοι δι' ἑτέρων ἕτερα συντελοῦσί τε καὶ διακονοῦνται τῇ πάντα σοφῶς οἰκονομούσῃ προνοίᾳ, τὴν ἡμῶν λανθάνοντα σύνεσιν. καὶ νῦν μὲν ἀλλήλοις ἐχθρὰ καὶ πολέμια φαίνεται· νῦν δὲ πρὸς ἕνωσίν τινα καὶ συγγενικὴν ἁρμονίαν δοκεῖ συμπλέκεσθαι, κἂν ᾖ πολλὰ τὰ μεταξὺ χρονικὰ διαστήματα. (Γ.) Ἀλλὰ ταῦτα καθολικὸν εἴρηται τρόπον. συντελεῖ δ' ὅμως κατὰ τὰ νῦν καὶ ἡμῖν ὁμοίως συμ 2.1015 βαίνοντα. οὐ γὰρ ἔκφυλα πάντη τῆς τῶν ἀνθρώπων πάσχομεν φύσεως· ἀλλ' ἔχει τὴν ἀναφορὰν καὶ ταυτὶ πρὸς παλαιοτέρων πραγμάτων ὁμοιότητα καὶ συγγένειαν. καὶ ἵνα τοὺς τῶν μαρτύρων ἐκείνων πλουσίους ἄθλους καὶ τῶν καιρῶν ἐκείνων τὴν ζάλην ἐάσω· Βασίλειοι καὶ Γρηγόριοι καὶ πλείονες ἕτεροι τῶν τῆς ἐκκλησίας φωστήρων, ὅσοι τοιαύταις ἐνέτυχον περιστάσεσιν, οὐ διαλείπουσι πανταχῆ τῶν σφετέρων βιβλίων τὴν τῶν τότε καιρῶν ἀφηγούμενοι τραγῳδίαν, καὶ τοὺς φλεγμαίνοντας διωγμοὺς ἐκείνους, οὓς οἱ πονηροὶ τετράρχαι καὶ δυνάσται τῶν καιρῶν καὶ πραγμάτων ἐκείνων ἐπῆγον σφίσιν ὁμοῦ τῇ εὐσεβείᾳ· ὡς ἀδελφὰ τοῖς νῦν ἐκεῖνα δοκεῖν, εἴ τις ἑκατέροις ἑκάτερα παραβάλλειν οὐ μάλα ὀκνεῖ· ὧν ἕνα κἀνταῦθά μοι παραθεῖναι δέδοκται πρὸς παράκλησιν καὶ ζῆλον εὐψυχίας καὶ μίμησιν τοῦ βελτίονος. (Δ.) Φησὶ τοίνυν ὁ μέγας Βασίλειος ἐν τοῖς πρὸς Ἀμφιλόχιον τά τε ἄλλα καὶ δὴ καὶ ὅσα νῦν ἡμεῖς ἐράνου δίκην εἰληφότες ἐκεῖθεν ἐνταυθοῖ παρεθήκαμεν. "1Ὁ σάλος γὰρ (φησὶ) τῶν ἐκκλησιῶν οὗτος τίνος οὐκ ἔστι θαλασσίου κλύδωνος ἀγριώτερος; ἐν ᾧ πᾶν μὲν ὅριον πατέρων κεκίνηται, πᾶς δὲ θεμέλιος, καὶ εἴ τι ὀχύρωμα δογμάτων, διασαλεύεται· κλονεῖται δὲ πάντα καὶ κατασείεται. Αἱ δ' ἐκ τῶν ἀρχόντων τοῦ κόσμου τούτου ἐπαγόμεναι ταραχαὶ ποίας οὐχὶ θυέλλης καὶ καταιγίδος βαρύτερον τοὺς λαοὺς ἀνατρέπουσι; κατηφὴς δέ τις ὄντως καὶ στυγνὴ σκο 2.1016 τομήνη τὰς ἐκκλησίας ἐπέχει. Διὸ πάντες ὁμοίως, καθ' ὃν ἂν ἕκαστος δύνηται τρόπον, τὰς φονικὰς χεῖρας ἀλλήλοις ἀντεπιφέρουσι. τραχεῖα δέ τις κραυγὴ τῶν ἐξ ἀντιλογίας παρατριβομένων ἀλλήλοις καὶ βοὴ ἄσημος καὶ δύσκριτος ἦχος ἐκ τῶν ἀσιγήτων θορύβων πᾶσαν ἤδη σχεδὸν ἐκκλησίαν πεπλήρωκεν, ἐπὶ ὑπερβολὰς καὶ ἐλλείψεις τὸ εὐθὲς δόγμα τῆς εὐσεβείας παρατρεπόντων. Εἷς δὲ ὅρος φιλίας τὸ καθ' ἡδονὴν εἰπεῖν, καὶ ἔχθρας ἀρκοῦσα πρόφασις τὸ μὴ συμβῆναι ταῖς δόξαις. πάσης δὲ συνωμοσίας πιστότερον πρὸς κοινωνίαν στάσεως ἡ τοῦ σφάλματος ὁμοιότης. θεολόγος δὲ πᾶς, καὶ ὁ μυρίαις κηλῖσι τὴν ψυχὴν στιγματίας. Τοιγαροῦν αὐτοχειροτόνητοι τὰς προστασίας τῶν ἐκκλησιῶν διαλαγχάνουσι, τὴν οἰκονομίαν τοῦ ἁγίου πνεύματος παρωσάμενοι· καὶ παντελῶς ἤδη τῶν εὐαγγελικῶν θεσμῶν ἐξ ἀκοσμίας συγκεχυμένων, ἀμύθητος ὠθισμὸς ἐπὶ τὰς προεδρίας ἐστίν. Ἐμὲ δὲ καὶ τὸ προφητικὸν ἐκεῖνο κατέχει λόγιον, ὅτι ὁ συνιὼν σιωπήσεται· διότι ὁ καιρὸς πονηρός ἐστιν, ἐν ᾧ οἱ μὲν ὑποσκελίζονται νῦν, οἱ δὲ ἐνάλλονται τῷ πεσόντι, ἄλλοι δὲ ἐπικροτοῦσιν· ὁ δὲ τῷ ὀκλάσαντι χεῖρα ὀρέγων ἐκ συμπαθείας οὐκ ἔστι. Τῆς γὰρ ἀγάπης ψυγείσης, ἀνήρηται μὲν ἀδελφῶν σύμπνοια· ὁμονοίας δὲ ἀγνοεῖται καὶ τοὔνομα· ἀνήρηνται ἀγαπητικαὶ νουθεσίαι· οὐδαμοῦ σπλάγχνον χρηστόν· οὐδαμοῦ δάκρυον συμπαθές. Ἐντεῦθεν ἀσύγγνωστοι μὲν καὶ πικροὶ κάθηνται τῶν 2.1017 ἀποτυγχανόντων ἐξετασταὶ, ἀγνώμονες δὲ καὶ δυσμενεῖς τῶν κατορθουμένων κριταί."2 καὶ ἀλλαχοῦ· "1Γνώριμα τὰ θλίβοντα ἡμᾶς, κἂν ἡμεῖς μὴ λέγωμεν. εἰς πᾶσαν γὰρ τὴν οἰκουμένην ἐκκέχυται. καταπεφρόνηται τὰ τῶν πατέρων δόγματα· ἀποστολικαὶ παραδόσεις ἐξουθένηνται· νεωτέρων ἀνθρώπων ἐφευρήματα ταῖς ἐκκλησίαις ἐμπολιτεύεται. τεχνολογοῦσι λοιπὸν, οὐ θεολογοῦσιν, οἱ ἄνθρωποι. Ποιμένες ἀπελαύνονται· ἀντεισάγονται δὲ λύκοι βαρεῖς, διασπῶντες τὸ ποίμνιον τοῦ Χριστοῦ. οἶκοι εὐκτήριοι ἔρημοι τῶν ἐκκλησιαζόντων· αἱ ἐρημίαι πλήρεις τῶν ὀδυρομένων."2 καὶ ἀλλαχοῦ· "1Οἱ ἀνταποδιδόντες μοι πονηρὰ ἀντὶ ἀγαθῶν καὶ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

μῖσος ἀντὶ τῆς ἀγαπήσεώς μου τῆς εἰς αὐτοὺς διαβάλλουσί με νῦν ἐπ' ἐκείνοις, εἰς ἃ αὐτοὶ εὑρίσκονται ἐγγράφους ὁμολογίας ἐκτιθέμενοι."2 καὶ πάλιν· "1Ἤνοιξαν στόματά τινες κατὰ τῶν ὁμοδούλων ἀφειδῶς· λαλεῖται τὸ ψεῦδος ἀφόβως· ἡ ἀλήθεια συγκεκάλυπται. καὶ οἱ μὲν κατηγορούμενοι καταδικάζονται ἀκρίτως· οἱ δὲ κατηγοροῦντες πιστεύονται ἀνεξετάστως. ὅθεν ἀκούσας, ὅτι πολλαὶ κατ' ἐμοῦ περιφέρονται ἐπιστολαὶ, στίζουσαι ἡμᾶς καὶ στηλιτεύουσαι καὶ κατηγοροῦσαι ἐπὶ πράγμασι, ὧν τὴν ἀπολογίαν ἑτοίμην ἔχομεν ἐπὶ τοῦ δικαστηρίου τῆς ἀληθείας, ὥρμησα μὲν σιωπῆσαι, ὃ καὶ ἐποίησα. τρίτον γὰρ ἤδη τοῦτο ἔτος ἐστὶν, ἐν ᾧ τυπτόμενος ὑπὸ τῶν διαβολῶν φέρω 2.1018 τὰς τῆς κατηγορίας μάστιγας, ἀρκούμενος ὅτι ἔχω κύριον, τὸν τῶν κρυπτῶν γνώστην καὶ μάρτυρα τῆς συκοφαντίας· ἐπεὶ δὲ ὁρῶ, ὅτι πολλοὶ τὴν σιωπὴν ἡμῶν εἰς βεβαίωσιν τῶν διαβολῶν παρεδέξαντο, καὶ οὐ διὰ μακροθυμίαν ἐνόμισαν ἡμᾶς σιωπᾶν, ἀλλὰ διὰ τὸ μὴ ἔχειν στόμα διᾶραι πρὸς τὴν ἀλήθειαν, τούτου ἕνεκα ἐπειράθην ἐπιστεῖλαι ὑμῖν, παρακαλῶν τὴν ἐν Χριστῷ ἀγάπην ὑμῶν, ὥστε τὰς ἐξ ἑνὸς μέρους γινομένας διαβολὰς μὴ πάντη παραδέχεσθαι ὡς ἀληθεῖς· διότι, καθὼς γέγραπται, οὐδένα κρίνει ὁ νόμος, ἐὰν μὴ πρῶτον ἀκούσῃ καὶ γνῷ τί ποιεῖ."2 καὶ ἀλλαχοῦ· "1Εἰ γὰρ καὶ τὰ ἄλλα ἡμῶν στεναγμῶν ἄξια, ἀλλ' ἔγωγε τοῦτο τολμῶ καυχᾶσθαι ἐν κυρίῳ, ὅτι οὐδέποτε πεπλανημένας ἔσχον τὰς περὶ τοῦ θεοῦ ὑπολήψεις, ἢ ἑτέρως φρονῶν μετέμαθον ὕστερον· ἀλλ' ἣν ἐκ παιδὸς ἔλαβον ἔννοιαν περὶ θεοῦ παρὰ τῆς μακαρίας μητρός μου καὶ τῆς μάμμης μου Μακρίνης, ταύτην αὐξηθεῖσαν ἔσχον ἐν ἐμαυτῷ."2 καὶ πάλιν· "1Ἐγὼ πρὸς τὴν ἐπάλληλον τῶν ἐχθρῶν ἡμῶν καὶ ποικίλην καθ' ἡμῶν ἐπιχείρησιν ἀποβλέπων σιωπᾶν δ' ᾤμην δεῖν, καὶ δέχεσθαι καθ' ἡσυχίαν τὰ ἐπαγόμενα, μηδ' ἀνταίρειν τοῖς καθωπλισμένοις τῷ ψεύδει, τῷ πονηρῷ τούτῳ ὅπλῳ. ἔδοξαν γάρ μοι παραπλήσιόν τι ποιεῖν τῷ Αἰσωπείῳ μύθῳ οἱ τὸ ἀπροφάσιστον καθ' ἡμῶν ἀναλαβόντες μῖσος. ὡς γὰρ ἐκεῖνος ἐγκλήματά τινα τῷ ἀρνίῳ τὸν λύκον προσφέρειν ἐποίησεν, αἰσχυνόμενον δῆθεν 2.1019 τὸ δοκεῖν ἄνευ δικαίας προφάσεως ἀναιρεῖν τὸν μηδὲν προλυπήσαντα· τοῦ δ' ἀρνὸς πᾶσαν τὴν ἐκ συκοφαντίας ἐπαγομένην αἰτίαν εὐχερῶς διαλύοντος, μηδὲν μᾶλλον ὑφίεσθαι τῆς ὁρμῆς τὸν λύκον· ἀλλὰ τοῖς μὲν δικαίοις ἡττᾶσθαι, τοῖς δ' ὀδοῦσι νικᾷν· οὕτως οἷς τὸ καθ' ἡμῶν μῖσος ὥς τι τῶν ἀγαθῶν ἐσπουδάσθη, ἐρυθριῶντες τάχα τῷ δοκεῖν ἄνευ αἰτίας μισεῖν, αἰτίας πλάσσουσι καθ' ἡμῶν καὶ ἐγκλήματα, καὶ οὐδενὶ τῶν λεγομένων μέχρι παντὸς ἐπιμένουσιν. ἀλλὰ νῦν μὲν τοῦτο, μετ' ὀλίγον δ' ἄλλο, καὶ αὖθις ἕτερον τῆς καθ' ἡμῶν δυσμενείας τὸ αἴτιον λέγουσι."2 καὶ πάλιν· "1Οὐκοῦν καὶ τοῦτο ἡμῖν ἐγκαλοῦσι, τὸ τὰ ἐπιλεγόμενα τῇ θείᾳ φύσει ὀνόματα μοναδικῶς ἐξαγγέλλειν. ἀλλ' ἕτοιμος ἡμῖν πρὸς τοῦτο καὶ σαφὴς ὁ λόγος. ὁ γὰρ καταγινώσκων τῶν μίαν λεγόντων θεότητα ἐξ ἀνάγκης τῷ πολλὰς λέγοντι, ἢ τῷ μηδεμίαν, συνθήσεται. οὐ γάρ ἐστι δυνατὸν, ἕτερόν τι παρὰ τὸ εἰρημένον ἐπινοῆσαι. Εἰ οὖν τὸ εἰς πλῆθος ἐκτείνειν τὸν ἀριθμὸν τῶν θεοτήτων, μόνων τῶν τὴν πολύθεον πλάνην νενοσηκότων ἐστὶ, τὸ δὲ καθόλως ἀρνεῖσθαι τὴν θεότητα, τῶν ἀθέων ἂν εἴη, τίς λόγος ἐστὶν ὁ διαβάλλων ἡμᾶς ἐπὶ τὸ μίαν ὁμολογεῖν τὴν θεότητα;"2 καὶ μετ' ὀλίγον· "1πάντα τὰ θεοπρεπῆ νοήματά τε καὶ ὀνόματα ὁμοτίμως ἔχουσι πρὸς ἄλληλα, τῷ μηδὲν παρὰ τὴν τοῦ ὑποκειμένου διαφωνεῖν σημασίαν. οὐ γὰρ ἐπ' ἄλλο τι ὑποκείμενον χειραγωγεῖ τὴν διάνοιαν τοῦ ἁγα 2.1020 θοῦ ἡ προσηγορία, ἐφ' ἕτερον δὲ ἡ τοῦ σοφοῦ καὶ ἡ τοῦ δυνατοῦ καὶ ἡ τοῦ δικαίου· ἀλλ' ὅσαπερ ἂν εἴπῃς ὀνόματα, ἓν διὰ πάντων ἐστὶ τὸ σημαινόμενον· κἂν θεὸν εἴπῃς, τὸν αὐτὸν ἐνεδείξω, ὃν διὰ τῶν λοιπῶν ὀνομάτων ἐνόησας. Καταμανθανόμενα γὰρ καὶ συγκρινόμενα πρὸς ἄλληλα τὰ ὀνόματα διὰ τῆς ἐν ἑκάστοις ἐνθεωρουμένης ἐμφάσεως εὑρεθήσεται μηδὲν τῆς τοῦ θεοῦ προσηγορίας ἔλαττον ἔχοντα. τεκμήριον δὲ, ὅτι τούτῳ μὲν τῷ ὀνόματι πολλὰ καὶ τῶν καταδεεστέρων ἐπονομάζεται, καὶ ἐπὶ τῶν ἀπεμφαινόντων


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ὁμοίως λεγομένῳ. Τὸ δὲ τοῦ ἁγίου ὄνομα καὶ τοῦ ἀφθάρτου καὶ τοῦ εὐθέος καὶ τοῦ ἀγαθοῦ οὐδαμοῦ κοινοποιούμενον πρὸς τὰ μὴ δέοντα παρὰ τῆς γραφῆς ἐδιδάχθημεν."2 (Ε.) Ἐμοὶ δὲ καὶ πλείους εἰς τὴν τῶν λεγομένων ἀπόδειξιν ὡρμημένῳ παράγειν ἁγίους ῥᾶον ἔδοξεν εἶναι, πρότερον δι' ἑνὸς τουτουῒ τὴν τῶν πάλαι πρὸς τὰ παρόντα συγγένειαν διευκρινήσαντας, ἔπειτα ἐπενεγκεῖν καὶ τὰς τῶν ἄλλων μαρτυρίας διὰ τοὺς ἀμφιβόλους καὶ σμικρογνώμονας. ἐπεὶ κἀκ τούτου νῦν μέτριά τινά μοι δίκην ἐράνου συνῆκται, καὶ ὅσον ἀφοσιώσασθαι πρὸς τὴν ζήτησιν καὶ χρείαν τῆς νῦν ὑποθέσεως. ἐξέσται γὰρ, ὅτῳ ἂν ᾖ βουλομένῳ, τοῖς εἰρημένοις παρατιθέντας ἓν ἑνὶ καὶ πλείοσι πλείω τῶν καθ' ἡμᾶς ἀκήρατον εὑρίσκειν τὴν συμφωνίαν τοῦ νῦν διωγμοῦ πρὸς τὸν τότε· καὶ μανθάνειν σαφέστερον, ὡς ἃ διΐστησι χρόνος, ταῦτα χρόνος ἐπαναλαμβάνων αὖθις συνί 2.1021 στησι· καὶ ἃ ῥοῦς χειμερίων φάναι πραγμάτων συγχεῖ, πραγμάτων αὖθις συνάπτει παλίῤῥοια· καὶ ἃ βίων πολυπλόκων λαβύρινθοι διασπείρουσι πρὸς λήθης μυχοὺς καὶ κρυπτῆρας, ἀντίστροφοι πάλιν λαβύρινθοι βίων πρὸς τὰ συγγενῆ καὶ ὁμόφυλα τῶν πάλαι τῷ χρόνῳ γεγενημένων ἀναφέρουσιν ὕστερον ἴχνη, οἷον ἀνακαλυπτήρια ταῖς ἀλλήλων διὰ μακροῦ τοῦ μέσου συμφυΐαις καὶ ὁμοιότησι θύοντες. ε΄. Μετὰ γὰρ τὸν ἡμέτερον διωγμὸν ἐκεῖνον εὐθὺς καὶ φόβους ἅπαντας οἱ διῶκται ψυχῆς ἀποσκευασάμενοι, καθάπερ ἐκ ναυαγίου καὶ κλύδωνος παρ' ἐλπίδας ἀνασωθέντες ἁπάσας, ἀνεπεπνεύκεσαν τέως ἡδύ τι καὶ ἐλευθέριον· καὶ συχνότερον νύκτωρ καὶ μεθ' ἡμέραν ἤδη λοιπὸν συνέδρια δρῶντες ὑπὸ βασιλεῖ καὶ ἰδίᾳ καὶ ἄνευ ἡμῶν πᾶν ποιεῖν καὶ λέγειν καθ' ἡμῶν οὐκ ἠμέλουν. ἐν δὲ τοῖς τοιούτοις διημιλλήσαντο πρὸς ἀλλήλους τὰ πρῶτα, ὅστις τε καθ' ἡμῶν πλείους ἀφῆκε λοιδορίας ἀφηγούμενοι σὺν κρότῳ καὶ γέλωτι· καὶ ὅστις ἥττους μὲν, δριμυτέρας δέ· καὶ αὖ ὅστις ὕστερον μὲν, καιριώτερον δέ· καὶ μάλα γέ τοι σὺν ἀσελγαινούσῃ γνώμῃ καὶ βωμολοχούσῃ γλώττῃ, ἐφ' οἷς ἐγκαλύπτεσθαι ἔδει, τούτοις ἐγκαλλωπίζεσθαι οἱ θεομισεῖς οὐκ αἰδούμενοι, οὐδ' ἐρυθριῶντες· ἀλλ' ὅμοιον ποιοῦντές γ' ἐκείνῳ τῷ Διοσκόρῳ, τῷ δυσσεβεῖ προέδρῳ τῆς Ἀλεξανδρείας· ὃς μετὰ τὸ πλείους τε ἄλλους καὶ Φλαβιανὸν πεφονευκέναι τὸν πατριάρχην ἐν τῇ κατ' Ἔφεσον ἀθροισθείσῃ πάλαι συνόδῳ τῶν ἐπισκόπων 2.1022 ἐνεκαλλωπίσατο κἀκεῖνος ἐκείνῳ τῷ φόνῳ, καθάπερ ἐπὶ μεγάλῳ τινὶ προτερήματι, τὸν πάλαι Νέρωνα μιμησάμενος, τοῖς οἰκείοις αὐλήμασί τε καὶ ὀρχήμασιν ἐγκαυχώμενον, ἃ ταῖς νυξὶν ἐπετέλει τῷ βασιλικῷ βήματι, ἐκεῖ καθημένων τῶν τῆς πάλαι Ῥώμης εὐπατριδῶν καὶ συγκλητικῶν οὐ μάλα ἑκόντων. (Β.) Οὕτω τοίνυν καὶ ἡ σεμνὴ τῶν ἐπισκόπων αὕτη φατρία, τοὺς ἡμῶν διωγμοὺς ὀρχησαμένη, τῷ Παλαμᾷ καὶ ἀλλήλοις συνεχώρουν ἑξῆς τὰ τῆς ἀσεβείας ἐγκλήματα, προτερήματα μᾶλλον αὐτὰ προσειπόντες καὶ δόγματα εὐσεβείας, τῆς ἀντιμισθίας εὐθὺς ἑπομένης αὐτοῖς ἀναλόγως καὶ τῶν ἐπάθλων, διὰ τῶν ἐκ βασιλικοῦ τρίποδος θεσπισμάτων. διανομαὶ ταῦτα χρημάτων καὶ κτημάτων πρόσοδοι καὶ ἱερῶν φροντιστηρίων πολυανθρώπων ἐκδόσεις πρὸς ἀνθρώπους ἀμαθεστάτους ὡς τὰ πολλὰ, καὶ πλὴν τοῦ χρηματίζεσθαι πλέον εἰδότας οὐδέν· παραπλησίως ὥσπερ τὰς φονικὰς προγραφὰς τῶν πάλαι τῆς Ῥώμης εὐπατριδῶν καὶ συγκλητικῶν Σύλλας μὲν Κορνήλιος πρότερον, Ἀντώνιος δ' ὕστερον, τυραννικώτερον τῇ ἐξουσίᾳ ἐπιπηδήσαντες· πλὴν ὅτι ἐκείνοις μὲν σωμάτων γίνεσθαι φονευταῖς ἐγεγόνει διὰ τὴν τῶν κτήσεων ἁρπαγὴν καὶ διανομήν· τούτοις δὲ ψυχῶν ὁμοῦ καὶ σωμάτων ὄλεθρος ἅπας ἐπραγματεύετο· ψυχῶν μὲν τῶν ἰδίων, ὑπὲρ ὧν ἠπείγοντο· σωμάτων δὲ τῶν ἀλλοτρίων, καθ' ὧν ἠπείγοντο. (Γ.) Ἔπειτα ψηφίζονται καθ' ἡμῶν ἐφ' ἑτέραις ἑτέρας διανομὰς κολάσεων ἀϊδίους· ὥσπερ ἐν ταῖς ἀρχαιρεσίαις τοῖς πάλαι Ῥωμαίοις ἐδρᾶτο· πλὴν ὅτι ἐκείνοις μὲν ἀρχαιρεσιάζουσι, τιμαὶ 2.1023 καὶ βραβεῖα τοῖς ἀριστεύουσιν ἐψηφίζοντο· τούτοις δ' ἀφορμαὶ καὶ σκέμματα κακίας, μὴ ὅτι κατὰ τῶν ζώντων, ἀλλ' ἤδη καὶ αὐτῶν τῶν τεθνεώτων. καθαιροῦσι γὰρ κἀκείνους καὶ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀναθεματίζουσιν, ὑφ' ὧν αὐτοὶ καθηρέθησαν διὰ τὴν ἀσέβειαν τῶν καινοτομηθέντων δογμάτων, οὑτωσὶ τοὺς τῆς ἀσεβείας ἐλέγχους διαδρᾶναι νομίσαντες, μὴ πρὸς ἐπισκόπων δῆθεν, ἀλλ' ὑπὸ καθῃρημένων καθαιρεθέντες· καὶ ταῦτα τῶν γε πλειόνων ὑπαρχόντων αὐτῶν, οἳ σὺν τῷ πατριάρχῃ τότε καὶ τοῖς ἐπισκόποις ἐκείνοις ἦσαν οἱ Παλαμᾶν τε αὐτὸν καθῃρηκότες καὶ ἀναθεματίσαντες καὶ ἅμα τοὺς ἀμφ' αὐτόν· δι' ἃ σήμερον ἑαυτοὺς ἀναθεματίζουσιν, ὑπερμαχοῦντες τοῦ Παλαμᾶ. ἐζήτουν γὰρ μᾶλλον ἁμαρτάνειν ἀνέγκλητα, ἢ τοῖς ἐπιτιμίοις ὑπείκοντας εὐσεβεῖν, καὶ δι' ἀπώλειαν μᾶλλον ψυχῆς σωματικῶς εὐπραγεῖν. (Δ.) Ὅμως οὐδ' ἀπώλειαν ᾤοντ' εἶναι ψυχῆς τὰ δρώμενα. πῶς γάρ, οἳ τυραννικώτερον τρόπον τὸ αὐτεξούσιόν τε καὶ βουλόμενον τοῦ θεοῦ σφετερισάμενοι, τό γ' εἰς αὐτοὺς ἧκον, αὐτὸν μὲν ἐν κόλποις δήπου τῶν οὐρανίων θαλάμων περιγράψαντες συνεκάλυψαν, ἀνυπόστατον δέ τινα καὶ ἀνούσιον ἐθεοποίησαν ἐνέργειαν, ταὐτὸν εἰπεῖν ἀθεΐαν· ἵν' ἁμαρτάνωσιν ἀνέγκλητα, καὶ ἄφεσιν ἀλλήλοις ἁμαρτημάτων διδόναι τε καὶ ἀντιλαμβάνειν αὐτεξουσίως ἔχωσι, καθάπερ οἱ τὰ ἐν ἀγοραῖς ὄψα πιπράσκοντές τε καὶ ὠνούμενοι. εἰς τοῦτο γὰρ οἶμαι τείνειν καὶ ὃ πρὸς τοῖς ἄλλοις ὑπὸ τοῦ Παλαμᾶ καὶ τοῦτο δογματιζόμενον βλασφημεῖ 2.1024 ται· ἀνάρχους δηλαδὴ τοὺς ἀνθρώπους καθίστασθαι καὶ ἀκτίστους· ταὐτὸν δ' εἰπεῖν ἐνυποστάτους καὶ ἐνουσίους θεούς, ἀπειράκις ἀπείρους, τῶν ἀπειράκις ἀπείρων (χρὴ γὰρ κατ' ἐκεῖνον ἐνταῦθα καλεῖν) ἐνεργειῶν καὶ θεοτήτων, ἀκτίστων καὶ ἀνουσίων θεῶν, ταὐτὸν δ' εἰπεῖν μηδένων. τῷ γὰρ ἀκτίστῳ καὶ ἀνυποστάτῳ τὸ μηδὲν μήτ' εἶναι μήτε πιστεύεσθαι πᾶσιν ἀνθρώποις δοκεῖ καὶ πιστεύεται, καὶ αὐτοῖς γε τοῖς βρέφεσιν, εἶναι ταὐτόν. οὐδεμία γὰρ (φησὶ) φύσις, ὅτι μὴ τόδε ἐστὶν, ἀλλ' ὅτι τόδε. ἡ τοῦ ὄντος θέσις οὐχ ἡ τοῦ μὴ ὄντος ἀναίρεσις. (Ε.) Οὕτω μειρακιωδῶς ἐνεανιεύσαντο κατὰ τῆς εὐσεβείας, καὶ οὕτως ἀσύνετα καθ' ἡμῶν εἰργάσαντό τε καὶ ἐβουλεύσαντο, ταῖς ἡμετέραις συμφοραῖς τὴν ἑαυτῶν ἑστιῶντες θηριωδίαν, καὶ πᾶν πονηρὸν ῥῆμα καθ' ἡμῶν ψευδόμενοι συνέθεντο, καθ' ὅσα καὶ οἷά σφισιν ὑπηγόρευε τὸ θυμούμενον τῆς ψυχῆς· καὶ ἀγορὰς καὶ θέατρα πάντ' ἐμπεπλήκασι δι' ἐμμίσθων κηρύκων, λαμπρὸν εἰς ἀνανταγώνιστον πίστωσιν τῶν ἀκουόντων ἐπιτηδεύσαντες τὸν ἡμέτερον συγκλεισμόν· ἵνα καθ' ἡμῶν τε πλάττοντες ἐπιψηφίζωσιν ὁποῖα καὶ ὅσα βούλοιντο καὶ ἅμα πλείους τῶν ἀσυνέτως ἐχόντων μαθήσεως πρὸς τὴν σφετέραν αὐτῶν ἀσέβειαν προσεταιρίζωνται, τοῦ παρὰ πόδας ἐλέγχου κατὰ διάμετρον ἱσταμένου, μήτε θεὸν φοβούμενοι, μήτ' ἀνθρώπους αἰδούμενοι, μήτ' εἰς τὸ μέλλον εἶναι πιστεύοντές τινα τῶν ἐνταῦθα δρωμένων κρίσιν, μήτε κατάστασιν ἀμοιβῆς ἀγαθῶν καὶ κακῶν, ὡς τὰ ἱερὰ 2.1025 διδάσκουσι λόγια. (΄.) Ἀλλὰ ταῦτα καὶ τὰ τοιαῦτα μακραῖς τισι βίβλοις καὶ κύρβεσιν ἀναγράψαντες καὶ τομογραφήσαντες οἰκειοχείροις ὑπογραφαῖς ἐβεβαίωσαν ἅμα βασιλεῖ τε καὶ πατριάρχῃ πάντες ἐπίσκοποι καὶ πρεσβύτεροι· οἱ μὲν καὶ χειρὶ καὶ γνώμῃ θελούσῃ· οἱ δὲ χειρὶ μὲν, γνώμῃ δ' οὔ· καὶ τοὐναντίον αὖθις ἕτεροι. ἦσαν γὰρ οἳ γνώμῃ μὲν καὶ γλώττῃ δημοσίᾳ τὴν ὁμολογίαν παρέσχον, χειρὶ δ' οὔ, τὴν μέλλουσαν φεύγοντες λοιδορίαν. προὔκειντο γὰρ, οἷς μὲν ἂν μὴ συμφωνεῖν ἐξῇ, βασανιστικαὶ ἀδοξίαι· οἷς δ' ἐνῆν τὸ πείθεσθαι ῥᾴδιον, τούτοις δ' ἀμοιβαὶ χρημάτων καὶ τιμῶν παντοδαπῶν. τούτοις πολλοὶ καὶ τῶν ἐμῶν ἑάλωσαν φίλων, κἀξ ἐναντίου μοι ἔστησαν, καὶ ἐξεβιάζοντο μᾶλλον αὐτοὶ προδιδόντες καὶ ζητοῦντες τὴν ψυχήν μου, καὶ δολιότητας ὅλην τὴν ἡμέραν μελετῶντες, καὶ γλῶτταν κινοῦντες ἀεὶ κατ' ἐμοῦ. (Ζ.) Τούτων εἷς μοι καὶ ὁ καλὸς ἐγεγόνει Καβασίλας, τῶν φίλων ὁ βέλτιστος, πρᾶγμα, πρὶν γενέσθαι, μηδ' εἰς ἐνθύμησιν ἧκον· ὃ καὶ σφόδρα τοι κομιδῇ τεθαύμακα, καὶ θαυμάζων οὐ παύομαι, πρός τε τὸ βαθὺ γῆρας ἀποβλέπων τἀνδρὸς καὶ τὴν διὰ βίου βαθεῖαν ἐγκράτειαν καὶ ἀκτημοσύνην. ἀλλὰ γὰρ ἦ σοφὸς ἦν ἐκεῖνος, ὃς πρῶτος ἐν γνώμῃ τόδ' ἐβάστασε καὶ γλώττῃ διεμυθολόγησε, τὸν μακρὸν ἅπαντα φύειν τ' ἄδηλα χρόνον καὶ τὰ φανέντα


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

καλύπτειν. τἄλλα γὰρ ὢν καὶ φαινόμενος καὶ ὁ ἀνὴρ οὑτοσὶ καλὸς κἀγαθὸς ἔλαθε δόξης ἐρῶν ἀνθρωπίνης καὶ κομιδῇ κολακείας ἡττώμενος. καὶ συγγνώμη 2.1026 τἀνδρὶ, δύσμαχον τυραννίδα ψυχῆς ἐνεγκεῖν οὐδαμῆ δυνηθέντι. καίτοι ἐχρῆν τοῦ σοφοῦ Διογένους πεισθῆναι τοῖς λόγοις· ὃς πυθομένου τινὸς, ὅπως ἄν τις ἔνδοξος τάχιστα γένοιτο καὶ ῥᾳδίως, ἀπεκρίνατο· εἰ δόξης καταφρονεῖν δυνηθείη. εἰ δέ τῳ δοκοίη, τὸ πάθος ἐθέλοντι θεραπεύειν καί τι τῆς μέμψεως ὑφαιρεῖν, μὴ διὰ δόξης ἔρωτα καταψηφίζεσθαι, πρὸς τοιοῦτον πτῶμα κατενηνέχθαι τὸν φίλον, ἀλλὰ τῷ μήτε θεμελίους στεῤῥοὺς ὑποστῆσαι τῇ γλώττῃ σοφίας τῆς θύραθεν, μήτε πεῖραν ἱερῶν εἰληφέναι δογμάτων, οὐκ ἔγωγε διοίσομαι. πολλῷ γὰρ μᾶλλον ἂν τοῦθ' ἑλοίμην ἢ ἐκεῖνο· ὅτι τοῦτο μὲν, ἀκούσιον ὂν, ἐξαιρεῖται τοῦ τῆς κακίας ὑπερβάλλοντος τὸν φίλον, καὶ συγγνώμης ἰνδάλματα δίδωσιν ἁμωσγέπως αὐτῷ· ἐκεῖνο δ' ἁπάσας αὐτόχρημα συγγνώμης ἐλπίδας ἀνασοβεῖ, τοῦ ἑκουσίου τῆς γνώμης δίκην ἀχλύος αὐτὰς συνθολούσης. τῇ γάρ τοι φύσει καὶ τῷ πλουσίῳ τῆς γλώττης τεθαῤῥηκὼς ὁ ἀνὴρ ἐξ ἀρχῆς ταύτῃ τοὺς ἐντυγχάνοντας διὰ βίου κατέκλυζε, καὶ τροφῆς αὐτῆς ἐπιλανθανόμενος. διὸ καὶ πάντας σοφίας ἐς τοῦτο συγκλείσας τοὺς ἔρωτας, καὶ τοῦτο μόνον ἱκανὸν ἡγησάμενος, τὸ χρυσοῦν ἀπονητὶ συγκομίζειν θέρος αὐτῷ τῶν ἐπαίνων πάντων, ἥκιστα διὰ φροντίδος πεποίηται σοφίᾳ καὶ δόγμασιν ἱεροῖς τὸν τῆς γλώττης κοσμῆσαι δρόμον. ἢ γὰρ ἂν τῶν δυοῖν οὐδενὸς ἐξέπιπτε χρόνων· ἀλλ' ἀεὶ μὲν τὸ τῆς πολυλογίας, ὡς ἐπὶ πλεῖστον ἁμαρτάνον, διέφευγεν ἄν· νῦν δ' εἰς τὸ τῆς ἀσεβείας οὐκ ἂν ἐνέπιπτε βάραθρον. 2.1027 (Η.) Τοιούτοις οἶμαι καὶ ὁ μέγας ἐν θεολογίᾳ Γρηγόριος ἀνδράσι περιτυχὼν, ἐν τῇ τῶν πνευματομάχων περιπεσοῦσιν αἱρέσει, "1τοσοῦτον ὑμῶν,"2 φησὶ, "1περιέχομαι καὶ τοσοῦτον ὑμῶν αἰδοῦμαι τὴν εὔκοσμον ταύτην στολὴν καὶ τὸ χρῶμα τῆς ἐγκρατείας καὶ τὰ ἱερὰ ταῦτα συστήματα καὶ τὴν σεμνὴν παρθενίαν καὶ κάθαρσιν καὶ τὴν πάννυχον ψαλμῳδίαν καὶ τὸ φιλόπτωχον καὶ φιλάδελφον καὶ φιλόξενον, ὥστε καὶ ἀνάθεμα εἶναι ἀπὸ Χριστοῦ καὶ παθεῖν τι ὡς κατάκριτος δέχομαι· μόνον εἰ σταίητε μεθ' ἡμῶν, καὶ κοινῇ τὴν τριάδα δοξάσαιμεν. περὶ γὰρ τῶν ἄλλων τί χρὴ καὶ λέγειν, σαφῶς τεθνηκότων; οὓς Χριστοῦ μόνου ἐγεῖραι, τοῦ ζωοποιοῦντος τοὺς νεκροὺς κατὰ τὴν ἑαυτοῦ δύναμιν· οἳ κακῶς τῷ τόπῳ χωρίζονται, τῷ λόγῳ συνδεδεμένοι, καὶ τοσοῦτον πρὸς ἀλλήλους ζυγομαχοῦσιν, ὅσον ὀφθαλμοὶ διάστροφοι τὸ ἓν βλέποντες, καὶ οὐ τῇ ὄψει, τῇ θέσει δὲ στασιάζοντες· εἴ γε καὶ διαστροφὴν αὐτοῖς ἐγκλητέον, ἀλλὰ μὴ τύφλωσιν."2 (Θ.) Ἐγὼ δὲ καὶ ταῦτα καλῶς τε καὶ εὐφυῶς πρὸς τὴν παροῦσαν εὑρίσκων ὑπόθεσιν ἁρμοζόμενα καὶ πλέον ἔχω τι λέγειν αὐτός. ἀνῄρηται γὰρ ἀγάπη πᾶσα καὶ παραμυθία καὶ λόγος φίλων παρήγορος. οὐδαμοῦ σπλάγχνον ἀδελφικὸν, οὐδαμοῦ δάκρυον συμπαθές. ὅθεν καὶ ἀνεμνήσθην ἐκείνων τοῦ Σολομῶντος· ἀπέβλεψα γὰρ, ἐκεῖνός φησι, καὶ εἶδον ὑπὸ τὸν ἥλιον, ὅτι οὐ τοῖς κούφοις ὁ δρόμος, οὐδὲ τοῖς δυνατοῖς ὁ πόλεμος· καί γε οὐ τοῖς σοφοῖς 2.1028 ἡ φρόνησις· καί γε οὐ τοῖς φίλοις τὸ εὔελπι· ἀλλὰ καιρὸς καὶ ἀπάντημα συμβήσεται πᾶσιν αὐτοῖς ἀπροσδόκητον ἐκ θεοῦ, πᾶσαν ὑπερβαῖνον σοφίαν καὶ δύναμιν ἀνθρωπίνην, καὶ πάντα φαυλίζον ἀνθρώπινον ὄγκον καὶ τῦφον. διὸ καὶ σιγᾷν ἔκρινα δεῖν, καὶ τῶν τοῦ βίου παιγνίων θαυμάζειν τὰς ἀγχιστρόφους μεταβολὰς, καὶ μηδένα πρὸ τελευτῆς μακαρίζειν. καὶ ὁ μὲν Δαρεῖος ἐκεῖνος ὑπὸ πληγῶν καὶ τραυμάτων ἐπιβούλων εἰς θάνατον ἐλαυνόμενος, ἐπειδὴ διψήσας ᾔτησεν ὕδωρ, καὶ παρῆν οὐδεὶς ἐν ἐρήμῳ καὶ ἀβάτῳ διωκομένῳ γῇ, πλὴν ἑνός τινος ἀνδρὸς εὐτελοῦς, ὃς ὕδωρ τε ἐκόμισε βραχὺ καὶ ἀνέψυξε πρὸ τῆς τελευτῆς, βύθιον ἀνακλαυσάμενος καὶ δακρύσας, "1τοῦτό μοι τελευταῖον,"2 ἔφησε, "1τῶν δυστυχημάτων, εὖ παθόντι μὴ δύνασθαι τὸ προσῆκον ἀμείψασθαι."2 ἐγὼ δ' ἁπάντων ἀπόντων γνωρίμων, φίλων, οἰκείων, γειτόνων, ἐν ἀπαραμυθήτῳ καθείρξει μόνος καθήμενος μεῖζον εὑρίσκω καὶ τελευταῖον τῶν ἐμῶν δυστυχημάτων τουτὶ, μὴ δύνασθαι παντάπασι, μὴ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ὅτι τῷ ψυχροῦ ποτήριον παρασχόντι τό γε προσῆκον ἀμείβεσθαι, ἀλλὰ μηδ' ἔχειν ὃς ἄν μοι τοῦτο διακονήσηται. φέρω τοίνυν ἀρκούμενος, ὅτι ἔχω κύριον, τὸν τῶν κρυπτῶν γνώστην, μάρτυρα τῆς ἀδικίας. ἀλλ' ἐκεῖσε ἐπάνειμι. ΄. Οὐ γὰρ ἠρέμει τὸ βάρβαρον ἐκεῖνο καὶ φονικὸν τῆς γνώμης τῶν παλαμναίων ἐκείνων ἀνδρῶν· ἀλλ' ἐξ οὐρίας ὠθοῦν τὴν 2.1029 ὀθόνην τῆς γνώμης τὸ τοῦ βασιλέως ἔχοντες πνεῦμα Σκύλλαν πελάγους καὶ Χάρυβδιν ἅπασαν κούφως διέπλεον, ἐμποδὼν οὐδενὸς τῶν ἁπάντων καθισταμένου. ὅθεν τὰ βλάσφημα δόγματα καὶ τὰς ἀνοσίους βίβλους ἐκείνας ἐς δημόσιον ἀνεγνωκότες ἄκουσμα, ταῖς ἡμῶν καὶ τῆς εὐσεβείας ὕβρεσιν ἀνακεκραμένα, πείθουσιν αὐτίκα μάλα τὸν βασιλέα τοῖς ἐκ τῶν σφετέρων ὀνείρων προφοιβασμοῖς, τὰ τῆς βασιλείας ἀναδησάμενον σύμβολα, τῷ τε πατριάρχῃ καὶ τοῖς Παλαμικοῖς ἐπισκόποις συλλειτουργῆσαί τε καὶ τῇ θείᾳ τραπέζῃ ταῦτ' ἐπιθεῖναι χερσὶν ἰδίαις, νέον ἀνάθημα νέας θρησκείας νέοις θεοῖς καὶ θεότησιν ἀπειράκις ἀπείροις. ἦν δὲ τὸ μάλιστα συνωθῆσαν τὴν τῆς γνώμης εὐκολίαν αὐτοῦ πρὸς τήνδε τὴν πρᾶξιν οἱ δι' ὀνείρων μαντικοὶ τρίποδες, πλείστην ὑπισχνούμενοι γῆς καὶ θαλάττης ἀρχὴν, τούτοις τοῖς τρόποις τὰ σφέτερα βεβαιώσαντι δόγματα. (Β.) Καὶ τοῦτο, κατὰ μὲν τὸ σφίσι δόξαν, λοιδορίαν εἶχεν ἡμῶν καὶ τῆς εὐσεβείας· τῇ δ' ἀληθείᾳ γνώμης ἐκείνων εἶχεν εἰκόνα καὶ στήλην ἀσεβείας τὰ γράμματα. ἐπεὶ γὰρ οἱ λόγοι νῦν μὲν εἰκόνες εἰσὶ τῶν πραγμάτων, ὅτε πρὸ τῶν πράξεων ἐν τοῖς τῆς διανοίας ἔτι θαλάμοις γυμνάζονται, καὶ τὰ τέλη ζωγραφοῦσιν ἐκεῖ πως αὐτῶν· νῦν δ' ἕτερον τρόπον καὶ εἰκόνες καθίστανται τῆς ψυχῆς, ὅτε μετὰ τὴν ἔνδον διάσκεψιν ἔργα γίνονται καὶ αὐτοὶ, ψυχῆς ἀπόζοντα ὡς εἰπεῖν, καὶ ὅπως ἕξεως ἔχει καὶ γνώμης αὐτὴ τοῖς ἔξω διατυποῦντα· τὰς τῆς ἔνδον κακοδοξίας τε καὶ θηριωδίας 2.1030 εἰκόνας τοῖς ἔξω λοιπὸν καὶ τάδε πομπεύει τὰ γράμματα, μεσημβρινῆς ἀκτῖνος περιφανέστερον τὸ βδέλυγμα τῆς ἐσχάτης ὑπάρχειν ἐρημώσεως αὐτόχρημα. ἀλλὰ τοῦ γε θεομισοῦς ἀναθήματος ἐκείνου τῇ ἱερᾷ τραπέζῃ ἐπιτεθέντος ἡ θεία μὲν οὐχ ἥψατο ψῆφος, εὐθὺς τὴν ἀνάλογον ἐπιφέρουσα τῇ τόλμῃ κόλασιν. (Γ.) Ἀλλ' οἱ κύκλῳ περιϊστάμενοι τέως ἐπίσκοποι καὶ πρεσβύτεροι πάντες ἐβόησαν, οὐχ ἥνπερ ἐχρῆν ἐπιτίμησιν· ὅτι πῶς, ἄνθρωπε, τῷ μόνῳ πάντων ποιητῇ θεῷ θεοτήτων ἐπενεγκεῖν διαφόρων τετόλμηκας πλῆθος, καὶ ἥκιστα δέδιας κατὰ σαυτοῦ τε καὶ ἡμῶν καὶ Ῥωμαίων ἁπάντων προκαλούμενος τὴν ἄμαχον ἐκείνην ῥομφαίαν καὶ τοὺς τῶν κακῶν παιδευτὰς αἰθερίους κεραυνούς; τούτων μὲν οὖν οὐδὲν τῶν ἁπάντων οὔτ' εἶπον, οὔθ' ἧκεν αὐτοῖς οὐδὲν ἐπὶ νοῦν, ἃ καὶ τῆς ἀληθείας ἐγγύτερα ἦν· ἀλλὰ κόλακας ἕκαστοι λόγους προμελετήσαντες ὑπισχνοῦντο καὶ προὔφερον, ἃ φύσις δίκης περαίνειν οὐκ οἶδεν· ὅτι τοῖς μὲν πάλαι βασιλεῦσι κοινόν τι καὶ πάτριον σπούδασμα ἦν, κομίζειν ἐνταῦθα χρυσῷ καὶ ἀργύρῳ καὶ λίθοις πολυτίμοις κεκοσμημένα σκεύη καὶ ἔπιπλα, καὶ τοιαῦτα ἄττα κειμήλια. σὺ δὲ προσήνεγκας δῶρον ἔπηλυ, καὶ οὐδαμῆ ποτ' ἐγχώριον τῇ τοῦ θεοῦ ἐκκλησίᾳ· ἀλλ' οἷον τῶν ἐξ αἰῶνος κεκόμικεν οὐδεὶς οὐδέπω βασιλεύς. καὶ σοὶ πλατυσμὸν ὑπισχνούμεθα τῆς ἐξουσίας κατά τ' Εὐρώπην καὶ Ἀσίαν, οἷον οὔπω τῶν πάλαι βασιλέων εὗρεν οὐδεὶς, οὐδὲ μείζονος ἀντιδόσεως τετύχηκε πρὸς θεοῦ, τοῦ τὸ ἀνάλογον τῆς προσαγωγῆς ἀντιδιδόντος κατόπιν, καὶ διὰ τὸ τῆς 2.1031 ἀντιδόσεως πρόδηλον ἐμφανίζοντος πᾶσι τὴν μὴ φαινομένην ποιότητά τε καὶ δύναμιν αὐτῆς, πρός τε τὸ βέλτιστον καὶ τὸ χείριστον. (Δ.) Ἃ δὴ καὶ ἀκουσθέντα μὲν Βυζαντίοις, ὑπὲρ ὧν τὴν πρόῤῥησιν προεθέσπιζον, ἀκουσθέντα δὲ θεῷ, πρὸς ὃν ἡ προσαγωγὴ καὶ ἡ τῶν μελλόντων κρίσις ἀνετίθετο, ταχεῖαν εἰλήφει τὴν ἔκβασιν· οὐχ οἵαν αὐτοὶ κατὰ τὴν σφετέραν προεθέσπιζον βούλησιν· ἀλλ' οἵαν αἱ τῆς θείας δίκης ἀῤῥεπεῖς ἐπεψήφιζον πλάστιγγες, ὑπὸ μάρτυσι τοῖς εἰδόσι. βραχεῖαι γὰρ ἐκεῖθεν ἡμέραι, καὶ πυρὶ κατανηλωκότες πάσας οἰκίας, συλλήβδην εἰπεῖν, ὅσαι Ῥωμαίοις πάλαι πολυτελῶς ᾠκοδόμηντο ἐφ' ἑκάτερα τοῦ πορθμοῦ περί τε τὸ τεῖχος δηλαδὴ τῶν Βυζαντίων καὶ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τὴν ἀντιπέρας ἤπειρον, πρὸς τοσαύτην τὰ Ῥωμαίων συνήλασαν στενοχωρίαν πράγματα οἱ τὸ βραχύτατον τουτὶ κατοικοῦντες φρούριον Γεννουῖται, ὥστε πᾶσαν παράλιον ἠσφαλίσθαι πύλην τοῖς Βυζαντίοις· δεδιέναι δ' ἤδη καὶ περὶ τῆς πόλεως αὐτῆς, μὴ δραμόντες ἐξαίφνης πυρὸς τὰς πύλας ἔργον ποιήσωνταί τε καὶ εἰσελάσωσιν ἀσχέτῳ ῥύμῃ, ἢ κλίμαξιν ὀλίγαις χρησάμενοι διὰ τῶν τειχῶν εἰσπηδήσωσι. διὸ τάφροις βαθείαις διειληφότες ἔξωθεν ἅπαν τὸ πρὸς ἄρκτον τετραμμένον τῶν Βυζαντίων πρὸς θάλατταν τεῖχος θαλάττης αὐτὰς ἐν βραχεῖ δεδείχασι πλήρεις, ὡς ἄβατον ἐντεῦθεν τοῖς πολεμίοις Λατίνοις ἐκ τοῦ σχεδὸν τὸ μέρος ἐκεῖνο γενέσθαι. (Ε.) Οὕτω τῆς τοῦ τόμου προσαγωγῆς ταχεῖαν μὲν, ἀντίθετον δὲ τῇ τοῦ βασιλέως παντάπασιν ὁρμῇ καὶ προθέσει, τὴν ἀντίδοσιν ὁ θεὸς παρέσχεν, 2.1032 ὑπὸ μάρτυσι, μὴ ὅτι τοῖς θωπεύουσιν ἐπισκόποις ἐκείνοις καὶ προθεσπίζουσιν ἃ τέρψιν αὐθημερὸν ταῖς ἀκοαῖς ἐβλάστησε μόνην, καρπὸν δ' οὐδένα τὸ παράπαν οὐδαμόθεν, ὅτι μὴ τὰ τῶν ἐπισκοπικῶν ἐπαγγελιῶν ἐκείνων καὶ προφοιβασμῶν παντάπασιν ἐναντιώτατα· ἀλλὰ καὶ πᾶσι τοῖς πέριξ ἔθνεσιν· ὡς μυκτηρισμὸν καὶ χλευασμὸν ἅπασι προκεῖσθαι τὰ καθ' ἡμᾶς, καὶ παράστασιν ἅπαντας εἶναι νομίζειν ἀναμφισβήτητον τὸ τῆς ἐκβάσεως πέρας, ὅτι παρανομίας καὶ ἀσεβείας ὁ τόμος μεστός. πρὸς γὰρ τὸ τελευταῖον ἐκβὰν ἕκαστον τῶν πρὶν ὑπαρξάντων κρίνεται. τοῖς μὲν γὰρ ἐπισκόποις, οἰομένοις εἶναι τὸ τῆς προσαγωγῆς καὶ τοῦ δυσσεβοῦς ἐκείνου ἀναθήματος, τοῦ τόμου δηλαδὴ, τῆς βελτίονος μοίρας, προθεσπίζειν καὶ προαναφωνεῖν ἐπῄει καὶ κηρύττειν τὰς βελτίους ἐκβάσεις περὶ τῆς τοῦ αὐτοκράτορος ἀρχῆς, ὅτι μέχρις Εὐφράτου καὶ Τίγρητος ἐκτενεῖ τοὺς ὅρους. ἐπεὶ δ' ἀνεκτὰ τῷ θεῷ τὸ παράπαν οὐκ ἦν τὰ τῆς προσενέξεως, ἀντέστραπται τὰ τῶν ἐλπίδων· καὶ ἀντ' Εὐφράτου καὶ Τίγρητος, τῶν μεγίστων ἐκείνων ποταμῶν, τάφρους ὑδάτων μεστοὺς θαλαττίων ὁ βασιλεὺς Καντακουζηνὸς τὰ τῶν Βυζαντίων τείχη προσκλύζειν ἀνώρυξέ τε καὶ ἐτεχνούργησε, τοῖς πολεμίοις ἐξ ἀπορίας μικρὸν ἐπιτείχισμα· ὡς εἶναι τοῖς συλλογίζεσθαι βουλομένοις ῥᾴδιον καὶ σαφὲς τὸ συμπέρασμα· ὅτι κακὸν ἄρα καὶ δυσσεβὲς τὸ τῆς τομογραφίας ἐκείνων ἀνάθημα ὂν κακοδαιμονούσης ἔτυχε καὶ τῆς ἐκβάσεως, καὶ πάνυ τοι σφόδρα ἐναντιωτάτης, κἀκ διαμέτρου ταῖς σφῶν προῤῥήσεσι τὴν τῶν Ῥωμαίων ἐνεγκαμέ 2.1033 νης ἀπώλειαν. (´.) Ἔξεστι μὲν οὖν ἐντεῦθεν, παρεξετάζοντας καὶ παρατιθέντας, τὴν τῶν παρόντων ὁρᾷν πρὸς τὰ πάλαι συγγένειαν. σάλος γὰρ καὶ νῦν κατέσχε τὴν τῶν ἐκκλησιῶν ἀκρόπολιν, θαλασσίου κλύδωνος παντὸς ἀγριώτερος. τὰ πατέρων ὅριά τε καὶ δόγματα κατασέσεισται. τῶν ἀρχόντων ὁ τῦφος μετὰ τῆς ἀμαθίας ταράττει δίκην θυέλλης ἅπαντα, πρὸς ὑπερβολὰς καὶ ἐλλείψεις τὰ τῆς εὐσεβείας παρασυρόντων δόγματα. τοῖς μὲν τῶν ἀνθισταμένων χεῖρες ἐπάγονται φονικαί· τοὺς δ' ἐξορίαι καὶ διωγμοὶ παντοῖοι μερίζονται· τοὺς δ' εἱρκταὶ συγκρύπτουσι καταχθόνιοι, αὐτοσχέδιοι τοῖς ἔτι ζῶσι δρώμενοι τάφοι. θεολογοῦσιν ἀδεῶς οἱ βάναυσοι, ἀγορὰς καὶ θέατρα πάντα τοιούτων φωνῶν ἐμπιπλῶντες. ποιμένες ἐλαύνονται· βαρεῖς δ' ἀντεισάγονται λύκοι κατὰ τῶν ποιμνίων. θεοτήτων ἀκτίστων ὁ ἀριθμὸς εἰς ἄπειρον ἐκτείνεται πλῆθος. λαλεῖται τὸ ψεῦδος ἀφόβως· ἡ ἀλήθεια συγκαλύπτεται. διαβάλλουσιν ἡμᾶς ἐφ' οἷς αὐτοί γε ἐνέχονται ἐγκλήμασι. θεσμοὶ πατέρων πεπάτηνται. (Ζ.) Καὶ τί δεῖ καθ' ἕκαστα πάντα διεξιέναι ζητεῖν, ἐξὸν τοὺς ἀναγινώσκοντας παραβάλλειν τοῖς πράγμασι, καὶ συνάγειν ἐκ παραθέσεως τὴν τῶν πάλαι πρὸς τὰ νῦν ὁμοιότητα· φαίην δ' ἂν καὶ μείζω τὴν νῦν εὑρίσκειν κακίαν, ἢ κατὰ τὰς θρυλλουμένας τῶν πάλαι· παρόσον τῆς τότε Ῥωμαίων ἀρχῆς εὐρυτέρας οὔσης ἐν ἠπείρῳ καὶ θαλάσσῃ, καὶ σοφῶν ἀνδρῶν πανταχῇ τῆς οἰκουμένης ἀκμαζόντων, καὶ πάντων μὲν πατριαρχῶν σχεδὸν, καὶ ἐπισκόπων τῶν 2.1034 πλείστων, ἐχόντων μετὰ σοφίας ἀνάλογον καὶ τὴν ἐν δόγμασι πεῖραν, ὡς ἔχειν τοὺς διωκομένους πλατεῖαν τὴν χώραν, ἐκ τῆσδε τῆς πόλεως φεύγειν εἰς τὴν ἑτέραν,



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

κἀκεῖθεν εἰς ἄλλην, καὶ αὖθις ἐκεῖθεν ἐντεῦθεν· καὶ δύνασθαι τοῦ μὲν ἑνὸς κινδυνεύοντος μέρους, τῶν δ' ἄλλων ὑγιαινόντων ἔτι καὶ ἀνθισταμένων, ἐγείρεσθαι τὸ πεπτωκός. νῦν δ' ἐν μόνῳ τῷ Βυζαντίῳ σχεδὸν τῆς ἐξουσίας καθισταμένης ἁπάσης, πατριαρχικῶν δ' ἐκκλησιῶν καὶ ἐπισκοπικῶν, ὀλίγου δέω λέγειν ἁπασῶν, γενομένων ὑφ' ἡγεμόσι βαρβάροις, καὶ διὰ ταῦτα τῶν διωκόντων ὁμοῦ καὶ διωκομένων, ταὐτὸν δ' εἰπεῖν λύκων ὁμοῦ καὶ ἀρνίων, ἐν μάνδρᾳ μιᾷ, τῷ Βυζαντίῳ φημὶ, συγκλεισθέντων, μετὰ πολλῆς ἀδείας τὸ τοῦ Χριστοῦ δαπανᾶται ποίμνιον, μηδενὸς μηδαμῇ μηδεμίαν καταφυγὴν ἀσφαλῆ κεκτημένου, μηδ' ἐν ψυχῇ λαβεῖν ὁπωσοῦν δυναμένου τὸ εὔελπι. καὶ γίνεται τὸ πρᾶγμα πολλῷ βιαιότερον νῦν, ἢ κατὰ τὸν Αἰσώπειον μῦθον ἐκεῖνον, ᾧ ἐπὶ καιροῦ Βασίλειος ὁ μέγας ἐχρήσατο παραδείγματι πρὸς παράστασιν τῆς θηριωδίας τῶν τότε διωκτῶν. (Η.) Ἐπεὶ δὲ καὶ τῆς δι' ὀνείρων ἠναγκάσμεθά πως μαντικῆς ὑπ' αὐτῶν διὰ μνήμης ἐλθεῖν, δι' ὧν εἰς τὰ μάλιστα τῆς τοῦ βασιλέως γνώμης τὴν εὐκολίαν ἐξέπληξάν τε ῥᾳδίως καὶ ὑπηγάγοντο, φέρε καὶ περὶ τούτων μέτρια λέξωμεν, καὶ ὅσα παρὰ τοῦ προτεθέντος ἀρτίως ἡμῖν εἰς ἀρχέτυπον ἀφηγήσεως Βασιλείου τοῦ θείου ἐρανίσασθαι δυνηθείημεν ἄν. τοὺς γὰρ ἄλλους διὰ συντομίαν παρήκαμεν, ὅσοι τε τὴν τῶν τότε δεινῶν τραγῳδίαν καὶ ὅσοι τὰς ἄλλοτ' ἄλλως ἄλλας ἑξῆς ἀναφυεί 2.1035 σας ἐμπαθέστερον διεξίασι. φησὶ τοίνυν οὑτωσί πως ἐκεῖνος· "1ἐγὼ διὰ τὴν ἐκ παιδός μοι πρὸς τὸ χωρίον τουτὶ συνήθειαν, βραχείας σχολῆς ἐκ τῶν κατεχουσῶν ἡμᾶς ἀσχολιῶν ἐπιτυχὼν, ἄσμενος ἦλθον ἐπὶ τὴν ἐσχατιὰν ταύτην. Τί οὖν χρὴ πρὸς ὀνείρους καταφεύγειν, καὶ ὀνειροσκόπους μισθοῦσθαι, κἂν ταῖς πανδήμοις ἑστιάσεσιν ἡμᾶς ποιεῖσθαι παροίνιον διήγημα; Τὸ γὰρ τοῦ Σαβελλίου κακὸν, πάλαι μὲν κινηθὲν, κατασβεσθὲν δὲ παρὰ τῶν πατέρων, ἐπιχειροῦσι νῦν ἀνανεοῦσθαι οὗτοι, οἱ φόβῳ τῶν ἐλέγχων τοὺς καθ' ἡμῶν ὀνείρους πλάττοντες. ἀλλ' ὑμεῖς τὰς οἰνοβαρεῖς κεφαλὰς, ἃς ὁ ἐκ τῆς κραιπάλης ἀναφερόμενος ἀτμὸς εἶτα ἐγκυμαίνων καταφωτίζει, χαίρειν ἀφέντες παρὰ τῶν ἐγρηγορότων ἡμῶν, καὶ διὰ τὸν τοῦ θεοῦ φόβον μὴ δυναμένων ἡσυχάζειν, τὴν βλάβην ὑμῶν ἀκούσατε."2 (Θ.) Ὁρᾷς καὶ διὰ τῆς τῶν ὀνείρων πλάνης ἐντεῦθεν εἰς ἐκείνην σαφῆ γινομένην τὴν ἐξομοίωσιν· ἅτε τὴν ἡγεμονίαν τοῦ τὰ τοιαῦτα διδάσκοντος ὄντος ἑνὸς ἀεὶ, τοῦ διαβόλου φημί. τρυφῶντες γὰρ καὶ οὗτοι, καὶ λαμπρὸν ἀκρατοποσίας ἀγώνισμα τὸ τῆς ἁβρᾶς τραπέζης ἔδαφος ἔχοντες, παροίνιον ἀφήγημα τὰς αὐτῶν ἀναπλάττουσι θεοπτείας, καὶ τὴν τῶν μελλόντων ἐξερεύγονται πρόγνωσιν εὐπετῶς, καθάπερ ἐγγάστριον πνεῦμα, ὑπὸ τῆς περὶ τὸν ἐγκέφαλον συναγομένης οἰνηρᾶς ἀναδόσεως ναυαγούσης τῆς γλώττης καὶ πλημμελούσης ἀναίδην. καὶ ἅμα θεολογίας ἄρχονται, τὸ θαῤῥεῖν ἔχοντες 2.1036 ἤδη προειλημμένον ἐκ τῆς τῶν ἰδίων ὀνείρων μαντικῆς, καὶ ἀντιθέσεις καὶ λύσεις ἐρωτημάτων ἐπάγουσιν, ὁποίας ἂν αὐτοῖς εἴη βουλομένοις. "1προβάλλουσι γὰρ (φησὶ) λόγους, οὐχ ἵνα τι χρήσιμον λάβωσι παρ' αὐτῶν, ἀλλ' ὅπως, ἐὰν μὴ συμβαινούσας τῇ αὐτῶν ἐπιθυμίᾳ τὰς ἀποκρίσεις εὕρωσι, ταύτην ἀφορμὴν δικαίαν ἔχειν δόξωσι τοῦ πολέμου καὶ τῆς κατὰ τῶν εὐσεβούντων διαβολῆς."2 εἶεν. 2.1037 α΄. Τούτων δ' ὅμως οὕτως ἐχόντων, καὶ οὕτως ἡμῶν ἐπὶ μακρὸν, ὡς εἴρηται, φρουρουμένων πάνυ τοι ἀσφαλῶς, πάταγος ἐν μιᾷ τῶν ἡμερῶν μεταξὺ παρὰ τὰς ἡμετέρας ἠκούετο θύρας· οὗ τὸ ἀπροσδόκητον ἔκπληξίν τινα καὶ θόρυβον ἐνέσταξε τῇ ψυ 2.1038 χῇ, τῆς συνεχείας ἐκείνης τῶν ἀεὶ προσιόντων παμπόλλων ἡμῖν λήθης ἤδη πυθμέσι κρυβείσης. διασαφησάντων δ' ὅμως ἐκείνων οἵτινες εἶεν, αἵ τε θύραι πρὸς ἡμῶν ἀνεῴγνυντο κἀκεῖνοι εἰσῄεσαν. ἀγγελιαφόροι δ' ἦσαν οὗτοι· πρὸς μὲν βασιλέως, ἄνδρες τῆς συγκλήτου καὶ εὐγενῶν· πρὸς αὖ τοῦ πατριάρχου, ἐπίσκοποί τε καὶ τῶν ἄλλως ἐλλογίμων ἔνιοι. προσειπόντες οὖν τὰ εἰωθότα καὶ καθεσθέντες ἤγγελλον τὰ ἐπιταχθέντα, λέγοντες ὡς "1ἐκ μέσου γενομένων τῶν καινοτέρων ἐκείνων φωνῶν, δι' ἃς τὴν ἐκκλησίαν ταρᾶξαι


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

συμπέπτωκε, τομογραφίαι καὶ νέα κατέστη ψηφίσματα πρὸς ἁπάντων ἡμῶν, τῶν τε ἐπισκόπων δηλαδὴ καὶ συγκλητικῶν, ἅμα βασιλεῖ τε καὶ πατριάρχῃ, ἔχουσαι πρὸς ἀκρίβειαν ἄριστα ἡρμοσμένως· ὡς εἶναί σοι τὸ κωλύον οὐδὲν ἔτι, κοινωνοὺς ἔχειν ἡμᾶς τοῦ λοιποῦ καὶ ταὐτά σοι φρονοῦντας."2 (Β.) Πολλῶν οὖν μεταξὺ τηνικαῦτα ῥαγέντων λόγων καὶ ἀντιθέσεων, τέλος ἀπῃτήθησαν ἐμφανίζειν τά τε νέα ἐκεῖνα ψηφίσματα καὶ ἅμα τὸν ὀφειλόμενον τούτοις τοῦ Παλαμᾶ λίβελλον, κατὰ τὴν τῶν θείων κανόνων ἔκδοσιν καὶ νομοθεσίαν. φησὶ γὰρ εὐθὺς ἡ πρὸς τῆς ἁγίας καὶ οἰκουμενικῆς ἕκτης συνόδου προενεχθεῖσα ψῆφος πρὸς τοὺς ὁμοίως ἔχοντας τούτοις, ὡς "1οὐκ ἄλλοις ἡμᾶς πληροφορεῖτε ὑμεῖς, οἱ ἐπιστρέφειν πρὸς τὴν ἀλήθειαν λέγοντες, εἰ μὴ ἐγγράφους λιβέλλους τῆς πίστεως ὑμῶν ἀγάγητε καθ' ἑτέραν σύνοδον, ἡμῶν ἔμπροσθεν ὀφείλοντες ἐπὶ τῶν ἁγίων καὶ ἀχράντων τοῦ θεοῦ λογίων τούτους ἐπιδοῦναι."2 εἰ 2.1039 οὖν ἑπόμενοι καὶ ὑμεῖς ἐκείνῃ τῇ θείᾳ καὶ οἰκουμενικῇ τῶν πατέρων συνόδῳ τὰ ὅμοια κἀπὶ τῷ Παλαμᾷ πεπράχατε, κἀπὶ τοῖς ὁμοίοις αὐτὸν ἐδέξασθε, ἔργοις ἡμῖν τὰ τῆς γνώμης ἐνδείξασθε, παῤῥησίᾳ τὰ γράμματα φέροντες· καὶ ὁμόφρων ὑμῖν ἔσομαι. εἰ δὲ διανομαὶ γερῶν καὶ βασιλικῆς τραπέζης τρυφὴ καὶ χρημάτων ἄφθονος χορηγία συνεχέστερον ἀντλουμένη τοῖς βαλαντίοις ὑμῶν καὶ τὸ χαῖρον τῆς ψυχῆς ἐντεῦθεν ἐφελκομένη, προσκείσθω δ' ἅμα καὶ τῶν προσηκόντων ἀπειρία μετὰ τῆς ἀμαθίας, ῥᾳδίως ἐξόμνυσθαι τὰ πάτρια πέπεικε δόγματα καὶ τὴν τῶν καθεστώτων νομίμων φαυλίζειν εὐγένειαν, εἰδέναι χρεὼν, ὡς οὐδεὶς ἡμῖν οὐδαμῇ ποτε κοινωνίας ἐγγίνεται τρόπος. οὐχ ἧττον γὰρ ἂν ἢ φωτὶ πρὸς σκότος, καὶ γαλήνῃ πρὸς διαποντίους κλύδωνας. (Γ.) Ἐκεῖνοι μὲν οὖν μὴ χρείαν εἶναι λιβέλλων ἔφασαν ἐνταυθοῖ, μηδὲ τοιούτων σφίσιν ἀπαίτησιν νῦν. νόμον γὰρ εἶναι λιβέλλων ἁπάντων στεῤῥότερον τὸ σφίσι δεδεγμένον τε καὶ δεδογμένον. περὶ δ' ὧν αὐτοῖς γέγραπται νέα ψηφίσματα, καὶ τομογραφικῶν συνθημάτων, αὐτοὶ ἑαυτοῖς μὴ κεκομικόσιν ἐμέμφοντό τε καὶ ἐς τὴν τῆς λήθης αὐτόνομον τυραννίδα τὴν τοῦ συμβάντος διαμαρτίαν ἀνέφερον· ὃ διορθοῦν τὴν ὑστεραίαν σφόδρα ἐπηγγέλλοντο. (Δ.) Μηδὲ γὰρ εἶναι τῶν εἰκότων, πλὴν ἐκείνων, λόγους ὁμοῦ τῷ πληγέντι διαλυομένους ἀέρι κομίζειν, ἔφασκον ἔγωγε. μᾶλλον γὰρ ἂν ἐκεῖνά γε χρῆναι ποιεῖν ἐμφανῆ, πρὶν ἢ ἐκείνους αὐτούς. ἐπεὶ καὶ τὰ θεῖα τοῖς ἀποστόλοις εὐαγ 2.1040 γέλια καὶ τῶν σοφῶν τῆς ἐκκλησίας μυσταγωγῶν αἱ διδασκαλίαι καὶ τὰ ἱερὰ δόγματα γέγραπται μὲν, οὐκ ἐκδέδοται δέ· οὐδ' ἐκδέδοται μὲν, σεσιώπηται δέ· ἀλλὰ καὶ διὰ πάσης τῆς οἰκουμένης ἀεὶ κηρύττεται, καὶ τῶν γεγραφότων θανόντων ἀθάνατα μένει τὰ γράμματα, στήλης ἁπάσης καὶ ἀνδριάντων ἁπάντων μακρῷ μονιμώτερα, μὴ μόνον ζῶσαν καὶ ἔμπνουν τινὰ τοῖς χρωμένοις παρεχόμενα τὴν ὠφέλειαν, ἀλλὰ καὶ τὴν τῶν γεγραφότων προαίρεσίν τε καὶ οἰκονομικὴν σύνεσιν διηνεκῶς εἰκονίζοντα, καὶ τὸ ἀθάνατον ἔμπρακτόν σφισι διδόντων. πέφυκε γὰρ ἀεὶ χειροῦσθαι μετὰ ῥᾳστώνης τὰ αἰσθητὰ τὴν τῶν αἰσθητηρίων ἀντίληψιν, διὰ τὸ συγγενὲς καὶ οἰκεῖον, καὶ πεῖραν ἅμα καὶ γνωστικὴν ἐμπειρίαν συνάγεσθαι τὸ καίριον ἔχουσαν ἐκ τῆς ὁμιλίας ἀμφοῖν. νοῦς μὲν γὰρ δικαστὴς τῶν ἐν κόσμῳ πραγμάτων ὑπάρχων νῦν μὲν εἰς αἰθέρα νῦν δ' εἰς γῆν ἐνεργεῖ, καὶ διὰ τῶν αἰσθητηρίων τὰς τῶν πραγμάτων ἀναγινώσκει ποιότητας· καὶ νῦν μὲν διὰ τῆς ἁφῆς ἐρωτᾷ καὶ μανθάνει σωμάτων τραχύτητας καὶ λειότητας, καὶ ὅσα τῷ τοιούτῳ πέφυκεν ὑποκεῖσθαι αἰσθητηρίῳ· καὶ αὖ διὰ τῆς ὀσφρήσεως ὅσα εὐώδη καὶ μή· καὶ νῦν μὲν διὰ τῆς ἀκοῆς τῶν ἐναρμονίων φωνῶν τὴν ἀντίληψιν ἴσχει· νῦν δὲ ταῖς διαφόροις διὰ τῶν ὄψεων βαφαῖς ὁμιλεῖ τῶν χρωμάτων· καὶ πρός γε ἔτι νῦν μὲν διὰ γλώττης, νῦν δὲ διὰ γραμμάτων, ἐφάπτεται τῶν ἀνθρωπίνων ἠθῶν καὶ τὰς τούτων ἀναγινώσκει ποιότητας. τούτων τοίνυν δυοῖν ὄντων ἡγεμονικωτέρων, 2.1041 ὅσα γε πρὸς τὸ διακονεῖσθαι τῷ τῆς ψυχῆς βελτίονι μέρει, νῦν μὲν θατέρῳ μᾶλλον ἐνίους τῶν πάλαι παρέχειν σοφῶν τὴν βελτίονα μοῖραν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀκούομεν, νῦν δ' ἐνίους θατέρῳ. ἡ μὲν γὰρ τῶν ἐνεστώτων ἀντιληπτικὴ καὶ παρόντων μόνον ἡ ὄψις ὑπάρχουσα δραστικωτέραν ὅμως ὡς τὰ πολλὰ τὴν τῶν ὑποκειμένων παρέχεται γνῶσιν· ἡ δ' ἀκοὴ ἀμβλυτέραν μέν πως, πλατυτέραν δ' ὅμως. τῶν τε γὰρ παρόντων εὐχερῶς ἀντιλαμβάνεται καὶ τῶν ἀπόντων ὡς παρόντων αἰσθάνεται, δαιμονίως τὰς τοπικὰς συνάπτουσα διαστάσεις. εἰ δέ τῳ μὴ φορτικὸς ὁ λόγος, αὕτη καὶ τῶν μελλόντων ἑρμηνεὺς ὁρᾶται τοῖς νῦν, εἴ τις Μωσῆς καὶ Δαβὶδ διὰ πνεύματος θείου τὴν τούτων ἀποθεσπίζει πρόγνωσιν. εἰ οὖν ἐν τοῖς ἄλλως ἔχουσι πράγμασιν οὕτω ταῦτ' ἔχει, καὶ χρημάτων καὶ χωρίων κρίσεις αἱ πλείους αὐτοπροσώπους ἐπιζητοῦσιν ἐπιστασίας, καὶ χρόνου δέονται μακροτέρου πολλάκις, καὶ ὄψεως ἅμα καὶ ἀκοῆς ἐν ταὐτῷ τὰ κριτήρια διὰ τὴν ἀκρίβειαν τἀσφαλοῦς ἀπαιτοῦσι, πῶς οὐκ ἄν τις ἐνταῦθα τὸ τοῦ ὑπερβάλλοντος ὄφλημα τοῖς δόγμασιν ἐνεῖναι τῆς τοῦ θεοῦ ἐκκλησίας σταθμῷτο μετὰ πολλοῦ τοῦ κρείττονος; δοτέον οὖν καὶ ἡμῖν, καὶ μετὰ πολλῆς καὶ σφόδρα κατεσπουδασμένης ἐρεύνης ἐξεταστέον κἀπὶ μακροῖς νυχθημέροις τὰ νέα ταυτὶ γράμματα. τοὺς γὰρ τῶν λόγων καινοὺς καὶ κρίσεις καινὰς ἐπιφέρειν, φασὶν οἱ σοφοὶ, ἢν μὴ θεοῦ μεστός τις ὁ καινοτομῶν ᾖ, καὶ οἷος ὁ θεόπτης ἐκεῖνος ὑπῆρχε Μωσῆς, ὁ τὰ μυρία τῶν Ἑβραίων στρατό 2.1042 πεδα διὰ τῶν ὑγρῶν τῆς θαλάσσης ἀβύσσων ὡς δι' ἀνύδρων διαβιβάσας, καὶ τοὐναντίον αὖ διὰ τῆς ἀνύδρου πέτρας ῥεῖν ὑδάτων θαλάσσας παρασκευάσας. θεοῦ γὰρ κελεύοντός τε καὶ συναιρομένου, καὶ νόμοι λύονται φύσεως. ἢν δέ τις τῶν ἀπὸ τρυφῆς καὶ τῆς ὀψὲ κραιπάλης ἕωθεν ἀνατελλόντων ᾖ, ἀνάγκη νοσήματα φύεσθαι μοχθηρὰ καὶ παντοδαπὰ, καὶ διαφόρων εἰσαγωγὰς αἱρέσεων πρὸς τὴν καθεστῶσαν ἐκ παλαιοῦ πολιτείαν, καὶ ἀναλύσεις δογματικῆς ἁρμονίας, καὶ στάθμης ἁπάσης εὐνομουμένης. διόπερ οὐκ ἀταλαίπωρόν τινα καὶ μάλιστά τοι εὔωνον ἡγεῖσθαι χρεὼν τὴν τῆς ἀληθείας εὕρεσιν. οὐ γὰρ αὐτοσχέδια καὶ αὐτόματα φύεσθαι, καθάπερ τὰς ἐν τοῖς ἄλσεσι βάτους, ἴσμεν τὰ χρήσιμα· ἀλλὰ πόνοις παρέμιξε πλείστοις, καὶ κομιδῇ μακροῖς περιετείχισε τοῖς ἱδρῶσιν, ὅτιπερ κεφάλαιον τῶν τῆς ψυχῆς ἀγαθῶν. τί δ' ἄλλο ψυχῇ τιμιώτερον ἀγαθὸν, ἢ πίστεως ἀκριβὴς ἀσφάλεια πρὸς θεόν; σώματος μὲν γὰρ νοσήματα παῖδας ἰατρῶν εἰσκαλοῦσι θεραπευτάς· κἂν μὴ εὐστοχεῖν τὸ σπούδασμα δόξῃ, τὸ βλάβος οὐ πάνυ τοι χαλεπὸν, οὐδὲ τοῦ παρόντος βίου μακρότερον· τὰ δὲ τῶν θείων δογμάτων ἀῤῥωστήματα οὐχ αἱμάτων ῥήγνυσι ῥύακας, ἀλλ' αὐτῇ γε αὐτόχρημα τῇ πίστει παρέχει τὴν βλάβην, ἀναίμακτον μὲν, ἀλλὰ μάλα τοι σφόδρα καιρίαν καὶ ψυχῆς αἰώνιον καὶ ἀθάνατον πράττουσαν θάνατον, ἧς κόσμος ἅπας οὐκ ἔστιν ἀντάξιος. διὸ παῤῥησιαστέον ἐστὶ τὰ τοιαῦτα, 2.1043 καὶ πρό γε τούτων τοὺς ἐκείνους λιβέλλους, τὰς τῶν ἐπταισμένων μετανοίας κομίζοντας, ἵνα μὴ χεῖρον τῇ ἐκκλησίᾳ τὸ σχίσμα γένηται. εἰ δέ γε μὴ βούλοισθε, τίς ἔτι χρεία μαρτύρων; αὐτοὶ γὰρ αὐτοὺς ἀντὶ μυρίων ἑαυτοῖς ἐπ' αὐτοφώρῳ κατηγόρων ἐστήσατε, παῤῥησίαν μισοῦντες καὶ φῶς ἀληθείας ἀποστρεφόμενοι. "1πᾶς γὰρ ὁ τὰ φαῦλα πράσσων μισεῖ τὸ φῶς καὶ οὐκ ἔρχεται,"2 φησὶ, "1πρὸς τὸ φῶς, ἵνα μὴ φανερωθῇ τὰ πονηρὰ ἔργα αὐτοῦ."2 (Ε.) Ἀλλ' ἐγὼ μὲν ταῦτ' εἶπον· οἱ δὲ τὰ μὲν νεογνὰ καὶ ἀρτιγενῆ ψηφίσματα καὶ τὰς τομογραφίας ἐκείνας κομίζειν ὑπισχνοῦντο· τούς γε μὴν ταῖς θείαις ἐκείναις καὶ οἰκουμενικαῖς τῶν πατέρων συνόδοις ἀπαιτουμένους λιβέλλους, καὶ τὸν ἐπὶ τοῖς ἐπταισμένοις μετάμελον, τοῦτο δὲ καὶ μάλα ἥκιστα ἤρεσκεν. ἀλλ' ὅλαις ἀπηγόρευτο γνώμαις, μήτε γραφῇ τοιαῦθ' ὅλως πρὸς τοῦ Παλαμᾶ δοθῆναι, μήθ' ἡμῖν οὐδέσι μεταμελείας ἐφ' οἷς ἡμαρτήκει τρόπους ἀγράφως γοῦν ἐπιδείξασθαι. καὶ πῶς γὰρ ἀρέσκειν ἔμελλέ σφισιν, ὁμόφροσιν οὖσι καὶ ἅμα τὴν ὁμοίαν ὑφορωμένοις ἀπαίτησιν καὶ αὐτοῖς; ὅθεν ἐκεῖνοι μὲν ἀναστάντες ἐπὶ τούτοις ἀπῄεσαν, τῷ τε βασιλεῖ καὶ πατριάρχῃ καὶ τοῖς λοιποῖς ἐπισκόποις τὰ εἰρημένα ἀπαγγελοῦντες· ἡμεῖς δὲ τὴν χθὲς καὶ πρώην καταδικασθεῖσαν ἡμῖν ἐρημίαν ἄγειν οἴκοι λελείμμεθα. β΄. Τοῖς μὲν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

οὖν ἄλλοις ἐκείνοις ἀκούσασιν ἤρεσέ τε καὶ δέδοκται δοθῆναι τὰ γράμματα ἡμῖν ἐκεῖνα. Παλαμᾷ δὲ φορτικός τις καὶ παντὸς Ὀλύμπου βαρύτερος ὁ λόγος ἔδοξε καὶ μά 2.1044 λα ἀπᾴδων τῆς γνώμης. διὸ καὶ θυμοῦ τὸ ἦθος καὶ τὴν καρδίαν ὑποπλησθεὶς προσῄει τῷ βασιλεῖ, πάντα μᾶλλον ὑπισχνούμενος πάσχειν ἢ τουτοῒ συγχωρεῖν, καὶ τεθνάναι μᾶλλον αἱρεῖσθαι ἢ Γρηγορᾷ διδόναι τὰ γράμματα· μηδὲ γὰρ ἀνέξεσθαι (φησὶ) μὴ οὐ τὴν ταχίστην εἰς ἐγγράφους τε καὶ ἀγράφους τῶν τοιούτων ἰέναι ἀνατροπάς· καὶ φροῦδα τὰ τῶν πόνων ἡμῖν ἔσται λοιπόν· καὶ καπνὸν φεύγοντες εἰς πῦρ ἐμπεσούμεθα, τοῦτο δὴ τὸ τῆς παροιμίας· καὶ βραχύ τι δόξαντες ἀναπεπνευκέναι, τοῦτον ὁπώσποτε ἀποσκευασάμενοι, μείζους καθ' ἑαυτῶν ἑκόντες αὖθις ἡμεῖς ἐγεροῦμεν θαλάσσας καὶ κλύδωνας ἔριδος. (Β.) Ταῦτα δὴ καὶ τὰ τοιαῦτα βοῶν καὶ ἀποδυρόμενος ἔπειθεν ἅπαντας τά τε ἄλλα καὶ ἅμα τοῖς μὲν ἄλλοις σποράδην καὶ δι' ἀδήλων πόρων δῆλα ποιεῖσθαι τὰ νέα ταυτὶ θεσπίσματά τε καὶ δόγματα, ὅσοι τῶν ἐγγύς τε καὶ πόῤῥω που γῆς καὶ θαλάσσης οἰκούντων εἰσίν· ὁποίους καὶ διὰ τὴν σύνοικον ἀλογίαν ἁλώσιμον ἐκ τοῦ ῥᾴστου θήραμα ταῖς τῆς θρησκείας παγίσιν ἤλπισεν ἔσεσθαι· ἐμοὶ δ' ἀπηγόρευται μόνῳ παντάπασιν εἶναι μὴ ὅτι γε ἄψαυστον ὄψεσιν, ἀλλ' οὐδ' ἄχρι ψιλῆς ἐλθεῖν ἀκοῆς οὐδ' ὁπωσοῦν οὐδ' ἴχνος οὐδαμῆ ποτ' οὐδὲν τῶν ἁπάντων ἐκεῖθεν. (Γ.) Ὧν ἕνεκα καὶ τὰς ἐμὰς ἐς πλέον προσεπαττάλευον ἔτι θύρας, μὴ λάθῃ τις αὖρα δι' αἰθέρος τινὸς ἡμῖν εἰσκομίσασα φήμην ἐκεῖθέν τινα· καὶ φύλακας ἔθεσαν ἔμπροσθέν τε καὶ ὄπισθεν, κἀκ δεξιῶν κἀξ εὐωνύμων, τοὺς ἐμοὺς ἅπαντας γείτονας· οἱ μοναδικὸν ἐπαγγειλάμενοι βίον ἀσκεῖν, καὶ ἀγαπᾷν τὸν πλησίον ὡς ἑαυτὸν ἕκαστος, 2.1045 καὶ τοῖς ἐν φυλακαῖς προσιέναι, καὶ λυπουμένους παραμυθεῖσθαι, καὶ ψυχροῦ διψῶντι διδόναι ποτήριον (ἐῶ τἄλλ' ὅσα καὶ βαρβάροις ἔθνεσιν εἴθισται δρᾷν συμπαθῆ κοινῇ πρὸς ἅπαντας ὁμοφύλους καὶ ξένους, φυσικῆς ἀγούσης ὁλκῆς ἐς τὸ καμπτόμενον τῆς ψυχῆς) οἱ δ' οὕτω μοι καὶ θηρίων ἑαυτοὺς κατέστησαν πικροτέρους καὶ τῶν ἐπιταττόντων μακρῷ σκληροτέρους, ὥστε μυριάκις ἂν εἱλόμην θηρίοις ἐν ὄρεσιν ἀγρίοις συνεῖναι, ἢ τοιούτοις ἀνδράσιν. οὕτω μοι καὶ τῶν ἀλλοφύλων ὠμότεροι κατέστησαν οἱ πλησίον· οἵτινες καὶ ἐς τοσοῦτο θηριωδίας ἐξέκλιναν, ὡς καὶ συκοφαντίαις ἐνίους τῶν τὴν αὔλειον τῆς οἰκίας ἡμῶν παριόντων περιβαλεῖν, ἐκ μόνης ὑποψίας ἀτεκμάρτου, πλασάμενοι πρόσρησιν δῆθεν ἐκείνων ἡμῖν ἐγγενέσθαι ποτὲ, τὴν μηδαμῆ ποτε τολμηθεῖσαν. καὶ ταῦτα τίνες; οἱ φιλίας ἀπολελαυκότες μακρᾶς καὶ ποικίλης ἐξ ἡμῶν, ἐν διαφόροις καιρῶν περιστάσεσι, καὶ μηδὲν τῶν δεινῶν μηδεπώποτε πειραθέντες ὑφ' ἡμῶν· πλὴν τοῦ κώλυμά σφισι πολλάκις καθίστασθαι τῆς τε καθ' ὅλων τῶν ἱερῶν πραγμάτων δαπάνης καὶ τῆς ἑκάστων αἰσχροκερδίας. (Δ.) Ἐκ γὰρ πάνυ τοι νέας καὶ παιδικῆς ἡλικίας, ἐμαυτὸν ἐγκαθιδρύσας τῇδε τῇ μονῇ, παρέμεινα μέχρι καὶ ἐς τὴν τήμερον, ἔτος ἀμείβων ἤδη τῆς ἡλικίας ἑξηκοστόν. καὶ πολλῶν μὲν ἐν μέσῳ πρόξενος ἐγενόμην τῷ τόπῳ καλῶν, συναιρομένου θεοῦ· πολλοὺς δὲ καὶ τῷ τὴν μονὴν εὐθὺς ἀναδεξαμένῳ καὶ ἐγκαινίζοντι 2.1046 φιλοτίμῳ γνώμῃ καὶ χειρὶ σοφωτάτῳ ἐκείνῳ ἀνδρὶ συνηράμην, ἐς ὅσα τε χρείας ἐκείνῳ καὶ ἡμῖν ἔδει καὶ ὅσα τὸ τοῦ φίλτρου δυνάμενον ἡμῖν ὑπηγόρευε. δι' ἃ μοι καὶ τὴν ἐπιτροπὴν καὶ τὴν τῶν τῆς μονῆς τιμιωτέρων καὶ ἀναγκαιοτέρων ἐπίσκεψιν πραγμάτων ἐπίστευσε, καὶ τρόπον τινὰ διάδοχον ἑαυτοῦ κατέστησε τελευτῶν ἐκεῖνος ἐνταῦθα. καὶ νῦν οὓς μὲν εὗρον ἀσκουμένους ἐλθὼν ἐξ ἀρχῆς ἔγωγε ἐνταυθοῖ, πάντες ἐκ πολλοῦ τὸν βίον ἀπολιπόντες εἰσίν· οἳ δ' εἰσὶ νῦν, πάντες εἰσὶν ἐμοῦ βουλομένου τὴν μονὴν ἄλλοτ' ἄλλως οἰκήσαντες τήνδε. (Ε.) Διὰ δὴ ταῦτα κἀκεῖνα φιλίας ἡμῖν οἱ σεμνοὶ πατέρες καὶ ἀδελφοὶ καὶ πνευματικῆς ἀγάπης ὀφείλοντες ἐκτίνειν σημεῖα, οἱ δ' ὡς ταῦροι περιέσχον με, καιρὸν εἰληφότες, ὁποῖον ὡς ἔοικεν ἐπεζήτουν· καὶ ὡς ἐν ἀποκρύφοις οἰκοῦντες θῆρες ἔβρυξαν ἐπ' ἐμὲ τοὺς ὀδόντας αὐτῶν, ἀντὶ ἀγαθῶν ἀνταποδόντες κακά. ἤνοιξαν ἐπ' ἐμὲ τὸ στόμα αὐτῶν, ὡς λέων ἁρπάζων καὶ ὠρυόμενος.



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐκραταίωσαν ἑαυτοῖς λόγον πονηρόν. ἠκόνησαν, ὡς ῥομφαίαν, τὰς γλώσσας αὐτῶν. εἶπον, τίς ὄψεται; δεῦτε καὶ ἐξολοθρεύσωμεν αὐτὸν, καὶ οὐδεὶς οὐ μὴ μνησθῇ τὸ ὄνομα αὐτοῦ ἔτι. νῦν γάρ μοι κατὰ καιρὸν καὶ τὰ τοῦ προφήτου λέγειν ἐπῄει. τὸν γὰρ ἅπαντα βίον αὐτὰ διϊόντι μοι πρότερον οὐχ οὕτω μαθεῖν ἀκριβῶς συνηνέχθη ταυτὶ πρὸς ἀκρίβειαν, ὡς ἀρτίως ἐκ πείρας αὐτῆς, ὁποίας ἐκεῖνος καὶ ὅσας ἔβοσκέ τε καὶ συνέθαλπε πικρῶς τὰς ἀθέλκτους λύπας ἐν ψυχῇ. μηδὲ γὰρ ἂν ἄλλως γινώσκειν δύνασθαι μηδένα 2.1047 τῶν ὄντων καὶ γινομένων τὰς φύσεις ἐς τἀκριβὲς, μὴ διὰ πάντων ἐλθόντα πραγμάτων ὡς δεῖ, πεῖραν τὴν ἑκάστῳ προσήκουσαν ἑαυτῷ πoριζόμενον. ἐντεῦθεν γὰρ οἶμαι καὶ τὰς ἀρχὰς εἰληφότας τῶν πάλαι, τῷ ὁμοίῳ τὸ ὅμοιον γίνεσθαι φάναι γνώριμον. εἰ μὴ γὰρ ἀπέβαλέ τις θανάτῳ γονέας, οὐκ ἂν ἀντίληψίς τις τοῦ πάθους προσήκουσα γίνοιτο τούτῳ, οὐδὲ γνῶσις ἀκίβδηλος, ὁρῶντι τὰ ὅμοια πεπονθότα τὸν γείτονα· ἀλλὰ μενεῖ πρὸς τὸ πάθος παρὰ τοσοῦτον ἀνάλγητος, παρόσον καὶ τοὺς ἐκ γενέσεως ὁρῶμεν τυφλοὺς ἀναισθήτως διακειμένους, εἴ τις αὐτοὺς ἐς χρωμάτων κρίσεις καλοίη. καὶ εἰ μὴ ἀλγηδόνας ὀδόντων ὑπέμεινέ τις, οὐκ ἂν ἄλλου πάσχοντος συναλγήσειε. καὶ εἰ μὴ ἐῤῥίγωσέ τις περιτυχὼν ἀκμῇ χειμῶνος γυμνὸς, οὐκ ἄν ποτε ῥιγούντων ἑτέρων αἴσθοιτο. χρῆναι γὰρ ἀνάμνησίν τινα γίνεσθαι καὶ ἀναφορὰν ἀφ' ἑκάστων ὡς παρ' ἀρχέτυπον τὸ προπεπονθός. εἰς δὴ τοιαῦτα πραγμάτων ναυάγια καὶ αὐτὸς ἐμπεσὼν τὰς ἐκείνου φωνὰς ἀφίημι, καιριωτέρας οὐκ ἔχων εὑρεῖν· καὶ ὁμοίως ἐπιβοῶμαι θεὸν, ἐξελέσθαι με πονηρῶν καὶ γλώσσης δολίας καὶ συκοφαντίας ἀνθρώπων καὶ οὐ θηρίων. θηρία μὲν γὰρ αἷμα καὶ σάρκα ἐσθίει, οὗτοι δὲ μυελοὺς δαπανῶσι ψυχῶν. γʹ. Ἀλλὰ γὰρ τούτων οὕτως ἐχόντων, συχναὶ παρῆλθον ἐκεῖθεν ἡμέραι, καὶ ὁ πατριάρχης ἧκεν ἡμῖν· οὐκ οἶδ', εἴτ' οἴκοθεν, εἴτε βασιλέως προστεταχότος· ἧκε δ' οὖν· γράμμα μὲν 2.1048 οὐδὲν κομίζων ἡμῖν, ὧν ἀπητοῦμεν· προσηνῆ δέ τινα καὶ ἀστεῖα ἐπαγόμενος ἤθη, πειθοῦς ὡς ᾤετο δημιουργὰ, καὶ πλείστην ἔχοντα τὴν αἰδὼ πρὸς ἡμᾶς, παρὰ τὴν αὐτοῦ λίαν ὑπάρχοντα φύσιν. οἷς συνύφαινέ πως καὶ προὐβάλλετο, διὰ τὸ ἀνυσιμώτερον τῆς βουλήσεως, καὶ τὸ μακρὸν καὶ δυσχερὲς τῆς οἴκοθεν ὁδοῦ, τὸ σῶμα καχεξίας τινὸς ἐνοχλούσης τηνικαῦτα. κἄπειτα πολλά μοι τἀγαθὰ ἐπηγγέλλετο, δέχεσθαι θελήσαντι τὴν τοῦ Παλαμᾶ κοινωνίαν ἀντιλογίας ἁπάσης ἐκτός. "1τὰς γὰρ τοιαύτας ἀντιλογίας,"2 ἔλεγεν, "1Ὁμήρου καὶ Πλάτωνος εἶναι ἀκούω, τῶν σῶν διδασκάλων· οἳ σοφοὶ μὲν ἦσαν, ἀλλὰ μὴ δεξάμενοι τὸν Χριστὸν ἀπεκηρύχθησαν ὡς αἱρετικοί. ὥσπερ οὖν ὕστερον ἐλθοῦσαι αἱ σύνοδοι τῶν ἁγίων πατέρων καὶ ἀποστόλων καὶ προφητῶν κατέλυσαν ἐκείνους, ἀγράμματοι ὄντες, οὕτω δὴ κἀγὼ ἀγράμματος ὢν τὴν σὴν καταλύσω σοφίαν· καὶ πληροῦται τὸ ῥηθὲν διὰ τοῦ προφήτου· ποῦ σοφὸς, ποῦ γραμματεύς;"2 (Β.) Λόγων δὲ κἀνταῦθα τοῖς ἄλλοις ὁμοίων δαπανηθέντων, διελύθημεν ἐν κενοῖς, μηδενὸς ὧν ἐκεῖνος ἐβούλετο γενομένου, καὶ ὧν ἕνεκα κεκοπίακεν. οὐδὲ γὰρ πολλῶν ἡμῖν ἐδέησε λόγων πρὸς ἄνδρα βαναυσώδη καὶ ζάκοτον, καὶ τοῦ λέγειν ἁπλῶς προχειρότερον τὸ πλήττειν ἔχοντος καὶ γλώττῃ καὶ χειρί. διὸ τὰ τοῦ θείου πατρὸς Βασιλείου δανεισάμενος προὔτεινα καὶ αὐτὸς ἐν βραχεῖ, ὡς "1ἕν γε τοῦτο τολμῶ καυχᾶσθαι ἐν κυρίῳ, ὅτι οὐδέποτε πεπλανημένας ἔσχον τὰς περὶ θεοῦ ὑπολήψεις· ἀλλ' ἣν ἐκ παιδὸς ἔλαβον ἔννοιαν περὶ 2.1049 θεοῦ παρὰ τῶν μακάρων γονέων μου καὶ τῶν θρεψαμένων ἐμὲ, ταύτην αὐξηθεῖσαν ἔσχον ἐν ἐμαυτῷ· πίστιν δὲ οὔτε παρ' ἄλλων γραφομένην νεωτέρων παραδεχόμεθα, οὔτ' αὐτοὶ τὰ τῆς ἡμετέρας διανοίας γεννήματα παραδιδόναι τολμῶμεν, ἵνα μὴ ἀνθρώπινα ποιήσωμεν τὰ τῆς εὐσεβείας ῥήματα· ἀλλ' ἃ παρὰ τῶν ἁγίων πατέρων δεδιδάγμεθα, ταῦτα τοῖς ἐρωτῶσι διαγγέλλομεν."2 καὶ ταῦτα μὲν τοῦτον ἔσχε τὸν τρόπον. (Γ.) Ἐς δὲ τὴν ἐπιοῦσαν παρῆσαν αὖθις ἐκεῖθεν ἀπεσταλμένοι συχνοὶ τῶν τῆς ἐκκλησίας ἀρχόντων, καὶ μετ' αὐτῶν εἷς τις τῶν ἐμῶν μαθητῶν, ἄντικρυς ἄλλος τοῦδε· ὃς ἀφ' οὗ τὸ μοναδικὸν ἐνδέδυται σχῆμα, ταὐτὸν


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐπεπόνθει καὶ οὗτος, ὅπερ ἐκεῖνος χερσὶν εἰληφὼς ἐκ τοῦ δείπνου τὸν σωτήριον ἄρτον. ὡς γὰρ εἰς ἐκεῖνον εὐθὺς τὸν διάβολον εἰσελθεῖν ἐγεγόνει, παραπλησίως δὴ καὶ τἀνδρὶ τουτωῒ σαφῶς ὁ αὐτὸς ἐπεπήδησε διάβολος, εὐθὺς ἀμείψαντι τὸ σχῆμα. εἰς γὰρ κακότεχνον ψυχὴν χώραν οὐκ ἔχειν φασὶ καὶ χάριν θεοῦ. τοσοῦτον γὰρ ταῖς ἄλλαις καθ' ἡμῶν ἐπιβουλαῖς καθάπαξ οὗτος ἐκεῖνον ὑπερβαλέσθαι πεφιλοτίμηται, ὡς μηδ' ἐνταῦθα γενόμενον μόνον ἐᾶσαι τὴν πρόδοσιν Ἰούδαν ἐκεῖνον ἐγκαλεῖσθαι. ἀλλὰ γὰρ πλείστους καὶ οὗτοι κενώσαντες λόγους, τὸν ὅμοιον τρόπον τοῖς ἄλλοις, καὶ πλείστας τοῖς λεχθεῖσι τὰς ἀπειλὰς ἐπῳκοδομηκότες ἀπῄεσαν ἄπρακτοι καὶ αὐτοί. (Δ.) Καὶ ἅμα συνῄεσαν αὖθις συχνότεραι τῶν προτέρων παραγγελίαι παμπληθὲς, παριοῦσαι τὰς πρὶν, ἐς τοὺς γείτονας φύλακας ἡμῶν· οὓς ἐπόπτας ἡμῖν πικροτάτους ἐπέστησαν, πανόπτας δ' εἰπεῖν οἰκειότερον, 2.1050 κατὰ τὸν ἀττικίζοντα μῦθον ἐκεῖνον· εἰ μὴ καὶ πολλῷ δεινοτέρους τούτους εἴπῃ τις ἄν· ὅτι ἐκεῖ μὲν ἑνί τινι ὄντι πολλοὺς παρέχουσιν ὀφθαλμούς· ἐνταῦθα δὲ πολλοί τινες ὄντες, καὶ διαφόρους καὶ πολυμόρφους τρέφοντες γνώμας, ἅμιλλαν ἔχουσιν ἐς τὸ πλείους ἄλλος ἄλλου φανῆναι τὰς ἐποπτικὰς κεκτημένος δυνάμεις. (Ε.) Μετὰ πολλὰς δ' αὖθις ἡμέρας κατὰ δή τινα χρείαν ἐδέησε πατριάρχης ἰέναι ἐς τὴν καθ' ἡμᾶς αὖθις ἱερὰν μάνδραν· καὶ αὐτοπροσώπως μὲν τέως ἡμῖν αὐτὸς οὐχ ὡμίλησε, δι' ἀποστόλων δ', ὅσα καὶ πρότερον εἶχε πεφροντισμένος, μηδὲ νῦν τὰ ζητούμενα γράμματά μοι κεκομικώς. καὶ πάλιν ἦμεν ἐν τοῖς αὐτοῖς. κἀκεῖνος ἀπῄει λοιπὸν, τὰς τοιαύτας ἐλπίδας εἶναι γρηγορούντων μανθάνων ἐνύπνια. δʹ. Ἐκεῖθεν αὖθις ἡμέραι παρίππευον πέντε καὶ δέκα, καὶ ὁ τῶν φίλων ἡμῖν βέλτιστος ἐκεῖνος ἧκε Καβασίλας, λαθραίων καὶ ποικίλων βουλευμάτων πατριαρχικῶν ὁμοῦ καὶ βασιλικῶν ἐπαγόμενος φόρτον, καὶ μηχαναῖς οἱονεί τισιν ἑλεπόλεσι πεφραγμένος ἐκεῖθεν παντοδαπαῖς, ἅτε συνετὸς καὶ πολυπράγμων ἀνὴρ καὶ ποικίλων ἴδρις πραγμάτων καὶ λόγων πολιτικῶν· σὺν δ' αὐτῷ καὶ τῶν πατριαρχικῶν ἀρχόντων εἷς, τοῖς πανόπταις ἐκείνοις καὶ δεινοῖς ἡμῶν φύλαξιν ἀκώλυτον ἐπιτάττων τουτωῒ τὴν εἴσοδον παρασχεῖν. καί μοι κατὰ τὸ εἰωθὸς προσειπὼν, εἶτα ἐκάθισε κύψας τὸ πρόσωπον εἰς γῆν. ἐμοὶ μὲν οὖν ἐμπαθέστερον ἔδοξε 2.1051 τοῦτον διατεθῆναι, τὴν τῆς ἐμῆς οἰκίας εὐθὺς θεασάμενον συμφορὰν καὶ τὴν καινὴν τραγῳδίαν, καὶ διὰ τοῦτο καθ' ἑαυτὸν γενόμενον ἐπὶ τούτου καθίσαι τοῦ σχήματος, ἡσυχῇ πάθος (ἐντὸς τὰς αἰσθήσεις εἰς τὰ τῆς ψυχῆς ἀπόῤῥητα στρέψαντα) καὶ τὰς τῆς τύχης ἐν νῷ συνορῶντα μεταβολάς· πῶς ὁ τὰ πλεῖστα φθεγξάμενος οἶκος ἄφθογγος ἐξαίφνης κατέστη; καὶ πῶς αἱ τῶν ἀεὶ προσιόντων ἄλλοτ' ἄλλων σοφῶν συναυλίαι καὶ λογικαὶ πανηγύρεις καὶ τὰ σεμνὰ τῶν ἀγώνων ἐκείνων παλαίσματα φροῦδα γέγονεν ἐν βραχεῖ; καὶ πῶς οἱ τῶν μαθηματικῶν πηγῶν ἀταμίευτοι ῥύακες νῦν ἀταμίευτα σιγῶσαν τὴν ἐρημίαν ἠλλάξαντο; καὶ πῶς οἱ τῶν πολλαχόθεν ἀποριῶν καὶ λύσεων τῆς ἀστροθεάμονος σοφίας δίαυλοι νῦν ἐν τοῖς τῆς λήθης ἐκρύβησαν τάφοις; ἐμοὶ μὲν οὖν τοιαῦτ' ἐδίδου τὸ σχῆμα τοῦ φίλου λογίζεσθαι, καὶ ὅσα πλείω τούτοις ἕπεται. (Β.) Διὸ καὶ λέγειν ἀρξάμενος ἔγωγε περὶ μὲν τῶν ἡμετέρων ἥκιστά σε, φίλων ἄριστε, χαλεπαίνειν ἔφασκον εἶναι χρεὼν, ἐπεὶ μηδὲν τῶν ἐν βίῳ χρηστῶν ἀμιγὲς οὐδ' ἄκρατον ἔχει τὸ χαῖρον· ἀλλὰ μέμικται πάντα πρὸς τοῦ Θεοῦ, καθάπερ χαλινῷ τινι τὴν διαμονὴν τοῦ φρονεῖν ἐν μέτροις κατέχοντος· εἶναι γὰρ παγχάλεπον, εὐροοῦντα ταῖς ἀμωσγέπως μακαριζομέναις τύχαις τοῦ βίου μένειν ἐν τῷ καθεστῶτι τοῦ ἤθους. περὶ δὲ σοῦ μοι θαυμάζειν ἔπεισι, πῶς τοσούτου χειμῶνος τὰ τῆς ἐκκλησίας ταράξαντος δόγματα, ἥκιστα γινώσκειν τοῖς φίλοις ἡμῖν, οἷς τὰ μάλιστα θαῤῥεῖν ἐδόκεις, οὔπω δέδω 2.1052 κας ἡμῖν οὐδὲν ἀκριβές· ἀλλ' ἀφῆκας παντοδαπαῖς πλανᾶσθαι φήμαις, καὶ ἀμφισβητεῖν, πότερον τοῖς ὅροις ἐκείνοις ἐμμένεις καὶ σὺ, καθάπερ ἡμεῖς· ἢ καθάπερ θυέλλης τῆς τοῖς δόγμασιν ἐνσκηψάσης νῦν καταιγίδος, καὶ ἄλλων ἄλλοθι φερομένων, καθάπερ τῶν πλοίων τὰ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀκυβέρνητα, φέρων καὶ σὺ σαυτὸν τοῖς ἐναντίοις ἐπέῤῥιψας, καὶ γλώττης ἀφειδῶς καθ' ἡμῶν ὁμοίως ἔχεις ἐκείνοις. καίτοι γ' ἀνάγκην ἥκιστ' ἴσμεν οὐδεμίαν βίᾳ περιοῦσαν, πείθειν τῇ θρησκείᾳ καὶ τὴν φιλίαν ὁμοῦ συνεξίστασθαι· ἐπεὶ καὶ Λιβάνιον, Ἕλληνα τὴν θρησκείαν ὄντα, Βασιλείῳ φίλον εἶναι ἐνῆν τῷ μεγάλῳ· καὶ τοιούτων ὁ βίος γέμει παραβολῶν. Ἔπειτ', οὐδὲ θέλων, τῷ Παλαμᾷ προστίθεσθαι δυνηθείης ἄν. οἶσθα γὰρ ὡς Ἰωάννῃ τῷ πατριάρχῃ ζῶντι συχνὰ καὶ μετά γε πολλῆς τῆς αἰδοῦς προσιὼν, αὐτὸν μὲν τοῖς ἁγίοις συνέταττες ὅλαις προθέσεσι τῆς ψυχῆς· Παλαμᾶν δ' ὁμοῦ βασιλεῖ Καντακουζηνῷ πάσαις ἔπλυνες ὕβρεσι νύκτωρ καὶ μεθ' ἡμέραν, καὶ ἀσεβῶν ἀσεβεστέρους ἁπάντων ἐκάλεις· καί σφισι ταχὺν τὸν ἀφανισμὸν ἔσεσθαι προὔλεγες· ὡς ἥκιστα μάλα σοι περιΐστασθαι νῦν, τὴν πρὸς τἀναντία μεταβολὴν ἁρμόττουσαν εἶναι, συνέσεως οὕτω καὶ γήρως ἔχοντι, καὶ συνορᾷν δυναμένῳ τῆς αἰσχύνης τὸ μέγεθος. ποῖον γὰρ ἔτι χρόνον τῶν καθηκόντων ἀναμενεῖ τις σύμβουλον, ἐν τοιαύτῃ γεγονὼς ἡλικίᾳ; καὶ πάσαις μὲν γὰρ ἡλικίαις καὶ τύχαις ἀνάγκη φόβον εἶναι θανάτου, ἀγνωσίᾳ μυστικῇ τοὺς κανόνας ἡμῖν τῆς ζωῆς τοῦ θεοῦ συγκαλύπτον 2.1053 τος, μάλιστα δὲ τοῖς τὸν ἔσχατον οὕτως ὅρον τῆς ἡλικίας σκηνοβατοῦσιν· ὅτε μάλιστα καὶ τῆς ἀκμῆς ἐκείνης ἡ πανήγυρις ἤδη σβέννυται, καὶ τὸ τῶν μακρῶν ἐλπίδων ὡς τὰ πολλὰ παρατρέχει θέατρον. ὃ δὴ κἀπὶ νοῦν ἀεί μοι στρέφοντι τῶν ἀνδριαντοποιῶν τε καὶ τῶν ζωγράφων ἐκείνους ἐπῄει θαυμάζειν, ὅσοι τῆς χρονικῆς περιόδου τὸ τάχος μιμεῖσθαι διὰ τῆς τέχνης ἐθέλοντες ἄνδρα ποιοῦσιν ὀπισθοφάλακρον μὲν ὡς ἐπίπαν, οὐ δ' ἀναφαλαντίαν· ἀλλὰ μέτωπον προϊσχόμενον λάσιον, καὶ κόμην ἐκεῖθεν μακρὰν καθειμένον. τἄλλα γὰρ ὄντες σοφοὶ μόνης λείπονται φωνῆς ἐνταυθοῖ, καὶ ταύτην ἥκιστα βαφαῖς ταῖς ἐκ χρωμάτων δύνανται μιμεῖσθαι. ὅθεν σιγῶσαν οὑτωσί πως ἱστᾶσι νομοθεσίας εἰκόνα, καὶ ἀνεκλάλητον κήρυκα πᾶσιν ἀεὶ διανέμουσιν, οἷς ἐῤῥᾳθυμημένον τὸν βίον ἀνύειν οὐκ ἔστιν αἰδὼς, μονονουχὶ βοῶντες, ὡς κατόπιν ἰοῦσι τριχῶν οὐ παρέξει λαβὴν ὁ Καιρὸς, ἀλλ' ὄλισθον καὶ ἀποτυχίαν τοῦ ποθουμένου μακρὰν, τῆς ἐμπροσθίας ἤδη τοῦ χρόνου λαβῆς παρεῤῥυηκυίας, καὶ ὅλως ἀπηγορευκυίας ἅπαν τὸ ἁμιλλώμενον. (Γ.) Ἐγὼ μὲν δὴ ταῦτ' εἰπὼν ἐπεπαύμην. τῷ δ' εὐθὺς ἀρχομένῳ λέγειν, ὧν ἡμῖν εἰκάζειν ἐκείνου ἐπῄει διὰ φιλίαν ἀρχαίαν, γνώρισμα τῶν ἁπάντων τοῖς λεγομένοις ὑπῆρχεν οὐδὲν, ὅ,τι μὴ πᾶν τοὐναντίον. καὶ γὰρ τὰ λεγόμενα πικρίαν ὑπέφαινεν οἰκουροῦσαν ἐν τῇ ψυχῇ, καὶ μάλα τοι σφόδρα βαθεῖαν· οὐχ οἵαν ἐπισπείρουσι βίων τινῶν περι 2.1054 στάσεις, ἔξωθεν ἐπεισρέουσαι, καὶ πόλεων πραγματικαὶ συμφοραὶ, τὸ πεδίον νεμόμεναι τῆς ψυχῆς· ἀλλ' οἵαν ἀδοξοῦντες βλαστάνουσι λογισμοὶ, τὰ πρεσβύτερά τε καὶ πολυχρονιώτερα τῶν νοσημάτων ἐμφωλεύοντα πάλαι προκατέχοντες, ὧν πατὴρ καὶ δημιουργὸς τὸ τῆς φιλοτιμίας ἀστάθμητον. εἶναι γὰρ τὴν φιλοτιμίαν μέγα τι ψυχῆς ἐμπύρευμα πρὸς τὰ καλὰ μὲν, ὅταν ἀκαπήλευτον κομιδῇ τῆς κρίσεως ἐξάγῃ τὸν τόκον· ὅταν δὲ κενοδοξίαν κατασπῶσιν ἐφεδρεύουσαι κῆρες, ψυχῆς λεληθότα νοσήματα, τότε δὴ μακρός τις γίνεται τοῦ παρόντος λόγου λόγος, εἴ τις ἔξωθεν ἀπαθῶς συνορῴη· καὶ ὁ πρὶν θαυμαζόμενος ἐπὶ τῷ μὴ θαυμάζειν πλοῦτον καὶ τρυφὴν καὶ τύχης εὐγένειαν φαυλίζεται μᾶλλον ἐπὶ τῷ μὴ φαυλίζειν κενοδοξίαν, μηδὲ τὸ κακὸν ἡγούμενος ἄδοξον, ἀλλὰ τὸ ἄδοξον κακὸν, κατὰ τὰ ἀντίστροφά τε καὶ τὴν θέσιν ἐκ διαμέτρου λαχόντα. ἔλαθε γὰρ αὐτὸς ἑαυτὸν οἰκείῳ καὶ ἐγκαρδίῳ πυρὶ καταστρατηγούμενος, καθεύδοντι μὲν ἐπὶ μακρὸν ἐνίοτε χρόνον δι' ἔνδειαν ὑπεκκαύματος, ἀναλάμποντι δ' ὀψὲ, καιροῦ καὶ τύχης οὐρίου τινὸς δραξαμένου πνεύματος. ἐπεὶ καὶ εἴωθεν ὡς τὰ πολλὰ πολλάκις ἡ τῶν ἐπαίνων ἔκπτωσις πρὸς μανιῶδες ἦθος ἐρεθίζειν τὸν ἐραστὴν καὶ ζηλότυπον, καὶ διὰ τῶν χρονικῶν ἐλέγχων ἐναργέστερον παριστᾷν, εἴδωλον ἀρετῆς καὶ οὐδαμῶς ἀρετὴν εἶναι τὸ μέχρι νῦν αὐτῷ διωκόμενον, καθάπερ τὰ μυθευόμενα πάλαι περὶ νεφέλης ὁμοῦ καὶ Ἰξίονος. ἀλλὰ ταῦτα μὲν σιγῆς ἐῤῥίφθω



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

βυθοῖς. ἐπανιτέον δ' 2.1055 ἐκεῖσε. (Δ.) Πρὸς γὰρ λόγων κατάστασιν ὁ φίλος ἐντείνας, καὶ τὰ πρὶν ἐπικαλύμματα παρωσάμενος ἅπαντα, πᾶς τῶν ἐγκωμίων ἐγίνετο καὶ θειασμῶν τῶν τοῦ Παλαμᾶ καὶ ὅσα ἐγγέγραπταί οἱ ταῖς βίβλοις. "1πάντα γὰρ αὐτῷ μοι,"2 φησὶ, "1τεθέαται πρὸς ἀκρίβειαν, καὶ ἐξήτασται τελεώτατα· καὶ ὅλως οὐδὲν οὐδαμῇ συννενόηται, οὗ καθάπτεσθαι ἕξει τις τῶν ἁπάντων ὁπώσποτε καὶ ὁπωσοῦν, κἂν πάντα λίθον θέλῃ κινεῖν."2 καὶ ἅμα ταῖς τοιαύταις ηὔχετο συναποθνήσκειν ὁμολογίαις, καὶ ὑπὲρ τούτων ἕτοιμος εἶναι μυρίας κακώσεις ὑφίστασθαι. (Ε.) Ἐγὼ δ' ὑπολαβὼν "1ἠξίουν ἔνια πρὸς τὸ σαφέστερον ἀναπτύσσειν, μηκύνοντά πως τὴν ἔνδειξιν, ἵνα καὶ αὐτὸς τελεώτερον ἔχω γινώσκειν, εἰ ἀληθῶς ἀνέγνως ἐκείνου τὰς βίβλους, καὶ εἰ ἔγνως ἀναγνοὺς, καὶ ὁποῖόν τί σοι τὸ τῶν ἐπαινουμένων κεφάλαιον πέφυκε. καὶ στρατιώτης γὰρ οὐχ ἵππον ὅτι ἐξ ἵππου ζητεῖ, ἀλλ' εἰ τῶν ἐπαινουμένων τις εἴη, καὶ ἅμα πρὸς τὴν χρείαν ἔργοις ἁρμόττων αὐτοῖς."2 ἅμα δ' αὐτῷ παρεισῆγον καί τινας ῥήσεις τῶν ἐκείνου βλασφήμων βιβλίων ἐγώ. "1Ἱκανὰ μὲν οὖν,"2 φησὶ, "1καὶ ταῦτα πεῖσαι, μήτε κτιστὴν ὑπάρχειν τὴν διδομένην καὶ λαμβανομένην τοῖς κεχαριτωμένοις τοῦ πνεύματος χάριν τε καὶ ἐνέργειαν (αὕτη γάρ ἐστι τὸ πνεῦμα τὸ ἅγιον) μήτε τὴν οὐσίαν εἶναι τοῦ πνεύματος."2 καὶ μετ' ὀλίγον· "1αὕτη γὰρ καθ' ἑαυτὴν ἡ θεία μετεχομένη τε καὶ λαμβανομένη φύσις ἢ φυρμὸν πείσεται, ἢ τὴν παθητὴν ἐξαναλώσει φύσιν, πρὶν ἂν ληφθῇ."2 ὁρᾷς πῶς τὴν ἔνσαρκον οἰκονο 2.1056 μίαν σαφῶς ἀναιρεῖ, καθὰ καὶ ἀνωτέρω που δεδείχαμεν; καὶ πάλιν· "1τί ἔτι σύνθεσιν δέδοικας ἐπὶ τοῦ Θεοῦ, καὶ τῶν ἐνεργειῶν ἀκτίστων οὐσῶν τε καὶ λεγομένων; πολλῷ μᾶλλον δέδιθι, μὴ κτίσμα ποιήσῃς τὸν Θεὸν, τὰς αὐτοῦ φυσικὰς ἐνεργείας ἡγούμενος κτιστὰς, ὡς διαφόρους τῆς οὐσίας."2 καὶ πάλιν· "1ἡμῖν δ' οὐδεμία ποτ' ἔσται λέξις ἀποχρῶσα πείθειν, τὰς ἐνεργείας τοῦ θείου πνεύματος, ἃς ὁ Προφήτης κεφαλαιωδῶς ἑπτὰ προσεῖπε, μετὰ τῶν κτισμάτων τάττειν. τῶν δὲ θείων καὶ φυσικῶν τοῦ Θεοῦ ἐνεργειῶν μία καὶ ἡ κρίσις. ἆρ' οὖν καὶ αὕτη τῶν κτισμάτων ἓν, καθὰ Ἀβραὰμ ἔφη· ὁ κρίνων πᾶσαν τὴν γῆν οὐ ποιήσεις κρίσιν;"2 καὶ πάλιν· "1πῶς οὐκ ἄκτιστος ἡ χάρις, δι' ἣν καὶ οἱ μετεσχηκότες αὐτῆς ἄναρχοι καὶ ἄκτιστοι καὶ ἀτελεύτητοι καὶ ἀΐδιοι;"2 (΄.) Ἐμοῦ δὲ καὶ πλείους πολλῶν τῶν τοιούτων ἐκείνου βλασφημιῶν παρενείρειν ἐθέλοντος, ἀνέκοψε τὸν λόγον ὁ φίλος, καὶ μακροὺς τοῦ Παλαμᾶ διεξῆλθεν ἐπαίνους. ἔπειτα πρῶτον μὲν κἀκεῖνος ἀκτίστων ἐνεργειῶν εἶναι πλῆθος σαφῶς ὡμολόγει τε καὶ ἐπῄνει, τῆς οὐσίας πάντη διωρισμένας. δεύτερον δ', ὅτι πνεῦμα ἅγιόν τε καὶ ἄκτιστον οὐχ ἓν ἔλεγεν εἶναι, οὐδ' ἑπτὰ μόνον (ὁποῖα καὶ τῷ Χριστῷ προείρηκεν Ἡσαΐας ἐπαναπαύσεσθαι) ἀλλ' ἑβδομηκοντάκις ἑπτὰ, καὶ ὅσα πρὸς τούτοις δύναιτο ἄν τις τῇ διανοίᾳ περιλαμβάνειν, καὶ ἀπειράκις ἄπειρα· μεθ' ὧν καὶ τὰς ἐπὶ τῶν ἀποστόλων πυρίνας φανείσας δώδεκα γλώσ 2.1057 σας τακτέον ἔλεγεν εἶναι καὶ τὴν ἐπὶ τοῦ Χριστοῦ βαπτιζομένου φανεῖσαν περιστεράν. ταῦτα γὰρ ποτὲ μὲν πνεύματα καλεῖν οἶδεν ἡ γραφὴ, ποτὲ δ' ἐνεργείας ἀκτίστους καὶ χάριτας καὶ δυνάμεις. καὶ ταύτας μὲν εἶναι τὰς τοῖς κτίσμασι μεθεκτὰς, καὶ πρὸς τούτοις ἀκτίστους γίνεσθαι τοὺς ἀνθρώπους, καὶ ἁγιάζεσθαι τὰ ἁγιαζόμενα πάντα, τά τε ἄλλα καὶ τὸ θεῖον ἡμῶν βάπτισμα, καὶ πρός γε ὁ θυόμενος καὶ μεταλαμβανόμενος ἡμῖν ἄρτος ἐν ταῖς θείαις μυσταγωγίαις· τὴν δὲ θείαν οὐσίαν παντάπασιν εἶναι ἀμέθεκτον ἅπασι. (Ζ.) Καὶ ἐπὶ τούτοις ὁ συμμαχικὸς εἰσήγετο πόλεμος μετὰ τῶν ὑποδειγμάτων· λέγω δὴ τὸν σύν γε αὐτῷ πρὸς τῆς πατριαρχικῆς γερουσίας ἐληλυθότα ἡμῖν, τῶν ἐλλογίμων εἶναι λεγόμενον καὶ αὐτόν. ὃς δὴ καὶ λέγειν παρεσκευακὼς ἑαυτὸν τὰ ἐνδέοντα δριμύτερον ἡμῖν ἀντέστησε καὶ ἦθος καὶ ὀφθαλμόν. πᾶσι γὰρ ἐξῆν ἤδη τὰς ἐμὰς πατεῖν καὶ περιφρονεῖν τύχας, μεμονωμένου τε ἅμα καὶ παντοδαποῖς πανταχόθεν περιειλημμένου τοῖς δεσμοφύλαξι· καθάπερ καὶ δρυὸς πεσούσης πᾶσιν ἐξείη, ὥς φασιν, ἀνδράσι ξυλεύεσθαι· αἰδὼς δὲ πᾶσα καθ' ὑγρῶν (ὡς ἔοικεν) ἐῤῥύη, καὶ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἄμπωτις ἀφελομένη κατεβάπτισε. δριμύτερον οὖν ἐκείνῳ τὴν τοιαύτην διαδεξαμένῳ πάλην τὸν περὶ ἀμεθέκτου καὶ μεθεκτοῦ δι' ὑποδείγματος ἐπῄει λόγον. "1Καὶ δὴ καὶ καθάπερ,"2 φησὶν, "1ἐπὶ τοῦ ἡλίου, τῆς μὲν οὐσίας, ἀκινήτου μενούσης ἐν οὐρανῷ, μετέχειν οὐκ ἔχομεν· τῆς δὲ φωτιστικῆς ἐνεργείας αὐτοῦ, πρὸς ἡμᾶς κατιούσης, μετέ 2.1058 χομεν· οὕτω κἀπὶ θεοῦ χρὴ νοεῖν. τῆς γὰρ οὐσίας αὐτοῦ καθημένης ἐν οὐρανῷ (ὃν θρόνον εἴρηκεν ἡ γραφὴ θεοῦ) μετέχειν οὐκ ἐφικνούμεθα· μετέχομεν δ' οὖν τῆς ἐνεργείας αὐτοῦ καὶ τῆς βουλήσεως καὶ ζωῆς καὶ δυνάμεως καὶ ἰσχύος, ἄνευ οὐσίας πρὸς ἡμᾶς κατιούσης ἑκάστης καὶ ποιούσης ἀκτίστους· ἄλλης μὲν οὔσης, καὶ μακρὸν τὸ διάφορον ἐκ τῆς οὐσίας ἐχούσης· θεότητος δ' οὔσης καὶ αὐτῆς, ἀκτίστου μὲν, ὑφειμένης δ' οὖν."2 ταῦτα δ' αὐτοῦ διεξιόντος, κῦμα καὶ σάλον εἶχε τὸ ἦθος αὐτοῦ· καὶ ἐνέκειτο μάλα σφοδρῶς, ἐκ τοῦ μείζονος ἀπαιτῶν, ὁπότερον ἂν ἑλοίμην αὐτὸς δυοῖν ὄντοιν πραγμάτοιν, ἀντιθέσεως καὶ συγκαταθέσεως. (Η.) Ὑπολαβὼν γοῦν ἐγὼ πρὸς δύο τὴν παροιμίαν μηδὲ τὸν Ἡρακλέα διδοῦσαν ἀκούω τὸ δύνασθαι πρὸς ἀντίπαλον ἔφασκον μάχην. "1ἐγὼ δὲ καὶ μόνος ὢν ἐνταυθοῖ, καὶ δέσμιος, καὶ μηδὲ βραχὺ τὸ θαῤῥεῖν ἔχων ἐκ τοῦ καιροῦ, πρὸς δύο τὸν ἀγῶνα ποιεῖσθαι ἀναγκαζόμενος, τεθαῤῥηκυίας ὁπλίσαντας ἐν ταὐτῷ καὶ γλώττας καὶ γνώμας, ἐν ἀμαρτύρῳ σταδίῳ τὰ κατὰ βούλησιν ἅπαντα λέγειν ἀφόβως ἐχούσας καὶ ἀποφαίνεσθαι, καὶ διαβάλλειν πρὸς ἀπόντας ἀπιόντας, μήτ' ἐμοῦ παρόντος, μήτ' οὐδενὸς ἑτέρου τοῦ τὴν ἀλήθειαν ἀντ' ἐμοῦ μαρτυρήσοντος, ἐν στενῷ κομιδῇ τὴν τῆς ἀμηχανίας ὁρῶ μοι περίστασιν ἑστηκυῖαν. ὄντος γὰρ ἑκατέρου κομιδῇ φορτικοῦ, τοῦ τε σιγῇ τὰς τῆς νῦν ἀκοῆς ἐνεγκεῖν τρικυμίας καὶ τοῦ παραχρῆμα τοὺς τῆς ἀτοπίας ἐλέγχους κομίζειν ὑμῖν, οὓς τἀμὰ διαβάλλειν οὐδὲν 2.1059 τῶν ἁπάντων ἐπὶ τῆς ἐρημίας ταύτης κωλύσει, δύσεργός μοι καὶ μάλα δυσέμβολος ἡ ἐπιχείρησις πρὸς ἑκάτερον ἀναφαίνεται. ἀναιμάκτου γὰρ οὔσης τῆς μάχης, καὶ τῶν λογικῶν ξιφῶν καὶ τραυμάτων τὰς ἀντερείσεις τῆς ἀσωμάτου ψυχῆς δεχομένης, εὐδιάβολα μὲν διὰ τὸ ἀφανὲς φανεῖται τὰ τροπαῖα, ἀγχίστροφος δ' ἡ τῆς γλώττης διάθεσις, πρὸς τὴν τῆς γνώμης αἵρεσιν καπηλεύουσα τὴν γνώμην τῆς κρίσεως. ἔπειτα οὐδ' ἔχω πῶς ὀνομάσω τὴν παράταξιν ἐγὼ τοῦ τοιούτου πολέμου. οὔτε γὰρ μονομαχία τίς ἐστι, δύο καθ' ἑνὸς ὁπλιζομένων γλωσσῶν· οὔτε μὴν στρατευομένων καὶ βλεπόντων ἔξωθεν ἕστηκε πλῆθος, ἵν' ἐμφανὲς ᾖ τῶν ἀγωνιζομένων τὸ στάδιον, ὥσπερ οἷον πολεμικαὶ περιτρέχουσι καὶ περιηχοῦσι σάλπιγγες, τὰ παρακλητικὰ συγκροτοῦσαι τῶν ἐν ὑπαίθροις πολέμων· ὡς ἀναγκάζεσθαί με λοιπὸν ἀμφίστομον τὸ τῆς ἡμετέρας τιθέναι φάλαγγος πρόσωπον τήμερον· ἵν' οὑτωσὶ πρὸς ἑκατέρας τὰς γλώττας ἐφικνῆταί πως καὶ τὰ ἡμέτερα, νῦν μὲν ἀθλοθέτην καὶ δικαστὴν ἀδέκαστον ἔχοντα τὸν ἀκοίμητον ὀφθαλμὸν τοῦ θεοῦ, ὑπὲρ οὗ τοὺς ἄθλους ἀνύω τούτους· ὕστερον δὲ, καὶ τῶν ὅσοι μὴ πάρεισι νῦν οὐκ ὀλίγους· παραπομποῖς χρησάμενον τοῖς ἡμετέροις γράμμασιν, εἰ χρόνον ἡμῖν παράσχοι θεὸς βραχείας μέν τινος ζωῆς, ἐλευθέρας δ' οὖν."2 (Θ.) "1Τὸ μὲν οὖν τὰ ζητούμενα ὡς ὁμολογούμενα τίθεσθαι, πολλὴν,"2 ἔφην, "1ἀμαθίαν τοῦ δρῶντος κατηγορεῖ, καὶ ἅμα πολύν τε 2.1060 ὀφλισκάνει τὸν τῆς αἰσχύνης ἔλεγχον καὶ μεσημβρινῆς ἀκτῖνος περιφανέστερον. ἡλίου γὰρ τὴν μὲν οὐσίαν αὐτῷ οὐρανίῳ ἐγκαθιδρύων ἐδάφει τὴν ἐνέργειαν αὐτοῦ κατιέναι συγχωρεῖς πρὸς ἡμᾶς, ἀνούσιον καθ' ἑαυτὴν, οὐσίαν μὲν τὸν ἡλίου δίσκον ἀποφαινόμενος· ἐνέργειαν δὲ ἀνούσιον, ἐκείνου τὸ φῶς. ἐχρῆν οὖν σοι δεικνύειν πρότερον μὲν, εἰ καὶ τοῖς σοφοῖς διδασκάλοις τῆς ἐκκλησίας, οἳ σὺν ἐπιστήμῃ λέγουσιν ἃ λέγουσι, νομίζεταί τε καὶ συνδοκεῖ τὰ τοιαῦτα· εἶναι δηλαδὴ τὸν μὲν δίσκον οὐσίαν ἡλίου· τὸ δὲ φῶς, ἀνούσιον ἐνέργειαν καὶ δύναμιν καὶ συμβεβηκὸς εἰς ἡμᾶς ἐνεργοῦν ἰδίᾳ, καὶ χωρὶς ὑποκειμένης οὐσίας συγκατιούσης ἄχρις ἡμῶν· ἔπειτα δεικνύειν καὶ εἰ δυνατὸν, ἐκ τῶν αἰσθητῶν καὶ ὑλικῶν οὐσιῶν ἀκριβεῖς καταλήψεις δύνασθαι γίνεσθαι τῶν ἀσωμάτων καὶ νοητῶν, καὶ ἅμα τῆς τούτων ἁπάντων ἐπέκεινα θείας



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

οὐσίας, ἣν ὑπὲρ πᾶν ὄνομά τε καὶ νόημα τῶν ἁγίων ἀκούομεν εἶναι· τὰ δ' ἐν τῷ παντὶ θεωρούμενα θαύματα τῶν θεολογικῶν ὀνομάτων τὴν ὕλην διδόναι, δι' ὧν σοφὸν, δυνατὸν, ἀγαθὸν, ἅγιον, μακάριόν τε καὶ ἀΐδιον, κριτὴν καὶ σωτῆρα, καὶ τὰ τοιαῦτα, κατονομάζομεν· ἅπερ πάντα, ποιότητά τινα βραχεῖαν τοῦ θείου μύρου ἐνδεικνύντα, ἡ πᾶσα κτίσις, διὰ τῶν ἐνθεωρουμένων θαυμάτων, σκεύους τινὸς μυρεψικοῦ δίκην, ἐν ἑαυτῇ ἀπεμάξατο. καὶ ὁ ὑπὲρ πᾶν ὄνομα ὢν ἡμῖν πολυώνυμος γίνεται, κατὰ τὰς τῶν εὐεργεσιῶν ποικιλίας ὀνομα 2.1061 ζόμενος· φῶς μὲν, ὅταν ἐξαφανίζῃ τῆς ἀγνοίας τὸν ζόφον· ζωὴ δ', ὅταν ἀθανασίαν χαρίζηται. σὺ δ' οὔθ' ἣν παράγεις ἡμῖν ἐκ τῶν φαινομένων ἀπόδειξιν συνορᾷν ἔχεις, οὔθ' ἃ βούλει γνωρίζειν ἡμῖν ὑπὲρ αἴσθησιν οἶδας. ἀλλὰ καὶ ταῦτα βλέπων ἀγνοεῖς· κἀκεῖνα, μὴ βλέπων, οὐκ ἄν ποτε γνοίης· πῶς γὰρ, δι' ἀγνοίας ἄγνοιαν καὶ δι' ἀπάτης ἀπάτην κατασκευάζειν πειρώμενος; ἡδέως δ' ἄν σε ἐροίμην, πῶς τῶν ἁγίων διαῤῥήδην ταῦτα λεγόντων καὶ διδασκόντων διὰ παντὸς οὐ συνῆκας αὐτός; δυοῖν γὰρ ἔποιτ' ἂν θάτερον· ἢ γὰρ οὐκ ἀναγνοὺς ὅλως ἀπὸ κοιλίας φωνεῖς τήμερον, καὶ ὡς παίζοντος σοῦ καταφρονοῦμεν· ἢ λοιπὸν ἀναγνόντι σοι δυοῖν αὖθις ἕπεται θάτερον· ἢ γὰρ οὐκ ἔγνως, ὃ τῶν ἀσυνέτων ἐστὶ τεκμήριον· ἢ γνοὺς ἑκὼν βλασφημεῖς, τῷ σῷ διδασκάλῳ πειθόμενος ἀπραγμόνως, ὡς ἔοικε, Παλαμᾷ. διὸ καὶ πᾶσαν αὐτῷ βλασφημίας ἔννοιαν ἐπιῤῥίπτων τὸν Ἐνδυμίωνος ὕπνον καθεύδεις αὐτὸς, κουφοτέραν σοι διὰ τοῦτο τὴν δίκην, ἐνταῦθα μὲν τῆς τῶν ἀνθρώπων αἰσχύνης ποιεῖσθαι νομίζων, ἐς δὲ τὸ μέλλον τῆς ἀθανάτου κολάσεως· ὥσπερ ἂν εἰ τῆς ἐκείνου θελήσεως ἐξηρτῆσθαι τὰ πράγματα πέπρωται, καὶ τὸ μένειν ἀθάνατον δύνασθαι δρᾷν τὸ κακόν· μὴ συνιεὶς, ὡς ῥᾷον ἀναλαβεῖν τὴν εὐσέβειαν ἅπερ ἠδίκηται, ἢ τὴν ἀσέβειαν ἔχειν ἅπερ ἠδίκησε. σὺ μὲν οὖν οὐκ οἶδ' ὃ κρίνεις βέλτιον σαυτῷ καὶ κουφότερον εἰς κακίαν, εἴτε τὴν ἀκούσιον ἄγνοιαν τῶν κακῶν, εἴτε 2.1062 τὸν τοῦ ἀκουσίου σχηματισμόν. Ἐγὼ δ' οὐκ οἶδ' αὖθις, ᾧ τὴν χείρω δίκην ἐπιῤῥίψω, τῆς τοῦ κακοῦ διανομῆς παραπλησίως ἐφ' ἑκάτερον σχιζομένης. εἰ μὲν γὰρ ἀγνοῶν ἀμωσγέπως ἀπείχου θεολογίας, ἧττω σοι πάντως τῆς καταδίκης τὴν ψῆφον ὁ τῆς ἀληθείας παρείχετο λόγος. οὐ γὰρ θέλων ἐνόσεις ἂν, ἀλλὰ νοσῶν ἤθελες ἄν. νῦν δ' εἰς τὴν θατέρου χώραν καὶ τοῦτο παραδυόμενον μείζω διὰ τὴν ἀναίδειαν τὴν τῆς κακίας κομίζεται ψῆφον. Καὶ ἵνα τὰ πλείω τῶν ἐνταῦθα λέγεσθαι ὀφειλόντων ἐάσω διὰ τὸ μῆκος, ἑνὸς καὶ δυοῖν μνησθήσομαι. ὁ θεῖος τοίνυν ἐκ Δαμασκοῦ τάδε φησὶν Ἰωάννης· "1ὥσπερ ὁ ἥλιος εἷς μέν ἐστιν, ἔχει δὲ οὐσίας δύο, τοῦ τε φωτὸς, ὃ γεγένηται πρότερον, καὶ τοῦ τῇ κτίσει ἐφυστερίζοντος σώματος· δι' ὅλου τε τοῦ σώματος τὸ φῶς ἀδιαιρέτως ἥνωται, καὶ τοῦ σώματος ἐφ' ἑαυτοῦ μένοντος, πάσης τῆς γῆς ἐφαπλοῦται τοῖς πέρασιν· οὕτω καὶ ὁ Χριστὸς, φῶς ἐκ φωτὸς ἄναρχον ὂν καὶ ἀπρόσιτον, ἐν τῷ χρονικῷ καὶ κτιστῷ γενόμενος σώματι, εἷς ἐστι δικαιοσύνης ἥλιος."2 ὁρᾷς πῶς ἑνὸς ὀνόματος δύο φησὶ τὰς ὑποκειμένας οὐσίας ὑπάρχειν, τὴν μὲν σῶμα, τὴν δ' ἀσώματον, ὥσπερ δὴ καὶ τὸν δικαιοσύνης ἥλιον Χριστόν· εἰκονίζων μὲν ἐκεῖθεν, ὅσον ἐφικτόν· ὀνομάζων δ' ἀνὰ μέρος ἑκάτερά τ' ἐκεῖνα καὶ τοῦτον, ἥλιον, κατὰ τοὺς τῆς ὁμωνυμίας τρόπους· καὶ δεικνὺς διπλᾶς καὶ τὰς οὐσίας εἶναι 2.1063 κἀνταῦθα κἀκεῖ, καὶ οὐ τὸ μὲν οὐσίαν, τὸ δ' οὔ· οὐδὲ τὸ μὲν ἀνυπόστατον ἐνέργειαν, τὸ δ' ὑφιστάμενον μὲν, ἀνενέργητον δὲ καθ' ἑαυτὸ, διϊσταμένης ἰδίᾳ τῆς ἐνεργείας ἀπείροις τοῖς τοπικοῖς διαστήμασιν. Ὅρα δὴ καὶ τὸν μέγαν ἐν θεολογίᾳ Γρηγόριον, φάσκοντα, ὡς "1τοῖς μὲν ἀϊδίοις αὐτός ἐστι φῶς ὁ θεὸς, καὶ οὐκ ἄλλος. Τί γὰρ ἔδει φωτὸς δευτέρου τοῖς τὸ μέγιστον ἔχουσι· τοῖς κάτω δὲ καὶ περὶ ἡμᾶς πρώτην ἐκλάμπει τὴν τοῦ φωτὸς τούτου δύναμιν. καὶ γὰρ ἔπρεπε τῷ μεγάλῳ φωτὶ τῆς δημιουργίας ἐκ φωτὸς ἄρξασθαι, ᾧ λύει τὸ σκότος καὶ τὴν ἐπέχουσαν τέως ἀκοσμίαν καὶ ἀταξίαν· καὶ τοῦτο οὐκ ὀργανικὸν ἀπ' ἀρχῆς ἀναδείξας, οὐδ' ἡλιακὸν, ὡς ὁ ἐμὸς λόγος, ἀλλ' ἀσώματον καὶ ἀνήλιον· ἔπειτα δὲ καὶ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἡλίῳ δοθὲν, καταφωτίζειν πᾶσαν τὴν οἰκουμένην. ἐπειδὴ γὰρ τοῖς ἄλλοις τὴν ὕλην προϋποστήσας εἰδοποίησεν ὕστερον, ἑκάστῳ τάξιν καὶ σχῆμα καὶ μέγεθος περιθεὶς, ἵνα θαυματουργήσῃ τι μεῖζον, ἐνταῦθα τῆς ὕλης τὸ εἶδος προϋστήσατο. εἶδος γὰρ ἡλίου τὸ φῶς. μετὰ δὲ τοῦτο τὴν ὕλην ἐπάγει, τὸν ὀφθαλμὸν τῆς ἡμέρας δημιουργήσας τοῦτον τὸν ἥλιον."2 ἰδοὺ καὶ οὗτος ἕτερον φάσκει τὸ φῶς τοῦ ἡλίου, καὶ πρὸ τοῦ ἡλιακοῦ μὲν σκεύους καθ' ἑαυτὸ ὑφιστάμενον, ἔπειτα δὲ καὶ ἡλίῳ δοθέν· ἥλιον μὲν ὀνομάζων τὸ σκεῦος, τὸ δὲ φῶς εἶδος αὐθυπόστατον τοῦ ἡλίου, εἴτ' οὖν οὐσίαν ἀσώματον καὶ 2.1064 ψυχὴν ἐκείνου τοῦ σώματος. οὐ γὰρ ἂν ἐνήργει καθ' ἑαυτὸ, μὴ ὂν αὐθυπόστατον· οὐδ' ἂν αὐθυπόστατον ἦν, μὴ ὂν οὐσία. ὡς γὰρ πᾶσαν οὐσίαν αὐθυπόστατον εἶναι ὁρίζονται πρᾶγμα, οὕτω δὴ καὶ ἅπαν αὐθυπόστατον πρᾶγμα, οὐσίαν. ἐπεὶ οὖν τὸ εἶδος ἐνταυθοῖ τοῦ ἡλίου, εἴτ' οὖν τὸ φῶς, ὁ ἅγιος καὶ πρὸ τῆς ὕλης (δηλαδὴ τοῦ σκεύους) δείκνυσιν ἔχειν ἔνεργον τὴν φωτιστικὴν ὑπόστασιν καὶ ὕπαρξιν οἴκοθεν, μηδαμῇ τῆς ὕλης ταύτης δεηθὲν, τὴν δ' ὕλην μᾶλλον τοῦ φωτιστικοῦ δεηθεῖσαν εἴδους, ἵν', ὡς εἰπεῖν, οὐσιωθῇ ψυχωθεῖσα· μᾶλλον ἂν εἴη τουτὶ τὸ φωτιστικὸν εἶδος ἡ οὐσία, ἢ τὸ ἡλιακὸν σκεῦος ἐκεῖνο, ὃ ὕλην εἶναί φησιν, οἷον ἀνείδεόν τε καὶ ἀνυπόστατον. εἶναι τοίνυν διὰ ταῦτα δεῖ καὶ τὸ θεῖον οὐσίαν αὐθυπόστατον καὶ ἀνενδεᾶ παντάπασι. τὸ γὰρ ἄλλου δεόμενον ὕστερον εἶναι πέφυκεν οὗ δεῖται, κἀκείνῳ δουλεύειν ἐξ ἀνάγκης, οὗ ἐστιν ἐνδεές. καὶ δεήσεται λοιπὸν θατέρου θάτερον. τῇ δὲ κυρίως ἀρχῇ γνήσιον τὸ ἀνενδεὲς, καὶ κυρίως εἶναι ἀνάγκη, καὶ πρότερον τοῦ ἐνδεοῦς. δεῖ γὰρ τὴν ἀρχὴν αὐτὸ τοῦτο εἶναι μόνον, ἀρχὴν, καὶ μὴ δεῖσθαι μηδενός. Φησὶ γὰρ καὶ ὁ θεῖος Μάξιμος· "1μόνη ἁπλῆ καὶ μονοειδὴς καὶ ἀνενδεὴς καὶ ἄτρεπτος ἡ δημιουργικὴ τῶν ὅλων οὐσία τῆς ἁγίας Τριάδος. πᾶσα δὲ κτίσις σύνθετός ἐστιν ἐξ οὐσίας καὶ συμβεβηκότος καὶ ἐπιδεὴς ἀεὶ τῆς θείας προνοίας, ὡς οὐκ ἐλευ 2.1065 θέρα τροπῆς. χρὴ οὖν μήτε συμβεβηκὸς ἐπὶ θεοῦ λέγειν, μήτε ποιότητα. τῶν γὰρ συνθέτων ταῦτα, πάντα δ' ὅσα ἔχει θεὸς, φύσει ἔχει καὶ οὐκ ἐπίκτητα."2 εἴτ' οὖν οὐσίαν εἴποιμεν τὴν ἐνέργειαν ταύτην ἐπὶ θεοῦ, τῆς οὐσίας ἐκείνης διάφορον, εἴτε ποιότητα συμβεβηκυῖαν οὐσιωδῶς κατὰ σὲ, τὸ σφαλερὸν ἀνίατον. οὔτε γὰρ δύο οὐσίας δύναταί τις τῶν εὐσεβῶν θεϊκὰς ὀνομάσαι, καὶ δύο ποιητικὰς ἀρχὰς (ὡς ἄνω που δεδειχότες ἔφθημεν ἐν πολλαῖς διδασκάλων ἁγίαις γραφαῖς) οὔτε τῆς θείας οὐσίας ἐκείνης ποιότης ποτὲ νοηθῆναι δύναται διάφορος, ἢ καὶ οὐσιώδης. τὸ γὰρ οὐσιῶδες, μέρος οὐσίας φασὶν οἵ τε τῆς ἐκκλησίας σοφοὶ διδάσκαλοι, ὡς ἀνωτέρω δέδεικται, καὶ οἱ θύραθεν τῆς ἐπιστήμης τῶν λόγων εὑρεταὶ καὶ κανόνες καὶ στάθμαι. οὗ γὰρ ἀφαιρεθέντος κολοβοῦται τὸ ὅλον, μέρος ἀνάγκη τοῦτ' εἶναι τοῦ ὅλου. εἰ οὖν ἡ ἐνέργεια αὐτὴ μέρος ἐστὶ τῆς οὐσίας κατὰ σὲ, ὡς οὐσιώδης, εἰπὲ πῶς ἄλλο παρὰ τὴν οὐσίαν, ἢ πῶς μέρος τοῦ ἀμεροῦς; εἰ δὲ ποιότης διάφορος, πῶς χωρὶς ὑποκειμένου δύναται νοηθῆναι ἢ φανῆναι; οὐδὲ γὰρ ἄνευ ὑποκειμένου σχοίη ποτ' ἂν ὕπαρξιν· τὸ δὲ μὴ ὑπάρχον πῶς θεός; ὁρᾷς πῶς διὰ τῆς ἐνεργείας ταύτης εἰς ἀθεΐαν ὁ Παλαμᾶς ἐλαύνει τοὺς νῦν ἀμαθεῖς τῆς ἐκκλησίας προστάτας; Ἔπειτα πῶς διάφορον; "1οὐδὲν γὰρ,"2 φησὶ, "1τῶν εἶναι λεγομένων τὸ σύνολον ἔχει τὸ κυρίως εἶναι. οὐκοῦν οὐδὲν τῷ θεῷ τὸ παράπαν ἐξ ἀϊδίου συνθεωρεῖται 2.1066 κατ' οὐσίαν διάφορον, οὐκ αἰὼν, οὐ χρόνος, οὐδέ τι τῶν τούτοις ἐνδιαιτωμένων. οὐ γὰρ συμβαίνουσιν ἀλλήλοις ποτὲ τὸ κυρίως εἶναι καὶ οὐ κυρίως."2 καὶ πάλιν· "1ἐπὶ θεοῦ τὸ ὢν καὶ τὸ ἀγαθὸς καὶ τὸ θεὸς καὶ τὸ δημιουργὸς καὶ τὸ ὑπερούσιος καὶ τὸ ἄπειρος καὶ τὸ ἀθάνατος καὶ τὰ τοιαῦτα οὐ λέγομεν οὐσιώδεις διαφορὰς, ἵνα μὴ σύνθετον αὐτὸν ἐκ τούτων δογματίσωμεν, ἀλλὰ προσηγορίας τινῶν μὲν ἐμφατικὰς τῶν θεωρουμένων περὶ αὐτὸν, οὐδενὸς δὲ τῶν κατὰ τὴν οὐσίαν αὐτοῦ καὶ φύσιν δηλωτικάς. τινὰ μὲν γὰρ πρέποντα τῇ θείᾳ φύσει σημαίνουσιν, οὐκ αὐτὴν δὲ τὴν φύσιν μηνύουσιν, ὅπερ ἴδιον τῶν οὐσιωδέων καὶ συστατικῶν διαφορῶν."2 καὶ πάλιν· "1πᾶσα οὐσία, τὸν ἴδιον ὅρον ἑαυτῇ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

συνεισάγουσα, τουτέστιν ὁριζομένη, ἀρχὴ πέφυκεν εἶναι τῆς ἐπιθεωρουμένης αὐτῇ κατὰ δύναμιν κινήσεως, πᾶσα δὲ οὐσιώδης πρὸς ἐνέργειαν κίνησις μεσότης ἐστὶ μετεπινοουμένη μὲν τῆς οὐσίας, προεπινοουμένη δὲ τῆς ἐνεργείας. καὶ πᾶσα ἐνέργεια, τῷ καθ' ἑαυτὴν λόγῳ φυσικῶς περιγραφομένη, τέλος ἐστὶ τῆς πρὸ αὐτῆς κατ' ἐπίνοιαν θεωρουμένης οὐσιώδους κινήσεως. ὁ δὲ θεὸς οὔτε ἀρχή ἐστιν, οὔτε μεσότης, οὔτε τέλος. ταῦτα γὰρ τῶν χρόνῳ διαιρετῶν εἰσι γνωρίσματα· εἴποι δ' ἄν τις, ὅτι καὶ τῶν αἰῶνι συνορωμένων. ὁ γὰρ χρόνος, μετρουμένην ἔχων τὴν κίνη
2.1067 σιν, ἀριθμῷ περιγράφεται· ὁ δὲ αἰὼν, συνεπινοουμένην ἔχων τῇ ὑπάρξει τὴν πότε κατηγορίαν, πάσχει διάστασιν, ὡς ἀρχὴν τοῦ εἶναι λαβών. εἰ δὲ χρόνος καὶ αἰὼν οὐκ ἄναρχα, πολλῷ μᾶλλον τὰ ἐν τούτοις περιεχόμενα. ὁ θεὸς τοίνυν, οὔτε οὐσία ὢν, ἵνα μὴ ἀρχὴ νομισθείη· οὔτε δύναμις, ἵνα μὴ μεσότης· οὔτε ἐνέργεια, ἵνα μὴ τέλος· ἔστιν οὐσιοποιὸς καὶ ὑπερούσιος ὀντότης, καὶ δυναμοποιὸς καὶ ὑπερδύναμος πανσθένεια, καὶ πάσης ἐνεργείας δραστικὴ καὶ ἀτελεύτητος ἕξις καὶ, συντόμως εἰπεῖν, πάσης οὐσίας καὶ δυνάμεως καὶ ἐνεργείας ἀρχῆς τε καὶ μεσότητος καὶ τέλους ποιητική."2 ὁρᾷς ὅπως οὔτε κατ' οὐσίαν διάφορον, οὔτε καθ' οἷον δή τινα τρόπον, ποιότητα συγχωροῦσιν οἱ θεῖοι πατέρες ἐπὶ τῆς θείας δογματίζειν ἐκείνης οὐσίας; "1ὥσπερ γὰρ ἡ μονὰς οὐκ ἂν,"2 φησὶ, "1τμηθείη εἰς μονάδας δύο (ἡ γὰρ εἰς ταῦτα διαιρουμένη οὐκ ἂν εἴη μονὰς, ἀλλὰ δυάς), οὕτω ἡ ἑνὰς, κατὰ τὴν ἄκραν ἕνωσιν, οὐκ ἂν εἰς δύο διαιρεθείη φύσεις. οὐ γὰρ ἁπλοῦς ἔσται, φησὶν, ὁ τῶν ὅλων θεὸς ἔτι τὴν φύσιν, εἴπερ ἐστὶν ἑτέρα παρ' αὐτὸν ἡ ἐν αὐτῷ ζωή. εἴη δ' ἂν καὶ μείζων αὐτοῦ, καὶ ἐν ἀμείνοσιν ἀσυγκρίτως, ὁ ὡς οὐκ ἔχοντι δοὺς τὴν ζωὴν, εἴπερ ὅλως ἁλοίη λαβών."2 Ἀλλ' ὁ ὑμέτερος διδάσκαλος Παλαμᾶς (δεῖ γὰρ ἐκείνῳ περιγράφειν τὰς τῶν τοιούτων αἰτίας κακῶν, οὐ μόνοις ὑμῖν ἐκείνῳ μαθητευθεῖσιν ἐγκαλεῖν) οὐ μεθ' 2.1068 ὑποστολῆς τινος, οὐδ' αἰνιγματωδῶς πως, ἀλλ' ἀναιδῶς καὶ διαῤῥήδην, κυρίως θεότητας δογματίζει τὴν ἐνέργειαν, καὶ ἅμα ζωὴν καὶ σοφίαν καὶ βούλησιν καὶ φρόνησιν καὶ ἰσχὺν, καὶ τὰ τοιαῦτα, καὶ ἀσυγκρίτως ἀμείνω τῆς οὐσίας ἕκαστα, διάφορά τε ὄντα τῆς οὐσίας καὶ ἀλλήλων. περὶ ὧν καὶ ὁ θεῖος ἔφθη προειρηκὼς Ἀθανάσιος· "1ὡς οἱ ἀσεβεῖς οὐ θέλουσι λόγον καὶ σοφίαν καὶ βουλὴν ζῶσαν εἶναι τὸν υἱὸν, περὶ δὲ τὸν θεὸν φρόνησιν καὶ βούλησιν καὶ σοφίαν, ὡς ἕξιν συμβαίνουσαν καὶ ἀποσυμβαίνουσαν."2 καὶ αὖθις ὁ μέγας ἔφησε Μάξιμος· "1μὴ ἕξεις καὶ ἐπιτηδειότητας ζητήσῃς ἐπὶ τῆς ἁπλῆς καὶ ἀπείρου οὐσίας τῆς ἁγίας τριάδος, ἵνα μὴ σύνθετον αὐτὴν δογματίσῃς, ὥσπερ τὰ κτίσματα. πάντα γὰρ ὅσα ἔχει ὁ θεὸς, φύσει ἔχει καὶ οὐκ ἐπίκτητα."2 καὶ πάλιν· "1ὁ θεὸς οὐ ποιοτήτων, ἀλλ' οὐσιῶν πεποιωμένων, ἐστὶ δημιουργός."2 ὁρᾷς ὡς ἕξεις καὶ διαθέσεις καὶ ποιότητας πάσας ἀλλοτριοῦσι παντάπασι τῆς θείας οὐσίας, διὰ τὸ μὴ εἶναι καθ' ἑαυτὴν οὐδεμίαν συνθέσεως ἄνευ. ἀλλ' ὁ σὸς Παλαμᾶς οὐ βούλεται τοῦτο, οὐδὲ δύναται γινώσκειν, ὡς τὰ ἑκτὰ πάντα καὶ αἱ ἕξεις αὐταὶ ληπταὶ τοῖς ἔχουσι ποιήμασίν εἰσι, δεκτικοῖς οὖσι τῶν ἔξωθεν ἐπιγινομένων. καὶ εἰ μὴ λάβοι τις, οὐδ' ἕξει. "1τί γὰρ ἔχεις,"2 φησὶν, "1ὃ οὐκ ἔλαβες;"2 ὥσθ' ὃ ἔχει τις, ἀλλότριόν τέ ἐστι καὶ ἐπείσακτον· ὥσπερ καὶ τὰ ἔξωθεν οὑτωσί πως ἐπεισιόντα ταῦ 2.1069 τα νοήματα τύποι γίνονται καὶ αὐτὰ καὶ παθήματα ταῖς ὑποκειμέναις ψυχαῖς, παθηταῖς οὔσαις φύσει. ἐπὶ θεοῦ δὲ τὸ ἔχειν τὰ πρὸς ἡμᾶς ὀνομαζόμενα τίμιά τε καὶ ἀγαθὰ, καταχρηστικῶς λέγεται, οὐ κυρίως. ἀπαθὴς γάρ. ἢ λεγέτω μοί τις παρελθών· πόθεν καὶ παρὰ τίνος ἔχει λαβὼν πρεσβυτέρου καὶ μείζονος, ἢ τελειοτέρου; ἦν μὲν γὰρ αὐτὸς ἀεὶ φύσει πάντα τἀγαθά· παρωνόμασται δ' αὐτὰ πρὸς τῶν ἀνθρώπων ὕστερον, ἀφ' οὗ πρὸς ἔννοιαν τῶν ἐνταῦθα καλῶν καὶ τιμίων ἐληλύθεσαν, καὶ διαιρεῖν ἐκ τῆς χείρονος ἔγνωσαν μοίρας. καὶ οὐρανὸς γὰρ, σφαιρικός τε καὶ ἀεικίνητος καὶ πρὶν ἀνθρώπους εἶναι ὑπάρχων, ὅμως ἔγνωσται καὶ προσωνόμασται πρὸς ἀνθρώπων ὕστερον, ἃ πρότερον αὐτὸς ἦν. "1οἰκτίρμων γὰρ,"2 φησὶ, "1καὶ ἐλεήμων ὁ κύριος, μακρόθυμος καὶ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

πολυέλεος."2 τί τοίνυν; ταῦτα λέγουσιν ἐνεργείας ἔχειν τὴν σημασίαν, ἢ φύσεως; οὐκ ἄν τις ἄλλο τι παρὰ τὴν ἐνέργειαν εἴποι. πότε τοίνυν ἐνεργήσας τοὺς οἰκτιρμοὺς ὁ θεὸς καὶ τὸν ἔλεον ἔσχεν ἐκ τῆς ἐνεργείας τοὔνομα; ἆρα πρὸ τῆς ἀνθρωπίνης ζωῆς; καὶ τίς ὁ τοῦ ἐλέους δεόμενος; ἀλλὰ μετὰ τὴν ἁμαρτίαν πάντως· ἡ δ' ἁμαρτία μετὰ τὸν ἄνθρωπον. οὐκοῦν μετὰ τὸν ἄνθρωπον καὶ ἡ τοῦ ἐλεεῖν ἐνέργεια καὶ τοῦ ἐλέου τὸ ὄνομα. Καὶ ὁμοίως ὁ μέγας φησὶν Ἀθανάσιος· "1οὐχ αἱ λέξεις τὴν φύσιν παραιροῦνται· ἀλλὰ μᾶλλον ἡ φύσις τὰς λέξεις εἰς ἑαυτὴν ἕλ 2.1070 κουσα μεταβάλλει. καὶ γὰρ οὐ πρότεραι τῶν οὐσιῶν αἱ λέξεις· ἀλλ' αἱ οὐσίαι πρῶτον, καὶ δεύτεραι τούτων αἱ λέξεις. ὁ γὰρ θεὸς, ἁπλοῦς ὢν καὶ ἀσύνθετος φύσει, ἁπλῶς καὶ μονοειδῶς τὰ φύσει πάντα πέφυκεν εἶναι καλὰ ὑπὲρ νοῦν καὶ λόγον ἀνθρώπινον. τὰ δ' ἐν κόσμῳ καλὰ θέσει καὶ οὐ κυρίως εἰσὶ, καὶ εἰκόνες ἀμυδραὶ τῶν ἐκείνου καλῶν. ἡμεῖς δ' ὑστερογενεῖς ὄντες ὑστερογενῆ καὶ τὰ ἀγαθὰ διδασκόμεθα ὄντα διὰ τῆς πείρας· κἀντεῦθεν καὶ πρὸς θεὸν τὰ τοιαῦτα ἀνάγοντες ἐκ πάντων αὐτὸν παρονομάζομεν, ἅ ἐστιν αὐτὸς φύσει καὶ οὐχ ὡς ἐξ αὐτῶν ὁμοίως ἡμῖν συγκείμενος. ὀνόματα γάρ εἰσι ταῦτα καὶ νοήματα τῶν ἡμετέρων ψυχικῶν ὠδίνων, ὅσαι πολυπραγμονεῖν τολμῶσι θεὸν, ἐν προθύροις αὐλιζομένων τοῦ ἀδύτου, καὶ οὐδὲν μὲν τῶν ἐκείνου ἐξαγγέλλειν ἐχουσῶν, τὰ δ' οἰκεῖα πάθη περὶ αὐτὸν καὶ τὰς ἀπορίας τε καὶ διαπτώσεις μηνυουσῶν ἑαυτῶν, οὐδὲ σαφῶς, ἀλλὰ δι' ἐνδείξεων καὶ ταῦτα, καὶ τοῖς ἐπαΐειν καὶ τούτων δυναμένοις. ἀλλ' ὁ ὑμέτερος διδάσκαλος Παλαμᾶς πάντα τὰ θεοπρεπῆ ὀνόματά τε καὶ νοήματα θεότητας ἀκτίστους νομίζει, διῃρημένας ἀλλήλων καὶ ἀτελεῖς καθ' ἑαυτὰς, αἷς συνάπτει καὶ τὴν κρίσιν τοῦ θεοῦ καὶ τὴν αἰδεσιμότητα αὐτοῦ, καὶ μυρίας καὶ ὅσας δείξομεν, εἰς μέσον προαγαγόντες αὐτὰς τὰς ῥήσεις αὐτοῦ (καθὰ καὶ ἀνωτέρω που πεποιήκαμεν ὀλιγάκις τε καὶ μετρίως) 2.1071 μὴ συνιεὶς τῶν ἁγίων λεγόντων· "1πιστεύομεν εἰς ἕνα θεὸν, μίαν ἀρχὴν ἄναρχον, ἄκτιστον, καὶ τὰ ἑξῆς, μίαν ἐξουσίαν, μίαν κυριότητα, μίαν βασιλείαν, ἐν τρισὶ τελείαις ὑποστάσεσι γνωριζομένην τε καὶ προσκυνουμένην μιᾷ προσκυνήσει."2 ἰδοὺ γὰρ τὰς πολλὰς ὑφ' ἡμῶν ἀναγομένας τῷ θεῷ προσωνυμίας ὁ πολὺς Ἰωάννης ἑνὶ συνέκλεισε καὶ μοναδικῷ συμπεράσματι. εἰ γὰρ ταὐτὸν κατά τι φύσει καὶ ἄκτιστον ἔχει τὸ πλῆθος τῶν Παλαμικῶν ἀκτίστων θεοτήτων, οὐ πλῆθος ἂν εἴη τὸ πλῆθος, ἀλλὰ μονάς· καὶ λέληθεν ἆρα ταὐτὸν τῇ οὐσίᾳ φάσκων αὐτὰς, καὶ μὴ νοῶν ὑγιῶς ἅ φησιν ὑγιῶς. τὸ γὰρ ταὐτὸν, οὐχ ἕτερον, οὐδὲ πλῆθος τῇ φύσει τε καὶ οὐσίᾳ. εἰ δὲ χάριτι, καθάπερ καὶ τοὺς ἀνθρώπους νομοθετεῖ, λέληθεν ἆρα ταὐτὸν τοῖς ἀνθρώποις φάσκων τὸ πλῆθος τῶν ἀκτίστων τούτων θεοτήτων· καὶ γίνεταί οἱ τὸ ἄκτιστον οὐκ ἄκτιστον, ἀλλὰ κτιστόν. ἑνίζονται γὰρ τὰ πολλὰ τῷ ταὐτῷ τῆς ὑπάρξεως, φύσιν ἐχόντων ἀλλήλοις τῶν μὴ ἑτέρων ἀεὶ συνεῖναι κατὰ τὸ συμφυὲς καὶ ὁμότιμον, μὴ παρούσης τῆς ἑτερότητος. πῶς γὰρ ἂν μιγείη τὰ ἐκ διαμέτρου κληρωσάμενα τὴν ἀντίθεσιν, καὶ ἀεὶ μαχόμενα κατ' αὐτό γε τουτὶ τὸ τῆς ἑτερότητος μέρος; οὐ γὰρ ἂν φθάνει θάτερον θατέρῳ, θᾶττον λόγου παντὸς, λαμπρὸν τὸν τοῦ θανάτου κιρνῶν κρατῆρα. ὁ γοῦν παρὰ τὴν θείαν οὐσίαν ἄλλας νομοθετῶν ἀκτίστους θεότη 2.1072 τας καὶ ἐνεργείας τὸ ἑνιαῖον διέφθαρκε τῆς τοῦ πάντων δημιουργοῦ θεότητος· μηδὲ γὰρ εἶναι τῶν δυναμένων, εἰς ταὐτότητα φυσικὴν τὴν ἑτερότητα συνιέναι τῶν θεοτήτων. οὐκ ἄρα θεότης ἄκτιστος, ἑτέρα παρὰ τὴν θείαν καὶ μόνην τρισυπόστατον οὐσίαν, οὔτ' ἔσται, κἂν πάντες διαῤῥαγῶσι φάσκοντες Παλαμῖται· οὐδὲ θεῶν πλῆθος Ἑλληνικόν. ὁ γὰρ τὰ θεῖα πολὺς Ἰωάννης, "1εἰ πολλοὺς,"2 φησὶν, "1ἐροῦμεν θεοὺς, ἀνάγκῃ διαφορὰ ἐν αὐτοῖς. ὁ μὲν κατὰ πάντα τέλειος, οὗτος ἂν εἴη κατὰ πάντα μόνος θεός· πᾶς δὲ ὁ τοῦ τελείου λειπόμενος, ἢ κατὰ ἀγαθότητα, ἢ κατὰ σοφίαν, ἢ κατὰ δύναμιν, ἢ ὅλως κατά τι, οὐκ ἂν εἴη θεός. πῶς δὲ καὶ πολλοῖς οὖσι τὸ ἀπερίγραπτον φυλαχθήσεται; ἔνθα γὰρ ἂν εἴη ὁ εἷς, οὐκ ἂν εἴη ὁ ἕτερος. δεῖ δὲ τὸν θεὸν ἀπερίγραπτον εἶναι καὶ πάντα πληροῦντα."2



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

σκεπτέον οὖν κἀντεῦθεν, ὅπως ἑνὸς θεοῦ παντάπασιν ἀναίσθητος καὶ πάσης ἀσύνετος θείας γραφῆς ὁ Παλαμᾶς ἐμεμενήκει διηνεκῶς, διάφορον οὐσίαν καὶ ἐνέργειαν ἐς τοὐμφανὲς δογματίζων, καὶ μὴ μόνον μίαν δεικνὺς ἑτερότητα, ἀλλὰ καὶ ἀπείρους· καὶ μὴ μόνον ἀπείρους, ἀλλὰ καὶ ἀκτίστους· καὶ μὴ μόνον ἀκτίστους, ἀλλὰ καὶ μείζους καὶ ἐλάττους. ὁ δὲ μείζους καὶ ἐλάττους δογματίζων ἀκτίστους θεότητας πάντως διάστημά τι νοεῖ μεταξύ. τοῦτο δ' ἄπειρον ὁ τῆς μεσότητος εἶναι οὐ δίδωσι λόγος· μηδὲ γὰρ πε 2.1073 φυκέναι τὴν ἀπειρίαν βαθμοῖς καὶ μέτροις τισὶ διακόπτεσθαι. πῶς γὰρ ἂν (φησὶν ὁ θεῖος Γρηγόριος) μετρηθείη τὸ ἄπειρον, ἵν' ὃ τῶν περατουμένων ἐστὶ, τοῦτο πάθη θεότης, βαθμοῖς μετρουμένη καὶ ὑποβάσεσι;"2 (Ι.) Ἐμὲ δὲ καὶ πλείους μαρτυρίας ἑτέρας ἔχοντα φέρειν ἁγίων, περί γε τοῦ μήτε ἐνέργειαν, μήτε τινὰ ποιότητα, μήτε τι τῶν πάντων ἐξ ἀϊδίου συνεῖναι διάφορον δύνασθαι τῇ θείᾳ οὐσίᾳ, καὶ ἅμα τοῖς τῷ Καβασίλᾳ προτεθεῖσι κενοφωνήμασιν ἐπιφέρειν τὰς τῶν ἁγίων ἀντιλογίας βουλόμενον, ἐπέσχεν ἐπαγγειλάμενος τὴν ἐκείνων ἀντίῤῥησιν μάλα ἀσμένως ἀκούσεσθαι μετ' ὀλίγον. αὐτὸς δ' ἐν σπουδῇ μεγίστῃ πεποίηται, πρότερον παρεισενεγκεῖν τὴν συνήθη καὶ κοινὴν καταφυγὴν αὐτῶν ἐν οὐ καιρῷ, τὸ ἐν Θαβωρίῳ λέγω φῶς, ἐνέργειαν ἄκτιστον καὶ θεότητα πρὸς τῶν ἁγίων ὀνομαζόμενον. "1φῶς γὰρ,"2 ἔλεγεν, "1ἡ παραδειχθεῖσα θεότης, φησὶν ὁ θεῖος Γρηγόριος, ἐπὶ τοῦ ὄρους. καὶ ὁ Μελῳδὸς αὖθις τὰς τοιαύτας ἐνεργείας βολίδας γράφει θεότητος. ἀκτίστου γοῦν οὔσης τῆς θείας οὐσίας, ἄκτιστοι καὶ αἱ βολίδες ἐκεῖναι, παρὰ τὴν οὐσίαν ἄλλο τι οὖσαι. τὸ γὰρ ἄλλο παρὰ τὴν οὐσίαν οὐκ ἐκείνη, ἀλλ' ἐκείνης. εἰ γὰρ ταὐτὸν ἦν, μεθεκτὴ ἂν ἦν καὶ οὐσία ὁμοῦ ταῖς ἐνεργείαις, καὶ διαφορά τις οὐκ ἄν ποτ' ἦν οὐδεμία· τοῦτο δ' ἀδύνατον. ἀμέθεκτος γὰρ τοῖς κτίσμασιν ἅπασι πέφυκεν ἡ οὐσία· καὶ δαιμόνων εὕρημα 2.1074 σκοτεινῶν, ἄλλως λέγειν τε καὶ πιστεύειν τοῖς λέγουσι. διὰ γὰρ τοῦτο καὶ τὴν οὐσίαν τῆς ἐνεργείας διάφορον εἶναί φαμεν, ἐκποδὼν γινομένης ἁπάσης ταὐτότητος."2 Καὶ ἅμα παρεισῆγεν ἔνια τῶν Παλαμικῶν δογμάτων ἀπὸ γλώττης καὶ μνήμης, σποράδην μέν· παρῆγε δ' οὖν, ὁλόκληρον τὴν διάνοιαν σώζοντα καὶ ὡς ἔχουσιν ἐπὶ λέξεως ἀκριβῶς. "1κοινὸν γὰρ,"2 φησὶ, "1δόγμα τῶν ἔξωθεν καὶ τῶν καθ' ἡμᾶς φιλοσόφων, ἐπὶ ἁπλῆς καὶ ἀσωμάτου φύσεως τὸν αὐτὸν ἐπιδέχεσθαι λόγον τὴν ἐνέργειαν τῇ οὐσίᾳ. τὰ δὲ τὸν αὐτὸν λόγον ἐπιδεχόμενα δύο ἐστὶ, καὶ οὐχ ἕν. καὶ εἰ δύο, πῶς χωρὶς ἡστινοσοῦν πρὸς ἄλληλα διαφορᾶς; ἆρ' οὖν οὐ διενήνοχε τὸ θεᾶσθαι τοῦ θεοποιοῦν; ἢ καὶ θεοποιεῖ πάνθ' ὅσα θεᾶται θεός; ἐπεὶ δὲ διενήνοχε, μή τι τούτων ἐστὶ κτιστόν;"2 εἶτα ἐπανελάμβανε καθ' ἕκαστα τὸ προγνωστικὸν, τὸ δημιουργὸν, τὴν πρὸς τὸ ἐνεργεῖν ἑτοιμότητα, καὶ τἄλλα. "1ὡς γὰρ ὁ νοῦς,"2 φησὶ, "1τὰς ἐπιστήμας προσλαμβάνων σύνθετος οὐ γίνεται, τὸν αὐτὸν τρόπον, καὶ πολλῷ μᾶλλον, τὸ προγνωστικὸν καὶ πάσας ἁπλῶς τὰς τοιαύτας δυνάμεις τε καὶ ἐνεργείας φυσικῶς ἡ θεία φύσις ἔχουσα σύνθετος οὐκ ἔστι."2 καὶ λέγειν φανερῶς τοὺς ἁγίους ἔφασκε μὲν, οὐ παρήγαγε δ' οὔτ' εἰς ὄψιν οὔτ' εἰς ἀκοὴν γραφικὰς οὐδενὸς μαρτυρίας. καὶ πάλιν· "1ὡς γὰρ ἐκ θεοῦ πατρὸς θεὸς ὢν καὶ ὁ υἱὸς, οὐκ ἄλλος μὲν καθὸ θεὸς ἄκτιστός ἐστιν, ἄλλος δὲ καθὸ υἱός· καὶ καθὸ μὲν ἄκτιστος θεὸς, ἴσος κατὰ πάντα τῷ πατρί· 2.1075 καθὸ δὲ υἱὸς, μείζονα ὡς αἴτιον ἔχων τὸν πατέρα, δεύτερος ὑπάρχει τοῦ πατρὸς, οὐ δεύτερος θεὸς, ἄπαγε, ἀλλὰ δεύτερος τῇ τάξει· καθάπερ ὁ μέγας φησὶ Βασίλειος· οὕτω καὶ ἐκ θεότητος ἀκτίστου τῆς οὐσίας θεότης ἄκτιστος ἡ ἐνέργεια· οὐκ ἄλλη μὲν, καθὸ θεότης ἄκτιστος· ἄλλη δὲ κατ' ἐνέργειαν· τῷ μὲν ἀκτίστῳ, τῆς οὐσίας μηδὲν διαφέρουσα, μηδὲ διαιρουμένη ὅλως· ὡς δ' αἰτίαν ἑαυτῆς ὑπερκειμένην ἔχουσα. εἶεν."2 (ΙΑ.) Πρὸς δὲ ταῦτα παρελθὼν ἔγωγε, "1ὡς ἡδὺς εἶ, ὦ λῷστε,"2 ἔφασκον, "1καὶ νῦν μᾶλλον εἴπερ ποτὲ, καὶ σὺ μᾶλλον εἴπερ τις ἁπάντων, ἔμοιγε τήμερον καὶ πολλῷ μᾶλλον ἡδίων, ἢ εἴ μοι τὰ Λυδῶν καὶ Μήδων παρεῖχες χρήματα. πάρεργον γὰρ ὂν τὸ συμπεπτωκὸς, ὅμως, εἰ μή τῳ δὴ τῶν πάντων ἄλλῳ,


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

καὶ τοῦτο δὲ τῶν πάνυ τοι καλλίστων ἔμοιγε δοκεῖ. χρόνιον γάρ μοι λέλυκας ζήτημα, βέλτιστε, λίαν ἀπονητί· καὶ τὸ τοῦ πράγματος χαρίεν, ὅτι καὶ μάλα ἄκων μάλα ἑκόντι· καὶ συμβέβηκεν ἀμφοῖν, σὲ μὲν εὐεργέτην ἄκοντα γίνεσθαι, καθ' οὗ τὰ ὅπλα ἐξῆγες· ἐμὲ δ' εὖ πάσχειν ὑπ' ἀνδρῶν πολεμίων, ὧν οὐκ ἄν ποτε προσεδόκησα· ἐμοὶ γὰρ ἔργον ἦν ἔν γε τῷ παρόντι, τά τ' ἄλλα δεῖξαι βεβλασφημηκότας ἔτι καὶ ἅμα παντάπασιν ἀρνουμένους τὴν ἔνσαρκον τοῦ θεοῦ λόγου οἰκονομίαν, ὃ τῶν αἱρέσεων καὶ βλασφημιῶν κορωνὶς ἐπεφύκει. πάντας γὰρ ἐν ταὐτῷ συλλαβὸν προφήτας, ἀποστόλους, μάρτυρας, διδασκάλους, ὁμοῦ ταῖς ἁγίαις συνόδοις ἁπάσαις, περιφανῶς 2.1076 ἐξηπατημένους δείκνυσι τουτί. σὺ δ' οὐκ οἶδ' εἴτ' ἐπίτηδες, ἑτέρου χάριν ὅτου δὴ, εἴτ' ἐκ τοῦ παρήκοντος, οἷα δὴ τὸ αὐτόματον πάμπολλα φέρει μετὰ μυστηρίων τε καὶ λόγων ὑπὲρ λόγον, ὅμως εὐπρεπεστέραν πολλῷ μοι τὴν ἀνθολκὴν ἐπεπράχεις αὐτὸς, ἢ κατὰ πᾶσαν ἀγωγὴν καὶ κατεσπουδασμένην πρόνοιαν ἐμήν. ἃ γὰρ προὔργου παντὸς ἐποιούμην πάλαι πολύν τινα χρόνον ἐπ' αὐτοφώρῳ κατασχεῖν ἐκεῖνον ὁμολογοῦντα δημοσίαις γλώτταις, ἃ λαθραίαις φήμαις ἄλλοτ' ἄλλοτ' ἄλλως καταγγέλλων ἁλίσκεται πανταχῇ, λέγω δὴ τὸ λέγειν αὐτὸν, ὡς πάντες εἰς τὴν αὐτοῦ συμμαχίαν ποταμηδὸν ἀπαντῶσι σοφοὶ, ὅσοι τε τῶν ἡμετέρων καὶ ὅσοι τῶν ἔξωθεν, ταῦτα φέρων προὔθηκας ἡμῖν παῤῥησίᾳ τήμερον, προσδοκίας ἁπάσης ὑπερβαλόμενος· τοῦτο δὲ τὸ τῆς παροιμίας· κατὰ σαυτοῦ Βελλεροφόντης."2 Τρία γὰρ ἦν, οἷς μάλιστα κεχρημένος ἁπάντων αὐτὸς παρακρούεται τοὺς πολλοὺς ἀεί. ἓν μὲν, ὅτι καταφυγὴν ἀεὶ τὸ Θαβώριον ὄρος ποιεῖται, τὴν ἐκεῖθεν θαυματουργηθεῖσαν ἔλλαμψίν τε καὶ θείαν χάριν καπηλεύων καὶ διαβάλλων ἀεὶ, καὶ τοῖς ἀνδροφόνοις ποιῶν παραπλήσια, οἵ γε λόχμας ὑποδυόμενοι τοῖς τῶν παριόντων ἀπερισκέπτως τρυφῶσιν αἵμασιν· ἢ μᾶλλον ὁπόσα κατὰ τὰς μάχας ἡττώμενοι δρῶσιν οἱ βάρβαροι, τοῖς ἡμετέροις ἱεροῖς καὶ τεμένεσι καταφεύγοντες, καὶ ἀντὶ θυρεῶν καὶ τάφρων καταχρώμενοι ταῖς ἁγίαις εἰκόσι. τοῦτο δ', εἴ τις μὴ πάρεργον τοῖς ἀνωτέρω 2.1077 λεχθεῖσιν ἡμῖν ἐντετυχηκὼς εἴη, ἔργον εἰκονομάχων εὑρήσει τὸ σπουδαιότατον· λέγω δὴ τὸ τῇ γε τοῦ σωτῆρος μεταμορφώσει καταφυγῇ κεχρῆσθαι προχείρῳ τῆς ἀτόπου κακίας αὐτοῦ. καὶ πάντα λοιπὸν διεξήλθομεν ἤδη καὶ ἐπ' αὐτῶν ἀποτάδην, ὡς ἀνωτέρω που γέγραπται καθ' ἕκαστα ἡμῖν· καὶ οἷς ἔστι βουλομένοις, ἔξεστιν ἐπιέναι. Δεύτερον δ' αὐτῷ κακουργίας μηχάνημα κατὰ τῶν ἀπειροκάλων, ἢ μᾶλλον κατὰ τῆς ἰδίας ψυχῆς, ἐξεύρηται· κουρέων δίκην, παμπόλλους ἀνὰ πᾶν ἔτος συνάγειν εἰς τὸ κουρεῖον αὐτοῦ, ὁπόσοι πρὸς τὸ ξέειν καὶ τέμνειν πεφύκασιν ἔχοντες εὐφυῶς, καὶ γραμμάτων γράμματα, καὶ φύλλα φύλλων ἀλλάττεσθαι, ἵνα, τῶν ἀντιῤῥήσεων αὐτοῖς προβαλλομένων, ὡς διαβάλλοντας παρὰ φαῦλον ἐκ τοῦ ῥᾷστου ποιῆται τοὺς ἀντιλέγοντας· ὡς ἀπαγορεύειν τοὺς διώκοντας, ὁμοίως τοῖς τοξεύουσιν ἐς ἀνθρώπους ὑπὸ δειλίας φυγομαχοῦντας, καὶ μηδὲ βραχύ τι μόριον ὥρας στῆναι γοῦν ἐφ' ἑνὸς δυναμένους. περὶ δὲ τῶν τοιούτων καὶ ὁμοίως δρώντων αἱρετικῶς καὶ ὁ μέγας διέξεισιν Ἀθανάσιος τοῖς ἐπισκόποις Αἰγύπτου καὶ Λιβύης ἐπιστέλλων. "1κατ' ἐνιαυτὸν γὰρ,"2 φησὶν, "1ὡς οἱ τὰς διαθήκας γράφοντες, συνερχόμενοι καὶ αὐτοὶ, προσποιοῦνται περὶ πίστεως γράφειν. ἵνα κἂν τούτῳ γέλωτα μᾶλλον ὀφλήσωσι καὶ αἰσχύνωνται, ὅτι μὴ παρ' ἑτέρων, ἀλλὰ παρ' αὐτῶν ἐκβάλλεται. εἰ γὰρ ἐθάῤῥουν οἷς ἔγραφον προτέροις, οὐκ ἂν δεύτερα γράφειν ἐζή 2.1078 τουν, οὐδ' αὖ πάλιν ἔγραφον νῦν, ἀφέντες ἅπερ ἔγραψαν· πάντως τοῦτο μελετήσαντες, ὅτι πάλιν ἀλλάξουσιν ἐὰν ὀλίγος παρέλθῃ χρόνος, καὶ πρόφασιν λάβωσι τοῦ συνήθως τισὶν ἐπιβουλεύειν. τότε γὰρ, ὅταν ἐπιβουλεύωσι, μάλιστα προσποιοῦνται περὶ πίστεως γράφειν, ἵν' ὡς Πιλάτος ἐνίψατο τὰς χεῖρας, οὕτω καὶ οὗτοι γράφοντες ἀποκτείνωσι τοὺς εἰς Χριστὸν εὐσεβοῦντας. καὶ ἵν', ὡς περὶ πίστεως ὁρίζοντες, δόξωσιν (ὡς πολλάκις εἶπον) φεύγειν τὸ τῆς ἑτεροδοξίας ἔγκλημα. ἀλλ' οὔτε λαθεῖν οὔτε φυγεῖν δυνήσονται. ἕως γὰρ ἑαυτοῖς ἀπολογοῦνται, ἑαυτῶν ἀεὶ κατήγοροι γίνονται· καὶ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

δικαίως γε. οὐ γὰρ τοῖς ἐλέγχουσιν αὐτοὺς ἀποκρίνονται· ἀλλ' ἑαυτοὺς, ὡς βούλονται, πείθουσι. πότε οὖν, τοῦ ὑπευθύνου κρίνοντος ἑαυτὸν, λύσις γίνεται τοῦ ἐγκλήματος; διὰ τοῦτο γοῦν ἀεὶ γράφουσι, καὶ ἀεὶ τὰ ἴδια μεταποιοῦντες ἄδηλον ἔχουσι τὴν πίστιν, μᾶλλον δὲ φανερὰν ἔχουσι τὴν ἀπιστίαν καὶ τὴν κακοφροσύνην."2 ὁρᾶτε πῶς ὁ μέγας τῆς ἀληθείας ἀγωνιστὴς Ἀθανάσιος σαφέστατα πάνυ παρέστησεν ἡμῖν, ὡς τὰ νῦν πρὸς τοῦ Παλαμᾶ γιγνόμενα τῶν πάλαι γενομένων τῆς κακίας εἰκόνων καὶ ἀρχετύπων μακρὰν ἀποσώζουσι μίμησιν. ἐῶ γὰρ νῦν λέγειν, οὓς ἐπὶ κακοῖς κακοὺς προσέθηκεν Ὀλύμπους οὗτος. διὰ δὴ ταῦτα καὶ χαίρω νῦν, εἴπερ ποτὲ, μᾶλλον ἐγὼ, καὶ ἡδίους μοι νῦν μᾶλλον ὑμεῖς εἴπερ ποτὲ φαίνεσθε, ἄφυκτόν μοι τὸ πάλαι ζητούμενον θήραμα νῦν παραθέντες, ὡς 2.1079 μηκέτι μὴ δεῖσθαι μηδ' ὅλως μήτ' ἐμὲ μαρτύρων· μήτ' ἐκεῖνον ἔχειν ἔτι ἀρνεῖσθαι, μήθ' ἡμᾶς τἀκείνου διὰ μνήμης ἄγοντας, καὶ γινομένους μάρτυρας ἀπαραγράπτους τῶν ἐκείνου βλασφημιῶν· ὡς ἐξεῖναι κἀμὲ τῶν ἐλέγχων ἤδη μὴ πρὸς ἀνέδραστα καὶ ἀστατοῦντα σημεῖα τὴν τοξικὴν μετὰ τῶν βελῶν ἀναλοῦν, μηδὲ τυφλὰ παρέχειν τὰ τραύματα τῷ ἐχθρῷ, ἀλλὰ σαφῆ καὶ ἀναμφισβήτητον ἔχοντα τὴν ἀλήθειαν. Καὶ τρίτον, ὅτι συχνὰ ταῖς τῶν αὐτοῦ λόγων αὔλαξιν ἐντίθησι καὶ διασπείρει, κηρύττων εἶναι πολλοὺς τοὺς αὐτῷ συμφωνοῦντας, ἐπὶ σοφίᾳ καὶ θαυμαζομένους, ὡς εἴρηται, ὅσοι τε τῶν ἡμετέρων καὶ ὅσοι τῶν θύραθεν. ὧν ἑκάστων τοὔνομα ἢ σιγῇ παντελεῖ παραπέμπει, μήθ' ὁποῖοί τινες, μήθ' ἅ φασι, διασαφῶν οὐδέν· ἢ λέγει μὲν ἐνίων ὀνόματα σωρηδόν· ἃ δ' εἰσὶν ἃ λέγουσιν ἐκεῖνοι, καὶ οἷα, τὸ παράπαν οὐδὲν οὔτε προτίθησιν, οὔτ' ἐπιτίθησιν, ὅσα γ' εἰδέναι ἐμέ, ἵνα διὰ μὲν τῶν ὀνομάτων τὰς τῶν ἀκροωμένων ἀναρτῶν καὶ ἀνασοβῶν ἀκοὰς ῥᾷστα καὶ ἀπονητὶ πρὸς τὸ βουλόμενον πειθομένους ἔχῃ (τοῦ γε καινοφωνεῖν δοκεῖν τοῖς πολλοῖς ἀπεωσμένου δῆθεν παντάπασι) διὰ δὲ τῆς τῶν ῥητῶν ἐκείνων σιγῆς διαδιδράσκῃ τὸν ἔλεγχον, ἅτ' ἐκείνοις ἥκιστ' ἀπᾴδοντα λέγων αὐτός. καὶ ποιεῖ διπλοῦν ἀνθ' ἁπλοῦ κακὸν, αὐτός τε βλασφημῶν ἀνέγκλητα καὶ ἅμα κἀκείνους διαβάλλων, καὶ φέρων εἰς μέσον ὁμοίως αὐτῷ βλασφημοῦντας. 2.1080 α΄. Ἀλλ' ἡμεῖς γε οὐκ αὐτὸν μιμησόμεθα, οὐδὲ τὰς τῆς κακίας ζηλώσομεν μηχανὰς, οὔκουν οὐχ ἕως γ' ἂν ἐν τῷ τοῦ φρονεῖν ἡμᾶς καθεστῶτι φυλάττουσαν ἔχωμεν τὴν τοῦ μόνου θεοῦ δεξιάν. τῶν γὰρ ἐναντίων ἀρχῶν ἐναντίας καὶ τὰς ἀποβάσεις εἶναι τῶν εἰκότων παντί που δῆλον. πάσης γὰρ ὢν αὐτὸς ἀσύνετος Μούσης Ἑλληνικῆς καὶ πάσης ἐπιστημονικῆς μαθήσεως (ἧς οἱ μὲν θύραθεν ἔφθησαν παραδόντες σοφοὶ, τῶν τε θείων προστάται δογμάτων τῆς ἐκκλησίας ἐκεῖθεν παρειληφότες τήν τε γλῶτταν ὥπλισαν ἀσφαλῶς καὶ ἅμα κατ' ἐκλογὴν τὸ μὲν ἐξεταστι 2.1081 κόν τε καὶ θεωρητικὸν ἐδέξαντο, ὅσον δ' εἰς δαίμονας φέρει καὶ ἀπωλείας βυθὸν διέπτυσαν, ἐκ τοῦ χείρονος τὸ κρεῖττον καταμαθόντες, καὶ τὴν ἐκείνων ἀσθένειαν ἰσχὺν τοῦ εὐσεβοῦς ποιησάμενοι λόγου) ἀνέδραστον οὗτος ἔσχε λοιπὸν τὴν βάσιν τῆς γλώττης, καὶ ἀπαγεῖς τὰς τοῦ λόγου κρηπῖδας, ἐν ὠμῷ τῷ τόκῳ φάναι τὰς τῆς γαστρὸς ἀναλύσας ὠδῖνας, καὶ τὸ κύημα τῶν πρώτων ἐξαμβλώσας τοῦ λόγου στοιχείων. διὸ καὶ νοῶν οὐ νοεῖ, καὶ βλέπων οὐ βλέπει, καὶ τὴν ἐγκειμένην ταῖς λέξεσι βουλόμενος μὲν, οὐ δυνάμενος δὲ, συναρμόττειν διάνοιαν ἐκεῖνο σαφῶς ἐπεπόνθει τὸ τοῦ Ἰκάρου. τά τε γὰρ ἄλλα διαπορθμεύουσι ταῖς ἡμῶν ἀκοαῖς τὸν μακρὸν δολιχεύοντες χρόνον οἱ μῦθοι, καὶ δὴ καὶ Ἰκάρου τινὸς ὑπομνήματα ἔχομεν ἐξ αὐτῶν· ὡς ἐπιθυμήσειεν ὁ μάταιος πτερῶν, ἐπεὶ μὴ ἐβούλετο μήτε γῆν ἐκεῖνος ἔτι πατεῖν· ὁ δὲ καὶ φύσεως ὑπερόρια διὰ θράσους πλεονεξίαν ἤδη ἐπόθει, καὶ ἦν ταῦτα ἐφόδια τἀνδρὶ σφαλερὰ καὶ πρόσω ἢ ὥστε σωφρονοῦντος εἶναι δοκεῖν. τῆς ὁμοίας εἶναι κακοβουλίας δοκῶ μοι, καὶ ὅπερ ὁ βαρυδαίμων ἄνθρωπος οὗτος ἐπεπόνθει τὰ νῦν. λέληθε γὰρ τοῖς ὑπὲρ δύναμιν καὶ αὐτὸς ἑαυτὸν ἐξαρτήσας (λέγω δὴ ταῖς τῶν γραφῶν διανοίαις, τῶν τε ἡμετέρων σοφῶν καὶ τῶν θύραθεν) κἄπειτα, διὰ ξενίζοντα κρότον ἀμαθῶν ἀκοῶν, ἐνίας τῶν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Ἑλληνίδων ἐρανισάμενος λέξεων, αἷς περὶ τὰ σφέτερα αὐτῶν ἐκεῖνοι κέχρηνται δόγματα, καὶ τοῖς θείοις ἀναιδῶς παραμιγνὺς καὶ 2.1082 ὑποσπείρων αὐτὸς δόγμασιν, ἔλαθε κατὰ τῆς τοῦ θεοῦ ἐκκλησίας σφοδρὸν ἀναῤῥιπίσας κυκεῶνα καὶ θόρυβον καὶ μετάμελον ὀψέ ποτε λαμβάνειν ὀφείλων, ἐφ' οἷς ἁμαρτάνων οὐκ ᾔσθετο. ὁ δ' ἐξεμάνη κατὰ τῶν διορθοῦν πειρωμένων ἡμῶν, καὶ δρᾷ λοιπὸν ἀκρατῶς μείζω μὲν ἢ κατὰ θηρίου μανίαν παντὸς, ἥττω δ' ἢ κατὰ βούλησιν τὴν αὐτοῦ· καὶ τοῖς μὲν ἄρχουσιν ὑπέρχεται, ποριζόμενος ἰσχὺν ἑαυτῷ, τὴν δ' εὐσέβειαν ἀδικεῖ· κἀκείνων μὲν τὴν εὐμένειαν πραγματεύεται, τὴν δὲ τοῦ θεοῦ διωθεῖται· καὶ οὗ μὲν ἡττᾶται, δεινῶς φεύγει· καθ' ὃ δὲ ὑπερέχειν νομίζει, πρὸς τοῦτο συχνὰ καταφεύγει. ἀληθείας γὰρ σὺν παῤῥησίᾳ δικάζειν ζητούσης, ἡττώμενος φεύγει· μοχθηρίᾳ δὲ γνώμης εὐδοκιμῶν πρὸς διαβολὰς, ταύτης ἀντέχεται. δικαιοσύνης γὰρ καὶ ἀληθείας κρινούσης, ἣν μὲν ἔφευγε, πολλάκις δίκην ἥλω· ἣν δ' ἐδίωκεν, οὐχ εἷλεν. (Β.) Ἐγὼ μὲν οὖν (εἰρήσεται γὰρ τἀληθὲς) τὴν ἀρχὴν ἐδεδίειν, μὴ πάντα διαστρέφων ὁ σὸς Παλαμᾶς διαβάλῃ κἀμὲ, βουληθέντα κατὰ καιρὸν ἐνταυθοῖ τοῖς οἰκείοις καὶ συντρόφοις χρήσασθαι ὅπλοις, λέγω δὴ ταῖς τῶν θύραθεν πρὸς τὰς διαλέξεις ἐπιστήμαις, ὡς καὶ τέχναις καὶ μαρτυρίαις, ἐκεῖθεν ἡμῖν τὴν ἰσχὺν περιγίνεσθαι φάσκων τῶν ἀποδειγμάτων. ἐπεὶ δ' ἄοπλος οἴκοθεν ὑπάρχων αὐτὸς ἐκ τούτων ἑαυτὸν ὁπλίζειν πειρᾶται κατὰ τῆς ἀληθείας, πολλῷ μᾶλλον ἡμᾶς ἐς τὸ κράτιστον ταῦθ' ὑπὲρ τῆς ἀληθείας ἀγωνιζομένους ὁπλίζουσι, τοὺς 2.1083 μάλα συνήθεις τε καὶ ἡλικιώτας. ἐπιγνωσόμεθα γὰρ ἡμεῖς τὴν τῆς ἡμῶν γλώττης μᾶλλον συγγένειαν καὶ τὸ ἦθος, ἢ αὐτὸς νόθος νόθοις χρώμενος τούτοις. διὰ γοῦν ἕν γε τοιοῦτο, καὶ πρός γε διὰ τὴν τῶν ἡμετέρων θεολόγων καὶ διδασκάλων τῆς ἐκκλησίας παραίνεσιν, οὐκ ὀκνήσομεν οὐδ' ἡμεῖς οὑτωσί πως ὁπλίσασθαι κατὰ τῶν τοιχωρυχούντων καὶ βωμολοχούντων ταυτὶ καὶ εἰς ἀλλοκότους διανοίας καὶ πλάνας ἐξ ἀμαθίας παραγόντων. εἰ οὖν καὶ ὑμῖν συνδοκεῖ, βραχέα σκεψάμενοι περὶ τῶν τοιούτων πρῶτον, καὶ ὅσα τῇ προκειμένῃ προσήκοντ' ἂν εἴη ἐφόδια, ἔπειτ' ἐς τὸν προκείμενον ἀγῶνα χωρήσωμεν. ῥᾴοσι γὰρ ἂν εἴη χωρεῖν ἐς τὰ πρόσω, τὰς τῶν ὑποθέσεων ἀρχὰς καὶ προκαταστάσεις ἀνενδεεῖς πηγνυμένοις, ἢ ῥᾳθυμούσας. (Γ.) Διονυσίου τοίνυν ἐκείνου τοῦ πάνυ μεμνήσομαι πρῶτον, διττὴν εἶναι τὴν τῶν θεολόγων παράδοσιν λέγοντος, τὴν μὲν ἀπόῤῥητον καὶ μυστικὴν, τὴν δὲ φιλόσοφον καὶ ἀποδεικτικήν· καὶ "1συμπλέκεται τῷ ῥητῷ τὸ ἄῤῥητον· καὶ τὸ μὲν πείθει καὶ καταδεῖται τῶν λεγομένων τὴν ἀλήθειαν· τὸ δὲ δρᾷ καὶ ἐνιδρύει τῷ θεῷ ταῖς ἀδιδάκτοις μυσταγωγίαις."2 Περὶ δὲ τοῦ ἀγενήτου λέγων ὁ μέγας κατ' Ἀρειανῶν ὁ Ἀθανάσιος, "1ἐρωτησάτωσαν,"2 φάσκει, "1τοὺς Ἕλληνας, ἵνα ἀκούσαντες πόσα σημαινόμενα ἡ λέξις ἔχει μάθωσιν ὅτι οὐδὲ περὶ ὧν λέγουσιν ἐπίστανται καλῶς ἐρωτᾷν."2 καὶ πολὺν ἑξῆς ὁ 2.1084 θεῖος ἐκεῖνος ἀνὴρ ποιεῖται λόγον, ᾧ τοῖς ἐθέλουσιν ἐντυχεῖν ἐξέσται μαθεῖν τελεώτερον. ἡμῖν γὰρ ἥκιστ' ἐν τῷ παρόντι σχολὴν ἄγουσι, διὰ τὴν ἐς τὰ πρόσω σπουδὴν, βραχέα τῶν θείων ἐκείνων ἀνδρῶν ἐνταυθοῖ προτιθέναι δέδοκται, καὶ ὅσα πρὸς τὸν σκοπὸν ἀφοσιοῦσθαι χρεών· τὰ δ' ἑξῆς τοῖς βουλομένοις παρήκαμεν, ἐξουσίας ἀφθόνου διηνεκῶς ἠνεῳγμένης ἅπασι. συνῳδὰ τοιγαροῦν καὶ ὁ μέγας ἐκείνοις Βασίλειος φάσκει, ὡς "1ἡ τῆς διαλεκτικῆς δύναμις τεῖχός ἐστι τοῖς δόγμασιν, οὐκ ἐῶσα αὐτὰ εὐδιάρπαστα εἶναι καὶ εὐάλωτα τοῖς βουλομένοις."2 τὰ παραπλήσια δὲ καὶ ὁ θεῖος διέξεισι τούτοις Χρυσόστομος, "1πρὸς μὲν βίου,"2 λέγων, "1κατάστασιν ἀρίστην βίος ἕτερος εἰς τὸν ἴσον ἂν ἐναγάγοι ζῆλον. ὅταν δὲ περὶ δόγματα νοσῇ ἡ ψυχὴ τὰ νόθα, πολλὴ τοῦ λόγου ἐνταῦθα ἡ χρεία, οὐ πρὸς τὴν τῶν οἰκείων ἀσφάλειαν μόνον, ἀλλὰ καὶ πρὸς τοὺς ἔξωθεν πολέμους. εἰ μὲν γάρ τις ἔχει τὴν μάχαιραν τοῦ πνεύματος καὶ θυρεὸν πίστεως τοιοῦτον, ὡς δύνασθαι θαυματουργεῖν κἀκ τῶν τεραστίων τὸ τῶν ἀναισχύντων ἐμφράττειν στόμα, οὐδὲν ἂν δέοιτο τῆς ἀπὸ τοῦ λόγου βοηθείας· μᾶλλον δὲ οὐδὲ τότε ἄχρηστος ἡ τούτου



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

φύσις."2 ἀλλὰ καὶ ὁ θαυμάσιος τάδε διέξεισι Μάξιμος. "1δίχα λογικῆς,"2 φησὶ, "1δυνάμεως ἐπιστημονικὴ γνῶσις οὐκ ἔστι· καὶ γνώσεως χωρὶς οὐ συνίσταται πίστις, ἀφ' ἧς τὸ καλὸν γέννημα πρόεισιν ἡ ἐλπίς."2 καὶ ἐπὶ τούτοις ὁ θεῖος ἐκ Δαμάσκου φησὶ Ἰωάννης· "1ὡς εἰ καὶ παρὰ τῶν ἔξωθεν χρήσιμόν τι καρπώσασθαι δυνηθείημεν, οὐ 2.1085 τῶν ἀπηγορευμένων ἐστί. γενώμεθα δόκιμοι τραπεζῖται, τὸ μὲν γνήσιον καὶ καθαρὸν χρυσίον σωρεύοντες, τὸ δὲ κίβδηλον παραιτούμενοι. λάβωμεν λόγους καλλίστους· θεοὺς δὲ γελοίους καὶ μύθους ἀλλοτρίους τοῖς κυσὶν ἀποῤῥίψωμεν. πλείστην γὰρ ἐξ αὐτῶν κατ' αὐτῶν ἰσχὺν κτήσασθαι δυνηθείημεν."2 Καὶ τί δεῖ μέτροις ἀριθμητικοῖς πειρᾶσθαι συγκλείειν τὰ καὶ αὐτοὺς σχεδὸν ἀριθμητικοὺς παραιτούμενα νόμους; ὅσα τε δηλαδὴ διεξίασιν, οὓς διελάβομεν καὶ ὧν ἐμνήσθημεν, ἕτερα· καὶ ὅσαπερ οὐδαμῇ διελάβομεν. οἷς γὰρ οὐκ ἀπέχρησε τὰ κεκομισμένα, τούτοις οὐδ' ὅλας βίβλων ἁμάξας κομίζων τις σύνεσιν κομιεῖσθαι παρασκευάσει· ἢ μᾶλλον, ᾧ μὴ σύνεσιν ἀπέχρησε τοῖς λογισμοῖς ἐνθεῖναι, ἄφυκτον ἀνάγκην εἶναι τοὺς Ἑλλάδι χρωμένους φωνῇ, καὶ τοῖς τῶν συλλαβῶν καὶ στοιχείων ταύτης εὑρεταῖς ἀναφέρειν τὴν μίμησιν, καὶ τάς γε τῶν ἀμφισβητουμένων ἀνατιθέναι κρίσεις καὶ λύσεις, καθάπερ στάθμαις καὶ κανόσι τέκτονες καὶ λιθουργοὶ, τῷ ποτ' ἂν τῶν πάντων οὗτος ἑτέρῳ πεισθείη; οἶμαι τῶν πάντων ἥκιστ' ἄν ποτ' οὐδενί. τὸν γὰρ τοῖς θείοις ἐκκλησίας φωστῆρσι τοῦτο δρῶσιν οὐχ ἑπόμενον λόγοις οὐδείς ποτε πείσειεν ἂν, οὐ βαρβάρων, οὐχ Ἑλλήνων, οὐκ ἀγγέλων, οὐκ ἀνθρώπων, οὐκ ἀσόφων, οὐ σοφῶν τῶν ὄντων οὐδενός. πάρεστι τοίνυν σκοποῦσιν ὀρθῶς, οἷς ἐμπάθειά τις ἀχλύος δίκην 2.1086 ἥκιστα ἐνοχλεῖ τῇ ψυχῇ, μηδὲ νοῦ βραδυτὴς τὸ θαῤῥοῦν ἀμβλύνει τῆς γνώμης, ἀδεκάστους φέρειν τὰς ψήφους. (Δ.) Καὶ πρῶτον μὲν δὴ κείσθω ζήτημα τουτὶ ταῖς παρούσαις χρείαις· εἰ ἐπὶ τῆς ἁπλῆς καὶ ἀσωμάτου φύσεως (λέγω δὴ τοῦ θεοῦ) διαφορὰν ἡντινοῦν δογματίζειν οὐσίας καὶ ἐνεργείας ἐξείη· ὡς τὴν μὲν οὐσίαν ἀμέθεκτον εἶναι κτίσμασιν ἅπασι κομιδῇ ("1αὐτὴ γὰρ καθ' αὑτὴν,"2 φησὶν, "1ἡ θεία μετεχομένη τε καὶ λαμβανομένη φύσις ἢ φυρμὸν πείσεται, ἢ τὴν παθητὴν ἐξαναλώσει φύσιν, πρὶν ἂν ληφθῇ· οὐδεὶς γὰρ, φησὶν, ὄψεται τὸ πρόσωπόν μου, καὶ ζήσεται"2) τὴν δ' ἐνέργειαν μόνην ἅπασι κτίσμασι γίνεσθαι μεθεκτὴν, μόνῳ μὲν τῷ ἀκτίστῳ μηδὲν ἐκείνης διαφέρουσαν· ὡς δ' αἰτίαν ὑπερκειμένην ἔχουσαν ἐκείνην, τούτῳ δὲ διαφέρουσαν· εἶναι δὲ τὴν ἐνέργειαν εἰς εἴδη διαιρουμένην, σοφίαν, δύναμιν, ζωὴν, ἀλήθειαν, βούλησιν, ἁγιασμὸν, καὶ ὅσα μυρία τοῖς ἐντυγχάνουσι ταῖς αὐτοῦ διαιρέσεσιν ἔξεστι διαγινώσκειν σαφέστερον, ὄψεσιν ἄγουσιν οἰκείαις εἰς πίστιν ἑαυτοὺς ἀκριβῆ. (Ε.) Ἐπειδὴ τοίνυν ἐκ τῶν ἁγίων ἡμῶν διδασκάλων οὔθ' ὁ ὑμέτερος ἔγνω πεισθῆναι διδάσκαλος Παλαμᾶς, οὔθ' ὑμεῖς ἐκείνῳ πειθόμενοι, διαμαρτίας (ὡς ἔοικε) λέξεων καταγνόντες, φέρε τούς τε ἄλλους μιμησόμεθα καὶ ἡμεῖς θείους πατέρας, ὡς εἴρηται, καὶ δὴ καὶ Ἰουστῖνον τὸν θεῖον καὶ σοφώτατον ἄνδρα, καὶ μέγαν τῆς εὐσεβείας μάρτυρα καὶ ἀθλητήν. εἶναι γὰρ τῶν ἐκείνου βιβλίων καὶ 2.1087 λόγων καὶ τὸν περὶ μοναρχίας λόγον, ἐν ᾧ πλείστας παράγει τὰς μαρτυρίας ἐξ Ἑλλήνων φιλοσόφων, ποιητῶν τε καὶ ῥητόρων, οἷς ὁμολογεῖν εἶναι συνηνέχθη μὴ δύο, μηδὲ πολλοὺς, ἀλλ' ἕνα θεόν. εἰκὸς γὰρ ᾠήθη τοῖς πλείστοις ἀξιοπιστοτέρους εἶναι τὰς τῶν ἐχθρῶν μαρτυρίας. καὶ τὸν τοιοῦτον καὶ ἡμεῖς τήμερον τρόπον ἐκ τῆς τῶν θύραθεν ἐπιστήμης τὰς μαρτυρίας ἀγάγωμεν κατὰ τὴν ὑπόσχεσιν, τὴν σφῶν παρωσάμενοι θρησκείαν. μηδὲ γὰρ εἶναι τῆς θρησκείας τὴν ἐπιστήμην, μηδὲ βλάβην ἐκεῖθεν ὑφορᾶσθαι μηδ' ἡντινοῦν, οὐ μᾶλλόν γε ἢ τῶν τροφίμων τὰ πλείω κομιζομένους ἐκ βαρβάρων καὶ ἀλλοφύλων γενῶν· αἷς ἐπενεγκεῖν ἀξιώσομεν αὖθις τὰς τῶν ἁγίων, ὁπόσας καὶ οἵας ἐπίτηδες ἐταμιευσάμεθα τράπεζαν· καὶ δεῖξαι σύμφωνον μὲν ἐκείνους ᾄδοντας μέλος καὶ ἐναρμόνιον, κἂν ταῖς τῶν λέξεων σημασίαις· τὸν δ' ὑμέτερον Παλαμᾶν μήτε τούτοις μήτ' ἐκείνοις συνᾴδοντα, ἀλλ' ὅμοιον πάσχοντα, καθάπερ ἂν εἴ τις νοσώδης τὴν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

φύσιν καὶ χαῦνος ὑπάρχων ἀνὴρ χρείας ἡστινοσοῦν, εἰληφὼς ὁτουδήποτε μάχαιραν τῆς οἰκείας δυνάμεως ὑπερτέραν, ἔπειτα μὴ δυνάμενος ἄλλοθεν, ἐκ τῶν οἰκείων σαρκῶν ὠμοβόρον ἑαυτῷ παρετίθει τράπεζαν, αὐτὸς ἑαυτὸν ἑστιῶν μοχθηρῶς, κἀκ τοιούτων φιλοφρονούμενος πόνων, ἑστιάτωρ καὶ δαιτυμὼν ἐν ταὐτῷ γινόμενος αὐτὸς ἑαυτῷ, ὥς γε εἴρηταί τε καὶ εἰρήσεται. ὑπὲρ γὰρ ὧν ἠπείγετο, τούτων ἐκπέπτωκε· καθ' ὧν δ' ἐπόνει, τούτοις δ' ἔλαθεν ἄθυρμα γεγονὼς προφανές· ἀμφοῖν, οἰήσεως ἅμα καὶ ἀμαθίας, 2.1088 ἑκατέροιν ἐκείνοιν αὐτῷ γενομένοιν αἰτίοιν. (΄.) Πλωτίνου τοίνυν ἀκουσώμεθα πρώτως, περὶ οὐσίας καὶ ἐνεργείας θεοῦ τάδε διεξιόντος. "1εἰ ὑποθοῖτό τις (φησὶν) ἑλέσθαι τὸν θεὸν ἀλλάξασθαι τὴν ἑαυτοῦ φύσιν, μήτ' ἂν ἄλλο τι γενέσθαι βουληθῆναι, μήτ' ἂν ἑαυτῷ μέμψασθαι, ὡς ὑπ' ἀνάγκης τοῦτο ἦν. ἔστι γὰρ ὄντως ἡ ἀγαθοῦ φύσις θέλησις αὐτοῦ· ὅτι μηδὲν ἦν ἄλλο, ἵνα πρὸς ἐκεῖνο λεχθῇ. εἰ μὲν οὖν εἴη τις ἐνέργεια ἐν αὐτῷ, καὶ τῇ ἐνεργείᾳ θείημεν αὐτὸν, οὐδ' ἂν διὰ τοῦτο εἴη ἕτερος αὐτοῦ, καὶ οὐκ αὐτὸς αὐτοῦ κύριος, ἀφ' οὗ ἡ ἐνέργεια· ὅτι μὴ ἕτερον ἐνέργεια καὶ αὐτός. ἐπεὶ γὰρ οὐσία καὶ ἐνέργεια ἐκεῖ ἐλέγετο, δύο πως ὄντα, ἐκ τῆς ἐνεργείας ἐδίδου τὴν ἔννοιαν τοῦ κυρίου· τοῦτο δ' ἦν τῇ οὐσίᾳ ταὐτόν. διὰ τοῦτο καὶ οὐ χωρὶς ἐγένετο τὸ κύριον εἶναι, ἀλλ' αὐτὸ ἑαυτοῦ κύριον ἐλέγετο. οὐ γὰρ δύο ὡς ἓν, ἀλλ' ἕν. ἢ γὰρ ἐνέργεια μόνον, ἢ οὐδ' ὅλως ἐνέργεια. εἰ δ' οὐσίαν ἄνευ ἐνεργείας τις λέγοι, ἐλλιπὴς ἡ ἀρχὴ καὶ ἀτελὴς ἡ τελειοτάτη πασῶν ἔσται. καὶ εἰ προσθείη ἐνέργειαν, οὐχ ἓν τηρεῖ, ἀλλ' ἠλάττωσε τῇ προσθήκῃ. εἰ οὖν τελειότερον ἡ ἐνέργεια τῆς οὐσίας, τελειότερον δὲ τὸ πρῶτον, πρῶτον ἂν ἐνέργεια εἴη. ἐνέργεια δὲ, οὐ δουλεύουσα οὐσίᾳ, καθαρῶς ἐστιν ἐλευθέρα. καὶ οὕτως αὐτὸς παρ' αὑτοῦ ὁ θεὸς, εἴτ' οὐσίαν εἴποις, εἴτ' ἐνέργειαν. οὐ γὰρ δύο, ἀλλ' ἕν. πῶς γὰρ ἂν εἴη βούλησις ἐξ οὐ 2.1089 σίας ἀνενεργήτου; οὐχ ἕτερον ἄρα τῆς οὐσίας οὐδέν. φύσις οὖν ἁπλῆ, καὶ ἐνέργεια μία, καὶ οὐδὲ τὸ δυνάμει ἔχουσα ἄλλο, ἄλλο δὲ τὸ ἐνεργεῖν, πῶς οὐκ ἐλευθέρα; οὐδὲ γὰρ πεφυκέναι λέγοιτ' ἂν ἐνεργεῖν, ἄλλης οὔσης τῆς οὐσίας, καὶ τῆς ἐνεργείας ἄλλης."2 (Ζ.) Φησὶ δὲ καὶ Ἀριστοτέλης, ὅτι "1τὸ ἐξ ἀνάγκης ὂν κατ' ἐνέργειάν ἐστι καὶ ἀΐδιον καὶ χωρὶς δυνάμεως, εἴτουν αὐτοενέργεια καὶ πρώτη οὐσία."2 καὶ ἀλλαχοῦ· "1ἕκαστον τῶν ὄντων, ὧν ἔργον τί ἐστιν, ἤτοι ἐνέργεια, ἕνεκα τοῦ ἔργου αὐτοῦ ἐστι. θεοῦ δ' ἐνέργειά ἐστιν ἀθανασία, ὅπερ ἐστὶ ταὐτὸν εἰπεῖν ζωὴ ἀΐδιος· ὥστε ἀνάγκη τὸν θεὸν κίνησιν ἀΐδιον ὑπάρχειν, εἴτουν ἐνέργειαν."2 Ὁρᾷς τὰς μαρτυρίας, σὺν ἐπιστήμης εὐροίᾳ προενεχθείσας, καὶ ὅσην αὐτόχρημα τοῖς περὶ θεοῦ λεγομένοις πρὸς τῶν σοφῶν διδασκάλων ἡμῶν καὶ φωστήρων τῆς ἐκκλησίας τὴν συμφωνίαν ἔχουσιν· ὡς ταὐτὸν ἐπὶ θεοῦ σαφῶς οὐσία τε καὶ ἐνέργεια, μηδὲν οὐδαμῶς διαφέροντα· καθάπερ καὶ ἡμῖν ἀνωτέρω λαβοῦσιν εἰς μῆκος ἐκτέθειται· Ἀθανασίου φημὶ, Βασιλείου, Κυρίλλου, καὶ Θεοδώρου, τοῦ τὴν Εἰκονομαχίαν ἐλάσαντος σοφωτάτοις ἐκ μέσου λόγοις, ὡς Ἀθηναῖοι πάλαι τὸ Κυλώνιον ἄγος ἐξ Ἀθηνῶν. τότε μὲν γὰρ ἐγὼ τῶν ἁγίων ἐκείνων βίβλους σχὼν ἀνὰ χεῖρας ὑπ' ὄψιν ἦγον λαμπρὰν τὰ λεγόμενα· ἐνταυθοῖ δ' οὐ παρέθηκα, περιττὸν ἡγησάμενος πανταχοῦ τὴν ὁμοίαν ἔκθεσιν δρᾷν. εἶναι γὰρ τοῖς βουληθεῖσι ῥᾴδιον, ἀναδραμοῦσι μικρὸν τῆς ἡμῶν ταυ 2.1090 τησὶ διάστημα συγγραφῆς, ἐντυχεῖν· εἰς πλάτος ἡμῖν εἰρημένου αὐτοῖς, ἔνθα λαληθέντα τε καὶ πραχθέντα παρὰ τὴν ληστρικὴν ἡμῖν ἐκείνην ἐκτέθειται σύνοδον. ἀλλ' ἐπιλείψει με (εἶπον) τὰ παραπλήσια κομίζειν ὁ χρόνος ἐθέλοντα. (Η.) Ὅμως καὶ ἐπεὶ τὴν εἰκόνα θεοῦ φασιν οἱ θεῖοι πατέρες τὸν νοῦν, πολλαχῇ δὲ καὶ νοῦν καλοῦσιν αὐτὸν, καὶ πρό γε τῶν θεοπρεπῶν ὀνομάτων ἐμάθομεν εἶναι τὸ ἓν καὶ τὸ ὂν καὶ τὸν νοῦν καὶ τὴν βούλησιν, φέρε σκεψώμεθα, τί καὶ περὶ τούτων τεχνολογοῦσιν οἱ τῆς ἡμετέρας γλώττης ἐπιστήμονες ἁρμοσταὶ καὶ παιδευταί. ἐς γὰρ τὴν αὐτὴν ἀγάγοι ἂν καὶ ταῦθ' ἡμᾶς ἐπιστημονικὴν τεχνολογίαν καὶ γνῶσιν, οἷς ἔφθημεν περί γε οὐσίας ἐκείνης, μοναδικοῦ τε καὶ ἑνιαίου. φησὶ τοίνυν εὐθὺς ὁ Πλωτῖνος αὖθις· "1τὴν τοῦ παντὸς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

διάθεσιν εἴ τις ὀνομάζει πρόνοιαν, οὕτω νοείτω· ὅτι ἐστὶ πρὸ τοῦδε νοῦς τοῦ παντὸς ἑστὼς, ἀφ' οὗ καὶ καθ' ὃν πᾶν τόδε. εἰ μὲν οὖν νοῦς πρὸ πάντων καὶ ἀρχὴ ὁ τοιοῦτος νοῦς, οὐκ ἂν εἴη ὡς ἔτυχε."2 καὶ αὖθίς φησιν, ὡς "1ἁπλῆ ἐστιν ἡ τοῦ νοῦ οὐσία, καὶ οὐκ ἄλλο νόησις, καὶ ἄλλο νοῦς. οἱ γὰρ λέγοντες ἄλλως προστιθέασιν αὐτῇ, ὥσπερ ὀφθαλμοῖς τὸ ὁρᾷν. ἐατέον οὖν ἐπὶ τῆς ἁπλῆς φύσεως, τἄλλα μηδεμιᾶς ἐπικουρίας δεομένης. ὃ γὰρ ἂν προσθῇς, ἠλάττωσε τῇ προσθήκῃ τὴν οὐδενὸς δεομένην."2 καὶ πολλὰ πολλαχῆ περὶ τούτου διεξελθὼν ἐπιφέρει καὶ Πλάτωνα, 2.1091 βεβαιοῦντα τὸν λόγον αὐτοῦ. "1νοῦς γὰρ,"2 φησὶ, "1μὴ νοῶν ἀνόητος ἂν εἴη."2 καὶ Ἀριστοτέλης δ' ὁμοίως· "1τέλειος,"2 φησὶ, "1νοῦς αὐτοφυής ἐστιν ἐνέργεια, καὶ ταὐτόν ἐστιν ἐπ' αὐτοῦ, ταὐτὸν καὶ ἐνέργεια· ἢ οὐ μεταβάλλει, ἄλλο τι ὢν τὴν οὐσίαν καὶ ἄλλο τὴν ἐνέργειαν."2 ἀλλὰ ταῦτα μὲν ἐκεῖνοι. (Θ.) Ἴδωμεν δὲ καὶ τῶν σοφῶν καὶ ἁγίων διδασκάλων τῆς ἐκκλησίας τὴν συμφωνίαν. "1ὁ θεὸς οὔτε νοῶν λέγεται κυρίως, οὔτε νοούμενος, ἵνα μὴ σύνθετος λογισθῇ. τό,τε γὰρ νοοῦν συνεπιθεωρουμένην ἔχει τὴν τοῦ νοεῖν δύναμιν, τό,τε νοούμενον τὴν τοῦ νοεῖσθαι. ἀλλ' οὐδὲ νόησις· ἡ γὰρ νόησις ἔχει φυσικῶς ὑποκειμένην δεκτικὴν αὐτῆς οὐσίαν. λοιπὸν οὖν, ὑπὲρ ταῦτα πάντα· εἰ μή που νόησιν αὐτὸν εἴποιμεν αὐτὸ κατ' οὐσίαν. καὶ ὅλον νόησιν, καὶ μόνον νόησιν, καὶ νόησιν ὑπὲρ νόησιν."2 καὶ ἀλλαχοῦ· "1ἡ αὐτοϋπεραγαθότης, νοῦς οὖσα καὶ ὅλη ἐνέργεια, εἰς ἑαυτὴν ἐστραμμένη, ἐνεργείᾳ δ', οὐ δυνάμει, πρότερον οὖσα ἀφροσύνη, εἶτα νοῦς ἐνεργείᾳ γινομένη. ὅθεν καί ἐστι νοῦς μόνον καθαρὸς, οὐκ ἐπείσακτον ἔχων τὸ φρονεῖν, ἀλλὰ παρ' ἑαυτοῦ πάντα νοεῖ. εἰ γὰρ ἡ μὲν οὐσία αὐτοῦ ἄλλο ἐστὶν, ἃ δὲ νοεῖ ἕτερα αὐτοῦ, αὐτὸς ἀνόητος ἔσται, ἤγουν ἡ οὐσία αὐτοῦ."2 (Ι.) Καὶ ταῦτα μὲν ἐξ αὐτοσχεδίου τέως ἡμῖν εἴρηται. σχολῆς δέ μοι προσγενομένης, 2.1092 εἰρήσεται κἀκ τῶν ἄλλων σοφῶν καὶ θείων τῆς ἐκκλησίας ἡμῶν διδασκάλων κατὰ πλῆθος τὰ παραπλήσια. ἔξεστι δ' οὖν ὅμως κἀκ τούτων ἐπιγνῶναι τῆς συμφωνίας τὸ κράτιστον, ὡς ἐπὶ τῆς ἁπλῆς καὶ θείας οὐσίας ταὐτὸν εἶναι πρὸς πάντων ὁμοῦ μαρτυρεῖται, τῶν τε θύραθεν καὶ τῶν καθ' ἡμᾶς σοφωτάτων ἀνδρῶν, οὐσία τε καὶ ἐνέργεια. ἐπεὶ τοίνυν ἐς τὸ ἀναμφίλεκτόν τε καὶ ἀναντίῤῥητον ἐπιεικῶς ἡμῖν δέδεικται τὸ ἀδιαίρετόν τε καὶ ἀδιάφορον τῆς οὐσίας καὶ ἐνεργείας ἐπὶ τῆς θείας καὶ ἁπλῆς φύσεως πανταχόθεν, φέρε κἀκ τῆς μονάδος καὶ τοῦ ἑνὸς καὶ τοῦ ἀγαθοῦ τὴν τῆς οὐσίας καὶ ἐνεργείας ταὐτότητα δείξωμεν αὖθις ὁμοίως. "1πάντα τὰ ὄντα τῷ ἑνί ἐστιν ὄντα,"2 φησὶν, "1ὅσα τε πρώτως ἐστὶν ὄντα καὶ ὅσα ὁπωσοῦν λέγεται ἐν τοῖς οὖσιν εἶναι. τί γὰρ ἂν καὶ εἴη, εἰ μὴ ἓν εἴη; ἐπείπερ ἀφαιρεθέντος τοῦ ἑνὸς, οὐκ ἔστιν ἐκεῖνα· οὔτε γὰρ στρατὸς, οὔτε χορὸς, εἰ μή ἐστι τὸ ἕν. καὶ δὴ καὶ τὰ τῶν φυτῶν καὶ ζώων σώματα, εἰ φεύγει τὸ ἓν εἰς πλῆθος θρυπτόμενα, τὴν οὐσίαν αὐτῶν ἣν εἶχεν ἀπώλεσεν, οὐκ ἔτι ὄντα ἃ ἦν. ὅστις δ' οἴεται τὰ ὄντα τύχῃ καὶ τῷ αὐτομάτῳ διοικεῖσθαι, καὶ σωματικαῖς συνέχεσθαι αἰτίαις, οὗτος πόῤῥω ἀπελήλαται θεοῦ καὶ ἐννοίας ἑνός. εἴπερ δεῖ τι αὐταρκέστατον εἶναι, τὸ ἓν εἶναι δεῖ. τόπος δὲ οὐδεὶς αὐτοῦ. οὐ γὰρ δεῖται ἱδρύσεως, ὡς αὐτὸ φέρειν μὴ δυνάμενον· τό,τε ἱδρυθησόμενον ἄψυχον, καὶ ὄγκος πίπτων, ἐὰν μήπω ἱδρυθῇ. ἐνδεὲς γὰρ, καὶ τόπον 2.1093 ζητοῦν. ἀρχὴ δὲ οὐκ ἐνδεὲς τῶν μετ' αὐτό. ἡ δὲ πάντων ἀρχὴ ἀνενδεὲς ἁπάντων. ὅ,τι γὰρ ἐνδεὲς, ἐφιέμενον ἀρχῆς, ἐστὶν ἐνδεές. εἰ οὖν τὸ ἓν ἐνδεὲς, τῷ ζητεῖν δηλονότι μὴ εἶναι ἕν· ὥστε ἐνδεὲς ἔσται τοῦ φθεροῦντος. ὥστε τῷ ἑνὶ οὐδὲν ἀγαθόν ἐστιν· οὐδὲ βούλησις τοίνυν οὐδενός· ἀλλ' ἔστιν ὑπὲρ ἀγαθὸν, καὶ αὐτὸ οὐχ ἑαυτῷ τοῖς δ' ἄλλοις ἀγαθὸν, εἴ τι αὐτοῦ δύναται μεταλαμβάνειν· οὐδὲ νόησις, ἵνα μὴ ἑτερότης, οὐδὲ κίνησις. πρὸ γὰρ κινήσεως καὶ πρὸ νοήσεως. ἢ νοήσεως δεήσεται, ἵνα γνῷ ἑαυτὸν ὁ αὐτάρκης ἑαυτῷ. νόησις γὰρ οὐ νοεῖ, ἀλλ' αἰτία τοῦ νοεῖν ἄλλῳ. τὸ δ' αἴτιον οὐ ταὐτὸν τῷ αἰτιατῷ. τὸ δὲ πάντων αἴτιον οὐδέν ἐστιν ἐκείνων. οὐ τοίνυν οὐδ' ἀγαθὸν λεκτέον τοῦτο ὃ παρέχει, ἀλλ' ἄλλως τἀγαθὸν ὑπὲρ τὰ ἄλλα ἀγαθά."2 (ΙΑ.) Τὰ δ' αὐτὰ ὁ Πλατωνικὸς διέξεισι Πρόκλος περὶ τοῦ ἑνὸς καὶ τοῦ ἀγαθοῦ· καὶ ὁ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τοῖς θεολογικοῖς ἐντυγχάνων ἐκείνου εἴσεται σαφῶς τὴν συμφωνίαν. ἐμοὶ γὰρ οὐ σχολάζειν αἱ τῆς κεφαλῆς ἐῶσιν ἀλγηδόνες ἐν τούτοις. εἴσεται δ' ἐν ταὐτῷ καὶ τὴν Πλάτωνος περὶ τὰ τοιαῦτα δόξαν ἐξ αὐτοῦ, εἴπερ αὐτὸς τῷ γε πλείονι μέρει τἀκείνου φθέγγεται πάντα. Δεικτέον δ' ὅμως ἐκ μέρους τὰ πλείω. φησὶν οὖν· "1πᾶν τὸ γινόμενον ἐν μεθέξει τοῦ ἑνὸς γίνεται ἕν. αὐτὸ μὲν γὰρ οὐχ ἕν ἐστι. καθὸ δὲ πέπονθε τὴν μετοχὴν τοῦ ἑνὸς, ἕν ἐστιν. εἰ γὰρ γίνοιτο ἓν, ἃ μή ἐστιν ἓν καθ' ἑαυτὰ, 2.1094 συνιόντα δήπου καὶ κοινωνοῦντα ἀλλήλοις, γίνεται ἓν καὶ ὑπομένει τὴν τοῦ ἑνὸς παρουσίαν, οὐκ ὄντα ὅπερ ἕν. μετέχει ἄρα τοῦ ἑνὸς ταύτῃ, ᾗ πάσχει τὸ ἓν γενέσθαι. εἰ μὲν γὰρ ἤδη ἐστὶν ἓν, οὐ γίνεται ἕν. τὸ γὰρ ὂν οὐ γίνεται ὃ ἤδη ἐστίν. εἰ δὲ γίνεται, τῷ μὴ ἓν εἶναι πρότερον, ἕξει τὸ ἓν, ἐγγενομένου τινὸς ἐν αὐτοῖς ἑνός. β΄. Ἐγὼ μὲν οὖν ταῦτα εἰπὼν ᾤμην λόγου ἀπηλλάχθαι· μηδὲ γὰρ δεῖσθαι πλειόνων ἔτι καὶ σαφεστέρων μαρτυριῶν, εἰς παράστασιν τῆς ἑνιαίας ἐκείνης καὶ μοναδικῆς καὶ θείας ἁπλότητος, καὶ ὅσα δεικνῦσιν ἕτερα περὶ θεοῦ τῶν πάλαι σοφῶν οἱ λόγοι, ὑπεράγαθον αὐτὸν καλοῦντες, καὶ τόπον ὑπὲρ τόπον, καὶ νόησιν ὑπὲρ νόησιν, καὶ κίνησιν ὑπὲρ κίνησιν, τοῖς ἁγίοις ὁμοίως, ἅτε ὑφ' ἑνὶ καὶ τῷ αὐτῷ τούτοις κανόνι τυπούμενοι τῆς τεχνικῆς παιδείας καὶ ἐπιστήμης, κοινῇ τοῖς πᾶσι πρὸς τοῦ θεοῦ βραβευθείσης, ὁπόσοι διαλέκτῳ κέχρηνται τῇ αὐτῇ. (Β.) Οἱ δ' οὐκ ἀφίσταντό μου, τὴν συμφωνίαν κἀκ τῶν ἱερῶν ἀπαιτοῦντες ὄψεσιν αὐταῖς ἀναλαμβάνειν βιβλίων. οὐ γὰρ ἐνέτυχον οὐδαμῇ πω οὔθ' ἱεραῖς, οὔτε τισὶ τῶν θύραθεν περὶ ὅτων δήποτε βίβλων φιλοπονώτερον, ἵν' εἴη καὶ ἡμῖν, πρὸς εἰδότας γε ποιουμένοις τὸν λόγον, τὰ τῶν πόνων κουφότερα· ἀλλ' ἃ πρὸς τοῦ διδασκάλου Παλαμᾶ συνέβαινέ σφισιν ἄκροις ἀκούειν ὠσὶ, ταῦτ' ἐδέ 2.1095 χοντο καὶ ἐπίστευον λίαν ἀπονητὶ, ἀταλαίπωρον ἀπιστίαν πίστεως ἀλλαττόμενοι, δι' ἀκαιρίαν νοῦ, μᾶλλον δὲ διὰ γνώμης καίριον μοχθηρίαν, ἀσέβειαν παρά γε τοῦ μὴ εἰδότος οἱ μὴ εἰδότες λαμβάνοντες. ταύτῃ τοι καὶ παραχρῆμα παράγειν ἐπῄει μοι Διονυσίου τοῦ Ἀρειοπαγίτου ταυτί. "1Ἓν μέν ἐστι τὸ ὄντως ὂν καὶ καλὸν καὶ ἀγαθὸν καὶ σοφὸν, οὗ πάντες οἱ ἑνοειδεῖς ἐφίενται· μετέχουσι δ' αὐτοῦ οὐχ ἑνιαίως, καίτοι ἑνὸς καὶ ταὐτοῦ ὄντος· ἀλλ' ὡς ἑκάστῳ τὰ θεῖα διανέμει ζυγὰ, κατὰ τὴν ἑκάστου ἐπιτηδειότητα."2 καὶ πάλιν· "1ὥσπερ ἓν μὲν ἡ μονὰς, πρὸ πάντων δέ ἐστι τῶν ἀριθμῶν, καὶ αἰτία ἐστὶ παντὸς ἀριθμοῦ καὶ οὐκ ἔστιν ἀριθμὸς, ἀλλ' ἀρχὴ ἀριθμῶν, καὶ τὰ ἑξῆς· οὕτω καὶ ὁ θεὸς ἓν λέγεται, οὐ μόνον ὡς μόνος καὶ ἐξῃρημένος πάντων τῶν ὄντων κατὰ πάντα, καὶ ὡς ἁπλοῦς καὶ ἀμερὴς καὶ ἀδιαίρετος καὶ ἀπαθὴς, ἀλλὰ καὶ ὡς πρὸ πάντων τῶν ὄντων, καὶ ὡς πάντων αἴτιος· ἓν γὰρ τὸ πάντων τῶν ὄντων αἴτιον, καὶ ἑνικῶς ἓν, ἤτοι ἰδικῶς, ἐξαιρέτως, καὶ πρὸ πάντων· τὰ πάντα δ' ἐξ αὐτοῦ καὶ μετ' αὐτό· καὶ ὡς ὑπὸ πάντων τῶν ὄντων μετεχόμενος κατὰ τὴν ἑκάστου ἐπιτηδειότητα. τὸ γὰρ πάντη ἀμέτοχον αὐτοῦ πάντη μὴ ὄν ἐστι. καὶ τῷ εἶναι τὸ ἓν, πάντα ἐστὶ τὰ ὄντα. καὶ οὐκ ἔστι τὸ πάντων αἴτιον ἓν, ἓν τῶν πάντων, ἀλλ' ὑπὲρ πᾶν ἓν, καὶ παντὸς ἑνὸς καὶ πλήθους ὥσπερ ποιητικὸν, οὕτω καὶ ὁριστικόν. καὶ ὡς ἡ μονὰς πρὸ παντὸς ἀριθμοῦ πεπληθυσμένου, καὶ πάντα ἐν ἑαυτῷ 2.1096 τὸ ἓν καὶ τὰ ἐναντία ἑνοειδῶς καὶ ἀσυγχύτως προείληφε."2 καὶ πάλιν ὁ αὐτός φησιν· "1ἐπὶ θεοῦ ταὐτόν ἐστι τὸ καλὸν τῷ ἀγαθῷ· τοῦ καλοῦ γὰρ καὶ ἀγαθοῦ πάντα ἐφίεται. καλὸν δὲ καὶ κάλλος οὐ διαιρετέον ἐπὶ τῆς ἐν ἑνὶ τὰ ὅλα συνειληφυίας αἰτίας. ταῦτα γὰρ ἐπὶ μὲν τῶν ὄντων ἁπάντων, εἰς μετέχοντα καὶ μετοχὰς διαιροῦντες, καλὸν λέγομεν τὸ κάλλους μετέχον· κάλλος δὲ τὴν μετοχὴν τῆς καλλοποιοῦ τῶν ὄντων αἰτίας. ὁ δὲ θεὸς ταῦτα λέγεται, ὡς αἴτιος τούτων. ἐκ θεοῦ γὰρ καὶ ἐν θεῷ καὶ αὐτὸ τὸ εἶναι, καὶ αἱ τῶν ὄντων πάντων ἀρχαὶ, καὶ τὰ ὄντα πάντα, καὶ τὰ ἀλλήλοις ἐναντία· καὶ τοῦτο ἀσχέτως καὶ ἐξαιρέτως καὶ συνειλημμένως καὶ ἑνιαίως. καὶ γὰρ ἐν μονάδι πᾶς ἀριθμὸς ἑνοειδῶς προϋφέστηκε, καὶ ἔχει πάντα ἀριθμὸν ἡ μονὰς ἐν ἑαυτῇ μοναχῶς, ὡς αἰτία παντὸς ἀριθμοῦ· καὶ πᾶς ἀριθμὸς ἥνωται μὲν ἐν τῇ μονάδι· καθ' ὅσον δὲ τῆς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

μονάδος πρόεισι, κατὰ τοσοῦτον διακρίνεται καὶ πληθύνεται· ὡς καὶ ἐν κέντρῳ πᾶσαι αἱ τοῦ κύκλου γραμμαὶ κατὰ μίαν ἕνωσιν συνυφεστήκασι, καὶ πάσας ἔχει τὸ κέντρον τὰς εὐθείας ἑνοειδῶς. ἀλλὰ καὶ ἐν τῇ ὅλῃ τῶν ὅλων φύσει πάντες οἱ λόγοι τῆς καθ' ἕκαστον φύσεως συνειλημμένοι εἰσὶ κατὰ μίαν ἀσύγχυτον ἕνωσιν, καὶ ἐν τῇ ψυχῇ μονοειδῶς αἱ τῶν κατὰ μέρος πάντων προνοητικαὶ τοῦ ὅλου σώματος δυνάμεις. οὐδὲν οὖν ἄτοπον, ἐξ ἀμυδρῶν εἰκόνων ἐπὶ τὸ πάντων αἴτιον ἀναβάντας ὑπερκοσμίοις ὀφθαλμοῖς θεωρῆσαι 2.1097 πάντα ἐν τῷ πάντων αἰτίῳ μονοειδῶς καὶ ἡνωμένως. εἰ δὲ καὶ ὁ καθ' ἡμᾶς ἥλιος τὰς τῶν αἰσθητῶν οὐσίας καὶ ποιότητας, καίτοι πολλὰς καὶ διαφόρους οὔσας, εἷς αὐτὸς ὢν, καὶ μονοειδὲς ἐπιλάμπων φῶς, ζωοῖ καὶ τρέφει, πολλῷ μᾶλλον ἐν τῷ καὶ αὐτοῦ τοῦ ἡλίου καὶ πάντων τῶν ὄντων αἰτίῳ προϋφεστάναι τὰ πάντων τῶν ὄντων παραδείγματα κατὰ μίαν ὑπερούσιον ἕνωσιν, συγχωρητέον· καθάπερ ἡ φωνὴ μία καὶ ἡ αὐτὴ πρὸς πολλῶν ἀκοῶν ὡς μία μετέχεται."2 (Γ.) Ἐπεὶ δὲ καὶ περὶ τόπου διαλαβεῖν ἡμᾶς ἐν ἐκείνοις συμπέπτωκεν, ἅτε καὶ αὐτοῦ συνεκτικῶς τε καὶ ἑνοειδῶς τὰ ἐν αὐτῷ περιέχοντος ἅπαντα, καὶ τὰ διάφορα εἶναι δοκοῦντα, ἀναγκαῖον καὶ τούτου τὴν τῶν θείων τῆς ἐκκλησίας διδασκάλων, καθάπερ τι τῶν ἀναγκαίων χρεῶν, συμφωνίαν ἀποπιμπλάναι. "1ὁ θεὸς ἄϋλος ὢν, καὶ ἀπερίγραπτος, ἐν τόπῳ οὐκ ἔστιν. αὐτὸς γὰρ ἑαυτοῦ τόπος ἐστὶν, ὁ τὰ πάντα πληρῶν καὶ ὑπὲρ τὰ πάντα ὢν, κἂν αὐτὸς συνέχων τὰ πάντα. ἰστέον δὲ ὅτι τὸ θεῖον ἀμερές ἐστιν, ὅλον ὁλικῶς πανταχοῦ ὂν, καὶ οὐ μέρος ἐν μέρει σωματικῶς διαιρούμενον, ἀλλ' ὅλον ἐν πᾶσι καὶ ὅλον ὑπὲρ τὸ πᾶν. ὁ δ' ἄγγελος σωματικῶς μὲν ἐν τόπῳ οὐ περιέχεται, ὥστε τυποῦσθαι καὶ σχηματίζεσθαι· ὅμως λέγεται εἶναι ἐν τόπῳ, διὰ τὸ παρεῖναι νοητῶς που καὶ ἐνεργῶν κατὰ τὴν ἑαυτοῦ φύσιν, καὶ μὴ εἶναι ἀλλαχοῦ."2 (Δ.) Ἐγὼ δ' ἐκ πολλῶν πολλὰ 2.1098 συνείρειν δυνάμενος ὅμοια μόνοις ἀρκεῖσθαι κέκρικα τοῖς Διονυσίου τοῦ Ἀρεοπαγίτου, πλήρη πεπαιδευμένοις ὄντα ἀνδράσι. περὶ γάρ τοι τῶν ἀπαιδεύτων λόγος ἡμῖν οὐδένων οὐδείς. λῆρος γάρ σφισι λόγος ἅπας καὶ μοῦσα παιδευτικὴ καὶ ἤθους ῥυθμὸς καὶ (οὐδ' ἐλαχίστου δέω λέγειν) εὐσέβεια πᾶσα καὶ κανόνες ἐκκλησίας εὐνομουμένης. ὅμως τε περὶ βουλήσεως καὶ δυνάμεως καὶ ζωῆς καὶ σοφίας καὶ τῶν τοιούτων ἐπ' ἐκείνοις μὲν παμπληθὲς διεξῆλθον· ὑμῖν δ' ἐνταυθοῖ προτιθέναι, φορτικὸν ἐμοί γε φαίνεται καὶ οὐδ' ἄλλως ἀναγκαῖον. τὴν γὰρ ἐν τούτοις ἀνάγκην καὶ καιρῶν δεῖσθαι πολεμίων ἀνάγκη, ὅτε δὴ μαχίμου (φάναι) κόνεως ἀναῤῥιπιζομένης ἐν μέσῳ μάλα σφοδρῶς ἀναφλεγόμενον τὸ θερμὸν τῆς ψυχῆς ἀκάθεκτον ἔχει τὴν οἴκοθεν ὁρμὴν, ἐπὶ ξυροῦ τῶν κινδύνων αἰωρουμένων· τῆς δ' ἀκμῆς ἐκείνης παρελθούσης, καὶ τοῦ μαχίμου θώρακος καὶ τῶν ὅπλων ἐκείνων ῥιφέντων, ἐς τοὐναντίον χωρεῖ καὶ τὰ τῆς σπουδῆς, μαραινομένου τοῦ ὑπεκκαύματος καὶ τῆς ἀφορμῆς τοῦ πολέμου κατὰ μικρὸν ἀπιούσης ἐς λήθην, μετά γε τῆς τῶν ὅπλων ἀπαλλαγῆς. διὸ καὶ ἡμῖν ἐῤῥᾳθυμημένως πως ἤδη τῇ πρὸς ὑμᾶς διηγήσει μετὰ τὴν ζάλην ἐκείνην χρωμένοις ἐνεῖναι συγγνώμην οὐδὲν ἀπεικός· ἐξεῖναι γὰρ, κἀκ τῶν εἰρημένων, συνεῖναι ὑμᾶς τὴν τῶν σοφῶν ἑκατέρων συμφωνίαν, τῶν τε ἡμετέρων δηλαδὴ καὶ τῶν θύραθεν, ὅπως ταὐτὰ καὶ φρονοῦσι καὶ φθέγγονται περὶ τῆς θείας ἁπλότητος, εἶναι παγχάλεπον καὶ σφόδρα τῶν ἀδυνά 2.1099 των, σύνθεσιν ἐννοεῖν ἢ διαφορὰν, πλὴν ὀνομάτων μόνον, οὐσίας τε καὶ βουλήσεως καὶ δυνάμεως καὶ ζωῆς καὶ σοφίας, καὶ ἁπλῶς ἐνεργείας ἁπάσης. ὥσπερ γὰρ ἐπίσης δίδωσιν ὁ θεὸς εὐσεβέσι καὶ ἀσεβέσιν, Ἕλλησί τε καὶ βαρβάροις, καὶ συλλήβδην πᾶσιν ἔθνεσιν εἰπεῖν, οὐρανὸν καὶ γῆν, ἀέρα τε καὶ ὑετὸν, ἥλιόν τε καὶ σελήνην, καὶ τἀναγκαῖα πάντα· οὕτω καὶ τοὺς τῶν ἀναγκαίων τεχνῶν κανόνας ἐπίσης παρέχεται πᾶσιν, ὁμοφύλοις καὶ ἀλλοφύλοις. οὐ γὰρ ἄλλη μὲν ἡ τεκτονικὴ παρ' Ἕλλησι στάθμη, παρὰ Σκύθαις δ' ἄλλη· καὶ Μήδοις καὶ Πέρσαις ὁμοίως. οὐ μὴν οὐδὲ τοῦ γεωργεῖν καὶ κυνηγετεῖν, καὶ τῶν τοιούτων, διαφορά. ἀλλὰ τῆς θρησκείας διαφερούσης, τὰ τῆς τέχνης ἔχει συνάφειαν. οὕτω δὲ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

κἀπὶ τῆς λεξικῆς ἐπιστήμης ἐστὶν ὁρᾷν. ὅσοι μὲν γὰρ τῇ αὐτῇ κέχρηνται διαλέκτῳ, τῇ τῶν πρώτων εὐδοκιμησάντων ὁμογενῶν ἐπιστήμῃ καὶ τέχνῃ τούτους κεχρῆσθαι χρεὼν, Φοίνικας λέγω καὶ Πέρσας καὶ Ἀσσυρίους. καὶ ἵνα τοὺς ἄλλους παρέλθωμεν, καὶ ὁπόσοι τῇ Ἑλλάδι κέχρηνται γλώσσῃ, ἀνάγκη καὶ τούτοις τῇ τῶν ἀρχηγῶν τῆς εὑρέσεως χρῆσθαι μεθόδῳ καὶ τέχνῃ, καθάπερ στάθμῃ τινὶ, εἰ μὴ βούλοιτό τις πλείω σολοικίζειν ἢ φθέγγεσθαι. ὃ δὴ καὶ Ἰουλιανῷ τῷ δυσσεβεῖ ληφθὲν ἐπὶ νοῦν ἐμποδὼν τοῖς εὐσεβοῦσι στῆναι πέπεικεν, Ἑλληνικοῖς ῥυθμίζεσθαι λόγοις τὴν γλῶτταν. μόνον τῆς ἐκλογῆς ὑγιῶς ἀνθεκτέον ἐκεῖθεν, καὶ κατὰ τὴν ἐμμελῆ τε καὶ ἐναρμόνιον τῶν ἁγίων ἡμῶν συμφωνίαν. ἦ γὰρ οὐκ ἂν φθάνοι ταράττων τὰ πά 2.1100 τρια τῆς ἐκκλησίας ἱερὰ δόγματα, δι' ἀμαθίαν ἢ μοχθηρίαν ἀτόπου γνώμης καὶ προαιρέσεως, κακῶς ἐκλαμβάνων καὶ διαστρέφων τὸν ἐγκείμενον ταῖς λέξεσι νοῦν, ὁμοίως τῷ σῷ Παλαμᾷ καὶ ὑμῖν, ἐκείνῳ ταὐτὰ φθεγγομένοις ἀρτίως τά τε ἄλλα καὶ τρεῖς ὁμολογοῦσι φύσεις ἐπὶ τοῦ Σωτῆρος μεταμορφώσεως, μίαν μὲν τῆς ἀνθρωπότητος, δύο δὲ ταῖν δυεῖν θεοτήτων, τῆς τε ἀφανοῦς καὶ τῆς παραδειχθείσης ἀκτίστου δευτέρας θεότητος καθ' ὑμᾶς· ὧν τὴν μὲν ἀμέθεκτον πᾶσι πάντη φατὲ, τὴν δὲ μεθεκτήν· ὡς ἀναγκάζεσθαι πάλιν ἡμᾶς, καὶ τούτων τὴν ἀτοπίαν ἐλέγχειν. (Ε.) Καὶ πρῶτόν γε τὸν περὶ μεθέξεως λόγον ἐνεγκόντες εἰς μέσον ἴδωμεν πῶς ὁ σὸς Παλαμᾶς ἐκ τῶν γραφῶν ποιεῖται τὴν ἐκλογὴν τῶν τε ἡμετέρων καὶ θύραθεν. ὡς γὰρ πολλοὶ μὲν, φησὶ, κλητοὶ, ὀλίγοι δὲ ἐκλεκτοί, οὕτω καὶ πολλῶν τὴν τῶν γραφῶν ἐκλογὴν ποιουμένων, τἀσφαλὲς ὀλίγοις πρόσεστι. μέμνημαι γὰρ τῶν Ἑλλήνων ἐνίους πὴ μὲν ὅμοια τοῖς ἡμῶν φθεγγομένους ἁγίοις, ὧν ἡμῖν ἔνια παρειληφόσιν ἐς τὴν τῶν ἁγίων ἅμιλλαν συνεισενεγκεῖν ἐγεγόνει, πὴ δ' ἀνόμοιά τε καὶ ἐναντία· ἀφ' ὧν τοῖς περὶ Παλαμᾶν ἐκλέγεσθαι τὰ κατὰ γνώμην πέπρωται, κανθάροις ἴσα, οἷς μισεῖν μὲν πέφυκεν ὅσα εὐώδη, ὅσα δ' ἀπόζει μακρᾶς δυσωδίας, ταῦτα δ' ἀσμένως προσίεσθαι. (΄.) Φησὶ τοίνυν ὁ Πλατωνικὸς Πρόκλος ἐν τοῖς αὐτοῦ θεολογικοῖς· "1πᾶν τὸ μετέχον τοῦ μετεχομένου καταδεέστερον· καὶ 2.1101 τὸ μετεχόμενον, τοῦ ἀμεθέκτου. τὸ γὰρ μετέχον, ἀτελὲς μὲν ὂν πρὸ τῆς μεθέξεως, τέλειον δὲ τῇ μεθέξει γινόμενον, δεύτερόν ἐστι πάντως τοῦ μετεχομένου, καθὸ τέλειόν ἐστι μετασχόν. ᾗ γὰρ ἀτελὲς ἦν, ταύτῃ τοῦ μετασχεθέντος, ὃ ποιεῖ τέλειον αὐτὸ, καταδεέστερον. τὸ δὲ μετεχόμενόν τινος ὂν, καὶ οὐ πάντων, τοῦ πάντων ὄντος, καὶ οὔ τινος, πάλιν ὑφειμένην ἔλαχεν ὕπαρξιν. τὸ μὲν γὰρ τῷ πάντων αἰτίῳ συγγενέστερον, τὸ δὲ ἧττον συγγενές. ἡγεῖται ἄρα τὸ μὲν ἀμέθεκτον τῶν μετεχομένων· ταῦτα δὲ, τῶν μετεχόντων. ὡς γὰρ, συνελόντι φάναι, τὸ μέν ἐστιν ἓν πρὸ τῶν πολλῶν· τὸ δὲ μετεχόμενον ἐν τοῖς πολλοῖς ἓν ἅμα καὶ οὐχ ἕν· τὸ δὲ μετέχον πᾶν οὐχ ἓν ἅμα καὶ ἕν."2 σκεπτέον ἐνταῦθα πρὸς θεοῦ, πῶς πολλῶν τῶν τοῦ Ἕλληνος ὄντων δογμάτων περὶ θεοῦ, ὧν τὰ πλείω τοῦ νοσεῖν πως ἀπήλλακται, ὅδε τῷ μάλα νοσοῦντι προσετετήκει μέρει, ὃ κἂν αὐτῷ παρόντι τῷ Ἕλληνι μετάμελον ἐχορήγει, τἀτόπημα δημοσιευόμενον βλέποντι· ἢ πῶς οὐκ ἂν ᾐδέσθη τὸν ἔλεγχον αὐτόθεν αἰσχύνοντα, βλέπων ὡς αὐτὸς ἑαυτῷ μάχοιτο, τἀναντία τοῖς πρότερον ἐνταυθοῖ δογματίζων; τρεῖς μὲν γὰρ ἐνταῦθα τάξεις ποιεῖται· μίαν μὲν τὴν τοῦ ἀμεθέκτου καὶ ὑπερκειμένου θεοῦ, δευτέραν δὲ τὴν τοῦ μεθεκτοῦ γένους, καὶ τρίτην τῶν μετεχόντων. καὶ ἡγεῖται τοσοῦτον ὑπερ 2.1102 κεῖσθαι τῶν μεθεκτῶν τὸ ἀμέθεκτον, ὅσον ταῦτα τῶν μετεχόντων. πρόσθεν δ' ἐδείκνυ πᾶν τοὐναντίον. τὸ γὰρ ἓν ἔλεγεν εἶναι πάντων ἀρχὴν καὶ πάντῃ μετεχόμενον ὑπὸ τοῦ πλήθους, τουτέστιν ὑπὸ πάντων. πῶς γὰρ ἂν ὑπὲρ τὰ πάντα ἦν καὶ πάντων αἴτιον τῶν ὄντων, εἴπερ τὸ ἀσχέτῳ τε καὶ ἀμεθέκτῳ πρὸς ταῦτ' εἶναι προσῆν αὐτῷ; τοῦ γὰρ τὰ πάντα πληροῦντος καὶ ἐν πᾶσιν ὄντος, πῶς οὐ μεθέξει πάντα; ἀλλ' ἔοικε δεδιότι, μὴ καὶ τὸ θεῖον ὑπὸ τῶν πασχόντων, καθάπερ τὰ σώματα, μερισθῇ. οὐδὲ γὰρ ἔφθη μαθὼν, ὡς ὁ θεὸς ἁπλοῦς ὢν πανταχῇ ἐστιν ὁλικῶς, καὶ οὐδαμοῦ· καὶ μετέχεται μὲν ὑφ'



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἁπάντων, ἀμεθέκτως δέ· καὶ μερίζεται μὲν, ἀμερίστως δέ· κατὰ τὴν εἰκόνα τῆς ἡμετέρας ψυχῆς, ἁπλῆς οἷον οὐσίας καὶ αὐτῆς. καὶ γὰρ καὶ αὕτη πανταχοῦ τοῦ σώματος ὅλη ὁλικῶς ὑπάρχουσα μετέχεται μὲν ὑφ' ἑκάστου τῶν τοῦ σώματος μερῶν, ἀμεθέκτως δέ. οὐδὲ γὰρ οὐδὲν ἰδίᾳ τούτων οὐδαμῆ γίνεσθαι πέφυκε ψυχή· πλὴν ἕκαστον τῶν τοῦ σώματος μερῶν, ὡς ἔχει φύσεως ἅμα καὶ θέσεως, ὑπό γε τῆς κινούσης ὁμοῦ καὶ ζωούσης ἐνεργεῖται ψυχῆς· ὥστε καὶ εἰ ἦν ἐν τραχήλῳ ἢ ἐν χειρὶ κατασκευὴ στόματος, λάλος ἂν (οἶμαι) ἦν καὶ ἡ χεὶρ καὶ ὁ τράχηλος. εἰ οὖν οὕτω τοῦτο, πολλῷ ἂν μᾶλλον ὑπὸ πάντων μετέχοιτο θεὸς, ὁ πανταχοῦ παρὼν καὶ τὰ πάντα πληρῶν. καὶ ἐν ἑκάστῳ γὰρ τῶν πάντων γινόμενος ὅλος ἐστί· καὶ ὅλος μένει καθ' ἑαυτὸν καὶ ἐν πᾶσι καὶ πρὸ τῶν πάν 2.1103 των· καὶ ὅλος μεθεκτὸς ὁ αὐτὸς καὶ ὅλος ἀμέθεκτος. (Ζ.) Ἀλλὰ τοῦτον ὁ Χριστιανὸς ἐμιμήσατο Παλαμᾶς ἀμαθῶς τε καὶ κακοτρόπως, καὶ μιμησάμενος οὐκ ἠνέσχετο μέχρι μιμήσεως εἶναι τἀγώνισμα· ἀλλὰ φιλότιμος ὢν ἐν κακοῖς ἐκείνου μὲν ἐξ ἀμαθίας διέφθαρκε τὴν λέξιν, αὐτὸς δὲ τῇ κακίᾳ κακίαν προστίθησι διανοίας. ἐκεῖνος μὲν γὰρ οὐδαμῆ δογματίζων ἀκτίστων θεοτήτων ἠλώκει πλῆθος· μηδὲ γὰρ ἐγχωρεῖν ἐνεργεῖ τῇ φύσει· ὁ δ' ἀμέθεκτόν τε καὶ ὑπερκείμενον ἔφησεν εἶναι πρῶτον θεόν· δευτέρᾳ δ' ἔπειτα δίδωσι τάξει τὸ τῶν μεθεκτῶν καὶ ὑφειμένων θεοτήτων πλῆθος· τρίτην δὲ χώραν ἔνειμε τοῖς τε ἀνθρώποις καὶ ὅσα ὑπὸ τὴν αἴσθησιν ἐνάρετα πράγματα, καθὰ πολλάκις εἴρηταί τε καὶ εἰρήσεται ἡμῖν· καὶ ἅμα ἄναρχά τε καὶ ἄκτιστα εἶναι ὡρίσατο, μετὰ πολλῆς τῆς αὐθεντίας ποιησάμενος τὴν προσθήκην. οὕτω ὁ φιλότιμος ἀνὴρ γίνεται χορηγὸς τῶν μήτ' ὄντων μήτ' ἐσομένων, ἀναρχίαν καὶ ἀκτισίαν ἐπευωνίζων οὕτως ἀφθόνῳ χειρὶ τοῖς κτίσμασι, καὶ τὰς μὲν ὡς ὕδωρ σπείρων, τὰς δ' ὡς ἄμμον διασκορπίζων. θαυμάσειε δ' ἄν τις, πῶς ἃ μὲν μήτ' ἔχει μήθ' ἕξει δίδωσιν, ὥσπερ αὐτοματίζων τῶν μήτ' ὄντων μήτ' ἐσομένων τὴν γένεσιν· τῶν δὲ χρημάτων τὰ μὲν ὡς ἄμμον θησαυρίζει, τῶν θείων εἰκόνων ἀσελγῶς ἀφαιρούμενος, τὰ δ' ὅθεν οὔτ' ἔσπειρεν οὔτε διεσκόρπισεν, ἀπονητὶ συνάγει, τοῦ βασιλικοῦ κελεύοντος τρίποδος. ἀλλ' ἀναίσχυντον ἡ ἀμαθία, καὶ φι 2.1104 λεῖ γε ὡς τὰ πολλὰ τὸ τῆς φύσεως ἐλλιπὲς τῇ θρασύτητι διασώζειν βιάζεσθαι· καθάπερ οἱ χωλεύοντες τὸ λεῖπον τοῦ ποδὸς ξυλίνῳ διασώζουσιν ἐνίοτε. ἀλλ' ὁ περὶ τοῦ ἀκτίστου λόγος εἰς ἑτέραν ἡμῖν τεταμιεύσθω τράπεζαν· περὶ δ' ἀμεθέκτου τῶν ἁγίων ὅ,τι φασὶν ἀκουσώμεθα. (Η.) Διονύσιος τοίνυν ὁ Ἀρειοπαγίτης τάδε διέξεισι. "1μεθεκτὸς μὲν ὁ θεὸς, κατὰ τὰς μεταδόσεις αὐτοῦ· ἀμέθεκτος δὲ, κατὰ τὸ μηδὲν μετέχον αὐτῆς τῆς οὐσίας αὐτοῦ, ἢ τῆς ζωῆς αὐτοῦ, ἢ τῆς σοφίας αὐτοῦ, ἤ τινος τῶν τοιούτων, ἅπερ ἔχει πάντα καθ' ὑπεροχὴν καὶ ἐξαιρέτως."2 καὶ πάλιν· "1ἓν μέν ἐστι τὸ ὄντως ὂν καὶ καλὸν καὶ ἀγαθὸν καὶ σοφὸν, οὗ πάντες οἱ ἑνοειδεῖς ἐφίενται· μετέχουσι δ' αὐτοῦ οὐχ ἑνιαίως, καίτοι ἑνὸς καὶ ταὐτοῦ ὄντος, ἀλλ' ὡς ἑκάστῳ τὰ θεῖα διανέμει ζυγὰ κατὰ τὴν ἑκάστου ἐπιτηδειότητα· καθὰ καὶ πάσας ἔχειν ἔφαμεν τοῦ κύκλου τὰς γραμμὰς τὸ κέντρον ἑνοειδῶς."2 ἐπιστῆσαι δ' ἄξιον ἐνταυθοῖ, πῶς ὁ μέγας Διονύσιος οὕτω λόγῳ βραχεῖ πᾶσαν παλαμναίαν κακόνοιαν, ὡς ἀράχνης ἱστὸν, διαλέλυκε. διαιρῶν γὰρ τῆς οὐσίας ὁ Παλαμᾶς σοφίαν καὶ δύναμιν καὶ ἀγαθότητα καὶ ζωὴν, καὶ ὅσα φησὶν ἐνεργείας τε καὶ ἀκτίστους θεότητας, τὴν μὲν οὐσίαν ἀμέθεκτον εἶναι τὸ παράπαν ὁρίζεται, ἰδιαζόντως γε μὴν αὐτὰς μεθεκτὰς, καὶ τοσαύτην ἐχούσας ἰδιότροπον ἑκάστην ἰσχὺν, ὡς δύνασθαι καὶ τοὺς ἀνθρώπους ἀκτίστους θεοὺς ἀπεργάζεσθαι καὶ ἀνάρχους. Διονύσιος ὁ τὰ θεῖα σοφὸς συνελὼν 2.1105 ἀμεθέκτους καὶ ταύτας ὁμοῦ τῇ οὐσίᾳ φησὶ, ἅτε μηδὲν τὸ διάφορον μηδαμῆ κεκτημένας, πλήν γε δὴ τοῦ ὀνόματος μόνου. δυοῖν οὖν ἀνάγκη θάτερον. ἢ γὰρ οὐ παραδέχεται Διονύσιον ὁ παράφρων οὑτοσί· ἢ τῆς ἐκείνου σοφῆς διανοίας ἀσύνετος μένει καθάπαξ· ἢ καὶ ἀμφοῖν ὁ ταλαίπωρος ἔνοχος εἶναι δοκεῖ. ἔπειτα μήτε νοῶν, μήτε δεχόμενος, οὐκ ἐρυθριᾷ διαβάλλων ἑτέρους καὶ τὰ οἰκεῖα μετάγων σκώμματα κατ' ἐκείνων, οἳ τελέως ἅμα



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

καὶ ἀπρὶξ ἔχονται τῶν ἐκείνου. ἀπηναισχύντησε γὰρ ὁ μεμηνὼς, καὶ ὄψις πόρνης καὶ μοιχαλίδος ἐγένετό οἱ, ἣ ὅτε πράξῃ (φησὶ Σολομὼν) ἀπονιψαμένη οὐδὲν ἄτοπον πεπραχέναι φησίν. (Θ.) "1Ἀλλὰ γὰρ οὐκ ἄν ποτε δεξαίμην ἐγὼ (φησὶ) μεθεκτὴν ὅλως τὴν θείαν ὑπάρχειν οὐσίαν, οὐχ ἕως ἂν ἐν τοῖς ζῶσίν εἰμι καὶ τοῖς ἀέρος πνέουσι. τάχιστα γὰρ ἂν ἐξαναλώσῃ τὴν μετασχεῖν ἐθέλουσαν φύσιν, πρὶν ἂν μετάσχῃ. οὐδεὶς γὰρ ὄψεται τὸ πρόσωπόν μου, καὶ ζήσεται, φησὶν ἡ θεία γραφή."2 ἰοὺ ἰοὺ τῆς εὐηθείας καὶ τῶν σεμνῶν λογαρίων, μᾶλλον δὲ τῆς ἀσέμνου βωμολοχίας! εἶτα ἐλάνθανεν ἡμᾶς ὕθλων ὑπάρχων μεστὸς, καὶ μύθων Ἑλληνικῶν, καὶ οὐδὲ τούτων σοφῶν, ἀλλ' οἵους φασὶ τὰ γραΐδια παρὰ τὰς ἐπ' ἀλέα λέσχας. εἰς γὰρ τὰς Διὸς καὶ Σεμέλης ψευδεῖς καὶ μυθώδεις μετήνεγκεν ὁ ταλαίπωρος τὴν σμικρόνοιαν κοινονοίας 2.1106 καὶ θείου φωτὸς ἐπιδημίας· οὗ γενομένου, θνητὴν οὖσαν καὶ οὐρανίου Διὸς ἐνεγκεῖν οὐδαμῆ δυνηθεῖσαν λαμπρότητα, μηδ' αἰθερίων κεραυνῶν ἐνδημίαν, ἀναλωθῆναι τὴν δυστυχῆ. οὕτω σμικροπρεπῶς τε καὶ ἀγεννῶς τὰς εὐγενεῖς τῶν ἁγίων ἐννοίας καὶ λέξεις ἐξ ἀμαθίας ὁ Παλαμᾶς ἐκλαμβάνων καὶ διαστρέφων τὰ θεῖα τῆς ἐκκλησίας ἐμόλυνε δόγματα, ὥσπερ ἀποσειομένης τῆς σφῶν ἐπιστήμης τὴν αὐτοῦ κακοήθειαν· καθάπερ τὰ τῶν ῥόδων εὔοσμα καὶ εὐανθῆ τὴν μαραίνουσαν αὐτὰ καὶ πρὸ τοῦ χρόνου χεῖρα. τοιοῦτον οἱ σεμνοὶ τῆς νῦν ἐκκλησίας ποιμένες νέον διδάσκαλον τῶν θείων δογμάτων προὐστήσαντο, τυφλὸν τυφλῷ ὁδηγόν. ὅτι δ' οὐχ ἁπλῷ τινι λόγῳ πρὸς ταῦτα χρώμενος φαίνεται, ἀλλ' ὀξεῖαν καὶ σφόδρα γε κατεσπουδασμένην ἔχει τὴν πρόθεσιν τῆς ψυχῆς, καὶ ταὐτὸν ἀεὶ τοῖς γυψὶ καὶ κανθάροις ποιεῖ, τὰ ὑγιαίνοντα καὶ ὅσα εὐώδη παριὼν, τῶν τε λέξεων καὶ ἐννοιῶν τοῖς νοσοῦσί τε καὶ ὅσα μακρᾶς δυσωδίας ἀπόζει, προστέτηκε, καὶ ἅμα διαστρέφων οὐ μάλα αἰδεῖται τὰ πλεῖστα (τοῦτο δὲ καὶ γυπῶν καὶ κανθάρων ὑπέρτερον) δῆλον ἐντεῦθεν. ἐν γὰρ Τιμαίῳ Πλάτων θεολογεῖν ἑλόμενος θεὸν ὑπερκείμενον τίθησι πρῶτον, ταῖς ὑφειμέναις ἐγκελευόμενον ἑαυτοῦ δυνάμεσι καὶ θεότησι τῶν παρ' Ἕλλησι σεβομένων δαιμόνων, τὰ ὄντα πάντα κατ' εἶδος ἕκαστα δημιουργεῖν, καὶ πάντων ἐμπλῆσαι κτισμάτων οὐρανόν τε καὶ γῆν, καὶ ὅσον ἐν μέσῳ σύγκρι 2.1107 μά τε καὶ σύστημα· "1θεοὶ θεῶν,"2 λέγων, "1ὧν ἐγὼ δημιουργὸς πατὴρ τε ἔργων, ἃ δι' ἐμοῦ γέγονε, τρέπεσθε κατὰ φύσιν ὑμεῖς ἐπὶ τὴν τῶν ζώων δημιουργίαν, μιμούμενοι τὴν ἐμὴν δύναμιν περὶ τὴν ὑμῶν γένεσιν, καὶ ἀπεργάζεσθε ζῶα, καὶ γεννᾶτε, τροφήν τε διδόντες αὐξάνετε· καὶ φθίνοντα πάλιν δέχεσθε."2 (Ι.) Ὁρᾶτε τίνων μαθητὴς ἐγεγόνει, καὶ οἷς ἠκολούθησε δόγμασι, καὶ ὅθεν ἀρυσάμενος ἐξηρεύξατο καὶ αὐτὸς ἀνατροπὴν θολερὰν κατὰ τῆς τοῦ θεοῦ ἐκκλησίας, ὅσα τὰ ὄντα κατ' εἶδος, φάσκων τοσαύτας εἶναι καὶ τὰς ὑφειμένας τε καὶ ἀκτίστους θεότητας, οἷον ἰδέας Πλατωνικὰς, τῷ δημιουργῷ συνανάρχους μὲν καὶ συναϊδίους, ἑτεροφυεῖς δέ· καὶ ἄλλας ἄλλων γίνεσθαι ποιητικὰς ἀκτίστων καὶ κτιστῶν (τοῦτο δὴ τὸ τῆς αὐτοῦ συνηθείας προσθετικὸν) οἷον τῆς μὲν ζωῆς τὴν ζωὴν, τῆς δὲ σοφίας τὴν σοφίαν, τῆς δὲ δυνάμεως τὴν δύναμιν, καὶ τἄλλα ὁμοίως. ὃ γὰρ Πλάτωνι προστεθεικέναι οὐ γέγονε διὰ μνήμης, τοῦτο προσεξεῦρεν αὐτὸς, τὸ τῶν ἀκτίστων δηλαδὴ, ἐν τοῖς κακοῖς ἀεὶ φιλοτιμούμενος ἔχειν τῶν κακῶν τὰ πρωτεῖα, ἵν' εἴη σαφέστατα κακῶν ἁπάντων ὁ κάκιστος. οὐδὲ γὰρ οὐδ' Ἑλλήνων οὐδέσι τετόλμηται πώποτε, δεύτερον ἄκτιστον ἐπὶ νοῦν εἰληφέναι, παρὰ τὴν τὰ πάντα κτίσασαν μίαν δύναμιν. πλείστους δ' ἔχων παράγειν εἰς μαρτυρίαν ἐκεῖθεν παρίημι συντομίας ἐχόμενος. Πλούταρχος δ' ὅμως ὁ ἐκ Χαιρωνείας Νουμᾶν τὸν Πομπήλιον ἀναγράφων, ὃς Ῥωμαίων 2.1108 τοῖς πάλαι τὰ κράτιστα ἐνενομοθετήκει (καθὰ Σπαρτιάταις Λυκοῦργος, καὶ Λοκροῖς τοῖς Ἐπιζεφυρίοις Ζάλευκος, καὶ πρός γε Σικελιώταις Χαρώνδας ὁ Καταναῖος) τά τ' ἄλλα σὺν δίκῃ πάσῃ καὶ εὐνομίᾳ τὴν τότε Ῥωμαϊκὴν συστησάμενον πολιτείαν καὶ τάδε περὶ αὐτοῦ καταλέγει. "1ἔστι γὰρ,"2 φησὶ, "1καὶ τὰ περὶ τῶν ἀφιδρυμάτων νομοθετήματα παντάπασιν ἀδελφὰ τῶν


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Πυθαγόρου δογμάτων. οὔτε γὰρ ἐκεῖνος αἰσθητὸν ἢ παθητὸν ἐνόμιζε τὸ θεῖον, ἀόρατον δὲ καὶ ἄκτιστον, καὶ νοητὸν ὑπελάμβανεν εἶναι τὸ πρῶτον. οὗτος δὲ διεκώλυσεν ἀνθρωποειδῆ καὶ ζωόμορφον εἰκόνα θεοῦ Ῥωμαίους νομίζειν, ὡς οὔθ' ὅσιον ἀφομοιοῦν τὰ βελτίω τοῖς χείροσι, οὔτ' ἐφάπτεσθαι θεοῦ δυνατὸν ἄλλως, ἢ νοήσει."2 ἠκούσατε τριῶν ἐν ταὐτῷ θαυμασίων ἀνδρῶν ἐξ ἀλλοδαπῆς θρησκείας, ὁπόσην τῷ ἑνὶ καὶ μόνῳ θεῷ ἀκτίστῳ τὴν εὐλάβειαν ἀπονέμουσι, καὶ ὅπως οὐδὲν τῶν ἁπάντων ἄνευ αὐτοῦ δογματίζουσιν ἄκτιστον, Πυθαγόρου λέγω, καὶ Πομπηλίου Νουμᾶ, καὶ τρίτου δὴ τοῦ τἀκείνων τοιαῦτα ἐπαινοῦντος δόγματα, Πλουτάρχου τοῦ Χαιρωνέως. ὁ δὲ Παλαμᾶς, ἄναρχόν τε καὶ ἀβασίλευτον ἑαυτὸν καταστήσας ἀνομοθέτητον, εἰς τὴν ὑπ' οὐρανὸν ἐξήνεγκεν ἐξουσίαν, ἄκτιστα γίνεσθαι πάντα τά τ' οὐράνια τά τε χθονοστιβῆ καὶ ὑδραῖα γένη. τῆς ἀναισθησίας τῶν ἑπομένων! (ΙΑ.) Ἔγνωτε πάντως πανταχόθεν καὶ πολυτρόπως, ὅπως οὔτε τοῖς ἁγίων ἥκισθ' ἕπεσθαι νομίζει δόγμασιν, οὔθ' Ἑλλήνων τοῖς 2.1109 ὑγιῶς πως ἔχουσιν· οἷς καὶ τῶν ἡμετέρων ἁγίων πολλοὶ συνηνέχθησαν· ἀλλὰ τοῖς πάνυ τοι σφόδρα διεφθορόσι. καὶ θαῦμα, πῶς ἐκεῖ μὲν ὀξυδερκῶν ἀκολάστοις ὄψεσιν ἐπιβόσκεται τὰ νοσοῦντα καὶ σεσηπότα κατὰ τοὺς γύπας, πρὸς δὲ τὰς τῶν ἡμετέρων ἁγίων γραφὰς ἐκτετύφλωται, μήτε βουλόμενος μήτε δυνάμενος ὀρθῶς ἐνορᾷν. καί μοι δοκεῖ τὸ τῆς Λαμίας πάσχειν ἐκείνης τῆς μυθικῆς, ἥν φασιν οἴκοι μὲν οὖσαν ἀβλεψίᾳ συζῆν, οὐκ ἔχουσαν ὄψεις· ἐξιοῦσαν δὲ τῆς οἰκίας οὕτω βλεπούσας κτᾶσθαι τὰς ὄψεις ἐξαίφνης, ὡς ἅπαντα βλέπειν τὰ τῶν ἄλλων ἐς τἀκριβές. εἰ δ' οὖν λεγέτω μοί τις παρελθὼν, πῶς, πάμπολλα λεγόντων διαῤῥήδην τῶν ἁγίων ἀκούων, περὶ τοῦ μὴ διάφορον τὴν ἐνέργειαν τῆς οὐσίας ὑπάρχειν ἐπὶ θεοῦ, καὶ μάλιστα τοῦ θείου Διονυσίου τά τε ἄλλα περὶ τῶν τοιούτων διεξιόντος, ὁπόσα εἰρήκειμεν, καὶ ὅτι οὐκ ἄλλο τἀγαθὸν εἶναι, φάσκοντος, καὶ ἄλλο τὸ ὂν, καὶ ἄλλο τὴν ζωὴν, ἢ τὴν σοφίαν, οὐδὲ πολλὰ τὰ αἴτια, καὶ ἄλλων ἄλλας παρακτικὰς θεότητας ὑπερεχούσας καὶ ὑφειμένας· ὁ δὲ τοῖς τοιούτοις ἅπασι κωφὸς καὶ τυφλὸς γεγονὼς τοῖς ἐναντίοις ἀσμένως προσετετήκει, τοῖς τε ἄλλοις καὶ μάλιστα Εὐνομίῳ τῷ δυσσεβεῖ, μὴ χρῆναι λέγοντι γνώμαις ἑτέρων πειθομένους ἑνοῦν τῇ οὐσίᾳ τὴν ἐνέργειαν περὶ θεοῦ, ἀλλὰ πάντη διαφέρουσαν εἶναι πιστεύειν, καὶ ἅμα ἀνούσιόν τε καὶ ἀνυπόστατον. οἷς ἀνθιστάμενος ὁ Νυσσαέων θεῖος Γρηγό 2.1110 ριος, "1τί ἂν,"2 φησὶ, "1λέγοι εἶναι καθ' ἑαυτὴν τὴν ἐνέργειαν, τὴν οὔτ' οὖσαν οὔτε χαρακτῆρα, οὔθ' ὑπόστασιν; οὐκοῦν τοῦ ἀνυπάρκτου εἶπεν ὁμοίωμα. τὸ δὲ τῷ ἀνυπάρκτῳ ὅμοιον οὐδ' αὐτὸ πάντως ἐστίν. αὕτη τῶν καινῶν δογμάτων ἡ τερατεία, τὸ πιστεύειν εἰς τὸ μὴ ὄν. τὸ γὰρ τῷ μὴ ὄντι ὅμοιον οὐκ ἔστι πάντως."2 τίς, πρὸς θεοῦ, τῶν ἁπάντων γένοιτ' ἂν δραστικώτερος ἔλεγχος κατὰ τοῦ νέου τουτουῒ δυσσεβοῦς Εὐνομίου, τοῦ νῦν μὲν τοσαύτην ἐκκλησίαν πιστεύειν εἰς τὸ μὴ ὂν συνελαύνοντος, νῦν δ' εἰς πολυθεΐαν, διὰ τὴν τῆς συνήθους αὐτῷ φιλοτιμίας προσθήκην, ἵνα καὶ τὸν διδάσκαλον αὐτοῦ τῇ κακίᾳ κἀνταῦθα παρέλθῃ; (ΙΒ.) Τῆς τοιαύτης οὖν ἔχεται παραπληξίας καὶ ὅ φησιν αὖθις αὐτὸς καὶ περὶ τῆς παραδειχθείσης ἐπὶ τοῦ ὄρους θεότητος. ἰδοὺ γὰρ κἀκεῖ διαστρέψας ἐξ ἀμαθίας, ἢ μᾶλλον κακοτροπίας, τὴν λέξιν πρὸς ἀλλόκοτον καὶ ἔκφυλον τῆς λέξεως ἔννοιαν στρατόπεδον θεοτήτων διαφόρων πεποίηκε τὸ Θαβώριον ὄρος, ἁμιλλωμένων ἀλλήλαις ὑπερθέσεως καὶ ὑφέσεως ἕνεκα· μήπω μαθὼν ὡς τὸ παραδεικνύειν οὐ τὴν καθαρὰν καὶ ἀναμφίβολον δεῖξιν δηλοῖ, ἀλλὰ τὴν αἰνιγματώδη, καὶ ἣ διὰ τῶν φαινομένων τὰ μήπω φανέντα κηρύττει. δῆλον δὲ καὶ ἄλλοθεν μὲν πολλαχόθεν, οὐχ ἧττον δὲ κἀξ ὧν εἰρῆσθαι τῷ Μελῳδῷ καὶ θείῳ ἐπῄει ἐκείνῳ ἀνδρὶ, "1σύμβολα (φάσκοντι) τῆς ταφῆς σου 2.1111 παρέδειξας, τὰς ὁράσεις πληθύνας."2 καὶ αὖ ἐξ ὧν Γρηγορίῳ τῷ θεολόγῳ περὶ τοῦ Πάσχα λέλεκται· "1ὅταν αὐτὸ πίνῃ καινὸν μεθ' ἡμῶν ὁ λόγος ἐν τῇ βασιλείᾳ τοῦ πατρὸς, ἀποκαλύπτων καὶ διδάσκων, ἃ νῦν μετρίως παρέδειξε."2 καὶ πάλιν· "1ἐγκαινίζεται δὲ καὶ ἡ σκηνὴ τοῦ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

μαρτυρίου, καὶ λίαν πολυτελῶς, ἣν θεὸς παρέδειξε, καὶ Μωσῆς ἐπήξατο, καὶ Βεσελεὴλ ἐτελείωσε."2 "1καὶ ἄγγελοι δὲ,"2 φησὶν ὁ Χρυσόστομος, "1παρ' ἀνθρώποις φανέντες, τὸ τῆς οἰκείας φύσεως ἀπαστράπτον φῶς παρήνοιξαν."2 ἡ γὰρ παρὰ πρόθεσις κολαστικόν τινα δείκνυσι τρόπον ἐν τούτοις, ὥσπερ διὰ παραπετάσματος τὴν ἀλήθειαν κρυπτομένην συμβολικῶς ὑπεμφαίνουσα. εἶεν. γ΄. Ἐμοὶ δὲ καὶ μάλα ἐθέλοντι τῶν ἐκεῖ λαληθέντων πάντα διεξιέναι καθ' ἕκαστα, τάς τε ἐκδρομὰς τῶν λόγων ἐκείνων καὶ τὰς ἀγχιστρόφους τῆς μάχης ἐκείνης μεταβολὰς, καὶ τὰς κατὰ στόμα τῶν ἀντιθέσεων ἀπαντήσεις· καὶ ὅπως, καθάπερ ἐν ἐρημίᾳ λυσσῶντες κύνες, κυκλώσαντες μονωθέντα με κατὰ ταὐτὸν, ὁ μὲν κατὰ τῶν ἐμῶν ὠθεῖν ἠπείγετο στέρνων τῆς ἀσεβείας τὸ ξίφος, ὁ δὲ τὰ τῶν ὀπισθίων μοι κράσπεδα σφόδρα ἐπιβούλως παρέσπα καὶ παρεῤῥήγνυ, καὶ πρὸς ἑαυτὸν μετὰ τῆς γλώττης ἑκάτερος ὅλον ἀνθεῖλκε τὸν νοῦν ἡμέτερον· καὶ συνελόντι φάναι, τοὺς συχνοὺς καὶ ἐπαλλήλους ἐκείνους ἱδρῶτας, οὓς ἀπαθῶς ὁ τῶν ἀδήλων μόνος ἔβλεπεν ὀφθαλμὸς, διεξιέναι καθ' ἕκαστα 2.1112 βουλομένῳ μοι αἱ τῆς κεφαλῆς ἀλγηδόνες οὐκ ἐνεδίδουν. διὸ παραιτεῖσθαι βουλόμενον δι' αὐτό γε τοῦτο, καὶ πρός γε διὰ τὴν πάλαι τοῦ Καβασίλα φιλίαν ἐκείνην, ἐκπομπεύειν οὐ μάλα ἐθέλων, ὁπόσα κἀκείνῳ κατὰ τῶν πατρίων τηνικαῦτα ἐθῶν καὶ δογμάτων τῆς ἐκκλησίας λελάληται δύσφημα δι' ἀμαθίαν (οὐ γὰρ ἄν ποτε φαίην ἐγὼ, μοχθηρίαν ψυχῆς) ἐμποδὼν οἱ φίλοι μοι σφόδρα καθίσταντο. διὸ καὶ μικρὸν ἀναπνεύσας ἀνελάμβανον αὖθις ἐμαυτὸν, καὶ ἐς τὸ πρότερον ἴχνος τῆς διηγήσεως ἀνῆγον τὸν λόγον, ἐκεῖνα μεταξὺ παραλείπων, ὅσα τὸ πρότερον ἔτος ἡμῖν λεπτότερόν τε καὶ τεχνικώτερον ἐν τοῖς Ἀντιῤῥητικοῖς ἐκδέδοται, ἢ μᾶλλον ἃ τὴν τοῦ Παλαμᾶ στηλιτεύει κακίαν ἐς τἀκριβέστερον. (Β.) Πρῶτον μὲν οὖν ἀναλαβὼν ἐξεθέμην εἰς προὖπτον τῶν Παλαμικῶν δογμάτων ἐκεῖνα, ἃ τηνικαῦτα Καβασίλᾳ προενεγκεῖν εἰς αὐτοῦ συμμαχίαν συμπέπτωκεν· ἵν', ὥσπερ οἱ τοξόται κατὰ σκοπὸν, καὶ ἡμῖν ἀσφαλῶς τοξεύειν προσγίγνηται. ἔχει δ' οὕτως ἐν ταῖς διανοίαις καὶ λέξεσιν ἀμεταποίητα πάντα παντάπασιν. "1ἑρμηνεύων ὁ προφήτης καὶ διακρίνων, τί τὸ πνεῦμα τοῦ θεοῦ τοῦτο, πνεῦμα, φησὶ, σοφίας καὶ συνέσεως, πνεῦμα βουλῆς καὶ ἰσχύος, πνεῦμα γνώσεως καὶ εὐσεβείας, πνεῦμα φόβου θεοῦ· ὥστε ταῦτ' ἐστὶ τὸ πνεῦμα τοῦ θεοῦ. ἴδοις δ' ἂν καὶ τὸν μέγαν ἐν θεολογίᾳ Γρηγόριον τοῦτ' αὐτὸ τὸ πνεῦμα τὸ ἅγιον εἶναι δεικνύντα τὰ ἑπτὰ πνεύματα ταῦτα, ὡς κἀν τῷ εἰς 2.1113 τὴν ἁγίαν πεντηκοστὴν λόγῳ αὐτοῦ παρέστησεν ἡμῖν· τοῦτο, λέγων, τὸ πνεῦμα τὸ ἅγιον ἐκηρύχθη μὲν, καὶ τὰ ἑξῆς."2 καὶ μετ' ὀλίγον· "1καὶ μὴν τὴν μίαν τῶν τοῦ πνεύματος ἐνεργειῶν ὁ κύριος ἐν εὐαγγελίοις κατὰ μὲν τὸν Λουκᾶν δάκτυλον θεοῦ, κατὰ δὲ τὸν Ματθαῖον πνεῦμα τοῦ θεοῦ καλεῖ. ἐν τίνι δὲ πνεύματι ὁ κύριος ἐκβάλλειν ἔφη τὰ δαιμόνια, εἰ μὴ ἐν τῷ ἁγίῳ πνεύματι; τὸ ἓν ἄρα τῶν κατὰ διαίρεσιν χαρισμάτων πνεῦμα ἅγιόν ἐστι. εἰ δὲ τὸ ἓν, καὶ τὰ ἄλλα πάντα."2 καὶ πάλιν· "1ἱκανὰ μὲν,"2 φησὶ, "1καὶ ταῦτα πεῖσαι, μήτε κτιστὴν ὑπάρχειν τὴν διδομένην καὶ λαμβανομένην τοῖς κεχαριτωμένοις τοῦ πνεύματος χάριν τε καὶ ἐνέργειαν (αὕτη γάρ ἐστι τὸ πνεῦμα τὸ ἅγιον), μήτε τὴν οὐσίαν εἶναι τοῦ πνεύματος. οὐδενὶ γὰρ ὁ θεὸς τὴν οἰκείαν οὐσίαν δίδωσι."2 καὶ μετ' ὀλίγον· "1ὁ τοίνυν λέγων τὴν λαμπρότητα τῆς θείας φύσεως, ἧς καὶ οἱ θεῷ λειτουργοῦντες ἄγγελοι μετέχουσι, καθ' ἣν καὶ οἱ δίκαιοι λάμψουσιν ὡς ὁ ἥλιος, μήτ' οὐσίαν εἶναι θείαν μήτ' ἀγγελικὴν, οὐ τίθησι μεταξὺ θεοῦ καὶ τῶν ἀγγέλων φῶς, ὃ μήτε θεός ἐστι μήτ' ἄγγελος. ἀλλ' ὁ μέγας Διονύσιος τὰς προαιωνίους μετοχάς τε καὶ ἀρχὰς καὶ τοὺς ἐν θεῷ τῶν ὅλων λόγους καὶ προορισμοὺς, ὧν ἄγγελοί τε καὶ ἄνθρωποι μετέχουσιν, οὐκ εἶναί φησιν οὐσίαν, οὔτε θείαν οὔτ' ἀγγελικήν· πληθυντικῶς δὲ προενεγκὼν ταύτην τὰς ἐλλάμψεις ἔδειξεν οὐκ οὐσίαν οὖσας θείαν. οὐδέποτε γὰρ ἐκείνη πληθυντικῶς προάγεται. 2.1114 ἀνάρχους δὲ καὶ ἀτελευτήτους προσειπὼν ἀκτίστους ὑπαρχούσας ἔδειξε."2 καὶ πάλιν· "1τί οὖν; σύνθεσιν δέδοικας ἐπὶ θεοῦ, καὶ τῶν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐνεργειῶν ἀκτίστων οὐσῶν τε καὶ λεγομένων; πολλῷ μᾶλλον δέδιθι, μὴ κτίσμα ποιήσῃς τὸν θεὸν, τὰς αὐτοῦ φυσικὰς ἐνεργείας ἡγούμενος κτιστάς· τί οὖν; οὐχὶ τὰ ὑποστατικὰ τῆς ἀνωτάτω τριάδος, πολλὰ ὄντα, ἄκτιστά ἐστι; πῶς οὖν οὐ πολλοὶ θεοὶ, ἢ σύνθετος διὰ ταῦτα εἷς; ἢ σὺ κἀκεῖνα ἓν καὶ ταὐτὸν ἐρεῖς τῇ τοῦ θεοῦ οὐσίᾳ καὶ ἀδιάφορον παντάπασι, καθάπερ καὶ τὴν ἐνέργειαν;"2 καὶ πάλιν· "1ἡμῖν δ' οὐδεμία ποτ' ἔσται λέξις ἀποχρῶσα πείθειν, τὰς ἐνεργείας τοῦ θείου πνεύματος, ἃς ὁ προφήτης κεφαλαιωδῶς ἑπτὰ προσεῖπε, μετὰ τῶν κτισμάτων τάττειν. τῶν δὲ θείων καὶ φυσικῶν ἐνεργειῶν τοῦ θεοῦ μία καὶ ἡ κρίσις, καθὰ Ἀβραὰμ ἔφη· ὁ κρίνων πᾶσαν τὴν γῆν οὐ ποιήσεις κρίσιν; ἆρ' οὖν καὶ αὕτη τῶν κτισμάτων ἕν; ἆρα οὖν καὶ τὴν ἑαυτοῦ κρίσιν ἄξει ὁ θεὸς εἰς κρίσιν;"2 καὶ πάλιν· "1πῶς οὐκ ἄκτιστος ἡ χάρις, δι' ἣν καὶ οἱ μετεσχηκότες αὐτῆς ἄκτιστοι καὶ ἄναρχοι καὶ ἀτελεύτητοι καὶ ἀΐδιοι καὶ οὐράνιοι κατ' αὐτὴν παρὰ τῶν πατέρων προσηγορεύθησαν;"2 καὶ πάλιν· "1ἀλλ' ἐπεὶ πολλὰς καὶ διαφόρους ὑποστάσεις καὶ δυνάμεις καὶ ἐνεργείας ὁ θεὸς ἔχει, εἰ μὴ ἕν τι τὸ αἴτιον ἐν αὐταῖς, πολλαὶ καὶ διάφοροι ἔσονται ἀρχαὶ τῆς θεότητος."2 καὶ μετ' ὀλίγον· "1ὁ μὲν υἱὸς καὶ τὸ πνεῦμα ἐκ τοῦ πατρός· αἱ δὲ δυνάμεις καὶ ἐνέργειαι ἐκ τῆς μιᾶς τρισυ 2.1115 ποστάτου φύσεως. καὶ γὰρ οὐχ ἡ οὐσία ἐκ τῆς σοφίας, ἀλλ' ἡ σοφία ἐκ τῆς οὐσίας."2 καὶ πάλιν· "1πῶς δὲ καὶ κτιστὸν, τὸ ἀπὸ καταβολῆς κόσμου μὴ ἐκτισμένον, ἀλλ' ἡτοιμασμένον;"2 καὶ πάλιν· "1ποῖος βάσκανος δαίμων τῇ ἐκκλησίᾳ τοῦ θεοῦ τολμηρῶς ἐπεισήγαγεν, ὅτι ἡ οὐσία τοῦ θεοῦ, ἐνοικοῦσα τοῖς κτίσμασι, τοὺς καθαιρομένους καθαίρει, καὶ τοὺς ἁγιαζομένους ἁγιάζει;"2 καὶ ἐπὶ τούτοις, περὶ τῆς θείας μεταλήψεως καὶ τοῦ θείου βαπτίσματος, ὅσα καὶ ἀνωτέρω που δεδηλώκαμεν. (Γ.) Ἀλλὰ γὰρ ἡμεῖς ἐνταυθοῖ τὰ καιριώτερα τῶν ἀτόπων, ἃ τοῖς δυσὶν ἐκείνοις ἀνδράσιν, ἐκ μόνων δυοῖν Παλαμικῶν ἀναλεξαμένοις λόγων, εἰς ἀντίπαλον προενεγκεῖν καθ' ἡμῶν τηνικαῦτα συμπέπτωκε, κατὰ τὸ ἀπαράλλακτον ἐξεθήκαμεν ὡς ἐν κεφαλαίῳ. ὧν γὰρ ἔργον καὶ μόνον ἀκούειν, ἧπου διεξιέναι καθ' ἕκαστον ἐργωδέστατον ἅπαντα· καὶ οὐδὲ πολλοῦ ἂν δεῖν οἶμαι χρῆμα τουτὶ πονηρὸν νομισθῆναι, καὶ ἴλιγγον ἐμποιοῦν ἀκοαῖς εὐσεβείᾳ συντεθραμμέναις, καὶ μηδὲν μηδαμῆ τῶν πατρίων δογμάτων ἐκτὸς εἰθισμέναις ἀκούειν. ἔξεστι δ', οἷς ἂν ὀρθῶς ἐξείη, σκοπεῖν κἀκ τούτων, ὡς εἰ μικρὸν μέρος δυοῖν τῶν ἐκείνου λόγων τοσαύτας ἔχει τὰς ἀτοπίας, καὶ ταῦτα ἐκ τοῦ παρήκοντος τοῖς θιασώταις ἐκείνου λεχθὲν, πόσας ἄν τις καὶ οἵας εἶναι λογίσαιτο πᾶσι τοῖς ἄλλοις, ὑπὲρ ἑξήκοντα οὖσι; πολύχους γὰρ ἐν κακοῖς ὁ ἀνὴρ, καὶ τεχνικοῦ κανόνος ὡς πο῾῾ωτάτω λεγεῶνας ὅλους δυνάμενος 2.1116 ἐξεμεῖν λογαρίων ἐξ αὐτομάτου. ὅμως ἱκανὰ καὶ ταυτὶ τοῖς τὸ συνειδὸς ἀδέκαστον τρέφουσι, δεῖξαι· (Δ.) Πρῶτον μὲν, ὅπως οὐχ ἓν εἶναι δογματίζει τὸ πνεῦμα τὸ ἅγιον, οὐ μεντἂν οὐδ' ἑπτά τινων ἓν, ἀλλὰ τῶν γε ὑπὲρ τὰ ἑβδομηκοντάκις ἑπτά. Δεύτερον δ', ὅπως ἐν τούτοις οὐ φρίττει διαβάλλων τόν τε μέγαν ἐν θεολογίᾳ Γρηγόριον, καὶ ἅμα τῶν θείων εὐαγγελιστῶν Λουκᾶν καὶ Ματθαῖον, δάκτυλον θεοῦ μὴ τὸ πνεῦμα τὸ ἅγιον λέγοντας, ἀλλ' ἕτερον τῆς οὐσίας καὶ μίαν τῶν ἀπείρων καὶ διαφόρων ἐνεργειῶν ἐνέργειαν. Τρίτον δ', ὅπως μεταξὺ θεοῦ καὶ ἀγγέλων καινόν τι καὶ ἴδιον ἀκτίστων τίθησι γένος ἐνεργειῶν, λαμπρότητα θεοῦ καὶ φῶς ἄῤῥητον ὀνομάζων, ἐν οἷς καὶ τὸν μέγαν διαβάλλει Διονύσιον, συμφωνεῖν αὐτὸν αὐτῷ προβαλλόμενος, ἕς γε τὸ ἄναρχόν τε καὶ ἄκτιστον εἶναι γένος τουτί. Τέταρτον δ', ὅπως ὅτῳ ποτ' ἀνθρώπων ἀκτίστῳ γε ἐκ τοῦ σχεδὸν ἐθέλοντι γίνεσθαι καὶ ἀνάρχῳ ῥᾷστον καὶ ὡς ἐπὶ πρανοῦς εἰπεῖν, ἐξ ἀφθόνων καὶ ἀποῤῥήτων πηγῶν ἀψοφητὶ καταφερομένου τοῦ τῆς τοσαύτης χορηγίας ῥεύματος. Πέμπτον, ὅτι τὸ ἡτοιμασμένον ἄκτιστον δογματίζει, ὡς ἐντεῦθεν ἀνάγκην εἶναι καὶ, ὃ τῷ διαβόλῳ ἡτοίμασε πῦρ ὁ θεὸς, ἄκτιστον εἶναι. Καὶ ἅμα ἕκτον, ὅπως οὐ μόνον τὰς ἀκτίστους ταύτας ἐνεργείας πολλὰς καὶ διαφόρους εἶναί φησιν, ἀλλὰ καὶ τὰς τρεῖς τῆς θείας φύσεως ὑποστάσεις πολλὰς καὶ διαφόρους εἶναι νομοθετεῖ· καὶ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

μικρόν τι συγχέας τὸν λόγον 2.1117 ὑποστάσεις μὲν ὀνομάζει τὰς πολλὰς ἐκείνας καὶ ἀπείρους ἐνεργείας, καὶ τοὔμπαλιν πολλὰς τὰς ὑποστάσεις, ἃς ἄχρι καὶ τήμερον δόγμα πάτριον τρεῖς γε καὶ μόνας ἅπασιν ἀκούειν καὶ σέβειν ἅπασιν ὀρθοδόξοις ἐνῆν. Ἕβδομον, ὅπως καὶ περὶ τῆς ἁγίας μεταλήψεως καὶ τοῦ θείου βαπτίσματος τἀνόσια τούτοις λελάληται. (Ε.) Εἰρήσεται δέ γε καθ' ἕκαστον, εἰ μὴ πάντα, τὰ γοῦν πλείω, μεθ' ὧν ἀντιῤῥήσεων τούτοις καθήκει, οὐχ ὅσας καὶ οἵας αὐτοῖς ἀντεστήσαμεν τότε, σὺν ᾠδῇ μυρία τῶν θείων λογίων ἀγωνιστικώτερον ἐπιόντες, ὁπόσα ὁ τῶν διδασκάλων τῆς ἐκκλησίας πάλαι ὕμνησε χορὸς, ἀλλ' ἃ κατὰ τὸ ἐπιτρέχον ἡ μνήμη σχεδιάζουσα ἡμῶν χορηγήσει τῇ γλώττῃ· οὔκουν δι' ἔνδειαν ἀφορμῶν ἀντιπάλων (τοῦτο γὰρ οὐδέ του τῶν ἐναντίων λέγειν τολμῶντος, οἶμαι, δεήσει ποτέ) πῶς γάρ; ἀφθονίας μακρᾶς προκειμένης ἡμῖν, ὁπόσην ἐμοὶ τῶν ἁγίων βίβλοι κατὰ τὸ δαψιλὲς ἐπαντλοῦσι. τῶν μὲν γὰρ ἄλλων ἐνίοις, πρὸς λόγων ἀγῶνας ἰοῦσιν, ἐξ ἀποριῶν ἀπορίας ἐνίοτε ἀντλεῖν περιγίνεται, ὃ καίριον εἴποιεν ἥκιστα ἔχουσιν· ἐμὲ δ' ἐξ ἀπορίας μακρᾶς εἰς ἀπορίαν μακρὰν καινόν τινα καὶ παράδοξον περιΐστησι τρόπον τὸ τῶν περιόντων ὅπλων πλῆθος, καὶ βελῶν καὶ τόξων καὶ δοράτων (φάναι) παντοδαπῶν, εἰς ἄμυναν τῶν τῆς ἀληθείας ἐχθρῶν. ἀπορεῖν γὰρ ἔμοιγε φαίη τις ἂν ἴσως νῦν περιεῖναι, οὐχ 2.1118 ὁποίων ἂν εὐποροίην ἀφορμῶν ἐς τὴν τοῦ λέγειν παρασκευήν· ἀλλ' ὁπόσας ἂν ἁγίων καὶ οἵας ἂν παραλιπὼν συμμαχίδας γραφὰς, μέρους λαβόμενος βραχυτάτου καὶ ἀποχρῶντος πρὸς ἔνδειξιν τῆς τῶν ἐχθρῶν ἀῤῥωστίας, ἀπαλλαγῆναι γένοιτ' ἂν ἐν βραχεῖ. 2.1119 αʹ. Ἐμοὶ δ' ὃ κἀν τοῖς πρόσθεν πολλάκις δεδρακέναι γέγονε, μετρίων διὰ μῆκος ἁπτομένῳ, καὶ ὅσοις ἀφοσιοῦσθαι τὸ τῆς ἀληθείας κράτος ἐνῆν, τοῦτο δὲ κἀνταῦθα δρᾷν οὐκ ἔγωγ' ἂν ὀκνήσαιμι. τί γὰρ δεῖ πανοπλίας ἐνταῦθα καὶ σπουδῆς πολεμικῆς, τῆς τῶν ἀγώνων παραῤῥυείσης ὥρας, καὶ μαρανθέντος τοῦ ὑπεκκαύματος, καὶ τῶν τότε ἀντιβαινόντων καὶ τὸ θυμούμενον τῆς ψυχῆς ἀναπτόντων, οὐκ ἐνὸν εἶναι μηδενὸς ἐν τῷ νῦν εἶναι. ἄλλως τε κἀπειδὴ τῶν γε πλειόνων ἔφθημεν ἀνωτέρω μνησθέντες μάλα γε ἀποχρώντως, ὡς ἔμοιγε φαίνεται, περιττόν μοι δοκεῖ 2.1120 καὶ τῶν περιέργων οὐ μάλα τὸν πόδα κεκτημένον ἐλεύθερον, περὶ τῶν αὐτῶν ταὐτὰ στρέφοντας ἀεὶ τὴν ἀκοὴν ἀποκναίειν. οὐδὲ γὰρ οὐδ' ὡς ἐκείνοις δήπου τότε πλεῖστα μὲν εἴρηται, τυφλὰ δὲ πάντα καὶ ἄγονα καὶ πρὸς τὸν αὐτὸν τῆς ἀτοπίας ἄγοντα πάντα κρημνὸν, οὕτω πολλῆς ἐνταυθοῖ κἀμοὶ δεήσει τῆς συμμαχίας. ἀλλ' ὥσπερ ἐν τῷ τοῦ ἀγῶνος ἐκείνου καιρῷ διὰ βραχέων εἰς τὸν ἐκείνων ἐκείνους ὠθήσας κρημνὸν ἀπήλλαγμαι, οὕτω καὶ πολλῷ μᾶλλον ἡσυχίας οὔσης, νῦν μετριώτερον ἢ κατὰ τὴν τότ' ἀνάγκην μνησθέντος, οὐκ ἂν εἴη φάναι οὐδενὶ τῶν ἁπάντων, ὡς οὐχ ἱκανῶς τῆς προθυμίας καὶ βουλήσεως ἔσχον ἐγὼ, κἀν τοῖς ἔργοις αὐτοῖς αἰσθέσθαι σαφῶς τοὺς ἐντυγχάνοντας ἐπεπείκειν. ἃ γὰρ ἡμῖν τε πρόσθεν εἴρηται καὶ ὁρᾷν τοῖς βουλομένοις πρόκειται, ἧπου πολλή τις ἂν εἴη ἄνοια, λέγειν ὁμοίως ἀεὶ τὰ αὐτά. ὅσον γὰρ τοῖς ἀντιθέτοις ἐκείνοις δεῖ τῶν ἀεὶ παραλλάξεων, δι' ἀῤῥωστίαν τῶν ἀεὶ λεγομένων αὐτοῖς, τοσοῦτον ἡμῖν, δι' εὐρωστίαν τῶν εἰρημένων, δεῖ πρὸς τὰ ἑξῆς σιωπᾷν. παραπλησίως ὥσπερ, οἷς μὲν ἐν ἡλίῳ καὶ φωτὶ δρᾷν ἔνεστιν ἃ δρῶσι, τούτοις δήπουθεν οὐδὲ μαρτύρων ἄν ποτ' οὐδένων δεήσοι, αὐτῶν ἐξ αὐτομάτου (φάναι) τῶν πραγμάτων τὴν ἀλήθειαν μαρτυρούντων· οἷς δ' ἐν σκότῳ καὶ νυκτὸς ἀδήλοις ἔνεστι βυθοῖς ἐγκυβιστᾷν τοὺς τῆς σπουδῆς θεμελίους, τούτοις οὐκ ἔστιν ὀρθῶς συνορᾷν οὔθ' ὅθεν ἄρχεται, οὔθ' ὅπῃ τελευτᾷ τῶν δρω 2.1121 μένων ἡ βάσις. (Β.) Καὶ πρῶτόν γε δὴ λεκτέον ἡμῖν ἐστι περὶ τῶν πνευμάτων, ὧν ὁ προφήτης ἐπὶ τὸν κύριον ἡμῶν καὶ σωτῆρα Χριστὸν ἀναπαύσεσθαι ἔφησεν· ἐπειδὴ καὶ ὁ τῶν φίλων βέλτιστος ἡμῖν Καβασίλας τοῦτο πρῶτον ἡμῖν ὡς ἰσχυρὸν ἐπεπράχει τῶν λόγων ἐκείνων πρόβλημα. ταῦτα τοίνυν ἑπτὰ ὄντα ἄκτιστά τε καὶ ἅγια πνεύματα δεδογμάτικεν ἅπαντα εἶναι καθάπαξ ὁ Παλαμᾶς, καὶ οἱ θιασῶται. ἣν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

οὖν ἐκ πρώτης ἐπιβολῆς προαγαγόντας εἰς μέσον ἡμᾶς αὐτὴν τοῦ σωτῆρος τὴν ῥῆσιν, ἣν τοῖς ἀποστόλοις εἰρήκει, μηδενὸς τὸ παράπαν ἑτέρου δεήσεσθαι πρὸς πειθὼ τῶν ἀκροωμένων, λέγω δὴ τὴν, "1πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος."2 οὐ πληθυντικῶς γὰρ ἐνταῦθα πνεύματα δέδωκε λέγειν· ἢ πῶς ἂν τὸ τρισυπόστατον τῇ θείᾳ φυλάττοιτο φύσει, πολλῶν καὶ οὐχ ἑνὸς τοῦ πνεύματος ὄντος; ἀλλ' ἐπειδὴ τὸ πάνυ βραχυλογεῖν ὁ πολὺς τοῖς Λάκωσιν ἐκλήρωσε χρόνος ὡς τὰ πολλὰ, τοῖς δὲ φιλολογωτέροις δεῖ πλειόνων ἐνταῦθα μαρτυριῶν εἰς ἀκριβεστέραν τῶν ἐναντίων καθαίρεσιν, φέρε καὶ ἡμεῖς τὰ τοῦ πόθου τοῖς φίλοις ἀποδῶμεν ἀκροαταῖς, ὄκνων ἐκλαθόμενοι πάντων. Μάξιμος τοίνυν ὁ θεῖος τάδε περὶ τῶν ἑπτὰ διέξεισι πνευμάτων, ταὐτὸν δ' εἰπεῖν, ἀρετῶν. "1καὶ ἐπαναπαύσεται,"2 φησὶν, "1ἐπ' αὐτὸν ἑπτὰ πνεύματα· πνεῦμα σοφίας, πνεῦμα συνέσεως, πνεῦμα γνώσεως, πνεῦμα ἐπιστήμης, πνεῦμα βουλῆς, πνεῦμα ἰσχύος, πνεῦμα φό 2.1122 βου θεοῦ. ἔστι δὲ ἴδιον τῶν πνευματικῶν τούτων χαρισμάτων· φόβου μὲν, ἡ ἀποχὴ τῶν κακῶν· ἰσχύος δὲ, ἡ πρᾶξις τῶν ἀγαθῶν· βουλῆς δὲ, ἡ τῶν ἀντικειμένων διάκρισις· ἐπιστήμης δὲ, ἡ τῶν καθηκόντων ἀνόθευτος εἴδησις· γνώσεως δὲ, ἡ κατὰ ἐνέργειαν τῶν ἐν ταῖς ἀρεταῖς θείων λόγων περίληψις· συνέσεως δὲ, ἡ πρὸς τὰ γνωσθέντα διόλου τῆς ψυχῆς συνδιάθεσις· σοφίας δὲ, ἡ πρὸς τὸν θεὸν ἀδιάγνωστος ἕνωσις· καθ' ἣν τοῖς ἀξίοις ἡ ἔφεσις, ἀπόλαυσις γίνεται, μεθέξει ποιοῦσα θεὸν τὸν μετέχοντα, καὶ τῆς θείας αὐτὸν ὑποφήτην καθιστῶσα μακαριότητος, κατὰ τὴν ἀέναον πρὸς τοὺς δεομένους τῶν θείων μυστηρίων ἀνεκπόμπευτον προβολὴν καὶ διέξοδον."2 ἐξηγούμενος δ' αὐτὸς τὰ αὐτά φησι· "1τὸ πρὸς ἡμᾶς κατ' ἐνέργειαν πρῶτον ἀγαθὸν, ὅπερ ἐστὶν ὁ φόβος, τελευταῖον ἀπηριθμήσατο τῆς γραφῆς ὁ λόγος, καὶ σοφίας ἀρχήν· ἀφ' οὗ κινούμενοι πρὸς τὸ τῆς σοφίας τέλος, τὴν σύνεσιν, ἀναβαίνομεν· μεθ' ἣν προσεχεῖς αὐτῷ γινόμενοι τῷ θεῷ, μόνην τὴν σοφίαν τῆς πρὸς αὐτὸν ἑνώσεως μεσιτεύουσαν ἔχοντες· οὐ γάρ ἐστι δυνατὸν ἐπιλαβέσθαι σοφίας, τὸν μὴ πρότερον διὰ τοῦ φόβου καὶ τῶν διὰ μέσου λοιπῶν χαρισμάτων τήν τε λήμην τῆς ἀγνοίας καὶ τὸν τῆς κακίας κονιορτὸν ἑαυτῷ παντελῶς ἀποσεισάμενον. διὰ τοῦτο θεῷ μὲν προσεχῆ 2.1123 τὴν σοφίαν, ἡμῖν δὲ τὸν φόβον, ἡ γραφικὴ τάξις διέθηκεν, ἵν' ἡμεῖς εὐταξίας μάθωμεν ὅρον καὶ νόμον."2 ὁρᾷς ὡς ἀρετὰς καὶ οὐχ ἅγια ταῦτα τίθησι πνεύματα. (Γ.) Περὶ δὴ τῶν τοιούτων ὁμοίως καὶ ὁ μέγας ἔφησε πάλαι Χρυσόστομος τά τ' ἄλλα καί· "1ὅταν τις ἔχῃ χάρισμα ἀγάπης, λέγεται ὅτι πνεῦμα ἀγάπης ἔχει· ὅταν λάβῃ χάρισμα μαρτυρίου, λέγεται πνεῦμα δυνάμεως ἔχειν, τουτέστι χάρισμα. ἐπεὶ γὰρ τὸ δωρούμενον τὸ πνεῦμα τὸ ἅγιόν ἐστι, καλεῖται δὲ καὶ τὸ δῶρον ὁμωνύμως τῷ διδόντι, ἐὰν ᾖ τις πρᾶος καὶ ταπεινὸς τὴν καρδίαν, δῶρον ἔλαβε τῆς πραότητος, καί ἐστι θεοῦ χάρισμα."2 καὶ πάλιν· "1ὅπου δεῖ μαθεῖν τὰ βάθη, καλεῖται πνεῦμα ἀποκαλύψεως. ὅπου δεῖ ἀγάπην ἔχειν, καλεῖται πνεῦμα ἀγάπης. ὅπου δεῖ σαφῆ λαλῆσαι τὸν διδάσκαλον, καλεῖται πνεῦμα σοφίας. ὅπου δεῖ λαλῆσαι τὸν ἀκροατὴν συνετῶς, καλεῖται πνεῦμα συνέσεως."2 καὶ τί δεῖ πάντα καταλέγειν, τοῦ παντὸς λόγου τὰ ἴσα διεξιόντος τοῖς βουλομένοις ὁρᾷν; λεγέτω γάρ τις ἐμοὶ πρὸς θεοῦ παρελθὼν, εἰ πλείονος τῷ σκέμματι δεῖ σαφηνείας, ὥστε μαθεῖν, τὸ μὲν πνεῦμα τὸ ἅγιον εἶναι ἓν, τὴν ἄκτιστον δηλαδὴ καὶ μίαν φύσιν τοῦ θεοῦ· ἃ δὲ τοῖς κτίσμασι χαρίσματα δίδοται, ἀρετὰς καὶ δῶρα διάφορα, καὶ ποιήματα αὐτοῦ, πνεύματα μὲν καλούμενα καὶ ταῦθ' ὁμωνύμως τῷ παρέχοντι πνεύματι, οὐχ ἅγια δέ· καθ' ἃ ὁ μέγας τούτοις συνᾴδει Βασίλειος, "1εἴρηταί τισι,"2 φάσκων, "1ὅτι αἱ ἑπτὰ γυναῖκες (αἱ τῷ 2.1124 προφήτῃ λεγόμεναι Ἡσαΐᾳ· ἐπιλήψονται ἑπτὰ γυναῖκες ἀνθρώπου ἑνὸς, λέγουσαι, τὸ ὄνομά σου κεκλήσθω ἐφ' ἡμᾶς) ἑπτὰ πνεύματά εἰσιν, ἃ μικρὸν ὕστερον ὁ αὐτὸς οὗτος προφήτης καταριθμεῖσθαι μέλλει, ὡς ἐπαναπαυόμενα ἐπὶ τὸν ἐκ ῥίζης Ἰεσσαὶ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐξανθεῖν μέλλοντα· πνεῦμα σοφίας καὶ συνέσεως, πνεῦμα βουλῆς καὶ ἰσχύος, πνεῦμα γνώσεως καὶ εὐσεβείας, πνεῦμα φόβου θεοῦ. ἅπερ διὰ τὸ πάντας ἐκκλῖναι, καὶ ἅμα ἀχρειωθῆναι, οὐκ ἔχοντα ᾧ ἐπαναπαύσεται ἀγαπητῶς, τοῦ κατὰ τὸν κύριον ἀνθρώπου λαβόμενα, ποιεῖ τὰ ἀναγεγραμμένα. ἀργεῖ γὰρ τὸ πνεῦμα τῆς γνώσεως καὶ τῆς εὐσεβείας ἐν καιροῖς, ὅτε οὐκ ἔστιν ὁ συνιὼν, οὐκ ἔστιν ὁ ἐκζητῶν τὸν θεόν· καὶ οἱονεὶ ὄνειδός ἐστι ταῖς ἀρεταῖς τὸ μηδένα εἶναι τὸν ἀντεχόμενον αὐτῶν, ἀλλ' οἱονεὶ χηρεύειν αὐτὰς, ἀπορίᾳ τῆς ὑποδεχομένης αὐτὰς ψυχῆς. τὸ γὰρ μηδένα δυνηθῆναι ἑλεῖν τῷ οἰκείῳ κάλλει, ἀλλ' ἐναπομεῖναι τῇ ἐρημίᾳ, ὥσπερ καὶ τῶν ἀρετῶν δοκεῖ καθάπτεσθαι. ὁ δ' ἐν ἑαυτῷ πᾶν εἶδος ἀρετῆς κατὰ τὴν ἄκραν τελείωσιν ἐπιδεικνύναι μέλλων ἀφαιρεῖ τὸν ὀνειδισμὸν ἀπ' αὐτῶν."2 ἰδοὺ καὶ οὗτος οὐχ ἅγια πνεύματα λέγει ταυτὶ, ἀλλ' ἀρετὰς ἀνθρωπίνας ἐπαναπαυόμενα Χριστῷ κατὰ τὸ ἀνθρώπινον. (Δ.) Καὶ ὁ μέγας δ' αὖθις Ἀθανάσιος, πρὸς Σεραπίωνα τὸν ἐπίσκοπον περὶ τοῦ ἁγίου πνεύματος γράφων καὶ τοὺς Πνευματομάχους ἐλέγχων, ἐν τῷ προ 2.1125 φήτῃ φάσκοντας Ἀμὼς ἀκούειν λέγοντος τοῦ θεοῦ, ὅτι ἰδοὺ ἐγὼ στερεῶν βροντὴν καὶ κτίζων πνεῦμα· "1εἴπατε,"2 φησὶν, "1εἴπου τῆς θείας γραφῆς εὑρίσκεται τὸ πνεῦμα τὸ ἅγιον εἰρημένον ἁπλῶς πνεῦμα, χωρὶς προσθήκης τοῦ λέγεσθαι τοῦ θεοῦ, ἢ τοῦ πατρὸς, ἢ ὅτι ἐμοῦ, ἢ ὅτι αὐτοῦ τοῦ Χριστοῦ καὶ τοῦ υἱοῦ, ἢ παρ' ἐμοῦ (ὅ ἐστι παρὰ τοῦ θεοῦ) ἢ μετὰ τοῦ ἄρθρου· ἵνα μὴ ἁπλῶς λέγηται πνεῦμα, ἀλλὰ τὸ πνεῦμα, ἢ αὐτὸ τοῦτο, τὸ πνεῦμα τὸ ἅγιον, ἢ Παράκλητος, ἢ ἀληθείας· ὅ ἐστι τοῦ υἱοῦ, τοῦ λέγοντος· ἐγώ εἰμι ἡ ἀλήθεια· ἵνα ἀκούσαντες ἁπλῶς πνεῦμα ὑπονοήσητε εἶναι τὸ πνεῦμα τὸ ἅγιον;"2 ἀλλ' ὁ μέγας ἐν προοιμίοις ταῦτ' εἰπὼν, καὶ προκαταστήσας τὸν λόγον, πολὺς ἐῤῥύη παρ' ὅλον τὸν λόγον, τὰς ἐκ τῆς θείας γραφῆς εἰς πλάτος ἐκτιθέμενος μαρτυρίας, ὡς ἐξεῖναι μανθάνειν τοὺς βουλομένους ἐκεῖθεν ἀρκούντως, ὡς ἕν ἐστι, καὶ οὐ πολλὰ, τὸ πνεῦμα τὸ ἅγιον, οὐχ ὡς Παλαμᾶς φησι πάντας Πνευματομάχους ὑπερβαλλόμενος· οὐδ' ἐκ πολλῶν ἓν, ὡς αὐτὸς καὶ τοῦτο προστίθησι, τῇ κακίᾳ κακίαν προσεξευρὼν καὶ ἐπιδαψιλευόμενος. ὅμως διὰ τοὺς ἀσθενεστέρους ἔνια τῷ παρόντι συντάγματι καὶ ἡμῖν ἐρανισαμένοις ἐκεῖθεν ἐκτέθειται. "1ὥσπερ γέννημα μονογενὲς ὁ υἱός ἐστιν, οὕτω καὶ τὸ πνεῦμα παρὰ τοῦ υἱοῦ διδόμενον καὶ πεμπόμενον καὶ αὐτὸ ἓν, καὶ οὐ πολλὰ, οὐδὲ ἐκ πολλῶν ἓν, ἀλλὰ μόνον αὐτὸ τὸ πνεῦμα. ἑνὸς γὰρ ὄντος τοῦ υἱοῦ, τοῦ ζῶντος λόγου, μίαν εἶ 2.1126 ναι δεῖ τελείαν καὶ πλήρη τὴν ἁγιαστικὴν καὶ φωτιστικὴν ζωὴν, οὖσαν ἐνέργειαν αὐτοῦ καὶ δωρεὰν, ἥτις ἐκ πατρὸς λέγεται ἐκπορεύεσθαι."2 ἐντεῦθεν ἔχειν οἶμαι πάντα τινὰ συνιέναι τὴν τῶν παλαμναίων ἀνατροπὴν, καὶ μὴ πλειόνων ἔτι ῥημάτων δεήσεσθαι πρὸς ἀκραιφνῆ μαρτυρίαν. ὅμως ἐπείπερ καὶ οὕτως ἓν ὂν τὸ πνεῦμα τὸ ἅγιον πολλοῖς καὶ διαφόροις αὐτὸ τοῖς ὀνόμασι κέκληκεν ἡ γραφὴ, βραχέα καὶ περὶ τούτου λεκτέον. "1εἰ ὁ υἱὸς, ἐπεὶ ἐκ τοῦ θεοῦ ἐστιν, ἴδιος τῆς οὐσίας αὐτοῦ ἐστιν, ἀνάγκη καὶ τὸ πνεῦμα, ἐκ τοῦ θεοῦ λεγόμενον, ἴδιον εἶναι κατ' οὐσίαν τοῦ υἱοῦ. ἀμέλει τοῦ Κυρίου ὄντος υἱοῦ αὐτὸ τὸ πνεῦμα εἴρηται πνεῦμα υἱοθεσίας."2 καὶ πάλιν· "1τοῦ υἱοῦ ὄντος σοφίας καὶ ἀληθείας, γέγραπται τὸ πνεῦμα εἶναι σοφίας καὶ ἀληθείας."2 πάλιν· "1ὁ μὲν υἱὸς δύναμίς ἐστι θεοῦ καὶ κύριος τῆς δόξης, τὸ δὲ πνεῦμα λέγεται πνεῦμα δυνάμεως καὶ πνεῦμα τῆς δόξης."2 (Ε.) Ἐγὼ δὲ μεταξὺ λέγων ἐμνήσθην καὶ Γρηγορίου, τοῦ μεγάλου τῆς ἐκκλησίας φωστῆρος, τὰ ὅμοια τούτῳ διεξιόντος. ὅθεν οὐκ ἔμοιγε δέδοκται, μὴ οὐ κἀκείνου τινὰ μαρτυρίαν ἐνταῦθα συνειληφέναι. λέγει γὰρ οὑτωσίν. "1ἐγὼ φρίττω, τὸν πλοῦτον ἐννοῶν τῶν κλήσεων, καὶ καθ' ὅσων ἀναισχυντοῦσιν ὀνομάτων οἱ τῷ πνεύματι ἀντιπίπτοντες. πνεῦμα θεοῦ λέγεται, πνεῦμα Χριστοῦ, 2.1127 πνεῦμα Κυρίου, πνεῦμα υἱοθεσίας, ἀληθείας, ἐλευθερίας, πνεῦμα σοφίας, συνέσεως, βουλῆς, ἰσχύος, γνώσεως, εὐσεβείας, φόβου θεοῦ. καὶ γὰρ ποιητικὸν τούτων ἁπάντων, πάντα τῇ οὐσίᾳ πληροῦν· μετεχόμενον, οὐ μετέχον· συνέχον, οὐ συνεχόμενον· δάκτυλος θεοῦ, πῦρ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ὡς θεός· σοφώτατον, καὶ πολύτροπον ταῖς ἐνεργείαις."2 καὶ τί δεῖ πλείους κἀνταῦθα λόγων ἡμᾶς ἀνελίττειν φάλαγγας, μνήμης εἵνεκά γε καὶ ταυτὶ τὰ μέτρια παρειληφότας ἐκεῖθεν; ἐξὸν, ὅτῳ μὴ ταυτὶ πρὸς ἔνδειξιν ἤρκεσεν, οὐ μόνον ἑπτὰ τοῦ θείου πνεύματος ἀπονητὶ λαμβάνειν ἐκεῖθεν ὀνόματα, ὅτι μὴ καὶ πλεονάκις τε καὶ πεντεκαιδεκάκις ταῦτα, καὶ εἰ δεῖ κατ' αὐτόν γε φάναι τὸν νέον διδάσκαλον Παλαμᾶν, ἀπειράκις ἄπειρα, ἅπερ ἄκτιστά τε καὶ ἅγια πάντα δεδογμάτικε πνεύματα· πρᾶγμα τῶν ἐξ αἰῶνος οὐδενὶ, μηδ' ἐς ψιλὴν γοῦν ἐπίνοιαν ἀναληφθὲν, μὴ ὅτι γε τῶν εὐσεβεῖν αἱρουμένων· ἀλλ' οὐδ' Ἑλλήνων ἢ βαρβάρων, ἢ ὅσοι φύσεως γοῦν ἄγονται θεσμῷ. σκοπεῖν οὖν ἄξιον, ὡς ἓν τοῖς ἁγίοις ὁμολογεῖται τὸ πνεῦμα τὸ ἅγιον, καὶ οὐ πολλὰ, οὐδ' ἐκ πολλῶν ἓν, ὡς Παλαμᾷ καὶ τοῖς αὐτοῦ θιασώταις κηρύττεται νῦν, οὐδ' ἔστιν ἄκτιστον οὐδὲν τῶν ἁπάντων, ὡς ἡμῖν πολλαχῇ τῶν θείων δέδεικταί τε σοφῶν διδασκάλων καὶ ἔτι δειχθήσεται προϊοῦσι τρανότερον. (ʹ.) Δεύτερον δ' ἐπὶ τούτοις σκεπτέον ἐστὶν, ὅτι τε ποιήματα τοῦ θείου πνεύ 2.1128 ματος τῷ πολλῷ διδασκάλῳ ταῦτ' εἴρηται Γρηγορίῳ (ποιητικὸν γὰρ τούτων ἔφησε πάντων) ἃ Παλαμᾶς ἀκτίστους λέγων θεότητας αὐτὸν (ὡς εἴρηται) διαβάλλει τρανῶς καὶ ὀνομαστὶ, καὶ ὅτι πρὸς τοῖς πολλοῖς τούτοις ὀνόμασι καὶ δάκτυλον τὸ θεῖον ἔφησεν ὁ θεῖος ἀνὴρ ὀνομάζεσθαι πνεῦμα. ὃ καὶ βουλόμενον τοῖς προτέροις ἐνδιατρίβειν ἔτι βιαίως ἀπάγει με πρὸς ἑαυτὸ λαμπρῶς ἐφελκόμενον. δεῖ τοίνυν τὴν ῥῆσιν ἐκείνην τὴν βλάσφημον τοῦ ἀνδρὸς εἰς μέσον αὖθις κομίζειν, ἀναμνήσεως εἵνεκα. μικροῦ γὰρ κἀμὲ διαφυγεῖν ἐδέησεν, ἀπασχολησάσης τῆς τούτου λήθης ἐφ' ἕτερα. ἔχει δ' οὕτως. "1τὴν μίαν τῶν τοῦ πνεύματος ἐνεργειῶν ὁ κύριος ἐν εὐαγγελίοις κατὰ μὲν τὸν Λουκᾶν δάκτυλον θεοῦ, κατὰ δὲ τὸν Ματθαῖον πνεῦμα τοῦ θεοῦ καλεῖται. ἐν τίνι δὲ πνεύματι ὁ κύριος ἐκβάλλειν ἔφη τὰ δαιμόνια, εἰ μὴ ἐν τῷ ἁγίῳ πνεύματι; τὸ ἓν ἄρα τῶν κατὰ διαίρεσιν χαρισμάτων πνεῦμα ἅγιόν ἐστιν· εἰ δὲ τὸ ἓν, καὶ τὰ ἄλλα πάντα."2 ὁρᾶτε τὴν κηφηνώδη τοῦ δυσσεβοῦς διάνοιαν, οἵας ἐξηγήσεις τοῖς θείοις ἐπάγει ῥήμασι· καὶ ὅπως συλλογίζεσθαι πειρώμενος ὁ ἀμαθὴς ἐκ ψευδῶν τε καὶ ἀσεβῶν προτάσεων ψευδές τε καὶ ἀσεβὲς συνάγει συμπέρασμα. παρὰ γὰρ οὐδὲν λογισάμενος τῶν ἁγίων ἁπάντων, ἃς ἠκηκόειτε νῦν, ἐξηγήσεις δάκτυλον εἶναι προτίθησι μίαν αὐτὸς τῶν πολλῶν ἐκείνων ἐνεργειῶν, ἃς ἀκτίστους αὐτὸς πεποίηκε 2.1129 τήμερον, διαβάλλων ὁμοῦ Λουκᾶν καὶ Ματθαῖον τοὺς τοῦ Χριστοῦ μαθητὰς, καὶ ἅμα αὐτὸν τὸν Χριστόν. αὐτοῦ γάρ ἐστιν ἡ τοιαύτη φωνή. ἔπειτα συμπεραίνει τὴν ἀκόλουθον ὁ μάταιος ἀτοπίαν, "1τὸ ἓν ἄρα (λέγων) τῶν κατὰ διαίρεσιν χαρισμάτων πνεῦμα ἅγιόν ἐστι. εἰ δὲ τὸ ἓν, καὶ τὰ ἄλλα πάντα πνεύματά εἰσιν ἅγια."2 καὶ μὴν εἴπερ ἐχρῆν κατὰ τέχνην συλλογίζεσθαι τὰ ὑπὲρ τὴν τέχνην, οὕτω πάντως λέγειν ἐχρῆν· ἐπεὶ τὸ πνεῦμα τὸ ἅγιον δάκτυλος ὠνομάσθη θεοῦ μεταφορικῶς, ὁ δὲ δάκτυλος τῷ λοιπῷ καὶ ὅλῳ σώματι πέφυκεν ὁμούσιος, ἐξ ἀνάγκης ὁμούσιον ἄρα καὶ τὸ πνεῦμα τὸ ἅγιον, οὗ δάκτυλος εἴρηται, δηλαδὴ τῷ θεῷ. ἀλλ' ἀμαθὴς ὑπάρχων ἐκεῖνος, καὶ συλλογίζεσθαι οὐκ εἰδὼς, ἔδοξεν, ἐν οὐκ εἰδόσι τοιαῦτα βλασφημῶν καὶ συλλογιζόμενος, τῶν εἰδότων πολλῷ γε δήπου πιθανώτερος εἶναι, μήτ' αὐτὸς, ὡς ἔοικε, μήθ' οἱ ἑπόμενοι μήπω καὶ τήμερον αὐτήκοοι τοῦ εὐαγγελίου γενόμενοι, λέγοντος· ὡς ὁ εἰς τὸ πνεῦμα τὸ ἅγιον βλασφημῶν ἀσυγχώρητόν τε καὶ ἄφυκτον ἕξει τὴν κόλασιν. ἆρ' οὖν οὐ τοῦ ἐναντίου πνεύματος σαφῶς ἡ ἐνέργεια, ἣν ὁ ἀσεβὴς ἐνεργεῖται; ἆρ' οὐχὶ καὶ Ἰουδαίων ἐστὶν ἀσεβέστερος; ὃ γὰρ ὡς ὕβρεων ἐσχάτην προὔφερον τέως ἐκεῖνοι Χριστοῦ, ἐν Βεελζεβοὺλ ἐκβάλλειν λέγοντες αὐτὸν τὰ δαιμόνια, καὶ οὐκ ἐν δακτύλῳ θεοῦ, εἴτουν ἐν πνεύματι θεοῦ, τοῦθ' οὗτος ὑμῶν τῇ ἐκκλησίᾳ χαρίζεται τήμερον, ὡς ἥδιστον ἀνάθημα· φεῦ τῆς τῶν ἑπομένων
εὐηθείας· μᾶλλον δὲ, βαβαὶ τῆς ἀνοχῆς σοῦ, Χριστέ! (Ζ.) "1Ἀλ 2.1130 λὰ τὸ ποιεῖν,"2 φησὶ, "1καὶ ἐνεργεῖν τῶν πολλαχῶς λεγομένων ἐστίν. οὐ γὰρ τὸ κτίζειν σημαίνει



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

μόνον, ἀλλὰ πρὸς πολλοῖς ἑτέροις καὶ τὸ φυσικῶς ἐνεργεῖν· ὡς καὶ τὸν ἥλιόν φαμεν ποιητικὸν τῆς ἡμέρας, ἅτε φυσικῶς αὐτὴν ἐκτελοῦντα, οὕτω καὶ τὸ πνεῦμα τῆς ἀληθείας, καὶ τὰ τούτῳ συναπηριθμημένα, διατελοῦσιν ἄκτιστα, ἐπεὶ ποιεῖ καὶ ἐνεργεῖ ταῦτα τὸ πνεῦμα τὸ ἅγιον, ὡς ἐμφύτους ἐνεργείας."2 ἀκούετε γραϊδίων φληνάφων, αὐτόχρημα φάναι, ληρήματα. Πνευματομάχος γὰρ ὑπάρχων σαφὴς, ἔπειτα φεύγειν πειρώμενος τοὔνομα, γίνεται χείρων ἔτι μᾶλλον ἐκείνων μακροῖς τισι μέτροις· καὶ κακὸν ποιῶν ἑαυτὸν ἀλλοπρόσαλλον, ἵνα δῆθεν λανθάνῃ διαδιδράσκων τοὺς τῆς κακίας ἐλέγχους, ὁ δὲ λέληθε μᾶλλον αὐτὸς ἑαυτὸν ἁλισκόμενος πανταχόθεν. οἱ γὰρ τῆς αὐτοῦ κακίας πατέρες Πνευματομάχοι, ποίημα λέγοντες εἶναι τὸ πνεῦμα, καθάπερ Ἄρειος τὸν υἱὸν, ἀκολούθως καὶ κτίσμα τοῦτ' ἐξ ἀνάγκης ἔφασκον· ἅτε μὴ δυναμένης μήτε τῆς τεχνικῆς μεθόδου, μήτε φυσικῆς τῶν ἀνθρώπων γνώσεως, ἄκτιστον ποίημα λέγειν ποτέ. ὁ δὲ μηδὲν αἰσχυνόμενος ἄκτιστον ποίημα τετόλμηκεν ἤδη νομοθετεῖν ἐν ταῖς ἐσχάταις ταύταις ἡμέραις. ἐχρῆν οὖν καὶ ἡμᾶς ἐνταυθοῖ σιωπῇ τὰ τοιαῦτα μισήσαντάς τε καὶ τὰ ὦτα βύσαντας φυγεῖν ἀπὸ ἀκοῆς πονηρᾶς. ἀλλ' ἐπεὶ, διὰ τοῦ ἀνέλεγκτα ψεύδεσθαι τοῦτον ἀνόσιόν τε καὶ αὐτοχειροτό 2.1131 νητον δίκαιον, αἵ τε ἀρχαὶ καὶ ἐξουσίαι καὶ οἱ τοῦ αἰῶνος τουτουῒ κοσμοκράτορες χορηγοῦσιν αὐτῷ δι' ἀμαθίαν τρόπαιον τοῦτο κατὰ τῆς ἀληθείας ἐγείρειν εἰς πλάνην τῶν ἁπλουστέρων· ἀνάγκη καὶ ἡμᾶς ἐνταυθοῖ γρηγορεῖν τε ἅμα καὶ τὸ τῆς ἀληθείας ἀναλαμβάνοντες ξίφος παῤῥησίᾳ κατὰ τοῦ ψεύδους ἐλαύνειν, τό γε ἡμῖν ἐφικτὸν, ὅπλα καὶ τεῖχος ἀκροπόλεως ἰσχυρὸν τὰς ἡμετέρας τοῖς ὀρθοδόξοις γραφὰς παρεχόμενοι, ἢ μᾶλλον τὰς τῶν θείων γραφῶν μαρτυρίας, ἵνα μὴ ἀκοῇ σκοτεινῇ τε καὶ ἀλαμπεῖ κατακολουθήσαντες εἰς βάραθρον ἑαυτοὺς συνωθήσωσιν ἀπωλείας. ἐπεὶ γὰρ τοσαύτας αὐτῷ καὶ τοιαύτας ἐγὼ συμφορήσας πρότερον μὲν διά τε τῶν στηλιτευτικῶν ἐκείνων καὶ ἀντιῤῥητικῶν, καὶ αὖ δι' ὧν ἠκηκόειτε νῦν, οὐκ ἐμπέπληκα, οὐδέ γε συνιέναι πέπεικα, ἄκτιστον ἥκιστα πάντων εἶναι ποίημα· φέρε λοιπὸν σαφεστέρων τινῶν, καὶ αὐτοῖς γνωρίμων εἰπεῖν σκαπανεῦσιν, ἁψώμεθα λόγων. ἔνδηλον γὰρ δήπου τοῖς ὅλοις, ὡς τὸ τῆς πίστεως ἡμῶν ἱερὸν σύμβολον, ἐν ἡμέραις πάσαις καὶ νυξὶν, ὁμολογίᾳ πᾶσιν ὀρθοδόξοις κοινῇ περιᾴδεται πάντη διηνεκὲς, ἐν κώμαις ἅμα καὶ πόλεσι καὶ σπηλαίοις καὶ ὄρεσι καὶ, συλλήβδην εἰπεῖν, ἐν πάσῃ γε τῇ γῇ καὶ ὅπη τῆς ὑγρᾶς οὐσίας διήκει τὸ ῥᾴδιον. ἔχει δὲ οὕτως· "1πιστεύομεν εἰς ἕνα θεὸν πατέρα παντοκράτορα, ποιητὴν οὐρανοῦ καὶ γῆς, ὁρατῶν τε πάντων καὶ ἀοράτων, καὶ εἰς ἕνα κύριον Ἰησοῦν Χριστὸν, τὸν υἱὸν τοῦ θεοῦ 2.1132 τὸν μονογενῆ, γεννηθέντα, οὐ ποιηθέντα, ὁμοούσιον τῷ πατρὶ, δι' οὗ τὰ πάντα ἐγένετο."2 ὁρᾶτε πῶς ἄνωθεν καὶ ἐξ ἀρχῆς τοῖς θείοις ἀναιρεῖται πατράσι διαῤῥήδην τὸ, ποίημα εἶναι τὸν δι' οὗ τὰ πάντα πεποίηται. γεννηθέντα γάρ φησιν, οὐ ποιηθέντα. (Η.) Ἀλλὰ καὶ ὁ μέγας Ἀθανάσιος ἐν τῇ πρὸς Σεραπίωνα πρώτῃ τάδε διέξεισιν ἐπιστολῇ· "1ἐν τούτῳ,"2 φάσκων, (τῷ πνεύματι δηλαδὴ) "1τὴν κτίσιν ὁ λόγος δοξάζει θεοποιῶν, καὶ υἱοποιῶν δὲ προσάγει τῷ πατρί· τὸ δὲ συνδοξάζον τῷ λόγῳ τὴν κτίσιν οὐκ ἂν εἴη αὐτὸ τῶν κτισμάτων."2 καὶ μετ' ὀλίγα· "1ὁ γὰρ πατὴρ διὰ τοῦ λόγου ἐν πνεύματι ἁγίῳ τὰ πάντα ποιεῖ, καὶ οὕτως ἡ ἑνότης τῆς ἁγίας τριάδος σώζεται."2 καὶ πάλιν· "1εἰ τὰ ποιήματα βουλήσει καὶ εὐδοκίᾳ ὑπέστη καὶ ἡ κτίσις πᾶσα θελήματι γέγονεν, ἐκτός ἐστιν οὗτος τῶν βουλήσει γεγονότων, καὶ μᾶλλον οὗτός ἐστιν ἡ ζῶσα βουλὴ τοῦ πατρὸς, ἐν ᾗ τὰ πάντα γέγονε."2 καὶ πάλιν· "1εἰ ἐν χειρὶ θεοῦ τὰ ποιήματα εἰργάσθη (γέγραπται γὰρ ὅτι διὰ τοῦ λόγου πάντα γέγονε, καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἕν), εὔδηλον ὡς οὐκ ἂν εἴη ὁ υἱὸς ἔργον· ἀλλ' αὐτός ἐστιν ἡ χεὶρ τοῦ θεοῦ καὶ σοφία."2 καὶ τί δεῖ περὶ τὰ αὐτὰ διηνεκῶς ἀνειλουμένους τὰς ὑμῶν ἀκοὰς ἀποκναίειν; παριστᾷν ἱκανῶς τῶν λεχθέντων ἐχόντων, ὡς διῄρηταί τε πανταχοῦ τῆς γραφῆς τὰ ποιήματα τῆς ποιούσης οὐσίας· καὶ ὡς κτίσματα εἴη ποιήματα πάντως· καὶ ὡς τοὺς θείους διαβάλλει πατέρας, δέει


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

μὲν τῶν οἰκείων ἐλέγ 2.1133 χων τὰ ἐκείνοις λεχθέντα σιγῇ παριὼν, σκιωδῶς δ' ἐνίων ἐνιαχοῦ προσεμβάλλων γυμνά πως ὀνόματα, ἵνα δι' αὐτῶν συναρπάζῃ δῆθεν τῶν ἁπλουστέρων τὰς ἀκοάς. δῆλον δ' ἔσται μᾶλλον ἐξ ὧν ὀνομαστί τε ἐμνήσθη καὶ ὧν τὰς ῥήσεις ἐκτέθειται, παρασπῶν τὴν αὐτῶν ὁλοκληρίαν, καὶ ἄλλα ἄλλως ἄλλοσε δεικνὺς καὶ διασπείρων τεμάχια, καὶ ἀνελευθέρῳ πανταχοῦ χρώμενος ἀναιδείᾳ, ὅπῃ ἂν καὶ ὅθεν οἴηται τὸ βουλόμενον εὐχερέστερον ἀνύσειν τῆς γνώμης, ὡς ἐκείνους τε προφανῶς διαβάλλοι καὶ ὡς οὐκ οἶδ' ὁπότερον, εἴτ' ἐξ ἀμαθίας μᾶλλον ἢ κακοηθείας δέδρακέ τε καὶ δρᾷ τουτοῒ, εἴτε τοῦτο μὲν οὐχὶ, διὰ δὲ κακοήθειαν καὶ μάλα μόνην μάλιστα ψυχῆς· εἰ δὲ καὶ ἐξ ἀμφοῖν, ὡς ἡ τῶν πολλῶν μακρὰ κεκράτηκε φήμη, ἥκιστ' ἔγωγε διοίσομαι. πολλαχοῦ γὰρ (ὡς ἐπὶ τὸ πλεῖστον εἰπεῖν) ἡλώκει τε καὶ ἁλισκόμενος ὁρᾶται μάλα περιπετὴς καθιστάμενος ἑκατέροις, ὥστε ὁπότερον ἄν τις βούλοιτο προφέρειν κατ' αὐτοῦ, δεξιὸν ὑποκείμενον, οἶμαι, εὑρήσει τὸν ἄνθρωπον καὶ μάλα γέ τοι δεκτικόν. καὶ εἰκότερον τουτί. ὃς γὰρ ἂν οἰήσεως ἀωρίᾳ τὴν ἡγεμονίαν τῆς γνώμης πιστεύσας ἐπὶ τὰς τῶν θείων δογμάτων θύρας ἄνευ ἐπιστήμης, ὡς δέδεικται, λεξικῆς ἀφίκηται, αὐτὸς ἑαυτὸν πεπεικὼς ὡς γνοίη καλῶς, ἑαυτόν τε ἔσφηλε τὰ μέγιστα καὶ σύν γε αὐτῷ πολλοῖς πολλῶν κακῶν ἑτέροις γίνεται τὰ ἐς ψυχὴν αἰτιώτατος. 2.1134 (Θ.) Τούτων οὕτως ἐχόντων, ὑπόλοιπόν ἐστι διδάξαι τὸν ἄνδρα καὶ τῆς τοῦ ἑτοιμάζειν τε καὶ κρίνειν λέξεως τὸ σημαινόμενον. ὁ μὲν γὰρ, ὥσπερ τὸ ποιούμενον καὶ τὸ κτιζόμενον ἀποίητόν τε καὶ ἄκτιστον ἥγηται, οὕτω καὶ τὸ ἑτοιμαζόμενον καὶ τὴν κρίσιν ἄκτιστα εἶναι σημαίνειν ἡγεῖται, ἅττα ποτ' ἂν εἴη τὰ ἑτοιμαζόμενα καὶ κρινόμενα. ὁ μέγας τοίνυν φησὶν εὐθὺς Ἀθανάσιος· ὡς "1οἱ ἀσεβεῖς οὐ θέλουσι λόγον μὲν καὶ βουλὴν ζῶσαν εἶναι τὸν υἱὸν, περὶ δὲ τὸν θεὸν βούλησιν καὶ φρόνησιν καὶ σοφίαν, ὡς ἕξιν συμβαίνουσαν· πειθέσθωσαν οὖν Σολομῶντι λέγοντι· ὁ θεὸς τῇ σοφίᾳ ἐθεμελίωσε τὴν γῆν, ἡτοίμασε δὲ οὐρανοὺς ἐν φρονήσει. οὕτως ἐν ψαλμοῖς· πάνθ' ὅσα ἠθέλησεν, ἐποίησεν. εἰ δὲ βούλησις τοῦ θεοῦ ἡ σοφία ἐστὶ καὶ ἡ φρόνησις, ὁ δὲ υἱός ἐστιν ἡ σοφία, ὅρα μὴ ὁ λέγων βουλήσει τὸν υἱὸν, ἴσον λέγῃ τὴν σοφίαν ἐν σοφίᾳ γεγονέναι, καὶ τὸν υἱὸν ἐν υἱῷ πεποιῆσθαι, καὶ διὰ τοῦ λόγου τὸν λόγον ἐκτίσθαι."2 ὁρᾶτε πῶς εἰς ταὐτὸν συνάγει τὴν σημασίαν τοῦ θεμελιοῦν καὶ ποιεῖν καὶ κτίζειν τῇ σημασίᾳ τοῦ ἑτοιμάζειν. ἀλλὰ καὶ Δαβὶδ, ἡ τοῦ θείου πνεύματος ἔμψυχος κιθάρα καὶ μοῦσα ἁρμονικὴ, "1ἑτοιμάζων ὄρη,"2 φησὶν, "1ἐν τῇ ἰσχύι αὐτοῦ."2 καὶ πάλιν· "1σὺ ἡτοίμασας εὐθύτητας· κρίσιν καὶ δικαιοσύνην ἐν Ἰακὼβ σὺ ἐποίησας."2 ἰδοὺ καὶ οὗτος ταὐτοσήμαντον ἔδειξεν εἶναι τὴν ποίησιν τῇ ἑτοιμασίᾳ. οὔτε γὰρ οὐρανοὺς ἀκτίστους, οὔτ' 2.1135 ὄρη γῆς ἄκτιστα κύριος ἔκτισε. ναὶ μὴν οὐδ' εὐθύτης, οὐδὲ κρίσις, οὐδέ τι τῶν πάντων, ὅσα τε πεποίηκε καὶ ἃ ἡτοίμασεν, ἄκτιστον οὐδὲν οὔτ' ἔφησέ τις, οὔτε φήσειέ ποτε, πλὴν εἰ μὴ μαίνοιτό τις. ἀκούομεν δὲ κἀν τοῖς εὐαγγελίοις, πῦρ ἡτοιμασμένον εἶναι τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ. εἰ οὖν ἄκτιστον κἀκεῖνο κατὰ τὸν Παλαμᾶν, καὶ θεὸς ἄκτιστός τε καὶ ἄναρχος εἴη ἂν αὐτὸ, καὶ ἔσται διὰ ταῦτα θεὸς καὶ ὁ διάβολος ἄκτιστός τε καὶ ἄναρχος, θεωθεὶς τῷ ἀκτίστῳ κλήρῳ αὐτοῦ τῷ πυρί· καὶ γενήσεται τὰ τῆς ὀφειλομένης αὐτῷ κολάσεως, ὧν κατὰ τῆς ἀνθρωπίνης ἁπάσης ἔδρασε φύσεως ἐξ αἰῶνος, ἔπαθλον τοῦτο. καὶ γὰρ τὸ κράτιστον καὶ τοῦθ', ὡς ἔοικεν, ἐστὶν ὃ παρὰ πάντα μοχθεῖ τὸν χρόνον ὁ Παλαμᾶς, ἵνα θεὸν τὸν διάβολον καταστησάμενος ἅμα αὐτῷ καὶ τοῦ πυρὸς κληροῦχος ἐκείνου γένοιτο τοῦ ἀκτίστου, καὶ οὐκ ἔτι φοβοῖτο τὴν κρίσιν τοῦ πάντων δημιουργοῦ καὶ θεοῦ, πρόξενον οὖσαν τοσούτου καλοῦ κατ' αὐτόν. ἀλλὰ γὰρ ἐλάθομεν δρῶντες ἐν πίθῳ τὴν κεραμείαν, ἕτερον τρόπον οὕτω γηρῶντα παιδεύοντές τε καὶ ἀσκοῦντες ἄνθρωπον τὴν τῶν λέξεων σημασίαν καὶ τέχνην, ἃ πεντεκαιδεκέτην μανθάνειν ἐχρῆν· καὶ δέος, μὴ οἱ φιλοσκώμμονες αἴσθωνταί τε ἡμᾶς περὶ τὰ τοιαῦτα ἀσχολουμένους καὶ οὐ ῥᾶστα καταγελᾶν ἡμᾶς γε ἀπόσχωνται.



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

διὸ δὴ τῶν τοιούτων ἀπαλλάττεσθαι τάχιον χρὴ, μὴ ἀσθενέστερα γένηταί πως εἰς τοὔμπροσθεν τὰ τῆς σπουδαιοτέρας ἡμῶν ἀσχολίας, ἀνακεραννύμενα πολλαῖς τε καὶ πολλάκις ταῖς ἐκείνου 2.1136 τἀνδρὸς μειρακιώδεσι παιδείαις, καὶ τοσοῦτον οἴκοθεν ζημιούμενα, ὅσον τῆς ἐκεῖθεν μεταλαμβάνει φαυλότητος. (I.) Καὶ μὲν δὴ λοιπόν ἐστιν ἡμᾶς ἀναδραμόντας ἐκεῖσε δεικνύειν περί τε τῆς θείας μεταλήψεως καὶ ἅμα τοῦ θείου βαπτίσματος. "1μέμνησθε γὰρ (σφίσιν ἔφην) εἰπόντες, ὅσα καὶ περὶ τουτωνὶ τῷ ὑμῶν ἑταίρῳ νενομοθέτηται Παλαμᾷ καὶ πρός γε Ἡρακλείας τῷ τούτου θερμῷ θιασώτῃ· ὡς δαιμόνων εἴη σκοτεινῶν εὕρημα, μὴ τὴν διάφορον τῆς οὐσίας ἐνέργειαν, ἀλλὰ τὴν θείαν εἶναι νομίζειν οὐσίαν αὐτὴν τὴν ἁγιάζουσαν ταῦτα. μήτε γὰρ τὴν θείαν πεφυκέναι βαδίζειν οὐσίαν ἐς ὅσα ὑφ' ἥλιον, μήθ' ὅσιον αὖθις εἶναι πιστεύειν, αἷμα καὶ σῶμα τόν τ' οἶνον γίνεσθαι καὶ τὸν ἄρτον ποτὲ τοῦ Χριστοῦ· τύπον γὰρ ταῦτ' εἶναι ἐκείνου, καὶ οὐκ ἐκεῖνον αὐτόχρημα."2 μακρὸς δ' ἂν εἴη χρόνος μηκύνειν, ἃ περὶ τῶν τοιούτων αὐτοί τε ἔφασαν καὶ τοῖς γε σφετέροις συνέθεσαν γράμμασι· καὶ ἅμα οὐχ ὅσιον ὁσίων ἀνδρῶν ἀκοὰς ἐμπιπλᾶν ἀσεβείας τοσαύτης· ἐξὸν ἑνί γε τῷ τρόπῳ ταυτὶ προεμένους ἐκεῖνα διεξιέναι, ἃ ἂν λέγων οἴομαι τοῖς τὰ ὅσια βουλομένοις λαμπρῶς χαριεῖσθαι. (IA.) Ὁ τοίνυν ἐκ Δαμασκοῦ φησιν εὐθὺς Ἰωάννης, ὅτι "1καθάπερ ἐπὶ τοῦ βαπτίσματος, ἐπειδὴ ἔθος τοῖς ἀνθρώποις ὕδατι λούεσθαι καὶ ἐλαίῳ χρίεσθαι, συνέζευξε τῷ ἐλαίῳ καὶ ὕδατι τὴν χάριν τοῦ πνεύματος [ὁ θεὸς], καὶ ἐποίησεν αὐτὰ λουτρὸν ἀναγεννήσεως, οὕτως ἐπεὶ ἔθος τοῖς ἀνθρώποις 2.1137 ἐσθίειν ἄρτον, ὕδωρ τε καὶ οἶνον πίνειν, συνέζευξεν αὐτοῖς τὴν αὐτοῦ θεότητα, καὶ πεποίηκεν αὐτὰ σῶμα καὶ αἷμα αὐτοῦ, ἵνα διὰ τῶν συνήθων καὶ κατὰ φύσιν ἐν τοῖς ὑπὲρ φύσιν γενώμεθα. σῶμά ἐστιν ἀληθῶς ἡνωμένον θεότητι τὸ ἐκ τῆς ἁγίας παρθένου σῶμα· οὐχ ὅτι αὐτὸ τὸ ἀναληφθὲν σῶμα ἐξ οὐρανοῦ κατέρχεται, ἀλλ' ὅτι αὐτὸς ὁ ἄρτος καὶ ὁ οἶνος μεταποιεῖται εἰς σῶμα καὶ αἷμα Χριστοῦ. εἰ δὲ τὸν τρόπον ἐπιζητεῖς πῶς γίνεται, ἀρκεῖ σοι ἀκοῦσαι ὅτι διὰ πνεύματος ἁγίου."2 (IB.) Ἀκούετε, πῶς οὐκ ἐνέργειαν ἀνούσιόν τε καὶ διάφορόν φησι τῆς θείας οὐσίας ὁ μέγας τῆς ἐκκλησίας φωστὴρ, ἀλλ' αὐτήν γε τὴν θείαν οὐσίαν τοῦ πνεύματος· οὐδὲ τύπον γινόμενον σώματος ἐκείνου τοῦ σωτηρίου τὸν ἄρτον, ἀλλ' αὐτό γε ἐκεῖνο, καὶ οὐκ ἄλλο ἐκείνου. καὶ τό γε μεῖζον, ὡς οὐχ ἁπλῶς οὑτωσὶ παρῆλθεν εἰπὼν ἐν βραχεῖ, ἀλλ' ὅλον ποιεῖται λόγον, καὶ λίαν πεφροντισμένον, καὶ σύν γε μακραῖς ἐπιεικῶς ἀποδείξεσι φυσικαῖς τε καὶ γραφικαῖς. πολλὴ γάρ τις τότ' ἦν ἡ θάλασσα τῶν τῆς ἐκκλησίας πολέμων, καὶ ὁ τῶν κυμάτων ἐκείνων ὄγκος σφόδρα γε ᾤδει πρὸς τῶν Εἰκονομάχων πάνυ σφοδρῶς ἀναῤῥιπιζόμενος, περί γε δὴ τῶν εἰρημένων, καὶ πρός γε τοῦ ἐν Θαβωρίῳ φωτός· ἐξ ὧν ἀφορμὰς οὐχ ὁσίας ἀναπλάττοντες τόν τε τῆς εἰκονομαχίας ἠρέθιζον θόρυβον καὶ τὴν ἔνσαρκον τοῦ κυρίου διέβαλλον παρουσίαν· ὡς ἀνωτέρω που διελάβομεν καὶ ἡμεῖς, οὐκ ἐῤῥᾳθυμημένον τινὰ μηκύναντες λόγον· 2.1138 ὅτε δὴ καὶ πάσας μὲν ἀρχὰς, πάσας δ' ἐξουσίας, οἱ τῆς νόσου ταύτης ὑπηρέται διενενέμηντο, καὶ πᾶσα πάντων ἅμιλλα πρὸς τὸν ὅμοιον τῆς κακίας ταύτης ἐτέτακτο δρόμον, καὶ σχεδὸν ὁ τῶν τηνικαῦτα βίος ἀνθρώπων, διὰ τρυφὴν καὶ βλακείαν, εἰς τὴν τῶν βασιλικῶν θεσπισμάτων ἔκλινε κολακείαν, καὶ πάνυ βραχεῖς τινες ἦσαν, ὧν ἐλεύθερον τῆς ψυχῆς ὑπῆρχε τὸ φρόνημα, καὶ ἔζει τὸ τῆς καρδίας πῦρ, μεθ' οὗ καὶ πρὸς τὸ πολέμιον ἐκεῖνο γενναίως ἀντεστρατεύοντο πῦρ, καὶ τοῖς λόγοις τοῦ σοφοῦ τοῦδ' ἀνδρὸς συνεμάχουν ἐκ τῶν ἐνόντων, οἱ μὲν λόγοις, οἱ δ' ἔργοις, οἱ δὲ δι' ἑκατέρων. ὧν εἷς καὶ Θεόδωρος ἦν, ὁ πολλὴν μὲν τὴν ἐκ λόγων σοφίαν, πολλὴν δὲ τὴν τοῦ σώματος καρτερίαν πρὸς τὰς τῶν πολεμίων ἐκείνων πληγὰς ἐνδειξάμενος, καὶ δι' αὐτῶν τοῖς πατρίοις τὸ βέβαιον καὶ ἀσάλευτον χαρισάμενος δόγμασι τὸ νεμόμενον ἔπαυσε τῆς κακίας ἐκείνης. καὶ μὲν δὴ πολλῶν ὄντων, ἃ τῇ τοῦ θεοῦ ἐκκλησίᾳ καταλελοίπει συγγράμματα, πλήρη σοφίας ἐπιστημονικῆς καὶ ἅμα δ' εὐσεβείας σεμνῶς


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

πανηγυριζούσης, ὁ μέγας οὗτος διδάσκαλος, ἔνια μὲν καὶ ἡμῖν εἰς τὴν ἀνωτέρω που χρείαν μεγίστην παρέσχετο συμμαχίαν· καὶ νῦν δ' αὖθις κατὰ γνώμην ἂν εἴη καὶ οὐ μάλα γέ τοι ἀηδὲς ἐμοὶ, τῶν ἐκείνου βίβλων, ὡς ἐξ ἱερᾶς τινος ὁπλοθήκης, τὸ καίριον καὶ τῇ παρούσῃ χρείᾳ πάλιν ἀνειληφέναι ξίφος. προτίθησι γὰρ ἐκεῖ τὰ τῶν προέδρων τῆς εἰκονομαχίας ἐναγώνια ῥήματα πρότερον, ἔχοντα οὕτως. (ΙΓ.) "1Προγνοὺς,"2 φησὶν, "1ὁ Χριστὸς τὸν θάνα 2.1139 τον αὐτοῦ ἠθέλησε τοῖς ἁγίοις αὐτοῦ μαθηταῖς καὶ ἀποστόλοις παραδοῦναι, δι' οὗ ἠράσθη πράγματος, τύπον εἰς σῶμα αὐτοῦ· ἵνα διὰ τῆς ἱερατικῆς ἀναγωγῆς λάβωμεν ὡς κυρίως καὶ ἀληθῶς σῶμα αὐτοῦ."2 εἶτα ἐπιφέρει τὴν ἐκείνην οὗτος καθαίρεσιν οὑτωσί. "1ἡμεῖς δὲ,"2 φησὶν, "1οὔτε εἰκόνα οὔτε τύπον τοῦ σώματος ἐκείνου ταῦτα λέγομεν, εἰ καὶ συμβολικῶς ἐπιτελεῖται, ἀλλ' αὐτὸ τὸ σῶμα τοῦ Χριστοῦ τὸ τεθεωμένον. τοῦτο καὶ τοῖς μαθηταῖς αὐτοῦ παρεδίδου, λάβετε, φάγετε τὸ σῶμά μου, λέγων, οὐχὶ τὴν εἰκόνα τοῦ σώματός μου. ὡς γὰρ ἐκ τῆς παρθένου τὴν σάρκα διὰ τοῦ πνεύματος τοῦ ἁγίου ἑαυτῷ ὑπεστήσατο· εἰ χρὴ δὲ κἀκ τῶν καθ' ἡμᾶς τοῦτο δηλῶσαι, ὡς ὁ ἄρτος καὶ ὁ οἶνος καὶ τὸ ὕδωρ φυσικῶς εἰς σῶμα καὶ αἷμα τοῦ ἐσθίοντος καὶ πίνοντος μεταβάλλεται, καὶ οὐκ ἂν εἴπομεν ἕτερον σῶμα γίνεσθαι παρὰ τὸ πρότερον, οὕτω δὴ καὶ ταῦτα ὑπερφυῶς ἐπικλήσει τοῦ ἱερατεύοντος, ἐπιφοιτήσει τε τοῦ ἁγίου πνεύματος, εἰς σῶμα καὶ αἷμα Χριστοῦ μεταβάλλεται."2 ἰδοὺ καὶ ὁ μέγας οὗτος διδάσκαλος ταὐτὰ τῷ ἁγίῳ ἐκείνῳ φθέγγεται πατρὶ, καὶ πολλῷ πλέον, ἢ Παλαμᾶς τοῖς ἀτοπωτάτοις ἐκείνοις Εἰκονομάχοις. ἁλίσκεται γὰρ κἀνταῦθα καὶ τούτους ἐς τὴν ὁμοίαν κακίαν ὑπερβαλόμενος, εἴ τις τὰ ἀμφοῖν παράλληλα θέμενος συνορῴη ἐγκλήματα· μάλα εἰκότως. τὰ γὰρ θεῖα δόγματα, κανόσι πατέρων ὀρθῶς ῥυθμιζόμενα, παραλύειν οὐκ οἶδεν οὔθ' ἣν 2.1140 ἅπαξ ἥρμοσται συμφωνίαν πρὸς ἑαυτὰ, οὔθ' ἣν αὖ πρὸς τὰ ὁμόστιχα. τὸ δὲ κακὸν, οὐδέσι κανόσιν ἑπόμενον, συμφωνεῖν οὐκ οἶδεν οὐδέσιν· ἀλλὰ μάχεται μὲν τῷ φύσει καλῷ, μάχεται δ' οἷς ἔναγχος γέγηθε συμφωνῶν, μάχεται δ' ἐπίσης καὶ ἑαυτῷ. οὕτως ἐμμανῆ τε καὶ ἄτοπον ἔσχε τὴν ἕξιν ἀεὶ τὰ κακά. (ΙΔ.) Προσοιστέον δ' ὑμῖν καὶ ἃ Γρηγορίῳ τῷ Νυσσαέων εἴρηται πρότερον, ἵνα γνῶτε τὴν τοῦ καλοῦ συμφωνίαν ἑκασταχόθεν καὶ πολλαχόθεν ὁμοίως ἔχουσαν. "1ὁ ἄρτος,"2 φησὶν, "1ἄρτος ἐστὶ τέως κοινός· ἀλλ' ὅταν αὐτὸν τὸ μυστήριον ἱερουργήσῃ, σῶμα Χριστοῦ λέγεταί τε καὶ γίνεται."2 ἦ που μακρά τις ἂν εἴη σχολῆς ἀωρία, μὴ τοῖς οὕτω λεχθεῖσιν ἀρκουμένους πλείω ζητεῖν εἰς ἐκλογὴν τοῦ καλοῦ τε καὶ χείρονος ἔτι. ὁρᾶτε γὰρ ὑμεῖς, ὅπως ἀμογητὶ, καὶ κατὰ τὸ αὐτόματον εἰπεῖν, ἀναῤῥήγνυται πανταχόθεν τὰ τῆς πονηρᾶς τοῦ ἀνδρὸς ἑορτῆς ἀνακαλυπτήρια, καὶ δέδεικται σαφῶς πάσαις μὲν αἱρέσεσιν ἔνοχος ὢν, πάσας δ' ὑπερβάλλων ἑκασταχοῦ, πάσας δ' εἰς ἀναίρεσιν τῆς ἐνσάρκου θείας συνάπτων οἰκονομίας· ὡς ἀνωτέρω τε πολλάκις ἡμῖν δέδεικται καὶ πολλῷ πρότερον ἐν τοῖς ἡμῶν Ἀντιῤῥητικοῖς. πηγὴ δ' ἁπάντων κακῶν τουτωνὶ καὶ θεμέλιος ἀμαθία καὶ οἴησις, οἷς φάρμακον οὐκ ἔστιν εὑρεῖν τῶν ἁπάντων οὐδὲν οὐδαμῇ· οὐδ' ἁλώσιμα ταῦτα τέχνῃ γένοιτ' ἂν οὐδενί γε τῷ τρόπῳ τῶν πάντων τινί. ἦ γὰρ ἂν ᾔδει καὶ αὐτὸς, ἀκούων τῶν ἱερῶν καὶ σοφῶν διδασκάλων τῆς 2.1141 ἐκκλησίας, μὴ εἶναι διαφορὰν οὐσίας καὶ ἐνεργείας ἐφ' ἁπλῆς καὶ ἀσωμάτου φύσεως, καὶ μάλιστα πάντων τῆς θείας ἐκείνης καὶ ὑπὲρ νοῦν, μηδ' ἐς τοσαύτην ἥκειν διαίρεσιν, ὡς τὴν μὲν ἀμέθεκτον εἶναι παντάπασι κτίσμασιν ἅπασι καὶ ἄνω που περιγεγραμμένην, τὴν δ' ἐνέργειαν ἐς τὰ περίγεια κατιοῦσαν ἀνούσιον σάρκα τε δύνασθαι φορέσαι μεθ' ἱλαρότητος καὶ αὐτήν τε μένουσαν ἄκτιστον ἄφλεκτόν τε διατηρεῖν τὴν ἀνθρωπότητα, καὶ πρός γε μεταδιδόναι καὶ τῆς οἰκείας ἀκτιστότητος αὐτῇ· ὃ τῇ θείᾳ οὐσίᾳ ἐνεῖναι οὐ συγκεχώρηταί οἱ. φθείρεσθαι γάρ φησι τὴν σάρκα, πρὶν αὐτῆς μετασχεῖν. τῆς γοῦν ἁγίας παρθένου μηδαμῇ φλεχθείσης μηδ' ἀναλωθείσης τῷ πυρὶ τῆς θείας οὐσίας, συνάγεται κατ' αὐτὸν, μὴ τὴν θείαν οὐσίαν ἐξ αὐτῆς σεσαρκῶσθαι τοῦ λόγου, ἐνέργειαν δ' οὖν, ἄκτιστον


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

οὖσαν μὲν καὶ αὐτὴν, ἀνούσιον δὲ καὶ ὑφειμένον πως καὶ μὴ πάνυ τοι φλέγον τὸ πῦρ κεκτημένην. οὐ γάρ ποτ' οὔτε του τῶν ἄλλων ἁγίων, οὔτ' οὖν Ἀθανασίου τοῦ θείου ἀκήκοε βοῶντος τοῖς Μανιχαίοις· "1εἴπατε, οἱ ἐφευρεταὶ τοῦ καινοῦ καθ' ὑμᾶς εὐαγγελίου, πόθεν ὑμῖν κατηγγέλη, σάρκα ἄκτιστον λέγειν, ὥστε ἢ τὴν θεότητα τοῦ λόγου εἰς μετάπτωσιν σαρκὸς φαντάζεσθαι, ἢ τὴν οἰκονομίαν τοῦ πάθους καὶ τοῦ θανάτου καὶ τῆς ἀναστάσεως, δόκησιν νομίζειν καὶ φαντασίαν. ἄκτιστος μὲν γὰρ πέφηνε μόνη ἡ ἁγία 2.1142 τριὰς τῆς θεότητος, ἀΐδιός τε καὶ ἄτρεπτος καὶ ἀναλλοίωτος."2 καὶ μετ' ὀλίγα· "1τὸ γὰρ ἄκτιστον τῇ φύσει λέγεται ἄκτιστον, μήτε αὔξησιν μήτ' ἐλάττωσιν ἐπιδεχόμενον."2 καὶ πάλιν· "1τίς γὰρ ἀκούων ἄκτιστον τὸ τοῦ κυρίου σῶμα, ἑαυτὸν δὲ ποιηθέντα καὶ κτισθέντα εἰδὼς, οὐκ ἐννοήσει, ψευδεῖς μὲν εἶναι τὰς θείας γραφὰς, ἑαυτὸν δὲ μὴ ἔχειν πρὸς τὸν Χριστὸν κοινωνίαν."2 καὶ μετ' ὀλίγα· "1ἄκτιστος γὰρ ὕπαρξις μόνη ἡ τῆς θεότητος νοεῖται· ὥστε καὶ τὴν ἄκτιστον παθητὴν λέγειν ἀσεβὲς, καὶ τὴν παθητὴν ἄκτιστον ὀνομάζειν."2 καὶ πάλιν· "1ὅλως ἐν τοῖς ποιήμασι τὸ λεγόμενον ἄκτιστον τὸ μηδέπω ὑπάρξαν λέγεται, ὅτι μὴ γέγονε."2 καὶ ἀλλαχοῦ· "1οὐχ ὡς αἱρετικοί φασιν, ὅτι ἐνέργεια παρὰ τοῦ πνεύματος ἐγένετό τις ἐν τῇ παρθένῳ, τοῦ τελεσθῆναι τὴν σάρκωσιν."2 (ΙΕ.) Τὰ δ' αὐτὰ περὶ ἀκτίστου καὶ ὁ Νυσσαεὺς πρὸς Εὐνόμιον φάσκει Γρηγόριος· "1μόνη τῆς κτίσεως ὑπέρκειται ἡ θεία τε καὶ ἄκτιστος φύσις τοῦ θεοῦ."2 καὶ πάλιν· "1ἄκτιστον, πλὴν θείας φύσεως, οὐδέν."2 ὁρᾶτε πῶς ὑπὸ τῶν ἁγίων περιφανῶς ἀναιροῦνται Μανιχαῖοί τε καὶ Ἀπολλινάριος, Ἄρειός τε καὶ Εὐνόμιος, οἱ ταὐτὰ τῷ Παλαμᾷ πάντες φθεγγόμενοι· ὡς νῦν γε καὶ αὐτὸς ἐκείνοις ταὐτὰ φθεγγόμενος ὑπὸ τῶν αὐτῶν ἐκείνοις συναναιρεῖται ξιφῶν. ὅτι δὲ καὶ Εἰκονομάχος ὢν πεφώραται μὲν καὶ πρότερον ἐκ πολλῶν, ὡς ἐδείξαμεν, οὐχ ἧττον δὲ κἀκ τούτων, ἀκούσατε καὶ Θεοδώρου τοῦ μεγάλου καὶ σοφοῦ τῆς ἐκκλησίας ἐκείνου κήρυκος, τηνι 2.1143 καῦτα παρόντος καὶ πολεμοῦντος συχνὰ τοῖς Εἰκονομάχοις, ἅτε ἐν χερσὶ τῆς μάχης καθισταμένης. "1τὸ μὲν φθαρτὸν τοῦτο,"2 φησὶν, "1ἐνδύσασθαι δεῖν ἀφθαρσίαν, καὶ τὸ θνητὸν ἀθανασίαν, ὁ μέγας μυσταγωγεῖ ἀπόστολος· τὸ δὲ σῶμα ἀσωματότητα ἐνδύσασθαι, ἢ τὸ κτιστὸν γενέσθαι ἄκτιστον, ἢ τὸ περίγραπτον εἰς ἀπεριγραψίαν μετατεθεῖσθαι, οὔπω μέχρι καὶ τήμερον ἤκουσται."2 καὶ πάλιν· "1εἰς θεότητος φύσιν οὐκ ἄν τι τῶν γεννητῶν καὶ τελούντων ἐν κτίσμασι μετασταίη ἄν ποτε, κἂν μυριάκις βλασφημοῦντες οἱ Εἰκονομάχοι φαίνωνται."2 καὶ πάλιν· "1τί οὖν, φθείρει ἡ ἀφθαρσία, καὶ ἡ ἀθανασία ἀπόλλυσιν; ἀλλ' οὐκ ἔστι λόγον ἔχον τοῦτό γε."2 ἀκούετε πῶς καὶ Εἰκονομάχοις ταὐτὰ φθεγγόμενος Παλαμᾶς, ὁ τῆς νῦν ἐκκλησίας διδάσκαλος, τοῖς αὐτοῖς βάλλεται βέλεσι πρὸς τοῦ στρατηγοῦντος γενναίως ὑπὲρ τῆς εὐσεβείας πατρὸς καὶ διδασκάλου τῆς ἐκκλησίας. καὶ ταῦτα μὲν τοῦτον ἔσχε τὸν τρόπον· καὶ οὕτω σύν γε θεῷ τοὺς λόγους ἠνύσαμεν, τούς τε νῦν ὑμῖν προστεθέντας καὶ οὓς μεταξὺ μὲν τότε τοῦ ἀγῶνος ἐνεστηκότος καὶ τῆς χρείας ἀναγκαζούσης διῄειμεν, νῦν δὲ διὰ μῆκος παρελίπομεν. β΄. Ἐκείνοις μὲν δι' ἀπεχθείας καὶ βάρους μακροῦ τὰ λεγόμενα ἧκε, καὶ ἐς πολὺν τὸ θυμούμενον τῆς ψυχῆς ἐξεῤῥάγη σφίσι πυρσόν· καὶ ὥσπερ ἐμμανεῖς γενόμενοι δυοῖν ἔφασκον εἶναι θάτερον ἐξ ἀνάγκης· ἢ γὰρ, ἁγίους ὄντας, μὴ λέγειν τοιαῦτα· ἢ 2.1144 λέγοντας, ἁγίους οὐκ ἂν εἶναι· οὐδὲ γὰρ ἄν ποτε φαῖμεν ἡμεῖς, οὔτε τὰ διειλημμένα πνεύματα, οὔκουν οὐδὲ τὰς τοῖς κτίσμασι διδομένας χάριτάς τε καὶ ἐνεργείας ἐκ τοῦ παντὸς αἰῶνος, ὡς οὐκ εἶεν κατὰ τὸ ἀναμφίλεκτον ἄκτιστα. εἰ γὰρ καὶ θεὸν διδόναι κτιστὰ συγχωροίημεν, τί ἂν εἴη τὸ τῆς θείας ὑπεροχῆς ἐξαίρετον; τοῦτο γὰρ καὶ ἀνθρώποις ἔξεστι ποιεῖν ἀεὶ, καὶ διδόναι οἷς ἄν τις ἐθέλοι ὁπόσα ἂν τῶν προσκαίρων καὶ ὅσα τῶν κτισμάτων ἐθέλοι. θεὸς οὖν ἄκτιστος ἄκτιστα διδοίη ἂν κατὰ τὸ εἰκός. εἰ δέ τις ἄλλως ἐθέλοι λέγειν, ἀπόβλητος ἂν εἴη ἡμῖν ἐκ παντός γε τρόπου, κἂν οὐρανοῦ βοῶσι βρονταὶ, κἂν στοιχεῖα πάντα φωνήεντα καταστάντα λέγῃ ταυτί. (Β.) Ἐμοῦ δὲ τῶν ἁγίων



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

προκομίζειν ἐπιχειροῦντος τὰς βίβλους, ἐκεῖνοι μηδὲ μικρὸν γοῦν ἀνασχόμενοι ἐξανέστησαν, πολλὴν ἐμοῦ καταχέοντες χλεύην καὶ πλεῖστά τε λέγοντες ἕτερα καὶ "1ὡς ἀσύνετα δρᾷς κατὰ σεαυτοῦ, βασιλικοῖς ἀντιπράττων προστάγμασιν, ἐξὸν ἐνδόντα βραχὺ μείζονος ἢ κατὰ τὴν πρὶν ἀπολαύειν εὐμένειαν, ἔκ τε βασιλέων καὶ βασιλίδων, καὶ ἅμα πρὸς πάντων, ὅσοι τε τῶν συγκλητικῶν καὶ ὅσοι τῶν ἄλλως ἐχόντων αἰδοῦς καὶ τιμῆς. καὶ μὲν δὴ κεφάλαιον, ἔφασαν, ἔστω σοι τοῦτο τῶν λόγων, ὡς ἐπιμένων ταύτῃ τῇ σκληρότητι πολλῶν μὲν στερήσῃ τῶν ἀγαθῶν, πολλῶν δὲ πειραθήσῃ τῶν λυπηρῶν· καὶ ἅμα τῶν μὲν σῶν λόγων ὅσοι ἐπ' ἐκκλησίας ἐν ταῖς τῶν ἁγίων ἀναγινώσκονται μνήμαις, πῦρ δαπανήσει πολέ 2.1145 μιον καὶ ἀντίθετον ἅπαντας ἐν βραχεῖ, προστάττοντος βασιλέως· σὺ δ' ἄταφος θανὼν ἔξω που ῥιφήσῃ τῆς πόλεως."2 (Γ.) Ἐγὼ δ' ὑπολαβὼν Διοκλητιανοῦ καὶ τῶν ἐκείνου καιρῶν ἔφασκον εἶναι ταυτὶ τὰ ῥήματα· καὶ μὴ, τὰ μέγιστα χαριζόμενοι τῶν καλῶν, συγχεῖτε τὴν χάριν ἐν τῷ τῆς ἀπειλῆς σχήματι. τοὺς γὰρ μαρτύρων ἐμοὶ στεφάνους ὑπισχνούμενοι χορηγεῖν κακίστοις ὀνόμασι τὰ βέλτιστα δοκεῖτε συγχεῖν· καὶ ὑμεῖς μὲν ὧν βασιλεὺς κύριος, ἀπειλεῖτε· ἐγὼ δ' ὧν ἐγὼ κύριος σύν γε θεῷ καὶ πάνυ φυλάττειν, ἀγωνιοῦμαι καὶ μέχρι θανάτου στήσομαι, τὸ φρόνημα τηρῶν ἀδούλωτον. εὐσεβεῖν μὲν γὰρ ἀνάγκη, ζῆν δ' οὐκ ἀνάγκη· καὶ θνήσκειν μὲν ὑπὲρ εὐσεβείας ἀνάγκη, θάπτεσθαι δ' οὐκ ἂν ἀνάγκη. κἀκεῖνοι μὲν ἐν τούτοις ἀπῄεσαν. (Δ.) Ἐμοὶ δὲ πάλιν κλεῖθρα καὶ μοχλοὶ θυρῶν ἐπήγοντο, καὶ τῶν προτέρων πικρότεροι φύλακες. καίτοι γε ἐβουλόμην γ' ἂν ἐπ' αὐτῶν καὶ θάτερον μέρος τῆς σφῶν ἀπειλῆς τῇ προσηκούσῃ παραπέμψαι χλεύῃ, καὶ δεῖξαι κἀνταῦθα δαψιλέστερον, ὅσον τῆς ἀπονοίας τὸ ἄγνωμόν τε καὶ εὐῆθες. οἱ δὲ, ὡς ἔοικε, τὴν ἑαυτῶν αὐτοὶ καταγνόντες αἰσχύνην, κωφοὶ τοῖς λεχθησομένοις ἀπιόντες ᾤχοντο. εἶναι γὰρ Παλαμίταις τὸ σκοπιμώτατον, παῦσαι μὲν τὰς ἑορτὰς τοῦ θεοῦ, τὴν ἔνσαρκον οἰκονομίαν μηδαμῶς αὐτοῦ προσιεμένοις· παῦσαι δὲ καὶ τοὔνομα τοῖς λόγοις τούτοις τοὐμὸν μετὰ τῆς ἐμῆς ἐμφαινόμενον εὐσεβείας. εἰ οὖν τοῦτο διδοίη τις, οὐκ 2.1146 ἂν φθάνοι τὰς Μωσέως καὶ Δαβὶδ καὶ πάσας Ἰουδαϊκὰς διαγράφων βίβλους, ἅτε χρόνοις ὕστερον ἐκκηρύκτου καταστάντος τοῦ Ἰουδαίων ἔθνους ἡμῖν. καί μοι θαυμάζειν περίεστι, πῶς Νεστόριον μὲν καὶ Εἰκονομάχους τἄλλα ζηλοῦσιν αὐτοῖς, ᾧ μάλιστά γε ἐχρῆν ὁπωσοῦν ἐχομένῳ φιλαυτίᾳ, ἐν τούτῳ μάλιστα ζηλοῦν οὐ γεγένηται νῦν. τὴν γὰρ τοῦ θεοῦ λόγου συγχέοντες ἐνανθρώπησιν ἐκεῖνοι, καὶ τὰς θείας ἐκ μέσου ποιοῦντες εἰκόνας, ὅσα μουσουργοὶ καὶ λογογράφοι τῇ ἐκκλησίᾳ καταλελοίπασιν ᾄσματα καὶ λόγους, τούτων δ' οὐδὲν οὐδαμῇ συνεξώθησαν· ἀλλ' ᾖδον καὶ ἐτησίοις ἐγέραιρον πανηγύρεσιν. οὗτοι δὲ, τό σφισιν εἰωθὸς κἀνταῦθα ποιεῖν οὐδαμῇ γε ὀκνοῦντες, καὶ ταύτῃ κἀκείνους τῇ κακίᾳ φιλονεικοῦσι νικῆσαι. αἰσχύνη γὰρ τοῦτο, καὶ μάλα ἀπόβλητον εἶναι νομίζεται Παλαμᾷ, καθ' ὁπόσα τοῖς ἀρχηγοῖς τῶν αἱρέσεων εὕρηται σπέρμα δυσσεβείας ἀρκεῖσθαι, εἰ μὴ καὶ τὴν παρ' ἑαυτοῦ συνεισφέροι κακίαν ἐπὶ κακίᾳ. ἐνεργὸν γὰρ ἀεὶ τὸ φιλότιμον ὁ ἀνὴρ ἐνδείκνυται, πανταχῇ πάντας κακοὺς ἐν κακοῖς ὑπερβάλλων. 3.3 ΝΙΚΗΦΟΡΟΥ ΤΟΥ ΓΡΗΓΟΡΑ ΡΩΜΑΙΚΗΣ ΙΣΤΟΡΙΑΣ ΛΟΓΟΥ ΚΔ ΤΟ ΤΕΛΟΣ. ἤδη δὲ τοῦ φθινοπώρου λήγοντος, καὶ τῆς ἑορτῆς ἐπιστάσης ἣ τοῖς ἐμοῖς δεσμοφύλαξιν ἐτήσιος τῇ πανάγνῳ τελεῖται μητρὶ τοῦ θεοῦ, καὶ μὲν δὴ πολλῶν καὶ παντοδαπῶν ἀνδρῶν ἀναμὶξ εἰσιόντων ἅμα καὶ ἐξιόντων ἐς τὸ ἱερόν, ἔλαθέ τις τῶν οὐκ ἀγενῶν καὶ πάλαι φοιτητῶν καὶ ἐς τὰ μάλιστα φίλων ἐμοὶ περὶ δευτέραν ἤδη φυλακὴν τῆς νυκτὸς διὰ θυρίδος τινὸς εἰς τὴν ἐμὴν παρεισρυεὶς οἰκίαν· ἔτυχε γάρ πως κἀκείνην ἀσέληνον εἶναι τὴν νύκτα, ἅτε καθ' ἓν ζώδιον, δη 3.4 λαδὴ τὸν τοξότην, τῶν δυοῖν διατριβόντων φωστήρων τηνικαῦτα, καὶ μόλις που πεντεκαίδεκα μοίρας ἀφισταμένων ἀλλήλων, μετὰ σύνοδον ἤδη τῆς σελήνης φευγούσης τὸν ἥλιον, καὶ μήπω μηδ' αὐτῆς μηδ' ἐπὶ βραχὺ δυναμένης βραχείας γοῦν τῇ καθ' ἡμᾶς οἰκουμένῃ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

χορηγεῖν τῶν οἰκείων αὐγῶν τὰς λαμπάδας. ἐγὼ γοῦν ἀήθους καὶ ξένου τινὸς αἰσθόμενος ἐντεῦθεν πατάγου τὰ μὲν πρῶτα διὰ τὴν ἀωρίαν ἐξεπεπλήγμην· εἶτα φωτὸς κομισθέντος καὶ ἰδὼν οὐδ' οὕτως οὐδέπω τῶν γνωρίμων ἐντὸς ἐνόμιζον εἶναι τινά, μακρῶν διὰ τὴν ἐκδημίαν ἤδη που παραρρυέντων ἐτῶν, καὶ αὐτὰ σχεδὸν τῶν χαρακτήρων τῆς ὄψεως αὐτοῦ τὰ σημεῖα τῆς ἐμῆς ἀφῃρημένων μνήμης. ἀλλ' ἐκεῖνος ἐπεί τε ἴδοι καὶ ἀναγνοίη βεβαίως ἐμέ, βύθιόν τι καὶ σφόδρα περιπαθὲς ἀνῴμωξεν, οἷον ἄθρουν τινὰ καὶ ὁμιχλώδη καπνὸν καμινιαίας αἰθάλης τῆς ἔνδον ἐπιεικῶς ὀδυνωμένης ψυχῆς ἀναπέμπων τοῦ στόματος· καὶ ἅμα περιχυθεὶς καὶ περιβαλών με οὐκέθ' ἑαυτὸν τοῦ δακρύειν κατέχειν ἐδύνατο, οὐδ' ἀπάγειν ῥαδίως ἐκεῖνα δήπου λέγειν ὅσα γνώμη δίδωσιν ἐκ λύπης καὶ χαρᾶς ἀνακεραννυμένη καὶ ζυγομαχοῦσα καί πως μεταχρωννυμένη τὴν τῆς ἕξεως βαφὴν τῆς ψυχῆς. ἔπειτ' ἀνασχὼν εἰς ὕψος τὰς χεῖρας "εὐχαριστῶ σοι, πάντων" ἔλεγε "θεός, ὅτι με, πρὶν ἢ θανεῖν, θεατὴν ἐδεδώκεις γενέσθαι τοῦ ποθουμένου, ὃν ἐγὼ μέχρι καὶ ἐς τόδε τῶν ἐν βίῳ πάντων ἡδέων ἐπίπροσθεν διετετε 3.5 λέκειν ποιούμενος· ὡς νῦν γε καὶ τῷ τῆς ἡδονῆς ὑπερβάλλοντι κινδυνεύω δοκεῖν ἐκλαθέσθαι πως καὶ ἐμαυτοῦ, μηδ' ἀκριβῶς εἰδέναι εἴτε καθεύδοντος τὸ τοσοῦτον χρῆμα τῆς ἡδονῆς περιγίνεται, εἴτε ἐγρηγορότι. οὕτω μοι σφοδρὸν τὸ πάθος καὶ ἐπιεικῶς ἄτοπον ἐνέστακται τῇ ψυχῇ, καί μοι μακρῷ τινὶ βέλτιον εἶναι δοκεῖ, πάσας τὰς τέως μακρὰς περιόδους γῆς καὶ θαλάττης ἀφεμένῳ, καὶ τὰς οὕτως ἀτεκμάρτους πλάνας τοῦ βίου, αἵ με μακροῦ τινὸς περιαντλοῦσι χρόνου μόχθοις ἀνηνύτοις λατρεύοντα, νῦν ἐνταυθοῖ, σεβασμία μοι κεφαλή, παρὰ τοὺς πόδας τοὺς σοὺς τὸν ταλαίπωρον κάμψειν βίον." πολλά τε οὖν ἐκείνου τοιαῦτα λέγοντος, καὶ ἅμα δακρύων ἀναρρηγνύντος ἐξ ὀφθαλμῶν ῥύακας, ἀτενέστερον κἀγὼ τὰς ὄψεις ἀπερεισάμενος ἐς αὐτόν, ἠρέμα καὶ κατ' ὀλίγον ἀναγνωρισμάτων ἴχνη τινὰ συνέλεγον ἤδη καὶ αὐτὸς εἰς τὴν ἐμαυτοῦ διάνοιαν, ὥστε καὶ τελέως ὅστις εἴη ἀναγνοὺς ὀψὲ δακρύων καὶ αὐτὸς ἐπεπλήσμην τοὺς ὀφθαλμούς, ξυμμιγῆ πως τῷ λυποῦντι τὴν τέρψιν καρπούμενος· φιλεῖ γὰρ κἀκ τῆς ἡδονῆς ἐνίοτε θερμὸν ἀναρρήγνυσθαι δάκρυον, τοῦ τῆς ἀθυμίας καπνοῦ διαλυομένου τε καὶ ὠθουμένου τῇ τῆς ἐναντίας ἕξεως ἀντιπαθείᾳ, καθάπερ διὰ σωλήνων τῶν ὄψεων τῆς φύσεως τὴν ἅλμην κενούσης τῆς λύπης, καὶ τὸ βάρος ἀποτινασσομένης ἐκεῖνο καθάπερ τινὰς νόθους καὶ παρεγγράπτους κῆρας καὶ νόσημα ἔπηλυ λογισμῶν. ἦν γε μὴν 3.6 τῶν Καλλιστράτου παίδων ὁ πρεσβύτερος· Ἀγαθάγγελος ὄνομα τἀνδρί. χρόνῳ γε μὴν ἑαυτοὺς ἀνειληφότες ἑκάτεροι, ἑκατέροις τῶν οἰκείων ἐχρώμεθα διδασκάλοις διηγημάτων, τά τε ἄλλα καὶ ὅσας τῶν ἀδήλων συμπτωμάτων αἱ τύχαι κεκομίκασι τῇ γε τοῦ θεοῦ ἐκκλησίᾳ καὶ ἅμα τοῖς πολιτικοῖς πράγμασι τὰς συμφοράς, τοῦ θεοῦ συγκεχωρηκότος διὰ τὴν τῶν πατρίων τῆς εὐσεβείας δογμάτων ἀθέτησιν, ἣν οὐδὲ σὲ λεληθέναι δοκεῖ μοι, ἔγωγε ἔφασκον· ἔτι γὰρ ἐνταυθοῖ παρεῖναί σε μέμνημαι, καὶ εἰδέναι σαφῶς Παλαμᾶν κύοντα μὲν ἔτ' ἐν γαστρὶ μοχθηρά, καὶ ὠδίνοντα τὰ τῆς πολυθεΐας ἅμα καὶ ἀθεΐας δόγματα, ἔστι δ' οὗ καὶ ἐξερευγόμενον ταῦτά τε καὶ ὅσα τοῖς πάλαι σποράδην καὶ κατὰ διαφόρους τοὺς χρόνους αἱρέσεως εὕρηται πολυειδῆ κακίας ὑπομνήματα. ἃ καὶ μικρὸν ὕστερον γεγέννηκέ τε ἐς προὖπτον καὶ ἔθρεψε, μαιευσαμένων τῶν τηνικαῦτα δυναμένων ἄγειν καὶ φέρειν τὰ πράγματα. διὸ καὶ καθῄρηται μὲν τὸ μέγα καὶ περιβόητον τέμενος, συγκαθῄρηται δ' ἅμα αὐτῷ καὶ τὸ θεῖον ἐκεῖνο θυσιαστήριον, τοῦ θεοῦ ζωγραφοῦντος ἐν αὐτοῖς τὴν ὀργὴν ἣν διὰ τὸ τῆς ἀσεβείας ταύτης ἔσχεν ἀθέμιτον. ἐπεὶ δὲ τὸ μὲν καλὸν ποιεῖν προϊοῦσιν ἀπῆν, τὸ δὲ κακὸν ἀπεῖναι οὐκ ἦν, ἀνατρέπεται καὶ συγχεῖται διηνεκῶς τὰ Ῥωμαίων ὁρῶν πράγματα, καὶ τὸ γενόμενον τῆς θείας ὀργῆς οὐκ ἔγνωκεν ἀπρα 3.7 κτεῖν οὐδαμῇ. διὰ δὴ ταῦτα καὶ δέσμιοι τήμερον ἡμεῖς, ἀνθιστάμενοι τῇ ῥύμῃ τῆς ἀσεβείας, ὅσον ἐφικτόν. Ταῦτα τοίνυν καὶ τὰ τοιαῦτα διεξεληλυθότων ἡμῶν, ἔπειτ' ἐκείνου πυθέσθαι τῆς ἐγγὺς εἰκοσαετοῦς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐκδημίας τὸν τρόπον ἐζήτουν ἐγώ, ὅπως τε ἔσχε καὶ ὅπως αὐτὸς ἐβίω, καὶ ὅπῃ τὴν δίαιταν ὁ μεταξὺ καὶ οἵαν αὐτῷ παρέσχετο χρόνος. οἶσθα γάρ, ἔλεγον, ὡς ἱστορίας ἐμοὶ συγγράφοντι βίβλους μακρά τις οὖσα τυγχάνει καὶ μάλα πεφροντισμένη σπουδή, πεῖραν ξυνειλοχέναι παντοίων πραγμάτων, ὅσην ὅ τε χρόνος ἡμῖν ἀκριβέστερον σκοπουμένοις ἀεὶ παρέχεται, καὶ ὅση ἐκ τῆς τῶν ἄλλοθεν ἄλλοτ' ἄλλως ἡμῖν ὁμιλίας εἵνεκα προσιόντων ἀσχολίας ἀεὶ περιγίνεται, διηγήματα προτιθείσης ὅσα τ' ἐξ ἀκοῆς καὶ ὅσα δι' ὄψεων παρειληφὼς τῷ φανταστικῷ τῆς ψυχῆς ἐνετύπωσεν ἕκαστος πίνακι. ὑπερφυῶς γὰρ καὶ Διογένης ἐκεῖνος ὁ κυνικὸς εἰρηκέναι δοκεῖ μοι, σχολαζόντων ἀσχολίαν ὧν ἄν τις ἐφίεται λίαν πραγμάτων τοὺς ἔρωτας εἶναι· μικρὰ γὰρ ἢ οὐδὲν τῶν ἔξω θορύβων ἀνθέλκειν ἐχόντων, σχολῇ γ' ἂν ἄλλως φανείη τὸ κινούμενον ἀπρακτοῦν τῆς ψυχῆς. ἐμοὶ δ' ἣν τῶν ἔξω θεάτρων σχολὴν ὁ τῶν ἐμῶν Προμηθεὺς παρέσχετο λόγων, διπλοῦ καὶ τριπλοῦ τινὸς ἔρωτος ἀσχολίαν ὅπως ποτ' ἐξεγένετο δρᾶν, νῦν μὲν τοῖς ἀεὶ προσιοῦσιν ἄλλοτ' ἄλλοις, ὁπόσα τῷ καιρῷ καὶ τῇ χρείᾳ προσήκειν δοκεῖ, διὰ γλώττης οὐ μάλα ὀκνεῖν ὁμιλοῦντι, νῦν δὲ 3.8 διὰ γραμμάτων, οἷς ἡμᾶς καὶ πόρρωθεν φιλεῖν προθυμίας ἐμπύρευμα ἔνεστι, δεξιοῦσθαι τὸν ὅμοιον τρόπον, καὶ τρίτον, ὁπόσα τῷ τῆς ἱστορίας ξυντείνει συλλέγειν σκοπῷ· ἥδεται γάρ πως ἡ ψυχὴ καὶ χειραγωγὸν ἐπὶ τὰ κάλλιστα τῶν τῆς ἱστορίας πραγμάτων ἔξωθεν ἔμπρακτον λόγον δανειζομένη, πλὴν εἰ μὴ δύσμαχος κόρου τινὸς αὐτὸν ἐνοχλεῖ τυραννίς, ἣ τἀναντιώτατα μέν πως ἔχει τῇ τῶν Σειρήνων ἐκείνων ᾠδῇ, πρὸς δὲ τὴν ὁμοίαν ἐκείνῃ φέρει ζημίαν λανθάνουσα, ἐπειδήπερ ἐκείνη μὲν τῇ τῆς ἐμμελοῦς ἁρμονίας ἁβρότητι κατακηλοῦσά τε καὶ γοητεύουσα τὰς ἀκοάς, δέσμιον, ὃς τίς ποτ' ἄρ' ἦν ὁ τῆς ᾠδῆς ἐκείνης κατατρυφῶν, πρὸς τὰς τοῦ θανάτου συνώθει πύλας, μηδὲν μᾶλλον ἐκ τοῦ μέλους τῇ ψυχῇ προκατατιθεμένη λυσιτελὲς ἢ βραχύ τι κέρδος ἀκοῆς ἀκολάστου, ζημίας μεγίστης πρόξενον. ὁ δὲ παιδείας ἡλικιώτης λόγος ὠφελεῖ μὲν νεαρὸν καὶ χλοάζον εἰπεῖν τὸ ἐπαγωγὸν κεκτημένος, ἕως ἂν καὶ τὴν συμμετρίαν πάρεδρον ἔχῃ καὶ πρὸς βραχύτητα τὸ τοῦ δρόμου συστέλλῃ στάδιον· ἐπὰν δὲ τῇ́ τοῦ κόρου πλεονεξίᾳ τὰς θύρας ἀναπετάσῃ, πολέμιος εὐθὺς καὶ αὐτὸς ἑαυτῷ φωρᾶται γιγνόμενος, καὶ ἅμα ἀηδίας μακρᾶς τὸ τῆς ψυχῆς ἡδόμενον ἐμπιπλῶν, καὶ ὅλην ἐκείνην ἀναμοχλεύων καὶ ἀνατρέπων τὴν χάριν. ἡδέως γοῦν ἔγωγ' ἀκούσαιμ' ἄν, νῦν μᾶλλον, εἴπερ ποτέ, σχολὴν ἄγων ἀπράγ 3.9 μονα κομιδῇ καὶ ἀθόρυβον, ἅττα ποτ' ἂν αὐτὸς ἐμοὶ προτιθέναι βούλοιο ὧν ἡ μακρά σοι περίοδος ἐχαρίσατο γῆς ὁμοῦ καὶ θαλάσσης· οὐδὲν γὰρ οὕτως εὐφραίνειν οἶδεν οὐδένα τῶν πάντων, καθάπερ ἐκεῖνα πρὸς τὸ φιλητικὸν τῆς ψυχῆς οἴκοθέν τε κἀκ φύσεως τὴν ῥοπὴν ἐκτήσατο· δημόσιον γάρ τινα βάσανον τἀν κόσμῳ τοῖς πᾶσι προκεῖσθαι γίνεται πράγματα, καθάπερ εἴδους ἄνευ ὕλην τὸ αὐτόνομον τῆς τῶν ἀνθρώπων διαθέσεως προκαλουμένων, οἷόν τινα δημιουργὸν καὶ τεχνίτην πρὸς τὴν αὐτῆς εἰδοποίησιν καὶ μορφήν, ἵνα δὴ τοῦ βελτίονος ἢ τοῦ χείρονος σχῇ τὴν ἐπωνυμίαν, καὶ πάσης βροντῆς μεγαλοφωνότεροι τῆς τῶν χρωμένων γένωνται κήρυκες διαθέσεως αὐτόθεν τὰ πράγματα. εἰ μὲν οὖν καὶ ἄλλοις εἴη πρὸς τρόπου τὰ τῆς ἡμετέρας ἕξεως τῇσδε, εἰδεῖεν ἂν οἵ τινές ποτ' ἄρ' εἶεν ἐκεῖνοι· εἰ δ' οὖν, ἀλλ' ἔμοιγε καὶ σφόδρα γέ τι κατὰ γνώμην ὁπόσα τῆς τοιᾶσδε μαθήσεως ἔχεται. Καὶ μὲν δὴ ταῦτα διεξιόντος ἐμοῦ, τοιάδε κἀκεῖνος ἀρξάμενος διεξῄει. πάντα μὲν χαλεπὸν ἂν εἴη, φησί, διηγεῖσθαι καθ' ἕκαστον ὡς ἔσχε τἀμά· ὡς δ' οὖν ἐν κεφαλαίῳ διεξιέναι τὰ πλείω, τοῦτο δ' οὐκ ἄν ποτ' ἀπαγορεύσαιμ' αὐτός, ὡς μάλα ὂν οὐδὲν ἐργῶδες. οἶσθα γάρ, εἴπερ τις ἁπάντων, δι' ὅσης ἐγὼ τῆς ἐφέσεως ἦγον πολύν τινα πάλαι χρόνον ταυτησὶ τῆς ἐμῆς ἔκδημος γεγενῆσθαι πατρίδος, ἱστορίας τε ἕνεκα πραγμά 3.10 των παντοδαπῶν καὶ ἅμα πόλεων καὶ λιμένων, καὶ οἵαν ἕκαστα τούτων ἔχει τὴν θέσιν πρός τε ἄλληλα καὶ ὅλον τὸ σχῆμα τῆς γῆς, ἅτε τῇ τῆς ἀστρονομικῆς ἐπιστήμης χρείᾳ μεγίστην παρεχόμενα τὴν συντέλειαν. ὃ δέ με


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

πάντων μάλιστα ἐπεπείκει τὸν ἔκπλουν ἐπιταχῦναι, τά τε τῆς ἐκκλησίας ναυάγια ἦν, καὶ ὅσα τοῖς πολιτικοῖς ἐπεφύη τηνικαῦτα νοσήματα πράγμασι τούτων γε ἕνεκα. οἷς γὰρ τότε μάλιστα πάντων σώζειν ἐνῆν τὰ τῆς πολιτείας πράγματα, ταῦτα τότε μάλιστα πάντων ἠλαύνετο καὶ σφόδρα δυστυχῶς διέκειτο, λέγω δὴ τὰ τῆς εὐσεβείας πράγματα· δόγματα γὰρ ἀλλαττομένης τηνικαῦτα ἐκείνης, τὰ Παλαμικὰ δηλαδὴ τῶν πατρίων, πονηρῶς εἶχε τὸ σῶμα τῆς πολιτείας, καὶ πᾶσαν ἔφραζε χαίρειν ἐλπίδα χρηστήν· τὸ γὰρ φορτικὸν καὶ ἀμαθὲς τῶν ἡγεμονικῶν ἀνδρῶν αὐτήν τε ἐκαπήλευσεν ἀσελγῶς τὴν ἀλήθειαν, καὶ ἀπαραίτητος ἵστατο κολαστὴς τῆς μόνης σώζειν δυναμένης τότε τὸ γένος ἐλπίδος. ὅθεν ζωγραφουμένην ἐν τύποις ἔτι τὴν θείαν βλέπων ὀργήν, καὶ οἷον ἐν σπαργάνοις ἔτι καὶ γάλαξι κρυπτομένην, γῆν ἀλλάττεσθαι γῆς ἐνόμισα δεῖν, πρὶν ἐν ὅπλοις ὑπαίθροις στρατευομένης κατὰ τῶν ἀδικούντων αὐτῆς πειραθῆναι κραταιότερον· χρόνου [γὰρ] ἀεὶ στοχάζεσθαι δεῖν ὅτῳ νοῦς συνοικεῖ σωφρονῶν, καὶ μὴ καιρῷ καὶ τύχαις προσομιλεῖν ἀβέβαιον κεκτημένοις θεμέλιον, καὶ μάλισθ' ὅτε ψυχῆς ἀθανάτου θάνατος ἀθάνατος οἰκονομοῖτο, μηδὲ τῷ 3.11 παρόντι συνεῖναι ζητεῖν ἡδεῖ, ἀλλὰ τὸ μέλλον πραγματεύεσθαι χρήσιμον, μηδὲ διὰ φόβον τοῖς παροῦσιν ἡττᾶσθαι ψεύδεσιν, ἀλλὰ διὰ τὴν τἀληθοῦς προβολὴν τοῦ κακοῦ κολάζειν τὴν πρόφασιν, οὐδὲ τὸ μίσους ἄξιον εἰς τὴν χώραν εἰσάγειν τοῦ πόθου, ἀλλ' ἀντὶ τοῦ βλάπτοντος τὴν τῶν ὠφελίμων ἀνθαιρεῖσθαι συνοίκησιν. Ἄρτι τοίνυν τὰς ἠρινὰς τοῦ ἡλίου τροπὰς παραλλάττοντος νεὼς ἐπιτυχὼν ναυστολίας ὡρμημένης ἐπ' Αἴγυπτον, ἄσμενος εὐθὺς αὐτῇ φέρων ἐμαυτὸν ἐνεβίβασα. καὶ μὲν δὴ ἄραντος ἐς τὴν ὑστεραίαν ἐκ Βυζαντίων λιμένων ἑβδομαῖοι τοῖς Ῥοδίων προσέσχομεν λιμέσιν, ἔνθα συχνὰς διατετριφότες ἡμέρας οὐρίων πνοῶν ἀπορίᾳ περιῄειμέν τε τὴν νῆσον, καὶ περιεργότερον ἅττα ἦν θέας ἄξια ἐθεώμεθα. κολοσσοῦ μὲν οὖν ἐκείνου μνημεῖον οὐδέν τι ἐλέλειπτο, οὐ μέντ' ἂν οὐδ' εἴ ποτε γέγονεν ὅστις ποτ' ἄρ' ἦν ἐκεῖνος, εἰκασίαν ἐδίδου τινά· οὔτε γὰρ χαλκοῦ μόριον οὐδέν, οὐ μὴν οὐδ' εἴ τινες εἶεν ἐκ λίθων ἐκείνῳ κρηπῖδες, ἐλέλειπτο λείψανον πάντων οὐδέν. πόλεων δὲ τῶν πάλαι αἳ μὲν σεισμοῖς ἐκτριβεῖσαι κατέδυσαν, ὧν ἡ καλλίστη Ῥόδος ἦν ἡ τῇ νήσῳ ὁμώνυμος, καὶ σημεῖα τούτων ἐδείκνυσαν ἡμῖν οἱ ἐγχώριοι· αἳ δ' ἔτι σωζόμεναί τε διαμένουσι καὶ λαμπραὶ λαμπρῶς ἑστηκυῖαι εἰσί. τούτων δ' εἶναι κατ' ἐμαυτὸν ἐνενόουν ἐκ σημείων τι 3.12 νῶν Λίνδον Ἰηλυσσόν τε καὶ ἀργινόεντα Κάμειρον, ὧν ἡ τοῦ Μελησιγενοῦς Ὁμήρου μέμνηται Καλλιόπη. πρόσοικοι δ' ἦσαν τῇ νήσῳ, τὸ πλεῖστον εἰπεῖν, ὁμόφυλοί τε ἡμῖν καὶ τὴν πίστιν ὀρθόδοξοι, καὶ ταύτῃ δὴ τῇ καθ' ἡμᾶς Ἑλλάδι χρώμενοι φωνῇ· παῖδες γάρ εἰσι τῶν οὐ πάνυ πρὸ μακροῦ τεθνηκότων ἐκείνων ἀνδρῶν, οἳ πλεῖστα μὲν ἠγωνίσαντο, Λατίνοις μαχόμενοι τριήρεσί τε καὶ ὅπλοις παμπόλλοις τὴν ἔφοδον ἐπ' αὐτοὺς ποιουμένοις, ἡττήθησαν δὲ δι' ὀλιγότητα καὶ ὑπετάγησαν ἄκοντες. ὧν ἔνιοι κἀν γήραι ζῶσιν ἔτι βαθεῖ, τῆς πρίν τε εὐδαιμονίας ἀεὶ μεμνημένοι, καὶ διήγημα ταῦτα τοῖς παριοῦσι τῶν ξένων ἡδὺ προτιθέντες, οἳ καὶ δυστυχεῖν μέν πως ἔλεγον ὅτι ζυγὸν ἐλευθερίας ἠλλάξαντο δούλειον, εὐτυχεῖν δ' ἄλλως, πολεμίων μὲν ἥκιστα ἔξωθεν ἐνοχλεῖν μὴ δυναμένων τὴν νῆσον ἔτι, ἅτε τῶν τῆς νήσου κρατούντων ἐν ὅπλοις ζῆν εἰωθότων, καὶ ὅσα εἰς πόλεμον ἐπεφύκει ἐπιτηδεύματα, καὶ ἅμα εὐνομίας ἐν ἀγοραῖς καὶ δίκαις ἐπιπολαζούσης τῇ νήσῳ, πλεονεξίας ἀπούσης ὡς τὰ πολλά, καὶ πρὸς τούτοις εὖ ἐχόντων κράσεως ἀέρων λαχόντων τὴν νῆσον, ἔτι τε λιμένων καὶ νεωρίων παγκάλην ἐχόντων τὴν θέσιν, καὶ πάντας μετὰ ῥαστώνης ὑποδεχομένων τοὺς ὁθενδήποτε χρείας ἐμπορικῆς καταίροντας ἕνεκα, ὡς γίνεσθαι διὰ ταῦτα τὴν τῶν ὠνίων χρείαν ἀφθονωτέραν πλουσίοις καὶ πένησι, καὶ βίον ἀταλαίπωρον ἄγειν τοὺς προσοικοῦντας ἐντεῦθεν. εἰ δὲ 3.13 διὰ ταῦτα καὶ χρυσόν ποτε Ῥοδίοις ὗσαι νεφέλας κατέχει λόγος τοῖς τῶν Ἑλληνικῶν μύθων ἀπορρήτοις ἐνδιαιτώμενος, ἐγὼ μὲν οὐκ ἄν ποτ' εἰδείην, τοιούτων ὑπολήψεων



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀμείνω κτησάμενος ἄνωθεν γνώμην, λεγέτω δ' ὅστις ἄμεινον εἰδείη ἂν ἐμοῦ. Εἶεν. ἦρος δ' ἤδη χωροῦντος, ἐν ᾧ καὶ πλειάδες ἄρχονται κήρυκές τε καὶ πρόδρομοι γίνεσθαι τῆς ἡμέρας, οὐρίοις κἀκεῖθεν χρησάμενοι πνεύμασιν ἀνήχθημεν, ὡς πεμπταίους ἡμᾶς ἐς μεγάλην τε καὶ λίαν εὐδαίμονα ἀφικέσθαι πόλιν, τὴν Ἀλεξάνδρειάν φημι, πεντακισχιλίους σταδίους ἀπέχουσαν Ῥόδου, κειμένην δ' ἐν δεξιᾷ, εἴ τις ἐς τὸ Ἡρακλεωτικὸν καταίρειν ἐθέλοι στόμα τοῦ Νείλου. μέγιστος γὰρ ὢν ποταμῶν ὁ Νεῖλος, καὶ ὅλην ἄρδων ἐκ μέσου τὴν Αἴγυπτον μόνος αὐτός, ὁλόκληρος κάτεισι ζωννύων αὐτὴν ἄνωθέν ποθεν ἀρξάμενος, ἄχρι καὶ εἰς Βαβυλῶνα τὴν περὶ τὸ Δέλτα καλούμενον οὕτωσι πως κειμένην. ἐκεῖθεν δ' ἐννέα μεριζόμενος στόμασιν εἰς τὴν Αἰγυπτίαν ἐκδίδοται θάλασσαν, ὧν ἄλλως μὲν τἆλλα, τὸ δὲ πρὸς δύσιν καὶ ζέφυρον ἄνεμον Ἡρακλεωτικὸν ὀνομάζεται. τούτου τοίνυν νοτιωτέρα μικρὸν ἡ περιβόητος Ἀλεξανδρέων αὕτη κεῖται μακρόπολις. ἣν καὶ αὐτὴν θεασάμενος ὅσον ἐξῆν, καὶ τῶν ἀξιολογωτέρων κατατρυφήσας αὐτῆς θεαμάτων ὡς ἡμῖν γε ἐχρῆν, ἔπειτ' ἐξῄειν 3.14 ἐκεῖθεν, μετά γε τὰς Ὠρίωνός τε καὶ κυνὸς ἐπιτολάς, θεάσασθαι ζητῶν καὶ τὰς ᾀδομένας πυραμίδας ἐκείνας, καὶ εἴ τις εἴη πόλις κατ' Αἴγυπτον ἑκατοντάπυλοι λεγομένη Θῆβαι, καὶ ἅμα τοῖς τῶν Αἰγυπτίων ἱερογραμματεῦσι μάλα ἐθέλων συμμῖξαι. μεγάλης γάρ, ὡς οἶσθ', αὐτοὺς ἡμῖν θιασώτας εἶναι σοφίας βίβλοι παρέπεμψαν παλαιαί. ἀλλ' ἦσαν ἄρα ταυτὶ γρηγορούντων ἐνύπνια, μόνοις σωζόμενα τοῖς ὀνόμασιν, ὅσα παρὰ τὸν βίον ἀεὶ καλινδούμενα γένεσιν ἔρωτος βόσκει διὰ τῶν ὤτων ἐνσπειρομένην τοῖς μικρογνώμοσι λογισμοῖς. Τοῦ μέντοι φθινοπώρου μεσοῦντος ἤδη ἀφῖγμαι καὶ ἐς θέαν τῶν ἐν Παλαιστίνῃ τόπων καὶ πόλεων, ὅσαι τῶν σωτηρίων ποδῶν τὰς τρίβους ἐδέξαντο. καὶ μὲν δὴ κἀνταῦθα τὸν ἔρωτα καθ' ὅσον ἐξῆν ἀφοσιωσάμενος τῆς ψυχῆς, εἶτα ἀπῄειν μετὰ χειμερινὰς τοῦ ἡλίου τροπάς. καὶ δὴ λοιπὸν ἐν δεξιᾷ καὶ πρὸς ἕω τὰ τῆς εὐδαίμονος Ἀραβίας ὄρη λιπών, ἐς τὰς μεσογείους τῆς κοίλης Συρίας ἐνέβαλον πόλεις, καὶ μετὰ πλείους κἀκεῖ περιόδους ἧκον ἐς Δαμασκόν, πολλῶν ὑπερέχουσαν τῶν ἐκεῖ πόλεων τά τε ἄλλα καὶ πολυανθρωπίᾳ καὶ ἀγορῶν ἰσονομίᾳ καὶ πολιτικῆς καταστάσεως εὐκοσμίᾳ, καὶ πρός γε συνέσει τῶν οἰκητόρων βαθείᾳ τινὶ καὶ γεγυμνασμένῃ καλῶς πρὸς τὰ κάλλιστα, ὡς μὴ μάλα τι πλεῖστον ἐνδεῖν τῆς μεγάλης ἐκείνης Ἀλεξανδρέων πόλεως. εἰ γὰρ μὴ δι' ἄλλο γέ τι, διὰ γοῦν ἕν γέ τι, τὸ τὴν εὐσέβειαν ἐκεῖ 3.15 πλατυτέραν κεκτῆσθαι τὴν παρρησίαν, ἔχει μὲν εὐλαβῶς συγκρύπτειν εἴ τι ἧττον ἔτυχεν ἐκείνης ἔχουσα, ἔχει δὲ καὶ θεατρικωτέραν ἀπὸ τοῦ μείζονος πρὸς ἐκείνην ἤδη ποιεῖσθαι τὴν τοῦ σχήματος ἕξιν. ὅπλων γὰρ ἕνεκα καὶ πολεμικῶν ἐπιτηδευμάτων καὶ ἡγεμονικῆς πολιτείας ἠθῶν, καὶ ὅσα περὶ ἀγορανόμους ἔχει καὶ δικασπόλους, προέχειν τὴν Ἀλεξάνδρειαν δοίη τις ἄν· συνέσεως δὲ καὶ μαθήσεως ἄλλης δι' ἣν τὸ κοινωνικὸν ἐς Ἕλληνας ἀναφέρειν μᾶλλον Ἀλεξανδρέων, καὶ ἅμα διὰ τὸ τῆς εὐσεβείας εἰλικρινέστερον μακροῖς τοῖς μέτροις ὑπερέχειν Ἀλεξανδρείας ἅπαντες ἂν συγχωρήσαιεν Δαμασκόν. διὰ δὴ ταῦτα καὶ τριετίαν ὅλην αὐτῇ τε καὶ ταῖς πέριξ πόλεσιν ἡδέως εἱλόμην ἐνδιατρίβειν, ἄλλως τε καὶ σχολὴν πολέμων ἀλλοφύλων καὶ φόβων τοιούτων ἄδειαν ἐχούσης τῆς γῆς ἐκείνης. Ἐκεῖθεν ἀφικόμην ἐς τὰς παραλίους τῆς Φοινίκης πόλεις. καὶ ὅλον ἔτος ἓν καὶ τῇ τούτων ἀνηλωκὼς ἱστορίᾳ, εἶτα ἀπῄειν εἰς Ἀντιόχειαν, πόλιν μεγίστην Συρίας, ἣν Ἀντίοχος ἔκτισεν ὁ Σελεύκου τοῦ μετ' Ἀλέξανδρον ἄρξαντος μὴ μόνον Συρίας ἐκείνης ἀλλὰ καὶ Βαβυλῶνος τῆς Σεμιράμιδος, καὶ πρός γε Ἀσσυρίων καὶ Περσῶν καὶ Μήδων, καὶ ὅσα Σούσων καὶ Ἐκβατάνων ἐπέκεινα. ταύτην ἔγωγ' ἀκούων ἐκ παλαιοῦ τὸ σωτήριον κήρυγμα πρώτην αὐτὴν πρὸς τῶν ἱερῶν δεδεγ 3.16 μένην ἀποστόλων, λίαν ἀσμένως εἶδον ἔτι σημεῖα ψυχῶν εἰς εὐσέβειαν θερμοτέρων. ταύτῃ τοι καὶ ἐθαύμασα μᾶλλον αὐτὴν δι' αὐτό γε τουτὶ ἢ διὰ τἆλλα, ὁπόσα τῇ πόλει περίεστι τὰ καλά. τῆς γὰρ ἀλλοφύλου θρησκείας συμπεφυρμένως ἐπιπολαζούσης



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐκεῖ πανταχόθεν καὶ πανταχῇ, ἅτε τῆς Ἀράβων ἐπικρατείας ἐξ Αἰγύπτου, μᾶλλον δ' ἐκ Κυρήνης καὶ Πενταπόλεως καὶ τῶν γε ἔτι τούτου προσωτέρω διηκούσης ἄχρι καὶ ἐς τὰ τῆς Ἀντιοχείας ἐπέκεινα, συμβαίνει καὶ τῆς Ἀραβικῆς θρησκείας δείγματα πανταχῇ τῆς γῆς ὑπάρχειν ἐκείνης. διὸ καὶ ἀντεχομένους ἐκεῖ κομιδῇ τῶν Ἀντιοχέων αὐτὸς ὁρῶν τοὺς εὐσεβῶς ἑλομένους ζῆν ὑπὲρ τῶν πατρίων τῆς εὐσεβείας δογμάτων ἄχρι θανάτου δεῆσαν, διὰ μακροῦ τοῦ θαύματος ἐποιούμην τέως ἐγὼ τὸ ἐκείνων πρᾶγμα, καὶ ἐς τὴν πάλαι μνήμην ἀνῆγον εὐθὺς ἐκείνην τὸν νοῦν. Εἶεν. ἀλλὰ μετὰ βραχὺ κἀκεῖθεν ἀπάρας ἀπῄειν ἄχρι καὶ εἰς Ἰσσόν, ἔνθα τοὺς Κιλικίους αὐλῶνας τῶν Ταυρικῶν παραψαύειν ὀρῶν σχεδὸν εἰπεῖν ἐκ φύσεως συνηνέχθη· ἐς τοσοῦτο γὰρ βραχύτητος ὁ μεταξὺ συστέλλεται χῶρος ἐκεῖ ἔκ τε θαλάττης καὶ ὀρῶν ἐκείνων ὥστε καὶ πύλαι τοῖς πάλαι προσηγορεύθησαν Ἰσσικαί τε ἅμα καὶ Συριακαί. καὶ πόλις δ' ἔστιν Ἀντιοχείας ἀρχαιοτέρα παρακειμένη, ξύν γε πλείσταις ἑτέραις Ἀλεξάνδρεια καλουμένη. ταύτην γὰρ Ἀλέξανδρος ἀνήγειρε πρώτην ἄγαλμα νίκης εἰπεῖν, ἣν αὐτόθι Δαρεῖον 3.17 τὸν Πέρσην ἐνίκησε πρῶτον, ἐκ Βαβυλωνίας καὶ τῶν γε ἀνωτέρω τόπων μυρίαν μὲν ἵππον ἐλάσαντα, πάντα δ' Ἀσίας ὅπλα συγκινήσαντα μέχρις αὐτοῦ. σπεύδων γάρ, πρὶν Ἀλέξανδρον διαβῆναι, τὰς τῶν εἰρημένων στενῶν ἀποκλεῖσαι παρόδους τῷ πλήθει τῆς στρατιᾶς ἐκείνης, ἔλαθε καθ' ἑαυτοῦ μᾶλλον ἢ κατ' Ἀλεξάνδρου τὸν ὄλεθρον μεμηχανημένος· πλῆθος γὰρ δυσαρίθμητον στρατιᾶς ἐπαγόμενος, καὶ ὀφείλων ἐν ὑπτίοις καὶ ἀναπεπταμένοις πεδίοις τὰς πολεμικὰς διατάττειν φάλαγγας, καὶ ταῦτα γυναῖκας ἅμα καὶ παῖδας ἄγων καὶ ὅλον αὐτοῦ τὸν βασίλειον οἶκον κατὰ δή τι πάτριον ἔθος, ὃ δὲ τἀναντία πάντ' ἐδεδράκει. μηδὲ γὰρ ἐχούσης τῆς τοσαύτης ἐκείνης ἵππου ῥύμῃ πολλῇ φερομένης ῥᾳδίως προχωρεῖν τε καὶ ἀναχωρεῖν ἐν στενοῖς καὶ τάς γε ἀναστροφὰς καὶ συστροφὰς καὶ ἀγχιστρόφους περιφορὰς καὶ διεξόδους ποιεῖσθαι, συνεπάτουν ἀλλήλους αὐτοὶ ὑπ' ἀλλήλων συμποδιζόμενοι, καὶ περιέπιπτον ἑαυτοῖς αὐτοί, κακῶς βουλευσάμενοι. ἀλλὰ τούτων μὲν ἅλις. 3.18 ΤΟΥ ΑΥΤΟΥ ΡΩΜΑΙΚΗΣ ΙΣΤΟΡΙΑΣ ΛΟΓΟΣ Δ΄ Η ΚΕ΄ ΤΗΣ ΟΛΗΣ ΑΥΤΟΥ ΡΩΜΑΙΚΗΣ ΙΣΤΟΡΙΑΣ. Ἐμοὶ δὲ προσωτέρω προάγειν βουλομένῳ δυοῖν ἕνεκα, ὅπως τε μάθοιμι μέχρι πόσου τῆς ἀλλοτρίας ἐκείνης γῆς καὶ δι' ὅσων ἐθνῶν ἐκείνων διήκει σωζόμενον τὸ Χριστιανῶν ἔτι γένος, καὶ ὅπως ἐν μέσοις τοῖς ἀσεβέσιν ἔτι τῶν πατρίων ἔχεται δογμάτων τῆς εὐσεβείας κατὰ τὸν σφίσι ἁπλούστερόν τε καὶ ἀληθέστερον τρόπον, καὶ ἅμα θεάσασθαι εἴ τί που τῆς ἀρχαίας σοφίας ἐκείνης περίεστι λείψανα Χαλδαίοις καὶ Πέρσαις, ἐμποδὼν οἱ τῶν Ἱεραπολιτῶν γεγένηνται κοσμιώτεροι, ἐπεί τοί γε μέχρι καὶ ἐς ἐκείνους προεληλύθειν ἐγώ, διακοσίους ὁμοῦ καὶ χιλίους ἐγγύς που σταδίους θαλάττης ἀπέχοντας. οὐ γὰρ εὔοδα ἔσεσθαι ὑπισχνοῦντό μοι ἔτι τὰ πρόσθεν διὰ τὸ τῶν προσοικούντων ἀλλόγλωσσον· οὐ μὴν οὐδ' εἰ εὔοδα ἦν ἐντεῦθεν, ἥκιστ' οὖν ὅμως περιλείπεσθαι Χαλδαϊκῇ τε γῇ καὶ Περσικῇ σοφίας ὅλως ἐκείνης ἴχνη τε καὶ γνωρίσματα. ἐξ ὅτου γὰρ τὸ Σκυθικὸν ἐπιρρεῦσαν γένος καὶ 3.19 ἐκχυθὲν ἄνωθέν ποθεν ἐξ ἀρκτικῶν πηγῶν καθάπερ ἀχανοῦς τινὸς ὕδωρ πελάγους, Πέρσας τε ἐδουλώσατο καὶ Μήδους καὶ πᾶσαν εἰπεῖν ταυτηνὶ τὴν Ἀσίαν ἄχρις Ἰνδῶν τε ἐκείνων πρὸς ἕω καὶ ἄχρις Ἀράβων τουτωνὶ πρὸς νότον, οὐ μόνον τὰ πλείω τῶν ἐγχωρίων ἠθῶν ἐκείνων ἔσβη καὶ ἐτεθνήκει, ἀλλὰ καὶ αὐτὰ τῶν ἐθνῶν ἐκείνων τὰ τοπικὰ διαστήματά τε καὶ ὅρια συγκέχυται καὶ παντάπασίν ἐστι δυσείκαστα νῦν. γίνεσθαι δέ μοι μάλιστα νῦν, εἴπερ ποτ', ἀξύμφορον ἔφασκον τὴν ἐκεῖσε πάροδον διὰ τὰς ἄρτι κατεσχηκυίας καὶ Σκύθας αὐτοὺς κατ' ἀλλήλων ἔριδάς τε καὶ στάσεις περὶ πρωτείων, τοῦ σφῶν ἀρχηγοῦ καὶ ἡγεμόνος πρὸ μικροῦ τεθνηκότος. ταῦτ' οὖν ἔγωγ' ἀκηκοώς, καὶ ἅμα συνορῶν τῆς ὁμοίας συγχύσεως τὸ νεμόμενον καὶ ἐπ' Ἄραβας τουτουσὶ προχωροῦν, τελευτήσαντος νεωστὶ καὶ τοῦ Αἰγυπτίου Φαραὼ καὶ τῶν υἱέων περὶ τῆς ἀρχῆς ἐν ἀλλήλοις στασιαζόντων, καὶ πεφυρμένων πανταχῇ τῶν τῆς


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Αἰγύπτου καὶ Ἀραβίας πραγμάτων, τάχιστα ἀνεχώρουν ἐκεῖθεν ὀπίσω ἀπιὼν ἐς Κιλικίαν, θέσεως ἔχουσαν εὐφυῶς, πλείστην τε ἅμα καὶ λίαν οὖσαν εὐδαίμονα χώραν, ἔνθα δὴ καὶ πολλαῖς ἐνέτυχον καὶ ἄλλαις πλησιοχώροις ἀλλήλαις πόλεσιν ἀγαθαῖς, τῇ Ταρσῷ δὲ μάλιστα πασῶν, ᾗ καὶ πατριάρχῃ τῷ Ἀντιοχείας ἐνδιαιτᾶσθαι τὰ πολλὰ περιγίνεται. τά τε γὰρ ἄλλα περίεστιν αὐτῇ τἀγαθά, καὶ Κύδνος ὁ ποταμὸς ἡσυχῇ παραρρέων, ἐν ᾧ καὶ Ἀλέξανδρόν φασιν 3.20 ἐκεῖνον τὸν μέγαν, εἰς ἐπιθυμίαν ἐκ μόνης τῆς θέας ἐληλυθότα, λούσασθαι. Ἐκεῖνον δ' ἔτι καὶ πλείω τοιαῦτα συνείρειν βουλόμενον ἔγωγε ἐπισχών, καὶ τὸ τῆς διηγήσεως τεμὼν συνεχές, ἀναλαβεῖν τὸν λόγον ἐκέλευον αὖθις καὶ ἀνερωτῶντί μοι ἀποκρίνεσθαι πατριαρχῶν τε πέρι καὶ ἐπισκόπων, ὅσοι διέπειν καὶ διοικεῖν τὰς ἐπαρχίας ἐκείνας τὸν ἱερώτερον ἔλαχον τρόπον. καὶ ἐμεμφόμην ἐπιεικῶς τῆς λήθης τὸν ἄνδρα, ὅτι τῶν μὴ πάνυ τι ἀναγκαίων ἔμοιγ' ἀκούειν ἐν φροντίδι ποιησάμενος τῇ μεγίστῃ διεξιέναι, ὧν ἡμῖν ἐς τὰ μάλισθ' ὑπῆρχε μανθάνειν ἀνάγκη, καὶ ὧν εὐσεβείας ἕνεκα ἑσπέρας καὶ πρωῒ καὶ μεσημβρίας ἀκούειν ἥδιον ἔδοξεν ἄν μοι ἢ Κροίσου τοῦ Λυδοῦ χρυσῶν μοι χοίνικας παρεχομένου, τούτων δ' αὐτὸς τὴν μνήμην λήθης μακροῖς πυθμέσιν ἐκάλυψεν, ὥσπερ ἂν εἰ μὴ αὐτὸς ἦν ὁ προοίμια τῶν σφετέρων πεπραχὼς διηγήσεων τὰ τῆς ἐκκλησίας ναυάγια, ὅτι τῶν πατρίων νομίμων τῆς εὐσεβείας ἐπίπροσθεν τὰ τοῦ Παλαμᾶ καινά τε καὶ ἔκθεσμα παρεισρέοντα πεφώρακε δόγματα, καὶ ταύτην ἐπιεικῶς αἰτίαν τιθέμενος τῆς τε τῶν πολιτικῶν ἐπὶ τὸ χεῖρον πραγμάτων ἀνατροπῆς καὶ ἅμα τῆς ἐντεῦθεν ἀκουσίου φυγῆς ἑαυτοῦ. καὶ τίνα γὰρ ἄλλην ἐχρῆν σε συναγαγεῖν ἱστορίαν, βέλτιστε φίλων, ἔφασκον, Ἀγαθάγγελε; τίνα δ' ἄλλην κρείττω καὶ τιμιωτέραν ταύτης ᾠήθης ἐμοὶ κομιεῖν ἀφήγησιν ἔξωθεν, καὶ 3.21 ἅμα τῶν ὀρθοδόξων τοῖς ἐνταυθοῖ πατριώταις ἡδονῆς τῆς βελτίστης ἐφόδια, λίαν ἐφιεμένοις ἅπασι μαθεῖν ὅπως κἀκείνους ἡ φήμη τῶν ὧδε συμφορῶν τῆς τοῦ θεοῦ διέθηκεν ἐκκλησίας, γραφαῖς τερατώδεσι τῶν ἐνταῦθα δυναστευόντων τοὺς πανταχῇ τῆς οἰκουμένης εὐσεβεῖς ἐπειγομένων ἐξαπατᾶν, καὶ φιλονεικούντων τὴν πανταχόθεν ἑταιρείαν τε καὶ ὁμολογίαν τῆς τοιαύτης κακίας οἷόν τι καρποῦσθαι τρόπαιον. Ταῦτ' ἐμοῦ γε διεξιόντος, ὑπολαβὼν ὁ Ἀγαθάγγελος, ἐμοὶ δὲ βέλτιον, ἔφησε, δέδοκται, θεία μοι κεφαλή, τελευτῶντός μοι τοῦδε τοῦ λόγου διεξελθεῖν εὐθὺς ἀπολαβόντι χωρὶς ἐκεῖνα, μηδενὸς τοῦ συγχεῖν δυναμένου σφίσιν ὅλως συνυπακουομένου, ὅπως ποτ' ἐπὶ νοῦν εἰληφότι διεστάναι τῶν καθόλου καὶ κοσμικῶν ἁπλῶς εἰπεῖν τὰ τῆς ἐκκλησιαστικῆς ἱστορίας, καὶ ἰδίαν μὲν εἶναι ταυτηνὶ πραγματείαν ἰδίαν δ' ἐκείνην, καὶ ἄλλων ἑκατέραν ὡς τὰ πολλὰ καὶ οὐ τῶν αὐτῶν. ἐπεὶ δὲ σὺ διπλοῦν ἀνθ' ἁπλοῦ τὸν πόνον ἀναδέχεσθαι εἵλου, καὶ ἃ τὸν αὐτὸν ἐν ἑκατέροις συμπίπτει γίνεσθαι χρόνον βίβλῳ μιᾷ συντιθέναι σοι δέδοκται, οὐκ ἂν οὐδ' αὐτὸς οὐδαμῇ γε ὀκνήσαιμι τὰ τῆς αὐτῆς ἐν ταὐτῷ περιόδου διεξιέναι συλλήβδην, ἐπεὶ καὶ τρόπον ἕτερον πρότερον (εἰρήσεται γὰρ τἀληθές) ἐδεδίειν μάλα αὐτὸς ἐκείνως διεξιέναι, καὶ μιγνύων τοῖς τοι 3.22 οἷσδε τὰ μὴ τοιάδε τὴν σὴν ἀκοὴν ἀποκναίειν, καὶ ταῦτα νῦν οὕτω λύπης ἔχοντος ἄλλως, ὅτε μάλιστα πάντων ἅπαντ' ἐκεῖνα μνήμης ἁπάσης ὄπισθε ποιεῖσθαι οὐκ ἔστιν ὅθεν οὒ καὶ ὅπως οὒ βεβούλημαι, οἷς βάρους ἐνέστακται πρόφασις ὁπωσοῦν καὶ ὁθενοῦν. νῦν δ' ἐπειδὴ σοί γε τοῦθ' ἥδιον ἐκείνου πολλῷ μανθάνω δοκεῖν, ἄσμενος κἀγὼ λοιπὸν αὐτίκα μάλα τὴν σὴν τῆς ἐμῆς ἀνθαιρήσομαι βούλησιν. καὶ τί γὰρ ἄλλο τῶν ἄλλων δόξειεν αὖ εὐδαιμονέστερον ἔμοιγε νῦν ἢ σοί γε τὰ τοιαῦτα χαρίζεσθαι τῶν διηγημάτων, ὧν ἐμοὶ μὲν ῥᾷον οὐδέν, σοὶ δὲ βέλτιον οὐδέν. Ἀλλὰ γὰρ ὁ ἑταῖρος ἡμῖν Ἀγαθάγγελος τοιαῦτα μὲν ὑπὲρ ὧν σεσιώπηκεν ἀπολελόγηται, τοιαῦτα δὲ ὑπὲρ ὧν φθέγξαιτ' ἂν εἰς τοὐπιὸν τῆς διηγήσεως ἐπηγγέλλετο, τῶν μὲν προτέρων σμικρὰ ἐπαναλαμβάνειν διὰ τὸ ἤδη εἰρῆσθαι τὰ πλείω, τοῖς δ' ἐπιοῦσι τῶν ἀναγκαίων μηδὲν ὑπισχνούμενος παραλείπειν. ἐντυχεῖν μὲν οὖν ἔλεγε καὶ τῶν μερικωτέρων ἐπισκόπων ὅσοι καθ' ἃς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

αὐτὸς περιήει κώμας καὶ πόλεις ἐτύγχανον ὄντες, ἐντυχεῖν δὲ μάλιστα δὴ πατριάρχαις αὐτοῖς, Γρηγορίῳ τε δηλαδὴ τῷ Ἀλεξανδρείας καὶ Ἰγνατίῳ Ἀντιχείας, καὶ τρίτῳ ὃς πρὶν ἢ Λάζαρον τῆτες ἐκεῖσε ἀφῖχθαι, τὸν πατριαρχικὸν Ἱεροσολύμων διεῖπε θρόνον· τὸ γάρ τοί γε ὄνομα ἐλελήθει με τοῦ ἀνδρός. ἐντυχεῖν δ' οὖν ἐν διαφόροις 3.23 ἄλλοτ' ἄλλῳ τοῖς τόποις, ἔνθα καὶ τὴν δίαιταν ἕκαστος ἔτυχε τηνικαῦτα ποιούμενος. καὶ τὰ μὲν πρῶτά φησιν ἐπιτωθάζειν ἐκείνους καὶ διαλοιδορεῖσθαί οἱ, καὶ οἷον εἰρωνευομένοις ἐοικέναι καὶ ἀποσειομένοις ὁλοσχερῶς τὴν αὐτοῦ συνδιαίτησιν, ἰδίᾳ μὲν ἕκαστον, ἐπ' ἴσης δ' ὥσπερ ἐκ κοινοῦ συνθήματος ἅπαντας διὰ τὸν τοῦ πατρίου δόγματος ἐντεῦθεν ῥαγέντα κλύδωνα. οὕτως ὀξέως ἐπέδραμεν ἡ φήμη ῥυεῖσα, καθάπερ ἀγρίου πνοή τις ἀνέμου, Αἴγυπτόν τε καὶ Συρίαν καὶ Κιλικίαν καὶ πᾶσαν εἰπεῖν οἰκουμένην, ὅπου περ ἂν Χριστιανῶν λάχοιεν δῆμοι τὴν οἴκησιν ἔχοντες, τῶν τοῦ Παλαμᾶ παρανόμων καὶ νόθων δογμάτων, καὶ οὕτως, ἀνώνυμος ὢν ὁ ταλαίπωρος πρότερον, διαβόητος ἐπὶ κακίᾳ γέγονεν ὕστερον· ποιεῖν γάρ φησι περιβοήτους οὐ δεξιὰν πρᾶξιν μόνον, ἀλλὰ καὶ κακίαν νικῶσαν πονηρῶν εὐδοκίμησιν. ἐπεὶ δ' ἀναλαμβάνων ἄνωθεν ἐκεῖνος ἕκαστα διῄει ἑκάστοις ἑκασταχοῦ, τά τε ἄλλα καὶ ὡς τὴν αὐτὴν καὶ αὐτὸς εἴη περιθάλπων γνώμην αὐτοῖς εὐσεβείας ἕνεκα, καὶ ὡς διὰ τὸν τοιοῦτον ζῆλον φυγὰς τῆς πατρίδος γένοιτο, καὶ ὡς ὁ τοιοῦτος ἐντεῦθεν ἐλαύνων τρόπος ἐς τοὺς ἀήθεις αὐτῷ πλανᾶσθαι δράσειε τόπους, ἐπεὶ οὖν ταῦτά τε καὶ ἄλλα ἄλλοις ὁμοίως διετέλει λέγων, ὁπόσα κοινῇ καὶ καθ' ἕκαστα βέβαιον ἅπασιν εὐσεβείας αὐτὸν ἐγνώριζεν ἀθλητήν, ἦν οὐδεὶς οὔθ' ᾧ μὴ τῆς πρὶν αἰφνιδίου σκληρότητος μετέμελεν, οὔθ' ὃς οὐκ ἠσπάζετό τε καὶ 3.24 ἀντεφιλοτιμεῖτό οἱ καὶ τὰ πιστὰ τῆς περὶ τὸ σέβας ἀληθοῦς 3.24 ὁμονοίας περιφανῶς ἀντεδίδου, ὡς τηνικαῦτα καὶ τὸν Ἀντιοχείας ἔγγραφον ἑαυτοῦ προενεγκεῖν τόμον, ὁμολογίαν μὲν τῆς ὀρθοδόξου καὶ κοινῆς ἡμῶν ἔχοντα πίστεως, ἐκτέμνοντα δὲ Παλαμᾶν τῆς τοῦ θεοῦ ἐκκλησίας ὡς νόθα καὶ βέβηλα παρεισάγοντα δόγματα, τόμον ἐκεῖνον δηλαδὴ ὃν ἐν Βυζαντίῳ συνετετάχει παρὼν καὶ ἀκούων καὶ συναγωνιζόμενος Ἰωάννῃ τῷ πατριάρχῃ καὶ τοῖς γε ἀμφ' αὐτὸν ἐπισκόποις, τὸ ἰσχύειν ἔχουσι τέως ἔκ τε τῆς ἀληθείας ἔκ τε τοῦ μὴ παρεῖναι τὸν ἀντιβαίνοντα Καντακουζηνόν, ὅτε δὴ καὶ πρῶτον ἐπιφυεῖσαν τῷ καθαρῷ ληΐῳ τὴν νόσον ἐκείνην ἐξ αὐτῆς ἔδοξε τέμνειν, ὡς ἔλεγε, βλάστης. τοῦτόν φησιν ἀνελίττειν τε ἐκεῖνον, καὶ ἅμα τὰς ὑπογραφὰς τῆς ὁμοφροσύνης δεικνύειν τῶν ὅσοι τῆς ἐπαρχίας ἐκείνου τυγχάνουσιν ὄντες ἐπίσκοποι καὶ πρεσβύτεροι, καὶ ὅσοι τῶν ἄλλως λογάδων τὰς γνώμας ἦσαν συγκείμενοι. τούτοις ὁμόφρονος καὶ τοῦ τῆς Ἀλεξανδρείας ἔλεγε πεπειρᾶσθαι προέδρου σύν γε τοῖς ὑπ' αὐτῷ παντάπασιν ἐπισκόποις, καὶ ἅμα τοῦ τηνικαῦτα τὴν τῶν Ἱεροσολύμων ἐκκλησίαν διέποντος. καὶ ἁπλῶς ἔφασκεν εἶναι μηδένα ᾧ τὸ ἐπιτιμᾶν Βυζαντίοις τῆς ἐν τοῖς οὕτως ἀκινήτοις εὐκολίας οὐκ ἦν ἀνὰ στόμα. τὸν δ' Ἀλεξανδρείας καὶ τῆς φυσικῆς ἐθαύμαζε μάλα συνέσεως, βεβηκὸς ἐχούσης τὸ ἐμβριθές, καὶ οὔτε πρὸς ἀωρίαν φιλοτιμίας ῥᾳδίως ἐλαυνόμενον, οὔτε μὴν 3.25 πρὸς ἰδιωτικὴν ἀφωνίαν ἐξ ἀμαθίας μακρᾶς συστελλόμενον, ἀλλὰ πρακτικαῖς ὁρμαῖς ἐς τὸ πάνυ τι ἐμμελὲς εὐφυῶς πως ἀναρρωννύμενον. τά τ' οὖν ἄλλα τἀνδρὸς ἐθαύμαζε μεμνημένος ἐκείνου, καὶ ὅτι τὸ οἴεσθαι εἰδέναι πολλοῖς καὶ τῶν οὐδὲν αἰσχυνόντων πρός γε τὸ εἰδέναι γίνεσθαι ἐμποδὼν ἔλεγε, καὶ τοῦτ' εἶναι πάντως ὃ μικρὸν εἶναι δοκοῦν μεγάλα καὶ πόλεις καὶ οἴκους δύναται βλάπτειν, ὡς ἐκ βραχέος σπινθῆρος ἀρχόμενον, οὗ τὸ νεμόμενον οὐκ ἄν ποτε σταίη τῆς ἀεὶ νεωτεριζούσης φλογὸς κινουμένης, ὁπότε τραπέζης ῥαστώνην ἡ τῆς ὕλης δίδωσι πολυτέλεια. ἐντεῦθεν ὅρια ῥιπτοῦνται πατρίων κανόνων, πατοῦνται θεσμά, καὶ οὐκ ἔστιν οὐδὲν τῶν καλῶν ὃ δύναται μένειν ἑστώς, καὶ αὖ οὐκ ἔστιν οὐδὲν τῶν κακῶν ὃ μὴ δύναται τὴν ἀλήθειαν ἐξορχεῖσθαι. μοναρχία μὲν οὖν οἰήσεως αὐτονομίᾳ στρατηγουμένη καὶ γνώμης ὀρέξεσι δημαγωγουμένη τί μὲν ἂν τῶν ὑγιαινόντων



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐργάσαιτο, τίνος δ' ἀπόσχοιτ' ἂν τῶν ἐρεθιζόντων ἐπὶ τὰ χείρω; πολλοῦ μέντ' ἂν δεήσειε σώζεσθαι τὴν πολιτείαν ἐκείνην, καὶ μὴ καθάπερ ἀκυβέρνητον πλοῖον διαποντίοις χειμῶσι πρὸς τοὺς ἐσχάτους κινδύνους ἐλαύνεσθαι, τοῦτο δὴ τὸ τῆς Βυζαντίων ἴδιον ἄνωθεν ὡς τὰ πολλὰ πολιτείας. καὶ οὐκ ὀνειδίζω λέγων τὰς τύχας ἁπλῶς, ἀλλ' ὅτι διὰ τοῦτο καὶ πλείους σκοποῦντες ἄνω 3.26 θεν εὑρίσκομεν ἐκεῖσε, μὴ μόνον τῶν δημοσίων πραγμάτων, ὅτι μὴ πολλῷ γε δήπου μάλιστα τῆς εὐσεβοῦς ἐκκλησίας τὰ ὀλισθήματα. ἢ γὰρ ἐκεῖ τὴν γένεσιν ἴσχει τὰ χείρω, κἀκεῖθεν ὡς ἐπὶ πρανοῦς ἐπιρρέοντα πονηρῶν ἐς τὰ μάλιστα πραγμάτων καὶ τὰς ἄλλας ῥᾳδίως ἐμπίμπλησι πόλεις· ἢ καὶ ἄλλοθέν ποθεν σκιωδῶς ἐπεισκωμάσαντα τὴν πῆξιν αὐτόθι μονιμωτέραν λαμβάνει καὶ δημόσιον τὸν χρωματισμὸν ἀναδείκνυσι τῆς κακίας. διό μοι θαυμάζειν περίεστιν, οὐκ εἰ γέγονέ τι παράλογον, ἀλλ' εἰ μὴ πᾶν ἐκεῖ τὸ γινόμενόν ἐστι παράλογον. ἡμεῖς δ' ἐνταυθοῖ μήτε περισσὰ τὸ παράπαν ζητοῦντες σοφίζεσθαι κατά γε τὴν περιττὴν καὶ εὔτεχνον ταύτην σοφίαν, μήθ' ἑαυτοὺς τῶν θείων μᾶλλον δικαιοῦν πατρίων διαπληκτιζομένους ἐν διαλέξεσιν ἄμετρα τὸν καινότερον τρόπον, ἀλλὰ τοῖς μὲν ἄνωθεν εὖ γεγραμμένοις ἐμμένοντες δόγμασι, τὰ δὲ σιγηθέντ' ἀναξαίνειν μηδαμῇ μηδαμῶς ἀξιοῦντες μηδ' ἀναλύειν ἀκαίροις πειρᾶσθαι συλλογισμοῖς, ἡμεῖς τε οἱ ποιμαίνειν ἐνθάδε λαχόντες πνευματικῶς τὸν μακρὸν ὁδεύομεν βίον, καὶ τὸ πνευματικὸν ἡμῶν ὁμοίως ἄγομεν ποίμνιον ὑπὸ κυβερνήτῃ τῷ μόνῳ πάντων δημιουργῷ καὶ θεῷ, πολυθεΐας δὲ καὶ ἀθεΐας Παλαμικάς, μᾶλλον δ' ἐνσάρκου οἰκονομίας ἀθέτησιν, ταὐτὸν δ' εἰπεῖν ἐκκλησίας ἁπάσης καθάπαξ ἀνατροπὴν οὔτ' ἐδεξάμεθα οὔτε μὴν δεξαίμεθ' ἄν ποτε, κἂν 3.27 ἐχθροὶ μυρίοι μυρίων ἔμπροσθεν ἱστῶσι θανάτων σκεύη καὶ μηχανήματα, ἀλλὰ καὶ αὐτὸν Παλαμᾶν, καὶ ὅσοι ταὐτὰ φρονοῦσιν αὐτῷ, μετὰ τῶν αὐτοῦ τοιούτων δογμάτων, ὧν καὶ ἡμεῖς ὅπως ποτ' ἐν θέᾳ κατέστημεν, τῷ αἰωνίῳ παραπέμπομεν ἀναθέματί τε καὶ πυρί. τούτων δ' ἀκριβῆ τὴν παράστασιν ἔχεις τε καὶ ἕξεις αὐτός, διιὼν τὰς ἐνταῦθα πόλεις καὶ χώρας Αἰγύπτου καὶ Ἀραβίας Φοινίκης τε καὶ Συρίας, καὶ ὅσα περὶ ταύτας οἰκοῦσι γένη Χριστιανῶν, ὅπως ἐν μέσῳ τῶν ἀσεβῶν καὶ ἀκάθαρτα χείλη ἐχόντων οἰκοῦντες, καὶ ἀλλοτρίοις δουλεύοντες ὅπλοις, ὅμως τῇ τῶν ὧδε στοιχοῦντες ἐπισκόπων διδασκαλίᾳ τὸ πάτριον σέβας ἀεὶ τοῖς ἱεροῖς νέμουσι δόγμασι. μηκύνοιμεν δ' ἂν εἰ λέγειν ἐθέλοιμεν ἅπαντα ἐφεξῆς ὅσα τε ὁ θεῖος ἐκεῖνος ἀνὴρ ἐπ' ἐμοῦ διεξῄει, καὶ ὅσα ἄλλοι ἄλλως ἀλλαχῇ καὶ πανταχῇ, τῆς ὁμοίας ἐχόμενα τάξεώς τε καὶ εὐλαβείας. Ἑξαετίαν δ' οὖν ὅμως ἡμεῖς ἐν ἐκείνοις διατετριφότες τοῖς τόποις, ἔπειτα πλήρεσι τοῖς ἱστίοις ἀναχθέντες ἐκ Κιλικίας δευτεραῖοι ἐς Κύπρον τὴν νῆσον κατήχθημεν, ἔνθα δὴ καὶ πολὺν διατρίβειν ἐγνώκειν ἔγωγε χρόνον διά τε τἄλλα τῶν τῆς νήσου καλῶν καὶ τήν γε ἔννομόν τε καὶ φιλόξενον πολιτείαν, καὶ μάλιστα πάντων διὰ τὴν τοῦ σοφοῦ ἐκείνου ἀνδρὸς ὁμιλίαν, Γεωργίου φημὶ τοῦ Λαπίθου, ᾧ οὐκ εὐθὺς 3.28 ἀποβὰς τῆς νεὼς ἐντετυχήκειν αὐθημερόν· οὐ γὰρ πλησίον ἐκεῖ που τὴν οἴκησιν εἶχεν, ἀλλὰ δυοῖν ἡμέραιν τοῦ λιμένος ἀπέχουσαν εἰς ὃν ἡμεῖς τηνικαῦτα ἐσεπεπλεύκειμεν. Ῥόδου μὲν γὰρ ἐκείνης τῆς νήσου μείζων ἐστὶν ἡ Κύπρος, καὶ ἅμα οὐ κατ' ἐκείνην ἀλλ' ἐπιμήκης τὸ σχῆμα· μεταξὺ δ' αὐτῆς ὄρος ἑστήκει, τὴν κορυφὴν ἐς ὕψος ἀνάγον μακρόν. Ὄλυμπος καλεῖται τὸ ὄρος, ἐξ οὗ καὶ πηγαὶ ποταμῶν ἀποβλύζουσι τρεῖς, ὧν ὁ μείζων καλούμενος Λάπιθος κάτεισι τέμνων καὶ περιρρέων τὴν Λευκωσίαν οὑτωσὶ καλουμένην χώραν, καὶ ἀποπτύων τὸ ῥεῖθρον παρὰ τὴν ἐς ἄρκτον βλέπουσαν θάλασσαν. τούτου παρὰ τὰς ὄχθας ἔτυχεν ἔχων ἐκεῖνος τὴν οἴκησιν, διὸ καὶ Λαπίθης ἔκ γε τοῦ ποταμοῦ καὶ αὐτὸς ὅπως ποτὲ παρωνόμασται. γνοίη δ' ἄν τις εὐθὺς κἀκ μόνης τῆς περιφανείας τε καὶ τοῦ μεγέθους τῶν οἰκιῶν καὶ ἐπαύλεων τοῦ ἀνδρός, καὶ πρὶν εἰς ὄψιν ἰέναι αὐτοῦ, μὴ τῶν ἀγενῶν εἶναι καὶ τῶν πολλῶν ἕνα, ὅτι μὴ τῶν πάνυ τι λίαν ἐνδόξων καὶ πρώτων τῆς νήσου· γνοίη δ' ἂν μᾶλλον ἐκ τοῦ τρόπου καὶ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τῆς ἄλλης τοῦ βίου σεμνότητος. ἑορταὶ γὰρ καὶ πανηγύρεις ἱεραὶ τὴν οἰκίαν ἐκείνην ἐκόσμουν, καὶ χορηγίαι τῶν δεομένων δαψιλεῖς. τῶν γε μὴν συχνὰ περιαγομένων ἐκεῖ Χριστιανῶν αἰχμαλώτων μεγίστην ἐποιεῖτο προμήθειαν, αὐτός τε παρέχων ἀφθόνως τὰ μείζω καὶ τελεώτερα τῆς τούτων ἐλευθερίας, καὶ ἅμα τοὺς ἄλλους ὀτρύνων διδασκαλίας 3.29 τῶν θείων γραφῶν. ἔργον γὰρ αὐτοῦ σπουδαιότατον μάλιστα πάντων ἱεραῖς ἐκκλησίαις ἀθροιζομένους Χριστιανοὺς διδάσκειν τά τε ἄλλα τῆς εὐσεβείας νόμιμα, καὶ πρός γε φροντίδα ποιεῖσθαι τῶν δεομένων μεγίστην, ὡς εἶναι δι' ἐκεῖνον πᾶσαν ἐκείνην τὴν νῆσον ἐλέου καὶ πίστεως στάδιον, καὶ μάλιστα πάντων αἰχμαλώτων ἐλευθερίαν. εἰσί γε μὴν καὶ αἱ τοῦ ῥηγὸς περὶ τοὺς τόπους ἐκείνους ἐπαύλεις καὶ δίαιται, καὶ αἱ τῶν οἴκων ἐκείνου λαμπρότητες πάνυ καλαὶ διὰ τὸ χαριέστερον εἶναι τῆς νήσου τὸ μέρος ἐκεῖνο ἀέρος τε ἕνεκα καὶ ἅμα θέσεως ἄλλης καὶ ῥαθυμίας τῶν τόπων. διὸ κἀκ τοῦ σχεδὸν ἐσεφοίτα θαμὰ παρ' αὐτὸν ὁ Λαπίθης Γεώργιος, καὶ σφόδρα κομιδῇ πολλῆς ἀπέλαυε τῆς ῥηγικῆς αἰδοῦς καὶ τιμῆς διά τε τὴν ἄλλην σεμνότητα, καὶ ἣν ἐκέκτητο μάλιστα πάντων σοφίαν, ἐπεὶ καὶ αὐτὸς οὐ μετρίως τῆς Λατίνων μετέσχε φιλοσοφίας ὁ ῥήξ, καὶ δι' αὐτό γε τουτὶ πολλοὺς μὲν ἀμφ' αὐτὸν τοὺς Λατίνων εἶχε σοφοὺς ἀεί, ἤρα δὲ μᾶλλον τῆς Γεωργίου μούσης καὶ ὁμιλίας· σοφοὶ γάρ, φησί, τύραννοι σοφῶν συνουσίᾳ. ἔχων οὖν αὐτὸν ἔχειν ἐπέπειστο καὶ σοφίαν κατὰ ταὐτὸν ἑκατέραν, τήν τε Ἑλλήνων φημὶ καὶ Λατίνων· δεξιὸς γὰρ ἐν τοῖς μάλιστα καὶ καθ' ἑκατέραν σοφίαν καὶ γλῶτταν ὁ Γεώργιος ἦν. ταύτῃ τοι καὶ ἡδέως αὐτοῦ ἤκουσε διαλεγομένου συχνὰ τοῖς Λατίνων σο 3.30 φοῖς ἐπ' αὐτοῦ, καὶ τοῖς τῶν συλλογισμῶν ἀποδεικτικοῖς βέλεσιν ἐς τὰ κράτιστα βάλλοντός τε καὶ νικῶντος αὐτούς, καὶ μάλισθ' ὅτε περὶ δογμάτων πατρίων τῆς θρησκείας ἦν ὁ ἀγών· τηνικαῦτα γὰρ πολὺς κατὰ σφῶν ταῖς τῶν θείων γραφῶν ἀποδείξεσι ῥέων ἰχθύας ἀφώνους ἄντικρυς ἔφαινεν. ὥστε καὶ χαλεπαίνειν ἐνίοτ' ἐν τούτοις ὡρμημένον τὸν ῥῆγα ἔθελγεν αὖθις αὐτὸν τῇ τῶν λόγων σειρῆνι καὶ ταῖς τῆς ἀληθείας ἀναντιρρήτοις στροφαῖς καὶ περιστροφαῖς. τοιαύταις δή τισι μεθόδοις τὸ χαλεπαῖνόν τε ἀνέστελλεν ἐμμελῶς τῆς ῥηγικῆς ἐκείνης ψυχῆς, καὶ τὸ εὐθυμοῦν ἀντεισῆγεν ἐπιεικῶς. καὶ ἦν ἁπλῶς εἰπεῖν οὐδεὶς τῶν ἁπάντων ὃς οὐ λογικοῦ παντὸς ἀγῶνος μεθ' ὑπερβολῆς αὐτῷ τὰ τῆς νίκης παρεῖχε τρόπαια, οὔθ' ὅς τις οὐ μάλα ἀξύνετος Ἑλληνικῆς μούσης ἦν, οὔθ' ὅστις Λατινικῆς φιλοσοφίας οὐ μάλα τι ἀδαής. εἶχόν γε μὴν ἔγωγε τοῦ ἀνδρὸς ἐκείνου τὴν φήμην καὶ πρὶν ἐντεῦθεν ἐκπλεῦσαι, μὴ μόνον ταῖς γραφαῖς ἐντυγχάνων ἐκείνου πολλάκις ᾠδί, ἃς ἐκεῖθεν ἐκεῖνος σοὶ τῶν τε γραμμάτων καὶ ἅμα τοῦ φιλικοῦ καθήκοντος ἀμειβόμενος ἔπεμπεν, ἀλλὰ καὶ ἀκούων ἐπαίνους αὐτοῦ γε μακροὺς ἀπὸ στόματος τῶν ὅσοι ἀφιγμένοι ἐκεῖθεν ὑπῆρχον ἐπὶ τὸ πλεῖστον. καὶ ἦν ἐπὶ μετρίας ἐμοὶ τὸ ἐκείνου συστελλόμενον θαῦμα. νῦν δ' ἐπειδή γε ἐς Κύπρον ἀφιγμένος παρ' ἐκείνῳ κατέλυον, διὰ μάλα τι σφόδρα μακρᾶς τῆς σπουδῆς τὴν ἐμὴν διὰ σὲ τιθεμένῳ ξε 3.31 νίαν, ἔγνων τε καὶ πεπείραμαι τοῦ ἀνδρὸς τελεώτερον, αὐταῖς ἀκοαῖς καὶ αὐταῖς ὄψεσι ζῶσαν εἰπεῖν καὶ ἔμπνουν τὴν φήμην ἐκείνην ἰδὼν καὶ βεβαιωσάμενος ἐμαυτῷ, καὶ τὰ τῆς ἀληθείας ἐνέχυρα πάνυ παρειληφὼς ἐναργῆ, μονονουχὶ τὴν φήμην ἐλεγχούσης καὶ διαρρήδην ἀποφαινούσης μακρῷ τοῦ δέοντος ἐνδεᾶ. μάλιστα δ' ἁπάντων τὴν γνώμην ἐθαύμαζον ἔγωγε καὶ τὸ τῆς φιλίας τοῦ ἀνδρὸς τῆς πρὸς σέ. οὕτω γὰρ ἐρωτικῶς εἶχε τῶν σῶν συγγραφῶν καὶ βιβλίων ὅσον οὐδ' ἀξίως οἷός τ' ἂν εἴην ἔγωγ' εἰπεῖν. ἀεὶ γὰρ ἐπιὼν αὐτῶν ὁπόσα ζητοῦντι παρέσχεν ὁ χρόνος αὐτῷ, πολλῆς ἀεὶ καὶ τῆς ἡδονῆς ἐνεπίμπλατο, καὶ πολλὴν περιέφαινε τὰ ἤθη τὴν ἔνδον βακχείαν αὐτοῦ τῆς ψυχῆς. ὥσπερ ἔνθους γὰρ ἦν ὑφ' ἡδονῆς γιγνόμενος, καὶ ἐπικροτῶν καθ' ἕκαστα, καὶ οἷον εἰπεῖν ἐπιλανθανόμενος οὗ γῆς εἴη. ἐδόκει γὰρ ἐνίοτε σοί γε προσομιλεῖν καὶ σοί γε συνεῖναι αὐτῷ, καὶ σοῦ γε ἀκούειν, ἅττα ποτ' ἦν ἐκεῖνα, τῇ γλώττῃ διεξιόντος αὐτῇ, καὶ μάλισθ' ὅτ' ἀνὰ χεῖρας ἔχειν ἐπῄει διάλογον



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐκεῖνον ὃν διὰ Βαρλαὰμ ἐποιήσω τὸν Καλαβρόν. καὶ ἦν διὰ μάλα μακρᾶς καὶ οὐχ ἧσσον εἰπεῖν κομιδῇ κατεσπουδασμένης αὐτῷ τῆς φροντίδος μὴ μόνον αὐτόν γε ἐφ' ἑαυτοῦ θαυμάζειν τὰ σά, ἀλλὰ καὶ διαλεγόμενον ἀεὶ τοῖς Λατίνοις ἀνὰ στόμα τἀγκώμια διὰ θαύματος ἄγειν τὰ σά, ἐπί τε δὴ ῥηγὸς αὐτοῦ, καὶ ὅπῃ ἂν ἄλλοθι τύχοι τὰς ἄλλοτ' ἄλλως παραπιπτούσας ὁμιλίας καὶ 3.32 διαλέξεις ποιούμενος. ὥστε καὶ Κύπρον μικροῦ πᾶσαν εἰς ὕμνον τὸν σὸν ἀνηρτήσατο καὶ κήρυκας πέπραχε σούς, πρὶν ἐκείνους ἰδεῖν τι τῶν σῶν. οὕτω γε μὴν καὶ τῆς γε σῆς ἐπεθύμει θέας καὶ ὁμιλίας τυχεῖν, καὶ οὕτω τῶν τοιούτων ὅλος ἐγίγνετο λογισμῶν νύκτωρ καὶ μεθ' ἡμέραν, ὥστε καὶ ηὔχετο μὴ πρότερον μήτ' ἐκεῖνον μήτε σὲ θανεῖν πρὶν ἐς Βυζαντίον ἐκεῖνον ἀφῖχθαι, πάλαι τοῦτο βουληθέντα καὶ μελετήσαντα, μόνης ἕνεκα θέας καὶ ὁμιλίας τῆς σῆς. οὕτως ἀποίητα ἦν καὶ εἰλικρινῆ τὸ παράπαν ἀεὶ τὰ ἐκείνου πρὸς σέ, καὶ οὐδὲν οὐδαμῇ πεπλασμένον ἦθος ἐνεκεκάλυπτο τοῖς ἐκείνου γράμμασι πώποτε, ὅσα σοι τῶν σῶν μακρῶν ἐκείνων ἐγκωμίων ἀεὶ διετέλει πέμπων μεστά. ἐκόμισε δέ μοι καὶ ὅσα τῆς ἀστρονομικῆς ἐπιστήμης αὐτῷ ἐπεπόμφεις αὐτὸς κατὰ διαφόρους ἄλλοτ' ἄλλους τοὺς χρόνους, καὶ ἦν δι' ἐκπλήξεως ἄγων ὅπως ἐκείνου χάριν πόνων τοὺς πλείους καὶ μάλιστα δυσχερεῖς τῶν τοιούτων ὑποθέσεων ἐν ὀλίγαις συνέκλεισε συλλαβαῖς. καὶ μὲν δὴ οὐδὲ τὴν Πτολεμαίου ἀποτελεσματικὴν τετράβιβλον περὶ ἐλάσσονος ἐποιεῖτο σπουδῆς ἐκεῖνος, ἀλλὰ ταύτην τε καὶ ὅσα περὶ τῶν ὁμοίων τοῖς Πτολεμαίου παλαιοτέροις ἅμα καὶ νεωτέροις ἔτι περίεστι γεγραμμένα, καὶ ὅσα πάλαι Χαλδαίοις καὶ Πέρσαις πεποίηται, πάνυ τι πάντα φιλοπονώτερον μετῄει. καὶ ὁπόσα μὲν ὑπὲρ τὰ ἐσκαμμένα τοῖς εὐσεβέσι νόμοις καὶ ὑπερόριον τείνει πόδα, ταῦτα δ' ἀπεσείετό τε καὶ διέπτυεν ὡς ἄχρηστα 3.33 τοῖς εὐσεβεῖν ἐθέλουσιν· ὅσα δ' εἰς τοὺς δημιουργικοὺς τῶν ὄντων ὑγιῶς ἐπορεύετο λόγους, ταῦτα δ' ἀσμένως παντάπασι μάλα προσίετο. κἀκεῖνα δὲ τοῦ μὴ κλονεῖσθαι ἕνεκα τοῖς περὶ τὰ τοιαῦτα κομψοῖς τῶν ἐκεῖ Λατίνων, ξύν γε αὐτῷ ῥηγί, οὐκ ἐρραθυμημένην τινὰ τὴν σπουδὴν τῷ τοιῷδε διδόντων μέρει τῆς τέχνης, ἅτε ἀγχοῦ τῶν Αἰγυπτίων Ἀράβων ὄντων, καὶ συχνὰ καὶ διαπόντιον ἐς τὸν ῥῆγα τὴν ἄφιξιν ποιουμένων λογικῆς τε ὁμιλίας ἕνεκα καὶ ἅμα φιλοτιμίας, μακρὸν ἐπισυρομένης τὸ ἐπιδεικτικὸν Ἀράβων ἐκείνων, ὧν τὸν ἅπαντα βίον ἀπασχολεῖ, εἴ τί που τῆς πάλαι Χαλδαϊκῆς ἐπιστήμης ἐλλέλειπται σωζόμενον ἔτι σημεῖον. ἔφασκον γὰρ ὡς ἐπεὶ τὰ ὑπὸ γένεσιν πάντα καὶ φθίσιν τῇ τῶν οὐρανίων ποιότητι καὶ κινήσει πάσχειν τε καὶ εἰδοποιεῖσθαι πρὸς τοῦ δημιουργήσαντος ὥριστο, καὶ τοῖς ἐκείνων συσχηματισμοῖς τε καὶ ταῖς πρὸς τἀπίγεια συνοικειώσεσι τὸ ῥέον τῆς ὑλικῆς ποιότητος οἷον νομοθετεῖταί τε καὶ ῥυθμίζεται, ἀνάγκη μὴ θάτερον μὲν εἰδέναι περὶ παντὸς ποιεῖσθαι, θάτερον δ' οὔ. ἢ γὰρ ἂν χωλὸν βαδίσειε τρίβον τῆς ἐπιστήμης ὃς ἂν μήτε τῷ θεωρητικῷ συνάπτειν ἐθέλῃ τὸ πρακτικὸν μήτ' αὖ θατέρῳ θάτερον. τῆς γάρ τοι φιλοσοφίας ἐν τοῖς δυσὶ τούτοις εἴδεσι θεωρουμένης, σχολῇ γ' ἂν τοὺς λόγους γνοίη τῶν ὄντων, πολλοῦ δ' ἂν δεῖν κατὰ τὸ ἐντελὲς κληθῆναι σοφόν, ᾧ μὴ 3.34 ἄμφω καθ' ὁπόσα δεῖ μετιέναι ἔπεισι τὰ τῆς φιλοσοφίας μυστήρια. Ἀλλὰ τούτων μὲν ἅλις. ἐμοὶ δ' ὡς τὰ πολλὰ σχολὴν ἄγων, ἢ καὶ ἀσχολίας ὑπέρτερον ἐκεῖνος πρᾶγμα ποιούμενος θεραπεύειν ἐμὲ διὰ σέ, ἐδείκνυ περιιὼν καὶ περιηγούμενος ὁπόσα τῇ νήσῳ περίεστιν ἄξια θέας, τά τε ἄλλα καὶ ὅσα ἐν θεάτροις, ἐν ἀγοραῖς, ἐν δικαστηρίοις, τὸ ἐν νομίσμασι καὶ χαράγμασι τὸν ἅπαντα χρόνον ὡσαύτως ἔχον καὶ μηδαμῇ μηδ' ὁπωσοῦν τρεπόμενον, καὶ ὅπως ἐν σταθμοῖς καὶ μέτροις πλάστιγξιν εἴη διδόμενά τε καὶ λαμβανόμενα εἴδη καθάπαξ ὠνίων ἅπαντα, οὐχ ὡς τῶν πιπρασκόντων ἕκαστος βούλοιτ' ἄν, ἀλλ' ὡς τὰ τῆς πολιτείας ἀρχαῖα κελεύουσι δόγματα, οὐδ' ὡς τῆς τῶν εὐτυχεστέρων πλεονεξίας τὸ λίχνον παρακερδαίνειν ἐθέλει, ἀλλ' ὡς οἱ σωτῆρες τῆς ἄνωθεν εὐταξίας προστάττουσι νόμοι τὸν ἅπαντα χρόνον. οὐδ' ὁ πλούτῳ προύχων, οὐδ' ᾧ καθ' ἡλικίαν προβεβηκέναι ξυνέβη, τὸ πλέον ἕξειν ἐν τούτοις οἷός τ' ἂν εἴη ἐκεῖ τῶν


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἡσσόνων κατ' ἄμφω. ταχὺ μέντ' ἂν ἀφαιρεθείη, εἰ μὴ τῆς κεφαλῆς, ἀλλ' οὖν ὁπόσα τῶν τοῦ σώματος μελῶν κατὰ τὸ τοῦ ἁμαρτηθέντος ἀνάλογον οἱ νόμοι τῆς πολιτείας κελεύουσιν, ὅστις αὐτοὺς καπηλεύειν ὁπωσοῦν τολμῴη. καὶ τοῦτ' ἐστίν, ἔλεγεν ἐκεῖνος ἐμοὶ βεβαιῶν, ὃ σωζόμενον μὲν συνίστησι καὶ συνέχει πολι 3.35 τείας καὶ πόλεις καὶ ἠπείρους καὶ νήσους καὶ ἰδίᾳ καὶ δημοσίᾳ, ἀνατρεπόμενον δ' αὖ ὀξείαις συνανατρέπει ῥοπαῖς τά τε κοινὰ καὶ καθ' ἕκαστα τῶν πραγμάτων ὅσα πόλεσί τε καὶ πολιτείαις ἐγκαλινδεῖται παρανομούμενα, μηδαμῇ τοῖς παρανόμοις συνεῖναι φύσιν ἐχούσης τῆς ἑδραίας διαμονῆς καὶ κρηπῖδος, ἀλλ' ἐν οὐ μακρῷ τῷ χρόνῳ ῥᾷστα σαλευομένης καὶ διαλυομένης ἁπάσης προνοίας συνδετικῆς, ὥσπερ ἁρμονίας ῥηγνυμένων τῶν χορδῶν. τῆς γὰρ καθόλου πολιτείας ὑγιαινούσης, ἀνάγκη δήπου καὶ τὰ μέρη καλῶς ἀπαλλάττειν συνεξομοιούμενα τῷ ὅλῳ, καθάπερ οὖν τοὐναντίον νοσούσης καὶ αὐτὰ συννοσεῖν, ὡς εἰς ἀρχέτυπον τὴν μίμησιν ἀναφέροντα καὶ μάρτυρα βεβαιωτὴν τῆς κακίας προενηνεγμένα τὴν πολιτικὴν ἀρχὴν καὶ κατάστασιν. δίκαιος τοίνυν ὁ κύριος ὤν, καὶ δικαιοσύνας ὡς τὸ εἰκὸς ἀγαπῶν, ὑψοῖ μᾶλλον ἔθνη ἃ μὴ νόμον μὲν ἔχει, φύσει δὲ τὰ τοῦ νόμου ποιεῖ κατὰ τὸν θεῖον ἀπόστολον, μισεῖ δὲ οἳ ζῆν μὲν ᾕρηνταί τε καὶ ἐπηγγείλαντο κατὰ τοὺς τῆς εὐσεβείας θεσμοὺς καὶ νόμους, ἔργοις δ' αὐτοῖς καταψευδομένους τῶν ἐπαγγελιῶν καὶ ἀποσειομένους πάντα δικαιοσύνης κανόνα καὶ στάθμην. ὁ γὰρ δικαιοσύνην μὲν ἀποστρεφόμενος, ἀδικίας δ' ἀνθαιρούμενος κλήρους, καὶ μήτε τοὺς θείους αἰδούμενος νόμους, περιφρονῶν δ' ἀνθρώπινον ἅπασαν τύχην, οὗτος ἀφώρισε μὲν ἑκών γε εἶναι θεοῦ τοῦ τῆς δίκης ἔχοντος τοὺς 3.36 θρόνους σαφῶς ἑαυτόν, συνῳκείωσε δ' ἅμα τῷ διαβόλῳ. διὸ καὶ πλεονεκτεῖ μὲν κατὰ τῆς χώρας ἐκείνης τὰ χείρω, ᾗ τὰ τοιάδε γεωργεῖται κακά, μειονεκτεῖ δ' ἑπομένως τὰ κρείττω· καὶ γίνεται παντελὴς ἐκεῖ καλῶν ἐρημία, καὶ κατορχεῖται λοιπὸν καὶ ὁ διάβολος ἄρδην αὐτῆς εὐσεβείας, πρὸς ἄρνησιν τοὺς αὐτῷ πειθομένους συχνὰ ἐρεθίζων. οἷα δὴ κἀπὶ τὴν Βυζαντίων γενέσθαι ξυμπέπτωκε πολιτείαν· μισήσασα γὰρ ἀλήθειαν ἐκείνη καὶ πολιτικῆς ἀρχῆς δικαιοσύνην, οἰκειωσαμένη δ' ἀδικίαν καὶ ψεῦδος, ὅλαις παλάμαις τὰς ἑαυτῆς πρὸς ἀσέβειαν ἀνεπέτασε πύλας. κἀπειδὴ τῷ διαβόλῳ σώματος ἐπὶ τούτοις ἔδει καὶ ὀργάνου μάλα αὐτῷ προσήκοντος νῦν, εὑρίσκει Παλαμᾶν, ἀνδράριον, ὡς ἀκήκοα μέν, ἐντελέστερον δ' ἐκ τῆς αὐτοῦ μεμαθήκειν γραφῆς, εὐτελὲς μὲν ἄλλως καὶ πλὴν τοῦ κενοδοξεῖν καὶ δι' αὐτό γέ τοι τοῦτο κακοδοξεῖν πλέον εἰδὸς οὐδὲν ὑγιές· καὶ τούτῳ συμμαχεῖν πεπεικὼς τοὺς ἐν ἐξουσίᾳ, πάντα συλλήβδην εἰπεῖν, ὁπόσα κατ' ἄλλους ἄλλα καιροὺς ταῖς τοῦ θεοῦ ἐκκλησίαις βέβηλά τε καὶ νόθα παρεισεφθάρη δόγματα, πρὸς ἕνα τουτονὶ συνήλασε χρόνον, καὶ πολύχουν κομιδῇ τὸ πονηρὸν ἐσκέδασε κατὰ τῆς ἐκκλησίας Χριστοῦ τὸ γεώργιον. οὐ γὰρ πολυθεΐαν μόνον ἐδίδαξεν ὁ ταλαίπωρος, ἀλλὰ καὶ ἀθεΐαν προστέθεικεν, ἀρειανισμόν θ' ἅμα καὶ εἰκονομαχίαν καὶ καθάπαξ ἄρνησιν οἰκονομίας ἐνσάρκου τοῦ υἱοῦ καὶ λόγου τοῦ θεοῦ. καὶ τί δεῖ καθ' ἕκαστα λέγειν, ἐξὸν ἐκ 3.37 τῶν ἱερῶν βίβλων τῶν θείων πατέρων ἐλέγχειν κατ' ἴχνος ἐπιόντας ἅπαντα; Καὶ μὲν δὴ τοιαῦτ' ἐπ' ἐμοῦ συνείροντος τοῦ σοφοῦ καὶ θεοφιλοῦς ἐκείνου ἀνδρός, καὶ βίβλους δ' ἐνίοτε προκομίζοντος ἅς τε αὐτὸς φιλοπόνως ἐκ πάσης ἐρανισάμενος θείας γραφῆς ὅπλα τοῖς ἐκεῖ καλῶς εὐσεβεῖν αἱρουμένοις χαρίζεται, καὶ ἃς ἕτεροι τῶν ἐκεῖ προσοικούντων ἐλλογίμων ἀνδρῶν ὀρθοδόξων ἐκδεδώκασι, ταῖς τοῦ Παλαμᾶ κακοδοξίαις περιφανῶς ἀντιλέγοντες, λόγος ἐς τὰς τῶν Κυπρίων ἐμπέπτωκεν ἀκοὰς ὡς λάθοι νύκτωρ παρεισελθὼν ἐς Βυζάντιον ὁ βασιλεὺς Καντακουζηνός, καὶ τὴν αὐτοκράτορος ἕλοι βασιλείαν συνεργίαις καὶ δολεραῖς τοῦ Παλαμᾶ προκαταστάσεσιν, ὅρκους φρικώδεις ἐχέγγυα πρότερον αὐτῷ παρασχόμενος, βεβαιοῦν καὶ κυροῦν τὴν αὐτοῦ πολυθεΐαν καὶ ὅσα τῶν βεβήλων αὐτοῦ καινοφωνιῶν εἰσερρύη κατὰ τῆς τοῦ θεοῦ ἐκκλησίας, ταὐτὸν δ' εἰπεῖν, εἰς θεὸν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ὀμωμοκὼς ὃν ἐξόμνυσθαι ἐπηγγέλλετο. τοῦτο σφοδρῶς τὸν σοφὸν ἐκεῖνον ἠνίασεν ἄνδρα, Γεώργιον τὸν Λαπίθην, οὐχ ὅτι τὴν βασιλείαν ἕλοι Καντακουζηνός, ἀλλ' ὅτι τοιούτοις ὅρκοις προκατείληπτο, δέσμιος ταῖς τοῦ Παλαμᾶ γεγονὼς δυσσεβείαις, ὅθεν τὰς γενναίας ἐκείνας ἐλπίδας οὑτωσὶ ζημιούμενος αἳ τὸ ἡδόμενον ἔβοσκον ἐκ πολλοῦ τῆς ψυχῆς, ἤσχαλλεν, ἐδυσφόρει, θόρυβον εἶχε καὶ σάλον παντοδαπὸν ἐν ψυχῇ. ἤλπιζε γὰρ συνεκπλεύσειν ἐκεῖ 3.38 θεν ἐπανιόντι μοι μέχρι καὶ ἐς Βυζάντιον τῆς σῆς ἕνεκα θέας καὶ ὁμιλίας, ὡς ἔφθημεν εἰρηκότες, δι' ἔρωτα σοφίας μείζονος, ἴσως δὲ καὶ ἄλλης πρὸς τούτοις χρείας καὶ θέας ὁπόσα τὴν Βυζαντίων κεκτῆσθαι πόλιν συμβαίνει τῶν ἄλλων ἐξαίρετα. νῦν δ' ἐν ἀκαρεῖ τἀναντία νικῶντα θεώμενος περιαλγὴς ἦν, καὶ ἐδάκρυε μὲν τὴν εὐσέβειαν ἐς οὕτω περιφανῶς συνελαθεῖσαν ἐκριπισθέντα κίνδυνον τρόποις τοῦ θεοῦ συγχωρήσαντος ἀπορρήτοις, ἐδάκρυε δ' ἄλλως καὶ τὸν σὸν ὑφορώμενος θάνατον, τὸ τοῦ σοῦ κατὰ θεὸν ζήλου διάπυρον ἐννοῶν, καὶ ὅσην τὴν ἔνστασιν ὑπὲρ τῶν πατρίων ἐνδείκνυσθαι μέλλεις δογμάτων ἄχρι θανάτου. Καὶ τί δεῖ πάντα διεξιέναι καθ' ἕκαστα, ὅσα τῆς νήσου δυοῖν οὐχ ἧττον ἐτῶν τεθεάμεθα, ὁπόσα πόλεσί τε καὶ λιμέσι καὶ ὅσα δὴ ταῖς ἄλλαις πρόσεστι χώραις ἐκεῖ τὰ χρήσιμα, τῶν ἔμπροσθεν ἀνθελκόντων ἡμᾶς οὐ μικρῶν ὑπαρχόντων. διὸ τούτων ἀποσχόμενος ἐπανόδου μεμνήσομαι. Ἄρτι τοίνυν τοῦ ἡλίου περὶ τροπὰς γενομένου τὰς θερινάς, ἐπειδή γε ἀπαίρειν ἔμελλον, ἄχρι λιμένος ἐκεῖνός με προύπεμπεν ὁ καλὸς Γεώργιος, δακρύων τε καὶ μέσην εἰπεῖν τεμνόμενος τὴν καρδίαν τῷ μῷ χωρισμῷ, ὥστε καὶ τῆς ἡμᾶς ἀγούσης ὁλκάδος, ἐπειδή γε ἀνεπέτασε τὰ ἱστία, οὔρια ἐφιείσης ἐπὶ τὸ πέλαγος, θεώμενος ἵστατο μέχρι πολλοῦ με, 3.39 πολλὰ καταχέων τὰ δάκρυα, ἕως ἀπεκρύψαμεν ἐκείνην τὴν γῆν, τῆς ὄψεως ἠρέμα καὶ κατὰ μικρὸν ἐνδιδούσης ἐν τοῖς μακροῖς διαστήμασιν. εὐπλοίας δ' ἡμῖν γενομένης ἐναταῖοι ἐς Κρήτην ἀφίγμεθα, νῆσον πολυανθρωποτάτην καὶ μείζω μὲν πολλῷ τῆς Κύπρου, ἐπιμήκη δ' ὁμοίως ἐκείνῃ καὶ ταύτην ὑπάρχουσαν, ὡς εἶναι μῆκος μὲν σταδίων αὐτὴν οὐχ ἧττον ὀκτακοσίων ἅμα καὶ δισχιλίων, πλάτος δὲ πολλῷ τοῦ ἡμίσεος ἧττω. ἔχων δ' ἐκ πολλοῦ διὰ μακρᾶς τῆς ἐφέσεως ἔγωγε τὸν ἐν Κρήτῃ λαβύρινθον θεάσασθαι, ἐπειδὴ πολὺ τοῦ λιμένος οὗ καθωρμίσθημεν ἀφεστήκοι, ἔδοξέ μοι καιρὸν ἔχοντι νῦν ἀποβάντι θεάσασθαι καὶ αὐτόν, Κνωσσοῦ μεσογείου πόλεως ἔγγιστα ὄντα. ἔστι δ' ὁ λαβύρινθος σπήλαιον πολυχωρητότατον τεχνητόν. ἐπεὶ γὰρ ἔτυχε λίθος οὐ πάνυ σκληρὸς τὴν οὐσίαν ὑπάρχων ὁ τόπος, ἔδωκε πολλὴν τὴν ῥαστώνην λαξεύειν ἐφ' ὁπόσον ἄν τις ἐθέλοι. διὸ καὶ θύραν μίαν ὁ τεχνίτης ἀνοίξας, ἔπειτα λαξεύων, προῄει μέχρι πολλοῦ κατὰ τὸ ἴσον εὐρύνων ἅμα τά τ' εὐώνυμα καὶ δεξιὰ πλευρά, ἠφίει δ' ἐν μέσῳ κατὰ συχνὰ διαστήματα στύλους ξεστούς, ἀνέχοντας τὴν ἐπὶ τὸν ὄροφον γῆν, μερίζων δ' ἐποίει διαφόρους οἰκίας καὶ προαύλια καὶ κρήνας. δέδεικται δέ μοι πρὸς τῶν ἐγχωρίων, λαμπάδας φωτὸς ἐν χεροῖν ἐχόντων πολλάς. Μίνω τοίνυν φασὶν ἐκεῖνον τὸν πάλαι τῆς Κρήτης ἄρξαντα, ὥς γε οἶσθα, πλείστην κτησάμενον δύναμιν ναυτικὴν τὰ 3.40 κύκλῳ δουλώσασθαι τῶν ἐθνῶν, ὅσα τε Κυκλάδας ᾤκει τότε τὰς νήσους, καὶ ὅσα ἐς μεσόγειον ἥκει Βοιωτίας καὶ Ἀττικῆς. ὕστερον δ' ἐκ διαδοχῆς μακροτέρας ἐς Μινώταυρον τῆς ἀρχῆς περιενεχθείσης, ἄνδρα τοὺς τρόπους ὠμόν, φόρους τε ἄλλους ἄλλοις ἐπενεγκεῖν, καὶ δὴ καὶ ὁπόσοι τότε ᾤκουν τὴν Ἀττικήν, δὶς ἑπτὰ παῖδας ἐκεῖσε ἀπάγειν τῶν εὐγενῶν κατ' ἐνιαυτὸν ἐς λήθης φρούριον τὸν λαβύρινθον. τοῦ κλήρου τοίνυν καὶ ἐς Θησέα περιενεχθέντος, Αἰγεὺς μὲν ὁ πατὴρ οὐκ ἠφίει, τηνικαῦτα τῆς Ἀττικῆς ὢν ἡγεμών, ὃ δὲ λαθὼν ἀπῄει, μάλα ἑκὼν τοῖς δὶς ἑπτὰ συναρίθμιον ἑαυτὸν καταστήσας, ὡς διὰ τοῦτο ὅπως ποτὲ καὶ τὸν Αἰγέα κατὰ θαλάττης ἐκείνης ὑφέντα ἑαυτὸν τελευτῆσαι τὸν βίον, καὶ τὸ πέλαγος Αἰγαῖον ἐκεῖθεν κληθῆναι. ἐπεί γε μὴν ἡ Μινωταύρου θυγάτηρ Ἀριάδνη Θησέα θεάσαιτό τε καὶ ἐρασθείη τοῦ κάλλους, ὑποθεῖναι λαθραίας αὐτῷ τὰς τῆς ἐλευθερίας μεθόδους, αἷς χρησαμένῳ ῥᾴστην τε γενέσθαι Θησεῖ τὴν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

λαβυρίνθου διέξοδον, καὶ ἅμα Μινώταυρον μὲν ἐκεῖνον πεφονευκότι ἐς τὴν πάτριον αὐτίκα γῆν διαπόντιον γενέσθαι φυγάδα ξύν γε Ἀριάδνῃ καὶ τοῖς ἐξ Ἀττικῆς ἠιθέοις παισὶ, καὶ οἰκιστὴν ὀλίγῳ ὕστερον γενέσθαι καὶ τῆς Ἀθηναίων περιβοήτου πόλεως, μεμερισμένως πρὶν ἐν κώμαις οἰκούντων τὴν Ἀττικήν. Ἐμοὶ δὲ μετὰ τὴν θέαν ἐκείνην καὶ ἐς τὰς ἄλλας πε 3.41 ριιέναι τῆς νήσου κώμας καὶ πολιτείας καὶ πόλεις γεγένηται. καὶ μὲν δὴ καὶ ἐθεώμην τὸ πᾶν ἐκεῖ γένος τῆς νήσου, Ῥωμαίους ὄντας, ὀλίγῳ δέω λέγειν, καὶ τὴν τῆς πατρίου πίστεως εὐσέβειαν βεβαίαν ἐκ διαδοχῆς ἀεὶ κεκτημένους· καί μοι βουλομένῳ γε ἦν πλείονα χρόνον ἐκεῖ διατετριφέναι πλείονος ἕνεκα καὶ τελεωτέρας τῶν ἐκεῖ πραγμάτων ἱστορίας. ἀλλ' ἀνεσόβει μοι τὴν βούλησιν ὁ τηνικαῦτα μελετώμενος θόρυβος τῶν τε ὅπλων καὶ τῶν ἐκεῖ στρατιωτικῶν δυνάμεων. ἦν γὰρ ἡ νῆσος ἐκ πολλοῦ συμφοραῖς ἐντετυχηκυῖα, δι' ἃς Λατινικοῖς ὅπλοις δουλεύσασα τῷ τῆς Βενετίας ὑπέκυψε δημοσίῳ προστάγματι. ἄρτι τοίνυν φήμης χεθείσης ἐπὶ πᾶσαν ἤπειρόν τε καὶ νῆσον ὡς οἱ τὸ Γαλατώνυμον οἰκοῦντες φρούριον ἀστυγείτονες Γεννουῖται, παρασπονδήσαντές τε καὶ ἐπαναστάντες τοῖς Βυζαντίοις, σφᾶς τε ναυμαχήσαντες νενικήκασι καὶ ἅμα θαλάσσης ὅλης ἡγεμονίαν ὠνειροπόλησαν, ὡς μηκέτι μήτε καθεκτοὺς εἶναι μήτε μὴν οὐδ' ὁμοφύλοις ἔτι μένειν ἐνσπόνδους ἐθέλειν, ἀλλὰ σκληρὰν καὶ οἷον εἰπεῖν ἡγεμονικὴν τὴν ὀφρὺν κατὰ πάντων ὅσοι θαλάττιον βόσκουσι βίον ἐπανατείνασθαι, ταραχθῆναί τε οὖν πολλοὺς διὰ ταῦτα καὶ πάντων μάλιστα Βενετικούς, μεγάλας μὲν ἐξαρτύειν ἐν βραχεῖ ναυτικὰς δυναμένους δυνάμεις, μέγα δὲ διὰ τοῦτο φρονεῖν ἔχοντας, ἔπειτα παρὰ δόξαν ὑπ' ἐκείνων ἤδη κωλυομένους ἐς τὸν ἄνω τόπον καὶ τὴν Μαιῶτιν καὶ τὰς ἐκβολὰς 3.42 τοῦ Τανάιδος ἀναπλεῖν καὶ περιπλεῖν κατ' ἐξουσίαν ὡς πρότερον. ὅθεν αὐτοί τε τὰς οἰκείας ἤθροιζον δυνάμεις, τριήρεις τε πλείους τῶν τέως οὐσῶν κατεσκεύαζον καὶ τὰς ἐκ πολλοῦ νενεωλκημένας καθελκύσαντες πανταχόθεν ἐπεσκεύαζον, καὶ ἅμα τὰς συμμαχίδας καὶ ὑπηκόους πόλεις καὶ νήσους ἐς τὸν κοινὸν ἐκάλουν ἀγῶνα, ὅπλα καὶ τριήρεις καὶ στρατιώτας ναυμάχους συνεισφερούσας κατὰ τὴν ἐνοῦσαν ἑκάστῃ δύναμιν. συνεκάλεσαν δ' οὖν καὶ τῶν πόρρωθεν, ἁβροῖς μὲν καὶ ἤδη μισθώμασιν, ἁβροτέραις δ' ἐς τὸ μέλλον ἐπαγγελίαις, ἄλλους τε καὶ Κατελάνους, οἳ ᾤκηνται κάτω παρὰ τὴν Γαλλικὴν θάλασσαν, ὅπῃ τῶν Πυρηναίων ὀρῶν οἱ πόδες ἄγχιστα λήγουσιν, ἐς τόλμαν πολεμικήν, ὅση τε ἠπειρωτικὴ καὶ ὅση θαλάττιος, τῶν πρωτείων οὐδέσι Λατίνων παραχωροῦντας. Ἐπεὶ γοῦν διὰ ταῦτα καὶ Κρήτη θόρυβον εἶχε καὶ ὡς εἰπεῖν ἐσείετο πᾶσα, παρασκευαζομένη πρὸς ὅπλα συμμαχικά τε καὶ ὅσα τῶν πολεμικῶν ἐφόδων εἰσὶν ἀποτρεπτικά, μετέβαινον ἐκεῖθεν ἀρχομένου τοῦ ἦρος, καὶ ἀφεὶς εὐώνυμα Σαλαμῖνα τὴν νῆσον, ἔνθα Θεμιστοκλέα τὸν Νεοκλέους ἐκεῖνον πάλαι φασὶ τὴν τῶν Περσῶν ἐκείνην ναυτικὴν καταβαπτίσαι δύναμιν, νήσους τε ἃς Κυκλάδας φασὶ παραλλάξας, κατέπλευσα ἐς Εὔβοιαν τὴν νῆσον, ὑπήκοον οὖσαν Βενετικοῖς ἐτῶν ἤδη μακρῶν. καί με βουλόμενον πλείονα χρόνον ἐνδιατρῖψαι ταύτῃ 3.43 ἡ τῶν Εὐβοέων ἀνέστειλεν ἀσχολία, πολλή τις οὖσα καὶ αὕτη καὶ μάλα γέ τι κατεσπουδασμένη πρὸς ὅπλων καὶ μάχης παρασκευήν· μέλλειν γὰρ ὅσον οὐδέπω λόγος ἦν πολεμίας ἐκ Γεννούας ἐπ' αὐτοὺς καταπλεύσειν τριήρεις. ὅθεν ἐν βραχεῖ τὴν νῆσον ἐκείνην ἐλθὼν καὶ περισκοπήσας ἅπασαν, καὶ τὰς ἐκείνης ὅσον ἐξῆν ἱστορήσας πόλεις, ἧκον ἐπὶ τὸ Ἀρτεμίσιον, βόρειον ἄκρον Εὐβοίας. κἀκεῖθεν αὖθις ἀνάγεσθαι βουλόμενον ἐπέσχεν ἐξαίφνης ἡ τῶν πολεμίων καταπλεύσασα δύναμις. τριήρεις γὰρ Γεννουιτικαὶ τεσσαρεσκαίδεκα λήγοντος θέρους ὤφθησαν τὴν ταχίστην ἐς Ὠρωπὸν καὶ Αὐλίδα καταίρουσαι. μεταξὺ γὰρ ταῖν δυοῖν ταύταιν νοτιωτέραν τὴν θέσιν ἐχουσῶν τῶν πόλεων ἔστιν ἐπιμήκης λιμήν, πᾶσαν ἀνέμων χλευάζων βίαιον κίνησιν, ἐς ὃν ἀρτίως ἐσέπλευσαν οἱ πολέμιοι. καὶ ἅμα ἐς τὴν ὑστεραίαν τέσσαρες καὶ τριάκοντα τριήρεις Βενετικαί, τὰς πολεμίας ἐκείνας ἐκ πολλοῦ ναυλοχοῦσαι, ἐπέπλευσάν τε καὶ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τὸ τοῦ λιμένος ἔφραξαν στόμα. τῶν οὖν Γεννουιτικῶν νεῶν ὡς ἐν δικτύῳ παρὰ δόξαν ἤδη συγκλεισθεισῶν, αἱ μὲν τέσσαρες εὐθὺς ἀναπετάσασαι τὰ ἱστία, καὶ καθάπερ ἐν κύβοις τοῦ προφανοῦς τὸν ἀμφιβαλλόμενον ἀνθελόμεναί τε καὶ ἀναρρίψασαι κίνδυνον, ἔλαθον οὑτωσὶ τὸ πολέμιον διαδρᾶσαι ξίφος· τάς γε μὴν ἐπιλοίπους, πλὴν ὀλίγων ἀνδρῶν ἐς τὴν χέρσον ἐκπεπηδηκότων, αὐτάνδρους ἁπάσας εἷλον πρὶν ἄρξαι χειρῶν καὶ ναυμαχίας. 3.44 καὶ ταῦτα μὲν τῇδέ πῃ ἔσχεν ἐκεῖ κατ' ἐκεῖνον τὸν χρόνον· ὅ γε μὴν τοῦ Βενετικοῦ στόλου ναύαρχος, ἐς τοῦτο τύχης ἐληλυθότων αὐτῷ τῶν πραγμάτων, τά τε περὶ τὴν Εὔβοιαν ὡς ἐνῆν διῳκήσατο, καὶ ἅμα πλήρεσιν ἱστίοις λύσας ἐξ Εὐβοίας ἀνήχθη εὐθὺ Βυζαντίου ποιούμενος τὴν πορείαν. ἐπεὶ δὲ μεταξὺ γεγένηταί οἱ μαθεῖν ἐν Θεσσαλονίκῃ διατρίβειν τὸν βασιλέα, τέσσαρας τῶν νεῶν ἀπολεξάμενος καὶ τῶν μάλιστά οἱ πιστοτάτων ἑνὶ παραδούς, πρεσβεύσοντα πέμπει πρὸς βασιλέα περὶ συμμαχίας κατὰ τῶν κοινῶν ἐχθρῶν. αὐτὸς δ' ἐς Βυζάντιον ἤλαυνε, καρτερήσων τὴν τοῦ βασιλέως ἄφιξιν. Αὐτὸς δ' ἂν εἰδείης βέλτιον ἐμοῦ τὰ ἑξῆς, αὐτός τε παρὼν γινομένοις καὶ βλέπων, καὶ σφόδρα διὰ σπουδῆς τὰ τοιαῦτα συγγράφειν ἔχων. ἐγὼ γὰρ τοὺς ἐν θαλάττῃ τέως δεδιὼς θορύβους κατὰ χώραν μένειν ἔκρινα δεῖν ἐν καιρῷ. ὅτε δὴ καὶ τὰς Γεννουιτικὰς ἐκείνας τέσσαρας τριήρεις παλινδρομούσας ἐθεασάμην, αἳ διαφυγεῖν ἐδυνήθησαν, ὡς εἰρήκειμεν, τὴν πρὸ βραχέος ἐκεῖνον κίνδυνον, μίαν τε κατὰ τὸ λεληθὸς τῶν παράλων ἑλούσας πλουσιωτάτην Εὐβοίας πόλιν, καὶ ἐξανδραποδισαμένους ἐκ τοῦ αἰφνιδίου, καὶ ἀπεληλυθυίας εὐθὺς μεθ' ὧν ἀπώλεσαν πρότερον στρατιωτῶν, μὴ προαισθέσθαι δυνηθέντων τῶν Εὐβοέων, ἀλλὰ τὸν Ἐνδυμίωνος τέως εἰπεῖν καθευδόντων ὕπνον διά γε τὸ ἔναγχος ἐκεῖνο προτέρημα. 3.45 Οὐ πολὺς μεταξὺ παρερρύη χρόνος, καὶ τὰς Βενετικὰς ἐκείνας ἐθεώμην τέτταρας καὶ τριάκοντα τριήρεις οἴκαδε κατιούσας ἀπράκτους ἐκ Βυζαντίου διὰ τὸ ἐν Θεσσαλονίκῃ τηνικαῦτα διατρίβειν τὸν βασιλέα. ἐπεὶ δὲ καὶ ὁ μὲν χειμὼν ἐν τούτοις παρῄει καὶ αἱ κατὰ τὸ ἔαρ ἡλίου λαμπάδες ἀνήπτοντο, τεσσαρεσκαίδεκα τριήρεις αὖθις ἐκ Βενετίας ἐς Βυζάντιον ὅλαις ἀνέβαινον κώπαις καὶ ὅλαις ὁρμαῖς τῆς ψυχῆς, ἐφ' ᾧ τὸν τοῦ Πόντου προκατειληφυίας αὐχένα τὰς Γεννουιτικὰς ναυλοχεῖν ὁλκάδας, αἳ τὴν σιτοπομπίαν ἄνωθεν ἐκ τοῦ Εὐξείνου καὶ τῶν Σκυθικῶν παραλίων ἐσκομίζειν ἔμελλον τοῖς ἐν Γαλάτου. τῶν γε μὴν ἑξῆς αὐτὸς ἂν εἰδείης αὖθις ἐνταῦθα παρὼν καὶ ὁρῶν ἀκριβῶς τὴν ἀπόβασιν. ἐμοὶ γὰρ ἀμυδραῖς τισὶν ἀκοαῖς μεμαθηκέναι συμπέπτωκεν, ἐκεῖ διατρίβοντι, τά τε ἄλλα καὶ ὡς μικροῦ πᾶσαν τὴν τοῦ Γαλατικοῦ φρουρίου δύναμιν, ἄνω μὲν παρὰ τὸν Εὔξεινον πόντον ἀποκλεισθεῖσαν, ἄρτι δὲ κατιοῦσαν, ἕλοιεν, κατὰ μὲν τὸν αὐχένα τοῦ Πόντου τὴν πλείω κατιοῦσαν διά γε δὴ τὸ μὴ προαισθέσθαι, τὴν δὲ λοιπὴν μείνασαν διεσπασμένως, ὅπῃ δὴ καὶ τύχοι ὁρμοῦσα ἑκάστη σποράδην κατὰ τὰ τοῦ Πόντου ἐπίνεια, παραπλέοντες ὕστερον. ἐπεὶ δὲ καὶ σύμμαχον ἤδη σχοῖεν τὸν βασιλέα Βενετικοί, ἔκ τε γῆς καὶ θαλάττης πλείστην εἰσενεγκάμενον δύναμιν, καὶ ἅμα τριήρεις προσέλθοιεν σφίσιν ἐκ νήσου τῆς Κρήτης ὀκτὼ συμμαχίδες, καὶ πρὸς 3.46 τούτοις ὁλκάδες συσκευασθεῖεν ἓξ τῶν πάνυ μεγίστων, μηχανὰς παντοδαπὰς καὶ ὁπλίτας ἀρίστους φέρουσαι πλείστους, καίριον ἤδη νομισθῆναι τοῖς ἅπασι πάσαις ὁμοῦ δυνάμεσι προσελάσαντας κυκλώσασθαι τὸ φρούριον αὐθημερόν. καὶ τούτων οὑτωσὶ πεπραγμένων ἀνυσθῆναι σφίσι μηδὲν ἠκηκόειμεν, ὡς ἀπογνόντα λοιπὸν τὸν τῆς ναυτικῆς τῶν Βενετικῶν δυνάμεως ναύαρχον τοῦ μὲν πολέμου διάδοχον ἀφεῖναι τὸν βασιλέα, αὐτὸν δὲ μαθόντα ἤδη καὶ τριήρεις ἐκ Γεννούας ἑξήκοντα παρὰ πᾶσαν ἀναγομένας ἐλπίδα, ὅλαις ἀναχωρεῖν πορείαις. Καὶ ἃ μὲν ἀμυδρῶς αὐτὸς ἠκηκόειν, ἔκδημος ὢν τῆς πατρίδος, ταῦτ' ἐστίν· αὐτὸς δ' ἄν μοι λέγοις τἀληθέστερά τε καὶ βεβαιότερα τῶν ἐνταυθοῖ πεπραγμένων ἐκείνων, τῆς ἀφηγήσεως προϊούσης, προστιθεὶς ἐν ταὐτῷ καὶ τὰ τῶν πεπραγμένων αἴτια. νῦν δ' ὧν αὐτὸς αὐτόπτης ἐξῆς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐγενόμην ἐκεῖ παρών, εἶμι ἐρῶν αὐτὸς αὐτίκα τὸν λεπτότερον καὶ καθ' ἕκαστα τρόπον. ἐπαναληπτέον τοίνυν τὸν λόγον ὅπῃ τὸ πρότερον ἴχνος ἐλίπομεν, ἵνα τὸ τῆς ἱστορίας συναφὲς τὴν τοῦ σαφοῦς ῥαστώνην εὐφυᾶ παρέχῃ τοῖς ἐντυγχάνουσιν. Ἔτυχον μὲν ἐγὼ διατρίβων περὶ τὰ κοῖλα τῆς Εὐβοίας καὶ Κάρυστον πόλιν λήγοντος ἤδη τοῦ θέρους, καὶ τηνικαῦτα ξυνέβαινε καταπλεῖν ἐς Ὠρεόν, πόλιν Εὐβοίας εὐλίμενον, τὰς 3.47 πεντεκαίδεκα Βενετικὰς ἐκείνας τριήρεις, ἃς ἐκ Βυζαντίων λιμένων ἔφθημεν δεδηλωκότες ἐπανιούσας· τὰς γὰρ ὀκτὼ Κρητικὰς διαστάσας αὐτόθεν οἴχεσθαι ἀπιούσας ἐς Κρήτην φυλακῆς ἕνεκα τῶν ἰδίων. καὶ ἅμα συχναὶ καὶ βαρεῖαι κατέπληττον ἀγγελίαι τὴν νῆσον, ἐγγύτατα εἶναι πολεμίας ἑξήκοντα ναῦς. σπεύσας οὖν ὁ τῶν Βενετικῶν ναύαρχος τὰ μὲν πληρώματα πάντα τῶν οἰκείων νεῶν ἐξεῖλεν εὐθύς, αὐτὰς δὲ κενὰς ἐν τῷ λιμένι καλωδίοις προσηρτημένας κατέδυσεν, ὡς μὴ ἁλώσιμοι τοῖς πολεμίοις εὐθὺς ἐπιπλεύσασι γένοιντο. ἔπειθ', ὅσον τάχος, πάντας τε Εὐβοέας πρὸς ὁπλιτικὴν ἠρέθιζεν ἀκμήν, καὶ ἅμα δ' ἐπρεσβεύετο πρὸς τοὺς ἐν Ἀθήναις καὶ Θήβαις Λατίνους, τριακοσίων ἱππέων ἐπιλέκτων αἰτῶν συμμαχίαν. τήν γε μὴν πόλιν νύκτα τε καὶ ἡμέραν οὐκ ἠμέλησε πᾶσαν ὁπλίζων πολυτελῶς καὶ πάσης ἀφειδῶν δαπάνης καὶ πάντα προστιθεὶς καὶ περιτιθεὶς ὀχυρώματα. δύο μεταξὺ παρερρυήκεσαν ἡμέραι, καὶ ὤφθησαν αἱ πολέμιαι νῆες ἐκεῖναι, περὶ δείλην που τὴν ὀψίαν, ἐπιπλέουσαι κατὰ τῆς Εὐβοίας. καὶ τὴν μὲν ἑσπέραν ἐκείνην, γαλήνης οὔσης, ἐν τῷ πελάγει μετέωροι δειπνοποιησάμεναι καὶ τὸ ποιητέον σκεψάμεναι, ἕωθεν εὐθὺς εἰς μάχιμον τάξιν ἠθροίζοντο. καὶ μὲν δὴ καταπεφραγμέναι πᾶσιν ὅπλοις, προσελάσασαι ἐς τὸν Ὠρεοῦ λιμένα ἐκεῖναι καταπληκτικῶς ἐσέπλευσαν, τά τε σημεῖα τῆς μάχης ᾑρμένα ἔχουσαι, καὶ τὰς πολεμικὰς ἀνακρουόμεναι σάλπιγγάς τε καὶ σύριγγας, καὶ ὅσα τῶν τοιούτων 3.48 ὀργάνων ἐρεθίζει πρὸς εὐψυχίαν πολεμικὴν τῶν ἀνδρῶν τὴν ὁρμήν. ἐπεὶ δὲ ναυμαχίας ἀγῶνες ἥκιστα ἦσαν (οὐ γὰρ ἦσαν αἱ ἀνταγωνιζόμεναι νῆες), τοξότας ὅσους ἐχρῆν καταλιπόντες ἐν ταῖς ναυσὶ φυλακῆς τε ἕνεκα καὶ τοῦ βάλλοντας ἀνείργειν καὶ ἀντιπερισπᾶν ἐκεῖ τοὺς ἐπὶ τῶν ἐπάλξεων, οἱ λοιποὶ πάντες ἐπὶ τὴν γῆν ἀπέβαινον, κυκλώσασθαι τὴν πόλιν βουλόμενοι, κλίμακάς τε ἐπαγόμενοι πλείστας, καὶ ἅμα αἱρήσειν αὐτίκα μάλα τὴν πόλιν ἐλπίζοντες διά τε τὸ πλῆθος καὶ τὴν τόλμην τῶν ὁπλιτῶν. περιστρατοπεδεύσαντες οὖν ἐπολιόρκουν, τόξοις τε βάλλοντες ἑκηβόλοις καὶ κλίμακας τῷ τείχει προσάγοντες, καὶ ἅμα διὰ τὴν πολυχειρίαν εὐθὺ τοῦ τείχους διώρυχας πόρρωθεν δρῶντες, ἵνα δυοῖν θάτερον ἢ διὰ τῆς τῶν κλιμάκων ἐκείνων ἀναδρομῆς ἢ διὰ τῆς τῶν ὑπονόμων ὑποδρομῆς τουτωνὶ λάθωσιν εἰς τὴν πόλιν παρεισπεσόντες. ἐπεὶ δὲ μηχαναῖς μηχανὰς ὁ τῶν Βενετικῶν ἐκεῖνος ναύαρχός τε καὶ ἡγεμὼν ἔνδοθεν ἀνθιστάναι οὐκ ἠμέλει, συνέβαινεν εἶναι τοὺς ἔξωθεν τῶν πολεμίων ἀγῶνας ἀπράκτους. πρῶτον μὲν γὰρ βάρεσι λίθων ἐκ τῶν ἐπάλξεων καὶ βέλεσι παντοδαποῖς τραυματίας ἀπέφαινε σφᾶς καὶ ἀπεσόβει· ὅπῃ δ' ἑώρα καὶ ὑπενόει κλίμαξι βάσιμον εἶναι τὸ τεῖχος, ὕψος ἱκανὸν εὐθὺς προσετίθει, τήν τε τῶν ἐπάλξεων συνάπτων διέχειαν, καὶ ταύταις ἀνδρόμηκες οἰκοδόμημα προστιθεὶς πρὸς ὀξὺ καὶ λεπτὸν ἀπολῆγον, ὡς καὶ ἀναβᾶσι τοῖς πολεμίοις δύσεργόν τε καὶ μάλα ἐπικίνδυνον εἶναι τὴν τῶν 3.49 ποδῶν βάσιν. πρός γε μὴν τὸν ὑποχθόνιον ἐκεῖνον ὑπόνομον, στοχασάμενος ὅπου τοῦ τείχους διεκπεσεῖται προχωροῦν τὸ τῆς διώρυχος τέλος, τάφρον κατώρυξεν ἔνδον αὐτὸς ἐγκαρσίαν, τὸ βάθος πολλαπλασίαν ἢ κατὰ τὴν ἐκείνων, ὡς ὀψὲ τοῦ τείχους ἐντὸς παρεισπίπτοντας σφᾶς βόθρῳ καὶ θανάτου πυθμέσιν ἐντυγχάνειν ἀπροσδοκήτους· καταφερομένοις γὰρ ἐκείνοις βάρη λίθων ἄνωθεν αὐτοὶ μὲν παμπληθεῖς εὐθὺς ἐπιρρίπτοντες ἀφύκτοις θανάτου δικτύοις παραχρῆμα ἐδίδουν. συχνῶν δ' ἐπὶ τούτοις ἡμερῶν παρερρυηκυιῶν, ἀφῖκτο καὶ ἡ τῶν Ἀθηναίων ἤδη καὶ Θηβαίων συμμαχία, ἐπίλεκτοι μὲν ἱππεῖς τριακόσιοι, πεζοὶ δ' ἐθελονταὶ πλείους ἢ κατ' αὐτούς.



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

καὶ ἅμα τῆς φήμης εἰς ὅλην χεθείσης τὴν νῆσον, συνέτρεχον πανταχόθεν πολλοί, τὸ προστυχὸν ἕκαστος ἀνὰ χεῖρας ἔχοντες ὅπλον. ὅ γε μὴν τῶν Βενετικῶν στρατηγὸς καὶ ναύαρχος νυκτὸς μὲν ἐνέδρας ἐν ταῖς πρὸ τῆς πόλεως χαράδραις ὑπέσπειρεν, ἅμα δ' ἕῳ ἐξῆγε τὴν δύναμιν ἐμφανῶς, ὁπλίτας πελταστὰς τοξότας τε καὶ λογχοφόρους, καὶ ὅσους τηνικαῦτα τῶν ἐκεῖ πολιτῶν εὑρεῖν ἱππέας εὐπόρησεν, ὡς γίνεσθαι μὲν αὐτῷ τὴν στρατεύσιμον ἅπασαν ἡλικίαν οὐχ ἧσσω πεντακισχιλίων ἀνδρῶν ἐπιλέκτων. προσγενομένης δ' ἄρτι καὶ τῆς Ἀθηναίων καὶ Θηβαίων συμμαχικῆς δυνάμεως ἐθάρρησεν εἰς χεῖράς τε καὶ ὁμόσε τοῖς πολεμίοις ἰέναι οὐχ ἧσσον ἢ διπλασίοις οὖσιν αὐτοῦ, βέλτιον οἰόμενος 3.50 εἰ δύνατον αὐθημερὸν αὐτῷ τοῦ παντὸς πολέμου τὸ τέλος κριθήσεσθαι, ἢ πολύν τινα τρίβεσθαι χρόνον τῇ μάχῃ, τῶν πολεμίων δηούντων νυκτὸς καὶ ἡμέρας τὴν χώραν. ὅθεν ἐκτάξας τὸν στρατὸν καὶ μερίσας εἰς φάλαγγας, καὶ τοῖς μὲν Ἀθηναίοις καὶ Θηβαίοις τὸ λαιὸν κέρας δούς, αὐτὸς δ' ἔχων τὸ δεξιόν, ἦγεν ἐπὶ τὸ τῶν πολεμίων στρατόπεδον, πρὸς συμπλοκὴν προκαλούμενος σφᾶς. ἀναπηδήσαντες οὖν εὐθὺς ἐπὶ τὰ ὅπλα κἀκεῖνοι, καὶ μικροῦ κενὰς ἀπολιπόντες τὰς ναῦς, εὐρώστως μὲν ἀπήντων ἐν ταῖς ἀρχαῖς· ἔπειτ' ἐπιρρυείσης τῆς ἵππου γενναίως, καὶ ἅμα τῆς πεζικῆς φάλαγγος πανταχόθεν ἐπιχυθείσης βοῇ καὶ ἀλαλαγμῷ, μὴ δυνάμενοι φέρειν ἐπὶ πόδα ἀνεχώρουν, καταπατούμενοί τε καὶ τιτρωσκόμενοι. νυκτὸς δ' ἐπὶ τούτοις γενομένης καὶ τῆς μάχης διαλυθείσης, ἐπὶ τὰς οἰκείας ἐνέβαινον ναῦς, οὐχ ὅσοι ἧκον, οὐδὲ μεθ' ὁμοίου τοῦ σχήματος, ἀλλὰ μάλα γέ τι ἀντιστρόφως· εἶναι μὲν γὰρ τοὺς ἐν τῇ πολεμίᾳ ἐκείνῃ γῇ πεπτωκότας οὐχ ἧττον πεντακοσίων, τραυματίας δ' αὖ οὐχ ἧττον ἢ τοσούτους γεγενῆσθαι. ὡς καὶ ἀναγκασθέντας ἔτι νυκτὸς οὔσης πλημμελῶς ἐκπλεῦσαι, λειπομένας ἐρετῶν ἐνίας παρέλκοντες ναῦς. τάχιστα δ' ὁ ναύαρχος ἐκεῖνος καὶ στρατηγὸς τοῦ Βενετικοῦ στόλου δύο τῶν οἰκείων ἑλκύσας νεῶν ἐκ τῶν θαλαττίων ὑδάτων, τὰς μᾶλλον τῶν ἄλλων ταχυναυτούσας, καὶ ὡς ἐνῆν ἐκ τοῦ σχεδὸν καθοπλίσας, τὴν μὲν ἐς τὴν τῶν Βενετικῶν ἀριστοκρατικὴν ἀπέστειλεν ἐξουσίαν, φράσουσαν τὰ πεπραγ 3.51 μένα, τὴν δ' ἐς Βυζάντιον, δηλώσουσάν τε τὰ αὐτὰ τοῖς ἐνταῦθα Βενετικοῖς, καὶ ἅμα κατασκεψομένην τοὺς πολεμίους ὅπῃ πορεύοιντο. Ταύτῃ δὴ τῇ νηὶ καὶ αὐτὸς ἐμαυτὸν ἐμβιβάσας ἧκον ἄχρι τοῦ Ἑλλησπόντου· αὐτόθι γὰρ ὁρμισαμένη καὶ τὰς κώπας σχάσασα παρὰ τὸν τῶν Τενεδίων λιμένα ἡ φέρουσα ἡμᾶς ἐκείνη ναῦς τὸν τῶν πολεμίων ἠκηκόει στόλον ἐς Χίον κατάραντα, ἐπιμελείας τε ἕνεκα τῶν πεπληγότων, καὶ ἅμα ὅσον δύναιντ' ἂν τοὺς τῶν τετελευτηκότων ἐν τῇ μάχῃ τόπους ἐκλέξασθαι, ὁπόθεν ῥᾷον ἂν εἴη σφίσι. διὸ τὰς μὲν ἀγγελίας τῆς νίκης εὐζώνῳ τινὶ δεδωκυῖα ἀνδρὶ πέπομφεν ἐς Βυζάντιον, αὐτὴ δ' ἀναζεύξασα τὴν ταχίστην ᾤχετο ἐς Εὔβοιαν ἀπιοῦσα. ἐμοὶ δὲ τέτταρας ἡμέρας ἐκεῖ περιμείναντι θεάσασθαι προσεγίνετο Τροίας ἐκείνης σκιώδη μνήματα, ἧς πολὺς Ὁμήρῳ τῷ πάνυ λόγος, ὅτι μυρίανδροι στόλοι δι' Ἑλένην ἐκείνην ἐπ' αὐτὴν καταπλεύσαντες πολλούς τε ἀπώλεσαν τῶν οἰκείων ἥρωας καὶ αὐτὴν μετὰ δέκα ἔτη τελέως ἐξηνδραποδίσαντο. ἐθεασάμην δ' ὁμοῦ καὶ Σκαμάνδρου ποταμοῦ τὰς ἐκβολάς, ὃς Ἴδης ἀποβλύζει τοῦ ὄρους, οὐχ ὡς Ὅμηρος ἐν Ἰλιάδι καόμενον γράφει τὰς ὄχθας ὑπὸ Ἡφαίστου δι' Ἀχιλλέα τὸν Θέτιδος, καθ' ὅσον ἐκεῖνο αὐτονομουμένῃ μυθεύεται γλώττῃ, ἀλλὰ κρίνα καὶ λόχμας καὶ χλόας περὶ αὐτὸν ὡραῖα πάντα καὶ τὴν Ὁμήρου γλῶτταν ἐλέγχειν ἱκανά. 3.52 Εἶεν. ἐγὼ δ' ἐς τὴν ὑστεραίαν ὁλκάδος ἀναγομένης τυχὼν ἐς Βυζάντιον οἴκαδε ἀφικομένην, οὐδὲν νομισμάτων ἐπιφερόμενος δέκα χρυσῶν ἐπέκεινα (πάντα γάρ μοι κατὰ τὰς περιόδους ἐκείνας ἀνάλωται)δόξαν οὖν ἐμοὶ ταῖς καθ' ἕκαστα χρείαις ἀναγκαιότερα τὰ καθ' ἕκαστα καὶ λεπτότερα μέρη τῶν νομισμάτων ὑπάρχειν, τῶν τοιούτων εὐθὺς ἠλλαξάμην ἐκεῖνα. καὶ προσεληλυθὼς ἐς τὴν ὑστεραίαν τοῖς τὰ ὤνια πιπράσκουσιν, εὗρον ἐκπεπτωκὸς τὸ ἐν χερσὶν ἐκεῖνό μοι χάραγμα, καὶ ἐς τοσαύτην κατενεχθὲν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἡμέρᾳ μιᾷ τὴν ὕφεσιν ὡς τὴν τῶν δέκα μοι νομισμάτων ἐκείνων ποσότητα καταβῆναι μέχρις ὀκτώ. καί μοι πρὸς οὓς παρεληλυθώς τις τῶν πάλαι συνήθων, αὐθημερὸν ἐκέλευεν ἐξαντλεῖν ἅπαν τὸ κέρμα ἐς τὰ τῆς χρείας ἀναγκαιότερα, μὴ καθ' ἡμέρας ἀεὶ τῶν τοιούτων, ὡς ὁρᾷς, ἀστατούντων εὐρίπου δίκην, καταστῇ σοι ταυτὶ κεκτημένῳ κεκτῆσθαι μηδὲν ἐν βραχεῖ. καὶ μέντοι καὶ ἐθαύμασα, νὴ τὸν φίλιον, ὅπως ἀνέχεται τὰς οἰκείας ἀκτῖνας ὁ ἥλιος ἐπιλάμπων τῇδε τῇ γῇ. ποιεῖ δ', ὡς ἔοικε, μακροθυμίας τρόπους φωναῖς ἀφθόγγοις διδάσκων ἡμᾶς ὁ λόγου μηδαμῇ μετασχών, τοὺς λόγῳ μὲν τιμηθέντας πρὸς τοῦ κοινοῦ δημιουργοῦ, νομίμοις δ' ἀεὶ ῥυθμιζομένους ἐκεῖθεν παραγγελίαις, ἐπαΐοντάς γε μὴν οὐδενὸς οὐδαμῇ ποθ' ὧν ἁπάντων ἐχρῆν. Ἀλλὰ πρῶτον ἔμοιγε τοῦτο λογισμῶν ἁλμυρῶν ἐγεγό 3.53 νει ναυάγιον μετὰ τὴν μακρὰν ἐκείνην ἐληλυθότι θάλασσαν, δεύτερον δ' ἡ τῶν πατρίων τῆς τοῦ θεοῦ ἐκκλησίας δογμάτων κατάλυσις, δι' ἣν ἀρχομένην ἔτι καθάπερ ὀψιγενὲς ἐν ληΐῳ ζιζάνιον φύεσθαι, καὶ ἅμα σοῦ προαγορεύοντος ἀκούων μέλλειν δι' ἔκτισιν ἁμαρτιῶν συγχωρεῖν τὸν θεὸν κατὰ τῆς ἡμῶν εὐσεβείας διωγμόν, καὶ ξυννενοηκὼς αὐτὸς ἐμαυτὸν οὐ δυνησόμενος οἴσειν, φυγὰς ἐθελοντὴς γεγένημαι τῆς ἐμῆς ταυτησὶ πατρίδος ἐφ' ὅλην ἤδη εἰκοσαετίαν. εἴθε δ' ἔτι προσετίθετο καὶ πλείων χρόνος τῇ φυγῇ. ἀλλ' ἐχρῆν, ὡς ἔοικε, θαλάσσας θαλασσῶν ἀλλάξασθαι βιαιοτέρας πολλῷ τῶν ὑπερορίων. πλείστους γὰρ ἐν ἀλλοτρίᾳ τόπους διελθόντι καὶ πλείστην περαιωσαμένῳ θάλασσαν, τοιαύταις οὔπω καὶ νῦν ἐντετυχηκέναι θαλάσσαις ξυνεπεπτώκει μοι, ὅτε μᾶλλον καὶ ὅπῃ μᾶλλον ἀναπνεύσειν ᾠήθην ἐπανιών. πᾶσα μὲν γὰρ ἐκείνη θάλαττα καὶ κλύδων ἅπας ἐκεῖ σώματος ἠπείλει θάνατον, οὗ τὴν ἔφοδον καὶ φύσεως ἀθάνατος ψῆφος ἐνομοθέτησε πρότερον· οἱ δὲ τῶν θείων δογμάτων χειμῶνες καὶ κλύδωνες ἀθανάτου ψυχῆς ἐπαγγέλλονται θάνατον, ἥκιστα πέρας οὐδὲν οὐδαμῇ ποτ' ἐνεγκεῖν δυνάμενον. καίτοι οὐδὲ πόρρωθεν οὐδ' αὐτὸς τῶν τοιούτων κυμάτων τελέως ἀνήκοος ἦν. ἀλλά μέ τις ὑπέσαινεν ὅμως ἐλπίς, μεμνημένον τῆς πρὸς σὲ τοῦ βασιλέως φιλίας καὶ τῶν νύκτωρ καὶ μεθ' ἡμέραν ὁμι 3.54 λιῶν ἐκείνων, ὁποίας ἐκ πόθου καὶ φλεγομένης ψυχῆς ἐποιεῖτο πρὸς σέ, καὶ πρὶν ἐς τὸν βασίλειον αὐτὸν ἀναχθῆναι θρόνον, καὶ ὅπως τῆς σῆς ἐξήρτητο μὲν καὶ γλώττης καὶ γραφῆς, ἀφθονωτέρους δ' αὐτὸς τοὺς ἐντεῦθεν ἐτρύγα καρπούς, ὡς εἶναι μηδένα τῶν πάντων ὅτῳ ποτ' ἂν οἰηθῆναι ἐνῆν ἐγγενέσθαι τῷ ἤθει τροπὴν ἐκείνου τινά, μᾶλλον μὲν οὖν καὶ συνεπιδιδόναι ταῖς τοῦ χρόνου τύχαις. νῦν δ' ἐληλυθὼς καὶ μαθὼν ὡς ἐκ διαμέτρου τὰ πράγματα σταίη, καὶ ἀμοιβάς σοι διδοίη τῶν πόνων καὶ φίλτρων οἵας σοὶ μὲν ὑπὲρ εὐσεβείας ἀθλοῦντι φέρειν ἐχρῆν, ἐκείνῳ δ' ἐπιφέρειν οὐ μάλα ἐχρῆν (οὔτε γάρ οἱ διώκτῃ γενέσθαι τῆς εὐσεβείας ἐχρῆν, οὔθ' ὅπως ποτὲ γενομένῳ κατὰ σοῦ κινῆσαι τὴν γνώμην ὅλως ἐχρῆν), σὲ μὲν ἐμακάρισα τῆς καρτερίας, αὐτῷ δ' ἠχθέσθην σφόδρα γε τῆς ἀπονοίας. μᾶλλον δ' ἐδάκρυσα τῆς ἀπωλείας τὸν ἄνθρωπον. καὶ μέντοι καὶ ἐθαύμασα, καὶ θαυμάζων οὐ παύσομαι, πῶς τοσοῦτον ὁ ταλαίπωρος ἐλάνθανε χρόνον ἀγρίους οὕτω θῆρας κακίας ἐν τῇ λόχμῃ βόσκων τῆς ψυχῆς. εἰ μὲν οὖν ἱεροῖς τισὶ καὶ ἀπορρήτοις εἴη λόγοις ἐνδιαιτώμενον τὸ πρᾶγμα, θαυμάζοιμι μέντ' ἂν ἀεὶ σιωπῶν, ζήτησιν δ' οὐδεμίαν οὐδαμῇ ποτὲ λύσεως προενέγκοιμ' ἂν οὐδενί. ἀλλ' ἀντὶ πάντων τὰ τῆς σῆς ἀρκέσει μοι θεωρίας πρὸς θεραπείαν φάρμακα, καὶ εἴ τιν' ἄλλοσε φέρουσαν βούλοιο κοινὴν ὁμι 3.55 λίαν. εἰ δ' εἴη τις παρὰ σοὶ ταμιευομένη σχολαστική τις ἐπίνοια, μὴ κατόκνει κἀμοὶ κοινοῦσθαι, φιλότης, καὶ φάρμακον ἐμοὶ μὲν ἀπορίας μακρᾶς ἐπάγειν τῇ διανοίᾳ νοσούσῃ τὸ μέρος τουτί, σοὶ δ' ἀναπνοήν τινα τῶν τῆς λύπης Ὀλύμπων, ἥν σου τῇ ψυχῇ προσήνεγκαν οἱ τῶν πατρίων δογμάτων χειμῶνες καὶ οἱ τῶν πονηρῶν ἀρχόντων ἀντίπρῳροι κλύδωνες. φέρειν γάρ τι παραμύθιον οἶδεν ἐξαγγέλλειν τὰς ὅπως ποτ' ἐπιούσας ἐξ ἀφανοῦς τραγῳδίας, καθάπερ καπνοῦ τῆς ὀδύνης ἀφιπταμένης διὰ τῆς γλώττης. Ἐγὼ δ'


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ὑπολαβών, περὶ μὲν λύπης, ἔφην ἐνταῦθα, φίλων ἄριστε Ἀγαθάγγελε, οὐδὲ πολλοῦ μοι πρὸς σὲ δεήσειν οἶμαι λόγου. τοσοῦτο γάρ μοι περίεστι λύπης ὅσον δήπου χαρᾶς. χαίρειν μὲν γάρ μοι περίεστιν ἤδη πρὸς τὰς αἰωνίους ἀμοιβὰς ἀφορῶντι, αἳ τοῖς ὑπὲρ εὐσεβείας ἠγωνισμένοις ἀπόκεινται, ὃ μέγιστον εἰς παραμυθίαν τοῖς λυπουμένοις ἐφόδιον. λυποῦμαι δ' οὖν μᾶλλον ὁρῶν τὸν σάλον τῆς ἐκκλησίας καὶ τὸ τῶν διωκόντων ἀρχόντων ἀνάλγητον, μηδεμίαν ἐχόντων φροντίδα ψυχῆς, μηδ' ὀψὲ γοῦν ἐν νῷ λαβεῖν ἐθελόντων ὡς ἔστι τις θεόθεν τῶν βεβιωμένων τίσις. μάλιστα δ' ἁπάντων τὸ τοῦ φίλου Καντακουζηνοῦ με δάκνον ἕστηκεν ἐγγύθεν πρᾶγμα περιφανῶς, ὅτι μοι τὴν φιλίαν ἀκήρατον διασώζοντι πρὸς αὐτόν, καὶ τὰ βέλτιστα συμβουλεύοντι, φείδεσθαι μὲν ψυχῆς τῆς αὑτοῦ φείδεσθαι δὲ παί 3.56 δων ἀξιοῦντι, καὶ εἴ τις εἴη τῶν καθ' αἷμα προσηκόντων αὐτῷ, ὀργῆς θείας διαδοχὴν ἀφιέντα πᾶσιν αὐτοῖς προφανῶς, ὃ δέ με τῶν ἐχθίστων ἐνόμισεν ἕνα δι' ἅ με μᾶλλον ὡς εὐεργέτην φιλεῖν ἐχρῆν. καὶ ὅτε μᾶλλον εἶχε, τῶν σκήπτρων ἐπειλημμένος καὶ δυνάμενος, εἴπερ ἐβούλετο, τὴν φύσιν δεικνύναι ἐν τῷ καλλίστῳ τῆς γνώμης κειμένην, ὃ δ' ἀνεκάλυψε δέσμιον ὄνθ' ἑαυτὸν τοῖς ἐκ διαμέτρου κακοῖς, σκηνὴν τὰ πρὶν καὶ δρᾶμα ἐφήμερον ὄντα δείξας ἅπαντ' ἐκεῖν' ἐν βραχεῖ. διό μοι θαυμάζειν περίεστι τοὺς σοφοὺς οἵ φασιν ἐκεῖνον περὶ φίλους ἑδραῖον καὶ μόνιμον εἶναι δύνασθαι, ᾧ μὴ φιλοδοξίᾳ λατρεύειν ἔνεστι· τῷ γάρ τοι φιλοδοξοῦντι φίλῳ εἶναι πάντως ἕποιτ' ἂν αὐτοῦ γε ἀνθρώπου, ὅτι μὴ τῆς ἀνθρωπίνης δόξης, ἧς ἕνεκα πάντα δρᾷ καὶ πᾶσιν ἐγχειρεῖ, καὶ χρόνου στοχάζεται καὶ τύχαις ὁμιλεῖ παντοδαπαῖς καὶ ῥᾷστα τοῖς τῶν ὡρῶν συμμεθίσταται κύβοις χαμαιλέοντος τρόπον, πανταχόθεν τῆς γνώμης αὐτῷ πραγματευομένης εὐκαιρίαν εἰπεῖν κακοδαιμονίας καὶ τοῦ τὰ ἑαυτοῦ πιστὰ τοῖς πᾶσιν ἄπιστα δεικνύναι. γίνεται γὰρ ῥᾷστα μὲν ἐχθρὸς οἷς ἐδόκει φίλος, ῥᾷστα δ' ἐπίβουλος οἷς ἔναγχος ἐδόκει σύμβουλος. οὗ χεῖρον μὲν οὐδὲν ἐν βίῳ ῥᾴδιον οἶμαι εὑρεῖν, καθάπερ αὖ ἐκ διαμέτρου τοῦ καλοῦ τε καὶ μονίμου βέλτιον οὐδέν. τούτοις δ' ἅπασιν ἐπιστατοῦσι μὲν μυστικοί τινες λόγοι προνοίας, 3.57 τεκμαίρεσθαι δ' οὖν καὶ ἡμῖν ὅπως ποτὲ τὰ γινόμενα δίδωσιν ὡς πλοῦτος καὶ δόξα καὶ αὐτόνομος ἐξουσία σαφέστερον ἀνθρώπου δηλοῦσι γνώμην καὶ φύσιν ἢ πενία καὶ ὑπεξούσιος δίαιτα. δεσμῷ γὰρ ἀδοξίαν ἀκούσιον ἐοικέναι, μὴ κατὰ γνώμην ἐῶντι κινεῖσθαι. διὸ καὶ λανθάνειν ὡς τὰ πολλὰ μὴ τοὺς πόρρω πέφυκε μόνον, ὅτι μὴ καὶ οἷς πολύν τινα συνεῖναι γέγονε χρόνον, τὰ ἤθη τῶν πλείστων ὥσπερ χρώμασι τοῖς ἔξωθεν ἐπιτηδεύμασι τὸ τῆς γνώμης βάπτοντα πρόσωπον. ὡς ἐντεῦθεν ἐξεῖναι διδάσκεσθαι, οἷς συνῴκισεν ἡ φύσις σύνεσιν, μηδένα μακαρίζειν πρὶν ἂν εἰς τέλος ἀφίκηται καὶ τέλος κάμψῃ βίου, μηδ' αὖ διὰ τοὺς πρὶν ἁμαρτάνειν ἐν βίῳ νοσήμασι καὶ διαφόροις πάθεσι κολαζομένους μέμφεσθαι τῇ προνοίᾳ. οἶδε γὰρ ὁ πάντα πρὸς τὸ βέλτιον μετασκευάζων θεὸς τὸ καθάπερ ἐν σποδιᾷ τῇ γνώμῃ κείμενον πῦρ τῆς φιλοδοξίας, ὡς ἐὰν δράξηταί τινος ῥώμης κινούσης οἷα πνοῆς, πολλὴν ἀνεγείρει φλόγα κακίας. οὐ μέντ' ἂν οὖν εἴη τῶν ἀπεικότων, εἰ ἁπάντων καθάπαξ εἰπεῖν κἀπὶ τῷδε τἀνδρὶ πλανηθέντων πεπλανήμεθα καὶ ἡμεῖς, τοῦ πρὸς κακίαν οὐ μάλα ἑτοίμου μηδαμῇ πρὸς ὑπόνοιαν εὐχερῶς κινουμένου. θαυμαστὸν δ' ἂν δήπου μᾶλλον εἴη πῶς τοσοῦτον χρόνον ἀντέσχε νόθοις μὲν δουλεύων ἤθεσι, τὰ δ' οἰκεῖα συγκρύπτων, πρᾶγμα δυσμαχώτατον καὶ σφόδρα γέ τι δυσκαρτέρητον. εἰ 3.58 μὲν γὰρ μὴ καλὸς τὴν φύσιν ἦν, τὰ δ' οὖν πλείω τῶν καλῶν ἐς τοὐμφανὲς ἐπιτηδεύων ἐλάνθανε, θαυμάζω τῆς καρτερίας τὸν ἄνθρωπον. εἰ δὲ τότε μὲν τοιοῦτος οἷος ἐφαίνετο τὴν ἕξιν τῆς φύσεως ἦν αὐτός, ἡ δὲ τῆς τύχης μεταβολὴ ῥᾷσθ' οὕτω καὶ ταύτην μεταβεβλήκει, παρὰ τοσοῦτον ἐπαινεῖν οὐκ ἔχω τὸ σαθρὸν τῆς τοιαύτης ἕξεως, παρ' ὅσον ψέγειν οὐκ ἔχω τὰ πρίν. τοιαῦτα γὰρ ἐκεῖνα οἷα πᾶς τις ἂν ἠγάπησε καὶ τεθαύμακεν, ὃ δὴ καὶ ἡμεῖς πεποιήκαμέν τε καὶ τῇ παρούσῃ φιλοτίμως δεδώκαμεν ἱστορίᾳ· τοιαῦτα δὲ τὰ μετὰ τὴν τῆς βασιλείας ἀντίληψιν οἷα πᾶς τις


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

εὐσεβῶς ζῆν ᾑρημένος μισήσει ἄν. θεῷ δὲ πάντως μελήσει περὶ τῆς αὑτοῦ ἐκκλησίας, ᾧ τά τε τῆς εὐσεβείας ἀνεῖται σκῆπτρα καὶ τὰ τῆς ἐκδικήσεως μάλα τι ῥᾴδια ἐπεφύκει. ἐμοὶ γὰρ περιττὸν εἶναι δοκεῖ τὰ πᾶσι δῆλα διεξιέναι. εἴρηται δ' ὅμως καὶ ἡμῖν ἐν τοῖς ἀντιρρητικοῖς ὅσα πρὶν ἐπειλῆφθαι γέγονε τῆς βασιλείας Καντακουζηνόν. ἐν δέ γε τοῖς ἑξῆς αὖθις ἔνια τῶν ἐφεξῆς τῇ ἱστορίᾳ ταύτῃ παρέσχομεν ὡς ἐν διηγήσεως τρόπῳ, καὶ οὐ σφόδρα γέ τι ἀγωνιστικῶς· οὐ γὰρ ἄδειαν παρεῖχέ μοι τὰ καθ' ἡμᾶς ναυάγια. ἢν δὲ θεὸς ἐθέλῃ ζῶσιν ἡμῖν τὸν τῆς αἰθρίας ἀναλάμψαι καιρὸν καὶ δοῦναι παρρησίαν πλατεῖαν τῇ γλώττῃ, λελείψεταί μοι λιπεῖν τῶν πάντων οἶμαι ἄρρητον οὐδέν. νῦν δ' εἴγε βούλοιο σὺ παρέχειν ἡμῖν 3.59 ἀφορμὰς ὁμιλίας ὥσπερ ὅσα τῆς ἐκδημίας τῆς σῆς ἀναγκαῖα τῇ φύσει τῆς ἱστορίας ποθοῦσι παρέσχες πατριαρχῶν τε πέρι καὶ ἐπισκόπων τῶν πανταχῇ τὴν ὀρθόδοξον τηρούντων πίστιν καὶ ἅμα γυμνῇ διδασκόντων τῇ κεφαλῇ τὰ τῆς εὐσεβείας ἐν μέσοις ἔθνεσι δόγματα, οὕτω καὶ νῦν μετὰ τὴν ἐς τὰ οἴκοι ἐπάνοδον, ὅσα δήπουθεν ἠκηκόεις ἐνταῦθα πρὸς τῶν πολλῶν ἀναμὶξ καὶ ἰδίᾳ περί τε τῆς γενομένης παρὰ τῶν τῆς εὐσεβείας διωκτῶν ληστρικῆς καθ' ἡμῶν συνόδου, καὶ ὅσα περὶ τῶν θείων δογμάτων τῆς ἐκκλησίας ἐνστάντες ἡμεῖς ἐπεπόνθειμεν, καὶ ὅπως διαθέσεως ἔχουσιν ἡμῶν γε εἵνεκα τὰ διάφορα τῶν πλείστων ἤθη, ὅσοι τε τῶν εὐπατριδῶν καὶ ὅσοι τῶν ἄλλως τύχης τε καὶ γένους καὶ συνέσεως ἐχόντων, οὐδ' ἂν οὐδ' αὐτός γε ὀκνήσαιμι τὰ εἰκότα σοι ἀποκρίνεσθαι, ἀλλὰ μὴν ἀρρωστίας καὶ ἀθυμίας ἁπάσης ὑπέρτερον πρᾶγμα θείην ἂν ἔγωγε τὴν σὴν ἀκοήν. ἀφ' οὗ γὰρ τὰς ἡμετέρας πᾶσιν ἀπέκλεισαν θύρας οἱ τῆς εὐσεβείας καὶ ἡμῶν δήμιοι, οὐ δεδύνημαί τι σαφὲς περὶ τῶν τοιούτων μαθεῖν οὐδὲν οὐδαμῇ πω μέχρι καὶ τήμερον, καὶ γίνεταί μοι διὰ πλείστης ἐφέσεως ἡ τούτων μάλα γέ τι γνῶσις. ἀναλαβὼν οὖν μοι λέγε ταῦτα πάντα καθ' ἕκαστον, προστιθεὶς καὶ τὸν καιρὸν ὁμοῦ καθ' ὅν τε αὐτὸς ἐς Βυζάντιον ἧκες, καὶ πρός γε ἔτι καθ' ὃν ἕκαστα τούτων ἀκήκοας, ὡς ἂν καθ' εἱρμὸν ἐκεῖθεν κατιού 3.60 σης τῆς διηγήσεως εὐπαρακολούθητος καὶ ἡμῖν ἡ τῶν τοιούτων ἐγγίγνοιτο μάθησις ἑκατέρωθεν ἑκατέροις. Ὁ μὲν δὴ χρόνος καθ' ὃν ἐπανιὼν κατέπλευσα, φησίν, ἐς Βυζάντιον, μετὰ κυνὸς ὑπῆρχεν ἐπιτολάς, λήγοντος ἤδη τοῦ θέρους. εὐθὺς οὖν ἀποβὰς τῆς νεὼς οἴκαδε ἀφικόμην, καὶ οἰκουρῶν διετετελέκειν ἡλίους ἑξῆς πεντεκαίδεκα, ἀναλαμβάνων τε ἐμαυτόν, καὶ τὴν ἐκ θαλάττης ἠρέμα καὶ κατὰ μικρὸν ἀποτριβόμενος ἀηδίαν. καὶ μὲν δὴ τῶν ἡμερῶν μεταξὺ τουτωνὶ προσιόντων ἄλλοτ' ἄλλων φίλων καὶ ὁμιλούντων ἡμῖν ἀκριβῶς ἀκηκοέναι μοι γέγονεν ἅπαντα, τήν τ' ὀνομαζομένην οὑτωσί πως σύνοδον, ὅπως τε ἐσχεδίασται, καὶ ὅσα πέπρακται παρανόμως ἐκεῖ πρὸς τῶν προέδρων τῶν Παλαμᾷ συμμαχούντων καὶ ἀνακεκαλυμμένως ἐπιορκούντων, ἔτι τε ὅπως τὸ μὲν τῆς πολυθεΐας ἠκύρωται δόγμα, τὸ δὲ τῆς ἐνσάρκου μυστήριον οἰκονομίας ἀνῄρηται. καὶ πρός γε τοῖς ἄλλοις, ἃ μηδ' ἀκοῇ σωφρονεῖν δι' εὐσέβειαν προαιρουμένῃ διδόναι χρεών, κἀκεῖνα δηλαδὴ ὅσα βαρβαρικῶς τε καὶ θηριωδῶς εἴργασται πρὸς τῶν ποιμαίνειν λαχόντων τὴν ἐκκλησίαν, περὶ ὧν ὁ κύριος ἔφη "ποιμένες ἠφρονεύσαντο, ποιμένες διέφθειραν τὸν ἀμπελῶνά μου." καὶ ἅμα τὸν ἐπὶ τούτοις φρικωδέστατον καὶ παντοδαπὸν διωγμόν, κἄπειτα ὅπως τε διηνέχθησαν ἔνιοι κατ' ἐνίων ἐπίσκοποι, καὶ σχεδὸν ἅπαντες καθ' ἁπάντων, ὥσπερ ἐκ μεταμέλου τὸ μέγεθος τῶν σφετέρων ἀτο 3.61 πημάτων ἐκπεπληγμένοι τε, καὶ οὐδὲ φέρειν καθάπαξ ἀνεχόμενοι τὰς πάντων διὰ ταῦτα πανταχόθεν ὕβρεις καὶ ἀπεχθείας· καὶ ὅπως ὁ βασιλεὺς μεταξὺ παρεμπεσὼν τοὺς μὲν θωπείαις καὶ χρημάτων διανομαῖς τοὺς δ' ἀπειλαῖς ὑπηγάγετό τε καὶ τῷ Παλαμᾷ συμμάχους εἶναι πέπεικεν ἀεί, καὶ τόμους τίθεσθαι καινούς, τῆς αὐτοῦ βεβαιωτὰς δυσσεβείας. τῶν μὲν οὖν ἄλλων ἁπάντων πέρι ζητεῖν καὶ διερευνᾶσθαι βούλεσθαι, ἅτε σχολῆς δεόμενα πλείονος, ἑτέροις ἔγνωκα δεῖν ταμιεύεσθαι χρόνοις· αὐτὸς δὲ μόνοις δυσὶ τουτοισὶ τὴν πᾶσαν τοῦ πόθου σπουδὴν περιέκλεισα, τήν τε κάθειρξιν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τὴν σὴν μαθεῖν, δηλαδὴ πῶς ἐς τὸ βιαιότερον ἢ κατὰ τοὺς ἄλλους ἐξενηνέχθαι τοῖς ἄρχουσιν εἴη ἐψηφισμένον, καὶ ἅμα τί ἂν εἴη τὰ τοῖς καινοῖς πρὸς τῶν ἐπισκόπων καὶ βασιλέων ἐγγεγραμμένα τόμοις, καὶ ὅτου χάριν αὐτοὶ καθ' αὑτοὺς συντεθεικότες αὐτοὺς αὐτοὶ καὶ κατέχουσι παρ' ἑαυτοῖς, ἀνέκπυστα τἄνδον σιωπῆς μυχοῖς καλύπτοντες καὶ ὑμῖν ἐμφανίζειν οὐ μάλα τολμῶντες. Περὶ μὲν σοῦ πολλοὶ πολλάκις ἐκ πολλῶν ἐλέχθησαν λόγοι, διάφοροι μὲν εἶναι δοκοῦντες, πρὸς δ' ἕνα πάντες βλέποντες σκοπόν, τἀγκώμια τὰ σὰ δηλαδή, ὡς ἐκείνων ἑκάστῳ διαθέσεως ἔχειν πρὸς σὲ συνέβαινε, καὶ ἅμα σχολαστικῆς πρός γε τὰ δρώμενα διανοίας. οἷς γε μὴν ἐς τὰ μάλιστα 3.62 φοιτῶσι Παλαμᾷ τε καὶ Κοκκίνῳ τῷ Ἡρακλείας ἐπισκόπῳ παρὰ τούτων μαθεῖν ἐναργέστερον ἐξεγένετο, εἴη ἂν ταδί, ἓν μὲν ὅτι Ῥωμαϊκὴν ἱστορίαν τῶν γινομένων ἁπάντων συγγράφοντί σοι σφόδρα φιλότιμον τόγε εἰς σὲ ἧκον, εἰκός, μᾶλλον δ' οὐκ εἰκὸς ἀλλ' ἀνάγκη, καὶ περὶ τῶν ἐκκλησιαστικῶν συγγράφειν πολέμων. τίς γὰρ τῶν μηδὲν μηδαμῇ προσηκόντων σοι δημοσίων πραγμάτων, φαίην δ' ἂν καὶ οἰκουμενικῶν, αὐθαιρέτους μόχθους ἀναδεχόμενον βλέπων σε δόξης ἕνεκα διὰ γῆς πλανωμένης καὶ τὸ ἴχνος ἐπὶ σαθροῦ τινὸς καὶ νόθου φάναι κλέους ἐρειδούσης, ἵνα δηλαδὴ μεστὸν σεαυτοῦ τὸν ἐφεξῆς καταλίπῃς αἰῶνα, ὑποψίας ἀθῷον ἀφεῖναι ἀνάσχοιτο, καὶ μηδὲ πᾶσαν ἐνταῦθα μᾶλλον ἰσχὺν καταθεῖναί σε σπουδάσαι λογίσαιτο λόγων τῶν σῶν, ἵνα καὶ τοὺς κλύδωνας τῶν πατρίων δογμάτων, ὅσον ἐφικτόν, διὰ πάσης δημοσιεύσῃ τῆς οἰκουμένης, καὶ ἅμα τοὺς σοὺς ὑπὲρ τούτων ἀγῶνας ἐνδείξῃ, καὶ οὓς ἀεὶ πρὸς τῶν κακοδόξων κινδύνους ἐφίστασαι, παντοδαπῶν ἀπόζοντας θανάτων. ἓν μὲν δὴ οὖν τοῦτο φασὶν αἴτιον τοῦ γε δὴ τῶν ἄλλων μᾶλλον κατὰ σοῦ κινεῖσθαι τοὺς ἀντιθέτους, καὶ τοιούτων σοι διηνεκῶς συσκευάζειν θανάτων κρατῆρας, δεύτερον δ' ὅτι τῶν ἄλλων ἀφρόντιδα βίον καὶ ἄμοχθον οἴκοι διατριβόντων, οὐκ ἠμέλεις ζήλου σὺ καὶ θορύβου παντὸς ἐμπιπλῶν τὰ βασίλεια, νῦν μέν, οὓς εὐγέ 3.63 νειαι καὶ χρόνου τύχαι περιοδικαὶ κοσμοῦσιν, ἔχεσθαι μὲν λαμπρῶς ἀεὶ τῶν πατρίων διδάσκων ἐθῶν καὶ νόμων, ἀπέχεσθαι δὲ τῶν ἀθέσμων τοῦ Παλαμᾶ καινοφωνιῶν, νῦν δ' αὐτὸν ἐλέγχων ἰδίᾳ τε καὶ δημοσίᾳ τὸν βασιλέα, καὶ νῦν μὲν ὁμοῦ τῷ πατριαρχεύσαντι πρὶν Ἰσιδώρῳ, νῦν δ' ὁμοῦ τῷ δυσσεβεῖ Παλαμᾷ, καὶ νῦν μὲν Ἰουλιανῷ παραβάλλων καὶ Μαξιμιανῷ, νῦν δ' εἰκονομάχοις καὶ τοῖς τοιούτοις διώκταις. κἄπειτ' οὐχ ὅπως οὐ τοῖς τοιούτοις ἠρκέσθης, ἀλλὰ καὐτῷ μακρῷ συνεδρίῳ τῆς ἀτόπου φάλαγγος τῶν ποιμένων ἐκείνων πεπαρρησιασμένῃ καὶ ἀπαρακαλύπτῳ τῇ γλώττῃ παρεισκυκλῶν οὐκ ἀνίεις καὶ ἐπαναλαμβάνων αὐτά τε ταῦτα, καὶ ὅσα τούτων παρενείρων μείζω, καὶ προσονειδίζων μάλα γε πικρῶς, καὶ κατὰ σαυτοῦ συχνὰ ποιῶν μανικώτερον, καὶ ταῦτ', εἴπερ τις ἕτερος, εἰδὼς αὐτόν, ὡς εἴπερ καὶ αὐτῆμαρ καταπέψει, ἀλλά γε καὶ μετόπισθεν ἔχει κότον, ὄφρα τελέσσῃ. Τρίτον ὅτι χλευάζων αὐτοὺς πρὸς ἀπειλῆς ἀνήνεγκας σχῆμα, λόγοις ἀντιρρητικοῖς καταλύειν τὸν τόμον, ὃν αὐτοὶ νεωστὶ καὶ λάθρᾳ συνθεῖναι τετολμήκεσαν κατὰ τῆς εὐσεβείας, ἐπαγγειλάμενος. καὶ τέταρτον ὅτι μακρὸν ἤδη χρόνον τὴν θύραθεν πᾶσαν σοφίαν διδάσκοντι πλείστους καὶ παντοδαποὺς πανταχόθεν συνέβη σοι κτήσασθαι φοιτητάς, μὴ μόνον ὅσοι τῶν ἐν δόξῃ γεγένηνται παῖδες, ἀλλὰ καὶ ὅσοι τῶν ἄλλως μὲν τύχης καὶ βίου καὶ σχήματος ἐχόντων εἰσί, φύ 3.64 σεως δ' εὖ καὶ συνέσεως ἐπεφύκεσαν ἔχοντες· δι' ὧν καὶ τοὺς σφῶν ἐφειλκύσω γονέας, καὶ ἅμα φάναι πάσας καὶ ὁλοκλήρους οἰκίας ὀφείλειν τέ σοι χάριτας, καὶ σοὶ προσέχειν ὅσα καὶ πατρὶ καὶ συγγενεῖ καὶ φίλῳ καὶ τῶν πρώτων καλῶν ὁδηγῷ, καὶ γίνεσθαι διὰ ταῦτα σοι τοὔνομα γνώριμόν τε καὶ θαυμαζόμενον σχεδὸν πανταχῇ, καὶ πείθειν ἱκανὸν ἀλαλήτοις φάναι φωναῖς, ὁμοδοξεῖν σοι πανταχόθεν ἐκείνους ἅπαντας αὐτόθεν ἀβασανίστῳ συγκαταθέσει τῆς γνώμης εὐθύς, καθάπερ τοὺς Πυθαγορείους πάλαι φασὶν ἐκείνους τοῖς τοῦ διδασκάλου ψηφίσμασί τε καὶ δόγμασιν. ἀλλὰ κἂν τῇ μεγίστῃ τῇδε τῶν πόλεων τούσδε μὲν τῶν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

σῶν φοιτητῶν τοὺς δικαστηρικοὺς κοσμεῖν καὶ διεξάγειν πίνακας, τούσδε δὲ τὰ βουλευτήρια τῆς συγκλητικῆς ἐργασίας, τοὺς δὲ τὰς ὑπερορίους πρεσβείας, καὶ τοὺς μὲν τήνδε τοὺς δὲ τήνδε τῶν εὖ κειμένων τάξεων ἔχειν, καὶ χρείαν πληροῦν τὴν βελτίστην ἑκάστους ἑκασταχοῦ, ὡς ἐντεῦθεν ῥᾷστα καὶ ξὺν οὐδενὶ πόνῳ δύνασθαι φέρειν ἅπαντας, ὥσπερ ἀπὸ τῶν ὤτων δεδεμένους, ἐς τὸ σοί γε βουλόμενον. καὶ εἶναι τοὺς μὲν πλείστους ἐς τὸ συμφανὲς Παλαμᾷ καὶ τοῖς ἀμφ' αὐτὸν χαλεπαίνοντας ὡς πορρωτάτω που τῆς ἀληθείας καὶ τῶν πατρίων ἐλαύνουσι δογμάτων καὶ νόμων, τοὺς δ' ὑπ' ὀδόντα κατὰ τὸ λεληθὸς διαλοιδορουμένους σφίσι. καὶ ἁπλῶς εἰπεῖν ἐλλελεῖφθαι μηδένα σχεδὸν ᾧ μὴ κεκινῆσθαι καὶ διασεσεῖσθαι τὴν γνώμην ξυνερρυήκει πρὸς τὴν 3.65 παροῦσαν ὑπόθεσιν διὰ σέ. καὶ φοβεῖσθαι μὲν διὰ ταῦτα καὶ στάσιν δημοτικήν, σοὶ μὲν οὐδαμῇ προσήκουσαν, οὐ μᾶλλόν γε ἢ τοὺς λιθίνους τε καὶ χαλκοῦς ἀνδριάντας οἴκοθεν κεκινῆσθαι πρὸς ὅπλα καὶ μάχας φαίη τις ἄν, σφίσι δὲ μάλα δήπουθεν προσήκουσαν φοβεῖσθαι. οἷς γὰρ ἔργα κακίας ἔπεισι δρᾶν, τούτοις δήμιος γίνεται καὶ ἀπαραίτητος κολαστὴς ὁ τοῦ συνειδότος πέλεκυς, ἐγγύθεν ἑστὼς καὶ μαστίζων συχνὰ τὴν ψυχὴν καὶ φόβους ἅπαντας τῷ φανταστικῷ προτιθείς, ὡς ὑποπτεύειν καὶ τὰ ἀνύποπτα καὶ οὗ οὐκ ἦν φόβος οὐδείς, καθὰ τοὺς ἐρημίαις τε καὶ φάραγξιν ἐν ἀφεγγεῖ τε καὶ βαθείᾳ νυκτὶ πλανωμένους πάσχειν συμβαίνει· βάτον γὰρ καὶ πέτραν καὶ φύλλον δρυὸς αὔρᾳ λεπτῇ κινούμενον ληστῶν καὶ θηρίων ἐφόδους ἡγοῦνται καὶ φρίττουσι, δειλίας ἁπάσης αὐτοῖς περικεχυμένης ἁπανταχόθεν ψευδοῦς. εἰσὶ δ' οἳ καὶ τοῦτ' εἶναι φάσκουσιν αἴτιον τοῦ γε μὴ πλείω τῶν τριῶν ἐκείνων θελῆσαι ποιῆσαι συνέδρια σφᾶς, μηδ' ἐξετάσει δοῦναι κανονικῇ τἀγκλήματα τούτου, ἵνα μὴ τοῖς ἅπασιν ἐμφανῆ καὶ σαφέστερα καταστήσαντες κατὰ σφῶν αὐτῶν ἀναστήσωσι, καὶ οὓς πεφόβηνται φόβους πρίν, πάντων φανῶσιν αὐτόχρημα νῦν αὐτουργοί, καθ' ἑαυτῶν αὐτοὶ καθιστάμενοι. ἔτι δὲ καὶ τοῦ μὴ πᾶσιν ἐπ' ἴσης δι' ὄχλου γενέσθαι τοῖς ἀντιθέτοις αὐτοὺς τοῦτ' εἶναι φάσκουσιν αἴτιον, ἵνα δὴ μὴ φωραθῶσιν ἅπαντας κεκτημένοι σχεδὸν πολεμίους 3.66 ταῖς ἀτόποις καινοφωνίαις αὐτῶν. τέταρτον μὲν οὖν αἴτιον τοῦ σὲ βαρύτερα πρὸς τῶν δυσσεβῶν ὑφίστασθαι τοῦτο φασίν· προστιθέασι δὲ καὶ πέμπτον ἐπὶ τούτοις, ὅτι προειρηκότων ἐκείνων ἐκ τῆς τῶν συνήθων ὀνείρων Πυθίας καὶ τοῦ σφῶν τοιούτου μαντικοῦ τρίποδος, ὡς εἰ τοῖς σφῶν βουλήμασι πειθόμενος ὁ βασιλεὺς θείη παρελθὼν ἐπὶ τῆς μυστικῆς τοῦ θυσιαστηρίου τραπέζης τὸν σφέτερον τόμον, λήψεται πάντ' ἐν βραχεῖ τά τε ἑῷα τῆς γῆς καὶ τὰ ἑσπέρια, καὶ πάσης ἄρξει σχεδὸν θαλάσσης ἅμα καὶ γῆς, ἐμφανῶς τἀναντιώτατα μάλιστ' εἰρήκεις αὐτός, κατὰ τὴν εὐαγγελικὴν φωνὴν τὸν λόγον προενεγκών, ὡς ὅταν ἴδητε τὸ βδέλυγμα τῆς ἐρημώσεως ἑστὼς ἐν τόπῳ ἁγίῳ, ἐρημώσεως βδέλυγμα φάσκων τὸν τόμον, γινώσκετε ὅτι ἤγγικεν ἡ ἐρήμωσις τῶν Ῥωμαϊκῶν πραγμάτων, καὶ εἴ τις εἴη περίχωρος. βλέποντας οὖν εὐθὺς κατὰ πόδας εἰπεῖν ἀπαντήσαντα τοῦ τε σφετέρου ψεύδους τὸν ἔλεγχον καὶ ἅμα τῆς σῆς ἀληθείας τὸ κράτος, ἕπεται καταδύεσθαι ὑπ' αἰσχύνης αὐτούς, οὐκ ἔχοντας ὅλως ἑστῶσιν ὁρᾶν ὀφθαλμοῖς οὐδένας ἀνθρώπων, οὔτε στόμα μετά γε τῆς πρὶν ἀναιδείας ἐκείνης φθεγγόμενον. διὸ καὶ "δεῦτε καὶ ἐξολοθρεύσωμεν αὐτόν" λέγοντες, σιγώσας ὁπλίζουσι δεξιὰς κατὰ σοῦ, δυοῖν θάτερον συσκευάζοντες, ἢ τῇ λύπῃ δαπανηθέντα σε, μετά γε τῶν συνήθων πόνων τῆς κεφαλῆς καὶ τῆς ἄλλως νῦν ἐπενεχθείσης σοι καχεξίας, βίᾳ τελευτῆσαι τὸν βίον, ἢ λάθρᾳ 3.67 σφῶν παρεισπεσόντες ἔνιοι, μακρᾶς ἐρημίας ἐπιχωριαζούσης κατὰ τὸν οἶκον τὸν σόν, διὰ βρόχου θάνατον ἐπενεγκεῖν σοι πρὶν τῶν ἁπάντων αἴσθεσθαί τινα. ὃ καὶ Παῦλον τὸν πατριάρχην πάλαι φασὶ πεπονθέναι πρὸς τῶν ὁμοίων αὐτοῖς κακοδόξων, καὶ πλείους ἄλλους πρό γε δήπουθεν αὐτοῦ καὶ μετ' αὐτόν. εἶναι γάρ φασι τουτὶ βιαιότερον καὶ σφόδρα τάχιον τῆς τοῦ κωνείου κύλικος, οὗ Σωκράτην πάλαι πιεῖν Ἀθηναίων καταψηφισάμενοι παῖδες, ὁρώντων τῶν φίλων, τῆς παρούσης ἀπήλλαξαν ζωῆς. καὶ τοῦτ' εἶναι



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

φάσκουσιν οἱ πλείους ὃ τὴν τοσαύτην ἐρημίαν ἐπάγειν σοι σφᾶς προσηνάγκασεν, ἵνα δρῶσιν ἀδεῶς ἃ δρᾶν τοιούτοις δεῖ φονευταῖς. φέρε τοίνυν, εἴ τί σοι πρὸς βουλήσεως εἴη τῶν φίλων ἐνίοις ἐνιαχοῦ μηνύειν ἀπόρρητον, ἐμοὶ προσανάθου πρὶν τοῖς τῶν τοιούτων θανάτων ἁλῶναι δικτύοις· ἐγὼ γάρ σοι καὶ Πυλάδης ἔσομαι πιστός, ἐγὼ καὶ φύλαξ ὧν ἀνέκπυστα φυλάττειν χρή. δυοῖν γὰρ ἔσται μοι θάτερον· ἢ γὰρ σοὶ κἀγὼ συντεθνήξομαι, καὶ τάφος ἔσεται κοινὸς ἀμφοῖν ὁ παρὼν οἶκος ἡμῖν, ἢ κατὰ τὸ λεληθὸς προαναστειλάντων με τῶν φονευτῶν καὶ φυγάδα ποιησαμένων με, πᾶσαν ἂν διέλθοιμι γῆν τε καὶ θάλασσαν, ἡλίῳ καὶ ἀστράσιν ἀπαγγέλλων τὴν ἀδικίαν ταυτηνί, καὶ τὴν ἀγνώμονα μαστίζων τῇ γλώττῃ τῶν σῶν φονευτῶν δεξιάν, καὶ τραγῳδίαν θεατρικὴν τά τε τῆς ἐκκλησίας καὶ τὰ σὰ πανταχῇ τιθέμενος διηγήματα. 3.68 ΤΟΥ ΑΥΤΟΥ ΝΙΚΗΦΟΡΟΥ ΤΟΥ ΓΡΗΓΟΡΑ ΡΩΜΑΙΚΗΣ ΙΣΤΟΡΙΑΣ ΛΟΓΟΣ Κ. Περὶ μὲν οὖν δὴ ὧν ἐξεγένετό μοι μαθεῖν τοῖς ἐχθροῖς τουτοισὶ μεμηχανημένων ἐπιβουλῶν κατὰ σοῦ, καὶ δι' ἃ μάλιστα πάντων ἐπὶ σὲ τὸ ἀντίπαλον ἅπαν ὁλοσχερέστερον ὥρμηται μέρος, φόνου πνέον καὶ ποικίλων θανάτων μελέτας ἔχον, ταῦτα ἐστί. περὶ δὲ τοῦ καλουμένου τοῖς Παλαμίταις τόμου, καὶ ὅσα τούτῳ καὶ οἷα ἐγγέγραπται δόγματα, εἰ πάντα μοι διεξιέναι βουλομένῳ γε εἴη, πολλοῦ μέντ' ἂν οἶμαι δεήσειν τοῦ χρόνου, πολλῆς δ' αὖ τῆς σχολῆς, ἣ ἂν ἀπηλλαγμένη παντάπασιν εἴη πραγμάτων καὶ ἀωρίας ἁπάσης. φασὶ γὰρ οἷς διεξιόντων ἐκείνων ἀκηκοέναι τετύχηκε, μηδὲν μηδαμῇ μήθ' ὑγιὲς μήτ' ἀληθείας ἐχόμενον εἶναι ἐκεῖ, μήτε μὴν οὐδέν, οὔθ' ἃ λελάληται μήθ' ἃ πέπρακται, μεμνῆσθαι μηδενὸς καθά τε λελάληται καὶ καθὰ πέπρακται, ἀλλ' ὥσπερ ἂν εἰ οἱ τὰς Ἀτλαντίδας οἰκοῦντες νήσους, αἵτινές ποτ' ἄρ' εἶεν ἐκεῖναι, πολλὴν παρεχόμεναι τὴν αὐτονομίαν τῇ 3.69 γλώττῃ τῶν ἀνέλεγκτα ψεύδεσθαι περὶ τῶν ἐκεῖ βουλομένων, οὔτ' ἰδόντες οὔτ' ἀκούσαντες τῶν ἐνταυθοῖ μηδέν, παρελθόντες οὖν εἰδέναι διετείνοντο βέλτιον ἡμῶν περὶ τῶν ἐνταῦθα καὶ διεμυθολόγουν τερατώδη τινὰ καὶ ἀλλόκοτα διηγήματα, οὕτω καὶ οἱ περὶ τὸν Παλαμᾶν ἐπεπράχεσαν καὶ τοιαῦτα τῷ οἰκείῳ ξυνέθεσαν τόμῳ. ἃ γὰρ ἐβούλοντο γενέσθαι μέν, οὐ γεγένηνται δέ, καὶ ἃ λέγειν ἐβούλοντο μέν, οὐ δεδύνηνται δέ, τῶν παραχρῆμα ἐλέγχων τοῖς μὲν ἐντυγχάνοντες ἤδη τοὺς δ' ὑποπτεύοντές γ' ἔτι, ταῦτα δὴ μετὰ πολλῆς ἐξέθεντο τῆς αὐθαδείας ἐκεῖ, τῇ τοῦ καιροῦ ῥοπῇ τὸ ἀνέλεγκτα ψεύδεσθαι μάλα τεθαρρηκότες, καὶ τό γε παρὰ σφίσιν αὐτοῖς ἀνέκφορα ἔχειν αὐτὰ καὶ ἡμῖν ἀθέατα. φασὶ δ' οὖν Παλαμᾶν τά τε ἄλλα πρὸς ἀπάτην δρᾶν τῶν ἁπλουστέρων, καὶ θεραπείας δῆθεν τῶν σκανδαλιζομένων κατ' αὐτοῦ ἐπισκόπων. καὶ μὲν δὴ καὶ τῶν αὐτῷ βλασφημηθέντων ἔνια κόπτοντά τε καὶ ξέοντα, ξυντιθέναι νῦν ἐν ἄλλαις λέξεσι τὸν βλασφημοῦντα νοῦν τοῖς νέοις τόμοις αὐτοῦ, ἅτ' οὐκ εἰδέναι τῶν ἐπισκόπων ἐχόντων πλέον οὐδὲν ἢ ὅτι ἔξεσται ἃ κακῶς τέθειται, οἷα δ' ἃ μὲν ἔξεσται οἷα δ' αὖ ἃ τέθειται τὴν δύναμίν ἐστι, τούτων δ' οὔτ' ἐπαΐειν ὅλως οὔτε φροντίζειν. προφέρειν γὰρ καὶ γραφικὰς λέγεται μαρτυρίας, οὐχ ὡς ἔχουσιν ὑγιείας, ἀλλὰ παραφθείροντα πῇ μὲν ταῖς ἐντομαῖς καὶ παραλλάξεσι, πῇ δὲ ταῖς παρεξαγωγαῖς ὁμοῦ τε καὶ παρεξηγήσεσιν. ὧν, εἰ βουληθείς, οὐκ ἂν 3.70 ἔγωγ' ὀκνήσαιμι σχολὴν ἄγοντι νῦν προφέρειν ἔνια καὶ προτιθέναι σοι βραχείας τινὸς ἀντιρρήσεως πρόφασιν. Τῷ μὲν δὴ τόμῳ ἐκείνῳ τῆς ἀντιθέτου δυνάμεως, Ἀγαθάγγελε, νῦν ἀωρίαν εἶναι μακρὰν ἀντιλέγειν, σκοπῶν ἀκριβῶς οὐδ' αὐτὸς ἀρνηθείης ἄν· πολλοὶ γὰρ ἡμᾶς ἐλλοχῶσι πολέμιοι, τὰς κύκλῳ παρόδους ἀκριβῶς κατέχοντες, καὶ πολλοὶ τῆς ἡμετέρας γλώττης ἐπίβουλοι κάθηνται, ἔφεδροί τινες εἰπεῖν φρουροὶ καὶ ἡμεροσκόποι, ἴνδαλμά τι ζητοῦντες προφάσεως οἱασοῦν εἰληφέναι, ἵν' ἡμᾶς ἀναιδέστερον ὑβρίσαντες ὁμοῦ καὶ τῆς παρούσης ζωῆς ἀπαλλάξωσι, καὶ δόξωσι λατρείαν προσάγειν τοῖς νῦν ἡγεμόσι. κἀμοὶ μὲν θανάτου μέλει οὐδ' ὁτιοῦν· συμφυὴς γάρ, καὶ εἰ μὴ τήμερον, ἀλλ' αὔριον ἴσως ἀδήλοις ποσὶν ἐπικείσεται. τῶν δ' οὖν διωκόντων φειδοῖ, μὴ πρόφασιν ἡμᾶς ποιούμενοι τὴν θείαν


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

αὐτοὶ καθ' αὑτῶν ὀργὴν ἐρεθίζωσι, τούτων δ' οὖν ἕνεκα σιγᾶν ἀνάγκη, καὶ μάλισθ' ὅτι μηδ' ἀνὰ χεῖρας ἔχειν ἡμᾶς ξυνεπεπτώκει τὸν τόμον ἐκεῖνον, ἵνα πάντως βέβαια καὶ μὴ κωφὰ τὰ προβαλλόμενα ᾖ. ἐπειδὰν δ' ὁ τῆς αἰθρίας ἀναλάμψῃ καιρὸς καὶ ἡ προσήκουσα τῇ γλώττῃ παρρησία προσγένηται ξύν γε θεῷ, τότε δὴ κἀγὼ μετὰ σχολῆς ἀναλαβὼν θρηνήσω τὸν νεκρόν μου, καὶ τότε κλαύσομαι πικρῶς ἐπὶ τὸ σύντριμμα τοῦ γένους μου, καταδέσμοις φάναι καὶ φαρμάκοις ἰατρικοῖς τισὶ τὴν τοῦ τοσούτου πάθους ὡς οἷόν τε πειρώμενος φλεγμονὴν 3.71 θεραπεύειν. περί γε μὴν τῶν νῦν ἐπισκόπων, οὐ χρή σε θαυμάζειν ὅτι μηδὲ τὰς πρώτας ἀρχὰς τῶν στοιχείων οἱ πλείους ἴσασιν ὑγιῶς συντιθέναι, τοῖς πολλοῖς γοῦν τῶν βρεφῶν καὶ νηπίων ἐπ' ἴσης, ἀλλ' ἀγροικότερον τρόπον τὰ τῶν θείων δογμάτων ... τὴν πᾶσαν κενοῦσι σπουδήν. οὐδὲ μεταπείθειν πειρᾶσθαι μηδένα, μηδὲ συναναμίγνυσθαι τούτων οὐδέσι μηδ' ὁτιοῦν· μεστοὶ γὰρ ἅπαντες ὑποψίας. καὶ ὅσον ἐς τὸ καλὸν κἀγαθὸν τυφλῶς τε ἔχουσι καὶ ἀμαθῶς, τοσοῦτο δολιότητός τε καὶ φθόνου μεστοί. καὶ ῥᾷστα παριόντες διαβαλοῦσί σε πρὸς τοὺς ἡγεμόνας. πολλοῦ γὰρ εἶναι δεῖν τῇ τούτων παραβαλεῖν κακίᾳ πᾶσαν παλαιῶν τε καὶ νέων ἀνδρῶν κακοτρόπων κακίαν. εἰ δὲ μὴ ῥάδιον ἐκ πρώτης συνορᾶν ὁμιλίας μηδὲ τοῦ τῷ κριτικῷ τῆς ψυχῆς ταμιευομένου δικαστηρίου τὰς ψήφους ἀνακύπτειν εὐθὺς ἐλευθερίας καὶ ἀδεκάστους, ἀλλ' οὖν διὰ τῆς τοῦ χρόνου πείρας ἔξεστιν ἴχνη λαμβάνειν τινά, τῆς φύσεως οἷον ἀναδιδούσης ἀμυδρὰς εἰκασίας, οὐκ ἐκ προνοίας μέν, ἐκ τοῦ παρήκοντος δ' οὖν, ἐν οἷς ἐνίοτε καὶ ἡ γλῶττα λανθάνουσα προδότις ἀκούσιος γίνεται τῶν τῆς ψυχῆς ἀπορρήτων ἀρρωστημάτων, θυμοῦ τινὸς ἐρεθίζοντος ἴσως καθάπερ πνεύματος τὴν ψυχήν, ἢ πραγματικῆς οἵας δή τινος ἔξωθεν ἐπιρροῆς καὶ ἀδοκήτου φορᾶς. ὁπόσαι γὰρ τῶν σωματικῶν χρωμάτων τε καὶ σχημάτων αἱ παραλλάξεις εἰσὶ τοῖς ἀνθρώποις, τοσαῦται καὶ τῶν ψυχικῶν ἕξεων αἱ δια 3.72 φοραί. καὶ τοῦτ' εἰς ἀπειρίας ἴδοις ἂν ἐκτεῖνον τοὺς δρόμους πελάγη, στάσιν ἀληθῶς οὐ δυνάμενον οὐδαμῇ ποτὲ γνώσεως ἔχειν. πᾶσάν τε γὰρ ὑπερβαίνει σχολαστικὴν ἀνθρώπων σοφῶν ἐπίνοιαν, καὶ πάσας ἄρδην ἐπιστημονικὰς καὶ τεχνικὰς μεθόδους μακρὸν καὶ ἡδύ τι γελώσῃ περιφανῶς ὑποτίθησι χλεύῃ. ἦ γὰρ ἂν οὐδ' ἐλαχίστου σφίσιν ἔδει διερευνᾶν ὅστις ἂν εἴη λόγος τῶν τῆς ψυχῆς βραβευτὴς ἀσφαλὴς ἀπορρήτων. οὐδ' ἂν οὐδέσιν ἔδει τοῦ λοιποῦ τῶν ἔξωθεν ἠθῶν καὶ χρωμάτων, ἀφθόγγοις ταυτὶ φωναῖς ἀναδιδασκόντων, ἀμυδρῶς μὲν πρότερον τελεωτικῶς δ' αὖ προχωρούσης τῆς πείρας, ὡς εὐχερέστερόν πως ἔχειν ἤδη κἀπὶ τὰς πρώτας αἰτίας καὶ διαλήψεις ὅπως ποτὲ τῶν τῆς ψυχῆς χρωμάτων καὶ διαθέσεων παραπέμπειν, κἀπί τι γνώριμον ἠρέμα καὶ κατὰ μικρὸν ἀεὶ ἀναφέρειν τὸν τῆς συνεχοῦς εἰκασίας εἱρμόν, καὶ ἐπερείδειν τοῖς πρώτοις ἴχνεσι τὰς κατόπιν ἐφόδους τῶν ἀναλογισμῶν. ὁρῶν γὰρ ὡς κἀκ τῶν οἰκείων οὐδὲν οὐδαμῇ οὐδενί ποτε οὐδ' αὐτοί γε ἐγκαλλωπίζεσθαι ἔχοντες ἐπὶ τἀφανὲς καταφεύγουσι τῶν ὀνείρων, τοῖς τὰς τραγῳδίας γράφουσιν ἥκοντες ἐς ταὐτόν, οἷς αἱ καταστροφαὶ καὶ ἐσχατιαὶ τῶν δραμάτων θεοῦ τινὸς ἐκ μηχανῆς προσδέονται, μὴ δυναμένοις ῥᾳδίως ψευδῶν καὶ παραλόγων προτάσεων ὑποθέσεων εὐφυὲς ἐπάγειν τέλος. καὶ οὗτοι γὰρ τὰ 3.73 πέρατα τῶν ψευδῶν ἐξ ὀνείρων προρρήσεων εἰς τοὐναντίον ὁρῶντες ἰόντα, τὸ τῶν ὀνείρων αὖ αἰτιῶνται ἀμφισβητήσιμον. ἡδέως δ' ἂν ἔγωγ' ἐροίμην αὐτούς, πῶς τοῖς αὐτῶν ἔργοις ἐναντιοῦται θεός, καὶ τὰς τῶν προρρήσεων ἐκείνων ἐλπίδας ἀεὶ στρέφει πρὸς τἀναντία, καὶ μάλισθ' ὅτε τῇ σφῶν δυσσεβείᾳ καθ' ἡμῶν τὸ κράτος ἡ βασιλεία παρέχει τρανότερον· τότε γὰρ καὶ ζημίαι προσγίνονται, βασιλεῦσι μὲν περὶ τὰ φίλτατα, Ῥωμαίοις δὲ κοινῇ περὶ τὰς πόλεις καὶ τὰ δημόσιά τε καὶ καθ' ἕκαστα πράγματα, καὶ ναυαγίων οἷον ἐμπίπλαται πάντα καὶ κινδύνων παντοδαπῶν· ἐχρῆν γὰρ εὐδαιμονίαν ἀποδιδόναι σφίσι πραγμάτων καὶ πλάτος ἀρχῆς, ἅτ' ἐκδικηταῖς τῶν πατρίων ἐθῶν καὶ δογμάτων καθισταμένοις καὶ κολασταῖς τῶν ἀνόμων, καὶ μὴ μᾶλλον παρὰ τοσοῦτον αὔξειν τὰ χείρω παρ' ὅσον αὔξην αὐτοὶ τοῖς


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

καθ' ἡμῶν παρέχουσι διωγμοῖς. δυοῖν γὰρ ἔποιτ' ἂν θάτερον, ἢ τὸν θεὸν ἄδικον εἶναι νομίζειν ἐναντιούμενον τοῖς, ὡς αὐτοί γε δήπου φαῖεν ἄν, ὑπερμαχοῦσι τῶν θείων δογμάτων, ἢ δίκαιον ὄντα, σφίσιν ἄδικα δρῶσι περιφανῶς ἀντιπράττοντα, πράττειν καλῶς, ἵνα τοῖς ἀσυνέτοις ἐγγίνηται σύνεσις καὶ τῶν καθ' ὑμῶν αὐτοῖς πραττομένων μετάνοια. ἀλλ' ὁ νοῦς αὐτῶν εἰς ἀπόνοιαν ἐμπεσὼν ἐκτετύφλωται, καὶ σύνεσιν πᾶσαν καθάπαξ ἀπείπαντο. Ἀλλὰ γὰρ ἐπειδή περ οὔπω καὶ τήμερον τοῖς τοῦ Πα 3.74 λαμᾶ δυσσεβέσιν ἐντετύχηκας γράμμασιν ἔκδημος σύγε ὤν, ἑνὸς ἐγὼ καὶ δυοῖν τῶν ἐκείνου νῦν ἐκ τοῦ σχεδὸν μνησθεὶς ἀπαλλάξομαι, ἵν' ὡς ἐκ κρασπέδου τὸ ὕφασμα, γνοίης ἂν καὶ αὐτὸς ὅπως ἐκ μοχθηροτέρων ἐκεῖνος προλήψεων, σπερματικῶς ἐγκειμένων ταῖς ἐκτετυφωμέναις αὐτοῦ διανοίαις, δῆμον τοσαύτης κακίας ὁ κάκιστος ἐξηρεύξατο. ἐπεὶ γὰρ μετὰ πολλούς τινας δρόμους βίᾳ καὶ μόλις τῆς ἐς Θεσσαλονίκην εἰσόδου τετύχηκεν, ἐῶ λέγειν ὁπόσα θεόθεν ἐδείχθη σημεῖα τὴν εἴσοδον αὐτόχρημα τούτου χλευάζοντα καὶ ἀποτρεπόμενα· ἔστι γὰρ ἁπάντων διηγουμένων ἀκούειν συχνά· ἐς δὲ τὸ θεῖον τέμενος τὴν ἱερὰν σὺν ἄλλοις ἱερεῦσι τελοῦντος θυσίαν, κατὰ γῆς κενωθῆναι συνέβη τὰ δῶρα τοῦ θείου κρατῆρος. πάντων οὖν καταπεπληγμένων ἐπὶ τῷ γεγονότι, μὴ θορυβεῖσθαι παρῄνει, εἰ γὰρ τὸ τοῦ Χριστοῦ, φάσκων, τότε χεθὲν αἷμα τοῖς Ἰουδαίοις καταπεπάτηται, καινὸν οὐκ ἂν εἴη τὸ ὑπὸ τῶν ἀνθρώπων ἁγιαζόμενον τοῦτο πάσχειν ταὐτὰ κατὰ σύμβασιν οὑτωσίν. ὁρᾷς οἵας προλήψεις ἔχων ἐκ πολλοῦ πεφώραται κἀν τούτῳ· οὐ γὰρ δὴ σῶμα γίνεσθαι καὶ αἷμα Χριστοῦ κατ' ἀλήθειαν οἴεται τὸ διὰ τῶν θείων τῆς ἱερουργίας εὐχῶν ἁγιαζόμενον, ἀλλ' ὥσπερ ὑφειμένον εἶναι λέγει θεὸν τὸν υἱὸν καὶ τῆς τοῦ πατρὸς οὐσίας ἕτερον ἐν πολλοῖς τῶν αὐτοῦ συγγραμμάτων, οὕτως ἔτι τοῦ ἱεροῦ σώματος ἐκείνου τοῦθ' ὑφειμένον καὶ πολλῷ διάφορον ἐκείνου, καὶ 3.75 μὴ εἶναι δήπουθεν καινὸν εἰ περιφρονοῖτο τοῦθ' ὑφ' ἡμῶν ὡς ἐκεῖνο πάλαι τοῖς φονευταῖς Ἰουδαίοις ἐκείνου. ἓν μὲν δὴ τοῦθ' ἱκανὸν ἐπὶ τὰς πρώτας αἰτίας καὶ διαλήψεις τῶν ἀφανῶν ἀρρωστημάτων τῆς ἐκείνου ψυχῆς ἀναφέρειν σου τὴν διάνοιαν καὶ ἐπερείδειν ὡς ἐπὶ θεμελίῳ τὰς κατόπιν ἐφόδους τῶν ἀναλογισμῶν· δεύτερον δ' ὅτι πολυθεΐαν ἐγκαλούμενος, μηδὲ γὰρ Ἰουδαῖος ἔφασκεν εἶναι μηδὲ τῶν Ἰσμαηλιτῶν εἷς, ἵν' ἕνα σέβῃ θεόν. ἐγὼ δὲ καὶ πλείω καὶ μείζω συνείρειν ἐθέλων τῆς αὐτῆς ἐχόμενα κακίας, καὶ δεικνύειν καὶ ἀναπτύσσειν ὁπόσους τῆς ἀσεβείας ταμιεύει τὰ βραχέα ταυτὶ θησαυρούς, δυοῖν ἕνεκα παρίημι, ἑνὸς μὲν ὅτι σοφὸς ὢν καὶ αὐτὸς ξυνῆκας ἀκούσας εὐθύς, γνώσῃ δ' αὖ τελεώτερον ταῖς ἐκείνου βίβλοις ἐντετυχηκώς, δευτέρου δ' ὅτι καιρὸν ἀπιέναι σε οἴκαδ' ἀρτίως ἁρμόττοντα οἴομαι εἶναι, πρὶν τοὺς κύκλῳ πανόπτας αἰσθέσθαι καὶ τοὺς πικροὺς τῆς ἐμῆς δεσμοφύλακας τύχης. Καὶ ταῦτα μὲν τοῦτον ἔσχε τὸν τρόπον, καὶ ὁ καλὸς Ἀγαθάγγελος τοσαῦτ' εἰπὼν καὶ ἀκούσας ἀπῄει νύκτωρ, μηδενὸς τῶν ἐμῶν διωκτῶν αἰσθομένου. χρόνον δ' ἐκεῖθεν ἑξαμηνιαῖον ἀνὰ τὴν πόλιν ταυτηνὶ διατετριφώς, καὶ Βυζαντίων τοῖς προύχουσιν ἐπί τε σοφίᾳ καὶ δόξῃ συναναμιγνύμενός τε καὶ ὁμιλῶν εὐφυῶς, καὶ τοῖς πρὶν ἠκουσμένοις τὰ 3.76 πλείω κατὰ τὸ συνεχὲς ἠθροικώς, ἧκεν αὖθις ὡς πρότερον ἡμῖν τὰ λειπόμενα ἀπαγγέλλων ἑξῆς. ἦσαν δὲ τοιαδί. Τοῦ Γαλατωνύμου, φησί, φρουρίου γῆς καὶ θαλάττης ἀποκλεισθέντος, καὶ τῶν ὁλκάδων αἳ τὴν σιτοπομπίαν αὐτῷ ἐκόμιζον ἐκ τῆς ἄνωθεν θαλάττης, ἀφῃρημένου πρὸς τῶν Βενετικῶν, ὡς εἴρηται, τεσσαρεσκαίδεκα μακρῶν ἐκείνων νεῶν ἔτει πρότερον ἑνί, κἀκεῖθεν ἔπειτα τὴν τοιαύτην μάχην διαδεξαμένου τοῦ βασίλεως, καὶ τριήρεσι μὲν ἐκ θαλάσσης δέκα, στρατιωτικαῖς δ' ἐξ ἠπείρου δυνάμεσι μαχομένου, σπάνις μακρὰ τῶν ἐπιτηδείων τοὺς ἔνδον κατεῖχε Λατίνους. διὸ πρεσβεύεται πρὸς αὐτοὺς ἐλεήσας ὁ βασιλεύς, δι' ὅρκων σφᾶς ἀζημίους βεβαιῶν ἀφιέναι, εἴτ' αὐτόθι καθῆσθαι βούλοιντο, εἴτ' οὖν πορεύεσθαι ὅπῃ βούλοιντο, καθαιρεθέντος πρότερον τοῦ τὸ φρούριον τειχίζοντος νεοπαγοῦς περιβόλου. πρὸς ἃ τερατευσαμένους ἐκείνους τά τε



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἄλλα τῆς εἰωθυίας καὶ νῦν ὀφρύος ἀποκρίνασθαι, καὶ μὲν δὴ καὶ ὅτι, εἰ μὲν ἑνὶ θεῷ τῷ τοῦ παντὸς ἐλάτρευες ποιητῇ δηλαδή, ἣν ἂν ὡρισμένῃ μνήμῃ τὰς τῶν ὅρκων ἀσφαλείας ἐγκλείοντας, ἀφρόντιδα βίον ἐν ἀτειχίστῳ διάγειν χωρίῳ. νῦν δ' οὐκ εἰδόσι τίνι τῶν ἀπείρων οἷς λατρεύεις θεοῖς τὰς τῆς πίστεως νέμεις ἐγγύας, δεδιέναι μὴ συναρπασθεῖσιν ἔπειτα τὰς ἀκοὰς διά τε τῆς ὁμωνυμίας καὶ τῆς τοῦ μόνου θεοῦ προσηγορίας, ἐς τὴν τῆς ἀπειρίας ἐκείνης ἀνάχυσιν καταδύντας, ἀπείροις περιαντλεῖσθαι γένηται ναυαγίοις ἡμῶν αὐταῖς 3.77 ψυχαῖς καὶ αὐτοῖς σώμασι. ταῦτ' ἀκούων ὁ βασιλεὺς καιρίαν, φησίν, ἐνόμιζε δέχεσθαι κατὰ τῆς καρδίας πληγήν, καὶ μεμελέτηκεν ἀντ' ἄλλου φαρμάκου, τόν τε Ἀλεξανδρείας πατριάρχην καὶ ἅμα τὸν τῆς Ἀντιοχείας δώροις περιελθὼν καὶ πόρρωθεν, ἐνδημήσαντας πείθειν ἐνταυθοῖ συνθέσθαι τοῖς νέοις καὶ παρανόμοις τόμοις, καὶ ὑπογράψαντας εἶναι καὶ αὐτοὺς τοῦ λοιποῦ γε ὁμόφρονας, ἐς τὸ τῶν τρόπων ἐκείνων ἀπιδὼν καὶ θαρρήσας ἁπλοῦν καὶ τὸ τῶν γραφικῶν μεθόδων ἀποίκιλον, καὶ καθολικὴν ἐνταῦθα τὸ μερικὸν ἐκεῖνο καὶ ληστρικὸν ὀνομάζειν ἔχειν ἤδη συνέδριον σύνοδον, καὶ οὕτω τοῦ λοιποῦ τῶν ὀνειδιζόντων καταφρονεῖν ὡς ἀφρόνων, καὶ μηδαμῇ καταπλήττεσθαι. οὕτω τῇ ἑαυτοῦ πιστεύων εὐθύνειν ἅπαντα γνώσει, παντάπασιν ἀμελῶν ὁρᾶται προνοίας θεοῦ. Ἤδη δὲ τοῦ φθινοπώρου περὶ τὰς τοῦ ἀρκτούρου ἐπιτολὰς γενομένου, φήμης ῥυείσης ὡς Βενετικαὶ τριήρεις ὑπὲρ τὰς ἑκατὸν τὸν Ἰόνιον παραλλάξασαι κόλπον, καὶ τὸ Ἀδριατικὸν ἐν δεξιᾷ καταλελοιπυῖαι πέλαγος, τὰς Κερκυραίων καὶ Ζακυνθίων καὶ Πελοποννησίων παραπλέουσι πόλεις, ξενολογοῦσαί τε καὶ τῶν ἐκεῖθεν ἀκμὴν τῆς ἡλικίας, ὁπόση στρατεύσιμος εἴη, μισθοῦ στρατεύεσθαι πείθουσαι μάλα τι βρίθοντος (μεγέθει γὰρ εἶναι μεγίστας ἐκείνας τὰς ναῦς, καὶ πληρώματος δεῖσθαι μείζονος ἢ τριακοσίων ἑκάστην ἀνδρῶν), 3.78 αἱ προφυλακίδες τριήρεις τῆς ναυτικῆς τῶν Γεννουΐτῶν δυνάμεως πυθόμεναι τὴν ταχίστην ἧκον ἀγγέλλουσαι, καὶ ἅμα ὀτρύνουσαι μηδὲν μελλήσαντας Χίου αὐθημερόν τε ἀπαλλάττεσθαι καὶ ὅλαις κώπαις εὐθὺ Βυζαντίου ἐλαύνειν· εἶναι γὰρ βέλτιον ἐκεῖ τὴν τῶν πολεμίων ἔφοδον περιμένειν, ὅπῃ δὴ καὶ τὸ Γαλατώνυμον φρούριον εἴη ἂν πολλήν τινα καὶ παντοδαπὴν παρέχον ὠφέλειαν. ἄραντες οὖν εὐθὺς ἐκεῖθεν ἑξήκοντα ταῖς πάσαις ναυσὶν ἀφίκοντο πρῶτον ἄχρι καὶ ἐς τὸ τοῦ Ἑλλησποντίου στόμα πορθμοῦ, καὶ αὐτόθεν ἐς Τένεδον καθωρμίσαντο. ἔνθα συχνὰς διατετελεκότες ἡμέρας, πολέμιον ἔφηναν οὐδαμῇ τὸ παράπαν οὐδ' ἔνοπλον ἔργον οὐδέν, ἀλλ' ἀγορὰν αἰτήσαντες καὶ λαβόντες μετ' εἰρήνης ἐκεῖθεν ἀπήλλαξαν. καὶ τοῦτο ποιοῦντες ἠρέμα τὰς ἐν θαλάττῃ Ῥωμαϊκὰς παρέπλεον πόλεις ἁπάσας, ἄχρι καὶ ἐς τὴν Πείρινθον τὴν καὶ Ἡράκλειαν καλουμένην. ἐνταυθοῖ δ' οὐκ εὐμενοῦς οὐδὲ φιλανθρώπου τῆς ἀγορᾶς τῶν ἐπιτηδείων τυχόντες, ἔστησαν ἀλύοντές τε καὶ μαθεῖν περιμένοντες ἐκ τοῦ Γαλατωνύμου φρουρίου, εἰ τὴν ὑποδοχὴν ἀξίαν τοῦ στόλου παρεσκευάσαντο· φθάσαντες γὰρ ἐκεῖ τριήρεις προύπεμψαν δέκα. μεταξὺ δὲ λάχανα παρεξιόντες ξυνέλεγον καὶ βοτάνην ἔνιοι τῆς ναυτικῆς δυνάμεως ἐκ τῆς χώρας, ἡμερήσιον ἐντεῦθεν τῇ γαστρὶ μνηστεύοντες τράπεζαν· μακρῷ γάρ τινι καὶ πολυημέρῳ δαπανώμενοι διετέλουν λιμῷ. οἵ γε μὴν Ἡρα 3.79 κλεῶται, καθάπερ θεηλάτῳ πληγέντες ἀγνοίᾳ τὸν νοῦν, ἀντ' ἄλλης ξενίας ἐνέδραν ἐκεῖ προλοχίζουσι πρὸ τοῦ στόλου νυκτός, ἅμα δ' ἕῳ συχνοὺς οὑτωσὶ τῶν Λατίνων συνειληφότες ἀπέκτειναν. τοῦτο πρὸς ὀξεῖαν σφᾶς ἠρέθισεν ὀργήν, καί τοι καὶ βουλομένους μάχης ἀπέχεσθαι πάσης, ἄχρις ἀφικομένους ἐς Βυζάντιον περὶ εἰρήνης πρεσβεύσασθαι, καὶ πᾶσι τρόποις ἐπαγγελιῶν καὶ πάσαις δόσεσι χρημάτων περιεληλυθέναι τὸν βασιλέα, καὶ πεῖσαι τὰς τῶν Βενετικῶν σπονδὰς ἀπειπάμενον ἀνθελέσθαι τὰς σφῶν. ὅθεν ἐπὶ πολλὰς τὰς ὥρας γνωσιμαχήσασι καθ' ἑαυτοὺς καὶ μάλα γέ τι ἀνεκτὰ ἐδόκει σιωπήσαντας τὸ συμβὰν παρεληλυθέναι ἀτόπημα, καὶ μάλιστα τῆς ναυτικῆς καὶ πολυμιγοῦς ἀναρχίας ἐκριπιζούσης καὶ ἀναφλεγούσης τὸν πόλεμον. διόπερ ἐς τὴν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ὑστεραίαν ἕωθεν οἱ ναύαρχοι τὰ πολεμικὰ τῶν σημείων ἐνεκελεύοντο δὴ τοῖς σαλπιγκταῖς ἀνακρούεσθαι, καὶ οὕτως εἰς ἄμυναν ἔνοπλοι πάντες ἐκπηδήσαντες περιεστρατοπέδευσαν τὴν πόλιν. καὶ ἅμα τὰς πύλας ἀναμοχλεύσαντες πάσας, ἐν ὥραις εἷλον δυσὶ μεστὴν οὖσαν οὐ μόνον τῶν πάλαι οἰκητόρων αὐτῆς, ἀλλὰ καὶ ὅσοι τὰς ἔξω κώμας τῆς Θρᾴκης διὰ συχνὰς τῶν ἐθνῶν ἐφόδους λιπόντες ἐν τοῖς αὐτῆς μετῳκίσθησαν, πλοῦτον παντοδαπὸν ἐκεῖ συμφορήσαντες. καὶ μὲν δὴ καὶ εἰσεχέοντο πάντες ἁπανταχόθεν Λατῖνοι, καὶ πᾶσαν ἠνδραποδίζοντο ἡλικίαν ἐλεεινῶς, ὅση μὴ δρασμῷ τὴν σωτηρίαν ἔφθη πορίσασθαι. τηνικαῦτα δ' ἀπῆν ὁ τῆς πόλεως ἐπισκοπικῶς 3.80 προΐστασθαι λαχὼν Κόκκινος· οὕτω γὰρ ἐκαλεῖτο διὰ τὸ πυρῶδες καὶ ἄγριον τῆς ὄψεως ὁ ποιμενικὸς πατήρ. ἔτυχε γὰρ ἐν Βυζαντίῳ, ταῖς μὲν τοῦ Παλαμᾶ καινοφωνίαις πάσῃ γνώμῃ καὶ σπουδῇ συμμαχῶν, τοῦ δὲ ποιμνίου μικρὰ φροντίζων, καὶ τὸν μὲν κατὰ τῆς εὐσεβείας ἀναρριπίζων ἐνταυθοῖ διωγμόν, τῷ δὲ βασιλεῖ προφοιβαζόμενος ἐξ ὀνείρων, κἀκ τοῦ τοιούτου μαντικοῦ τρίποδος ὑπισχνούμενος τὰ μεγάλα τε καὶ ἀπόρρητα, κλήρους ἀρχῆς δηλαδὴ καινοτέρους, καὶ πάσας ἑῴας καὶ ἑσπερίου λήξεως ἐπικράτειαν ἄμοχθον αὐτίκα μάλα τι ἑψομένην τῷ διωγμῷ. ἀλλὰ γὰρ ἐπειδὴ πρὸς πᾶν τοὐναντίον ἐχώρει τὸ τοῦ Κοκκίνου μάντευμα, πολλὴν παρεῖχε τὴν ἀπορίαν τῷ βασιλεῖ, καὶ ἃ χθὲς καὶ πρότριτα προσίετό τε καὶ σφόδρα ἀσμένως ἐπίστευε, νῦν ἐς ἀμφιβόλους ἔρριπτεν ἐννοίας, καὶ τρικυμίαν εἶχε λογισμῶν, καὶ ἀπεσείετο τοὺς λήρους ἐκείνους, καὶ πολλαῖς ἐπειρᾶτο μέμψεσι βαπτίζειν τοὺς οὕτως ἐπ' αὐτοφώρῳ ψεύδεσθαι οὐκ ἐρυθριῶντας. ἀλλ' ἐγγύθεν αὖθις ὁ τὰς μαντείας εἰσάγων ἑστώς, καὶ παρεξηγούμενος τὴν ἀλήθειαν, ἔπειθε πάλιν τὴν αὐθεντικὴν ὑποτρέχων ἁπλότητα, καὶ τοὐναντίου πνεύματος ἐνέργειαν ἔφασκεν εἶναι, ἵνα τὸν ὑπὲρ εὐσεβείας σβέσῃ θυμόν, καπηλεύσας τὸν δρόμον τοῦ διωγμοῦ. εἶναι δὲ καὶ δοκιμήν τινα τοῦτ' ἔφασκεν αὐτῷ θεοῦ, καὶ τῆς μελλούσης ἴσως εὐδαιμονίας γίνε 3.81 σθαί οἱ προοίμιον, ἵνα μὴ τῇ τῆς χαρᾶς ἐκείνης ὑπερβολῇ πρὸς οἴησιν ἀρθῇ σου, φησί, τὸ φρόνημα, καὶ τῶν ἐπηγγελμένων σὺ τότε μᾶλλον ἐκπέσῃς, καὶ ἡμεῖς τῶν μεγάλων ψευσθῶμεν ἐλπίδων· οὓς γὰρ ἂν ὁ θεὸς ἀνάγειν ἐθέλοι πρὸς μειζόνων πραγμάτων ἐπιστασίαν, δοκιμωτέρους ποιεῖ, προγυμνάζων διὰ σμικρῶν τινῶν περιστάσεων. ἀλλ' ἐκεῖνος μὲν τοιαῦτα τῆς ἀληθείας κατεψεύδετο, καὶ οὕτω τῆς εὐσεβείας ἀναιδῶς κατωρχεῖτο, τοῦ δὲ ποιμνίου σπαραττομένου μάλα πικρῶς ὑπὸ τῶν πολεμίων ἐκεῖ καὶ ἀφειδῶς ὑπὲρ χρημάτων πάντων καὶ παντοδαπῶν αἰκιζομένου νύκτωρ καὶ μεθ' ἡμέραν ἠμέλει, καὶ δεύτερα πάντ' ἐνόμιζε τῆς ἐς τὸν τῆς πίστεως διωγμὸν σπουδῆς, καὶ οὐδὲ τὸν προφανῆ τοῦτον ἔλεγχον προφανῶς ᾐδεῖτο· ὃ γὰρ ὁ μέγας πάλαι πεποίηκε Κωνσταντῖνος (τοὺς γὰρ νεωτερίζοντας τότε τῶν Ἰουδαίων, καὶ τὸν ἐν Ἱεροσολύμοις ἀνανεοῦσθαι νεὼν ἐγχειροῦντας, συνειληφώς, καὶ σφῶν τὰ ὦτα λωβησάμενος, μαστιγοφόρους περιάγειν τε καὶ μαστίζειν παρέσχε τὸ τῆς γνώμης ἀκόλαστον μετὰ τῆς σαρκός, μὴ καὶ πλείοσιν ἄλλοις στήλη κακίας ὁ νεωτερισμὸς αὐτῶν καταστῇ), τοῦτο πέπραχεν ὁ θεὸς ἐνταυθοῖ, τὸν ἀσεβῆ ποιμένα τῆς πόλεως ἐλέγχων ἐκείνης καὶ τὰς τούτων φαυλίζων προρρήσεις, καὶ ἐκπομπεύων τοὺς τῶν μακρῶν ὀνείρων ἐκείνων λήρους ἐν μέσῃ γῇ τε καὶ θαλάσσῃ, στήλης ἁπάσης ὑπέρτερον. ὡς γὰρ Ἰουδαίους Κωνσταντῖνος ἐκείνους κατ' ἐκεῖνο τὸ μέρος ἐλωβήσατο ᾧ πάντων 3.82 μάλιστ' ἀκούειν καὶ συνιέναι προσῆκε τῶν τοῦ σωτῆρος προρρήσεων, τὸν μὲν παντελῆ τῆς οἰκοδομῆς ἐκείνης ὄλεθρον προειπόντος, τὴν δ' ἀναβίωσιν οὐδαμῇ γε προσθέντος, οὕτω νῦν ὁ θεὸς ἐνταυθοῖ πρῶτον αὐτὸν τὸν τὰς μαντείας ὑπέκκαυμα τῆς τοῦ διωγμοῦ φλογὸς παρεισάγοντα κατὰ τῆς εὐσεβείας τῷ βασιλεῖ χλευάζων, καὶ τῆς ὀνειροσκοπικῆς αὐτοῦ λαμπρῶς ἀναμοχλεύων τοὺς τρίποδας, τοῦ ποιμνίου πέπραχεν ἀλλότριον, ἀνάξια δρῶντα ποιμαντικῆς ἁπάσης καὶ θεοῦ, μονονουχὶ τῶν πραγμάτων βοώντων αὐτῶν ὡς ἐχρῆν μὲν ὑπὸ βασιλέως τῆς ποιμαντικῆς


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐξωθεῖσθαι τὸν ἀσεβῆ ποιμένα, ἐπεὶ δ' ἀντὶ τοῦ κολάζειν ὃ δὲ καὶ στεφανίτην ἀνέδειξε, κοινὸν ἀμφοῖν ἐπάγει λοιπὸν ὁ θεὸς τῆς ζημίας τὴν δίκην, μηλόβοτον μὲν καταστήσας τὴν πόλιν, τὸν δὲ λαὸν φεῦ πανταχῇ διασπείρας τῆς οἰκουμένης, ἵν' αἴσθωνται πάντες ὁμοῦ τε τῶν ἐλέγχων τῆς ἀσεβείας, καὶ οἷα τῶν πονηρῶν σπερμάτων εἰσὶ τὰ γεώργια, ἢ μᾶλλον τὰ τῶν μελλόντων δεινῶν προοίμια. Μετὰ μέντοι τὴν παντελῆ τῆς Ἡρακλείας ἐρήμωσιν καὶ ἀπώλειαν ἀφικέσθαι ἔδοξε Λατίνοις καὶ στῆναι πάσαις ὁμοῦ ταῖς ναυσὶ παρὰ τὸ τοῦ Εὐξείνου πόντου στόμα καὶ τοὺς ἐκεῖσε λιμένας, οὐ πάνυ πολλῷ τινὶ διαστήματι τοῦ Γαλατωνύμου φρουρίου ἀπέχοντας, κἀκεῖθεν περὶ σπονδῶν πρὸς βασιλέα πρεσβεύεσθαι. καὶ μέντοι καὶ ἐληλυθόσι προσετέθησαν σφίσι καὶ ἕτεραι τριήρεις πέντε, ἄλλους τε ἔχου 3.83 σαι κατ' ἐκλογὴν ἄνδρας τῶν τοῦ φρουρίου τὰ πρῶτα φερόντων οἰκητόρων, καὶ οὓς ὠνόμαζον τέως λευκοφόρους, ὥσπερ τοὺς τῷ Ἀλεξάνδρῳ πάλαι τῷ Μακεδόνι κατ' ἐκλογὴν παρασπίζοντας ἐκείνους λευκάσπιδας. ὥσπερ γὰρ ἐκεῖνοι διὰ τὸ τῶν ἀσπίδων χρῶμα, οὕτω νῦν οὗτοι διὰ τὴν τῶν ἐνδυμάτων λευκότητα λευκοφόροι καλεῖσθαι ἐνόμισαν, καὶ εἶναι ἐπίσημοι διὰ τὴν τῆς ψυχῆς ἀνδρίαν, ἣν ἐπηγγείλαντο φιλοτίμως ἐνδείξασθαι κατὰ τὴν ἐνεστῶσαν μάχην ἄχρι θανάτου, ἑνὶ πάντες ὅρκῳ δημοσίῳ προκαταδήσαντες ἑαυτοὺς ἀφειδῆσαι τελέως τοῦ σώματος. ἦσαν δ' οὗτοι πεντακόσιοι τὸν ἀριθμόν. ἀλλὰ γὰρ ὁ τῶν Γεννουιτῶν στόλος ἐς πέντε καὶ ἑξήκοντα τριήρεις ἀνηγμένος, ἐπρεσβεύοντο μετὰ παρρησίας ἤδη πρὸς βασιλέα, τά τε ἄλλα τῇ πρεσβείᾳ ἐγγοητεύοντες εἰς πειθώ, καὶ μάλιστα πάντων τὴν τῶν Βενετικῶν νεῶν πλάνην, καὶ τὸν μεταξὺ διὰ τοὺς ἐπενεχθέντας κλύδωνας μερισμὸν καὶ ἀποστροφὴν ἐς τὰ οἴκοι. τοῦ μέντοι βασιλέως τὴν ἐκείνων βεβαίως ἄφιξιν προσδοκῶντος, καὶ ἀποστρεφομένου προθέσεσιν ὅλαις ψυχῆς τὴν πρεσβείαν, ἀποτυχόντες πέμπουσι παρὰ τὰς τῷ Εὐξείνῳ προβεβλημένας πόντῳ παραθαλασσίους πόλεις Ῥωμαίων τριήρεις δέκα, αἳ δὴ καὶ δυοῖν ἡμέραιν ἀγωνισάμεναι Σωζόπολιν εἷλον, βαθύπλουτόν τε καὶ πολυάνθρωπον πόλιν Ῥωμαίων, πλεῖον ἢ χιλίους σταδίους ἀπέχουσαν τοῦ Πόντου αὐχένος. ὁ δὲ βασιλεὺς τάφρους τε ἀνώ 3.84 ρυττε κύκλῳ περὶ πᾶν τὸ παράλιον τεῖχος τῆς βασιλίδος τῶν πόλεων, τάς τε τῶν τειχῶν ἐπάλξεις ἐς ὕψος ἀνῆγε καὶ ὠχύρου, ξυλίνους ἐποικοδομῶν καὶ περιστέφων πύργους καὶ ἡμιπύργια. οἱ δὲ Γεννουῖται νῦν μὲν ἠπείλουν, νῦν δ' ἐπρεσβεύοντο περὶ σπονδῶν. ἐπεὶ δ' ἐλπίδας ἐξ ἐλπίδων στρεφόντων ὁ χρόνος ἐτρίβετο καὶ τὰ ἐπιτήδεια ἐπέλιπε σφίσιν, εἰς ἀνάγκην ᾔεσαν σπείσασθαι τοῖς τὴν Βιθυνίαν ἔχουσι Πέρσαις. πρεσβεύονται τοίνυν πρὸς τὸν ἡγεμόνα σφῶν, καὶ δῶρα τὰ μὲν πέμπουσι τὰ δ' ἐπαγγέλλονται, συμμάχους εἶναι σφίσι παρακαλοῦντες διηνεκεῖς, καὶ φόρους ἐτησίους λαμβάνειν πολυταλάντους καὶ παντοδαπούς. Τούτων δ' οὕτω γιγνομένων, λῦπαι μακραὶ τὴν ψυχὴν ἐδαπάνων τοῦ βασιλέως, τὴν ἀπουσίαν ἐς πολὺν παρατείνουσαν χρόνον ὁρῶντος τῶν Βενετικῶν νεῶν. ἵνα γὰρ ἐς τὸ πρότερον ἴχνος τοῦ λόγου ἐπανακάμψωμεν, κατέπλευσαν μὲν ἐκεῖναι πρῶτον ἐς Κρήτην ἀπαθεῖς ἠθροισμέναι τοῦ φθινοπώρου μεσοῦντος, τριάκοντα μέν, ὡς φασί, τῶν Κατελάνων, ἑβδομήκοντα δὲ τῶν Βενετικῶν· ἔνθα καὶ πλείστας ἡμέρας διατετρίφασι, τὰ ἐπιτήδεια ἱκανῶς ἐσκομιζόμεναι. ἔπειτ' εὐπλοΐας γενομένης ἀνήχθησαν, καὶ μήπω δυοῖν ἡμερῶν ἀνύσασαι πλοῦν χειμῶνι δεινῷ κατὰ τὸ Ἰκάριον περιεπεπτώκεσαν πέλαγος, τῶν ἀπ' ἄρκτου ῥεόντων πνευμάτων σφοδροτέρων ἤδη κατὰ τοῦ Αἰγαίου χεθέντων πελάγους. κἀντεῦθεν 3.85 ἀλλήλων διαζευχθεῖσαι κατὰ πλείω καὶ ἧττω γε μέρη, αἳ μὲν ἐς Κρήτην παλινδρομοῦσιν, αἳ δὲ τῇ Εὐβοίᾳ προσώκειλαν, αἳ δὲ τῶν Κυκλάδων ἥψαντο νήσων. ἔνιαι δὲ καὶ ἀπώλοντο, βράχεσι καὶ τεναγώδεσι τόποις νυκτὸς προσρηγνύμεναι. ἐπεὶ δ' ἐς Βενετίαν σφίσιν ἐπανιέναι οὐκ ἦν (τὸ γὰρ ἅπαξ ἐκεῖ τῇ βουλῇ κυρωθὲν ἄλυτα νόμου ἰσχύοντα εἶναι συμβαίνει, εἶναι δ' αὐτοῖς ἐκεῖθεν προστεταγμένον δυοῖν θάτερον, ἢ νικητὰς ἐπανιέναι τῶν πολεμίων, ἢ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

πολεμίοις ἅμα πάντας ἐκεῖ σφαγῆναι χερσί, τῷ δ' ἄλλως ἐπανιόντι θάνατον εἶναι τὸν αἴσχιστον τοὐπιτίμιον, ἁπάσης προφάσεως λίαν ὑπέρτερον), εἰς ἀνάγκας ᾔεσαν ἅπασαι τὰς αὐτάς, εὐθὺ Βυζαντίου ἐλαύνειν ἑκασταχόθεν ἁπάσας ἐν ὁμοίᾳ τῇ γνώμῃ. συνέβη τοίνυν συχνῶν ἡμερῶν σποράδας ἠθροῖσθαι τριήρεις ἐκ τούτων δύο καὶ ὀγδοήκοντα, αἳ δὴ καὶ μετὰ βραχὺ κατέπλευσαν ἐς Τένεδον μάλα μόλις· χειμῶνι γὰρ περιέτυχον αὖθις, μετρίῳ μέν, ἐνέτυχον δ' οὖν. ἡμέρας δ' ἐκεῖ συχνὰς περιμείναντες τοῦ χειμερίου κλύδωνος, ὅσον ἐφικτόν, ἑαυτὰς ἀνελάμβανον. νοτίων δ' ἔπειτα πνοαῖς ἐξ οὐρίας γενομένων ἀνήχθησαν ἕωθεν. περὶ δὲ δείλην ὀψίαν ἀντιπνοίας γενομένης σφίσιν ἐκ πρῴρας, ἐς μίαν τῶν ἐν Χερρονήσῳ πόλεων προσωρμίσθησαν, καλουμένην Σηστόν. κἀκεῖθεν αὖθις μετὰ πολλὰς τὰς ἡμέρας ἐξέπλευσαν, νότου μαλακοῦ μὲν τὴν ἀρχὴν γενομένου, τραχυνθέντος δ' ἐς τὴν ὑστεραίαν τοσοῦτον ὥστε μόλις ἐδυ 3.86 νήθησαν ταῖς τῆς Προποντίδος προσεληλυθέναι νήσοις, δυοῖν δέουσαι ἑβδομήκοντα, τοῦ χρόνου τηνικαῦτα τὰς τοῦ χειμῶνος ἐσχατιὰς παραθέοντος, καὶ μέλλοντος ὅσον οὐδέπω τὰς τῆς ἠρινῆς ἰσημερίας ἀνίσχειν τροπάς. κἀπειδὴ λιμὴν ταῖς νήσοις ἐκείναις οὐκ ἦν οὐδαμῇ τοσούτῳ στόλῳ προσήκων, μετέωροι νυχθημέροις δυσὶν ἐπ' ἀγκυρῶν ἐσάλευον ἅπασαι πάνυ τι πλημμελῶς, τοῦ τε κύματος κάτωθεν ἀνοιδοῦντος, καὶ τοῦ πνεύματος οὐδαμῇ πω λήξεως μεμνημένου. ᾗ γὰρ ἂν ἐνῇν καὶ Γεννουίταις ἐπὶ σφᾶς ἐξαίφνης πλευσεῖσθαι, πάλαι τοῦτο μελετηθὲν αὐτοῖς καὶ παρασκευασθὲν κεκοπωμένοις ἐπεισπεσεῖν κατὰ τὸν ἀνάπλουν. καὶ ταῦτα μὲν τῇδέ πῃ ἔσχεν· ἀλλ' ἐπειδήπερ οὐκ ἦν ἐς πλέον οὐδ' ἐνταυθοῖ καθημένοις θαλάττῃ καὶ κύμασι μάχεσθαι καὶ πνεύματι τραχυνομένῳ διηνεκῶς, ἄραντες ἐκεῖθεν τριταῖοι περὶ δείλην ὀψίαν κατῆεσαν ἠρέμα καὶ μοχθηρῶς ἐς τὸν τῶν Βυζαντίων λιμένα. καὶ ἅμα τριήρεις ἐντεῦθεν ὀκτὼ ἀναχθεῖσαι Ῥωμαϊκαὶ συνδιέφερον τὴν καταγωγὴν καὶ συνεκρότουν, προάγουσαι καὶ χειραγωγοῦσαι. ἀλλὰ πρὶν ἅψασθαι γῆς, ἐπιπλέουσιν ἐξαίφνης αὐταῖς αἱ Γεννουιτικαὶ τριήρεις, ἐφεδρεύουσαι πάλαι πολύν τινα χρόνον. καὶ πρῶτα μὲν τριήρεις ταχυναυτούσας σύνδυο καὶ σύντρεις ἐκ διαστήματος ἐς πρύμναν ἐκείνων προύπεμψαν, κἄπειτα ἐσπουδασμένην τινὰ καὶ μάλα τι σφόδρα κατόπιν ὀξεῖαν αἱ πᾶσαι τὴν ἔφοδον ἐποιοῦντο, ὡς ἐς ἀνάγκας ἰέναι Βενετικούς, καίπερ οὕτω κεκοπωμένους καὶ ἐν 3.87 οὕτω ἀστατούσῃ θαλάττῃ διὰ τὸν τότε κλύδωνα, συνάψαι τὴν μάχην αὐτόθι. στρέψαντας οὖν ἐπὶ σφᾶς ἤδη τοὺς πολεμίους οἱ Γεννουῖται τὰς πρῴρας ἰδόντες πρύμνας τε ἐκρούσαντο εὐθύς, καὶ ἀμεταστρεπτὶ παρὰ τὸν αὐχένα τοῦ Πόντου καὶ τοὺς συνήθεις λιμένας κατέφευγον. οἳ δ' ἐπέκειντο διώκοντές τε καὶ βάλλοντες κατὰ νώτου. τέτταρας αὐτοῦ παρὰ τὸν λιμένα διὰ τὸν κλύδωνα μικρόν τι ῥαγείσας ἐν ταῖς ἐκεῖ προβλῆσι τῶν πετρῶν καταλελοιπότες τριήρεις. καὶ ξύν γε αὐταῖς αἱ Ῥωμαϊκαὶ συνεξέθεον ἐκεῖναι, τὸν ἐκείνων θυμὸν ἀναζωπυροῦσαί τε καὶ ἀναφλέγουσαι πρὸς τὸν πόλεμον. καὶ μὲν δὴ τετύχηκε συρραγῆναι σφᾶς κατ' ἀλλήλων ὅπῃ κίονες διπλοῖ σχῆμα τάφου τινὸς ἀνέχοντες ἵστανται. ἐκεῖ γὰρ ἐπ' ἀλλήλους μάλα τι καταπληκτικῶς καὶ εὐρώστως ὁρμήσαντες ἐναυμάχουν, καὶ μάλιστα πάντων ἔνθεν μὲν οἱ Κατελάνοι, ἐκεῖθεν δ' οἱ πεντακόσιοι λευχείμονες ἐκεῖνοι, συχνὰ ἐπεκθέοντες ἐκ τῶν ἰδίων ἐς τὰς ἀντιπάλους ἑκάτεροι ναῦς, καὶ νῦν μὲν ἐντεῦθεν ἐκεῖσε νῦν δ' ἐκεῖθεν ἐνταῦθα περιειλούμενοι, καὶ ἀγχιστρόφους τελοῦντες τὰς ἐκδρομὰς καὶ καταδρομάς, καὶ ἀφειδῶς ὑπ' ἀλλήλων ῥηγνύμενοί τε καὶ ῥηγνύντες, καὶ τῶν ἰδίων αἱμάτων τε καὶ σαρκῶν ὡς ἀλλοτρίων ἀφειδοῦντες ὠμῶς καὶ θηριωδῶς. καὶ εἰ μὴ νὺξ ἐν βραχεῖ διέκοψεν ἐπιοῦσα τὴν ναυμαχίαν ἐκείνην, τάχ' ἂν ὑπ' ἀλλήλων καὶ τῆς θαλάττης ἐκεῖ διεφθείροντο πάντες· διελύθησαν γὰρ οὐ μάλα ἑκόντες 3.88 ἑκατέρων ἑκάτεροι περὶ δευτέραν μόγις που καὶ τρίτην ὥραν τῆς νυκτός. Τῆς δ' ὑστεραίας ἐπιούσης καὶ τὰ τῆς ἑσπέρας ἐκείνης ἀνακαλυπτούσης ἔργα, ὤφθησαν αἱ μὲν Βενετικαὶ τριήρεις ἄνω που περὶ τὸν


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Θεραπέαν λεγόμενον οὑτωσί πως λιμένα, πλησίον τοῦ ἱεροῦ τοῦ Σαράπιδος, ὁρμοῦσαι, αἱ δ' αὖ Γεννουιτικαὶ πρὸς ἕω παρὰ τὰς ὄχθας τῆς Χαλκηδονίας μετέωροι σαλεύουσαι, μικρὸν ἐνδοτέρω τῆς ψάμμου. τὸ γὰρ ἑσπέριον πεφόβηνται μᾶλλον μέρος ἢ τὸ πρὸς ἕω διά γε τὸ Ῥωμαίοις μὲν ἐνταῦθα πολεμίους εἶναι, βαρβάροις δ' ἐνσπόνδους ἐκεῖ καὶ συμμάχους, ὅσον ἐφικτόν, ἐπιρρωννύουσιν ἔξωθεν καὶ ἐπικροτοῦσι φωναῖς συχνοτέραις καὶ ἀσήμοις οἷον κλαγγαῖς, καὶ μάλισθ' ὅτι καὶ πλῆθος Ῥωμαίων πρὸ δείλης ἑώας τεθέανται μάλα συχνὰ κατὰ ποταμοὺς ἐπιρρέον ἐξ ἠπείρου πρὸς θάλασσαν βοηθείας τε ἕνεκα τῶν Βενετικῶν, καὶ ἅμα τῶν ἐκ ναυαγίου λαφύρων. συνεπεπτώκει δ' οὐ μικρῶς τοῖς στρατεύμασιν ἑκατέροις ζημιωθῆναι. Γεννουιτικαὶ μὲν γὰρ ἀπώλοντο δύο καὶ εἴκοσι νῆες, Βενετικαὶ δ' ὀκτωκαίδεκα, ὧν αἱ πλείους ἦσαν τῶν Κατελάνων κραταιότερον ἀγωνισαμένων ἢ κατὰ πάντας. κατὰ στόμα γὰρ τοῖς πολεμίοις, ὡς εἴρηται, ἐπεισπίπτοντες, ναυάρχῳ ναύαρχος καὶ ναύτῃ ναύτης, καὶ συστάδην ὡς ἐπὶ ξηρᾶς μαχόμενοι, πολὺν εἰργάσαντο φόνον τῶν πολεμίων, ὡς καταδῦναι μὲν καὶ νῆας ἐνίας 3.89 αὐτάνδρους ὑπὸ βρίθους τῶν ἀλλήλοις ἐπιπηδώντων ἀπροόπτως ἐν σκότει καὶ νυκτί. ἦσαν δ' αἳ καὶ ἀπειρίᾳ καὶ ἀγνοίᾳ χωρίων ἐς βράχη συνερρήγνυντό τε καὶ εἰς γῆν τοὺς ἄνδρας ἐρρίπτουν, ὠθοῦντος τοῦ κύματος, ὡς καὶ ἐς τὴν ὑστεραίαν ὁρᾶσθαι τῶν Κατελάνων πολλοὺς πλανωμένους ἐν τῇ Ῥωμαίων γῇ, καὶ μὴ συνιέντας γλώττης Ἑλληνικῆς, μήθ' ὅπῃ γῆς εἰσί, μήθ' ὅπῃ χρὴ πορευομένους τὴν σωτηρίαν πορίζεσθαι. ἦσαν δ' οἳ κἀκ τῶν τραυμάτων λειποψυχοῦντες ἔπιπτον. οἳ δ' ἡμιθνῆτες ἔπιπτον κατὰ τῆς ψάμμου, οἳ δ' ἐκπεπνευκότες ἤδη τελέως ἀναμὶξ ἑκατέρων τῶν στρατευμάτων. ἐκβρασσομένων γὰρ τῶν νεῶν ὑπὸ τοῦ κύματος ἔξω παρὰ τὴν γῆν ἐξέπιπτον μὲν καὶ αὐτοί, τῆς δὲ συμπλοκῆς οὐκ ἠμέλουν, ἀλλ' ὅπλοις ἀντετίθουν ὅπλα καὶ φάλαγξι φάλαγγας πεζικάς, ὡς γίνεσθαι διπλοῦν ἐκεῖνον συμβαίνειν τὸν πόλεμον, ναυμαχίαν τε καὶ πεζομαχίαν κατὰ ταὐτόν. τραυματίαι δ' ὅσοι βαδίζειν ἐδύναντο, ἄλλος ἄλλῳ ἡγεμόσι χρησάμενοι τῆς ὁδοῦ, δι' ὅλης ἡμέρας ἐντὸς ἐγένοντο Βυζαντίου. καὶ ψυχαγωγίας ἔτυχον, ὁπόσον ἐφικτόν. τό γε μὴν παρὰ τὸν αἰγιαλὸν ἐπιρρεῦσαν ἕωθεν ἠπειρωτικόν, ὡς εἴρηται, πλῆθος ὀλίγους μὲν εἶχε τοὺς στρατιώτας, τὸ δὲ πλεῖστον ἐξ ἁπάσης τέχνης ἦν ξυμμιγές, ὅση τε βαναυσώδης καὶ ὅση τῇ γεωργίᾳ προσετετήκει· καὶ ἦν ἁπάντων ἐκείνων οὐδεὶς 3.90 ᾧ μὴ προσεγεγόνει κέρδος οἴκαδ' ἐπανιόντι, τῶν θαλαττίων κυμάτων ἐς γῆν ὅπλα καὶ βέλη παντοδαπὰ καὶ ἀσπίδας καὶ κράνη, καὶ τὰς κενεμβατούσας ἐν τῷ πελάγει τριήρεις ἀναμὶξ ἑκατέρων τῶν στρατευμάτων, ἐρήμους μὲν παντάπασιν οὔσας ναυμάχων ἀνδρῶν καὶ κώπης πάσης καὶ ταρσῶν, μεστὰς δὲ χρημάτων πολυτελῶν καὶ νεκρῶν πλουσίοις συμπεφυρμένων αἵμασι. Μετὰ μέντοι τὴν ναυμαχίαν ἐκείνην νόσου κοινῆς διανεμηθείσης τὸ πλεῖστον τῆς ναυτικῆς ἑκατέρας δυνάμεως, ἀποθνήσκειν ἐπῄει μάλα συχνοὺς ἑκατέρωθεν, ὡς εἰς ἀνάγκην ἰέναι βουλεύσασθαι ἑκατέρους ἃ ἐδόκει λυσιτελεῖν. ἐδόκει δὲ Βενετικοῖς μὲν τὸν ἴδιον μεταστῆσαι στόλον, καίτοι βουλομένους ἐκεῖ τὰς ἐκ Πόντου κατιούσας στρογγύλας τῶν πολεμίων ὁλκάδας αἱρεῖν, αἳ παρεκόμιζον ἔκ τε Σκυθῶν καὶ Τανάιδος τἀπιτήδεια. ἀλλ' ἀνθεῖλκε σφᾶς οὐ μόνον τὸ τοὺς νοσοῦντας αὐτῶν ἀνακτᾶσθαι βούλεσθαι, ἀλλὰ καὶ τῶν ἐπιτηδείων ἡ σπάνις πολλὴ καὶ ποικίλη καθ' ἡμέραν ἑκάστην ἀπαιτουμένη. διὸ λύσαντες τὰ πρυμνήσια ἐκεῖθεν παρὰ τὸν εἴσπλουν τοῦ τῶν Βυζαντίων λιμένος ἔστησαν καταχθέντες, τοῦ πρὸς ἕω βλέποντος, τὰς πολεμίας ἑστώσας εὐώνυμα ναῦς παραπλεύσαντες παρὰ τοὺς αἰγιαλοὺς τῆς Χαλκηδονίας γῆς τῶν βαρβάρων. στενοχωρούμενοι γὰρ κἀκεῖνοι τῇ τῶν ἐπιτηδείων ὁμοίως 3.91 σπάνει, καὶ ἅμα νοσοῦντας ὁρῶντες ὁπόσοις τῶν ἀρίστων ἀνδρῶν μὴ πολεμίου ξίφους τετύχηκεν ἔργον γενέσθαι, τοῖς τῶν βαρβάρων προσωρμίζοντο λιμέσιν ἐνσπόνδοις οὖσιν, ὡς εἴρηται, τροφῶν τε εἵνεκα καὶ πλείστων ἄλλων καὶ μεγάλων


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

καὶ παντοδαπῶν ἐλπίδων, καὶ πρός γε ἔτι θάπτειν ἐν ἀλλοτρίᾳ πόρρω που τῆς οἰκείας γῆς τοὺς οἰκείους νεκρούς, μὴ τῶν γαμετῶν καὶ τέκνων αἰσθανομένων. τοσοῦτον γὰρ τὴν τῶν πολεμίων κατεπλάγησαν τόλμαν ὥστ' οὐκ ἀρκεῖν ἐνόμισαν βαρβάρους ἐκ τοῦ σχεδὸν τὰ μέγιστα βοηθοῦντας ἔχοντες, ἀλλὰ καὶ τὰς τῶν οἰκείων μεγίστας ὁλκάδας ἀναγκαῖον ἔδοξεν ἀγαγόντας στιχηδὸν κατὰ μέτωπον παραστήσασθαι δίκην πύργων καὶ τειχῶν, στρατιώτας παμπόλλους ἐχούσας, ἐπί τε τῶν καταστρωμάτων καὶ ἄνω παρὰ τὰ τῶν ἱστῶν ἀκρωτήρια λίθων παρεσκευασμένους ἔχοντας σωροὺς ἐς τὸ ἐπιρρίπτειν τοῖς πολεμίοις καὶ τὸν ἐπίπλουν ἀνείργειν αὐτῶν. νῆας δ' ἔχοντες τὸν ἀριθμὸν ἐλάττους ἢ κατὰ τὰς πολεμίας, καὶ τούτων τὰς πλείους ἐρήμους στρατιωτῶν, τῇ τε ναυμαχίᾳ καὶ τῇ κατόπιν τῆς ναυμαχίας νόσῳ φθαρέντων, εἰς ἀνάγκας ᾔεσαν καὶ αὐτοὶ μισθοφορικὸν ἀθροίζειν ἐξ ἀλλοδαπῆς καὶ στρατιώτας ἐκ τῶν Βιθυνῶν καταγράφειν βαρβάρων, ἐνδιδόντος τοῦ σφῶν ἡγεμόνος Ὑρκανοῦ παμπόλλων ἕνεκα χρημάτων. μισθωσάμενοι τοίνυν ὑπὲρ χιλίους ἐκεῖθεν ψιλοὺς διεῖλον, καὶ τοὺς μὲν παραβοηθεῖν δεῇ 3.92 σαν ἐκτάξαντες ἀνὰ τὸν ἑῷον εἶχον αἰγιαλόν, τοὺς δὲ πέμψαντες τὸ τοῦ Γαλάτου φρουρεῖν προσετετάχεισαν πολίχνιον ἔνδοθέν τε καὶ ἔξωθεν, καὶ ἅμα συχνὰς ἐκδρομὰς καὶ καταδρομὰς ποιουμένους ληΐζεσθαι τὰ τῶν Βυζαντίων προάστεια, καὶ σφᾶς ἀντιπερισπᾶν ἐς οἰκεῖα πάθη, καὶ μὴ διδόναι σχολὴν μήθ' ὡς τὰ πολλὰ τοῖς Βενετικοῖς συμμαχεῖν, μήτ' ἔχειν ῥᾳδίως ἔξωθεν τἀπιτήδεια ἐσκομίζεσθαι. Ὃ δὴ καὶ μάλιστα πάντων μακρὰν ἐνεποίησε Βυζαντίοις τὴν βλάβην. ὑπὲρ γὰρ τὰς ὀκτωκαίδεκα χιλιάδας παρεισενεχθέντος τῇ πόλει στρατοῦ ναυτικοῦ, πολλῶν ἐς ἡμέραν ἑκάστην τροφῶν δεομένου, μὴ μόνον ἅπανθ' ἑξῆς ἐν βραχεῖ σπανίζειν ἐξεγένετο τἀπιτήδεια Βυζαντίοις, ἁπάντων σχεδὸν ἐκ πολλοῦ πανταχόθεν ἀποκλεισθεῖσι διὰ τὰς μάχας, τῶν τε ἄλλων ὁπόσα τραπέζης ἀναγκαίας εἰσὶ προσφορήματα, καὶ ὅσα ὁ γείτων πορθμὸς τοῖς ἁλιεῦσι παρεῖχε τὰ χρήσιμα ἐς ἡμέραν ἑκάστην τὸν ἅπαντα χρόνον, ἀλλ' ἤδη καὶ ὁ σῖτος ἡμερῶν ὀλίγων ἐς τὸ διπλάσιον ἀνήγετο τοῦ χθὲς καὶ πρώην τιμήματος. ὅθεν εἰς ἀπορίας ἐνέπιπτον μάλα μακρὰς οἵ τε τῶν Βενετικῶν ἡγεμόνες, ἀκουσίου δαπανώσης τὸν χρόνον ἀπραγμοσύνης αὐτῶν, ἅτε ἐφιεμένων μέν, οὐκ ἐχόντων δ' ὅθεν ἐγχειροῖεν ἂν τοὺς πολεμίους ἀμύνεσθαι, ἀσφαλῶς οὑτωσὶ πεφραγμένους ἔκ τε γῆς καὶ θαλάττης, ὡς εἴρηται. καὶ μάλιστα πάντων τὴν τοῦ βασιλέως ψυχὴν αἱ τῶν λογισμῶν 3.93 περιέκλυζον τρικυμίαι, συχνὰ τῶν καθ' αὑτὸν πραγμάτων ἀνακυκλοῦντος τοὺς κύβους, οἷς πρόσωπον μὲν ἐλπίδων ὑποτείνειν ἔπεισι χρηστόν, τοὐναντίον δ' ἅπαν ὡς ἐπίπαν ἔπειτα περαίνειν, ὥσπερ ἐξεπίτηδες πᾶσαν ἐπίνοιαν αὐτοῦ καὶ σπουδὴν παίζοντάς τε καὶ ἀνατρέποντας. καὶ τό γε δήπου μεῖζον, ὅτι τοσούτοις καὶ τηλικούτοις περιαντλουμένῳ χειμῶσιν ἀπεῖναι οὐκ ἦν οὐδὲ τὰς τῶν υἱέων αὐτῷ συμφορὰς τηνικαῦτα, ἀλλ' ἐστασίαζον ἤδη καὶ αὐτοὶ περὶ τῆς ἀρχῆς, καὶ ταῦθ' οὕτω ναυαγούσης τε κἀπὶ σαθροῦ τοὺς πόδας ἐρειδούσης καὶ ἐς τὸ πάνυ τι λίαν βραχύτατον πάνυ τι λίαν ἐλαυνομένης, ὅτε δήπου μᾶλλον ἐχρῆν τῷ πατρὶ καὶ βασιλεῖ κατὰ πᾶν ἐφικτὸν συναίρεσθαι σφᾶς, κοινῇ καὶ καθ' ἕκαστα, καθάπαξ ἅπαν ἴδιον βυθοῖς παραπέμψαντας λήθης. ὅ τε γὰρ Παλαιολόγος κἀπὶ τῇ θυγατρὶ γαμβρὸς Ἰωάννης, ὡς πάλαι πατρόθεν τὴν ἀρχὴν αὐτῷ προσήκουσαν ἔχων, ἀντείχετο ταύτης ὁλοσχερῶς, καὶ οὐδὲν οὐδενὶ τῆς διαδοχῆς παρεχώρει· ὅ τε Ματθαῖος υἱὸς ὢν καὶ αὐτός, ἐνέκειτο μάλα σφοδρῶς καὶ αὐτὸς ἀπαιτῶν, ὡς νῦν γε καὶ αὐτῷ προσηκούσης πατρόθεν, μεταπεσόντων ἤδη μεταξὺ τῶν σκήπτρων κατὰ τὰς ἀεὶ φερομένας οὑτωσὶ τῶν πραγμάτων τύχας, καὶ πρὸς ἄλλοτ' ἄλλους συχνὰ μεταρριπτουμένας, καὶ παραλλάξεσιν ἀτεκμάρτοις οὕτω καὶ ἀπορρήτοις οἰακιζούσας τὸν βίον, καὶ νῦν μὲν τούτῳ νῦν δ' ἐκείνῳ παρεχομένας τὴν τῶν οἰκείων εὐμένειαν ὀφ 3.94 θαλμῶν, καὶ τοὐναντίον αὖθις καὶ διὰ παντὸς ἑκάτερον, καὶ νόμον γίνεσθαι τοῦτον


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀνομοθέτητον εἰπεῖν, ἐπιφυεῖσαν τοῖς πράγμασιν ἄνωθεν καρπωσάμενον βλαστήν, καὶ μὴ ῥᾷστα δυναμένην ἀναίμακτον προΐεσθαι τὴν μεταβολήν, οὐδ' ἄνευ τὸ πλεῖστον εἰπεῖν τοῦ βιαίου. δεδιέναι γοῦν καὶ τὰς ἐφεδρευούσας τοῖς τοιούτοις κῆρας, ὅσαι θανάτων παντοίων μεστὰς ὑποτείνουσι χεῖρας· καὶ χρῆναι διὰ ταῦτα, πρὶν μεταστῆναι τὸν δίκην ἰσθμοῦ τοὺς ἑκατέρωθεν ἀναχαιτίζοντα κλύδωνας, τοὺς ἑκατέρων ὁρισθῆναι θεσμούς. Τοσαύτην τοίνυν κατ' αὐτοῦ ῥαγεῖσαν κυμάτων ἐπαγωγὴν ἐν ταὐτῷ συνορῶν ὁ βασιλεὺς οὕτω στενῷ κομιδῇ τῷ καιρῷ, ἤσχαλλέ τε καὶ ἐδυσφόρει, καὶ μακραῖς ἐβάλλετο καὶ πολυτρόποις τὴν ψυχὴν ὀδύναις. μὴ ἔχων δ' ὅπῃ βλέψας παρήγορον ἄν τινα δέξαιτο λόγον, ἔστενέ πως καὶ αὐτόν, καὶ οἷον ἀπολεγομένῳ ἐῴκει τὸ ζῆν. ἐχεμυθῶν γὰρ ἦν ἀεί, καὶ οὐδενί ποτε τῶν ἁπάντων ἐβούλετο κοινοῦσθαι τῶν τῆς ψυχῆς ἀπορρήτων οὐδὲν οὐδαμῇ· πάντων γὰρ καθάπαξ ἀποδοκιμάζειν εἴωθεν ἀεὶ τὰ βουλεύματα, καὶ πρὶν ἀκοῦσαι. οὕτω τοίνυν ὁρῶσαν τὴν βασιλίδα τὸν σύζυγον ἔχοντα λύπης, φάσκειν ἐπῄει τοιαδὶ πρὸς αὐτόν. "ὅτι μὲν οὐκ ἀθεεὶ τὰς συμφορὰς ἐπιέναι τοῖς ἀνθρώποις ἔστι, καθάπερ δήπουθεν οὐδὲ τὰς εὐπραγίας, ἀγνοεῖν οἶμαι τῶν πάντων οὐδένα, οἷς 3.95 νοῦ μέτεστι καὶ διανοίας, τῶν ἀεὶ γιγνομένων στοχαζομένοις ὀρθῶς. δίκαιον δ' εἶναι τὸν θεὸν καὶ δίκαια δρῶντας ἀνθρώπους φιλεῖν, καὶ τοῦτο δ' οἶμαι τοῖς ἅπασι γνώριμον εἶναι οἷς τὸν νοῦν τῆς ψυχῆς οἴαξι πηδαλιουχεῖσθαι ξυνερρυήκει συνέσεως. τὸ γοῦν ἕωθέν τινα τὴν πρόσω φάναι πορείαν βαδίζειν ἁπάσῃ σπουδῇ προθέμενον τοσοῦτον ὄπισθεν ἑσπέρας ὁρᾶσθαι καθήμενον ὅσον ἔμπροσθεν ἐχρῆν, τοῦτο δὲ καὶ οἷς ὀλίγος ἐμπέφυκε νοῦς, γνοίη ἂν θεοῦ πάντως εἶναι, μήτε μὴν τοῖς τοῦ βαδίζοντος τρόποις ἀρεσκομένου, καὶ ἅμα τοῖς τούτῳ δρωμένοις ἅπασιν ἐμφανῶς μαχομένου, καὶ ἐς τὰ πάνυ τῶν προοιμίων ἐναντιώτατα πέρατα τὴν σπουδὴν ἀντιπεριάγοντος. μέμνημαι τοίνυν οὐχ ἅπαξ, οὐδὲ δίς που καὶ τρὶς μόνον, ἀλλὰ καὶ μάλα δήπου γε πολλάκις ἀμφοῖν ἡμῖν εἰπόντος τοῦ Γρηγορᾶ κατὰ τὰς ἐνταυθοῖ πολλάκις ἰδιαζούσας μακρὰς καὶ πολυειδεῖς ἡμῶν ὁμιλίας (οἶσθα δὲ καὶ αὐτός) τὰς βίβλους εἶναι τοῦ Παλαμᾶ δυσσεβείας πλήρεις μακρᾶς· ἃς δεχομένοις ἡμῖν, καὶ πολλὴν καὶ παντοδαπὴν τὴν εὐμένειαν σφίσι παρεχομένοις, ἔφασκέ τε καὶ ὑπισχνεῖτο μηδενὶ τῶν ἡμῖν γε δρωμένων δημοσίων εὐδρομίαν ἀκολουθήσειν πρὸς τοῦ δικαίου θεοῦ, ἀλλ' ἀνατρέπεσθαί τε πάντα καὶ φθείρεσθαι προφανῶς, καθάπερ κεραυνοῖς αἰθερίοις τὰ λήια. εἰ δέ που καὶ δόξειε τῶν ἡμετέρων ἔργων ἓν ὁποιονοῦν ὁπῃοῦν εὐτυχεῖν ἐκ προοιμίων, ἀλλ' οὖν οὐκ 3.96 εἰς μακρὰν ἐκεῖ πικρὸν ἐπιφύεσθαι καὶ μάλα πολύχουν ἐν τοῖς πέρασι τὸ γεώργιον. τοῦτο δὲ καὐταῖς πανδήμοις σφοδρότερον ἠκηκόειμεν φάμενον, οὐ δισταγμοῦ τινὸς μέρος παραμιγνύντα τῷ ἤθει, ὁποῖος τοῖς δεδιόσιν ἕπεται τὴν τοῦ μέλλοντος ἀδηλίαν ὡς τὰ πολλά. καὶ οἶσθά γε ὡς ἠχθόμεθα τῆς παρρησίας τἀνδρί· ὃ δ' οὐκ ἐνεδίδου λέγων. σκεπτέον οὖν μὴ θεοῦ μαχομένου διὰ τὸ δόγμα πονῶμεν ἀνήνυτα." Ταῦτα τοίνυν καὶ τὰ τοιαῦτα διεξιούσης ἐκείνης, "ὦ γύναι" φησὶν ὁ βασιλεύς, "οὐ πάντα καθάπαξ χρεὼν ἀνατιθέναι θεῷ. εἶναι γάρ τινα καὶ τύχην τύραννον, κατὰ τὸ αὐτόματον ἐπιοῦσαν τοῖς τῶν ἀνθρώπων πράγμασι, κἀκ τοῦ προσεχοῦς αὐτὴν μᾶλλον τἀνθρώπεια διοικοῦσαν ἢ τὸν θεόν, ἐνέργειαν μὲν καλουμένην ἄκτιστον, δεσποτικοὺς δὲ χαρακτῆρας φέρουσάν τε καὶ δεσποτικῶς τοῖς πράγμασιν ἐπιστρατεύουσαν κατὰ τὴν τοῦ αὐτομάτου φοράν τε καὶ κίνησιν. εἰ δ' οὖν, λόγον ἐγώ σοι καὶ μάλα εἰδυίᾳ ἐρῶ, τῆς ἐμῆς ἀληθείας μάρτυρά τε καὶ βεβαιωτήν. οἶσθα γὰρ ὁποίαις καὶ ὅσαις ἠπειγόμην ἐξευμενίζειν τὸν θεὸν χρημάτων δόσεσιν, ἃς ἀφθόνοις παλάμαις ἐξήντλουν ἱερεῦσι καὶ μονοτρόποις, καὶ ὅσοι σπηλαίοις ἐνδιαιτῶνται καὶ ὄρεσι, καὶ ὅσοι τῶν ἄλλως πενίᾳ καὶ νόσῳ συζώντων ὑπῆρχον, καὶ πῇ μὲν δημοσίᾳ, πῇ δὲ βλέποντος ἁπάντων οὐδενός. ὤνησαν δ' ἡμῖν οὐδέν, ἀλλ' αὔραις, ὥς γε ἔοικεν, ἐκεῖνα πάντ' ἐκπεπονήκαμεν, καὶ περι 3.97 έστη ἡμῖν ἐκεῖνα παθεῖν ἃ μηδὲ τοῖς σφόδρα ἀνδροφόνοις διὰ βίου πεπονθέναι


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ξυμπέπτωκεν. ἀφ' οὗ δ' ὁμόφρων γεγένημαι Παλαμᾷ, καὶ βασιλεὺς εὐθὺς κεκράτηκα." ἣ δ' ὑπολαβοῦσα τοιάδ' ἀντέφησεν αὖθις. "ἐγὼ δέ" φησιν "ἐκ τῶν ἡμετέρων καὶ ἀνθρωπίνων βραχέα σοι φθέγξομαι. Εἰπὲ γάρ μοι· εἴ τις τῶν ἡμετέρων δούλων ἀμπελῶνος εἰπεῖν ἢ τῶν ἄλλως ἐχόντων ἡμῖν κτημάτων ἑνὸς οὑτινοσοῦν ἐπιμελητὴς ὑφ' ἡμῶν καταστάς, ἔπειτα τὴν μὲν δεσποτείαν ἡμῶν ἀφῃρεῖτο περιφανῶς, πολλοστημόριον δὲ τῶν ἐκεῖθεν παρείχετο φέρων ἡμῖν καρπῶν, οὐ μᾶλλόν γ' ἂν ἐμεμισήκειμεν ἐκεῖνον ἢ ἠγαπήκειμεν; τοῦτ' αὐτὸ νομίζειν ἔπεισί μοι καὶ περί γε τοῦ μόνου θεοῦ. εἰ γὰρ πλούτου καὶ δόξης τοσαύτης ἡμεῖς ἀπολαύοντες πρὸς θεοῦ, ἔπειτα τὴν αὐτοῦ δεσποτείαν πολυθεΐαν ἑκόντες ἤ τινι τῶν ἁπάντων ἑτέρᾳ παρ' αὐτὸν ἐνεργείᾳ, ἐξευμενίζειν ἐκεῖνον νομίζοιμεν πολλοστημόριον χρημάτων τῶν αὐτοῦ προσάγοντες αὐτῷ, θᾶττον μέντ' ἂν μισήσειεν ἢ ἀγαπήσειεν ἡμᾶς, ὅτι τὸ μεῖζον ἀφαιροῦντες τοὔλαττον παρέχομεν, ἢ μᾶλλον τὸ πᾶν ἀφαιροῦντες τὸ μηδὲν παρέχομεν. εἴη δ' ἂν κἀκ τῶν ἡμετέρων ἔτι πραγμάτων ἐναργέστερα τὰ λεγόμενα. οἶσθα γὰρ ὡς πρὶν ἢ ταῖς τοῦ Παλαμᾶ προστεθῆναι καινοφωνίαις ἡμᾶς, σφόδρα γε ἐξ οὐρίας ἡμῖν τὰ τῆς εὐδαιμονίας ἔπλει, καὶ οὐδὲν ἀντέπνει τῶν 3.98 δεινῶν ἀντίπρῳρον, ἀλλὰ καὶ ὑπ' ἄλλων τέως βασιλευόμενοι πλείω τῶν βασιλευόντων ἡμεῖς τὴν ἰσχὺν ἐκαρπούμεθα, καὶ τὸ τῆς βασιλικῆς ἐκείνης δόξης κλέος πλεῖον ἡμῖν ἢ τοῖς ἔχουσι περιῆν· ἐκείνων γὰρ ἐνομίζετο καὶ ἡμῶν ἦν. ἀφ' οὗ δὲ τοῖς ἀμφὶ τὸν Παλαμᾶν φέροντες συμμαχεῖν ἡμᾶς αὐτοὺς ἐδεδώκειμεν, κατὰ πόσας ἡ τίσις εὐθὺς ἠκολούθει· πᾶσαν μὲν γὰρ εὐθὺς κακοδαιμονίαν συλλήβδην εἰπεῖν διηντλήκαμεν, πᾶσαν δ' ἐκείνην τὴν δόξαν μετὰ τοῦ πλούτου παντὸς ἡμῖν ἀποβεβληκέναι ξυμπέπτωκε, καθάπερ τοῖς διαγρηγορήσασι τὰ ἐν τοῖς ὕπνοις ὀνείρατα. καὶ τὸ τῆς βασιλείας δ' ὀψὲ περιζωσαμένοις κράτος ἕπεται δυστυχεῖν ἡμῖν ἀνακράτος, οἶμαι, διὰ τὸ μὴ τὴν βασιλικὴν ἰσχὺν εἰς διόρθωσιν ἀλλ' εἰς διωγμὸν ἐκκενοῦν τῶν ὑπὲρ τῆς πατρίου λεγόντων πίστεως. ταῦτα δ' οὐ σοὶ λέγουσα ὀνειδίζω τὰς τύχας, ἀλλὰ τὰς ἐμὰς ἀποκλαίομαι συμφοράς. οὐ γὰρ ἄλλος ἐμοῦ γε σύ. τά τε γὰρ ἄλλα καὶ τῶν αὐτῶν ἐσμὲν ἄμφω γεννήτορες παίδων· καὶ εἰ μὴ πλέον, ἀλλ' ἐπ' ἴσης γοῦν σοι τὴν καρδίαν ἐμπίπρασθαί με κἀπὶ ταῖς νῦν αὐτῶν περιστάσεσι, πάντως οὐκ ἂν οὐδ' αὐτὸς ἀρνηθείης. εἰ δ' οὖν, λεγέτω μοί τις παρελθών, τίνος ἑτέρου τῶν πάντων ἕνεκα, τοσούτου κατέχοντος ἤδη ψύχους τήν τε γῆν καὶ τὸν περιέχοντα τοῦτον ἀέρα, καὶ τοσούτου χειμῶνος αὖθις τοῖς καθ' ἡμᾶς περικεχυμένου πράγμασιν, οὖσα γυνὴ 3.99 τὸν ἐντεῦθεν ἐς Ὀρεστιάδα καὶ Διδυμότειχον ἀναδέχομαι μόχθον, παύειν ἐπειγομένη τῶν κοινῶν ἡμῖν παίδων τὰς περιστάσεις, καὶ εἴ τινές ποτ' ἄρ' εἶεν καὶ ὅσοι κυκεῶνας καὶ κλύδωνας." Ἀλλὰ τὸν περὶ τούτων εἰς δάκρυα καταλελυκότες λόγον τέως ἀνέστησαν, καὶ ἡ μὲν βασιλὶς ἁπάσῃ σπουδῇ παρεσκευάζετο πρὸς τὴν ἔξοδον, ὁ δὲ βασιλεὺς πέμψας ἠξίου τὸν ἡγεμόνα Βιθυνίας καὶ γαμβρὸν Ὑρκανὸν μὴ βοηθεῖν Γεννουίταις. καὶ ἅμα περὶ τῶν αὐτῶν ἠξίου πέμψας καὶ ὁ τοῦ Βενετικοῦ ναύαρχος στόλου, καὶ δῶρα τὰ μὲν ἐδίδου τὰ δ' ὑπισχνεῖτο. ὃ δ' ἐλπίσι μετεωρίζων διῆγε κεναῖς, δύ' ἐν νῷ ἔχων ταυτί, ἓν μὲν χρήματα λαμβάνειν ἐξ ἀμφοῖν τοῖν μεροῖν, δεύτερον δ' ὅτι τουτωνὶ μαχομένων ἀλλήλοις ἀφοβίαν ἔχειν συνέβαινε τὴν αὐτοῦ δύναμιν περαιουμένην ληΐζεσθαι Θρᾴκην καὶ Μακεδονίαν, καὶ ὅσαπερ εἴη σκάφη καὶ ναυτικαὶ φορτίδες, φέρουσαί τε καὶ ἄγουσαι κατὰ νόμους ἐμπορικοὺς τἀπιτήδεια καὶ ὧν ἐν χρείᾳ καθίστανται νῆσοί τε καὶ πόλεις παράλιαι, τοῦτ' ἐκεῖνο σχεδὸν ὃ καὶ Φαρνάβαζος ἐκεῖνος ὁ Δαρείου παραθαλάττιος ἔπραττε στρατηγός, τῶν Ἑλλήνων πάλαι κατ' ἀλλήλων μαχομένων. ἀλλὰ γὰρ ἐπειδὴ καὶ τὸ συμβὰν ἐμεμαθήκει μεταξὺ κατ' αὐτοῦ πλημμέλημα νεωστὶ πρὸς τῶν τοῦ βασιλέως υἱέων, ἀνεπήδησέ τε εὐθὺς ὑπ' ὀργῆς καὶ ἠπείλησε τὸν σατραπικὸν καὶ βαρβαρικώτερον τρόπον. εἶχε 3.100 δ' οὑτωσὶ τὸ συμβάν. πρεσβείαν ὁ τῶν Τριβαλλῶν πρὸ βραχέος



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἡγεμὼν ἐπεπόμφει, πρὸς γάμου ζητῶν κοινωνίαν συνάψαι τὴν ἑαυτοῦ θυγατέρα τῶν τοῦ Ὑρκανοῦ τούτου παίδων ἑνί, ἵνα συγγενικῆς σχέσεως τὰς μεταξὺ σπονδὰς ἐρειδούσης μονιμώτερον τῇ τῶν Τριβαλλῶν ἐντεῦθεν εἴη χώρᾳ τὸ ἄφοβον. ἐς τοσοῦτο γὰρ ὁ βάρβαρος οὗτος ἤρθη δυνάμεως Ὑρκανός, ὡς μὴ μόνον Μακεδονίαν καὶ Θρᾴκην καὶ τοὺς ἐν Θρᾴκῃ ληΐζεσθαι Ῥωμαίους καὶ Μυσοὺς ἀδεῶς, ἤδη δὲ καὶ Τριβαλλοῖς μακρὸν ἐνέβαλε δέος, πολέμιον κἀπὶ τῆς χώρας ἐκείνων ἐκπέμπων στρατόν, καὶ πλείστην ἐκεῖθεν ἐπαγόμενος, ὁπότε βούλοιτο, λείαν. τὴν δὴ τοιαύτην ἀσμένως ὁ βάρβαρος δεδεγμένος πρεσβείαν, δεξιάν τε ἐπεπόμφει σπονδῶν, καὶ ἅμα τοὺς τὸ κῆδος βεβαιώσοντας πρέσβεις. καὶ μὲν δὴ τούτοις ἐνεδρεύσας ἐπανιοῦσι μετὰ Τριβαλλικῶν πρέσβεων καὶ δώρων συχνῶν, περί που τὰς τοῦ Ῥαιδεστοῦ παρόδους, ὁ τοῦ βασιλέως ἐπὶ θυγατρὶ γαμβρός, ὁ τοῦ τῶν Αἰτωλῶν καὶ Ἀκαρνάνων ἄρξαντος Κόντου πάλαι παῖς, τὰ μὲν δῶρα ἐκεῖνα ληστρικώτερον διήρπασε τρόπον, τῶν δὲ πρέσβεων οὓς μὲν ἀπέκτεινεν ἐξ ἐφόδου, οὓς δ' ἐζώγρησε. καὶ ἦν αὖθις καὶ τοῦτο προσθήκη δεινὴ τῇ τῶν ταλαιπώρων τύχῃ Ῥωμαίων. ὡς γὰρ χειμῶνος ἐν θαλάσσῃ κυμάτων ἀλλεπαλλήλων πλῆθος, οὕτως ἄλλο ἐπ' ἄλλοις ἀεὶ κἀνταῦθα συμπίπτει δυστύχημα· καὶ πρὶν τὰ πρῶτα δυνηθῆναι θεραπεύειν ὁπωσοῦν, ὁ τῆς ἁμαρτίας 3.101 δαίμων ἐπαντλεῖ τὰ δεύτερα, κἀπὶ τούτοις αὖ ἀεὶ τὰ μείζω καὶ μηδαμῇ προσδοκώμενα. ναὶ μὴν καὶ ὅσα τῶν παρεσκευασμένων βέβαιόν τε καὶ ἀναμφίλεκτον ἔχειν δοκεῖ πως τὸ εὔδαιμον, καὶ οἷς οὐδεὶς οὐδ' ὁθενοῦν οὐδ' ὁτιοῦν ἔχει μέμφεσθαι, ἕωθεν ἐς ἑσπέραν ἀνατρεπόμενα πάντα κεῖται, καὶ ἐς τοὐναντίον περιχωρεῖ, καὶ ῥᾷστα τῷ τῆς ἁμαρτίας περιτρέπει δαίμονι, ἐξ αὐτῶν ἀπηρτισμένα τελέως εἰπεῖν ἁρπαζόμενα τῶν χειρῶν. καὶ ἀεὶ πλείους καὶ κρείττους κεκτημένοι πολλαχόθεν τὰς ἀφορμὰς τῶν μαχίμων παρασκευῶν, ἥττους ἐν τοῖς καιρίοις ἑκάστοτε μακρῷ τῶν πολεμίων ἐξαίφνης φαινόμεθα· καὶ ἀεὶ γέμοντες ἐλπίδων χρηστῶν, ἀεὶ μακρῶν οὐκ εἰς μακρὰν ἀπογνώσεων τοὺς ἐν τέλει τρυγῶμεν καρπούς. ὃ καὶ μακρᾶς περιίστησί μοι τὰς ἀπορίας, καὶ πολλοῖς καὶ μάλα ἀτόποις περικλύζει τοῖς ἐντεῦθεν κύμασιν, ὡς μηδὲ τὴν γλῶτταν ἔτι πρόσω δύνασθαι κινεῖν, χείροσιν ἀεὶ διηγήμασιν ἐντυγχάνουσαν. καὶ ἢν μὴ σύ μοι λύσαις, Ἀσκληπιός τις καὶ Ἱπποκράτης οὑτωσί πως καμνούσῃ φανεὶς διανοίᾳ, οὐκ ἂν ἐμοὶ τῶν ἐφεξῆς ἐνείη λέγειν οὐδαμῇ, ἀλλ' ἐνταῦθα δή με τῶν ἀποριῶν αἱ φάραγγές τε καὶ τὰ ἔνεδρα φάναι τὸν οὕτω ταλαίπωρον κάμψαι βιάσονται δρόμον τῶν λόγων, πρὶν τῶν δεινῶν ἐπιθεῖναι τὰ μείζω. ἄγε δὴ οὖν, ἄγε, φίλη μοι κε 3.102 φαλή, τὸ δοκοῦν περὶ ὧν ἂν ἐροίμην, ἀπόκριναι σὺ πρὸς θεοῦ. εἰπὲ πῶς πολλῶν καὶ παντοδαπῶν κατ' ἄλλοτ' ἄλλους καιροὺς ἁμαρτόντων ἀρχόντων καὶ ἡγεμόνων, οὐ τοσαῦτα καὶ τὸ ὑπήκοον ὅσα νῦν πεπονθέναι συμπέπτωκε, μικρὰ δ' οὖν ἢ οὐδέν. ἔπειτα πῶς τῶν ἀρχόντων ἐξουσίᾳ τὰ χείριστα δρώντων, αὐτῶν μὲν τοῖς πλείοσιν ἥκιστα πάσχειν συμβαίνει, σφόδρα δ' οὖν τοῖς ὑπηκόοις, καὶ ταῦθ' ὡς τὰ πολλὰ τοῖς πλείοσι τὴν τῶν ἀρχόντων ἐκείνων βδελυττομένοις μὲν κακίαν, διὰ δὲ φόβον φρίττουσί τε καὶ καταδυομένοις. Καὶ τίς θεοῦ κρίματα δύναιτ' ἂν ἐρευνᾶν, Ἀγαθάγγελε φίλτατε; εἰ μὲν γὰρ ἀλλήλοις ἦν ἀλλήλων γνώριμα, καὶ πᾶσι πάντων ἴσως, ὁπόσα ψυχαῖς ἀπόρρητα θαλαμεύεται, εἶχεν ἂν ὅπως ποτέ τις μεθ' ὁποιασδηποτοῦν τῆς γνώμης τὰ ἑκάστῳ γινόμενα εἰδὼς ἀκαπήλευτον ἐκφέρειν κρίσιν. νῦν δ' ὁρῶμεν ὡς οὐδ' αὐτός τις ἕκαστος δύναιτ' ἂν ἑαυτῷ συνορᾶν ἁμαρτάνοντι, ὅτι τε μάλιστα πάντων περὶ ἑαυτὸν ἐκτετύφλωται μάλιστα πάντων ἑαυτῷ φιλούμενον, καὶ ὅθ' ἥκιστα οἶδεν εἰ τοῦ χρόνου ῥέοντος ἡ κακία ποσὶν ἀδήλοις ἐπιδραμοῦσα δαπανήσει, κύβων δίκην μεταθεῖσα σύνεσιν αὐτῷ, καὶ τοὐναντίον αὖθις ἧγε τῇ κακίᾳ μαχομένη φύσις τἀγαθοῦ. εἰ δὲ τοῦθ' οὕτω, πολλοῦ μέντ' ἂν δεήσειε τὰ ἑτέρων ἑτέρους εἰδέναι ποτέ. θεῷ γὰρ μόνῳ τοῦτ' ἀπρόϊτον τετήρηταί γε καὶ τετα 3.103 μίευται. ἀνθρώπων δ' ὃς ἂν δρῴη τἀγαθά, πνέοντα βίον εἰρήνης εἶναί οἱ ὑπεσχημένον ἐκεῖθεν βιοῦν, ὃς δ' οὖν τἀναντία, τούτῳ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

δ' αὖ τἀναντία. εἶναι δ' οὐ πάνυ τι ἐλαχίστον οὐδ' ἀγεννῆ τινὰ τὴν μεταξὺ διαφοράν, ἣν ἀγαθά τε ἔχει πρὸς ἀγαθὰ καὶ ἣν αὖ κακία πρὸς κακίαν. ἀγαθῶν μὲν γὰρ ἁπάντων κράτιστόν τε καὶ πρώτιστον ἔγνωμεν εἶναι τὴν πρὸς θεὸν εὐσέβειάν τε καὶ ἀκαπήλευτον πίστιν. "ἀγαπήσεις" γάρ φησι "κύριον τὸν θεόν σου ἐξ ὅλης ψυχῆς καὶ ἐξ ὅλης τῆς διανοίας σου," καὶ πάλιν "κύριον τὸν θεόν σου προσκυνήσεις, καὶ αὐτῷ μόνῳ λατρεύσεις." τὸ γὰρ ἄλλῳ τῳ λατρεύειν τῇ κτίσει παρὰ τὸν κτίσαντα λατρεύειν ἐστί. γνώριμον δ' ἂν εἴη σοι πάντως ἡ τῶν τοιούτων ἀγαθῶν ἐκ τῶν βαθμῶν ἑξῆς καὶ ὑποβάσεων τῆς ἀπαριθμήσεως διαφορά. κακῶν δ' αὖ ἁπάντων ἂν εἴη κάκιστον ἐκ διαμέτρου πάντως ὁ θεοῦ χωρισμός, οὗ σημεῖον καὶ γνώρισμα προφανὲς ἡ τῶν πατρίων κανόνων καὶ νόμων ἀθέτησις, ἣν προσθέσεσί τε γίνεσθαι καὶ ὑφαιρέσεσι τοῖς θεομάχοις συμπίπτει, καὶ ἅμα ταῖς ἀναιδέσιν ἐπιορκίαις. οὐδὲ γὰρ ἂν ἐπιορκῆσαί ποτε γένοιτο θεόν, ὅτῳ ἂν εὐσεβεῖς περὶ θεοῦ τὰς ὑπολήψεις ἐν καρδίᾳ περιθάλπειν ἐνείη. μάθοις δ' ἂν ἀκριβῶς, Ἰουδαίων ἐξετάζων τοὺς πάλαι, οἷς τὸ τοῦ θεοῦ σέβας εἰς ἀλλοτρίους μετατιθεμένοις θεοὺς δούλοις εὐθὺς καθίστασθαι τῶν περιοίκων συνέπιπτεν ἐθνῶν, ὧν εὐσεβοῦντες ἦσαν δεσπόται, ἡγεμόνος δ' αὖθις εὐσεβοῦς καθισταμένου, 3.104 καὶ τῶν ἐναντίων αὖθις ὑπερτέροις γίνεσθαι καθίστατο. καὶ ἵνα τοὺς πάλαι καταλίπωμεν, ὅρα μοι Κωνσταντῖνον τὸν μέγαν ἐν βασιλεῦσιν, ᾧ τὸ τῶν ψευδωνύμων σέβας εἰς τὸν ἀληθῆ μετενεγκόντι θεὸν πλείονος ἢ κατὰ πάντας τοὺς πρὸ αὐτοῦ βασιλέας ἄρξαι γέγονε γῆς. ἀλλὰ τοῖς μετ' ἐκεῖνον εὐθὺς ἄρξασί τε καὶ ἀρξαμένοις τὰς αἱρέσεις κατὰ τῶν θείων δογμάτων εἰσάγειν τῆς πίστεως, καὶ θεὸν ἐπιορκεῖν ὃν ἄκροις ἔφασκον σέβειν τοῖς χείλεσιν, εὐθὺς καὶ τὸ τῆς ἀρχῆς ἐκείνης ὑπὸ τῶν ἐχθρῶν ἠρέμα καὶ κατὰ μικρὸν ζημιοῦσθαι συνέβαινε μέγεθος. Ἀλλ' ὁ μακρὸς ἐπιλείψει με χρόνος παλαιῶν τε καὶ νέων ὑποδειγμάτων μεμνῆσθαι πρὸς τὴν τῶν εἰρημένων ἀλήθειαν θέλοντα. τοῦτο δ' οὐ πάνυ τι συγχωρεῖν τὴν τῆς ἱστορίας ἁπλότητα. διὸ τοῖς ῥηθεῖσιν ἐκεῖνο μόνον προσθεὶς ἀπαλλάξομαι. μαθεῖν γὰρ ἐζητήκεις καὶ ὅπως τῶν προσεχῶς τῆς κακίας αἰτίων ἀρχόντων ἥκιστα πασχόντων ἐνίοτε, μόνον πολυτρόποις δαπανᾶται πάθεσι τὸ ὑπήκοον, μικρὰν ἴσως ἢ μηδεμίαν ἑτέραν συνεισενεγκάμενον τὸ παράπαν πλὴν τοῦ συνειδέναι καὶ συμπαρανομεῖν διὰ φόβον. φαίνεται τοίνυν ὥς γε τῶν πάλαι βίβλων αἱ πλείους οὐ μικρὰς συνιέναι παρέσχον τὰς ἀφορμάς, καὶ ἅμα ἡ χρόνιος ἡμῶν ὅπως ποτὲ πέπεικεν ἐμπειρία, ὡς οἷς τῶν ἡγεμόνων μήτε πᾶν τὸ τῆς αἰτίας ἄντικρυς ἀνεῖται ἐς κακίαν ἐνδόσιμον, ταῖς τε συμφο 3.105 ραῖς τῶν ὑπηκόων κηδεμονικῶς καμπτομένοις ἐν ταπεινώσει γίνεται καρδίας τούτοις ἐπικαλεῖσθαι τὸν κύριον, τούτους δήπουθεν οἰκτείρων ἐνταυθοῖ κατὰ τὸ τῆς αἰτίας δίδωσι πάσχειν ἀνάλογον, ἵν' ἐς τὸ μέλλον σχῇ κουφοτέραν τὴν κόλασιν. εἰ δ' αἴτιος μὲν τῆς ὅλης εἴη κακίας καθάπαξ αὐτός, δι' ἣν ἐς φθορὰν ὁλοσχερῆ τὸ ὑπήκοον καταφέρεται, ἔπειτ' αὐτὸς ἀνάλγητός τε μένων καὶ ἥκιστα ταῖς τοιαύταις συμφοραῖς μήτε καμπτόμενος, μήτε μὴν οὐδ' ἄχρι τοῦ φαινομένου συμπάσχειν ὁρώμενος σχήματος, ἔπειτα μακρὸν ἐξ ἀπονοίας
καὶ τῦφον ἐν ψυχῇ περιθάλπει, δικαίωμα τοῦ μὴ δῆθεν αὐτὸν ἁμαρτεῖν τὸ μὴ πάσχειν οἰόμενος, τούτῳ πάντας ἐκεῖ τοὺς τῆς δίκης λαμπρῶς ταμιεύει πρηστῆρας. μηδὲ γὰρ εἶναι τὴν ἐνταῦθα κόλασιν ἀποχρῶσαν οὕτω μεγάλοις καὶ παρανομωτάτοις πταίσμασιν ἀσεβείας, ἧς τὰς δίκας αὐτός θ' ὑπὲρ ἑαυτοῦ ὀφλισκάνει, καὶ ἅμα ὑπὲρ τοῦ τῶν ὑπηκόων δι' αὐτὸν ἀπολωλότος πλήθους· ποιμένος γὰρ ἀνειλημμένος τόπον, μὴ μόνον οὐ πεποίηται τὴν ἁρμόττουσαν τῷ ποιμνίῳ πρόνοιαν, ἀλλὰ καὶ φθορᾶς αὐτῷ προσεπεδαψιλεύσατο τρόπους, λύκος ἀντὶ προστάτου καὶ ποιμένος φανείς. ἔπειτα οὐδ' ἡμῖν ἀνθρώποις οὖσιν ἀνεῖται τὴν ἐν ὁτουδηποτοῦν ἑτέρου κρυπτομένην καρδίᾳ κακίαν ἢ ἀρετὴν πλὴν ὅσον ἐκ τῶν ἔξωθεν σχημάτων καὶ χρωμάτων τοῦ τε ἤθους καὶ τῶν λόγων εἰκα 3.106 σίας


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

θηρᾶσθαι τινὰς ἀμυδρῶς. γνοίης δ' οὖν ὁμῶς κἀντεῦθεν, εἰ τὰ πλείω διὰ συντομίαν καὶ τουτωνὶ παρέντες τοῦ ἄρχοντος διεξέλθοιμεν ἔνια. ἔσται γὰρ ἐκ τῶν ἔξωθεν σημείων γνώριμος τοῖς συνετωτέροις καὶ τουτουὶ τῆς ψυχῆς ἡ διάθεσις, καὶ ὡς σφαλεραὶ μὲν περὶ θεοῦ τῇ τούτου καρδίᾳ θαλαμεύονται ἔννοιαι, καὶ κηλίδων οὐ μάλ' ἀξίων τοῖς τῆς εὐσεβείας δόγμασι τὸ λογιζόμενον ἐμπίπλαται τῆς ψυχῆς. καὶ τοῦτ' ἂν εἴη τοῦ μηδὲν τῶν αὐτῷ πραττομένων εὐοδοῦσθαι τὸ αἴτιον, ἥκιστ' ἀνεχομένου θεοῦ μὴ θεατρίζειν τὴν ἐν τοῖς τῆς καρδίας θαλάμοις κεκρυμμένην κακίαν διὰ τῶν ἔξωθεν πραγμάτων. ἔχει δὲ οὕτως. Ὁ Πισσαῖος Νικόλαος, ὁ τῶν τεσσαρεσκαίδεκα Βενετικῶν νεῶν ναύαρχος ἐκείνων, ἃς καταπεπλευκέναι πέρυσιν ἔφαμεν κατὰ τοῦ Γαλατωνύμου φρουρίου, ἐπειδὴ καὶ βασιλέα σύμμαχον λάβοι καὶ ὁμόφρονα τοῖς Βενετικοῖς κατὰ τῶν Γεννουιτῶν, ὅρκους φρικώδεις δοὺς καὶ λαβών, ἔπειτ' αὐτὸς μὲν ὅλος τῶν ἐνεστώτων τηνικαῦτα γινόμενος ἔργων τὸν βασιλέα πρὸς μὲν τὴν μάχην ἐκείνην ἀργῶς διακείμενον ἔβλεπε, πρὸς δ' ἕτερα τὴν ὅλην σπουδὴν περισπώμενον, τὰ καθ' ἡμῶν ἐκεῖνα δηλαδὴ λῃστρικὰ συνέδρια, βιαιότερόν πως ἐνέκειτο διεγείρων εἰς τοὖργον. πάντων γὰρ ἔλεγεν ἥκιστα δεῖν καρτερεῖν ἐνταυθοῖ, τῶν πολεμικῶν οὐκ ἀνεχομένων ὅλως πραγμά 3.107 των οὐδ' ἐς μικρὸν ὑπερτίθεσθαι, ἀλλ' ἐν τῷ παραχρῆμα τὴν ἔμπρακτον ἀπαιτούντων ὀξύτητα. δὶς δ' οὖν καὶ τρὶς καὶ πολλάκις ὁμοίας αὐτῷ παρεῖχε τὰς ἀποκρίσεις ὁ βασιλεύς, μετὰ μάλα τι γαύρου καὶ ἀναμφισβητησίμου τοῦ ἤθους, "μεῖνον" λέγων "μικρόν με καταβαλεῖν τοὺς δογματικοὺς ἐχθροὺς τῆς ἐμῆς προαιρέσεως ἐπειγόμενον. κἄπειτ' ἀναστὰς ὡς νοσσιὰν τὸ πολέμιον τουτοῒ καταλήψομαι φρούριον, ῥᾷον ἢ κατὰ πᾶσαν ὑμῶν προσδοκίαν." ἔπειτα κατεσπουδασμένην τινὰ καὶ σχέδιον δι' ἐκεῖνον δῆθεν τὴν ἡμετέραν ποιεῖσθαι θέλων ἀπαλλαγήν, στραφεὶς πρὸς τοὺς ἡμῶν ἀσκητικοὺς ἐκείνους ἄνδρας, οἳ τοῖς τῆς μακρᾶς ἀρετῆς καὶ πολυετοῦς ἀσκήσεως ἴχνεσι τὸ αἰδέσιμον λίαν ἐκόσμουν τῆς πολιᾶς, ἔφασκε τοιαδί. "τοσοῦτο βέλτιον αἱροῦμαι" φησὶν "τὰς ὑμῶν ἀράς, ὅσον μισῶ τὰς εὐχάς· τοσοῦτο δ' αὖ ἀπαναίνομαι τὰς Παλαμικὰς ἀράς, ὅσον ἀσπάζομαι τὰς εὐχάς." ἔπειτ' ἐκεῖνα τὰ λῃστρικὰ πεπραχὼς ἐξ αὐτοσχεδίου, ἃ μακρᾶς τινὸς δεῖται σχολῆς ἀφηγεῖσθαι, πρὸς τὸν Λατινικὸν ἐξῄει πόλεμον, μακράν τινα σφόδρα καὶ ὡς εἰπεῖν ὑπερνέφελον ἐπαγόμενος τὴν ὀφρύν, ὅτι τοιούτοις ἐφοδίοις καθώπλισεν ἑαυτόν. εἰ δὲ καὶ τὰ τῶν αἰθερίων κεραυνῶν ἀμυντήρια τηνικαῦτα καθεύδειν προῄρηνται, τρίβον τῇ ὀργῇ φιλανθρώπως ὁδοποιοῦντος τοῦ κτίσαντος, ἀλλ' ὁ ἐφεξῆς ἐκεῖθεν οὐκ ἔληγε χρόνος νύκτωρ καὶ μεθ' ἡμέραν ἀεὶ διὰ τῶν ἔργων ἐλέγχων περιφανῶς, καὶ πάσας αὐτόχρημα πανηγυρικῆς βοῆς ἐμπιπλῶν ἀκοάς, καὶ ἐξαγγέλλων τὰς ἐκ πολλοῦ τῇ 3.108 καρδίᾳ τἀνδρὸς ἐντεθησαυρισμένας δυσσεβεῖς περὶ θεοῦ καὶ τῶν θείων δογμάτων ἐννοίας καὶ τοὺς τῆς ἀπονοίας ἐκείνης γεννήτορας τύφους. Ἔτι καὶ τοῦτο προσθήσω τοῖς εἰρημένοις, ἀκόλουθον εἰς παράστασιν τῆς γνώμης ὑπάρχον καὶ τοῦτο τἀνδρός. ἔστι δὲ τῶν πολλῶν ἓν ἃ φειδοῖ παρήκαμεν αὐτοῦ. Εἰρήνη γὰρ ἡ βασιλὶς καὶ σύζυγος αὐτοῦ πολλὰς ἐπήνεγκεν ἐμοὶ παρακλήσεις, εὐχαριστήριον ὡς ἐξ αὐτῆς ἐκθεῖναι λόγον τῇ πανάγνῳ μητρὶ τοῦ θεοῦ, ἅτε τὴν σφῶν βασιλικὴν ἐς Βυζάντιον εἴσοδον καὶ λῆξιν τῆς ἐπικινδύνου καὶ μακρᾶς ἐκείνης πλάνης ἐν μνήμῃ μιᾷ τῶν αὐτῆς ἑορτῶν γενομένην, καὶ οὐκ ἄλλοθεν εἶναι ὁμολογεῖν ταυτηνὶ τὴν ἐπικουρίαν πλὴν αὐτῆς. φιλοτιμότερον τοίνυν ἐμοῦ τὸν τοιοῦτον ἐκδεδωκότος λόγον διὰ τὴν τῆς βασιλίδος ἔφεσιν, αὐτὸς θεασάμενος ἀντὶ τοῦ ἀγαπῆσαι μεμίσηκε μάλα τι μᾶλλον, ὅτι μὴ τῇ αὐτοῦ συνέσει καὶ στρατηγίᾳ τοῦ τροπαίου τὸ πᾶν ἀνῆπτεν, ἀλλὰ τῇ μητρὶ τοῦ θεοῦ, ὥσπερ ἂν εἰ νεκρὸν ὑπάρχοντα κεκόμικε, φησίν, αὐτὸν ἐκείνη μετὰ ξυλίνου τινὸς κραββάτου. πρὸς ταῦτ' ἐγὼ μὲν ἐξεπεπλήγμην, καὶ τὴν αὐτοῦ κατ' ἐμαυτὸν κακοήθειαν ἐμεμψάμην· ἡ δὲ βασιλὶς Εἰρήνη λόγοις μὲν σκληροτέροις τοῖς πρὸς αὐτόν, ἔργοις δὲ τοῖς ἐφεξῆς ἔφηνεν ὅσον τῆς εὐηθείας καὶ αὐτὴ τοῦ συζύγου


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

κατέγνω. διὰ γὰρ μεγάλης ἔχουσα σπουδῆς λαμπρὰν τῇ θεοτόκῳ καὶ πολυτελῆ πανήγυριν ἑορτάζειν 3.109 κατὰ περίοδον τῆς ἡμέρας ἐτήσιον, ἀπέσχετο τοῦ λοιποῦ καὶ σεσίγηκεν, οὐ καλὰ μαντευομένη περὶ τἀνδρός, οὐδ' ἑσπέρας ἀπαντήσειν στοχαζομένη τὸν δρόμον τοῦ βίου χρηστὸν αὐτῷ καὶ παισί. καὶ μὲν δὴ τοῦτ' ἦν ὃ τήν τε πρόθεσιν καὶ προθυμίαν ἔσβεσε τῆς βασιλίδος τότε, καὶ τὴν ἑορτὴν ἐκείνην πέπραχεν ἀνέορτον πρὶν εἰς ἡλικίαν ἐληλυθέναι, ῥίζαις αὐταῖς ἐκτεμόν, καὶ λήθης πυθμέσι μετὰ τοῦ πανηγυρίζοντος ἐκείνου καταχῶσαν λόγου. Ἐμοὶ δὲ πλεῖστα διεξιέναι ἔχοντι παραπλήσια, σιγῇ δ' οὖν παρεληλυθέναι κέκριται δεῖν, αἰδοῖ τῆς πάλαι τοῦ ἀνδρὸς φιλίας. ἀποχρῆναι γὰρ οἶμαι κἀκ τούτων ἀνιέναι συνετοῖς ἀνδράσι, καὶ μάλιστα σοί, διὰ τῶν ἔξω τοιούτων ἰχνηλατοῦντι σημείων ἐπὶ τὰς πρώτας αἰτίας καὶ διαλήψεις τῶν τῆς ψυχῆς τοῦ ἀνδρὸς ἕξεων καὶ διαθέσεων, καὶ ἠρέμα καὶ κατὰ μικρὸν ἀεὶ σκοπουμένῳ τε καὶ ἀναλαμβάνοντι τὸν τῆς συνεχοῦς εἰκασίας εἱρμόν, τοῖς πρώτοις ἐναρμόττειν ἴχνεσι τὰς κατόπιν τὰς ἐκ λογισμῶν ἐφόδους, κἀκ ποίας εὐθὺς εἰδέναι ῥίζης τὸ πονηρὸν ἐκεῖνο βλαστάνει γεώργιον, κἀκ ποίας χεῖται πηγῆς τὰ τοσαῦτα κατὰ τῶν θείων τῆς ἐκκλησίας δογμάτων ναυάγια, καὶ ὅθεν ἔτι πολύχουν οὕτω καὶ ἄφθονον κατὰ τῆς Ῥωμαίων τύχης ῥεῖ τὸ κακόδαιμον, καθ' ὅσον ἐφικτὸν ἀνθρώποις· τὸ γὰρ ἄκρως ἀληθὲς μόνῳ θεῷ τεταμίευται. ὥστε σε χρεὼν ὁρῶντα πλείστους οὐ μεγάλα μὲν ἐς προὖπτον 3.110 ἁμαρτάνοντας, μεγάλα δ' οὖν ἐς προὖπτον πάσχοντας, μήτ' ἀπορεῖν μήτε γνωσιμαχεῖν ἐς πλεῖστον, ἀλλὰ τῷ μόνῳ θεῷ παραπέμπειν τὴν κρίσιν, τῷ τὰς πρώτας αἰτίας γινώσκοντι τῆς τὰς ἐννοίας ἐχούσης ψυχῆς περὶ θεοῦ τε καὶ τῶν θείων δογμάτων πάνυ τι σφαλεράς, καὶ ἥκιστ' ἐς πλεῖστον ἀνεχομένῳ τὴν τῶν πλείστων ἐν τούτοις καλύπτειν σιγήν, τῶν τε ἄλλων καὶ ὅσοι τοῖς ἐπισκοπικοῖς ἐνιδρύονται θρόνοις, οἳ συνευδοκεῖν ἑκοντὶ ταῖς ἀρχαῖς καὶ ἐξουσίαις οὐκ ὀκνοῦσι τοῦ παρόντος αἰῶνος, πῇ μὲν ματαίας ἕνεκα δόξης καὶ τύχης, πῇ δὲ προσκαίρων οἵων δὴ τινῶν φόβων. ἑκόντες γὰρ ἑκάτεροι τὰ μέγιστα λανθάνουσι βλάπτοντες κοινῇ τε καὶ καθ' ἕκαστα ἑαυτούς, τῆς αἰωνίου δόξης τὴν αἰώνιον ἀλλαττόμενοι κόλασιν. ἢ γὰρ ἂν καθάπαξ ἅπαντες, ἢ τό γε δεύτερον οἱ πλείους, ὑπὲρ τῆς πατρίου πίστεως ἐς μίαν ἀθλητικὴν παραταξάμενοι φάλαγγα δυοῖν τε τῶν καλλίστων ἐτύγχανον, καὶ ἅμα δυοῖν τῶν κακίστων ἀπείχοντο. τήν τε γὰρ ἑαυτῶν ἀίδιον ἐκαρποῦντο ὠφέλειαν, καὶ ἅμα τὸν βασιλέα μακάριον ἔδρων, τοῖς πατρίοις πείθοντες ὅροις ἐμμένειν καὶ δόγμασι. μηδὲ γὰρ δυνάμενος καθάπαξ ἅπασιν αὐτὸς ἀνθίστασθαι, καὶ ἄκων γοῦν τοῖς τῆς ὁμοφροσύνης εὐσεβέσιν ὅροις συνηλαύνετ' ἄν, καθὰ καὶ πλείστοις ἄλλοις ἀλλαχῇ πολλαχῇ συμπεπτωκὸς κατ' ἄλλοτ' ἄλλους τοὺς χρόνους, νῦν μὲν ἐνίοις ἐνιαχοῦ, νῦν δὲ 3.111 πλείστοις, τὸ πλεῖστον εἰπεῖν εἰς σωτηρίαν ἀπέχρησε. καὶ οὕτως οὔτε τῆς αἰωνίου δόξης ὑπερόριοι ἐγίγνοντ' ἄν, καὶ ἅμα τῆς αἰωνίου κολάσεως ὑπερόριοι μάλα τι εὐπρεπῶς ἐγίγνοντ' ἄν. κἀντεῦθεν τήν τ' οἰκείαν συνέβαινεν ἂν χώραν ἀζήμιον ἔχειν ἀεί, καὶ ἅμα τὴν ἀλλοτρίαν προσκτᾶσθαι, καὶ δουλοῦσθαι μὲν οὐδέσιν ἔθνεσιν οὐδέποτε, δεσπότας δ' ἄλλοτ' ἄλλων γίγνεσθαι κατὰ μικρὸν ἐθνῶν ἀεί, τῆς θείας ἀεὶ δεξιᾶς εὐμενῶς φυλαττούσης τὸν ἴδιον κλῆρον, εὐθυνούσης πρὸς εὐκληρίαν πλάτος καὶ μέγεθος. Ἀλλ' ἔγωγέ σοι, φίλη μοι κεφαλή, τὰ παραπλήσια ἐπειπὼν βεβαιώσω τὰ εἰρημένα σαφέστερον, ἐκ πάνυ πολλῶν ὧν μοι τετύχηκε πρὸ βραχέος ἀκηκοέναι καὶ ὧν εἰληφέναι δι' ὄψεων, πάνυ βραχέα σὴν ἐκλεξάμενος χάριν. οἶσθα δὴ πάντως καὶ Συμεὼν ἐκεῖνον, ᾧ τὸ νομοφύλακος προσεγεγόνει ἀξίωμα ἐν τῇ τῶν πραγμάτων ζάλῃ, ὃς τοῖς Παλαμίταις καὶ στόμα καὶ γλῶττα καὶ νόμος ἦν, καὶ στρατηγὸς τῇ παρανόμῳ φάναι καθίστατο φάλαγγι, ἅτε μᾶλλον ἐλλόγιμος ἢ κατ' ἐκεῖνον ὑπάρχων τὸν θίασον. πένης δ' ἄλλως ὢν καὶ λιμῷ τὸν βίον στρατηγούμενος, κολακείᾳ τοὺς ἐν δόξῃ μετῄει παντοδαπῇ, βίον πρόφασιν ἐπιτηδεύων καὶ ζωῆς πορισμὸν ἑαυτῷ καὶ παισὶ καὶ συζύγῳ καὶ ὅλῃ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

φάναι συλλήβδην οἰκίᾳ. καίπερ οὖν εἰδὼς ὡς ὀλέθριόν τε καὶ μυσαρὰν τὰ τοῦ Παλαμᾶ κεκλήρωται δόγματα μοῖραν, ὅμως δόξης ἕνεκα καὶ πλούτου 3.112 δή τινος προσκαίρου τοῖς Παλαμικοῖς συνευδοκῶν ἦν δόγμασιν, ὡς οἶσθα μᾶλλον αὐτός, καὶ μάλα τι λίαν ἡττώμενά τε καὶ ὑποκείμενα παρεδείκνυ τὰ ἤθη. διὸ καὶ ὧν ἤρα μάλιστα, μάλιστα πάντων αὐτὸς ἀπέλαυσε μὲν συνεχῶς, ἐνεπίμπλατο δ' οὐδαμῶς. ἀλλ' ἐπεὶ πρὸ βραχέος ἐν ἐσχάταις ἐγεγόνει τοῦ βίου πνοαῖς, ἐννέα λοιπὸν ἡμέραις τῇ τε νόσῳ καὶ τοῖς λογισμοῖς τυραννούμενος ἔκειτο, ὅτε δὴ καὶ μεταξὺ πολλάκις οἷον ἔνθους ἐν ὡριαίοις τισὶ καθιστάμενος διαστήμασιν, ὑποψιθυρίζων τε ἐφαίνετο πρὸς ἀέρα, καὶ σφόδρα δήπου δίκας ὧν ἐπεπράχει βιαίως ἀπαιτουμένῳ ἐῴκει. καὶ μὲν δὴ τά τ' ἄλλα λέγων ἦν, καὶ ὡς ἄκων τῆς αἱρέσεως ἥττηται ταυτησί. τέλος δ' ἑαυτὸν ἀνειληφὼς καὶ οἷον ἀναπεπνευκὼς ἐλευθέριον, ὅσα τῶν Παλαμικῶν δογμάτων τε καὶ βιβλίων παρὰ τὸν οἶκον ἔτυχεν ἔχων, ὅλαις ἐζητήκει προθέσεσι τῆς ψυχῆς, καὶ εἰληφὼς εἰς φλόγα παραχρῆμα χερσὶν οἰκείαις καθῆκε προσενεχθέντος πυρός, καὶ τοιαδὶ πεπαρρησιασμένῃ τῇ γλώττῃ φθεγγόμενος. "ἐγώ" φησιν "ἐς τἀκριβὲς εἰδὼς ὁπόσης καὶ οἵας γέμει ταυτὶ τὰ βιβλία τῆς ἀσεβείας, ὅμως πῶς μὲν θηρώμενος δόξαν πῶς δὲ καὶ δεδιὼς τὰς αὐθεντικὰς ἀπειλάς, καὶ ἅμα τὴν σύνοικον παραμυθεῖσθαι πενίαν ἐπιτηδεύων, ἔλαθον παρὰ πᾶσαν δήπου πεπραχὼς τὴν ἐμαυτοῦ συνείδησιν, καὶ τοῖς οὕτω μοχθηρίας ἔχουσι δόγμασιν ὑποκεκυφώς. πρὸς γοῦν θεοῦ, τὴν παροῦσαν ἐμὴν ἐξαγόρευσιν οἱ παρόντες ἀκούον 3.113 τες, ὑπὲρ τῆς ἐμῆς τῷ θεῷ ταλαιπώρου ψυχῆς συνεύξασθαι προθυμήθητε, δέομαι." καὶ οὕτω τοῖς τοιούτοις ἀνὴρ ἐκεῖνος συναπέψυξε ῥήμασιν. ὅθεν ἐπὶ πολλαῖς ἡμέραις ἀνὰ πᾶσαν διεσκεδάσθη τὸ πρᾶγμα τὴν πόλιν, καὶ σφόδρα διατεθρύλληται, ἕως καὶ εἰς βασιλικὰς ἰὸν ἀκοὰς σιωπᾶσθαι προστέτακται. καί μοι ἐπιεικῶς ἔδοξεν ἱκανὸν εἰς διόρθωσιν τῆς τοῦ Παλαμᾶ δυσσεβείας εἶναι τουτί, εἰ μὴ ἐμποδὼν αἱ τοῦ βασιλέως κατέστησαν ἀπειλαί, ἢ μᾶλλον εἰ ζώσας εἶχον ἐπίσκοποι τὰς ψυχὰς καὶ μὴ τεθνηκυίας τῷ δέει τῆς ἀγροικίας, καὶ ἥκιστα διὰ δόξαν καὶ τρυφὴν συνευδοκεῖν ταῖς ἀρχαῖς ἐβούλοντο τοῦ παρόντος αἰῶνος. Ἓν μὲν δὴ τοῦτο τοῖς σοῖς ἐκείνοις ἀκόλουθον λόγοις συνεβαλόμην ἔγωγε πρότριτα γεγονός· δεύτερον δέ, τὸ ἔθνος τῶν Ῥὼς οἶσθα ὡς πολυανθρωπότατόν τέ ἐστι καὶ τόπον εὐδαίμονα λίαν οἰκοῦν. πλοῦτον γὰρ ἐκεῖθεν ἴσχει παντοδαπόν, καὶ συλλήβδην εἰπεῖν, οὐδενὸς ἀχορήγητόν ἐστι τῶν ὅσα πρὸς ἄφθονον χάριν ὁρᾷ τῶν ἐπιτηδείων. καὶ πρός γε νόμοις ὀρθοδοξίας οὐδαμῇ σαλευομένοις ἕπεται κατά γε τὸν ἁπλούστερον καὶ ἀπράγμονα τρόπον, ἐξ ὅτου περ αὐτὴν τὰς εὐχὰς ἀνειλήφει. ἔτυχε δ' οὖν κἀν τούτοις τοῖς χρόνοις τὸν ἐπισκοπικὸν ἐκείνοις θρόνον κοσμῶν καὶ τὴν ψυχικὴν τοῦ ἔθνους ἐπιστασίαν ἀνειλημμένος ἀνὴρ συνετός, ὡς οἶσθα, καὶ τῶν θείων κανόνων καὶ νόμων ἐξ ἔτι νέου πεῖραν ἐκ τῆσδε τῆς μεγίστης 3.114 τῶν πόλεων ἠθροικὼς ἀκριβῆ. καὶ ἵνα συνελὼν εἴπω, τοὺς νέους κἀκείνῳ πεπόμφασι τόμους οἱ τῆς Παλαμικῆς θιασῶται φατρίας, εἰς τὸν οἰκεῖον τῆς ἑαυτῶν ἀπωλείας κρημνὸν ἐκκαλούμενοι καὶ αὐτόν, σφίσι ποιεῖν εἰωθὸς τουτοΐ πρὸς ἁπάσας πόλεις καὶ χώρας. ὃ δ' ἀναγνούς, καὶ ἰδὼν τῶν βλασφημιῶν ἐκείνων τὸ σμῆνος καὶ τὴν Ἑλληνικὴν πολυθεΐαν ἁπασῶν ἐκεῖ προεδρεύουσαν πάνυ δεσποτικῶς, κατὰ γῆς τε ἔρριψεν εὐθύς, καὶ τὰ ὦτα φραξάμενος ἀπὸ ἀκοῆς πονηρᾶς ἀπεπήδησε τάχιστα. καὶ λοιδορίας μάλα μακρὰς γεγραφὼς μετὰ τῶν εἰκότων ἐκ τῆς θείας γραφῆς ἐλέγχων καὶ ἀποδείξεων, ἐπεπόμφει ξύν γε τῷ πατριάρχῃ τοῖς ἐπισκόποις, πολυθέους τε καὶ ἀθέους τούτους ἀποκαλῶν καὶ σφόδρα ἀναιδεῖς τῶν πατρίων ἀθετητὰς καὶ διώκτας δογμάτων, καὶ ἅμα τοῖς προσήκουσιν ἀναθέμασιν ὑποβάλλων. Καὶ τὰ μὲν ἐκ Ῥωσίας γράμματα τοῦτον ἔσχε τὸν τρόπον, καὶ οὕτω τοὺς κακοσχόλους τούτους ἐξήλεγξε μέν, οὐκ ἐμάλαξε δέ. τεθαύμακα δ' ἔγωγε πῶς τἆλλά γε ἀμαθεῖς ὑπάρχοντες οὗτοι τοῦτο φρονίμως οἰκονομοῦσι, πρὶν ἔκπυστον φθῆναι γενέσθαι, πάσαις ἀπειλαῖς


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

αὐθεντικαῖς συστέλλοντες καὶ φόβοις, καὶ τάφῳ φάναι σιγῆς ἐν βραχεῖ συγχωννύντες, οἶμαι, τὸν πονηρὸν οἰκονόμον ἐκεῖνον μιμούμενοι, οὗ τὴν ἐν χρήμασι μεμηχανημένην οἰκονομίαν ἐν εὐαγγελίοις ὁ κύριος ἐπαινῶν, εἶτα τῷ αἰωνίῳ παραπέμπει πυρί. 3.115 Ἐβουλόμην καὶ τρίτον προσθεῖναι διήγημα, τῶν εἰρημένων οὐχ ἧττον εἰς ἔλεγχον τῆς τῶνδε τῶν ἀνδρῶν ἀσεβείας. ἀλλά σε πρὸς τὴν ἀκοὴν ἀηδῶς θεώμενος ἔχοντα, τὸν νοῦν ἔκ τε ἀκοῆς εἰς τὰς ἀκοὰς τοῦ λοιποῦ μεταφέρειν ἔγνωκα δεῖν, ἵνα τι τῆς σῆς ἀπολαύσαιμι γλώττης, πρὶν τῶν δημίων ἐνίους φυλάκων ἐληλυθότας ἐπιταράξαι καὶ διακόψαι τὴν ἡσύχιον ὁμιλίαν ἡμῶν ταυτηνὶ καὶ ἀπ' ἀλλήλων ἡμᾶς διαστῆσαι. Πάνυ καλῶς τε ἐμῆς ἐστοχάσω γνώμης καὶ διανοίας διὰ τῶν ἔξωθεν ἠθῶν, καλὲ Ἀγαθάγγελε. διὸ τὰ τῶν ἄλλων εὐφήμως θεατρίζων ἐγκλήματα, τὰ καθ' ἑαυτὸν ὅρα καὶ γνῶθι σαυτόν. τοῖς γὰρ κακοῖς ἀρκεῖ τὸ κακοῖς εἶναι, καὶ τὴν δίκην ἔχουσιν αὐτόθεν ἀποχρῶσαν. ἄλλως τε καὶ κηλῖδας οἶδά τινας ἐναποματτομένην ἐντεῦθεν τὴν ἀκοήν, καί τι νέφος ἀθροίζουσαν τῇ ψυχῇ δυνάμενόν πως ἐπιθολοῦν καὶ ἀμβλύνειν μὲν τὸ καθαρὸν καὶ ἄυπνον ἐκεῖνο τοῦ νοῦ, ἐξυπνίζειν δὲ τὸ τῆς ψυχῆς ἐμπαθές. ὅσῳ γὰρ δύσεργόν τε καὶ δυσκατόρθωτον πέφυκε τἀγαθόν, ἄυπνον τὸν διάβολον ἔχον πολέμιον, νύκτωρ καὶ μεθ' ἡμέραν τὴν τῶν λογισμῶν ἐπιβοσκόμενον χώραν καὶ μεθαρμόζοντα πρὸς τὸ χεῖρον ἀεὶ τὴν τῶν χρηστοτέρων ἕξεων ἰδέαν, τοσούτῳ ῥᾳδίαν τῆς κακίας ἡ κτῆσις ἔχει τὴν πάροδον καὶ οἷον κατὰ πρανοῦς φερομένην, ἅτε σπερματικάς τινας καὶ οἰκογενεῖς κῆρας ἐχούσης τῆς ἀν 3.116 θρωπίνης ἐκείνης ψυχῆς ἐν τῇ πρὸς τὴν σάρκα κοινωνίᾳ ταύτης οἱονεὶ κοιμωμένας. διὰ γὰρ τοῦτο κἀγὼ τῶν τοιούτων ἀποσχόμενος ἀφηγήσεων, καὶ μάλα τι πλείστας ἔχων διεξιέναι, σιγῇ παρέσχον τὴν γλῶτταν. φέρε τοίνυν τῶν δημοσίων πραγμάτων ἐχόμενος, ὅπου τὸ πρότερον ἴχνος τοῦ λόγου σὺ καταλέλοιπας, λέγε κατὰ τὸ συνεχὲς ἡμῖν, ἀναμιμνησκόμενος τῶν εἱρμῶν ἐκείνης τῆς ἀφηγήσεως, μάλα σοι πρόθυμον ὑπέχειν βεβουλημένοις τὴν ἀκοήν. Εὖ μὲν λέγεις, ὦ φίλη μοι κεφαλή, συγγινώσκειν δ' οὖν σε δεῖ, καὶ μὴ πάνυ μοι μέμφεσθαι. οὐ γὰρ βουλόμενος λοιδορεῖν, ἀλλ' ἱστορίας εἶναι καὶ ταυτὶ συμμαχίαν ἡγούμενος τὴν βελτίστην, ἐγὼ διεξῄειν σοι μήπω πυθέσθαι μηδ' ὁθενοῦν ἐσχηκότι καινότερα ὄντα. μέμνημαι γάρ σου πολλάκις εἰπόντος ὅτι καθάπερ ἐν ἁρμονίᾳ πολυμιγέων ἕνωσις γίνεται καὶ δίχα φρονεόντων συμφρόνησις, καὶ ὥσπερ ὁμοίως ἐν ταῖς οἰκοδομίαις λίθοι τε καὶ ξύλα καὶ πηλὸς καὶ χάλιξ καὶ τοιαύτη τις ἄλλη πολυειδής τις συμφόρησις ἥκει πρὸς τοὖργον, οὕτω κἀνταῦθα τῇ ἱστορίᾳ πάντων δεῖν τῶν τοιούτων· μίαν γάρ τινα τοῖς μετιοῦσι γίνεσθαι τὴν ὠφέλειαν ἐξ ἀμφοῖν, τὰ μὲν ἀγαθὰ μιμουμένοις διὰ τὸν πόθον τῶν ὕμνων, τὰ δὲ χείρω φυλαττομένοις διὰ τὴν πρὸς τὰς λοιδορίας ἀπέχθειαν. Ἀλλὰ μετιτέον ἡμῖν ἐστὶ λοιπὸν ἐς Ὑρκανὸν τὸν τῶν 3.117 Βιθυνῶν ἡγεμόνα βαρβάρων· ἐκεῖ γὰρ ἡμῖν ὁ τῆς ἀφηγήσεως ἐκείνης εἱρμὸς καταλέλειπται. τὰ γὰρ κατὰ τῶν πρέσβεων ξυμπεπτωκότα αὐτοῦ πυθομένῳ ἐκείνῳ ἥκιστ' ἀποχρῆναι ἔδοξε μέχρι τῆς ἀπειλῆς ἐστήξειν τὰ τῆς ἀμύνης, ἀλλὰ σατραπικὰς μὲν προύπεμπε τὰς ἀπειλὰς καὶ μάλα ἀτόπους, βαρβαρικώτερα δὲ καὶ μάλα ἀτοπώτερα ταῖς ἀπειλαῖς προσετίθει τὰ πράγματα. καὶ μὲν δὴ τῶν μὲν υἱέων προστεταχὼς τὸν πρῶτον δι' Ἑλλησπόντου κατὰ τῶν ἐπὶ Θρᾴκης Ῥωμαϊκῶν περαιοῦσθαι χωρίων, αὐτὸς ἐκ τῶν ὑψηλοτέρων τῆς Βιθυνίας πόλεων κατῄει, πολλὴν ἐπαγόμενος λόγχην ἐπὶ τὰ τῆς Χαλκηδονίας ἱππήλατα γῆς, παρὰ τὸν αἰγιαλὸν ὅπῃ τηνικαῦτα καὶ τὸν Γεννουιτικὸν συνέβαινεν ἵστασθαι στόλον δι' οὓς ἔφθημεν τρόπους εἰπόντες. κἀκεῖθεν ὡς ἀπὸ δίφρου δεσποτικοῦ τούς τε πρέσβεις μετὰ τῶν χρημάτων ἀπῄτει, καὶ ἀπειλὰς τῶν προτέρων μείζους πολλῷ προσετίθει, αὐτίκα μάλα κατὰ τῆς Βυζαντίων πόλεως διαπεραιοῦσθαι ὑπισχνούμενος, εἰ μὴ λάβοι μετὰ πάνυ μακροῦ τοῦ ὑπερβάλλοντος ἅπαντα. τοὺς μὲν δὴ οὖν ζῶντας τῶν πρέσβεων, καὶ ὅσα τῶν χρημάτων ἀνερευνώμενα ξυνελέγετο


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

πρὸς τῶν διανειμαμένων, .... ὁ βάρβαρος ἀεὶ τὰ λείποντα σφοδρῶς τε καὶ λίαν ὑπερηφανῶς ἐνέκειτο ἀπαιτῶν, καὶ ἀεὶ λαμβάνων ἀεὶ ζητῶν ἦν, τὰ ψευδῆ προστιθεὶς καὶ προφασιζόμενος. τέλος δὲ στρατιὰν ἑτέραν τῶν υἱέων τὸν δεύτερον εἰληφότα διαπεραιοῦσθαι προσέταττε τὸν τοῦ Πόντου αὐχένα διὰ Γεννουιτικῶν 3.118 νεῶν, καὶ ξυμμῖξαι κατὰ Θρᾴκην τἀδελφῷ, ὡς ὁμοῦ γενομένων τῶν στρατευμάτων ἀμφοῖν τά τε πρὸ ποδῶν πάντα δηῶσαι, καὶ ἅμα ἐξ ἐφόδου καὶ ἐς τὴν Μυσῶν ἐσβαλεῖν χώραν. ὃ δὴ τάχιστα πρόσταγμα πεπραχότες ἐκεῖνοι, ἡμερῶν μεταξὺ μικρῶν ἐπανῄεσαν ὑπὲρ ἀριθμὸν ἐλαύνοντες, οὐ Μυσῶν λείαν μόνον, ἀλλὰ τὴν πλείω Ῥωμαϊκήν, μᾶλλον δ' εἰ χρὴ τἀληθὲς εἰπεῖν, τὴν πᾶσαν Ῥωμαϊκήν· ἄποικοι γὰρ κἀκεῖνοι Ῥωμαίων ὑπῆρχον, διὰ πενίαν πρὸ ἐτῶν οὐ μάλα μακρῶν ἐκεῖ μετοικήσαντες. διὰ γὰρ τὸ καὶ τὰς ἐκεῖ πόλεις εἶναι τῶν πρὶν βεβασιλευκότων Παλαιολόγων οἰκοδομὰς καὶ ὅρια τῆς τότε Ῥωμαίων ἡγεμονίας, ἔπειτα Μυσοῖς τισὶν ἡλωκυίας ὑπείκειν ἀρτίως, συμβαίνει καὶ κύκλῳ περὶ αὐτὰς τοὺς ἐντεῦθεν ἐκεῖ διὰ πενίαν ἑκόντας, ὡς εἴρηται, μεθισταμένους ἐκ τοῦ σύνεγγυς αὐτόθι κληροῦσθαι τὴν δίαιταν. ἄρτι τοίνυν μέχρι μὲν ἐς τάσδε τὰς πόλεις τῆς βαρβαρικῆς γενομένης ἐφόδου, περαιτέρω δ' οὐ δυνηθείσης διὰ τὴν τῶν τῆς γῆς ἐκείνης ἀρχόντων πρόνοιαν, πάντας συνεπεπτώκει Ῥωμαίους μὲν εἶναι τοὺς ἀπαχθέντας ἐκεῖθεν, Μυσοὺς δ' ὀνομάζεσθαι διὰ τὸ Μυσοῖς ἐκ πολλοῦ καὶ αὐτοὺς ὑπηκόους γενέσθαι. τὴν μέντοι λείαν εἰς Ἀσίαν οἱ βάρβαροι πέμψαντες πᾶσαν ἐκείνην, οὐ πρότερον αὐτοί τε ἐντεῦθεν ἀπαλλάττειν ἤθελον, πρὶν ταῖς ἐν Χερρονήσῳ πόλεσιν ἐπιθεῖναι φόρους, καὶ τοὺς μὲν ἤδη λαβεῖν, τοὺς δ' ἐτήσιον ἀναγκάσαι σφίσι διδόναι συνθέσθαι 3.119 δασμόν, ὡς καὶ Θρᾴκης ἤδη καταστᾶσι δεσπόταις. ἀλλὰ πρὸς μὲν βαρβάρων τοιοῦτος ἐπιπολαίως ἄρτι διέσπαρται λόγος ὥσπερ προαναφώνησις καὶ προμάντευμα, οὔπω μέντοι τὸ κῦρος ἔσχεν, οὐ μάλα τι ἐθελόντων ἑκόντων συνθέσθαι Ῥωμαίων. διὸ οὐδ' αὐτοῖς γε ἀπαλλάττειν ἐκεῖθεν γεγένηται πρὸς βουλήσεως, ἀλλ' ἐκάθηντο ἀναπόσπαστα δῃοῦντες ἅπασαν Θρᾴκην νύκτωρ καὶ μεθ' ἡμέραν ἀεί. 3.120 ΤΟΥ ΑΥΤΟΥ ΝΙΚΗΦΟΡΟΥ ΤΟΥ ΓΡΗΓΟΡΑ ΡΩΜΑΙΚΗΣ ΙΣΤΟΡΙΑΣ ΛΟΓΟΣ ΚΖ. Τούτων δ' οὕτως ἐχόντων, κἀνταῦθα· τῆς διηγήσεως ἥκοντος τοῦ Ἀγαθαγγέλου, φροντίδες ἕτεραί μοι τὸ λογιζόμενον ἀνθέλκουσαι τῆς ψυχῆς ἀπησχόλησαν οὐ μάλα τι ἀγεννεῖς· τὰς γάρ τοι πολλαχόθεν ἐμοὶ τῶν νοσημάτων ἄλλοτ' ἄλλας παρεισρυείσας κῆρας καὶ τύχας ἐς πάνυ τι μοχθηρὰν συμμαχίαν τῶν τῆς κεφαλῆς ἀλγηδόνων ἰούσας ὁρῶντι διά τε τὸ τῆς καθείρξεως ἐπιεικῶς ἰταμὸν ὁμοῦ καὶ παντάπασιν ἀπαράκλητον, καὶ ἅμα τὸ τῆς ἐλευθερίας ἢ μικρᾶς γοῦν τινὸς ἀνέσεως δύσελπι (τὸ γὰρ θηριῶδες οὔτ' ἔληγε τῶν διωκτῶν οὐδαμῇ καὶ πρός γε πλείω τὴν τοῦ αὔξειν νύκτωρ καὶ μεθ' ἡμέραν ὁλκὴν ἀνῃρεῖτο), δέος ἐμοὶ τῶν πάνυ μεγίστων περικεχύσθαι ξυνέβαινεν, ἀναπολοῦντι μὴ ὃν αὐτοὶ καθ' ἡμῶν ἀεὶ μηχανῶνται θάνατον ἐπιγένηται, πρὶν ἡμᾶς αἰσθέσθαι, καθάπερ ἐκ λόχου ληστής. ἤδη τοιγαροῦν τῆς τότε νυκτὸς 3.121 περὶ τρίτην γενομένης φυλακήν, ἐν ᾧ τῆς ὥρας ἑκασταχόθεν οἱ τῶν φροντιστηρίων ἀνθαμιλλώμενοι κώδωνες, καὶ συχνὰ τὸν ὑπὲρ κεφαλῆς θορυβοῦντες ἀέρα, τοὺς τὸν μονήρη βίον ἀνῃρημένους ἐς τούς κοινούς τε ἀθροίζουσιν ὕμνους καὶ τάς γε πρὸς θεὸν κατὰ τὸ σφίσιν εἰωθὸς ἀεὶ δοξολογίας, τὸν Ἀγαθάγγελον αὖθις ἀψοφητὶ διὰ τῆς θυρίδος ἔγωγε ἐνεχείρουν προπέμπειν, καθάπερ Νῶε πάλαι φασὶν ἐκεῖνον ἐκ κιβωτοῦ τὴν περιστεράν, μαθεῖν εἰ ὁ τῆς τοῦ θεοῦ ἐκκλησίας λωφᾶν ἐπεχείρει κατακλυσμός. εἰ δ' οὖν, δύο ταυτὶ τουτωῒ προσανατίθεσθαι τῶν ἀναγκαιοτάτων ἐδόκει μοι, πρῶτον μὲν προσιόντα τῷ δεῖνι τῶν ἱερῶν ἀνδρῶν καὶ συνήθων ἐμοὶ κομίζειν ἐκεῖθεν μερίδα τῆς θείας σαρκὸς τοῦ σωτῆρος Χριστοῦ καὶ θεοῦ ἡμῶν καὶ ἅμα ἀντιδώρου τεμάχια πλείω. ἃ γὰρ ἔχειν ἐμοὶ περιῆν, ἐκ πολλοῦ δεδαπανῆσθαι συμπέπτωκε· καὶ νῦν ἐπεί μοι, καθάπερ κηρίον μέλιτται, πανταχόθεν τοῖς τούμοῦ θανάτου δημιουρ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

οἷς κραταιότερον ἐπιτίθεσθαι δέδοκται, ἀναγκαῖον, εἴ πέρ ποτε, νῦν μάλιστα δέδοκται κἀμοὶ προσεχέστερον ἀνθοπλίζεσθαι καὶ ταῦτα δὴ πρὸς ἁγιασμὸν καὶ μετάληψιν ἐκ τοῦ σύνεγγυς ἔχειν, ἀντ' ἄλλης εἰπεῖν ἀκροπόλεως καὶ κράνους καὶ τόξων καὶ θώρακος. πρῶτον μὲν οὖν δὴ τοῦτο προσανεθέμην Ἀγαθαγγέλῳ, δεύτερον δὲ τῶν φίλων ἑκάστοις ἰδίᾳ καὶ ἡσυχῇ προσιόντ' ἀξιοῦν τῆς ἐμῆς ὑπερεύχεσθαι ταλαιπώρου ψυχῆς· οὐ γάρ, οἶμαί γε, 3.122 ἔφασκον ἔτι με ζῶντα θεάσασθαι σφᾶς· θεάσονται δ' ἴσως ἐξαίφνης συρόμενον τὸν ἐμὸν τοῖς διώκταις νεκρὸν καὶ βρῶμα κυσὶ καὶ ὀρνέοις τῆς πόλεως ἔξω ῥιπτόμενον· τοῦτο γὰρ ἐκ πάνυ πολλοῦ κεκύρωταί τε καὶ ὥρισται σφίσι, πρᾶγμα, εἰ καὶ μὴ τὸν ἴσον τρόπον, ἀλλ' οὖν εὐκταιότατον μάλα γε ἑκατέροις ὄν, ἐμοὶ μὲν ὡς ἐλπίδων ἀρχὴ στεφανηφορουσῶν ταὐτὰ τοῖς ὑπὲρ εὐσεβείας ἠγωνισμένοις πάλαι ἐκείνοις ὑφισταμένῳ, σφίσι δ' ὡς πέρας τῶν ἐφ' ἡμᾶς ἐκείνων καὶ δρόμων καὶ μόχθων, τὰς ἐμὰς διηνεκῶς δεδιόσι γραφάς. Πρὸς ταῦτα περιαλγής τε καὶ ἔνδακρυς Ἀγαθάγγελος γεγονὼς ἐφ' ἱκανὸν σεσιώπηκέ τε καὶ ἐκεκύφει· εἶτ' ἀνενεγκὼν καὶ τὴν ἡμετέραν τέως ἀπαλλαγὴν ὑπερθέμενος, εἰ ἐξείη μὴ τοῦ τὰ θεῖα ἱερουργοῦντος μυστήρια παρόντος χερσὶν ἰδίαις ὁντινοῦν μεταλαμβάνειν ἤρετο. ἀκηκοὼς δ' ὡς Βασιλείῳ τῷ θείῳ καὶ τῶν ἄλλων οὐκ ὀλίγοις τουτὶ συγκεχώρηται τῶν ἁγίων, ἅτε καὶ τοῖς ἔν γε ταῖς ἐρήμοις ἄμικτον πάλαι βίον ἀσκοῦσι ποιεῖν εἰωθός, καὶ ὅσοι ἐν τοῖς τῶν διωγμῶν καιροῖς ἑαυτοὺς ὄρεσί τε καὶ σπηλαίοις ἄλλοι ἄλλοις συνέκρυπτον, πέπεισταί τε ῥᾶστα καὶ δεύτερον ἠρώτα τουτί, εἰ ἐξείη δηλαδὴ τῶν ἑτεροδόξων ἐνίοις συνεύχεσθαι καὶ βίας ἐπειγούσης πρὸς τῶν τοιούτων ἐνίοτε καὶ ἐνιαχοῦ τῶν θείων 3.123 μετέχειν μυστηρίων, ὁμοίως κἀνταῦθα κἀκεῖ τῶν αὐτῶν λεγομένων εὐχῶν. ἐγὼ δὲ τὸν θεῖον εὐθὺς παρήγαγον ἐκ Δαμασκοῦ Ἰωάννην αὐτῷ, φυλάττεσθαι παραινοῦντα μήτε λαμβάνειν αἱρετικῶν μετάληψιν μήτε διδόναι· μὴ δότε γὰρ τὰ ἅγια τοῖς κυσίν, ὁ κύριος ἔφησε, μηδὲ ῥίπτετε τοὺς μαργαρίτας ὑμῶν ἔμπροσθεν τῶν χοίρων, ἵνα μὴ μέτοχοι τῆς κακοδοξίας καὶ τῆς αὐτῶν γενώμεθα κατακρίσεως· εἰ γὰρ ἕνωσίς ἐστι πρὸς Χριστόν, καὶ πρὸς ἀλλήλους πάντως· καὶ πᾶσιν τοῖς ἡμῖν συμμεταλαμβάνουσι κατὰ προαίρεσιν ἑνούμεθα, καὶ πάντες ἓν σῶμα ἐσμέν, ὅτι ἐκ τοῦ ἑνὸς ἄρτου μεταλαμβάνομεν, ὡς ὁ θεῖος ἀπόστολος ἔφησε. τῆς οὖν προαιρέσεως ἐνταυθοῖ μαχομένης καὶ ἀλλήλων ἡμᾶς διιστώσης τῆς τῶν δογμάτων ἕνεκα καινοτομίας, πῶς ἂν μίαν σχοίημεν τὸν Χριστὸν κεφαλήν, ἢ πῶς ἂν ἀλλήλοις συνευξαίμεθα; τίς γάρ, φησί, μερὶς πιστῷ μετὰ ἀπίστου; ἢ τίς κοινωνία φωτὶ πρὸς σκότος; ἢ τίς συμφώνησις Χριστῷ πρὸς Βελίαρ; ἀκούεις δὲ καὶ τοῦ θεοῦ διὰ τῆς προφητικῆς φθεγγομένου γλώττης, ὡς ἐὰν προφέρητέ μοι σεμίδαλιν, μάταιον· θυμίαμα βδέλυγμα ἔσται μοι· τῷ γὰρ ἁμαρτωλῷ εἶπεν ὁ θεὸς "ἵνα τί σὺ ἐκδιηγῇ τὰ δικαιώματά μου καὶ ἀναλαμβάνεις τὴν διαθήκην μου διὰ στόματός σου;" οὐ γὰρ τὰ γινόμενα χρὴ σκοπεῖν μόνον, ἀλλὰ καὶ τὴν αἰτίαν τῶν γινομένων ἐπιζητεῖν, ὁ χρυσορρήμων ἔφησεν Ἰωάννης. τὸ μὲν γὰρ κατὰ γνώμην γινό 3.124 μενον τοῦ θεοῦ, κἂν φαῦλον εἶναι δοκῇ, πάντων ἐστὶν ἄριστον· τὸ δὲ παρὰ γνώμην καὶ μὴ δοκοῦν ἐκείνῳ, κἂν ἄριστον εἶναι νομίζηται, πάντων ἐστὶ φαυλότατον καὶ παρανομώτατον. κἂν φονεύσῃ τις κατὰ γνώμην τοῦ θεοῦ, φιλανθρωπίας πάσης βελτίων ὁ φόνος· κἂν φείσηταί τις παρὰ τὸ δοκοῦν ἐκείνῳ, φόνου παντὸς ἀνοσιωτέρα γένοιτ' ἂν ἡ φειδώ. οὐ γὰρ ἡ φύσις τῶν πραγμάτων ἀλλ' αἱ τοῦ θεοῦ ψῆφοι καλὰ καὶ φαῦλα ταῦτ' εἶναι ποιοῦσιν. ὥσπερ δ' ἐκείνοις, φησίν, ἐγκαλοῦμεν ὅτι παρανομοῦσιν, οὕτω καὶ πολλῷ μᾶλλον ὑμῖν ὅτι τοῖς παρανομοῦσι συνέρχεσθε. καὶ οὐχὶ τοῖς συντρέχουσι μόνον, ἀλλὰ καὶ τοῖς κυρίοις μὲν οὖσι κωλῦσαι, μὴ βουλομένοις δέ. εἰ γὰρ εἰς θέατρον οὐκ ἐπιτρέπομεν ἀπελθεῖν, πολλῷ μᾶλλον ἐπὶ συναγωγῆς τοῦτο χρὴ ποιεῖν· μείζων γὰρ παρανομία ἐκείνης αὕτη, ὅτι ἐκεῖ μὲν ἁμαρτία τὸ γινόμενον, ἐνταῦθα δ' ἀσέβεια." ὁρᾷς ὡς καὶ τὸ χρηστὸν ἐνίοτε δόξαν εἶναι κακὸν ὑπὸ τοῦ θείου τοῦδε ἀνδρὸς ἀπεδείχθη, καὶ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ὅσην ἐντεῦθεν ἐκεῖνος τὴν ἐπιτίμησιν τῇ τῶν ἑτεροδόξων κοινωνίᾳ προσάπτει; ἃ γάρ τις δεσπότου προστάττοντος δρᾶν ἥκιστα δρᾷ, τούτων τιμωρίαν τίννυσιν εἰκότως αὐτὸς ὁ μὴ δρῶν, καὶ εἰ μὴ κακὸν ἀπαντῴη τὸ πέρας· καὶ τοὐναντίον αὖθις· οὐ γὰρ τοῖς τῶν δρωμένων πέρασιν εἰκὸς ἀκολουθεῖν τὴν τοῦ κρίνοντος ἀπόφασιν, ἀλλ' 3.125 εἰ τοῖς δεσποτικοῖς ὁ δρῶν ἠκολούθησε δόγμασι. δεσπόται δ' ἂν εἶεν ἡγεμόνων μὲν καὶ ἀρχόντων νόμοι καὶ στάθμαι κανόνων, ὑπηκόων δὲ καὶ συρφετώδους πλήθους ἡγεμόνες καὶ ἄρχοντες, ὡς ἐκ πηγῆς τῶν νόμων ἔχειν τὸ κρίνειν ὀρθῶς ὀφείλοντες. πολλὰ μὲν οὖν τῶν δρωμένων καθ' ἑαυτὰ θεωρούμενα λέληθε τὴν τῆς κρίσεως κλέπτοντα βάσανον καὶ πρὸς αἰθερίους ἐξαίφνης ἐν οὐκ εἰδόσιν ἀνέδραμεν ὕμνους, προσειληφότα δὲ καὶ τὴν μεθ' ἧς γεγένηται πρόφασιν μυρίων ἀρῶν ὑπεύθυνα ἀποπέφανται. ἀλλὰ προσθετέον μοι τουτουὶ τοῦ θείου ἀνδρὸς καὶ τὰ τούτοις ἀκόλουθα. "τί ποιεῖς", φησίν, "ἄνθρωπε; παρεβάθη νόμος, καὶ οὐκ ἐπιτιμᾷς, οὐδὲ γίνῃ χαλεπὸς τιμωρὸς τῶν τοῦ θεοῦ νόμων, ἀλλὰ κοινωνεῖς; καὶ ποίαν σχοίης ἂν συγγνώμην; μὴ γὰρ ὁ θεὸς ἐκδίκων χρῄζει; μὴ γὰρ βοηθούντων δεῖται; ἀλλ' ὑπηρέτην αὐτοῦ γενέσθαι σε βούλεται, ἵνα κἀντεῦθεν τὸ φιλόδοξον δείξῃς." καὶ ὁ μέγας δ' ὁμοίως φησὶν Ἀθανάσιος ὡς οὐ μόνον τὸ μὴ θῦσαι λίβανον δείκνυσι μάρτυρας ἀλλὰ καὶ τὸ μὴ τὴν πίστιν ἀρνήσασθαι· καὶ οὐχ οἱ κλίναντες εἰς εἴδωλα μόνον κατεκρίθησαν ὡς ἀλλότριοι, ἀλλὰ καὶ οἱ προδεδωκότες τὴν ἀλήθειαν. Ἀβραὰμ γὰρ ὁ πατριάρχης οὐκ ἀναιρεθεὶς ἐστεφανώθη, ἀλλ' ὅτι πιστὸς γέγονε τῷ θεῷ· οἵ τε ἄλλοι ἅγιοι πατέρες καὶ οἱ σὺν αὐτοῖς, περὶ ὧν ἁπάντων ὁ Παῦλος φησὶν ἐπιλείψειν 3.126 τὸν χρόνον αὐτὸν διηγούμενον, οὐχ αἵματος ἐκχυθέντος ἐτελειώθησαν ἀλλὰ διὰ πίστεως, καὶ μέχρι νῦν θαυμάζονται, ὅτι καὶ θάνατον ὑπομένειν ἦσαν ἕτοιμοι διὰ τὴν ἐς θεὸν εὐσέβειαν." ὁρᾷς ὡς ἐν τοῖς μικροῖς μᾶλλον τὰ μέγιστα δείκνυται τῶν καλῶν, καὶ μάλα μᾶλλον ἐν τοῖς μάλιστ' ἐλαχίστοις ἐνίοτε ἢ τοῖς μεγίστοις; ὡς γὰρ ἐν τοῖς βασιλικοῖς νομίσμασι καὶ ὁ μικρόν τι παραχαράττων ὅλον ἀχρεῖον ποιεῖ, οὕτω καὶ ὁ τῶν θείων κανόνων τοὐλάχιστον ἀνατρεπόμενον περιορῶν τῷ παντὶ λυμαίνεται. Εἰ δὲ καὶ τῶν ἱερῶν ἔξω περιβόλων ὠθούμενοι καὶ πρὸς ἔκφυλα μὲν ἐντεῦθεν φιλανθρωπότερα δ' οὖν τῶν ὁμοφύλων γένη φυγάδες ἔνιοι τῶν εὐσεβούντων γινόμενοι ἐκεῖθεν τὰς οἰκείας εὐχὰς ἀναφέρουσι τῷ θεῷ, καινὸν οὐδέν· πολλοὶ γὰρ τῶν πάλαι θαυμαζομένων τῆς τοῦ θεοῦ ἐκκλησίας ἀνδρῶν τοιούτοις πολλάκις συντετυχήκασι τοῖς δεινοῖς, ἵν' ὡς χρυσὸς ἐν χωνευτηρίῳ δοκιμασθέντες τοῖς τ' ἐφεξῆς ὑπόδειγμα γένωνται κράτιστον ἀρετῆς, καὶ ἅμα μειζόνων αὐτοὶ πρὸς θεοῦ καὶ τῶν ἀντιδόσεων τύχωσιν, αὐτοῦ τοῦ θεοῦ προοδοποιοῦντος καὶ τὰ τῶν διωκομένων ὑπὲρ αὐτοῦ κατευθύνοντος διαβήματα, καὶ τῶν ὁμοφύλων τοὺς ἀλλοφύλους πρᾳοτέρους ἐν τοῖς τοιούτοις δρῶντος καιροῖς, καθάπερ ἔστιν ἃ τῶν σφόδρα ἀγρίων καὶ ἀνημέρων θηρίων ἐπὶ Δανιὴλ καὶ τῶν ἄλλων, τοῦ θηριώδους τηνικαῦτα τὸ προσηνὲς ἀλλάττεσθαι ῥᾷστα παρασκευάζοντος. ἐπεὶ γὰρ παντα 3.127 χοῦ παρεῖναι τὸν θεὸν μεμαθήκαμέν τε καὶ πεπιστεύκαμεν, κἀν παντὶ τόπῳ τῆς αὐτοῦ δεσποτείας ὁ Δαβὶδ αὐτὸν εὐλογεῖν ἐπιτρέπει, βέλτιον ἐν ὑπαίθροις καὶ ἐρημίαις καὶ ὄρεσιν ἀκίβδηλον θεῷ προσάγειν τὸν ὕμνον ἢ δυσσεβῶν κοινωνίᾳ χρωμένους χρυσῷ κεκοσμημένοις καὶ πλακῶν στιλπνότητι προσέχειν τεμένεσιν· ἀκούεις γὰρ καὶ τοῦ θείου φάσκοντος Γρηγορίου τοῖς τότε διώκταις αὐτοῦ· σὺ δέ μοι περιείχου τῶν τοίχων καὶ τῶν πλακῶν καὶ τῆς κεκοσμημένης ψηφῖδος καὶ τῶν μακρῶν δρόμων καὶ περιδρόμων, καὶ χρυσῷ κατελάμπου καὶ περιελάμπου, ἀγνοῶν ὅτι κρείσσων ὕπαιθρος πίστις πολυτελοῦς ἀσεβείας, καὶ πλείους θεῷ τρεῖς συνημμένοι ἐν ὀνόματι κυρίου πολλῶν ἀρνουμένων θεότητα. καὶ Ἠλίας δ' ἔφευγε τὰς τῆς Ἰεζάβελ ἀπειλάς, καὶ τὰς τοῦ Σαοὺλ ὁ Δαβίδ, καὶ ὅπῃ τύχοιεν ἐπεκαλοῦντο τὸν κύριον. καὶ οἱ μάρτυρες τῆς ἀληθείας ἐκεῖνοι διωκόμενοι μὲν ἔφευγον καὶ λανθάνοντες ἐκαρτέρουν, εὑρισκόμενοι δὲ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐμαρτύρουν. ἥκιστα οὖν σε χρεὼν τοῖς σμικρολόγοις ἐκείνοις συμφέρεσθαι τὴν διάνοιαν, οἳ δειλίᾳ τινὶ μεταξὺ τῶν δεινῶν τὴν ψυχὴν συνθολούμενοι θαυμάζουσιν ὅπως ὁδὸς μὲν ἀσεβῶς ἐν τοῖς τοιούτοις καιροῖς εὐοδοῦται, οἷς δὲ τὸν ὑπὲρ εὐσεβείας σταδιοδρομεῖν ἐξεγένετο δίαυλον, τούτοις δ' ὑβρίζεσθαι περιφρονεῖσθαι συκοφαντεῖσθαι χλευάζεσθαι καὶ καθάπαξ εἰπεῖν πᾶν πονηρὸν ἀκούειν ῥῆμα μακρόν τινα καὶ ἀτέκμαρτον συγχω 3.128 ρεῖται δρόμον τοῦ χρόνου, τοῦ θεοῦ μὴ ταχεῖαν ἐπάγειν ἐθέλοντος τὴν ἐκδίκησιν, ἀλλ' ἐῶντος παντὶ τὸ νόμισμα διακωδωνίζεσθαι τρόπῳ, ἀλλ' ἀναλογιζόμενον ἐπὶ σαυτοῦ τὰ πάλαι γενόμενα, καὶ θεοφιλῶς ἀνιχνεύοντά τε καὶ ἀναλεγόμενον ἕκαστα, σαυτῷ τε καὶ πολλοῖς ἑτέροις ἐντεῦθεν μεγίστην παρέχειν ὠφέλειαν. ἀκούεις γὰρ τοῦ μεγάλου τῶν τοιούτων ἰατῶν χρυσορρήμονος λέγοντος ὡς ἐν προοιμίοις τοῦ κηρύγματος Στέφανος ὁ ὑπὲρ τοὺς ποταμοὺς ῥέων καὶ πάντας ἐπιστομίζων, οὐδὲ πολὺν ποιήσας ἐν τῷ κηρύγματι χρόνον, ἀθρόον ἡρπάγη καὶ ὡς βλάσφημος κατεδικάζετό τε καὶ κατελύετο· καὶ Ἰάκωβος δ' ἐν ἀρχῇ καὶ αὐτὸς ἐξ αὐτῆς ὡς εἰπεῖν τῆς βαλβῖδος ἀνεσπάσθη καὶ ἀποτμηθεὶς εἰς χάριν τῶν Ἰουδαίων ὑφ' Ἡρώδου τὸν βίον κατέλυσε στῦλος καὶ ἑδραίωμα τηλικοῦτον τῆς ἀληθείας. μὴ οὖν θαυμάσῃς εἰ μὴ ἐκ προοιμίων μηδ' εὐθέως ἐκδικεῖται παρὰ θεοῦ τὰ λυποῦντα· ἔθος γὰρ αὐτῷ μὴ ἐν ἀρχῇ τὰ δεινὰ λύειν, ἀλλ' ὅταν αὐξηθῇ καὶ παρὰ τῶν πλειόνων ἀπογνωσθῇ. ἀκούεις δ' ὅπως καὶ ὁ μὲν Ἄβελ δίκαιος ὢν ἐφονεύθη ταχύ, ὁ δὲ Κάϊν ἔζη μακρόν, ἵν' ἐλέγχηται πλέον ἡ τούτου κακία· καὶ αὖ ὁ μὲν πρόδρομος Ἰωάννης τὴν κεφαλὴν ἀφῃρεῖτο, ὁ δ' ἀνελὼν Ἡρώδης ἔζη ταμιευόμενος εἰς καιρὸν ἐκδικήσεως, ἵνα δηλαδὴ σκωληκόβρωτος ἐνταῦθα γενόμενος καὶ ἀποψύξας πικρῶς πρὸς 3.129 τὸν ἀκοίμητον ἐκεῖνον οὑτωσὶ παραπεμφθείη ὁ ταλαίπωρος σκώληκα. δι' ὧν γάρ, φησίν, ἐπιβουλεύουσιν, ἑαυτοῖς μᾶλλον ἢ ἑτέροις τὰ βάραθρα ἀνορύττουσιν· οἱ μὲν γὰρ ἐπιβουλευόμενοι τὴν οἰκουμένην ἐραστὰς ἔχουσιν ἐπαινέτας ἀνακηρύττοντας στεφανοῦντας, τοὺς εἰδότας τοὺς οὐκ εἰδότας, τοὺς ἀπὸ τῶν πραγμάτων, τοὺς ἐκ τῆς φήμης τὰ ἐκείνων μανθάνοντας, τοὺς συναλγοῦντας, τοὺς συναγωνιζομένους, τοὺς τὰ χρηστὰ συνευχομένους αὐτοῖς πάντας, οἱ δ' ἐπιβουλεύοντες τοὺς μισοῦντας μὲν πλείστους, πολλῷ δὲ πλείους τοὺς κατηγοροῦντας, τοὺς διαβάλλοντας, τοὺς ἐλέγχοντας, τοὺς αἰσχύνοντας, τοὺς ἐπαρωμένους μυρία. καὶ ταῦτα μὲν ἐνταῦθα· τὰ δ' ἐκεῖ ποῖος παραστήσει λόγος, ἢ τῶν διωκόντων ἀσεβῶν τὴν κόλασιν, ἢ τῶν διωκομένων εὐσεβῶν τὴν ἀπόλαυσιν; Ταῦτα οὖν ἐννοῶν, φίλτατε Ἀγαθάγγελε, καὶ τοιούτοις ὕδασι τὴν ψυχὴν ἀρδευόμενος, μὴ σιγῇ δειλιώσῃ τὰ τῆς σῆς χαρίζεσθαι γλώττης προπύλαια θέλε· ἀλλ' εὐγενῆ τῆς ἀληθείας προστάτην σαυτὸν καθιστάμενος, καὶ τοῖς προσιοῦσιν ἀγαθὸς γινόμενος σύμβολος, οὕτω διηνεκῶς τὰ τῆς σῆς ψυχῆς ἐγκαίνιζε χρώματα πρὸς τὸ βέλτιον. εἶεν· καὶ μὲν δὴ ὥρα καὶ σὲ ἀπιέναι λοιπὸν πρὶν ἐς ἑωθινὰς τοὺς οὐρανίους καταστῆναι κύκλους αὐγάς, τῶν ἀνατεθειμένων μηδενὸς ἐπιλελησμένον. 3.130 Ἀγαθαγγέλου μὲν δὴ ἀπιόντος ἐν τούτοις, μόνῳ τὴν συνήθη βόσκειν αὖθις οἴκοι κατελείπετο ἐρημίαν ἐμοί, μηδενός, ὁπόσα παραμυθεῖται νόσῳ καὶ ἀθυμίᾳ δαπανώμενον ἄνθρωπον, μήτ' ἤδη παρόντος ἡμῖν μήτε μὴν ὅπως ποτὲ προσδοκωμένου μετὰ τὴν ὑστεραίαν ἤγουν τὴν μετ' ἐκείνην καὶ ἑξῆς καὶ ὁμοίως ἀεί, πλήν γε δὴ τοῦ πανταχῇ παρόντος ἀεὶ καὶ πάντων κηδομένου μόνου θεοῦ, ὃς τηνικαῦτα μετρίαν μοι τοῦ νοσήματος ἄνεσιν πεπραχὼς τοῦ συνήθους, συνήθως αὐτοσχεδίοις ὑπομνήμασι δοῦναι τὴν τῶν γινομένων παρεσκεύακεν ἱστορίαν, κατὰ τὸ πρὶν ἡμῖν εἰωθός, ὅτ' ἐλευθερίαν μακρὰν τοῖς ἡμετέροις ἐμπολιτεύεσθαι βουλήμασιν ἦν, εἰ καὶ μὴ τελέως ἤδη καὶ ὡς ἐχρῆν, ἀλλ' οὖν ὁπόσον ἡμῖν ἐν μεσότητι συνειλημμένοις μεγίστων δεινῶν καὶ φόβων πολυτρόπων τὴν παντοδύναμον κεχορηγηκέναι γέγονε δεξιάν, συνεφαπτομένην ὅπως ποτὲ καὶ συνεπικουφίζουσάν μοι τοὺς πόνους. εἴωθε γὰρ ὁ κραταιὸς ἐμοὶ βοηθὸς ὥσπερ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τέρατα φαίνεσθαι τοῖς πολλοῖς τὰ ἡμετέρα δρᾶν, κἀκ τῶν ἐναντίων τἀναντία παραδόξως περαίνειν ἐπὶ τὸ τῶν βελτίστων πάνυ τι ἀπροσδόκητον, καὶ τοὺς ἀεὶ τῶν τῆς κοσμικῆς περιόδου πραγμάτων ἄλλοτ' ἄλλους κυκεῶνας καὶ κλύδωνας εἰς ἀλκυονίτιδας οἷον εἰπεῖν ἐμοὶ νηνεμίας μεταποιεῖν. ἔστι γάρ τι ζῶον ἀέρι καὶ θαλάττῃ μερίζον τὸν βίον ὄνομα ἀλκυών. αὕτη πρὸς παίδων ἐπειγομένη γονάς, ἐπ' αὐτὰς τὴν καλιὰν τὰς 3.131 παραλίους πήγνυσι ψάμμους ἐν χειμῶνι μέσῳ καὶ κυμάτων ἀκμαζούσαις βίαις. ταύτην τοσαύτης ἀπολαύειν ὁμολογοῦσι τῆς ἄνωθεν προμηθείας οἱ πεῖραν τοῦ παραδόξου λαμβάνοντες, ὥστε τῆς θαλάττης μακρὰ τοῖς ἀπ' ἄρκτων ὑβρίζουσι πνεύμασι καὶ πάνυ μαστιζομένης, καὶ καιρὸν ἐχούσης ἤδη τοῖς κύμασιν ἁμιλλᾶσθαι πρὸς Ὀλύμπους καὶ Καυκάσους καὶ εἴ τι τῶν ἐπιγείων ὀρῶν ἐστὶν ὑψηλότερον, εἰς τοὐναντίον χωρεῖ τὰ τοῦ πράγματος, καί τι παράδοξον ὑπὸ τῆς προνοίας ὁρᾶται γιγνόμενον· ἀτρεμεῖ γὰρ ἡ τῶν πνευμάτων ἀγριότης ἐκείνων, ἀτρεμεῖ δ' ὁ τῶν κυμάτων ὑβρίζων ὄγκος, δεσποτικοῖς ἀπορρήτως δεσμοῖς χαλινούμενος, μέχρις ἂν πτεροφυήσῃ τε καὶ εἰς νόμιμον τὰ νεογνὰ τῆς ἀλκυόνος ἀφίκηται πτῆσιν ἐκτόκια. τῶν παραπλησίων τοίνυν κἀμὲ πρὸς τῆς τοῦ θεοῦ δεξιᾶς τηνικαῦτα συνέβη πειρᾶσθαι· τῶν γάρ τοι διωκόντων, κύκλῳ περὶ τὸν δέσμιον ἐν Χριστῷ κομιδῇ συχνὰ περιτρεχόντων ἐμὲ καὶ νύκτωρ τε καὶ μεθ' ἡμέραν ἐνεδρευόντων, καὶ πᾶσαν ἐπ' ἐμὲ κινούντων γνώμης τε καὶ γλώττης μανίαν, ὠρυομένων δίκην καὶ ὑλακτούντων θηρῶν, καὶ μήτε μηδένα μηδαμῇ τῶν ἀνθρώπων μηδὲν μηδαμῇ τῶν ἐπιτηδείων εἰσκομίζειν ὁθενδήποτε συγχωρούντων, μήτε μηδὲν τῶν ὅσα τὴν τοῦ γράφειν παρέχεται χρείαν ἐώντων μήτ' ἔνδον ἡμῖν συνοικεῖν μήτ' ἔξωθεν εἰσιέναι παρ' ὁτουοῦν, ἐλάθομεν ἀπορρήτῳ θεοῦ προνοίᾳ μικροῦ τὴν ὅλην τῶν γενο 3.132 μένων γραφῇ παραπέμψαντες ἱστορίαν ἐν μικρῷ καιροῦ διαστήματι, μήτε μακρὰ τῶν ἀναγκαίων παραλιπόντες, μήτε μακρὰ τῶν οἱοισδή τισιν εἶναι δοκούντων παραμίξαντες περιττῶν, ἀλλ' ἁπλούστερον παντάπασι τῷ τῆς ἀφηγήσεως τρόπον χρησάμενοι σχήματι. καίτοι ἐχρῆν ἡμᾶς ἐπιστατικώτερον δήπουθεν, ὡς ἐμέ γε οἴεσθαι, τὰ τῆς δογματικῆς ὑποθέσεως καὶ ὅσα τοῖς λῃστικοῖς συμπέπτωκε συνεδρίοις ἐπεξεργάζεσθαί τε καὶ πολλαπλασιάζειν ἀμωσγέπως τὰς τῶν ἐννοιῶν ἀγχιστρόφους μεθόδους, ἀνακυκλοῦντας ἅμα καὶ παρεισκυκλοῦντας συχνά, καὶ πῇ μὲν τῶν ἐναντίων εὐρώστως ἀποκρούεσθαι καὶ ἀνασοβεῖν τὰ τοξεύματα, πῇ δὲ καιριωτέραν ἐγγοητεύειν καὶ μάλα γέ τοι ἀσφαλῆ ταῖς ἡμετέραις κατ' ἐκείνων βολαῖς τὴν περίνοιαν· δεῖν γὰρ κατὰ τοὺς στρατηγοὺς ἐνταυθοῖ καὶ ἡμᾶς οὐχ ὅπως πρὸ ὀφθαλμῶν ἔχειν τοὺς ὀφθαλμούς, ἀλλὰ κἀπὶ τῶν μεταφρένων ὅπῃ τε βάλλειν εὐχερέστερόν πως τῷ ἐχθρῷ, καὶ ὅπῃ μάλιστα τὴν ὅλην καθ' ἡμῶν ἐπίνοιαν ὁ πολέμιος ἐκχεῖν ἐπείγεται. ἀλλ' οὔτ' οὐδεὶς ἐμοὶ τηνικαῦτα παρῆν οἷς εἴωθε πρὶν ταῖς τῶν γραμμάτων ἡμῖν ὑπηρετεῖσθαι ὑπαγορεύσεσιν, οὔτε μὴν οὐδεὶς τὸ παράπαν οἷς ἐχρῆν τῶν δογματικῶν τούτων ἀγώνων τε καὶ βουλευμάτων ἐμοὶ συναίρεσθαι, καὶ μάλιστα νῦν ὀφθαλμοὺς καὶ ὅλην ἀλγοῦσι κεφαλὴν καὶ ὅλην ἀνιωμένοις καρδίαν· ἐῶ γὰρ λέγειν ὡς διὰ τὸ αἰφνίδιον τῆς εἱρκτῆς οὐδ' εὐφυᾶ τινὰ χάρτην ἔχειν ἐμοὶ τηνικαῦτα τετύχηκεν εἴς τε ἀποχρῶσαν ὑποδοχὴν συλλαβῶν καὶ γραφῶν πολυπλόκων τε καὶ παντοδα 3.133 πῶν, καὶ ἅμα ἁρμονίαν τοῖς δογματικοῖς προσήκουσαν ἀγωνίσμασιν· ὥστε καὶ τοσούτων περιρρεόντων ῥοθίων ἡμῖν σφοδρόν τε οἰδούντων καὶ μάλα ἀντίπρωρον ἡμῖν ἐπενηνεγμένων τὴν κίνησιν, ἐς ἀνάγκας ἐλαύνεσθαι ἦν οὐδὲ μικρά τινα ἁπλῶς φράσαντας σιγῇ τε τὴν γλῶτταν κατακλεῖσαι ἑξῆς, καὶ τὸν Ἐνδυμίωνος ἐξ ἀπογνώσεως ὕπνον καθεύδειν. ἀλλὰ τοῦτ' ἴσως ἦν ἄν πως εὐπρεπές, εἰ μηδέν τι πρᾶγμα ἦν δήπου διαβάλλεσθαι πρὸς τῶν κακοδόξων τὴν ἡμετέραν εὐσέβειαν, ἀναιδῶς οὑτωσὶ τὴν σφετέραν περιτρεπόντων κακίαν ἡμῖν, καὶ ἄλλως εἰ περὶ σῶμα γήινον ἦν τὸ τέλος τῆς μάχης ὁρᾶν καὶ ἥκιστα τόν γε περὶ τῆς ἀθανάτου ψυχῆς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀγωνίζεσθαι δρόμον. ὅπου δὲ τῶν τε ἐλπίδων τὸ πέρας κατὰ τὰς ἐλπίδας οὐκ ἂν ἀπαντῴη, καὶ τὴν φυγὴν τοῦ κακῶς παθεῖν ἐφόδιον τοῦ κακῶς παθεῖν περιγίνεται, μάταιος μὲν ἡ τῶν ἐλπίδων πρόφασις, μάταιος δ' ἡ πρὸς τὸ πονεῖν ῥαθυμία. διὸ τῷ μόνῳ θεῷ τοῦ τῶν εὐγενῶν ἐλπίδων γέμοντος σκάφους τοὺς οἴακας θαρρήσαντες, ὑπὲρ οὗ καὶ τὸν πλοῦν ἀνύομεν τόνδε, καὶ μόνην αὐτῷ τὴν χεῖρα μετὰ τῆς γραφίδος χρήσαντες, εὐχερέστερον ἢ κατὰ πᾶσαν προσδοκίαν τὸ πλεῖον ἐν βραχεῖ τῆς ὅλης σπουδῆς τελεσθὲν τεθεάμεθα, κἄπειτα μηδὲν μηδαμῇ πολυπραγμονήσαντες, ἔχειν ὡς ἔσχεν ἀφήκαμεν, καὶ ταῦτα, καθάπερ τῶν ἀγαλμάτων τὰ κάλλιστα, οὕτω δὴ καὶ τοὺς δι' ἀκριβείας λόγους δευτέρᾳ καὶ τρίτῃ χειρὶ χρῆναι 3.134 καθίστασθαι τῶν βελτιόνων σοφῶν παραινούντων. ἀλλ' ἡμῖν γε δὴ μήθ' ὅλως ὅλον ἔχουσι καιρὸν ἐς δέον, ὥς γε ἔφαμεν, μήτε μὴν οὐδὲ βραχύ τι μέρος ὥρας ἀκλόνητον μηδὲ τῇ πρώτῃ γοῦν χειρὶ κατὰ τὸ τῆς γνώμης βουλόμενον χρήσασθαι (πῶς γὰρ οἷς τοσούτοις κεκυκλῶσθαι Κύκλωψιν ἐνῆν, καὶ οἷς μάλα μᾶλλον ἢ Ταντάλειον φάναι λίθον ἐξῆν ἀεὶ περιφανῶς δεδιέναι τοὺς ἀεὶ πρὸ θυρῶν ἐφεδρεύοντάς τε καὶ ἅπαντ' ἀεὶ τἀμὰ δεινῶς τε καὶ ἰταμῶς ἀνιχνεύοντας;) σχολῇ γ' ἂν ἄχρι καὶ ἐς τρίτην ἰέναι χειρὸς αὐτονομουμένην ζήτησιν εἴη. διὸ καὶ στέργειν ὅπως ποτὲ ἠναγκάσμεθα τῇ πρώτῃ καὶ ὡς ἔτυχεν ἐχούσῃ χειρὶ τοῦ τὰ ἡμέτερα πηδαλιουχοῦντος θεοῦ. Τεσσαρακονθημέρου δ' ἤδη τὸν μεταξὺ τῆς ἐκδημίας Ἀγαθαγγέλου διαμετρούσης χρόνον, ἡνίκ' ὀψὲ τῆς τελευταίας ἡμέρας γένοιτο, ψόφου τινὸς κατὰ τὸν ὀπισθόδομον αἰσθέσθαι μοι γίνεται, τῆς γε τηνικαῦτα νυκτὸς ἐκ προοιμίων ἀφέγγους ὑπαρχούσης· μετὰ γὰρ πανσέληνον τέως ἐς τὸ περίγειον τοῦ ἑαυτῆς ἡ σελήνη ἐληλυθυῖα ἐκ κέντρου τὸ δεύτερον, καὶ κατὰ τετράγωνον τῷ ἡλίῳ γινομένη σχηματισμόν, οὐ μάλα ἀκρονύκτους τῇ γῇ παρέχειν ἐβούλετο τὰς αὐγάς. καὶ ἅμα σπουδῇ παριὼν ἐγώ, καὶ τὴν συνήθη πυλίδα ἀναπετάσας, ἡσυχῇ τὸν Ἀγαθάγγελον ἐδεχόμην, ἃ ἐπιτέτραπται πάντ' ἐς δέον καὶ κατὰ τὸ ἀνάλογον πεπραχότα καὶ εἰρηκότα καὶ κεκομικότα. ἔτι τοίνυν ὑπό γε τοῦ μόχθου καὶ τῶν 3.135 ἐπιπολαζόντων τηνικαῦτα φόβων τεθορυβημένον ἐκεῖνον τὸ τῆς ψυχῆς λογιζόμενον διαναπαύειν ἐθέλων ἐγώ, καὶ καιρὸν εἰς ἀνάψυξιν παρέχειν ὁντιναοῦν, "Ἰσμηνίᾳ μέν" ἔφην "ἐκείνῳ, φίλτατε Ἀγαθάγγελε, καθ' ἑαυτὸν γινομένῳ πολλάκις λέγειν ἐπῄει "3νῦν ταῖς μούσαις ᾄσω καὶ ἐμαυτῷ·"3 καὶ ἦν ἡ ᾠδὴ χαριστήριός τις· ἐμοὶ δὲ καθ' αὑτὸν γενομένῳ μετὰ τὴν σὴν ἐκδημίαν, ὁπόσα τῶν τ' ἐκκλησιαστικῶν ὁμοῦ καὶ δημοσίων πραγμάτων τῷ χρόνῳ γένοιτο, ὅσον εἰκός, καὶ ἡμᾶς ἐν δέκα λόγοις ἀναγράψαι γέγονε καὶ τῇ συνήθει δοῦναι τῆς ὅλης Ῥωμαϊκῆς ἱστορίας βίβλῳ, ἐκλεξαμένους τὰ καιριώτερα ὧν τε μετὰ τὴν ἐμὴν δὶς αὐτὸς ἐπιδεδημηκὼς ἀφηγήσω κάθειρξιν, καὶ ὧν βραχύ τι πρότερον, πρὶν ἢ καθειρχθῆναι, παθεῖν ἡμᾶς ὑπὲρ τῶν θείων συνηνέχθη δογμάτων· ποία γὰρ ἂν ἄλλη τις εἴη σχολάζουσιν ἁρμόττουσα μᾶλλον αὐτῆς ἀσχολία σοφοῖς; λέγω δὲ τὴν ἐς τοιούτους λόγους κίνησιν τοῦ νοῦ. τοῖς μὲν γὰρ κατὰ βίον μοχθοῦσιν ἀμφισβητησίμου κέρδους καὶ συλλογῆς χρημάτων φροντίδες ἀπασχολοῦσαι τὸ νοερὸν τῆς ψυχῆς ὑποσαίνουσί τε καὶ κοῦφον τὸ τῶν ἀεὶ παρόντων ἀλγηδόνων ἐπίπονον διὰ τῶν ἐν τούτοις ὅπως ποτὲ δρῶσιν αἰωρουμένων ἐλπίδων, καθάπερ δήπου καὶ τὰς τῶν Σειρήνων, αἵτινές ποτ' ἄρ' εἶεν ἐκεῖναι, προτάττειν ᾠδὰς ἀκούομεν πάλαι, αἳ τῇ τῆς ἐμμελοῦς ἡδονῆς ἐμβριθείᾳ τὰς ἀκοὰς γοητεύουσαί τε καὶ θέλγουσαι, δέσμιον οἷον εἰπεῖν, ὅστις ποτ' ἦν ὁ τοῦ μέλους ἐκείνου κατατρυφῶν, πρὸς τὰς τοῦ θανάτου συνώθουν κρηπῖδας, βραχείας ἡδονῆς ζημίαν μακρὰν ἀλλαττόμενον. ἡ δὲ πρὸς λόγους ἀσχολία αὐτόθεν ἔχει τὸ τοῦ 3.136 κέρδους χρήσιμον συμπαρομαρτοῦν ἀεὶ καὶ ζῶσι καὶ τελευτῶσιν ἐκείνοις, οἷς ἂν ἐς δέον σφῆς καρποῦσθαι συμβαίνοι· συμφυὲς γάρ τι χρῆμα λόγος λογικῇ καθέστηκε ψυχῇ, τῆς αὐτῆς ἀθανασίας ἐμπολιτευομένης ἀμφοῖν καὶ συναπτούσης μάλα τοι προσφυῶς εἰς ταὐτόν, ὁπότε μὴ μεταβάλλειν ἐθέλοι τὰς ἁρμοττούσας θάτερον



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τούτων τῆς συμφωνίας συνθήκας καὶ τὸν εὐγενῆ τῆς φιλίας ἁρμοστὴν καὶ ἡνίοχον ἀποσείεσθαι, καθάπερ τοῦ δίφρου πάλαι τὸν Ἀργεῖον Μυρτίλον ὁ Πέλοψ ἐκεῖνος ὁ Λυδὸς ὁ θρασύς, ἀναίδην οὑτωσί πως τοὺς τῆς δίκης ἀτιμάζων θρόνους. ἐμοὶ μὲν οὖν καθ' ἑαυτόν, ὡς εἴρηται, γενομένῳ μετὰ τὴν σὴν ἐκδημίαν τούσδε συνθεῖναι τοὺς δέκα συνέδραμε λόγους, τοῖς προστυχοῦσι χάρταις κατεσπουδασμένως τε καὶ σφόδρα γε περιδεῶς διὰ τοὺς δαψιλῶς περιρρέοντάς τε καὶ περικυκλοῦντας φόβους ἡμᾶς κομιδῇ· καὶ τοῖς ἄλλοις τῶν ἐμῶν τῆς Ῥωμαϊκῆς ἱστορίας συντέταχα λόγοις, ὡς τὸ τηνικαῦτα ξυνεχώρει τῆς ὥρας στενόν. σὸν δ' οὖν ἔργον ἂν εἴη τοῦ λοιποῦ λαβόντα κομίσαι καὶ διαδοῦναι μὴ μόνον τοῖς φίλοις ἡμῶν, ὁπόσοι τὸν αὐτὸν ἡμῖν ὑπὲρ εὐσεβείας ἔτι παραμένουσι τρέχοντες δίαυλον, ἀλλὰ καὶ πολλὰ τὸ ἓν πεποιηκότα παραπλησίαις τε μετεγγραφαῖς καὶ μέχρι τῆς τυχούσης κεραίας καὶ γραμμῆς ὁμοίως τοῖς πρωτοτύποις ἔχοντα, διαπέμψαι καὶ ὅπῃ τοῖς οἰκουμένης ἡμέτεροι φίλοι τυγχάνουσιν ὄντες, καὶ πρός γε μὴν ἔτι ὅπῃ περ ἂν εἴη γε κατ' ἄλλους ἀλλαχῇ που τόπους ὀρθοδόξων προσοικοῦντα γένη χριστιανῶν, ὁμοίους ἀεὶ τοὺς τῆς εὐσεβείας ἄνωθεν ὅρους ἐν γνώμης ἁπλότητι διασώζοντα. βού 3.137 λομαι γὰρ τὴν τῶν διωκτῶν εἰδέναι τούτων ἀπόνοιαν πάντας ἁπανταχῇ, διαβαλλόντων ἡμᾶς πανταχῇ, καὶ ἅμα τὴν τῆς ἡμετέρας ὁμολογίαν εὐσεβείας καὶ πίστεως. ἣ καὶ αὐτή μοι τοῖς παροῦσιν ἐντέτακται λόγοις, κατὰ λέξιν ἔχουσα οὑτωσί. Πιστεύω εἰς ἕνα θεὸν πατέρα παντοκράτορα, ποιητὴν οὐρανοῦ καὶ γῆς, ὁρατῶν τε πάντων καὶ ἀοράτων· καὶ εἰς ἕνα κύριον Ἰησοῦν Χριστὸν τὸν υἱὸν τοῦ θεοῦ τὸν μονογενῆ, τὸν ἐκ τοῦ πατρὸς γεννηθέντα πρὸ πάντων τῶν αἰώνων, φῶς ἐκ φωτός, θεὸν ἀληθινὸν ἐκ θεοῦ ἀληθινοῦ, γεννηθέντα, οὐ ποιηθέντα, ὁμοούσιον τῷ πατρί, δι' οὗ τὰ πάντα ἐγένετο, τὸν δι' ἡμᾶς τοὺς ἀνθρώπους καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν κατελθόντα ἐκ τῶν οὐρανῶν, καὶ σαρκωθέντα ἐκ πνεύματος ἁγίου καὶ Μαρίας τῆς παρθένου, καὶ ἐνανθρωπήσαντα, σταυρωθέντα τε ὑπὲρ ἡμῶν ἐπὶ Ποντίου Πιλάτου καὶ παθόντα καὶ ταφέντα καὶ ἀναστάντα τῇ τρίτῃ ἡμέρᾳ κατὰ τὰς γραφάς, καὶ ἀνελθόντα εἰς τοὺς οὐρανοὺς καὶ καθεζόμενον ἐν δεξιᾷ τοῦ πατρός, καὶ πάλιν ἐρχόμενον μετὰ δόξης κρῖναι ζῶντας καὶ νεκρούς, οὗ τῆς βασιλείας οὐκ ἔσται τέλος· καὶ εἰς τὸ πνεῦμα τὸ ἅγιον, τὸ κύριον, τὸ ζωοποιόν, τὸ ἐκ τοῦ πατρὸς ἐκπορευόμενον, τὸ σὺν πατρὶ καὶ υἱῷ συμπροσκυνούμενον καὶ συνδοξαζόμενον, τὸ λαλῆσαν διὰ τῶν προφητῶν· εἰς μίαν ἁγίαν καθολικὴν καὶ ἀποστολικὴν ἐκκλησίαν. ὁμολογῶ ἓν βάπτισμα εἰς ἄφεσιν ἁμαρτιῶν. προσδοκῶ ἀνάστασιν νεκρῶν καὶ ζωὴν τοῦ μέλλοντος αἰῶνος· ἀμήν. ἔτι δέχομαι καὶ ὁλο 3.138 ψύχως στέργω καὶ ἀσπάζομαι τὰς ἁγίας καὶ σεπτὰς καὶ οἰκουμενικὰς ἑπτὰ συνόδους, καὶ τὰς τοπικὰς ἑτέρας ἃς ἐδέξατο καὶ στέργει ἡ ἁγία τοῦ θεοῦ καθολικὴ καὶ ἀποστολικὴ ἐκκλησία· καὶ οὓς ἐδέξαντο αὗται, δέχομαι καὶ αὐτός, οὓς δὲ ἀπεβάλοντο, ἀποβάλλομαι, μηδεμίαν προσθήκην ἐπὶ τοῖς ὁρισθεῖσι παρ' αὐτῶν ἢ αὐτὸς προστιθεὶς ἢ παρ' ἄλλων γενομένην, ὡς αὗται αἱ θεῖαι θεσπίζουσι σύνοδοι, δεχόμενος ὅλως· μήτε ἔλλειψίν τινα καὶ ἀφαίρεσιν ἢ αὐτὸς ἀφαιρῶν ἐγὼ ἢ ἀφαιροῦντος ἀνεχόμενος ἄλλου μέχρι κεραίας καὶ γραμμῆς. Ταύτην τὴν ἔγγραφόν μου ὁμολογίαν ἐπὶ πληροφορίᾳ τῆς ὀρθῆς καὶ ἀπαρεγκλίτου εὐσεβείας μου καὶ πίστεως δίδωμι ἁπλῆν σαφῆ ἀποίκιλον εὔληπτον καὶ τοῖς πᾶσι ῥᾳδίως γνωριζομένην, οὐδὲν ἀλλοιώσας οὐδὲ μεταφράσας τῶν ἐν τῷ θείῳ καὶ ἱερῷ συμβόλῳ τῆς πίστεως, οὐδὲ θεολογίας καὶ δόγματα παρεγγράψας ἀσαφῆ τοῖς πλείστοις καὶ ἀσύνετα καὶ ἑρμηνείας δεόμενα, ὡς καὶ καινοφωνίας ἐντεῦθεν εἰρημένας λανθάνειν μεταξὺ καὶ παρατρέχειν τοὺς ἀκούοντας, ἀλλ' αὐτὰ ἐκεῖνα ἁπλῶς ἐκτιθέμενος τὰ παραδοθέντα μοι ἄνωθεν ἱερὰ ῥήματα ὡς παρεδόθησαν, καὶ αὐτὰς τὰς γνησίας τῶν θεσπεσίων πατέρων φωνὰς γυμνὰς καὶ ἀπαρακαλύπτους προφέρων. ὧν τῇ μελέτῃ καὶ ὁμολογίᾳ διὰ παντὸς ἐμμένων τοῦ 3.139 βίου ἀξιωθείην τὴν ἡμετέραν τῷ θεῷ παραδοῦναι ψυχήν· πρεσβείαις τῆς πανυπεράγνου


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

αὐτοῦ μητρὸς καὶ πάντων τῶν ἁγίων. ἀμήν. περὶ δὲ τοῦ Καλαβροῦ Βαρλαὰμ καὶ τοῦ Ἀκινδύνου πλέον τι λέγειν οὐκ ἔχων ἐν τῷ παρόντι τοῦτο μόνον φημί, ὅτι στέργω ὅσον τότε διέγνω περὶ αὐτῶν ἑκατέρου καὶ ἐψηφίσατο ἡ ἁγία τοῦ θεοῦ ἐκκλησία. Ἅ γε μὴν κατὰ τὰς ἐμὰς ἐντολὰς ἐκεκομίκεις ἡμῖν ζωοποιὰ ταυτὶ καὶ φρικτὰ μυστήρια, ζῶντι μὲν παρέσται μοι συνεχέστερον τούτων μετέχοντι ψυχῆς ὁμοῦ καὶ σώματος ἁγιασμὸς καὶ κράτιστον κατὰ πάντων δεινῶν φυλακτήριον, τῆς δ' ἐνεστώσης μεθισταμένῳ ζωῆς μέγιστον αὖθις ἐφόδιον αἰωνίου ζωῆς καὶ τῶν ἐμῶν ἄθλων μαρτύριον ἀκραιφνές, οὓς ὑπὲρ τούτων ἠγώνισμαί τε καὶ ἀγωνίζομαι, ταῦτα βεβαίως διατεινόμενος εἶναι τὸ τοῦ δι' ἡμᾶς σαρκωθέντος λόγου θεοῦ σῶμα καὶ αἷμα, καὶ οὐχὶ τύπον ἐκείνων ἢ καὶ ἀνουσίου τινὸς ἀποτέλεσμα ἐνεργείας, ἣν φαντασιωδῶς πως σεσαρκῶσθαι καὶ οὐχὶ μίαν τῶν τριῶν τῆς μόνης ἀκτίστου καὶ μακαρίας ἐκείνης οὐσίας θεοῦ λόγου ὑπόστασιν, τοῖς ἐμοῖς διαρρήδην βοῶσι διώκταις αἰδὼς οὐκ ἔπεισιν οὐδ' αἰθερίων φόβος κεραυνῶν. διὰ δὴ ταῦτα καὶ συνέκδημος τοῖς θείοις τουτοισὶ καὶ φρικτοῖς μυστηρίοις γενέσθαι βούλομαι τὴν πρὸς τὸν ἀληθῶς σαρκωθέντα θεὸν λόγον πορείαν στελλόμενος, ὅπῃ καὶ 3.140 τρανότερα τὰ τῆς ἀληθοῦς ἀνακαλυπτήρια περὶ πάντων παντάπασι γνώσεως ἔσται. σοὶ δ' ἐατέον παντάπασιν καὶ μὴ διὰ σπουδῆς μηδαμῇ περιστεῖλαι τὸν ἐμὸν γενέσθω νεκρόν, ὁρῶντι κυσὶ καὶ ὀρνέοις δαπάνην ῥιπτόμενον, ὥς γε τοῖς ἐμοῖς δημίοις ἐκ πολλοῦ κεκύρωται ψηφισθέν· εἰ γὰρ πλείστων ἁγίων ἑκόντων ἐρρίφη τὰ σώματα, καὶ ταῦτα τῶν γε πλειόνων πρὶν ἢ τῆς συμφυοῦς χωρισθῆναι ψυχῆς, ὅτε δὴ μάλιστα καὶ δριμυτέραις ἕπεται διαπερονᾶσθαι ταῖς ἀλγηδόσι, πολλῷ δήπου μᾶλλον ἡμᾶς μυρίοις ἁμαρτήμασι βρίθοντας ὑπομένειν χρεών, καὶ ταῦτ' εἰς ἀναίσθητον σῶμα καὶ νεκρὸν τῶν δεινῶν περιαντλουμένων. ἡδοναὶ γὰρ καὶ λῦπαι καὶ ὀργαὶ καὶ φόβοι, καὶ ὅσαι τῶν ἐπιθυμιῶν διαθέσεις, ἢ ψυχὴν ὑποκείμενον μόνην ἕξουσι καθ' αὑτὴν ἢ ψυχὴν χρωμένην σώματι, σῶμα δ' ἄνευ ψυχῆς καθ' αὑτό, τοῦτο δ' οὔποτ' ἂν οὐδαμῇ· πρότερον γὰρ ἄν τις ἐγκαλέσειε ξύλοις ἀψύχοις καὶ λίθοις χαρᾶς ἐντήκεσθαι καὶ λύπης αἴσθησιν καὶ τῶν τοιούτων, ἢ σώμασιν ἀνθρωπίνοις ἀπαλλαγεῖσι ψυχῆς. γίνεσθαι δ' οὖν ὅμως πρὸς θεοῦ τοῖς μὲν δρῶσιν ἀκούομεν ἔλεγχον τὰ τοιαδὶ κακίας καὶ ἅμα φλογὸς ἐκεῖ κολαζούσης ἑτοιμασίαν, οἷς δ' ὑπομένειν ὅπως ποτὲ προθυμία, τούτοις δ' ἀπαλλαγὴν ἐγκλημάτων ψυχῆς· μηδὲ γὰρ ἄλλο τι βούλεσθαι τὴν θηριώδη ταυτηνὶ καθ' ἡμῶν κατοχὴν τοῖς ἐμοῖς δημίοις ἢ τοῦ παρόντος ἐπίτομον βίου ἀπαλλαγήν. ὃ γὰρ Ἰουδαίοις ἐκείνοις ἐπέπρακτο πάλαι, ἔργοις μὲν καὶ πάσαις γνώμης ὁρμαῖς τὸν Χριστοῦ συσκευάσασι θάνατον, λόγῳ δ' εὐλαβουμένοις δῆθεν ψιλῷ χωρεῖν εἰς πραιτώριον ὀψιαίτερον, τοῦτ' ἄντικρυς ἴδοι 3.141 τις ἂν κἀπ' ἐμοῦ συσκευάζοντας τουτουσὶ τοὺς ἐμοὺς Ἰουδαίους· δεδιότες γὰρ ἴσως τοὺς ἀνθρωπίνους ἐλέγχους, σίδηρον μὲν οὐκ ἐπάγειν ταχὺν οὐδαμῇ κατά γε τοῦ 'μοῦ συγχωροῦσιν ἐμφανῶς αὐχένος, μὴ λάθωσιν ἀνδροφόνων ἐς προῦπτον ὄφλοντες δίκην, βίαιον δ' ἄλλως μοι τουτονὶ διὰ παντὸς συσκευάζουσι χρόνου τὸν θάνατον, εἰς ἀπροφάσιστον δῆθεν αὐτῶν κακίαν διατυποῦντες αὐτὸν οὑτωσί· τὸ γάρ τοι μεῖζον δημιουργοῦντες τοὔλαττον εἰρωνεύονται. σὺ δ' ἀλλὰ καὶ τελευταίαν ταυτηνὶ μὴ κατοκνήσῃς καταθεῖναί μοι χάριν· λαβὼν γὰρ τὸ ἄγγος τουτί, νεαρὸν ἐκ τοῦ φρέατος ὕδωρ κομίσαι μοι προθυμήθητι, ἕως ἔτι νεαροὺς καὶ ἀκμάζοντας ἡ νὺξ ληνοβατοῦσα κίρνησι τοὺς ὕπνους τοῖς ἐμοῖς δεσμοφύλαξι· τῇδε γὰρ κἀμοὶ τῇ ὥρᾳ ποιεῖν εἰωθὸς ὡς ἐπὶ τὸ πλεῖστον μετὰ πεντεκαίδεκα καὶ πλείους μεταξὺ τὰς ἡμέρας. ὃ δὲ νῦν ὁρᾷς, εἴκοσι πρότερον ἡμέρας κομίζων νυκτός, ἔλαθον διὰ σκότους λίθῳ τινὶ τὸν πόδα πληγείς, καὶ ἀλγηδόσιν ἐκεῖθεν ἐς τόδε χρησάμενος οὐ βραχέσιν, ὡς μὴ δυνηθῆναι πρᾶξαι τοῦ λοιποῦ τὰ εἰθισμένα. διὸ καὶ σέσηπέ τε, ὡς ὁρᾷς, καὶ ὄδωδεν· ἑστὼς γὰρ καὶ ἄλλως νοσεῖ τὸ ὕδωρ, καθάπερ δὴ καὶ τἆλλα πάνθ' ὁπόσα γε τὴν γένεσιν ἐς τὸ κινεῖσθαι πρὸς τοῦ πεποιηκότος εἰλήφει θεοῦ, μάλιστα δὲ νῦν ὁπότε τοῦ καύματος


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

εἴη τὸ ἀκμαιότατον· μετὰ γὰρ τὰς τοῦ Ὠρίωνος ἐπιτολὰς τοὺς οὐρανίους ἀνελίττων ἀρτίως κύκλους ὁ τῶν αἰθερίων λαμπάδων βραβευτὴς καὶ ταμίας ἥλιος μάλα ξηρόν τε καὶ ἄνικμον τῷ περιόντι τῆς θέρμης οὐ μόνον ποιεῖ 3.142 τὸν ἀέρα, ἀλλὰ καὶ ὅσα τῆς τοῦ ἀέρος τοῦδε μεταλαμβάνει ποιότητος. διὰ γὰρ τοῦτο καὶ τῇ θείᾳ προνοίᾳ ἐμέλησε τὰς τῶν χρόνων καρπῷ ποιότητας ὑγροτέρας ἅμα καὶ ψυχροτέρας ἐκ διαδοχῆς ἀναλόγου ποιεῖν εἰς ἀντίπαλον τοῦ ἡλιακοῦ πυρὸς ἐκείνου κατάστασιν. Ἀλλὰ τούτων μὲν ἅλις· σοὶ δ' ἔνια τῶν ὅσα τῷ βίῳ τελεῖται, καίριον, εἴπερ ποτέ, ἂν εἴη νῦν ἡμῖν προτιθέναι καινότερα διηγήματα· πάντων γὰρ ἡμᾶς τῶν τοιούτων ἐν ἀγνοίᾳ πέπραχεν εἶναι τὰ τῆς καθείρξεως ταυτησίν. εἰκάζειν δ' οὖν ὅπως ποθ' ἡμῖν παρέχεται τὰ τῆς ἡλικιώτιδος πάλαι πείρας ἄλλοτ' ἄλλα φύειν ἀεὶ τὸν χρόνον· φύσις γὰρ ὥσπερ τοῖς αἰθερίοις δρόμοις ὡσαύτως ἔχειν ἀεί, καὶ μεταβολαῖς κεχρῆσθαι μυρίαις καὶ ἀτεκμάρτοις καὶ μηδὲν μηδαμῇ βέβαιον ἔχειν, ᾧ μὴ συνεχοῦς τινὸς καὶ παντοδαπῆς δεήσει τῆς γλώττης καὶ ἀποχρώσης πορθμείου δίκην ἄλλοτ' ἄλλῃ παραπέμπειν ἀκοῇ. ὁρᾷς δ' ὡς καὶ αὐτοῖς γε ἡμῖν ἀνίας οὐ μάλα τι μέτριον ἤνεγκε τῇ ψυχῇ τὸν τοῦ ἐπαχθοῦς φόρτον τὰ φθάσαντα τῶν ἡμῖν συμβεβηκότων, καὶ δεῖ ψυχαγωγίας ἔξωθεν ἱκανῆς ἐξ ἀντιπάλων ῥαγείσης διηγημάτων. οἶσθα γὰρ ὡς καὶ Πυθαγόρας ἐκεῖνος ὁ Σάμιος λύρας ἕωθεν καὶ ᾠδῶν μουσικῶν νενουθέτηκεν ἅπτεσθαι, ὁπόσαι γε ἱκαναὶ τὸ τῶν λογισμῶν τηνικαῦτα κοιμίζειν κυμαῖνον ἐκ τῶν τοῦ ὕπνου 3.143 νυκτερινῶν ἀθυρμάτων καθιστάμενον ῥόθιον, καὶ μεθαρμόττειν ῥᾳδίως ἐπὶ τὸ εὔθυμον ὁπόσα ἡ τῶν ὀνείρων αὐτονομία παίζουσα δραστικώτερον ἐνίοτε κατὰ τῆς γαλήνης τῶν λογισμῶν ἀφίησιν ἀπαρκτίου δίκην μακροῦ τινός, ὅτε δὴ καὶ μάλα ἀταμίευτος τοῖς αἰσθητηρίοις ὁ ὕπνος ἐντρέχων ἥκιστα τὸ πρὸς ἄμυναν τέως ἔχειν δυνάμενον σφίσιν ἐῴη ἄν. διὸ καὶ ἡμῖν ἥδιστον ἂν γένοιτο ἄκουσμα τῶν ἔξω πραγμάτων ἔνια διηγήσεως ὑπόθεσιν νῦν κομίζοντος σοῦ γε. ἐπεὶ γὰρ κακῶν, εἴπερ ποτέ, νῦν ὁ βίος ἐμπέπλησται ὀργιζομένου θεοῦ διὰ τὴν τῶν θείων δογμάτων ἀθέτησιν, δυοῖν ἔσται θάτερον πάντως· ἢ γὰρ φίλων ἡμῖν ἀπαγγελεῖς συμφοράς, καὶ δακρύσω μὲν ὡς εἰκὸς ἕτερον τρόπον ἐγώ, τῇ δὲ κοινωνίᾳ τοῦ πάθους ἐκείνους προσαγορεύσω καὶ πόρρωθεν, ἀφθόγγοις τε λαλιαῖς ὡς εἰπεῖν προσφθεγγόμενος, καὶ οἴκτῳ τὸν οἶκτον ἀντιδιδοὺς καὶ συνηδόμενος σφίσι, καὶ θαυμάζων τῆς καρτερίας τοὺς ἄνδρας, ἢ συμφορὰς διωκτῶν ἀκουσόμεθα, καὶ βελτίους λοιπὸν καὶ ὑπὲρ αὐτῶν τὰς ἐλπίδας ληψόμεθα. σύνεσιν γὰρ οἶμαι καὶ σφᾶς ὀψὲ γοῦν εἰληφότας διορθωθῆναι, ἔργοις ἤδη βλέποντας προφανεῖς φυομένους τοὺς τῶν οἰκείων ἀτοπημάτων ἐλέγχους, καὶ τῶν ἐν μυχοῖς διωγμῶν καὶ σκότῳ βαθεῖ κοιμωμένων προτάσεων ἀληθῶν τὸ συμπέρασμα ἀνατέλλον. Καὶ μὴν ἕτοιμος ἔγωγε, βέλτιστε, λέγειν ὅσα δὴ καὶ οἷα βούλοιο ἂν ἐπιτάττειν αὐτός. 3.144 Οὐκοῦν ἁρμόττουσαν ἀρχὴν ἀναθεῖναι δεῖ τῷ λόγῳ πρότερον, φίλτατε Ἀγαθάγγελε· ἣν οὐκ ἄλλως ἁλώσιμον ἔσεσθαι οἶμαι ἢ ἐς τὸ πρότερον ἴχνος τῶν λόγων ἐκείνων ἀναπόμπιμον πεπραχότας τὴν μνήμην, καὶ δίκην σειρᾶς τὰς τῆς γλώττης ἐκεῖθεν κρηπῖδας ἀνάψαντας, ἀσφαλῆ τὰ τῆς ἀναλήψεως ἤδη ἐφόδια ἐς τὴν τῶν ἑξῆς κεκτῆσθαι διήγησιν ἐν βραχεῖ. εἶναι δ' ἀναγκαῖον πυθέσθαι πρῶτον ἡμᾶς ὅτι ποτὲ μετὰ τὴν ναυμαχίαν ἐκείνην ἀντικαθήμενοι καὶ ἀντεφεδρεύοντες ἑκατέροις ἑκάτεροι τῶν Λατίνων οἱ στόλοι τότε πεπράχασι· δεύτερον δ' ὅτι ποτὲ καὶ ἡ βασιλὶς Εἰρήνη τετέλεκεν ἀπιοῦσά τε ἐς Ὀρεστιάδα καὶ Διδυμότειχον, καὶ τὰς μεταξὺ τῆς φιλαρχίας τῶν παίδων ἔριδας ἐπειγομένη κοιμίσαι, πρὶν εἰς αἱμάτων χύσεις τὸ κατ' ἀλλήλων ἐκβῆναι μαινόμενον· καὶ τρίτον ὁποίας καὶ καθ' ἡμῶν τὰς μελέτας ὁ τῶν διωκτῶν ἱστουργεῖ καὶ συρράπτει θίασος. Ἐμὲ δ' εὖ σοι λέγοντι, θεία μοι κεφαλή, ἀντιλέγειν μὲν ἥκιστα πάντων, πείθεσθαι δὲ μάλιστα πάντων χρεών. καί σοι ἐρῶν ἔρχομαι εἰ μὴ πάντα δὴ τὰ μεταξὺ καθ' ἕκαστα, ἀλλ' οὖν ἀπολέξας τὰ καιριώτερα. Ὁ γάρ τοι τοῦ Βενετικοῦ στόλου ναύαρχος ἥκιστ' ἔχων ὅτι πράξειεν ἀφ' οὗ παρὰ πᾶσαν ἐνέτυχε



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

προσδοκίαν ἤδη μετὰ τὴν ναυμαχίαν τοῖς Γεννουίταις τῷ τῶν Βιθυνῶν σπεισαμένοις ἡγεμόνι Περσῶν Ὑρκανῷ, πρὸς μόνην ταυτηνὶ τελευταίαν 3.145 ἐξ ἀπογνώσεως ἐληλυθόσι καταφυγὴν πολεμίοις πάνυ τι δυσαντίβλεπτον καὶ οἷον ἀνανταγώνιστον, κἀκεῖθεν ἤδη μετὰ μακρᾶς τῆς ἀδείας μισθοφορικὴν ἐξ Ἀσίας διαβιβάζουσι δύναμιν, ὁπόση ἂν εἴη μάλισθ' ἱκανὴ συμμαχεῖν τε καὶ πόρρωθεν ἀποκρούεσθαι καὶ ἀνασοβεῖν πολεμίων ἁπάντων ἔφοδον, πλήρεσιν ἀπέπλευσε τοῖς ἱστίοις ἐς Βενετίαν, ἐπαγγειλάμενος μετὰ πλείονος ἐπανήξειν ὀψὲ τῆς δυνάμεως. κατέλειπε δ' ὅμως συνθήκας τοῖς Γεννουίταις τὸν βασιλέα ποιεῖν καιρικάς, ἕως ἂν ἑκατέροις τοῖς μέρεσι διαναπαύσασιν ἑαυτούς, καὶ διαρκέστερα τἀπιτήδεια εἰσκομισαμένοις, ἀνδρικώτερον πρὸς τὸν ἐφεξῆς ἀπαντᾶν προσγένηται πόλεμον. ἐνταυθοῖ δέ μοι γενομένῳ τοῦ λόγου ἥκιστ' εὔοδα τὰ ἑξῆς εἴη ἄν, βουλομένῳ κατά γε τὴν σὴν τὸν λόγον συστέλλειν ἐς τὸ βραχύτερον βούλησιν. εἰ μὴ γὰρ ἄνωθεν ἠργμένοις τὰς τῶν λεχθησομένων αἰτίας προστιθέναι γένοιθ' ἡμῖν, οὐκ ἄν ποτε γένοιτο γνώριμον οὐδέσι τῶν ἀκουόντων οὐδέν, πλὴν ὅτι ἀμεινόνων γε τῶν ἀποριῶν ἐσόμεθα πρόξενοι, ἡμίεργόν τινα καὶ ἡμιτελῆ τῇ διηγήσει τὴν τῆς γλώττης παρεχόμενοι χρείαν. Ἐβουλόμην σε ἔγωγε, καλὲ Ἀγαθάγγελε, πάνυ τι πλεῖστον ἐμοὶ συνεῖναι τὸν χρόνον καὶ ὁμιλεῖν ἐνταυθοῖ, καὶ μακρὰν παρ' ἑκατέρων ἑκατέρους ἐντεῦθεν ἡμᾶς τὴν παραμυθίαν μετὰ τοῦ ὠφελίμου καρποῦσθαι, χρείας χρείαν ἀντιδιδόντας ἀλλήλους ἀλλήλοις καὶ αὖ παρ' ἀλλήλων ἀλλήλους ἀντιλαμβάνοντας ὡς εἰκός, μέχρις ἄν, εἰ καὶ ἡμῖν ἐξείη ζῆν, ὁ τῆς αἰθρίας ἐπι 3.146 λάμψῃ καιρός, καὶ δῷ παρρησίαν τῇ γλώττῃ ξύν γε θεῷ, καὶ δοθῇ μοι λόγος κατὰ τὸν θεῖον ἀπόστολον ἐν ἀνοίξει τοῦ στόματος μου παρρησίᾳ γνωρίσαι τὸ μυστήριον τοῦ εὐαγγελίου ὑπὲρ οὗ πρεσβεύω ἐν δεσμοῖς, ἵνα ἐν αὐτῷ παρρησιάσω ὡς δεῖ με λαλῆσαι. ἐπεὶ δ' ἄλλοτ' ἄλλα τὰς ἐμὰς νύκτωρ καὶ μεθ' ἡμέραν σμήνη διωκτῶν περιστοιχίζουσι θύρας, θηρῶν χαλεπώτεροι πάντων εἰπεῖν, ὡς δεδιότας μηδ' ἔχειν ἡμᾶς μήτε φωνὴν γοῦν ἐλευθέραν χαρίσασθαι μήτε σέ γ' ἐμοὶ μήτ' αὖ τοὐναντίον σοί γε ἐμέ, πλὴν ἢ μάλα μόλις τονθορύζοντας ἑκάτερον ἑκατέρου ἀκούειν, στέργειν δ' οὖν τέως ἀνάγκη τῇ καταψηφισθείσῃ μονώσει καθάπαξ ἁπασῶν ἐν στερήσει καθημένους ἀνθρωπίνων προσρήσεων, παραπλησίως εἰπεῖν τοῖς αἰωνίως ἐν ᾅδου καθεύδουσιν. ὅμως αὐτῷ θαρρήσαντες ἤδη τῷ μόνῳ θεῷ, ὑπὲρ οὗ καὶ τουτοισὶν ἐγκαρτεροῦμεν τοῖς ἄθλοις, φέρε δέος ἅπαν κονιορτοῦ δίκην ἀποτριψώμεθα· καὶ τρεῖς λοιπὸν τῶν ἡμερῶν καὶ τέτταρας, εἰ δέοι, σύ γε δήπου περιμείνας ἐνταυθοῖ, μακροτέραν τε καὶ ὅσον ἐφικτὸν ἀνενδεᾶ τὴν τῆς ἀφηγήσεως τράπεζαν ἡμῖν ταυτηνὶ παρατίθει. καὶ τῶν ὀρνέων γὰρ τοὺς κύκνους φασὶ τῆς σφῶν αὐτῶν αἰσθομένους ἤδη τελευτῆς, μακρότερόν τι καὶ λιγυρώτερον τηνικαῦτα μᾶλλον ἢ κατὰ πάντα ᾄδειν τὸν βίον. ἐπεὶ οὖν καὶ ἡμῖν περὶ τοὺς ἐσχάτους ἤδη κινδύνους σκηνοβατεῖν περιέστηκεν, ὡς εἰρήκειμεν, οὐκ ἄν που τῶν ἀπεικότων εἴη μακροτέροις διηγήμασι μακροτέραν ἐκτείναντας ἀκοὴν τελευταίοις ἀφοσιώσασθαι ἀσπασμοῖς. ἄρτος δ' 3.147 ἡμῖν ὁ κατεσκληκὼς οὑτοσὶν εἰς τροφὴν ἀποχρήσει, καὶ ὃ νῦν εἰσκεκομίκεις αὐτὸς ἐξ ἐκείνου τοῦ φρέατος ὕδωρ εἰς πόσιν, Τροφῆς μὲν δὴ καὶ πόσεως, θεία μοι κεφαλή, πάνυ τι ἐλαχίστου ἢ μᾶλλον τοῦ μηδενὸς ἄν μοι δεήσειν οἶμαι τὰ νῦν, τῆς σῆς ὁμιλίας ὡς ἐπίπαν εἰπεῖν ἀποχρώσης ἐμοί, καὶ ῥᾷστά με πειθούσης ἔρωτας ἐρώτων ἀλλάττεσθαι, δυοῖν ὁποτέρου βούλοιτό τις ἕνεκα, εἴθ' ὅτι γέννημα ὢν ὁ λόγος ἀθάνατον ἀθανάτου νοῦ μονιμωτέρας τῇ τῶν ἐραστῶν ἀκοῇ παρέχεται καὶ ἡδίους τὰς τῶν ἐρωμένων ἐπαγγελίας, εἴθ' ὅτι καὶ διὰ τὸν σὸν πόθον περὶ πλείονος καὶ τοῦ παντὸς τὴν σὴν ἐφίεμαι ποιεῖσθαι ὁμιλίαν. Ἀλλὰ τούτων μὲν ἅλις, ὦ βέλτιστε Ἀγαθάγγελε· σὺ δὲ τῆς προκειμένης ἔχου προθέσεως. Καὶ δὴ λοιπὸν ἐπανιτέον ἐκεῖσε. οἶσθα, ὦ βελτίστη μοι κεφαλή, ὅπως μετὰ τὴν μοχθηρὰν ἐκείνην καὶ κακῶς τοῖς διώκταις σχεδιασθεῖσαν καθ' ὑμῶν ληστικὴν ἐκείνην σύνοδον ἧκον αὐθημερὸν ἐκ Θεσσαλονίκης ἀγγελίαι



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τῷ βασιλεῖ Καντακουζηνῷ πάνυ τι σφόδρα δειναί, καὶ αὐτῶν ὡς εἰπεῖν τῶν τῆς ψυχῆς ἁπτόμεναι μυελῶν, καθάπερ ἔπαθλα τοῦ ἀγῶνος ἐκείνου κατάλληλα τοῦ ἀθλοθέτου θεοῦ προσδεικνύντος πρὸς ἔλεγχον τῆς κακίας καὶ ἀναιδείας ἐκείνης, διδάσκοντος μόνον οὐ διαρρήδην καὶ μετρίαν ταύτην κατὰ πόδας ἐνταῦθα παι 3.148 δείαν ἐπάγοντος εἰς ἐπιστροφὴν τῶν ἐκεῖ παρανομηθέντων, καὶ πύλας οὑτωσί πως ἀνοίγοντος μετανοίας. Φασὶ γὰρ τὸν Παλαιολόγον, ὡς ὑποπτεύσειεν ἐπιβουλὴν καθ' ἑαυτοῦ πρὸς τῶν γυναικαδέλφων καὶ τοῦ πενθεροῦ καὶ γνώμης ἐκείνων ἀλλοίωσιν καὶ τροπὴν πολλαχόθεν πολύτροπον, ἀνενεγκεῖν τε εὐθὺς πρὸς ὁμοίους φόβους τὴν μνήμην ὁμοίων ἐπιβουλῶν, αἳ ταῖς ἀρχαῖς ἀπροόπτως ὡς τὰ πολλὰ καὶ πολυτρόπως ἐνσκήπτουσαι κηλῖδας καὶ κῆρας αἱμάτων καὶ φόνων μεστὰς ἐπιφέρουσι τοῖς μὴ πάνυ προσέχειν ἐθέλουσι ταῖς πολυτρόποις τύχαις καὶ γνώμαις τῶν ἀνθρώπων. ὅθεν διανέστη τε καὶ τὴν γνώμην εὐθὺς ἐπὶ ζήτησιν ἠκόνησε τοῦ προσήκοντος ἄνωθεν κλήρου τῆς βασιλείας καὶ τοῦ γε βιοῦν ἀδεέστερον δύνασθαι ἢ καθ' ἃς μηχανᾶσθαι δύναιντ' ἄν τινες ἐπιβουλάς· βέλτιον γὰρ ἔφησεν εἶναι θαλάσσης ἐπιούσης ἐν τῷ παρόντι φορὰν ἐκκλῖναι ἢ ῥαθυμήσαντα συναπαχθῆναι τῇ βίᾳ τοῦ ῥεύματος. χρόνον οὖν τινὰ τῷ Κράλῃ Σερβίας ἐπιτιθεμένῳ καὶ ἀπειλοῦντι μεγίστους αὐτῷ περιστήσειν κινδύνους, εἰ μὴ κήδους ἕνεκα πρὸς συγγενῆ φιλίαν αὐτῷ συναφθείη κρατίστῳ καὶ πρὸς τὰς περιεστηκυίας αὐτῷ συμφορὰς ἐσομένῳ συμμάχῳ, πέμπει δεξιὰν ὀψὲ καὶ μόλις ἤδη διὰ ταυτί, καὶ κυροῦται πρὸς ἀμφοῖν δόντα οἱ τὸν Παλαιολόγον, εἰ ῥᾴδιον εἴη, ὅμηρα τὴν ἑαυτοῦ γυναῖκα Ἑλένην διὰ τὰς ἐκ γένους ταύτης ἐπιβουλάς, ἀγαγέσθαι τὴν τοῦ Κράλη γυναι 3.149 καδέλφην, νέαν τε οὖσαν ἔτι κἀκείνην καὶ ἅμα ἀδελφὴν τοῦ τῶν Μυσῶν ἡγεμόνος Ἀλεξάνδρου. ταῦτα τῷ Καντακουζηνῷ μαθόντι τῷ βασιλεῖ θανάτου φάναι πολλῷ πικροτέρους καθῆκε φόβους τοῖς λογισμοῖς· καὶ παραλαβὼν Ἄνναν τὴν ἐκείνου μητέρα, τηρουμένην τέως ἐν Βυζαντίῳ, ἐς τὴν τῶν ὁδηγῶν ἀπῄει μονήν, κἀκεῖ τῆς θείας εἰκόνος ἔμπροσθεν αὐτίκα μάλα δώσειν ὑπισχνεῖται τῷ ταύτης μὲν υἱῷ, γαμβρῷ δὲ αὐτοῦ, τὸν ἅπαντα κλῆρον τῆς βασιλείας, ἀφεμένῳ μὲν τὰς τοῦ Κράλη συνθήκας ἐκείνας, ἐληλυθότι δ' ἐς Βυζάντιον εὐθὺς παρὰ τὴν νόμιμον σύζυγον, αὐτὸς δὲ δυοῖν θάτερον, ἢ τῷ Βυζαντίῳ διὰ βίου ἐνδιατρίβων βασιλικῶς καὶ αὐτὸς τὰ μέχρι Σηλυμβρίας ἐντεῦθεν διοικεῖν πράγματα κατὰ γνώμην τοῦ γαμβροῦ, ἢ τὸν ἡσύχιον ἑλόμενος καὶ ἀπράγμονα βίον οἴκοι καθῆσθαι. καὶ ἅμα ἔγγραφον ταῖν χεροῖν αὐτῆς ἐνετίθει τὴν γνώμην φρικωδεστάτοις ὅρκοις ἠσφαλισμένην τε καὶ ἀπαραλόγιστον τὴν ὑπέραγνον θεομήτορα προβαλλομένοις ἐγγυητήν. ἣ δ' εὐθὺς ἀπιστεῖν οὐδαμῇ ἔχουσα τά τε τῶν οὕτως ἐχόντων ἐγγράφων ὅρκων βιβλία εἰλήφει, καὶ ἅμα ὅλῃ σπουδῇ κατέπλευσεν ἐς Θεσσαλονίκην, κἀκεῖ τῷ υἱῷ τὰ εἰκότα ὡμιληκυῖα καὶ τοὺς φρικώδεις ἐκείνους ἐμφανίσασα ὅρκους, τῶν τοῦ Κράλη συνθηκῶν τελέως ἀποσχέσθαι πέπεικεν εὐθύς. Τούτων δ' οὕτω γενομένων ἧκεν ὁ Παλαιολόγος ἄχρι 3.150 καὶ ἐς Διδυμότειχον· κἀκεῖθεν πρὸς τὸν πενθερὸν διαπρεσβευσάμενος Καντακουζηνόν, καὶ ὡς ἐμμένοι μαθὼν τοῖς ὀμωμοσμένοις, ἥκει λοιπὸν καὶ αὐτὸς ἐς Βυζάντιον, πάντας ἀπεσκευασμένος φόβους καὶ ὑποψίας ἁπάσας. καὶ πλέον ἢ τριακονθήμερον τῇ τοῦ πενθεροῦ συνδιατετριφὼς ὁμιλίᾳ μετ' εἰρήνης κατηφείᾳ τινὶ κεκραμένης διὰ τὸ τῶν ἠλπισμένων οὐκ εὔελπι τὴν ἐς Διδυμότειχον αὖθις ἀπῄει, καὶ τὴν σύζυγον Ἑλένην ἅμα αὐτῷ ἐπαγόμενος, σὺν ἐκείνῳ μᾶλλον αἱρουμένην θνήσκειν ἢ τοῖς γονεῦσι συζῆν. ταυτὶ μὲν οὖν εἶχεν οὕτω, καὶ τὸ φθινόπωρον τὰς τοῦ ἀρκτούρου προύφαινεν ἄρτι ἐπιτολάς. βραχὺς ὁ χρόνος, καὶ αὖθις παρ' ἑκατέρων ἑκατέροις λαθραῖα ἐξηχεῖτο βουλεύματα πάνυ τῶν δεδογμένων ἀντίστροφα. καὶ ἄπεισι τὴν ταχίστην καθέξων Ματθαῖος τῶν Καντακουζηνοῦ υἱέων ὁ πρῶτος Ὀρεστιάδα, σταδίους οὐ μεῖον πρὸς ἄρκτους διέχουσαν ἑβδομήκοντα καὶ διακοσίους. κἀντεῦθεν τὰ σκάνδαλα ηὖξεν ἐρεθιζόμενα νύκτωρ καὶ μεθ' ἡμέραν ἀεί,


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

καὶ πρὸς ἐμφανῆ τὰ πράγματα προύβη κακίαν καὶ ἄσπονδον ἤδη μάχην. καὶ ἅμα οἱ τῶν Θρᾳκικῶν οἰκήτορες πόλεων Παλαιολόγῳ τῷ βασιλεῖ προσεχώρουν ἐθελονταί, κραταιότερόν τε τῶν πραγμάτων ἐρεθίζοντες ἅπτεσθαι καὶ τοῦ πατρῴου κλήρου τῆς βασιλείας ἀντιποιεῖσθαι, ῥαθυμεῖν ὁπωσοῦν, εἴπερ ποτέ, νῦν μᾶλλον οὐ μάλα προσήκοντος. Διὰ δὴ ταῦτα δείσας περὶ τῆς ἀρχῆς Καντακουζηνὸς ὁ βασιλεὺς λόγων τ' ἐκείνων καὶ συνθηκῶν ἐξελάθετο, καὶ 3.151 οἷον αὐλητικῆς τινὸς ἀθύρματα παιζούσης τὴν ἀκοὴν ἅπαντας ἡγησάμενος ὅρκους, τῶν ἀντιπάλων ἔργων καθάπαξ ὅλην ἀντίληψιν ἐποιεῖτο. πρῶτον μὲν οὖν πέμψας ἐς Ὑρκανὸν τὸν γαμβρὸν καὶ σατράπην τῶν ἐν Βιθυνίᾳ βαρβάρων, καὶ ἅμα ἐς τοὺς γείτονας Γεννουίτας, ὅρκους καινοτέρους αὖθις παρέσχε τῶν πρὶν ἰσχυροτέρους, ταὐτὸν ἀμφοῖν διὰ βίου πνεῖν ἐπαγγελλομένους καθ' ὧν αὐτοὶ βούλοιντο καὶ οἷς ἄχθοιντο, εἰ βοηθοῖεν καὶ αὐτοὶ κατὰ τοῦ γαμβροῦ Παλαιολόγου· ἀκρόπολιν γὰρ ἥγηται κραταιοτέραν τὴν ἐς ἐκείνους καταφυγὴν ἀμυντηρίων ἁπάντων θείων καὶ ἀνθρωπίνων, καὶ μηχάνημα ἐκ πολλοῦ εἰθισμένον αὐτῷ κατά τε τῶν ταλαιπώρων Θρᾳκῶν καὶ ᾧ προσερρύησαν βασιλεῖ, ἀνὰ στόμα συχνὰ τὸ γραφικὸν περιᾴδων ἐκεῖνο "λοιπὸν καλέσω τὰ ἔθνη, κἀκεῖνά με δοξάσουσι." καὶ ἅμα οἱ ἐξ Ἀσίας Ῥωμαϊκαῖς ἐπὶ Θρᾴκης διαβιβάζοντες τοὺς βαρβάρους ναυσὶν ἔμπρακτόν τε καὶ πάνυ τι κατεσπουδασμένον τὸ τοῦ βασιλικοῦ δόγματος προύφαινον βίαιον. Κατελάνων δ' αὖθις ἀμφὶ πεντακοσίους, ὅσοις τὸν ἐκ τῆς ναυμαχίας ἐκείνης φυγεῖν ἐξεγένετο κίνδυνον, γυμνοὺς καὶ προσαίτας περιιόντας τοῦ ἄστεος πανταχῇ, πρὸς φυλακὴν ὁ βασιλεὺς Καντακουζηνὸς ἀθροίσας τοῦ σώματος ὥπλιζέ τε καὶ ἐσίτιζε μάλα τι σφόδρα πεφροντισμένως, τῶν ὁμοφύλων ἤδη Ῥωμαίων ἀπιστουμένων καὶ ἐν ἐχθρῶν ταττομένων χορείᾳ. 3.152 Τούτων δ' οὕτως ἐχόντων ἔδοξεν Εἰρήνῃ τῇ βασιλίδι ἔς τε Ὀρεστιάδα καὶ Διδυμότειχον διαβάσῃ διαλλάξαι τοὺς νέους ἀλλήλοις, εἰ δυνηθείη, βαθείαις τισὶν ὑποψίαις ἐπ' ἀλλήλους χρωμένους, οὐδαμῇ τὸ ἔνσπονδον σύνοικον κεκτημέναις, Ματθαῖον δηλαδὴ τὸν υἱὸν καὶ τόν γε ἐπὶ θυγατρὶ γαμβρὸν Παλαιολόγον τὸν βασιλέα, συμπαρειληφυῖα πρός γε τοῖς ἄλλοις καὶ τῶν ἀρχιερέων δύο συνεκδήμους μαρτυρίας ἕνεκα, καὶ ἅμα Ἄγγελον, ᾧ καθολικῷ τηνικαῦτα συμπέπτωκεν εἶναι κριτῇ· ὃς τῆς πατρίδος ἐντεῦθεν ἐξιέναι μέλλοντος ἐμοῦ πάνυ τι νέος ἦν καὶ οὔπω οἶμαι ἔφηβος, εὐγενῆ δ' ὅμως ὑπεζωγράφει τὴν ἐς λόγους ἐκεῖθεν φύσιν, καὶ μάλα ἐπαγγελλομένην πρὸς πᾶσαν ἀρετῆς ἰδέαν εὐφυᾶ τὸν ἄνδρα τὰ συντομώτατα καταστήσειν. πάντας γὰρ ὅσοι τῶν ἅμα αὐτῷ τῆς σῆς σοφίας ἦσαν τέως ἀκροαταί, καὶ τῶν τῆς σῆς διδασκαλίας ἐκείνης κρατήρων φοιτῶντες ἀπήλαυον, μακροῖς παρήλαυνε τοῖς μέτροις δρόμῳ τε γλώττης καὶ διανοίας ὀξύτητι. νῦν δὲ τῆς μακρᾶς ἐκείνης ἀποδημίας ἀνειληφὼς ἐμαυτόν, τῆς φυσικῆς ἐκείνης ἐπαγγελίας ἀμείνω περὶ τὸν ἄνδρα βλέπω τὴν βλάστην καὶ προοιμίων ἐκείνων πολλῷ τὰ νῦν συμπεράσματα κραταιότερα. διὸ καὶ βασιλικῆς ἐγγύτητός τε καὶ εὐμενείας οὐδενὸς τῶν περιλάμπρων ἀνδρῶν ἐνδεέστερον μετέχοντα βλέπων τὸν ἄνδρα γέγηθα· ἤδη γὰρ δι' ἀρετῆς περιουσίαν κἀν μέσοις τοῖς βασιλείοις πεπαρρησιασμένῃ τῇ γλώττῃ διέπειν τοὺς τῆς εὐθυδικίας τέτακται νόμους καὶ τῶν δημοσίων πραγμάτων οἰκονομεῖν ἐν κρίσει τοὺς λόγους 3.153 καὶ τὰ ψηφίσματα· οἷς ἀρρεπεῖς τὸν ἅπαντα χρόνον καὶ πάντῃ ἀκαπηλεύτους τὰς τῆς δίκης ἐπάγων πλάστιγγας θαῦμα τῷ βίῳ γίνεται μεῖζον ἢ κατὰ πάντα δίκαιον Ἀριστείδην, καὶ πᾶσιν ἁπλῶς περιλάλημα καθίσταται κράτιστον, οὐχ ὁμοφύλοις μόνον, ἀλλ' ἤδη καὶ ἐς τὰ περίοικα τῶν ἐθνῶν ἡ φήμη διέδραμεν, ἀκήρατον φέρουσα τὸ σεμνὸν τῆς αἰδοῦς. διὰ δὴ ταῦτα καὶ συνέκδημον ἡ βασιλὶς ἐς Διδυμότειχον ἑαυτῇ γενέσθαι τῶν καθ' αὑτὸν προτετίμηκεν, ὡς αὐτήκοος καὶ αὐτόπτης ἐκεῖ γενόμενος καὶ αὐτὸς τῶν τε δὴ λεχθησομένων καὶ πραχθησομένων γένοιτο καὶ μάρτυς ἀπαράγραπτος. ἐκεῖσε τοίνυν ἡ βασιλὶς γενομένη πάντ' ἔλεγεν οἷς τε ἐμφωλεύειν ὑπενόει τὴν τοῦ πείθειν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἰσχύν, καὶ οἷς οὐκ ἐφεδρεύειν εἶχε σκυθρωπὸν οὐδέν, τῶν ἐπιτιμήσεων ἥμερόν τινα τρόπον ἐνδεικνυμένη τῷ νέῳ τὴν ἡλικίαν βασιλεῖ, μητρικὴν εἰσάγουσά πως αὐτῷ τὴν παραίνεσιν. τὰ δὲ ἦν, ὡς ἐν κεφαλαίῳ φάναι, παραχωρεῖν τὸν γαμβρὸν καὶ βασιλέα Παλαιολόγον ἑκόντα Ματθαίῳ τῷ γυναικαδέλφῳ τὴν ἐξ Ὀρεστιάδος ἄχρι Βιζύης μετά γε τῶν ἑκατέρωθεν χωρίων καὶ πόλεων γῆν αὐτονόμῳ νέμεσθαι δεσποτείᾳ, αὐτὸν δ' ἔχειν τὴν ἐκ Διδυμοτείχου μέχρι Θεσσαλονίκης, τὸν δὲ κοινὸν ἀμφοῖν πατέρα Καντακουζηνὸν τὸν βασιλέα τὰ λειπόμενα μετὰ τῆς βασιλευούσης τῶν πόλεων μέχρι τελευτῆς, ὅτε καὶ αὐτῶν 3.154 κληρονόμον ἐντελῆ καὶ διάδοχον μέλλει σε καταλείψειν. χρεὼν δ' εἶναι σε πάντως ἔλεγεν, ὅσα καὶ πατρὶ καὶ τῇ τῶν πραγμάτων ἐγγεγηρακότι πείρᾳ, πιστεύειν αὐτῷ τά τε ἄλλα καὶ τὴν τοῦ βασιλικοῦ βίου κυβερνητικήν, ὡς ἂν ἀκύμονάς σοι τὰς τούτου παρέχοι φροντίδας, τούς τε τῆς βασιλείας αὐτὸς ἀναδεχόμενος κλύδωνας, καὶ πρὶν τῶν ἐκεῖθεν ἰλίγγων σε γεύσασθαι, πρὸς τὸ ἀγχώμαλον ἄγων ὅσον ἐφικτόν. μηδὲ γὰρ ἄν ποτε τὸν σὸν βουληθῆναι κίνδυνον, εἰς υἱέως κλῆρον αὐτῷ καταστάντος διὰ τοῦ κήδους. πῶς γάρ, ὃς πολέμιος ὢν καὶ πολεμίαν ἔχων αὐτῷ μητέρα, ἔπειτά γε καὶ πολέμου νόμοις αὐτᾷ ληφθεὶς μέν, περισωθεὶς δὲ παραδόξως, καὶ κληρονόμος τῆς βασιλείας πρὸ τῶν γνησίων αὐτοῦ παίδων ἐγγραφεὶς αὐτῷ. ἄπαγε, μὴ σύ γε τοιαῦθ' ὑπονόει. ἔπειτα σε χρεὼν καὶ τούς τε τῆς σῆς μητρὸς καὶ ἅμα τοὺς σοὺς αὐτοῦ μεγάλους ἐκείνους ὅρκους αἰδεῖσθαι, οὓς τηνικαῦθ' ἡμῖν ἐγγράφους παρέσχεσθε, μὴ πολέμιον χεῖρα μηδ' ἔνοπλον ἔργον ἐνδείξασθαί ποτε καθ' ἡμῶν, ἀλλ' ὥσπερ ἡγεμονικόν τι πρόσταγμα πᾶν τὸ τοῦ πενθεροῦ νομίζειν βούλημα μέχρι παντὸς [νενόμισται], καὶ ὡς πρὸς ἀρχέτυπον ὄντως εἰκόνος βασιλικῆς τοὺς σοὺς ἀπευθύνειν τρόπους εἰς τὸν ἐκείνου βίον καὶ λόγον." Ταῦτα τῆς βασιλίδος Εἰρήνης εἰπούσης Παλαιολόγῳ τῷ βασιλεῖ καὶ γαμβρῷ, τοιάδε καὶ αὐτὸς ἀμείβετο πρὸς αὐ 3.155 τήν. "πολλὰ τῶν πραγμάτων, ὦ μῆτερ, ἐν προοιμίοις ὁμαλῶς ὁρώμενά τε καὶ ἀμελούμενα δέον περίεργόν τινα καὶ πεφροντισμένην λαμβάνειν ἐξέτασιν, σφόδρα μακροὺς ἐπεκρέμασε τοὺς κινδύνους οἷς μὴ προειδέναι ἐπῄει δι' ἁπλότητα τρόπων, ἀράχνης τινὸς μιμούμενα τρόπον, ἣ τό τε χρῶμα καὶ ὕφασμα καὶ τὴν κίνησιν ἀερώδη τὰ πάντ' ἔχουσα, λανθάνει τὰ τῶν βραχέων ἐμπίπτοντα ζώων ῥᾷστα θηρεύουσα. κἀγὼ τοιγαροῦν εἰ μὲν ἠρεμήσοντα ᾔδειν Ματθαῖον τὸν ἐμὸν ἀδελφόν, καὶ μὴ πρόφασιν τὸ τῆς δεσποτείας αὐτόνομον ἐσχηκότα τὴν ἐμὴν καιροφυλακήσειν σφαγήν, τοῦ παντὸς ἂν τὸ τῆς εἰρήνης ἐτιμησάμην ἐνταῦθα τερπνόν, καὶ παντὸς ἅμα καὶ λόγου καὶ πράξεως τὴν ἀπράγμονα σιωπὴν ἐποιησάμην ἐπίπροσθεν μάλα τι ἄσμενος. νῦν δέ με ταράττει σφοδρῶς ὁπόσα σφετεριζόμενος ἑαυτῷ τῆς βασιλείας περιτίθησι σύμβολα, ὅσα τοῖς ὅρκοις ἐκείνοις σιωπηθέντα παρρησιάζεται νῦν, ἠρέμα καὶ κατὰ μικρὸν ἐφ' ἑτέροις ἕτερα διηνεκῶς προστιθέμενα καὶ τὴν ἐμὴν ἀναίρεσιν μόνον οὐ τραγῳδοῦντα πρὸ θυρῶν τῶν ἐμῶν, δέον, εἰ μὲν δίκαια ταυτί, τοῖς ὅρκοις ἐκείνοις τότ' ἐγγραφῆναι, οὓς ἀρτίως προφέρεις δεξιῶς ἐμοὶ τὴν κατάλυσιν ὀνειδίζουσα· εἰ δὲ τοὺς νόμους αἰδούμενος τότε σεσίγηκε, πῶς οὐ νῦν μᾶλλον αἰδεῖται τοὺς ὅρκους τε λύων ἐκείνους περιφανῶς, καὶ ἃ τοῖς νόμοις κωλύεται, μετ' ἐξουσίας οὐ μάλα τι προσηκούσης ἁρπάζων ἀρτίως. καὶ ταῦτα 3.156 δρᾷ τοῦ πατρὸς συγχωροῦντος ἅπασι· τῷ γὰρ ἀεὶ βλέποντα μὴ κωλύειν καὶ ὡς αὐτὸς αὐτόχρημα δρῶν ἁλίσκεται, καὶ τὸν ἐμὸν ἐς προὖπτον ὁ κοινὸς πατὴρ εἶναι ὀμωμοκὼς δημιουργεῖ θάνατον. ἐφ' ἃ γὰρ τὸν παῖδα σχήματι σιωπῆς συγχωρεῖ, τὴν διὰ γλώττης προτροπὴν τῇ διὰ τῶν ἔργων νενίκηκεν, ἐκείνῳ μὲν ἠπατηκώς, τούτῳ δ' ἐπιπεσὼν διὰ τὴν ἐκ τοῦ λεληθέναι εὐστοχίαν, κἀκείνῳ μὲν τὸ τῆς ἀνθρωπίνης ἐπιτιμήσεως φεύγων προφανές, τούτῳ δ' ἐγκαίρως τὴν τοῦ δράματος ἀνακαλύπτων σκηνὴν καὶ τὴν πάλαι κρυπτομένην βουλὴν ὀψὲ προδεικνύς. ἐπεὶ γὰρ πολλὰ τῶν τῆς κακίας εἰδῶν λεχθέντα μέν, ἐπιεικῶς δ' ἄτοπα δόξαντα τὴν θύραν ἀνασοβεῖ τῆς γενέσεως, πράττεται ῥᾷστα


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

λοιπὸν σιωπῇ καὶ πρὶν λεχθῆναι τῷ δρῶντι καὶ πρὶν ἐνθυμηθῆναι τὸν πάσχοντα, καὶ φθάνει τὴν γνῶσιν ἡ πεῖρα λίαν ὠκύπους φανεῖσα καθ' οὗ τολμᾶται τὰ χείριστα. καὶ διδάσκαλον ἔσχε τὸν ἅπαντα χρόνον ἡ τῶν πραγμάτων φύσις, ἐπὶ πολλῶν τῶν ὁμοίων περιφανῶς τὴν ἀναίρεσιν ἀναγράφοντα βλέπουσα καὶ φυλάττεσθαι πᾶσι πᾶσαν ἄντικρυς ἀφιέντα φωνήν, καὶ νέοις ἐπ' ἴσης καὶ πρεσβυτέροις. ἀκούομεν οὖν καὶ πατέρων ἐνίους ἀνδροφόνον ὁπλίσαντας δεξιὰν κατὰ τῶν υἱέων, καὶ πλείους ἔτι τῶν ἀδελφῶν τὸ ξίφος καθ' αἵματος βαπτίσαντας συγγενοῦς· καὶ κατὰ λαιμοῦ πικρῶς ὀρχησαμένους ὁμοφυοῦς, καὶ μάλισθ' ὅτε περὶ βασιλείας εἴη τἀγώ 3.157 νισμα, ἔνθα καὶ τυραννικῆς εἶναι τὸ πρᾶγμα λέγεται νομοθεσίας αὐτοχειροτόνητον καὶ ἀνομοθέτητον δίκαιον. οὐκ ἔγωγε τοίνυν αὐτὸς ὁ τῆς υἱοθεσίας παραβαίνων τοὺς νόμους· οὐκ ἔγωγ' ἐκεῖνος ὁ τοὺς φρικώδεις ἐκείνους ὅρκους πατῶν· ἀλλ' ὁ πατὴρ ἐμοῦ καὶ τῆς ἐμῆς ὑπάρχειν προμηθεὺς ὀμωμοκὼς ζωῆς. τί τοίνυν ἀδικῶ, ζῆν ἐφιέμενος ἕως ἂν καὶ τῷ κρείττονι συνδοκῇ καὶ συγχωρῆται τῷ πλάσαντι; οὐ γὰρ τοὺς ἐφιεμένους ζῆν ἀσφαλῶς οἱ νόμοι κολάζουσιν, ἀλλ' οἷς τυραννικὴν ὠμότητα σχήματι φιλίας ἀναμίξασιν ἐπιορκεῖν ὁμοῦ καὶ φθείρειν ἐμέλησεν οὓς ἀγαπᾶν ὀμωμόκεσαν· ἐκεῖνο μὲν γὰρ ἀκώλυτον ἔχει τὴν τῆς βουλήσεως ἔφεσιν, τοῦτο δ' οὐκ ἀθῷον τὴν γνώμην ἐγκλήματος. ὡς ὤφελον τότε γε θνήσκειν, καὶ τοὐμὸν αἷμα τοῖς ὑμῶν ἐπιβατηρίοις εἴθε ἐθύετο τέως, καὶ βραχεῖα κόνις τοὐμὸν ἐκάλυπτεν ἄθλιον σῶμα, πρὶν ἐς τοιαύτας τεταμιεῦσθαι τύχας· τοῦ γὰρ ἅπαξ θανεῖν ἀκλεῶς τὸ φυλάξαι βασιλείας ἀταλαίπωρον δόξαν πολλῷ χαλεπώτερον· τοῦτο μὲν γὰρ πολύτροποι βόσκουσι κίνδυνοι θανάτων μυρίων μεστοί, νύκτωρ καὶ μεθ' ἡμέραν περιτρέχοντές τε καὶ προοδεύοντες καὶ δίκην ἀγρίων κυμάτων ἀεὶ συμπνίγοντες, ἐκεῖνο δ' ἀνάλγητον ἔχει τὸ ἀκλεὲς πρὸς ἅπαντα βίον ἀναισθητοῦν. ὡς νῦν γε καὶ εἴ μοι τελεσιουργὸν τὴν εὐχὴν ἤλπιζον ἔσεσθαι, ἥδιστ' ἂν ηὐξάμην χανεῖν μοι τὴν γῆν μᾶλλον ἢ τὰς ἐμὰς ἀναγκάζεσθαι νῦν ἐπὶ σοῦ συμφορὰς ἀφηγεῖσθαι· ἀναμέμικται γὰρ ταυτί πως καὶ συμπέφυρται τοῖς ἐγκλήμασι 3.158 τοῦ 'μοῦ πενθεροῦ, ὡς ἀνέφικτον εἶναι διελόντ' ἀφηγεῖσθαι, καὶ δέος μὴ αὐτῷ προστρίβειν δόξω τὸν ὄνειδον ἐξεπίτηδες· εἶναι γὰρ ἐγνωσμένον μὴ ὅτι Ῥωμαίοις ἅπασιν, ἀλλὰ καὶ τῶν ἐθνῶν τὰ πλείω λόγῳ μεγάλου παρεῖχον θαύματος, ὁρῶντες εἰς οἷον αὐτὸν ἀνύψωσε κλέος ὁ μακαρίτης ἐκεῖνος βασιλεύς, ὁ τὸν ἄθλιον ἐμὲ γεγεννηκώς. τοὔνομα μὲν γὰρ ἐκεῖνος εἶχε τῆς βασιλείας, τῆς δ' ἐξουσίας συλλήβδην οὗτος ἁπάσης εἰπεῖν μετά γε τῆς αὐτοῦ κατετρύφα μητρός. καὶ ἦν ἐπὶ τούτοις ἐκείνῳ τὸ σκοπιμώτατον φυλακῆς ἕνεκα τῆς εἰς τὴν βασιλείαν διαδοχῆς καὶ διαμονῆς τῆς ἐμῆς. ἀλλ' ἐπεὶ τῇ φύσει τὸ χρεὼν ἐκτίσας ἀπῄει, βρέφος ἐμὲ ταῖς χερσὶ τῆς μητρὸς λελοιπώς, ἴσασιν ἅπαντες ὅσας τε αὐτὸς ἐμοὶ μετὰ τῆς ταλαίνης μητρὸς ἐπήνεγκε συμφορὰς καὶ ὅσας αὖθις αὐτὸς κατ' αὐτὸν ἐπεπόνθει, πέντε βασιλέων σειρὰν καὶ διαδοχὴν εἰς ἑαυτὸν μεταστῆσαι πειρώμενος, πρᾶγμα πρὶν γενέσθαι μηδ' ἐλπισθέν. ἐκλαθόμενος γὰρ εὐθὺς τὰς τοῦ 'μοῦ πατρὸς συνθήκας ἐκείνας, ἣν ἐκ πολλοῦ βασιλείαν ὠνειροπόλει, ταύτης ἐμέμνητο μόνης, ὃν ἐκ πολλοῦ ζητῶν, ἤδη καιροῦ λαβόμενος. καὶ ταυτὶ μὲν ἔγωγε τότ' ἀκούων πρὸς τῶν συνετωτέρων πιστεύειν οὐκ εἶχον· νῦν δ' ἃ τότε ῥοθίοις ἀνεκέκρατο στοχασμῶν εἰς φῶς χωροῦντα σαφῶς ἐνορῶν, ὡς εἰρήσεται προϊόντι μοι καθαρώτερον, πείθομαι κἀκεῖνα τῆς ἀληθείας ἔχεσθαι τῆς αὐτῆς, καὶ γινώσκω τοῦ πάλαι φυτοῦ τὴν ῥίζαν, ὀψὲ γευσάμενος τοῦ καρποῦ. οὐ γὰρ ἔχω νοεῖν τῶν ἁπάντων 3.159 ἕτερον οὐδὲν οὐδαμῇ ὅτι πότ' ἂν εἴη τὸ μεταθεῖναι πεῖσαν κατὰ τῆς ἐμῆς τὴν τούτου γνώμην κεφαλῆς. εἰ μὲν γὰρ τότ' ἐδύνατο μὲν οὐκ ἐβούλετο δέ, πῶς νῦν μὴ δυνάμενος βούλεται; εἰ δὲ καὶ τότε καὶ νῦν τῆς αὐτῆς ἐστὶ γνώμης, διὰ τί πρεσβύτερα μὲν τὰ τῆς κακίας σπέρματα, νεήλυδας δ' ἀποφαίνειν ἐπείγεται τὰς τῶν ἀφορμῶν τερατομόρφους εὑρέσεις, καὶ φύρει τὴν φυσικὴν τῶν πραγμάτων θέσιν, ἐπὶ τὸ ἀνακόλουθον τρέπων τὴν


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἁρμονίαν καὶ ἄνω ποταμῶν χωρεῖν τὰς πηγὰς βιαζόμενος. εἰ γὰρ μὴ λάλον τὴν γλῶτταν αὐτῷ τῆς φύσεως παρασχούσης, ἀνεκλάλητον ἐκ τοῦ γε ῥᾷστου τὴν μελέτην ἔκρυπτεν ἐν ἀπορρήτοις μυχοῖς τῆς καρδίας, ἀλλ' οὖν ἐβόα τὰ πράγματα καὶ πᾶσαν ἀκοὴν περιήχει βροντῆς ἁπάσης τρανότερον· ἃ μᾶλλον ἀδέκαστον ἔχει τὴν ψῆφον τῆς μαρτυρίας καὶ παντάπασιν ἀκαπήλευτον. ἢ φρασάτω μοί τις παρελθών, τί τῶν ἁπάντων αὐτὸν ἠρέθισεν ἕτερον ἐς λήθην μὲν ἐληλυθέναι θεοῦ, φιλίας δ' ἐνέχυρα τόσα καὶ τόσα παρασχεῖν ἐκ πάνυ πολλοῦ τῷ βαρβάρῳ καὶ ἀσεβεῖ τῆς Λυδίας σατράπῃ, καὶ ὁρκῶσαι μὲν ἐκεῖνον ὑπὲρ αὐτοῦ κινδυνεύειν ἄχρι θανάτου, ὀμνύναι δ' αὐτὸν ἐκείνῳ τὰ ἴσα; ἢ πάντως ὃ ἔργοις ἀναντιρρήτοις ἔδειξεν ὕστερον τοῦ 'μοῦ πατρὸς καὶ βασιλέως θανόντος εὐθύς. τῶν γὰρ ὑπηκόων τὴν ἐγχείρησιν 3.160 οὐ προσιεμένων αὐτοῦ, προβὰς ἐκεῖθεν τυραννικὴν ποιεῖται τὴν ἀναγόρευσιν ἑαυτοῦ· κἄπειτ' ἀποτυγχάνοντα καὶ οὕτως τὸν Ἰξίονος ἄτοπον ἔρωτα βλέπων (ἅπαντες γὰρ ἀφίσταντο τῆς αὐτοῦ τυραννίδος) προσεκαλεῖτο λοιπὸν οὐ τὸν τῆς δίκης προστάτην θεόν, ἀλλὰ τὸν τῆς ἀδίκου μανίας βάρβαρον σύμμαχον, τὰς ἐκδήμους ἐκείνας ἀγωνιεῖσθαι μέλλων λῃστείας κατὰ χριστιανῶν, ὅτι τῶν πολλῶν βασιλέων ἐμὲ προσεκαλοῦντο διάδοχον. καὶ θέρους μὲν ἐγκαθεζόμενον ἔχων τὸν βάρβαρον καὶ πολέμιον ἐκεῖνον στρατὸν ἔκειρε τὴν τῶν Θρᾳκικῶν πόλεων γῆν, χειμῶνος δὲ καὶ αὐτὰς ἠρήμου τὰς πόλεις, τὰ πέριξ ἅπαντα ληϊζόμενός τε καὶ ἀνδραποδιζόμενος ἄχρι πυλῶν, ὑφ' ὧν, ὦ γῆ καὶ ἥλιε, οὐδὲν προηδίκητο. καὶ τὸ τῆς τραγῳδίας βαρύτατον, ὅτι τῶν αἰχμαλώτων ἐλεεινῶς ἀγομένων σχίζοντες τὰς γαστέρας οἱ βάρβαροι τάς τε χεῖρας ἑαυτῶν καὶ τοὺς πόδας εἰσῆγον ἀλέας μετρίας εἵνεκα, τὸ τιμιώτατον κτῆμα θεοῦ τὸν ἄνθρωπον φθείροντες ὥσπερ ἐν παιδιᾶς σχήματι. ὃ δ' οὔτε ἐκάμπτετο βλέπων τὴν τῶν ὁμοφύλων ἐλεεινὴν τραγῳδίαν ἐκείνην, οὔτ' εἰκόνα γοῦν τινὸς βραχείας φειδοῦς ἐνετύπωσεν ὅλως τῷ τῆς ψυχῆς συνειδότι, ἀλλ' ἡμιθνῆτας ἔτι καὶ ἀσπαίροντας ἔφιππος καὶ αὐτὸς ἐπιὼν καὶ συμπατῶν, τὴν τῶν λίθων ἀναλγησίαν ἐνταῦθά πως ἐφιλονείκει μιμεῖσθαι, τὸ τῆς καρδίας, ὡς ἔοικε, θηριῶδες ἀσκῶν καὶ γυμνάζων, μὴ λάθῃ τὴν ἕξιν ὀψὲ διαφθεῖραν τῆς φύ 3.161 σεως. τοῦτ' ἐκεῖνο σχεδόν, ὀκνῶ γὰρ ἐκείνου λέγειν, ἐπέκεινα τοῦ τῶν Φεραίων πάλαι τυράννου, ὃς τραγῳδοῦ τινὸς ἐμμελῶς ἐπ' αὐτοῦ Τρωϊκὰς συμφορὰς ἐπιόντος, ἐπειδὴ πρὸς τὸ πάθος ᾔσθετο χαυνούμενος τὴν ψυχὴν καθάπερ ἐλαίῳ σίδηρος, ἀνεπήδησέ τε εὐθὺς καὶ τὸν τραγῳδὸν ἰταμῶς ἐλοιδόρησεν ὅτι δὴ τὴν ἕξιν αὐτοῦ τῆς ψυχῆς ἐμάλαξεν ὁπωσοῦν μεταθείς, αἰσχρὸν εἶναι φήσας εἰ τοσούτους ἀποσφάττων ἀεὶ πολίτας, τοῖς τῆς Ἑκάβης καὶ Πολυξένης δακρύων θρήνοις ὀφθείη. τοιοῦτον ἡ δυστυχὴς μεγαλόπολις καθ' ἑαυτῆς ἐξέθρεψεν ἄνθρωπον, καὶ ταῦτ' εἰδυῖα πόρρωθεν ᾀδόμενον ἐσχάτην ἀπώλειαν αὐτῆς θ' ἅμα καὶ εὐσεβείας ὑπάρχειν αὐτῆς τὸ κ στοιχεῖον διπλούμενον· ὥστε καὶ εἴ τις παρασυρεῖσαν τὴν ἐμὴν ἐγκαλεῖν ἔχοι μητέρα παραπλήσι' ἄττα πεπραχυῖαν τῷ τηνικαῦτα καιρῷ, οὐκ ἐκείνην ἀλλ' αὐτὸν αἰτιᾶσθαι χρεών· ὃ μὲν γὰρ τὰ ἀλλότρια ζητῶν παρηνόμει, ἣ δ' ἠμύνετο ἐπίοντα, τηρεῖν ἐπειγομένη τοῖς ὀρφανοῖς τέκνοις τὸ ζῆν, καθάπερ τρυγὼν τοὺς ἑαυτῆς νυκτοφυλακοῦσα διέπει νεοττοὺς ἀλλοφύλων ἐπιόντων ὀρνέων νυκτός. εἰ δὲ καὶ οἷς περὶ τὰ τοιαῦτα συνετώτερον ἔπεισι κρίνειν πείθεσθαι δίκαιον εἴη, ταῦτ' εἶναι διατειναίμην ἔγωγ' ἂν ἃ τὸν θεὸν εἰς ἀνάγκας ἐπενεγκεῖν κατ' αὐτῆς ἠρέθισε τὸ μέγα πάθος ἐκεῖνο, τὴν τῆς βασιλικῆς ἐξουσίας φημὶ ζημίαν, οὐκ ἀνεχομένου βλέπειν οὐδ' ἀκούσιον μύσος τοῖς ἐκλεκτοῖς προστριβόμενον. 3.162 Ἀλλ' ἓν μὲν δὴ τοῦτο δέδειχε σαφῶς τὴν πάλαι κρυπτομένην ἐν τῇ τούτου ψυχῇ κατὰ τῆς πατρίου μοι βασιλείας μελέτην, καθάπερ σπινθῆρα πυρὸς ἐκ σποδιᾶς ἀναλάμψασα φλὸξ πνεύματος ὁθενδηποτοῦν ἐρεθίσαντος· δεύτερον δέ, ἐπειδὴ καὶ Ὑρκανὸν τὸν τῆς Βιθυνίας ἑώρα σατράπην βαρβάρων ἁπάντων, ὁπόσοι τὴν ἄχρι θαλάττης Ἀσίαν κεκλήρωνται, πόλεων τῆς μεγίστης ἔγγιστα ποιούμενον τὰς διατριβάς, ὡς


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

πεντεκαίδεκά που σταδίων εἶναι τὸ μεταξύ, πέμψας τὴν θυγατέρα τοὺς ἀλλοφύλους ἐκείνους μνηστεύει γάμους αὐτῷ, ἵν' ἐκ τοῦ σχεδὸν τελεώτερον τὸ τῶν χριστιανῶν ἐκτρίψῃ γένος, δι' αὐτοῦ μᾶλλον ἢ κατ' ἐκεῖνον τὸν τῶν Λυδῶν σατράπην πόρρω που γῆς καὶ θαλάττης οἰκοῦντα. καὶ τί χρὴ τὰς ἐν μέσῳ συνείρειν τύχας, καὶ ὅσα βαρβάρους κατὰ Ῥωμαίων στρατολογῶν ἐποίει δεινά, ἐφ' οἷς αὐτὸν ἐγκαλύπτεσθαι ἔδει διηνεκῶς ἐγκαυχώμενος, καὶ ὑπισχνούμενος ἀοίκητον τὴν Ῥωμαίων ἅπασαν γῆν ἐν βραχεῖ παντάπασι καταστήσειν. καὶ ἦν μὲν ὁ δρόμος ἅπας αὐτῷ κατ' ἐμοῦ, ἡ δὲ βλάβη κατὰ πάντων χριστιανῶν· οὕτως οὐδὲ μικρὸν ἐφόδιον τὴν τοῦ θεοῦ νομίζων ἐπικουρίαν, οὐδ' ἐς τὴν τῶν μελλόντων μνήμην κολαστηρίων ἰὼν ὁπωσοῦν, ὅλον ἑαυτὸν τοῖς ἀσεβέσι προσένειμε. καὶ μὲν δὴ δεύτερον κείσθω καὶ τοῦτο δεῖγμα τῆς αὐτοῦ μελέτης, ἥν, ὡς εἰρήκειμεν, πάλαι πολύν τινα χρόνον ἔβοσκεν ἐν τῇ ψυχῇ κατὰ τῆς πατρίου μοι βασι 3.163 λείας· τὸ γὰρ φύσει κακὸν ἀποτρίψασθαι χρόνῳ τὴν ἕξιν οὐκ ἄν ποτε δύναιτο, ἀλλὰ καὶ τὴν τοῦ καλοῦ προσποίησιν εὐχερῶς τοῖς πράγμασιν ἐλεγχόμενον ἀποσείεται, παλινδρομούσης τῆς φύσεως καὶ ἀναλαμβανούσης ἐκ τοῦ ῥᾴστου τὸ γνήσιον. ἐξὸν γὰρ θεῷ τὰ καθ' αὐτὸν ἐπιτρέψαντα τὴν τῶν παίδων εὐδαιμονίαν ἡσυχῇ πραγματεύσασθαι, ῥᾴδιον, εἴπερ ἐβούλετο, ὄν, ὃ δὲ τοῖς ἀσεβέσιν ὡς εὐτυχεῖν δοκοῦσιν ἐς τὸ παρὸν μᾶλλον ἑαυτὸν ἀναθεὶς ἀΐδιον εἵλετο μοχθεῖν κατ' ἐμοῦ· μηδὲ γὰρ ἄλλο τι μακαριζομένου γνώρισμα βίου γίνεσθαι τουτωὶ καὶ ἀληθευούσης εὐζωΐας ἢ κατά γε τὸ νῦν εὐτυχοῦντα δύνασθαι φθείρειν εὐσεβεῖς καὶ μηδὲν ἀδικοῦντας ἀνθρώπους, οὓς δι' αὐτό γε τουτὶ νενόμικε δυστυχεῖν, ὅτι θεότητα σέβουσι τρισυπόστατον, φεύγοντες ἀθεΐαν ὁμοῦ καὶ πολυθεΐαν. δῆλον δέ· καὶ γὰρ ἐκείνοις σύνδρομον καὶ τὸν τοῦ Παλαμᾶ κρίνας ὑπάρχειν θίασον, πονηροῖς ὀργάνοις μετὰ τῶν ἀσεβῶν ἐκείνων καὶ τούτοις ἐχρήσατο κατ' ἐμοῦ, ἵνα καὶ τοῦτο τῆς ἐκ πολλοῦ ταμιευομένης αὐτῷ κατ' ἐμοῦ γνώρισμα γνώμης εἴη καὶ τῆς τῶν ὅρκων αὖθις συγχύσεως· διὰ γὰρ αὐτῶν ἁπάσης ἐπιορκίας ὁμοῦ καὶ διχοστασίας μάλα ῥᾳδίως τὴν πόλιν ἐκεῖνος ἐνέπλησεν. ὀξεῖς τε γὰρ εἰς κακίαν ὄντες οἱ ἄνδρες, καὶ ἅμα τῷ τοῦ σχήματος μέλανι μετὰ τῆς ἀσεβείας καὶ τὴν ἐς τὰ τοιαῦτα τῆς πονηρίας ἀποχρῶσαν φαρέτραν συγκρύπτοντες, παντοδαπῶν καὶ πολυτρόπων γέμουσαν τῶν βελῶν, κἀκεῖνα 3.164 μὲν ἠρέμα καὶ σπουδῇ περαίνοντες, τὴν δέ γε τῆς ἐμῆς ὑπιόντες ἄλλως μητρὸς ἁπλουστέραν εὐμένειαν, ὑφάλων πετρῶν οὐδαμῇ πω μαθούσης συμπτώματα, καὶ δόλους μὲν αὐτῇ καὶ προδοσίας ῥάπτοντες ἡμέρας καὶ νυκτός, φιλίας δ' αὖ ἑτέρωθεν δεικνύντες πρόσωπον, ἔλαθον ἀψοφητὶ τῷ τῶν διωκόντων προδεδωκότες βυθῷ, λῃστῶν ἀδικώτεροι πάντων τοῖς εὐεργέταις φανέντες ἡμῖν. τὰ δὲ τοιαῦτα τῆς ἀπορρήτου προνοίας κρίματα ἐρευνᾶν, ὅπως οἱ τὰ δίκαια ζητοῦντες ἡμεῖς τοῖς ἀδίκοις ὑπὸ τῶν ἀδίκων δι' ἕτερα προδεδόμεθα νῦν οὑτωσὶ πλημμελήματα, ἐγὼ μὲν οὐκ ἂν δυναίμην· ἔξεστι γὰρ τοῖς ἀπαθῶς ἐθέλουσι βλέπειν τὰ ἴσα παρὰ τὸν βίον ἀεὶ γιγνόμενα μὲν κεκρυμμένην δ' ἔχοντα τὴν τῆς ἀληθείας αἰτίαν ὡς τὰ πολλά. λεγέτω δ' οὖν ὅμως καὶ ὁ προφήτης ἐκεῖνος, "ἵνα τί ὁδὸς ἀσεβῶν εὐοδοῦται" βοῶν ἐκ μέσης καὶ φλεγομένης ψυχῆς· λεγέτω δ' ἑξῆς καὶ ἡ μεγάλη τῆς εὐσεβείας ἐκείνης σάλπιγξ, ἵνα μὴ τοῖς ἐκδικεῖν ἐθέλουσι τὰ μὴ δίκαια πρόφασις τὰ τοιαῦτα κακίας ᾖ. "παραδίδονται" γάρ φησι "καὶ δίκαιοι πολλάκις εἰς χεῖρας ἀσεβῶν, οὐχ ἵν' ἐκεῖνοι τιμηθῶσιν, ἀλλ' ἵν' οὗτοι δοκιμασθῶσι· καὶ φαῦλοι μὲν ἐν θανάτῳ ἐξαισίῳ κατὰ τὸ γεγραμμένον, καταγελῶνται δ' ὅμως τὸ παρὸν εὐσεβεῖς, ἕως ἡ χρηστότης τοῦ θεοῦ κρύπτεται καὶ τὰ μεγάλα ταμιεῖα τῶν ὕστερον ἑκατέροις ἀποκειμένων, ἡνίκα λόγος καὶ πρᾶξις καὶ διανόημα τοῖς δικαίοις τοῦ θεοῦ σταθ 3.165 μοῖς ταλαντεύεται, ὅταν ἀναστῇ κρῖναι τὴν γῆν, τὴν βουλὴν καὶ τὰ ἔργα συνάγων, καὶ γυμνῶν τὰ ἐσφραγισμένα παρ' αὐτῷ καὶ σωζόμενα." εἰ δὲ μὴ πεφόνευκεν εὐθὺς χειρωσάμενος, τί τοῦτο; πρῶτον μὲν γὰρ οὐ χρεὼν ἀντὶ τῶν πεπραγμένων κακῶν τὰ μὴ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

πεπραγμένα προβάλλεσθαι· οὐ γάρ τις οἰκίαν ἐμπρήσας, ὅτι μὴ πόλιν ὅλην ἐνέπρησεν, ἀθῶος μένει τῆς κολάσεως. δεύτερον δέ, οὐ γὰρ μᾶλλον διὰ θάτερον φεύξεται θάτερον ἢ δι' ἀμφότερον τιμωρίαν ὀφλήσει τὴν μείζω, οἷς τοῦτο μὲν αὐτὸς ἔδρασε νῦν, ἐκεῖνο δὲ θύραν ἄλλοις ἀνέῳγεν, ἔργῳ διδάσκων τὰ μείζω καὶ καθ' ὅλης τολμᾶσθαι τῆς πόλεως λεληθότως, εἴ τις προδιδόναι βούλοιτο· συγκεχώρηκε γὰρ τοὔλαττον, ἵνα αὐτὸς μὲν κερδάνῃ τὸ μεῖζον, ἡμῖν δὲ τοὺς μακροτέρους ἐπικρεμάσῃ κινδύνους. πολλῷ γὰρ ἥδιον ἅπαξ ἐμοί γε τότε θανεῖν, ἢ ζῶντα δουλεύειν ἑτέροις ἐν ἀδοξίᾳ διηνεκῶς καὶ πολυειδεῖς καθ' ἡμῶν πλεκομένους ὁρᾶν τοὺς τοῦ θανάτου βρόχους· εἶναι γὰρ καὶ θανάτου ζωήν φασιν πικροτέραν, ὁπότε μυρίων αὕτη γέμει θανάτων, καὶ θάνατον αὖθις αὐθήμερον κρείττω ζωῆς, ἀδοξίαν καὶ λύπας αὐτῆς ἀφαιρούμενον καὶ συνθάπτοντα. λόγῳ μὲν γὰρ τετήρηκε ζῶντας ἡμᾶς, ἵν' αὐτῷ πιθανὴ τῆς φιλανθρωπίας ἡ πρόφασις ᾖ, καυχωμένῳ ταυτὶ διὰ κηρύκων τε καὶ ἐπιστολῶν πρὸς ἅπαν ἔθνος ὅσον ἐφικτὸν σὺν μάλα μακρᾷ τῇ σπουδῇ καὶ δαπάνῃ, ἔργῳ δὲ τοὺς δεσπότας ἔχων ἐν ἀνδρα 3.166 πόδων μοίρᾳ, ὑπόθεσιν ἔχῃ καὶ τοῦτο καυχήσεως καὶ μάλα μακρᾶς ἐν τῷ βίῳ σοφίας αὐτοῦ καὶ στρατηγικῆς ἐμπειρίας, ὥσπερ οἱ ἐν ἱπποδρομίαις τὴν ἱππικήν, οὕτως αὐτός, ταῖς ἡμῶν δυσπραγίαις τὴν οἰκείαν ὀφρὺν ἐνδεικνύμενος. καί μοι τῶν λεγομένων μάρτυρας τὰ ἑξῆς ἀψευδεῖς. ἤγαγε γὰρ ἐπὶ θυγατρὶ γαμβρὸν ἄκοντα καὶ μάλα ἥκιστα τῆς ἐμῆς βουλομένης μητρὸς δι' ἃς ἐκλαλεῖν οὐ θέμις αἰτίας, ὧν τὸ ἀπόρρητον αὐτὸς ἑκὼν παρατρέχων εὐθὺ τῶν αὐτῷ σκοπουμένων ἐβάδιζε. τὰ δ' ἦν ὅτι φρικώδεις ἡμῖν παρεσχηκὼς δημοσίᾳ πνεύσαντας ὅρκους εἶναί τε πατὴρ ἐμοὶ καὶ συμβασιλεύειν ἄχρις ἂν ἐς τὸν εἰκοστὸν ἐξ ἐφήβων ἴδῃ με παραγγέλλοντα χρόνον, μηδενὸς τῶν υἱέων αὐτοῦ τῇ βασιλείᾳ τολμήσαντος ὁπωσοῦν ἐπιτίθεσθαι, ὃ δ' οὐκ εἰς μακρὰν ἐπέραινε τἀναντία, λῆρον ἅπαντας ἡγησάμενος ὅρκους ἐκείνους. καὶ μὲν δὴ καὶ Ἀτρέως ὄμματ' εὐθὺς εἰληφώς, ἐμὲ μὲν ἐν καρός τε ἐτίθετο μοίρᾳ, καὶ ὥσπερ ὁλκάδι ἐφόλκιον ἕπεσθαί οἱ προσέταττε, τοῖς δ' υἱέσιν ὅλαις ψήφοις ψυχῆς τὸν βασίλειον διένεμε κλῆρον, ὃν ἐς τὸ πάνυ βραχὺ πρὶν ἢ κατασχεῖν διὰ βαρβάρων, ἐς βαρβάρων ἤλασέ τε χεῖρας καὶ ἐλαύνειν ἔμελλε. διένεμε δ' οὐκ ἐκκεκαλυμμένως, ὥστε καὶ ἐς δημόσιον ῥυῆναι τὸν ἔλεγχον περιφάνειαν, αἰσχυνόμενος ἴσως τὴν ἔναγχος ὀφρὺν τῆς ἐς ἅπαν ἔθνος καυχήσεως, ἀλλὰ κρύφα καὶ μὴ τολμῶντος, ὡς ᾤετ' αὐτός, ἐμοῦ τὸ παράπαν αἰσθά 3.167 νεσθαι. οὔπω βραχύς τις προύβαινε χρόνος, καὶ ἀποστασίας τἀδελφοῦ μοι Ματθαίου συχνὰς ἡ φήμη φέρουσα πᾶσαν ἀκοὴν περιήχει λαμπρῶς. καὶ ἦν Ματθαίου μὲν τὸ δρᾶμα, τὸ δ' ὅλον οἰκονομική τις πατρίου δόξης ἐπίνοια· διὰ γὰρ τῶν τοιούτων ἐκείνῳ νῦν μὲν τόδε νῦν δ' ἕτερον εἰρήνης δῆθεν εἵνεκα συνεχωρεῖτο, καὶ πάνθ' ἑξῆς ὁπόσα τῆς βασιλείας ἐπεφύκει σύμβολα πλὴν τῆς λιθοκολλήτου μόνης καλύπτρας. οὔπω γὰρ εἰς φῶς καὶ τουτὶ προεληλύθει τὸ σκέμμα, ἐν ἐπαγγελίαις δ' οὖν ἐγαλακτοτροφεῖτο καὶ τοῦτο, καὶ ἤδη προύπεμπεν ἐς τὸ παρρησιαζόμενον. καὶ ἵνα τὰ πλείω τῶν μέσων ἀφελὼν ὑπομνήσω βραχέα καὶ περὶ τούτου, τίνα με ψυχὴν ἔχειν ᾠήθητε, ὁπότε μήπω με τοῦ δωματίου προβάντα, πάσαις ἡνίαις ἐκεῖνος ἵππου καὶ θυμοῦ φερόμενος, πρὸ τῶν θυρῶν τῶν ἐμῶν ἀφ' ὑψηλοῦ καθήμενος ὕβρεσιν ἔπλυνε μάλα μακραῖς, καὶ οἵαις κατὰ βοηλάτου χρήσασθαί τις αἰσχυνθείη ἄν. καὶ ἀρνηθείης πάντως οὐκ ἂν οὐδ' αὐτή, δημοσίᾳ τοῦ πράγματος γεγονότος. οἶσθα γὰρ τὸν συνήθη καὶ ἐτήσιον τοῖς βασιλεῦσι δαφναῖον θρίαμβον, ὁπότε βασιλικοῖς μὲν ὑμεῖς αὐτὸν ἡτοιμάσατε διαδήμασι κοσμηθέντα δημοσίᾳ μοι συμπανηγυρίζειν ἐκεῖνο τὸ θέατρον, ἐμοὶ δ' οὐκ ἀνεχομένῳ τῆς ἐμῆς ἑκοντὶ προδότῃ γίνεσθαι βασιλείας ὁμοῦ καὶ ζωῆς, μηδὲ τοῦ δωματίου προβαίνειν προθυμουμένῳ διὰ τὴν λύπην (ὀκνῶ γὰρ αἰσχύνην εἰπεῖν καὶ θεατρικὴν ἀτοπίαν), τὰ τοιαδὶ πεπονθέ 3.168 ναι συμπέπτωκε. καὶ δέον ἐς ἐκδίκησιν τῆς ὕβρεως τὸν κοινὸν διαναστῆναι πατέρα, ὃ δὲ καὶ μετόπισθεν ἔσχε κότον, ὄφρα τελέσῃ, κατὰ τοῦ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

μηδὲν ἀδικοῦντος ἐμοῦ. ἀλλὰ τί με δεῖ τὰ πᾶσι δῆλ' ἀναμετρεῖν; ἐκεῖθεν γὰρ ἐκποδὼν με ποιεῖν βουλευσαμένῳ τῷ πενθερῷ τὴν ταχίστην με διαχρήσασθαι τούτου παρῄνουν οἱ τῆς Παλαμικῆς δόξης αἱρεσιῶται· τουτὶ γὰρ ἐν βραχεῖ τὴν ὅλην ἔχειν ἔφασκον ἀπαλλαγὴν τῆς τὴν ὅλην δι' ἐμὲ ψυχὴν ἀσχολούσης αὐτῷ φροντίδος. καὶ τοὔγκλημα λύειν αὐτοὶ πρὸς θεὸν ὑπισχνοῦντο μεσῖται γιγνόμενοι. τοῦτ' ἔμοιγε βέλτιον ὂν οὐκ οἶδ' ὅπως αὐτὸς οὐκ ἠθέλησε δρᾶν. ἐμοὶ μὲν γὰρ εἶχεν ἄν πως ἀπαλλαγὴν τῶν ἑξῆς τὸ πρᾶγμα δεινῶν, αὐτῷ δ' ἀνθρώπων ἄν πως ἁπάντων ὄνειδον. διὸ καὶ τρόπον ξυννενοηκὼς εὐπρεπέστερον, ὑπερόριον πατρίδος καὶ βασιλικῶν ἐπαύλεων ἀπειληφὼς ἐς Θεσσαλονίκην ἀπήνεγκε τάχιστα, μητρὸς μὲν καὶ γυναικὸς ἔρημον, ὑπὸ φρουροῖς δὲ καὶ φύλαξιν ὡς νήπιον ἐκεῖ τὸν εἰκοσαετῆ καὶ παίδων ἤδη πατέρα με καταστάντα παιδαγωγεῖσθαι προστεταχὼς ἐν ἀδέσμῳ τέως εἱρκτῇ· καὶ οὕτω τὴν ἐμὴν ἀπουσίαν εὐπρόσωπον εὐκαιρίαν οἷς ὤδινε πάλαι σκέμμασι νῦν ἐχαρίζετο. ἵνα γὰρ καὶ τέταρτον τοῦτο προσθῶ μοι τῷ λόγῳ δεῖγμα τῆς δι' ὅρκων ἀπατηλῶν αὐτῷ κατ' ἐμοῦ συσκευαζομένης μελέ 3.169 της, ἐς τοιοῦτον πέρας καὶ οὕτω δυστυχὲς ἐμοὶ τῶν πατρίων ἐκείνων περιεληλυθότων ὅρκων, καὶ οὕτω με τραγικῶν περιστοιχισάντων δικτύων καὶ ὅσαι θανάτου γείτονες ἐκ τοῦ προφανοῦς εἰσὶ συμφοραὶ πρὸς ἀπόγνωσιν πᾶσαν ἐλαύνουσαι βίου, τί ἔδει ποιεῖν; ἤσχαλλον κομιδῇ, ἠνιώμην, μέσην αὐτὴν ἐκοπτόμην ψυχήν, ἐμακάριζον τοὺς θανόντας μᾶλλον ἢ τοὺς ἐμοὶ παραπλήσιον ζῶντας, θεὸν ἐπεβοώμην μάρτυρά τε τῆς ἀδικίας καὶ ἅμα τιμωρὸν τῶν δεινῶν. ἀλλὰ καὶ οὕτως ἔχοντι ἥκει λαθραῖά μοι γράμματα πρὸς τοῦ Κράλη Σερβίας· οὐ γὰρ πόρρω που γῆς τὰς διατριβὰς αὐτῷ ποιεῖσθαι ξυνέβαινεν, ἵν' αὐτῷ καὶ τὰ ἡμέτερα ἀγνοῆται ἐφέστια πάθη· πάντα γὰρ εἶχεν ἑλὼν ἐκ πολλοῦ τὰ μέχρι τειχῶν τῆς ἐχούσης με τὸν ταλαίπωρον πόλεως τότε Θεσσαλονίκης. ἔλεγε δέ μοι τὰ γράμματα δυοῖν ὁπότερον ἂν ἐμοὶ βουλομένῳ γε εἴη ἀποκρίνασθαι, ἢ γυναικὸς διὰ τὰς μεταξὺ τύχας ἔρημον ἤδη με ὄντα τὴν ἐκείνου γυναικαδέλφην ἀγαγέσθαι τε γυναῖκα καὶ σώζεσθαι μετὰ τῆς πόλεως, ἢ συναπαχθῆναι τῷ τῆς ἐκείνου θαλάττης κύματι, βιαιότερον ἐπιτίθεσθαι τῇ πόλει μέλλοντος. κατ' ἐμαυτὸν οὖν ἐμοὶ γενομένῳ καὶ ξυννενοηκότι μὴ εἶναι μήτε βάρβαρον μήτ' ἀσεβῆ τὸν δεξιὰν ἐμοὶ παρεχόμενον κινδυνεύοντι, ὁποῖοι τῷ πενθερῷ κατ' ἐμοῦ συμμαχοῦσί τε καὶ συζῶσιν, ἀλλ' εὐσεβῆ τε καὶ ὁμόδοξον, μέσῳ δυοῖν γεγονότι τὸ κουφότερον ἑλέσθαι συμπέπτωκεν. ἐκπύστου δὲ τοῦ πράγματος γεγονότος ᾤχοντο τὴν ταχίστην οἱ 3.170 φρουροί μου καὶ φύλακες ἀπαγγέλλοντες ἐς Βυζάντιον τὰ ξυμβάντα. ἃ δὴ καὶ ἀκηκοότι τοὐμῷ πενθερῷ καθεκτῷ εἶναι οὐκ ἦν ἐφικτόν· ἀλλὰ τὴν ἐμὴν παρειληφότι μητέρα ἐς τὰ τῆς θεομήτορος ἔδοξεν ἀφικνεῖσθαι ἀνάκτορα, ὥστε ὑπ' ἐκείνῃ μάρτυρί τε καὶ ἐγγυητῇ τὰς ἐνόρκους ἐπαγγελίας παρεσχηκότι μηκέτι δοκεῖν ἄπιστος αὖθις διὰ τὰς πολλάκις τῶν οἰκείων αὐτῷ γεγονυίας ἀθετήσεις ὅρκων. οὕτω τοίνυν ἐγγράφους εἰληφυῖα τοὺς φρικώδεις αὖθις ἐκείνους ὅρκους ἡ μήτηρ ἡ ἐμὴ ἧκεν ἐκ Βυζαντίου ἐς Θεσσαλονίκην εὐαγγελιζομένη μοι τἀγαθὰ ὡς, εἰ τὰς τοῦ Κράλη συνθήκας ἀφεμένῳ μοι γένηται πρὸς Βυζάντιον ἐκ Θεσσαλονίκης ἀφικνεῖσθαι, περὶ τὴν σύζυγον ἐξεῖναι παρακεχωρηκότα μοι τῆς βασιλικῆς ἐξουσίας τὸν πενθερὸν αὐτίκα, δυοῖν θάτερον, ἢ τῷ Βυζαντίῳ αὐτὸν βασιλικῶς ἐνδιατρίβοντα τὰ μέχρι Σηλυμβρίας ἐκεῖθεν διέπειν πράγματα, βουλομένου καὶ ἐνδιδόντος ἐμοῦ, ἢ τὸν ἡσύχιον ξὺν ἀπραγμοσύνῃ διάγειν βίον ἄχρι τελευτῆς οἴκοι καθήμενον. τούτοις ἐντυχὼν καὶ αὐτὸς τοῖς ὅρκοις ἐπεπείσμην· καὶ πῶς γὰρ οὔ; χριστιανὸς ὢν οὕτω φρίκης ἔχουσι καὶ οὕτω δι' ὅρκων τοιούτων ἠσφαλισμένοις. ὅθεν καὶ ἄρας ἐκεῖθεν εὐθὺς ἐς Βυζάντιον ἀφικόμην, ἁπάσας ὑποψίας κατόπιν ἀπεωσμένος. κἀπειδὴ μὴ κατὰ τὰς τῶν ὅρκων ἐπαγγελίας ἐντυγχάνειν μοι παρ' ἐλπίδα τοῖς πράγμασι συνέπιπτε (τί γὰρ δεῖ με παντ' εἰδυίᾳ διεξιέναι;) διὰ πάνυ βραχέος ἐς Διδυμότειχον ἐνταυθοῖ ξύν γε συζύγῳ πάλιν αὐτὸς


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐπανήειν. τάς γε μὴν ἑξῆς συσκευὰς καὶ μελέτας καὶ 3.171 πράξεις, ὅσαι παρ' αὐτοῦ κατὰ τῆς ἐμῆς ξὺν ἁπάσῃ τελοῦνται σπουδῇ ταλαιπώρου ζωῆς ἐκεῖθεν, ἄμεινον σιωπᾶν. βουλομένῳ τοίνυν μοι ζῆν καὶ θνήσκειν ἀδίκως, οἶμαι καὶ τὸ ἀνεγκλήτῳ εἶναι πάντας συμφῆσαί μοι ἕπεσθαι. διὸ καὶ ἥκιστα φαίνεται εὔοδα πείθεσθαί με τοῖς παρὰ σοῦ λεγομένοις. πάντα γὰρ ἂν ἔγωγε δρῴην προθύμως ὑπέρ γε ζωῆς τῆς ἐμῆς, καὶ εἰ μισθοῦ γε ἐξείη ἀμπελουργεῖν· ἥδιον γὰρ ἂν ἐν ἀπραγμοσύνῃ βίον ἰδιώτην ἀνύσαιμι καθ' ὁποιανδή τινα γενόμενος γῆν, ὅθεν οὐδεὶς προσδοκᾶται μοι κίνδυνος ἔφεδρος, ἢ βασιλείαν ζητοῦντι πάτριον ἔχειν καὶ αὐτὸ ζημιοῦσθαι κινδυνεύειν τὸ ζῆν. οὕτω γὰρ ἂν ἐμοὶ τὸ βασιλεύειν εἴη εὐκτόν, εἰ Ῥωμαίοις λυσιτελοίη· ἄλλως οὐκ ἂν δήπου. θεὸς δ' εἴη κοινῇ Ῥωμαίοις μᾶλλον περαίνων τὸ εὔδαιμον ἢ μονοτρόπως ἐμοί." Ταῦτα μὲν οὖν εἰρηκότος ἐκείνου, καὶ πλέον ἀκούειν οὐδὲν ἐθελήσαντος, ἄπρακτος ἡ βασιλὶς Εἰρήνη ἐπάνεισιν εἰς Βυζάντιον. ἄρτι δὲ τοῦ χρόνου τὰς θερινὰς τοῦ ἡλίου τροπὰς παραλλάττοντος, καὶ τῶν Θρᾳκῶν ἐπὶ ἅλωνας καὶ σίτου μοχθούντων ἐσκομιδὰς ἄρας ἐκ Βυζαντίου ὁ βασιλεὺς Καντακουζηνὸς τὴν βαρβαρικὴν ἐκείνην Ὑρκανοῦ τοῦ γαμβροῦ δύναμιν ἐπὶ μάχην ἦγε θατέρου γαμβροῦ Παλαιολόγου τοῦ βασιλέως. καὶ τηνικαῦτα κατέπλευσαν ἐς Βυζάντιον δυοκαίδεκα τριήρεις Βενετικαί, αἳ δὴ καὶ βραχὺ τοῖς ἐνταῦθα λιμέσιν ἐνδιατρίψασαι τὴν ταχίστην αὖθις ἀνήχθησαν, καὶ τά 3.172 τε δεξιὰ καὶ ἀριστερὰ τοῦ Εὐξείνου διανειμάμεναι Πόντου πλευρά, ὅσαις ἂν ἐντύχοιεν ναυσὶ Γεννουϊτικαῖς, ἐνεπίμπρασάν τε καὶ βύθοις παρεπέμπον διαποντίοις. Καὶ ταῦτα μὲν τῇδέ πῃ ἔσχε καὶ ὁ τῆς διηγήσεως Ἀγαθαγγέλῳ δρόμος ἐνταῦθα ἐπεραίνετο· καὶ τὸ θέρος ἔληγε τηνικαῦτα καὶ ἐτελεύτα. Ἐγὼ δὲ ὑπολαβὼν "ὦ καλὲ Ἀγαθάγγελε" ἔφην, "ὥρα σοι ἀπιέναι ἤδη πρὶν τὴν ἐπιοῦσαν ἡλίου φλόγ' ἀνασχεῖν· προύργου γὰρ τοῖς ἐμοῖς εἶναι διώκταις συμβαίνει διὰ τεττάρων ἢ τριῶν γε ἴσως ἡμερῶν τὸν ἐμὸν τουτονὶ περιτρέχουσιν οἶκον ῥινηλατούντων δίκην ἀκροᾶσθαι κυνῶν, καὶ δέος μὴ αἰσθομένων φωνῆς τινὸς ἔνδοθεν ἴχνους τὴν αὐτὴν ἡμῖν ἁλῷς θανάτου δίκην ὄφλων καὶ αὐτός. ἄπιθι τοίνυν, τὰ δ' ἡμέτερα ὅποι κελεύοι θεὸς ἴτω· πάντα γὰρ τῆς ἐκείνου χειρὸς καὶ προνοίας ἐξῆπται. οἶσθα δ' ὡς ἐγγύς που καὶ μόνον οὐ πρὸ θυρῶν καὶ ἡ τοὐπιόντος ἔτους ἀρχή, ἐν ᾗ καὶ χρεὼν εἰδέναι σε εἰθισμένον τοῖς ἄρχουσιν εἶναι διαλεκτικούς τινας ἄνδρας ἐκ περιόδου προπέμπειν ἡμῖν, ὁποίους ἐκ λατύπης καὶ θυμέλης καὶ συρίγγων καὶ τοῦ κόρδακος λαμβάνοντες θεολόγους ἡμῖν αὐθημερινοὺς αὐτοὶ σχεδιάζουσιν, ὥσπερ οἱ μῦθοι πάλαι τοὺς γίγαντας· δι' ὧν ἐλλοχᾶν ἡμᾶς οὐ παρὰ φαῦλον ποιοῦνται διὰ πολλῶν τε καὶ πολλαχόθεν καὶ 3.173 πολυτρόπων τῆς πείρας εἰδῶν, ἵνα δυοῖν θάτερον, ἢ λαθόντες ἴσως ὑποσκελίσωσί τε καὶ περιτρέψωσιν ἐς τὸ σφίσι βουλόμενον, ἢ γοῦν αἴσθωνται ὁποτέρωθεν ἂν εἴη σφίσι τῷ τῆς ψυχῆς ἡδομένῳ χαρίσασθαι ῥᾷον· ἢ γὰρ κατεργασθέντας ἡμᾶς τῇ μακρᾷ καὶ ἀήθει ταύτῃ ταλαιπωρίᾳ ῥαγῆναι τοῦ ζῆν καὶ ἀπροφασίστου τυχεῖν οὗπερ ἐφίενται δράματος αὐτοί, ἢ τό γε δεύτερον, βιαίων ἡμᾶς θανάτων ἄθυρμα πεπραχόσιν ἐν ἀφανεῖ τοῖς ἔξω χωρίῳ, τῷ οἴκῳ τῳδί, τὸ ἄπραγμον σφίσιν αὐτοῖς ἐν βραχεῖ τῶν ἡμετέρων εἵνεκα φροντίδων δόξαι παρασχεῖν. δι' ἃ καὶ μελήσειν ἡμῶν οἶμαι θεῷ· διὰ φροντίδος δ' οὖν εἶναι καὶ σοὶ βούλομαι ἀπιόντι, δυοῖν θάτερον δρᾶν· τοῦ γάρ τοι φθινοπώρου τοῦδε καὶ ἅμα τοῦ κατόπιν χειμῶνος τελευτησάντων εἰ μὲν ὅπως ποτὲ θανόντας ἡμᾶς πύθοιο, τῶν συντακτηρίων ἐκείνων μέμνησο λόγων ἡμῶν, καὶ τῶν γέ σοι ἐφικτῶν μήτ' ἀμελητέον, μήτε δήπου τῶν ὀφειλομένων ὅλως κατόπιν θετέον φροντίδων, εἰδὼς μὲν ὡς οὐδὲν τὸν ἀκίνητον ὀφθαλμὸν λεληθέναι μὴ ὅτι τῶν ἐς τοὐμφανὲς δρωμένων δύναται τὸ παράπαν οὐδέν, ἀλλ' οὐδ' ἴχνος γοῦν οὐδὲν τῶν ἀνθρωπίνων ἁπάντων καθάπαξ εἰπεῖν λογισμῶν, εἰδὼς δ' αὖ καὶ τοῦ μέλλοντος ἐκείνου δικαστηρίου τὸ ἄφυκτόν τε καὶ ἀναπόδραστον ὅσον. εἰ δὲ τῇ κάτω ταύτῃ ζωῇ παραμένοντας ἔτι μανθάνεις ἡμᾶς, ὧν ἄλλων σοι μέλει, σοὶ δὲ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

πάντων ἐκείνων προτιμάσθω ταυτὶ σεσωσμένῳ καὶ σοὶ βοηθοῦντος θεοῦ, δηλαδὴ πρὸς ἡμᾶς αὖθις ἐπανιέναι τά τε τῶν δημοσίων πραγμάτων, ὡς ἔσχε τε μεταξὺ καὶ ἔχοι, διηγησομένῳ, καὶ ἅμα τῆς θ' ὁμολογίας ἐκείνης ἣν ἐπὶ τῆς ληστευ 3.174 ούσης ἐκείνης ὁ Παλαμᾶς ἀνέγνω συνόδου, δεικνύειν δῆθεν ἐθέλων ὡς ἥκιστα νοσεῖ περὶ τὴν εὐσεβῆ πίστιν, καὶ πρός γε τῶν ἀτόπων ἐκείνων τόμων, εἰ μὴ πάντα φάναι συλλήβδην ἐς τὸ μηδὲν ἐλλείπειν, ἀλλ' οὖν τὰ καιριώτερα τῶν μερῶν ἀπολεξαμένῳ κομιεῖν ἡμῖν. ἐφ' ὅτῳ δέ, οὐδ' αὐτὸν ἀγνοεῖν οἶμαι σέ· εἰ δ' οὖν, γνώσῃ δ' οὖν." Τούτων δ' οὕτω λεχθέντων ἡμῖν, ὁ μὲν Ἀγαθάγγελος ἀπῄει τὴν εἰωθυῖαν ἔνδακρύς τε καὶ μάλα τι πλείστους ἐν θαλάμοις ψυχῆς ἐπαγόμενος λύπης σωρούς, ἐγὼ δὲ οἴκοι λέλειμμαι μόνος, ἀνθρώπων μὲν οὐδενὶ μόνῳ δὲ προσανέχων θεῷ ὅσον ἐφικτόν, εἰς ἐμαυτὸν γενόμενος ἤδη καὶ πρὸς ἔκδημόν τινα καὶ ὑψηλοτέραν θεωρίαν ἀναπετάσας τοῦ νοῦ τὸ πτερόν, καὶ τοῖς ἀπορρήτοις τῶν ὄντων ἐνδιατρίβειν ἀφιεὶς ἐν γαλήνῃ τινὶ λογισμῶν τὴν διάνοιαν. ἐπεὶ δὲ καὶ τοῦ ἔτους ἐκείνου τὸ πλεῖστον ἤδη παρῄει, ἐν ᾧ πολλοῖς τῶν ἔξωθεν ἐντετυχήκειμεν αὖ πειρασμῶν, ἔτι δ' οὖν τῶν ἥκιστα πεσόντων ὤφθημεν ξύν γε θεῷ, ἔγνωμεν κἀκ τῶν ἤδη περιπταμένων ἡμῖν ὀρνέων καὶ ὅπῃ τοῦ ἦρος εἴημεν τηνικαῦτα. οὐ γὰρ πεπνιγότα τινὰ καὶ δύσηχον ἐδίδουν τὸν φθόγγον συνθλιβόμενά πως τὰ φωνητικὰ τῶν ὀργάνων ὑπὸ τοῦ κρύους αὐτοῖς, ἀλλὰ τὸν ἐλευθέριον ἤδη τρόπον ἐπανηγύριζέ τε καὶ αὐτά, καὶ τὸν ἀέρα ὑπερεφώνει, καὶ περιήχει τὰ ἄλση, καὶ τοῖς δένδρεσιν ἐπικαθήμενα πρὸς ἅμιλλαν ἐφθέγγοντο ἀναμὶξ λιγυρόν τι καὶ εὔηχον καὶ οἷον εἰπεῖν ἐναρμόνιον· καὶ ἤδι 3.175 στον ἐγίγνετό πως ἔαρ ἡ ἐκείνων ᾠδή, ὡς καὶ τοὺς οἴκοι δήπουθεν ἐγκεκλεισμένους ἀναδιδάσκειν δύνασθαι τὰ τερπνὰ τοῦ ἦρος ἐφόδια. καὶ ἦν ἡμῖν διὰ ταῦτα καὶ τὸ τῆς ψυχῆς ἐλπιζόμενον ἐς τὴν Ἀγαθαγγέλου παρουσίαν οἷον ἐπτερωμένον. 3.176 ΤΟΥ ΑΥΤΟΥ ΝΙΚΗΦΟΡΟΥ ΤΟΥ ΓΡΗΓΟΡΑ ΡΩΜΑΙΚΗΣ ΙΣΤΟΡΙΑΣ ΛΟΓΟΣ ΚΗ. Ἄρτι δὲ τοῦ χρόνου τὰς λευκανθείσας αὐτῷ τοῦ γήρως ἀποξέσαντος χειμερίας καὶ οἷον εἰπεῖν χιονώδεις τρίχας καὶ ἀνθηρὸν ἀνειληφότος ἐξ ὑπαρχῆς τὸ τῆς ἡλικίας πρόσωπον, καὶ τὰς ἡλιακὰς λαμπάδας ἀκμαιοτέρας ἐν μέσαις ἤδη ταῖς ἠριναῖς ἁπλώσαντος χάρισιν, ἧκεν αὖθις ἡμῖν ὁ καλὸς Ἀγαθάγγελος περὶ μέσας που νύκτας ἡσύχῳ ποδί. καὶ προσειπὼν καὶ καθίσας καὶ ἀπαγγείλας μὲν αὐτὸς περὶ ἑκάστου τῶν φίλων ἡμῖν καὶ συνάθλων ὅσα εἰκός, μαθὼν δ' αὖ ἐξ ἐμοῦ τά τε ἄλλα καὶ ὅτι τὰ καὶ μέχρι νῦν συμπαραμείναντά μοι τῆς θείας γραφῆς ἀφῄρηται βιβλία πάντα πρὸς τῶν διωκτῶν ἐξαίφνης ἐπεισπεσόντων, καὶ ὅτι διὰ τὴν τοῦ τηνικαῦτα χειμῶνος ἀκμὴν ταλαιπώρως ἐπῄει μοι καὶ πάνυ χαλεπῶς ἀνύσαι μεταξὺ τά τ' ἄλλα, καὶ ὅτι κρυσταλλούμενον τὸ ὕδωρ οὐκ ἦν ὡς τὰ πολλά μοι ῥᾴδιον ὅθεν παραμυθήσομαι πρὸς 3.177 τὸ τοῦ πόματος χλιαρώτερον, πλὴν ἢ ὅτε συμβὰν οὑτωσί πως ἡλίου τὴν τῶν νεφῶν διασχόντος συνέχειαν, καί τινας διὰ τῆς θυρίδος ἀφέντος ἀκτῖνας εἰς τὸν ἐμὸν τοῦτον οἰκίσκον, ἀμυδράν τινα τὴν ἀλέαν τέως τῷ ὕδατι παρειχόμην εἰς πόσιν ἐκείνῳ, ἀνῴμωξέ τε βύθιον ὁ ἀνήρ, καὶ ποταμοὺς δακρύων ἀφῆκε τῶν ὀφθαλμῶν. ἐγὼ δ' ἐπέχειν βουλόμενος τό τε ἦθος ἀπήλλαττον εἰς τὸ χαριέστερον καὶ ἅμα τὴν ἐκείνου διάνοιαν ἀπησχόλουν ἐκεῖθεν εἰς ἕτερα, καὶ τὴν τῶν ἔξω πραγμάτων ἀπῄτουν ἀφήγησιν. ὅθεν ἐκεῖνος ἀρξάμενος ἄνωθεν οὑτωσὶ διηγεῖτο. Ὅπλα, φησίν, ἀράμενος ὁ βασιλεὺς Καντακουζηνὸς λήγοντος ἤδη τοῦ πέρυσι θέρους Ματθαίῳ μὲν ἀπῄει τῷ παιδὶ συμμαχήσων, Παλαιολόγῳ δὲ μαχούμενος τῷ γαμβρῷ, Ῥωμαίων μὲν οὐδ' ἄχρι καὶ εἰς ἑξήκοντα ἐπαγόμενος στρατιώτας, Κατελάνων δ' οὖν καὶ βαρβάρων ὑπὲρ χιλίους. σύνοικον γάρ τινα κατὰ Ῥωμαίων ἔχων ὑποψίαν ἐκ πολλοῦ πρὸς ἀπέχθειαν ἀνεκλάλητον τοσοῦτον ἐμίσει καὶ ἀπεσείετο σφᾶς ὅσον ἐφίλει τε καὶ προσίετο βαρβάρους. τοσοῦτον δ' αὖ ἐμισεῖτο σφίσιν ὅσον ἐφιλεῖτο βαρβάροις, ὅτι σχῆμα ποιμένος ἀνειληφώς, βαρβάροις λύκοις εἰς προνομὴν ἐτίθει ῥᾳδίαν τὸ ποίμνιον ἑκοντὶ μεθ' ἡμέραν καὶ νύκτωρ ἀεί, ὡς μὴ μόνον ἐν χρῷ τὸ ἔριον



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

κείρεσθαι, ἀλλὰ καὶ αὐτοῦ γε ἤδη γυμνοῦσθαι τοῦ δέρματος, μὴ μόνον αὐτῷ τὰς ἀεὶ καινοτέρας τῶν 3.178 ἐτησίων φόρων ἐκτιννύντας εἰσπράξεις, ἀλλὰ καὶ βαρβάροις αὐτοῖς διὰ τὰ μέχρι πυλῶν ἀμπελόφυτά τε καὶ σιτοσπόρα χωρία. καὶ οὓς μὲν κατ' ἐξουσίαν ἀνδραποδιζομένους εἰς πλῆθος ἀπάγεσθαι πρὸς Ἀσίαν· οἷς δὲ διαδρᾶναι τὰ βαρβάρων γένηταί τε δεσμὰ καὶ πρὸς ἱερὰ καταφυγεῖν τεμένη Βυζαντίων, τούτοις δὲ τὴν μείζω κόλασιν ἠρτῆσθαι ἐκδιδομένοις τε καὶ πληγὰς προσόφλουσι μακράς, ὥσπερ ἐν δράμασι, τὸ παράδοξον τῆς σωτηρίας ἐκείνης ἀγόντων εἰς ἐγκλήματος λόγον τῶν ἡγεμόνων. κἀπειδή, πρὶν αὐτὸν ἐς Ὀρεστιάδα ἀφικέσθαι, ἔφθησαν οἱ ταύτης οἰκήτορες ἐκπολεμωθέντες κατὰ Ματθαίου περιεκάθηντό τε καταδιώξαντες ἐς ἀκρόπολιν καὶ ἐπολιόρκουν, τήν τε πορείαν ἐπετάχυνε, καὶ διὰ τῆς ἀκροπόλεως, τοῦ υἱέως ἀνεῳγότος, τὴν βαρβαρικὴν ἐκείνην εἰσενεγκὼν δύναμιν, καὶ ἅμα τῶν οἰκιῶν ἐνίας ἐμπρήσας καὶ ἐκφοβήσας, ῥᾷστα χειροῦται τὴν πόλιν, καταπλαγέντων παραχρῆμα τῶν πολιτῶν, καὶ μήθ' ὁπόσοι μήθ' ὁπόθεν ἀκριβῶς προσβάλλουσιν οἱ πολέμιοι ξυνιέναι δυναμένων, ἀλλὰ καὶ πολλὰ τῶν ἥκιστα δρωμένων τηνικαῦτα ὑποπτεύειν ἀναγκαζομένων καθ' ὁπόσα ὁ τῆς ψυχῆς αἰφνίδιος ὑπηγόρευε θόρυβος. τὰς μὲν οὖν ἐκεῖ συμφορὰς δακρύσαις ἂν ἀκούσας, ὁπόσαι τηνικαῦτα τοῖς ἁλοῦσι γεγένηνται· ἀλλοφύλων γὰρ καὶ ἀσεβῶν οἷς ἡ ταλαίπωρος ἐκείνη πόλις ἡλώκει καθάπαξ ὄντων, ὥρα σοι τὸν τῶν κακῶν ἐν σεαυτῷ συνορᾶν κολοφῶνα. Ταῦτα τοίνυν ὁρῶντι Παλαιολόγῳ τῷ βασιλεῖ, καὶ ἅμα 3.179 συχνὰς ἀκούοντί τε καὶ ὑφορωμένῳ κατὰ τῆς οἰκείας ζωῆς τὰς ἐπιβουλὰς συσκευαζομένας, τῶν ἀναγκαιοτάτων ἔδοξεν εἶναι πρὸς τὸν τῶν Τριβαλλῶν ἡγεμόνα Κράλην περὶ συμμαχίας διαπρεσβεύεσθαι. ἐς γὰρ τοσοῦτ' ἀσθενείας ῥυῆναι τὰ Ῥωμαίων συνερρυήκει πράγματα διὰ τὰς ἐμφυλίους μάχας, ὡς μηδ' ἔχειν τοὺς ἄρχειν ἐθέλοντας μήτε σφίσιν αὐτοῖς μήθ' οἳ σφίσιν ὑπείκουσιν ἐν τῷ ἀσφαλεῖ καθίστασθαι τοῦ ζῆν ἀδεῶς, ἐξωτερικῆς βοηθείας ἀπῳκισμένους. ὅθεν καὶ Καντακουζηνὸς ἐξ ἀντιπάλου τῆς ὁρμῆς πολλαπλασίω μὲν τῆς πρὶν ἐξ Ὑρκανοῦ βαρβαρικὴν μεταπέμπεται δύναμιν, πολλαπλασίω δ' αὖ καὶ αὐτῆς ἐκ τοῦ σύνεγγυς καὶ κατόπιν ἑτέραν παρασκευάζεσθαι παραγγέλλει, δυοῖν θάτερον, ἢ τῇ ἐκ Τριβαλλῶν συμμαχίᾳ κατὰ τὴν ὁδὸν ἐξαίφνης ἐπιτεθησομένους, τὰ ἔνεδρα προκατειληφότας καὶ τὰς παρόδους πρὶν ἐκείνους αἰσθέσθαι, ἢ εἰ μὴ τοῦτο δυνηθεῖεν, ἀλλ' ἅμα αὐτῷ φθῆναι προκαταλαβόντας Βυζάντιον ἐπ' ὀλέθρῳ καὶ ἀνδραποδισμῷ παντελεῖ τε καὶ πάσης ἀμύνης ἀμείνονι. κἀπειδὴ χρημάτων ἐν τούτοις ἔδει, μηνύει τὰ ἱερὰ τῶν ἐν Βυζαντίῳ φροντιστηρίων ἁπάντων κειμήλια, ὅσα τε χρυσῷ καὶ ἀργύρῳ καὶ ὅσα λίθοις πολυτελέσι κεκόσμηται, πάνθ' ἑξῆς ἀθροισθέντα συλλήβδην χρημάτων ἀλλάξασθαι. εὐπορίας οὖν ἐντεῦθεν αὐτῷ γενομένης καὶ διανομῆς ἐς βαρβάρους, ἐπιστέλλων αὖθις ἠπείλει περιφανῶς τὰ παγχάλεπα Βυζαντίοις τὰ δ' αὖ, μὴ σφόδρα Παλαιολόγον εἰσδέχεσθαι βούλεσθαι. "ἦ γὰρ οὐκ ἂν 3.180 φθάνοιτε" φησὶ "τοῖς βαρβάροις προδεδομένοι σύν τε αὐτάνδρῳ πάντες ἁπάσῃ τῇ πόλει, μείζους καὶ ἥττους, ἐπισημοί τε καὶ ἄσημοι, ἄνδρες ὁμοῦ καὶ γυναῖκες καὶ ἡλικία πᾶσα. ἴστε γὰρ τοὺς παρὰ τὰς χρυσᾶς καλουμένας τῆς μεγάλης ταυτησὶ πόλεως πύλας διπλοῦς καὶ μεγίστους ἐκείνους πύργους ἐμὴν ἐκ πολλοῦ ξυμμιγῆ κεκτημένους ἐξ ἀλλοφύλων φρουρὰν καὶ κεφαλὴν εἰς ἀκρόπολιν ὄντας Βυζαντίων καιριωτάτην, ὡς εἶναί μοι πάνυ τι ῥᾴδιον θᾶττον ἢ λόγος βουληθέντι δι' αὐτῶν ἐμπλῆσαι δισμυρίων οὐχ ἥττους Βυζάντιον ὁπλομάχων βαρβάρων καὶ πάντας ἄρδην ὑμᾶς ἡβηδὸν διαφθεῖραι, χεῖρον ἢ κατὰ τὴν Ὀρεστιάδα ταυτηνί, ἣν τελέως μὲν οὐκ ἀνέτρεψα, μάτην δ' οὖν ἱσταμένην ἀφῆκα, φιλανθρωπότερόν τι ποιῶν καὶ συνετώτερον ἢ φιλανθρωπότερον εἰπεῖν ἢ κατ' ἐκεῖνον Ἀλέξανδρον τὸν Μακεδόνα. ἐκεῖνος μὲν γὰρ ἐκ θεμελίων ἀνέτρεψε Θήβας, μηλόβοτον τῆς Ἑλλάδος καταστήσας τὸν ὀφθαλμόν· ἐγὼ δὲ μνημεῖον καταλέλοιπα συμφορῶν τὰ τῆς πόλεως τείχη κενωθείσης δι' εὐήθειαν


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

οἰκητόρων, πόλεσιν ἄλλαις μόνον οὐχὶ δι' ἐρήμων τῶν οἰκοπέδων βοῶντα μὴ δρᾶν τὰ αὐτά, ἵνα μὴ τοῖς αὐτοῖς περιπαρῶσι κακοῖς. θυμὸς γὰρ βασιλέως ὀξύτητι φιλαρχίας ἐρεθιζόμενος πηδάλιον ἔχειν ἥκιστα δύναται." ταῦτ' ἔλεγε, καὶ τοῖς λόγοις ἡ τῶν ἔργων εἵπετο παρασκευή. πέμψας γὰρ βαρβάρῳ κρύφα μηνύει τῷ Ὑρκανῷ δισμυρίους τὴν ταχίστην ὁπλίτας παρασκευά 3.181 σαι. ἐπίδοξον γὰρ ὑπάρχειν ἐσβάλλειν εἰς Θρᾴκην στρατὸν Τριβαλλῶν Παλαιολόγῳ τῷ βασιλεῖ συμμαχήσοντα. εἶναι δ' οὖν ἀναγκαῖον κἀμέ φησι κατόπιν ξύν γε τῷ βαρβαρικῷ ἐπιόντα στρατῷ διὰ τῶν χρυσέων τε εἰσιέναι πυλῶν εἰς Βυζάντιον εὐθὺς καὶ πᾶσαν αὔτανδρον ἄρδην ἐκτρῖψαι τὴν πόλιν, ὡς εἰ μή γε ἐμέ, ἀλλ' οὖν μήτ' αὐτὸν βασιλεύειν ἔτι, μήτ' οἷς βασιλεύεσθαι τοῦ λοιποῦ χρεὼν εἶναι· καὶ οἷς δ' αὖ διαδρᾶναι τὸν κίνδυνον δήπουθεν γένοιτο, καὶ τούτοις δ' εἶναι σοῖς ὑποχειρίοις." Τούτων δ' οὕτω παρεσκευασμένων, οὐ πολλαῖς ὕστερον ἡμέραις ὀλίγους ὄντας ὁ Καντακουζηνὸς διὰ τῶν ἡμεροσκόπων μεμαθηκὼς καὶ μόλις ἐς τετρακισχιλίους τὸν ἀριθμὸν τούς γε εἰς ξυμμαχίαν ἰόντας Τριβαλλῶν στρατιώτας Παλαιολόγῳ, μεταπέμπεται λάθρᾳ ξύν γε σπουδῇ τὴν βαρβαρικὴν τοῦ Ὑρκανοῦ δύναμιν ἐμπαράσκευόν τε καὶ μάλα τι εὔοπλον περὶ Λάμψακον ἐφεδρεύουσαν, ἄχρι καὶ ἐς δυοκαίδεκα χιλιάδας. οἳ δὴ καὶ τὸν Ἑλλήσποντον διαβάντες πρὶν αἰθέσθαι Τριβαλλούς, ἅμα τῷ πλησίον ἐς Διδυμότειχον ἥκειν ἐπεισπίπτουσιν ἐξαίφνης ἀόπλοις, πρὶν τὸν ἐκ τῆς ὁδοῦ μόχθον γοῦν ἀποτινάξασθαι. καὶ τοὺς μὲν ἀπέκτειναν τοὺς δ' ἐζώγρησαν, καὶ ἅμα πᾶσαν ἐκεῖθεν ἤλασαν λείαν ἵππων τε καὶ ἁρμάτων πολυτελῶν εἰς Ἀσίαν ἀπονητί. τῶν γὰρ Θρᾳκικῶν τόπων παντάπασιν οὖσιν ἀήθεσι τοῖς Τριβαλλοῖς, καὶ ἅμα 3.182 ἀπείρως ἔχουσι τῶν βαρβαρικῶν ἐξαίφνης ἐφόδων, τοιαῦτα παρὰ πᾶσαν ἐλπίδα ξυνεπεπτώκει παθεῖν, Διδυμοτείχου σταδίους οὐ μεῖον ἀπέχουσιν ἢ τριάκοντα. Ταῦτα πᾶσαν Παλαιολόγῳ συνέτριψε κίνησιν λογισμῶν ἀκουσθέντα, καὶ πᾶσαν ἀφῄρηται σώζουσαν προσδοκίαν. ἔτυχε γὰρ ταῖς ἀστυγείτοσι τηνικαῦτα πόλεσι χρείας ἡστινοσοῦν ἐνδιατρίβων ἄλλης ἕνεκα· τῇ δ' ὑστεραίᾳ εἰς Διδυμότειχον ἐπανήκων νόσῳ τινὶ περιπίπτει διὰ τὴν λύπην. ἧς καὶ βραχὺ μετὰ μῆνα ῥαΐσας, ᾤχετο ἀπιὼν ἐς παράλιον πόλιν Αἶνον αὐτὴν καλουμένην. ᾗ καὶ αὐτῇ μικρὸν ἐνδιατετριφώς τινα χρόνον, ἄπεισι κἀκεῖθεν διαπόντιος ἐς Λῆμνον τὴν νῆσον, ἐν νῷ ἔχων ξυμμῖξαι παραπλεύσας καὶ πατριάρχῃ τῷ τῆς Ἀλεξανδρείας, πρὸ βραχέος καὶ αὐτῷ καταπεπλευκότι ἐς Ἄθω τὸ ὄρος. Γρηγόριον δὲ καὶ τοῦτον ὁμωνύμως ἐκείνῳ φασὶ κεκλῆσθαι τῷ πάνυ κοσμίως τοὺς πατριαρχικοὺς τῆς Ἀλεξανδρείας οἴακας ἰθύναντι πρότερον, οὗ τῆς σοφῆς ὁμιλίας ἀπολελαυκέναι κἀμοὶ τετύχηκεν ἱκανῶς, ὁπότε τῆς πατρίδος ἔκδημος γεγονὼς ἐγὼ περιῄειν Αἴγυπτόν τε καὶ Ἀραβίαν, ὥς γέ μοι καὶ πρότερον εἴρηται. ἐκείνου μέντοι μετά τινα τελευτήσαντος χρόνον τοῦτον ἐτετυχήκει τοῦ θρόνου γενέσθαι διάδοχον, νῦν δ' ἀπεστάλθαι πρεσβείαν Ῥωμαίων κομίζοντα βασιλεῖ πρὸς τοῦ τῆς Αἰγύπτου καὶ Ἀραβίας ἡγεμόνος ἁπάσης. μετὰ μέντοι τὴν ἐκεῖθεν ἀκηκοὼς ἔξοδον τὰ Ῥωμαίων συγκεχύσθαι πράγματα καὶ στασιάζειν ἐφ' ἑαυτὰ περὶ τῆς ἀρχῆς, 3.183 διατριβήν τινα κέκρικε διδόναι δεῖν τῷ πλῷ μεταξύ, μέχρις ἂν ἐναργέστερον γνῷ ὁποτέρῳ δυοῖν μαχομένοιν τοῖν βασιλέοιν ἐς τἀσφαλὲς περιήκει τὰ τῆς ἀρχῆς, ὡς μὴ ἀβέβαιόν τε καὶ ἀνεμιαῖον τὸ τῆς πρεσβείας εἴη γιγνόμενον πέρας αὐτῷ. πρόσεσχε μὲν οὖν Κύπρῳ πρῶτον ἐξ Αἰγύπτου, ἔπειτ' ἐς Κρήτην ἐκεῖθεν κατέπλευσε, πλεῖστον ἑκατέραις ταῖς νήσοις χρόνον ἐνδιατετριφὼς διὰ τὸ μήπω Ῥωμαίοις πεπαῦσθαι τὰς περὶ τῆς ἀρχῆς ἔριδας. Κόρου δ' ἤδη ὑποπιμπλαμένῳ τῆς ἐν θαλάττῃ διαίτης, δέδοκταί οἱ Ῥωμαίων ὅροις ἔγγιστά που γενομένῳ δυοῖν ἕνεκα βέλτιον εἶναι, ἑνὸς μὲν ἵν' ἐγγύθεν τὸ τῶν ὑποθέσεων ἔχοι μᾶλλον μανθάνειν ἀκίβδηλον, ἑτέρου δ' ἵν' ὅπως ποτὲ παυσαμένης τῆς ἔριδος, καὶ δυοῖν ἑνός τινος βασιλέοιν ἀθόρυβον ἑαυτῷ τὴν ἀρχὴν καταστήσαντος, αὐτίκα μάλα καὶ αὐτὸς ἐκ τοῦ σχεδὸν τὴν πρεσβείαν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

περαίνοι. ἄρτι τοίνυν τοῦ πέρυσι τελευτῶντος θέρους ἄρας ἐκ Κρήτης πλήρεσιν ἧκεν ἱστίοις ἐς Ἄθω τὸ ὄρος, ἐν μεθορίῳ φάναι δυοῖν ἀρχαῖν, Τριβαλῶν δηλαδὴ καὶ Ῥωμαίων. ὅθεν ἀκούοντι πάλαι Παλαιολόγῳ τῷ βασιλεῖ ὡς πανταχῇ καὶ νήσων καὶ ἠπείρων, καὶ ὅπῃ περ ἂν τύχοιεν ἄποικοι Ῥωμαίων διεσπαρμένως τε καὶ κατὰ κώμας καὶ πόλεις ὑπ' ἀλλοφύλοις ἔθνεσι διαιτώμενοι, τὸ τούτου μόνου καὶ ἥκιστα Καντακουζηνοῦ ταῖς δημοσίᾳ σφίσι τελουμέναις ἱεραῖς ὑμνῳδίαις συμπεριάγοιεν ὄνομα δι' εὐφήμου τῆς μνήμης κατὰ τὸ πάλαι κρατῆσαν ἔθος τῇ μητροπόλει τῶν 3.184 ὀρθοδόξων, δι' ἐφέσεως ἦν ὁμιλῆσαι καὶ τῷδε τἀνδρί, καὶ τοῦτ' αὐτὸ μαθόντι πρῶτον ἔπειτ' ἐρέσθαι καὶ ὅτι βούλοιτο οἱ τὰ τῆς πρεσβείας, καὶ πρός γε ὅσα τοῖς τοιούτοις ἔποιτ' ἄν, διὰ δὴ ταῦτά οἱ καὶ εἶναι συντεθειμένον ἀκήκοα τὸν Ἄθω παραπλεόντι καὶ παρὰ τὸν τοιοῦτον ὁδοῦ πάρεργον ἄνδρα ἀφῖχθαι. Τούτων δ' οὕτω φερομένων ἥκει τις ἐκ Θεσσαλονίκης τά τε ἄλλα ἀγγέλλων, καὶ ὅτι βιαίως ἐκ πολλοῦ καὶ λίαν πικρῶς ἀπορραγῆναι μὲν κινδυνεύει τοῦ ζῆν Παλαμᾶς, οὐκ ἀπορρήγνυται δέ, ἀλλὰ κεῖται παρειμένος καὶ χείρω πάσχων μυρίων θανάτων. ἐξωγκῶσθαι γὰρ αὐτῷ τὴν γαστέρα φασὶ ἐς τὸ πάνυ τι ὑπερβάλλον, καὶ ἅμα παρεῖσθαι χεῖρας καὶ πόδας, ὡς μικρὰ ἢ μηδὲν πλὴν τοῦ ἀναπνεῖν διαφέρειν τῶν λίθων εἰς τὸ ἀκίνητον. ἐκφραγέντων δ' αὐτῷ καὶ τῶν τῆς κοιλίας ἐντέρων, καὶ ἐς τὸ ἄνω ἐστραμμένων, διὰ τοῦ θώρακος αὖθις κατὰ παλίρροιαν Εὐρίπου δίκην ἀναφέρειν ἐς τὸ στόμα καὶ ἀποπέμπειν ἐκεῖθεν ἀναγκαζομένην τὴν φύσιν τὸ τῆς γαστρὸς κοπρῶδες περίττωμα πᾶν, καὶ γίνεσθαι τέως ἀντὶ τῆς ἕδρας τῇ φύσει τὸ στόμα διακονούμενον ἐς τὰς τῆς γαστρὸς δυσώδεις κηλῖδας. Ὁρᾷς, ὦ φίλτατε Ἀγαθάγγελε, πῶς ἄνωθεν ἡ θεία ταλαντεύει δίκη τὸ χρεὼν κἀπὶ τῷδε τἀνδρί, ἵνα τὸ τῆς ἀφανοῦς ψυχῆς δυσῶδες, ὡς ἔοικε, δῆλον κἀκ τῆς αἰσθήσεως 3.185 ἅπασι γένοιτο, καὶ δίκην τὸ ἀκόλαστον ἐκεῖνο καὶ βλάσφημον στόμα μετὰ τῆς γραφούσης παράσχοι χειρὸς ἐνταυθοῖ, πρὶν ἐς τὴν ἀΐδιον ἐκείνην ἀπενεχθῆναι κόλασιν, καὶ δῆλα κἀκ τῶν ἐνθένδε προοιμίων τὰ τῶν μήπω δήλων ἅπασι κακῶν ἐφόδια πρὸς δημόσιον φῶς καταστῇ τῷ βεβήλῳ τούτῳ μᾶλλον ἢ κατ' ἐκεῖνον τὸν τῆς μανίας ἐπώνυμον Ἄρειον, ὃς τῶν τῆς γαστρὸς ἀπορρήτων τὴν κένωσιν κάτω διὰ τῆς ἕδρας παρέπεμψεν. ἐκεῖνος γὰρ κατὰ φύσιν ἡμαρτηκὼς καὶ διὰ τῶν κατὰ φύσιν μορίων ἐνταῦθα τὴν δίκην ἔτισεν, οὗτος δ' ὑπερόρια πάσης φύσεώς τε καὶ ἐπιστήμης εἰς θεὸν βεβλασφημηκὼς τερατώδη τινὰ καὶ παρὰ φύσιν ὡς τὸ εἰκὸς καὶ μακροτέραν δίδωσι τὴν δίκην. ὑφειμένον μὲν γὰρ κἀκεῖνος τὸν υἱὸν καὶ λόγον εἰπὼν τοῦ θεοῦ καὶ τῶν ἀσωμάτων ἀγγέλων ὑπέρτερόν τε καὶ δημιουργόν, σωματικοῖς ὅμως ὁρατὸν ὀφθαλμοῖς οὐ δεδύνηται φάναι. τὸν γὰρ ὑπὲρ τοὺς ἀγγέλους καὶ τῶν ἀγγέλων προαγωγέα, τῶν ἀγγέλων καὶ τῶν ψυχῶν τὸ ἔλαττον ἔχειν οὐκ εἶχε νοεῖν· φύσιν γὰρ εἶναι τοῖς ἀσωμάτοις ἅπασιν οἶδεν ἥκιστα πάντων σωματικοῖς ὀφθαλμοῖς ὁρατήν, πλὴν εἰ μὴ συγκαταβάσεως οἰκονομίᾳ χρώμενος διαφόρους ἐπιφανείας σχηματίζει θεὸς κατά γε τοὺς τῆς ἀπορρήτου προνοίας τρόπους, ὡς οἵ τε θεῖοι τῆς ἐκκλησίας πατέρες ἄνω καὶ κάτω διαρρήδην βοῶσι, καὶ ἡμεῖς ἀνωτέρω πολλαχῇ τε καὶ πολλάκις ἐκείνοις ἑπόμενοι διεξήλθομεν. οὗτος δὲ μετὰ τοῦ ὑφει 3.186 μένου καὶ ἀσώματον αὐτὸ καὶ ἀνούσιον λέγων φῶς, σωματικοῖς ὀφθαλμοῖς εἶναί φησιν ὁρατόν, πρᾶγμα μήτε τῇ φύσει μήτε τοῖς τῆς ἐπιστημονικῆς γνώσεως λόγοις χωρεῖσθαι δυνάμενον. κἀκεῖνος μὲν καὶ κτίσμα φήσας ὅμως ὁρατὸν οὐκ ἐτόλμησε φάναι, μήτε τῆς φύσεως μεμνημένος μήτε τῆς ἐπιστήμης μηδαμῇ συγχωρούσης ἀσωμάτου κτίσματος οὐσίαν εἶναί ποτε φαινομένην σωματικοῖς ὀφθαλμοῖς. οὗτος δὲ καὶ ἄκτιστον λέγων, ὃ μᾶλλον ἐκείνου φεύγει τὴν ὅρασιν, ὁρατὸν ὁ πάντα ἄτοπος καὶ ἀμαθὴς ἀπεφήνατο· ὃ γὰρ ἄκτιστον, ἀόρατον, οὐ μὴν ὃ κτιστὸν ... ὁρατόν· κτίσμα γὰρ ὄντες καὶ ἄγγελοι καὶ ψυχαὶ καὶ τά γε τοιαῦτα ἥκισθ' ὁρᾶσθαι τῇ φύσει δύνανται. καὶ τό γε μεῖζον ὅτι καὶ ἀνούσιον ὁ ἀνόσιος ἐκεῖνο καθ' αὑτὸ προσειπὼν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τὸ φῶς οὐ ξυνῆκεν ὅτι μάλιστα πάντων καὶ δι' αὐτό γε τουτὶ πρὸς τὸ μὴ εἶναι χωροῦν ἀόρατον ἔτι μάλιστα πάντων ἐστί. διὸ καὶ τὰ παρὰ φύσιν ἐκεῖνα καὶ τερατώδη πεπονθὼς καὶ αὐτὸς ἐνταυθοῖ, βιαίως ἀναπόμπιμον ἀπορρῆξαι βιάζεται μὲν τὴν δυσώδη ψυχὴν εἰς τὴν βίαιον ἐκείνην καὶ ἀπέραντον κόλασιν, οὐκ ἀπορρήγνυσι δὲ τοῦ θεοῦ προμηθουμένου καὶ καιρὸν ἴσως αὐτῷ μετανοίας διδόντος, ὡς ἂν εἰ μὴ μέχρι νῦν, ἀλλὰ νῦν γοῦν ἡμιθανῆ καὶ ἡμίτομον ὁρῶν ἑαυτόν, μᾶλλον δὲ τῷ πλείονι τοῦ σώματος μέρει βιαίως καὶ διὰ μάλα μακρῶν ἤδη τῶν χρόνων ῥηγνύμενον, καὶ ὃ ζῇ πρὸς αἰσχύνην ζῶντα, καὶ τὸν τῆς αὐτοῦ κακίας ἔλεγχον πᾶσι κατάδηλον παρεχόμενον, ὁ ταλαίπωρος 3.187 αἴσθοιτο πόσου χειμῶνος τὴν ἐκκλησίαν ἐμπέπληκεν. ὡς ἐκ τῶν τελευταίων ἐμφάσεων καὶ συμβόλων ἔχειν ἅπαντά τινα τεκμαίρεσθαι ἤδη τῆς τε ἀσεβείας ἑκατέρου τὸ ὑπερβάλλον ἧς ἀνὰ μέρος ἑκάτερος ἑκατέρῳ κεκοινωνήκεσαν ἐνταυθοῖ, καὶ ἅμα τῆς τεταμιευμένης ἑκατέρῳ φλογὸς ἐς τὸ μέλλον, ἣ κατὰ τὸ ἀνάλογον ἑκατέροις ἐκεῖ τεθησαύρισται. Ἀρείῳ μὲν γὰρ ἡ τῆς ἐνταῦθα κολάσεως ἔνδειξις πλέον εἶχε τοῦ κολάζοντος τὸ φειδόμενον, Παλαμᾷ δὲ πλέον τοῦ φειδομένου μακρῷ τὸ κολάζον. τῷ μὲν γὰρ ἡ τῶν σπλάγχνων κένωσις φθάσασα τὴν τοῦ δράματος αἴσθησιν ἄπρακτα μένειν τὰ τῆς ὀδύνης ἐπεπράχει βέλη, πρὸς τέως ἀναισθητοῦν ἐρειδόμενα σῶμα· τῷ δ' ἡ μετ' αἰσχύνης δριμύτης ἐκείνων τῶν πόνων, εἰς ὁμόνοιαν τοῖς Ἰούδα κιρνῶσα παθήμασιν, ἐπ' ἴσης ἐκείνῳ καὶ τὴν τῶν μελλόντων αἰωνίων δεινῶν προεζωγράφησεν ἕνωσιν. ὡς εἰκάζειν εἶναι ἐντεῦθεν, μᾶλλον δ' οὐκ εἰκάζειν ἀλλ' εἰδέναι, μακρῷ τινὶ μείζω τεταμιεῦσθαι Παλαμᾷ τὴν κολάσουσαν ἔκτισιν ἢ κατὰ τὸν δυσσεβῆ τῆς μανίας ἐκεῖνον ἐπώνυμον Ἄρειον. Εὖ λέγεις. ἄρτι δὲ τὰς ἠρινὰς τοῦ ἡλίου τροπὰς παραλλάττοντος καὶ τοῦ Καντακουζηνοῦ τῇ Ὀρεστιάδι ἐνδιατρίβοντος ἔτι, αἰφνίδιον ὁ Παλαιολόγος ἐπιφαίνεται περιπλέων τὸν περὶ τὸ Βυζάντιον πορθμὸν λέμβοις ὁμοῦ καὶ μονήρεσι καὶ διήρεσιν ὀκτωκαίδεκα καὶ τριήρει μιᾷ· ὃ καὶ μακρὰν τῷ Καν 3.188 τακουζηνοῦ τὴν δειλίαν ἐνεποίησε μέρει. ἧκε γὰρ ἐλπίσας, ὡς φασί, ῥᾳδίαν αὐτῷ τὴν εἰς Βυζάντιον εἴσοδον ἔσεσθαι πρός τινῶν κρύφα διαμηνυσαμένων αὐτῷ πρὸ βραχέος τὸ τοῦ συνθήματος δρᾶμα. ἐπεὶ δ' ἡ βασιλὶς Εἰρήνη διανέστη τε παραχρῆμα καὶ δραστικώτερον ἢ κατὰ γυναικείαν φύσιν διανοησαμένη τὰς πανταχόθεν ὑποπτευομένας εἰσόδους τάχιστα ἠσφαλίσατό τε καὶ τῶν ὑποπτευομένων ἔτι προσώπων ἐντὸς Βυζαντίου τὰς ὁρμὰς ἀνέστειλε πάνυ ταχείαις χερσίν, ἄπρακτον αὐτὸν ἐν τρισὶν ἡμέραις ἀπελθεῖν ἐπεπράχει. δέκα μεταξὺ παρῆλθον ἡμέραι, καὶ ἄρας ὁ Καντακουζηνὸς ἐξ Ὀρεστιάδος ἧκεν εἰς Βυζάντιον διὰ ταῦτα. καὶ ὕποπτον ἔχων ἐκ πολλοῦ τὸν πατριάρχην πολλῶν τε ἄλλων ἕνεκα καὶ τῆς πρὸς Παλαιολόγον μάλιστα φιλίας καὶ ὁμοφροσύνης, σοφὸν εἶναί οἱ νενόμισται πεῖραν καὶ νῦν εἰληφέναι τῆς γνώμης αὐτοῦ. πέμψας οὖν ἤρετο εἰ χρὴ ταῖς τῶν στρατιωτῶν καὶ τῶν ἄλλως ἐχόντων συγκλητικῶν εἴξαντα βίαις τήν τε ἀναγόρευσιν τοῦ υἱέως ἐνδοῦναι Ματθαίου γενέσθαι, καὶ ἅμα τῷ τοῦ γαμβροῦ Παλαιολόγου ἀμνημοσύνην. ὃ δ' οὐδ' ἄκροις ἠνέσχετο δέξασθαι τοῖς ὠσίν, ἀλλὰ τραχυτέροις τε ἀπεώσατο λόγοις, καὶ ἅμα ἐς τὴν ὑστεραίαν τοῦ πατριαρχείου ἐξίσταται· καὶ αὐτὸς μὲν ἐν τῇ τοῦ Ἀθανασίου καταλύει μονῇ, τὰ δὲ σκευοφόρα ἐς τὴν τοῦ ἁγίου Μάμαντος ἀπεφορτίζοντο μονήν, ἣν πρὸ τεττάρων ἐνιαυτῶν σφετερίζεται. βραχὺς ἐκεῖθεν ἐρρύη χρόνος, καὶ Ματθαῖος ὁ τοῦ Καντακουζηνοῦ υἱὸς 3.189 ἐπ' ἀσπίδος βασιλεὺς ἐν παλατίῳ Ῥωμαίων ἀναγορευέται. καὶ τὸ ἔαρ ἐν τούτοις ἐτελεύτα. Τοῦ δὲ θέρους ἤδη μεσοῦντος πολλή τις ἑκατέρωθεν αὖθις συνεκροτήθη σπουδὴ τοῖς Λατίνοις πρὸς διαποντίων πολέμων παρασκευάς. οἱ μὲν γὰρ Κατελάνοι ἔκ τε οἰκείων χρημάτων καὶ ὧν τηνικαῦτα Βενετικοὶ χαρίζονται σφίσι τετταράκοντα τριήρεις ὁπλίζουσιν. εἰώθεσαν γὰρ ἐκ πολλοῦ Βενετικοὶ δι' ὀλιγανδρίαν περὶ χρημάτων ἅπαν ἐνδείκνυσθαι σπούδασμα συλλογήν, ὧν ἕνεκα καὶ πολλὰ τῶν εὐτελεστέρων



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀδικημάτων ἑκοντὶ παρατρέχουσι τε καὶ φέρουσιν ὑπομένοντες ἔκ τε ὁμοφύλων καὶ ἀλλοφύλων γενῶν ὑπέρ γε τοῦ μὴ πρὸς δημοσίας καὶ ὑπαιθρίους ῥυῆναι μάχας, μηδὲ πρόφασιν παρεισδῦναί τινα συγκεχωρηκέναι μεταξὺ διακόπτουσαν τὴν τῶν ἐξ ἐμπορίας παντοδαπῆς ἐτησίων κερδῶν συλλογήν. καὶ οὕτως ἀεὶ τοὔλαττον συγχωροῦντες καρποῦνται τὸ μεῖζον, ὡς γένος εἶναι Λατίνων σχεδὸν οὐδὲν ὃ τοσαύτην ἔχει χρημάτων ἐντεῦθεν δαψίλειαν. ὅταν δ' εἰς ἐμφανῆ βιασθέντες ὁθενοῦν καταστῶσι τὴν μάχην, εὐθὺς ἀφειδούσῃ χειρὶ χρημάτων παμπόλλων ὠνοῦνται τὰς τῶν ἀστυγειτόνων τοῖς ἀντιπάλοις γνώμας καὶ ὅσοι περιόικοι, καὶ ῥᾷσθ' οὑτωσὶ πρὸς συμμαχίαν μεθέλκουσιν ἑαυτῶν ὁπόσους τε καὶ οἵους ἂν ἐθέλοιεν. καὶ οὕτω μεγίσταις ἢ κατὰ πάντας ἄλλους τῶν νῦν δυνάμεσιν ναυστολοῦντες κατατροποῦνται τοὺς ἐναντίους. τὸν δὴ τοιοῦτον καὶ νῦν τρόπον ᾠκειώσαντο μὲν Ῥωμαίους ἔχον 3.190 τας καὶ αὐτοὺς ἰδίας προφάσεις τῆς μάχης κατὰ Γεννουιτῶν, ὡς ἐν τοῖς ἀνωτέρω βίβλοις ἡμῖν πολλάκις τε καὶ πολυτρόπως εἴρηται, ᾠκειώσαντο δὲ Κατελάνους ἔχοντας καὶ αὐτοὺς ἰδίας ὁμοίως τῆς μάχης προφάσεις κατὰ Γεννουϊτῶν, ὡς εἰρήσεται. Νῆσος γάρ ἐστι μεγάλη καὶ πολυάνθρωπος καλουμένη Σαρδώ, παρὰ τὸ Τυρρηνικὸν ἀνειμένη πέλαγος, ὄρη μὲν πλουτοῦσα μακρὰ καὶ ἅμα ποταμοῖς ἀρδομένη παντοίοις, πόλεσι δὲ καὶ κώμαις εὐθηνουμένη πολλαῖς, ὁπόσαι τε μεσόγειοι καὶ ὁπόσαι παράλιοι· ἀκταί τε αὐτὴν καὶ λιμένες περιχορεύουσι καὶ κόλποι πολυειδεῖς. αὕτη πολύν τινα χρόνον ὑπὸ Κατελάνοις ἐτέλεσέ τε καὶ ἤδη τῷ πλείονι μέρει τελεῖ. νῦν δ' ὀλίγῳ πρότερον δόλοις λαθραίοις φρούρια δύο κατέσχον οἱ Γεννουῖται αὐτόθι, πρὶν αἰσθέσθαι τοὺς ἐγχωρίους. τοῦτο Κατελάνοις γνωσθὲν οὔτε φορητὸν καὶ κομιδῇ νενόμισται βαρύ. διὸ καὶ οὕτω δυσμενῶς πρὸς ἐκείνους διακειμένοις, πρὸς τὴν ἑαυτῶν ἑτοίμοις συμμαχίαν ἐνέτυχον σφίσιν οἱ Βενετικοὶ κατὰ τὸ μάλα τι καίριον. Κἀπειδή περ, ὡς ἔφημεν, τετταράκοντα τριήρεις τοῖς Κατελάνοις δυνάμεως ἁπάσης ὁπλιτικῆς πεπλήρωνται, τῶν βελτίστων ἔδοξε διαβᾶσι πρότερον ἐκεῖνα σφίσιν αὐτοῖς ἐξ ἐφόδου τὰ φρούρια περιποιήσασθαι, ἅπερ ἐν Σαρδοῖ τῇ νήσῳ πρὸς τῶν Γεννουϊτῶν, ὡς εἰρήκειμεν, ἐζημίωνται. τού 3.191 των δ' οὕτω γινομένων καὶ ὁ Γεννουϊτικὸς στόλος, πέντε καὶ ἑξήκοντα τριήρεσι τὸ οἰκεῖον πληρῶν ἐπίνειον, τὸν ἐπίπλουν ἐκαραδόκει τῶν πολεμίων. ἐπεὶ δ' ἠκηκόει τούτους ἐς τὴν Σαρδὼ καταπεπλευκέναι, πέμπουσιν ἐς κατασκοπὴν ταχυναυτοῦσαν μίαν τριήρη· κἀπειδὴ τάχιστα ἐπανῆκε τεσσαράκοντα μόνας ἀπαγγέλλουσα τὰς τῶν ἐναντίων εἶναι τριήρεις (τὰς γὰρ τῶν Βενετικῶν τριάκοντα οὔπω τεθέαται, πρός τινι κόλπῳ τὴν ἐφεδρείαν ἐγγύς που τελούσας ἑτέρῳ, ὧν ὁ Νικόλαος ἦρχε Πισσαῖος), ἄραντες μετὰ πολλῆς τῆς ὀφρύος καὶ σεσοβημένου τοῦ ἤθους καὶ τοῦ φρονήματος, εὐθὺ τῶν πολεμίων ἐχώρουν πολλοὶ πρὸς ὀλίγους. ἀλλὰ πρὶν ἀφικέσθαι, λαθὼν ἐκεῖνος ὁ τοῦ Βενετικοῦ στόλου ναύαρχος ἔφθη μιᾷ προειληφὼς ἡμέρᾳ τὸν Γεννουϊτικὸν στόλον, καταίρων τε ἐς τὸ Σαρδῷον καὶ αὐτὸς ἐπίνειον ἐκεῖνο, καὶ ξυμμιγνὺς τοῖς Κατελάνοις σὺν αἷς εἰρήκειμεν τριάκοντα τριήρεσι μεγάλαις τε καὶ μάλα γε λαμπροῖς καὶ πολλοῖς τοῖς ὅπλοις βριθούσαις. κἀπειδήπερ εἰς τὴν ὑστεραίαν ἐπιόντες οἱ Γεννουῖται ἑβδομήκοντα παρὰ πᾶσαν ἐθεάσαντο προσδοκίαν τὰς τῶν ἐναντίων τριήρεις, ἐς πολλὴν ἐνέπιπτον ἤδη δειλίαν. καὶ πόρρωθεν ἐν μέσῳ πελάγει βραχύ τι ἀνακωχεύσαντες, ὅπως ἂν διάθοιντο τὴν ναυμαχίαν ἐσκοποῦντο καθ' ἑαυτούς. καὶ ἔδρων τὰ δεδογμένα εὐθύς. δεσμοῦσι μὲν γὰρ σειρᾶς δίκην ἀλλήλαις ἀλλήλας τὰς πλείους ἑαυτῶν τριήρεις ὑπὲρ τοῦ μὴ τῇ διεχείᾳ καὶ τῷ σκεδασμῷ διδόναι πάροδον ταῖς πολεμίαις ναυσί, μηδ' ἔχειν ἐκ τοῦ ῥᾴστου φυγομαχεῖν τοὺς οἰκείους· ἐξαιροῦσι δ' αὖ τῶν ἐρε 3.192 τικῶν ἐκ μέσων ἐνίας καθέδρας, ἵν' ὡς ἐν ἐπιπέδῳ τὴν μάχην ποιῶνται καὶ ἀκωλύτους τάς τε ἐξελάσεις καὶ ἐπελάσεις καὶ τὰς παρόδους ἔχωσιν. Ἐν τούτοις δ' ἀσχολουμένων αὐτῶν θόρυβος ἐξ ἀπογείων πνευμάτων ἐξαίφνης


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐγείρεται, τοῖς μὲν Κατελάνοις ἅμα καὶ Βενετικοῖς ἀπὸ πρύμνης, τοῖς δὲ Γεννουίταις οὖσι πελαγίοις ἀντίπρωρος. καὶ μὲν δὴ λοιπὸν τὰ τῶν ἐκεῖσε τηνικαῦτα καταχθεισῶν ὁθενδήποτε μεγάλων τεττάρων ὁλκάδων ἱστία πετάσαντες οἵ τε Κατελάνοι καὶ Βενετικοὶ τοῖς πολεμίοις ἐχώρουν ὁμόσε, ἐξ οὐρίας ποιοῦντες τὸν πλοῦν· εἵπετο δ' ὁμοῦ καὶ ὁ στόλος ἅπας, τοῖς πολεμικοῖς ὀργάνοις τερπόμενοι καὶ τὰς τῶν ὁπλομάχων ψυχὰς πρὸς τὸ ἀκμαιότερον ἐρεθίζοντες. ὅθεν τὰς μὲν εὐθὺς ἐς βυθὸν κατέδυσαν ὥσπερ καταπατηθείσας ὑπὸ τῶν ὁλκάδων, τὰς δ' ἐζώγρησαν. καὶ οὕτως ἐν βραχεῖ τρόπαιον σχεδὸν ἀναίμακτον ἔσχον, ὑπέρτεροι παντάπασιν τοῦ Γεννουϊτικοῦ γενόμενοι στόλου παντός, πλὴν ὅσαι φυγάδες ἔφθησαν γεγονυῖαι ταχυναυτοῦσαι τριήρεις ὀκτωκαίδεκα. καὶ ταῦτα μὲν τοῦτον ἔσχε τὸν τρόπον, καὶ τὸ θέρος ἐν τούτοις ἐτελεύτᾳ. Καὶ μὲν δὴ ἐς τοῦτο κατενεχθέντων τύχης τῶν κατὰ Γέννουαν πραγμάτων, καὶ μηδὲν ἔτι τῶν ταύτην οἰκούντων ἔνοπλον ἔργον δρᾶν δυναμένων, ἄρδην ἁπάντων σχεδόν, ὡς εἴρηται, ἐφθαρμένων ἤδη καὶ ὅπλων καὶ ἀνδρῶν ὁπλομάχων 3.193 καὶ ὅσα τῶν ἐδωδίμων, καὶ δείσαντες μὴ τοῖς πολεμίοις ἐκ τοῦ ῥᾴστου καταστάντες ἁλώσιμοι τὸν ἐπάρατόν τε καὶ αἴσχιστον οἱ περιλειφθέντες ὀφλήσωσιν ὄλεθρον αὐταῖς γυναιξὶ καὶ παισὶ καὶ πόλει τῇ πάσῃ, κατ' ἀλλήλων τε ἐστασίασαν, διαφόρων καὶ ποικίλων αὐτοῖς βουλευμάτων ἀναφυέντων καὶ σφόδρα ἀσυμφώνων ἀλλήλοις, καὶ ἅμα πάντα ἀνέτρεψαν ἐν βραχεῖ τὰ πάλαι τῆς πολιτείας ἑαυτῶν νόμιμα, τοῖς ἀστυγείτοσιν ἑαυτοὺς ἑκοντὶ παραδόντες ὑποχειρίους, τοῦ μείζονος κακοῦ τὸ κουφότερον ἀνθελόμενοι. ἀστυγείτονας δέ φημι οἳ τὰς ὑπὲρ κεφαλῆς αὐτῶν κατοικοῦντες ὕψιστα ὄρη τῶν Ἄλπεων καὶ ἠπειρωτικὸν ἀεὶ διάγοντες βίον, πάλαι πολύν τινα χρόνον μαχίμως σφίσι διέκειντο καὶ ἐπολέμουν καὶ ἐληίζοντο καθ' ἃς ἐβούλοντο ὥρας αὐτοὺς αὐτοί. Μεδιόλανα δ' αὐτοῖς ἡ τοῦ ῥηγὸς ἐστὶ κατοικία, πόλις ἀρχαία τε καὶ δυσάλωτος πολεμίοις. ὃ δὲ μάλιστα πάντων φοβερὸν τοῖς πέριξ τὸ ἔθνος τοῦτο ποιεῖ, καὶ τὸν τούτου ῥῆγα μάλα τι δυσαντίβλεπτον καὶ ἀκαταγώνιστον, ὅτι ὁ τόπος ὄρεσι σχεδὸν πανταχόθεν ὑψηλοῖς καὶ δυσβάτοις τετειχισμένος ὑπὸ τῆς φύσεως ἄβατον ὡς τὰ πολλὰ πολεμίοις τὸν πλεῖστον χρόνον τετήρηκεν ἑαυτόν, ὀλίγαις δυνάμεσι χρώμενος. ὃ γὰρ τοῖς ἄλλοις ἵππος τε μυρία καὶ στρατὸς παμπληθὴς μόλις ἀρκεῖ πρὸς ἀντιπάλων ἀνασοβήσεις, τούτοις ῥᾳδίως ὀλίγη δύναμις ἀρκεῖ διὰ τὴν τῶν πέριξ ὀρῶν φυσικὴν συμμαχίαν. Τὸ δὴ τοιοῦτον ἔθνος τὴν τῶν γειτόνων Γεννουιτῶν 3.194 ὑφορώμενον ὀφρὺν καὶ κακότροπον εἰς ἐπιβουλὰς περίνοιαν καὶ πρὸς παρασπονδήσεις σφόδρα ἐπιρρεπές, ἔργον ἐπιμελὲς ἐποιεῖτο σφᾶς ταπεινοῦν τὸν ἐνόντα τρόπον ἀεί. νῦν δὲ καὶ καιροῦ λαβόμενον ἐνσπόνδους ὑποχειρίους ποιεῖται ῥᾳδίως. καὶ μὲν δὴ καὶ ἐς τὴν πόλιν Γέννουαν εἰσιὼν καὶ ἀναμφισβήτητος ἄρχων αὐτῆς ἀναγορευθείς, τὰ πλείω μέρη καθεῖλε τῶν κύκλῳ τειχῶν καὶ πύργων, μὴ καιροφυλακήσαντες ἴσως ὀψέ, τὸν εἰωθότα τρόπον σφίσιν ἀεί, κἀνταῦθα νεωτερίσωσιν οἱ ταύτης οἰκήτορες. Καὶ ταῦτα μὲν τῇδέ πῃ ἔσχε, καὶ ἐς τοιοῦτον ἔληξε πέρας ὁ τῆς Γεννουϊτικῆς ὀφρύος ἄτοπος ὄγκος, καὶ ἡ θεόθεν ἠκολούθησεν ἀμοιβὴ τῶν ἀδίκων ἔργων ἐκείνων ὧν τε κατὰ Ῥωμαίων ἦρξάν τε καὶ κατεπράξαντο καὶ οἷς ἑτέροις προσεδέχθησαν ὁμοίως ἅπασιν, ὅρκους ἅπαντας θείους κατόπιν ῥίψαντες, καὶ μήτε θείαν νέμεσιν θέμενοι πρὸ ὀφθαλμῶν μήτ' ἀνθρώπων αἰδῶ. ὀνειροπολήσαντες γὰρ ἁπάσης θαλάσσης συλλήβδην ἡγεμονίαν ἄνωθεν ἐκ Τανάιδος καὶ Μαιώτιδος ἄχρι Γαδείρων καὶ Ἡρακλείων στηλῶν, καὶ αὐτῆς ἐξεπεπτώκεσαν ἐν βραχεῖ τῆς πατρίδος· καὶ τὸ κοινὸν ἀδίκως ἰδιοποιούμενοι, ἔλαθον καὶ τὸ ἴδιον ἐνδίκως τὴν ταχίστην ἀπολωλεκότες. τοῦτ' ἐκεῖνο τὸ τῆς παροιμίας ἄντικρυς, ἡ κάμηλος ἐπιθυμήσασα κεράτων καὶ τὰ ὦτα προσαπώλεσε. μακρόθυμος μὲν γὰρ ὁ θεός, ἀλλὰ καὶ δίκαιος. καὶ δίδωσι μὲν καιρὸν μετανοίας τοῖς ἁμαρτάνουσιν ἐς τοὺς τῆς δίκης 3.195 θρόνους· ἂν δὲ καὶ τὸν τῆς μετανοίας χρόνον καιρὸν κακίας θεάσηται ποιουμένους, χρῆται τῷ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΠΤΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

στύφοντι, πρὶν ὑπὸ τοῦ ἕλκους ἀναλωθῆναι τοὺς ταλαιπώρους, ἅπαν τὸ πλήρωμα τῆς οὐσίας ὁλοσχερῶς διανεμηθέντος. Ἀλλὰ γὰρ ἐκείνων οὑτωσὶ φερομένων Καντακουζηνὸς ὁ βασιλεὺς πολύν τινα χρόνον ἐν τῇ τοῦ Ἀθανασίου μονῇ θεωρῶν ἀπρακτοῦντα τὸν Κάλλιστον, ὅτι βούλεταί οἱ πέμψας ἠρώτα τῆς πατριαρχικῆς διαίτης ἡ χρονία διάστασις. εἶναι γάρ φησι δῆλον τοῖς ἅπασιν ὡς τά τε πολιτικὰ καὶ δημόσια τῶν πραγμάτων ἀνθρώπινα ὄντα ἀνθρώπους, μετά γε θεόν, καὶ τοὺς ἐπόπτας ἔχουσι καὶ διοικητάς, ἅτε σύνθημα ὄντας ψυχῆς ὁμοίως καὶ σώματος. τῶν μὲν οὖν σωματικῶν τὴν διοίκησιν βασιλεῦσι ῥυθμίζειν καὶ διοικεῖν εἰς τὸ βέλτιον, τοῖς ἄνωθεν κεκρατηκόσι πολιτικοῖς ἑπομένους νόμοις, ὁ μακρὸς παρέσχετο χρόνος, τῶν δ' αὖ ψυχικῶν ἱερωτέροις ἀνδράσι, τοῖς ἄνωθεν κεκρατηκόσι καὶ αὐτοὺς ἑπομένους κανόσι καὶ δόγμασι. καὶ οὕτως ἡ πολιτεία διοικουμένη πᾶσα πρὸς ὁμόνοιαν οἱανδηποτοῦν, καὶ ὥσπερ ἔμψυχον ἓν γινομένη σῶμα, τὸν πάντα διέξεισι χρόνον, ἐφόδια κεκτημένη πρός τε τὸ χεῖρον καὶ βέλτιον, καθ' ὁπότερον ἡ τῶν κρατούντων τε καὶ οἰακοστροφούντων δύναμις ἔχει γνώμης καὶ διαθέσεως. εἰ γὰρ παρεξάγεσθαι θάτερον ἐρεθίζοιτο μέρος ῥοθίοις ὁπωσποτὲ καὶ ὁτεδήποτε βιαίοις ἐντυγχάνον, τὸν ἀβούλητον ὁθενδήποτε τρόπον ἀντιφερομένοις, ὑπὸ θατέρου σωφρονίζοιτ' ἂν ἴσως 3.196 ὑγιαίνοντός τε καὶ τοῖς βελτίοσι λογισμοῖς τὰς τοῦ καλοῦ κρηπῖδας ἔχοντος ἡδρασμένας. ἀνάγκη τοίνυν δυοῖν θάτερον, ἢ πρὸς τὴν πατριαρχικὴν ἐπανεληλυθότα σε δίαιταν τὰ τῷ θρόνῳ ἀνήκοντα δρᾶν, ἢ παραιτησάμενον τὸ λειτούργημα, χώραν ἕτερον ἀντεισαγαγεῖν παρέχειν. ἢ τό γε τρίτον, τοῦ δράματος λόγον διδόντα, τὸ τῆς ἀπορίας λύειν ἀμφίδοξον. Πρὸς ταῦτα τόνδ' εὐθὺς ὑποτρέχει νέφος θυμοῦ, καὶ ἀναστὰς ἀφορισμὸν μὲν ἐκφωνεῖ πρῶτον θεοῦ κατὰ παντὸς ᾧ πρὸς βουλήσεως ἄνποτε γένοιτο αὖθις τὴν ἐς τὸν πατριαρχικὸν θρόνον ἐπάνοδον τὸ παράπαν αὐτῷ ὑποτίθεσθαι, εἶτα μακράν τινα τοῦ βασιλέως ποιεῖται καταδρομήν, ὅτι τὸ μὲν τῶν ὑπὸ χεῖρα χριστιανῶν γένος μισῶν ὡς ἐχθρούς, τὸ δὲ βάρβαρον οἰκειούμενος ὡς φιλτάτους, Ὑρκανῷ τῷ γαμβρῷ καὶ τοῖς ὑπ' ἐκείνῳ βαρβάροις προδίδωσι προῖκα νύκτωρ καὶ μεθ' ἡμέραν, καθάπερ ἀγελάρχης προβάτων δοράς, τὰς τούτων οὐσίας. καὶ τὰ τῆς ἐκεῖθεν ἀμοιβῆς ὅτι συχνὰ συχνοὺς τῶν ὑπ' ἐκείνῳ βαρβάρων ἀεὶ μεταπέμπεται, πρόφασιν μὲν κατὰ μόνου τοῦ βασιλέως Παλαιολόγου, τὸ δ' ἀληθὲς προστιθέναι καὶ τὰ λειπόμενα τῆς τῶν Ῥωμαίων λείας αὔτανδρον προνομὴν ἐκείνοις, ὡς εἰς θηριώδη κρεωφαγίαν σφάγια αὐτοῖς σώμασι καὶ αὐταῖς ψυχαῖς. καὶ τῶν ἐχθρῶν κορεννυμένων τῆς θοίνης, καὶ ἀποσειομένων ἤδη τὸ τῆς ὠμότητος τοῦ ἀνδρὸς ὑπερβάλλον, καὶ τὴν πρὸς τὸ ὁμόφυλον χλευα 3.197 ζόντων ἀγνωμοσύνην, αὐτὸς οὔτε κορέννυται οὔτ' αἰδεῖται οὔτε ἐχθροὺς οὔτε φίλους οὔτε μὴν τὴν πάντα βόσκουσαν ἡλίου φλόγα. πρὸς τἀνάλγητον δ' ἑαυτὸν τὸ παράπαν χαλκεύων ἀεί, καὶ τὰ μείζω προστίθησι τῶν κακῶν, καὶ αὐτουργοὺς τοὺς ἀθλίους τῶν οἰκείων γίνεσθαι συμφορῶν ἀναγκάζει, βιαίους μαστιγοφόρους σφοδρῶς ἐφιστῶν, ὡς ἂν τοῖς ἑαυτῶν αὐτοὶ καὶ πλοίοις ἅμα καὶ χερσὶν ἐκ τῆς πατρίου γῆς πρὸς τὴν ἀλλόφυλόν τε καὶ βάρβαρον αἰχμαλώτους διαπορθμεύοιεν τοὺς ἀδελφοὺς καὶ φίλους καὶ ὁμοφύλους καὶ συγγενεῖς, θρηνοῦντες αὐτοὶ θρηνοῦντας αὐτούς, γύναιά τε καὶ παιδάρια οἰκτρὰ πάντας ἀριθμοὺς ὑπερβαίνοντα, καὶ περιηγκωνισμένους ἄνδρας, καὶ ᾑμαγμένα λάφυρα, καὶ ἅμα βοὴν συμμιγῆ καὶ ὀλοφυρμὸν ἀμύθητον. φειδὼ δὲ πᾶσα καὶ ἀνθρωπίνων σπλάγχνων οἰκτιρμοὶ τοῦ ποιμαίνειν σφᾶς καὶ διοικεῖν λαχόντος βασιλέως ἐξερρυήκεσαν παντάπασιν, εἰς διαποντίους καταδύντες συλλήβδην πυθμένας εἰπεῖν. οὕτω δὲ μετὰ τῆς ἑαυτοῦ καὶ τὴν ἐμὴν ἁρπάζων καὶ ὑποτάττων διοίκησιν τῶν ψυχῶν, καὶ μίαν ποιῶν ὠμότητος τυραννίδα, ψυχῶν ὁμοῦ καὶ σωμάτων ἀπώλειαν, θαυμάζειν μοι ἔπεισι πῶς εἰρωνευόμενος πρός με ταῦτ' οὐκ ἐρυθριᾷ, ἀλλ' εἰς ἁρμονίαν δῆθεν παρακαλεῖ με Ῥωμαϊκῆς πολιτείας καὶ ἅμα σωματικῆς τε καὶ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ψυχικῆς καταστάσεως, καὶ συγχέει τῆς ἀληθείας τὴν φύσιν, καὶ ἃ καταλύει τοῖς ἔργοις ταῦτα γλώττῃ μεγαλορρημονεῖ διορθοῦσθαι, καὶ μα 3.198 χομένην ἔχων τῇ χειρὶ τὴν γλῶτταν αὐτὸς ἑτέρους ἁρμόττειν καὶ μεθαρμόττειν βρενθύεται πρὸς δικαιοσύνης ὁμόνοιαν. καὶ λέγειν βουλόμενος "ἐλθέ, μεθ' ἡμῶν κοινώνησον αἵματος," ὃ δ' ἐπὶ θάτερα μετασχηματίζει τοὺς φθόγγους, λεληθέναι προσποιούμενος ὡς τὸ γλώττῃ μὲν τὰ δέοντα φθέγγεσθαι πάνυ τι ῥᾴδιον καὶ τοῦ βουλομένου παντός, τὸ δὲ πάντων ὧν λέγει δρᾶν τἀναντία, τοῦτο δὲ φύσεως ὄλισθος καὶ κακῶν ἁπάντων τὸ μέγιστον. τί δ' ἂν ὑπηκόοις εἴη κακοδαιμονέστερον ἁπάντων ἕτερον ἢ δεσπότην ἔχειν ἐπίβουλον καὶ πολέμιον; ὅταν δὲ καὶ τἀναντία καθάπαξ ὁ βασιλεύων ἐπείγηται δρᾶν τοῦ τὴν πνευματικὴν ἀνειλημμένου συνδιοικεῖν ἐπιτροπὴν εἰς τὸ τῶν ὑπηκόων λυσιτελές, τότε δὲ καὶ μάλα τι σφόδρα περιφανῶς αὐτὸς αὐτόθεν καθίσταται χείρων παντὸς ἐμφυλίου πολέμου τοῖς πράγμασι. Καὶ τὶ δεῖ τὰ πλείω καὶ πᾶσι δῆλα διεξιέναι; ἐπιλείψει γὰρ ὁ χρόνος με διηγούμενον, εἰ πάντα δὴ τὰ παραπλήσια λέγειν ἐθέλοιμι. ὅμως ἕν τι τῶν βραχυτέρων εἰπὼν ἀπαλλάξομαι. τοῦ γὰρ μεγίστου καὶ μάλα περιβοήτου τῆς τοῦ θεοῦ σοφίας νεὼ τὸ πρὸς ἕω ζημιωθέντος μέρος πρὸ δέκα ἐνιαυτῶν, ἀνεγήγερται πάλιν εὐθὺς μετὰ τὴν πτῶσιν, ὡς ἅπαντες ἴστε, πρὸς Ἄννης τῆς βασιλίδος μετὰ τοῦ υἱοῦ τηνικαῦτα βασιλευούσης, ἡ πᾶσαν προϊσχομένη δυσχέρειαν μετὰ τῆς τοῦ βήματος ὀροφῆς, ἡ πεσοῦσα οὐρανία ἐκείνη καὶ 3.199 μεγίστη ἁψίς. τὸ δ' ἑκατέρωθεν ὑπὲρ τὴν ἁψῖδα λειπόμενον τοῦ ἡμισφαιρίου τῆς ὀροφῆς βραχύτατον λεῖμμα ἔμελλε μὲν καὶ αὐτὸ βραχύτατον ὂν κατὰ σειράν, τῆς ὕλης ἐμπαρασκεύου κειμένης, ἐν βραχεῖ συντελεῖσθαι, κεκώλυκε δ' οὑτοσί, τὸ βασίλειον κράτος ἐκείνης ὅπως ποτ' εἰς ἑαυτὸν μεταστήσας ἐξαίφνης ἅμα καὶ ἀπροσδόκητα· καὶ μεμένηκεν ὁ θεῖος οὗτος οἶκος ἐκεῖθεν ἀμελούμενος τὸ παράπαν, κἀκ τῶν ὁρώντων ἁπάντων συχνὰ προκαλούμενος δάκρυα, μὴ μόνον Ῥωμαίων ἀλλὰ καὶ πάντων σχεδὸν ἐθνικῶν καὶ ἀλλοφύλων ἀνθρώπων. τῆς δὲ φήμης τοῦ παγκοσμίου τοῦδε θεάματος εἰς τὰ τῆς οἰκουμένης διαβαινούσης πέρατα, ζήλου πλησθῆναι συμβαίνει θείου τὸν ἀρχηγὸν τῆς Ῥωσσίας. χώρα δ' αὕτη μεγάλη καὶ πολυάνθρωπος, μεταξὺ τῶν ὑπερβορείων ἐκείνων κειμένη ὀρῶν, ἀφ' ὧν Τάναΐς τε ῥήγνυται ποταμῶν ὁ μέγιστος, καὶ ὅσοι πρὸς τὴν Μαιῶτιδά τε καὶ Κασπίαν μείζους τε καὶ ἥττους ποταμοὶ κατιόντες ποιοῦνται τὰς ἐκβολάς, ἐν δεξιᾷ μέν, εἴ τις ἀπ' ἄρκτων εἰς ἡμᾶς ἀφικνοῖτο, ζέφυρον ἄνεμον ἀφιεῖσα καὶ γειτνιῶντα τὸν δυτικὸν Ὠκεανόν, παρὰ δὲ τὰ εὐώνυμα τούς τε ὑπερβορέους Σκύθας καὶ ὁπόσα τῶν ἀφηλιωτικῶν πνευμάτων τὴν γῆν ἐκείνην εἴωθεν ἐπιπνεῖν. δεῖ γὰρ καὶ ταῦτα διεξιέναι χωρογραφοῦντας, ἵνα πρὸς ἔλεγχον ᾖ τὰ πάνυ τι πόρρω τῆς οἰκουμένης ἔθνη τῶν ἐν κόλποις μὲν ἐχόντων ἡμῶν θεαμάτων τὰ κάλλιστα, ἀναισθητούντων δ' ἁπάντων μάλιστα τῶν ἐπὶ γῆς ἐθνῶν. ὁ τοίνυν τῆς χώρας 3.200 ἀρχηγὸς ἐκείνης χιλιάδας ἡμῖν χρημάτων πέμψας ἐκεῖθεν ὅσας δῆτα καὶ ἐπεπόμφει, δι' αὐτῶν ἠξίου τελεῖσθαι τὸ λεῖπον ἐκεῖνο μέρος τοῦ θείου νεώ, ἐπαγγελλόμενος ἔτι καὶ πλείω πέμπειν ἐκεῖθεν ἑξῆς κατὰ τὸ τῆς χρείας ἀνάλογον. ὁ δὲ βασιλεὺς ὑμῶν οὑτοσὶ καὶ θεοῦ καὶ ἀνθρώπων αἰδῶ καθυβρίσας, καὶ δίκης θείας θρόνους σεμνοὺς παριδών, ἀφῄρηται μὲν ἡμῶν ἐκεῖνα τὰ χρήματα, πέπομφε δ' Ὑρκανῷ τῷ ἀσεβεστάτῳ γαμβρῷ, προφανὴς ἱερόσυλος καθιστάμενος, καὶ δαίμοσι θύων τὰ τίμια. ὅμως τί τοῦτο πρός γε τὰ ἡμῖν ἀνωτέρω λεχθέντα; οὐ γὰρ μεῖζον τοῦτ' ἐκείνου γε τοῦ τοῖς αὐτοῖς βαρβάροις χριστιανοὺς προδιδόναι διηνεκῶς, καὶ καθάπερ ἱερεῖα διὰ τῶν φαινομένων τούτων προσάγειν τοῖς μὴ φαινομένοις δαίμοσι τὰς ἐκείνων ψυχάς. θέατρον τοίνυν ἀγγέλοις καὶ ἀνθρώποις ἐλεούμενον ὁ θεῖος οἶκος, τὸ μέγα τοῦτο θαῦμα τῆς οἰκουμένης ἐγκαταλέλειπται, καὶ μὴ ἔχων ὅποι τῆς οἰκουμένης πρεσβείαν πέμψας τὴν ἀδικίαν ἀπαγγελεῖ, νοσούσης ἁπάσης δι' ἑνὸς ἀνδρὸς μοχθηρίαν, ἵσταται λοιπὸν ἐπὶ μέσου θεάτρου τῆς οἰκουμένης φωναῖς ἀφθόγγοις τῶν αἰτίων θρηνῶν


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τὴν ἀγνωμοσύνην. εἰς τοιοῦτον τοίνυν καὶ τηλικοῦτον βάθος κακῶν ἐμπεσόντι ποῖος ἀδαμάντινος λογισμὸς ἢ ποία λιθίνη ψυχὴ κοινωνεῖν τῶν αἰσχρῶν αὐτῷ βουληθείη ποτέ; Ταῦτα δὴ καὶ πλείω τούτων προειπών, καὶ ἐπειπὼν ἀνώμαλά τε καὶ ἀφελῆ καὶ ἀταμίευτον μὲν ἔχοντα τὴν τραχύτητα μακροτέρων δὲ γέμοντα τῶν λοιδοριῶν, ἀπιέναι τοὺς 3.201 πρέσβεις διεκελεύσατο. καὶ μὲν δὴ τὰ πλείω διὰ τὴν ἄγαν τραχύτητα σιγῇ κρύψας ἔγωγε μόνα ταῦτα, καθ' ὅσον ἔμοιγ' ἐξῆν, τοῖς πρός σέ μού γε τούτοις ἐταμιευσάμην ὑπομνήμασι, μετρίως καὶ ὥσπερ ὕλης πρόφασιν ταῖς τῶν σῶν ἱστοριῶν βίβλοις ἀφοσιούμενος. σὺ δ' ἀνειληφὼς τῇ σῇ Καλλιόπῃ κοσμήσαις ἂν ἐς τὸ εὐφραδέστερον εὐθυρρημονήσας. Τούτων δ' ὅμως καὶ τῶν τοιούτων οὑτωσί πως εἰρημένων ἐκείνῳ τἀνδρὶ πυθόμενος ὁ βασιλεὺς χείλεσι μὲν οὐκ ἐξήνεγκεν ὀργίλον οὐδὲν τῶν ἁπάντων, ἀλλ' ἐπὶ τοῦ συνήθους ἔμεινεν ἤθους, ἐς δὲ τοὐπιὸν τοὺς ἐπισκόπους ἀθροίσας τοῦ πατριαρχικοῦ καθεῖλεν αὐτὸν βαθμοῦ. αἰτίας γὰρ εἰσενεγκόντων ἑτέρας καὶ διαφόρους τῶν ἐπισκόπων, τῶν μὲν τὴν προκατηγορηθεῖσαν αὐτῷ αἵρεσιν τῶν Μασσαλιανῶν, τῶν δὲ τὰς τῆς γλώττης ἀσέμνους καὶ διηνεκεῖς αἰσχρορρημοσύνας καὶ τοὺς ἀκαίρους καὶ μαινομένους θυμούς, καὶ ἄλλων ἄλλας, προτιμοτέρα πασῶν ἐδόκει τῷ βασιλεῖ τῶν ἀφορισμῶν ἡ ἐκφώνησις, ἣν κατὰ τοῦ βουλησομένου παντὸς ἐκπεφώνηκεν ἐς τὴν πατριαρχικὴν αὐτὸν ἀνακαλεῖσθαι πάλιν ἀξίαν. Καὶ ταῦτα μὲν τοῦτον ἔσχε τὸν τρόπον· ὀλίγαι δ' ἐκεῖθεν παρῆλθον ἡμέραι καὶ διάδοχος γίνεται τοῦ βαθμοῦ Φιλόθεος ὁ Κόκκινος, ἐκ τῆς κατὰ Πείρινθον Ἡρακλείας μετατεθείς. τούς γε μὴν ὑπὲρ τοῦ νεὼ τῆς τοῦ θεοῦ σοφίας ἐλέγχους ἐκείνους ὁ Καντακουζηνὸς αἰσχυνθεὶς ἔρανον πρὸς τῶν Βυζαντίων κελεύει συμφορηθῆναι κατ' ἀξίαν ἑκάστων 3.202 τῶν τε μάλα πλουσίων καὶ μή, καὶ τῶν μᾶλλον ἐνδόξων καὶ μή, καὶ οὕτως ἐν τρισὶ μησὶ καὶ τὸ τῆς ὀροφῆς τοῦ νεὼ λειπόμενον ἐκτετέλεσται. Τίνα δ' ἦν, ὦ καλὲ Ἀγαθάγγελε, ταῦθ' ἃ διὰ κακίας μέγεθος, φειδοῖ τῶν ἀνδρῶν ἐκείνων, τῶν τε λεγόντων φημὶ καὶ τῶν ἀκουόντων, σιωπώσῃ παρέπεμψας γλώττῃ; μηδὲ γὰρ εἶναι δοκεῖ μοι τῶν μήπω γέ σοι λεχθέντων τὰ λεχθέντα μήτε μείζω μήτε μὴν ἀτοπώτερα. ὅμως ἐκλογὴν ποιησάμενος σύ γε κἀκεῖθεν μετρίαν, ἓν ἢ δύο τῶν κουφοτέρων ἀπαγγεῖλαί μοι προθυμήθητι, ὡς μὴ ἀποκναίειν μήτε μακρᾷ σιγῇ τὰς ἡμῶν ὑπονοίας μήτε μακροτέροις λόγοις τὰς ἡμῶν ἀκοάς. Καὶ μὲν δὴ πρῶτον ἔστω σοι, θεία μοι κεφαλή, πρὸς ἀκρόασιν τὸ περὶ τῶν βαρβάρων ἐκείνων, οἳ διηνεκῶς καὶ ὅτε βούλοιντο μετὰ πολλῆς κωμάζουσι τῆς ῥαστώνης εἰς τὰ βασίλεια, μυσταγωγοὶ καὶ πρόεδροι τῆς ἀσεβοῦς θρησκείας ὄντες, καὶ βίον μέν, ὡς φασίν, ἄσκευόν τε καὶ ἄζυγα βόσκοντες, γαστρὶ δὲ πάντων μάλιστα δουλεύοντες καὶ ἀκρατοποσίας ἡττώμενοι, καὶ ὅσα τὸ τῆς ἐπιθυμίας ἀκόλαστον ἀναφλέγει. οὗτοι τοίνυν μελλούσης τῆς ἱερᾶς τελεῖσθαι μυσταγωγίας ἐν τῷ τῶν βασιλείων ἐκτὸς ἱερῷ τεμένει, χοροὺς ἱστῶντες ἐκεῖνοι παρὰ τὰς βασιλείους αὐλὰς ἀντᾴδουσί τε τὴν γυμνικὴν ἐκείνην ὀρχούμενοι ὄρχησιν, καὶ ἀσήμοις κλαγγαῖς τὰς τοῦ Μωάμεδ ἀναβοῶσιν ᾠδὰς καὶ τοὺς ὕμνους, δι' ὧν καὶ ἀνθέλκουσιν πρὸς τὴν ἑαυτῶν μᾶλλον ἀκρόασιν ἢ τὴν τῶν θείων εὐαγγε 3.203 λίων ποτὲ μὲν πάντας ἁπλῶς ποτὲ δ' ἐνίους τῶν ἠθροισμένων ἐκεῖ. τὸ δ' αὐτὸ καὶ περὶ τὴν βασίλειον τράπεζαν δρῶσιν ὡς τὰ πολλὰ μετά γε δὴ κυμβάλων καὶ θυμελικῶν ὀργάνων καὶ ᾀσμάτων, ὁπόσα τοῖς ἀσεβέσιν εἴθισται. Ἓν μὲν δὴ τοῦτο σκιωδῶς εἰρήσθω μοι, δεύτερον δ' ὅτι καὶ διὰ τὸ πολύμοχθόν τε καὶ πολυάσχολον τὰ τῶν βαρβάρων στρατόπεδα διαπεραιοῦσθαι συχνότερον πρὸς Εὐρώπην ἐκ Βιθυνίας ἀπηγορεύκασιν ἤδη, καὶ οὐκέτι καλοῦντι τῷ βασιλεῖ Καντακουζηνῷ προσέχειν ἔφασαν αὖθις τὸν νοῦν· ὅθεν ἀναγκάσθεντα τοῦτον λογάδας ἐκεῖθεν μισθώσασθαί τε καὶ ἅμα γυναιξί τε καὶ τέκνοις εἰς Εὐρώπην μετενεγκεῖν, ὁπόσους ἀποχρήσειν ἔδοξεν εἰς ἐπιτείχισμα καὶ φόβητρον ἀντὶ γοργόνος ἄλλης τοῦ γαμβροῦ Παλαιολόγου, καὶ εἴ τις ἐκείνῳ βούλοιτο συμμαχεῖν ἐκ Τριβαλῶν καὶ Μυσῶν. καὶ αὐτοὺς τῶν ἐν Χερρονήσῳ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

πόλεων ἐνοικίζει τισίν, ὡς καὶ δούλοις διηνεκέσιν ἤδη κεχρῆσθαι παντάπασι τοῖς ἐκεῖ ταλαιπώροις Ῥωμαίοις, τῆς ἐφέσεως συνειληφότας ἐπίκουρον ἤδη καὶ τὸ τοῦ βασιλέως ἐνδόσιμον, ἀφ' ὧν ὡς ἐξ ὁρμητηρίου λοιπὸν ἀσφαλοῦς ἐξιόντες καὶ τὴν ἑξῆς ἀεὶ ληίζονταί τε καὶ ὑποποιοῦνται Θρᾴκην. ἤδη δὲ καὶ ὁ τοῦ Ὑρκανοῦ παῖς ὡς εἰς ἰδίαν ἀποικίαν καὶ πατρίαν γῆν διαβὰς τὸν Ἑλλήσποντον, συνοικεῖν ἐκεῖ τοῖς ὀλίγῳ πρότερον ἐληλυθόσιν ἔκρινε δεῖν ἐκείνοις βαρβάροις. τὰ δ' ἑξῆς ὡς ἥκιστ' ἄδηλα τῶν συνετῶν οὐδέσιν, εἰ 3.204 βούλοιο σύ, σιωπήσομαι· ἀποχρῆναι γὰρ οἶμαι καὶ τὴν τῶν σιωπωμένων συμβάλλειν ἐντεῦθεν ποιότητα λογικωτέραις εἰκασίαις τόν γε συνετὸν ἀκροατήν, εἰ καὶ φρικωδέστερα πέφυκεν ἴσως ὁπόσα ὁ Κάλλιστος Καντακουζηνὸν κατατρέχων ἐς τὸ πάνυ τραχύτατον ἐξηρεύξατο. Καὶ ὁ μὲν Ἀγαθάγγελος τοιαῦτα εἰπὼν καὶ ἀκούσας τὴν εἰωθυῖαν ἐπαλινδρόμει, λάθρᾳ καὶ καθ' ἡσυχίαν οἴκαδε ἀπιών. καὶ ὁ χειμὼν ἐν τούτοις οὔπω μὲν τελέως ἔληγε δ' οὖν. Ἄρτι δὲ τῆς ὥρας ἐφεστηκυίας ἐν ᾗ ψυχαὶ ζωτικαὶ πρὸς ἀναβίωσιν πάσης ἀνίσχουσι γῆς, χλόην ἐνδεδυμέναι παντοδαπὴν καὶ παντοδαποῖς περιηνθισμένην τοῖς χρώμασι, Ματθαίῳ διάδημα περιτίθησιν αὐτοκρατορικὸν ὁ πατὴρ ἐν τῷ Βλαχερνῶν θείῳ τεμένει, Φιλοθέου τοῦ μετὰ Κάλλιστον νεωστὶ πατριάρχου κατὰ τὸ πάλαι κεκρατηκὸς ἔθος τῇ χρείᾳ καθυπουργήσαντος. σκοπὸς δ' ἦν τῷ νέῳ τουτῳὶ διαδήματι ὥστε τὸν υἱὸν συνάρχειν μὲν τῷ πατρὶ διὰ βίου, τελευτήσαντος δ' ἴσως αὐτοῦ διὰ γῆρας μόνον ἐκ διαδοχῆς τὸν υἱὸν αὐτοκρατορικῶς τὰ τῆς βασιλείας διέπειν σκῆπτρα. τοῦ γὰρ γαμβροῦ Παλαιολόγου πᾶσα παντάπασιν κατεψηφίστο λήθη, καὶ θύρα φιλικῆς ὁμονοίας τελέως ἐκέκλειστο. Ἡμέραι μεταξὺ παρερρύησαν οὐ μάλα συχναί, καὶ Ματθαῖος ὁ νέος οὑτοσὶ βασιλεὺς εἰς τὴν ἐγκλείουσαν ταύτην 3.205 ἐμὴν ἀφικνεῖται οἰκίαν, τοῦ πατρὸς βασιλέως κελεύσαντος μέσον γενόμενον πεῖσαι βαδίζειν ἡμᾶς αὖθις εἰς τὰ βασίλεια καὶ διδόναι μὲν τὰς εἰωθυίας τοῖς βασιλεῦσιν ἡμᾶς ὁμιλίας, ἀντιλαμβάνειν δ' ἐκεῖθεν συχνὰς καὶ ποικίλας αὖ τὰς τῶν ἀντιδόσεων ἀμοιβάς. ἀλλ' ἐμοῦ τὴν παράκλησιν ταυτηνὶ μηδαμῇ μηδ' ἐκ πρώτης προσηκαμένου φωνῆς, τὴν γλῶτταν εὐθὺς ἐκεῖνος ἑτέρωσε μετερρύθμιζε. καὶ "εἰ μὲν ἐφ' ἡμῖν" φησὶν "εἶναι λογίζῃ τοῦ βίου τὰ πράγματα, καὶ τῇ γε ἡμετέρᾳ τὰς ἡνίας γνώμῃ παρέχεις τοῦ τοιῶσδε καὶ μὴ καὶ ἄλλως κινεῖσθαι ταυτί, σκοπεῖν σε χρεὼν μὴ καὶ σεαυτόν, μεθ' ὧν ἑτέρων ἀδικεῖς, λανθάνῃς ὁμοίως αὐτὸς ἀδικῶν, καὶ τῆς σῆς πολλοὺς ὁμιλίας μετὰ τῆς συμφυοῦς ἀποστερῶν ὠφελείας, καὶ σαυτὸν αὐτὸς φανῇς ὁμοῦ ζημιῶν, δόξης θείας ἅμα καὶ ἀνθρωπίνης ἔκ γε τοῦ προφανοῦς ἀποστερῶν ἑκοντί. τά τε γὰρ ἄλλα καὶ δὴ καὶ τὸν ἐμὸν ὁρῶ πατέρα καὶ βασιλέα, σύν γε μητρί μου τῇ βασιλίδι, πρὸς τοῦτο ὃ μεταξὺ συμπεπτωκέναι συμπέπτωκε μετάμελον σχόντας οὐ μάλα μικρὸν οὐδὲ πρὸς τὸ περιφρονούμενον ὑπορρέοντα. μέμνηνται γάρ σου σὺν θαύματι, καὶ διὰ στόματος οὐδαμῇ διαλείπουσιν ἰδίᾳ καὶ δημοσίᾳ φέρειν ἑκάτεροι τὰ σὰ καὶ ἀνακαλεῖσθαι συχνά, καὶ μάλιστα νῦν ὅτε συχνοῖς περιαντλεῖσθαι συμβαίνει βιαίοις πραγμάτων κύμασι καὶ σάλῳ τύχης αὐτούς· καὶ οἷος σὺ δεομένους, εἴπερ ποθ', ὁμιλητοῦ πρὸς παραμυθίαν, ζεφύρου φάναι τινὸς ἡδονῆς αὐτουργοῦ, καὶ χορηγεῖν παρε 3.206 σκευασμένους χαιρούσῃ γνώμῃ χρήματα καὶ δόξαν σὺν ὅσαις προσήκουσι δεξιώσεις τιμαῖς συνοικοῦσαι παντοδαπαῖς, καὶ οἷαι σοὶ πρὸς βουλήσεως εἶεν ἄν. οὐ γὰρ ἀνεμέσητον μὴ ἐς τὸ δέον κεχρῆσθαί σε τῷ δέοντι. ἐξὸν γὰρ εὐδαιμονεῖν τε καὶ χαίρειν, σὺ δ' ἐθελοντὴς ἀφανείᾳ καὶ λύπῃ συντήκεις σαυτόν, καὶ οὐδαμῇ γε ἐρρῶσθαι δίδως πρὸς τὸ νῆφον αὖθις τὸν σὸν λογισμόν. εἰ δὲ τύχη καὶ τὸ αὐτόματον ἄγει τὰ καθ' ἡμᾶς καὶ τὴν ἡμῶν ἐξ ἀφανοῦς ἐπιτίθεται τυραννοῦσα θέλησιν, καὶ ἄκοντες δρῶμεν καὶ πάσχομεν ὑπ' ἀνάγκης ὁπόσα τῶν ἐκείνης ῥοθίων ὁ κλύδων ἐπάγει, σοὶ μὲν οὐκ ἐγκαλεῖν οὐδὲν ἔτι οὐδ' ὅρους κινεῖν ὑπεζευγμένους ἀνάγκαις βουλήσομαι τοῦ λοιποῦ, ἀλλ' ὑπόψομαι καὶ φυλάξομαι τὴν ἀδράστειαν, τοὐντεῦθεν ὡς εἰκὸς ἀφοσιούμενος



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τόλμημα. πυθέσθαι δ' οὖν ὅμως βούλομαι πρὸς τῆς σῆς σοφίας, ὦ βέλτιστε, τἀκριβές· εἰ γὰρ τοῦτο κρατεῖν με πείσειας, οὐκ ἂν φθάνοις βαθεῖάν μοι χαριζόμενος ἡδονήν, μακρὰς ἐν βραχεῖ τῆς ἐμῆς ἀποσφενδονῶν καὶ ἀπορραπίζων ψυχῆς ἀπορίας, αἳ δὴ διὰ μακροῦ τὴν τῆς ἐμῆς διανοίας ἑστίαν σφοδρῶς κατασχοῦσαι, νῦν μὲν ἐπ' ἄπειρον αὔξουσι τοὺς τῶν ἐμῶν φροντίδων τε καὶ λογισμῶν ἀναριθμήτους ἀριθμούς, καὶ τάς γε δὴ συνθέσεις τε καὶ ἀντιθέσεις σφῶν καὶ διαθέσεις ἄλλοτ' ἄλλως παρεισκυκλοῦσαι, νῦν δ' ἐπ' ἄπειρον τέμνουσί μοι καὶ διαιροῦσι τὸ μέγεθος τῆς αὐθαιρέτου λύπης, 3.207 ἣν αὐτὸς ἐμαυτῷ κατηγγύησα, λαθὼν οὐκ οἶδ' ὅπως ἐμαυτὸν καὶ τουτὶ τὸ τῆς βασιλείας ὑποδεξάμενος σχῆμα, πῶς μὲν ἑκὼν τοῖς πατρίοις ὑποταττόμενος πόθοις, πῶς δ' οὐ μάλα ἑκὼν διά γε τοὺς περιρρέοντάς τε καὶ περιστοιχίζοντας τέως ἡμᾶς κομιδῇ κυκεῶνας πραγμάτων, ὡς εἴρηται. εἰσὶ γάρ, εἰσὶν ἔνιοι, μᾶλλον δ' οὐκ ἔνιοι, ὅτι μὴ πλὴν ἐνίων ἅπαντες Ῥωμαίων δῆμοι, οἳ καὶ τοὐμῷ τὰς αἰτίας τῶν Ῥωμαϊκῶν συμφορῶν ἀναρτῶσι πατρί, ὅσαι χαλεπῶς ἀνερρώγεσαν νῦν. ἤδη δὲ καὶ εἰς δημόσιον ἐρρύη θεάτρον ἡ κατηγορία, καὶ ἔθνη πάντα βαρβάρων καὶ γένη παντοῖα μεστὰς μὲν ἀγυιὰς μεστὰς δ' ἀγορὰς καὶ πλατείας τῆς φήμης ποιοῦσιν, ἐπιρρωννύντες αὐτὴν ἀεὶ καὶ πᾶσαν ἐπάγοντες λοιδορίαν, δικαίου πέρι καὶ ἀδίκου μηδὲν ἐξετάζειν εἰδότες, μηδ' εἰς νοῦν βαλλόμενοι ὡς ἐξὸν τῷ πατρί μου, δι' ἃς ἅπαντες ἴσασιν αἰτίας, Παλαιολόγον αὐτὸν ἀνελεῖν ὁμοῦ τῇ μητρί, ὃ δὲ καὶ γαμβρὸν ἐπὶ τῇ ἐμῇ προσείληφεν ἀδελφῇ καὶ ἡμῶν προτετίμηκε τῶν υἱέων. νῦν δ' ἐπιβουλεύοντα βλέποντες ἐκεῖνον καὶ πᾶσαν μηχανὴν κινοῦντα καθ' ἡμῶν, καὶ δέον μισεῖν, οἳ δ' ἐκείνῳ μὲν προστίθενται πάσῃ γλώσσῃ τε καὶ γνώμῃ, τὸν δ' ἐμὸν ἀκρίτως μισοῦσι πατέρα, ὅτ' ἀναγκαζόμενος εἰς βοήθειαν προσκαλεῖται βαρβάρους, ἀμυνόμενος διὰ γαμβροῦ γαμβρὸν ἀλλοφύλου μὲν ὁμόφυλον εὐγνώμονος δ' ἀγνώμονα, καὶ ἅμα ἐπεξιὼν κακονοίας καὶ ἀβουλίας τοῖς ὑπηκόοις. καὶ τῷδε τῷ τρόπῳ τὴν θείαν ἀναιροῦντες οὐκ ἴσασι πρόνοιαν, καὶ τὴν ἐπιπο 3.208 ρευομένην τοῖς πράγμασιν ἀθετοῦντες ἀνάγκην τῆς τύχης. πάντων γὰρ ὡς εἰκὸς προεγνωσμένων θεῷ, καὶ πᾶσι πεπιστευμένου μήπω μηδενί τῳ τρόπῳ τὴν θείαν ἐξεῖναι διαψευσθῆναι πρόνοιαν, ἐξ ἀνάγκης ἀκολουθεῖ καὶ πᾶν τὰ τῇ θείᾳ προεγνωσμένον προνοίᾳ πεπράξεσθαι καθὰ καὶ προέγνωσται. οἷς δ' οὐχ οὕτω δόξης ἔχειν συμβαίνει, οὐκ ἂν φθάνοιεν οὗτοι πάντες ἐπ' ἀβεβαίου καὶ πλανωμένης τιθέμενοι δόξης, ὡς ἔγωγε οἶμαι, τοὺς τῆς θείας θεμελίους προνοίας, ἐφ' ὅσα τὸν πάντα χρόνον προβαίνει τε καὶ προβήσεται τοῦ βεβαιώσοντος οὐκ ὄντος ἐρείσματος. οἷς γὰρ οὐκ ἔστιν ἐξ ἀνάγκης βεβαίαν κεκτῆσθαι τὴν ἔκβασιν ὁποῖά ποτ' ἂν εἴη, ταῦτ' ἀόριστα ὄντα εἰκότως ἂν οὐδὲ προγινώσκεσθαι δυνηθείη ποτέ. καὶ πάντες εὐθὺς καὶ συλλήβδην εἰπεῖν διαβέβληνται λόγοι προφητῶν ἱερῶν, καὶ εἴ τινες εἶεν ἐκ Δωδώνης ἅμα καὶ Δελφικοῦ τρίποδος τοῖς φιλοπευστοῦσιν ὁπωσποτὲ τῶν ἀποβησομένων πέρι προθεσπίζοντες, οὐδαμῇ τῆς ἀοριστίας ἐχούσης ὅροις ἐπιστήμης ἐγκλείεσθαι. καὶ οὕτως ἐπ' αὐτοφώρῳ τὴν θείαν ἁλίσκονται διαβάλλοντες πρόνοιαν· καὶ τὸ ἄτοπον ὁπόσον καὶ οἷον, πολλοῦ μέν τ' ἂν δεήσειε μὴ καὶ τῶν ἀφελεστέρων πᾶς τις, καὶ εἴ τις εἴη τῶν πάνυ βαναύσων καὶ ἀγοραίων, σαφῶς ἐννοεῖν. τούτου δ' οὑτωσὶ πρὸς ἀτόπους ἐσχατίας τε καὶ φάραγγας ἐωσμένου, πολλὴ ἂν εἴη ῥαθυμία μὴ ἀρρήκτοις νομίζειν ἀνάγκαις δεσμίους τὰς τῶν γινομένων τε 3.209 καὶ ἀεὶ γενησομένων ἐκβάσεις πορεύεσθαί τε καὶ ἀτεκμάρτοις ἀνθρώπῳ παντὶ δουλεύειν τύχαις. εἰ οὖν οὕτω ταῦτα καὶ τὸ ἐφ' ἡμῖν ἐκ μέσου χωροῦν πρὸς ἀβύσσους κάτεισιν ἀνυπαρξίας πυθμένας, τίς μηχανὴ τὸν ἐμὸν ἐξαιρήσεται πατέρα μὴ δρᾶν τὰ πρὸς τῆς ἀναγκαίας κεκλωσμένα τύχης, καὶ οὕτω μὲν ὡρισμένως προεγνωσμένα θεῷ, οὕτω δ' ὡς προεγνῶσθαι συμπέπτωκε γινόμενα τῇ προνοίᾳ, οὕτω δ' αὖ γινωσκόμενα καθάπερ ὥρισταί τε καὶ γίνεσθαι πέφυκε πρὸς τῆς ἄνω προνοίας, ταὐτὸν δ' εἰπεῖν τῆς ἀναγκαίας ἀγόμενα τύχης. αὐτόματον γὰρ καὶ τύχην



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τὴν θείαν καλεῖσθαι πρόνοιαν ἀκώλυτον ἠκηκόειν ὑπάρχειν μὴ μόνον τοῖς σοφωτέροις Ἑλλήνων παισίν, ἀλλὰ καὶ τῶν ἡμετέρων ἐνίοις. δέον οὖν ἐπαινεῖν ὅτι τῇ θείᾳ προνοίᾳ καὶ ὁ ἐμὸς ἀγόμενος πατήρ, καὶ ἀφύκτῳ δουλεύων ἀνάγκῃ, βαρβάροις μὲν συγγενέσι δ' οὖν καὶ φίλοις ἐπιτρέπει τὰς τῶν ἅπαξ ὑπὸ θεοῦ κατεψηφισμένων εἰς ὄλεθρον σφαγὰς καὶ τὰ λάφυρα καὶ τὰς παντοίας καὶ πολυτρόπους ἀπαγωγάς, οἳ δὲ καὶ ἄχθονται καὶ προσονειδίζουσι καὶ μισοῦσι, καὶ τὴν μὲν αὐτοῦ δι' εὐχῆς τελοῦσι ποιοῦντες ἀπαλλαγήν, τὴν δὲ τοῦ γαμβροῦ Παλαιολόγου μάλα σφοδρῶς ἐφίενται καὶ ἀνακαλοῦνται ἀρχήν, καὶ τὰς αὐτοῦ καὶ αὐτοὶ συνεργοῦντες οὐκ ἀπολείπουσιν, ὅσον τὸ ἐφικτόν, ἐπιβουλὰς καθ' ἡμῶν, καὶ ταῦτα διηνεκῶς ᾀδομένων ἐκ πάνυ πολλῶν καὶ παλαιοτέρων τῶν χρόνων ἀκούοντες τῶν τε ἄλλων κακῶν, καὶ ὡς πεπρωμένον εἴη τῷ ἔθνει τουτῳὶ χειρωθῆναι Ῥωμαίων ἅπασαν χώραν καὶ πόλιν, καὶ μέχρις αὐτῶν ἀγυιῶν 3.210 τε καὶ πλατειῶν καὶ στοῶν εἰσδραμεῖν τῆς Βυζαντίων μεγίστης πόλεως." Ματθαίου μὲν οὖν ἐκείνου τοιαῦτα συνείρειν ἐθέλοντος ἕτερα πλείω καὶ ἄλλα ἐπ' ἄλλοις ὁμόστοιχα, διακόψας τοῦ λόγου τὸν δρόμον ἐγὼ τοιάδε φημὶ πρὸς αὐτόν. "σὺ δὲ βουλόμενος τὴν θείαν συνιστᾶν πρόνοιαν, ὡς δοκεῖ σοι τὸ σχῆμα τοῦ λόγου, λέληθας ἀναιρῶν αὐτὴν καὶ τἀναντία δρῶν προφανῶς τῆς βουλήσεως, καὶ τὸν πατέρα τὸν σὸν ἀπαλλάττειν μακρῶν ἐπειγόμενος ἐγκλημάτων πεφώρασαι καὶ σαυτὸν αὐτόχρημα τοῖς τῶν αὐτοῦ συγκαταδύων ἐγκλημάτων ὕδασί τε καὶ ῥοθίοις. μηδὲ γὰρ τὰς τῶν ὄντων τε καὶ γινομένων αἰτίας εἰδώς, μηδὲ τρόπους αἰτιατῶν διαιρεῖν ἐπιστάμενος, μηδὲ τούτων ἕκαστα τῷ προσήκοντι διανέμειν κανόνι, οὓς ἂν ἐθέλῃς ἐκφεύγειν κρημνούς, τούτοις ἐκ τοῦ ῥᾷστου καὶ μὴ θέλων ἐμπίπτεις. οὐ γὰρ παρὰ τοῦτο τοῖς δρῶσι γίνεται τὰ μοχθηρά τε καὶ ἀποτρόπαια, ὅτι πρὶν γενέσθαι προέγνωσται τῷ θεῷ, οὐδ' αἰτία τῶν γινομένων κακῶν ἡ πρόγνωσις· ἀλλ' ὅτι γενήσεσθαι ἤμελλε, διὰ τοῦτο προέγνωσται τῷ θεῷ. μᾶλλον δ', εἰ τἀσφαλέστερα λέγειν χρεὼν ἐνταυθοῖ, ἔγνωσται θεῷ καὶ οὐδαμῇ προέγνωσται. ἐπ' ἴσης γὰρ τοῖς ἐνεστῶσι θεὸς ὁρᾷ τὰ ἡμῖν μέλλοντα, ἐν τῷ τῆς ἰδίας ἁπλότητος ἱσταμένῳ μένων τὸν πάντα αἰῶνα, κἀν τῷ μηδαμῇ ποτὲ παραλλάττοντι ἐνεστῶτι ἱστάμενος. καὶ ὁρῶν οὐ βίᾳ μεταρρυθμίζει τινὶ ὃ τὴν ἀρχὴν τοῖς ἀνθρωπίνοις θελήμασιν ἔδωκεν 3.211 αὐτεξούσιον. ὅμοιον γὰρ ἂν εἴη ὥσπερ ἂν εἴ τις βαδίζοντά τινα βλέπων ἐξαγγέλλοι τῇ γλώττῃ. τὸν μὲν λέγοντα ἀληθεύειν ἀνάγκη, οὐ μέντοι γε παρὰ τὸ ἀληθεύειν τὸν λέγοντα ὁ βαδίζων βαδίζει. ἀλλὰ τοὔμπαλιν διότι ὁ βαδίζων βαδίζειν βεβούληται, ἀληθεύειν ἐξ ἀνάγκης συμβαίνει τὸν λέγοντα. καὶ δίδωσι μὲν τὴν αἰτίαν ὁ βαδίζων τοῦ γε τὸν λέγοντα ἀληθεύειν, τὴν δὲ τοῦ αἰτιατοῦ χώραν δεύτερος ἐπιὼν ὁ λόγος λαμβάνει. καὶ δοκεῖ μὲν κατὰ μετουσίαν τινὰ καὶ ὁ λόγος ὡς ἑπόμενον ἴνδαλμα τὴν τοῦ ἀληθεύειν ἔχειν ὅπως ποτ' ἀνάγκην, οὐκ ἔχει δ' οὖν· οὐδὲ γὰρ οὐδεμίαν ἀνάγκην οὔθ' ὁ τοῦ λέγοντος λόγος οὔθ' ὁ τοῦ βλέποντος ὀφθαλμὸς τῇ τοῦ βαδίζοντος ἐπήνεγκεν ἐλευθερίᾳ κατὰ τὴν τοῦ βαδίζειν ἀδέσποτον θέλησιν. καὶ εἰ δοκεῖ γυμναστέον αὖθις τὸν λόγον ἐφ' ἑτέρου τινὸς ὑποδείγματος τελεώτερον, κείσθω γάρ τινα τήμερον τρίπηχυ ξύλον φέρε εἰπεῖν εἰς ῥάβδου χρείαν ἐξ αὐτοσχεδίου θελήσεως οἴκοθεν ἀποξέειν μεταποιοῦντα, μηδενὸς τῶν ἁπάντων μηδὲν ἐπιτάττοντος ἔξωθεν ὅσοι παριόντες ὁρῶσιν. οὐκ ἂν οὖν οὐδ' αὐτός, οἶμαι, ἀμφισβητήσειας μὴ κατ' ἀθρόαν τοὺς παριόντας περίληψιν ὁρᾶν μὲν καὶ γινώσκειν εὐθὺς ὁπόση καὶ οἵα μῆκος ἅμα καὶ πλάτος ἡ ῥάβδος, μηδεμίαν δ' ἐπάγειν ἀνάγκην τῇ πράξει τὴν θέαν. εἰ οὖν καὶ θεὸς ὡς ἐνεστῶτα πάντ' ἐπ' ἴσης ὁρᾷ τά τε δὴ γινόμενα καὶ γενησόμενα, τί τις ἂν ἔχοι λέγειν ὡς ἡ τοῦ θεοῦ θεωρία καὶ γνῶσις ἀνάγκην ἐπάγει τινὰ τοῖς ἐλεύθερον τελεῖσθαι καὶ 3.212 ἀδέσποτον πεφυκόσι τὸν τρόπον; ὥσπερ γὰρ οὐδὲ τῶν ἀνθρώπων οὐδεμία τις τῶν ἁπάντων, ὡς εἴρηται, ὄψις ἀνάγκην, οἷς ἂν ἐκ τοῦ παρήκοντος γινομένοις ὁρᾷ, μηδαμῇ ἐπάγει βιαίαν οὐδεμίαν,



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

οὕτως οὐδ' ἡ τοῦ θεοῦ εἴτε πρόγνωσιν λέγειν χρεὼν εἴτε γνῶσιν, οἷς ὁρᾷ γιγνομένοις, οὐ βίαιον ἐπάγει οὐδέσιν οὐδέν, οὐδ' ἀνάγκη δουλοῖ τὴν ἅπαξ ὑπ' αὐτοῦ δεδομένην ἐλευθερίαν τοῖς πράγμασιν. ἐπ' ἴσης γὰρ ὁ θεὸς ὁρᾷ τὰ γινόμενά τε καὶ γενησόμενα, καὶ οὐδὲν μᾶλλον αὐτῷ παρὰ θάτερον θάτερον, ἐν τῇ ἁπλότητι μένων ἐπ' ἴσης αὐτὸς τοῦ σφετέρου διηνεκῶς ἐνεστῶτος· καὶ ὁμοίως ἀεὶ τὸ δεδομένον ἑκάστοις ἐνδίδωσιν αὐτεξούσιον. διὸ καὶ οὐδὲν μᾶλλον, ὡς εἴρηται, φαίης ἂν τὸν θεὸν προορᾶν τε καὶ προγινώσκειν ἢ ὁρᾶν καὶ γινώσκειν, τοῦ χρονικοῦ παρῳχηκότος ἅμα καὶ μέλλοντος ἑνί γε τῷ τρόπῳ τελέως ἐντεῦθεν ἐξωθουμένου καὶ χώραν αὐτῷ προσήκουσαν οὐδεμίαν οὐδαμῇ ἐφευρίσκοντος. Τί τοίνυν ἐς τὸ ἀθῶον αὐτὸς παρεξάγεις τὰ τοῦ πατρὸς ἐγκλήματα, σφαλερᾶς διανοίας εὔφημόν τινα τὴν ἀποστροφὴν ἀντιμηχανώμενος, καὶ λόγοις ἀπατηλοῖς πρὸς τὸ βουλόμενον σπεύδεις μετατιθέναι ὧν τὴν κόλασιν ἔργοις ἐκεῖνος ὑφέξει τῷ βλέποντι καὶ κρινοῦντι θεῷ. φυγὰς γὰρ ἐθελοντὴς τοῦ θεοῦ γεγονώς, καὶ πόθῳ προσκαίρου τύχης καὶ δόξης τοῦ θείου φωτὸς ἐκείνου ἀπερρωγώς, παρ' ὅσον ἐπίδοξον ὄνομα διὰ γῆς ἐσπούδακε σπείρειν, παρὰ τοσοῦτον ἄδοξον στάχυν 3.213 ἀεὶ θερίζει, δι' ἀβουλίαν ἀεὶ τοῦ βελτίονος ἀπορραπιζόμενος· καὶ ἃ διώκειν εἵλετο νομίσας εἶναι χρηστά, πάντων ἐκπέπτωκεν ἄρδην, ὑφ' ἧς ἐλάτρευε διωκόμενος τύχης. καὶ ὅθεν εὐδαιμονέστατος πάντων ᾠήθη γίνεσθαι βασιλέων, ἐκεῖθεν ἡ ἀντίπαλος παραδῦσα ῥύμη τῆς τύχης αὐτοῦ γυμνὸν παντὶ τῷ τοῦ βίου θεάτρῳ καὶ κόσμῳ προδείκνυσι μὴ μόνον τοῦ μόνου θεοῦ, ἀλλὰ καὶ ἧσπερ ἐσπούδακε δόξης προσκαίρου τυχεῖν. ἐπ' οὐδεμιᾶς γὰρ βεβαίως ἑστήξει κρηπῖδος κλῆρος δόξης οὐδεὶς ὅς τε θεοῦ ἀποπεφοίτηκε καὶ ὃν τὸ τῆς τύχης ἐχορήγησεν ἄστατον. δυοῖν γὰρ ἑπομένων τῇ τῆς προσκαίρου τύχης εὐκληρίᾳ κακῶν, ἢ καὶ ἄμφω περιχεῖται τοῖς ἀθλίοις ἐναλλὰξ ὁπόσοι ταύτην ἀμφιέννυνται, ἢ δυοῖν θάτερον. ἢ γὰρ οἶδε τὸ τῆς τύχης ἄστατον, καὶ δεδιέναι τὴν αἰφνίδιον ἀνάγκη μεταβολὴν ἀεί, καὶ τῷ συνεχεῖ τοῦ δέους εὐδαιμονεῖν ἀσφαλῶς μηδαμῇ συγχωρεῖσθαι, καὶ παρούσης μὲν λυπεῖσθαι διὰ τὴν τῆς ἀποβολῆς ἐλπίδα, ῥυείσης δ' αὖ λυπεῖσθαι διὰ τὴν ἐναπομένουσαν μνήμην καὶ τήν γε δὴ τῆς ἀναλήψεως ἀπόγνωσιν· ἢ οὐκ οἶδε, καὶ μὴ εἰδὼς οὐδ' εὐδαίμων. παροῦσα μὲν γὰρ ἡδονὴν οὐκ ἔχει τουτῳῒ κεκτημένῳ· καὶ πῶς ἂν εἴη εὐδαίμων τὴν αἴσθησιν οὐκ ἔχων ὧν κεκτῆσθαι δοκεῖ; ἂν δ' ὀψὲ καὶ τὸ τῆς φύσεως ἴδιον ἐπενέγκῃ, λέγω δὴ τὴν μεταβολὴν ἑαυτῆς, τῷ τῆς αἰφνιδίου ἐκπλήξεως ὑπερβάλλοντι συνανεῖλεν ἐνίοτε καὶ τὸ ζῆν. καὶ προλέλοιπε μὲν αὐτὸν εὐθὺς ὃ προλιπεῖν μὲν οὐκ ἦν αὐτῷ 3.214 βουλομένῳ, καταλέλειπται δ' αὐτὸς οὔθ' ὡς καταλελεῖφθαι νενόμικεν οὔθ' ὡς βιοῦν προῄρηται. τοιαῦτα γὰρ τὰ τῶν χρονικῶν πραγμάτων ἐγκύκλια παίγνια καὶ οἱ τῆς τύχης γέλωτες, σκιὰ μὴ κρατεῖσθαι πεφυκυῖα, καὶ ἀνούσιον ὄνομα ταῖς τῶν μικρολόγων καὶ μικροψύχων ἐπιπλανώμενον φαντασίαις. διὸ καὶ ῥᾷστα μυρίοις ἀναμοχλεύεται κύβοις μεταβολῶν ἀτεκμάρτων. καὶ ὁ σφόδρα θέλων αὐτῇ παραμένειν τοῦ μένειν ἀσφαλὴς ἀποσφενδονᾶται ῥᾳδίως· ὁ δὲ ταύτης μὲν ἐθελοντὴς ἐκχωρῶν, θεῷ δὲ τῷ τῶν καλῶν ὡς ἀληθῶς χορηγῷ προσέχων τὸν νοῦν, εὐσταλὴς τὴν τοῦ βίου παρατρέχων θάλασσαν ἔφεδρον ἐπίβουλον οὐδὲ λῃστὴν φοβήσεται πάντων οὐδένα ποτέ. Καὶ ἵνα σε ἐς τὸ πρότερον ἴχνος ἐκείνου τοῦ ὑποδείγματος αὖθις ἀναγαγὼν κατακλείσω τὸν λόγον, δεδειχὼς ὡς ἄνθρωποι τῶν ἀνθρωπίνων αἴτιοι γίνονται συμφορῶν καὶ οὐχ ὁ θεὸς οὐδ' ἡ αὐτοῦ πρόγνωσις, οὐδ' ἀνάγκη τις τυραννεῖ τοῦ βίου τοὺς οἴακας, ἀλλ' ἑκούσιον θέλημα τοὺς κακοὺς εἰς κακὰ παραπέμπει, προσέχειν τοῖς λεγομένοις χρεών. καθάπερ γάρ, εἴ τις μοχθηροτέρᾳ μετὰ τοῦ πλείονος χρῷτο διαίτῃ καὶ ἀπᾴδουσαν τῷ γαστρὶ συμφοροίη τροφήν, ἀνάγκη νοσεῖν καὶ διαφόρους καὶ ἄλλας ἐπ' ἄλλαις ἀλγηδόνας διηνεκῶς ὑπομένειν, καὶ τὸ αἴτιον πλὴν τῆς τοῦ πάσχοντος γνώμης καὶ προαιρέσεως οὔτε τῇ τροφῇ προστρίψειεν ἄν τις δικαίως οὔτ' 3.215 ἀνθρώπων οὐδενί, οὐ μέντ' ἂν οὐδὲ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ταῖς τῶν ὁρώντων προρρήσεσι καὶ προγνώσεσιν, εἴ τινες εἶεν ἰατροὶ καλῶς ἐκ τῆς ἀκαίρου τροφῆς ἐκείνης στοχαζόμενοι καὶ προαναφωνοῦντες τῷ μὲν τὴν ἀκόλουθον νόσον τῷ δὲ τὸν ἑπόμενον θάνατον, καὶ ἀνάγκην οὐδεμίαν ἐπήνεγκεν οὔτε τοῖς νοσήμασιν ἐκείνοις οὔτε τῷ θανάτῳ πρόρρησις καὶ πρόγνωσις τοῦ συνετῶς ὁρῶντος ἰατροῦ, οὕτως οὐδ' ἡ τοῦ θεοῦ πρόγνωσις ἀνάγκῃ συνωθεῖ τοὺς ἁμαρτάνοντας εἰς τὸ ἁμαρτάνειν, οὐδ' ἁμαρτάνοντας αὖ παντοίοις ἐκ παντοίων καὶ ποικίλοις ἐκ ποικίλων δεινοῖς περιπίπτειν ἀμοιβαδὸν καὶ οἷον πρὸς πάνυ δυσδιεξόδευτον ἐκπονεῖσθαι λαβύρινθον τῶν τε ἐνταῦθα πραγμάτων καὶ τῶν διὰ τὰς ἐκεῖθεν ἡτοιμασμένας κολάσεις πληττομένων ἀεὶ λογισμῶν. ἀνάγκη μὲν γὰρ τὰ ἐσόμενα προγινώσκεσθαι τῷ τὰ πάνθ' ὡς ἐνεστῶτα βλέποντι θεῷ, οὐκ ἀνάγκη δ' αἰτίαν ἡγεῖσθαι κακῶν τὴν αὐτοῦ πρόγνωσιν. καὶ εἴ τι δ' ἐν τοῖς τῶν ἀλόγων ζώων σπλάγχνοις ἰχνηλατοῦσι παῖδες Χαλδαίων, ἐπεὶ καὶ περὶ τοιούτων εἰρήκεις, καὶ εἴ τις δ' αὖ ἐκ Δελφικοῦ τρίποδος ὁρμώμενος λόγος πρὸς μελλόντων ἔρρωται πρόγνωσιν, στοχαστικαὶ καὶ ταῦτα δαιμόνων εἰσὶ προρρήσεις, ἀθροιζόντων τὸ μέλλον ἔκ γε τῆς τῶν ἐρωτώντων διαίτης καὶ τῆς τοῦ βίου αἱρέσεως. καὶ οὔτ' ἀνάγκην εὐθὺς ἐπάγουσι καὶ τοῖς πράγμασιν αἱ στοχαστικαὶ προρρήσεις αὗται, οὔτε τὸ προσαγωγότερον τῆς τῶν δαιμόνων ἀπάτης μεταρρι 3.216 πίζειν δύναται πρὸς τὰ τῶν ἁμαρτιῶν ἀρρωστήματα στερρῶς ἡδρασμένην ψυχὴν ἐν τῷ θείῳ φόβῳ καὶ τῷ τῆς ὑγιείας ταύτης μάλα ἀκραιφνεῖ. καὶ ὥσπερ οὐκ ἂν ἔδει τοῖς ἀνθρώποις ἰατρικῆς, εἰ μὴ ἐνόσουν, οὕτως οὐδὲ μαντικῆς, εἰ μὴ ταῖς σφαλλομέναις ἐγκυβιστῶντες τύχαις ἡμάρτανον, καὶ δεδιότες ἐντεῦθεν τὸ μέλλον ἐρωτᾶν ἠναγκάζοντο τοὺς τὴν στοχαστικὴν διὰ μακρῶν ἀκριβώσαντας τῶν αἰώνων δαίμονας, ἀνθρώπων μὲν μᾶλλον, ἁπάντων δ' εὐστόχους οὐ μάλα μᾶλλον· ἴδοις γὰρ ἂν κἀκείνους τὸ πλεῖστον ὡς ἐν μεταιχμίῳ ῥιπτοῦντας τὸ μάντευμα. τά τε γὰρ ἄλλα καὶ τὸν Ἅλυν, φησί, διαβὰς μεγάλην ἀρχὴν καταλύσεις, οὔθ' ὁποίαν ἀποσαφῶν ἀμφοῖν, οὔθ' ὅτι τῷ ἐρωτῶντι βέβαιον ἡ διάβασις, ἀλλ' εἰ διαβὰς τύχοι. καὶ μυρία τοιαῦτα τοῖς γε σχολάζειν οὐ μάλα ὀκνοῦσιν εὑρίσκοιτο ἄν. Καὶ μή μοι λέγε προγόνων ἁμαρτίας δι' ἃς τῶν κακῶν ἐκεῖθεν ἠργμένων ἥκιστα δύνασθαι τὸν εἱρμὼν ἀναλύειν ἐκεῖνον τοὺς ἀπογόνους, καὶ τὴν ἐκείνου τοῦ ῥεύματος ἀναστέλλειν φοράν τε καὶ δυναστεύουσαν αὐτοκρατορίαν. ἄπαγε· σκῆψις ταῦτα σαθρά. οὐ γὰρ ἄδικος ὁ θεός, ἵνα τὴν ἑτέρων ἔκτισιν ἑτέρωσε παραπέμπῃ καὶ ἄλλων ἄλλοις παρέχῃ κολάσεις ἁπλῶς. ἀλλ' ὅμοιον ἂν εἴη ὥσπερ ἂν εἴ τις φλόγα πυρὸς κατασβέσαι πειρώμενος τἀναντία τοῖς ἔργοις ποιοίη, αὐτός τε ἀντ' ἄλλων σβεστηρίων ἁπάντων φακέλλους φρυγάνων ἐπιτιθεὶς καὶ ἀμφορέας ἐλαίου προσεπιφέρων κατὰ τὸ δαψιλέστερον, καὶ σφόδρα ἄλλους κατόπιν ἰόντας κινοίη τὰ 3.217 ὅμοια δρᾶν, καὶ ἀεὶ τοὺς ἑξῆς· ταχὺ μέντ' ἂν εἰς ἀέρα βαθὺν ἡ τῆς φλογὸς ἀναρριπισθείη κορυφή, ταχύτερον δ' αὖ τὴν κύκλῳ γῆν περιδράμοι αἰθερίου τέως συνεφαπτομένου πνεύματος· οὐ γὰρ ἀνάγκη πῦρ ἐκ μιᾶς τινὸς ἀναστέλλειν οἰκίας, ἀλλ' ἀνάγκη πόλιν ὅλην αὐταῖς οἰκίαις καὶ στοαῖς ἐμπιπρᾶν ἐκ τοῦ ῥᾷστου μετὰ τῶν συνοικούντων. οὕτω δὴ καὶ τοῖς ὀψιγόνοις, εἰ μήτε τὰ πατέρων ἐγκλήματα διορθοῦσθαι πειρῷντο, ἀλλὰ καὶ προσεπαντλεῖν ἀναγκάζοιεν ἄλλοθεν ἄλλους ἄλλα κατόπιν ἁμαρτήμασιν ἁμαρτήματα παλαιοῖς νέα καὶ μακροῖς μέτροις μείζω τε καὶ βαρύτερα, νοσεῖν ἀνάγκη, καὶ κατὰ τὸ ἀνάλογον τοῖς ἐσχάτοις δεινοῖς ἀεὶ περιπίπτειν, καὶ μηδ' ἀναπνεῖν ἐλευθέριον δύνασθαι, ἀλλ' ἐοικέναι πως ἐκείνοις οἳ περιπνευμονίᾳ καὶ ὑδέρῳ συνισχημένοι βαθεῖ βίους ὅλους ἑνὸς θανάτου ῥᾳδίως ἀλλάξαιντ' ἄν. Τί τοίνυν καὶ σὺ μετὰ τοῦ πατρὸς τοὺς τῶν οἰκείων ἁμαρτημάτων Ὀλύμπους καὶ Παρνασοὺς παρατρέχοντες, πᾶσιν ὀφθαλμοῖς ἐς τοὺς προγονικοὺς ὀρόβους ἐμβλέπετε, καὶ οὐκ ἀπάγειν οὐδ' ἐπὶ βραχὺ τὸν νοῦν ἐκεῖθεν βεβούλησθε, οὐδ' ἐπιστρέφειν ὀψὲ καὶ πρὸς ἑαυτούς. ἀρίθμει γάρ, εἰ βούλει, μικρὸν τῶν τῆς οἰήσεως ὑπανιεὶς ὀφρύων, τὰ νέα ταυτὶ καὶ ὑμέτερα, καὶ παρατίθει


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τοῖς τῶν προγόνων παλαιοτέροις ἅπασι· καὶ ὄψει τοσοῦτο βαρύτερα καὶ πολυειδέστερα τὰ ὑμέτερα ὅσον ἡ στείρα καὶ παράλιος ψάμμος ἅπασα πρὸς ἓν ἀθροισθεῖσα βάρος μικροῦ τινὸς ὑπερέχει δίσκου, ὁποίοις πάλαι καὶ οἱ ἐν Ὀλυμπίοις ἐχρῶντο δισκεύοντες τε καὶ τὸ παγκράτιον ἐξασκούμενοι. 3.218 Εἰ δ' αἰσχρὸν τὸ τὰ αἰσχρὰ διανοεῖσθαι, αἰσχρότερον πάντως δήπου πολλῷ τὸ τὰ αἴσχιστα καὶ δύνασθαι καὶ δρᾶν καὶ ἅμα πρὸς δημοσίους ἐκλαλεῖν ἀκοάς. εἰ δὲ τοῦθ' οὕτως, ποῦ λοιπὸν οὐκ ἂν ἀναιδείας ἐλαύνοι, ἐφ' οἷς ἐγκαλύπτονται καὶ τῶν βαναύσων οἱ δυστυχέστεροι, τούτοις τὸν σὸν ἐγκαλλωπίζεσθαι πατέρα, καὶ γυμνῇ βοᾶν τῇ κεφαλῇ Βυζαντίοις ὡς διὰ τὴν ὑμῶν ἀπέχθειαν, τῷ γαμβρῷ προστιθεμένων Παλαιολόγῳ καθ' ἅπασαν γνώμην, πάσης μὲν ἀποκέκλεισθε νῦν μὴ μόνον προόδου καὶ τῆς τῶν ὑμετέρων κομιδῆς ἀσταχύων ἀλλὰ καὶ πάσης χρηστῆς προσδοκίας ἑξῆς, ὄψεσθε δ' οὖν ἐν βραχεῖ καὶ τὸ μέγα καὶ περιβόητον ἄστυ Βυζάντιον τουτοῒ προδεδομένον ὁμοίως ὑπ' ἐμοῦ τῷ τῶν βαρβάρων ἀρχηγῷ πρὸς βασίλειον οἴκησιν, Ὑρκανῷ τῷ γαμβρῷ σὺν ἅπασι τοῖς ὑπ' αὐτῷ βαρβάροις. ὅθεν γυναικῶν μὲν καὶ παίδων ἀλλοτριώσεσθε τὴν ταχίστην, καὶ ἅμα χρημάτων καὶ οἰκιῶν, ὑμεῖς δὲ μαστιγίαι καὶ ἐν Καρὸς δουλεύσετε μοίρᾳ. τοῦτ' ἐκεῖνο ὃ καὶ τῷ Λαέρτου πάλαι Ὀδυσσεῖ ναυαγήσαντι ἐκπεπηδηκὼς ἐπηγγέλλετο Κύκλωψ ἐκεῖνος ὁ τοῦ Ὁμήρου, πύματον δηλαδὴ φυλάξειν ἑαυτῷ τράπεζαν αὐτὸν μετά γε δὴ τὴν τῶν ἀνδρῶν ἐκείνων ἐδωδήν, οὓς θηριῶδες καὶ ὠμοβόρον τηνικαῦτα ὁρῶντος αὐτοῦ πεποίηται δεῖπνον. τί τῆς ἐπαγγελίας ταύτης ἀθλιώτερον ἢ θηριωδέστερον; εἰ οὖν αἴσχιστον τὸν ἐν ἐξουσίᾳ τὰ αἴσχιστα δρᾶν, ἧπου μανίας οὐ μάλα ἐλεύθερον λύκοις τὸ ἐμπιστευθὲν προτιθέναι ποίμνιον εἰς βορὰν ἑκοντὶ τὸν ποιμένα. δέον γὰρ ὑπερμα 3.219 χεῖν καὶ πᾶσι τρόποις τὴν τοῦ ποιμνίου ζητεῖν εὐζωΐαν, ὃ δ' εἰς κακοδαιμονίας ἀνυπερβλήτου μετεσκεύασε πρόφασιν τὴν ποιμαντικὴν δεσποτείαν, καὶ οὐδ' αἰδεῖται τὰς τῆς ἀδίκου ψυχῆς ἐκλαλῶν ἀπορρήτους ὠδῖνας, ἀλλὰ καὶ δόξης ὑπερβολὴν ἑαυτοῦ τὰς Ῥωμαίων ἡγούμενος συμφορὰς δημοσιεύει καὶ ἐγκαυχᾶται. ὅμως καθάπερ οὐδὲν καινὸν οὐδ' ἀνοίκειον ἀνδροφόνῳ μυρίους ἀνόμως ἀνθρώπους πεφονευκότι καὶ πορνείας ἁλῶναι, οὕτως οὐδὲν οὐδὲ τούτῳ καινόν, καθάπαξ τοῦ πεποιηκότος ἀπερρωγότι θεοῦ καὶ τὴν πάτριον ἐξομοσαμένῳ εὐσέβειαν καὶ τοῖς θείοις ἐμπεπαρῳνηκότι κανόσι καὶ νόμοις καὶ πᾶσιν ἱεροῖς ἀδεῶς ἐνυβρίσαντι μυστηρίοις, καὶ ἐν ἀλιτηρίων μοίρᾳ γῆς καὶ θαλάττης ἁπανταχῇ τοὺς εὐσεβείᾳ συντεθραμμένους διασπείραντι, καὶ παντοίοις τοὺς λειπομένους δεσμωτηρίοις ἐμβεβληκότι, καὶ τοῖς τοιούτοις ἐγκαλλωπίζεσθαι ἀδικήμασι, δίκην σειρᾶς ἐξημμένοις ἐκεῖθεν, καὶ τῷ τῆς ὁμοιότητος ῥιπισμῷ πρὸς τὴν τῆς πρώτης κακίας ῥίζαν ἀναπέμπουσι τὸ συγγενές. σὺ δέ μοι λέγε πρὸς ταῦτα τύχην αἰτίαν καὶ πεπρωμένην ἀνάγκῃ τὰ δρώμενα δρῶσαν. πῶς καὶ πόθεν, ἄνθρωπε; ὅμοιον γὰρ ἂν εἴη ὥσπερ ἂν εἴ τις μέσου χειμῶνος γυμνὸς ἐν ὑπαίθροις περινοστῶν αἰτίαν τοῦ ῥίγους ἐτίθει, ἥκιστα μὲν τὴν ἑαυτοῦ γνώμην καὶ θέλησιν, τὴν δ' ἀνάγκην τῆς πεπρωμένης. ἢ γὰρ οὐχ ἡ ἑκάστου παντάπασιν αὐτοδέσποτος θέλησις ἑκάστῳ γίνεται Κλωθὼ καὶ πεπρωμένη, σύστοιχον τῇ ῥίζῃ φύουσα τὸ γεώργιον; ἔπειτά με τῶν οὕτω 3.220 πλάνης ἐχόντων ὁμιλητὴν ἀξιοῖς νῦν προσεληλυθότα γενέσθαι, ὅτε καὶ μυριοπλάσιον δι' εὐχῆς καθεστήκοι μοι μᾶλλον τῆς νῦν ἐχούσης τὴν ἐμοῦ καὶ ὑμῶν μεταξὺ τοπικὴν διάστασιν γίνεσθαι. ἀλλ' ἄπιθι πρὸς θεοῦ, καὶ μή με πρὸς πλείους ἐρέθιζε λόγους· οὐδὲν γὰρ ἐξ ἐμοῦ σοι τῶν κατὰ γνώμην οὔτε λελέξεται οὔτε πεπράξεται. Ματθαῖος μὲν οὖν ὁ νέος ἐκεῖνος βασιλεύς, εἰπὼν μὲν ἃ μήπω πρὸς ἕτερον, ἀκηκοὼς δ' ἃ μήπω πρὸς ἑτέρου, λύπης καὶ ἀθυμίας μεστὸς ἐγεγόνει μὴ κατὰ γνώμην τῆς ὁμιλίας κεχωρηκυίας αὐτῷ. καὶ ἐβούλετο μὲν ἔτι λέγειν τε καὶ ἀκούειν· ἀλλ' ὁρῶν ἐμὲ μηδαμῇ μηδὲ μέχρι βραχέος ἐνδιδόντα τὴν ἀκοὴν ἀπῄει, τὰς τοῦ πατρὸς ὁμοῦ καὶ τῆς μητρὸς ἀφαιρούμενος ἄρδην ἐλπίδας. διὸ καὶ ἀσφαλέστερά τε καὶ βιαιότερα καθ' ἡμῶν τὰ τῆς εἱρκτῆς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

αὖθις ἐγίνετο, τοῦ παλαμικοῦ θιάσου βασκανίας εἵνεκα τὴν τῶν βασιλέων ὀργὴν ἐρεθίσαντός τε καὶ ἀναρριπίσαντος ἐς τὸ ἀκμαιότερον· καὶ ἠνύομεν αὖθις οὑτωσί πως τὸ λοιπὸν τοῦ βίου μηδαμῇ μηδὲν μηδ' ὁθενοῦν μήτ' ἀκούειν μήθ' ὁμιλεῖν ἔχοντες. Βραχεῖαι παρῆλθον ἐκεῖθεν ἡμέραι, καὶ μετὰ δύσιν ἡλίου δευτέρας ὥρας ἄρτι νυκτερινῆς ἀγομένης, καὶ τὰς ἑσπερίους ἐμοῦ συνήθως ᾠδὰς ἀποδιδόντος Χριστῷ τῷ θεῷ περὶ τὸ τοῦ οἴκου ἐνδότερον, ἔνθα καὶ τὴν αὐτοῦ θείαν εἰκόνα μετὰ τῆς αὐτοῦ πανάγνου μητρὸς πάλαι προεστησάμεθα, 3.221 κλόνος ἐξαίφνης ῥαγδαῖος καὶ τῶν πάλαι θαυμαζομένων ἐπὶ μεγέθει ἐνάμιλλος πᾶσαν ἐφ' ἧς ἑστήκαμεν ἐτίναξε γῆν. καὶ τὰ μὲν ἔξω τέως ἠγνόουν πάθη, κεκλεισμένος ὤν, ὅσα τε Βυζάντιον καὶ ὅσα τὰς ἄλλας συμπέπτωκε πόλεις παθεῖν· ὅλον δ' οὖν ἐδόνησε καὶ συνετάραξε μάλα σφοδρῶς τὸν ἡμέτερον οἶκον, ὡς καὶ μέρη πλείω ῥαγέντα χεῖσθαι πρὸς τοὔδαφος ἔνθεν κἀκεῖθεν, καὶ τὰς μὲν ἡμετέρας βίβλους ἐξ ἕδρας ἀναρρηγνυμένας ῥιπτεῖσθαι χαμαί. τό γε μὴν παρατεταμένον τῆς ὥρας καὶ ἡ κατὰ βραχὺ πρὸς τὸ βιαιότερον προκοπὴ τοῦ σεισμοῦ καὶ ἀπαγορεύειν ἤδη με τὸ ζῆν προσηνάγκαζεν, αὐτῷ τε ἐδάφει καὶ αὐτῇ συγκαταδύεσθαι προσδοκήσαντα τῇ οἰκίᾳ. ἐγὼ μὲν οὖν τέως οὐκ ἔχων ὅποι βλέψας τὴν θείαν ἐκείνην διαφυγεῖν ὀργήν, ἥ τε νῦν διὰ τὰς ἡμετέρας ἐπῄει κακίας καὶ ἣ μέλλουσα ταῖς φαινομέναις ταύταις ἀπειλαῖς ἐνεζωγραφεῖτο, ἐς τὸ πεπηγὸς καὶ βεβαίως ἱστάμενον ἐρηρεισμένους τοὺς πόδας ἔχειν ἐφιλονείκουν μέν, ἀντέχειν δ' οὐκ εἶχον πρὸς πάνυ ἀστατοῦσαν γῆν. καὶ ἦν πανταχόθεν ἐμοὶ στενὰ κομιδῇ τὰ τοῦ πράγματος. οὔτω γὰρ ἔχων τῶν ἔνδον κακῶς, οὐδ' ἔξω προβαίνειν ὅλως ἦγον εἰς μνήμην, τοῦτο μὲν ὅτι δέσμιος ἦν καὶ τοὺς πρὸ θυρῶν ἐδεδίειν πανόπτας, τοῦτο δ' ὅτι καὶ τὸ τῆς θείας ἀναπόδραστον ψήφου πάλαι γινώσκων ἦν ὡς οὐδεὶς ἀποδραίη, κἂν ἐν ὑπαίθροις χορεύων τύχῃ τίς, κἂν ἐν εἱρκτῇ συγκλείηται. τῆς γὰρ ἐκείνου βουλήσεως ἐξῆπται τὰ πάντα, ὅσα τε φαίνεται καὶ ὅσα ἐν μυχοῖς θαλαμεύεται ἀπορ 3.222 ρήτοις· καὶ σώζοιτο μὲν ἂν πᾶς τις βουλομένου θεοῦ, καὶ εἰ μυρίας ὁρῴη κύκλῳ περιχεομένας ἐχθρῶν παγίδας καὶ περιιπτάμενα βέλη, φθείροιτο δ' αὖθις ἐκ τοῦ ῥᾴστου συγχωροῦντος ἐκείνου. ὅθεν τὰς χεῖρας ταῖς θείαις προσερείσας εἰκόσιν ἐκείναις, ἐνεκαρτέρουν τῷ τῆς γῆς ἐκείνῳ τιναγμῷ συντινασσόμενος καὶ αὐτός, καὶ λογιζόμενος βέλτιον ἐνταυθοῖ μένοντά με τὸ τέλος ὑπομένειν τοῦ βίου, ἔνθα καὶ τοὺς ὑπὲρ εὐσεβείας ἄθλους ἐς τόδε ἠνύσαμεν, ἢ πρὸς ἀνθρωπίνας ἀποβλέπειν ἐπικουρίας. Ἐπεὶ δ' οὖν ὅμως θεοῦ προνοίᾳ σεσώσμεθα, ἐς τὴν ὑστεραίαν ἤδη καὶ τὰ τῶν ἄλλων ἠκούομεν πάθη. περὶ ὧν προϊόντες ἐροῦμεν πλατύτερον, ἐπεὶ καὶ πλατυτέρας ἐκεῖνα δεῖται τῆς ἱστορίας. 3.223 ΤΟΥ ΑΥΤΟΥ ΝΙΚΗΦΟΡΟΥ ΤΟΥ ΓΡΗΓΟΡΑ ΡΩΜΑΙΚΗΣ ΙΣΤΟΡΙΑΣ ΛΟΓΟΣ ΚΘ. Ἄρτι δὲ τοῦ ἡλίου περὶ τροπὰς γενομένου τὰς φθινο

πωρινὰς ἧκεν αὖθις ἡμῖν ὁ καλὸς Ἀγαθάγγελος, λάθρᾳ κατὰ τὸ εἰωθὸς αὐτῷ μετὰ μέσας που νύκτας, ἐν ᾧ τῆς ὥρας μάλιστά γε ἀλεκτρυόνες τάς τε πτέρυγας τινάσσειν ἄρχονται καὶ τὰς ἐμφύτους ἀνακρούεσθαι σάλπιγγας. καὶ προσειπὼν καὶ καθίσας πρῶτον μὲν ἐπυνθάνετο τὴν αἰτίαν τῆς παρ' ἡμᾶς τοῦ βασιλέως ἀφίξεως, ἔπειτ' ἀρξάμενος καὶ αὐτὸς περὶ τῶν ἔξω διῄει πραγμάτων ἡμῖν ὡς ἦρός τε καὶ θέρους ἔσχε μεταξύ. καὶ πρῶτον περὶ τοῦ γενομένου διῄει σεισμοῦ τά τε ἄλλα καὶ ὡς πολλαχῇ τὰ τῆς πόλεως Βυζαντίων κατενήνεκται τείχη, καὶ πολλαὶ τῶν οἰκιῶν τοὺς οἰκοῦντας κατέχωσαν. τῶν δ' ἐν Χερρονήσῳ πόλεων αἳ μὲν κατέδυσαν αὔτανδροι διαρραγείσης ἐκεῖ καὶ σχισθείσης εὐθὺς τῆς γῆς πολλαχῇ· αἳ δὲ τῶν κύκλῳ διαλυθέντων τειχῶν καὶ τῶν οἰκιῶν ταῖς 3.224 πλείσταις συμπεπτωκότων τοὺς μὲν τῶν οἰκητόρων θανάτῳ 3.224 βιαίῳ παραπεμφθῆναι συμπέπτωκε, τοὺς δὲ τοῖς ἀστυγείτοσιν ἐξ αὐτομάτου προδοθῆναι βαρβάροις αὐθημερόν. τοῦ γὰρ βασιλέως Καντακουζηνοῦ πρὸ ἐτῶν που δυοῖν, ὡς εἴρηται, μίαν τῶν ὀχυρωτέρων ἐκεῖ πόλεων παρασχόντος αὐτοῖς οἰκητήριον, ὥστε ἔχειν αὐτοὺς ἐπιτείχισμα καὶ συμμαχίαν πρόχειρον κατὰ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Παλαιολόγου τοῦ γαμβροῦ, κατὰ χώραν μένειν αὐτοί γε οὐκ ἤνεγκαν τοῦ λοιποῦ, ἀλλὰ κατὰ βραχὺ παρεξιόντες ἀεί, καὶ ληϊζόμενοι τοὺς τῶν ἔγγιστα πόλεων ἀγροὺς ἐφεξῆς αὐτοῖς ἀνδράσι τε καὶ ἀχθοφόροις ζώοις καὶ ποιμνίοις ἅπασι, πᾶσαν ἐν βραχεῖ τὴν τῆς Χερρονήσου μεσόγειον ἱππήλατον σφίσιν αὐτοῖς ἀδεᾶ κατεστήσαντο καὶ στρατόπεδον ὕπαιθρον, οὐδὲν τῆς Ἀσιάτιδος γῆς καὶ πάλαι συνήθους αὐτοῖς ἀπεοικέναι δοκοῦν. διὸ καὶ τὴν ἀπὸ τοῦ σεισμοῦ συμφορὰν ἐκ τοῦ σύνεγγυς θεασάμενοι, τάχιστα εἰσεπήδησαν καὶ μάλα ἀπονητὶ μετὰ τῶν οἰκιῶν κατειλήφασιν ὅσα μὴ κατεχώσθησαν πράγματα. καὶ τοῦ λοιποῦ κατὰ πλῆθος ἀεὶ παρεξιόντες ἐκεῖθεν καὶ πᾶσαν ἤδη τὴν μέχρι πυλῶν Βυζαντίων ἐληΐσαντο τέλεον γῆν καὶ Ῥωμαίοις ἄβατον τὸ παράπαν εἰργάσαντο. φόρους τε ἐπέθεσαν ἁπάσαις ταῖς μεταξὺ πόλεσι, δεκαδάρχους βαρβάρους καὶ ἐπιτρόπους αὐταῖς ἐνοικίσαντες. ἀλλ' οὐδ' οὕτω τὴν κομιδὴν οἱ τάλανες Θρᾷκες 3.225 κερδᾶναι τοῦ θέρους δεδύνηνται, ἀλλ' ἔμειναν αὖθις σχεδὸν ἅπαντες στάχυες δρεπάνης ἀπρόσιτοι διά τε τοὺς βαρεῖς ἐπιστάτας καὶ τὰς ἀλλεπαλλήλους ἐναλλὰξ προλοχίσεις καὶ τὰς ληστρικὰς ἐφόδους τῶν ἄλλοθεν ἄλλων βαρβάρων. διὸ καὶ ὅσοι Ῥωμαίων ἐκεῖθεν λαθεῖν τὰς βαρβαρικὰς ἐδυνήθησαν χεῖρας, μάλα προθύμους φυγάδας ἑαυτοὺς ἐπεπράχεσαν τῆς πατρίδος, καθ' ὁπότερον τῶν τῆς γῆς μερῶν ἐκ τοῦ ῥᾴονος ἑκάστοις συμπέπτωκε φεύγειν, ἁπάσης μὲν ὀρφανοὺς ἀποσκευῆς καὶ αὐτῶν γε τῶν ἀναγκαίων, δακρύων δὲ μακρῶν ἀφορμὴν τοῖς ὁρῶσι καθισταμένους, ὧν τοῖς πλείοσιν ἥκιστα εὔδρομον δι' ἔνδειαν ὂν ἐν ἀλλοτρίᾳ διασπαρῆναι γῇ, τῇ Βυζαντίων βέλτιον ἔδοξε παραμεῖναι. καὶ οἳ μὲν εἰς δουλείαν τῶν ἐνταῦθα δυναμένων ἑαυτοὺς προσκεκυρώκεσαν ἄρτου βραχέος εἵνεκα, οἳ δὲ καὶ πήραν ἐναψάμενοι τὰς ἀγυιὰς περιίασι κατὰ πλῆθος χεῖρας ὀρέγοντες, εἴ τις κέρμα καὶ ὀβολὸν ἐμβάλοιτο πρὸς ἄρτου πορισμόν. εἰς τοσαύτην γε μὴν ἧκε δειλίαν τὰ Βυζαντίων, ὥστε καὶ εἴ τις τῶν ἀγοραίων ἀγριωτέραν δήπουθεν ἀφῇ φωνὴν τῷ παιδὶ ἐπιπλήττων ἴσως, ἢ γυνὴ τοὺς οἰκείους ἀνακαλουμένη σὺν δάκρυσιν αἰχμαλώτους, τεθνάναι μικροῦ τῷ δέει συμβαίνει σφᾶς, ἐν ὑποψίᾳ γινομένους εὐθὺς μὴ οἱ βάρβαροι εἰσεπήδησαν τείχους ἐντός. ὅθεν ὑπερορίους ἔνιοι καὶ αὐτῶν περινοοῦσι πόλεις καὶ νήσους, τὴν ἀλλοδαπὴν τῶν πατρίων ἀνθαιρούμενοι. οὕτω μετέωροι κάθηνται καὶ πεφοβημένοι, καὶ τὸν οἰκεῖον ἔχουσι πρὸ ὀφθαλμῶν ὄλεθρον ἀεί, καὶ μάλιστ' ὅτι καὶ τὰ πρότριτα 3.226 κατενεχθέντα μέρη τῶν κύκλῳ τειχῶν εἰς ἔδαφος ἁπάσης ἔξω κεῖται φροντίδος. Ἄρτι δὲ τῶν χειμερίων πνευμάτων εἰς γαλήνην ἐξ ἀγριότητος μεταβεβλημένων, καὶ τῶν κυμάτων τέως τοῖς αἰγιαλοῖς προσηνῶς σπενδομένων, καὶ τῆς ἠρινῆς ὥρας παρακαλούσης οἱονεὶ τὰς τῆς ἡμέρας πύλας ἀνοίγειν τὸν ἥλιον καὶ πλεονεκτεῖν ἐς ἅμιλλαν τῆς κατόπιν νυκτός, ὅτε θαρρούντως ἤδη καὶ ὁλκάδες ἐκ λιμένων ἀνάγονται καὶ τριήρεις τοὺς ταρσοὺς ἐφοπλίζουσι καὶ ταῖς κώπαις ἑαυτὰς ἐπιτρέπουσιν, ἄρας ὁ βασιλεὺς Ἰωάννης ὁ Παλαιολόγος ἐκ Θεσσαλονίκης τριήρεσί τε καὶ διήρεσι τέτρασι καὶ μονήρεσι πλείοσιν, Λήμνῳ μὲν πρῶτον προσέσχε τῇ νήσῳ, κἀκεῖθεν εἰς Σαμοθρᾴκην καὶ Ἴμβρον διέβη, κἀκεῖθεν εἰς Λέσβον ὁμοίως· καὶ τῇ ἑαυτοῦ παρουσίᾳ βεβαιώσας καὶ ἐπιρρώσας ἅπαντας εἰς τὴν ἑαυτοῦ πίστιν ἀμφιρρεπεῖς τὸ πρότερον ὄντας, τέλος τοῖς Τενεδίοις λιμέσιν ὁρμίζεται. ἔνθα δὴ καὶ μαθὼν ὡς ἐκ πολλοῦ τριήρεσιν ἕνδεκα παρασκευάζοιτο κατ' αὐτοῦ βασιλεὺς ὁ καὶ πενθερός, ἐνταῦθα καὶ αὐτὸς τοῦ λοιποῦ καθῆσθαι κέκρικε δεῖν, καὶ ἁπάσαις ψήφοις ἅμα λογισμῶν καὶ ψυχῆς προθέσεσι τὸν ἐπίπλουν ἐκδέχεσθαι. Τούτων δ' οὕτω χωρούντων, ἔδοξε καὶ Παλαμᾷ τῷ δυσσεβεῖ Πρόκλον τινά, πλασαμένῳ πρόφασιν, ἐς Βυζάντιον ἀφικέσθαι πλείστων ἕνεκα, ἑνὸς μὲν ἵνα Καντακουζηνὸν ἐρε 3.227 θίσῃ τὸν βασιλέα τελείοις ὀλέθροις τοὺς τῆς εὐσεβείας προμάχους ἡμᾶς παραπέμψαι, δεύτερον δ' ἵνα καὶ τὰς αὖθις αὐτῶν νεωστὶ γεγενημένας κατὰ τῆς εὐσεβείας ἑτέρας βίβλους τοῖς Βυζαντίοις προθείη διδασκαλίαν, ἀκόλουθον μὲν τῇ πρὶν ἐκείνῃ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

πολυθεΐᾳ τἀνδρός, καινοφανεστέραν δ' οὖν εἰς κακίας ὑπερβολήν· καὶ τρίτον ἵνα καὶ βασιλεῖ Καντακουζηνῷ τὰς οἰκείας εὐχὰς φυλακτήριον κατὰ Παλαιολόγου χαρίσαιτο τοῦ γαμβροῦ, ἥδιστον καὶ μάλα γέ τοι ποθεινὸν ἐφόδιον αὐτῷ. ἐπεί γε μὴν καὶ ὁλκάδος ἔτυχεν ἐκ τῶν τῆς Θεσσαλονίκης λιμένων μελλούσης ἀνάγεσθαι, φέρων καὶ αὐτὸς ἑαυτὸν ἐς αὐτὴν ἐμβεβλήκει. καὶ μέχρι μὲν τῶν Ἑλλησποντίων πορθμῶν ἐξ οὐρίας ἦγεν αὐτοὺς πελάγιον κατὰ πρύμναν τὸ πνεῦμα φερόμενον· ἐνταῦθα δ' αὐτοῦ λήξαντος καὶ οἷον εἰπεῖν νεκρωθέντος ἐξαίφνης νηνεμία μακρὰ κατέσχε τὸ πέλαγος καὶ ἀκίνητον εἶχε τὴν ὁλκάδα τελέως ἐκείνην, ἐπ' ἀγκύρας μιᾶς ἡμέραιν δυοῖν σαλεύουσαν. τῇ δὲ τρίτῃ προσελάσαντες ἐκ δυοῖν ποταμοῖν, Σκαμάνδρου τε καὶ Σιμόεντος, οἳ πόλεως Ἀσιάτιδος Δαρδάνου καταρρέουσιν ἐφ' ἑκάτερα, πειρατικοῖς τισὶ λέμβοις οἱ βάρβαροι ταύτην αἱροῦσιν ἀναιμωτί. καὶ πρὸς αἰγιαλοὺς καθελκύσαντες ἐκείνους, ἔνθα καὶ τῶν Ὑρκανοῦ τοῦ σατράπου υἱέων τὸν πρεσβύτερον τηνικαῦτα συνηνέχθη παρεῖναι, τὸν τῆς ὁλκάδος ἅπαντα φόρτον ἐκείνου βλέποντος ἐξετίθεσάν τε καὶ ἐξεφόρουν. μεθ' ὧν ἤδη καὶ Παλαμᾶς ἐξήγετο· καὶ γνωσθεὶς ὅστις εἴη τὸν τρόπον καὶ τὴν ἀξίαν, 3.228 οὐ μόνον ἐκ τῆς δαψιλοῦς ἐκείνης ὑλαίας ἀποσκευῆς, ἀλλὰ κἀξ ὧν ἐν τοῖς κόλποις ἔκρυπτεν ἀργύρου τε καὶ χρυσοῦ νομισμάτων παμπόλλων, πολλοῖς εὐθὺς καὶ πρὸς τῶν βαρβάρων ἐβάλλετο τοῖς σκώμμασι καὶ πολλῆς τὰ ὦτα ἐμπέπλησται χλεύης, λεγόντων ὡς διδάσκειν ὀφείλων ἑτέρους, ἄνθρωπε, κατὰ τὴν τῶν σῶν διδασκάλων νομοθεσίαν τὸν ἄσκευόν τε καὶ ἄχαλκον βίον, ἔργοις αὐτοῖς αὐτὸς τήν τε τῆς σῆς ἀνακαλύπτεις ψυχῆς μοχθηρίαν καὶ ἅμα τἀναντία πείθεις τοὺς ἑπομένους σοι δρᾶν. ἄρτι δὲ καὶ τῶν βίβλων αὐτοῦ προκομιζομένων, ἠρώτα καθ' ἕκαστον ὁ βάρβαρος ὅ τι τε εἴη καὶ ὅτου τὸ ἔργον. καὶ οὕτω μανθάνων τὰ μὲν αὐτῷ Παλαμᾷ συγγραφέντα κατὰ μέσης παραχρῆμα κελεύει ῥιφῆναι θαλάσσης, οἶμαι, τῆς θείας ἀοράτως πρὸς τοῦτο κινούσης προνοίας, ἵνα μὴ σεσωσμένα πολλῆς τε καὶ νεωτέρας τῆς ἀσωτίας ἐμπλήσωσι τάς γε τῶν ἁπλουστέρων ψυχὰς καὶ αὐτά. τό γε μὴν θεῖον τοῦ Χριστοῦ εὐαγγέλιον μετὰ τοῦ Δαυϊτικοῦ ψαλτῆρος αἰδοῖ πολλῇ τοὺς οἰκείους τηρεῖν ἐνετέλλετο· εἰώθεσαν γὰρ καὶ Ἰσμαηλῖται τιμᾶν προφήτας τε ἅπαντας καὶ ἅμα τὸν σωτῆρα Χριστὸν ὡς ἕνα τῶν προφητῶν. τέλος δ' αὐτὸν γυμνωθῆναι μὲν τῶν οἰκείων προστεταχὼς ἱματίων ἕτερα δέ γε διερρωγότα μετενδῦναι, κυνοτρόφοις τισὶν αὐτὸν εἰς πρᾶσιν ἐδεδώκει τηρεῖν, τάς τε ἄλλας ἐγκελευσάμενος μάστιγας ἐπάγειν αὐτῷ τιμήματος ἕνεκα πλείονος πρὸς ὠνήν, καὶ ἅμα τὸ σοδομιτικὸν καὶ παρὰ φύσιν πάθος τῆς ἀρρενομανίας, οὐκ οἶδ' 3.229 ὁπότερον, εἴτ' εἰωθὸς σφίσι ποιεῖν εἰς ἐμπαιγμὸν τῶν ἁλισκομένων χριστιανῶν, εἴτ' ἐνδεδωκυίας τῆς θείας ἄνωθεν δίκης ἐνταῦθα, μακροθυμεῖν ὡς ἐπίπαν οὐ μάλα ἀνασχομένης, ἣ τὸν ἀλιτήριον ὡς ἀρχηγὸν τῆς νῦν ἐπιπολαζούσης ἀσεβείας χερσὶ βαρβάρων παρέπεμψεν, ἵνα μὴ λάθῃ μηδὲ τοῖς ἀμαθέστερον ἢ ἀμελέστερον περὶ τὰ θεῖα διακειμένοις τὸ τῆς αὐτοῦ γε αἱρέσεως αἴσχιστον, ἀλλ' ὕβρις ὕβριν ἀμύνηται, καὶ τὸ τῇ αὐτοῦ κακίᾳ κεκαλυμμένον αἰσχρὸν τῷ τοῦ σαρκικοῦ καὶ φαινομένου πάθους αἰσχίστῳ θεατρικώτερον τουτονὶ δημοσιευθῇ τρόπον· καὶ ὁ θέλων ἐκ τοῦ τυραννεῖν τὴν εὐσέβειαν δοξασθῆναι ἤδη καὶ κατ' αὐτό γε τὸ τῆς πολυθεΐας ἀτόπημα σαφῶς ἐξελήλεγκταί τε καὶ ἐστηλίτευται. καὶ διόπερ ὁμοφύλοις οὖσι τοῖς θιασώταις ἀρεστός τε ἐνομίσθη καὶ τῶν ὑπὲρ ἀξίαν ἄξιος γερῶν, τοῦτο τοῖς ἀλλοτρίοις τε καὶ βαρβάροις οὐδὲ μέχρι ψιλῆς ἀκοῆς ἀνεκτὸν ἐνομίσθη. εἰ γὰρ πρός γε τοῖς ἄλλοις αὐτῶν ἀτοπήμασι καὶ τὴν ἔνσαρκον ἀθετοῦσιν οἱ βάρβαροι θείαν οἰκονομίαν, ἀλλ' ἕνα τῶν πάντων εἶναι ποιητὴν καὶ θεὸν οὐδ' αὐτοί γε ἀρνοῦνται. ἀλλ' ὁ Παλαμᾶς καὶ ἀμφοτέροις ξενηλασίαν ἀπότομόν τε καὶ μάλα θρασεῖαν κατεψηφίσατο, καὶ οἵαν οὐδεὶς οὐδ' αὐτῶν ὁπόσοις διώκταις κατὰ τῆς εὐσεβείας τοὺς πρὶν αἰῶνας συνεπεπτώκει γενέσθαι· οὔτε γὰρ θεότητι λατρεύειν ἀφίησι τρισυποστάτῳ μιᾷ, οὐδὲ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τὸν σαρκωθέντα λόγον υἱὸν εἶναι λέγει θεοῦ, ἀλλ' ἀνούσιον μέν τινα καὶ ἀνύπαρκτον ἐνέργειαν, πρὸς δ' ἀκτίστους μυ 3.230 ρίας μεριζομένην θεότητας ἄλλας ἀλλήλων διαφερούσας, ὡς καὶ αὐτὸς ἐν ἄλλοις πλατύτερον γέγραφας στηλιτεύων αὐτόν. ὅθεν καὶ μείζω κἀνταῦθα πρὸ τῆς αἰωνίου καταδίκης ἐκείνης τὴν δίκην δίδωσιν οὑτοσὶν ὁ ταλαίπωρος ὧν ἐπὶ τοὺς ὑπὲρ εὐσεβείας ἠγωνισμένους ἠγώνισται, τοὺς μὲν διώξας καὶ ἄλλον ἄλλοθι διασπείρας, τοὺς δὲ καὶ αὐτῶν γυμνώσας ἀναίδην τῶν ἱερατικῶν συμβόλων. καὶ αὐτός τε γὰρ αἰσχρῶς τῶν ἱερατικῶν γυμνωθεὶς συμβόλων. καὶ πρός γε ἔτι πάσης κοινῶς ἐσθῆτος, ὁμοῦ καὶ τὰ αἴσχιστα ὑπ' αὐτῶν ἐπεπόνθει βαρβάρων, οὓς τοσοῦτον αὐτὸς ἠγάπησεν ὥστε καὶ ἠγώνισται πάμπολλα πεῖσαι Καντακουζηνὸν κατὰ τοῦ γαμβροῦ Παλαιολόγου συλλήπτορας κτήσασθαι καὶ φίλους ἡγεῖσθαι διὰ βίου, καὶ τῆς ζωῆς φύλακας ἀθανάτους. διὸ καὶ τὴν ἀντιμισθίαν ἀξίαν ἐκεῖθεν εἴληφε δεδωκὼς καὶ δέδωκεν εἰληφώς· αἰσχρῶς μὲν γὰρ καὶ ἀναξίως παντάπασιν εἰς τὸν ἱερατικὸν βαθμὸν ἀναβάς, ἀξίαν τοῖς ἱερώσασι τὴν ἀντιμισθίαν ἀπέδωκε τὴν ἀσέβειαν· ἀξίαν δ' αὖ ὑπὸ τῶν βαρβάρων ἐκείνων αἴσχιστα καθαιρεθεὶς τὴν ἀντιμισθίαν κεκόμισται ὧν τοῖς Ῥωμαίοις ὀλέθριον τῷ βασιλεῖ προμεμνήστευται τὴν φιλίαν, ἵνα καὶ καθαιρέσει αἰσχρᾷ μὲν δικαίᾳ δ' οὖν πολλῶν ἱερέων καὶ ἐπισκόπων καὶ πάσης εἰπεῖν εὐσεβοῦς ὁσιότητος καθαίρεσις ἄδικος ἀντιταλαντεύηται, καὶ ἃ τοῖς σοφωτέροις ἔγνωσται συνετῶς πρὸ τῶν ἔργων, ταῦτ' ἐπὶ τῶν ἔργων φαίνηται συμβαίνοντα σαφῶς. 3.231 Ἐπεί γε μὴν καὶ πρὸς Ὑρκανὸν ἀπηνέχθη, τὸν ἀρχηγὸν δηλαδὴ τῶν βαρβάρων, τὰ μὲν ἄλλα, ὅσα τε πρὸς τῶν ἐκεῖ τηνικαῦτα παρόντων ἠκηκόει τε καὶ λελάληκε καὶ συνυπήχθη καὶ ὡμολόγηκε φιλοζωΐας ἕνεκα, σιωπᾶν ἄμεινον. μαθὼν δ' οὖν ὅμως ἐκεῖνος ὡς αὐτός ἐστι δι' ὃν πολυθεΐας τε ἔρως ἐν Ῥωμαίων ἤνθησεν ἄρχουσι καὶ ματαίας θρησκείας ἀγάλματα νέοις ἐμπολιτεύεσθαι γέγονεν ἔθεσι, κατεγίνωσκέ τε καὶ διετώθαζε μάλα ἐπεγγελῶν. προσέταττε δ' οὖν ἀπαχθέντα πόρρω που τῆς σατραπικῆς οἰκίας διαλεχθῆναι περὶ τῆς νεολέκτου ταυτησὶ τερατείας ἑνί τινι τῶν παρὰ βαρβάροις αὐτόθι σοφῶν ἐπ' ἀκροάσει πολλῶν. καὶ ὅσα μὲν ἐκεῖ πρὸς ἡδονὴν τοῖς βαρβάροις ἐφθέγξατο, ἀφαίρεσιν δεδιὼς τῆς ζωῆς ταυτησί, περιττὸν ἀφηγεῖσθαι· ἃ δ' οὖν ἀπολεξάμενοι πρὸς δημοσίας φέρουσιν ἀκοὰς οἱ ἐνταῦθα τῆς ἐκείνου θιασῶται κακίας, ἐγγράφως πρὸς ἐκείνου τούτοις πεμφθέντα, ἔστι τοιάδε. ἀπαιτούμενος γάρ φησι λόγον ἑρμηνέα τῆς καινοφανοῦς ταυτησὶ θρησκείας, ἀπολογεῖσθαι καιρὸν οὐκ ἔχειν εἰρήκει, πρόφασιν λέγων ὡς οἱ προσκείμενοι τῷ μέρει τῶν ἀντιδίκων προκάθηνται καὶ κριταί, καὶ οὐκ ἔχειν ἀναγκαίως δεικνύειν εἰς τὰ παρ' αὐτῶν ἀντιλεγόμενα τὰ δικαιώματα τῆς εὐσεβείας. ἔπειτα καὶ παραδεδομένος εἰς αἰχμαλωσίαν αὐτοῖς οὐκ ἂν ἀποκρίναιτο, ἐπεὶ καὶ ὁ Χριστός, φησί, μετὰ τὸ παραδοθῆναι οὐκ ἀπεκρίνατο. ταῦτ' εἰσὶ τὰ συνήθη ψευδολογήματα τῆς ἀτόπου γλώσσης ἐκείνης· πῶς γὰρ ἂν ἐτόλμη 3.232 σεν, ἢ τίς ἂν ἔχοι χώρα καὶ χρεία βαρβάροις φέρειν ὑπόδειγμα πρὸς πίστωσιν τῶν αὐτῷ λεγομένων τὰ τοῦ Χριστοῦ παθήματα. προσπαραγράφει δ' ἑξῆς καὶ περὶ τῶν ἐκεῖ χριστιανῶν, ὅπως λαθόντες ἐξ ἀπειρίας ἐπαίνοις ἐξαίρουσι τοῦτον, διότι, φασίν, ἀποκηρύττει τοὺς εἰς ὑπερκειμένας καὶ ὑφειμένας ἀπείρους θεότητας τὸν ἕνα θεὸν ἀσεβῶς διαιροῦντας. καὶ μὴ ἀποδέχεσθαι μέν φησι τὴν τῶν ἐπαίνων αἰτίαν ὡς αὐτῷ γε ἀλυσιτελῆ, ὅμως τοῦ καιροῦ τε καὶ τῆς χρείας ἕνεκα, τοῦ σιτίζεσθαι πρὸς αὐτῶν δηλαδή, σιωπᾶν ἐπαινούμενος ἀξίους κατάρας ἐπαίνους· τὸν γὰρ τῶν εὐσεβῶν ἔπαινον ἀπατηθέντες ἀνοικείως ἐδίδουν αὐτῷ, ἐπαρώμενοι μὲν αὐτοῦ τῇ πολυθεΐᾳ ἐκεῖνοι, ἀγνοοῦντες δ' ὡς αὐτός ἐστιν ᾧ ἐπαρῶνται. οὕτω πολύπους τίς ἐστιν ὁ κατάρατος, καὶ τὸ χρῶμα τῆς γνώμης ἄστατος καὶ ἀβέβαιος· καὶ τοῖς ἄλλοτ' ἄλλοις καιροῖς τε καὶ πράγμασι προσφυόμενος πρὸς διάφορα καὶ μαχόμενα χρώματί τε καὶ σχήματι γνώμης καὶ γλώττης ῥᾳδίως μεθαρμόζεταί τε καὶ μετασχηματίζεται· καὶ τῇ τοῦ κυρίου παιδείᾳ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

νουθετεῖσθαι οὐκ οἶδεν, ἀλλ' ὥσπερ ἂν εἴ τις τῶν ἀνδροφόνων, ἀγόμενος εἰς δεσμωτήριον ὥστε δείσαντα σωφρονεῖν τοῦ λοιποῦ καὶ λῃστείας ἀφίστασθαι πάσης, ὃ δ' αὐτούς τε ἐφόνευε τοὺς ἀπάγοντας καὶ ὅτῳ ἂν ἀπαντῴη τῶν παριόντων, οὕτω καὶ οὗτος οὔτε κολαζόμενος φρίττει οὔθ' ὑπὸ θεοῦ νουθετούμενος νουθετεῖται, ἀλλ' ἀκόλαστος ἐν κολαστηρίῳ μένει τὴν γνώμην, ἀπαίδευτος δ' ἐν παιδευτηρίῳ 3.233 θεοῦ, τῆς ὁμοίας ἀπονοίας ἐχόμενος ἀεί, καὶ πρόφασιν κακίας ποιούμενος ἃ πρὸς κακίας ἀποχὴν ὁ θεὸς αὐτῷ συγκεχώρηκε παθεῖν. οὐδὲ γὰρ παύεσθαί πω τῆς κομπορρημοσύνης καὶ τῆς ματαίας ἐκείνης ἔγνωκεν οἰήσεως, ἀλλ' αὐτοῦ τε Χριστοῦ καὶ τῶν ὑπὲρ ἡμῶν Χριστοῦ παθημάτων εἰκόνα φέρειν ἑαυτὸν καὶ τὴν ἑαυτοῦ πρὸς βαρβάρους αἰχμαλωσίαν βρενθύεται, ψευδηγορίαις, ὡς εἴωθε, διαστρέφων τὰ πράγματα καὶ ἐγκαλλωπιζόμενος ἐφ' οἷς ἐγκαλύπτεσθαι ἔδει. οὕτως εἰς ἀσυνέτου καρδίαν χώραν οὐκ ἔχει μνήμη θεοῦ καὶ κατὰ θεὸν ἀρετή. διὸ καὶ ὡς ἐπὶ πλεῖστον ὁ θεὸς ἐμπαίζεσθαι τουτονὶ ἐγκεχώρηκε, καὶ ὑπὸ πάντων ὁμοίως μισεῖσθαι τὸ τῆς ἐρημώσεως βδέλυγμα. εἰς τοσοῦτον γάρ, καθάπερ κύβου στραφέντος, μεμίσηται καὶ πρὸς τῶν μάλα ποθούντων ἐντεῦθεν ἀρχόντων καὶ ὁμοφρόνων διὰ τὴν ἄθεσμον ἐκείνην καὶ σοδομιτικὴν τῶν βαρβάρων μῖξιν, ὥστε καὶ ὑπὲρ οὗ πάντα προέσθαι χρήματα ὑπισχνοῦντο καὶ σφᾶς αὐτούς, εἰ δεήσειε, πέμπειν εἰς ᾅδην, νῦν οὐδ' ὀβολοῦ ἀλλάξασθαι βούλονται τὴν ἐλευθερίαν. ὁποτέρωσε γὰρ ἂν νεύσειε τὸ ἀποβησόμενον, οὐκ ἐς τὸ εὔσχημον σφίσιν ἐνόμισαν σχήσειν τὸ πρᾶγμα. ἄν τε γὰρ βουληθῶσιν, ἔφασαν, σιγῇ καλύψαντες τοὔγκλημα τοῦτον ἱερατεύειν ἐνδοῦναι, καὶ λίθοι πάντες ἀναβοήσουσι τὴν τῆς ἀτοπίας ὑπερβολήν· ἄν τ' ἀπρακτεῖν αὐτὸν ἀναπείσωσι καὶ τῆς ἱερουργίας ἀπέχεσθαι, κατήγορος αὐτῶν ἀναιδέστατος ἔσται λοιπὸν αὐτὸς ἐν πολλοῖς, καὶ ξίφους ἀκμαιοτέραν 3.234 παντὸς ἀντιστήσει γλῶτταν αὐτοῖς, καὶ Ὀλύμπου φανεῖται παντὸς ἐπαχθέστερος. ὅταν δὲ καὶ τὰ θεατρικὰ καὶ ἀγοραῖα σκώμματα πρὸς τὰς ἀγυιὰς παραρριπτούμενα ἐξακούωνται, τῆς γαστροκνημίας φημὶ καὶ τοῦ ἀνδρογύνου θεοῦ καὶ τοῦ μηροῦ τοῦ τὸ ἀτελὲς ὠδίνοντος κύημα, Διονύσου μὲν ἥκιστα οὐδὲ Σεμέλης Θηβαίας ἀμβλώματα, ἀλλὰ βαρβαρικῶν καὶ ἀσεβῶν σπερμάτων ἐκτόκια συγγενῆ καὶ οἷα διηνεκῶς ἐξ ἀσεβοῦς αὐτὸς διανοίας εἴωθε τίκτειν πονηρά τε καὶ ἀσεβῆ γεννήματα, μᾶλλον δ' ἀτελῆ καὶ παρὰ φύσιν ἀμβλώματα, ποίας οὐκ ἂν ἀγχόνης χείρω δόξειεν ἅπασιν, οἷς διδασκάλῳ τούτῳ κεχρῆσθαι συμπέπτωκε. Καὶ περὶ μὲν τούτων αὐτὸς ἂν ἀκριβέστερον διαιτήσειας τῇ σοφῇ σου καὶ ἔμφρονι διανοίᾳ καὶ κρίσει· ἐγὼ δὲ καὶ περὶ τῶν ἑξῆς ὁμοίων τε καὶ ὁμοίας ἐκ θεοῦ τυγχανόντων τῆς ἐκδικήσεως ἀφηγήσομαι. ὁ γὰρ πατριαρχεύσας μὲν ἐκεῖνος Κάλλιστος καθαιρεθεὶς δ' αὖθις ὑφ' ὧν τετίμηται, καὶ μὴ βουλόμενος τὰ τῆς ἀρχιερωσύνης οἴκοθεν ἀποθέσθαι σύμβολα, κεκινδύνευκεν ἄκων τὴν τούτων ἀφαίρεσιν ὑποσχεῖν καὶ ἅμα δεινῷ τινὶ ἐμβεβλῆσθαι δεσμωτηρίῳ, μὴ καὶ στάσιν ἴσως κατὰ τὴν ἐπιπολάσασαν φήμην ἐγείρῃ τῇ πόλει, θρασύτερόν τε καὶ ἀηδέστερον πρὸς τὸν ἐν ἡσυχίᾳ διακείμενος βίον. καὶ τάχα ἂν μὴ μαθὼν ἔφθη παθών, εἰ μὴ μαθὼν ἔφθη φυγών. ἄρτι γὰρ τὸ σκέμμα βασιλεῖ τε καὶ πατριάρχῃ 3.235 κεκυρωμένον λανθάνουσα φήμη λαβοῦσα διέπιπτεν εἰς τὴν ἀγορὰν ἐξεπιπολῆς. ὅθεν μαθὼν καὶ αὐτός, καὶ δειλίᾳ μακρᾷ συσχεθείς, ᾤχετο λάθρᾳ ἀποδρὰς πρὸς τὸ τῶν Λατίνων ἀντιπέρας φρούριον· καὶ τῇ ἀλλοφύλῳ σκέπῃ καὶ δεσποτείᾳ ἑαυτὸν διὰ φιλοζωΐαν καθυποζεύξας, καὶ ἃ τοῖς ὑπὲρ εὐσεβείας δεδιωγμένοις χθὲς καὶ πρότριτα εὐσεβέσιν ὠνείδιζε, ταῦτα παρὰ πόδας ἁλίσκεται καὶ αὐτὸς πεπονθώς. καταφεύγοντας γὰρ πρὸς τὸ τῆς Σοφίας ἱερὸν καὶ μέγιστον τοῦ θεοῦ τέμενος ἀποσπῶν παρανόμως αὐτὸς τοῖς δεσμωτηρίοις προύπεμπεν· εἰ δέ πού τις καὶ τοὺς διώκτας λαθὼν εἰς τὸ Λατινικὸν ἐκεῖνο κατέφυγε φρούριον, πολὺς αὐτὸς εὐθὺς ἦν κατὰ τῶν τοιούτων ῥέων καὶ ἀμέτρους ἐπαντλῶν λοιδορίας, καὶ λέγων ὡς οἱ τῷ Βαρλαὰμ ὄντι Λατίνῳ φίλοι καὶ νῦν τοῖς ὁμοφύλοις ἐκείνῳ γίνονται φίλοι, τῇ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀλλοφύλῳ σκέπῃ καὶ δεσποτείᾳ χρώμενοι σωστικῷ λιμένι. οὕτω τὰ τῆς ἀσεβείας ὄργανα μετὰ τῶν οἰκείων δογμάτων πρὸς μὲν βραχύν τινα χρόνον ἀντέσχε, καὶ λέληθεν ἐνίοτε τοὺς πολλοὺς ἐν σκότει κἀκ διαμέτρου τῆς ἀληθείας ἱστάμενα, τῷ χρόνῳ δὲ φωρᾶται τῷ τῆς ἀληθείας θεατριζόμενα φωτὶ καὶ ὑπ' αὐτῶν ἐλεγχόμενα τῶν πραγμάτων, τοῖς οἰκείοις πτεροῖς ἁλίσκεταί τε καὶ ἑαυτοῖς περιπίπτει. μηδὲ γὰρ μηδενὸς διώκοντος ἄλλου, ὑφ' ἑαυτῶν αὐτοὶ διώκονται μόνοι, καὶ πάσχουσιν οἴκοθεν ἅπερ ἔδρων κατὰ τῶν εὐσεβούντων αὐτοί, τῆς θείας κατὰ βραχὺ καὶ λεληθότως δίκης μετερχομένης καὶ ἐλαυνούσης αὐτοὺς καὶ τῶν κορυβαντιώντων χείρους ποιούσης. πρὸς γὰρ 3.236 αὐτοῖς καὶ πλείους αὐτῶν ἕτεροι τὰ ὅμοια ἐπεπόνθεσαν, καὶ ὡς ἐμβρόντητοί τινες καὶ θεηλάτῳ μανίᾳ τινὶ πληγέντες οὐκ ἴσασιν ὅτι δρῷεν, ἀλλὰ περινοστοῦσιν οἱ δυσσεβεῖς καὶ ἐξάγιστοι μεθυόντων ἢ μαινομένων δίκην καθ' ἑαυτῶν βακχεύοντές τε καὶ οἰστρηλατούμενοι καινόν τινα καὶ τερατώδη τρόπον. Ἐγὼ δέ, μηδαμῇ τοῦ καιροῦ συγχωροῦντός μοι τοῖς ὁμοίοις ἐνδιατρίβειν ἐς τὸ παρὸν ἀφηγήμασιν, ἐφ' ἕτερα τρέψομαι, πλατυτέραν ἐκείνης ταμιευσάμενος τὴν ἀφήγησιν ὡς εἰκὸς προϊών. ἄρτι γὰρ περὶ τροπὰς θερινὰς τοῦ ἡλίου ἐληλυθότος, ἕνδεκα ναυσὶν ἐκ Βυζαντίων λιμένων ὁ βασιλεὺς ἀναχθεὶς Καντακουζηνὸς ἑβδομαῖος ἐς Τένεδον ἀφικνεῖται, πολεμησείων ἐκεῖ τῷ γαμβρῷ Παλαιολόγῳ· ἤλπιζε γὰρ δυοῖν θάτερον, ἢ προδοσίᾳ τῶν ἔνδοθεν ἢ τῇ ἔξωθεν μάχῃ ἀφυλάκτοις ἐκ τοῦ αἰφνιδίου ἐπεισπεσών, αὐτόν τε ἅμα καὶ τὸ τῆς Τενέδου καταλήψεσθαι φρούριον, καὶ ἀντ' αὐτοῦ τὸν υἱὸν αὐτόθι καταλείψειν Ματθαῖον, τῷ πατρὶ τηνικαῦτα συμπλέοντα ὁμοῦ τῇ συζύγῳ. ἐπεὶ δὲ τῷ λιμένι τῶν Τενεδίων τὸν εἴσπλουν προαισθομένων ἐξ ἐφόδου ποιήσασθαι ἥκιστα ἔσχεν, ἐπὶ θάτερα λοιπὸν τῆς νήσου παραπλεύσας πάσαις μὲν τῇ γῇ ταῖς ναυσὶν ἀποβῆναι προσσχόντας ἥκιστα ἔκρινε δέον, δέει τοῦ μὴ τῷ πλείστῳ μέρει κενωθείσας τὰς ναῦς τῷ Παλαιολόγῳ τὴν γνώμην προστεθειμένας, ζημιωθῆναι μὴ μόνον τὸν 3.237 ἅπαντα στόλον μεθ' ὧν ἀφίκοντο σκεμμάτων τε καὶ βουλευμάτων, ἀλλὰ καὶ σφῶν αὐτῶν αὐτοὺς γενέσθαι προδότας ἀπονητὶ τοῖς ἐχθροῖς. διὸ δὴ καὶ τέτταρσι μόναις ἐπέτρεψαν τὴν ἀπόβασιν, αἷς ἐθάρρουν τὰ μάλιστα. καὶ τοίνυν τῆς ἀποβάσεως γινομένης ἤδη καὶ ἡτοιμασμένων οἷς μὲν ἐπετέτακτο πῦρ τοῖς τῶν ἀσταχύων ἐνεῖναι δράγμασιν, οἷς δ' ἐκριζοῦν τὰς ἀμπέλους, οἷς δ' ἀγώγιμον ἐκ τῆς νήσου τὸ ὕδωρ ἐς τὰς ναῦς κομίζειν, εὐθὺς ἐξεπήδα τῆς Τενεδίας ὁπλίσεως τὸ ἐρρωμενέστερον ἐκ τῶν τοῦ φρουρίου πυλῶν, πεζοί τε καὶ ἱππεῖς, καὶ μάχην στερρὰν παρὰ τὸν αἰγιαλὸν συστησάμενοι οὐδ' ὑδρεύσασθαι τοὺς ναυτικοὺς εἴασαν, ἀλλ' ἠνάγκασαν ἐν βραχεῖ τὰ πρυμνήσια τεμόντας ἀποπλεῖν. ὅθεν δὴ καὶ μικρὸν ἀποστάντες τῆς γῆς οἱ Βυζάντιοι τὰς ναῦς ἀνεκώχευον, τῇ δ' ὑστεραίᾳ τὰς ἀγκύρας ἀναλαβόντες τριταῖοι ἐς Ἴμβρον τὴν νῆσον κατέπλευσαν, πολεμίαν ἡγούμενοι καὶ αὐτήν. κἀνταῦθα τὰ ὅμοια δράσαντές τε καὶ παθόντες πλήρεσι κώπαις κἀκεῖθεν ἀπῄεσαν εἰς Αἶνον τὴν πόλιν, Καντακουζηνῷ προσκειμένην. ἔνθα δὴ Ματθαῖον τὸν νέον βασιλέα καταλιπόντες σὺν τῇ συζύγῳ τάχιστα ἐπανῆκον δέκα ναυσὶν εἰς Βυζάντιον· τῆς γὰρ μιᾶς τὸ πλήρωμά φασιν ἐν δυσὶν ἀποβάσεσιν, αἷς πρὸς Τένεδόν τε καὶ Ἴμβρον πεποίηνται, πρὸς Παλαιολόγον ηὐτομοληκέναι τὸν βασιλέα. Ἐγὼ δ' ὃ μικρῷ πρόσθεν ἐχρῆν ἀφηγήσασθαι βουληθεὶς εἶτα ἐπέσχον, τὴν σὴν λυπῆσαι ψυχὴν φυλαττόμενος, λέξων 3.238 ἔρχομαι νῦν, τὰς τῶν φίλων καὶ συνάθλων τῶν σῶν δυσωπούμενος ἐντολάς. Εὐλογία γὰρ ἡ τῷ ὄντι βασίλισσα, καὶ τὰς ἐπωνυμίας συμφώνους τῷ βίῳ λόγοις ἅμα κτησαμένη καὶ ἔργοις, πολλοὺς ὑπὲρ τῶν θείων δογμάτων τῆς ἐκκλησίας θορύβους καὶ διωγμοὺς καὶ ποικίλας ἐπαγωγὰς συμφορῶν ὑποστᾶσα, καὶ πρὸς οἷς εἶχεν ὁμοῦ τῷ γήρᾳ νοσήμασιν ἄλλοις πρότερον καὶ πλείοσιν ἔτι περιπεπτωκυῖα, καὶ τελέως οὕτω καὶ κατὰ βραχὺ τὸ σῶμα δαπανηθεῖσα, πρὸς τὴν ἀΐδιον ἐκείνην τέως μετέστη μακαριότητα. νῦν οὖν σε παρακαλοῦσιν οἱ φίλοι λόγοις ἐπιταφίοις ἐκείνην



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

κοσμῆσαι, ἐπεὶ καὶ πολλὰ προφανῶς τῶν τῷ ἐκείνης προσιόντων τάφῳ νοσήματα τὴν ταχίστην ἐλαύνονται, τοῦ θεοῦ κἀντεῦθεν ἐλέγχοντος τὴν τῶν διωκόντων ἀπόνοιαν καὶ ἀσέβειαν. οἶσθα δὲ καὶ ἄλλως ὡς μετὰ χρόνον που ἑξκαιδέκατον τῷ Ἀνδρονίκου τοῦ βασιλέως ἐκείνου υἱῷ συζυγεῖσα μετὰ πολλῆς τῆς εὐκλείας καὶ δόξης, καὶ μόλις που δύο μόνους ἐνιαυτοὺς ἐκείνῳ τοῦ βίου συναπολελαυκυῖα, θανάτῳ τε τοῦτον εὐθὺς ἐζημίωται καὶ ἅμα τριβώνιον ὑποδῦσα τὸν ἅπαντα πλοῦτον διένειμε αἰχμαλώτοις καὶ πένησιν ἄλλοις, πλὴν ἢ ὅσον εἰς τὴν πολυτελῆ τοῦ θείου φροντιστηρίου κατασκευὴν ἐκείνου κεκένωκεν, ὃ περιβόητον μᾶλλον εἰς ἀρετὴν κατεστήσατο ἢ πρὸς κατασκευήν. δαψιλέσι μὲν γὰρ καὶ πολυτελέσι δαπάναις ᾠκοδομήσατο, πλείους δὲ τῶν ἑκατὸν μοναζούσας κατ' ἐκλογὴν ἐνασκεῖσθαι συνήθροισε τούτῳ σεμνῶς. ἀλλ' αὐταῖς καὶ αὐτὴ συνδιηκονεῖτό τε καὶ 3.239 ἀμφεπονεῖτο, χορηγοῦσα μὲν ἀφθόνῳ γνώμῃ τὰ κατὰ χρείαν διηνεκῶς ὡς κυρία, συναιρομένη δ' ἐξ ἐφημερείας καὶ αὐτὴ τὸν πάσαις ἐκείναις ἀνάλογον τρόπον ὥσπερ ὁμόδουλος, ἄχρι τῶν ὀπτανείων καὶ εἴ τι τῶν χυδαιοτέρων ἐτύγχανεν ὂν καὶ συλλήβδην εἰπεῖν, ἀρχέτυπον ἀρετῆς ἁπάσης ἁπάσαις ἑαυτὴν προτιθεῖσα καὶ βίου σεμνοῦ μέχρι καὶ ἐς δεῦρο διήρκεσεν, ἑβδομηκοστὸν ἐγγύς που τῆς ἡλικίας ἄγουσα χρόνον. καὶ τί χρὴ πλείω διεξιέναι πρὸς σὲ πλέον τῶν ἄλλων τὰ ἐκείνης εἰδότα; μέμνημαι γὰρ καὶ πολλάκις σοῦ γε ἀκηκοὼς ἔστιν ἃ τῶν ἐκείνης ἀφηγουμένου καλῶν, καὶ ἐρεθίζοντος ἴσως εἰς ἕξιν ἀσκήσεως ἀγαθῆς τοὺς ἀκούοντας, ὡς βαθεῖάν τε ἐκέκτητο σύνεσιν ἡ γυνή, καὶ σιωπῶσα καὶ φθεγγομένη παραίνεσις ἦν ἀεὶ τοῖς συνοῦσι, καὶ μέγα καὶ ἀπαράμιλλον τοῦ μοναδικοῦ παράδειγμα βίου, καὶ οἷον αἰθεροδρομούσης σεμνότητος ἦθος αὐτόφυές τε καὶ αὐτοχάλκευτον, ἁπάσης τε πνευματικῆς παιδείας κανὼν ἀκριβὴς καὶ δικαιοσύνης ζυγὸς ἀρρεπής. ἔτι δὲ θυμοῦ κινήσεσιν ὀξυρρόποις καὶ αὐτονόμοις, καὶ εἰ τὰς αἰτίας εὐλόγους ἐκέκτητο, οὔτε χεὶρ αὐτῇ ποτ' ὤφθη τῶν πάντων οὐδέσιν οὔτε γλῶττα διακονήσασα προπετής, ἀλλ' ἐν αὐτοῖς εὐθὺς ἀναιροῦσα τοῖς λογισμοῖς διετέλει τὰς ῥίζας ἐντὸς πρὸ τῆς βλάστης. τόν γε μὴν τῆς ἀργίας καιρὸν βίβλων ἱερῶν παρεῖχεν ἀεὶ ἀναγνώσεσι, καὶ πεῖραν ἐντεῦθεν ὑψηλῆς θεωρίας συνῆγε μακρὰν καὶ ποικίλην, ὁπόση τοῖς θείοις τῆς ἐκκλησίας δόγμασι καιροῦ καλοῦντος ἐγένετό οἱ σύμμαχος κράτιστος. ὥσπερ δ' αὖ ἱερωσύνῃ τῇ ἀληθείᾳ τὴν γλῶτταν 3.240 τιμήσασα, ἀκάματον τὴν τῶν χειλέων ἀκρόπολιν ἔστησε φύλακα, ὡς μὴ λάθοι προκύψας ὀψέ ποτε λόγος μάλα μέν τις ἐπαγγελτικός, οὐ μάλα δέ τις τελεσιουργὸς καὶ ὠφέλιμος. καὶ τὰ πλείω λέγοις ἂν αὐτὸς καὶ ἀφηγοῖο πλατυτέρᾳ γλώττῃ τε καὶ βίβλοις μάλα γέ τι σφόδρα ἁρμοττούσαις. νῦν δέ σοι καὶ περὶ τῶν ἔξωθεν ἀπαγγελλομένων ἔνια διηγήσομαι, ὧν καὶ ὁ παρὼν τὰς ἡμῶν ἀκοὰς ἐνέπλησε χρόνος τῶν δυσχερῶν. Φήμη γὰρ ἀφίκετο πρότριτα ἐς Βυζάντιον ἐκ τῶν ἕωθεν ἐπιδημησάντων Ἀντιοχέων, ὡς ὁρμῇ δαιμονίᾳ τινὶ συσχεθεὶς ὁ τῆς Αἰγύπτου καὶ Ἀραβίας δεσπότης, ὁπόσοι χριστιανῶν οἰκοῦσι τὴν γῆν ἐκείνην, ἐξήνεγκε δόγμα πάντας ἡβηδὸν ἀνελεῖν, εἰ μὴ ἐς τὴν τῶν Ἀράβων θρησκείαν τὸ σέβας καὶ αὐτοὶ μεταθεῖεν, μηδὲ γὰρ εἶναι λέγων εἰκὸς ὑπὸ τὴν ἐμὴν ἐξουσίαν τελοῦντας τὴν ἐμὴν φαυλίζειν θρησκείαν. ἐνστάντων οὖν ἐκεῖ τηνικαῦτα παμπόλλων ὑπὲρ τῆς εὐσεβείας ἐρρωμένως καὶ σὺν ζεούσῃ τῇ προθυμίᾳ γέγονε φόνος πολύς, ὡς φανῆναι τὸ πλῆθος τῶν ἀναιρεθέντων ὑπὲρ δισμυρίους, ἀρξαμένου μὲν ἐκ Παλαιστίνης πρῶτον τοῦ δεινοῦ, εἶτα διαβάντος Κοίλην Συρίαν καὶ Φοινίκην πᾶσαν, καὶ ὅσαι τὴν Δαμασκὸν ἀστυγείτονες περιχορεύουσι πόλεις καὶ κῶμαι μέχρι Τύρου καὶ Σίδωνος, καὶ ὅση τὸ ὄρος τὸν Κάρμηλον περικλύζει θάλασσα. ἐν μεταμέλῳ δ' αὖ τοῦ προστάξαντος γεγονότος πέπαυται τὸ δεινόν. 3.241 Ταῦτα καὶ πλείω πρὸς τούτοις ἕτερα ὑπειπὼν ὁ καλὸς Ἀγαθάγγελος ᾤχετο ἀπιὼν περὶ μέσας που νύκτας, αὖθις τοὺς ἡμετέρους δημίους λαθὼν καὶ τοὺς θηριώδεις φύλακας, μόνον ἐμὲ καταλελοιπὼς τῇ στενῇ καὶ δεινῇ συνήθως ἐκείνῃ διαίτῃ χρώμενον. Ἄρτι


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

δὲ τοῦ μὲν ἐφεστηκότος λήξαντος ἔτους, τοῦ δὲ ἑξῆς ἐνδημήσαντος, τὰ Ῥωμαίων ἐνόσει τοῦ εἰωθότος ἐπέκεινα πράγματα διά τε τὴν εἰωθυῖαν Περσῶν ἐπικράτειαν, ἣν ἤδη Καντακουζηνοῦ προδιδόντος ἄχρι πυλῶν ἐσχήκεσαν Βυζαντίων, ὡς οἰκείοις τέως χρώμενοί τε καὶ καταχρώμενοι μὴ πράγμασιν ἅπασι μόνον, ἀλλὰ καὶ γυναῖκας καὶ παῖδας ἀνδράσιν ὁμοῦ πρὸς πᾶν τὸ βουλόμενον ἄγοντές τε καὶ φέροντες, οὐκ ἔξω πόλεων ὡς πρὶν περιθέοντές τε καὶ παραθέοντες, ἀλλ' ἐνδὸν ἤδη ποιούμενοι τοὺς συνοικισμούς, καθ' ὁπόσον καὶ οἷον καὶ ὅπου καὶ ὅτε τὸ τῆς ψυχῆς ὀρεκτικὸν ὑπετίθετο σφίσιν ἐπιτροπεύοντες καὶ δεσποτικῶς ἐπιτάττοντες. Ἤδη δὲ τοῦ φθινοπώρου λήγοντος, περί που τὰ μέσα μιᾶς τῶν νυκτῶν ἀκοή τις αἰφνίδιος τὸ Βυζάντιον περιήχησεν ἅπαν, εἶναι τείχους ἐντὸς βασιλέα Παλαιολόγον τὸν νέον, συμμαχίας πάσης ἀλλοφύλου χωρὶς ἀφιγμένον τριταῖον ἐκ Τενέδου τῆς νήσου, μηδενὸς αἰσθομένου τὸν εἴσπλουν, μεγίσταις μὲν τριήρεσι δυοῖν, μονήρεσι δ' ἑκκαίδεκα διὰ τοῦ πρὸς ἕω λιμένος καὶ νεωρίου εἰσελάσαντα, ὧν αἳ μὲν οἴκοθεν 3.242 ἦσαν αὐτῷ προνεναυπηγημέναι, αἳ δ' ἐκ Τενέδου τε καὶ Λέσβου καὶ Λήμνου κατὰ μέρος ἠθροισμέναι, καὶ εἴ τινες εἶεν αὐτόνομον διαιτώμενοι βίον. ὅ γε μὴν Καντακουζηνὸς ἐν ἀκοῇ τοῦ γεγενημένου γενόμενος ἔξω μὲν τῶν βασιλείων οὐδαμῇ ἐξεληλυθέναι ἐγνώκει, δείσας τὴν τῶν Βυζαντίων ὁρμήν, ἠρεθισμένων πάλαι σφοδρῶς κατ' αὐτοῦ, τά τε ἄλλα ὁπόσα πολλάκις ἔφθην εἰπών, καὶ ὅτι τούς τε τῆς εὐσεβείας πατρίους καταπεπάτηκε νόμους, καὶ τὴν τῶν ἐναπολειφθέντων ἅμα Ῥωμαίων ἐλευθερίαν ἀφελόμενος δουλεύειν αὐτοὺς ἐδεδώκει βαρβάροις καὶ ἀσεβέσιν ἐχθροῖς. πέμψας δ' οὖν τὴν ταχίστην ἐντὸς βασιλείων οὐ μάλα ἑκόντας ἀθροίζει τοὺς τῆς συγκλήτου προύχοντας, ἵνα τε συμμάχοις χρῷτο καὶ αὐτοῖς μετὰ τῶν ἐκ πολλοῦ συνοικούντων αὐτῷ Κατελάνων, εἰς ἑκατὸν ἀνηγμένων τὸν ἀριθμόν, ὁπότε ἐπίοι σὺν ὅπλοις πολεμησείων κύκλῳ τὰ βασίλεια τείχη Παλαιολόγος ὁ βασιλεύς, καὶ ἵνα μὴ ἐκείνῳ μᾶλλον κατ' αὐτοῦ συμμαχεῖν ἀναγκασθῶσιν ἐλεύθεροι ὄντες. ἀλλὰ τοῦ θεοῦ μὴ συναιρομένου τὰ πάντα ἀντέστραπται. τῇ γὰρ ὑστεραίᾳ περιστρατοπεδεύσαντες ἅμα αὐτῷ πάντες Βυζάντιοι ἐρρωμένως ἐπολιόρκουν. καὶ πρὶν ὅλας δύο παρελθεῖν ἡμέρας, φρυγάνοις πολλοῖς πυρπολήσαντες τὴν πρὸς τὸν ἐν Βλαχέρναις θεῖον νεὼν ἀνοιγομένην πύλην τοῦ κάτω παλατίου, εἰσερρύησαν ἀσχέτῳ ῥύμῃ, καὶ τὸ Καστέλιον οὕτω λεγόμενον ἐξηνδραποδίσαντό τε καὶ διενείμαντο κατὰ σφᾶς ὡς ἐβούλοντο. τούτου δ' οὕτω συνενεχ 3.243 θέντος, ἐπειδὴ βασιλείων ἐντὸς μύλος μὲν ἥκιστα ἦν, ἄλευρα δὲ καὶ ἄρτοι διὰ τὸ τῆς συμφορᾶς ἀδόκητον οὐ προῳκονόμηντο, ἥ τε καθ' ἡμέραν δαπάνη τοῦ πλήθους ἔνδοθεν ἀπαραίτητον τὴν χορηγίαν ἀπῄτει, καὶ ἅμα ὁ γογγυσμὸς καὶ οἱ πρὸς ἀλλήλους ψιθυρισμοὶ τῶν ἐντὸς πολυτρόπων ἐκείνων ἀνδρῶν καὶ αἱ κατὰ τοῦ Καντακουζηνοῦ λοιδορίαι πολλὴν ὤδινον τὴν κατ' αὐτοῦ κίνησιν, εἰς ἀνάγκας ἤλασαν σπείσασθαι τῷ γαμβρῷ καὶ βασιλεῖ Παλαιολόγῳ, πρὶν ἢ παθεῖν τὰ ἀνήκεστα. βραχέων οὖν ἐντὸς ἡμερῶν οὑτωσὶ τῶν πραγμάτων ἐκείνων συνελαθέντων καὶ τῶν σπονδῶν ἐπὶ τῷ βασιλεύειν ἄμφω γεγενημένων, ἀνυπόπτως ἤδη προσῄεσαν καὶ ὡμίλουν ἀλλήλοις τῶν βασιλείων οἴκων ἔνδον ἅμα καὶ ἔξω· διὸ καὶ σύγχυσίς τε καὶ θόρυβος ἠγείρετο σφόδρα ἄσημος κατὰ τὸ συνεχὲς πρὸς Βυζαντίων κατὰ πρόσωπόν τε καὶ ἀναιδῶς λοιδορούντων αὐτὸν Καντακουζηνὸν καὶ ἐπιπηδώντων αὐτῷ, καὶ ἐν ἐπαγγελίαις ὄντων κατὰ τῆς αὐτοῦ σφαγῆς τὰ ἴδια βάπτειν ξίφη, εἰ μὴ τὴν ταχίστην πρὸς τὸ μοναδικὸν τὴν βασίλειον ἀμείψῃ στολήν. ἔνθεν τοι καὶ μετ' οὐ πολλὰς τὰς ἡμέρας ἐξῄει τοῦ παλατίου, τὸ μοναδικὸν ἠμφιεσμένος σχῆμα, ξύν γε τῇ ὁμοζύγῳ νυκτός, αὐτὸς μὲν Ἰωάσαφ μετονομασθείς, ἡ δ' Εὐγενία, καὶ ὃ μὲν εἰς τὴν τῶν Μαγγάνων μονὴν μετοικήσας, ἣ δ' εἰς τὴν τῆς Μάρθας οὑτωσὶ κεκλημένην. εἵπετο δ' αὐτοῖς μὴ μόνον ἅπανθ' ὅσα πρὸς τὸ ζῆν ἀναγκαῖα, ἀλλὰ καὶ ὅσος τοῖς βασιλικοῖς ταμιείοις ἔτυχε τέως ἠθροισμένος 3.244 πλοῦτος, καθάπαξ ἅπας συλλήβδην εἰπεῖν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀγώγιμος σφίσιν εἵπετο καὶ αὐτός, Παλαιολόγου τοῦ βασιλέως ἐνδόντος αἰδοῖ τοῦ κήδους. Ἀλλὰ λεκτέον ἡμῖν ἐν βραχεῖ καὶ ὅσα τηνικαῦτα συμπέπτωκε πατριάρχῃ Φιλοθέῳ τῷ ἐπικεκλημένῳ Κοκκίνῳ· χρὴ γὰρ ἐνταῦθα μικρὸν ἀναδραμόντα τῷ λόγῳ δεῖξαι οἷς ἀκούειν ἔφεσις οἵα καὶ τούτῳ θεόθεν ἐκ τοῦ σχεδὸν ἐνέσκηψε παιδεία πρὸς ἔλεγχον τῆς ἀκαίρου καὶ σφαλερᾶς καυχήσεως. ἔσχε γὰρ οὑτωσί. ἐγένετο κατὰ τὴν μονὴν ἣ τοῦ Κραταιοῦ ἐπικέκληται, λείψανον ἱερὸν ἐκ κεφαλῆς ἄχρι ποδῶν ἀνενδεῶς τῶν μελῶν ἁπάντων ἔχον εὑρῆσθαι πρὸς τῶν ἐκεῖ μοναζουσῶν γυναικῶν. περὶ οὗ καὶ πολλή τις ἤκμασε τέως ὑπόληψις τοῖς πολλοῖς, Ἀνδρέου τοῦ Κρήτης εἶναι, ὃς οὐκ ὀλίγοις τὴν ἐκκλησίαν ἐκόσμησεν ἱεροῖς μέλεσι. τοῦτο γὰρ κατορώρυκται μὲν τῷ ἐδάφει τοῦ θείου ἐκείνου νεώ, ἦν δ' ἀφανείᾳ κεκαλυμμένον ἐκ παλαιοῦ καὶ οὐδενί πω γνώριμον ἄχρι τῆς τῶν νῦν χρονικῶν περιόδων ἡλικίας. ἄρτι δ' οὐκ οἶδ' ὁπότερον εἰς τοὐμφανὲς ἐληλύθει, εἴτ' ἐξ ἐπιπνοίας τινὸς θειοτέρας, εἴτε τινὸς χρείας ἐνστάσης ὀρύττειν ἐκεῖσε, εἴτ' οὐκ οἶδ' ὅντινα τρόπον ἕτερον. οὐ γὰρ ὄψεσιν αὐταῖς μοι τετύχηκε γενομένῳ κατὰ τὸν τόπον θεάσασθαι, τοῦ τηνικαῦτα διωγμοῦ καὶ τοῦ τῆς ἐκκλησίας χειμῶνος ἐκείνου τὰς ἐμὰς ἐγκλείσαντος θύρας, ὡς μηδ' ἐπὶ βραχὺ γοῦν εἰς ἐλεύθερον προκύπτειν 3.245 ἔχειν ἀέρα πνοῆς ἀκραιφνοῦς. ἀκοῇ δ' ὅμως ὀλίγῳ ὕστερον παρειληφότι ἕνα καὶ αὐτὸν εἶναί με τῶν εἰδότων συμπέπτωκε, παμπόλλων ἤδη τὸ πρᾶγμα καὶ δημοσίᾳ θρυλλούντων. διὸ τῶν οὐδὲν οὐδαμῇ γε ἀπεικότων ἔδοξεν, οὐδὲ τοῦ καιροῦ καὶ τῆς χρείας ὡς πορρωτάτω, τῇ ἱστορίᾳ καὶ τοῦτό μοι συνυφανθῆναι, ἔλεγχον μὲν κομιδῇ προφανῆ κομίζον θεόθεν κατὰ τῆς τῶν διωκτῶν ἀπονοίας, παντάπασι δ' ἀκίβδηλον τὸ τῶν διωκομένων ἡμῶν ἀποφαῖνον σύστημα. Φιλοθέῳ γὰρ τῷ Κοκκίνῳ τηνικαῦτα πατριαρχεύοντι ἔδοξεν, ὥσπερ ἕρμαιον τὸν καιρὸν ἡρπακότι, μηχανήσασθαί τι πρὸς σύστασιν τῆς σφετέρας αὐτῶν παλαμικῆς πολυθεΐας. πλήθους οὖν ἠθροισμένου παμπόλλου τῶν ἐν ἀγοραῖς καὶ τριόδοις καλινδουμένων, στὰς ἐφ' ὑψηλοῦ "χρεὼν ὑμᾶς" φησίν, "ὦ ἄνδρες τε καὶ γυναῖκες καὶ τέκνα νήπια, μὴ θείας ἄνευ προνοίας οἴεσθαι τὴν τοῦ θείου τοῦδε λειψάνου τοῖς ἐνεστῶσι γενέσθαι καιροῖς ἐμφάνειαν, ἀλλ' ἵνα τὸ πλείστοις διὰ τὴν τῶν ἀντιθέτων ἔριν ἀμφισβητήσιμον ἐμφανὲς καὶ σαφὲς καταστῇ, καὶ γνώριμον γένηται πᾶσι πῶς μὲν τὸ πολλάς τινας σέβειν ἡμᾶς ἐνεργείας ἀκτίστους καὶ ἀνουσίους, ἃς καὶ θεότητας ἀνουσιοϋφειμένας τῆς θείας καλοῦμεν οὐσίας καὶ διαφόρους αὐτῆς τε καὶ ἀλλήλων, ἀκίβδηλόν τέ ἐστι καὶ εὐσεβές, ἡ δὲ τῶν ἀντιθέτων καθ' ἡμῶν λοιδορία μάταιος καὶ κατεγνωσμένη. ἔστι μὲν οὖν κἀντεῦθεν οὐκ ἄδηλον τὸ τῆς 3.246 θείας ψήφου καὶ τῆς αὐτῶν καταδίκης· αὐτοὶ μὲν γὰρ ἐν παραβύστῳ καὶ γωνίαις ἐρριμμένοι πάσης ἄξιον ὕβρεως ἀνύουσι βίον καὶ λίαν ἠχρειωμένον, ἡμῖν δὲ παρρησίαν δίδωσιν ὁ θεός, καὶ σεμνύνεσθαι τά τε ἄλλα, καὶ μάλιστα τῇ τοῦ παρόντος διὰ μακρῶν ἤδη τῶν χρονικῶν περιόδων εὑρέσει θείου λειψάνου." ταῦτα δὴ καὶ πλείω τὰ παραπλήσια διεξεληλυθώς, ἐκέλευσε ταῖς μοναζούσαις ὀλίγων ἐντὸς ἡμερῶν τῇ τῷ ἁγίῳ ἐκείνῳ λειψάνῳ ἁρμοττούσῃ ἐνθεῖναι θήκῃ κατὰ τὸν ἐν τοῖς τῆς μονῆς προπυλαίοις προπαρεσκευασμένον οἰκίσκον, κἄπειτα ἑξῆς ἑτοιμάσαι καὶ ὅσα πρὸς ἀπαρτισμὸν ἐνθρονισμοῦ συντελεῖ, βρώσιμά τε πρὸς τούτοις καὶ πόσιμα ὅσα πρὸς ὑποδοχὴν ἀρκέσει τῷ τε τῆς ἐκκλησίας ἅπαντι κλήρῳ καὶ ὅσοι τῶν ἐπισκόπων καὶ πρεσβυτέρων καὶ λαϊκῶν ἐπείσακτοι ἔσονται, ἅμα αὐτῷ τὴν ἱερουργίαν τελέσοντες. καὶ ταῦτα μὲν τῇδέ πῃ κεχώρηκεν, ἄρτι δὲ τῆς ἡμέρας ἐνστάσης ἐν ᾗ τὴν ὑστεραίαν ἔδει τὰ τῆς ἱερουργίας τελεῖσθαι, πάντα μὲν ἦν ταῖς μοναζούσαις ἐκείναις ἕωθεν ἐς ἑσπέραν πονούσαις ἀνενδεᾶ τὰ τῆς χρείας, τῷ δὲ ἁγίῳ καὶ τῷ τοῦ ἁγίου μόνῳ θεῷ παντάπασιν ἀνένδεκτόν τε καὶ ἥκιστα ἀνεκτὸν ὑπ' ἀνδρῶν πολυθέων καὶ οὕτω δυσσεβείᾳ μακρᾷ αὐτῶν τε κραταιῶς ἐχομένων καὶ ἑτέροις αἰτίων ἀεὶ γινομένων τὴν αὐτουργίαν 3.247 πεπρᾶχθαι τοῦ προκειμένου. διὸ καὶ τῆς νυκτὸς ἐκείνης περὶ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τὰς ἀλεκτρυόνων ἤδη γενομένης ᾠδάς, φήμη τις ἡσυχῇ περιέθει τὴν πόλιν, ἔνδον τειχῶν τὸν βασιλέα Παλαιολόγον εἰσκεχωρηκέναι διὰ τῶν θαλαττίων τοῦ νεωρίου πυλῶν τῶν πρὸς ἕω ταχυναυτούσαις μονήρεσι καὶ διήρεσιν ἐκ Τενέδου καὶ Ἴμβρου καὶ τριήρει μιᾷ, δυοῖν νυχθημέροιν πρότερον ἐκ Τενέδου τὸν ἔκπλουν πεποιηκότα. θόρυβος οὖν διὰ τοῦτο κατέσχε τοὺς Βυζαντίους ἡδονῇ καὶ λύπῃ σύμμικτος, καὶ ὅσα ἐν τοῖς τοιούτοις συμβαίνειν εἴωθε, τῶν μὲν διὰ φόβον ἀσχετῶς φευγόντων, τῶν δὲ διὰ κέρδος λαμπρῶς διωκόντων. πάντων δὲ μάλιστα φόβος κατέσχε τὸν πατριάρχην Φιλόθεον οὐ πάνυ μικρὸς διὰ τὸ πάνυ τοῦ συμπτώματος ἀπρόοπτον καὶ αἰφνίδιον· καὶ γὰρ ὁ χθὲς βρενθυόμενος καθιεροῦν τὸν ναὸν εἰς βεβαίωσιν τῆς παλαμικῆς αἱρέσεως ἀνίερος τήμερον ὤφθη καὶ μάλα τι σφόδρα θεοῦ καὶ ἱερωσύνης ἀνάξιος. ὅθεν ἐπεὶ μὴ λελογισμένα πράττειν μηδὲ συνέσει προσήκοντα παρέχουσιν οἱ τοιοῦτοι καιροί, καὶ μάλισθ' ὅτε καὶ θεήλατός τις ἐλαύνοι πληγή, ἐξέστη καὶ οὗτος τοῦ καθεστῶτος εὐθὺς φρονήματος, καὶ ξυννενοηκὼς ἀνύποπτον μόνον εἶναι τὸν ἐπὶ θάτερα κρυπτῆρα μέρη τῆς τοῦ θεοῦ σοφίας λεγόμενον φοῦρνον, ἔνθα καὶ ᾧ τοὺς τῷ θείῳ προσιόντας βαπτίσματι 3.248 χρίεσθαι μύρῳ νενόμισται, ἕψουσιν ἐν πενταετηρικαῖς περιόδοις ἢ καὶ πλείοσιν ἴσως καὶ ἥττοσιν ἐνίοτε κατὰ τὴν τῶν ἄλλοτ' ἄλλων βούλησιν καὶ χρείαν πατριαρχῶν, ἐν τούτῳ φυγὼν ὑπότρομος καὶ περιδεὴς ὁ χθὲς διώκτης θρασὺς ἐπὶ πολλαῖς ἐκρύπτετο ταῖς ἡμέραις, ἠχρειωμένος καὶ μάλα ἀπαγορεύων τὸ ζῆν. Ἔξεστιν οὖν συλλογίζεσθαι πῶς τὰ χθὲς καὶ πρώην μετὰ σοβαροῦ τοῦ ἤθους δημοσιευθέντα τῷ Φιλοθέῳ μεγαλαυχήματα κατὰ τῶν ὀρθοδοξούντων καὶ τὰς τῆς βωμολοχούσης γλώττης εὐτραπελίας ἤλεγξεν οὐκ εἰς μακρὰν ὁ θεός, δικαίαν τὴν κρίσιν ἐπενεγκὼν τῷ περιφανῆ τὴν ἀδικίαν εἰς τὸ ὕψος λαλήσαντι, μᾶλλον δὲ λαλήσαντι μὲν καὶ τότε, λαλήσαντι δὲ καὶ πρότερον ἢ τότε καὶ μεθύστερον ἢ τότε, καὶ λαλοῦντι διηνεκῶς αὐτῷ καὶ ὅσοι ἀμφ' αὐτὸν καὶ σὺν αὐτῷ παλαμισταί. τίς δ' οὐκ ἂν ἀπείποι βουλόμενος ἀριθμεῖν τοὺς περιφανεῖς κατ' αὐτῶν ἀεὶ γινομένους θεόθεν ἐλέγχους ὥστε σύνεσιν σχεῖν εἰς ἐπιστροφήν; τίς δ' οὐκ ἂν ἐκπληγείη βλέπων τὸ ἀκαμπὲς αὐτῶν καὶ ἀνεπίστροφον εἰς τὸ τὴν σφετέραν συνεῖναι πλάνην; καὶ ταῦτα μὲν τοῦτον ἔσχε τὸν τρόπον. Τῶν δ' υἱέων Καντακουζηνοῦ Ματθαῖος μὲν ὁ βασιλεὺς διατρίβων ἔτυχε τηνικαῦτα ἐς ὅσα ἐπέκεινα Διδυμοτείχου τε καὶ Ὀρεστιάδος, Μανουὴλ δ' ὁ μετ' ἐκεῖνον, δεσπότης τὸ 3.249 ἀξίωμα ὤν, ἐς Πελοπόννησον, πέμπτον ἔτος ἤδη τῶν ἐκεῖ Ῥωμαϊκῶν χωρίων καὶ πόλεων τὴν ἐπιτροπὴν διοικῶν. ὁ δ' ἐπὶ θυγατρὶ γαμβρός, Κόντου Κεφαληνίας παῖς, Αἴνου τῆς πόλεως ἦν ἐπίτροπος, καὶ εἴ τι πέριξ ὑπῆρχε χωρίον βαρβαρικῆς ἀθῶον ἔτι καταδρομῆς. τῶν δὲ γυναικαδέλφων σεβαστοκρατόρων Ἰωάννης μὲν ἔτυχε τῷ Παλαιολόγῳ τέως συνδιαιτώμενος τῷ βασιλεῖ, τειχῶν Βυζαντίων ἐντός, ἅτερος δ' ἦρχε Βιζύης ὁ Μανουὴλ ἐκ πολλοῦ τὴν ἐπιτροπὴν εἰληφὼς πρὸς τοῦ Καντακουζηνοῦ· αἱ λοιπαὶ δ' ὑπέκυψαν Παλαιολόγῳ τῷ βασιλεῖ ὁπόσαι μήπω βαρβάροις προδέδονται πόλεις. Μηνῶν δ' ἐγγὺς δυοῖν μεταξὺ παρερρυηκότων ἧκεν ἐκ Τενέδου καὶ ὁ Κάλλιστος οὕτω λεγόμενος, πατριάρχης μὲν εἶναι συγχωρηθεὶς αὖθις πρὸς Παλαιολόγου τοῦ βασιλέως ἅτε ἐζηλωκώς, ὡς ἔδοξεν, ὑπὲρ αὐτοῦ, μὴ στεργόμενος δ' οὖν, εἰ μὴ τὰ κατὰ βούλησιν δρῴη αὐτῷ. ὃ μὲν γὰρ ἐβούλετο πάντας, συλλήβδην εἰπεῖν, ἐπισκόπους καὶ πρεσβυτέρους τῆς ἐπισκοπικῆς καθελεῖν ἀξίας· βασιλεῖ δ' οὐκ ἦν οὐδ' ὁπωσοῦν ἀνεκτὸν εἰ μὴ ἀλλήλοις ἀφῶσι τἀγκλήματα, συνιόντες εἰς ἕν. ὀψέ γε μὴν καὶ σφόδρα μόγις ἡ τοῦ βασιλέως φιλάνθρωπος νενίκηκε βούλησις. οὐ τελέως μὲν νενίκηκε δ' οὖν. τοῖς μὲν γὰρ ἐπισκόποις καὶ ἄκων ὁ Κάλλιστος ἐσπείσατο, τῷ δὲ μετά γε αὐτὸν πατριαρχεύσαντι Κοκκίνῳ τῷ Φιλοθέῳ λεγομένῳ τὸ παράπαν οὐδαμῇ, ἀλλὰ τοὺς αὐτοὺς 3.250 ἐπισκόπους συνηθροικὼς οἳ τοῦτον μὲν πέρυσι τῆς πατριαρχείας ἐξῶσαν ἐκεῖνον δ' ἀνθείλοντο, δι' αὐτῶν ἐκείνῳ τὴν ἐπεξέλευσιν εἴργασται. καὶ καθαιρεῖ μὲν αὐτὸν τῆς ἱερωσύνης


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ὁμοῦ τῇ τῆς ἀξίας ἐλπίδι, ἐπιτίθησιν δὲ καὶ ἀφορισθεὶς ὑπ' ἐκείνου πρὶν καὶ αὐτὸς ἀφορισμὸν ἐκ θεοῦ, μοιχόν τε ἀποκαλῶν καὶ λῃστὴν καὶ ἅρπαγα τῆς μηδαμῇ προσηκούσης ἀξίας αὐτῷ. καὶ ταῦτα μὲν τοῦτον ἔσχε τὸν τρόπον. Ἐγὼ δ' ἐπὶ τούτοις τῷ βασιλεῖ προσεληλυθὼς καὶ ἀπειληφὼς ἰδίᾳ, καὶ ὅσα δήπουθεν ἐχρῆν ὡμιληκὼς ὑπὲρ τῶν θείων τῆς ἐκκλησίας δογμάτων, καὶ τὴν πρὸς τοῦ Καντακουζηνοῦ καὶ Παλαμᾶ καινοτομίαν τῆς εὐσεβείας γεγενημένην ἐκτραγῳδήσας, καὶ προσθεὶς ὡς ταῦτ' ἐστὶν ἃ τὴν τοῦ θεοῦ κεκίνηκεν ὀργὴν κατὰ τοῦ Καντακουζηνοῦ ὡς αἰσχρῶς τῆς βασιλείας ῥιφῆναι καὶ πρὸς τῶν φαυλοτάτων ἐξουδενωθῆναι λαμπρῶς, ἔπειτα παρῄνουν ἀνειληφέναι πεσοῦσαν τὴν πάτριον τῆς τοῦ θεοῦ ἐκκλησίας εὐπρέπειαν καὶ πρὸς τὸ ἀρχαῖον ἀναγαγεῖν ἀξίωμα, εἰ μὴ βούλοιτο καὶ αὐτὸς τοῖς ὁμοίοις περιπίπτειν δεινοῖς. θεοῦ γὰρ διδόντος τὴν πατρῴαν αὐτῷ βασιλείαν ἀπονητί, χρῆναι καὶ αὐτὸν ἀποδιδόναι τὴν πάτριον εὐσέβειαν τῷ θεῷ, τοῦ πάνυ τι χαλεποῦ τὸ πάνυ τι ῥᾷστον ἀλλαξάμενον. ἐντεῦθεν γὰρ ἐξεῖναι τοῦ λοιποῦ συλλήπτορι τῇ ἄνωθεν κεχρῆσθαι δεξιᾷ πρὸς ἅπασαν πρᾶξιν ὁμοῦ καὶ βουλήν. πρὸς δὴ ταῦτα καὶ τὰ τοιαῦτα βούλησιν μὲν 3.251 ἔχοντα πάνυ πολλὴν ἐγνωκὼς ἐγώ, ἔμπρακτόν γε μὴν ὁρμὴν ἥκιστα πάνυ πολλήν, πόνῳ πόνον αὖθις προσεθέμην, καὶ δὶς ἑξῆς καὶ τρὶς καὶ τετράκις αὐτῷ προσιὼν καὶ τὰ τοῖς προρρηθεῖσιν ἀκόλουθα δεξιῶς ὁμιλῶν κατανεῦσαι πεποίηκα δυοῖν ὁπότερον ἕλοιτ' ἂν διαπράξασθαι. εἰ μὲν οὐ διδόντων ἄδειαν τῇ τοιαύτῃ σχολῇ τῶν πραγμάτων ἔς γε τὸ ἱκανὸν ἀποχρῶσαν, προγράμματι γοῦν καὶ προστάξει δραστικωτέρᾳ βεβαιῶσαι μὲν τὴν τῶν γονέων τε καὶ προγόνων αὐτοῦ γε εὐσέβειαν καὶ ἐς τὴν πρὶν ἐκείνην θεοπρεπῆ κατάστασιν ἀνενεγκεῖν, ἀκυρῶσαι δὲ τὰς μετὰ τελευτὴν τοῦ πατρὸς αὐτοῦ παρεισφθαρείσας κηλῖδας καὶ κῆρας νεοφανεῖς καὶ τοῖς θείοις ἀποτροπαίους δόγμασιν. εἰ δ' ἀδείας ἐπειλημμένος τῆς προσηκούσης ἐξετάσει τελεωτέρᾳ βουληθείη διδόναι τὰ τυραννικῶς ὁμοῦ καὶ βιαίως παρεισαχθέντα βλάσφημά τε καὶ νεοφανῆ τῇ τοῦ θεοῦ ἐκκλησίᾳ γράμματα πρός τε τοῦ Καντακουζηνοῦ καὶ τοῦ Παλαμᾶ, ἑτοίμως ἔχειν ἐμὲ κατὰ τὸ πάνυ τι ῥᾷστον δεικνύειν καθ' ἕκαστα μηδὲν ὑγιὲς μηδαμῇ ἐπαγόμενα, ἀλλ' ἐκπεφυκέναι καὶ συμπεφύρθαι ποικίλας αὐτοῖς καὶ πολυειδεῖς τὰς τερατομόρφους καινοτομίας τῶν ἐννοιῶν καὶ τῶν συλλαβῶν καὶ τῶν λέξεων καθ' ὁπόσας τῶν ἁγίων ἐρανισάμενοι ῥήσεις παρέφθειράν τε καὶ παρακεκόφασι, τὴν ἑαυτῶν αὐτοῖς ἀνακεραννύντες πανταχόθεν ἅμα καὶ παντάπασι μοχθηρίαν. 3.252 Ταῦτα δὴ καὶ τοιαῦτ' ἐμοῦ γε εἰρηκότος καὶ πεπεικότος, λάθρᾳ ἐξέπιπτεν εἰς ἀκοὰς ἀλλοτρίας καὶ ἀντιθέτους, καὶ πρὸς φθόνον καὶ φόβον ἠρέθιζεν ἥκιστα δὴ φορητόν. μάλιστα δ' οὖν ἁπάντων ἐξέπληξέ τε καὶ ἐξέμηνε Καντακουζηνὸν τὸν τῆς τοῦ θεοῦ ἐκκλησίας ὄλεθρον καὶ βεβαιωτὴν τῆς ὅλης κακίας διάπυρον. ὃς δήπου καὶ δείσας μὴ νῦν, ὁπότε μήτ' αὐτὸς τυραννοίη μήθ' ὁ αὐτοῦ μυσταγωγὸς παρείη Παλαμᾶς, ὑπέρσχῃ καὶ πέρας σχῇ τὰ βεβουλευμένα, λάθρᾳ σὺν πολλῇ τῇ σπουδῇ πεπομφὼς Ὑρκανῷ τῷ γαμβρῷ καὶ βαρβάρῳ χρήματα πρὸς Βιθυνίαν τὴν ἐκείνου δεξιὰν καὶ γνώμην ἱκανῶς ἔχοντα ἐμπιπλᾶν, πέπεικεν ἐλεύθερον ἐς Βυζάντιον ἀποστεῖλαι Παλαμᾶν τὸν τῆς κακίας προστάτην, ἵνα, τὸν δεύτερον φάναι πλοῦν, συμμαχία τις τῷ πονηρῷ γοῦν αὐτὸς γίγνηται δόγματι. ὃ δὴ καὶ ἡμῖν ἔδοξε μᾶλλον ἢ ἐκείνῳ βέλτιον· πρὸς γὰρ παρόντα τῶν τῆς αἰσχύνης κινουμένων ἐλέγχων, οὐκ οὔσης ἤδη τῆς ἀμάχου συμμαχίας τοῦ Καντακουζηνοῦ, μᾶλλον δὲ τῆς τυραννικῆς καὶ λίαν ἀτόπου, οὐκ ἐλείπετ' ἂν ἔτι πρόφασις ἀποφυγῆς οὐδ' ἡτισοῦν τῷ τὴν γνώμην καὶ πάντα τρόπον διαστρόφῳ καὶ πάντα ἀτόπῳ. Ἀλλ' ἐπὶ τούτοις ἡ βασιλὶς Ἑλένη πρὸς Βυζάντιον ἐκ Τενέδου ἀφιγμένη τὴν εἰς τοῦτο ῥοπὴν ἀνεχαίτισε τοῦ συζύγου καὶ βασιλέως Παλαιολόγου, μήτ' αὐτὴ μηδαμῇ βουλομένη τῆς Καντακουζηνοῦ τοῦ πατρὸς αἰσχύνης σύν γε τῷ πρέποντι 3.253 ἀναθέματι καταστῆναί πως αὐτήκοος, μήτε μὴν τὰς ἐκείνου παρ' αὐτὴν γινομένας λαθραίας μηνύσεις καὶ παρακλήσεις ἀτελεῖς παρακρούεσθαι



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

δυναμένη. καὶ τοῦτ' ἦν ὃ τὴν τῆς ἐκκλησίας καὶ τῶν θείων τέως δογμάτων ἔσβεσεν ἐπανόρθωσιν μετὰ τῆς ἐμῆς ἐς τοῦτο σπουδῆς, οἶμαι τοῦ θεοῦ τελεωτέραν ἔτι γενέσθαι τὴν τῶν ὑπὲρ εὐσεβείας ἀθλούντων δοκιμασίαν ἐπιψηφιζομένου. οὐ γὰρ τῶν ἀρξαμένων ἀθλεῖν οἱ στέφανοι καὶ τὰ ἔπαθλα, ἀλλὰ τῶν ἄχρι τέλους ἀνύειν προθυμουμένων ἅπαντα τὸν τοῦ δρόμου δίαυλον. διὸ καὶ πολλάκις ἄλλων κοπιώντων ἄλλοι τοὺς ἐκείνων μόχθους ἀπονητὶ λαμβάνουσί τε καὶ ἀπολαύουσι, μήτ' ἐκείνων ζημιουμένων τὰς ἀμοιβὰς πρὸς τοῦ ἀγωνοθετοῦντος θεοῦ διὰ τοῦ μεταξὺ τῶν ἀγώνων θανάτου, καὶ τῶν ὑστέρων κοινωνούντων τοῖς πρώτοις διὰ τὴν τῶν τρόπων ὁμοιότητα τῆς διανομῆς τῶν βραβείων, τὰ βάθη τῶν τοῦ θεοῦ κριμάτων οὐ δυναμένων ἐν τούτοις ἡμῶν ἐρευνᾶν. Εἰκάσειε δ' ἄν τις ἴσως ὡς τοῖς ἀσεβέσι διώκταις ἡμῶν τουτοισὶ μετανοίας ἀνοίγων θύραν ὁ κοινὸς προμηθεὺς δίδωσί τε διαμονῆς καιρὸν ἐνταυθοῖ, καὶ ὑπερτίθησιν ἑκατέροις ἑκάτερα, ἡμῖν τε τὴν θείαν ἐπικουρίαν κἀκείνοις τὴν δικαίαν ἐπεξέλευσιν. παιδεύει δ' οὖν ὅμως συμφορὰς ἐπιφέρων νῦν μὲν ἐξ ἀλλήλων ἀλλήλοις ἀλλεπαλλήλους, ἵνα μᾶλλον τῆς ἑαυτῶν κακίας αἰσθάνοιντο (οὐ γὰρ κατὰ τοῦ ἀγαθοῦ 3.254 μόνον μέμηνε τὸ κακόν, ἀλλὰ καὶ ἑαυτῷ στασιάζει καὶ μάχεται), νῦν δ' ἐπιταράττων καὶ διασκεδάζων ἐξαίφνης ἄλλοθεν ἄλλοθι καὶ ἀντιπερισπῶν τὸν ἅπαντα νοῦν τοῖς οἰκείοις προσέχειν παθήμασί τε καὶ ἀτοπήμασι, καὶ μὴ μόνοις ὁλοσχερῶς ἀεὶ τοῖς ἡμῶν ἐντρυφᾶν ἀδίκοις ὀνείδεσί τε καὶ διωγμοῖς. Ἐκεῖνο δὲ πῶς οὐκ ἄν τις θαυμάσαι τῆς θείας οἰκονομίας, ὅτι παρὰ τοσοῦτον Καντακουζηνῷ συγκεχώρηκε τὴν τοῦ μεγίστου τῆς τοῦ θεοῦ σοφίας νεὼ βραχεῖαν ἐκείνην οἰκοδομήν, τοῦ περὶ τὸν ὄροφον δηλαδὴ τεθραυσμένου μέρους, παρ' ὅσον τήν γε πρὸς χιόνων καὶ ὄμβρων αἰθερίων ἀποτροπὴν ἀνασώσασθαι σκέπην. ὅσα δ' οὖν τῶν ἐντὸς ὑπερλαμπρῶν ἱερῶν περιβόλων ἐκείνων καὶ θυσιαστηρίων ἁγίων παντάπασιν ἀνάλωται καὶ συντέτριπται, ταῦτα δ' ἀσεβέσιν αὐτοῦ καὶ βεβήλοις ἀνεγηγέρθαι χερσὶν οὐδαμῇ συγκεχώρηται πρὸς θεοῦ, ἀλλ' ἐν μέσῃ φάναι πορείᾳ τῆς ἐξουσίας ἐκπέπτωκεν ἀκλεῶς, χλεύην μακρὰν καταλελοιπὼς τῷ βίῳ καθ' ἑαυτοῦ διὰ τὴν καινοτομίαν τῆς πίστεως. οὐδὲ γὰρ ἦν εἰκὸς τὰ πρὸς ἔλεγχον ἐμφανῆ τῆς αὐτοῦ καὶ τῶν ἀμφ' αὐτὸν δυσσεβείας ἀπολωλότα δι' αὐτοῦ πάλιν ἀνανεοῦσθαι. Εἰ δ' ὁ βρεφοκτόνος Ἡρώδης πάλαι πρὸς θεοῦ τὴν περιφανῆ τε καὶ πολυδάπανον ἐκείνην οἰκοδομὴν τοῦ τῶν Ἱεροσο 3.255 λύμων νεὼ συγκεχώρηται, τοσούτων ἐφεστίων τε καὶ συγγενῶν αἱμάτων χεῖρας ἅμα καὶ γνώμην ὑπάρχων μεστός, ἀλλ' ἔστιν εἰπεῖν ὡς τῆς πατρίου τούτῳ θρησκείας ἐν τῷ καλῷ τηνικαῦτα μενούσης ἔτι οὔτ' αὐτὸς ἑαυτὸν αὐτῆς ἠλλοτρίωσεν, οὔθ' ἑτέρους οὐδένας παρέπεισε τοῦτο παθεῖν. Καντακουζηνὸς δ' οὑτοσὶν αὐτός τε ἐξωμόσατο φανερῶς τὴν πάτριον εὐσέβειαν, καὶ πλὴν ὀλίγων τοὺς ἄλλους ἠνάγκασεν ἅπαντας, τοὺς μὲν δωρεαῖς τε καὶ λήμμασι παραλόγοις, τοὺς δ' ἀπειλαῖς καὶ κολάσεσι κακοτρόποις, εἰς τὸν ἴσον αὐτῷ κατενεχθῆναι κρημνόν. Ἄξιον δ' ἐνταυθοῖ γενομένους καὶ τό γε μῆκος καὶ πλάτος ἡμᾶς ἀφηγήσασθαι τῆς ὑπὸ τὴν κυρτὴν ἐντὸς ἐπιφάνειαν τοῦ ὀρόφου τούτου γραφείσης ἀρτίως ἁγίας εἰκόνος τῆς ἐνυποστάτου σοφίας θεοῦ, τοῦ σωτῆρος λέγω Χριστοῦ. εἶναι γὰρ καὶ τοῦτο τοῖς ὀψιγόνοις ἐράσμιον οἶμαι ἀκρόαμα, καθάπερ δὴ καὶ ἀνωτέρω που τῶν πρώτων τῆς ἱστορίας ταυτησὶν ἡμετέρων ἐκείνων λόγων καὶ βίβλων εὐθὺς ἐν προθύροις τὸν ἐπὶ κίονος ἑστῶτα δεδηλωκότες ἔφιππον ἀνδριάντα χαλκοῦν εὖ ποιεῖν τοῖς συνετωτέροις ἐδόξαμεν, αὐτοί γε ἡμεῖς ἐκείνου γεγονότες αὐτόπται καὶ ταῖς οἰκείαις μετρήσαντες τοῦτον χερσίν, ἐπὶ τὸ ῥᾷστον τέως συνενεχθέντος τοῦ πράγματος, ὡς ἐκεῖ που καθ' ἕκαστα διειλήφαμεν. εἶναι γὰρ ἀξιοζήτητον οἶμαι, εἴ τις κάτωθεν μὲν εἰς ὕψος ὁρῴη, μὴ δύναιτο δὲ τὴν ἀκριβῆ συμμετρίαν δι' ὄψεως παραπέμπειν τῷ 3.256 νῷ, πεφυκυίας μὲν ὡς τὰ πολλὰ τοῖς μεταξὺ τῶν ὁρώντων καὶ ὁρωμένων τοπικοῖς διαστήμασιν ἀπατᾶσθαι, ἐφιεμένης δ' ἄλλως ὁθενδήποτε καὶ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ὁπωσδήποτε συλλέγειν τε τῆς ἀληθείας ἴχνη καὶ εἰκόνας ὁποιασοῦν καὶ τὰ τῆς τοιαύτης ἰατρεύειν ἀπάτης νοσήματα. ἔστι γὰρ τὸ ἐκ κορυφῆς ἄχρι πώγωνος ἄκρου φημὶ τῆς ὑπήνης σπιθαμαὶ μῆκος μὲν ὀκτὼ καὶ εἴκοσι, πλάτος δὲ τεσσαρεσκαίδεκα, δακτύλων δ' ὁ μὲν πρῶτος ὀκτὼ καὶ ἡμισείας τὸ μῆκος, οἱ δ' ἄλλοι κατὰ τὸ ἀνάλογον· τῶν δ' ὀφθαλμῶν ἀνὰ τριῶν ἑκάτερος, ἡ δὲ ῥὶς ἔγγιστα ὀκτώ. τούτων δ' οὕτως καθάπερ στοιχείων δοθέντων ἔξεστιν ἐντεῦθεν, ὁπόσοι χαριέστεροι τῶν ζωγράφων, καὶ τὴν τῶν ἄλλων μελῶν καὶ μερῶν καὶ ἅμα τῆς τοῦ παντὸς σώματος διαπλάσεως τῆς θείας ἐκείνης τοῦ σωτῆρος εἰκόνος κατὰ τὸ τῆς συμμετρίας ἀνάλογον ὅση τίς ἐστιν εὐθὺς συλλογίζεσθαι μῆκος καὶ πλάτος. καὶ ταῦτα διῆλθον ἐμπειρίας ἕνεκα τῶν ἐντυγχανόντων, κράτιστον εἰδὼς ἐφόδιον εἴς γε τὴν τῶν ὄντων ἐπιστήμην καὶ εἴ τινες εἶεν αὐτοῖς ἐνθεωρούμενοι λόγοι σοφοὶ τῆς προνοίας, καθὰ καὶ Ἀριστοτέλει δοκεῖ. φησὶ γὰρ ἐκεῖνος αἴσθησιν μὲν ἐμπειρίας εἶναι ποιητικήν, τὴν δ' ἐμπειρίαν τῶν πρὸς ἐπιστήμην ἀρχῶν παρεκτικὴν ἐκ διαδοχῆς καὶ συλλήπτριαν γίνεσθαι. ἐντεῦθεν γὰρ αἵ τε πολυειδεῖς ἐρρύησαν τῆς σοφίας πηγαί, καὶ οἱ πάλαι τῆς ἐπιστήμης ἐφευρεταὶ τῶν τε αἰθερίων καὶ περιγείων 3.257 τὴν γνῶσιν ἠρύσαντο, καὶ τῆς γε τῶν ποικίλων καὶ παντοδαπῶν πραγμάτων τε καὶ λόγων διδασκαλίας, ὅσον ἐφικτόν, τὰς ἀφορμὰς ἀνειλήφεσαν. εἶεν. ἐγὼ δ' εἰς τὸν εἱρμὸν ἐπάνειμι τοῦ λόγου. Ὁ γάρ τοι πατριαρχεύσας Κάλλιστος μετὰ τὴν αὑτοῦ καθαίρεσιν καὶ τὸν εἰς τὸ γαλατώνυμον φρούριον τῶν Λατίνων λαθραῖον δρασμὸν ἐκεῖνον, καιροῦ μετὰ χρόνον τινὰ τυχὼν λάθρᾳ κἀκεῖθεν ἐξῄει καὶ ἐς Τένεδον κατεπεπλεύκει, Παλαιολόγῳ τῷ βασιλεῖ χαριζόμενός τε καὶ ἀντὶ δώρου παντὸς τὸ τῆς ἐν καρδίᾳ θαλαμευομένης σχέσεως κομίζων διάπυρον, τὸν ὑπὲρ αὐτοῦ δηλονότι ζῆλον ἔργοις αὐτοῖς, καὶ ἀφηγούμενος ὅπως ἐξὸν ἀπολαύειν τῆς πατριαρχικῆς ἐξουσίας καὶ ἅμα τῆς Καντακουζηνοῦ βασιλεύοντος εὐμενείας καὶ εὐεργέτιδος γνώμης, εἰ ἐβούλετο κοινωνεῖν αὐτῷ τῆς ὑπὲρ Ματθαίου τοῦ υἱοῦ βασιλικῆς ἀναρρήσεως, ὃ δὲ τὰ ἔσχατα πάσχειν εἵλετο, τῶν πατρῴων ἀντιποιούμενος αὐτοῦ δικαίων. καὶ εἰ μὴ λαθραίᾳ φυγῇ τὴν σωτηρίαν ἐπόριζεν ἑαυτῷ, τάχιστα ἂν εἵρκτη ζοφώδης καὶ θανάτου βιαίου γείτων ἐδέχετο τοῦτον εὐθύς. καὶ ἵνα τἀν μέσῳ συντέμω, ὅλον ἐνιαυτὸν ἐκεῖ διηνυκότι τά τ' ἄλλα [τε] αὐτῷ πάντ' ἐδρᾶτο τὰ πατριάρχαις ἔθιμα, καὶ ἅμα γραφὰς οὐκ ἠμέλει πέμπων Βυζαντίοις, ὅσαι τὴν εἰς αὐτὸν ἐξετραγῴδουν ἀδικίαν, καὶ μοιχὸν μὲν προφανῆ καλῶν 3.258 Φιλόθεον τὸν Κόκκινον, προδότας δὲ τῆς τῶν κανόνων καὶ νόμων ἐξουσίας τοὺς ἐπισκόπους καὶ θεοῦ καταφρονητάς, ὅτι ταῖς βασιλικαῖς ὑπείξαντες καὶ ἡττηθέντες ἀδίκοις δωρεαῖς συνέχεαν τά τε τῆς ἐκκλησίας πράγματα καὶ πρός γε δὴ τὰ τῆς ἐννόμου βασιλείας. καὶ ἐπὶ τούτοις ἀναθέματί τε αὐτοὺς καθυπέβαλε καὶ χωρισμῷ θεοῦ. ἃ δὴ συχνὰ καὶ δίκην βελῶν ἐκ Τενέδου πεμπόμενα βλέπων ὁ τῆς πατριαχικῆς ἐξουσίας ἄρτι ἐπειλημμένος Κόκκινος ἠγανάκτει τε καὶ ἀντιμηχανώμενος οὐκ ἠμέλει τὰ ἴσα. συνάγων γὰρ τοὺς πλησιοχώρους ἐπισκόπους, καὶ ὅσοι Βυζαντίῳ ἐνδιατρίβοντες ἔτυχον ὁπωσδηποτοῦν, ψηφίσματα ἐξετίθει τε καὶ διέπεμπε πανταχῇ ἀναθέματί τε καὶ ἀφορισμῷ παραπέμποντα Κάλλιστον. ἔπεμπε δὲ μάλιστα τοῖς ἐν Ἄθῳ τῷ ὄρει μονάζουσι τὰ τοιαῦτα ψηφίσματα, παραγγέλλων ἐπὶ τούτοις μηδ' εἰ βουληθείη παρ' ἐκείνους φοιτᾶν δέχεσθαι τοῦτον ἅτ' ἐπ' ἐγκλήμασι Μασαλιανικοῖς ἐννόμως καθαιρεθέντα καὶ οὐκ ἐμμένοντα ταῖς δίκαις, ἀλλ' ἀρχιερατικῶς ἐπιτάττειν καὶ ἀναθεματίζειν καὶ ἀφορίζειν ἀναισχυντοῦντα. χρεὼν οὖν διὰ ταῦτά τε, καὶ ὡς ἤδη καὶ συνοδικοῖς ἀναθεματισμοῖς ὑποπεπτωκότα καὶ τῷ ἐκ θεοῦ χωρισμῷ, οἷα λύμην τοῦ ὅρους ἀποσοβεῖν. Ἐπεὶ δὲ τὰ πράγματα καθάπερ ὀστράκου μεταπεσόντος νέαν ἔσχε μεταβολήν, καὶ τῷ μὲν Καλλίστῳ τῶν πατριαρχι 3.259 κῶν αὖθις κρατῆσαι συμβέβηκε θρόνων, τῷ δὲ Κοκκίνῳ Φιλοθέῳ, πρὶν αἰσθέσθαι, λαμπρῶς ἐκεῖθεν ἀπερρῖφθαι πάσης ἱερωσύνης γυμνόν, ὡς εἰρήκειμεν, γράμματα ἐφοίτα αὐτῷ πρὸς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τῶν τῷ ὄρει τῷ Ἄθωνι ἐνδιαιτωμένων μοναδικῶν ἀνδρῶν, Νίφωνος κατηγοροῦντά τινος τῶν ἐκεῖ μοναχῶν ἱερέως τοὐπίκλην Σκορπίου, ὃς προκεκατηγόρητο πρὸ βραχέος ἐπὶ τῇ τῶν Μασαλιανῶν καὶ Βογομίλων αἱρέσει, σκιωδῶς πως καὶ ἀμαρτύρως ἔτι. τούτῳ μέντοι φίλος ὢν ἐκ πολλοῦ Κάλλιστος οὐδὲ νῦν πατριάρχης γενόμενος τῆς αὐτοῦ φιλίας ἀπέσχετο, ἀλλὰ μία τις ἦν ἐν ἀμφοῖν ψυχή. διὸ καὶ ὠργίζετο τοῖς κατηγόροις, καὶ ἀραῖς ἐγγράφοις καὶ ἀφορισμοῖς καθυπέβαλε καὶ εἴ τις εἴη πιστεύων. ἐφ' οἷς παροξυνθέντες ἐκεῖνοι, καὶ ἅμα τὸ θάρρος ἔχοντες ἐκ τῆς ἀληθείας, συνεληλύθεσαν ἐκ συνθήματος, ἐφ' οὗπερ ἔθος ἦν κἀκείνοις ἀεὶ συνιόντας ποιεῖσθαι τὰ τοιαδὶ τῶν σκεμμάτων. καὶ τόμος ἐκτίθεται ταῖς ἁπάντων ἐκείνων μαρτυρίαις συνειλημμένος, τά τε ἄλλα δηλῶν καὶ ὅτι οὐ τῶν ἀπὸ τύχης καὶ τῶν ἐξ αὐτομάτου συμπίπτειν δοκούντων ἕν τι καὶ τὸ νῦν πεπραγμένον ὑπῆρχεν, ἵνα καὶ σιγῇ δεδωκώς τις ἀθόρυβον σχῇ συνειδὸς καὶ μηδαμῇ τὴν καρδίαν καθεύδειν καὶ ἠρεμεῖν βουλομένην ἀναμοχλεῦον, ἀλλὰ θεοῦ προφανῶς τοῦ τὰ κρύφια δῆλα δρῶντος, ὁπότε βούλοιτο σύνεσιν ἐντιθέναι οἷς ἀσυνέτως ἔχειν 3.260 πρὸς τὴν ὑγιᾶ συμπέπτωκε θεογνωσίαν, ἵνα δηλαδὴ καὶ ὁ πρὸ βραχέος ἐκεῖνος πεμφθεὶς ὑπ' αὐτῶν κατὰ τῶν ἐν τῷ ὄρει τούτῳ ἑαλωκότων ἐπ' αὐτοφώρῳ Μασαλιανῶν καὶ Βογομίλων τόμος θεατρικώτερος γένηται, καὶ πᾶσι γνωσθῇ τῆς ἐφ' οὕτω μέγα κακίας ἀναρριπισθείσης αἱρέσεως ἡ ῥίζα. Μοναχὸς γάρ τις τῶν τῷ Σκορπίῳ τούτῳ ὑπηρετουμένων, τοὐπίκλην Βαρδάριος, θανάτου γείτονι κάτοχος ἤδη νόσῳ γενόμενος, ἔκειτο κάμνων καὶ μυρίαις ἀλγηδόσι τὸ σῶμα κεντούμενος ἅπαν. ἔπειτα ἐφ' ὅλαις ἡμέραις εἴκοσι ἄσιτός τε καὶ ἄποτος διαμείνας ἄφωνος ἔκειτο, πνέων ὁσημέραι τὰ λοίσθια. οὐκ ἔθνησκε δέ, ἀλλὰ τό τε σῶμα ἐξῴγκωτο καὶ μακρά τις ἐπεχύθη τῷ προσώπῳ μελάνωσις. ὀψὲ δὲ τῷ τοῦ πράγματος παραδόξῳ καταπλαγέντες οἱ τῆς μονῆς ἐκεῖ προεδρεύοντες ἤροντο μή τι τῶν αὐτῷ πλημμεληθέντων ἀνεξαγόρευτον ἐν θαλάμοις κρύπτει καρδίας, κἄπειτ' αὐτοῦ κηδόμενος ὁ θεὸς οὐκ ἐᾷ τῷ αἰωνίῳ θανόντα δοθῆναι πυρί. ὃ δὲ συνεὶς καὶ μικρὸν διάρας τοὺς ὀφθαλμοὺς βύθιον ἀνῴμωξε, καὶ μόλις κινήσας τὴν γλῶτταν τοιάδε φησίν. "ἴστε τὴν πρὸ δυοκαίδεκα ἐτῶν ἐνταυθοῖ γενομένην σύνοδον τῶν ἐν τῷ ὄρει τῷδε ἀνδρῶν. τότε τοίνυν ὑποπτευθέντος καὶ τοῦ Σκορπίου, ἐρωτηθεὶς ἐγὼ εἰ σύνοιδα αὐτῷ κοινωνῷ γενομένῳ τοῖς τηνικαῦτα ἁλοῦσι Μασαλιανοῖς καὶ Βογομίλοις ἐνταῦθα, ἔξαρνος ἐγε 3.261 νόμην καίπερ εἰδὼς ἀκριβῶς. ὅρκον τε ἐπέθηκα τῇ ἀπαγορεύσει, καὶ ἀφωρισμένος ἐδεξάμην εἶναι ἀπὸ Χριστοῦ διὰ τὴν ἐκείνου φιλίαν ὁ τρισάθλιος, μήτε κολαστήρια δείσας θεοῦ, μήτ' ἀνδρῶν πνευματικῶν παραινέσεις αἰδεσθείς." ἀρξάμενος οὖν διεξῆλθε τὰς ὁμοῦ τῷ θιάσῳ τῶν Μασαλιανῶν πεπραγμένας βεβήλους ἐκείνῳ καὶ μυσαρὰς ἐργασίας, ἃς ὥραν ἔχειν ἥκιστά μοι δοκεῖ καθ' ἕκαστα λέγειν ἀρτίως ἐμέ, τῆς τῶν ἄλλων ἀνθελκούσης με βιαιότερον ἱστορίας. ἔξεστι γὰρ πάντα καθ' ἕκαστον ἀναλέξασθαι, καὶ νοῦν καὶ σκοπὸν καὶ πρᾶξιν καὶ λόγον καὶ κακίας δύναμιν καὶ θεοῦ μακροθυμίαν καὶ εἴ τι τοιοῦτον, εἴ τις ἐπιέναι βούλοιτο τόν τε γενόμενον πρότερον ἐπὶ τῇ τῶν νέων Μασαλιανῶν ἐκείνων καὶ Βογομίλων εὑρέσει προφανῶς ἐλεγχθέντων ἐπὶ τοῦ θείου ὄρους καὶ τῶν μὲν κολασθέντων τῶν δ' ἐξωσθέντων ἐκεῖθεν, καὶ ἅμα τὸν δεύτερον τοῦτον δὴ τὸν ἐπὶ τῷ ἐλεγμῷ τοῦ Σκορπίου παραδόξως ἐπισυμβάντα θαυματουργήσαντος τοῦ θεοῦ πρὸς τὴν τοῦ πρώτου βεβαίωσιν. ἐκτέθεινται γὰρ ἀμφότεροι ἐν τῷ τέλει τῆς παρούσης ἡμετέρας βίβλου, ἣ τὴν Ῥωμαϊκὴν διέξεισιν ἱστορίαν· οὐ γὰρ ἐκρίναμεν δέον εἰς ἑτέραν ἐκείνους μεταποιῆσαι φράσιν, ἀλλ' εἶναι κατὰ τὰς λέξεις καὶ τά γε κῶλα καὶ κόμματα καὶ τὰ ἤθη τῶν ἐννοιῶν ἀμεταποιήτους, ὡς ἔσχον ἐκεῖθεν ἐληλυθότες, τοῦ ἀδιαβλήτου χάριν. πλὴν ἓν μόνον σημειωτέον τουτί, ὡς ὑπὸ μάρτυσιν ἐκείνοις 3.262 τὴν ἐξαγόρευσιν ποιησάμενος ταυτηνὶ μετ' ὀλίγον ἐξέπνευσεν, ὡς καὶ ψῆφον ἐξενηνέχθαι τέως οἷς ἐκεῖ συνετωτέροις εἶναι



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τετύχηκε, μὴ δι' ἄλλο τι τὰς βιαίας γοῦν ταύτας καὶ τελευταίας ταμιευθῆναι τἀνθρώπῳ πνοὰς πρὸς θεοῦ ἢ διὰ τὴν τῶν ῥηθέντων ἐξαγόρευσιν. ὅμως ἐπειδὴ καὶ ὁ δεύτερος οὗτος νεωστὶ γενόμενος τόμος ἐληλυθὼς ἐκ τοῦ ὄρους εἰς ἐπήκοον Καλλίστῳ τε ἀνεγνώσθη τῷ πατριάρχῃ καὶ τοῖς ἀμφ' αὐτὸν ἐπισκόποις, εἰς ὀργὴν αὖθις ἤγειρε τὸν πατριάρχην καὶ ἄπρακτος ἀπεπέμφθη, τῶν ἀμφ' αὐτὸν ἐπισκόπων οὐδὲν εἰρηκότων, ἀλλὰ κωφοῖς ἐοικότων ἢ λίθοις ἀναισθήτοις, εἰπεῖν οἰκειότερον· οὕτω βοσκηματώδεις εἰσὶ καὶ παισὶν ἀθύρουσι λίαν ἐπίχαρτοι προσηκόντως οἱ νῦν τῶν ἱερῶν καθήμενοι δογμάτων κριταί. ἀλλὰ τούτων μὲν ἅλις, εἰρήσεται δὲ κατὰ χώραν ἰοῦσιν ὅσα ἐπηκολούθησε σφίσι. νῦν δ' ἐκεῖνο ἐπαναλήψομαι. Ἀφίκετό τις ἐκ Λατίνων ἐπίσκοπος παρὰ βασιλέα, Ἰωάννην φημὶ τὸν Παλαιολόγον, φιλίας ἕνεκα προϋπαρχούσης, σοφίας ἔμπειρος ὁπόση καὶ οἵα τὴν τῶν Λατίνων οἰκειοῦται σχολὴν ἐν δογματικαῖς τῶν θείων γραμμάτων διατριβαῖς. ἔφασκε δ' ἐν ταῖς καθ' ἡμέραν ὁμιλίαις τῷ τε βασιλεῖ καὶ οἷς ἐνετύγχανε σοφωτέροις ἰδίᾳ καὶ δημοσίᾳ, πολύν 3.263 τινα γίνεσθαι λόγον παρὰ Λατίνοις περὶ τῆς βασιλίδος ταύτης τῶν πόλεων καὶ ὅσοι τῶν οἰκητόρων παιδείας ἀντιποιοῦνται, τά τε ἄλλα καὶ ὅπως ἄνωθεν ἀεὶ ῥᾳδίως ἐξαπατᾶσθαι εἰώθεσαν καὶ ἄλλοτ' ἄλλαις αἱρέσεσι καὶ δογμάτων καινοτομίαις ἐκκλησιαστικῶν ὑπείκουσιν, ὡς φύλλα δένδρων ἀνέμοις μεταρριπιζόμενα πᾶσι. "καὶ νῦν δ' οὐχ ἧττον Παλαμᾶν τινὰ ὄνομα νόθους καινοφωνίας εἰσαγαγεῖν ἠκηκόειμεν κατὰ τῶν θείων δογμάτων. εἶναι δ' οὐ μόνον αἰσχρὰς τὰς τοιαύτας καινοφωνίας ἀλλὰ καὶ πολυειδεῖς καὶ μωρίᾳ συγκεκραμένας πολυειδεῖ. ὡς εἶναι, οἷς τούτῳ συνίστασθαι περιγίνεται, μακροῖς τισὶ μέτροις κατεγνῶσθαι μᾶλλον ἢ Σαβελλίῳ τε καὶ Ἀρείῳ καὶ ὅσοι κατ' Εὐνόμιον καὶ Νεστόριον καὶ Ἀπολινάριον εἶεν συνηγοροῦντες. σύμφωνα μὲν γὰρ κἀκείνοις, ὡς ἔγνωσται, φθέγγεται, διαφόροις δ' οὖν καὶ ἀτοπωτέροις ὑπερβολαῖς παραλλάττοντα. καὶ τό γε παραλογώτατον· ὅπῃ τοῦτον μάλιστα πάντων ἐκείνων ἐχρῆν αἰσχύνεσθαι, ὧν ταῖς ὑπερβολαῖς τῶν βλασφημιῶν ὑπερέσχεν, ὃ δὲ καὶ πρὸς δικαίωσιν ἑαυτοῦ καὶ φρούριον μάλα προβάλλεται ἰσχυρὸν ὅτι μὴ ὁμόφωνα καθάπαξ φθέγγεται σφίσι. καὶ ὅτι μὲν οὐχ ὁμόφωνα ταῦτ' ἐκείνοις, βοᾷ, ὅτι δὲ χείρω κἀκείνων μακροῖς τισὶ μέτροις, σιγᾷ, παίζων, ὡς ἄν τις φαίη, ἐν οὐ παικτοῖς. τοῦτον τοίνυν εἰς ὄψιν ἀφῖχθαί μοι βουλοίμην ἄν. εἰ οὖν 3.264 σοι καὶ ἡμῶν μέλοι, μὴ ἄχθεσθαι, σὺ δ' ἀλλ' ἐντελῆ μοι τὴν ζήτησιν δρᾶν προθυμήθητι." Τὴν δὴ τοιαύτην ἔφεσιν τοῦ Λατίνου μηδὲν μελλήσας ὁ βασιλεὺς ἐς τὴν ὑστεραίαν εὐθὺς ἐκπληροῖ, παρεσκευακὼς ὁμιλῆσαι τῷ Παλαμᾷ, καὶ ὧν λέγει αὐτὸν αὐτήκοον γεγονέναι τὸν Λατῖνον. τῆς οὖν ὁμιλίας γενομένης μικρὸν διαστὰς καὶ ἀπολαβὼν ἰδίᾳ τὸν βασιλέα ὁ Λατῖνος πολλὰ μὲν ἀκούειν ἔφη λέγοντος Παλαμᾶ, μάτην δ' οὖν καὶ ἄλλοθεν ἄλλα συμπεφυρμένα τε καὶ παρευρημένα, ὡς ἀπορεῖν ἡμᾶς ἀποφαίνεσθαι πότερον τῇ ποιότητι τούτων ἢ τῇ ποσότητι δοίη τις ἂν τὸ πρὸς κακίαν τρόπαιον. ἐζήτησε δ' οὖν ὅμως τοῦ Παλαμᾶ διαλεγομένου καὶ πρὸς ἐμὲ σιγῶν αὐτὸς γενέσθαι ἀκροατής. διὸ καὶ τῇ ὑστεραίᾳ καλῶν ἐκ βασιλέως ἥκει κἀμὲ τῶν ἐπ' εὐγενείᾳ σεμνυνομένων ὁ μέγας λογοθέτης, ἄρτι τῶν εἰωθότων τῆς κεφαλῆς νοσημάτων οὐ τελέως μὲν ἀπηλλαγμένον δ' οὖν. κἀπειδὴ παρακρούεσθαι οὐκ ἐνῆν, ἀναστὰς ἀπῄειν, ὅτου χάριν ἥκιστα πάντων οὔτ' εἰδὼς οὔτε μὴν πολυπραγμονήσας μαθεῖν. προσετετάχει γὰρ ἡ βασιλὶς Ἑλένη μὴ προεγνῶσθαί μοι τὸ τῆς προσκλήσεως αἴτιον, ἵνα μὴ σὺν μελέτῃ δρῴην τὴν ἄφιξιν καί τις παρευδοκίμησις γένηται τῆς τοῦ Παλαμᾶ ἐπιδείξεως. διὰ γὰρ τὸν ἑαυτῆς πατέρα Καντακουζηνὸν λίαν καὶ αὕτη τῷ 3.265 Παλαμᾷ προσέκειτο, καὶ ἀντέπραττεν ὡς τὰ πολλὰ τῇ τοῦ συζύγου γνώμῃ πρὸς ὅσα τῇ θρησκείᾳ συντείνει. ἄρτι γε μὴν τὴν βασίλειον αὐλὴν εἰσιόντι μοι καὶ Παλαμᾶν ἐκεῖ πρὸς διαλέξεις ἔφεδρον εἶναι μαθεῖν ἐξεγένετο. οὕτω δ' ἔχοντί μοι τῶν ἐκ κεφαλῆς ἀλγηδόνων ἔτι, καὶ οὕτως ἀπροσδοκήτως ἐμπεπηδηκότος μοι τοῦ ἀγῶνος, πρῶτον μὲν ἔδοξε


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%). Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

βέλτιον οἴκαδε τέως ἐπανιέναι με, μικρὰ τῶν μεμηχανημένων προσκλήσεων ἐκείνων φροντίσαντι· ἵνα δ' οὖν μὴ δειλίας ὑπόνοιαν τοῖς φιλοσκώμμοσι δῶμεν, ἐπερρώσαμέν τε αὖθις τὸν λογισμὸν καὶ ἀνελάβομεν ἑαυτούς, θεῷ τὸ πᾶν ἐπιτρέψαντες. Καὶ οὕτως εἰς αὐτὸν εἰσήειν βασιλέα τῇ τε τῶν εὐγενῶν συνόντα παρουσίᾳ καὶ ἅμα τῆς βασιλίδος Ἑλένης, τῷ τοῦ συμβάντος σχεδίῳ παρηκολουθηκώς. τά γε μὴν ἐκεῖ λαληθέντα, ὁπόσα καὶ οἷα, καὶ ὅπως ὁ καιρὸς ἐσχεδίασε τὰ τοιαῦτα, δηλώσει τὰ ἐφεξῆς. γέγραπται μὲν γάρ μοι ταυτὶ λεπτοτέρᾳ τινὶ διηγήσει, ἐκδέδοται δ' ὡς ἐξ ἑτέρου τῶν ἐκεῖ παρόντων ἑνός, πρὸς ἐρωτήσαντά τινα δῆθεν διεξιόντος. ἔχει δὲ οὑτωσίν. 3.266 ΤΟΥ ΑΥΤΟΥ ΝΙΚΗΦΟΡΟΥ ΤΟΥ ΓΡΗΓΟΡΑ ΡΩΜΑΙΚΗΣ ΜΕΝ ΙΣΤΟΡΙΑΣ ΛΟΓΟΣ Λ, ΔΟΓΜΑΤΙΚΟΣ ΔΕ Α. ΜΟΝΑΧΟΥ ΝΙΚΗΦΟΡΟΥ ΤΟΥ ΓΡΗΓΟΡΑ ΔΙΗΓΗΣΙΣ ΠΕΡΙ ΤΗΣ ΔΙΑΛΕΞΕΩΣ ΗΝ ΕΠΟΙΗΣΑΤΟ ΠΡΟΣ ΤΟΝ ΠΑΛΑΜΑΝ ΕΝΩΠΙΟΝ ΤΟΥ ΒΛΣΙΛΕΩΣ ΚΥΡ. ΙΩ. ΤΟΥ ΠΑΛΑΙΟΛΟΓΟΥ. ΕΙΣΑΓΕΤΑΙ ΔΕ Η ΔΙΗΓΗΣΙΣ ΩΣ ΕΞ ΕΤΕΡΟΥ ΠΡΟΣΩΠΟΥ. Ἀλλ' ὦ φίλων ἄριστε Ἀγαθόνικε, σύ μοι πάντως μάλιστα πάντων λέγοις ἂν καὶ ἀφηγοῖο τὴν χθὲς ἐπὶ τοῦ τὰ πάντα ἀρίστου βασιλέως γενομένην διάλεξιν Γρηγορᾷ τε καὶ Παλαμᾷ. Καὶ μάλα γὲ, ὦ φίλε Θεότιμε, εἴ σοι βουλομένῳ καὶ σχολὴ προσείη τὸ ἱκανὸν οὐδαμῇ ἀποσειομένη· ποικίλη γὰρ ὡς ἀληθῶς καὶ ἀκοῆς δεομένη λαμπρᾶς, καὶ ἣ ἔρρωται πρὸς θειοτέρων ἀντίληψιν ἐννοιῶν. πάντα μὲν οὖν σοι καθ' ἓν τὰ ἐκεῖ λεχθέντα διεξιέναι ἴσως μὲν ἂν δυναίμην, ἴσως δ' οὔ, λήθης ἐνίων παρασυρέντων βυθοῖς· τὰ δ' οὖν ἀξιολογώτερα, καὶ ὧν σοι μᾶλλον ἀκοῦσαι χρεών, ταῦτα δ' οὖν ὡς ἐν κεφαλαίῳ μεμνήσομαί σοι. 3.267 Ἄρτι τῶν εἰωθότων τῆς κεφαλῆς νοσημάτων βραχύ τι ἀνενεγκόντα τὸν Γρηγορᾶν ἧκε καλῶν ἐκ βασιλέως ὁ μέγας λογοθέτης ὁτουδήποτε εἵνεκα· καὶ ἐπειδὴ παρακρούεσθαι οὐκ ἐνῆν, ἀναστὰς ἀπῄει, καὶ ἅμα εἱπόμην αὐτὸς ἀκουσόμενος. ἦν δὲ τὸ τῆς ὥρας ὀψὲ μετὰ δύσιν ἡλίου. καὶ προσεληλυθὼς ὁ Γρηγορᾶς, καὶ τὴν εἰωθυῖαν ἀποδεδωκὼς τῷ βασιλεῖ πρόσρησιν, εἶτα ἐκάθισεν. ἔτυχε δ' εὐθὺς ἐκεῖ καὶ ὁ Παλαμᾶς συνεισιών, οὐκ οἶδ' ὁπότερον, εἴτε ἐκ προθεσμίας πάλαι μελετηθείσης ἔφεδρος ἐκεῖ που παρών, εἴτ' ἀπὸ τύχης, ὡς εἴωθε γίνεσθαι τὰ πολλὰ τῶν ἐν κόσμῳ πραγμάτων. ὃς δὴ καὶ τὰ παλαιγενῆ προπετῶς, καὶ ὅσα λήθης μακρᾶς συναπήχθησαν ῥεύμασι, μηδαμῇ τῇ παρούσῃ προσήκοντα χρείᾳ προδιαλαβὼν καὶ τερατευσάμενος, ὡς εἰώθει, καὶ ὅσα πρὸς ἔπαινον ἐγκαλλωπισάμενος ἑαυτοῦ περί τε τῆς ἐν λαύρᾳ διατριβῆς καὶ τῆς πρὸς Βαρλαὰμ διαλέξεως, καὶ τοιούτων δὴ τινῶν τὰς τῶν παρατυχόντων ἐμπεπληκὼς ἀκοάς, καὶ δείξας οἱονεὶ προβεβουλευμένον εἶναι καὶ ἐπίβουλον τὸν σκοπὸν τῆς τηνικαῦτα αὐτοῦ γε ἐπιδημίας πρὸς ἐπιδεικτικὴν φαντασίαν, εἶτα ἐσίγησε. καὶ ἵνα τἀν μέσῳ παρέλθω, καὶ ὅσα τοῖς ἔμπροσθεν ἀναγκαίοις γίγνοιντ' ἂν ἐμποδών, πρὸς τὸ ἀπροσδόκητον τουτοῒ καὶ αἰφνίδιον προοιμιασάμενος, καὶ προδιαλαβὼν ὅσα εἰκός, καὶ ὁ Γρηγορᾶς ὅτι ἂν καὶ πρὸς αὐτοῦ εἴη 3.268 βουλομένῳ τῷ θειοτάτῳ βασιλεῖ λέγεσθαι ἐφεξῆς ἤρετο. καὶ ὁ βασιλεὺς "ἐμοὶ δ' εἰ καὶ πρὸς ἄλλας ἄγειν" ἔφη "τὸν νοῦν ὑποθέσεις ἐνῆν, ἀλλ' οὖν ὑμᾶς ὁρῶντι συνεληλυθότας νῦν ἐνταυθοῖ καιριώτερον εἶναι δοκεῖ πολλοστημόριόν τι περὶ ὧν ἔνιοι διαφωνοῦσιν ἐκκλησιαστικῶν δογμάτων μαθεῖν πρὸς ὑμῶν." καὶ γὰρ ἀκούειν ἔφησεν ἔριδας οὐ μικρὰς φυομένας ἄλλοτ' ἄλλως περὶ τόμων καὶ γραμμάτων, "ἃ προγεγέννηνται μέν" φησιν "οὐκ οἶδ' ὅπως, ἀθετοῦνται δὲ πρὸς πολλῶν ἐλλογίμων, ἐπισφαλῆ τινὰ θεολογίας καινοφανοῦς ἐμπεριέχεσθαι τούτοις δεικνύειν δόγματα μάλα σφοδρῶς διατεινομένων. ἐβουλόμην μὲν οὖν παρρησίᾳ συνοδικῇ τὴν διόρθωσιν διαπράξασθαι· τῶν δὲ πραγμάτων οὐ συγχωρούντων ἔν γε τῷ παρόντι, βούλομαι παρ' ὑμῶν γοῦν ἐνταυθοῖ νῦν ὁπωσδηποτοῦν συνεληλυθότων περὶ ἑνὸς οὑτινοσοῦν αὐτήκοος γεγονέναι. τὸν γὰρ τὰς θρυλλουμένας ἔριδας καὶ διαφωνίας ἀγείροντα τόμον ἐμοῦ διατριβόντος ἐν Θεσσαλονίκῃ συμπέπτωκε γεγενῆσθαι, ὡς μήθ' ἃ λέγει γινώσκειν ἐμέ, μήθ' ὅπως ἀληθείας ἢ ψεύδους ἔχει, εἴ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τις ἀκριβῶς ἐξετάζειν βούλοιτο. δέδια δ' οὖν μὴ κἀμοὶ προστριβείη κρίμα θεόθεν, ὅτι καὶ αὐτὸς τῇ βασιλευούσῃ τέως ἐπιδεδημηκὼς ἐν ὑστέροις, ἑτέρου τέως τὴν ἐξουσίαν ἔχοντος, ἄκων ὑπέγραψα, βιασθεὶς ὑπ' αὐτοῦ (τὰς γὰρ ἐν μέσῳ σιγῶ τύχας), οὐκ ἔχων ὅπως ἂν ἐκφύγοιμι τὸ 3.269 τῆς ὥρας βίαιον." ὁ δὲ Γρηγορᾶς ὑπολαβὼν φησίν "ὣς ἐγὼ δ' ἐκ πολλοῦ τὰ τῆς θεολογίας μυστήρια φέρειν διὰ χειλέων οὐ μάλα τολμῶν ἀλλὰ φρίττων καὶ ἀκοὴν καὶ διάνοιαν, ἀπεπήδων εὐθὺς ὡς ἀπὸ πυρός. ὅπου γὰρ τοῖς μεγάλοις καὶ σφόδρα σοφοῖς διδασκάλοις ἐκείνης τῆς ἐκκλησίας ἀποσείεσθαι τὴν ἐγχείρησιν ὁλοσχερῶς συνέβαινεν, ἦ που μανία σαφὴς ἡμᾶς ἐγχειρεῖν τοῖς τοιούτοις, μηδὲ μικρὰ γοῦν τῶν ὅσα ἐκεῖνοι μαθεῖν πω δεδυνημένους. καὶ ἵνα τὸ κατ' ἐμαυτὸν ἀναλαβὼν διηγήσωμαι τελεώτερον, ὅπως δηλαδὴ κἀμοὶ πρὸς τὴν τοιαύτην ἐξ ἀρχῆς ὑπόθεσιν διατεθῆναι συμπέπτωκεν, ἐπεὶ μετὰ τὸν τοῦ θειοτάτου καὶ μακαρίτου πατρός σου θάνατον, τοῦ ἀοιδίμου φημὶ βασιλέως ἐκείνου, πρὸς ἐμφύλιον στάσιν τὰ Ῥωμαίων ἠγέρθη πράγματα καὶ ἅμα κατὰ τῶν θείων τῆς ἐκκλησίας δογμάτων τὰ χείριστα πρὸς κακίαν ἀνέρρωγε κύματα, καὶ ὥσπερ ἐν χειμῶνι καὶ νυκτὶ τὰ πάντα ζόφος ἦν, ὡς μηδὲ ἄστροις, τὸ θρυλλούμενον, ὅποι φέροιτό τις δύνασθαι τεκμαίρεσθαι, καὶ πάντ' ἄνω καὶ κάτω μεταπίπτοντα παρὰ τοσοῦτον ἐκ τοῦ σύνεγγυς ἐτίθει τε καὶ μάλα τῶν ἐλπιζομένων ἑκάστοις ἐποίει τὸ ἐπικίνδυνον παρ' ὅσον πόρρω καὶ δύσελπι τἀσφαλές (ἐν γὰρ διχοστασίῃ φησὶν τὸν μὲν πάγκακον τυγχάνειν τιμῆς, τὸν δὲ καὶ ὁπωσοῦν μετέχοντα τοῦ βελτίονος θρήνων πάσχειν ἄξια καὶ τραγικῶν ἀπολαύειν τῶν συμφορῶν), τῶν κρατίστων εἶναί μοι τὸν ἡσύχιον ἔδοξεν βίον ἑλέσθαι, τῶν βασιλικῶν ἀφεμένῳ θεάτρων. 3.270 τοῦ γὰρ ἐρεθίζοντος καὶ μάχην ἐκεῖθεν ἀντίπαλον ἀνιστῶντος οὐκ ὄντος ἐν ὀφθαλμοῖς ἡμῶν ἀφανείᾳ κεκαλυμμένων, παύσεσθαι τὸ νεμόμενον τῆς καθ' ἡμῶν κακίας ᾠήθην. ὅθεν ἐπειδὴ τοῖς ἄλλοις παραινοῦντί μοι τοὺς πειθομένους ἥκιστ' ἔχειν ἐνῆν, τὸ κατ' ἐμαυτὸν ἐποίουν αὐτός. θόρυβον μὲν γὰρ ἐξ εἰρήνης ῥᾴδιον καὶ τοῖς φαυλοτάτοις καὶ βάναυσον ἄγουσι βίον ποιεῖν, ἐκ δὲ θορύβων εἰρήνην οὐδὲ τοῖς σφόδρα συνετοῖς μάλα τι εὔοδον. τὸ μὲν γὰρ αὐτονομίᾳ φύσεως ἄγεται, ἡ δὲ φύσις ἄτακτον καὶ ἀνώμαλον ὡμολόγηται εἶναι· τὸ δὲ παιδείᾳ καὶ συνέσει βεβουλευμένῃ καὶ σώφροσι λογισμοῖς οἰακίζεται. ὅθεν τὸ μὲν καὶ τὰς οὐκ οὔσας ἀναπλάττει προφάσεις, ἐφόδια πορίζον ταῖς μάχαις· τὸ δὲ καὶ τὰς οὔσας ἐκτέμνειν πειρᾶται, καθάπερ ἰατρὸς πρὸ τῆς βλάστης ἐν τῇ ῥίζῃ τὴν θεραπείαν τεχνώμενος. ἐπεὶ δὲ καὶ ἀφορισμῷ Παλαμᾶν μετὰ τῆς αὐτοῦ φρατρίας ἁπάσης καὶ χωρισμῷ θεοῦ καθυποβεβλῆσθαι συμβέβηκε δυοῖν πατριαρχῶν καὶ ὅλων ὁπόσοι τηνικαῦτα παρῆσαν τῶν ἐπισκόπων, ἔτι μᾶλλον ἐμαυτῷ τὰ τῆς ἡσυχίας παρῄνουν καὶ ἐπεκύρουν, ταύτης μόνης τὸ ῥᾷστον ἐχούσης καὶ εὔλογον τῆς τῶν βεβήλων φρατρίας καὶ κοινωνίας ἐπιεικῶς ἀφιστᾶν. ἤδη δὲ καὶ διωγμὸν ἀνερρίπισεν ὁ τῆς ἐκκλησίας χειμών, καὶ διωγμῶν τὸν φρικωδέστατον καὶ βα 3.271 ρύτατον, ὡς κἀντεῦθεν μὴ μόνον ἐξόριστον γεγονότα τὸν πατριάρχην βιαίῳ θανάτῳ τοῦ βίου περᾶσαι τὴν τελευτήν, ἀλλὰ καὶ τῶν ἐπισκόπων καὶ πρεσβυτέρων ὁπόσοι τὴν ἔνστασιν ἀκλόνητον ἔσχον ἐν τοῖς δεινοῖς, ἄλλος ἄλλοθι τῆς οἰκουμένης διωκόμενοι διεσπάρησαν. ἐῶ λέγειν οὓς ἐν εἱρκτῇ καὶ ζόφῳ θνήσκειν συνέβαινε, καὶ ὅσοι λιμῷ καὶ δίψει καὶ πάσῃ τῶν ἀναγκαίων στενοχωρίᾳ βιαίοις θανάτοις ἀπήλλαξαν. καὶ τό γε μεῖζον ὅτι μηδὲ ταφῆς, ὦ γῆ καὶ ἥλιε, πρὸς τῶν ἐπιτηδείων τυγχάνειν συνεχωροῦντο, πλὴν ἢ ὅσοι κατὰ τὸ λεληθὸς κατωρύττοντο. ὧν οὐδὲ τούτων ἀπέσχοντο οἱ κυνὸς Λακαίνης δίκην ῥινηλατοῦντες καὶ ἀνιχνεύοντες, ἀλλὰ καὶ τούτων ἐνίους ἀνώρυξαν. οὕτω διωγμῶν ἁπάντων βαρύτατος οὑτοσί. τί γὰρ ἀνύσειν ἔμελλον πλέον, εἰς ἀναίσθητον σῶμα τὴν τῆς ἀτόπου ψυχῆς ἀγνωμοσύνην ἐκχέοντες; θανεῖν γὰρ ἀνάγκη, ζῆν δ' ἢ ταφῇ καλυφθῆναι, τούτων δ' οὐδέτερον τέως ἀνάγκη. διὸ τὸ μὲν καὶ μὴ βουλομένων ἀνθρώπων ἡ φύσις τελεῖ, τὸ δ' ἐν τῇ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

προαιρέσει κείμενον τῶν περιλειπομένων ἔλεγχος ὁποτέρου γίνεται δυοῖν, εἴτ' ἀπονοίας εἴτε προνοίας. τῆς δὴ τοιαύτης περικλονήσεως ἔργον γινόμεθα καὶ ἡμεῖς, οὐ βουλόμενοι ταῖς ἀτόποις καινοφωνίαις ὑπείκειν Παλαμᾶ τουτουί· ὁπόσων γε μὴν καὶ τῶν δεινῶν πεπειράμεθα διὰ ταῦτα, παραπέμπειν ἀκοαῖς ἀνθρωπίναις οὐ πάνυ τι 3.272 χρῆναι νομίζω, τοῦ τὰ κρυπτὰ ἐφορῶντος θεοῦ γινώσκοντος ἀκριβῶς. ὅμως ἐπεὶ θειοτέρᾳ βουλῇ τὸν πατρῷόν σοι τῆς μοναρχίας ἀνείληφας κλῆρον, ὦ βασιλεῦ, καὶ ἅμα ἡμᾶς ἀνεπεπνεύκειμεν βραχὺ καὶ ὅσον μὴ τῇ συνεχείᾳ τῶν δεινῶν ἀπηγορευκότας προέσθαι τὸ ζῆν, καὶ αἱ τῶν ψηφισμάτων καὶ τομογραφιῶν ἐκείνων κηλῖδες καὶ κῆρες ἧκον ἡμῖν εἰς ὄψιν καὶ ἀκοήν, ἔγνωμεν ἤδη σαφῶς καὶ τὰς ἐκεῖ βλασφημίας, καὶ ὅσας τῶν θείων γραφῶν τὰς διαβολὰς καταχέουσι καὶ συκοφαντίας. ἀναγκαῖον οὖν ἐκεῖνον ἤδη προενεχθῆναι τὸν τόμον εἰς μέσον, ἵνα μὴ μάτην καὶ εἰς κενὸν ὁ δρόμος ἡμῖν ὑπάρχῃ τοῦ λόγου μηδεμίαν ἔχων κρηπῖδα καὶ βάσιν." Ὁ δὲ βασιλεὺς "οὐκ ἔργου τινὸς ἐντελοῦς ἐν τῷ ἄρτι ζητοῦμεν" ἔφη "κατάστασιν, ἀλλὰ γνώσεως οἱονεὶ τυπικῆς καὶ σκιώδους ἴχνη καὶ ὑπομνήματα. ἦ γὰρ ἂν ἐπισκόπων καὶ πατριαρχῶν ὁμοῦ καὶ πρεσβυτέρων συνήγομεν θέατρα, καὶ οὐκ ἐν παραβύστῳ καὶ γωνίᾳ τὸ πρᾶγμα ἡμῖν οὑτωσί πως ἐτελεῖτο. ἔσται δ' οὖν ὅμως κἀκεῖνο κατὰ τὸν δέοντα χρόνον." ὑπολαβὼν οὖν ὁ Παλαμᾶς εἰς Βαρλαὰμ ἀνάγειν ἐπεχείρει τὸν λόγον, καὶ δεικνύειν τὰ ζῶντα ἐκ τῶν νεκρῶν. ἐκκέκρουσται δὲ πρὸς τοῦ Γρηγορᾶ, εἰς τὸ ἀφανὲς καταφεύγων, παρόν, ἃ πρὸ ὀφθαλμῶν, τούτοις κεχρῆσθαι πρὸς τὴν παροῦσαν χρείαν. διὸ καὶ πρὸς ἑτέραν τραπόμενος τά τε ἄλλα ἐπολυλόγησε, καὶ ἅμα κατέδραμεν εἴ τινες εἶεν οἱ τὴν θείαν 3.273 οὐσίαν καὶ τὴν θείαν ἐνέργειαν κατ' οὐδὲν διαφέρειν λέγοντες. περὶ οὗ μάλιστα καὶ τὸν Γρηγορᾶν ἠξίου τὸν λόγον ποιεῖσθαι. Καὶ ὁ Γρηγορᾶς πρὸς τὸν βασιλέα στραφεὶς "πολλῶν αἱρέσεων" ἔφησεν, "ὦ θειότατε βασιλεῦ, οὐσῶν, ἃς πάλαι τεθνηκυίας ἀναβιῶναι πέπραχεν οὗτος ἀρτίως καὶ ἃς οὔπω φανείσας ἐξεῦρε, σύμμαχον ἔχων τὴν δυναστεύουσαν χεῖρα, ὁ τῆς πολυθεΐας οἶμαι λόγος ἀρκέσει τῇ παρούσῃ σκιαγραφίᾳ. θέλων γὰρ καταλῦσαι τὸ τῆς ἐνανθρωπήσεως τοῦ θεοῦ λόγου δόγμα, καὶ ἅμα πολυθεΐαν εἰσαγαγεῖν, ἐνέργειαν εἶναι κηρύττει θεότητα ὑφειμένην ἄκτιστον καὶ ἀνούσιον καὶ διάφορον παντάπασι τῆς θείας ἐκείνης καὶ μακαρίας οὐσίας, καὶ σωματικοῖς ὀφθαλμοῖς ὁρατὴν καθ' αὑτήν, ἐνεργοῦσαν μὲν τὰ πάντα αὐτήν, ἐνεργουμένην δ' αὐτὴν ὑπὸ τῆς ὑπερκειμένης οὐσίας ἅμα, καὶ κινουμένην καθάπερ ὁποῖα τῶν ὀργάνων κινεῖ κινούμενα. εἶτα τὴν μίαν ἐνέργειαν εἰς πολλάς, μᾶλλον δ' ἀπειράκις ἀπείρους διελών, ὡς γένος εἰς εἴδη διάφορα, γενικῷ μὲν ὀνόματι πάσας ἐνεργείας καλεῖ, ἰδίᾳ δ' αὖ καὶ καθ' ἕκαστα δύναμιν ζωὴν βασιλείαν σοφίαν ἐξουσίαν φῶς ἀλήθειαν. καὶ ἁπλῶς ὁπόσα θεοπρεπῆ τῶν ὀνομάτων καὶ νοημάτων, εἰ καὶ ἐκ διαφόρων ἀρχῶν λαμβάνει τὴν ἐτυμολογίαν ἕκαστον, ἀλλ' οὖν ὁμοτίμως ἔχοντα πρὸς ἄλληλα τῷ μηδέν τι παρὰ τὴν τοῦ ὑποκειμένου διαφωνεῖν σημασίαν, θεό 3.274 τητας πάντα καθάπαξ αὐτὸς καλεῖ διαφόρους καὶ ἀκτίστους. ἐγκαλούμενος οὖν πρὸς τῶν συνετωτέρων πολλάκις, ὡς ἅπερ πάλαι Μάρκελλος ὁ Γαλάτης καὶ Φωτεινὸς καὶ Εὐνόμιος διαφόρως ἀλλήλοις εἰπόντες ἐπ' ἴσης κατὰ τῆς εὐσεβείας ἐρράγησάν τε καὶ ἔπνευσαν, ταῦτα πάντα συλλήβδην κηρύττει νῦν οὑτοσὶ καθάπερ εἰς ἕνα συντήξας κρατῆρα κακίας, σκολιὰς ποιεῖται τὰς ἀποκρίσεις, ἐξ ἑτέρου πρὸς ἕτερον μεταβαίνων, καὶ πάντας δυσσεβεῖς νικῶν ταῖς ἐπὶ τὸ μεῖζον τοῦ κακοῦ προσθήκαις. καὶ δέον τοῦ ὑπερβάλλοντος ἕνεκα ἐγκαλύπτεσθαι, ὃ δὲ τοὐναντίον διαφυγῆς πορίζεται πρόφασιν τὴν πρὸς τὸ χεῖρον ταύτην παράλλαξιν, καὶ οὐδενὶ συμφωνεῖν διατείνεται, ὅμοιον ποιῶν ὥσπερ ἂν εἴ τις κλοπῆς ἐγκαλούμενος, ὃ δὲ τὸ μὲν κλέπτης εἶναι ἀπηγόρευεν, ἱερόσυλος δ' εἶναι καὶ ἀνδροφόνος ἐτίθετο, μὴ εἰδὼς πολλαπλάσιον ἔχειν τὴν τιμωρίαν τὸν ἀνδροφόνον καὶ ἱερόσυλον ἢ τὸν ἰδιωτικὰ χρήματα κεκλοφότα. ὅμως εἰπάτω νῦν ποῦ τῆς ἱερᾶς τῶν ἁγίων γραφῆς εὑρίσκει



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ῥητῶς πολλὰς ἀκτίστους θεότητας καὶ διαφόρους τῆς θείας ἐκείνης οὐσίας, καθάπερ ἐγὼ νῦν κομίζω μάρτυρας τούτους ἓν μόνον τὸ ἄκτιστον τὴν θείαν καὶ τρισυπόστατον λέγοντας φύσιν, τὰ δ' ἄλλα πάντα καὶ μετ' αὐτὴν κτιστά. ἐξ ὧν αὐτό τε τοῦτο μαθεῖν ἔστιν ὅτι ἓν τὸ ἄκτιστον καὶ οὐ πολλά, καὶ ἅμα ὅτι οὐσίαν καὶ οὐσιῶδες καὶ ἐνούσιον καὶ φύσιν καὶ 3.275 φυσικὸν καὶ ἔμφυτον ἐπὶ θεοῦ λεγόμενα ἁπλῆν ἔχει τὴν σημασίαν καὶ μοναδικὴν καὶ μηδὲν μηδαμῇ παραλλάττουσαν τῷ τῆς οὐσίας καὶ φύσεως λόγῳ πλὴν τῇ προφορᾷ τῆς λέξεως. λέγεται μὲν γὰρ κἀν τοῖς συνθέτοις ταῦτα καὶ κτιστοῖς, ἀλλ' οὐ κατὰ τὸν ἀναγκαῖον τὸν δ' αὐτοῖς ἐνδεχόμενον τρόπον, ᾧ τὸ εἶναι καὶ μὴ εἶναι ἕπεται ἐνίοτε. καὶ πρῶτος μὲν ὁ μέγας φησὶν Ἀθανάσιος "ἄκτιστος πέφυκε μόνη ἡ ἁγία τριάς, ἀΐδιός τε καὶ ἄτρεπτος καὶ ἀναλλοίωτος." καὶ αὖθις ὁ αὐτὸς "ἀκτίστῳ προσάγειν αὔξησιν ἀσεβές ἐστι." καὶ ἔτι "τὸ γὰρ ἄκτιστον τῇ φύσει λέγεται ἄκτιστον, μήτε αὔξησιν μήτε ἐλάττωσιν ἐπιδεχόμενον." καὶ μετ' ὀλίγον "ἄκτιστος ὕπαρξις μόνη ἡ τῆς θεότητος νοεῖται." καὶ ἔτι "ἄκτιστος μόνη πέφυκεν ἡ ἁγία τριὰς τῆς θεότητος." "δεύτερον θεὸν οὔπω καὶ τήμερον ἀκηκόαμεν. ὅσα ἔχει ὁ πατήρ, ταῦτα καὶ ὁ υἱός, τὸ ὕψιστος, τὸ βασιλεύς, τὸ κύριος, τὸ παντοκράτωρ. ὁ γὰρ κατὰ φύσιν ταῦτα καὶ ἄκτιστος." "ἄκτιστον καὶ ἀσώματον καὶ φύσει ἀόρατον μόνον τὸ θεῖον ἐστί." "μόνη τῆς κτίσεως ὑπέρκειται ἡ θεία τε καὶ ἄκτιστος φύσις τοῦ θεοῦ." καὶ τῆς μὲν ἀκτίστου φύσεως τὴν ἁγίαν τριάδα διωρισάμεθα εἶναι, τῆς δὲ κτιστῆς πάντα ὅσα μετ' ἐκείνην λέγεταί τε καὶ ἔστι καὶ ὀνομάζεται. ἀκτίστου πρὸς ἄκτιστον οὐκ ἄν τις ἐννοήσειε διαφοράν. μόνη δὲ ἡ ἄκτιστος φύσις ἡ ἐν πατρὶ καὶ υἱῷ καὶ ἁγίῳ πνεύματι πιστευομένη κρείττων ἐστὶ πάσης 3.276 ὀνομαστικῆς σημασίας. ἄκτιστον δὲ πλὴν τῆς θείας φύσεως ἔστιν οὐδέν. ἀλλ' εἰ θεός, πάντως καὶ ἄκτιστος· εἰ δὲ κτιστός, οὐ θεός. ἐν τῇ ἀκτίστῳ φύσει νοεῖται τὰ θαυμαστὰ πράγματα καὶ ὀνόματα, ὁ πατὴρ καὶ ὁ υἱὸς καὶ τὸ πνεῦμα τὸ ἅγιον. πᾶν τὸ κτιστὸν ἔξω τῆς θείας φύσεως νοεῖν ἐπαιδεύθημεν, μόνην δὲ τὴν ἄκτιστον φύσιν σεβάζεσθαί τε καὶ λατρεύειν ἧς χαρακτήρ ἐστι καὶ γνώρισμα τὸ μήτε ἄρχεσθαι τοῦ εἶναί ποτε μήτε παύεσθαι. πάντων ποιητὴς καὶ προνοητὴς καὶ συνοχεὺς ὁ θεός ἐστιν, ὁ μόνος ἄκτιστος, ὁ ἐν πατρὶ καὶ υἱῷ καὶ ἁγίῳ πνεύματι ὑμνουμενός τε καὶ δοξαζόμενος. πᾶν ὂν ἢ κτιστόν ἐστιν ἢ ἄκτιστον. καὶ εἰ μὲν κτιστόν, ὑφ' ἑτέρου πάντως ἐκτίσθη· εἰ δὲ ἄκτιστον, τοῦτ' ἂν εἴη τὸ τὰ κτιστὰ κτίσαν. τοῦτο δὲ τί ἄλλο ἂν εἴη ἢ θεός; μία τριὰς ἀπαράλλακτος, τὰ δ' ἄλλα ἐξ αὐτῆς παρηλλαγμένα. μόνη δὲ ἀΐδιος καὶ ἄκτιστος ἡ τριὰς καὶ ἀγέννητος. ἕν ἐστι τὸ ποιοῦν ἐν μιᾷ οὐσίᾳ τριάδος τελείας, τὰ δ' ἄλλα γεννητὰ καὶ κτιστά. διὰ τοῦτο γὰρ καὶ αὐτοὶ οὐ προσκυνοῦμεν πᾶν τὸ ὑποβεβηκὸς τὴν οὐσίαν τοῦ θεοῦ. ἐρῶ γάρ σοι καὶ περὶ τοῦ πνεύματος ὅπερ καὶ περὶ τοῦ υἱοῦ ἔλεγον, ὅτι ὁ πλοῦτος τοῦ θεοῦ ἢ μείζων ἐστὶν ἢ ἴσος ἢ ἐλάττων. καὶ μείζων μὲν 3.277 οὐκ ἔστιν, οὐδὲν γὰρ τοῦ θεοῦ μεῖζον· ἐλάττων δὲ οὐκ ἔστιν, ἐπεὶ θήσεις αὐτὸν μετὰ τῶν κτισμάτων· τὸ γὰρ ἔλαττον τοῦ θεοῦ κτίσμα. τὸ ἄκτιστον καὶ κτίστην νοεῖσθαι ἐνὶ μόνῳ πρόσεστι τῷ θεῷ. τούτοις προσκείσθω καὶ τὸ τοῦ θείου Κοσμᾶ τοῦ σεμνοῦ μελῳδοῦ. ἀκουεσθῶμεν πάντες οἱ πιστοὶ συγκαλουμένης ὑψηλῷ κηρύγματι τῆς ἀκτίστου καὶ ἐμφύτου σοφίας θεοῦ. εἰρήσεται δὲ προϊοῦσιν ἡμῖν καὶ τὰ παραπλήσια. Ὁ δὲ Παλαμᾶς οὐκ ἔχων οὐδεμίαν προάγειν γραφικὴν μαρτυρίαν, οἴκοθεν ἐπεχείρει συλλογίζεσθαι τὰ ἀσυλλόγιστα, θέσεις καινοφανεῖς τιθέμενος ἑαυτοῦ. "καὶ τίς οὐκ οἶδε" φησίν "ὅτι ἓν ἄκτιστόν ἐστιν ὁ θεός. τοῦτο γοῦν ἐστὶν ὅ φησιν ὁ λέγων μηδὲν εἶναι ἄκτιστον πλὴν τῆς θείας φύσεως. εἰ δὲ μὴ οὕτω τοῦτο νοήσωμεν, λοιπὸν τὰς θείας ὑποστάσεις οὐκ ἐροῦμεν ἀκτίστους, ἐπεὶ μὴ ἔστι φύσις ἡ ὑπόστασις· καὶ γὰρ ἀπαιτούμενοι τί ἐστιν οὐσία, τὸν ἄνθρωπον δείκνυμεν τυχὸν ἢ τὸν λίθον, τηνικαῦτα τὴν οὐσίαν μετὰ τῶν φυσικῶν περὶ αὐτὴν πάντων συλλαμβάνοντες. καὶ γὰρ καὶ Ἀθανασίου τοῦ θείου λέγοντος ἀκούομεν, τὸ ἅγιον, τὸ ἀγαθόν, τὸ ἄκτιστον, τὸ ἀνερμήνευτον, τὸ ἀσώματον, τὸ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἄχρονον, τὸ ἀΐδιον, τὸ δημιουργικόν, τὸ δίκαιον, τὸ ἄναρχον, τὸ ἀτελεύτητον, τὸ ἀνεξιχνίαστον, τὸ ἄπειρον, τὸ ἄγνωστον, ἡ θέλησις, ἡ δύναμις, ἡ πρόνοια, ἡ σοφία, ἡ ζωὴ καὶ τὰ τοιαῦτα, οὐχ ἕκαστον οὐσία 3.278 λέγεται ἀλλὰ περὶ τὴν οὐσίαν, ὡς ἐκ δύο καὶ πλειόνων ἐπὶ ἓν ἔχοντα τὴν ἀναφορὰν ἃ καὶ ἄθροισμα καὶ πλήρωμα θεότητος λέγεται. καὶ ἐπὶ τούτοις ἔφασκε λέγειν καὶ τὸν Δαμασκηνὸν Ἰωάννην φανερῶς τῆς ἀκτίστου φύσεως τὴν ἄκτιστον διαφέρειν ταύτης ἐνέργειαν. καὶ τί δεῖ λέγειν ἅπανθ' ἑξῆς ὁπόσα ἐφ' ἑτέροις ἕτερα συνείρων ἐκεῖνος ἐπ' ἴσης κατεψεύδετο πάντων ἁγίων, βωμολοχῶν ἄντικρυς καὶ διαβάλλων τὰς θείας γραφάς. ἓν μὲν οὖν ἔφησε πρὸς αὐτὸν ὁ Γρηγορᾶς. "κείσθω σοι τοῦτο λῆμμα πρὸς κατηγορίαν καὶ πρῶτον. ἑάλω γάρ σου ἡ σεμνότης ἐπ' αὐτοφώρῳ, καλὲ Παλαμᾶ, μηδεμίαν ἔχουσα πρὸς τῆς θείας γραφῆς συμμαχίαν πρὸς τὸ δεῖξαι ὅτι οὐχ ἓν ἀλλὰ πολλὰ τὰ ἄκτιστα. ὃ δὴ κράτιστον ἐφόδιον παντὶ ὅτῳ ἂν πρὸς βουλήσεως ᾖ κατὰ σοῦ τοξεύειν, γραφικῆς ἐρήμου πάσης βοηθείας, ἑλομένου τὴν κατὰ τῆς εὐσεβείας παράταξιν. οὐ γὰρ ἂν εἶεν ἑαυταῖς αἱ γραφαὶ μαχόμεναι, εἴ τις μετ' ἐπιστήμης ἁρμοττούσης αὐτὰς ὁρῴη· ὡς κατ' αὐτό γε τοῦτο σαυτῷ κληροῦχον αἰσχύνης καθίστασθαί σε ἅτε μήτε μηδεμίαν ἀπόδειξιν ἔχοντα γραφικὴν ὑπέρ τε σαυτοῦ καὶ ἃ καινοφωνῶν ἐξ ἰδίας ἔπνευσας γαστρός, μήτε μηδεμιᾷ χρώμενον ἐπιστημονικῇ μεθόδῳ, ἀλλ' αὐτονομίᾳ τινὶ μεθυούσῃ φάναι καὶ ἀστατούσῃ φερόμενόν τε συχνὰ καὶ μεταρριπιζόμενον ἐξ ἀνεδράστου βάσεως εἰς ἀνέδραστον βάσιν. ὅρους γὰρ καὶ κανόνας ἐπιστημονι 3.279 κῶν ἀποδείξεων ἐν τοῖς θεολογικοῖς δόγμασι τοὺς ἀποφαντικοὺς τῶν σοφῶν διδασκάλων τῆς ἐκκλησίας λόγους εἶναι καλῶς ἐδιδάχθημεν. ὁ τοίνυν μὴ τοῖς τοιούτοις ἑπόμενος ὅροις, ὅθεν ἕξει πιστώσασθαι ἔχειν εὐσέβειαν, οὐκ ἂν ἔχοι. Καὶ πρῶτον μὲν τοῦτο τιθέσθω τῆς σῆς ἀσεβείας ἐνδεικτικόν, δεύτερον δ' ὅτι ἓν τὸ ἄκτιστον τὴν θείαν εἶναι φύσιν εἰπόντων ἡμῶν, καὶ πολλῶν πολλὰς ἁγίων γραφὰς ὀνόμασί τε καὶ νοήμασιν ὁμοφώνους προενεγκόντων εἰς ἐναργῆ καὶ ἀναντίρρητον ἀπόδειξιν τῆς προτεθείσης σκέψεως, οὐ μόνον οὐδεμίαν αὐτὸς ἀντίθεσιν εὑρεῖν ἐδυνήθης, οὐδὲ δεῖξαι τῶν πάντων ἁγίων ὁντιναοῦν πλείω τοῦ ἑνὸς εἶναι τὰ ἄκτιστα λέγοντα, ἀλλὰ καὶ τοὺς λέγοντας παραλογίζῃ καὶ ἀθετεῖς, καὶ τὴν ἀπολογίαν ὕπουλον προβάλλεις, ἐπειγόμενος μὲν λαθεῖν, οὐ δυνάμενος δέ. καὶ γὰρ πρῶτον μὲν ἑάλως ἐνταῦθα μὴ μόνον ἐξ ὑποθέσεως ἀνυποστάτου λαμβάνων καὶ τιθεὶς οἴκοθεν αὐτός, ὅπερ ἀσθενείας ἐσχάτης ἐνδεικτικόν, ἀλλὰ καὶ μετὰ ἄρθρου τῆς ζητήσεως οὔσης δεῖξαι τὸ ἄκτιστον ὅτι ἔστιν ἕν, ἄρθρου χωρὶς αὐτὸς ἀνθυπήνεγκας, λέγων τίς οὐκ οἶδεν ὅτι ἓν ἄκτιστόν ἐστιν ὁ θεός. καὶ βεβαιοῖς διὰ τῆς σῆς τοιαύτης ἀποκρίσεως δυοῖν θάτερον, ἢ ὅτι πολλὰς καὶ ἀπείρους καὶ ὑφειμένας καὶ διαφόρους δοξάζων θεότητας ἀκτί 3.280 στους ὥσπερ ἰδέαν τινὰ τὸ θεὸς εἶναι λέγεις ὄνομα ἄκτιστον καὶ θεότητα πρὸς διαφόρους θεότητας μεριζόμενον ἀπειράκις ἀπείρως ὑπερκειμένας καὶ ὑφειμένας, ὥσπερ τὸ καθόλου ζῶον εἰς διάφορα τὴν φύσιν εἴδη, λογικά τε καὶ ἄλογα, ἔνυδρά τε καὶ ἄνυδρα, χερσαῖά τε καὶ αἰθέρια, οὐκ εἰδὼς ὅτι τὸ θεῖον ἁπλοῦν ὂν καὶ ἀσώματον ἀμερὲς ἐξ ἀνάγκης ἐστί, καὶ οὐδὲ πολλὰ μογήσας τις δεῖξαι δυνηθείη ἂν οὔτ' εἰς τὸ ὑφειμένον οὔτ' εἰς τὸ ὑπερκείμενον μεριζομένην τὴν μόνην ἐκείνην ἄκτιστον καὶ πάντῃ ἀμέριστον οὐσίαν τε καὶ θεότητα· ἢ τό γε δεύτερον, πολλῶν ὑπὸ σοῦ δοξαζομένων ἀκτίστων θεῶν καὶ θεοτήτων, ἕνα τῶν πολλῶν εἶναι λέγεις καὶ τὸν ἡμῖν δοξαζόμενον ποιητὴν τοῦ παντός. καὶ ἔστιν ἀμφοῖν οὐδέτερον ἀσεβείας ὑπερβολὴν παραλεῖπον. Τρίτον δὲ ὅτι καὶ τὰς θείας ὑποστάσεις ἀνουσίους εἶναι δοξάζων ἑάλως, ὥσπερ καὶ πολλάκις ἤδη πρότερον, ὡς γίνεσθαί σοι τὰς ὑποστάσεις ἀνυποστάτους. τὸ γὰρ ἀνούσιον ἀνυπόστατον· καὶ λοιπὸν ὡς ὅταν καὶ τὰς ἀνουσίους ἐκείνας θεότητας εἰς ἄπειρον ἀριθμὸν θεοτήτων παραπέμπῃς ἀκτίστων, ὑποστάσεις εἶναι καὶ ταύτας δοξάζεις· καὶ ὃ πολλάκις ἑάλως γράφων, μὴ τρισυπόστατον εἶναι μόνον τὴν θείαν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

φύσιν ἀλλὰ καὶ πολυυπόστατον, τοῦτο κἀνταῦθα τε 3.281 τόλμηκας, ὑποστάσεις μὲν ἀνουσίους θεότητας δ' ἀνυποστάτους σέβων. Τέταρτον δὲ ὅτι καὶ τὸν ἄνθρωπον καὶ τὸν λίθον εἰς ὑπόδειγμα φέρων, καὶ ὁριζόμενος οὐσίαν εἶναι μετὰ τῶν φυσικῶς περὶ αὐτὴν ὁρωμένων συλλαμβανομένην, ἑάλως ἔτι καὶ συμβεβηκότων σύλληψιν εἶναι νομίζων τὴν θείαν ἐκείνην οὐσίαν ὥσπερ ἐπὶ τοῦ προβληθέντος σοι λίθου, βάρος ψυχρότητα χρῶμα μῆκος πλάτος καὶ βάθος, καὶ ὅσα τοιαῦτα νοεῖν ἔχει τις, ἔχοντος. ὃ καὶ τοῦ προτέρου χεῖρον εἰς ἀτοπίαν. Καὶ πέμπτον ἄτοπον, ὅτι καὶ βεβαιοῖς τὴν σὴν ἀμαθίαν καὶ πολυθεΐαν διὰ τῆς πρὸς τὸν μέγαν Ἀθανάσιον συκοφαντίας. ἐπὶ γὰρ ἓν ἐκεῖνος ἔχειν φησὶ τὴν ἀναφορὰν τὰ οὕτω πολλὰ τῶν ὀνομάτων ἐκείνων, εἴτουν τὴν οὐσίαν· σὺ δ' οὐκ ᾔσθου κατὰ σεαυτοῦ κομίζων ὃν ὑπὲρ σεαυτοῦ κεκόμικας· οὕτως ἀμαθὴς εἶ καὶ μάλα ἀγροῖκος. εἶτα καὶ ἄθροισμα λέγει καὶ πλήρωμα θεότητος ταῦτα αὐτός, οὐ μὴν θεοτήτων τῆς οὐσίας διαφόρων κατὰ σὲ καὶ ἀλλήλων. πῶς γὰρ ὃς ἐπὶ ἓν αὐτὰ τὴν ἀναφορὰν ἔχειν φησί, δηλαδὴ τὴν οὐσίαν. Ἔστι κἀπὶ τούτοις ἕκτον ἄτοπον, ὅτι καὶ τὸν θεῖον συκοφαντεῖς Δαμασκηνόν, ὡς προϊοῦσιν ἡμῖν εἰρήσεται καὶ αὐτὸ πλατύτερον. δειχθήσεται γὰρ τὸ χαρακτηρίζειν τῷ διαφέρειν μὴ 3.282 εἶναι ταὐτόν, κἂν σὺ βοῶν διαρραγῇς, τὰ ἄμικτα μιγνὺς καὶ λέγειν τὸν θεῖον ἐκεῖνον αἰτιώμενος ἄνδρα τῆς ἀκτίστου φύσεως διαφέρειν τὴν ἄκτιστον ταύτης ἐνέργειαν. οὐδὲ γὰρ οὐδεὶς τῶν ἁπάντων ἐν τοῖς ἐκείνου συγγράμμασιν οὐδὲ πολλὰ μογήσας οὔτε μόγις μέγα τι τῶν πάντων οὔτε μάλα μόλις γοῦν τῶν ἐλαχίστων οὐδὲν ὁμότροπον ἄν ποθ' εὕροι τουτοισὶ τοῖς νῦν παρευρημένοις καὶ προτεθειμένοις τῷ καταράτῳ σοὶ Παλαμᾷ καὶ δολερῷ συκοφάντῃ. δυοῖν γοῦν ἔπειτα θάτερον, ἢ γὰρ ἑκὼν βλασφημεῖς ἢ οὐχ ἑκὼν ἀγνοεῖς, ἀναλφάβητος ὤν, ὡς ἔοικεν, ἔτι, καὶ τῶν πρώτων τῆς σοφίας στοιχείων πάνυ τι ἀδαής. ὧν τὸ μὲν ἀνίατον, τὸ δ' ἡμιμόχθηρον καὶ ἰάσιμον· ἣν οὖν καὶ αὐτὸς ἐθέλῃς, ἑλοῦ τὸ δεύτερον. δυοῖν γὰρ ὄψεσθαι θάτερον ἐλπίζω καὶ εὔχομαι, ἢ τὴν σὴν ἐπιστροφήν, εἰ βούλει, ἢ τὴν σὴν καταστροφήν, εἰ μὴ βούλει. τὸ μὲν γὰρ σὲ τῆς πολυετοῦς ἀπωλείας ἐξελεῖται, τὸ δὲ καὶ τοὺς ἄλλους μὴ βλάπτεσθαι. πόθεν οὖν ἐπιχειροίημεν ἂν μεταπείθειν ἄνδρα τοσοῦτον καὶ οὕτως ἡλικίας ἔχοντα; ἢ πάντως ὅθεν οὐκ ἀνέλπιστον ἂν εἴη τὸ σκέμμα πρὸς ὠφέλιμον τέλος, μηδὲ μάταιος γένοιτ' ἂν ἡ σπουδή. βούλομαι δ' οὖν ὅμως ἐντελεστέραν τοῦ λόγου ἀρχόμενος τὴν τῶν ῥηθησομένων ποιήσασθαί σοι προκατάστασιν, καὶ διδάξαι τὸν ἀμαθῆ σὲ ἐξ αὐτῶν ἀρχόμενος τῶν ἁπλῶν στοιχείων καὶ φωνῶν, ὡς οἱ γραμματισταὶ τὰ μειράκια, ἵνα μὴ συνε 3.283 χῶς πρὸς τῶν πολλῶν καὶ αὐτὸς ἀκούῃς ἐκεῖνο δὴ τὸ τοῦ Πλάτωνος σκῶμμα, ὡς ἀμαθὴς εἶ, ὦ ἑταῖρε, καὶ οὐχ ἕπῃ· ἦ γὰρ ἂν οὐδ' αὐτοῦ γε δὴ Βασιλείου τοῦ θείου παντάπασιν, ὡς ἔοικεν, ἀνήκοος μείνας τῇ ἐπιστήμῃ μετὰ τῆς εὐσεβείας οὕτω προσέκοπτες, ὁμιλητέον εἶναι λέγοντος ποιηταῖς καὶ λογοποιοῖς καὶ ῥήτορσι καὶ πᾶσιν ἀνθρώποις ὅθεν ἂν μέλλοι πρὸς τὴν τῆς ψυχῆς ἐπιμέλειαν ὠφέλειά τις ἔσεσθαι. ὥσπερ γὰρ οἱ δευσοποιοὶ προπαρασκευάσαντες θεραπείαις τισὶν ὅτι ποτ' ἂν ᾖ τὸ δεξόμενον τὴν βαφήν, οὕτω τὸ ἄνθος ἐπάγουσιν, ἄν τε ἁλουργὸν ἄν τέ τι ἕτερον ᾖ, τὸν αὐτὸν δὴ καὶ ἡμεῖς τρόπον, εἰ μέλλοι ἀνέκπλυτος ἡμῖν ἡ τοῦ καλοῦ παραμένειν δόξα, τοῖς ἔξω δὴ τούτοις προτελεσθέντες τηνικαῦτα τῶν ἱερῶν καὶ ἀπορρήτων ἐπακουσόμεθα παιδευμάτων, καὶ οἷον ἐν ὕδατι τὸν ἥλιον ὁρᾶν ἐθισθέντες, οὕτως αὐτῷ προσβαλοῦμεν τῷ φωτὶ τὰς ὄψεις. λέγεται δέ, φησί, καὶ Μωσῆν ἐκεῖνον τὸν πάνυ, οὗ μέγιστόν ἐστιν ἐπὶ σοφίᾳ παρὰ πᾶσιν ἀνθρώποις ὄνομα, τοῖς Αἰγυπτίων μαθήμασιν ἐγγυμνασάμενον τὴν διάνοιαν οὕτω προσελθεῖν τῇ θεωρίᾳ τοῦ ὄντος· παραπλησίως δὲ τούτῳ κἀν τοῖς κάτω χρόνοις τὸν σοφὸν Δανιὴλ ἐπὶ Βαβυλῶνός φασι τὴν Χαλδαίων σοφίαν καταμαθόντα τότε τῶν θείων ἅψασθαι παιδευμάτων. ἐπεὶ γοῦν ἃ πεντεκαιδεκέτη σε μαθεῖν ἐχρῆν οὐκ ἔμαθες, οὐδέ γε φράτορας ἑπτέτης ἔφυσας κατά γε τὸν ἐξ Ἀττικῆς σοφὸν εἰπεῖν, 3.284 ἀλλὰ τὸ τῆς παροιμίας ἀπὸ κώπης ἐπὶ τὸ βῆμα


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΠΤΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

καὶ τὸ στρατήγιον ἐξαίφνης ἔδραμες, λέγω δὴ τὸ θεολογεῖν ἀνίπτοις τε χερσὶ καὶ σαθρᾷ διανοίᾳ, φέρε κἂν ἐν γήρᾳ διδάχθητι παρ' ἡμῶν τὰς στοιχειώδεις ταύτας καὶ πρώτας φωνὰς τῶν γραμμάτων, ὡς ἂν εὐμαθέστερος ἴσως γενόμενος τῆς θείας τέως αἴσθοιο γραφῆς, καὶ μηκέτι δι' ὄχλου τῇ εὐσεβείᾳ γίγνοιο, δημαγωγῶν ἃ τοῖς κάτω μᾶλλον ἢ τοῖς ἄνω πρέπει νεκροῖς. τὰ γὰρ ἐναντία τοῖς ἐναντίοις ὁρίζεσθαί τε καὶ διορθοῦσθαι νόμιμον, ἐπεὶ καὶ Χαρμίδης ὁ Λαρισσαῖος ἀκούσας διηγουμένου τινὸς ἐν ὕδατι ζέοντι ζώσας ἰδεῖν ἐγχέλυας, οὐκοῦν ἐν ψυχρῷ ταύτας ἑψήσωμεν ἔφησεν. ἧς οὖν καὶ αὐτὸς ἀσύνετος ἔμεινας πεντεκαιδεκέτης παιδείας, ταύτης ὑπὲρ τὰ ἑξήκοντα γεγονὼς ἀκροατὴν σεαυτὸν ἀποδεικνύναι μὴ ἀπαξίου τήμερον, τῶν ἁπλῶν δηλαδὴ καὶ ἀρχοειδῶν φωνῶν καὶ στοιχείων. ταῦτα δ' ἂν πάντως εἴη τά τ' ὀνόματα καὶ ῥήματα. πρῶτον γὰρ δεῖ θέσθαι, φασί, τί ὄνομα καὶ τί ῥῆμα, οἱονεί τινα στερρὸν θεμέλιον, ἔπειτα τί ἐστιν ἀπόφασις καὶ κατάφασις καὶ ἀπόφανσις καὶ λόγος, καὶ ὅσα ἐκ τῆς ἀνθρωπίνης ταύτης ἐπιπλοκῆς καὶ συνθέσεως τῶν τε ὀνομάτων καὶ τῶν ῥημάτων ἀποτελοῦνται. σκιαὶ γὰρ οἱονεί τινές εἰσι τῶν πραγμάτων αἱ φωναί, πρὸς τὰς κινήσεις τῶν ὑφεστώτων σχηματιζόμεναι καὶ ὀνόμασι καὶ ῥήμασι κεραννύμε 3.285 ναι· οὐδὲ γὰρ φύσει τοῖς πράγμασι τὰ ὀνόματα, ναὶ μὴν οὐδὲ φύσις, ἀλλὰ κατὰ συνθήκην καὶ συμφωνίαν ἀνδρῶν συνετῶν ἐπιγίγνονται τοῖς πράγμασιν αἱ σημαντικαὶ τῶν πραγμάτων προσηγορίαι κατὰ τὸν Νυσσαέα Γρηγόριον. Δεῖ γὰρ ἔκ τε τῶν ἡμετέρων καὶ ἅμα τῶν θύραθεν σοφῶν, σύμφωνα φθεγγομένων ἐν ταῖς τῶν λόγων ἐπιστημονικαῖς ἀκριβείαις, τῷ ἀμαθεῖ τὴν προπαίδειάν σοι τῆς τοιαύτης προσάγειν διδασκαλίας, ὡς ἂν οὕτω δυνηθείημεν ὀψὲ γοῦν καθικέσθαι τῆς σαθρᾶς καὶ ἀμαθεστάτης σου διανοίας. τεῖχος γὰρ ὁ μέγας εἶναί φησι Βασίλειος τοῖς δόγμασι τῆς τῶν θύραθεν ἐπιστήμης τὴν δύναμιν, οὐκ ἐῶσαν αὐτὰ τοῖς βουλομένοις εὐάλωτά τε καὶ εὐδιάρπαστα γίνεσθαι. καὶ αὖθις ὁ θεῖος Χρυσόστομος "ὅταν περὶ δόγματα" φησὶ "νοσῇ ἡ ψυχὴ τὰ νόθα, πολλὴ τοῦ λόγου ἐνταῦθα ἡ χρεία, οὐ πρὸς τὴν τῶν οἰκείων ἀσφάλειαν μόνον, ἀλλὰ καὶ πρὸς τοὺς ἔξωθεν πολέμους." καὶ αὖθις ὁ θεῖος Μάξιμος "δίχα λογικῆς δυνάμεως ἐπιστημονικὴ" φησὶ "γνῶσις οὐκ ἔστι, καὶ γνώσεως χωρὶς οὐ συνίσταται πίστις." ὁρᾷς τὸ τῶν σῶν βλασφημιῶν αἴτιον, ἄνθρωπε· οὐδὲν γὰρ ἕτερον ἢ πάντως ἡ τούτων ἄγνοια, λέγω δὴ τὴν τῶν θύραθεν καὶ τῶν ἡμετέρων ἅμα σοφῶν καὶ θεολόγων ἀνδρῶν ἐπιστήμην. ἣν ἀγνοοῦντά σε νῦν γοῦν διδαχθῆναι χρεὼν ἐνταυθοῖ παρ' ἡμῶν. 3.286 Τούτων δ' οὕτω λεγομένων τινὲς τῶν τῆς γερουσίας μάλιστα φίλων τῷ Παλαμᾷ καὶ ὁμοδόξων ὁμοῦ καὶ συναγωνιστῶν ὑπεψιθύρισαν πρὸς οὓς τῷ Γρηγορᾷ μὴ σκώπτειν μηδ' ἐς τοσοῦτον εἰρωνεύεσθαι πρὸς ἄνδρα ἐπίσκοπον καὶ πολιὸν τὴν τρίχα. κατὰ μικρὸν οὖν ὁ Γρηγορᾶς ἐπισχὼν καὶ ἀκούσας ἀνελάμβανεν αὖθις τὸν λόγον. καὶ δὴ "ἔστι μὲν οὖν" φησὶν "τὰ ἐν τῇ φωνῇ τῶν ἐν τῇ ψυχῇ παθημάτων σύμβολα, καὶ τὰ γραφόμενα τῶν ἐν τῇ φωνῇ, ἥτις δὴ κατὰ φύσιν ἄναρθρος οὖσα ἔναρθρος γίνεται θέσει, δι' ὀνομάτων τε καὶ ῥημάτων ὀψιγόνοις παρευρημένων ἀνθρώποις. τὰ γὰρ πρῶτα κατὰ φύσιν, ἅτε ὄντα ἁπλᾶ, καὶ πρότερα δήπου τῶν κατ' ἐπιτήδευσιν καὶ συνθέτων ὁ τῆς ἀληθείας δεδικαίωκεν εἶναι λόγος. πρότερα ἄρα τῶν ἐν τῇ φωνῇ σημαντικῶν ὀνομάτων ὁμοῦ καὶ ῥημάτων τὰ ἐν τῇ ψυχῇ παθήματα εἴτουν νοήματα. ἔμφυτα γὰρ νοήματα κἀξ αὐτοχθόνου πηγῆς ἀποῤῥέοντα, ἐκεῖνα δ' ὑστερογενῆ καὶ ἐπίκτητα. ὧν οὐκ ἂν ἀνθρώποις ἐδέησεν, εἰ δύναμις ἐνῆν προφαίνειν ἀλλήλοις τὰ τῆς διανοίας κινήματα. "δέον γὰρ" ὁ μέγας φησὶν Διονύσιος "εἰδέναι κατὰ τὸν ὀρθὸν λόγον ὅτι στοιχείοις καὶ συλλαβαῖς καὶ λέξεσι καὶ γραφαῖς καὶ λόγοις χρώμεθα διὰ τὰς αἰσθήσεις, ὡς ὅταν ἡμῶν ἡ ψυχὴ ταῖς νοεραῖς ἐνεργείαις ἐπὶ τὰ νοητὰ κινῆται, περιτταὶ μετὰ τῶν αἰσθητῶν αἱ αἰσθήσεις." διὰ γὰρ τὸ τῇ σαρκίνῃ περιβολῇ τὴν φύσιν ἡμῶν περιείργε 3.287 σθαι, φανερωθῆναι μὴ δυναμένων, ἀναγκαίως" ἔφη Γρηγόριος "καθάπερ σημείοις τοῖς πράγμασι τὰς ποιὰς τῶν ὀνομάτων θέσεις



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐπιβάλλοντες, δι' ἐκείνων τὰς τοῦ νοῦ κινήσεις ἀλλήλοις δημοσιεύομεν. καὶ τούτου χάριν τῷ μέν τινι τῶν ὄντων ὄνομα οὐρανὸν ἐθέμεθα, ἑτέρῳ δὲ γῆν καὶ ἄλλῳ ἄλλο τι. καὶ τὸ πρός τι πῶς ἔχειν ἢ τὸ ἐνεργεῖν ἢ τὸ πάσχειν, ταῦτα πάντα ἰδιαζούσαις ἐπισημαινόμεθα ταῖς φωναῖς, ὡς ἂν μὴ ἀκοινώνητός τε καὶ ἄγνωστος ἡ τοῦ νοῦ κίνησις ἐν ἡμῖν μένοι. εἰς γὰρ γένεσιν ὁ θεὸς παράγων τὸν ἄνθρωπον νοῦν παρέσχε καὶ αἴσθησιν. ὧν ὁ μὲν νοῦς ταυτότητα σώζων πρὸς τὰ ἐν κόσμῳ πράγματα φωνῆς οὐ δεῖται, ἀλλ' ἄμεσον τὴν τούτων κέκτηται γνῶσιν. ὡς γὰρ ἔχουσι φύσεως ταῦτα, νοεῖ τὸν ἐφικτόν γε τρόπον αὐτόθεν· ἡ δὲ χρεία κοινωνεῖν τῶν πραγμάτων ἀλλήλοις τοὺς ἀνθρώπους βιαζομένη, καὶ τὰ τῆς ὀρεκτικῆς ψυχῆς ἐξαγγέλλειν ἀπόρρητα, μεσίτῃ νοήσεως καὶ πραγμάτων διέγνωκε χρήσασθαι τῇ αἰσθήσει· αὕτη γὰρ τοῖς οἰκείοις ὀργάνοις τοὺς τῶν ἔξω πραγμάτων τύπους ἀναλαμβάνουσα καὶ οἷον βιβλίῳ τῷ φανταστικῷ τῆς ψυχῆς καταγράφουσα, εἰκόνας φησὶν ἀντὶ πρωτοτύπων, αὐτόθι ταύτας ἐγκαθιδρύει, σύμφωνα τοῖς νοήμασι τὰ πράγματα σπεύδουσα δρᾶν. διὸ καὶ φωνῆς ἐδεήθη δυναμένης ἐξομοιοῦσθαι μὲν τοῖς νοήμασιν ἐφαρμόζεσθαι δὲ τοῖς πράγμασι. τοῦτο δ' οὐκ ἄλλως ῥάδιον ζώῳ γίνεται λογικῷ, πλὴν δι' ἐνάρθρου φωνῆς, ὑπὸ συνθήκης ἀνδρῶν εὐφυῶν 3.288 εἰδοποιηθείσης πρὸς ἄλλην καὶ ἄλλην θρησκείαν τε καὶ διάλεκτον, ὡς συμβαίνειν ἐντεῦθεν μὴ παρὰ πᾶσιν ὡσαύτως ἔχειν αὐτήν, ἀλλ' ἄλλην εἶναι παρ' ἄλλοις ἀεί, καὶ οὕτω μεσῖτιν, ὡς ἔφην, ἀμφοῖν γινομένην τὴν τῆς ἐνάρθρου χρείαν φωνῆς, τὴν τοῦ ἀκούοντος τῇ τοῦ λέγοντος συνάπτειν εὐστόχως διανοίᾳ κατὰ τὸ ἀνάλογον ἑκάστην ἑκάστῃ· μορφουμένη γὰρ αὕτη καὶ διαπλαττομένη ῥήμασί τε καὶ ὀνόμασι λόγος γίνεται σχήμασι ποικίλοις καὶ ἀρχαῖς καὶ πέρασιν ὁρίζων τὸ τῆς ὕλης ἀόριστόν τε καὶ ἄφετον, καὶ οὕτω τοῖς ἔξω τὴν ἔνδον ἑκάστου βούλησιν ἀπαγγέλλων. πλὴν οὐχ ὡς ἔτυχεν ἀτάκτως φέρεσθαι καὶ κατὰ τὴν ἑκάστων διάφορον θέλησιν ἡ σοφία κατόπιν ἐληλυθυῖα παρὰ θεοῦ τοῖς ἀνθρώποις ἀφῆκεν, ἀλλὰ νόμοις καὶ κανόσιν ὑπέζευξε ταύτην κατὰ τὰς παρ' ἑκάστοις συνθήκας. ὧν ἐνίαις ἐνίοτε καὶ ἐνιαχοῦ μὴ μόνον κατὰ θρησκείαν τὰς σημασίας ἕπεται διαιρεῖν, ἀλλὰ καὶ καθ' ὁμωνυμίας καὶ πολυωνυμίας. δυοῖν γὰρ θάτερον, ἢ διαφόροις ὀνόμασι τὰ αὐτὰ τοῖς τῇ αὐτῇ διαλέκτῳ χρωμένοις γνωρίζονται πράγματα, ἢ μιᾷ προσηγορίᾳ τὰ διάφορα τῶν πραγμάτων, ἢ τούτων μὲν οὐδετέροις ἕτερά γε μὴν ἑτέροις. τούτων δ' οὕτως ἐχόντων καὶ οὑτωσὶ προδιαληφθέντων ἀνακτέον ἂν εἴη τὴν γλῶτταν ἡμῖν εἰς τὸ πρότερον ἴχνος τοῦ λόγου. τὸ δέ ἐστι δεῖξαι τὴν τῶν πολλῶν ἐκείνων ὀνομάτων ὁμόνοιάν τε καὶ συμφωνίαν καὶ πρὸς τὸ κυρίως ἓν ἀναφοράν, 3.289 δηλαδὴ τὴν θείαν ἐκείνην καὶ μακαρίαν οὐσίαν, καὶ μὴ κατ' Εὐνόμιον ἐκεῖνον τὸν δυσσεβῆ, τὸ τῆς ἀγεννησίας ὄνομα θεότητος ὕπαρξιν λέγοντα, καὶ σέ, θεότητας ταῦθ' ὑφειμένας ἡγεῖσθαι πάντα, διαφόρους τῆς οὐσίας καὶ ἀκτίστους, ἀνθρώπων ὄντα εὑρήματα καὶ ποιήματα. αὐτίκα γὰρ πρὸς ἐκεῖνον ὁ μέγας φάσκει Βασίλειος "τὸ ἀγέννητος εἰ ὄνομα, οὐκ οὐσία· τῶν γὰρ οὐσιῶν σημαντικὰ τὰ ὀνόματα, οὐκ αὐτὰ οὐσίαι. εἰ δ' αὐτὸ οὐσία τὸ ἀγέννητος, λεγέτωσαν τὸ ὄνομα αὐτῆς· οὐ γὰρ ἐκ τῶν οὐσιῶν ἀλλ' ἐκ τῶν ὀνομάτων καὶ ἐκ τῶν ἐνεργειῶν γνωρίζομεν καὶ μάλιστα τὰ ἀσώματα." ὁρᾷς ἐκ τοῦ παρήκοντος πῶς ἐκ τῶν σωματικῶς θεωρουμένων ἐνεργειῶν φησίν, εἴτουν ἔργων καὶ ποιημάτων, γνωρίζειν ἡμᾶς τὰ ἀσώματα καὶ μὴ φαινόμενα; ἄκουε δ' ἐπὶ τούτοις τί καὶ ὁ Νυσσαέων περὶ ὀνομάτων φάσκει Γρηγόριος. "ἡ θεία φύσις ὅτι ποτὲ κατ' οὐσίαν ἐστί, μία ἐστὶν ἁπλῆ καὶ μονοειδὴς καὶ ἀσύνθετος καὶ ὑπὲρ τὴν αἰσθητικὴν ἡμῶν κατάληψιν. καὶ ἐπειδὴ μόνα τὰ γινωσκόμενα διὰ τῆς ὀνομαστικῆς σημειούμεθα κλήσεως, τὰ δ' ὑπὲρ τὴν γνῶσιν ὄντα σημειωτικαῖς τισὶ προσηγορίαις διαλαβεῖν οὐχ οἷόν τε, πολλοῖς καὶ διαφόροις ὀνόμασιν, ὅπως ἂν ᾖ δυνατόν, ἀνακαλύψαι βιαζόμεθα τὴν ἐγγινομένην ἡμῖν περὶ τοῦ θείου ὑπόνοιαν." 3.290 διὸ κύριον αὐτόν, θεόν, δίκαιον, ἰσχυρόν, μακρόθυμον, ἀληθινόν, ἐλεήμονα, καὶ τὰ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

παραπλήσια, πολυωνύμως ἢ τό γε ἀκριβέστερον εἰπεῖν ἑτερωνύμως, κατονομάζομεν. τὰ δὲ τοιαῦτα ὀνόματα θέσει πάντως εἰσὶ καὶ οὐ φύσει, ὡς ἡμεῖς προδεδείχαμεν. καὶ ὁ μέγας ἀλλαχῇ φησὶν Ἀθανάσιος ὅτι καὶ τὸ θεὸν εἶναι δεύτερόν ἐστι τῆς φύσεως. καὶ ὁ μέγας ἐν θεολογίᾳ Γρηγόριος ὅτι οὐ φύσις θεῷ ἡ ἁπλότης· τὸ μὲν γὰρ τὴν θεατικὴν αὐτοῦ παρίστησι δύναμιν, τὸ δὲ τὸ μὴ εἶναι σύνθετον. καὶ ἁπλῶς εἰπεῖν οὐδὲν τῶν ὀνομάτων ἐστὶν ὃ μὴ δεύτερόν ἐστι τῆς θείας φύσεως. περιγεγραμμένος γάρ τις ὅρος οὐσίας καὶ φύσεως γίνεται τοὔνομα, ἡ δ' ἀπερίγραπτος ἐκείνη φύσις περιγραφαῖς ὀνομάτων δουλεύειν οὐ δύναται. καὶ ἐν ἑτέρῳ δ' ὁ θεῖος Νυσσαέων Γρηγόριος περὶ τῶν αὐτῶν ὀνομάτων οὕτω φησίν. "εἰ προϋφέστηκε τῶν ἐνεργειῶν ἡ οὐσία, νοοῦμεν δὲ τὰς ἐνεργείας δι' ὧν αἰσθανόμεθα, ῥήμασι δὲ ὅπως ἂν ᾖ δυνατὸν ἐξαγγέλλομεν, τίς ἔτι καταλείπεται φόβος νεώτερα τῶν πραγμάτων τὰ ὀνόματα λέγειν; εἰ γὰρ μὴ πρότερον ἑρμηνεύομέν τι τῶν περὶ θεοῦ λεγομένων πρὶν ἂν νοήσωμεν, νοῶμεν δὲ δι' ὧν ἐκ τῶν ἐνεργειῶν διδασκόμεθα, προϋφέστηκε δὲ τῆς ἐνεργείας ἡ δύναμις, ἡ δὲ δύναμις ἐξήρτηται τοῦ θείου θελήματος, τὸ δὲ βούλημα ἐν τῇ ἐξουσίᾳ τῆς θείας ἀπόκειται φύσεως, ἆρ' οὐ 3.291 σαφῶς διδασκόμεθα ὅτι ἐπιγίνονται τοῖς πράγμασιν αἱ σημαντικαὶ τῶν ὀνομάτων προσηγορίαι, καὶ ὥσπερ σκιαὶ τῶν πραγμάτων εἰσὶν αἱ φωναί, πρὸς τὰς κινήσεις τῶν ὑφεστώτων σχηματιζόμεναι; καὶ ὅτι ταῦτα οὕτως ἔχει, πείθει σαφῶς ἡ θεία γραφὴ διὰ τοῦ μεγάλου Δαβὶδ τοῦ καθάπερ διὰ τινῶν ἰδίων προσφυῶν ὀνομάτων τῶν ἐκ τῆς ἐνεργείας αὐτοῦ νοηθέντων τὴν θείαν φύσιν ἀνακαλοῦντος· "οἰκτίρμων" γάρ φησι "καὶ ἐλεήμων ὁ κύριος, μακρόθυμος καὶ πολυέλεος". ταῦτα τοίνυν τί λέγουσιν, ἐνεργείας ἔχειν τὴν σημασίαν ἢ φύσεως; οὐκ ἄν τις ἄλλο παρὰ τὴν ἐνέργειαν εἴποι. πότε τοίνυν ἐνεργήσας τοὺς οἰκτιρμοὺς ὁ θεὸς καὶ τὸν ἔλεον, ἔσχεν ἐκ τῆς ἐνεργείας τὸ ὄνομα; ἆρα πρὸ τῆς ἀνθρωπίνης ζωῆς; καὶ τίς ἦν ὁ τοῦ ἐλέους δεόμενος; ἀλλὰ μετὰ τὴν ἁμαρτίαν πάντως. ἡ δ' ἁμαρτία μετὰ τὸν ἄνθρωπον· οὐκοῦν μετὰ τὸν ἄνθρωπον καὶ ἡ τοῦ ἐλεεῖν ἐνέργεια καὶ τὸ τοῦ ἐλέου ὄνομα." ὁρᾷς; διὰ γὰρ τοῦτο καὶ ὁμώνυμα γίνεται καὶ μεθαρμόζεται κατὰ τοὺς τῆς ἀνθρωπίνης βουλήσεως κανόνας καὶ νόμους. καὶ οὐκ ἐφ' ἑνὸς ἀλλ' ἐπὶ πλείστων τε καὶ διαφόρων ὑποκειμένων ἕκαστον ἓν ὂν λέγεται ὄνομα, τὸ πλεῖστον εἰπεῖν. οἷον ἐπὶ ὑποδείγματος, περὶ βουλήσεως εὕροι τις ἂν τοὔνομα ποτὲ μὲν ἐπὶ τῆς ἀκτίστου φύσεως τοῦ υἱοῦ λαμβανόμενον, ποτὲ δ' ἐπὶ τῶν κτισμάτων παρὰ τῶν ἁγίων, ὡς ὁ μέγας Ἀθανάσιος κατὰ Ἀρειανῶν γράφων φησὶν ὡς οἱ ἀσε 3.292 βεῖς οὐ θέλουσι λόγον καὶ βουλὴν ζῶσαν εἶναι τὸν υἱόν, περὶ δὲ τὸν θεὸν βούλησιν καὶ φρόνησιν καὶ σοφίαν ὡς ἕξιν συμβαίνουσαν καὶ ἀποσυμβαίνουσαν. καὶ ὁμοίως Ἰωάννης ὁ ἐκ Δαμάσκου βούλησιν καὶ σοφίαν καὶ δύναμιν τὸν υἱὸν εἶναι λέγει τοῦ πατρός· οὐ χρὴ γὰρ λέγειν ἐπὶ θεοῦ ποιότητα, ἵνα μὴ σύνθετον αὐτὸν ποιήσωμεν ἐξ οὐσίας καὶ ποιότητος. καὶ πρός γε ὁ Νυσσαέων Γρηγόριος ὄντως σοφίαν καὶ βουλὴν οὐδὲν ἕτερον εἶναι λέγει πλὴν τῆς τοῦ παντὸς προεπινοουμένης σοφίας, ἐν ᾗ τὰ πάντα ἐγένετο καὶ διεκοσμήθη· Χριστὸς γὰρ θεοῦ δύναμις καὶ θεοῦ σοφία. καὶ τοῦτο μὲν περὶ τοῦ ταὐτὸν εἶναι κατὰ τὸ σημαινόμενον οὐσίαν δύναμιν καὶ βούλησιν καὶ σοφίαν. ἐν ἄλλοις δ' εὑρίσκεται λέγων ὁ θεῖος Μάξιμος ὡς ἡ θέλησις καὶ ἡ βούλησις οὐκ ἐστὶ ταὐτὸν τῇ οὐσίᾳ τοῦ θεοῦ. "ἡ μὲν γὰρ θέλησις καὶ ἄρχεται καὶ παύεται, ἡ δὲ οὐσία οὔτε ἄρχεται οὔτε παύεται. τὸ δ' ἀρχόμενον καὶ παυόμενον τῷ μήτε ἀρχομένῳ μήτε παυομένῳ τὸ αὐτὸ εἶναι οὐ δύναται. εἰ γὰρ ταὐτὸν ἦν τῇ οὐσίᾳ τοῦ θεοῦ ἡ βούλησις, ἐχρῆν μιᾶς οὔσης τῆς οὐσίας μίαν εἶναι καὶ τὴν θέλησιν. ἀλλ' ἡ γραφὴ πάντα φησίν, ὅσα ἠθέλησεν, ἐποίησε. πολλὰ οὖν ἠθέλησε καὶ οὐχ ἕν". καὶ ὁμοίως ὁ θεῖος Κύριλλος "ἡ ἑνός" φησι "τῶν ὠνομασμένων, πατρὸς λέγω καὶ υἱοῦ καὶ ἁγίου πνεύματος, δημιουργικὴ θέλησις, ἐφ' ὅτῳ περ ἂν λέγοιτο γενέσθαι τυχόν, ἐνέργημα μὲν 3.293 αὐτοῦ ἐστί· πλὴν διὰ πάσης ἔρχεται τῆς θεότητος, καὶ τῆς ὑπὲρ τὴν κτίσιν


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

οὐσίας ἐστὶν ἀποτέλεσμα". ὁρᾷς πῶς ἡ τῶν ὀνομάτων καὶ ῥημάτων γνῶσις ἐπιστημονική, δι' ὧν λόγοι καὶ ἀποφαντικὰ δόγματα πάντα πρὸς γένεσιν ἔρχονται, μεγάλης δεῖται τῆς περινοίας καὶ ἐξετάσεως; ὁμώνυμα γάρ ἐστι τὰ πολλά. καὶ διὰ τοῦτο πάντες οἱ τῶν αἱρετικῶν θίασοι, τούτοις ἐγκαλυπτόμενοι, τοξεύουσι κατ' ἄλλοτ' ἄλλους καιροὺς ἀφανῶς τὴν εὐσέβειαν ὡς ἐκ λόχμης· ᾧ δὴ καὶ λέγων καὶ γράφων καὶ αὐτὸς κέχρησαι τολμήματι παντάπασι κατὰ τῶν θείων δογμάτων μάλιστα πάντων ἐκείνων, καὶ οὔτε τὴν τὰ πάντα βόσκουσαν ἡλίου φλόγα μάρτυρα τῆς πονηρίας ἔχων αἰσχύνῃ, οὔτε μὴν τὸν τοῦ ἡλίου δημιουργὸν οὔτ' ἀνθρώπων οὐδένα. Καὶ ἵνα σε καὶ τὴν τῆς ἐνεργείας διδάξω φωνὴν οὖσαν μᾶλλον τῶν ὁμωνύμων αὐτήν, καὶ λαμβανομένην καὶ ἐπ' ἄλλων μὲν ἀλλὰ κἀπὶ τῆς θείας ἐκείνης καὶ μακαρίας οὐσίας καὶ φύσεως, ὅταν ἀπροσδιορίστως λέγηται, τοῦ θείου πρῶτον ἄκουε Μαξίμου. "ἡ αὐτοϋπεραγαθότης νοῦς οὖσα καὶ ὅλη ἐνέργεια εἰς ἑαυτὴν ἐστραμμένη ἐνέργειά ἐστιν, οὐ δυνάμει πρότερον οὖσα ἀφροσύνη, εἶτα νοῦς ἐνεργείᾳ γενομένη· ὅθεν καὶ νοῦς ἐστὶ μόνος καθαρός, οὐκ ἐπίκτητον ἔχων τὸ φρονεῖν, ἀλλὰ παρ' ἑαυτοῦ πάντως νοεῖ. εἰ γὰρ ἡ μὲν οὐσία αὐτοῦ ἄλλη ἐστίν, ἃ δὲ νοεῖ ἕτερα αὐτοῦ ἐστίν, 3.294 ἀνόητος ἔσται ἡ οὐσία αὐτοῦ· εἴ τι δὲ ἔχει, παρ' ἑαυτοῦ ἔχει, οὐ παρ' ἄλλου. εἰ δὲ παρ' ἑαυτοῦ καὶ ἐξ ἑαυτοῦ νοεῖ, αὐτός ἐστιν ἃ νοεῖ. οὐκοῦν νοῦς ὢν ὄντως νοεῖ τὰ ὄντα ὡς ὤν". ὁρᾷς πῶς ἐνέργειαν καὶ νοῦν καὶ νοεῖν καὶ φρονεῖν, εἴτουν νόησιν καὶ φρόνησιν, ταὐτὸν τῇ οὐσίᾳ δείκνυσιν ὁ θεῖος οὗτος διδάσκαλος; ἄκουε δὲ λοιπὸν καὶ ἑτέραν τοῦ αὐτοῦ ῥῆσιν ὁμοίως ἔχουσαν. "οὐδὲν τῶν ὄντων τὸ σύνολον αὐτὸ καθ' αὐτὸ ἁπλῆ τις οὐσία ἢ νόησις ἐστίν, ἵνα καὶ μονὰς ᾖ ἀδιαίρετος. τὸν δὲ θεὸν εἴτε οὐσίαν εἴποιμεν, οὐκ ἔχει φυσικῶς συνεπινοουμένην τὴν τοῦ νοεῖσθαι δύναμιν, ἵνα μὴ ᾖ σύνθετος· εἴτε νόησιν, οὐκ ἔχει φυσικῶς δεκτικὴν τῆς νοήσεως ὑποκειμένην οὐσίαν. ἀλλ' αὐτὸ κατ' οὐσίαν νόησίς ἐστιν ὁ θεός, καὶ ὅλος νόησις καὶ μόνον, καὶ αὐτὸ κατὰ τὴν νόησιν οὐσία, καὶ ὅλος οὐσία καὶ μόνον, καὶ ὑπὲρ οὐσίαν ὅλος, καὶ ὑπὲρ νόησιν ὅλος, διότι μονὰς ἀδιαίρετος καὶ ἀμερὴς καὶ ἁπλῆ." καὶ ἀλλαχοῦ "μονὰς γάρ" φησιν "ἡ θεότης, καὶ οὐ δυάς, καὶ τριάς, ἀλλ' οὐ πλῆθος, ὡς ἄναρχος ἀσώματός τε καὶ ἀστασίαστος. καὶ πάλιν "ἐκεῖνο γὰρ φύσει μονώτατον τέλειον, τὸ ἀσύνθετον καὶ ἀσκέδαστον καὶ φεῦγον ἐπ' ἴσης τό τε καθ' ὑπόστασιν μοναδικὸν καὶ τὸ καθ' ὕλην δυϊκὸν καὶ τὸ κατ' οὐσίαν πληθυντικόν." ὁρᾷς πῶς τὸ πληθυντικὴν νοεῖσθαι τὴν τῆς τριάδος ἐνταῦθα φωνήν, παντάπασιν ὁ θεῖος οὗτος ἀπαγορεύει διδάσκαλος; μονὰς γάρ φησιν ἡ τριὰς καὶ οὐ πλῆθος, 3.295 καὶ πρός γε μονώτατον καὶ ἑνιαῖον καὶ οὐ πληθυντικόν. καὶ ἐπὶ τούτοις ἁπλοῦν καὶ οὐ μεριστόν. τὸ μὲν γὰρ τέλειον, τὸ δ' ἀτελές. ὃ γὰρ αἴτιον πάντων, ἓν πάντως· καὶ ὃ τῶν πολλῶν καὶ συνθέτων αἴτιον, ἁπλοῦν πάντως καὶ ἀσύνθετον. εἰ γὰρ μὴ ἕν ἐστι, οὐδέν ἐστιν, ὁποτέρωθεν ὁρῴη τις ἄν. καὶ εἰ μὴ ἁπλοῦν, οὐδ' ἐπέκεινα τῶν πολλῶν καὶ συνθέτων. εἰ δ' ἁπλοῦν, πάντως καὶ ἀδιαίρετον ἅμα καὶ ἀμερές· τῶν γὰρ συνθέτων ἐστὶν ἡ διαίρεσις καὶ διάκρισις εἰς τὰ ἐξ ὧν συνῄρηταί τε καὶ συντέθειται τὸ σύνθετον ἐκεῖνο καὶ ἡνωμένον. ὅσα γὰρ τὰ διακρινόμενα, τοσαῦτα τὸ ἡνωμένον ἀφ' οὗ ταυτὶ διακρίνεται· καὶ ὅσα τὰ πολλά, τοσαῦτα τὸ ἓν ἀφ' οὗ διίστανται. τοῦ δ' ἀδιαιρέτου καὶ ἀμεροῦς οὐκ ἔστι λαβεῖν μόριον οὐδέν, οὔτε πρότερον ἄλλων οὔθ' ὕστερον ἄλλων. οὔτε μὴν ἀρχὴν οὔτε πέρας· ἄλλο γὰρ τὸ πέρας καὶ ἄλλο οὗ πέρας, καὶ αὖ ἕτερον ἀρχὴ καὶ ἕτερον οὗ ἀρχή. τοῦτο δὲ συνεχὲς καὶ σύνθετον καὶ ὅλον ἐν σχέσει. ἃ πάντα ἀδύνατα ἐπὶ τῆς ἁπλῆς καὶ ἀσχέτου καὶ ἀμεροῦς ἐκείνης οὐσίας. εἰ δ' ἐκ τῶν ἡμῖν γνωριμωτέρων τὰς ἐν ἡμῖν ἀρρήτους ὠδῖνας εἰς τὴν ἄρρητον, ἵν' εἴπω, συναίσθησιν τῆς ὑπερηφάνου γνώσεως ἐκείνης ἀνάγεσθαι πειρώμεθα, θαυμάζειν ἥκιστα χρή· τοῦτο γὰρ ὡς τὰ 3.296 πολλὰ καὶ τοῖς θείοις πατράσιν ἀκώλυτον ἔσχε τὸ συγκεχωρηκός. Ἔχων δ' ἐγὼ καὶ ἕτερα πλεῖστα προενεγκεῖν σαφῆ καὶ ἀναμφιλέκτως δεικνύντα τῇ οὐσίᾳ ταὐτὸν


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

εἶναι τὴν θείαν ἐνέργειαν καὶ ὅλην ἐνέργειαν καὶ αὐτοενέργειαν, παρίημι διὰ πλῆθος, ἀρκεῖν ἡγούμενος ταῦτα τῇ παρούσῃ σχεδίῳ σχολῇ· εἰρήσεται δ' οὖν ἴσως κἀν τοῖς ἑξῆς, προϊόντος τοῦ περὶ τῆς τοιαύτης ἐνεργείας λόγου. νῦν δὲ δεικτέον ἐστὶ καὶ ὅπως μετὰ προσδιορισμοῦ φασὶν οἱ θεῖοι πατέρες καὶ τὸν υἱὸν καὶ τὸ ἅγιον πνεῦμα ἐνέργειαν καὶ αὐτοενέργειαν, ἑκάτερον προσηκόντως. καὶ περὶ μὲν τοῦ υἱοῦ ὁ θεῖος οὕτω φησὶν Ἀθανάσιος "οὐκ ἀμφίβολον ὅτι αὐτός ἐστιν ἡ τοῦ πατρὸς ζῶσα βουλὴ καὶ ἐνούσιος ἐνέργεια καὶ λόγος ἀληθινός." περὶ δὲ τοῦ πνεύματος ὁ αὐτὸς οὕτω φησίν "ἑνὸς ὄντος τοῦ υἱοῦ τοῦ ζῶντος λόγου, μίαν εἶναι δεῖ τελείαν καὶ πλήρη τὴν ἁγιαστικὴν καὶ φωτιστικὴν ζωήν, οὖσαν ἐνέργειαν αὐτοῦ καὶ δωρεάν, ἥτις ἐκ πατρὸς λέγεται ἐκπορεύεσθαι." Κύριλλος δ' ὁμοίως καὶ αὐτὸς "καὶ ὁ υἱός ἐστι" φησὶν "ἡ ζῶσα καὶ οὐσιώδης ἐνέργεια καὶ δύναμις καὶ σοφία τοῦ πατρός. ἐνέργεια καὶ τοῦ υἱοῦ τὸ πνεῦμα τὸ ἅγιον". ἐνέργεια λέγεται καὶ ἡ ἑκάστῳ τῶν ὄντων ἐνοῦσα φυσικὴ δύναμις, ὡς τὸ θερμαντικὸν τῷ πυρὶ καὶ τὸ ψυκτικὸν τῇ χιόνι καὶ τὸ αἰσθητικὸν τῷ ζώῳ, καὶ τῷ ἐνεργοῦντι τὸ ἐνεργητικόν. λέγεται καὶ τὸ τῆς 3.297 ἐνεργητικῆς δυνάμεως ἀποτέλεσμα ἐνέργεια καὶ ἔργον καὶ ἐνέργημα, ὡς ἔργα καὶ ἐνέργειαι θεοῦ γῆ καὶ οὐρανὸς καὶ τὰ ἐν τούτοις· φησὶ γὰρ ὁ θεῖος ἐκ Δαμασκοῦ Ἰωάννης ὡς ἡ ἐνέργεια καὶ ἐνέργημα λέγεται, καὶ τοὐναντίον ἐνέργεια τὸ ἐνέργημα, ὡς καὶ τὸ κτίσμα κτίσις. καθ' ὃ σημαινόμενον καὶ τὸν οἶκον ἐνέργειάν φαμεν τοῦ οἰκοδόμου, καὶ τοῦ ναυπηγοῦ τὴν ὁλκάδα. ἐνέργεια λέγεται καὶ ἡ πρὸς τὰ ἐνεργούμενα κίνησις, σχέσις τις οὖσα καὶ μεταξὺ θεωρουμένη τοῦ τε δημιουργοῦντος καὶ τῶν δημιουργουμένων, καθάπερ ἡ τοῦ οἰκοδόμου πρὸς τὸ οἰκοδομούμενον καὶ τοῦ ναυπηγοῦ πρὸς τὸ πλοῖον. ἣ καὶ συμβεβηκὸς οὖσα καθ' αὑτὴν συγκαταλήγει τῇ τῶν ἄκρων λήξει καὶ οὐκέτι ἐστὶν οὐδέν. περὶ ἧς καὶ ὁ θεολόγος ἔφη ὁ θεῖος Γρηγόριος ὡς ἐνεργηθήσεται καὶ οὐκ ἐνεργήσει, καὶ ὁμοῦ τῷ ἐνεργηθῆναι παύσεται, καθάπερ καὶ ἡ μεταξὺ τοῦ ὁρωμένου καὶ τοῦ ὁρῶντος ὅρασις καὶ ἡ μέσον τοῦ γευομένου καὶ τοῦ γευστοῦ γεῦσις. καὶ ὁ Νυσσαέων δὲ θεῖος Γρηγόριος μὴ δύνασθαί φησιν ἐνέργειαν ἀπεργαστικήν τινα πράγματος αὐτὴν ἐφ' ἑαυτῆς συστῆναι, μή τινος ὑποδεχομένου τῆς ἐνεργείας τὴν κίνησιν. ἀναγκαίαν γὰρ ἔχειν ταῦτα τὴν σχέσιν πρὸς ἄλληλα τήν τε ἐνεργητικὴν καὶ τὴν παθητικὴν δύναμιν. ὧν εἰ χωρισθείη τῷ λόγῳ τὸ ἕτερον, οὐκ ἂν ἐφ' ἑαυτοῦ συσταίη καὶ τὸ λειπόμενον· εἰ μὴ γὰρ καὶ τὸ 3.298 πάσχον εἴη, τὸ ἐνεργοῦν οὐκ ἔσται. ἐνέργεια λέγεται καὶ ἡ πρὸς φαντασίαν ἀντιδιῃρημένη ἀλήθεια κατὰ τὸν θεῖον Κύριλλον, ὡς ἐνῴκησεν ὁ θεῖος λόγος ἐν τῇ πανάγνῳ θεοτόκῳ οὐ δοκήσει ἀλλ' ἐνεργείᾳ εἴτουν ἀληθείᾳ. ἐνέργεια λέγεται κατὰ τὸν θεῖον ἐκ Δαμάσκου Ἰωάννην καὶ τὸ πρῶτον ἐν ἡμῖν συνιστάμενον νόημα, καὶ ἔτι ἡ διὰ γλώττης τῶν νοουμένων φανέρωσις. σύνηθες δ' ἔτι, φησί, καὶ τῇ θείᾳ γραφῇ καὶ τὴν τοῦ θεοῦ παραχώρησιν λέγειν ἐνέργειαν. λέγεται καὶ πλάνης ἐνέργεια ὥσπερ καὶ δαιμόνων, καθὰ καὶ ὁ θεῖος Χρυσόστομος ἐν ταῖς περὶ ἀκαταλήπτου λόγοις ὑπὲρ τῶν ἐνεργουμένων εὔχεσθαι παραινεῖ, τῶν δαιμονώντων δηλαδὴ καὶ μεμηνότων. καὶ Παῦλος δὲ "ἀνθ' ὧν" φησὶ "τὴν ἀλήθειαν οὐκ ἐδέξαντο, πέμψει αὐτοῖς ἐνέργειαν πλάνης εἰς τὸ πιστεῦσαι αὐτούς." ἀλλὰ καὶ τὴν τοῦ ζώου πᾶσαν οἰκονομίαν ἐνέργειαν οἱ ἅγιοι φασίν, εἴτουν τὰς ζωτικὰς δυνάμεις τάς τε νοερὰς καὶ αἰσθητικάς. Τοσούτων δή σοι προκειμένων σημαινομένων ἅπερ ἡ τῆς ἐνεργείας ὁμώνυμος οὖσα σημαίνει φωνή, πῶς παρατρέχων ἁπάντων τὴν γνῶσιν καταφεύγεις ἐφ' ἅπερ οὐκ ἔστιν ἐν ταῖς γραφαῖς, καὶ λέγειν συκοφαντεῖς τὰς γραφὰς τὰ τοιάδε; ποῦ γὰρ διαφέρειν ὅλως φησὶν ὁ Δαμασκηνὸς Ἰωάννης τῆς ἀκτίστου φύσεως τὴν ἄκτιστον ταύτης ἐνέργειαν, 3.299 ὥσπερ σὺ διαβάλλεις ἀναίδην συκοφαντῶν; χαρακτηρίζειν μὲν γὰρ ἀκηκόαμεν, διαφέρειν δ' οὐδαμῇ τὸν θεῖον ἄνδρα ἐκεῖνον εὑρίσκομεν λέγοντα. εἰ δὲ τὸ χαρακτηρίζειν αὐτὸς ἀντὶ τοῦ διαφέρειν λαμβάνεις, ὥρα σοι λοιπὸν καὶ χαρακτῆρα



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τοῦ πατρὸς τὸν υἱὸν τῆς γραφῆς ἀκούοντι λεγούσης, ἀνόμοιον τὸν υἱὸν τῷ πατρὶ κηρύττειν καὶ ἀνούσιον καὶ σφόδρα διάφορον τὴν φύσιν. ἀλλ' ὡς ἔοικε, τὸ φύσει κακὸν ὡς εἰπεῖν, καὶ τὰ τῆς διανοίας ἅπαξ καίρια νενοσηκὸς καὶ τῶν θείων ἐπισφαλῶς ἀπερρωγὸς διὰ ταῦτα δογμάτων, χρόνῳ τὴν ἕξιν οὐκ ἄν ποτ' ἀποτρίψασθαι δύναιτο, ὅτι μὴ καὶ τὴν ἔσθ' ὅτε τοῦ καλοῦ προσποίησιν τάχιστα ἀποσείεται, πράγμασιν αὐτοῖς ἐλεγχόμενον, παλινδρομούσης τῆς φύσεως καὶ ἀναλαμβανούσης ἐκ τοῦ ῥᾷστου τὸ γνήσιον. καὶ σύ γε μὴν ἐν μὲν τῷ γραφικὰς μαρτυρίας προσποιεῖσθαι κομίζειν, οὐχ ὑγιῶς δ' οὖν, τὴν αὐτὸς σαυτοῦ γε ἀμαθίαν ἑκὼν ἐξελέγχεις, ἐν δὲ τῷ καὶ πρὸς ἐπισφαλῆ καὶ δυσσεβῆ διάνοιαν αὐτὰς διαστρέφειν τὴν οἰκείαν ἔτι θεατρίζεις κακόνοιαν. οὐκέτι γὰρ ἀνέλεγκτον ἐς τά γε τῆς ψυχῆς μυσήτρια καθευδήσειν ἐλπίζεται τὸ τῆς κακίας ἀπόρρητον ἄγος· ἐξερρύηκε γὰρ καὶ διαπεφοίτηκεν ἐς ἡλίου αὐγὰς καὶ ἅμα ἐς μυκτῆρα καὶ χλεύην θεάτρου μεστὴν κωμικοῦ. καὶ ἣν μὲν ἐδίωκες ἀπολώλεκας δόξαν πρὸς ἀδοξίαν μετενεγκών· ἣν δ' ἐκάλυπτες αἰσχύνην 3.300 αὐτὸς σαυτοῦ, ταύτης ἤδη τὰ ἀνακαλυπτήρια θύων ὥσπερ ἐν Διονυσίων πομπαῖς οὐκ αἰσθάνῃ. Ὁ δὲ Παλαμᾶς οὐδὲν πρὸς ταῦτα ἀποκρινάμενος ἑτέραν ἐβάδισε, τοῦτο δὴ τὸ εἰωθὸς αὐτῷ. "εἶτα οὐχ ὁ μέγας" φησὶ "Βασίλειος ἐκ τῶν ἐνεργειῶν τοῦ θεοῦ φάσκει γνωρίζειν ἡμᾶς τὸν θεόν; αἱ γὰρ ἐνέργειαι αὐτοῦ, φησίν, πρὸς ἡμᾶς καταβαίνουσιν, ἡ δ' οὐσία αὐτοῦ μένει ἀπρόσιτος. ταύτας οὖν τὰς ἐνεργείας ἔχει ὁ θεὸς ἄλλος ὢν ἄλλας οὔσας καὶ ἀκτίστους· αὗται γάρ εἰσιν αἱ πρόνοιαι, αἱ πρόοδοι, τὸ ἄπειρον, τὸ ἄτρεπτον, τὸ ἁπλοῦν, τὸ ἄναρχον, τὸ ἀτελεύτητον, ἡ σοφία, ἡ δύναμις καὶ τὰ τοιαῦτα, ἄλλα μὲν ὄντα παρὰ τὴν οὐσίαν, ἄκτιστα δέ· ἄλλο γὰρ τὸ ἔχον καὶ ἄλλο τὸ ἐχόμενον καὶ διάφορον." Πρὸς ταῦτα ὁ Γρηγορᾶς ἀποκριθεὶς "ἴδιόν σοι τοῦτο" φησιν, "ὦ ἄνθρωπε, γνώρισμα, μηδὲν πρὸς ἔπος ἀποκρίνεσθαι, ἀλλ' ἀνθ' ἑτέρων παρεισάγειν ἕτερα, ἡμιτελῆ τὰ ἀναγκαιότερα καταλιμπάνοντα καὶ ἀσαφῆ καὶ ἀνεπεξέργαστα καὶ ἀμάρτυρα. ὅμως μικρὰ καὶ περὶ τῶν νῦν σοι λεχθέντων φθεγξάμενος ἀπαλλάξομαι. εἰ ἄλλο τὸ ἔχον καὶ ἄλλο τὸ ἐχόμενον καὶ διάφορον, καὶ τὸ μὲν ἔχον οὐσία τὸ δὲ ἐχόμενον οὐκ οὐσία κατὰ σέ, ἀνούσιον ἄρα τὸ ἐχόμενον. καὶ εἰ ἡ οὐσία θεός, τὸ ἀνούσιον ἄρα οὐ θεός, ἡ ἐνέργεια δηλαδή. καὶ σύνεστι λοιπὸν ἐξ ἀιδίου τῇ θείᾳ καὶ ἀκτίστῳ οὐσίᾳ ἡ 3.301 ἀνούσιος αὕτη καὶ διάφορος ἐνέργεια. καὶ ἅμα δυὰς ἡ πάντων ἀρχή σοι γίνεται, τὸ ἀτοπώτατον, ἑαυτῆς διαφέρουσα καὶ ἀιδίως ἑαυτῇ μαχομένη. ἀλλ' ὁ θεῖος Μάξιμος "οὐ συνθεωρεῖσθαι ἢ συνεπιθεωρεῖσθαι δύναταί τι" φησὶ "τῷ θεῷ κατ' οὐσίαν διάφορον ἐξ ἀιδίου, οὐκ αἰών, οὐ χρόνος, οὐδέ τι τῶν τούτοις ἐνδιαιτωμένων· οὐ γὰρ συμβαίνουσιν ἀλλήλοις πώποτε τὸ κυρίως εἶναι καὶ οὐ κυρίως". καὶ πάλιν ἄπειρον εἶναι δυάδα οὐδαμῶς ἐνδέχεται· αἱ γὰρ κατ' αὐτὴν μονάδες ἀλλήλαις κατὰ παράθεσιν συνυπάρχουσαι ἀλλήλας ὁρίζουσιν, εἰ δὲ τοῦτο, οὐδ' ἄναρχον· ἀρχὴ γὰρ πάσης δυάδος μονάς. εἰ δὲ μὴ ἄναρχον, οὐδ' ἀκίνητον· κινεῖται γὰρ τῷ ἀριθμῷ ἐκ μονάδων καθ' ἕνωσιν, τὸ δὲ κινούμενον οὐκ ἀρχὴ ἀλλ' ἐξ ἀρχῆς, δηλαδὴ τοῦ κινοῦντος. μονὰς δὲ μόνη κυρίως ἀκίνητος. πεπερασμέναι σοι ἄρα καὶ ὑπ' ἀρχὴν αἱ θεότητες, ἄνθρωπε· καὶ εἰ τοῦτο, διαστήμασι τοπικοῖς τε καὶ χρονικοῖς δεδουλεύκασιν. κτίσμασιν ἄρα λατρεύων αὐτὸς ἐλελήθεις. ἔτι εἰ κατὰ σὲ ἕτερον οὐσία καὶ ἕτερον θεὸς ὁ τὴν οὐσίαν ἔχων καὶ διάφορος τῆς οἰκείας οὐσίας, ἔστιν ἄρα θεὸς ἀνούσιος καὶ οὐσία θεοῦ ἄθεος. φησὶ γὰρ καὶ ὁ Νυσσαέων Γρηγόριος "εἰ τὸ ἀγαθὸν ὄν, τὸ πονηρὸν οὐκ ὄν· εἰ δὲ τὸ πονηρὸν ὄν, τὸ ἀγαθὸν οὐκ ὄν, κατὰ τὸν τῶν ἀμέσων 3.302 ἐναντίων λόγον." ὥστε πολυθεΐαν ἀγωνιζόμενος συνιστᾶν ἑάλως καὶ ἀθεΐαν νοσῶν, τὰ ἐκ διαμέτρου κακά· καὶ πέπτωκε διὰ βραχέων τὰ τῶν σῶν ἀκροπόλεων ὀχυρώματα, ἐφ' οἷς ἐπεποίθεις. ἔτι μὴν ἐπειδή περ ἄλλο φῂς εἶναι τὸ ἔχον, ἄλλο δὲ τὸ ἑκτὸν καὶ διάφορον, φαίης ἂν καὶ ἄλλο μὲν ἐξ ἀνάγκης εἶναι τὸν θεόν, ἄλλο δὲ τὴν ὕπαρξιν αὐτοῦ· λέγεται γὰρ ὁ θεὸς καὶ οὐσίαν ἔχειν καὶ ὕπαρξιν.



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἔσται ἄρα κατὰ σὲ θεὸς ἀνύπαρκτος καὶ ὕπαρξις θεοῦ ἄθεος. καὶ περὶ τῆς ἐνεργείας δ' ὁμοίως λεκτέον καὶ ἐρωτητέον, εἰ ἡ ἐνέργεια ἔχει ἐνέργειαν ἄλλην. εἰ γὰρ ἔχει, δύο ἄρα· καὶ εἰ δύο, διάφορα πάντως· ἄλλο γὰρ δεῖν εἶναι ἔφης τοῦ ἐχομένου τὸ ἔχον. καὶ γίνεταί τις τερατόμορφος ἐνεργοενέργεια. εἰ δὲ μὴ τοῦτο, οὐκ ἂν εἴη τὴν ἐνέργειαν ἔχειν ἐνέργειαν. καὶ συμβήσεται τὴν τοιαύτην ἐνέργειαν ἀνενέργητον εἶναι. τὸ δ' ἀνενέργητον καὶ ἀνύπαρκτον καθ' ἣν βωμολοχήσας προύθηκας θέσιν τε καὶ πρότασιν αὐτός. τὸ γὰρ μὴ ἔχον, ἔφης, ἐνέργειαν οὔτ' ἔστιν οὔτε τί ἐστιν. οὔτ' ἔστι παντελῶς αὐτοῦ θέσις, καὶ ἀπόλωλέ σοι τὸ σπούδασμα δι' ὀλίγου καὶ τῆς μοχθηρᾶς γεωργίας ὁ στάχυς, ἢ ἐς ἀνύπαρκτον ἡμᾶς δογματίζοντι πιστεύειν ἢ εἰς σύνθετον θεότητα. ἐναντιοῦται γάρ σοι καὶ ὁ θεῖος Κύριλλος, ἄτοπον εἶναι φάσκων τὸ λέγειν 3.303 τοιαύτην ἔχειν τὸν θεὸν τὴν γνῶσιν ὁποίαν καὶ ἡμεῖς· εἰ γάρ [ὥσπερ] ἡμεῖς, ἕτερον μέν τι ἐστὶν ἑτέρα δέ τις παρ' αὐτὸν ἡ ἐν αὐτῷ γνῶσις, σύνθετος ἔσται καὶ οὐχ ἁπλοῦς. ἔτι ἐπείπερ ἡ θέλησις τοῦ θεοῦ ἐκτὸν καὶ διάφορον κατὰ σὲ τῆς οὐσίας ἐστίν, ἔσονται ἄρα τρεῖς ἐπὶ Χριστοῦ θελήσεις, μία μὲν αὐτὸς ὁ υἱός, θέλησις ὢν τοῦ πατρὸς κατὰ τοὺς θείους πατέρας, δευτέρα δ' ἣν ὁ υἱὸς ἔχει διάφορον ἑαυτοῦ κατὰ σέ, καὶ τρίτη ἡ τῆς ἀνθρωπότητος. ὃ καὶ τῆς τῶν μονοθελιτῶν δυσσεβείας ἀτοπώτερον. ἐπεὶ δὲ καὶ ὁ μέγας Ἀθανάσιος ἀσεβεῖς διαρρήδην καλεῖ τοὺς μὴ δεχομένους βούλησιν αὐτὸν εἶναι τὸν υἱόν, ἀσεβὴς αὐτόχρημα καὶ κατὰ τοῦτο σὺ τὰ ἐκείνων φρονῶν. περὶ γὰρ τῆς ἀρχομένης καὶ παυομένης θελήσεως εἴρηται ἡμῖν ἀνωτέρω βραχύ, καὶ οὐ χρεία διεξιέναι νῦν τῶν προκειμένων σαφῶς ἀνθελκόντων. ἔτι εἰ ἕτερον θεοῦ καὶ ἀλλήλων θεότης καὶ δύναμις καὶ σοφία καὶ ἁγιότης καὶ ἀγαθότης, καὶ διάφορον ἀεὶ ἕκαστον ἑκάστου, ζητητέον πῶς ἂν εἴη τοῦ θεοῦ ἕκαστον, εἰ διάφορον εἴη αὐτοῦ· καὶ πῶς ἓν ἑνὶ καὶ ἀλλήλοις ἄλληλα συμφωνήσει, διάφορα ὄντα ἀλλήλων· καὶ πότερον πρότερον τούτοιν ἂν εἴη, δυαδικῶς οὕτω προερχομένων, θεὸς ἄκτιστός τε καὶ ὁρατὸς κατὰ σέ· καὶ ποῦ τὸ τῆς πολυθεΐας στήσεται ταυτησί, κατὰ συζυγίαν οὑτωσὶ προχωρούσης ἀεὶ μετὰ τοῦ 3.304 ἀτελοῦς. εἰ γὰρ ἀλλήλων ἄλληλα διαφέρει, ἐστέρηται πάντως ἀλλήλων ἄλληλα καθ' ὃ διαφέρει, καὶ γίνεται δύναμις μὲν ἄσοφος σοφία δ' ἀδύναμος, καὶ θεὸς ἄσοφος καὶ ἀδύναμος, καὶ ἀεὶ κατὰ τὸν ὅμοιον τρόπον ἐστερημένα πάντων ἅπαντα καὶ δεόμενα ἀλλήλων ἄλληλα. φησὶ γὰρ καὶ ὁ θεολόγος Γρηγόριος "τίς ἀτελοῦς θεότητος ὄνησις; μᾶλλον δὲ τίς θεότης ἡ μὴ τελεία; τελεία δὲ πῶς ᾗ λείπει τι πρὸς τελείωσιν; λείπει δὲ πάντως μὴ ἐχούσῃ τὸ ἅγιον. ἔχοι δ' ἂν πῶς, μὴ τοῦτο ἔχουσα; εἰ γὰρ ἄλλη τις παρὰ τοῦτο ἡ ἁγιότης, καὶ εἴ τις αὕτη νοεῖται, λεγέτω, τίς". καὶ ὁ μέγας Βασίλειος "εἰ φύσις αὐτῷ" φησὶν "ὁ ἁγιασμὸς ὡς πατρὶ καὶ υἱῷ, πῶς τρίτης ἐστὶ καὶ ἀλλοτρίας φύσεως;" καὶ πάλιν "ἀγαθὸν" φησὶ "τὸ πνεῦμα ὡς ἀγαθὸς ὁ πατὴρ καὶ ἀγαθὸς ὁ ἐκ τοῦ ἀγαθοῦ γεννηθείς, οὐσίαν ἔχων τὴν ἀγαθότητα." ὁρᾷς πῶς οὐχ ἕτερον τῆς ἁπλῆς καὶ θείας οὐσίας ἁγιότης καὶ ἀγαθότης καὶ ἐνέργεια καὶ τὰ τοιαῦτα, ἀλλὰ ταὐτόν. ἑλοῦ τοίνυν, ὦ καινὲ θεολόγε, τῶν ἀσεβειῶν ὁποτέραν ἐθέλεις. ἀθεΐας γὰρ καὶ πολυθεΐας τὰ τοιαῦτα φέρει σοι κρημνόν, ὑπ' ἀλλήλων ἐλεγχόμενα καὶ κατ' ἀλλήλων στασιάζοντα. τὸ μὲν γὰρ ἄνισον ἐν τοῖς πολλοῖς ἐλέγχει τὸ διάφορον καὶ ἀσύμβατον τῆς πολυθεΐας· ἡ δὲ πολυθεΐα συμφυᾶ τὴν δια 3.305 φορὰν πρὸς ἑαυτὴν στασιάζουσαν ἔχουσα, πρὸς τὸν ἀντίπαλον τῆς ἀθεΐας ἀπροόπτως μεταβαίνειν κρημνὸν ἀναγκάζει, καὶ καπνὸν φεύγοντας ἐμπίπτειν εἰς πῦρ, τὸ τῆς παροιμίας. ἔπειτα πῶς τὸ ἄκτιστον καὶ πόθεν ἡ ἐνέργεια ἔσχεν; ἔξεστι γὰρ ἡμῖν καὶ τὸ ἄκτιστον αὐτὸ πρὸς ἑαυτὸ κατὰ τὴν σὴν ἐξετάζειν θέσιν· εἰ γὰρ αὐτόθεν εἴη τὸ ἄκτιστον ἄκτιστον, οὐκ ἂν εἴη ἄκτιστον· κτιστὸν ἄρα τὸ ἄκτιστον, καὶ κτιστὴ θεότης ἐξ ἀνάγκης ἡ ἄκτιστος ἐνέργεια· καὶ οὕτω σοι τὸ σοφὸν ἠλίθιον ἀναπέφανται. εἰ δ' ἔξωθεν ἔχει τὸ ἄκτιστον εἶναι τὸ ἄκτιστον, καὶ διάφορον πάντως· εἰ γὰρ οὐκ ἔστι διαφορὰ πρὸς ἄκτιστον ἀκτίστου, οὐκ ἂν εἴη ἔχειν κατὰ σὲ ἄκτιστον. ἢ γοῦν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀνύπαρκτόν σοι γίνεται τὸ ἄκτιστον τοῦτο, ἢ δυοῖν θάτερον, ἢ ἀκτιστόκτιστον ἢ ἀκτιστοάκτιστον καὶ πρὸς ἑαυτὸ στασιάζον ἀνάγκη λέγεσθαι. γνώριμον γάρ, οἷς καὶ ὁπωσοῦν λογικῆς μέτεστιν ἐπιστήμης, τῶν ὁμωνύμων εἶναι καὶ ἥκιστα ἁπλῆν τὴν τοῦ ἔχειν φωνήν, καὶ μὴ μόνον τῇ τῶν ἔξω σοφῶν ἐπιστήμῃ δοκεῖν, ὅτι μὴ καὶ πᾶσιν ὁμοῦ τοῖς τῶν θείων τῆς ἐκκλησίας δογμάτων σοφοῖς διδασκάλοις. ὧν εἷς ἡμῖν εἰς διδασκαλίαν ἀποχρήσει τήμερον Ἰωάννης ὁ θεῖος ἐκ Δαμασκοῦ, ὃς ὀκταχῇ τὴν τοῦ ἔχειν ἡμῖν διαιρῶν σημασίαν, κατ' οὐδένα γέ τινα τούτων τρόπον τῇ θείᾳ καὶ ἁπλουστάτῃ ἐκείνῃ φύσει τὸ ἔχειν διδοὺς εὑρίσκεται. πῶς γὰρ οἱασοῦν 3.306 μεσιτευούσης ἀλλοτριώσεως, καὶ τοῦ ἔχοντος τὸ ἐχόμενον διιστώσης μὲν οὑτωσί, συναγούσης δ' ἄλλως τὸν νόθον τε καὶ ἐπίκτητον τρόπον. ἢ γὰρ ὡς οὐσίαν ἀνάγκη, φησί, τὸ ἐχόμενον τῇ ἐχούσῃ συνεῖναι οὐσίᾳ, καθάπερ ἱμάτιον καὶ χεῖρα καὶ ἀγρὸν καὶ τά γε τοιαῦτα, ἢ ὡς συμβεβηκός. καὶ τοῦτο διχῇ πως αὖ ὑποδιαιρούμενον, εἴς τε τὴν τῶν χωριστῶν δηλαδὴ καὶ τῶν γε μηδαμῇ χωριζομένων δύναμιν. τὸ μὲν γὰρ ἐνδεχομένως ἔχειν λέγεται καὶ μή, καθ' ὅ γε σημαινόμενον ἐνδέχεσθαί φαμεν βαδίζειν τὸ βαδιστικὸν καὶ τοὐναντίον αὖ μὴ βαδίζειν· τὸ δὲ καθ' ἕξιν καὶ διάθεσιν ἔχειν λέγεται, ὡς μέλιτι δηλαδὴ συμπεφυκυῖαν γλυκύτητα καὶ χιόνι λευκότητα καὶ γνῶσιν ἀνθρωπίνῃ ψυχῇ. ὧν ἁπάντων ἓν ὁποιονοῦν ἔστω ὁποτέρωθεν εἰληφὼς τῇ θείᾳ κυριωνυμεῖν καὶ ἁπλῇ βούλοιτο φύσει, ἴστω περιφανῶς ἁμαρτάνων· χρῆσιν γὰρ ἀνθρώποις ὑπάρχειν ὁ μέγας τὰ ὀνόματα φάσκει Βασίλειος πρὸς γνῶσιν καὶ διαίρεσιν οὐσιῶν καὶ τῶν περὶ τὰς οὐσίας ἐπινοηθέντων πραγμάτων. ᾧ γε καὶ πάνυ τι δέδοται φορτικὸν καὶ ἀπόβλητον συμβεβηκός τι προσάγειν τῇ θείᾳ φύσει καὶ ἁπλουστάτῃ. τὸ γὰρ συμβεβηκός, φησίν, ἢ συμπέφυκεν, ἢ ἐνδέχεται ὑπάρχειν καὶ μὴ ὑπάρχειν. ἀλλ' εἰ μὲν συμπέφυκεν, ἀνάγκη τῷ θεῷ καὶ οὐσίαν καὶ συμβεβηκὸς εἶναι· ἐξ ἀνάγκης γὰρ τὰ τοιαῦτα συμβαίνει οἷς συμβέβηκεν. εἰ δ' ἐνδεχόμενον, ἔσται καὶ ἀγέν 3.307 νητος ὁ γεννητὸς ποτὲ καὶ πάνθ' ὁμοίως, ὅσα δήπουθεν ἀντίκειται, γνῶσις καὶ μὴ γνῶσις, δύναμίς τε καὶ μὴ δύναμις, καὶ τά γε δήπου παραπλήσια τῶν ἀτόπων τῆς ἀσεβείας ῥημάτων. ὅτι δὲ καταχρηστικῶς τὸ ἔχειν ἐπὶ θεοῦ λέγεται, δείκνυσι νῦν καὶ ὁ θεῖος Χρυσόστομος, λέγων "ὅταν ἀκούσῃς ὅτι ὥσπερ ὁ πατὴρ ἐν ἑαυτῷ ζωὴν ἔχει, οὕτως ἔδωκε καὶ τῷ υἱῷ ζωὴν ἔχειν καὶ ἐξουσίαν ἔχειν, μὴ σύνθεσιν ὑπολάβῃς· μηδ' ὅταν ἀκούσῃς ὅτι ἐν αὐτῷ ζωὴ ἦν, νομίσῃς ὅτι σύνθετος ἦν· προϊὼν γὰρ φησὶν ἐγώ εἰμι ἡ ζωή." ὥστε σου βοσκηματώδης ἡ σοφία κἀνταῦθα ἀναπέφανται, λέγουσα παραπλησίως καθάπερ ἐπὶ ἀνθρώπου καὶ λίθου, οὕτω καὶ τοῦ θεοῦ τὴν οὐσίαν μετὰ τῶν φυσικῶν περὶ αὐτὴν πάντων συλλαμβάνεσθαι τοῖς ὁρίζεσθαι θέλουσι· τὸ γὰρ ἐκ τοιούτων συγκείμενον ἀμερὲς οὐκ ἂν εἴη, οὐδ' ἁπλοῦν, ἀλλὰ σύνθετον, κἀξ ὧν συντίθεται μεριζόμενον. ὁ δὲ τῇ ἀμερεῖ ἐκείνῃ καὶ θείᾳ φύσει προστιθέναι πειρώμενος, ᾗ φύσει πρόσεστι μήτ' αὔξεσθαι μήτε μειοῦσθαι, λέληθε, τό γε ἧκον εἰς αὐτόν, ἐλαττῶν μὲν τῇ προσθήκῃ τὴν τῆς φύσεως δύναμιν, αὔξειν δ' ἥκιστα πάντων δυνάμενος, ἣ μηδεμιᾶς οὔτ' ἐδεήθη ποτὲ οὔτε δεήσεται προσθήκης ἢ ὑφαιρέσεως, οὐδενὸς ὄντος οὗ δεήσεταί ποτ' αὐτὴ πληροῦσα τὰ πάντα καὶ μηδὲν ἐκτὸς ἐῶσα τὸ παράπαν. 3.308 Εἰ δ' ἐν ποιότητι ἀόγκῳ τε καὶ ἀμεγέθει μέρος οὐκ ἔξεστι λέγειν κυρίως, οὔτε μέγεθος οὐδὲν προστιθέναι ἢ ἀφαιρεῖν (οὐ γὰρ λέγομεν οὔτε μεγάλην οὔτε μικρὰν λευκότητα), πολλοῦ μέντ' ἂν δεήσειε καὶ τοῦ παντὸς περὶ τῆς θείας οὐσίας τοιαῦτα νοεῖν καὶ λέγειν, ἣ μεγέθη μὲν καὶ μικρότητα πεποίηκέ τε καὶ ἀεὶ ποιεῖ, αὐτὴ δ' ἐστὶ κατὰ φύσιν οὐδαμῇ μηδὲν ὧν πεποίηκέ τε καὶ ἀεὶ ποιεῖ. οὐδὲ πρόεισιν εἰς ὄγκον, οὐδ' οὐ μὴ προχωρήσῃ ποτέ. τὸ γὰρ ὄγκῳ μεῖζον γινόμενον δυνάμει γίνεται ἔλαττον, καὶ τὸ δυνάμεως μεγέθει μέγιστον ὄγκου λείπεται παντός, ἵνα μέγιστον ὁμοίως ἀεὶ διαμένῃ. καὶ γὰρ καὶ εἰ περὶ τῆς ἐν χιόνι βουληθείημεν λέγειν λευκότητος ὑποδείγματος ἕνεκεν, οὐ τὴν ἐν τῷ μέρει τῆς χιόνος λευκότητα μέρος ἂν φαίημεν τῆς ἐν πλείστῃ χιόνι λευκότητος, ἀλλὰ μέρους μὲν χιόνος


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

λευκότητα, μέρος δὲ λευκότητος ἥκιστα· ἄογκον γὰρ καὶ ἄποσον καθ' αὑτὸ καὶ ἀμέγεθες ἡ λευκότης, ὡς δέδεικται. εἰ δὲ μηδὲ συμβεβηκὸς ἡ ἀνούσιος αὕτη συγχωρεῖταί σοι γίνεσθαι ἐνέργεια, ποῦ ταύτην θετέον· λέγε καὶ νομοθέτει σύ. τῆς γὰρ τοῦ ὄντος φωνῆς εἰς οὐσίαν καὶ συμβεβηκὸς διαιρουμένης, εἰ μήτ' οὐσία μήτε συμβεβηκὸς εἴη, τῶν ὄντων οὐκ ἂν λέγοιτο. λείπεται ἄρα μὴ ὂν ἐξ ἀνάγκης λέγεσθαι. αὕτη τῶν καινῶν σου δογμάτων ἡ τερατεία, καλὲ Παλαμᾶ, τὸ πιστεύειν εἰς τὸ μὴ ὂν 3.309 καὶ ψιλοῖς λατρεύειν ὀνόμασιν, ὁποῖα καὶ τοὺς τῆς Πλατωνικῆς στοᾶς καὶ Ἀκαδημίας φάσκοντας ἴσμεν περί τε γενῶν καὶ εἰδῶν, καὶ εἴ τινες εἶεν ἐκ τῶν ὕστερον ἄλλοτ' ἄλλως αὐτοῖς ἠκολουθηκότων Βογομίλων καὶ Μανιχαίων καὶ Μασαλιανῶν καὶ Εὐνομιανῶν, οὓς καὶ εἰς μέγα παραπληξίας ἐλαύνειν ὁ μέγας φησὶ Βασίλειος ὥσπερ κοινότητά τινα λόγῳ μόνῳ θεωρητήν, ἐν οὐδεμιᾷ ὑποστάσει τὸ εἶναι ἔχουσαν, εἰς τὰ ὑποκείμενα θεωρεῖσθαι φάσκοντας τὸν θεόν. ἀλλ' ἄκουε λοιπὸν τί φησιν αὖθις ὁ αὐτὸς μέγας Βασίλειος περὶ τῆς ἐνεργείας θεοῦ τῆς ἀκτίστου, ὡς ἐπὶ τῆς ἁπλῆς καὶ ἀσωμάτου φύσεως τὸν αὐτὸν λόγον ἐπιδέχεται ἡ ἐνέργεια τῇ οὐσίᾳ. Ἐπεὶ δ' ὁ τῆς οὐσίας ὅρος καὶ λόγος (ταὐτὸν γὰρ ὅρος καὶ λόγος) πρᾶγμά ἐστιν αὐθύπαρκτον, μὴ δεόμενον ἑτέρου πρὸς ὕπαρξιν, εἴη ἂν πάντως καὶ ὁ τῆς ἐνεργείας λόγος ὁ αὐτός, κἂν τοῖς ὀνόμασι διαφέρωσι, πρᾶγμα αὐθύπαρκτον δηλαδή, μὴ δεόμενον ἑτέρου πρὸς ὕπαρξιν. οὕτω γὰρ καὶ ὁ τῆς ταυτότητος σώζεται λόγος, ὡς καὶ ὁ τῆς ἀληθείας ὁμολογητὴς σοφώτατα μεμαρτύρηκε, Θεόδωρος ὁ Γραπτός, "οὕτως ἂν" φήσας "εὐσεβῶς νοηθείη ἡ μὲν θεία ἐνέργεια ἀίδιος, μᾶλλον δ' αὐτενέργεια, τῷ μὴ διωρίσθαι τῆς οὐσίας τὴν ἐνέργειαν, ἀλλὰ τὸν αὐτὸν λόγον ἐπιδέχεσθαι διὰ τὴν τῆς ἁπλῆς καὶ ἀσωμάτου φύσεως ἰδιότητα." καὶ πάλιν "ἕτερον 3.310 οὐσίαν καὶ ἄλλο ἐνέργειαν τῶν πάλαι τινές, ὡς ἐπὶ τῶν σωματικῶς θεωρουμένων, οὕτω δὴ κἀπὶ τοῦ θείου λόγου ἐτίθεντο. ὅπερ τοῖς εὐσεβέσιν ἀπείρηται. ἐπὶ γὰρ τῶν ἁπλῶν καὶ ἀσωμάτων ἐν οὐδενὶ διαφέρειν ἴσασιν· οὐ γὰρ διοριστέον ταῦτα ἀλλήλων, ἵνα μὴ σύνθετον τὸ ὑπὲρ πᾶσαν ἁπλότητα νοῆται. οὔτε γὰρ ἡ θεία οὐσία ἀνενέργητος εἴη ἄν ποτε, οὔτ' ἀνούσιος ἡ ἐνέργεια." ἀκούεις τῶν ἱερῶν διδασκάλων τῆς ἐκκλησίας παρὰ τοσοῦτον τῇ οὐσίᾳ τὴν ἐνέργειαν ἓν καὶ ταὐτὸν ἐπὶ θεοῦ δογματιζόντων, παρ' ὅσον καὶ αὐτενέργειαν καλοῦσι διὰ τὴν ἄκραν ταυτότητα, ὡς μηδ' ἄχρις ἐπινοίας παρακύπτειν ἐκεῖ δυναμένης διαφορᾶς οἱασοῦν. ἀκούεις δ' ἔτι καὶ ὅπερ σοι ἀνωτέρω δεδηλώκαμεν· σὺ γὰρ ἔλεγες ἀνενέργητον τότ' εἶναι τὴν θείαν μᾶλλον οὐσίαν ὅταν ἓν καὶ ταὐτὸν λέγηται ἄμφω, τότε δ' ἐνεργῆ ὅταν ᾖ διῃρημένα, πρᾶγμα τερατωδέστατόν τε καὶ ἀμαθέστατον, καὶ μὴ πᾶσαν μόνον ἐκπλῆττον ἀκοὴν τῇ ἀβελτηρίᾳ, ὅτι μὴ καὶ τοὺς σοφοὺς τουτουσὶ διδασκάλους τῆς ἐκκλησίας συκοφαντοῦν ἀδεῶς· οὐ γὰρ διοριστέον ταῦτα φασὶν ἀλλήλων ἐκεῖνοι, ἵνα τε μήτε σύνθετον τὸ ὑπὲρ πᾶσαν ἁπλότητα νοῆται, καὶ ἵνα μήθ' ἡ οὐσία ἀνενέργητος εἴη ἄν ποτε μήτ' ἀνούσιος ἡ ἐνέργεια. Πρὸς ταῦτα ὁ Παλαμᾶς ἀντιλέγων κοινὸν μὲν ἔφησεν 3.311 εἶναι δόγμα τῶν τε ἔξωθεν καὶ τῶν καθ' ἡμᾶς φιλοσόφων τουτί, καὶ οὐκ ἀντιλέγω· πλὴν τὰ τὸν αὐτὸν ἐπιδεχόμενα λόγον δύο ἐστὶ καὶ οὐχ ἕν. καὶ εἰ δύο, πῶς χωρὶς ἡστινοσοῦν πρὸς ἄλληλα διαφορᾶς; ἔστιν οὖν ἡ μὲν ταυτότης τοῦ λόγου κατὰ τὸ εἶναι ἄμφω, τήν τε οὐσίαν καὶ τὴν ἐνέργειαν, ἄκτιστα· ἡ δὲ διαφορὰ τὸ μὲν οὐσίαν τὸ δ' ἀνούσιον, τὴν ἐνέργειαν δηλαδή. Ὁ δὲ Γρηγορᾶς ὅτι μέν, φησί, τὸ ἀνούσιον οὐκ ὄν, τὸ δ' οὐκ ὂν οὐ θεός, δῆλον τοῖς ἅπασι πλὴν σοῦ. ὅτι δ' οὐδὲν ἔτι κωλύσει λοιπὸν συμπεραίνειν καὶ ἡμᾶς ἐπὶ τῆς συνθέτου ἄρα φύσεως τὸν ἀντικείμενον δέχεσθαι λόγον τὴν ἐνέργειαν τῇ οὐσίᾳ, καὶ εἶναι δυοῖν ἐξ ἀνάγκης θάτερον, ἢ τὴν μὲν οὐσίαν ἡμῶν ἄκτιστον τὴν δ' ἐνέργειαν κτιστήν, ἢ τῆς οὐσίας οὔσης κτιστῆς εἶναι τὴν ἐνέργειν ἄκτιστον, δῆλον καὶ τοῦτο παντί που τὰ μάλιστα· ὡς γὰρ οἷς τὸ εἶναι ταὐτόν, καὶ ὁ λόγος ὁ αὐτός, οὕτως οἷς τὸ εἶναι διάφορον, καὶ ὁ λόγος διάφορος. ἐπὶ γὰρ τῆς οὐσιώδους ὑπάρξεως τοὺς ἁγίους



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΠΤΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τούτους ἀκήκοας λέγοντας τὴν τοῦ λόγου ταυτότητα, εἴτουν τοῦ ὅρου, καὶ καθ' ἕτερον πάντως οὐδέν. εἰ γὰρ κατὰ προφορὰν καὶ ἐτυμολογίαν ἑκατέρας ἑκατέρα τὴν διαφορὰν ἐκτήσατο λέξις, ἀλλ' ἐπὶ τῆς ἁπλῆς καὶ ἀσυνθέτου φύσεως τὴν αὐτὴν καὶ μίαν καὶ ἀπαράλλακτον ἔχουσι σημασίαν ἄμφω. 3.312 ἔπειτα εἰ τὴν ἐνέργειαν ἕτερον εἶναι λέγεις κἀπὶ θεοῦ καθάπερ ἐπὶ τῶν συνθέτων ἡμῶν, καὶ ἰδίως ἄκτιστον θεότητα, καὶ ἔστιν ἑκάτερον τούτων ὅπερ οὐκ ἔστιν ἑκάτερον, καὶ ἀεὶ θάτερον παρὰ θάτερον ἀμοιβαδὸν τὴν διαφορὰν καὶ μάχην λαμβάνον λόγοις καὶ πράγμασιν (ἀνάγκη γὰρ ἂν εἴη πᾶσα τὰ οὕτως ἀλλότρια τῇ φύσει καὶ σημασίᾳ μὴ ταὐτὸν εἶναι θατέρῳ θάτερον), ἔσται ἄρα, εἰ ἡ ἐνέργεια ἄκτιστος καὶ ἀνούσιος, κτιστὴ ἡ οὐσία καὶ ἀνενέργητος, ὡς ἀνωτέρω γε ἠκηκόεις τῶν θείων κατ' ἐπιστήμην τὰ ἐναντία τοῖς ἐναντίοις ὁριζομένων ἀνδρῶν. εἰ δὲ καὶ τὸ τῆς ἐνεργείας ὄνομα γενικῶς κατὰ σὲ πάντων ἐπ' ἴσης κατηγοροῖτο τῶν ὀνομάτων, δυνάμεως λέγω, σοφίας ζωῆς φωτὸς θυμοῦ μακροθυμίας ὀργῆς ἀοργησίας καὶ τῶν τοιούτων, ὅσοις ἡ θεία κέχρηται γραφὴ θεοπρεπῶς καταφατικοῖς τε καὶ ἀποφατικοῖς καὶ ἀντικειμένοις ὀνόμασιν, ἐπιδραμεῖται λοιπὸν καὶ πᾶσι τούτοις ἐπ' ἴσης, καὶ ὁμοίως ἀεὶ κατορχήσεται τῶν ὀνομάτων ἁπάντων τἀτόπημα, καὶ στασιάσει πρὸς ἑαυτὸ τὸ τῆς ἐνεργείας ὄνομα, ταύτης δὴ τῆς ἰδιαζόντως κατὰ σὲ λεγομένης ἀκτίστου θεότητος. καθ' ὃ γὰρ ἕκαστον ἑκάστου τῶν ἄλλων λείπεται πάντων, κατ' ἐκεῖνο τῶν ἄλλων ἁπάντων ἠλάττωταί τε καὶ ἠλλοτρίωται. καὶ ἓν εἶναι πάντως οὐσίαν ὁμολογεῖται καὶ φύσει πᾶν ὃ λέγεται καὶ ὀνομάζεται θεοπρεπῶς ἡμῖν, καὶ ἔστι καὶ 3.313 ἦν καὶ ἔσται, θεὸς ἰσχυρὸς δίκαιος ἄκτιστος, ἀλήθεια σοφία δύναμις ζωὴ φῶς ἐνέργεια καὶ τὰ τοιαῦτα. Ἐπεί γε μὴν ἐκ τῶν οἰκείων ῥημάτων τε καὶ γραμμάτων ἁλισκόμενον ὁ Παλαμᾶς ἑαυτὸν ἑώρα διηνεκῶς, "οὐκ ἐν ῥήμασι" φησίν, "οὐδ' ἁπλῶς ἐν γράμμασιν, ἀλλ' ἐν πράγμασιν ἡμῶν ἡ εὐσέβεια κατὰ τοὺς θεολόγους." μικρὸν οὖν ἐπισχὼν ὁ Γρηγορᾶς "ἰοὺ ἰοὺ" φησὶν "τῆς ἀβελτηρίας." καὶ ἀπιδὼν πρὸς αὐτόν "εἶτα ἐλάνθανες ἡμᾶς" φησὶ "λασιόκωφός τις ὢν καὶ ἀνήκοος καὶ παντάπασι τῆς τῶν θείων γραφῶν διδασκαλικῆς ἑορτῆς τε καὶ πανηγύρεως, καὶ μετεγκεντρίζων ἐξ ἀμαθίας ἄλλοθεν ἄλλοθι τὸν ἅπαντα νοῦν καὶ σκοπὸν τῆς γραφῆς. τοῦτο γὰρ ὁ μέγας ἐν θεολογίᾳ φάσκει Γρηγόριος, τὰ Διονυσίῳ τῷ θείῳ λεχθέντα διαβεβαιούμενος, οἶμαι, καὶ συγχωρῶν καὶ αὐτὸς καὶ οἱονεὶ προτρεπόμενος οἰκονομικῷ τινὶ τρόπῳ καιροῦ καλοῦντος πρὸς τοὺς τῶν ὁμιλητῶν διαφόρους τὰς γνώμας καὶ γνώσεις κεχρῆσθαι, καὶ μικρὸν ἐνδιδόναι τοῖς διαφόροις τῶν προσιόντων ἤθεσι δι' ἀνάγκην ἐνίοτε, ὥστε τὴν ἐν τοῖς καιρίοις τῆς πίστεως ὁμολογίαν, εἰ καὶ μὴ λέξεσιν, ἀλλά γε ταῖς ἐννοίαις φυλάττεσθαι ἀπαράβατον. ἐν οἷς ἐξεῖναί φησι τήνδε ἢ τήνδε τὴν λέξιν καὶ δι' ἑτέρων ὁμοδυνάμων καὶ ἐκφαντικωτέρων λέξεων διασαφεῖν τὸν θεοπρεπῆ τρόπον. οὐ δεῖ δέ, φησὶν Ἀθανάσιος, τὰ κατ' οἰκονομίαν γραφόμενα καὶ γινόμενα δέχεσθαι κακοτρόπως καὶ πρὸς τὴν ἰδίαν ἕλκειν βούλη 3.314 σιν. καὶ γὰρ καὶ ἰατρὸς πολλάκις τὰ δοκοῦντά τισι μὴ εἶναι κατάλληλα, ταῦτα τοῖς ὑποκειμένοις τραύμασιν, ὡς οἶδεν αὐτός, ἐπιτίθησιν, οὐδὲν ἕτερον ἢ πρὸς τὴν ὑγείαν ἔχων τὸν σκοπόν. καὶ διδασκάλου δὲ φρονίμου τρόπος οὗτος, πρὸς τὰ τῶν διδασκομένων ἤθη διατίθεσθαι καὶ λαλεῖν. ὀνόματα γοῦν καὶ ῥήματα, καὶ ὅσαι τῶν λέξεων διὰ φωνῶν ἁπλῶς καὶ γραμμάτων σημαντικαὶ τῶν ὑποκειμένων γίνονται πραγμάτων, ἐνίοτε μὲν καθ' ὁμωνυμίαν ἐν διαφόροις ἀδιαφόρως παραλαμβάνονται πράγμασιν, ἐνίοτε δὲ κατ' ἀντωνυμίαν ἐν μείζοσί τε καὶ ἐλάττοσιν ὁρωμένην, καὶ ὅσα ἄλλως τὸν ὅμοιον ἔχει τρόπον, ἐνίοτε δὲ καθ' ὅσα συνώνυμόν πως τὴν σχετικὴν αἰτίαν κεκλήρωται· καθ' ἣν δήπουθεν καὶ τὸ ἴσον ἴσῳ συμβαίνει λέγεσθαι ἴσον, καὶ τὸν φίλον φίλῳ φίλον, καὶ ὁπόσα δήπου παραπλήσια, ὡς γίνεσθαι πολυσχιδῆ μὲν ἐν τοῖς μεριζομένοις πράγμασι τὴν αὐτῶν ἰδιοτροπίαν, ἐπὶ δὲ θεοῦ μονοειδῆ καὶ ἀμέριστον κατὰ τὴν τοῦ ἑνὸς ὑποκειμένου δήλωσιν, λέγω δὴ τὴν ἀμερῆ καὶ ἀσχημάτιστον καὶ ἀόρατον ἐκείνην, ἥτις ποτ' ἐστίν,



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

οὖσαν οὐσίαν· ἣν ψυχοτρόφον λειμῶνα καὶ ἀληθείας θάλαμον τις καλέσας οὐκ ἄν, οἶμαι, ἁμάρτοι. ἓν γὰρ οὖσα κυρίως, μένει διηνεκῶς ἐν τῷ ἑνί, μᾶλλον δ' εἰπεῖν ἐν ἑαυτῇ· καὶ μεριστὰς πεφυκυίας τὰς ἡμετέρας νοήσεις, καὶ διάφορον τὴν περιολκὴν περὶ ἕκαστα τῶν πραγμάτων λαμβανούσας, εἰς μίαν τινὰ καὶ ἀδιάκριτον καὶ ταύτας νόησιν συναιρεῖ, ὡς γί 3.315 νεσθαι καὶ τὸν τῶν ὀνομάτων ἐξ ἀνάγκης πολυσχιδῆ καὶ πολύτροπον μερισμόν, ὁποῖον ἡ τῶν διαφόρων πραγμάτων διάφορος παραγωγὴ τελεσιουργεῖ, δυνάμεως λέγω καὶ ζωῆς καὶ ἐνεργείας καὶ φωτὸς καὶ σοφίας καὶ τῶν τοιούτων, μονοειδῆ καὶ αὐτὸν ἤδη καὶ μονότροπον ὡς ἀληθῶς δρόμον ἐν τῷ τῆς ἀληθείας ἐκείνῳ πεδίῳ θεόντα. περιγεγραμμένος γάρ τις ὅρος ἑκάστης οὐσίας ὑπάρχον ἕκαστον ὄνομα, καὶ μιᾶς ἰδιότητος ἐπειλημμένον, καὶ συστέλλον ὁπωσδηποτοῦν τὸ πρὸς ἀοριστίαν τέως αὐτῆς κεχυμένον, ἁπλῶς κατὰ τὸν ἀνθρώπινον νοῦν πειρᾶται μὲν κἀπὶ τῆς ὑπερηπλωμένης ἐκείνης θείας οὐσίας τὴν ἑαυτοῦ φυσικὴν ἀποφαίνεσθαι κίνησιν καὶ τὸ τῆς ἐμφύτου δυνάμεως εἰωθός, λέγω δὴ τὸ διακρίνειν καὶ μερίζειν ἐς διαφόρους τὸ ἓν ἰδιοτροπίας, ἀλλ' ἔφθη πρὶν δεδρακέναι παθόν. μερίζειν γὰρ ἐπειγόμενον ἐπ' ἴσης τοῖς ἄλλοις καὶ τὴν ἀμέριστον ἐκείνην καὶ θείαν οὐσίαν, λέληθε συσταλὲν ὑπ' ἐκείνης καὶ πρὸς νοητὴν ὁμόνοιαν συνελάσαν τὸν κωλυόνυμόν τε καὶ πολυπράγμονα μερισμόν. κἀπειδὴ περιγραφαῖς ὀνομάτων ἡ θεία καὶ ὑπερηπλωμένη φύσις ἐκείνη δουλεύειν οὐκ οἶδεν, ἡ δὲ περιγραφὴ περιληπτική τις γίνεται τοῦ ὑποκειμένου γνῶσις, οὐκ ἄν ποτε γένοιτο γνωστὸν ὃ τῇ οὐσίᾳ πέφυκεν ἀπερίγραπτον· ἓν ἄρα καὶ ἄγνωστον ἡ θεία φύσις ἐκείνη, καὶ ὑπὲρ πάντα λόγον καὶ ἔννοιαν, καὶ πᾶσαν Παλαμικὴν ἀποσειομένη περιεργίαν. ὅ γε μὴν 3.316 γνωστὸν ἡμῖν δύναται γίνεσθαι τοῦ θεοῦ διὰ τῶν φαινομένων αὐτοῦ καὶ πεποιημένων ἐνεργειῶν καὶ δυνάμεων, τοῦτο τοῖς ἐκ διαφόρων ἐτυμολογιῶν ὀνόμασιν ἀλλήλοις ἐπισημαινόμεθα ταῖς γνωμικαῖς ἐξ ἀνάγκης ἡμῶν κατὰ τὸ ἀνάλογον χρείαις, οὐκ ἀτάκτως δέ, καὶ ὡς ἑκάστῳ τὰ τῆς βουλήσεως ὑποτίθησι, δρῶντες, ἀλλὰ τοῖς τῶν θείων πατέρων ἑπόμενοι δόγμασιν ἄχρι καὶ τῆς τυχούσης γραμμῆς. πρῶτον μὲν γὰρ ὁ σωτὴρ ἐν εὐαγγελίοις μηδεμιᾶς καταφρονεῖν παραινεῖ κεραίας τῶν ἐν γράμμασι θείων αὐτοῦ προσταγμάτων καὶ ἐντολῶν· ὧν οὐκ οἶδ' ὁπότερον· ἢ γὰρ οὐκ ἀκήκοας ἔτι, καὶ ταῦτ' ἐν ἐπισκόποις (φεῦ τῆς ἀτοπίας) τελῶν, ἢ ἀκούσας οὐκ ᾔσθου. ἔπειθ' ὧν αὐτὸς διαβάλλεις τὸν νοῦν θεολόγων τῆς ἐκκλησίας ἀνδρῶν, ὁ μὲν ἐν θεολογίᾳ μέγας Γρηγόριος "ἡμεῖς δέ" φησιν "εἰ καὶ μέχρι τῆς τυχούσης κεραίας ἢ γραμμῆς τοῦ πνεύματος τὴν ἀκρίβειαν ἕλκοντες, οὔποτε δεξόμεθα (οὐ γὰρ ὅσιον) οὐδὲ τὰς ἐλαχίστας πράξεις εἰκῇ σπουδασθῆναι τοῖς ἀναγράψασι καὶ μέχρι τοῦ παρόντος μνήμῃ διασωθῆναι, ἀλλ' ἵν' ἡμεῖς ἔχωμεν ὑπομνήματα καὶ παιδεύματα τῆς τῶν ὁμοίων εἴποτε συμπέσοι καιρὸς διασκέψεως, ὥστε τὰ μὲν φεύγειν τὰ δὲ αἱρεῖσθαι, οἷον κανόσι καὶ τύποις τοῖς προλαβοῦσιν ἑπόμενοι παραδείγμασιν." ὁ δὲ μέγας Βασίλειος "χρή" φησι "τὸν πρὸ ὀφθαλμῶν ἔχοντα τὸ τοῦ Χριστοῦ δικαστήριον, καὶ εἰδότα ὅσος ὁ κίνδυνος ἀφελεῖν τι ἢ προσθεῖ 3.317 ναι τοῖς παραδεδομένοις ὑπὸ τοῦ πνεύματος, μὴ παρ' ἑαυτοῦ φιλοτιμεῖσθαι καινοτομεῖν, ἀλλὰ τοῖς προκατηγγελμένοις παρὰ τῶν ἁγίων ἐφησυχάζειν." ὁ δὲ τὴν γλῶτταν χρυσοῦς καὶ αὐτὸς ὁμοίως "ἐν ταῖς θείαις" φησὶ "γραφαῖς ἰῶτα ἓν ἢ κεραίαν μίαν παραδραμεῖν οὐκ ἀζήμιον, ὥστε πάντα διερευνᾶσθαι χρή." ἀκήκοας δ' οἶμαι πρὸ βραχέος ἐνταῦθα καὶ Γρηγορίου τοῦ Νύσσης "διὰ τὸ τῇ σαρκίνῃ" φάσκοντος "περιβολῇ τὴν φύσιν ἡμῶν περιείργεσθαι φανερωθῆναι τῶν ἡμετέρων τοῦ νοῦ κινημάτων μὴ δυναμένων, ἀναγκαίως καθάπερ σημεῖα τοῖς πράγμασι τὰς ποιὰς τῶν ὀνομάτων θέσεις ἐπιβάλλοντες, δι' ἐκείνων τὰς τοῦ νοῦ κινήσεις ἀλλήλοις δημοσιεύομεν· καὶ τούτου χάριν τῷ μέν τινι τῶν ὄντων ὄνομα οὐρανὸν ἐθέμεθα, ἑτέρῳ δὲ γῆν καὶ ἄλλῳ ἄλλο τι. καὶ τὸ πρός τι πῶς ἔχειν ἢ τὸ ἐνεργεῖν ἢ τὸ πάσχειν, ταῦτα πάντα ἰδιαζούσαις ἐπισημαινόμεθα ταῖς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

φωναῖς, ὡς ἂν μὴ ἀκοινώνητός τε καὶ ἄγνωστος ἡ τοῦ νοῦ κίνησις ἐν ἡμῖν μένοι." ἄλλως τε καὶ ἐπειδήπερ ἅπας ὁ τῶν ἀνθρώπων βίος φύσει καὶ νόμοις τοῖς διὰ ῥημάτων τε καὶ γραμμάτων οἰκονομεῖται καὶ διοικεῖται, καὶ ἡ μὲν φύσις ἄτακτον καὶ ἀνώμαλον, ὁ δὲ νόμος εὔρυθμόν τε καὶ τεταγμένον καὶ ὁμαλόν, εἰ σοὶ πεισθέντες ἀπρακτεῖν ἐάσαιμεν τὴν τῶν ῥημάτων καὶ γραμμάτων δύναμιν, οὐκ ἂν φθάνοιμεν κωφὸν καὶ μάταιον ἀποδεικνύντες τὴν ἐγκόσμιον ταύτην καὶ θαυμασίαν ποίησιν τοῦ θεοῦ καὶ 3.318 θηριώδη δρῶντες τὸν βίον. τὸ γὰρ ἐντεῦθεν ῥυήσεται πρὸς μεταβολὴν καὶ ἀλλοίωσιν ἄλογον εὐθὺς καὶ φορὰν ἀκυβέρνητον ἅπαντα, καὶ χρεία βίου παντὸς οἰχήσεται πρὸς τὸ μάλα ἀνόνητον καὶ οὐδὲν ὑγιές. οὕτως ἐμβρόντητος καὶ παραπλὴξ τὴν διάνοιαν εἴη ἂν καὶ οὐδὲν ὑγιὲς ὁμοίως ὅ τε τοιαδὶ παραινῶν καὶ ὁ πεπεῖσθαι δοκῶν. πολλῷ μέντ' ἂν ἦν σοι σοφώτερον τὸ λεχθέν σοι, εἰ τοῖς σοῖς μόνοις ῥήμασι καὶ γράμμασι περιεγέγραπτό σοι. τούτων γὰρ μόνων ἀφίσταται τήμερον ἡ εὐσέβεια· καὶ δέον σοι λέγειν μὴ ἐν ῥήμασι μηδ' ἐν γράμμασι Παλαμικοῖς τὸ παράπαν εἶναι νομίζειν τὴν εὐσέβειαν, σὺ δ' ἀορίστως ἐξήνεγκας, ἵνα δὴ τῶν τῆς εὐσεβείας δηλωτῶν ῥημάτων καὶ γραμμάτων ἀποστήσας τοὺς πειθομένους ῥᾷστα τὸ τῆς σῆς ἀσεβείας ἔχῃς κιρνᾶν δηλητήριον. Ἡδέως δ' ἂν ἀκούσαιμι παρὰ σοῦ καὶ τίνα ποτὲ λέγεις εἶναι τὰ πράγματα, ἐν οἷς τὴν εὐσέβειαν κεῖσθαι μετεωρίσας τῇ ἀντιθέσει, εἶτα σιγῇ παρέδραμες δεδηλωκὼς οὐδέν. τοῦτο δὴ τὸ τῆς ἀμαθίας τῆς σῆς εἰωθὸς προκάλυμμα εἰπὲ πρὸς τῶν σῶν ἀνουσίων καὶ ἀνυπάρκτων θεοτήτων. εἰ μὲν γὰρ τὴν θείαν καὶ τρισυπόστατον φύσιν, πῶς οὐ δεδήλωκας; ἀλλὰ τοῦτ' εὐχῆς μὲν ἄξιον, ἐλπίδος δ' οὐκ ἂν δήπου· πολλοῦ δὲ καὶ δεῖ· οὐ γὰρ δὴ σὸν ὀρθὰ περὶ θεοῦ φρονεῖν καὶ φθέγγεσθαι. ἀλλὰ πράγματα φῂς αὐτὸς τὰς ἀνουσίους σου ταύτας καὶ ἀπείρους θεότητας, αἷς μήτ' ἤδη περίεστιν εἶναι μήτ' 3.319 ἔπειτά ποτ' ἔσεσθαι· ὃ γὰρ ἀνούσιόν τε καὶ ἄκτιστον, τῶν μηδὲν ὅλως μηδαμῇ μηδαμῶς ὄντων ἐξ ἀνάγκης λέγοιτ' ἄν. τοιαύτη τῶν σῶν δογμάτων ἡ τερατεία καὶ τὸ σὸν ἐνθύμιον, ὦ κακὴ κεφαλή, πείθειν πιστεύειν εἰς τὸ μηδέν. τῶν γάρ τοι θείων ῥημάτων καὶ γραμμάτων ἀνῃρημένων κατὰ τὴν σὴν παραίνεσιν, ἃ τὴν τῶν πραγμάτων δηλοῦσιν ἀλήθειαν, τίς ποθ' ὁμολογία πίστεως καὶ πόθεν ἄν ποτε γένοιτο ἔτι; πόθεν δ' ἂν καὶ τίς ποτε τοῖς εὐσεβεῖν ἐθέλουσι γένοιτο γνῶσις θεοῦ τοῦ πεποιηκότος ἡμᾶς; ἀλλὰ περὶ μὲν τούτων ἔτι πολλὰ λέγειν ἔχοντι, τοῦ καιροῦ μὴ διδόντος, μετιτέον ἐφ' ἕτερα. ἐκεῖνο δὲ πῶς νοεῖς, ὦ καινὲ θεολόγε, λέγων ἐκ τῶν ἐνεργειῶν γνωρίζειν ἡμᾶς τὸν θεόν. ἢ γὰρ οὐ συνῆκας ἀκούων ἐκ τῶν ἔργων τῶν φαινομένων τοῖς αἰσθητοῖς ὀφθαλμοῖς ἡμῶν τὸν ἡμῖν οὐ φαινόμενον γνωρίζειν ἡμᾶς θεόν; ἐνέργειαν γὰρ εἶναι καὶ τὰ ἀποτελέσματα δέδεικται μικρὸν ἡμῖν πρότερον. καὶ ἐκ μεγέθους καὶ καλλονῆς κτισμάτων αὖθις ἀκούεις καὶ ἀλλαχοῦ τῆς γραφῆς λεγούσης θαυμάζεσθαι τὸν δημιουργόν, καὶ τοῦτ' εἶναι τὸ τοὺς οὐρανοὺς διηγεῖσθαι τὴν δόξαν τοῦ θεοῦ. καὶ ὁ Δαμασκηνὸς ὁμοίως φησὶν Ἰωάννης "ὁ τῇ φύσει ἀόρατος θεὸς ὁρατὸς ταῖς ἐνεργείαις γίνεται, ἐκ τῆς τοῦ κόσμου συστάσεως καὶ κυβερνήσεως γινωσκόμενος." ὅμως παρακατιὼν εὑρήσεις τὸν μέγαν Βασίλειον καὶ αὐτὸν ἑρμηνεύοντα τὰ 3.320 ἑαυτοῦ ἐν τῇ αὐτῇ ἐπιστολῇ· "ἐκ γὰρ θαλάσσης" φησὶ "καὶ ἀνέμων ὑπακουσάντων αὐτῷ ἐγνώρισαν αὐτοῦ τὴν θεότητα οἱ ἀπόστολοι. οὐκοῦν ἀπὸ μὲν τῶν ἐνεργειῶν ἡ γνῶσις, ἐκ δὲ τῆς γνώσεως ἡ προσκύνησις." ὁρᾷς πῶς ἐκ τῶν ἐνεργηθέντων φησὶ θαυμάτων· ταύτας γάρ φησιν αὐτὸς εἶναι τὰς κατιούσας ἤτοι δεικνυμένας ἡμῖν ἐνεργείας. ἀλλὰ δυοῖν, ὡς ἔοικε, θάτερον δίδως νοεῖν. ἢ γὰρ ἐξ ἀκοῆς παροδικῆς εἰλήφεις τὴν ῥῆσιν, ἢ τῇ ἐπιστολῇ ἐντυχὼν οὐ συνῆκας· καὶ πάσχεις παραπλήσιον ὥσπερ ἂν εἴ τις ἐν μεσημβρίᾳ φωτὸς ἀκραιφνοῦς τοὺς ὀφθαλμοὺς ἀνασχὼν πρὸς τὸν ἥλιον, εἶτα δι' ἀτονίαν ἀποστραφεὶς πρὸς τὴν γῆν, χρωμάτων εἴδωλα φαντάζοιτο πολυειδῶν τε καὶ διαφόρων, ἃ πάντα ψευδῆ τε ὄντα καὶ ἀνύπαρκτα ταῖς ἀρρωστούσαις ὄψεσι δοκοῦσιν εἶναι ἀληθῆ. ἢ μᾶλλον ὥσπερ οἱ μεθύοντες οὐ τὰ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ὄντα κατὰ φύσιν ὁρῶσιν ἀλλ' ἀνθ' ἑτέρων ἕτερα δοκοῦσι, κυματουμένης τῆς ὄψεως ὑπὸ τῆς περὶ τὸν ἐγκέφαλον ὑγρότητος καὶ οἱονεὶ κολυμβώσης ἐς τὰ φαινόμενα πλημμελῶς, οὕτω δὴ καὶ αὐτὸς ἀμαθίᾳ πολλῇ στρατηγούμενος ἥκιστα ἔχεις νοεῖν ὡς ἔχει φύσεως τὰ τοῖς θείοις δεδογμένα πατράσι. τοῦτ' ἐκεῖνο ὃ καὶ τοῖς ἀπὸ κώπης ἐπὶ βῆμα καὶ ἀπὸ σκαπάνης ἐπὶ τὸ θεολογεῖν αὐτομολοῦσι, πᾶν μὲν ὄνομα περὶ θεοῦ λεγόμενον σωματικὴν παρέχει τὴν ἔννοιαν, πᾶν δὲ πρᾶγμα σωματικὴν 3.321 ἔχον περιγραφὴν θεότητάς τε ὀνομάζειν καὶ ἄκτιστα προσαγορεύειν τολμᾶν ἀναπείθει. Ἐπὶ τούτοις ὁ μέγας λογοθέτης, σοφὸς ὢν ἀνὴρ καὶ τῶν λεγομένων συνιεὶς ἁπάντων μάλιστα ὅσοι παρῆσαν τέως ἐκεῖ τῶν ἐπὶ δόξῃ σεμνυνομένων, φησὶ πρὸς τὸν Παλαμᾶν ἔτι βοᾶν ὡρμημένον τὴν ἔκτοπον ἐκείνην καὶ ἀωρίᾳ μακρᾷ κεκραμένην παραδοξολογίαν, ὡς οὐδὲν ἕτερον βλέπω σε νῦν ἐπειγόμενον, ἄνθρωπε, ἢ τῇ πολυλογίᾳ θηρᾶσθαι δόξαν ἀνδρῶν ἀμαθῶν μηχανώμενον καὶ μὴ δοκεῖν πρὸς τῶν ἀντιθέτων ἡττᾶσθαι. ἀλλὰ μὴν αὐτοί γε τῆς ἀληθείας οἱ λόγοι σαφεῖς καὶ ἀναμφισβήτητοί εἰσι, καὶ ἐφ' ἑστίας ἔχουσι τὸ πιστόν. οὓς δὴ καὶ ἀκούεις πρὸς τοῦ Γρηγορᾶ φερομένους ὁμοῦ καὶ τῶν σοὶ λεγομένων αὐτόθεν τὸ σφαλερὸν ἔχοντας. οὐδὲ γὰρ οὐδ' ἔχεις ἀνθυποφέρειν οὐδὲν ὑγιές, ἀλλὰ γραφικὰς κομίζειν ἀπαιτούμενος μαρτυρίας, ῥητῶς ἀποφαινομένας αὐτόχρημα πλεῖστα τὰ ἄκτιστα τῆς τρισυποστάτου διάφορα φύσεως, ἔπειτα μὴ δυνάμενος ὅλως εὑρεῖν μαρτυρίαν ἡντιναοῦν οὐδενὸς τῶν ἁγίων, παρὰ σαυτοῦ συνάγεις αὐτός, ὃ τῶν ἀτοπωτάτων ἐστίν. ἐκ γὰρ ἑτέρων ἑτέραις ἀεὶ περιπίπτων καινοφωνίαις σαφῆ τε καὶ ὑπερήφανον αὐτόθεν εὐθὺς τὴν δίκην τοῦ ἀδικεῖν ὀφλισκάνεις. ὁ γὰρ οἴκοθεν ἐπιχειρῶν τὰ κατὰ βούλησιν δογματίζειν, τοῦ κωλύειν ἰσχύοντος τηνικαῦτ' ἐνδιδόντος ὁμοῦ καὶ παροξύνοντος, οὐκ ἂν φθάνοι τὴν εὐσεβῆ 3.322 πανταχόθεν καὶ πάτριον πίστιν αὐτόθεν ἐλαύνων. ἀλλ' οὐ τοῦτο νῦν ἡμῖν ὁ σκοπός· ἀλλὰ βεβαιοῦντες τὰ τῶν θείων πατέρων καὶ διδασκάλων δόγματα πυθέσθαι ζητοῦμεν ὅθεν σοι τὰ καινοφανῆ κηρύγματα ταῦτα ἐξεύρηται, δι' ὧν πολὺν ἤδη χρόνον ταράττεις τὴν τοῦ θεοῦ ἐκκλησίαν, σύμμαχον ἔχων τὴν τέως δυναστεύουσαν χεῖρα. βρέφος γὰρ ὢν ὁ θειότατος οὑτοσὶ βασιλεὺς ὁπότε κηρύττειν ἤρξω σὺ τὰ τοιαῦτα, καὶ ἅμα συγχύσεως περὶ τὴν βασιλείαν ἐξῆς ἐνεχθείσης ὁθενδηποτοῦν καὶ ὁπωσδήποτε, καιρὸν οὐκ ἔσχεν ἀκηκοέναι καὶ διορθώσασθαι. σὺ δ' ἀμεταβλήτως λήγειν οὐ βούλει κακῶν. ἡ μὲν οὖν παροιμία φησὶ τὸν οἶνον οὐκ ἔχειν πηδάλιον· ἐγὼ δὲ τὴν σὴν ἀμαθίαν μᾶλλον ἢ τὸν οἶνον οὐκ ἔχουσαν ὁρῶ πηδάλιον τὴν τῶν σῶν οἰακίζειν τρικυμίαν δογμάτων δυνάμενον. ὃ τῶν ἐσχάτων ἐστὶ κακῶν. ὅταν γὰρ τὰ τοιαδὶ τῶν ἀδικημάτων ἀντὶ τοῦ κολάζεσθαι καὶ τὸ τιμᾶσθαι προσλάβῃ δι' αὐτά γε ταυτί, ποῦ μὲν οὐκ ἂν ἀτοπίας ἐλάσειε, ποῦ δ' ἂν τῆς ὑπερηφάνου σταίη φορᾶς καὶ κακίας κατὰ πρανοῦς οὑτωσὶ φερομένης; καὶ μή μοι λέγε καὶ τερατεύου νῦν ἐγκαυχώμενος ἐπί τε δυσηνίῳ γλώττης φορᾷ καὶ συμπεφυρμένων λόγων ἀλόγῳ σωρείᾳ, μηδ' ὄγκους μοι χάλκευε ῥημάτων ἀντιστρατευομένων οὑτωσὶ προφανῶς τῇ τε ἀληθείᾳ καὶ τῷ τοῦ παρόντος συλλόγου σκοπῷ· ἀλλ' εἰ καὶ τὸ εὖ μετὰ τοῦ εὐσεβοῦς τοῖς λεγομένοις προσείη σοι, τοῦτο δὲ καὶ πάνυ 3.323 τι σφόδρα σκοπεῖν σε χρεών· ὡς ἐὰν μὴ τοῦτο σφίσι παρῇ, τοὐναντίον ἐπὶ μανδραβόλου, φάναι κατὰ τὴν παροιμίαν, χωρεῖ σοι τὸ σπούδασμα, καὶ κολοφών σοι γίνεται κακῶν ὁ τῆς ἀκαίρου γλώττης λῆρος, καὶ τοσούτῳ μᾶλλον ὅσῳ μᾶλλον καὶ τῇ πολυλογίᾳ πολύχουν ἐπιπολάζειν τὸ τῆς ἀτοπίας ἐπεφύκει γεώργιον, καὶ πρός γε δήπουθεν αἱ τῶν ἀπράκτων ἤχων τε καὶ ψόφων διατριβαὶ καὶ σχολαί. ἀλλ' ἡ τῶν θείων γραφῶν παραίνεσις μὴ μέταιρε φησὶν ὅρια ἃ ἔθεντο οἱ πατέρες σου, μηδὲ σοφίζου περιττά, ἀλλ' ἃ προσετάγη σοι, ταῦτα διανοοῦ· οὐ γὰρ ἔστι σοι τῶν κρυπτῶν χρεία. Ἐπὶ τούτοις ὁ μὲν Παλαμᾶς ἐσιώπησεν, ἀνέστη δέ τις τῶν μαθητευομένων αὐτῷ, μάλα τι ἀμαθὴς καὶ θρασὺς καὶ ἐμπαροινῶν μᾶλλον ἢ λέγων κατὰ τῆς ἀληθείας, ὥσπερ ἑωλοκρασίας ἕωθεν αὐτῷ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

καταχεθείσης τινός. καὶ μὲν δὴ "περὶ δυνάμεων ἐγώ" φησι "διαλεχθῆναι τήμερον βούλομαι· καί μοι φρασάτω παρελθὼν ὁ βουλόμενος, διὰ τί παντοδύναμος ὁ θεὸς καλεῖται ἢ διὰ τὸ πάσας ἔχειν ἐν ἑαυτῷ τὰς δυνάμεις. ἃς δὴ καλοῦμεν ἀκτίστους ἡμεῖς, καὶ διαφόρους ἀλλήλων καὶ τῆς οὐσίας αὐτῆς τοῦ θεοῦ." ταῦτα παρὼν καὶ ἀκηκοώς τις τῶν τοῦ Γρηγορᾶ φοιτητῶν, ὃς ἠκολούθησε μὲν οἴκοθεν αὐτῷ, ἀρξαμένης δὲ τῆς διαλέξεως ἐπέμφθη κομίσων τὴν τῆς δογματικῆς πανοπλίας δέλτον, καὶ κομίσας παρῆν τῷ συλλόγῳ λοιπὸν καὶ αὐτός, οὗτος οὖν παραλόγῳ τέως τῆς 3.324 ἀκοῆς ἀχθεσθεὶς καὶ διαναστάς, "καὶ μὴν" φησὶν "ἐχρῆν πασοδύναμον οὑτωσὶ κατὰ σὲ καλεῖν τὸν θεόν, καὶ μὴ παντοδύναμον. ἡμῖν γὰρ ἐκ τοῦ τὰ πάνθ' ὅσα βούληται δύνασθαι μέχρι νῦν ἐδόκει καλεῖσθαι παντοδύναμον τὸν θεόν, καὶ οὐχ ὡς σὺ φῄς." ὑπολαβὼν δὲ ὁ Παλαμᾶς "ἀλλὰ κατὰ τροπὴν τοῦ σ" φησὶν "εἰς τ γίνεται παντοδύναμος, καθάπερ καὶ θάλασσα θάλαττα." γέλως οὖν ἐπὶ τούτοις ἤρθη πολύς, ὡς μηδ' αὐτὸν Γρηγορᾶν κατέχειν ἑαυτὸν δύνασθαι, καίτοι πολλὰ πρὸς τὸ μὴ φανῆναι γελῶντα βουλόμενον καὶ ἅμα σιγᾶν διὰ τὰς τῆς κεφαλῆς ἀλγηδόνας ἐπιτηδεύοντα. ἀλλ' ὁ Παλαμᾶς διακόπτειν τὸν γέλωτα μηχανώμενος τῶν πρότερον εἴχετο λόγων, ἀναλαμβάνων αὖθις ἐκεῖθεν. "ὅτι δ' ἄλλο τὸ ἔχον" φησὶ "καὶ ἄλλο τὸ ἐχόμενον, δῆλον κἀκ τοῦ ἁγίου Μαξίμου λέγοντος "3ὁ μὲν θεὸς γινώσκει ἑαυτὸν ἐκ τῆς μακαρίας οὐσίας αὐτοῦ, τὰ δ' ὑπ' αὐτοῦ γεγονότα ἐκ τῆς σοφίας αὐτοῦ, δι' ἧς καὶ ἐν ᾗ τὰ πάντα ἐποίησεν."3 ἄλλος οὖν ὁ θεός, καὶ ἄλλη ἡ σοφία αὐτοῦ δι' ἧς καὶ ἐν ᾗ τὰ πάντα ἐποίησε, τῆς τοῦ θεοῦ οὐσίας πάντῃ διάφορός τε καὶ ἄκτιστος· ἄλλος γὰρ ὁ θεὸς ὁ ἔχων, καὶ ἄλλη ἡ σοφία αὐτοῦ ὡς ἐκτὸν καὶ ἀνούσιον." πρὸς ταῦτα ὁ Γρηγορᾶς ὥσπερ ἔνθους γενόμενος ἀνεβόησεν "οὐκ ἀκούετε, πάντες οἱ τῆς ὀρθοδοξίας ἀντιποιούμενοι, προφανῶς ἀναιροῦντα τὴν εὐσεβῆ τοῦ Χριστοῦ ἐκκλησίαν ὁμοῦ τοῖς εὐαγγελίοις καὶ πάσαις τῶν θείων πατέρων γραφαῖς, καὶ 3.325 λέγοντα τὸν υἱὸν καὶ λόγον τοῦ θεοῦ διάφορον τῆς πατρικῆς οὐσίας καὶ ὑφειμένον θεόν, καθάπερ Εὐνόμιός τε καὶ Ἄρειος ἐκεῖνος, καὶ ὅσοι τὰ τοιαῦτα πάλαι βεβλασφημήκεσαν; ἵνα γὰρ τὰς τῶν θείων διδασκάλων ἡμῶν ἐν τῷ παρόντι σιγήσω ῥήσεις, οὐκ ἀκούετε πάντες ἀεὶ τοῦ θείου λέγοντος εὐαγγελίου "3πάντα δι' αὐτοῦ ἐγένετο, καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἓν ὃ γέγονεν,"3 καὶ τοῦ Δαβὶδ πολλῷ προθεσπίσαντος πρότερον "3πάντα ἐν σοφίᾳ ἐποίησας,"3 καὶ τοῦ Σολομῶντος αὖθις "3ὁ θεὸς τῇ σοφίᾳ ἐθεμελίωσε τὴν γῆν, ἡτοίμασε δὲ οὐρανοὺς ἐν φρονήσει."3 τίς οὖν ἔτι χρεία λόγων εἰς ἀπόδειξιν τῆς παλαιγενοῦς αὐτοῦ κακοδοξίας, ἣν πάλαι ὠδίνησέ τε καὶ ἔτεκε καὶ ἀεὶ γράφων καὶ λέγων οὐ διαλείπει, κἀν ταῖς πλατείαις καὶ ἀγοραῖς διδάσκων κατὰ πολλὴν τοῦ κωλύσοντος ἐρημίαν, καὶ τὰς ἀκοὰς διορύττων τῶν ἁπλουστέρων." Ὁ δὲ Παλαμᾶς τῶν ὀνομάτων καὶ ῥημάτων τὰς ἐννοίας καὶ κλίσεις μεθαρμόζων ἐβλασφήμει τὰ χείριστα. ἐπιτιμηθεὶς δ' ὡς ἀμαθὴς τὴν τῶν συνδέσμων διαστολὴν ἀντεισῆγε τοῦ μέν καὶ τοῦ δέ. "γινώσκει γάρ" φησὶν ἡ τοῦ θείου Μαξίμου ῥῆσις "ἑαυτὸν μὲν ὁ θεὸς ἐκ τῆς μακαρίας οὐσίας αὐτοῦ, τὰ δ' ὑπ' αὐτοῦ γεγονότα ἐκ τῆς σοφίας αὐτοῦ, δι' ἧς καὶ ἐν ᾗ τὰ πάντα ἐποίησεν. ἔδει οὖν εἰπεῖν καθ' ὑμᾶς ὅτι καὶ ὁ υἱὸς ὁμοίως γινώσκει ἑαυτὸν ἐκ τῆς μακαρίας οὐ 3.326 σίας αὐτοῦ, ἵνα τὸ ὁμοφυὲς καὶ ὁμοούσιον δείξῃ· τούτου δ' ἐκείνῳ σιωπηθέντος δείκνυται συμφωνῶν ἐμοί, καὶ οὐδαμῇ γε ὑμῖν." Πολλῆς οὖν ἐνστάσεως ἐνταυθοῖ γενομένης τῶν ἑκατέρωθεν, ὥσπερ διαιτητὴς μεταξὺ γενόμενος ὁ Γρηγορᾶς, καὶ τὰς τῆς κεφαλῆς ἀλγηδόνας παρὰ φαῦλον τέως ποιησάμενος διὰ τὴν ἀνάγκην τῆς χρείας, "πρῶτον μὲν σκεπτέον" φησὶ "δυοῖν ὁπότερον ταῖς κοιναῖς τῆς ἐκκλησίας ἐννοίαις ἀκολουθεῖ καὶ ταῖς ἄνωθεν κυρωθείσαις τῶν θείων δόξαις πατέρων, κατὰ τὸν μέγαν Βασίλειον χρῆναι φάσκοντα ἡμᾶς ἀπὸ τῶν κοινῶν ἐννοιῶν ὁρμωμένους περὶ θεοῦ τὰ ἐναντιούμενα, ὅσον ἐπὶ τῇ λέξει, ὁμολογεῖν μὴ νοεῖν. οἷον κατὰ τὰς κοινὰς ὑπολήψεις ἔστι τὴν θείαν φύσιν ἀγαθὴν καὶ ἀόργητον καὶ δικαίαν ὁμολογεῖν. ἐὰν


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

οὖν ὀργιζόμενον ἢ λυπούμενον ἢ μεταμελόμενον ἢ μὴ κατ' ἀξίαν τινὶ χρώμενον ἡ γραφὴ λέγῃ, ζητεῖν προσήκει τὸ τῆς λέξεως βούλημα, καὶ μεριμνᾶν τίνα τρόπον ἀποκαταστῆσαι δυνηθῶμεν, οὐχὶ δὲ ἀνατρέπειν τὰς ἀξιολόγους περὶ θεοῦ ὑπολήψεις. καὶ οὕτως ἀπροσκόπτως ἐντευξόμεθα ταῖς γραφαῖς, ἀπὸ μὲν τῶν ἀσαφεστέρων μὴ βλαπτόμενοι, ἀπὸ δὲ τῶν εὐλήπτων ὠφελούμενοι. ἔστι μὲν οὖν συνδεδογμένον ἅπασιν ὀρθοδόξοις τὰ πάντα διὰ τοῦ υἱοῦ καὶ λόγου τοῦ θεοῦ γεγενῆσθαι. "3τῷ λόγῳ γάρ"3 φησι "3κυρίου 3.327 οἱ οὐρανοὶ ἐστερεώθησαν."3 καὶ κατὰ τὸν Νυσσαέα θεῖον Γρηγόριον ὄντως σοφία καὶ βουλὴ οὐδὲν ἕτερόν ἐστι πλὴν τῆς τοῦ παντὸς προεπινοουμένης σοφίας, ἐν ᾗ τὰ πάντα ἐγένετο καὶ διεκοσμήθη. Χριστὸς γὰρ θεοῦ δύναμις καὶ θεοῦ σοφία. καὶ πάλιν σοφία τοῦ θεοῦ καὶ πατρὸς κατὰ τὸν θεῖον Μάξιμον καὶ φρόνησις ὁ κύριος ἡμῶν ἐστὶν Ἰησοῦς Χριστός, ὁ καὶ τὰ καθόλου τῶν ὄντων συνέχων τῇ δυνάμει τῆς σοφίας καὶ τὰ συμπληρωτικὰ τούτων μέρη περιέχων τῇ φρονήσει τῆς συνέσεως, ὡς πάντων φύσει δημιουργὸς καὶ προνοητής, καὶ εἰς ἓν ἄγων τὰ διεστῶτα δι' ἑαυτοῦ. καὶ ὁ Δαμασκηνός φησιν Ἰωάννης ὁμοίως, ὅτι οὐκ ἔστι τῷ πατρὶ λόγος σοφία δύναμις θέλησις εἰ μὴ ὁ υἱός, ὅς ἐστιν ἡ μόνη δύναμις τοῦ πατρὸς ἡ προκαταρκτικὴ τῆς πάντων ποιήσεως. καὶ μυρίας ἔχοι τις ἂν μαρτυρίας προάγειν ταυτὶ συνιστάσας. καὶ πρῶτον μὲν δὴ σκεπτέον ἂν εἴη τουτί, δεύτερον δὲ πῶς καὶ ὁ θεῖος Μάξιμος τοῖς κοινοῖς τῆς ἐκκλησίας ἕπεται δόγμασιν, εἰ μή τις ἐνταῦθα παρεξηγεῖσθαι βιάζοιτο. ἡ γὰρ διαστολὴ τῶν συνδέσμων ἐνταῦθα οὐ τὸν πατέρα καὶ τὸν υἱὸν διαστέλλει, ἀλλ' ἐκ τῶν κτισμάτων μάλιστα τὸν θεὸν διαιρῶν, συμπαραλαμβάνει καὶ συνάπτει τούτῳ καὶ τὸν υἱὸν εἰς τὴν τῶν κτισμάτων γνῶσιν, ἵνα μὴ δόξῃ χωρίζειν ὁ πατὴρ τὸν υἱὸν ἑαυτοῦ ἐν τῇ τούτων γνώσει, δι' οὗ καὶ ἐν ᾧ πεποίηκεν ἅπαντα ταῦτα. καὶ γὰρ καὶ ὅτε φησὶ τὸν θεὸν ὁ ἅγιος γι 3.328 νώσκειν ἑαυτὸν ἐκ τῆς μακαρίας οὐσίας αὐτοῦ, οὐκ ἀποστερεῖ τὸν υἱὸν τῆς τοιαύτης γνώσεως. πῶς γάρ, ὁμοούσιον ὄντα τε καὶ τὴν αὐτὴν τῷ πατρὶ γνῶσιν ἔχοντα, ὡς καὶ αὐτὸς περὶ ἑαυτοῦ μαρτυρεῖ λέγων "3καθὼς γινώσκει με ὁ πατήρ, κἀγὼ γινώσκω τὸν πατέρα."3 καὶ "3πάντα ὅσα ἔχει ὁ πατὴρ ἐμά ἐστι· καὶ ἐγὼ καὶ ὁ πατὴρ ἕν ἐσμεν."3 διὰ τοῦτο ἐκεῖ μὲν ἐν τῇ τοῦ θεοῦ γνώσει διὰ τὴν φυσικὴν καὶ οὐσιώδη ταυτότητα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ πολυπραγμοσύνης οὐκ ἐδεήθη τινός· ἐν δὲ τῇ πρὸς τὰ κτίσματα γνώσει συμπαρειλήφει καὶ τὴν σοφίαν ὁ θεῖος οὗτος Μάξιμος, δι' ἧς καὶ ἐν ᾗ ταυτὶ πεποίηκεν ἅπαντα, ἀναγκαίας οὔσης τῆς τοιαύτης ἐνταῦθα μνήμης διὰ τὰς ὑποστάσεις, ὥσπερ ἐκεῖ τῆς σιωπῆς διὰ τὸ πᾶσιν ἐγνωσμένον ὑπάρχειν τὸ τῆς οὐσίας υἱοῦ καὶ πατρὸς ἀδιαίρετον καὶ ταυτόν. ἐναργέστερον δ' ὅμως ἔτι καὶ ὁ θεῖος οὗτος Μάξιμος δείκνυσι προϊών, καὶ τῆς τεχνικῆς ἐνταυθοῖ μεμνημένος σοφίας, μή τις ἐξ ἀμαθίας ὁπωσποτὲ πλανηθεὶς ἐκεῖθεν ἐξολισθήσῃ πρὸς δυσσεβεῖς λογισμούς, καὶ ἀντὶ τῆς ὄντως σοφίας τὴν ἐν τοῖς κτίσμασι τεχνικὴν δοξάσῃ σοφίαν, καθάπερ καὶ οὑτοσὶ Παλαμᾶς βεβλασφήμηκέ τε πρότερον πολλάκις, καὶ νῦν αὖθις ἐφ' ἡμῶν οὐκ αἰδεῖται τολμῶν τὰ ἀτόλμητα. φησὶ γὰρ κατόπιν ὡς ἡ λογικὴ καὶ νοερὰ φύσις γινώσκει τὰ κτίσματα ἀναλήψει τῆς ἐν αὐτοῖς θεωρουμένης τεχνικῆς σοφίας καὶ γνώσει τῶν ἐν αὐτοῖς φυ 3.329 σικῶν λόγων. ἥντινα δὴ τεχνικὴν σοφίαν παρακατιὼν αὖθις αὐτὸς ψιλὴν καὶ ἀνυπόστατον ἐν τῷ νῷ συνισταμένην φησίν, οὑτωσὶ κατὰ λέξιν διαγορεύων, ὅτι τὰ ὑπὸ θεοῦ γεγονότα γινώσκει τὸν θεὸν τῇ ἀναλήψει, ὡς εἴρηται, τῆς ἐν τοῖς γεγονόσι θεωρουμένης τεχνικῆς σοφίας, ἥτις ἐστὶ ψιλὴ καὶ ἀνυπόστατος ἐν τῷ νῷ συνισταμένη. καὶ ἀλλαχοῦ πάλιν αὐτὸς οὐκ ἐκ τῆς οὐσίας φησὶ τὸν θεὸν γινώσκομεν, ἀλλ' ἐκ τῆς μεγαλουργίας καὶ προνοίας τῶν ὄντων· διὰ τούτων γὰρ ὡς δι' ἐσόπτρων τὴν ἄπειρον ἀγαθότητα καὶ σοφίαν καὶ δύναμιν κατανοοῦμεν." ταῦτα διεξιὼν ὁ Γρηγορᾶς, "ὁρᾷς" ἔφη πρὸς τὸν Παλαμᾶν στραφείς "ὅπως δυοῖν προκειμένων ἐνταῦθα βλασφημιῶν ἐξ ἀνάγκης μιᾷ περιπίπτεις; ἢ γὰρ τὸν υἱὸν τοῦ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

θεοῦ, τὴν ὄντως σοφίαν δι' ἧς καὶ ἐν ᾗ τὰ πάντα πεποίηκεν, ἀνούσιον λέγεις θεότητα, ἢ τὴν ἐν τοῖς κτίσμασι τεχνικὴν σοφίαν ἄκτιστον καὶ ταύτην καὶ ἅμα ἀνούσιον φάσκεις θεότητα· ἣν ψιλὴν καὶ ἀνυπόστατον ἐν τῷ νῷ συνισταμένην τὸν θεῖον ἀκήκοας λέγοντα Μάξιμον. τοιαῦτα γάρ σου τὰ τῶν ἀτόπων καινοφωνιῶν αἰσχρά, καὶ οὕτω σχέτλια τὰ συμπεράσματα τῆς σῆς δυσσεβείας. ἔπειτα ζῆν τολμᾷς, καὶ ἀναιδέσιν ὀφθαλμοῖς τὴν οὐρανίαν βλέπειν λαμπάδα, τὸ σεμνὸν ἡλίου βλέφαρον, καὶ ἀνθρώποις νοῦν ἔχουσιν ὁμιλεῖν, καὶ τοῦ αὐτοῦ συμμεταλαμβάνειν αὐτοῖς ἀέρος, ὑπόμνημα 3.330 τοσαύτης κακίας τῇ τοῦ Χριστοῦ γεγονὼς ἐκκλησίᾳ; σὺ δ', εἰ βούλει, καινοφώνησον ἔτι, καθάπερ ἀκτίστων ἐσμὸν θεοτήτων, οὕτω καὶ τέχνην καινήν. ἔξεστι γάρ σοι τῇ συνήθει χρωμένῳ τῆς ἀμαθίας ἀναιδείᾳ πανταχῇ, καὶ τὸ συγκεχωρηκὸς μετὰ ῥαστώνης ἐκ σεαυτοῦ λαμβάνοντι, καὶ μηδαμῇ ταμιευομένῳ τὰς παραλόγους τύχας καὶ τραγικάς, μηδ' ἐπὶ ῥητοῖς τὸ τῆς γνώμης ἐῶντι καθεύδειν μεμηνός τε καὶ αὔθαδες. πᾶσα γὰρ ἐπιστήμη τῶν πάλαι καὶ σοφίας ἔμμουσος ἁρμονία τε καὶ ῥυθμὸς τὸ ἐνεργεῖν ἐξελάθετο τῆς σῆς ἀνουσίου ταύτης ἐνεργείας, δι' ἧς ἀπονητὶ τὰς ἀκτίστους χαλκεύεις θεότητας, ἐξ αὐτομάτου φυείσης, ὥσπερ τὸ τῶν σπαρτῶν ἐκείνων γιγάντων αὐθήμερον γένος ἡμῖν ἀττικίζοντες ὑπογράφουσι μῦθοι, καινοτέρων ἀκουσμάτων φορὰν εἰκονίζοντες. ἐπεὶ δὲ ταῖς τῶν λόγων καινότησι καὶ νόμων δεῖ καινοτέρων, γράψον, εἰ βούλει, καὶ ψήφισμά τι καινόν, μὴ χρῆσθαι κατ' ἐπιστήμην τοῖς λόγοις ἔτι. γενοῦ τοῖς νῦν καὶ αὐτὸς καιροῖς Ἰουλιανὸς αὐτοκράτωρ ἐπὶ κακίᾳ διαβεβοημένος, καὶ βαρβαρικώτερα μᾶλλον ἢ κατ' ἐκεῖνον δεικνὺς τὰ τολμήματα. μᾶλλον δὲ καὶ γέγονας, καιροῦ τυχὼν πονηροῦ καὶ βίον ἑλόμενος κακοδαίμονα καὶ ἐπάρατον, ἀφ' οὗ πολλαὶ μὲν κατὰ τῆς εὐσεβείας ἀνερρώγεσαν φάραγγες, πολλοὶ δὲ κακῶν ἐξερρύησαν ἀθέμιτοι ῥύακες. ἀλλ' οὐκ εἰς τέλος, οἶμαι, χαιρήσεις, ἀλλ' ἀποδώσει ταχὺ βασιλεὺς οὑτοσὶ τὴν πάτριον τῆς ἐκκλη 3.331 σίας εὔκλειαν τῷ δεδωκότι τούτῳ τὴν πατρῴαν βασιλείαν θεῷ." Τούτοις ὁ Παλαμᾶς ἀχθόμενος καὶ ὑβριοπαθῶν ἀντελοιδόρει τε καὶ παρὰ φαῦλον ἐποιεῖτο καὶ αὐτὸ τῆς καθέδρας τὸ εὔσχημον, ὥσπερ ἔξω γενόμενος ἑαυτοῦ. ὅθεν δὴ καὶ συχνὰ περιέστρεφεν ὅλον ἑαυτὸν τῇδε κἀκεῖσε ἐφ' οὗπερ ἔτυχε τηνικαῦτα δαπέδου καθήμενος, καὶ δυσκάθεκτός τις ἦν ὡς εἰπεῖν καὶ ἀκάθεκτος, καὶ μεμηνότων οὐδὲν διακείμενος ἄμεινον. ἦν γὰρ ἰδεῖν αὐτὸν ὥσπερ ἐκλαθόμενον ἑαυτοῦ τε καὶ τοῦ καιροῦ καὶ τῶν θεατῶν, καὶ συχνὰ μεταφέροντα ταῖς χερσὶν αὐτοῦ τῶν ἱματίων τὰ κράσπεδα καὶ ἀναφέροντα καὶ καταφέροντα, καὶ πρός γε κνήμας τε γυμνοῦντα καὶ μηρούς, καί πως ἃ μὴ θέμις δείκνυσθαι θεατρικῶς οὑτωσὶ παραδεικνύντα, δήπουθεν ὁδοῦ πάρεργον εἰπεῖν, οὐ τὸν νοῦν ἐφιστάνθ', ὡς ἔοικεν, οὐδαμῇ τοῖς δρωμένοις. καὶ δύο κατὰ ταυτὸν ἐτολμᾶτο τἀνδρὶ τηνικαῦτα τὰ ἄτοπα, μήτε δεδιότι μήτ' αἰσχυνομένῳ· στόματι μὲν γὰρ πρὸς θεὸν βλασφημῶν οὐδαμῇ ἐδεδίει, σχήματι δ' ἀσέμνῳ τοῦ μεμηνότος ἐκείνου χρώμενος ἤθους ἐπὶ τοσούτων ὀφθαλμῶν οὐδαμῇ γε ᾐσχύνετο. καὶ ὅπερ ἐπὶ τῆς Τροίας Ὀδυσσεὺς ἐκεῖνος πάλαι τὸν ἀκριτόμυθον τοῦ Ὁμήρου Θερσίτην χλευάζων ἠπείλησε δρᾶν, ἀποδύσειν εἵματα λέγω φίλα, τά τ' αἰδῶ ἀμφικαλύπτει, τοῦτ' ἐκεῖνος καθ' ἑαυτοῦ δρῶν ἀτεχνῶς οὐκ ᾐσθάνετο. ταῦτα καὶ μὴ πάνυ γελασείοντα τὸν Γρηγορᾶν γελάσαι πεποίηκε, καὶ 3.332 εἰρωνικόν τινα ὀφθαλμὸν αὐτῷ ἐπιρρίψαντα φάναι τοιαδί. "ἐγὼ δέ σε τῆς ἀμαθίας καὶ ἀναιδείας οἰκτείρων, ἄνθρωπε, βούλομαι καὶ νῦν, ὁπόσα τὴν τῆς σοφίας φωνὴν διαιρεῖ σημαινόμενα, προθεὶς κατὰ τοὺς τῆς ἐπιστήμης διδάξαι λόγους, ὡς ἂν μάθῃς ἐντεῦθεν εἰς ὅσον ἐλαύνει κακίας βωμολοχεῖν καὶ διαβάλλειν ἀναίδην τὰς θείας γραφάς. ἀκολουθητέον οὖν ἡμῖν ἐστὶ τῇ τῶν θείων πατέρων κἀνταῦθα διδασκαλίᾳ. νοεῖται μὲν γὰρ ἡ σοφία διχῶς κατὰ τὸ κτιστὸν καὶ τὸ ἄκτιστον. καὶ κτιστὴ μὲν λέγεται σοφία ἥ τε ἐντεθειμένη πρὸς θεοῦ καὶ συναπειργασμένη τοῖς κτίσμασιν, ἵνα σοφά τε κατὰ τὸν μέγαν Ἀθανάσιον φαίνηται πᾶσι καὶ ἅμα τοῦ πεποιηκότος ἄξια.


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

καθ' ὃ σημαινόμενον καὶ Δαβὶδ τούς τε οὐρανοὺς τὴν τοῦ θεοῦ διηγεῖσθαι δόξαν φησὶν ἀλαλήτοις φωναῖς, καὶ ἅμα πᾶσαν προτρέπεται κτίσιν εἰς ὕμνον θεοῦ, ὅση τῶν ἐμψύχων τε καὶ μή, καὶ ὅση τῶν αἰσθητικῶν καὶ μή. καὶ ἔτι ἣ τοῖς διδασκομένοις ἐντέχνως ἐκ προϋπαρχούσης γίνεται γνώσεως. ἐν ᾗ τὸ εἰδέναι καὶ τὸ ἐπίστασθαι ἔχοντας, δεκτικοὺς τῆς δημιουργοῦ τῶν ὅλων σοφίας ἡμᾶς οἱ θεῖοι πατέρες φάσκουσι γίνεσθαι τὸν ἑκάστοις ἐνόντα τρόπον. καὶ τὸ γνωστὸν τοῦ θεοῦ φανερὸν διὰ τῶν κτισμάτων. ἄκτιστος δὲ σοφία ὁ υἱὸς καὶ λόγος τοῦ θεοῦ, δι' ἧς καὶ ἐν ᾗ τὰ πάντα γέγονε. πλὴν οὐχὶ τούτῳ λόγος ἢ υἱός ᾧ καὶ σοφία. 3.333 ἡ μὲν γὰρ υἱός καὶ λόγος φωνὴ μονότροπον ἔχει τὴν σημασίαν καὶ ἀναφορικὴν πρὸς τὸν πατέρα, ἡ δὲ τῆς σοφίας διπλῆν. λέγεται μὲν γὰρ καὶ καθ' αὑτὸ σοφία καθολικωτέραν ἔχον τὴν ἔννοιαν, ὅτε ταὐτὸν εἴη σαφῶς τῇ οὐσίᾳ καὶ τοῦτ' εἴη τὸ εἶναι ταύτῃ ὃ τὸ σοφίαν εἶναι κατὰ τὸν τοῦ εἴδους εἴτουν τὸν τῆς φύσεως καθολικώτερον λόγον, ὅτε σοφία καλεῖται ὁ πατὴρ καὶ ὁ υἱὸς ὁμοίως ὥσπερ καὶ οὐσία ἑκάτερα. λέγεται δὲ σοφία καὶ ἡ ὑπόστασις ἐκ τοῦ καθολικωτέρου λαμβάνουσα τοὔνομα, ὥσπερ καὶ ἄνθρωπόν φαμεν εἰδικῶς καὶ καθόλου τὴν οὐσίαν καὶ φύσιν, εἴτουν καθ' αὑτὸ καὶ κυρίως καὶ οὐδαμῇ πρὸς ἕτερον, ἔστι δ' ὅτε καὶ τήνδε τὴν ὑπόστασιν, τὸν Πέτρον δηλαδή, τὸ εἰδικόν τε καὶ καθολικώτερον ὄνομα εἰς τὸ προσωπικὸν καὶ ἰδιάζον μεταφέροντες. οὐ γάρ ἐστιν ἰδιώτατον περικλειόμενον ἡ σοφία τινί, οὐδ' ἀναφορικὸν ὡς ὁ υἱὸς πρὸς τὸν πατέρα καὶ ὁ λόγος πρὸς τὸν οὗ λόγος ἐστὶ νοῦς· τὰ μὲν γὰρ οὐσιώδη καὶ φυσικὰ περιεκτικώτερά εἰσι καὶ ἄφετον ἔχει τὴν ἔννοιαν, τὰ δ' ἀναφορικὰ πρὸς ἄλληλά τε ἐστί, καὶ τῇ μεταξὺ συνδεόμενα σχέσει ἄφετον ἔχειν οὐδαμῇ συγχωρεῖται τὴν σημασίαν. ὥσπερ οὖν οὐσία ὁ πατήρ, οὐσία ὁ υἱός, οὐσία τὸ πνεῦμα τὸ ἅγιον, οὕτως ἄρα καὶ σοφία ὁ πατήρ, σοφία ὁ υἱός, σοφία τὸ πνεῦμα τὸ ἅγιον· καὶ ὁμοῦ μία σοφία ὡς μία οὐσία, καὶ οὐ τρεῖς σοφίαι ὥσπερ οὐδὲ τρεῖς οὐσίαι. ὅταν οὖν ὁ υἱὸς 3.334 λέγῃ "ἐγώ εἰμι ἡ σοφία," καὶ αὖ ὁ ἀπόστολος "Χριστὸς θεοῦ δύναμις καὶ θεοῦ σοφία," ὡς ἐκ πατρὸς δυνάμεως ὄντος καὶ σοφίας νοεῖται, ὥσπερ φῶς ἐκ φωτὸς καὶ θεὸς ἐκ θεοῦ. ποῦ τοίνυν οὐκ ἂν ἀσεβείας ἐλαύνοι τὸν θεὸν ὑποκεῖσθαι λέγειν τῇ σοφίᾳ καθάπερ συμβεβηκότι, καὶ μὴ εἶναι μᾶλλον τὴν σοφίαν οὐσίαν, μηδὲ τὸν θεὸν εἶναι, ὥσπερ τὴν οὐσίαν αὐτοῦ, οὕτω καὶ τὴν σοφίαν αὐτοῦ, ἀλλ' ἐν αὐτῷ ὡς ἐν ὑποκειμένῳ, καθάπερ τὴν τεχνικὴν ταυτηνὶ σοφίαν ἐν ἀνθρωπίνῃ ψυχῇ. τοῦτο γὰρ καὶ ὁ μέγας Ἀθανάσιος, κανόσι καὶ νόμοις ἐπιστημονικοῖς ἀληθείας ἑπόμενος, λίαν ἀπαγορεύει καὶ ἀσεβείας ἀποκληροῖ θιασώταις, περὶ τὸν θεὸν εἶναι φάσκουσι τὴν σοφίαν ὡς ἕξιν συμβαίνουσαν καὶ ἀποσυμβαίνουσαν, καὶ οὐδαμῇ γε σοφίαν αὐτόν. διπλῆς ἐνταῦθα τοιγαροῦν τῆς σοφίας οὔσης, τῆς μὲν δημιουργικῆς τε καὶ ἀρχικῆς καὶ ποιητικῆς τῆς δὲ δημιουργουμένης, καὶ τῆς μὲν σοφιζούσης τῆς δὲ σοφιζομένης, καὶ τῆς μὲν γεννωμένης τῆς δὲ ποιουμένης, ἕπεται τῆς μὲν εἶναι γεννήτορα τὸν θεὸν καὶ πατέρα, τῆς δὲ ποιητὴν καὶ δημιουργόν, καὶ εἶναι διὰ ταῦτα καὶ τούτων τὴν μὲν οὐσίαν ἀΐδιόν τε καὶ ἄτρεπτον καὶ ἀκίνητον (δεῖν γὰρ εἶναι παντάπασι τὴν τὰ πάντα πρώτως κινοῦσαν οὐσίαν ἀκίνητον καθ' αὑτό τε ἅμα καὶ κατὰ συμβεβηκός), τὴν δ' ἀεὶ τρεπτὴν καὶ ἀλλοιωτὴν καὶ ἀεὶ κινουμένην κατὰ 3.335 τὰς εἰς γένεσιν καὶ οὐσίωσιν καὶ τάξιν ἀναλόγους προόδους τῶν καθ' ἡμᾶς, καὶ νῦν μὲν ἐξ ὡρισμένης μονάδος εἰς πλήθους ἀπειρίαν ἀνιοῦσαν ἀόριστον, νῦν δ' ἐξ ὡρισμένης ὁλότητος κατ' ἀντιπεπόνθησιν πρὸς ἀπειρίαν κατιοῦσαν ἀόριστον. γένους γάρ τινος ἐπέχειν καὶ ἰδέας τόπον καὶ τὴν τεχνικὴν ταύτην σοφίαν ἔφασαν οἱ πάλαι φιλοσοφήσαντες καὶ θεολογήσαντες. καὶ ὡς οὔτε τὸ γένος ἀπεῖναι δυνατὸν ὧν ἐστὶ γένος εἰδῶν καὶ ἀτόμων, οὔτ' αὖ τὴν ἰδέαν οὖσαν οὐσίαν ὧν ἐστὶν ἰδέα πραγμάτων, οὕτως οὐδὲ τὴν τεχνικὴν σοφίαν χωρὶς εἶναι τῶν καθ' ἕκαστα ταύτης εἰδῶν καὶ ἀτόμων, οὐ μᾶλλόν γ' ἂν ἢ τὰ ἐν σώμασι χρώματα, ἃ καὶ αὐτὰ μὴ εἶναί ποτε καθ' αὑτὰ ἴσμεν ἄνευ ὧν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐστὶν ὑποκειμένων χρώματα. πᾶσαι τοίνυν ἐπιστῆμαι καὶ τέχναι σοφαὶ τῆς τεχνικῆς ταύτης σοφίας ἐξήρτηνται, καθάπερ διάφορα ῥίζης μιᾶς βλαστήματα. καὶ ἔστιν ὥσπερ τούτων ἁπάντων αἴτιος καὶ προαγωγεὺς ὁ θεός, οὕτω καὶ ταύτης ἀφ' ἧς ἐκεῖνα. διόπερ ἐκεῖ μὲν ἡ σχετικὴ συνάφεια καὶ ἀναφορὰ χώραν ἔχει τὸ οἰκεῖον ἀξίωμα παντάπασιν ἀκαπήλευτον διασώζειν, ἅτε ὄντων ὁμογενῶν ἀμφοῖν, τοῦ τε διαιρουμένου καὶ πρὸς ἃ διαιρεῖται· ἐνταῦθα δὲ μέχρι μόνης ἐνάρθρου καὶ σημαντικῆς φωνῆς αἰτιατὰ ὄντα αὐτὰ πρὸς τὸν αὐτῶν αἴτιον καὶ ποιητὴν τὴν ἀναφορὰν ἀπευθύνει. ὥστε διαβάλλειν μὲν ἥκιστα πάντων ἐστί, θαυμάζειν δ' οὖν ἄξιον μάλιστα πάντων Μάξιμον ἐκεῖνον τὸν θεῖον τῆς εὐσεβείας διδάσκαλον, κάλλι 3.336 στα πάντων ἐνταῦθα περὶ σοφίας φιλοσοφήσαντα, καὶ διελόντα σαφῶς ἑκάτερα, τήν τε σοφίαν τὴν ἄκτιστον, δι' ἧς καὶ ἐν ᾗ τὰ πάντα γέγονε, καὶ αὖ τὴν ὑπ' αὐτῆς καὶ δι' αὐτῆς συνυφανθεῖσαν καὶ συντεθεῖσαν οὐρανῷ καὶ γῇ καὶ πᾶσι τεχνικῶς τε καὶ σοφῶς τοῖς κτίσμασι, ψιλὴν καὶ ἀνυπόστατον φάμενον καθ' αὑτὴν ἐπίνοιαν. Ἐπὶ δὴ τούτοις καὶ τοῖς τοιούτοις πολὺς ἐφεξῆς ὁ Γρηγορᾶς ἐρρύη κατατρέχων Παλαμᾶν τε αὐτὸν καὶ τὰς αὐτοῦ βλασφημίας, ἀλλότριον ἐπιστήμης ἁπάσης δεικνὺς τῆς τε ἡμετέρας καὶ θύραθεν. δι' ἃ καὶ κακίας ὄργανον γεγονέναι ῥᾳδίως αὐτὸν ἐβεβαίου τε καὶ συνεπέραινε, τῆς ἀληθοῦς σοφίας εἰσάπαξ ἀπερρωγότα καὶ ἐκτετοπισμένον. ὅθεν ὁ βαρύστονος ἐκεῖνος καὶ ἀλιτήριος πληγεὶς τὴν καρδίαν καὶ οἷον ἐμβρόντητος γεγονὼς ἐβόα τε ἀσελγῶς, τὰ συνήθη φύρδην καὶ συγκεχυμένως συνείρων, καὶ οἷον εἰπεῖν ἐμεμήνει τὸ κάθαρμα. διὸ καὶ ὁ βασιλεὺς οἱονεί πως αὐτοῦ φειδόμενος, πράως καὶ μετὰ σεμνοῦ μειδιάματος στραφεὶς πρὸς τὸν Γρηγορᾶν, ἡσυχῇ πως καὶ ὅσον μὴ ἐξακούεσθαι πρὸς τὸν Παλαμᾶν, παρῄνει τε καὶ συνεβούλευε πραοτέρως ἀντιδιδόναι τοὺς λόγους αὐτῷ, μή τι καὶ πάθῃ τῶν ἀδοκήτων. ὃ δ' "3ἔσται τοῦτ'"3 ἀποκρινάμενος ἐσιώπησε τοῦ λοιποῦ. Ὅ γε μὴν Παλαμᾶς τὴν ἑαυτοῦ βουλόμενος ἔτι πολυ 3.337 θεΐαν συνιστᾶν, τοὺς μὲν προενηνεγμένους ἐλέγχους ἐκείνους αὐτῷ καὶ τὴν κατ' αὐτοῦ χεθεῖσαν χλεύην ἐφ' οἷς προύθετο πᾶσι τάχιστα ἐκλαθόμενος διὰ σκληρότητα καὶ ἀναλγησίαν, ὡς ἔοικε, γνώμης, ἑτέρας αὖθις εἰσῆγε λόγων προφάσεις, παραθαρρύνοντας ἔχων ὁποῖος αὐτὸς θιασώτας ἐκεῖ τὰ προστυγχάνοντα λέγειν ἀεί, μὴ σιωπήσας δόξῃ νικᾶσθαι τοῖς πλείστοις, οἳ τὸ νικᾶν μόνῃ δὴ τῇ πολυλογίᾳ παραμετροῦσιν. ἰταμὸν γὰρ ἡ ἀμαθία καὶ σφόδρα τι ἀναιδές, καὶ φιλεῖ γε ὡς τὰ πολλὰ τὸ τῆς μαθήσεως ἐλλιπὲς θράσους ἀνασώζειν πλεονεξίᾳ, καὶ μάλισθ' ὅταν ἀμαθέσιν ἀκροαταῖς ἐντυγχάνῃ. ἂν δὲ καὶ ἰταμοὺς ὁμοίως ἐξεπίτηδες ἐνίους ἔχῃ σπουδαστάς, ἀσήμοις ἐπικροτοῦντας κραυγαῖς καὶ τῇ τῆς ἀκοῆς ἀντιπαταγοῦντας ἐλευθερίᾳ καὶ συγχέοντας τὸ τῆς ἀληθείας κριτήριον, ποῦ οὐκ ἂν τὸ δεινὸν αὐθαδείας προβαίη; διὸ καὶ βιβλίον ἐπὶ τούτοις ἀνεῳγὼς ὁ Παλαμᾶς ἀνεγίνωσκε ῥῆσιν ἄλλο λέγουσαν εἶναι τὸν ἐνεργοῦντα καὶ ἄλλο τὸ ἐνεργητικὸν καὶ ἄλλο τὴν ἐνέργειαν καὶ ἄλλο τὸ ἐνέργημα. εἶτα ἡρμήνευεν ἀπὸ γλώττης αὐτός, ἐνεργοῦντα μὲν εἶναι τὸν θεόν, ἐνεργητικὸν δὲ τὴν φύσιν, ἐνέργειαν δὲ τὴν ἄκτιστον αὐτοῦ θεότητα, ἄλλην οὖσαν τοῦ ἐνεργοῦντός τε καὶ κινοῦντος αὐτήν, ἐνέργημα δὲ τὸ ἀποτέλεσμα· εἶναι δ' ἐνέργειαν καὶ ἐνεργεῖν τὸ αὐτό. καὶ ἐπὶ τούτοις ἠρώτα τί ἂν εἴη τὸ ἐνεργεῖν οἴεσθαι; ἢ οὐ ταὐτὸν τῷ δημιουργεῖν; ἆρ' οὖν κτιστὸν 3.338 εἴποιμεν ἂν τὸ δημιουργεῖν ἐπὶ τοῦ θεοῦ; ἄπαγε τῆς ἀλογίας. εἶθ' ἑξῆς ἄλλα ἐπ' ἄλλοις προσετίθει, δεικνὺς τὸ δημιουργεῖν ἄλλο τε καὶ διάφορον τῆς οὐσίας καὶ ἄκτιστον καθ' αὑτό. καὶ ἅμα ἐπολυλόγησε, πλεῖστα συνείρων ὁμοφυᾶ καὶ ὁμόστοιχα τοῖς προτέροις ἐκείνοις καὶ μέσοις βλασφήμοις αὐτοῦ, ἵνα μὴ ἀλλοπρόσαλλός τις ᾖ καὶ ἀσύμφωνος ἑαυτῷ ὁ τῆς νέας Χαλάνης πύργος οἰκοδομούμενος, καὶ ὅσα τοῦ Σοδομιτικοῦ πυρὸς ἐδεῖτο πρὸς κάθαρσιν. ἀλλ' ὁ Γρηγορᾶς πρὸς αὐτὸν τὰ πλείω παρεὶς ἐκεῖνα φησίν. εἰ ἄλλο τὸ δημιουργεῖν καὶ ἄκτιστον κατὰ σέ, ἀεὶ ἄρα ἦν. καὶ συμβαίνει λοιπὸν ἐξ ἀνάγκης εἶναι τῷ δημιουργῷ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

συναΐδια τὰ δημιουργήματα· ἀεὶ γὰρ ὄντος τοῦ δημιουργοῦ καὶ ἀεὶ δημιουργοῦντος κατὰ σέ, ἀεὶ ἄρα ἦν καὶ ὁ κόσμος ὁμοῦ τῷ δημιουργῷ. ὅπερ ἄτοπον καὶ ἀσεβές. προνοεῖσθαι μὲν γὰρ τῶν ἅπαξ δημιουργηθέντων ὁ θεὸς λέγεται, καὶ συντηρεῖν καθ' ὃν γεγόνασι λόγον αὐτά, δημιουργεῖν δ' οὔ, μὴ δεομένων προσθήκης ὧν κατέπαυσεν ἔργων ἁπάντων τῇ ἑβδόμῃ ἡμέρᾳ. ἄλλως τε καὶ ἐπειδὴ ἐνεργεῖν ταὐτὸν καὶ αὐτὸς εἶναι ὁμολογεῖς, ἔστι δ' ἡ ἐνέργεια κίνησις ἐνεργουμένη μᾶλλον ἢ ἐνεργοῦσα (εἰ γὰρ ἐνέργεια ἔστι, φησὶν ὁ μέγας ἐν θεολογίᾳ Γρηγόριος. ἐνεργηθήσεται δηλονότι καὶ οὐκ ἐνεργήσει, καὶ ὁμοῦ τῷ ἐνεργηθῆναι παύσεται), πέπαυται ἄρα τὸ δημιουργεῖν οὐρανὸν ἄλλον καὶ γῆν ἄλλην καὶ ἥλιον καὶ ἀστέρας καὶ 3.339 τά γε τοιαῦτα· καὶ εἰ πέπαυται, καὶ ἤρξατο πάντως. τὸ δ' ἀρχόμενον καὶ παυόμενον τῷ μήτε ἀρχομένῳ μήτε παυομένῳ πῶς ἂν εἴη ταὐτόν; οὐκ ἄρα τὸ δημιουργεῖν συναΐδιον τῷ θεῷ. ὥσπερ γὰρ τοῦ πυρὸς φύσις μέν ἐστι τὸ καυστικὸν ὡς τοῦ θεοῦ τὸ δημιουργικόν, ἐνέργεια δὲ τὸ καίειν, ὃ καὶ παρόντος μὲν τοῦ καίεσθαι δυναμένου δοκεῖ ἐνεργεῖν, ἀπόντος δ' ἐκείνου καὶ τὸ καίειν ἄπεστιν, οὕτω κἀπὶ τοῦ δημιουργοῦντος φαίη τις ἄν, παρόντος μὲν τοῦ δημιουργεῖσθαι δεομένου χώραν ἴσως ἔχει καὶ τὸ δημιουργεῖν, ἐκείνου δ' ἀπόντος πέπαυται καὶ τὸ δημιουργεῖν. ἔπειτα τὴν ἐνέργειαν ταύτην ἐν τοῖς συνθέτοις κτίσμασι χρὴ νοεῖν κίνησιν οὖσαν ἐνεργουμένην, ὡς ὁ θεῖος ἐκ Δαμασκοῦ φησὶν Ἰωάννης. ἥτις καὶ σχέσις ἐστὶ συνθετικὴ τῶν ἄκρων, καὶ ἄνευ τῶν σχετῶν νοεῖσθαι μὴ δυναμένη· ἄκρα δέ φημι τό τε ἐνεργοῦν καὶ τὸ ἐνεργούμενον. ἡ δὲ κίνησις ἐν χρόνῳ τέ ἐστι καὶ τῇ τοῦ προτέρου καὶ ὑστέρου παρουσίᾳ διοικεῖται, ὅροις τοπικοῖς ὁμοῦ καὶ χρονικοῖς δουλώσασα τὴν ἐλευθερίαν. ταύτην δ' ἀνατιθέναι θεῷ τῶν πάντων ἐστὶν ἀτοπώτατον. τὸ γὰρ ἐννόημα ἔργον ἦν ἐπὶ θεοῦ, ἀμέσως τοῦ βουλήματος πρὸς τὸ κατὰ πρόθεσιν τέλος μεθισταμένου. καὶ διάστημα χρονικὸν ἢ τοπικὸν ἐκεῖ παρεισάγειν ὁπωσοῦν ἐπινοίᾳ τινὶ τῶν πάντων ἐστὶν ἀτοπώτατον καὶ ἀδύνατον. "ἡ γὰρ ὁρμὴ τῆς θείας 3.340 προαιρέσεως" φησὶν ὁ Νύσσης Γρηγόριος "ὅταν ἐθέλῃ πρᾶγμα γίνεται, καὶ οὐσιοῦται τὸ βούλημα εὐθὺς φύσις γινόμενον, τῆς παντοδυνάμου ἐξουσίας, ὅπερ ἂν σοφῶς τε καὶ τεχνικῶς ἐθελήσῃ, μὴ ἀνυπόστατον ποιούσης τὸ θέλημα." τόπος γὰρ καὶ λόγος οὐδεὶς ὁρᾶται κατὰ τὸν θεῖον Κύριλλον μεταξὺ ποιητοῦ καὶ κτίσματος. ἐνέργεια δ' ἐπὶ θεοῦ δέδεικται εἶναι ἡ τῶν μεγάλων καὶ θαυμασίων ἔργων αὐτοῦ πρὸς ἡμᾶς φανέρωσις. ταῦτα δ' ἐστὶ ποιήματα κτιστά, καὶ οὐδαμῇ θεοὶ καὶ θεότητες ἄκτιστοι. ὧν οὐδεμία τις προηγήσατο κίνησις, ἣν ἐνέργειαν σύγε εἶναι ἀναπλάττεις νῦν καὶ θεότητα προσαγορεύεις ἄκτιστον καὶ τῆς θείας οὐσίας διάφορον. ἀνάπλασμα ἄρα σῆς διανοίας ἡ σὴ θεότης ἐστίν, οἷον οὐδ' ἂν οἱ τοὺς τραγελάφους πλάττοντες ἐννοήσαιεν. Πολλῆς γε μὴν ἐνστάσεως τῶν ἑκατέρωθεν γενομένης, καὶ λόγων συχνῶν κενωθέντων οἵους ὁ τῆς ἔριδος μίτος ὑφαίνει, καὶ ἅμα θορύβου μακροῦ τῶν ἀμαθῶς ἐκείνων παρασπιζόντων τῷ Παλαμᾷ περιβομβήσαντος τὰς ἡμῶν ἀκοάς, ὡς μηδ' ἐξακούεσθαι δύνασθαί τι τῶν λεγομένων, ἀνεχαίτισε τὸν δρόμον ὁ Γρηγορᾶς ἐκείνων τῶν ἐλέγχων, ἵνα μὴ καὶ πρόφασίς τις ὑπονοῆται τῶν τοῦ Παλαμᾶ καθίστασθαι βλασφημιῶν. παυσαμένων γὰρ τῶν ἐλέγχων φησίν, καὶ μηκέτι τὸ ἀμαθὲς ἐρεθιζόντων ἐκείνου, παύσεσθαι καὶ τὸ πολέμιον 3.341 εὐθὺς καὶ ἀντίπαλον τῆς ἐκείνου βλασφήμου γλώττης καὶ ἀπεραντολογίας. "ἔχομεν δὲ καὶ τὴν μίμησιν εἰς τοὺς θείους" ἔφησεν "ἐκείνους φωστῆρας καὶ διδασκάλους τῆς ἐκκλησίας ἀνενεγκεῖν, κατ' Εὐνομίου πάλαι φερομένους. τῆς γὰρ ἐκείνου καταγνόντες ἀναλγησίας, Βασίλειος μὲν ὁ μέγας "3ἐοίκαμεν"3 φησὶ "3διὰ τὴν πολλὴν τῆς ἀσεβείας ἐνάργειαν ἀπορεῖν λόγων, καὶ οὐκ ἔχειν πῶς τῆς ἀλογίας αὐτῶν καθαψόμεθα, ὥστε μοι δοκοῦσί τι κερδαίνειν παρὰ τὴν ἄγνοιαν. ὡς γὰρ τὰ μαλακὰ καὶ ὑπείκοντα τῶν σωμάτων τῷ μὴ ἔχειν ἀντέρεισιν οὐκ ἔστι γενναίαν τὴν πληγὴν ἐνεγκεῖν, οὕτως οὐδὲ τῶν προδήλων εἰς ἄνοιαν δυνατὸν ἐλέγχῳ νεανικῷ καθικέσθαι. λείπεται οὖν σιωπῇ τὸ βδελυκτὸν αὐτῶν τῆς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀσεβείας παραδραμεῖν"3. Γρηγόριος δ' αὖθις ὁ Νυσσαέων, κατ' Εὐνομίου φερόμενος καὶ αὐτὸς καὶ τὸν αὐτὸν τἀδελφῷ σταδιοδρομῶν δίαυλον, "3καλῶς ἂν ἔχοι"3 φησὶ "3σιωπῇ μᾶλλον τὸν λόγον βδελύξασθαι καὶ βύσαντα τὰ ὦτα φυγεῖν ἀπὸ ἀκοῆς πονηρᾶς."3 Ἐπὶ τούτοις ὁ βασιλεύς τε ἀνέστη καὶ ὁ σύλλογος διελέλυτο. εἰ δὲ καὶ ἕτερα πλείω μεταξὺ λαληθέντα παρὰ τοῦ Παλαμᾶ, σιγῆς ὑπάρχοντα καὶ οὐ μνήμης οὐδέποτ' οὐδεμιᾶς ἄξια, σιγῇ παρεπέμφθησαν καὶ ταύτῃ τῇ διηγήσει, μεμφέσθω μηδείς· περιττὰ γὰρ καὶ ἐπιβλαβῆ καὶ συμπεφυρμένα καὶ βλασφημίας παντοδαπῆς καὶ ποικίλης ἀνάμεστα, μᾶλλον δὲ χείρω παντάπασιν ἢ ναυτιᾶν ὄντα, οὐδ' ἀκοῆς γοῦν μικρᾶς 3.342 ἠξίωνται πρὸς τοῦ Γρηγορᾶ. διὰ τοῦτο καὶ αὐτὸς σιγῇ παραπέμπειν ἔκρινα δεῖν, δυοῖν ἕνεκα, ἵνα δηλαδὴ μήθ' ὅρια πατέρων ὑπερβαίνωμεν, μὴτε βλασφημίαις Παλαμικαῖς ἀκοαὶ καθαραὶ καταβλάπτωνται.

Εὖ γε, ὦ φίλων ἄριστε Ἀγαθόνικε. καί σοι τῆς διηγήσεως μακρά τις κείσεται χάρις ἐν τοῖς τῆς ἐμῆς καρδίας θαλάμοις. ἡδέως δ' ἂν πυθοίμην καὶ ἥτις ἡ ψῆφος ἐπὶ τούτοις εἴη τοῦ τε βασιλέως αὐτοῦ καὶ ἅμα τῆς τῶν ἐνδόξων γερουσίας ἐκείνης. Ἀλλ' οὐδὲ ταύτην ὀκνήσω σοι, βέλτιστε Θεότιμε, διηγήσασθαι. κατέγνωκε μὲν τῶν μακρῶν τοῦ Παλαμᾶ καὶ ποικίλων βλασφημιῶν ὁ βασιλεὺς ὁπόσα εἰκός, ἐξέφηνε δ' οὐδὲν οὐδαμῇ, ἀλλ' ἄφθογγον τὸ παράπαν τὴν γλῶτταν εἶχε τετηρηκώς, δυοῖν ἕνεκα, ἑνὸς μὲν ὅτι οὔτ' αὐτὸν Παλαμᾶν θεατρίζειν ἐβούλετο δημοσίᾳ καὶ λυπεῖν ἐκ τοῦ προφανοῦς, οὔτ' αὖ δι' αὐτοῦ Καντακουζηνόν, ὅλον τῆς τοῦ Παλαμᾶ περιφανῶς ἐξηρτημένον ἀγάπης καὶ σχέσεως, δευτέρου δ' ὅτι καὶ τοιοῦτον ἐκ φύσεως ἔσχε τὸν τρόπον· οὔτε γὰρ ἐς τὸ λοιδορεῖν πρόχειρον τὴν γλῶτταν οὔτ' ἐς τὸ κολάζειν ἔσχε τὴν χεῖρα, ἀλλ' ἥμερον παντάπασι τὸ ἦθος φυλάττει διηνεκῶς, αὐτοφυὲς ὡς εἰπεῖν καὶ αὐτοχάλκευτον ἔχων αὐτὸ πρὸς ἐπιείκειαν. διὰ δὴ τοῦτο κἀνταῦθα λοιδορεῖν οὔτ' αὐτὸς ἄντικρυς βεβούληται Παλαμᾶν, οὔτ' ἄλλον οὐδένα 3.343 τοῦτο δρᾶν συγκεχώρηκεν, ἀλλ' αὐτός τε σιγώσῃ γλώσσῃ τὸ τῆς γνώμης κριτήριον εἰς ἕτερον ἐταμιεύσατο χρόνον, καὶ τοὺς ἄλλους τὰ ὅμοια παρῄνεσε δρᾶν. ἀλλ' ὁ Παλαμᾶς οὐδαμῇ κατὰ τὸ εἰκὸς ἀλλ' ἐκ διαμέτρου πρὸς τὸ ἐπισφαλὲς τῆς τοῦ βασιλέως καταστοχασάμενος καὶ καταψευσάμενος γνώμης, τοῖς φυσικοῖς τῆς ἀναιδείας κινήμασι καὶ ταῖς ἀταμιεύτοις καὶ ὀξυρρόποις ὁλοσχερῶς ὁρμαῖς ἐδεδώκει τὴν ὑστεραίαν, καθάπερ οἰστρηλατούμενος ταῦρος. καὶ ὅλας πλατείας καὶ ἀγυιὰς περιιὼν ἀμετροεπὴς ἐκολῴα, καὶ ὅλους ἐξήντλει ῥημάτων ὄγκους. καὶ ὅσοις ἂν ἐντύχοι, πᾶσαν κατέκλυζεν ἀκοήν, ἐγκαυχώμενος ἀνεμιαῖα καὶ ψευδῆ καὶ ὅσα τῆς ἀτόπου φάλαγγος. καὶ οὐ μόνον οὐδὲν τῶν τῆς πόλεως ἦν αὐτῷ παρειμένον παρθενώνων τε καὶ τῶν ἄλλως ἐχόντων φροντιστηρίων, οἷς ἐγκατέσπειρε διιὼν τὰ συνήθη καὶ βέβηλα τῆς αἱρέσεως δόγματα, ἀλλὰ καὶ κατ' οἴκους μείζους τε καὶ ἥττους μέχρι τῶν χαμαιτυπείων, καὶ εἴ τινες εἶεν κωθωνιζόμεναι γρᾶες, τοῦ τοιούτου θορύβου πάσας ἐμπέπληκεν ἀκοάς, ἕωθεν ἐς ἑσπέραν ἀμοιβαδὸν περιτρέχων ὅλῃ τε ψυχῆς προθυμίᾳ καὶ ποδῶν ὀξύτητι. καὶ ἔρρει λοιπὸν οὑτωσὶ διὰ τῶν ἀγυιῶν ἡ τῆς ἀναιδείας φήμη. καὶ οἷς μὲν ἀγροικίᾳ συνοικεῖν ἐνῆν, τούτοις καὶ τῇ φήμῃ συμφέρεσθαί πως ἐνῆν· οἷς δὲ ἐλλογίμοις οὖσι βασανίζειν ἐπῄει σὺν λόγῳ καὶ στάθμῃ τὴν ἀκοήν, τούτων δ' οὐδαμῇ προσίεσθαι τὰ λεγόμενα οὐδέσιν ἐνῆν, 3.344 ἥκιστα πείθεσθαι δυναμένων ὡς οὕτω παχύτητος ἔχουσαι βλασφημίαι τὴν βασιλέως διάνοιαν ἐλελήθεσαν. καὶ μὲν δὴ τῆς τοσαύτης ἀτοπίας ἐν ἀκοῇ γενομένῳ τῷ βασιλεῖ, μᾶλλον δὲ τῆς διαβολῆς καὶ συκοφαντίας ἣν κατὰ τῆς βασιλικῆς διεσκέδασε γνώμης ὁ ἀναιδὴς Παλαμᾶς, καὶ ἅμα ὁπόσα καταψεύσασθαι καὶ τῆς εὐγενοῦς γερουσίας οὐκ ὤκνησεν, οὐ μετρίως ἀχθεσθῆναι συμπέπτωκε. δέον γὰρ Παλαμᾶν εὐχαριστεῖν πρός γε τοῖς ἄλλοις καὶ πρό γε τῶν ἄλλων τῷ βασιλεῖ τῆς μακροθυμίας καὶ προμηθείας τοῦ μὴ ἐκκήρυκτον γεγονέναι τῶν μακρῶν ἐκείνων ἕνεκα βλασφημιῶν, ὃ δὲ καὶ δι' ὑποψίας ἐληλυθέναι πέπραχε τὸν εὐεργέτην



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ὁποτέρῳ δυοῖν, ἢ ὅτι μὴ συνῆκεν οὔθ' ὁ βασιλεὺς οὔτε ἄλλων οὐδεὶς τῶν τῷ ἀνοσίῳ λαληθέντων κατὰ τῆς εὐσεβείας, ἢ συνιέντι περιπεφρόνηταί τε καὶ παρεῖται τὰ πλείστης, μᾶλλον δ' ἁπάσης ἄξια φροντίδος καὶ σπουδῆς. διὸ δὴ καὶ οὐ μόνον τοῦ ἀναιδοῦς τε καὶ ἀγεννοῦς ἤθους κατεγνῶσθαι γέγονε Παλαμᾶν, ἀλλ' ἦσαν οἳ καὶ καταρᾶσθαι ἐξήγοντο μὴ τῇ ὥρᾳ μόνον ἐν ᾗ τετύχηκεν αὐτὸν γεγεννῆσθαι, ἀλλὰ καὶ τοῖς αὐτὸν γεννήσασι καὶ θρεψαμένοις. ἐκ γὰρ ῥίζης, ὡς ἔοικεν, ἔλεγον, τῆς πατρῴου τὸ τοσοῦτον αὐτῷ τῆς δυσσεβείας ἐγκατέσκηψε νόσημα, καθάπερ τις ἄλλη κηλὶς ταῖς γοναῖς καὶ τροφαῖς ἐγκεκαλυμμένη· οὐ γὰρ ἂν ἐς βάθος οὕτω κακῶν ἐνέπιπτε τὸ γέννημα 3.345 καὶ ἀπορρὼξ ἐρινύων φάναι τὴν γνώμην καθίστατο. διὸ οὔτε ἐκείνους ἀθώους ἔφασκον ἄξιον μένειν τῆς καταδίκης, αἰτίους μὲν αὐτῷ τῆς ἐς τὸν βίον γενομένους παραγωγῆς αἰτίους δὲ τοῦ τῆς ἐκκλησίας δι' αὐτὸν χειμῶνος, οὔτ' αὐτὸν οὐδὲν ἐξαιρεῖσθαι τῆς καταδίκης, μεσιτεύοντος ἴσως τοῦ ἀβουλήτου διὰ τὰς σπερματικὰς ἐκ γενέσεως ἀρχὰς καὶ βιαίας δυνάμεις τῆς πατρικῆς πονηρίας, ζιζανίων δίκην ἐρανισθείσας ἐκεῖθεν καὶ προκαταβληθείσας εὐθὺς ἀφ' ἑστίας ἐν τῇ συστάσει. ἀλλ' ἑκατέροις ἑκάτεροι τῶν ἀρῶν καὶ λοιδοριῶν κοινωνήσουσί τε, καὶ ὀστράκῳ δουλεύσειν ἀμφοτέρους ὁμοῦ τῷ αὐτῷ συμπεσεῖται, τοῖς μὲν ὡς πονηρὸν ἐξενεγκοῦσι καὶ θρέψασι τόκον τῷ βίῳ, καὶ οὐκ εἰς Κιθαιρῶνα καὶ Χάρυβδιν, καὶ εἴ πού τις ἐκ μηχανῆς καινότερος ἐταμιεύετο θάνατος ἐν χαράδραις καὶ κύμασι γῆς καὶ θαλάττης, ῥίψασιν ἔκθετον, εὐθὺς ἐκραγὲν τῆς ἀτόπου γαστρός, τῷ δὲ ὡς μήτ' ἀβούλητον τὴν ἐκείνων ποιησαμένῳ κακίαν, ἅτε λόγου μετασχόντι καὶ παιδείας ὁπωσοῦν, ἧς μετεῖναι τοῖς γονεῦσιν οὐ συμπέπτωκε, μήτε μηδὲν ἐπιεικέστερον οὐδενὸς διατεθέντι, εἴ τις παραπλησίως ἐκείνοις ἐνόσει, μηδὲ κωφῇ γοῦν σιωπῇ τὸ κακὸν περιθάλπειν βεβουλημένῳ, ἀλλὰ πολλῷ τῷ μέτρῳ μοχθηροτέροις δή τισι καὶ σφόδρα ἀναιδέσι λογισμοῖς παραδεδωκότι τὴν τῆς γνώμης ἡγεμονίαν. καὶ κακοῖς κακὰ παραμίξαντι ἤθη καὶ δόγματα μακροῖς τισὶ διαστήμασι τήν τε πατρῴαν 3.346 παρελάσαι συνεπεπτώκει δυσσέβειαν, καὶ ἅμα ψυχαῖς εὐσεβείας ἁπλότητι συντραφείσαις θανάσιμον ἀπὸ γλώττης κεράσαι τὸ φάρμακον. πατέρας γὰρ μέχρι τούτου τιμᾶν προαιροῖτ' ἄν τις εἰκότως, μέχρι πρὸς τὸ εὐσεβὲς τὰς τῆς τροφῆς καὶ παιδείας πηγάς, καὶ ὅσα τοῖς ἑπομένοις ἐστὶ δι' ἐφέσεως καὶ ῥαστώνης λαμβάνειν, ὁρᾷ προϊούσας· ἐπειδὰν δὲ πρὸς κακοδαιμονίαν τὸ ῥέον ἕρπειν τοῦ χρόνου δόξῃ, τῶν πάνυ τι προσηκόντων ἀλλοτριοῦσθαι νομίζοιτ' ἄν, τῆς τοῦ καιροῦ περιστάσεως βιαζομένης τὸ φιλοῦν τῆς ψυχῆς ἐκ τοῦ συγγενοῦς κακοῦ πρὸς τἀλλότριον μετατιθέναι ἀγαθόν. καὶ μὲν δὴ δεῆσαν αὖθις ἐληλυθότα μέρος καὶ αὐτὸν γενέσθαι τῶν ἄλλων οἷς περὶ τὸν βασιλέα τέως συνέβαινε μείζοσί τε καὶ ἥττοσι τὴν ἀξίαν, ἦν σχεδὸν τῶν ἁπάντων οὐδεὶς ᾧ μὴ λοίδορος ὥπλισται γλῶσσα κατ' αὐτοῦ, τὰς ἔναγχος βλασφημίας ἐκείνας προβαλλομένη πρὸς ἔλεγχον νῦν ὑπ' αὐτῷ μάρτυρι καὶ αὐτηκόῳ τῷ βασιλεῖ. ἦσαν δ' οἳ καὶ μέχρι πρὸ ἐτῶν ἑπτακαίδεκα τὴν μνήμην ἀναπόμπιμον ἐποιοῦντο, ἃ πάλαι δὴ καὶ δρᾶσαι καὶ παθεῖν αὐτὸν ἐξεγένετο, καὶ ἀναθέμασιν ἐγγράφοις καὶ χωρισμῷ θεοῦ καθυποβεβλῆσθαι πρὸς τῶν τότε πατριαρχῶν καὶ ἀρχιερατικῶν συνόδων. καὶ συνελόντι φάναι πολλή τις ἦν ἡ καταδρομὴ τῶν τήμερον ψήφων τῆς εὐδαίμονος γερουσίας ἐκείνης ἐπὶ τοῦ νέου βασιλέως, ἃς 3.347 δὴ κατὰ τοῦ Παλαμᾶ τηνικαῦτα ἀπεφήναντο, ἄλλων ἄλλα λεγόντων, καὶ ἄλλων ἄλλοις ἁμιλλωμένων, καὶ ἄλλων ἄλλους παριόντων τῷ τῶν λοιδοριῶν ὑπερβάλλοντι. ἦσαν δ' οἳ καὶ προδότην αὐτὸν ἐπεκάλουν αὐτοῦ βασιλέως καὶ ὅσοι τῷ βασιλεῖ προσήκοντες εἶεν γένει καὶ δόξῃ· καὶ ὡς τό γε ἧκον εἰς αὐτὸν οὐκ ἀπέσχετο, τὴν ἡγημονίαν τῆς γνώμης ὑπήκοον ἅπαξ ἔργων καὶ λόγων ὁμοῦ πονηρῶν πεπραχώς, μὴ οὐ πάντας συλλήβδην βιαίῳ θανάτῳ δοῦναι. οὐ γὰρ ὅτι μὴ σιδηραῖς καὶ αὐτὸς κατὰ τοὺς ἀνδροφόνους ἐχρήσατο λόγχαις ἐκ τοῦ προφανοῦς, ὑποβεβηκός τι τὸ βάρος ἔχειν δόξῃ τῶν ἐγκλημάτων, ἀλλ' ὅτι φιλίαν


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

σχηματιζόμενος ὅλον δολερῶς ἐκένωσε τοῖς ἀδόλως φιλοῦσι τὸν τοῦ δηλητηρίου κρατῆρα, πρὶν τῆς ἐπιβουλῆς αἰσθέσθαι τοὺς πάσχοντας. καὶ οἱ μὲν γένει καὶ δόξῃ προύχοντες ἄνδρες ἐκεῖνοι οὕτω προσηνέχθησαν τῷ μιαρῷ Παλαμᾷ, καὶ ταύτας ἐκείνῳ τὰς κρίσεις ἀπέτισαν· ὁ δὲ βασιλεὺς καὶ αὐτὸς σιγῇ τῶν κατὰ τοῦ Παλαμᾶ τοιούτων λοιδοριῶν αὐτήκοος γεγονώς, καὶ βουληθεὶς μέν πως τὴν τῆς ἐκδικήσεως προστεταχέναι κόλασιν κατ' αὐτοῦ, φεισάμενος δ' οὖν διὰ τὴν ἔμφυτον ἐπιείκειαν, τέως μὲν τὴν ἀπὸ γλώττης καὶ τῶν ἔργων ὑπερέθετο ψῆφον, ἐπέμενε δ' οὖν ὅμως ὑβριοπαθοῦντα ὁρῶν καὶ ἀχθόμενον Παλαμᾶν, καὶ οὔτε τοὺς λοιδοροῦντας ἀνέκοπτε τῆς ὁρμῆς, καὶ ἅμα τὸ χαῖρον ὑπέφαινε τῆς ἑαυτοῦ ψυχῆς ἀμυδροῖς τισὶ μειδιάμασι, καὶ διεκαρτέρησε μέχρι πολλοῦ τινὸς χρόνου διακούων ἡδέως 3.348 τῶν κατὰ τοῦ Παλαμᾶ λοιδοριῶν. καὶ ἦν ταῦτα ψῆφος ἢ ψήφου προαναφώνησίς τις καὶ διατύπωσις τῆς μελλούσης ἔτι κατὰ τοῦ Παλαμᾶ καταδίκης, ἐξενεχθεῖσα πρός τε τοῦ βασιλέως καὶ τῶν ἐνδόξων ἐκείνων ἀνδρῶν τῆς ἔναγχος διαλέξεως ἣν ἐποιήσατο πρὸς τὸν Γρηγορᾶν. 3.349 ΤΟΥ ΑΥΤΟΥ ΜΟΝΑΧΟΥ ΝΙΚΗΦΟΡΟΥ ΤΟΥ ΓΡΗΓΟΡΑ ΠΕΡΙ ΤΩΝ ΑΥΤΩΝ ΛΟΓΟΣ ΔΕΥΤΕΡΟΣ ΔΟΓΜΑΤΙΚΟΣ. Τὰ μὲν δὴ μέχρι καὶ ἐς τόδε σοι εἰρημένα, φίλων ἄριστε Ἀγαθόνικε, δαψιλῆ μοι παρέσχον καὶ ὡς ἔγωγε ἐβουλόμην τὴν τέως τῶν ζητουμένων σύνεσιν, καὶ χάρις εἴη σοι πρὸς θεόν· ἐλλέλειπται δ' οὖν σοι τῶν ἐκεῖ πρὸς τοῦ Παλαμᾶ λαληθέντων ἔνια, ὡς ἐνίων ἐκεῖ παρόντων ἀκήκοα φίλων, σαθρὰ μὲν καὶ πλείω τῆς ἀσεβείας τὴν ἀμαθίαν ἔχοντα, ἐλλέλειπται δ' οὖν, ῥηθῆναί σοι δέον καὶ ταῦτα πρὸς τὸ σαφέστερον ἀκούειν ἐφιεμένων ἡμῶν. ἀνατεθολῶσθαι γὰρ ἀεὶ τὰ τῆς αὐτοῦ δυσσεβείας φασί, τῇ συνήθει τῆς γλώττης ἀωρίᾳ πάσης ὡς πορρωτάτω βαδίζοντος ἀληθείας καὶ ἐπιστήμης, μάλιστα δ' οὖν ἐν τούτοις, εἴτε διὰ δέος ἧς πείσεται μακρᾶς αἰσχύνης, εἴτε καὶ συμπῖπτον οὕτω διὰ τὸ τῆς ἐμφύτου μοχθηρίας ἀλόγιστον ἔθος. καὶ ἵνα τὰ πλεῖστα δι' ἀκαιρίαν παρεὶς μετρίων μνησθῶ, ἓν μὲν καὶ πρῶτον ἐκεῖνο τῶν παρ 3.350 ειμένων φασί. θέλων γὰρ ἑαυτὸν ἀπολύσασθαι τῆς αὐτῷ πρὸς τοῦ Γρηγορᾶ προενηνεγμένης κατηγορίας, ὡς ἐκ πολλῶν καὶ διαφόρων θεοτήτων εἴτ' οὖν ποιοτήτων συγκεῖσθαι λέγοντι τὸν θεόν, καὶ ἄντικρυς περιπίπτοντι τοῖς τῷ θείῳ Δαμασκηνῷ λεγομένοις, ὅτι τὸ θεῖον ἁπλοῦν ἐστι καὶ ἀσύνθετον, τὸ δὲ ἐκ πολλῶν καὶ διαφόρων συγκείμενον σύνθετόν ἐστι καὶ τὰ ἑξῆς, οὐ κατὰ τὴν θέσιν ἐκείνης τῆς ῥήσεως, ἀλλὰ διαφθείρας, ὡς εἴωθε, τοιάδ' ἀπεκρίνατο. πᾶν τὸ συγκείμενον καὶ οὐσιώδεις διαφορὰς ἔχον σύνθετον ἐστίν· ὁ δὲ θεὸς οὔτε τῶν συγκειμένων ἐστὶν οὔτε τῶν οὐσιώδεις διαφορὰς ἐχόντων. οὐσιώδης γάρ ἐστι διαφορὰ καθ' ἣν διαφέρει οὐσία οὐσίας, ὥστε κατὰ πλειόνων εἰδῶν καὶ οὐσιῶν εἰσὶν αἱ διαφοραί· ἐπεὶ οὖν μία καὶ ἀμερὴς παντάπασιν ἡ τοῦ θεοῦ οὐσία, διὰ τοῦτο διαφορὰς οὐκ ἔχει οὐσιώδεις. μίαν μὲν δὴ τῶν ἐκείνου ταύτην προτίθημί σου τῇ διηγήσει πρόφασιν ἐφεξῆς, δευτέραν δὲ τὴν Ἀθανασίου τοῦ θείου ῥῆσιν, ἣν εὐσεβεστάτην ἀναμφιβόλως οὖσαν εἰς πολυθεΐας αὐτὸς ὑπόθεσιν μετενήνοχεν. ἔφη γὰρ ἐν τῇ πρὸς Ἄρειον διαλέξει ὡς οὐχ ἕνεκεν κτιστῶν πραγμάτων ἔφη ὁ σωτὴρ "πάντα ὅσα ἔχει ὁ πατὴρ ἐμά ἐστίν." ἀλλ' ὅσα ἀνῆκε τῇ θεότητι τοῦ πατρός, ταῦτα ἴδια ἔφη ὁ κύριος, οἷον τὸ ἄφθαρτον, τὸ ἄτρεπτον, τὸ ἀκατάληπτον, τὸ δυνατόν, τὸ προγνωστικόν. καὶ ὅσα ἐστὶν ὁ πατήρ, ταῦτα ἴδια τοῦ υἱοῦ τυγχάνει. 3.351 Πρὸς γοῦν φιλίου, βέλτιστε Ἀγαθόνικε, μὴ ζημιοῦν ἀξίου με τὸν φίλον οὕτω βελτίστην ἀκρόασιν, σχήματι εὐλαβεῖ τὸ ῥάθυμον ὁπωσδηποτοῦν ὑποκοριζόμενος, ὡς κἀν πολλοῖς εἰώθεις ἐνίοτε δρᾶν. ὁρῶ γάρ σε πρὸς ἕτερα τρόπον τινὰ τὸν νοῦν περισπώμενον καὶ ὅσον εἰκάσαι λογισμῶν πολυπλόκων μεστὸν τὴν ὀφρύν. Ἐμὸν τουτὶ πάθος, ὦ φίλε Θεότιμε, καὶ πάνυ γε ἄχθομαι τῷ συμβεβηκότι· ἔοικα γάρ πως ἀγνοοῦντι πολλάκις καὶ οἷον οὐκ ἐπαΐοντι ὧν ἐνίοτε ὁμιλεῖν μοι προσγίνεται, λήθης ἐξορχουμένης ὡς τὰ πολλὰ κατὰ τοῦ φανταστικοῦ, ὃ καὶ βιβλίον φασὶν οἱ σοφοὶ τῆς ψυχῆς. διὸ καὶ πρὸς τὰς σὰς ἔτι διεξιόντος παρασκευαζόμενος πεύσεις, ἀνελογιζόμην


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τε καὶ συνῆγον ὅσα δὴ τὴν μνήμην ἔτι περιέρρει κύκλῳ, καὶ ὁπόσα ταύτης αὖ παρερρυήκει πόρρω τοῦ βήματος, ἴσως μείζοσιν ἄλλοις παραχωροῦντα· καὶ τοῦτ' ἦν ὅ μοι τὴν τοῦ ἤθους τέως ἐποίει παράλλαξιν. ὅθεν καὶ ἄλλης ἐξ ἄλλου φαντασίας ἡμῖν ὁπωσδηποτοῦν ἀθροισθείσης πρὸς ἔδαφος ἄρτι βαλβίδος φάναι μιᾶς, προσέσται σοι λοιπὸν ὁρᾶν τὸν τοῦ λόγου σκοπὸν κατὰ σήν, ὡς οἶμαι, βούλησιν, ῥάθυμον μὲν ἠρεμίαν ἀπειπόντα παντάπασι νῦν ὡς καὶ πρότερον, κίνησιν δ' αὖ τοὐναντίον πρόθυμον περιφανῶς ἀνθελόμενον. ἑκατέρας γὰρ γινομένης ἐν χρείᾳ τοῖς τε λόγοις καὶ πράγμασιν, ἑκατέρων ὡς εἰκὸς τοῖς προσήκουσι χρόνοις μεμνήμεθα, καὶ ἀναλόγως 3.352 ἀμφοτέρας ἀναλεγόμεθα, κίνησιν μὲν ἅτε ἠρεμίας ἀπόφασίν τε καὶ ἔκστασιν οὖσαν, ἠρεμίαν δ' αὖ κινήσεως εἶδος καὶ ἐντελέχειαν, ὁρίζουσάν τε καὶ περιγράφουσαν τὸ κεχυμένον ἐκείνης καὶ ἄφετον καὶ ἀόριστον. καὶ δεῖν ἑκατέροις κεχρῆσθαι κατὰ τὸν ἑκατέροις προσήκοντα λόγον καὶ τρόπον. γινώσκειν οὖν σε χρεὼν ὡς πολλά γε τοιαῦτα παρεῖται, μήτε λόγου μηδενὸς ἄξια ὄντα μήτε γέλωτα φεύγειν κωμικὸν δυνάμενα. αὐτίκα γὰρ περὶ τοῦ νῦν σοι προτεθέντος πρώτου ζητήματος ὁ Γρηγορᾶς μικρά τινα εἰπὼν ἀπήλλακται, περιττὸν ἡγησάμενος ἀμαθέσι παντάπασι λόγοις ἀποκρίσεις κατ' ἐπιστήμην ἀντιδιδόναι ζητεῖν· μηδὲ γὰρ εἶναί φησι κοινωνίαν μηδεμίαν ὥσπερ οὔτε φωτὶ πρὸς σκότος, οὕτως οὐδ' ἐπιστήμῃ πρὸς ἀμαθίαν. ὅθεν καὶ διὰ τὴν τοιάνδε καὶ οὕτως ἔχουσαν σύγχυσιν οὐδ' ἔμοιγε ἀκριβῶς εἰληφέναι τὴν τῶν εἰρημένων ἐκείνῳ τέως ἐπὶ τούτοις κατάληψιν ἐπιμελὲς ἐγεγόνει. σὴν δ' ὅμως χάριν ἐρῶ τῶν ἐκείνου βραχέα, καὶ ὅσα ἐς τόδε παρέμεινε τῇ διανοίᾳ μου ὁπωσδηποτοῦν ἐπιτρέχοντα, οὐ τοῖς παραλόγοις λόγοις τοῦ Παλαμᾶ τὴν ἀφήγησιν χαριζόμενος, ἀλλὰ τὴν σὴν φιλίαν λυπεῖν οὐ βουλόμενος. Ὁ γάρ τοι Γρηγορᾶς πρὸς τοὺς ἐκεῖ τηνικαῦτα παρόντας στραφείς, καὶ τούτοις ἐνερείσας τοὺς ὀφθαλμούς, "ἆρ' οὐκ ἠλίθιος" φησὶ "καὶ παντάπασι νηπιώδης ἡ οὕτω γ' εὐθὺς εἰρημένη πρότασις πρὸς τοῦ Παλαμᾶ τουτουΐ, ὡς πᾶν τὸ συγκείμενον καὶ οὐσιώδεις διαφορὰς ἔχον σύνθετον ἐστίν; 3.353 οὐ τοῦτο γάρ, οὐδ' οὕτως ὁ θεῖος ἐς Δαμασκοῦ φησὶν Ἰωάννης, ἀλλὰ τὸ ἐκ πολλῶν καὶ διαφόρων συγκείμενον σύνθετόν ἐστιν. ὁ δὲ Παλαμᾶς ἐξ ἀμαθίας ἅμα καὶ κακουργίας μικρὸν ὑπαλλάξας τὴν ἐπιστημονικὴν καὶ θεοπρεπῆ ῥῆσιν τοῦ ἁγίου, ὅλην ὁμοῦ καὶ τὴν ἔννοιαν συνδιέφθαρκεν. οὐδὲν γὰρ ἕτερον ἔοικεν εἶναι τὸ λεχθὲν ὑπ' αὐτοῦ ἢ ὥσπερ ἂν εἴ τις λέγοι πᾶσαν χιόνα λευκότητα ἔχουσαν οὐσιώδη, χιόνα εἶναι λευκήν. τοῦτο δ' εἶναι καὶ τοῦ ἐν ἀρχῇ αἰτεῖσθαι πολλῷ δήπου χεῖρον. εἶτα ἐπήγαγε τὸ θαυμαστὸν ἐκεῖνο συμπέρασμα, ὡς ὁ θεὸς οὔτε τῶν συγκειμένων ἐστὶν οὔτε τῶν οὐσιώδεις διαφορὰς ἐχόντων. ἐνταῦθα λεγέτω μοί τις πρὸς θεοῦ, ποίου σχήματος ὁ τοιοῦτος ἂν εἴη τερατώδης συλλογισμός, κἀκ ποίας καινοφανοῦς καὶ νεήλυδος ῥίζης ἐξέφυ. εἶτα ἐπήγαγε ξένην αὖθις καὶ ἀκατάσκευον κατασκευὴν ἑτέρου δῆθεν συλλογισμοῦ. ἐπεὶ γάρ, φησί, μία καὶ ἀμερὴς παντάπασιν ἡ τοῦ θεοῦ οὐσία, διὰ τοῦτο διαφορὰς οὐκ ἔχει οὐσιώδεις. οὐσιώδης γάρ ἐστι, φησί, διαφορὰ καθ' ἣν διαφέρει οὐσία οὐσίας. καὶ τὸ συμπέρασμα ὅτι κατὰ πλειόνων ἄρα εἰδῶν καὶ οὐσιῶν εἰσὶν αἱ διαφοραί. καὶ μὴν τὸ προκείμενον ἦν αὐτῷ τοῦ ἐπενηνεγμένου ἑαυτὸν ἀπολύσασθαι ἐγκλήματος, καὶ δεῖξαι μηδαμῇ τοῖς τῷ ἁγίῳ περιπίπτοντα ἀπηγορευμένοις. ἀπαγορεύει γὰρ ὁ Δαμασκηνὸς μὴ λέγειν εἶναι σύνθετον τὸ θεῖον, μηδ' ἐκ πολλῶν καὶ διαφόρων συγ 3.354 κείμενον, ἃ ἦσαν τὸ ἄκτιστον, τὸ ἄναρχον, τὸ δημιουργικόν, τὸ ἀπερίγραπτον, καὶ ὅσα δήπουθεν οἱ ἀμφὶ τὸν Παλαμᾶν πολλά τε καὶ διάφορα τὰ ἄκτιστα ἐπὶ τῇ μόνῃ ἀκτίστῳ καὶ ἁπλῇ συναριθμοῦσιν οὐσίᾳ. ὃ δὲ λέληθεν ἑαυτὸν δυοῖν περιπίπτων ἀτόποις. οὔτε γὰρ οὐδὲν πρὸς ἔπος ἔοικε λέγειν, ἀλλ' ἄλλην τρέχων ἄλλην ἐβάδισεν, οὔτε εἰ ἀντιλέγειν ἐβούλετο, τὰς ὁμόσε προσηκούσας ἀντιθέσεις ἐπήνεγκεν, ἀλλ' ὅμοιον ποιεῖ ὥσπερ ἂν εἰ τὴν πρὸς ἕω τῶν τε Αἰθιόπων καὶ Ἰνδῶν εἰπεῖν ἀπαιτούμενος οἴκησιν, ὃ δ' ἐκ διαμέτρου τοὺς ἑσπερίους ἐπειρᾶτο δεικνύειν Κελτούς, καὶ ὅποι τὰ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Βρετανῶν προσοικοῦσιν ἔθνη. ποῦ γὰρ ἢ ἀκόλουθος ἢ ἀντίθετος ἡ λύσις πρὸς τὸ προτεθέν, ὅτι τὸ ἐκ πολλῶν καὶ διαφόρων συγκείμενον σύνθετόν ἐστιν, ἣν αὐτὸς ἐπάγει, λέγω δὴ τὴν ἀναπόδεικτον ἀπόδειξιν καὶ τὴν ἀκατάσκευον κατασκευὴν καὶ τὸν ἀσυλλόγιστον συλλογισμόν, μᾶλλον δ' ἄμεσόν τε καὶ διεσπασμένον συμπέρασμα. ἐπεὶ γάρ φησι μία καὶ ἀμερὴς ἡ τοῦ θεοῦ οὐσία, κατὰ πλειόνων ἄρα εἰδῶν καὶ οὐσιῶν εἰσὶν αἱ διαφοραί. ἆρ' οὐ Δημοκρίτου δεῖ τὰ τοιαῦτα, πάνυ γελῶντος τὴν τοῦ ἀνδρὸς ἀμαθίαν, ἢ μᾶλλον Ἡρακλείτου θρηνοῦντος τὴν αὐτοῦ γε ἀπόνοιαν; τοσαύτης γὰρ ἃ λέγει τῆς ἀλογίας γέμει, ὡς μήτε τῷ λέγοντι ξυνιέντι εἶναι ὧν λέγει, μήτε τοῖς ἀκούουσι ξυνιεῖσιν ὧν ἀκούουσιν. ἵνα γὰρ τἆλλα σιγῇ παραδράμωμεν, τίνα κοινωνίαν ἐνταῦθα ἔχει τὰ νόθα 3.355 ταυτὶ καὶ διάφορα τῶν αὐτοῦ προτάσεων ἀμαθῆ συμπεράσματα πρὸς τὰς προτεθείσας ῥήσεις τοῦ ἁγίου; ὃ δ' ἐκείνας ζητούμενος ταυτὶ συνεπέρανε, παραπαιδαγωγῶν καὶ μεθαρμόττων ἀσεβῶς εἰς τὸν οἰκεῖον τῆς ἀμαθίας κρημνόν. βαβαὶ τῆς καινῆς ἐπιστήμης καὶ τῆς γε τῶν φρενῶν λεπτότητος. καίτοι εἰ ἀντιλέγειν ἐβούλετο ἄντικρυς, φιλονεικότερον μὲν ἴσως, ἐλλογιμώτερον δ' οὖν, εἰ καὶ μὴ ὀρθῶς, εἶπεν ἂν καὶ αὐτὸς ἃ πολλάκις ἔνιοι τῆς μοχθηρᾶς αὐτοῦ φατρίας προύτειναν εἰς ἀντίθεσιν ῥήματα τοῦ ἁγίου αὐτοῦ κατὰ τῶν αὐτοῦ (δεδόχθω γὰρ ἄν, οἷς ἀσυνέτως μετιέναι ἔπεισι, ταῦτα ἀντίπαλα εἶναι ἀλλήλοις ἄλληλα), ἐκεῖνα δή φημι τὰ περὶ τῶν τοῦ Χριστοῦ δύο φύσεων τῷ ἁγίῳ λεχθέντα. τίνα δὴ ταῦτα; ἄνωθεν γὰρ ἀρξάμενος καὶ ἀποδείξεων ἐπιστημονικῶν καὶ θεοπρεπῶν τὸν λόγον ἐμπεπληκὼς ὁ θεῖος ἐκεῖνος Δαμασκηνὸς Ἰωάννης "εἶθ' ἑνωθεισῶν" φησίν "ἀλλήλαις κατὰ ἀλήθειαν τῶν δύο φύσεων εἰς μίαν ὑπόστασιν τοῦ υἱοῦ τοῦ θεοῦ, σώζεσθαι αὐτῶν τὴν οὐσιώδη διαφορὰν ὁριζόμεθα. τὸ γὰρ κτιστὸν μεμένηκε κτιστὸν καὶ τὸ ἄκτιστον ἄκτιστον, καὶ τὸ θνητὸν ἔμεινε θνητὸν καὶ τὸ ἀθάνατον ἀθάνατον, καὶ τὸ περιγραπτὸν περιγραπτὸν καὶ τὸ ἀπερίγραπτον ἀπερίγραπτον, καὶ τὸ ὁρατὸν ὁρατὸν καὶ τὸ ἀόρατον ἀόρατον." καὶ μετ' ὀλίγα "ἴσμεν γάρ" φησίν, "ὥσπερ μίαν αὐτοῦ τὴν ὑπόστασιν, οὕτω καὶ τὴν τῶν φύσεων οὐσιώδη διαφορὰν σώζεσθαι." πῶς δὲ σωθείη διαφορά, μὴ σωζομέ 3.356 νων τῶν τὴν διαφορὰν ἐχόντων πρὸς ἄλληλα; ὁρᾷς ὡς οὐκ ἀπαγορεύει Ἰωάννης ὁ θεῖος ἐκ Δαμασκοῦ οὐδ' ἐκεῖ κατ' οὐδὲν τὸ παράπαν ἃ νῦν ἐπὶ τοῦδε συντίθεται; ἢ γὰρ ἂν ἦν αὐτὸς ἑαυτῷ μαχόμενος. ἀλλὰ τοῖς ἐκ τῶν τοιούτων διαφορῶν συγκεῖσθαι τὴν θείαν φάσκουσιν οὐσίαν ἐπιτιμᾷ, καὶ ἀνασοβεῖ μὴ λέγειν οὐσιώδεις διαφορὰς ἐπὶ θεοῦ, αἳ τὴν οὐσίαν συντιθέναι λέγονται ὡς ἐφ' ἡμῖν, ἀλλ' αἳ διαστέλλουσιν ἐκ τῶν κτιστῶν οὐσιῶν· τὸ γὰρ τῆς θείας οὐσίας ἑνιαῖον παντάπασι καὶ ἁπλοῦν πάσης καὶ παντοίας πάντῃ διαφορᾶς ἀνεπίδεκτον. ἡ γὰρ διαφορὰ φυσικῶς ἑπομένην ἔχουσα τὴν ἑτερότητα, πληθυντικὸν εὐθὺς ἀριθμὸν συνεισάγει· ὅπου δ' ἀριθμὸς καὶ πλῆθος, ἁπλότης εἶναι οὐ συγχωρεῖται μοναδική. καθάπερ καὶ ὁ θεῖος Μάξιμος ἀμερές φησι τὸ θεῖον διότι καὶ ἄποσον. καὶ πάλιν πᾶσά φησι διαφορὰ τῆς ἄλλων πρὸς ἄλλα κατὰ τὸν τοῦ πῶς εἶναι λόγον ἀνομοιότητός τε καὶ ἑτερότητος οὖσα δηλωτική, τὸ ποσὸν τῶν διαφερόντων πραγμάτων συνεισάγειν ἑαυτῇ πέφυκεν, εἴτ' οὐσιῶν εἴτε ποιοτήτων εἴτ' ἰδιοτήτων· τὰ μὲν γὰρ μὴ ἀλλήλοις πάντῃ ταὐτὰ ἕνα καὶ τὸν αὐτὸν τοῦ εἶναι οὐδαμῶς ἐπιδέχεται λόγον, τὰ δὲ πάντῃ ἀλλήλοις ταὐτὰ διαφορᾶς ἀνεπίδεκτα. καὶ γὰρ ἁπλοῦν ὡμολογηκὼς πρότερον εἶναι τὸ θεῖον, εἶτα τὸ πάντῃ φησὶν ἁπλοῦν διαφορᾶς εἶναι ἀνεπίδεκτον· διότι καὶ πάντῃ ταὐτὸν ἑαυτῷ καὶ μοναδικὸν καὶ ὅλον ὅλως ἄσχετον, ὡς τὸ ἐν ποσῷ 3.357 γένος οὐκ ἔχον κατηγορούμενον, καὶ διὰ τοῦτο παντελῶς οὐκ ἀριθμούμενον οὐδὲ διαιρούμενον. Ὁρᾷς πῶς ὅπου διπλόη φύσεων καὶ ἀριθμός, ἐκεῖ καὶ τῆς διαφορᾶς χώραν ἐχούσης ἔστι καὶ διαίρεσις εὐθὺς καὶ μερισμός, ὅπου δ' ἁπλότης μοναδική, ξένη τὸ παράπαν ἐκεῖ καὶ ἀφόρητός ἐστιν ἡ διαφορὰ καὶ ὁ μερισμός; ὥστε συλλογιστέον καὶ τὸν Δαμασκηνὸν Ἰωάννην μηδαμῇ μαχόμενον εἶναι δοκεῖν αὐτὸν ἑαυτῷ, ὅτ' ἐκεῖ μὲν


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

λέγει τὸ ἄκτιστον καὶ ἀθάνατον καὶ τὰ τοιαῦτα μὴ εἶναι διαφορὰς οὐσιώδεις, ἐνταῦθα δὲ τὴν οὐσιώδη σώζεσθαι διαφορὰν ἐπὶ τῆς εἰς μίαν ὑπόστασιν ἑνώσεως τῶν δύο φύσεων τοῦ υἱοῦ τοῦ θεοῦ, καὶ μένειν τό τε κτιστὸν κτιστὸν καὶ τὸ ἄκτιστον ἄκτιστον, καὶ ἔτι τὸ θνητὸν θνητὸν καὶ τὸ ἀθάνατον ἀθάνατον, καὶ τὰ τοιαῦτ' ὁμοίως ἅπαντα· ἀλλὰ τὸ προσῆκον ἑκατέρᾳ διδόντα διδασκαλίᾳ, σύμφωνα φθέγγεσθαι καθάπαξ ἑαυτῷ καὶ τῇ ἀληθείᾳ. προσεκτέον δὲ καὶ τῷ θείῳ Μαξίμῳ τὸν Παλαμᾶν διὰ τῶν εἰρημένων ἄντικρυς ἐλέγχοντι, τό τε ἁπλοῦν τῆς μιᾶς ἐξωθοῦντα θεότητος, καὶ πολλὰς τὰς διαφορὰς καὶ συνθέσεις ταῖς αὐτοῦ χαριζόμενον θεότησι, μᾶλλον δ' εἰπεῖν θεαῖς καὶ θεοῖς οἰκειότερον. Ἀλλ' ἐπανακτέον τὸν λόγον. ἐπὶ μὲν γὰρ τῶν συνθέτων ἡμῶν αἱ οὐσιώδεις διαφοραὶ διπλῆν ποιοῦσι καὶ τὴν σημασίαν. τά τε γὰρ ὑπὸ τὸ ζῶον εἴδη συντιθέασιν εἰδο 3.358 ποιοῦσαι, καὶ πρός γε ἔτι τῶν ἑτεροφυῶν διαστέλλουσιν οὐσιῶν. ἐπὶ δὲ τῆς μακαρίας ἐκείνης καὶ ἑνιαίας οὐσίας θάτερον μέν, τὸ τῆς συνθήκης, ἀπηγορευμένον τοῖς θείοις ἐνομίσθη πατράσι, θάτερον δέ, τὸ τῆς ἐκ πασῶν τῶν κτιστῶν διαστολῆς οὐσιῶν, καὶ σφόδρα συνδέδοκται· ἑνωθεισῶν γὰρ ἀλλήλαις φησὶ τῶν δύο φύσεων εἰς μίαν ὑπόστασιν τοῦ υἱοῦ τοῦ θεοῦ, σώζεσθαι αὐτῶν τὴν οὐσιώδη διαφορὰν ὁρίζοντα θεότητος καὶ ἀνθρωπότητος. Τὶ πρὸς ταῦτα φῄς, ὦ φίλε Θεότιμε; ἦ γὰρ οὐ λεληθέναι δοκεῖ σοι σαφῶς ἑαυτὸν ὁ Παλαμᾶς βακχικώτερον κατὰ τοὺς μαινομένους τρόπον ταῖς θείαις γραφαῖς προσιών, καὶ μεθαρμόζων ἀμούσως καὶ πόρρω θέων βαλβίδος εἰπεῖν, πῶς μὲν ἑκὼν πῶς δ' οὐχ ἑκών, καὶ μηδέσι συμφωνῶν, μήτε τοῖς οἰκείοις καὶ ὁμογνώμοσιν αὐτῷ τὴν δυσσέβειαν, μήτε τοῖς ἀντιθέτοις, μήθ' ἑαυτῷ; εἰ δὲ βούλει, μικρὸν ἀναμείνας ἀκούσῃ καὶ ἃ μεταξὺ λέγων ὁ Γρηγορᾶς περὶ τῆς τοῦ Παλαμᾶ κακονοίας συνελογίσατό τε καὶ ἀπεφήνατο. ἐκεῖνα μὲν γάρ φησιν οὐ προσίεται, δεδιὼς τὸν αὐτόθεν κατ' αὐτοῦ φυόμενον ἔλεγχον ἐκ τοῦ εὐθέος, ἅτε σύνθεσιν αὐτὸς κατὰ τῆς θείας ἐπινοῶν καὶ λέγων οὐσίας· ταῦτα δ' αὖ λήθης ἑκὼν παραπέμπει βυθοῖς, ἅτε καὶ αὐτοῖς ἐναντιούμενος ἄντικρυς καὶ λέγων καὶ γράφων. μεμενηκέναι γὰρ ὁ ἅγιος ἔφη τὸ ἀόρατον ἀόρατον καὶ τὸ ἀπερίγραπτον ἀπερίγραπτον, καὶ τὸ 3.359 ἄκτιστον ὁμοίως καὶ τὸ ἄπειρον, καὶ οὕτω σώζεσθαι σαφῶς τὴν τῶν δύο φύσεων οὐσιώδη διαφοράν· ὃ δὲ μιγνύει τὰ ἄμικτα, φύρδην οὕτως συγχέων καὶ ἀνακεραννὺς κακοτρόπως καὶ ἀμαθῶς. οὔτε γὰρ τὸ ἀόρατον μένειν ἀόρατον δίδωσι κατὰ τὴν τοῦ ἀκτίστου τε καὶ ἀπείρου φύσιν καὶ ἰδιότητα, οὔτε τὸ ἀπερίγραπτον ἀπερίγραπτον· ἀλλ' ἐν τῇ τοῦ περιγραπτοῦ καὶ ὁρατοῦ φύσει ταῦτα παρὰ φύσιν ὁ μάταιος συνελαύνει. καὶ ἅμα τῇ τῶν κτισμάτων. πῶς γὰρ ἂν ἔτι δύναιτο μένειν τὸ ἄκτιστον ἄκτιστον ὁρώμενόν τε καὶ περιγραφόμενον σωματικοῖς ὀφθαλμοῖς, τὸ νοεροῖς, καὶ ταῦτα κεκαθαρμένοις, οὐδ' ὅλως δυνάμενον· ὡς γὰρ ἥ τε ἐπιστήμη καὶ ὁ ταύτῃ ἑπόμενος Νύσσης Γρηγόριος φάσκει, τὸ περιγεγραμμένον ἄπειρον οὐ δύναται εἶναι· ὃ δὲ μὴ ἄπειρον, πεπερασμένον πάντως. πεπερασμένος ἄρα ὁ διάφορος τῆς θείας οὐσίας Παλαμίτης ἄκτιστος θεὸς καὶ ὁμοφυὴς τῷ ἀνάρχῳ καὶ ἀκτίστῳ γίνεται Παλαμᾷ. τὰ γὰρ τούτου τοῦτον ἐλέγχει γράμματα, ὡς δειχθήσεται ἑαυτόν τε καὶ εἴ τις βούλοιτό οἱ προσιέναι, πάντας ἄρδην ἀκτίστους δύνασθαι ποιεῖν ἰσχυριζόμενος· οὕτως εὔωνον παντάπασι τὸ τῆς ἀκτιστότητος γέγονε χρῆμα τῷ καταράτῳ, καὶ οἷον ἂν ἐξ ἀγορᾶς τις πρίαιτο δραχμῆς. Ἐκεῖνο δὲ πῶς ἄν τις κωφὸν παραδράμοι, τό, ἐπεὶ μία καὶ ἀμερὴς ἡ τοῦ θεοῦ οὐσία, διὰ τοῦτο διαφορὰς οὐκ ἔχει 3.360 οὐσιώδεις. ἐχρῆν γὰρ αὐτῷ μὴ ἀνατρέπειν τοὺς ὅρους καὶ τοὺς ἐπιστημονικοὺς κανόνας τοῦ τε αἰτίου καὶ αἰτιατοῦ, μηδ' ἀντιστρέφειν ἀμαθῶς οὑτωσί· ἐπὶ γὰρ τῶν ἰδίων τε καὶ ἴσων ἀλλήλοις τὰ τῆς ἀντιστροφῆς συγχωρεῖται, ὡς τοῦ γελαστικοῦ τοῦ ἀνθρώπου καὶ τοῦ χρεμετιστικοῦ τοῦ ἵππου, καὶ οὐκ ἔνθα τὸ μεῖζόν τε καὶ ἔλαττον ἢ τὸ πρῶτον καὶ δεύτερον θεωρεῖται. αἴτιον γὰρ κἀνταῦθα καὶ πρῶτον, οὐχ ὡς ἀμαθῶς αὐτός φησι, διότι ἀμερὴς ἡ οὐσία, διὰ τοῦτο διαφορὰς οὐκ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἔχει οὐσιώδεις· ἀλλὰ τοὐναντίον, εἰ καὶ τοῦτο δοίη τις ἐνταῦθα, διότι διαφορὰς οὐκ ἔχει οὐσιώδεις, διὰ τοῦτ' ἴσως ἐστὶ καὶ ἀμερής. καί τοι ἐχρῆν κἀνταῦθα τεχνικῶς διελόντα πρότερον εἰπεῖν, ποτέρας τῶν οὐσιωδῶν διαφορῶν ἐνταῦθα λαμβάνει. τὰς μὲν γάρ φασιν εἶναι καθ' ἃς ἄνωθεν κάτω τὰ γένη διαιρεῖται εἰς εἴδη καὶ ταῦτα εἰς ἄτομα, ἢ μᾶλλον εἰπεῖν τὰ ὅλα εἰς μέρη (ὅλον γὰρ ἑκάτερον, τό τε γένος καὶ τὸ εἶδος, καὶ ὅσα οὑτωσὶ πρὸς ἄλλα διαιρεῖται), τὰς δὲ καθ' ἃς τὰ διαιρεθέντα εἰδοποιεῖται. ὅμως ἐξ ἧς ἐπιφέρει γραφικῆς μαρτυρίας, δῆλον ὅπως ποτὲ καὶ τοῦτο ποιεῖ, ὅτι τὰς διαιρετικὰς καὶ ἄνωθεν ἐκ τῶν φύσει προτέρων εἰς τὸ κάτω μεριζομένας πλῆθος ὁμολογεῖ, ἄκων μὲν καὶ ἀμαθῶς κατὰ τὸ αὐτόματον εἰπεῖν, ποιεῖ δ' οὖν. πληθύνεσθαι γὰρ τὸ τοῦ θείου φάσκει Μαξίμου τὸν θεὸν τὸ καθ' ἕκαστον εἰς παραγωγὴν τῶν ὄντων βουλήματα ταῖς προνοητικαῖς προόδοις πολλαπλασιαζόμενον, μένειν δ' ἀμερίστως ἕνα καθάπερ τὸν ἥλιον ἀκτῖνας πολλὰς προπέμ 3.361 ποντα, μένοντα δ' ἐν τῇ ἑνότητι· τὸ γὰρ πληθύνεσθαι τὸν ἕνα θεὸν ταῖς προνοητικαῖς προόδοις, τουτέστι τοῖς τε ἐγκοσμίοις καὶ ὑπερκοσμίοις θαύμασι, διαιρεῖσθαι καὶ μερίζεσθαί ἐστιν ἀναλόγως, συμμαρτυρεῖν κἀνταῦθά οἱ ψευδόμενος καὶ συκοφαντῶν τὸν θειότατον Μάξιμον. εἰς γὰρ ἕτερον τὴν ῥῆσιν μεταφέρει νοῦν, κακοτρόπως συγκυκῶν καὶ ἀναμοχλεύων. περὶ ἧς καὶ πλείω λέγειν καὶ ἐξετάζειν καὶ διδάσκειν κἀνταῦθα τὸν ἀμαθῆ βουλόμενος ἔγωγε προσήκοντα νῦν τὸν καιρὸν οὐχ ὁρῶ· ὅ τε γὰρ τῶν ἄλλων ἄνωθεν ἀνθέλκων εἱρμὸς οὐκ ἐᾷ διατρίβειν με, καὶ ἅμα πρὸς ἄτεχνόν τε καὶ κακότεχνον ψυχὴν οὐκ εἰσιέναι δύναιτ' ἂν ῥᾳδίως οὔτε γοῦν βραχύ τι τῶν εὐλόγων μέρος οὔτε μὴν ἐν βραχυτάτῳ μέρει χρόνου. Ὅμως ἵν' ἐκεῖθεν ἀναλάβωμεν ἐπανιόντες αὖθις τὸν λόγον, καὶ τῶν ἀτόμων οὐσιῶν ἑκάστη μία καὶ πρώτη καὶ ἀδιαίρετός ἐστι, καὶ κατ' αὐτό γε τοῦτο καὶ ἀμερής. οὔτε γὰρ εἴδει οὔτε ἀριθμῷ εἶναι καθ' αὑτὴν μεμαθήκαμεν οὐδεμίαν αὐτῶν· διὰ γὰρ τοῦτο καὶ ἀτόμους οὐσίας φαμὲν τὰ τοιάδε· ἀλλ' οὐσιώδεις ὅμως ἔχουσι διαφορὰς ἐν τῷ οἰκείῳ ὅρῳ. οὐδὲ γὰρ οὐδὲν οὔτε τῶν ὁριζομένων οὔτε τῶν διαιρουμένων ἢ μεριζομένων ὑφ' αὑτὸ τὰς οὐσιώδεις ἔχει διαφοράς, ἀλλ' ἄνωθεν κατιόντα δέχεται τὸν συντιθέντα ὁρισμόν, ἐκ γένους ὄντα καὶ συστατικῶν διαφορῶν· ὁριζόμενοι γὰρ τὸν ἄνθρωπον οὐ 3.362 τὰς ἀτόμους καὶ φύσει δευτέρας οὐσίας κάτωθεν ἀνιχνεύοντες λέγομεν, φέρε εἰπεῖν ἐκεῖνο δὴ τὸ ῥηθὲν ὑφ' Ὁμήρου "γυρὸς ἐν ὤμοισι, μελανόχροος, οὐλοκάρηνος," καὶ εἴ τί που τοιονδὶ ταῖς καθ' ἕκαστα καὶ μερικαῖς συμπέπτωκεν οὐσίαις· ἀλλὰ ζῶον εἶναί φαμεν λογικὸν θνητόν, νοῦ καὶ ἐπιστήμης δεκτικόν, ἐκ τῶν ἄνωθεν καὶ φύσει πρώτων δηλοῦντες αὐτόν, ἐπεὶ μήδε φαμὲν ἄνθρωπον εἶναι διὰ τὸ ἔχειν ὑφ' αὑτὸν Πλάτωνα καὶ Σωκράτην καὶ τὰς τοιαύτας, ὡς ἔφημεν, ἀτόμους οὐσίας καὶ ἀμερεῖς, ἀλλ' ὅτι διὰ τοῦ γένους τοῦ ζώου καὶ τῶν εἰρημένων συστατικῶν διαφορῶν εἰδοποιεῖται καὶ περιγράφεται καὶ εἰς ὡρισμένην καθίσταται φύσιν. ὁ δὲ Παλαμᾶς ἐξ ἀμαθίας μακρᾶς ἄνω ποταμῶν, τὸ τῆς παροιμίας, χωρεῖν τὰς πηγὰς ἀναγκάζει, λέγων ὡς ἐπεὶ μία καὶ ἀμερὴς ἡ τοῦ θεοῦ οὐσία, διὰ τοῦτο διαφορὰς οὐκ ἔχει οὐσιώδεις. καὶ μὴν τὸ ἐπεί σύνδεσμός ἐστι κατασκευαστικός, καὶ ὕπαρξιν καὶ τάξιν ἀκολουθήσεως αἰτιατικὴν δηλῶν, ἅτε συναπτικὸς τῶν ἑκατέρωθεν ἄκρων ὑπάρχων καὶ τὴν αἰτίαν ἔχων αὐτῶν. τούτῳ δ' οὕτω δι' ἀμαθίαν ἀνατεθόλωται τὰ εἰρημένα ὡς Κάλχαντός τινος δεῖσθαι μάντεως Ὁμηρικοῦ. ἀλλ' οὐδ' ἐκεῖνον οἶμαι δυνηθῆναι ἂν τῷ ἀνακολούθῳ τῆς θέσεως, εἰ παρῆν, τὴν λύσιν παρασχεῖν· πῶς γάρ, ἃ μηδ' αὐτὸν λύειν οἶμαι δύνασθαι τὸν ἐξ ἰδίας γαστρὸς ἐρευγόμενον τὰ τοιάδε. ἃ γὰρ αἰτιώδει λόγῳ τίθενται, ταῦτα δήπουθεν καὶ λόγῳ λύονται τοιῷδε, ἃ δὲ μή, ταῦτα δὲ μή. 3.363 Σκεπτέον οὖν ἂν εἴη καὶ τὴν ὑστέραν ταύτην ἀμαθίαν ἐπὶ τῇ προτέρᾳ αὐτοῦ· οὐδὲ γὰρ οἶδεν ὡς τῶν πρός τι ὂν τὸ αἴτιον ἅμα ἐστὶ τῷ αἰτιατῷ καὶ ἄνευ αὐτοῦ νοεῖσθαι οὐκ ἔχει, ἅτε σχετικήν τινα καὶ συνδετικὴν δύναμιν ταύτην πρὸς ἄλληλα τῶν ἄκρων ἐχόντων· οἷον ὡς ἐν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ὑποδείγματι βραχεῖ, πολλαχῶς λεγομένου τοῦ αἰτίου, ποιητικόν ἐστιν αἴτιον, ὡς ὁ οἰκοδόμος τοῦ οἴκου· τελικόν, ὡς ἡ σκέπη δι' ἣν ὁ οἶκος· ὑλικόν, ὡς λίθοι καὶ ξύλα ἐξ ὧν ὁ οἶκος· εἰδικόν, ὡς ἡ διατυπουμένη καὶ εἰδοποιουμένη μόρφωσις ἐν τῷ φανταστικῷ τοῦ τεχνίτου· παραδειγματικόν, ὡς ἕτερος οἶκος πρὸς ὃν ἀφορῶν ὁ τεχνίτης τὸ ἀνὰ χεῖρας ἔργον τελεῖ· φυσικόν, ὡς ὁ πατὴρ τοῦ υἱοῦ. εἰσὶ καὶ ἀλλήλων αἴτια, ὡς τῆς εὐεξίας τὸ πονεῖν καὶ τοῦ πονεῖν ἡ εὐεξία. λέγουσι δ' ἔνιοι τῶν σοφῶν καὶ τὴν τύχην κατὰ συμβεβηκὸς συναίτιον ἐνίοτε ἐν τοῖς κατὰ προαίρεσιν ἕνεκά του γινομένοις. τοσούτων τοίνυν καὶ πλειόνων ὄντων τοῦ αἰτίου εἰδῶν, καὶ πάντων σαφῆ τὴν πρὸς ἄλληλα κεκτημένων συνάφειαν, λεγέτω μοι παρελθὼν ἐκεῖνος ὑπὸ ποίων τούτων ἀνάγει τὴν τῶν αὐτῷ γε νῦν εἰρημένην σχέσιν. τριῶν γὰρ τοὐλάχιστον ὅρων ἐν τοῖς συλλογισμοῖς ἀεὶ λαμβανομένων, τὴν συνδετικὴν τῶν ἄκρων ἐξ ἀνάγκης ἔχειν ὁ μέσος αἰτίαν ὀφείλει. ἀλλ' οὐχ οὕτω καὶ τῇ τοῦ Παλαμᾶ δοκεῖ ἀμαθίᾳ· ὅμοιον γὰρ τὸ παρ' αὐτοῦ λεγόμενόν ἐστιν ὥσπερ ἂν εἴ τις ἔλεγεν ὅτι, ἐπείπερ ἡ χιὼν λευκή ἐστι, διὰ τοῦτο οὐκ ἔστιν αἰσθητικόν· ὡς γὰρ ἐνταῦθα 3.364 συνάφειαν μεταξὺ σχετικὴν οὐδεμίαν ἡ λευκότης ἔχει πρὸς τὸ αἰσθητικόν, ἀναγκαίως ἐφελκομένην τὰ ἄκρα πρὸς ἑαυτήν (ἑτερογενὲς γὰρ ἑκάτερον ἑκατέρου), οὕτως οὐδ' ἐκεῖ πρὸς τὸ τῆς οὐσίας ἀμερὲς τὸ ἥκιστ' ἔχειν οὐσιώδεις διαφοράς. ἔπειτα καὶ τὴν θείαν οὐσίαν διαφέρειν φάσκοντες τῶν τε ἐγκοσμίων καὶ ὑπερκοσμίων πασῶν οὐσιῶν, οὐδαμῇ τῷ ταύτης ἀμερεῖ ἐνοχλοῦμεν· ταύτης γὰρ τὸ ἀμερὲς οὐ κατὰ τὰς ἐν κόσμῳ ταύτας ἀτόμους ἐστὶν οὐσίας (ἠλίθιον γὰρ καὶ νοεῖν καὶ λέγειν τουτί), ἀλλ' ὅτι ἀσώματόν τε καὶ ἄογκον καὶ ἄναρχον καὶ ἀπερίγραπτον καὶ ὑπερούσιον καὶ πάντων ἥκιστα ὁρισμοῖς καὶ μερισμοῖς τεχνικοῖς ὑποπῖπτον, πλὴν εἰ μὴ διὰ τὴν τῷ θείῳ Βασιλείῳ συγκαταβατικώτερον μέν τινα τρόπον, ἐμφιλοσόφως δ' οὖν καὶ κατ' ἐπιστήμην ἐξενηνεγμένην ἀποφαντικὴν ῥῆσιν, ὡς ἐπὶ τῆς ἁπλῆς καὶ ἀσωμάτου φύσεως τὸν αὐτὸν ἡ οὐσία τῇ ἐνεργείᾳ δέχεται λόγον, φαίη τις ἂν ὁριζόμενος ὡς πρᾶγμά γε εἴη αὐθύπαρκτον ἡ οὐσία μὴ δεόμενον ἑτέρου πρὸς σύστασιν. ἐκείνῃ γὰρ μόνῃ τῇ θείᾳ καὶ ἁπλουστάτῃ φύσει τὸν τοιοῦτον προσήκειν φαμὲν ὁρισμόν, ἑτέρᾳ δ' οὐδεμιᾷ τῶν κτιστῶν ἁπασῶν. σύνθετοι γὰρ ἅπασαι, πᾶν δὲ σύνθετον ἐκ διαφόρων ἔχει τὸ εἶναι· ὧν ἕκαστα δεῖται ἀλλήλων. οὐκ ἂν οὖν ἀνενδεᾶ εἴη οὔτε τὰ μέρη οὔθ' ὅλον ἐξ ἐνδεῶν συμπληρούμενον. σαφῆ γὰρ τὴν ἀπόδειξιν ἔχει τοῦ πρὶν τῆς ἑκάστων ἐκείνων προσθήκης ἐνδεὲς 3.365 εἶναι. καὶ ἅμα ἀρχόμενον, οὐκ ἄρχον· ἡττᾶσθαι γὰρ ἀνάγκη οὗ δεῖται τὸ ἐνδεές. ᾧ δέ τι ἥττηται, τούτῳ καὶ δεδούλωται. ὃ δὲ δοῦλον, οὐκ ἂν εἴη κύριον οὐδ' αὐθύπαρκτον. οὐκ ἄρα, πλὴν μόνης τῆς θείας οὐσίας, τῶν ἄλλων οὐδεμιᾷ τὸ κυρίως ἁρμόττει αὐθύπαρκτον. οὐσιῶν γὰρ πεποιωμένων εἶναι ποιητὴν τὸν θεὸν ὁ θεῖός τε ἀπεφήνατο Μάξιμος, καὶ ἡ φύσις αὐτὴ διδάσκαλος ταῖς συνέσει διαφερούσαις αἰσθήσεσι γίνεται. μόνη γάρ, φησίν, ἁπλῆ καὶ ἀνενδεὴς καὶ ἄτρεπτος ἡ δημιουργικὴ τῶν ὅλων οὐσία τῆς ἁγίας τριάδος. πᾶσα δὲ κτίσις σύνθετός ἐστιν ἐξ οὐσίας καὶ ποιότητος. πᾶσα δὲ ποιότης ὑποκειμένης πάντως οὐσίας ἐστί, περὶ ἣν καὶ θεωρεῖται καὶ λέγεται, τὸ καθ' αὑτὴν εἶναι οὐδαμῶς ἔχουσα. διὸ καὶ δίχα ποιοτήτων ἀναλόγων ἑκάστοις οὐκ ἔστιν εὑρεῖν οὐδεμίαν οὐσίαν ὑφίστασθαι δυναμένην ἐν κόσμῳ. οἷον ὡς ἐπὶ ὑποδείγματος, εἴ τις ἀφέλοι, ἐνεργείᾳ μὲν οὐκ ἂν φαίην (ἀδύνατον γὰρ τουτί) ἐπινοίᾳ δ' οὖν ὅμως, λίθου τινός, ἢ μᾶλλον εἰπεῖν, τὰς τῆς χιόνος ἐμφύτους ποιότητας, τήν τε λευκότητα δηλαδὴ καὶ ψυχρότητα καὶ ὑγρότητα καὶ εἴ τι τοιοῦτον, εἶναι τὸ λειπόμενον πάντως οὐδέν. ὃ δ' οὐδὲν καθ' αὑτό, πῶς αὐθύπαρκτον; καὶ ἐπὶ τῶν ὄντων εὑρήσεις ἁπάντων ὁμοίως ἀεὶ καὶ πασῶν οὐσιῶν τουτοΐ. Ἔχεις τοίνυν, ὦ φίλε Θεότιμε, διὰ βραχέων ὁρᾶν τοὺς ἀκανονίστους καὶ πόρρω παντὸς κανόνος κανόνας τοῦ Παλαμᾶ, 3.366 καὶ τὰς ἀκαθέκτους καθέτους, καὶ τὴν ἀστάθμητον, ἵν' οὕτως εἴπω, στάθμην τῆς Λεσβίας οἰκοδομῆς, τοὺς ἀσυλλογίστους λέγω συλλογισμούς, ὁποίους δι'


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀμαθίαν πονηρῶν ἐξεμεῖ θησαυρῶν τῆς ἀτόπου γαστρὸς ἐκεῖνος, καὶ ὅπως κηλίδων μακρῶν καὶ ἀκαίρων ἐμπέπληκεν, οὖσαν ἀνενδεᾶ τε καὶ ὑγιαίνουσαν, τὴν εὐσέβειαν ὁ ταλαίπωρος, μάτην ἐκχέας κατὰ τὸν σοφὸν Σοφοκλέα τὴν ἄτοπον γλῶτταν αὐτοῦ κατ' αὐτῆς. οὔτε γὰρ ἐλεύθερον ἑαυτὸν τῆς ἐπενηνεγμένης αὐτῷ κατηγορίας φυλάξαι δεδύνηται, καὶ ἅμα φανερὸν ἐπεπράχει πολλῇ μὲν συζῶντα τῇ ἀμαθίᾳ, πλείονι δὲ τῇ τῆς αἱρέσεως κακοδοξίᾳ. διόπερ ἀκούει δικαίως ἃ μὴ βεβούληται, φράσας ἀδίκως ὅσα βεβούληται, οὐ μόνον ὅτι βέβηλος καὶ δυσσεβής, ἀλλ' ὅτι γε καὶ προῖκα βέβηλος καὶ δυσσεβής, καὶ πάντας δυσσεβεῖς τοῖς ἄγαν βεβήλοις νικῶν, καὶ πρεσβεῖον κακόδαιμον εἰς μοχθηρῶν πραγμάτων ὑπερβολὴν ἐκτιννὺς ἑαυτῷ. Καὶ περὶ μὲν τοῦ πρώτου σοι προτεθέντος ζητήματος ἀπόχρη τὰ εἰρημένα· περί γε μὴν τοῦ δευτέρου, τῆς Ἀθανασίου λέγω τοῦ θείου ῥήσεως, οὑτωσί πως ἀπήντησεν αὖθις ὁ Γρηγορᾶς, ἐπεξεργαζόμενος μὲν αὐτῷ διὰ μαρτυριῶν γραφικῶν, ἅμα δ' ἀναπληρῶν καὶ τὰ ἐνδέοντα τῷ προτέρῳ ζητήματι. οἶσθα γάρ, ὦ φίλε Θεότιμε, ἐν τῇ πρὸς Ἄρειον διαλέξει φάσκοντα Ἀθανάσιον ὡς οὐχ ἕνεκεν κτιστῶν πραγμάτων ἔφη ὁ σωτὴρ "πάντα ὅσα ἔχει ὁ πατήρ, ἐμά ἐστιν," ἀλλ' ὅσα ἀνῆκε τῇ θεότητι τοῦ πατρός, ταῦτα ἴδια ἔφη ὁ 3.367 κύριος, οἷον τὸ ἄφθαρτον, τὸ ἄτρεπτον, τὸ ἀκατάληπτον, τὸ δυνατόν, τὸ προγνωστικὸν καὶ ὅσα ἐστὶν ὁ πατήρ, ταῦτα ἴδια τοῦ υἱοῦ τυγχάνει. ἐνταῦθα τοίνυν ὁ Γρηγορᾶς τὸν μέγαν ἔφασκεν Ἀθανάσιον διὰ τῆς πληθυντικῆς ἀπαγορεύσεως, τῆς οὐχ ἕνεκεν κτιστῶν πραγμάτων, ἀναιρεῖν μὴ ὅτι οὐ κτιστά, ἀλλ' ὅτι οὐδὲ πράγματα. εἰ δὲ μὴ καὶ τὴν θέσιν τῇ ἀρνήσει ἐπήνεγκεν, ἥκιστα τοῦτο καινόν. φησὶ γὰρ καὶ ὁ μέγας ἐν θεολογίᾳ Γρηγόριος εἶναι πολλὰ τῶν οὕτω λεγομένων, ἀρνητικῶς μὲν οὐ θετικῶς δέ. ὡς τὸ "οὐ γὰρ ἐκ μέτρου δίδωσιν ὁ θεὸς τὸ πνεῦμα." οὔτε γὰρ δίδωσιν οὔτε μεμετρημένον· οὐ γὰρ μετρεῖται παρὰ θεοῦ θεός. καὶ οὕτως εὐθὺς ἀναιρεῖ προφανῶς ἐκείνους οἳ πολλά τε πράγματα καὶ ἅμα ἄκτιστα οἴονται τὰ θεοπρεπῆ τε καὶ κατὰ τὴν προφορὰν πολλὰ τῶν ὀνομάτων· οὐχ ἕνεκεν γάρ, φησί, πραγμάτων πολλῶν ἔφη ὁ σωτὴρ ἐκεῖνα τὰ πάντα. ἀδύνατον γὰρ μὴ κτιστὰ εἶναι, ἃ πολλά τέ ἐστι καὶ πληθυντικῶς λέγεται. μονὰς γὰρ ἡ θεία φύσις εἴτουν ἡ ἁγία τριάς, καὶ ἓν καὶ οὐ πολλά, ὡς πολλάκις ἡμῖν ἀνωτέρω διὰ γραφικῶν συνεπεράνθη δείξεων. φησὶ γὰρ καὶ ὁ θεῖος ἐκ Δαμασκοῦ Ἰωάννης, ὡς εἰ πολλοὺς ἐροῦμεν θεούς, ἀνάγκη διαφορὰν ἐν τοῖς πολλοῖς θεωρεῖσθαι. εἰ δ' οὐδεμία διαφορὰ ἐν αὐτοῖς, εἷς μᾶλλον καὶ οὐ πολλοί. οὐ γὰρ ἂν διέφερον ἀλλήλων τὰ διαφέροντα κατὰ τὸν θεῖον Μάξιμον, εἰ μὴ τῶν λόγων οἷς γεγόνασιν ἐχόντων διαφοράν· 3.368 οὔτε γὰρ τὸ τέλειον οὔτε τὸ ἄπειρον οὔτε τὸ ἀπερίγραπτον ἐν τοῖς πολλοῖς φυλάττεσθαι δύναται. Ὁρᾷς πῶς, ὅπου διαφορᾶς ὁ λόγος ἔννοιαν παρεισάγει, ἕπεται μὲν εὐθὺς τὸ πλῆθος, ἐλαύνεται δὲ τὸ ἓν μετὰ τοῦ τελείου καὶ ἀπείρου καὶ ἀπεριγράπτου καὶ ὅσα τῆς θείας οὐσίας ἴδια, μᾶλλον δ' ὅσα πέφυκέ τε καὶ ἔστιν ἡ θεῖα οὐσία; ὥσθ' ὅπου τὸ κυρίως ἕν, ὁ θεὸς δηλαδή, χώρα τοῖς πολλοῖς καὶ διαφόροις οὐκ ἔστιν οὐδ' ἡτισοῦν. οὐ γὰρ θέσιν τινὰ τὸ θεῖον ἐκεῖνο ἓν δηλοῖ, καθάπερ τὸ ἐν τοῖς κτίσμασι καταχρηστικῶς λεγόμενον καὶ ἐν τοῖς πολλοῖς θεωρούμενον ἕν. ὃ καὶ ἀρχὴν εἶναί φασι παντὸς ποσοῦ, καὶ πλὴν οὐσίαν οὐχ ὑφίστασθαι καθ' αὑτό, καὶ ἄνευ τοῦ ἑνὸς τούτου μὴ εἶναι πλῆθος. ἡ γὰρ μετάληψις τοῦ ἑνὸς καὶ τὸ εἶδος αὐτοῦ τὸ τῶν πολλῶν ὑφίστησι ποσόν. ὅθεν καὶ δεκὰς μία λέγεται, καὶ χιλιὰς καὶ μυριὰς καὶ τὰ ἔτι τούτων λεπτότερα, τετράς τε μία καὶ πεντὰς καὶ τὰ τοιαῦτα, καὶ ὅσα τῇ τοῦ εἴδους μετοχῇ ταυτίζονταί τε καὶ πρὸς τὸ ἓν ἀναφέρονται. καὶ γὰρ τὸ πολλὰ τοῖς μέρεσιν ἓν τῷ ὅλῳ, καὶ τὸ πολλὰ τοῖς συμβεβηκόσιν ἓν τῷ ὑποκειμένῳ, καὶ τὸ πολλὰ τοῖς εἴδεσιν ἓν τῷ γένει, καὶ τὸ πολλὰ ταῖς προόδοις ἓν τῇ ἀρχῇ. καὶ οὐ μόνον ἐπὶ τῶν διωρισμένων, ἀλλὰ καὶ τὰ συνεχῆ πάντα μεγέθη, εἰ φεύγει τὸ ἕν, εἰς πλῆθος κατὰ ἀντιπεπόνθησιν θρυπτόμενα, καὶ τὴν οὐσίαν ἣν εἶχεν ἀπόλλυσιν, οὐκέτι ὄντα ὃ ἦν. 3.369 καθ' ὅσον γὰρ τὸ ἓν ἀπόλλυσιν, ἀλλάσσει καὶ τὸ εἶναι τμηθέντα, διὰ τὸ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

εἶναι τὸ ἓν ἁπάντων στοιχείων ἑνωτικόν τε καὶ συλληπτικόν, ὁπόσα γένεσίς τε βόσκει καὶ φθορά. ἡ γὰρ ἑτερότης διαφορὰν τοῦ ὄντος εἰσάγουσα, πρὸς ἔννοιαν τοῦ μὴ ὄντος ῥᾳδίως ἐξίστησιν. οὐ μὴν τὸ θεῖον ἓν ἐκεῖνο τοιοῦτον· ποιητικὸν γὰρ τούτων συνθέτων ὄντων, ἁπλοῦν παντάπασιν ὂν ἐκεῖνο καὶ ὑπερκόσμιον. οὐδὲ θέσιν τοιάνδε δηλοῖ, ἀλλ' ἄρσιν ἐκ τῶν πολλῶν, ὅσα τε αἰσθητὰ καὶ ὅσα νοητά. εἰ γὰρ τὸ κυρίως ὂν ἕν, ἔσται ἄρα καὶ τὸ ἓν κυρίως ὂν καὶ νοῦ παντὸς ἐπέκεινα. τοῦ δ' ἑνὸς ἐπέκεινα τῶν πάντων οὐδέν. ὅθεν καὶ εἰκὼν ὁ νοῦς τοῦ ἑνὸς ἐκείνου λέγεται. εἶναι γὰρ καὶ τὸν νοῦν φῶς ἄυπνον καὶ ζωὴν μένουσαν καὶ νόησιν οὐκ ἐνεργοῦσαν εἰς τὸ μέλλον, ἀλλ' εἰς τὰ παρόντα ἀεὶ καὶ ὡσαύτως ἔχοντα, σύμφωνά τε ὄντα ἑαυτοῖς καὶ οὐδαμῇ ποτὲ μαχόμενα. πρὸς δὴ τὸ τοιοῦτον ἕν, τὸν θεὸν δηλαδή, πάντ' ἐκεῖνα τὰ πολλὰ τῶν ὀνομάτων κατὰ τὸν θεῖον φέρονται Ἀθανάσιον, ἅ τε πρότερον ἐν ἄλλοις εἴρηκε λόγοις καὶ ἃ νῦν, τὸ ἄφθαρτον δηλαδή, τὸ ἄτρεπτον, τὸ ἀκατάληπτον, τὸ δυνατόν, τὸ προγνωστικόν, καὶ ὅσα ἐστὶν ὁ πατήρ. ἃ καὶ ἴδια καὶ τοῦ υἱοῦ φησὶν εἶναι, εἴτουν φυσικὰ καὶ οὐσιώδη, μᾶλλον δ' εἰπεῖν αὐτὸν εἶναι τὸν υἱόν. ὅσα γὰρ προσεῖναι λέγεται τῷ πατρὶ φυσικῶς τε καὶ οὐσιωδῶς κατὰ τὸν θεῖον Κύριλλον, ταῦτα πάντα ἐστὶν ὁ υἱός. τὸ ἄρα ἄφθαρ 3.370 τον καὶ ἄτρεπτον καὶ ἀκατάληπτον καὶ δυνατὸν καὶ προγνωστικὸν καὶ ὅσα ἐστὶν ὁ πατήρ, ταῦτα πάντ' ἐστὶν ὁ υἱός. εἰ γὰρ καὶ περιφραστικῶς καὶ κατὰ τήν γε ἡμετέραν λέγοιτο συνήθειαν, ἀλλ' οὐ νόθα καὶ ἐπίκτητα τὰ τοῦ υἱοῦ ἴδια· ἓν γὰρ καὶ ταὐτὸν τῇ θείᾳ καὶ ἁπλουστάτῃ φύσει νοεῖται καὶ ἐστὶ καὶ λέγεται πάντα. ὅσα γὰρ ἀνήκει τῇ θεότητι, φησίν, ἑνικῶς καὶ μονοειδῶς, τῇ μιᾷ δηλαδὴ καὶ ἁπλῇ καὶ μόνῃ, ταῦτα κοινὰ καὶ φυσικὰ πατρὸς καὶ υἱοῦ καὶ ἓν καὶ ταὐτόν, ἐπεὶ καὶ θεότης μία, καθάπερ καὶ φύσις. συνηγορεῖ δὲ καὶ Κύριλλος ἐν θησαυροῖς Ἀθανασίῳ, ἴδιον υἱοῦ τὸ πνεῦμα λέγων. ὅρα δὲ καὶ πῶς ἐν τῇ προτάσει πληθυντικῶς εἰπὼν πάντα ὅσα ἔχει ὁ πατὴρ καὶ ὅσα ἀνῆκε τῇ θεότητι τοῦ πατρός, ἔπειτ' εἰς ἓν ἀγαγὼν συνεπέρανεν, οὐχ ὅσα ἔχει ὁ πατήρ, ἀλλ' ὅσα ἔστιν ὁ πατήρ. καὶ γὰρ ἀφελὼν τήν τε τοῦ ἔχειν περίφρασιν καὶ τὴν τῶν πολλῶν καὶ κτιστῶν πραγμάτων ὑπόνοιαν, οὐχ ὅσα εἰσὶν εἶπεν οὐδ' ὅσα ἔχει ὁ πατήρ, ἀλλ' ὅσα ἐστὶν ὀνομαζόμενος θεοπρεπῆ δηλαδὴ παρ' ἡμῶν ὀνόματα, ἅτε καὶ τῆς θείας οὐ προσιεμένης ἐκείνης ἁπλότητος πληθυντικήν τινα ὅλως ἔννοιαν. ὁρᾷς πῶς ὁ μέγας Ἀθανάσιος κατ' ἐπιστήμην εἰς τὸ ἓν συνεπέρανε τὸ πληθυντικῶς εἰρημένον "πάντα ὅσα ἔχει ὁ πατὴρ ἐμά ἐστιν," ἀπηγορευκὼς πρότερον μὴ περὶ πραγμάτων πολλῶν καὶ κτιστῶν οἴεσθαι λέγειν ἐκείνην τὴν θείαν φωνήν. περὶ γὰρ ἑκτοῦ καὶ ἔχον 3.371 τος καὶ ταὐτοῦ καὶ ἑτέρου καὶ τῶν τοιούτων μέμνησαι καὶ αὐτὸς ὡς ἀνωτέρω βραχὺ κατὰ χώραν ἑκάστῳ προσήκουσαν τεχνικὴν ἀποδέδεικται. Ἀλλ' εἰ βούλει, συνήγορος ἡμῖν καὶ ὁ θεῖος κεκλήσθω Βασίλειος, πάντα λέγων τὰ θεοπρεπῆ ὀνόματά τε καὶ νοήματα ὁμοτίμως ἔχει πρὸς ἄλληλα τῷ μηδὲν παρὰ τὴν τοῦ ὑποκειμένου διαφωνεῖν σημασίαν. ὅσα γὰρ ἄν, φησίν, εἴπῃς ἐπὶ θεοῦ ὀνόματα, καταφατικά τε δηλαδὴ καὶ ἀποφατικά, εἴτουν ἀπαγορευτικὰ καὶ ἀρνητικά, ἃ δὴ προσόντα τε καὶ μὴ προσόντα λέγεται πρὸς τῶν ἁγίων ἐνίοτε καὶ ἀλλαχοῦ, ἓν διὰ πάντων ἐστὶ τὸ σημαινόμενον, εἴτ' ἀγαθὸν καὶ δίκαιον καὶ τὰ οὕτω λεγόμενα καταφατικά, εἰτ' ἀθάνατον καὶ ἄφθαρτον καὶ τὰ οὕτω λεγόμενα ἀρνητικά. διὰ γὰρ ἐκείνων, ἃ προσεῖναι λέγονται, καταφάσκομεν, διὰ δὲ τούτων ἀπαγορεύομεν ἃ μὴ πρόσεστιν, ὡς αὐτὸς ἐν τοῖς περὶ θεοῦ λεγομένοις φησὶν ὀνόμασι κατ' Εὐνομίου φερόμενος. ὅθεν ὁ ἀνώνυμος πολυώνυμος ἡμῖν ἀποροῦσιν ὀνόματος τοῦ κυρίως ἁρμόττοντος γίνεται, πλείσταις διαφοραῖς ὀνομάτων ἀνακαλύψαι βιαζομένοις τὴν περὶ τοῦ θείου ἡμῖν ἐγγινομένην ὑπόνοιαν. ὄνομα γὰρ σημαντικόν, ὁ Νυσσαέων φάσκει Γρηγόριος, τῆς θείας φύσεως οὐκ ἐμάθομεν· δήλωσιν δὲ προσηγορίας τοιαύτης δι' ἧς ἐμπεριλαμβάνηται ἡ ἄφραστός τε καὶ ἀόρατος φύσις ἢ οὐκ εἶναι καθόλου φαμέν, ἢ πάντως ἡμῖν ἄγνωστον εἶναι. 3.372 καὶ ἔοικε τὸ τῶν θεοπρεπῶν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ὀνομάτων πλῆθος ταῖς ἐκ τῶν περάτων τοῦ κύκλου πρὸς τὸ κέντρον συναγομέναις εὐθείαις, μερισταῖς μὲν οὔσαις ἔξωθεν, τὸ δὲ κέντρον μερίσαι μὴ δυναμέναις, ἀλλὰ μᾶλλον, ὅσον ἐφικτόν, ἑνιζομέναις. ἐν γὰρ τῇ θεωρίᾳ, φησί, τῆς νοερᾶς φύσεως, διὰ τὸ ὑπερκεῖσθαι τῆς αἰσθητῆς αὐτὴν καταλήψεως, στοχαστικῶς τῆς διανοίας ὀρεγομένης τῶν ἐκφευγόντων τὴν αἴσθησιν, ἄλλοι ἄλλως κινούμεθά τε περὶ τὸ ζητούμενον, καὶ κατὰ τὴν ἐγγινομένην ἑκάστῳ περὶ τὸ ὑποκείμενον διάνοιαν, ὅπως ἂν οἷόν τε ᾖ, τὸ νοηθὲν ἐξαγγέλλομεν. ὁ δ' ἀμαθὴς Παλαμᾶς διὰ γνώμης ἀτόπου μοχθηροτέραν ἕξιν παρὰ φαῦλον τὰς τῶν ἁγίων ῥήσεις ποιησάμενος, τὴν τοῦ θεοῦ συνεκύκησεν ἐκκλησίαν, οὐκ οἶδ' ὁπότερον, εἴτ' ἄκων ἀγνοῶν τὴν ἐκείνων διάνοιαν, εἴθ' ἑκὼν βλασφημῶν καὶ ἐν ὑποκειμένοις καὶ διαφόροις πράγμασι, τὰ διάφορα τῶν πολλῶν ἐκείνων θεοπρεπῶν ὀνομάτων ἀσεβῶς ἐκλαμβάνων, καὶ πολλὰς καὶ διαφόρους ἐντεῦθεν ἀκτίστους κηρύττων θεοὺς καὶ θεότητας. οὐδὲ γὰρ οὐδὲ Γρηγορίου τοῦ Νύσσης, ὡς ἔοικε, βοῶντος ἀκήκοεν, ὡς ὅταν μὴ μίαν εἶναι τὴν προσκυνουμένην φύσιν πιστεύσωσιν οἱ ἄνθρωποι, ἀλλ' εἰς διαφόρους θεότητας ταῖς ἐννοίαις ἀπενεχθῶσιν, οὐκ ἔστιν ὃ στήσει τὴν περὶ τὸ θεῖον ὑπόληψιν προϊοῦσαν διὰ τῆς κτίσεως, ἀλλὰ τὸ νομισθὲν ἐν τῇ κτίσει θεῖον ἀφορμὴ πρὸς τὴν ἴσην ὑπόληψιν τῷ μετ' ἐκεῖνο θεωρουμένῳ γενήσεται, 3.373 κἀκεῖνο τῷ ἐφεξῆς, καὶ διὰ πάντων ἡ τῆς ἀκολουθίας ταύτης πλάνη διενεχθήσεται, τῆς πρώτης ἀπάτης διὰ τῶν παρακειμένων μέχρι τῶν ἐσχάτων διεξιούσης· εἶτα ὡς ἂν μὴ τοῦτο, φησί, πάθοιμεν καὶ ἡμεῖς οἱ πρὸς τὴν ἀληθινὴν θεότητα βλέπειν παρὰ τῆς γραφῆς διδασκόμενοι, πᾶν τὸ κτιστὸν ἔξω τῆς θείας φύσεως νοεῖν ἐπαιδεύθημεν, μόνην δὲ τὴν ἄκτιστον φύσιν λατρεύειν τε καὶ σεβάζεσθαι, ἧς χαρακτήρ ἐστι καὶ γνώρισμα τὸ μήτε ἄρχεσθαι τοῦ εἶναί ποτε μήτε παύεσθαι. Ὁρᾷς τὸ τῶν πατρίων θεσμῶν καὶ ῥήσεων ἀναμφισβήτητόν τε καὶ δυσαντίβλεπτον μετὰ πάσης εὐκρινείας ἅμα καὶ καθαρότητος προϊόν; μόνην γὰρ τὴν θείαν οὐσίαν καὶ φύσιν λατρεύειν τε καὶ σέβεσθαι παραινεῖ· ἃ δ' ἀνούσιά τε καὶ πολλὰ καὶ τῆς θείας φύσεως ἐκτός, τούτων οὐδὲν οὐδαμῇ μήτε προσκυνεῖν μήτε σέβεσθαι. πολέμια γὰρ ἀλλήλοις καὶ πάνυ μαχόμενα τῷ τε μόνῳ τὰ πολλὰ καὶ τῇ οὐσίᾳ τὰ ἀνούσια. δυοῖν γὰρ ἀνάγκη περιπίπτειν θατέρᾳ, ἢ τῇ τῶν ἀσεβῶν ἀθεΐᾳ ἢ καὶ τῇ τῆς Ἑλλήνων πολυθεΐας ἀσεβεστέρᾳ κακίᾳ, μεταξὺ κειμένην παρατρέχοντας τὴν εὐσέβειαν. ὡς καὶ τοῦτο πολλάκις ἡμῖν ἀνωτέρω καὶ διαρκῶς ἀποδέδεικται, τὴν μὲν τῶν Ἑλλήνων δηλαδὴ πολυθεΐαν βραχύν τε καὶ οὐκ ἄπειρον τὸν ἀριθμὸν κεκληρῶσθαι, τὴν δὲ τοῦ Παλαμᾶ πέρας εὑρεῖν οὐδαμῇ ποτέ, οὐκ οἶδ' ὁπότερον εἴποιμι ἂν 3.374 προσηκόντως, εἴτ' οὐ βούλεσθαι εἴτ' οὐ δύνασθαι· ἄμφω γὰρ αὐτῇ μεγάλην ἔχει χώραν ἅμα καὶ οὐχ ἅμα. ἃ γὰρ ἀμαθοῦς ὁμοῦ καὶ κακοτρόπου διανοίας ἀπορρεῖ, τούτων εἶναι μηδὲν ὃ μὴ κακίας ἀπόζει μακρᾶς ἰδίᾳ καὶ κοινῇ. Καὶ ταῦτα μὲν τῇδέ πῃ ἔσχε, καὶ τοῦτον εἰρῆσθαι τὸν τρόπον συμπέπτωκε τῷ Γρηγορᾷ περὶ τῶν δυοῖν ζητημάτων. 3.375 ΛΟΓΟΣ ΔΟΓΜΑΤΙΚΟΣ Γ. ΔΙΗΓΗΣΙΣ ΠΕΡΙ ΤΗΣ ΔΙΑΛΕΞΕΩΣ ΗΝ Ο ΓΡΗΓΟΡΑΣ ΜΟΝΑΧΟΣ ΝΙΚΗΦΟΡΟΣ ΕΠΟΙΗΣΑΤΟ, ΑΡΞΑΜΕΝΟΣ ΜΕΝ ΑΠΟ ΤΟΥ ΒΑΣΙΛΕΩΣ ΚΥΡΟΥ ΙΩΑΣΑΦ ΤΟΥ ΚΑΝΤΑΚΟΥΖΗΝΟΥ, ΤΕΛΕΣΑΣ ΔΕ ΑΥΤΗΝ ΠΡΟΣ ΤΟΥΣ ΑΥΤΟΥ ΠΑΛΑΜΙΤΑΣ. Εἶεν, ὦ φίλων ἄριστε Πρωταγόρα. τὰ μὲν δὴ μέχρι καὶ ἐς τόδε σοι εἰρημένα καὶ ἔγνων ἀκηκοὼς καὶ τῷ φανταστικῷ τῆς ἐμῆς ἀνάγραπτα ψυχῆς ἐπεπράχειν, μνήμης τε ἔαρ δημιουργῶν ὡς εἰπεῖν ἐμαυτῷ, καὶ ἅμα λήθης γῆρας οὑτωσί πως ἐπιτεχνώμενος. καί σοι χρεὼν εἰδέναι με χάριτας οὐ βραχείας, ὅτι μὴ καὶ μάλα πλουσίας ὁμολογοῦντα πρῶτον μὲν τοῖς διαλεκτικοῖς ἀγῶσι τοῦ Γρηγορᾶ, ὅτι πολεμουμένοις τοῖς τῆς εὐσεβείας δόγμασι τό γε εἰς αὐτὸν ἧκον ἀνθοπλίζε 3.376 ται συμμαχῶν ἀεί, ἔπειτα καὶ μεγαλονοίᾳ τῇ σῇ εὐφυῶς τε ἀναλεξαμένῳ τὰ χρειωδέστερα τῶν ἐκείνῳ λεχθέντων καὶ τράπεζαν ἡμῖν ἡδίστην αὐτὰ παραθέντι μεγαλοψύχως καὶ δίχα φορτικοῦ τινὸς ἤθους παντός. σὺ δ' εἰ βούλει, καὶ δευτέραν ἐμοὶ ταύτην ἔφεσιν πρὸς


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

θεοῦ τελεῖν προθυμήθητι. ἀκήκοα γὰρ καὶ Ἰωάσαφ τὸν προβεβασιλευκότα Καντακουζηνόν, ἀνιαθέντα λίαν ἐπὶ τῷ Γρηγορᾷ γραφαῖς καὶ ἱστορίαις μακραῖς δεδωκότι τὰ τῆς διαλέξεως ταυτησὶ καὶ ἀκοαῖς δημοσίαις ἐπ' αἰσχύνῃ τοῖς ἀμφὶ Παλαμᾶν δεδωκότι, ταῦτ' ἄρα μέρη τινὰ τῶν γραφέντων ἀναλαβόντα, λογίων ἀμαθῶν οἴκοι συγκροτῆσαι συνέδρια συνεχῆ, καὶ θεολόγους ἀλόγους χειροτονῆσαι, παιδείαν ἐξαίφνης ἀπαιδαγώγητον ἐμφυσήσαντα σφίσι, καὶ διαλεκτικῶν ἀνάδοσιν αὐθημερὸν οὑτωσὶ μηχανησάμενον αὐτοσχέδιον, καὶ οὕτως εἰπόντα δὴ καὶ ἀκούσαντα λοιδορίας παμπόλλους κατὰ τῶν τοῦ Γρηγορᾶ ῥημάτων καὶ λόγων ἐκείνων, ταὐτὸν δ' εἰπεῖν κατὰ τῆς εὐσεβείας ἄντικρυς αὐτῆς, ἔπειτα πλείοσι βιβλίοις αὐτὰ μετεγγράψαντα διανεῖμαι τοῖς αἱρεσιώταις, καὶ μυρμηκιὰν λοιδοριῶν ἐν γραφαῖς ἀσελγῶν τὴν ταχίστην προστεταχέναι γενέσθαι. ἑνὸς δ' ἐκεῖθεν καὶ ἡμίσεος ἐνιαυτοῦ τριβέντος, κενὸν καὶ ἀνήνυτον τὸ τῶν ἐλπίδων σφίσι θέρος ἐβλάστησε. καὶ τὰ τῆς παροιμίας ἀτεχνῶς ἑωρᾶτο· ὤδινε γάρ, φησίν, ὄρος καὶ ἔτεκε μῦν, καὶ ἄνθρακες ἦσαν αὐτοῖς οἱ προσδοκώμενοι θησαυροί. καὶ ὅσαι 3.377 τοῦ τοιούτου κόμματος ἦσαν παροιμίαι, χώραν ἔσχον τηνικαῦτ' ἐκλαλεῖσθαι· μετὰ γὰρ τοσοῦτον, ὡς εἴρηται, χρόνον ὀφθέντα τὰ ἐκείνων δυσσεβῆ καὶ πλείω τῆς ἀσεβείας τὴν ἀμαθίαν κεκτημένα λογάρια, μᾶλλον δ' εἰπεῖν ἀμβλωθρίδια, κατάγνωσιν μὲν τοῖς οἰκείοις, γέλωτα δὲ τοῖς ἡμετέροις ἐνεποίει μακρόν. διὸ καὶ βραχὺ φανέντα ὁμοῦ τῷ πληγέντι ἀέρι πρὸς τἀφανὲς ᾤχοντο ἀπιόντα. οὐ μὴν κόρος ἦν οὐδ' οὕτω τῆς κατασχούσης τοὺς δυσσεβεῖς κακίας οὐδείς, ἀλλ' ἑτέραν ἐφ' ἑτέρᾳ τρίβον τοῖς λογισμοῖς ἐβάδιζον. καὶ πασῶν ὀψὲ βελτίστη σφίσιν αὕτη νενόμισται. λόγοις γὰρ φιλικοῖς διὰ μέσων φίλων ἀνδρῶν ἀξιοῖ Γρηγορᾶν Καντακουζηνὸς οἴκαδε παρ' αὐτὸν ἀφικέσθαι πρὸς ἀνάμνησίν τε καὶ ἀνανέωσιν ἴσως τῆς προτέρας φιλίας ἐκείνης. καὶ ὃς νομίσας ἐπαγγελίαν ἐπανορθώσεως ἔχειν τὸ πρᾶγμα, αὐτός τε, ὡς φασίν, ἀφίκετο, καὶ σέ γε συνέκδημον ἦν ἐπαγόμενος. καὶ ἃ μὲν ἠκηκόειν αὐτὸς παρ' ὁτωνδήποτε, ταῦτ' ἐστίν· ἃ δ' ἑξῆς ἐγεγόνει, καὶ ὅπως καὶ ὅθεν τὰ τῆς διαλέξεως αὖθις ἀρξάμενα ὅπῃ συνεπεράνθη, ἡδέως ἂν παρὰ σοῦ πυθοίμην. Συνεληλυθότοιν ἀμφοῖν, ὦ φίλε Κλεόδημε, πρὸ δείλης ἑῴας ἐς τὸ μοναδικὸν τοῦ προβεβασιλευκότος Καντακουζηνοῦ φροντιστήριον, προσηνῆ μὲν καὶ ἠρέμα γλυκεῖαν ἔσχε τὴν ἀρχὴν τὰ τῆς ὁμιλίας, καὶ ὡς ἦν αὐτοῖς εἰωθὸς ἐκ πολλοῦ, ταραχῆς δὲ τὰ ἑξῆς καὶ θορύβου πάντα μεστὰ ἐγεγόνει πα 3.378 λινδρομήσαντα. ἀρξαμένου γὰρ βασιλέως τοῦ Καντακουζηνοῦ μεταξὺ τῆς ὁμιλίας τὸν Παλαμᾶν ἐπαινεῖν, τὸν λόγον εὐθὺς οἱ ἀμφ' αὐτὸν μονάζοντες ἄνδρες καὶ πλήρεις σοφίας ἁπάσης εἶναι οἰόμενοι, αὐτόν τε ἐθαύμαζον Παλαμᾶν καὶ τὰ ἐκείνου δόγματα πλέον ἢ κατὰ βασιλέα Καντακουζηνὸν ἀνύμνουν, ὡς καλῶς μὲν λέγοι περὶ ἐνεργειῶν ὅτι τε ἄπειροι καὶ διάφοροι μὲν τῆς θείας οὐσίας ἄκτιστοι δὲ καὶ ἀνούσιοι, ὡς καλῶς δ' αὖ καὶ περὶ τοῦ ἐν Θαβωρίῳ τῷ ὄρει γενομένου πάλαι φωτὸς ἀποφαίνεται ὅτι τε ἄκτιστον κἀκεῖνο καὶ διάφορος τῆς Ἰησοῦ θεότητος ἄλλη θεότης. ἀπήντησεν εὐθὺς ὁ Γρηγορᾶς ὀνειδίζων πῶς ἂν εἴποιμι σφίσι καὶ καθαπτόμενος τῆς ἀωρίας, ὅτι μηδὲ μετὰ τὴν τοῦ κυρίου παιδείαν συνιέναι ἔχουσιν, οὐδ' αἰδώς τις ἔπεισιν ὅτι μοναδικόν ἐστιν ὃ νῦν περίκεινται σχῆμα, ἀλλὰ περιφανῶς αὐτοῦ καταψεύδονται, ἀπᾴδοντα μὲν αὐτῷ ἀπᾴδοντα δὲ τῷ καιρῷ φθεγγόμενοι καὶ παίζοντες ἐν οὐ παικτοῖς. τό τε γὰρ σχῆμα μὴ μόνον θεολογεῖν οὐ προστάττει, ἀλλ' οὐδὲ φθέγγεσθαι δίδωσιν ἔξω τῆς ὀφειλομένης πρὸς θεὸν ὑμνῳδίας, ἐργάζεσθαι μὲν οὖν ἀεὶ ταῖς χερσὶν ὅση δύναμις. καὶ ἅμα τῶν πάλαι θείων ἐπεισῆγε μαρτυρίας ἀνδρῶν, δυσωπητικωτέρας οὔσας ἐκείνας, οἱονεί τινι πολιᾷ τὸ αἰδέσιμον ἐσχηκυίας διὰ τὴν τῶν εἰπόντων ἀρετήν τε καὶ ἀρχαιότητα. ἀκούομεν γάρ, φησί, καὶ Παύλου λέγοντος "αἱ χεῖρες αὗται διηκόνησαν ἐμοὶ καὶ τοῖς σὺν ἐμοί." πολυλογίαν δὲ καὶ ὁ τῆς μοναδικῆς πολιτείας δι 3.379 δάσκαλος Ἰωάννης κενοδοξίας καθέδραν εἶναι φησίν, ἀγνωσίας τεκμήριον, εὐτραπελίας χειραγωγόν,



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ψεύδους ὑπουργόν, κατανύξεως ἀφανισμόν, καταλαλιᾶς θύραν, τῆς κατ' ἀνθρώπων δηλαδὴ λοιδορίας, καὶ οὐδαμῇ τῆς κατὰ θεοῦ· τοῦτο γὰρ οὐδ' ἐπὶ νοῦν τῷ θείῳ ἐκείνῳ ἀφίκετ' ἀνδρί. ὁ γὰρ τὴν κατ' ἀνθρώπων λοιδορίαν οὕτω κολάζων πῶς οὐκ ἂν ἐξεπέπληκτο καὶ πρὸς ἀφωνίαν κατηνέχθη, λοιδορίας ἀκούων κατὰ θεοῦ; λοιδορία γάρ ἐστι κατὰ θεοῦ πάντως ἡ τῶν ἀμαθῶν ἄκαιρος θεολογία. καὶ τοῦτο δῆλον ἡμῖν ὁ Χρυσορρήμων αὐτίκα ποιήσει. ἐτίμησε γάρ σε ὁ θεός, φησίν, οὐχ ἵνα αὐτὸν ὑβρίζῃς· ὑβρίζει γὰρ αὐτὸν ὁ τὴν οὐσίαν αὐτοῦ περιεργαζόμενος. τούτοις ἐκεῖνοι τὸ εἰωθὸς ἀντεισῆγον ἐκεῖνο· εἶτα ἐρρῶσθαι φράσομεν, φησί, τὰς θεολογικὰς τῶν ἁγίων βίβλους ὡς ἂν εἰ ἐπ' οὐδενὶ χρησίμῳ τοῖς πεπονηκόσι γραφείσας; χαίρειν δ' ἐάσομεν τὸ θεῖον εὐαγγέλιον ὃ τὰς γραφὰς ἡμῖν ἐρευνᾶν παραινεῖ; Πρὸς ταῦτα ὁ Γρηγορᾶς οὑτωσί πως ἀπήντησεν. αἱρετικῶν μοι προφέρετε, ἄνθρωποι, ῥήματα. τίνων δὴ τούτων; ὧν τὴν ἄτοπον ἔρευνάν τε καὶ πολυπραγμοσύνην δημοσίᾳ τοῦ Χρυσορρήμονος ἐξελέγχοντος οὔπω γε ἠκηκόειτε, ὡς ἔοικεν. ἀκούσεσθε δὲ νῦν, καὶ εἰ μὴ πάνυ τι σφοδρῶς γε εἴη ὑμῖν πρὸς βουλήσεως, τὰς τῶν αἱρετικῶν ἀντιθέσεις συχνά τε κἀκ 3.380 τοῦ σύνεγγυς ἀνατρέποντος. ἀνάγνωθί σου, φησίν, τὴν ὁμολογίαν, αἱρετικέ. ὅτε προσῆλθες βαπτισθῆναι, τί εἶπες; καὶ ἐπὶ μὲν τῶν φρικτῶν ἐκείνων μυστηρίων τὴν πίστιν προσήγαγες, νῦν δὲ τοῦ θεοῦ πολυπραγμονεῖς τὴν οὐσίαν; ἀλλ' ὅρα τὶ πάλιν ὁ ἐχθρὸς ἀντιλέγει τῆς ἀληθείας· μὴ γὰρ ἀργοὺς ἡμῖν ὁ θεὸς δέδωκε λογισμούς; μὴ γὰρ ἁπλῶς εἰλήφαμεν τοῦ νοῦ τὸ κριτήριον; δεῖ καὶ λογισμοῖς ἐρευνᾶν τὴν πίστιν, καὶ μὴ ἀνεξέταστον εἶναι τὴν εὐσέβειαν. ἀλλὰ χρεών, φησίν, ἐχθρὲ τῆς ἀληθείας, τῆς ἐξετάσεως ὅρον εἶναι τὰ θεῖα λόγια καὶ τοὺς παρ' αὐτοῦ δοθέντας ἡμῖν τῆς εὐσεβείας κανόνας. σὺ δ' ὑπερβαίνων βιάζῃ τὴν ἀλήθειαν. καὶ ὅρα πάλιν τίνας ὁ αἱρετικὸς ὑποφέρει λόγους. οὐχ εὑρίσκομεν, φησίν, τὴν πίστιν ἀσφαλῆ πανταχῇ. εὑρίσκομεν γὰρ τὸν Ἀδὰμ ἀπὸ τῆς πίστεως πεσόντα. ὅρα δὲ καὶ τοῦ Χρυσορρήμονος τὴν ἀνθυποφοράν. βλέπε, φησί, πάλιν τοῦ πονηροῦ δαίμονος τὰ ῥήματα τοῦ πάντα τολμῶντος. ἀλλ' οὐχ ὁ πιστεύων τῷ τυχόντι πιστός, ἀλλ' ὁ θεῷ πιστεύων ἀληθῶς. μὴ γὰρ ἔδειξας ὅτι θεῷ πιστεύσας ἀπώλετο; διαβόλῳ πιστεύσας ἀπώλετο, θεῷ ἀπιστήσας ὠλίσθησε. τούτοις μὲν δὴ οὖν τοῖς ῥήμασι τὸν αἱρετικὸν ἐπεστόμισε τότε· μὴ μόνον δ' οὖν, ἀλλὰ καὶ ὅσοι ἐκεῖθεν ἐς τόδε ταὐτὰ τοῖς αἱρετικοῖς ἐκείνοις προφέρουσιν ἕτεροι, τοῖς αὐτοῖς τοῦ Χρυσορρήμονος ἅπαντες βέλεσι πλήττονται. 3.381 Τούτων δ' οὕτω λεγομένων ἤρξαντό τινες τῆς ἐφεδρείας ἐπεισιέναι. σύνηθες γὰρ τουτὶ Καντακουζηνῷ προλοχίζειν ἐφεδρείας ἐν τοῖς τοιούτοις καὶ Τελχίνων τοιούτων ἐπιφέρειν ἐξ ἀφανοῦς στρατόπεδα, αὐτῷ μὲν συμμαχίαν, τοῖς δ' ἀντιθέτοις ἔκπληξιν· ὧν ὁ πρῶτος καὶ μάλιστα πάντων ὁμόψυχός τε καὶ ὁμογνώμων καὶ πάντα στεργόμενος ἀνελάμβανεν εὐθὺς τὰ τοῦ ἐν Θαβωρίῳ τῷ ὄρει φωτὸς ἐκεῖνα, καὶ ἐλοιδόρει τὸν ὑπὲρ Χριστοῦ καὶ τῶν θείων τῆς ἐκκλησίας δογμάτων μυρία παθόντα δεινὰ Θεόδωρον, ὃς πρὸς τῶν εἰκονομάχων μετὰ πλείστας πρότερον καὶ διαφόρους κολάσεις καθάπερ ἀμνὸς κατὰ γῆς ἐκταθεὶς ἀκμαῖς σιδήρων ἐστίζετο γραφόμενος ἅπαν τὸ πρόσωπον, ἔμενε δὲ τὴν ψυχὴν ἀκλινής, ἕως εἰς ἐξορίαν ἀπενεχθεὶς τῷ ἀδεκάστῳ δέδωκεν αὐτὴν ἀθλοθέτῃ θεῷ. ἐλοιδόρει δ' ἐκεῖνον ὅτι βοηθῶν ὀρθοδόξοις βιβλία κατὰ τῶν εἰκονομάχων ἀφῆκε τῷ βίῳ, τὴν ἐκείνων τότε ἐξελέγχοντα δυσσέβειαν, νῦν δὲ τὴν Παλαμικήν, ἐκ μιᾶς ἀρξαμένων ἀμφοῖν προφάσεως, τοῦ ἐν Θαβωρίῳ λέγω τῷ ὄρει φωτός, ὡς δειχθήσεται πλατύτερον προϊόντος τοῦ λόγου. καὶ ποία τοῦτον, ἔφασκεν, οἶδεν ἐκκλησία; καὶ τίς αὐτοῦ ποτὲ μνήμην πεποίηται τῶν ἡμερῶν; καὶ πολλὰ τοιαῦτα συνείρων τὴν τῶν βλασφημιῶν ἐπήνεγκε κορωνίδα, ὅτι πάνθ' ὅσα βιβλία πεποιῆσθαι λέγεται κατὰ τῶν εἰκονομάχων αὐτῷ αἱρέσεων γέμει μακρῶν. καὶ εἰ μὲν ἕτεροί τινες ὑποβολιμαῖα πα 3.382 ρεισενέγκαντες τὸ αὐτοῦ γε ἐπέγραψαν ὄνομα, ἀνέγκλητος μὲν ἔσται αὐτός, τὰ δὲ βιβλία οὔ· εἰ δ' αὐτοῦ τῷ ὄντι βεβαίως εἰσίν, ὁμοῦ τοῖς βιβλίοις ἄρα ἀπόβλητος



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

καὶ αὐτὸς καὶ τοῖς ἄλλοις αἱρετικοῖς ἐναρίθμιος. Τοσούτων οὖν καὶ οὕτω μεγέθους ἀσεβείας ἐχόντων λόγων αὐτήκοος ὁ Γρηγορᾶς γεγονὼς σφόδρα τε ἐξεπλάγη καὶ ἄφωνος ἔμεινεν ἄχρι καὶ ἐς ὥρας μακρόν τι διάστημα. ἔπειτα θυμοῦ καὶ ζήλου θείου μεστὸς γεγονὼς τοιάδε, στραφεὶς πρὸς τὸν Καντακουζηνόν, φησί. τί μου τὸ γῆρας οὐκ ἐᾷς ἠρεμεῖν, ἀλλ' ἐπιβουλεύεις ἀεί; τί με ταῖς σαῖς ἀεὶ μερίζων αἱρέσεσιν οὐκ ἐνάρκησας οὐδ' ὀψὲ τῆς ἡλικίας τῆς σῆς καὶ τῆς νῦν βαρυδαίμονος τύχης; τί μ' ἄλλοτ' ἄλλοθεν ὡς ἐκ λόχμης καὶ δρυμοῦ προσβάλλων, οὐ τολμᾷς κατὰ μέτωπον ἄντικρυς τὸν σὸν ἐπιφέρειν πόλεμον, ἀλλ' οὐκ ἔστιν οὔθ' ὅθεν οὔθ' ὅτε μὴ τὴν σήν μοι προσάγεις ἀτέκμαρτον πεῖραν; τί κατὰ τῶν θείων δογμάτων ἄλλοτ' ἄλλους ἐγείρεις Ὀλύμπους καὶ Παρνασοὺς βλασφημίας αὐτομαθοῦς καὶ ὀψιμαθοῦς; τί κατὰ τῶν θείων πατέρων χαράδρας ἀνορύττεις ἀεὶ καινοτέρας καὶ μόνῃ τῇ σῇ παρευρημένας αὐτοθελεῖ ἐπινοίᾳ; τίνα τοῦτον ἐξ αὐτοσχεδίου τῷ θείῳ ἐκείνῳ πατρὶ καὶ σοφῷ διδασκάλῳ τῆς ἐκκλησίας νέον ὁπλίζεις Ἀρχίλοχον ἢ μᾶλλον Ἀρχιλόχου πίθηκον, ὃς πρὶν ἢ μαθεῖν ἄπονον οἴεται 3.383 εἰληφέναι ταμίαν σοφίας τὴν Ἡσιόδου δάφνην, καὶ μόνῃ θελήσει τὸ δογματίζειν ἁλώσιμον. ἢ οὐκ ἀκούεις, τί ταῦτ' ἐπὶ σοῦ τὸ σχετλιώτατον τοῦτο καὶ μεμηνὸς ἀνδράριον ἐξηρεύξατο; ἆρ' ἀνεκτὰ ταῦτ' ἀκοαῖς λόγῳ καὶ διανοίᾳ διοικουμέναις; φθέγξαι τι πρὸς ταῦτα, ἵνα γνῶμεν εἰ μὴ ὁμότροπον τρέφεις γοῦν ἐν τούτοις καὶ αὐτὸς τὸ τῆς γνώμης βουλόμενον. ἡ γὰρ σὴ σιωπὴ σφαλεροῦ συνειδότος ὑποψίαν ἀνειληφυῖα πολλάς, οἶμαι, ἐγερεῖ κατὰ σοῦ τὰς τῶν λοιδοριῶν τρικυμίας. ἦ γὰρ οὐκ αὐτὸς ἑαυτοῦ τε καὶ τοῦ σφετέρου θιάσου παντὸς ἄντικρυς καταμαρτυρεῖ καὶ τῶν ἀσεβειῶν ἐπιψηφίζεται τὴν μεγίστην; ὃν γὰρ πᾶσαι διαρρήδην τιμῶσιν εὐσεβῶν ἐκκλησίαι, καὶ ὃν ὑμνοῦσι λογογράφων καὶ μουσουργῶν ὁσίων χοροὶ κατὰ πᾶσαν χρόνου περίοδον, καὶ οὗ τοὺς ἄθλους καὶ τὰ σοφὰ παλαίσματα διὰ πάσης ἠχῆσαι γῆς διαγέγονε, τοῦτον οὗτος ἰσχυρίζεται μὴ εἰδέναι, ἀλλ' εἰς τόδ' ἡλικίας παντάπασιν ἀμφότερον διαμεῖναι, καὶ τυφλὸς τῶν γινομένων καὶ κωφὸς τῶν λεγομένων, ὅμοιον ὥσπερ ἂν εἰ καὶ περὶ τοῦ παγκοσμίου τοῦδε φωτός, τῆς ἡλιακῆς ἐκείνης λαμπάδος, ἀγνοεῖν διετείνετο εἴ τις εἴη τῶν ζώντων ἀπολαύων αὐτοῦ. δυοῖν γὰρ ἕπεται θάτερον· ἢ γὰρ εἰωθὸς ὂν τοῖς αἱρεσιώταις αὐτοῦ καὶ νόμιμον συνάξεων ἀπέχεσθαι καὶ πάσης ἱερᾶς ὑμνῳδίας ὡς τὰ πολλά, τῶν ἱερῶν διὰ τοῦτο 3.384 λογίων ἀμύητος καὶ αὐτὸς τὸ παράπαν διατετέλεκεν, ἢ συνιὼν μὲν ἐνίοτε τύχης ἐλαυνούσης τινός, ἔπειτα τοῖς ἄλλοις ἐκεῖ συμπαρὼν μέν, οὐχ ὁρῶν δὲ θεοτήτων ἀκτίστων σμῆνος ἀπείρων, πρόσχημα τὴν σύστασιν καὶ οὐχ ἑκουσίῳ δρᾷ διανοίᾳ καὶ γνώμῃ, τὸν προφανῆ τῆς κακίας ἔλεγχον δεδιώς· διὸ καὶ ὁρῶν οὐχ ὁρᾷ καὶ ἀκούων οὐκ ἀκούει. οὐδὲ τῶν λεγομένων ὅλως ἐπαΐει, ὡς γίνεσθαι σαφὲς ἐπ' αὐτοῦ τὸ λεγόμενον πρὸς τῆς γραφῆς "ἀκοῇ ἀκούσεται καὶ οὐ συνήσει, καὶ βλέπων οὐ μὴ ἴδῃ· ἐπαχύνθη γὰρ ἡ καρδία αὐτοῦ." Πολλῶν δ' ὅμως ὄντων οἳ τὰ ἐκείνου λαμπρῶς ἐπ' ἐκκλησίας ὑμνοῦσιν ἁπάσης, ὁπόσαι γῆν τε καὶ θάλασσαν διαλαχοῦσαι τὸ εὐσεβὲς ἐφαπλοῦσι κήρυγμα, καίριον εἶναι δοκεῖ μοι νῦν ἀπολεξαμένῳ πρὸς μέσον ἕνα που καὶ δύο παραγαγεῖν, καὶ δεῖξαι τουτῳῒ τἀνδρί, καὶ εἴ τινες εἶεν τὸ ἠλίθιον αὐτῷ παραπλήσιοι, ἐξ ὀνύχων τὸν λέοντα κἀκ τοῦ κρασπέδου τὸ ὕφασμα, τὰς τοῦ προκειμένου λέγω μάρτυρος ἀθλήσεις, ὅσας τε καὶ οἵας ὑπὲρ φύσιν, ἐν ὅροις μένων τῆς φύσεως, ἐκαρτέρησε πάσχων ἐκεῖνος, καὶ πρός γε τὸ μέγεθος τῆς σοφίας μεθ' ἧς ἀντιλέγων τὰς τῶν εἰκονομάχων ἐνστάσεις ἀράχνης δίκην διέλυε. καὶ πρῶτος μὲν ὁ πάσας σχεδὸν τὰς τῶν ἐξόχων ἁγίων μνήμας δι' αἰῶνος ἀκοαῖς εὐσεβῶν παραπέμψας, καὶ πᾶσαν πανήγυριν τοῖς οἰκείοις λόγοις κοσμήσας τε καὶ πνευ 3.385 ματικῆς ἐμπεπληκὼς εὐφροσύνης, μεταφραστὴς Συμέων ἐκεῖνα λεγέτω, παρεληλυθὼς ἡμῖν ἐνταυθοῖ. μετὰ γὰρ τὸ τὰς πολλὰς ἐκείνας κολάσεις καὶ τιμωρίας διεξελθεῖν, ὁποίας καὶ ὅσας ἐκαρτέρησε πάσχων ὁ γενναῖος τότε Θεόδωρος, κἀκείνων ἐπιτροχάδην μέμνηται οὓς ἀντεπῆγε λόγους



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

πανσόφους τοῖς τῶν εἰκονομάχων τότε σοφοῖς καὶ τυράννοις τρισὶν ἐφεξῆς τὴν διαδοχὴν κατ' αὐτοῦ κληρουμένοις ἐν ἔτεσι πέντε καὶ εἴκοσι, λαμπρῶς παρρησιαζόμενος καὶ τὴν τῶν θείων διδάσκων εἰκόνων τιμήν, καὶ διασαφῶν τὰ τοῦ δόγματος, καὶ τὰ ἐκείνων προβλήματα καθαιρῶν ἐν δυνάμει λόγου καὶ πνεύματος, ὡς θαυμάζειν μὲν τὸν βασιλέα, φησίν, θωπεύειν δ' ἐπιχειρεῖν, ἄνδρα τοσοῦτον ἐπὶ σοφίᾳ ὑποποιήσασθαι προθυμούμενος, δι' οὗ πολλῶν ἐν βραχεῖ περιέσεσθαι ἤλπισεν· ἔρωτι γὰρ ἁλῶναι βασιλέα φησὶν ὁμόφρονα τοῦτον ἔχειν, ἢ πάντως ἄρχειν οὐδὲν αὐτῷ διαφερομένων. μάρτυρας δ' εἶναί φησι τῆς αὐτοῦ σοφίας καὶ τῆς πρὸς τυράννους ἐνστάσεως ἃς ὑπὲρ εὐσεβείας ἐκεῖνος ἐξέθετο βίβλους, διασωζομένας ἀεὶ προνοίᾳ θεοῦ, πολύτιμον οἷς εὐσεβεῖν ἐστι θέλησις θησαυρόν. οὐ μόνον δὲ ἀλλὰ καὶ τάδε διέξεισι. τοῦ σώματος ἤδη καταξανθέντος, φησί, ταῖς μάστιξιν αἵματί τε τοὔδαφος ἐπιχρώσαντος, ὡς οὐδεμίαν αἴσθησιν αὐτὸς ὑπομείνας τῶν ἀλγεινῶν, εἱστήκει γυμνὸς ἐν μέσῳ τοῦ βήματος, ὥσπερ τινὶ κόσμῳ ταῖς πληγαῖς ἐγκαλλωπιζόμενος, καὶ θέατρον οὕτω καὶ 3.386 ἀγγέλοις καὶ ἀνθρώποις κατὰ Παῦλον γινόμενος. τίς δ' ἀπαριθμεῖσθαι, φησί, δυνηθείη ἂν τὰς φυλακάς, τὰ ναυάγια, τὸν λιμόν, τὰς ἡλιακὰς ἐκκαύσεις, τὰς νυκτερινὰς ψύξεις, τὰς ἐπιβουλάς, τὰς ἐπαναστάσεις, τοὺς καθ' ἡμέραν θανάτους, τὰς αὖθις ἐπὶ πληγαῖς πληγάς, τοὺς ῥαβδισμοὺς καὶ τὰ ἐπὶ κόρρης ῥαπίσματά τε καὶ στίγματα; τέλος δέ φησιν γήρᾳ καὶ νόσῳ, πρὸς δὲ καὶ κακοπαθείᾳ τῇ ἐκ φρουρᾶς πιεζόμενος ἐν αὐτῇ τῇ φρουρᾷ θεῷ τὴν ἑαυτοῦ ψυχὴν παρατίθησιν, ἄμωμον μὲν τῇ πράξει τὸν βίον ἄπταιστον δὲ τῇ εὐσεβείᾳ τὸν λόγον διατηρήσας, καὶ ἀνεπίληστον τῆς αὐτοῦ μαρτυρίας μνήμην καταλιπών. λέγεται δέ, φησί, καί τινα τῶν γερόντων κατ' ἐκεῖνο καιροῦ πολλῷ τῆς εὐσεβείας ζήλῳ φερόμενον ὑπεριδεῖν μὲν καὶ βασιλικῆς ἀπειλῆς, ἀφειδῆσαι δὲ καὶ αὐτῆς τῆς ζωῆς, ἵνα πίστει τῷ τοῦ μακαρίου προσπεσὼν λειψάνῳ χάριτος ἐκεῖθεν μετάσχοι· καὶ εἷς τῶν ᾀδόντων γενόμενος καὶ αὐτὸς κατὰ τὸν τῆς ἐκδημίας ἐκείνου καιρόν, ἐβεβαιοῦτο μετὰ ταῦτα ὡς εἴη τότε φωνῆς ἄνωθεν ψαλλόντων ἡδίστης καὶ θαυμασίας ἀκούων, εἴτε τις ἀγγελικὴν ἐννοήσειε ταύτην, εἴτε τινὰ ἄλλην νεύματι θεοῦ γενομένην. θεῷ δῆλον ἂν εἴη, καὶ ὅσοις τὰ τοιαῦτα διορᾶν ἄξιον. καὶ κεῖσθαί φησι τὸ ἱερὸν τοῦ ἁγίου σῶμα θαύμασιν ἀφθόνοις διὰ παντὸς σεμνυνόμενον καὶ πᾶσι τοῖς προσιοῦσι παρέχον ῥῶσιν ψυχῆς, ῥῶσιν σώματος, καὶ ἁπλῶς εἰπεῖν παθῶν παντοίων ἀπαλλαγὴν εἰς δό 3.387 ξαν θεοῦ τοῦ σωτῆρος Χριστοῦ. καὶ ταῦτα μὲν περὶ τῆς Θεοδώρου σοφίας καὶ τῶν θαυμάτων ὁ θεῖος διέξεισι μεταφραστὴς ὡς ἐν τύπῳ εἰπεῖν καὶ σκιωδῶς πως τὴν δήλωσιν τοῖς μὴ συνιεῖσιν ἀφοσιώσασθαι. ὅ γε μὴν Θεοφάνης ὁ μέγας τῆς ἐκκλησίας φωστὴρ καὶ αὐτὸς τοὺς καθ' ἑκάστην καὶ πᾶσαν ἡμέραν τοῦ χρόνου παντὸς πάντως σχεδὸν ἁγίους, ὅσοι πρὸς αὐτοῦ θεῷ καθιερωθέντες δρόμοις ἀσκητικοῖς ὁμοῦ καὶ μαρτυρικοῖς ἀπήλλαξαν, μέλεσιν οἰκείοις αὐτοῦ σοφωτάτοις ὑμνήσας λαμπρῶς τε καὶ διαρκῶς, ὁ Θεοδώρῳ τῷ θείῳ ἐκείνῳ μάρτυρι καὶ σοφῷ διδασκάλῳ τῆς τοῦ θεοῦ ἐκκλησίας, ὡς εἴρηται, γενόμενος ἅπαντα ἀδελφὸς καὶ ψυχὴν καὶ σῶμα καὶ γνώμην καὶ ἄθλησιν καὶ συμπαρὼν καὶ συμπάσχων αὐτῷ, ἐπεὶ τοῖς μεγίστοις ἐκείνοις ἐκείνου συναπελθόντος ἄθλοις μόνος τῷ βίῳ περιελείφθη, ἀπελαθείσης ἤδη καὶ τῆς εἰκονομαχίας προνοίᾳ θεοῦ τοῖς τούτων ἀγῶσιν ἐπικαμφθέντος, κοσμεῖ καὶ τοῦτον τοῖς ἑαυτοῦ μέλεσιν, ἐκεῖνα περιᾴδων καὶ ἀριθμούμενος ὧν αὐτόπτης ἦν αὐτὸς καὶ συναθλῶν καὶ μάρτυς γινόμενος ἀξιόπιστος. Ἀλλὰ τῶν καλῶν εἶναί μοι κἀνταῦθα δοκεῖ βραχέα πρὸς ἔνδειξιν παραθεῖναι τῷ λόγῳ, καὶ τῶν τῷ ἁγίῳ ἐπενεχθεισῶν τήμερον ὕβρεων πρὸς τοῦδε τοῦ δυσμενοῦς ὑπέρτερον δεῖξαι παντάπασιν. φησὶ γὰρ πρὸς τὸν γενναῖον καὶ 3.388 θεῖον ἐκεῖνον καὶ πάνσοφον ἄνδρα ὁ γενναῖος ἐκεῖνος καὶ ὁμότροπος ἀθλητής "τὸν τίτλον τῆς σῆς ὄψεως ἰδόντα παραχωρεῖ τὰ χερουβὶμ τοῦ ξύλου τῆς ζωῆς, ἡ δὲ φλογίνη ῥομφαία εὐλαβῶς τὰ νῶτά σοι δίδωσι, πάνσοφε Θεόδωρε." καὶ πάλιν "ὁ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τίτλος πάλαι μὲν τῇ κορυφῇ ἐπέκειτο τοῦ βασιλέως Χριστοῦ, ἐγγεγραμμένος ξύλῳ τοῦ σταυροῦ· ὁ δὲ σὸς τίτλος, πάνσοφε, τῇ σῇ κεκόλαπται κεχαραγμένος ὄψει εὐκλεέστερον." καὶ πάλιν "ὑψωθεὶς ἐπὶ σταυροῦ πάλαι Χριστὸς ἐκεντήθη τὴν πλευράν· σὺ δὲ τεθεὶς ἐν ξύλῳ καρτερῶς τὰς κεντήσεις ὑπέμεινας, ὥσπερ κριὸς ἐπίσημος, ἱερομύστα, σφαγιζόμενος." ἐγὼ δὲ πάμπολλα λέγειν ἔχων τοιαῦτα καὶ μείζω τούτων, οὐ βούλομαι τοῖς ἀκούειν ἥκιστα βουλομένοις δοκεῖν ἐπαχθής· οἷς γὰρ τὸ ἀρκοῦν οὐκ ἀρκεῖ, τούτοις ἀρκέσει τῶν πάντων οὐδέν, οὐδ' ἂν εἴ τις νικήσας τὴν ἀνθρωπίνην φύσιν βροντώδη φθέγγηται. ὅπου γὰρ τοσούτων ὑπὲρ αὐτοῦ βοώντων διὰ πάσης τῆς οἰκουμένης ἀνὰ πᾶν ἔτος καὶ χρόνου παντὸς περίοδον, καὶ ὃν οὑτωσί πως ὑμνοῦσιν ἄνθρωποι μὲν ἀπὸ γῆς καὶ θαλάσσης καὶ πάσης ἑῴας καὶ ἑσπερίου λήξεως, καὶ ᾧ τὰ διὰ Χριστὸν ὑπὲρ εὐσεβείας στίγματα τὸ χερουβὶμ αἰδεσθὲν τοῦ ξύλου παραχωρεῖ τῆς ζωῆς, καὶ ᾧ τὰ νῶτα δίδωσιν ἡ φλογίνη ῥομφαία, τοῦτον οὐκ εἰδέναι φησὶν ὁ ταλαίπωρος οὑτοσί, τίς ἂν γένοιτο μηχανὴ τῆς ἀμηχάνου καὶ λιθίνης αὐτοῦ καθικέσθαι ψυχῆς δυναμένη; ἐμοὶ μὲν οὖν 3.389 πολλή τις καὶ ἀτέκμαρτος ἐνταυθοῖ περικέχυται ἀπορία, οὐχ ὅπλων ἀντιρρητικῶν ἀπουσίᾳ (μυρία γὰρ ἡμῖν ἀμυντήρια πρόκειται τὴν τοῦ λόγου κατάλυσιν ὑπισχνούμενα)· ἀλλ' ἐπειδὴ τὸ γνῶναι νόμον κυρίου διανοίας ἐστὶν ἀγαθῆς, ᾧ πάντως διάνοια μὲν ἥκιστα πρόσεστιν ἀγαθή, μακρὰ δ' ἀωρία τῶν αὐτοῦ λογισμῶν κατορχεῖται, τούτου νόμος οὐδεὶς οὐδὲ παιδεία κυρίου καθικέσθαι δυνήσεται ποτέ. εἰ γὰρ κατὰ μὲν τὴν νοερὰν ψυχὴν λεγόμεθα ἄνθρωποι, ζῶα δὲ κατὰ τὴν αἰσθητικήν, καὶ πρός γε ζῶντα κατὰ τὴν θρεπτικήν, ᾧ μὴ κατὰ τοὺς τῆς νοερᾶς ψυχῆς κανόνας καὶ νόμους ἐξεγένετο ζῆν, ἐγὼ μὲν οὐκ ἂν εἴποιμι τίνι τοῦτον κλήρῳ προσνεμηθῆναι χρεών, λεγέτω δ' ὅστις οὐ ῥάθυμον ἔχει γλῶτταν ἀποφαντικοὺς περὶ τῶν πάνυ προδήλων ἀποδισκεύειν λόγους. ὥστ' εἰ κἀμοὶ φορτικόν τι δοκεῖ καὶ σφόδρα ἀνάξιον θρασεῖ καὶ νωθρῷ τὴν διάνοιαν ἀντιλέγειν ἀνδρί, οὐδέν, οἶμαι, καινὸν οὐδ' ἐκστατικὸν τοῦ καθήκοντος εἴη ἄν, ἀλλὰ καὶ σφόδρα τῶν προσηκόντων ὅρων ἐντός. Ὁ μὲν οὖν Γρηγορᾶς τοιαῦτα εἰπὼν καὶ οὑτωσὶ προοιμιασάμενος, ἔπειτα μακροὺς ἐπὶ τούτοις διεξῆλθε λόγους, ἐλέγχων μὲν τὰ φρυγανώδη καὶ νέα τῶν ἀντιθέτων δόγματα, καὶ ταῖς ἀναμφιλέκτοις ἀποδείξεσι βάλλων κατὰ σκοπὸν ὡς ἀπὸ εὐκύκλου τόξου καὶ στερροῦ, ὑπερμαχῶν δὲ τῶν θείων τῆς ἐκκλησίας δογμάτων, καὶ ὅσοι ταυτὶ καλῶς συνέθεντο 3.390 θεῖοι πατέρες, καὶ μάλιστα πάντων τοῦ θείου ἐκείνου ἀνδρός, Θεοδώρου φημὶ τοῦ γράπτου, εἰς ὃν ὁ θρασὺς ἐκεῖνος καὶ πόρρω παιδείας ἁπάσης βαδίζων ἐξύβρισεν ἄνθρωπος. ἐπεὶ δ' ἐπὶ τὸ χεῖρον ἐκραγεῖσαν ἤδη τὴν τῆς βλασφημίας εἶδεν ὑπερβολήν, καὶ ἅμα θυμοῦ καὶ μανιώδους γλώττης οὐ πόρρω τὸ ἦθος ἐκείνων, ἀνέστη τε εὐθὺς καὶ ἀπῄει, χαίρειν φράσας αὐτοῖς πρὶν καὶ παραβολώτερόν τι ἀκοῦσαι καὶ παθεῖν ὑπὸ σφῶν παρὰ προσδοκίαν ὡς ἐν δικτύῳ μόνος περικλεισθείς, τοῖς αἰθερίοις παραπλησίως πτηνοῖς, οἳ τὴν αἰθέριον ἐκείνην καὶ φυσικὴν ἐλευθερίαν ἀφέμενοι πρὸς δίκτυα καὶ βρόχους αὐτομολοῦσιν ἐθελονταί, σχεδίῳ καὶ φαντασιώδει πλάνῃ ἑαυτοὺς ἐπιρρίπτοντες δι' ἁπλότητα, πρὶν αἰσθέσθαι τε καὶ σκέψασθαι καὶ πρὶν μαθεῖν ἃ χρὴ παθεῖν. Ἐξιὼν γε μὴν ἐκεῖθεν ἐνετύγχανε παρὰ τὴν ὁδὸν σποράδην ἄλλοτ' ἄλλοις τῆς Παλαμικῆς φατρίας, ἐπὶ τὸ τοῦ Καντακουζηνοῦ βαδίζουσι φροντιστήριον, ὑπ' ἐκείνου πρὸ τῶν ἑωθινῶν αὐτῶν δι' ἀποστόλων κρυφίως κληθεῖσι πρὸς διαλεκτικὴν σύνοδον πάλαι μελετηθεῖσαν κατὰ τοῦ Γρηγορᾶ, ἐπαγγελίας προειληφόσιν ἐκεῖθεν παρ' αὐτῷ τὴν ἡμέραν ἐκείνην διατελέσειν ἅπασαν. ἐθαύμαζον οὖν ἐκεῖνοι παρὰ προσδοκίαν αὐτὸν ἀπιόντα ὁρῶντες ἀρτίως τὸν Γρηγορᾶν, τοῦ ἡλίου τὰς πρωινὰς ἀνύοντος ἔτι πορείας. καὶ τοίνυν ἔνιοι τούτων κατόπιν δραμόντες ἠρώτων τῆς οὕτω ταχείας ἐπανόδου τὴν αἰτίαν. 3.391 ἀρξαμένου δ' ἐκείνου καθ' ἕκαστα διηγεῖσθαι, ἔρως κατέσχεν αὐτοὺς ἕπεσθαί τε καὶ ἀντιλέγειν ὅσα εἰδέναι σφίσιν ἐπῄει τῇ κοινότητι τῆς φατρίας



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ὁμόλογα καὶ ὁμόστοιχα. ἐπεὶ δὲ καὶ παρὰ τὴν οἰκίαν ἤδη τῷ Γρηγορᾷ συνεληλύθεσαν, τὸ συνεχὲς ἐκείνης τῆς διαλέξεως πλατυτέρᾳ γλώττῃ διήνυον καὶ τὴν νόσον τῆς δυσσεβείας εἰς προὖπτον ἐξῆγον. καὶ ἦν ἰδεῖν τῆς νόσου χαλεπώτερον τὸ νοσεῖν ἐφίεσθαι. ἃ γὰρ ᾔδεσαν, οὐ καλῶς ᾔδεσαν, καὶ ἃ προύφερον, ἀπῆν αὐτῶν ἡ σὺν εὐκοσμίᾳ πρόοδος. τῶν γὰρ βιβλίων ἀνοιγομένων εὐθὺς ἃ πάλαι τοῖς θείοις πατράσιν ἐκτέθειται, ἠναγκασμένης τέχνης δεῖσθαι τὴν ἀλήθειαν οὐκ ἔτι ἐνῆν· αὐτόματος γὰρ ἐκ τοῦ ῥᾴστου πρὸς φῶς ἐβάδιζεν ὁ τοῦ ψεύδους ἔλεγχος. οἷς οὖν ἀνέλεγκτα ψεύδεσθαι ἥδιστον, τούτοις ἀψευδῶς ἐλέγχεσθαι ἔχθιστόν τε καὶ Ὀλύμπων ἁπάντων βαρύτερον. δυσανασχετοῦντες ἐβόων παγγλωσσίᾳ κόρακες ὣς κατὰ Πίνδαρον, ἵνα μὴ λέγω δίκην κολοιῶν ἀσήμοις κραυγαῖς παταγούντων καὶ ὁμιχλώδη τινὰ τὸν ἀέρα τῇ ἀκοῇ καὶ πάνυ τι δύσηχον παρασκευαζόντων. ἃ πάντα κατ' ἐμαυτὸν ἀνακυκλῶν καὶ ἀνελίττων ἐγώ, καὶ διευθύνειν καὶ ἀναφέρειν ἐθέλων εἰς τὸν εἱρμὸν ἐκεῖνον καὶ συνάπτειν εἰς ἓν τὰς ἐκδρομὰς καὶ ἀναστροφὰς ἐκείνας καὶ ἀναλήψεις τῶν καθ' ἕκαστα ἐπιχειρημάτων τε καὶ ἐργασιῶν, καὶ ὅσαι κατ' ἔνστασιν ὑποφοραὶ καὶ ἀνθυποφοραὶ καὶ λύσεις ἐξ ἀνάγκης ἕπονται τουτοισί, λίαν ἐργῶδες ὁρῶ καὶ ἀνα 3.392 χωρῶ πρὸς ἐμαυτόν, τὸ τῆς σιωπῆς ἀσπαζόμενος ἄπραγμόν τε καὶ ἀνεπίφθονον. Μή μοι τοιαῦτα λέγε καὶ πρότεινε, φίλων ἄριστε Πρωταγόρα. μίαν γὰρ οὐδεμίαν οὐδετέρῳ φέρει τὴν ὄνησιν τὰ τῆς σιωπῆς. ἐμοί τε γὰρ ἐπιεικῶς ἀφόρητον τὴν ζημίαν κομίζει, καὶ ὅσοι λίχνον κατ' ἐμὲ περὶ τὰ βελτίω τὴν ἀκοὴν ἐξέθρεψαν. σοὶ δ' ὅσον ἀπειλεῖ τῆς ψυχῆς τὸ πρᾶγμα τὸν κίνδυνον, αὐτός τ' ἂν εἰδείης ἐξετάσει καὶ βασάνῳ τελεωτέρᾳ διδούς, καὶ ἅμα συλλογιζόμενος πῶς μὲν τῶν ἀντιθέτων αἰσχυνεῖς τὰς γλώττας λέξας τὰ καίρια, πῶς δὲ τῶν ἡμετέρων ἐπιρρώσεις τὰς φρένας, ἀμφιρρεπεῖς ἐνίων ἐνιαχοῦ γινομένας δι' ὀλιγομαθίαν ἴσως· οὐ γὰρ ἄν ποτε φαίην κἀγὼ κατ' ἐνίους τὴν νόσον καλοῦντας ἀγκυρῶν ὀρφανήν τινα οἴησιν, εὐχερῶς ἐφ' ἑκάτερα ταλαντευομένην, ὁλκάσι παραπλησίως, ἃς ταραχώδεις ἀγκάλαι θαλάττης ἀπολαβοῦσαι νυκτὸς ἀλιμένοις ἀκταῖς καὶ χωρίοις ἐπέρριψαν. ἔπειτα οὐδὲ φορτικός τις ἐγώ σοι φανοῦμαι, πάντα καθ' ἕκαστα λέγειν ἐκεῖνα καὶ ἀπαράλλακτα τήμερον τὴν ἀνάμνησιν ἐπάγων· ἁπλῆς γάρ τινος ἀφηγήσεως ἀκροατὴς καὶ ἀπεριέργως γενέσθαι ἐφίεμαι, κατὰ τὸ ἐν Πυθοῖ λόγιον τοῦ ἄγαν αὐτός τε ἀεὶ φειδόμενος, καὶ οἷς ἀεὶ ξύνειμι φείδεσθαι παραινῶν. φέρε τοι νῦν τὰ τῆς γλώττης πρυμνήσια λύσας, εὐρυτέραις ὀθόναις δίδου τὸν πλοῦν, ἀκοαῖς χαιρούσαις ἐντυχών, κρηπῖδα στερρὰν ὑποβαλλομέναις τὸν τῶν λεχθησομέ 3.393 νων πόθον. ὃ δὴ κράτιστον ὁρμητήριον εἰς ἄγαλμα φιλοτιμίας γλώττῃ σύν γε προθυμίᾳ λέγειν ἐθελούσῃ τε καὶ πρὸς τὰ ἐρρωμένα τῆς διηγήσεως ἀφορώσῃ καθίσταται. Ἐγὼ δέ σε τῆς τῶν λόγων οἰκονομίας καὶ τῆς τῶν τρόπων χρηστότητος πολλάκις θαυμάσας, ὦ φίλε Κλεόδημε, νῦν μᾶλλον ἢ πρότερον τὴν εἰς βραχὺ συνωθουμένην σοι τῶν λόγων ἄγαμαι πειθώ. ταῦτ' ἄρα καὶ μὴ λυπεῖν ἐθέλων ὃν θεραπεύειν εἱλόμην σέ, ἐρῶ μέν, μέτρια δ' ἐκ πολλῶν, καὶ ὅσα ἀναγκαῖα τῇ χρείᾳ καὶ τῷ καιρῷ, σῆς τε ὠφελείας ἕνεκα καὶ ἅμα τῶν σοι παραπλησίως αἱρουμένων ἀκούειν ταυτί. εἰ δὲ κάλλους ἐκείνου γυμνώσας τὴν φράσιν παντὸς διά τε σὲ καὶ ὅσοι κατά σε, ἐστενωμένην καὶ ἁπλουστέραν προθείην σοι τὴν ἀφήγησιν, ἀναξίως μὲν τῆς τῷ Γρηγορᾷ καθηκούσης δόξης παντάπασι δρῶν, ἀναξίως δ' εἴ τις εἴη κἀμοὶ σύντροφος γνώμη τε καὶ παιδεία, ὥρα σοι ἐννοεῖν τίνα ποτὲ καὶ ὅσην τὴν σὴν ἐν τοῖς τῆς ἐμῆς καρδίας τεθησαύρισμαι κόλποις φιλίαν. εἰ δὲ καὶ μὴ οὐ κατὰ τὸν σὸν ἀπαντῴη σκοπὸν ὁ λόγος, σὲ δ' ἀνεμέσητον ἐμοὶ τὴν πρόθεσιν τῆς ψυχῆς σου φυλάττειν χρεών. τὸ μὲν γὰρ ὑπὸ τύχης ὡς τὰ πολλὰ τυραννεῖσθαι συμβαίνει, ἄλλοτ' ἄλλα κεκτημένης καὶ ἀσύμφωνα τὰ ἐφόδια· τὸ δέ, ἀλλὰ καὶ τοῦτο μόνην τὴν προθεσμίαν καὶ πρώτην κίνησιν τῆς ψυχῆς ὡς ἐπὶ πλάστιγγος ἀρρεποῦς τε καὶ θεοπρεποῦς ταλαντεύεσθαι ἀξιοῖ. 3.394 Περὶ μὲν οὖν τῶν ἄλλων ὅσα σοι ἐχρῆν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀκοῦσαι, διεξεληλυθότος ἐμοῦ γε ἀκήκοας ἄνωθεν ἄχρι καὶ ἐς δεῦρο τὸν ἐφικτόν γε τρόπον· περί γε μὴν τῶν ἐν Θαβωρίῳ τῷ ὄρει πάλαι θαυματουργηθέντων εἰ λέγειν ἐπιχειροίην, πολλή μοί τις ξενοδοχεῖν ἀπειλεῖ δυσχέρεια, εὐθὺς πρὸ πυλῶν τὰς ἑαυτῆς ἐφαπλοῦσα παγίδας καὶ ὅσα δήπου τὰ τῆς κακίας ἔνεδρα. οὐχ ὅτι κατὰ τοὺς ὀρθοὺς τῆς φύσεως λόγους προσεῖναι τῇ ὑποθέσει συμπίπτει δυσχερές· καὶ πάνυ τι γάρ ἐστι ῥᾴδιον τὰς τῶν ἁγίων ἡμῖν προκομίσασι μαρτυρίας, δυσαντίβλεπτον ἔχουσας τἀληθές, ἀπηλλάχθαι πραγμάτων. ἀλλ' οἱονεί τινες ἑαυτοὺς προλοχίσαντες ἡμῖν εὐθὺς ὁδοστάται δύο τινὲς πρὸ ποδῶν ἑτέρωθέν ποθεν, ἐξ ἀπροσδοκήτου τινὸς καὶ ζοφώδους χαράδρας, ἐξαίφνης ἐπιδραμόντες τό τε ἀνήνυτον ἐπισείουσι καὶ τὸ ἄπραγμον ἰσχυρῶς ἀφαιρεῖν ἐπαγγέλλονται. τό τε γὰρ περὶ θεοῦ λέγειν οὐσίας καὶ φύσεως, καὶ ὅρια κινεῖν διὰ τοῦτο πατέρων σιγῆς μὲν ἔχεσθαι προτρεπομένων ἐνταῦθα θεολογίας δ' ἀπέχεσθαι, καὶ τό γε πρὸς ἰδιώτιδας ἐξάγειν ἀκοὰς τὰ τοιάδε, γέλωτα ἡγουμένας τὰ τίμια καὶ μηδὲν τοῦ κενοδοξεῖν ὑπέρτερον τιθεμένας μηδὲ τοῦ τὰ ἐκ κοιλίας ἀνέδην λαλεῖν, καὶ κριτήριον αὔθαδες ποιεῖσθαι τὸ τῆς ἀμαθοῦς διανοίας καὶ γλώττης πάνυ τι ἀταμίευτον, ταῦτα δ' ἔμοιγε πολὺν ὑπισχνεῖται τὸν κίνδυνον, μὴ ὅτι γε τῆς ψυχῆς, ἧς μηδὲν τὸν πάντα κόσμον ἀντάξιον εἶναι τὰ θεῖά φησι παραγγέλ 3.395 ματα, ἀλλὰ καὶ τῆς ἡμῖν συντρόφου παιδείας καὶ εὐλαβείας ἐν τοῖς τοιούτοις· μηδὲ γὰρ εἶναι μηδέτερον ἀνδρῶν ἀσφαλῶς τε καὶ ἀπραγμόνως ζῆν αἱρουμένων. ἥκιστα οὖν σε χρεών, ὦ φίλε Κλεόδημε, λογισμοὺς ἐπὶ σαυτοῦ κινεῖν πολὺ τὸ μεμφόμενον καθ' ἡμῶν ὠδίνοντας, εἰ μὴ κατὰ τοὺς ἐκ φαρέτρας τὰ βέλη πέμποντας καὶ ἡμεῖς ἀπερισκέπτως τὰ προστυχόντα θαρροίημεν φθέγγεσθαί τε καὶ οἷον ἀποδισκεύοντες διδόναι τὰ ἅγια τοῖς κυσὶ καὶ τοὺς μαργαρίτας τοῖς χοίροις. τότε γάρ που τὴν σιγὴν ἀποσειομένους λέγειν ἴσως εἶναι χρεών, ὅτε μὴ μέλλοι τις ἄξια λέγειν σιγῆς, ἐκ τῆς τῶν πραγμάτων βιαίας ἀνθολκῆς καθελκόμενος. ὅτε δὲ μακρὰ τὸν λόγον καὶ ἀτέκμαρτα περικλύζειν ἐπαγγέλλεται κύματα καὶ πολυειδῆ καὶ διάφορον τῶν θορύβων ἐπάγειν τὴν ἅλμην, τότε δὴ πολλῷ τινὶ βέλτιον ἄφθογγον ἢ φθεγγόμενον κεκτῆσθαι τὴν γλῶτταν. τὸ γὰρ αὐτὸ Θαβώριον ὄρος καθάπερ εἰκονομάχοις δέδοται πάλαι τῆς αἱρέσεως πρόφασις, οὕτω δὲ καὶ Παλαμᾷ τουτωὶ καὶ ὁπόση τις εἴη σύννομος αὐτῷ φατρία κοινοπραγοῦσα τὰ δυσσεβῆ καὶ παράνομα καὶ τῶν ἱερῶν τῆς ἐκκλησίας ἐξορχουμένη θεσμῶν, οἱονεί τινος ἀκράτου βαφῆς κατασχούσης εἰς βάθος αὐτοὺς τῆς κακίας. πλὴν εἰ μή τις ἀπαντῴη λέγων πολλοῖς ταυτηνὶ καὶ μοχθηροτέροις νοσήμασιν ὑπερβάλλειν ἢ κατ' ἐκείνην τὴν τῶν εἰκονομάχων αἵρεσιν, καὶ πλείονος διὰ ταῦτα δεῖσθαι τῆς ἐξετάσεως ἐκείνων 3.396 ταυτὶ καὶ μακροτέρων πολλῷ τῶν ἐλέγχων ἢ κατ' ἐκείνους. ἐκείνοις μὲν γὰρ ἑνὸς τουτουὶ καὶ μονοειδοῦς σκανδάλου τὸ πρᾶγμα γέγονε πρόφασις, δι' ὃν κακῶς τῷ καλῷ προσκεκρουκότες τῆς ἀληθείας ἑκόντες ἐξώσθησαν, πρὸς εἰκονομαχίαν ῥᾳδίως ἐκκυλισθέντες. οὗτοι δ' οὐ μόνον μόνου τοῦ πάθους ἐκείνου μετέσχον τε ἅμα καὶ ὑπερέσχον, ὡς εἴρηται, ἀλλὰ καὶ κακίαν ἄλλην ἐπὶ κακίᾳ προσεπεδαψιλεύσαντο πολυειδῆ καὶ πολύμορφον. τίνα δὴ ταύτην; τὴν τῶν Εὐχιτῶν δηλαδὴ καὶ Μασαλιανῶν, ὧν τὸ τῆς γνώμης σαθρὸν καὶ ἀμφισβητήσιμον καὶ ἅμα τὸ τῆς πίστεως ἄπιστον οἱ θεῖοι τῆς ἐκκλησίας διδάσκαλοι πάλαι κατεγνωκότες ἡμᾶς ἀπέχεσθαι παρηγγυήσαντο. τούτων γὰρ οἳ μὲν ἀσέμνῳ λογισμῷ καὶ γλώττης ἀκρασίᾳ αὐτὴν ὁρᾶν φασὶ τοῦ θεοῦ τὴν οὐσίαν, αὐτοῖς ὁμιλοῦσαν ἀμέσως ἅμα καὶ οὐχ ὃν ἐκείνη τρόπον καὶ ὅτε βούλεται, ἀλλ' ὃν αὐτοί· οἳ δὲ τὸ τῆς θείας οὐσίας ἁπλοῦν τε καὶ μόνον ἄκτιστον ἀθετοῦντες παντάπασιν ἀπείροις τε διαφόροις θεότησιν ἀκτίστοις κατατέμνουσιν. καὶ σιωπῶ τὰς ἀθεμίτους καὶ δαιμονιώδεις πράξεις αὐτῶν διά γε δήπου τὸ μὴ ὅτι γλώττῃ γε προφέρειν, ἀλλὰ καὶ ψιλῇ τινὶ ἐπινοίᾳ μεμνῆσθαι λίαν αἰσχρόν· λεκτέον δ' ὅμως τὰ τοῦ θείου Μαξίμου περὶ αὐτῶν εἰρημένα, ἐξηγουμένου τὸν ἱερὸν Διονύσιον. φησὶ γὰρ ὅτι τριετίαν μόνον ἄκρως ἀσκήσαντες, 3.397



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀδιαφοροῦσιν ἐπὶ τοσοῦτον τὸν λοιπὸν τῆς ἑαυτῶν ζωῆς χρόνον ὡς πᾶσαν ἀτοπίαν πράττειν ἀδεῶς, μοιχείαις ἀσελγείαις γαστριμαργίαις ἀλληλογαμίαις καὶ ἁπαξαπλῶς ἐν πάσαις ἀσωτίαις ἐγκυλινδούμενοι, τὰ τοιαῦτα πράττειν ἀπαθῶς τερατεύονται, ἀναισθήτως νοσοῦντες τὴν ἐμπάθειαν, καὶ ἀναλγήτως ὑφ' ἑαυτῶν πάσχοντες καὶ τῶν ἐν αὐτοῖς οἰκούντων δαιμόνων, ὥσπερ οἱ φρενίτιδι κατεχόμενοι νόσῳ. Εὑρήσει δ' ὁ βουλόμενος περὶ τούτων κἀν τῷ ὅρῳ τῶν πρακτικῶν τῆς ἁγίας καὶ οἰκουμενικῆς τρίτης συνόδου, καὶ ὁμοίως τῆς ἑβδόμης, ὅπως τε ἐκπομπεύουσι καὶ ἀναθεματίζουσι τὰς μυσαρὰς αὐτῶν ἐργασίας, καὶ ὅπως τοὺς αὐτοὺς Μασαλιανούς τε καλοῦσι καὶ Μαρκιωνιστάς. ἀρκέσουσι δ' ἔτι καὶ νῦν ἐς δήλωσιν ἄλλα τε πλεῖστα μαρτύρια καὶ σαφῆ, καὶ πρό γε πάντων οἱ ἐκ τοῦ Ἄθω τοῦ ὄρους καὶ δὶς καὶ τρὶς καὶ πολλάκις ἐληλυθότες πεπαρρησιασμένοι καὶ ὕπαιθροι τόμοι, τὰ τούτων αἰσχρὰ καθ' ἕκαστα παριστῶντες. ἀλλ' εἰ μὲν τοῦτ' ἦν ὁ τῆς ἡμῶν εὐσεβείας καὶ πίστεως ὅρος, εἰδέναι πῶς Θαβὼρ καὶ Ἑρμὼν ἐν τῷ ὀνόματι κυρίου ἠγαλλιάσαντο, καὶ εἰς τοῦτ' ἀνάγκης ἦν τὸ περιιστάμενον τὰς ἐκεῖ θαυματοποιίας εἰδέναι καὶ ταύταις τῆς προσκυνήσεως νέμειν τὸ κράτιστον, πρῶτον μὲν σοφῶν ἀνδρῶν ἐδεῖτο πρὸς ἔρευναν τἀσφαλοῦς ἀκριβῆ, καὶ οὐδὲν ἂν ἦν ἀδικώτερον κατὰ τὸν εἰπόντα τῆς ἡμετέρας πίστεως, εἰ τὸ πλέον εἶχον οἱ σοφοί, καὶ οὐκ ἐπ' ἴσης τοῦ σώζεσθαι 3.398 πᾶσι μετῆν ὁμοφύλοις καὶ ὁμογνώμοσι τὴν εὐσέβειαν, εἴτε τῶν σκυτέων τις εἴη καὶ σκαπανέων καὶ εἴ τις τῶν σοφιστῶν. δεύτερον δ' εἴποιμι ἂν ὡς εἰ βίαιόν τι καὶ ἀναπόδραστον τὸ τῆς ἀνάγκης ἐνταυθοῖ περιίστατο τρόπαιον, περὶ πολλοῦ μέντ' ἂν καὶ αὐτός, μᾶλλον δὲ τοῦ παντὸς ἐποιούμην τὸ λέγειν ἐνταῦθα, ἐμαυτοῦ τε προμηθούμενος, ὡς μὴ διαβαλλοίμην τοῖς φιλοσκώμμοσι, καὶ ἅμα τῶν ἀφελεστέρων, ὡς μὴ ῥᾳδίως ἐξαπατῷντο πρὸς τῶν ἀνοσίων τῆς ἀσεβείας προέδρων. νῦν δ' ἐπειδὴ ματαίαν ἐπίδειξιν εἶναι τὸ πρᾶγμα κατανοεῖν ἡμῖν παραγίνεται, καὶ πολὺν μὲν ἀνόνητον δὲ καὶ εἰκῇ τὸν τῆς ἔριδος ἐντεῦθεν κονιορτὸν ἐγειρόμενον, σιγᾶν, ὡς εἴρηται, ἐβουλόμην ἂν μᾶλλον ἢ λέγειν, οὐ τὸ λέγειν ὡς ἀνόνητον κατὰ φύσιν ὑπάρχον ἀποσειόμενος, ἀλλ' ὡς ἡμῖν ὑπάρχον ἀνόνητον ἄρτι, τὴν ἀωρίαν τέως τοῦ χρόνου καθάπερ τινὰ κηλῖδα συμπεπτωκυῖαν ὁθενδηποτοῦν παρὰ τὸ εἰκὸς ἀναδεξαμένου· ἃ γὰρ ἐνδεχομένην οὐκ ἀναγκαίαν δὲ προβάλλονται ζήτησιν, ταῦτα πάντως οὐδ' ἀναγκαίαν τινὰ τὴν ἀπόκρισιν ἀπαιτεῖ πανταχοῦ. ἀκούω γὰρ καὶ τοῦ μεγάλου Βασιλείου περιφρονοῦντος, ὁπότε πρὸς τῶν Ἀρειανῶν ἀπαιτοῖτο τὴν τοῦ "κύριος ἔκτισέ με" φωνὴν ἐξηγεῖσθαι, καὶ τῆς σιγῆς τὴν αἰτίαν φάσκοντος, μὴ εἶναι δηλαδὴ μηδεμίαν ἀνάγκην περὶ τοιαύτης λέγειν φωνῆς, καὶ ταῦτα διὰ παραβολῶν 3.399 καὶ σκοτεινῶν λόγων καὶ αἰνιγμάτων προενηνεγμένης, ὡς μηδὲν ἀναμφισβήτητον εἶναι λαβεῖν ἐξ αὐτῆς τὸν ἀκούοντα. διὰ γοῦν ταῦτα κἀγὼ σιωπᾶν ἐβουλόμην αὐτὸς ἐνταυθοῖ. καὶ μὴ μόνον δι' ἃ προαπηριθμησάμην, ὅτι μὴ καὶ ἄλλων δήπου πλείστων ἕνεκα. καὶ γὰρ ἔνιοι μὲν σαφηνείᾳ γλώττης ἔνιοι δ' ἥκιστα κέχρηνται, καὶ εἰ μὴ ταῖς ἐννοίαις, ἀλλ' οὖν τῇ γε λέξει καὶ τῷ τῆς φράσεως σχήματι διενηνέχθαι δοκοῦσιν ἐνιαχοῦ τοῖς ἀμαθῶς τε καὶ ἐριστικῶς ταῖς γραφαῖς ὁμιλοῦσιν. καὶ ἄλλως μὲν οἷς τὰ περὶ τούτου πῶς μὲν ἐγκωμιάζειν πῶς δ' ἀναγωγικόν τινα λέγειν τρόπον καὶ ἀλληγοροῦντας διεξιέναι ἔπεισιν, ἄλλως δὲ τοῖς ἁπλῶς ἑρμηνεύειν καὶ ἐξηγεῖσθαι προελομένοις μόνας αὐτὰς τοῦ εὐαγγελίου τὰς ῥήσεις φιλοτιμίας ἁπάσης ἐκτός, καὶ ἀνακαλύπτειν, ὅσον ἐφικτόν, τὸν ἐγκείμενον ταῖς λέξεσι νοῦν ἀκριβῶς, καὶ πλέον οὐδὲν περαιτέρω ζητεῖν· ἄλλως δὲ τοῖς νῦν ἐπὶ συγχύσει τῆς εὐσεβείας ἐπιφυεῖσιν ἀσεβέσιν, οἳ τὴν μίαν ἄκτιστον θεότητα πρὸς ἀπείρους καὶ διαφόρους τέμνουσι, καὶ ἅμα ὁρᾶν αἰσθητοῖς ὀφθαλμοῖς ἐγκαυχῶνται καὶ ὁμιλεῖν ἐξ οἴνου καὶ τρυφῆς Παλαμικῆς, ὃν ἀδύνατον ἰδεῖν μεμαθήκαμεν μήτ' ἀνθρώπων μήτ' ἀγγέλων οὐδένα· ἄλλως δ' αὖθις τοῖς ἑπομένοις βαναύσοις καὶ τριωβολιμαίοις γυναικαρίοις καὶ ἀνδραρίοις. ὡς εἶναι πολλαπλοῦς καὶ πολυειδεῖς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τοὺς ἐντεῦθεν 3.400 ἀποβλύζοντας τῆς θρησκείας ῥύακας, καὶ Πρώτεως τήμερον δεῖσθαί τινος, ἀλλοιοῦσθαι δυναμένου συχνὰ πρὸς τὰ διάφορα τῶν ὁμιλούντων ἤθη καὶ ἅμα τάς τε γνώσεις καὶ διχοστατούσας γνώμας. Διὰ δὴ ταῦτα καὶ τὰ τοιαῦτα βαθείας σιγῆς ἀνθεῖλκον ἔρωτες τὸ τῆς ἐμῆς ψυχῆς λογιζόμενον, καὶ τοιούτους δή τινας ἐν ἐμαυτῷ τοὺς λογισμοὺς ἐξήσκουν ἐγώ, δεδιὼς μὴ μάτην ἀορίστῳ τε καὶ ἀστάτῳ στοιχείῳ τῷ ἀέρι δόξω δανείζειν λόγους αὐτίκα μάλα λυθησομένους. ἐπεὶ δὲ πανταχόθεν ἡμᾶς περιθέοντες νῦν οἱ τῆς εὐσεβείας ἀγωνισταὶ καὶ σφόδρα τῆς πίστεως ἀντεχόμενοι πιθανωτέροις χρησάμενοι λόγοις ἐκθύμως τε ἀξιοῦσι καὶ ἀνάγκην τῇ ἀξιώσει ἐπάγουσι παντοδαπήν τινα καὶ πολὺ τὸ διάπυρον κεκτημένην, καὶ ἀρὰς προσεπιδαψιλεύουσι τῇ ἀνάγκῃ μὴ περιιδεῖν ἀναμοχλευομένην τὴν ἀλήθειαν, κινδυνεύοντας δὲ τοὺς πολλούς, τοὺς μὲν εἰς τὰ ἔσχατα τῆς κακίστης τῶν Μασαλιανῶν περιπίπτειν αἱρέσεως, τοὺς δ' εἰς τὰ τῶν ἀκτιστιτῶν τε καὶ ἀνθρωπομορφιτῶν βάραθρα, τοὺς δ' εἰς ἀλλοκότους καὶ τερατώδεις ἄλλους κρημνούς, καὶ ἄκων ἐξάγομαι λέγειν ἃ μὴ προῄρημαι, τὴν τοῦ κρύψαντος τὸ δῶρον καθ' ἕτερον τρόπον δεδιὼς καταδίκην ἐκείνου, ἅτε στενοχωρῶν καὶ ἀδικῶν τὸ τῶν λόγων χρηστὸν οὐ μάλα ἄκων, πλείοσι φαίνεσθαι χρηστὸν ἀφαιρούμενος διὰ τῆς σιγῆς. τρέποιτο δ' εἰς τὰς τῶν αἰτίων κεφαλὰς 3.401 τὰ τῆς μέμψεως, ἐν οὐ καιρῷ βιασαμένων λέγειν τὰ τῇ φύσει μὲν καίρια, οὔπω δ' οὔτε τοῖς καθεστηκόσι πράγμασιν ὄντα οὔτε τοῖς ἀκούουσι καίρια, ἐν γὰρ τῇ τῶν ἀκουόντων γνώμῃ τὴν νικῶσαν ἔχειν πεπείσμεθα ψῆφον ὡς τὰ πολλὰ κειμένην τὴν τῶν λεγόντων ἀλήθειαν. Βέλτιον μὲν οὖν ἦν ἂν ἐν τοῖς τοιούτοις σιγᾶν, ὡς διείληπται· ἀλλ' ὅτε δὴ καὶ τῆς σιγῆς οἱ καιροὶ τὴν τῶν λεγομένων ξενοδοχοῦντες ἦσαν ἀσμένως φοράν, καὶ οὐ τὴν ἀναγκαίαν τοῦ λέγειν προύβαλλον πρόφασιν. ἔστι μὲν γὰρ καὶ σιγῆς καιρός, ἀλλ' ὅτε δὴ σιγῆς δεομένοις ἀκροαταῖς ἐντυγχάνοι· ὅτε δ' ἀξίοις καὶ πάνυ τι χρῄζουσι τότε δ' οὖν καὶ τὸ ἐνδεχόμενον εἰς τὴν τοῦ ἀναγκαίου μοῖραν σαφῶς ἀποκεκριμένον, λέληθε τὴν τοῦ ἐνδεχομένου δύναμιν ἀπολωλεκός, ὑπὸ τῆς ἀνάγκης καταποθὲν ὡς εἰπεῖν. ἀθανάτου γὰρ τῆς ἡμετέρας οὔσης ψυχῆς καὶ ἀθανάτους ἐκδεχομένης τὰς τῶν πεπραγμένων σαφῶς ἀμοιβὰς ἐξ ἀνάγκης, καὶ ἅμα μιᾶς ψυχῆς μὴ εἶναι τὸν πάντα κόσμον ἀντάξιον τῆς θείας λεγούσης γραφῆς, πῶς οὐκ ἀναγκαῖον ἐνταῦθα γίγνοιτ' ἂν καὶ τὸ ἐνδεχόμενον; εἰ γὰρ ἐφ' ἡμῖν καὶ ἐνδεχόμενον τὸ σώζειν ἐστὶν αὐτὴν καὶ δόξης ἀιδίου προξένους αὐτῇ καθίστασθαι, καὶ αὖ τοὐναντίον φθείρειν καὶ κολάσει παραπέμπειν αἰωνίῳ, ἀλλ' οὖν τῶν ἀναγκαίων καὶ τοῦτ' ἂν εἴη μάλιστα μεταξὺ μὴ παρατρέχειν κείμενον τὸ κατὰ φύσιν εἰπεῖν ἀναγκαῖον. ὅσον γὰρ τὸ φθείρειν τῶν ἀτοπωτάτων ἐστὶ καὶ παραλόγων, τοσοῦτο τῶν ἀναγκαίων τὸ σώζειν. ἃ γοῦν ἀκούσαντες πολλά 3.402 κις καὶ ὧν πειραθέντες ἐμάθομεν εἶναι τῶν ἀγαθῶν, ταῦτα ποιεῖν τῶν ἀναγκαίων καθάπαξ κρίνομεν εἶναι. ἃ δὲ ποιεῖν τῶν ἀναγκαίων κρίνομεν εἶναι, τούτων ἀφίστασθαι ποίαν οὐκ ἀτοπίας ὑπερβολὴν παρελαύνοι. ὥστε τῶν χειρόνων ἀνθαιρεῖσθαι τὰ βελτίω μαθοῦσιν εἶναι βέλτιον ἐξ ἀνάγκης, βελτίους καὶ ἑαυτῶν ἀναγκαζομένους γίνεσθαι ἕπεται, καὶ τοῦ δέοντος, ὅσον ἐφικτόν, ἐγγύτατα θεῖν ἀεί, τὴν ἀθάνατον ὄντως καὶ ἀναγκαίαν ὁδόν, ὡς ἐμέ γε οἴεσθαι. καὶ οἶμαί γε ὀρθοτέραν πάνυ τι οἴεσθαι. καὶ οὕτως ἐνδεχομένης καὶ ἐφ' ἡμῖν τῆς τῶν ἀγαθῶν προαιρέσεως οὔσης ἀναγκαῖον γίνεται τὸ συμπέρασμα, πρὸς ὃ πέφυκεν ἀνατρέχον μάλα τι προσηκόντως, καὶ τὸ ἐν τοῖς τοιούτοις καίριον εἰς τὸ τῆς ἀληθείας μουσεῖον παιδαγωγούμενον ἀνευρίσκον. ἀλλὰ γὰρ εἰς τοῦτο τύχης ἡμᾶς τῆς τοῦ λέγειν τήμερον ἐλαυνούσης ἀνάγκης, σκεπτέον τίνα δεῖ πρῶτον καὶ τίνα δεύτερον εἰπεῖν, καὶ τίνα τάξιν εἰληφέναι δέον ἕκαστα τῶν ἑξῆς. 3.403 ΤΟΥ ΑΥΤΟΥ ΝΙΚΗΦΟΡΟΥ ΤΟΥ ΓΡΗΓΟΡΑ ΛΟΓΟΣ ΔΟΓΜΑΤΙΚΟΣ Δ. Πρῶτον μὲν οὖν ἂν εἴη σκέψασθαι ἄξιον, ἔφησεν ὁ Γρηγορᾶς, πότερον ταῖς κοιναῖς μᾶλλον ἐννοίαις τῆς ἐκκλησίας ἁρμόττει σέβειν ἕνα



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

θεόν, εἴτουν μίαν ἐν τρισὶν ἄκτιστον θεότητα, καὶ ὅ φησιν ὁ μέγας ἐν θεολογίᾳ Γρηγόριος, φῶς ἓν ἀπρόσιτον καὶ ἀδιάδοχον τὸν θεόν, ἀειλαμπὲς τρίλαμπες, ἢ πλείστας μὲν θεότητας πλείω δὲ φῶτα κατά τινας τῆς ἀντιθέτου τῇ εὐσεβείᾳ φάλαγγος. ἐγὼ μὲν οἶμαι μηδένα τῶν εὐσεβέσι λογισμοῖς συντεθραμμένων πρὸς τοσαύτην ἑκόντα καταπεσεῖν ἀπόνοιαν, ὥστε πλείους μιᾶς ἑλέσθαι νομίζεσθαι δικαιοῦν θεότητας, κοινῇ τῶν τῆς εὐσεβοῦς ἐκκλησίας πατρίων δογμάτων ἀκούοντα διαρρήδην βοώντων, φῶς ἓν ἀδιάδοχον καὶ ἀπρόσιτον εἶναι τὸν θεόν, καὶ μὴ πολλὰ μηδὲ πέρα τῆς τριάδος, δεύτερον δὲ φῶς ἄγγελον μηδενὸς ἑτέρου μεταξὺ 3.404 μεσιτεύοντος, καὶ πάλιν ἕνα θεὸν εἶναι, διότι μία θεότης, ἀναγκαίαν αἰτίαν τοῦ σέβειν ἕνα θεὸν τὴν τῆς μιᾶς θεότητος πρώτην ὁμολογίαν τιθέντων, εἰ μή τις ἐν ἀθύρματος μοίρᾳ καὶ γέλωτος ἑκὼν ἑαυτοῦ προδότης τοῖς ἐν ἀγοραῖς καλινδουμένοις παιγνίοις καθίσταιτο ἐθελοκωφῶν. Τούτου γε μὴν ὁμολογηθέντος, δεύτερόν ἐστι πυθέσθαι ἄξιον εἰ δέοι παραδραμόντας τὴν κοινὴν αὖθις τῆς τοῦ θεοῦ ἐκκλησίας ἔννοιαν μεταξὺ καθάπερ λύχνον ἐπ' ὄρους κειμένην, ἔπειτα ὁρατὴν εἶναι λέγειν τὴν μίαν ταύτην καὶ μόνην ἄκτιστον θεότητα, εἴτουν τὸ ἓν φῶς ἐκεῖνο τὸ ἀειλαμπὲς καὶ ἀπρόσιτον καὶ ἀδιάδοχον· κοινὸν γὰρ εἶναι δόγμα τῆς ἐκκλησίας καὶ τοῦτ' εἰλήφειμεν πρός τε τοῦ θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ τῶν αὐτοῦ φοιτητῶν, ἑωρακέναι θεὸν ὑπάρχειν ἀδύνατον ἅπασι, πλὴν διὰ συμβόλων καὶ τύπων σωματικῶν. "οὔτε γὰρ" φησὶν "εἶδε θεὸν οὔτ' ἰδεῖν δύναται τῶν ἁπάντων οὐδείς." ἅπερ ὁ εἰπὼν αὐτὸς ἐπισφραγίζων αὖθις θεῖος Παῦλος "εἴ τις εὐαγγελίζεται" φησὶ "παρὸ παρελάβετε, ἀνάθεμα ἔστω," ταῦτα δὴ λέγων τὰ εἰρημένα, τὸ μίαν τε σέβειν ἄκτιστον θεότητα καὶ φῶς ἓν ἐν τρισὶν ὑποστάσεσι, καὶ ἅμα ταύτην ἀόρατον εἶναι ὁμολογεῖν, μὴ ὅτι ἀνθρώποις ἀλλὰ καὶ ἀγγέλοις αὐτοῖς. τίς γὰρ οὕτως ἠλίθιος καὶ μανίᾳ σύνοικος μακρᾷ ὥστε κτισμάτων ἀοράτων ὄντων, ἀγγέλων φημὶ καὶ ψυχῶν καὶ δαιμόνων, λέγειν ἔπειτ' 3.405 ἀνθρώποις τολμᾶν ὁρατὴν εἶναι τὴν φύσιν τοῦ τῶν ἁπάντων 3.405 δημιουργοῦ θεοῦ. μὴ οὖν ὅτι θρήνων καὶ δακρύων ἄξιον παμπόλλων πάτριον δόγμα τῆς ἐκκλησίας κινοῦντας τοῖς ἀποστολικοῖς ἐκείνης ἀναθέμασιν ἑαυτοὺς ἑκοντὶ παρέχειν, ἀλλὰ καὶ μανίας ὁμοῦ καὶ ἠλιθιότητος γέμει τοιαῦτα λογίζεσθαι. ἐπὶ γὰρ πᾶσαν διδασκαλίαν καὶ πᾶσαν μάθησιν ἐκ προϋπαρχούσης γίνεσθαι φάσκουσι γνώσεως. δεῖ γὰρ μαρτυρίας ἐν τοῖς τοιούτοις ἐκείνας προβάλλειν εἰς προῦπτον καὶ σαφεστέραν δήλωσιν τῶν ἀτελεστέρων, αἳ τῇ τῶν ἀνθρωπίνων αἰσθήσεων ἐκ πρώτης γενέσεως συνηθείᾳ κανόσιν ἀθανάτοις μαθήσεις ἡλικιώτιδες γίνονται, κἀντεῦθεν ἀμοιβαίοις ἴχνεσιν ἀναγομένους βαθμίδων δίκην ταῖς κατὰ μικρὸν ὑπαλλαγαῖς τῶν ἀναλόγων προσθέσεών τε καὶ ὑφαιρέσεων συμβιβάζειν καὶ τῷ τῆς ἐπιστήμης ἡλίῳ καθαρώτερον ἤδη προσάγειν, χρεὼν διδακτῆς οὔσης τῆς ἐπιστήμης προϋπάρχουσαν εἶναι λογίζεσθαι γνῶσιν τὴν τῶν αἰσθήσεων αὐτοδίδακτον πρώτην κατάληψιν, ἀφ' ἧς ὡς ἐκ πρώτης ἀρχῆς καὶ πηγῆς οἱ πάσης ἐπιστήμης ἀποβλύζουσι ῥύακες τῶν τε τοῖς αἰσθητοῖς καὶ διανοητοῖς καὶ νοητοῖς ἐνυπαρχόντων ὅρων καὶ λόγων. τὸ γὰρ βλέπειν ἡμᾶς καὶ ἀκούειν, καὶ νῦν μὲν γλυκέων καὶ πικρῶν αἰσθάνεσθαι διὰ τῆς γεύσεως νῦν δὲ τραχέων τε καὶ λείων διὰ τῆς ἁφῆς, καὶ ὅτι θερμὸν καὶ καυστικὸν τὸ πῦρ καὶ ψυχρὸν ἡ χιών, κοιναί εἰσιν ἔννοιαι πάντα καὶ αὐτοδί 3.406 δακτα τοῖς αἰσθητηρίοις. οὐ γὰρ διδασκόμεθα παρ' οὐδενὸς βλέπειν ἢ ἀκούειν, ἢ ὅτι καίει τὸ πῦρ καὶ ψυκτὸν ἡ χιὼν καὶ τὸ μέλι γλυκύ. αὐτόθεν γὰρ ἡ αἴσθησις τὰ μὲν προσίεται τὰ δ' ἀποσείεται δίχα τινὸς ἐπεισάκτου γεωμετρικῆς ἀνάγκης καὶ δίχα συλλογιστικῆς ἀποδείξεως οἱασδηποτοῦν, τοῦ δημιουργοῦ θεοῦ πανσόφως προοικονομήσαντός τε καὶ προϋποθέντος τῇ φύσει σπερματικῶς οὑτωσὶ τὰς τοιαύτας ἀρχεγόνους ῥίζας, ἐφόδιον κράτιστον ταῖς ἐπιστημονικαῖς ἑξῆς ἁπάσαις μεθόδοις καὶ ἀποδείξεσιν, ἐξ ὧν οἱ ἀκαταμάχητοι καὶ δυσαντίβλεπτοι μάλιστα τῆς ἀληθείας περατοῦνται


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

συλλογισμοί. δεῖν γὰρ εἶναι τὰς ἀρχὰς τῶν συλλογισμῶν αὐτοδιδάκτους καὶ αὐτόθεν ἐχούσας τὸ πιστὸν καὶ ἀναντίρρητον πανταχοῦ καὶ ὁμόλογον ἐξ ἁπάντων τὸ συγκεχωρηκός, ὡς ἂν ἐξ ὁρμητηρίου βεβαίου καὶ ἀσφαλοῦς ταῖς τῶν σοφῶν ἀποδεικτικαῖς φωναῖς τε καὶ γλώτταις κινουμέναις ἀγώγιμον ὡς ὑφ' ἡλίῳ καὶ φωτὶ μέχρι τοῦ προσήκοντος ἑκάστῳ συμπεράσματος τὸ τῆς ἀληθείας εἴη πορευόμενον εὐγενές. Καὶ ἵν' ὑποδείγμασι τρισὶ καὶ τέτρασι διαλευκανθείη τὰ εἰρημένα, προκείσθω νῦν διδάσκαλος ἡμῖν ὁ μέγας τῆς ἐκκλησίας φωστὴρ Διονύσιος, ἐκ τῶν τῇ αἰσθήσει γνωρίμων καὶ αὐτόθεν τὸ πιστὸν ἐχόντων καὶ ἅπασιν ὡμολογημένων τὸ συγκεχωρηκὸς παριστῶν τὸ ζητούμενον. θέλων γὰρ διδάξαι 3.407 πανταχοῦ τὸν θεὸν εἶναί τε καὶ πᾶσι μεθεκτόν, ὡς ἐκείνῳ προσήκει, ταῖς κοιναῖς καὶ πᾶσι προδήλοις ἐννοίαις πρὸς τὴν τῶν ὑπὲρ αἴσθησιν κέχρηται δήλωσιν. "ὥσπερ γὰρ ἐν κέντρῳ" φησίν "πᾶσαι αἱ τοῦ κύκλου γραμμαὶ κατὰ μίαν ἕνωσιν συνυφεστήκασι, καὶ πάσας ἔχει τὸ κέντρον ἐν ἑαυτῷ τὰς εὐθείας ἑνοειδῶς ἡνωμένας πρός τε ἀλλήλας καὶ πρὸς τὴν μίαν ἀρχὴν ἀφ' ἧς προῆλθον, οὕτως ἐκ θεοῦ καὶ ἐν θεῷ τὰ ὄντα πάντα συνειλημμένως καὶ ἑνιαίως εἰσί, καὶ τὰ ἀλλήλοις ἐναντία. καὶ πάλιν, ὥσπερ φωνὴ μία καὶ ἡ αὐτὴ πρὸς πολλῶν ἀκοῶν ὡς μία μετέχεται, οὕτω καὶ ὁ θεὸς εἷς ὢν καὶ ἀμερὴς ὑπὸ τῶν μεριστῶν ἀμερίστως μετέχεται. καὶ πάλιν, ὥσπερ σφραγῖδος μιᾶς ἐκτυπώματα πολλὰ μετέχει, τῆς ἀρχετύπου σφραγῖδος ἐν ἑκάστῳ τῶν ἐκτυπωμάτων ὅλης καὶ τῆς αὐτῆς οὔσης καὶ ἐν οὐδενὶ κατ' οὐδὲν μέρος, οὕτω καὶ τοῦ θεοῦ τὰ πάντα μετέχει. καὶ πάλιν, ὥσπερ ἐν τῇ ψυχῇ μονοειδῶς αἱ τῶν κατὰ μέρος πάντων προνοητικαὶ τοῦ ὅλου σώματος δυνάμεις, οὕτω κἀν τῷ θεῷ. οὐδὲν γὰρ ἄτοπον" φησίν "ἐξ ἀμυδρῶν εἰκόνων ἐπὶ τὸ πάντων αἴτιον ἀναβάντας ὑπερκοσμίοις ὀφθαλμοῖς θεωρῆσαι πάντα ἐν τῷ πάντων αἰτίῳ μονοειδῶς καὶ ἡνωμένως." Ταῦτα εἰπών, ὁρᾶτε, φησὶν ὁ Γρηγορᾶς, πῶς ἐκ τῶν τῇ αἰσθήσει γνωρίμων καὶ φανερῶν ὁ νοῦς ἀφανὴς ὢν ἁρπά 3.408 ζων τὸ βέβαιον, ῥᾳδίως ἐκ τῆς πρὸς τὴν τῶν θείων καὶ ὑπὲρ αἴσθησιν εὕρεσιν ἀνατρέχει, κἀκ τοῦ φύσει ἀμεροῦς ἐς τὸ μεριστὸν κατιὼν ἀμερῶς αὖθις πρὸς τὸ ἀμέριστον ἐκ τῶν μεριστῶν παλινδρομεῖ, μήτε τῶν τῆς ἑαυτοῦ φύσεως ἐξιστάμενος μυστηρίων, καὶ ἅμα τὰς ὑλικὰς ἐνεργείας εἰωθὼς περιτίθεσθαί τε καὶ οἰκονομικῶς ἐκπληροῦν, ἀμοιβαίαις καὶ λεληθυίαις φάναι παραπλοκαῖς τε καὶ συμφυΐαις συνάγων πρὸς ἑαυτόν, καὶ ἀναλόγως τὸ ἑαυτοῦ φῶς πολλοῖς ἐνσπείρων ὑποκειμένοις, καὶ ὥσπερ πολλοῖς ἐφεξῆς κειμένοις κατόπτροις ἓν ἐμφανίζων πρόσωπον, καὶ τὸ κεχυμένον τῆς ὕλης ἄπειρον καὶ ἀόριστον οἰκείοις περασί τε καὶ σχήμασι μορφῶν καὶ συνδέων καὶ συναρμόττων. καὶ ἡ πρὶν περιοδεύουσα τοὺς ἔνδον λογισμοὺς τῶν ἀπορρήτων καὶ θείων πραγμάτων ζήτησις, τῶν αἰσθητῶν ἤδη ἀναχωροῦσα τῇ τῷ νῷ προσηκούσῃ γνώσει ἀκολουθεῖ. ἐντεῦθεν γὰρ καὶ τὰς θείας καὶ νοερὰς προόδους ἐθέλοντες δηλοῦν οἱ θεῖοι πατέρες παραδείγματι φαινομένῳ ταῖς ἡλίου χρῶνται ἀκτῖσιν, αἳ τὴν ἐτυμολογίαν ἀπὸ τοῦ ἐκτείνεσθαι ἔχουσαι χέονται μὲν οὐκ ἐκχέονται δέ, ἀλλ' ἐκτείνονται πέριξ κατὰ τὸ ἀνάλογον τῆς τῶν δεχομένων εὐρυχωρίας. πληθύνεσθαι γὰρ ὁ θεῖος ἔφησε Μάξιμος τὸν θεὸν τῷ καθ' ἕκαστον εἰς παραγωγὴν τῶν ὄντων βουλήματι, ταῖς προνοητικαῖς προόδοις πολλαπλασιαζόμενον, μένειν δ' ἀμε 3.409 ρίστως ἕνα καθάπερ τὸν ἥλιον ἀκτῖνας μὲν πολλὰς προπέμποντα μένοντα δ' ἐν τῇ ἑνότητι. ὅταν γὰρ ἐς τὴν προβλητικὴν ἀποσκοπῶμεν δύναμιν τοῦ ἡλίου, μονοειδὲς καὶ ἑνιαῖον τὸ τῶν ἀκτίνων καταλαμβάνομεν πλῆθος· ὅταν δ' εἰς τὴν ἀστάθμητον καὶ μεριστὴν ποικιλίαν τῆς τοῦ κόσμου γενέσεως, τὰς ἀκτῖνας ἐκτεινομένας οἱονεί τινας χεῖρας ἐργατικὰς τό τε τῆς ἀριθμητικῆς ἐπιστήμης ἀναλισκομένης δι' ἀπορίαν, τὸ ἓν εἰς ἀναρίθμητον πλῆθος σχιζόμενόν τε καὶ μεριζόμενον βλέπομεν. οὕτω δὴ κἀπὶ τῆς ψυχῆς καὶ τῶν ταύτης δυνάμεων καὶ ἡμεῖς τοιούτοις χρώμεθα παραδείγμασιν, ἐνίοτε μὲν τὸν ὅμοιον τρόπον, ἐνίοτε δὲ τὸν ἀντίστροφον· δυοῖν γὰρ ὀργάνων



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ὄντων τῷ τῆς ψυχῆς ὀφθαλμῷ τῷ νῷ πρὸς γνῶσιν τῶν αἰσθητῶν πραγμάτων, τῆς τε αἰσθήσεως ἅμα καὶ διανοίας, ἐκ τούτων αὐτῷ τὴν ἐπιστήμην ἀεὶ συσκευαζομένην ὁρῶμεν κἀξ ἀτελοῦς διχονοίας εἰς ὁμόνοιαν συγγενῆ συνιοῦσαν, τῆς μὲν ἀναλήψεσιν ὁλοσχερεστέραις ἔξωθεν εἰσαγούσης τὰς πρώτας ἀρχάς, ἐκ τῆς τῶν αἰσθητῶν συμπεφορημένης τε καὶ διηνεκῶς μεταβαλλομένης πολυφωνίας, τῆς δὲ παραδεχομένης τε καὶ παραπεμπούσης εἰς ἓν ἀκριβέστερον ἐπισκέψεως ἐργαστήριον τὸν νοῦν, καὶ ἀναχωνευούσης ἐκεῖ πρὸς ἐμπειρίας ὁμόνοιάν τε καὶ ἑνότητα. οἷς γὰρ ἑτερότης πάρεστι, τούτων ἄπεστι σαφῶς ἡ ὁμόνοια· οἷς δὲ μή, τούτοις δὲ καὶ 3.410 τὰ τῆς ὁμονοίας ῥᾷστα ἐμφύεται. καὶ ὁ τοῦ ἡλιακοῦ παραδείγματος ξυνιεὶς εὐφυῶς τῆς κατ' αἴσθησιν ἐξεκεχωρήκει συνηθείας εὐθύς, καὶ τὴν τῆς ὁράσεως προσεδρείαν εἰς τοὺς νοητοὺς ῥᾳδίως ὀφθαλμοὺς μετενήνοχεν, ἡγεμόνας τῆς τοιαύτης εὑρίσκων ὁδοῦ τοὺς ἁγίους, τοῖς μὲν αἰσθητοῖς ἐνεῖναι λέγοντας ἔκστασιν γίνεσθαι, θεῷ δ' ἥκιστα πάντων παρόντι πανταχοῦ καὶ τὰ πάντα πληροῦντι καὶ μηδενὸς λειπομένου τόπου ὃς τὴν θείαν ἔκτασιν δέξασθαι ἂν ἐπινοηθείη. Ὅμοιον γὰρ ἠχοῦσιν αἱ λέξεις, οὐχ ὅμοιον δ' ἔχουσι τὸ τῆς ἀναγωγῆς καὶ καταγωγῆς ὁρμητήριον, ἀλλ' ἄλλως μὲν ἐπὶ θεοῦ ἄλλως δ' ἐπ' ἀνθρώπων τοῖς ὀρθῶς τε καὶ εὐσεβῶς φρονοῦσι λαμβάνονται, καὶ ἄλλως μὲν ἐπὶ τῶν αἰσθητῶν ἄλλως δ' ἐπὶ τῶν θείων καὶ νοητῶν. ἀνθρώπινα γὰρ ὁ θεῖος ἔφη Χρυσόστομος τὰ ῥήματα, ἀλλὰ θεῖα νοήματα δι' αὐτῶν. φεῦγε τὰ ἀπὸ τῆς λέξεως ὑποπαλλόμενα, καὶ νόει τὰ διὰ τῆς πίστεως θεωρούμενα. μὴ προλαβὼν ἁρπάσῃς τὸ ῥῆμα εἰς διαβολήν, ἀλλ' ἀνάμεινον τὸ τέλος καὶ κρῖνον τὸ λεγόμενον. μὴ γίνου δικαστὴς δυσμενὴς ἀλλὰ συναγωνιστὴς εὐμενής. καὶ ταῦτα μὲν ὁ Χρυσορρήμων· ἡμεῖς δὲ καὶ ἐξ ἑτέρων ἔχομεν παριστᾶν τὸ λεγόμενον. καὶ γὰρ καὶ τὸ καθὼς ἐπὶ θεοῦ καὶ ἀνθρώπων λεγόμενον οὐχ ὁμοίαν ἔχειν διάνοιαν ἡ θεία γραφὴ συγχωρεῖ. "καθὼς" γάρ φησιν "οἰκτεί 3.411 ρει πατὴρ υἱούς, ᾠκτείρησε κύριος τοὺς φοβουμένους αὐτόν." καὶ εἰσὶν οἱ τοῦ κυρίου οἰκτιρμοὶ τῶν τοῦ ἀνθρώπου πατρικῶν οἰκτιρμῶν ἀπειροπλασίως ὑπέρτεροι. καὶ πάλιν "γίνεσθε τέλειοι καθὼς καὶ ὁ πατὴρ ὑμῶν ὁ οὐράνιος τέλειός ἐστι." πρὸς οὖν τοιαύτην ἐληλυθέναι τελειότητα πάντως ἀνθρώποις ἀδύνατον. καὶ πάλιν "καθὼς ἀπέσταλκέ με ὁ πατήρ, κἀγὼ πέμπω ὑμᾶς." ἀλλ' οὐχ ὁ αὐτὸς ἐπ' ἀμφοῖν τῆς ἀποστολῆς ὁ τρόπος· ὃ μὲν γὰρ ὁμοούσιος ὢν τῷ πατρὶ ὡς ἐξ ἡλίου φῶς ἀπεστάλη, οὗτοι δ' ὡς δοῦλοι πρὸς δεσπότου. καὶ τὸ τοῦ ἀποστόλου δὲ "γνώσομαι τότε καθὼς καὶ ἐπεγνώσθην·" πᾶσα γὰρ ἀνάγκη τοσοῦτον εἶναι τὸ ὑπερβάλλον μεταξὺ τῆς θείας γνώσεως καὶ τῆς ἀνθρωπίνης ὅσον καὶ τῆς θείας φύσεως πρὸς τὴν ἀνθρωπίνην. Οἷς οὖν πρὸς ὕβριν τρυφᾶν οἱ καιροὶ χαριζόμενοι νοῦν τε ἀλάστορα βρεφουργοῦσιν ἐν τῇ ψυχῇ, κἀκ τοῦ σαθρὰ φρονεῖν μεγάλα φρονεῖν χορηγοῦσι, κἀντεῦθεν πρὸς τὸ βουλόμενον ἔπεισι διαστρέφειν καὶ ἀνελίττειν κακῶς τὴν τῶν ὀνομάτων τε καὶ ῥημάτων διάνοιαν, τούτους οὐ μέγα ἔργον τοῖς θείοις πατράσι τῆς θείας ἐλαύνειν αὐλῆς, καθάπερ Ἀθηναῖοι πάλαι τὸ Κυλώνειον ἄγος. προσθείην δ' ἂν καὶ ξενηλασίαν ἐκείνην ἐγώ, ἣν τῶν Ὁμήρου πάλαι Πλάτων ἐπῶν κατεψήφισται, ὅσα δήπουθεν αἰσχροὶ καθυβρίζουσιν ἔρωτες καὶ λέξεις ἀνθρωποπαθεῖς, ὁποῖαι τὸ τῆς ἐκείνου πόλεως 3.412 ἦθος κιβδηλεύειν ἔμελλον ἄν, σεμναῖς ἀσέμνως ἀκοαῖς ἐνοχλοῦσαι. μᾶλλον δ' εἰπεῖν οἰκειότερον, ὡς πρὶν τοὺς θεοκαπήλους ἐκείνους ὁ κύριος ἐκ τοῦ ἱεροῦ. ὥσπερ γὰρ ἐπὶ τῶν φαινομένων πραγμάτων ἡ μὲν φύσις ἀνείδεον τρόπον τινα τὴν ὕλην παρέχει τοῖς ἀνθρώποις καὶ ὑπεναντίαν ὡς τὰ πολλὰ πρὸς τὸ χρήσιμον, ἐπειδήπερ ἡ μὲν φύσις τὸν αὐτὸν ἀεὶ συγκεχυμένον καὶ ἀδιάκριτον τρόπον τηρεῖ τῆς γενέσεως, ἃ δ' ἀπαιτοῦσιν αἱ διηνεκεῖς καὶ διάφοροι τῶν ἀνθρώπων χρεῖαι, ταῦτα μεταβάλλει πάντα πολλαχῇ καὶ πολυτρόπως ὑπ' αὐτῶν πρὸς τὸ χρήσιμον, οὕτω καὶ τά τ' ὀνόματα καὶ ῥήματα διαγνοίη ἄν τις ἔχοντα, καὶ μάλισθ' ὅσα ταῖς ὁμωνυμίαις περιδινεῖται, καθάπερ ὕλη τις διάφορος ὑπὸ τῆς τέχνης παιδαγωγούμενά τε καὶ πρὸς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τὸ χρήσιμον τοῖς καιροῖς καὶ ταῖς τῶν γραφόντων καὶ διαλεγομένων κατ' οἰκονομίαν ὑποθέσεσι μεθαρμοζόμενά τε καὶ μεταλαμβανόμενα. καὶ τούτων ἡμῖν ἀρχιτέκτονες οἱ θεῖοι τῆς ἐκκλησίας διδάσκαλοι γίνονται, εἰ βουλοίμεθα προγόνων φάναι χρηστῶν ἀπόγονοι χρηστοὶ καλεῖσθαι, μηδαμῇ τὰ ἐκείνων τοιχωρυχοῦντες καὶ παρασπῶντες καὶ σπαράττοντες κατὰ τοὺς ἀγνώμονας καὶ πατραλοίας παῖδας ἐκείνους, οὓς ἐξώλεις καὶ προώλεις ἐπαρῶνται πάντες ἀπόλλυσθαι. ὥσπερ δήπου καὶ Πέτρος ὁ θεῖος ἀπόστολος, διδάσκων μὴ διαστρέφειν τὰς θείας γραφὰς πρὸς κακίαν ἀντίρροπον, καὶ τάδε προστίθησιν. "ὡς ὁ ἀγαπητὸς ἡμῶν ἀδελφὸς Παῦλος κατὰ τὴν αὐτῷ δοθεῖσαν σο 3.413 φίαν ἔγραψεν ὑμῖν, ὡς καὶ ἐν πάσαις ταῖς ἐπιστολαῖς λαλῶν ἐν αὐταῖς περὶ τούτων. ἐν αἷς ἔστι δυσνόητά τινα, ἃ οἱ ἀμαθεῖς καὶ ἀστήρικτοι στρεβλοῦσιν, ὡς καὶ τὰς λοιπὰς γραφάς, πρὸς τὴν ἰδίαν αὐτῶν ἀπώλειαν." Ὁρᾶτε πῶς δεῖ τοῖς τοιούτοις συνετῶν ὁμοῦ καὶ εὐγνωμόνων καὶ οὐδαμῇ κακοδαιμόνων ἀκροατῶν, ὁποῖοι πρὸς ἀμαθίας ἄμουσον μουσεῖον φοιτᾶν εἰώθεσαν ἐκ παίδων καὶ ἐπαλέα λέσχην, ὅπου μηδαμῇ δικαιοσύνης γεωργεῖσθαι ἴσασι καρποί, μήτε μὴν οὐδ' οἱ μετ' ἀρετῆς εὐδοκιμεῖν ἱδρῶτες, ἀλλὰ κακίας τρόφιμοι φωναὶ καὶ γλῶτται, καὶ πρός γε πονηραί τε καὶ διάστροφοι διάνοιαι πρὸς τὴν ἰδίαν ὑπόληψιν τὰ τῶν θείων πατέρων διαστρέφουσαι ῥήματα· ὃ δὴ καὶ Παλαμᾶς τετόλμηκεν ἐφ' ἡμῶν, μισθοφόρον ὄργανον ἀσεβείας γενόμενος ἑκοντί. Ἐπεὶ δ' ἐς τόδε τέλους εὔζωνον εἰπεῖν καὶ μάλα γέ τι ῥᾴδιον τὸ τῆς διαλέξεως ἐκείνης ἐχώρει προοίμιον, καὶ τὰς τῶν Παλαμιτῶν ἐκείνων ὁμολογίας διὰ τῶν θείων καὶ ἀφύκτων γραφῶν ἀναμφιλέκτους ἐκ πρώτης φάναι γραμμῆς ὁ Γρηγορᾶς ἐχειροῦτο, καὶ μίαν ἔπειθεν ὁμολογεῖν εἶναι θεότητα ἄκτιστον καὶ φῶς ἓν ἀπρόσιτον καὶ ἀδιάδοχον, τὴν μακαρίαν καὶ τρισυπόστατον μόνην οὐσίαν, καὶ ταύτην μὴ μόνον ἀόρατον ἀλλὰ καὶ νοῦ καὶ λόγου παντὸς ὑπερτέραν παντάπασι, "σκεπτέον" ἔφησε "πόθεν κἀκ ποίας αἰτίας ὁρμώμενος Παλαμᾶς δεύτερον ἐδογμάτισεν ἄκτι 3.414 στον εἶναι φῶς ὑπὲρ τοὺς ἀγγέλους μέν, ὑφειμένον δ' οὖν ἀπειράκις τῆς μακαρίας ἐκείνης καὶ θείας οὐσίας· πόθεν δὲ καὶ ποίαν εἰλήφει τὴν πρόφασιν ἐκ τοῦ τοιοῦδε φωτὸς πλῆθος εἰσενεγκεῖν θεοτήτων ἀκτίστων καὶ ἀνουσίων, τῆς θείας οὐσίας διαφόρων πάντῃ καὶ ἑτερογενῶν. ἐγὼ γὰρ οὐκ οἶδ' ὁπότερον εἴποιμι ἄν· ἢ γὰρ οὐκ ἀκήκοε διαρρήδην τῆς ἁγίας ἕκτης καὶ οἰκουμενικῆς συνόδου βοώσης τὰ ἐναντία, ἢ ἀκούσας οὐκ ᾔσθετο, ἢ αἰσθόμενος ἀπῳδόν τε ἔκρινε καὶ μηδεμιᾶς τινὸς ὅλως ἀξίαν φροντίδος εὐλόγου. φασὶ γὰρ οἱ τὴν θείαν ἐκείνην σύνοδον συγκροτήσαντες θεῖοι πατέρες ὡς ἡμεῖς οὔτε τρεῖς τινὰς θεοὺς ἐπιστάμεθα οὔθ' ὅλως πολλοὺς θεοὺς ἢ φύσεις ἢ οὐσίας ἢ θεότητας ἔγνωμεν ἢ γινώσκοντας οἴδαμεν, ἀλλὰ καὶ τὸν ἔχοντα ἢ φρονοῦντα ἢ γινώσκοντα τοῖς ἀναθέμασι βάλλομεν. τούτοις ἡ Παλαμικὴ φατρία ἐκείνη τοιάνδε τινὰ τὴν ἀντίθεσιν ἐπεισήνεγκε. τὸν μὲν τῆς ἕκτης συνόδου τοῦτον ἀναθεματισμὸν ὑπερθετέον ἐν τῷ παρόντι. δεῖ γὰρ ἀποκρίνασθαι ὡς οὐκ ἄλογός τις ἡμῖν ἐγεγόνει πρόφασις πρὸς δευτέρας θεότητος ἔννοιάν τε καὶ πίστιν, ἀλλὰ καὶ μάλα τι εὔλογος· δείξασι γὰρ ἡμῖν τὴν τῶν θείων γραφῶν δύναμιν ὅθεν ἡμῖν ἡ πρόφασις, αὐτόθεν αὐτομάτως πάντως ἑκάτερα ἕψεται, τῆς τε μέμψεως ἡ ἀπόφασις καὶ ἅμα ἡ τοῦ ἀναθεματισμοῦ ἀναχώρησις. οὐ γὰρ ἄλλοθεν ἀλλ' ἢ ἐκ τοῦ ἐν Θαβωρίῳ πάλαι τῷ ὄρει περὶ τὸ τοῦ 3.415 κυρίου σῶμα γενομένου τε καὶ φανέντος φωτός, περὶ οὗ καὶ τὸν ἐν θεολογίᾳ μέγαν συνηνέχθη λέγειν Γρηγόριον λάμψαι τῇ μορφῇ καὶ τὴν θεότητα παραδεῖξαι, καὶ γυμνῶσαι τὸν ἐν τῇ σαρκὶ κρυπτόμενον. καὶ πάλιν· φῶς ἡ παραδειχθεῖσα θεότης ἐπὶ τοῦ ὄρους μικροῦ στερροτέρα καὶ ὄψεως· ὃ τότε μὲν ὡράθη τοῖς ἀποστόλοις, νῦν δὲ τοῖς ἀμφὶ τὸν Παλαμᾶν ἀεί, καὶ πρό γε τούτων ἄλλοις οὐκ ὀλίγοις, ὡς ἐξεῖναι λέγειν ἐντεῦθεν τὸ μὲν ἀόρατον τοῦ θεοῦ, τὸ δ' ὁρατὸν μὲν ἄκτιστον δέ, καὶ τὸ μὲν ἀμέθεκτον τὸ δὲ μεθεκτόν, καὶ τὸ μὲν ὑπερκείμενον τὸ δ' ὑφειμένον. ἄτοπον γὰρ τὸν οὐράνιον χῶρον ἀπολιμπάνον ὅλον



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

παρεῖναι τὸ θεῖον τοῖς ἐπιγείοις τούτοις, οὖσι ῥυπαροῖς τὸ πλεῖστον εἰπεῖν καὶ δυσώδεσι καὶ μεμολυσμένοις. ἢ πῶς ἂν ὕψιστος λέγοιτο θεὸς κατιὼν ἐκεῖθεν καὶ τοῖς ἐπιγείοις καὶ ἐφαμάρτοις συνδιατρίβων; ἀλλ' εἶναι τὴν μὲν οὐσίαν αὐτοῦ ὑπερκειμένην θεότητα ἄκτιστον, ἀεὶ τοῖς οὐρανίοις θαλάμοις ἐνδιατρίβουσαν, καὶ διὰ τοῦτο μένουσαν ἀόρατον πάντῃ καὶ ἀμέθεκτον· τὰς δὲ ἐνεργείας αὐτῆς ὑφειμένας θεότητας, διαφόρους τῆς οὐσίας, καὶ διὰ τοῦτ' ἀνουσίους καὶ ἅμα μεθεκτὰς καὶ ὁρατὰς ἡμῖν. Πρὸς ταῦτα ὁ Γρηγορᾶς "καὶ πῶς ἄν τις" φησίν "ἐλεγχθείη μᾶλλον καὶ ἑαυτῷ μαχόμενος καὶ τῇ θεότητι; ἵνα τοῖς αὐτοῦ Γρηγορίου περὶ αὐτοῦ λέγων χρήσωμαι. εἰ γὰρ ἅπερ αὐτὸς θεμελίων ὑπέθηκε τρόπον, ταῖς κοιναῖς καὶ εὐσεβέσι 3.416 τῆς ἐκκλησίας ἐννοίαις ἑπόμενος, ταῦθ' ὥσπερ ἐν μεταμέλῳ γενόμενος γνώμης διορύττει καὶ ἀναιρεῖ, πῶς οὐ παραβάτην ἑαυτὸν δείκνυσι κατὰ τὸν θεῖον φάναι ἀπόστολον, καὶ ἅμα ἑαυτῷ μαχόμενον καὶ θεότητι; δέδεικται γὰρ αὐτὸς ἐν προοιμίοις διδάσκων ἡμᾶς φῶς ἓν ἀπρόσιτον εἶναι τὴν μόνην ἐκείνην ἄκτιστον τῆς μακαρίας τριάδος οὐσίαν τε καὶ θεότητα. ἀπρόσιτον δ' εἰπὼν καὶ ἀόρατον δεδήλωκεν εἶναι μετὰ πολλοῦ τοῦ κρείττονος· τὰ δὲ μετ' αὐτὸ πάντα φῶτα κτιστά. εἶεν δ' ἂν ἄλλα τε μυρία, καὶ ὅσα μᾶλλον αὐτὸς τὴν ὁμώνυμον φωνὴν τοῦ φωτὸς κατὰ τὴν εἰς πλείω σημαινόμενα ποιησάμενος ἔκτασιν ἐν τῷ περὶ βαπτίσματος ἐξέθετο λόγῳ. οὐ τοίνυν ἑαυτῷ μαχόμενος καὶ θεότητι φαινοιτ' ἂν ὁ μέγας οὗτος διδάσκαλος; ἄπαγε. μαινομένης ταυτὶ διανοίας καὶ γλώττης εἰσὶ παρευρήματα κατὰ τοῦ ἁγίου, ἤθεσι χρηστοτέροις δολερῶς κρυπτόμενα· πολλὰ γὰρ ἐκεῖνος ἀπαριθμησάμενος λέγεσθαι φῶτα, ἓν τῶν πολλῶν εἶναι λέγει κἀκεῖνο τὸ φῶς, ἐν ᾧ μὴ δεδεῖχθαί φησιν ἀλλὰ παραδεδεῖχθαι τηνικαῦτα τὴν θεότητα, τῆς παρά προθέσεως κολαζούσης τὸ αὔθαδες τῶν ἀτόπως τὰ θεῖα βωμολοχεῖν ὡρμημένων, ὡς καὶ ἡμῖν ἐν ἄλλοις εἴρηταί τε καὶ αὖ προϊοῦσι τρανότερον εἰρήσεται κατὰ χώραν. παρίτω δ' ὅμως ἐν βραχεῖ ὁ Χρυσορρήμων ἡμῖν συμμαχῶν Ἰωάννης, εἴρηται λέγων πολλάκις ὡς 3.417 ἡ θεία φύσις οὐ φαίνεται ὡς ἔστιν, ἀλλ' ὡς ἐπιμετρεῖ τῇ ὄψει ἢ τῇ ἀκοῇ τῆς θνητῆς φύσεως· καὶ ἵνα μὴ εἰς ὕβριν ἐκλάβῃς τὸ τὴν ἁγίαν καὶ προσκυνητὴν φύσιν πυρὸς ὄψει φανῆναι, ὤφθησαν γάρ φησι διαμεριζόμεναι γλῶσσαι ὡσεὶ πυρός, ἑρμηνεύει τὰ νέα τὰ διὰ Μωϋσέος πάλαι γενόμενα. λέγει γὰρ Μωϋσῆς "καὶ ἦν τὸ εἶδος τοῦ θεοῦ Ἰσραὴλ ἐν τῷ ὄρει Σινᾶ ὡς πῦρ καιόμενον·" ἀλλ' ὅρα, φησί, καὶ τὴν λέξιν ἐκείνην συμφωνοῦσαν ταύτῃ τῇ νέᾳ· οὐ γὰρ εἶπε πῦρ, ἀλλ' ὡς πῦρ. καὶ ἐνταῦθα ὤφθησαν γλῶσσαι ὡσεὶ πυρός. καὶ ταῦτα μὲν ὁ Χρυσορρήμων ἐκ πολλῶν ἀπολεξαμένοις ἡμῖν ὀλίγα διέξεισιν· ὁρᾶτε δὲ πῶς βραχείας λέξεως προσθήκη τὸ αὔθαδες καὶ τολμηρὸν θεραπεύει τῆς ἐννοίας, καὶ ἀναστέλλει τὸ ἀχαλίνωτον, εἴ τινες εἶεν ὑπὲρ τὰ ἐσκαμμένα πηδᾶν ὡρμημένοι δι' ἀμαθίαν ἢ δυστοπίαν κακοδαίμονος γνώμης. κἀνταῦθα τοιγαροῦν τῆς παρά προθέσεως προστεθείσης, μεγίστη γέγονεν καὶ τῶν ἀτόπων ἐννοιῶν συστολή, καὶ διὰ τῆς βραχείας ταυτησὶ προσθήκης μεγίστην ἔσχε ῥοπὴν ἡ τῆς ἀληθοῦς ἐννοίας ἔνδειξις ὁμοῦ καὶ εὐγένεια, περιφανῶς ἀνατρέπουσα τὴν πολύγλωσσον ἀωρίαν οἷς οὐκ αἰδὼς τὰ θεῖα βοσκηματώδεσι βεβηλοῦν ἐννοίαις. εἰ δέ τῳ πρὸς βουλήσεως εἴη ἐνταῦθα καὶ τοῦτ' αὐτῶν ἐπισκώπτειν, ὅθ' ὑπερτιμᾶν δοκοῦντες ἐκεῖνο τὸ φῶς ἀτιμάζουσι μᾶλλον ὑπὲρ τὸ δέον, κεραννύντες καὶ συμμιγνύντες τοῖς ἐκ διαμέτρου πᾶσιν 3.418 ἐναντιώμασιν, ὁρατὸν ἄκτιστον λέγοντες καὶ μεθεκτὸν ἀπρόσιτον καὶ ἄυλον καθ' αὑτὸ μεριστὸν καὶ ὅσα τοιαῦτα, οὐκ ἔγωγε διοίσομαι, οὐδ' ἑκών γε εἶναι τουτωῒ νεμεσῴην ἄν· ἀλλὰ καὶ τὸ ἀνεγκλήτῳ μένειν παντάπασι τό γ' ἐμὸν μέρος ἀσμένως αὐτῷ κομιδῇ χαρισαίμην· καὶ οὗτοι γὰρ ἃ μηδὲ τοῖς κτίσμασιν οὐκ ἄν τις τολμῴη παρέχεσθαι, δαίμοσι δηλαδὴ καὶ ψυχαῖς καὶ ἀγγέλοις, (ἀόρατος γὰρ καὶ τούτων ἁπάντων ἡ φύσις, εἰ μὴ διὰ συμβόλων καὶ τύπων σωματικῶν ἐνίοτε φαίνοιντο τὸν ἑκάστοις προσήκοντα τρόπον), τούτοις ἀσμένως συναριθμεῖσθαι τὰς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

οἰκείας θεότητας συνωθοῦσι τὰς ἀκτίστους καὶ ἀπροσίτους, καὶ μάλιστα πασῶν τὸ διειλημμένον ἐκεῖνο φῶς. ὥσπερ γὰρ ἀνανδρίας ἑκατέρωθεν ἔλεγχον ἀμφοῖν ἄμφω κομίζει, τῷ τε μὴ θέλοντι θνήσκειν ὅτε δεῖ, καὶ τῷ θέλοντι πάλιν ὅτε μὴ δεῖ, οὕτω κἀν ταῖς θείαις τιμαῖς τὸ ὑπερβάλλον οὗ μὴ προσήκει, οὐ τιμὴν παρέχει θεῷ, σκοπὸν ὕβρεως τηνικαῦτα τῆς τοῦ εὐλαβοῦς προσποιήσεως συμπορευόμενόν τε καὶ συμπλέοντα κεκτημένης. πολλοῦ μέντ' ἂν δεήσειε μὴ καὶ πρὸς τὴν Ναυάτου μισανθρωπίαν ὠθεῖν τὴν μίμησιν, ὃς τὴν ἀρετὴν ἐς τὸ ὑπερβάλλον τιμᾶν προσποιούμενος, ἔλαθε τὸ τοῦ θεοῦ φιλάνθρωπον ἐξ αὐτῶν κρηπίδων ἄντικρυς ἀναιρῶν, τὴν ἐξ ἁμαρτίας μετάνοιαν οὐδαμῶς προσιέμενος, καὶ προσηγορίαν εὐλαβείας ἐν ἀωρίᾳ προφάσεως ἑαυτῷ προμνώμενος, τὰ χείριστα 3.419 τῆς κακίας τοῖς ἠκολουθηκόσι προυξένησεν· οὕτω χείριστόν ἐστιν ὑπὲρ τὸ δέον ἅττειν καὶ πατρῶν ὅρια κινεῖν. ἀντιφωνεῖν γὰρ ἀνάγκη τοῖς ἀφανέσι τῶν ὀρέξεων ἐνταῦθα πάθεσι τὰ χειρὸς καὶ γλώττης ἐμφανῆ κινήματα, καὶ σφετέροις σφέτερα μέρεσι μέρη πολέμια καὶ ἀντίφθογγα τρέφειν αὐτόν τινα ἑαυτῷ, ἕως ἂν σαφῆ τὸν ἔλεγχον ὁ χρόνος ἐπικούρους εἰληφὼς τὰς ἀψευδεῖς τῆς δίκης πλάστιγγας εἰς ὕπαιθρον ἐξενέγκῃ θέατρον, καὶ οἰομένους τιμὴν κερδαίνειν ἐν τοῖς ὄφλουσιν αἰσχύνην εὑρισκομένους ἐνδείξηται. ὁποῖον δήπου πεπόνθασι καὶ οἱ τὴν τῶν ἀκτιστιτῶν αἵρεσιν ὑποστήσαντες· οἰόμενοι γὰρ τιμᾶν τὴν τοῦ Χριστοῦ σάρκα ἄκτιστον ταύτην ἐδογμάτισαν εἶναι, κἀντεῦθεν οὐ μικρὸν τῇ τοῦ Χριστοῦ ἐκκλησίᾳ παρεισήνεγκαν νόσημα καὶ ἀντὶ τιμῆς ἀτιμίαν πεπράχασι· διὸ καὶ ἰδία τις αὕτη αἵρεσις ἀκτιστιτῶν ὠνομάσθη τε καὶ ἀποκεκήρυκται πρὸς τῶν εὐσεβῶν. παραπλήσιον δέ τι καὶ ὁ θεολόγος ἔφη Γρηγόριος πρὸς Εὐνόμιον, τὸ ὑπὲρ πᾶσαν, λέγων, οὐσίαν καὶ φύσιν τῷ μὲν πατρὶ διδούς, ὦ ἄνθρωπε, τὸν δ' υἱὸν ἀποστερῶν καὶ τὰ δεύτερα νέμων αὐτῷ τῆς τιμῆς καὶ τῆς προσκυνήσεως, κἂν ταῖς συλλαβαῖς χαρίζῃ τὸ ὅμοιον, τῷ πράγματι περικόπτεις τὴν θεότητα, καὶ μεταβαίνεις ἀπὸ τῆς τὸ ἴσον ἐχούσης ὁμωνυμίας ἐπὶ τὴν τὰ μὴ ἴσα συνδεούσαν. καὶ ἀλλαχοῦ "οὐ γὰρ θεὸς τὸ κτιζόμενον, οὐδὲ δεσποτικὸν τὸ ὁμόδουλον, κἂν τὰ πρῶτα φέρηται δουλείας καὶ κτίσεως, καὶ τοῦτο μόνον φιλανθρω 3.420 πεύηται ὑβριζόμενον· ὁ γὰρ τῆς ὀφειλομένης ἀποστερῶν τιμῆς οὐ μᾶλλον τιμᾷ τῷ δεδομένῳ ἢ ἀτιμάζει τῷ ὑφαιρουμένῳ, κἂν προσποίησιν ἔχῃ τιμῆς τὸ γινόμενον." Ὁρᾷς πῶς τὸ μὴ προσηκόντως τιμᾶν, ἀλλ' ὑπερβαίνειν δοκεῖν τοὺς νενομισμένους ὅρους, ὕβρεως τίκτει καρπούς. ἡ γὰρ τοῦ ὑπερβάλλοντος παρενθήκη ἔλεγχος γίνεται τοῦ πρὶν ἐλλιποῦς καὶ οὐ μᾶλλον δίδωσιν ἢ ζημιοῖ, περιφανεστέραν ποιοῦσα τῆς ἀληθοῦς τιμῆς τὴν ὑφαίρεσιν ἢ τὴν πεπορισμένην ταύτης ἐπίτασιν, ὡς κινδυνεύειν ἐν τῇ τοῦ δοκεῖν ἀφθονίᾳ τὰ τῆς πτωχείας ὑπομένειν αἰσχρά. δυοῖν οὖν κἀνταῦθα θάτερον ἕπεται· ἢ γὰρ κακουργίας ἐγχείρημα φαίνεται εἶναι τουτί, δι' ἀπάτην τῶν ἁπλουστέρων ἐπινενοημένον, ἢ δεισιδαιμονίαν ὀνομαστέον τὸ τοῦ νοσήματος πάθος, ἔκγονον λόγου διεψευσμένως ἔχοντος ὂν πρὸς τὸ ἀγαθόν, δειλίας δ' ἀορίστους καὶ ἀτεκμάρτους ταῖς μητράσι ψυχαῖς ἐντιθὲν καὶ φόβους ἐν οὐ καιρῷ φυομένους, θανάτου γείτονας καὶ οἵους οἱ ἐν ᾅδου μυθεύονται πέμπειν τοῖς ζῶσιν ἐν ὕπνοις, ἐκ διαμέτρου μὲν καὶ ἀντιδιῃρημένην τῇ ἀθεΐᾳ τὴν τάξιν ἐσχηκός, γένος δ' ὅμως ἐκείνῃ ταὐτὸν κεκτημένον, τὴν ἄγνοιαν δηλαδή. ὁμοίως γὰρ τῶν διαβεβλημένων ἐστὶ τό τ' ἀκίνητον εἶναι πρὸς τὴν τοῦ θεοῦ τιμήν, καὶ αὖ τὸ κινεῖσθαι πρὸς αὐτὴν καθάπερ οὐ χρή· τὸ μὲν γὰρ πίστεως ἄμοιρον, τὸ δὲ καὶ δόξαν ἐμπαθῆ προσλαμβάνει, σμικρολογίαν μακρὰν τῷ θεῷ 3.421 προστρῖβον. καὶ ἔστιν ἐν ἀμφοτέροις ὅμοιον τὸ κακόν, κἂν ἀντίθετον ἐκληρώσατο τύχην ἀλλήλοις ἑκάτερον. Ἵνα δὲ κἀκ τῶν συνηθεστέρων τῇ φύσει καὶ οἷον εἰπεῖν κοινῶν τοῖς ἅπασιν ἐννοιῶν ὑποδείγματά τινα πρὸς σαφήνειαν ὁ λόγος εἰληφὼς τῶν τῷ ἁγίῳ ἠριθμημένων ἐκείνων φώτων ἓν καὶ τὸ φῶς ὂν ἐκεῖνο δείξῃ, καὶ τῆς ὁμοίας ποιότητος, εἰ καὶ τῇ λαμπρότητι παραλλάττειν ἔδοξε, φαίην ἂν ὡς πολλῶν ἐξ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

αἰῶνος ἀγαθῶν γεγονότων ἀνδρῶν καὶ θεοφιλῶν εἷς ἣν φέρε εἰπεῖν καὶ Μωσῆς ὁ μέγας ἐκεῖνος, δι' οὗ τὰ μέγιστα τῶν θαυμάτων κατὰ τὴν Αἴγυπτον ὁ θεὸς ἐπεπράχει. οὐ μόνον δέ, ἀλλὰ καὶ θείῳ τὸ πρόσωπον αὐτοῦ φωτὶ κατελάμπρυνεν, ὡς μηδὲ τοὺς υἱοὺς Ἰσραήλ, κατὰ τὸν θεῖον φάναι ἀπόστολον, ἀτενίσαι δύνασθαι εἰς τὸ πρόσωπον αὐτοῦ διὰ τὴν δόξαν τοῦ προσώπου τὴν τότ' ἐκείνην ἐκεῖ φανεῖσαν. καὶ κάλυμμα ἔχειν ὁ θεῖος ἔφη Χρυσόστομος ἐπὶ τοῦ προσώπου τότε Μωσέα· καὶ τὸ αἴτιον, ἐπεὶ μὴ ἐδύναντο, φησί, τὴν δόξαν ὑπενεγκεῖν τοῦ προσώπου αὐτοῦ. ὁρᾶτε πῶς καὶ τῆς τῶν ὁρώντων ὄψεως στερρότερον γέγονε καὶ τὸ φῶς ἐκεῖνο τὸ τοῦ Μωσέως πρόσωπον πάλαι λαμπρῦναν. φῶς οὖν καὶ Γρηγόριος ἓν ἐκεῖνο πρὸς τοῖς ἄλλοις καὶ τὸ φῶς ἐκεῖνο πρὸς τοῖς ἄλλοις φησὶν ᾧ τὸ Μωσέως δοξάζεται πρόσωπον. καὶ πολλὰ τοιαῦτα συνείρας διάφορα μὲν τὴν ποιότητα καὶ οὐ τὴν φύσιν, κἀκ τῶν ποιημά 3.422 των τὸν ποιητὴν ὑμνήσας, ὃν καὶ ἀδιάδοχον εἶπε φῶς καὶ κυρίως ἕν, ἔπειτα τοῖς ἄλλοις καὶ τὸ φῶς ἐκεῖνο συναριθμεῖ, ᾧ παρεδείχθη τυπικῶς ἡ θεότης, λαμπρότερον μὲν τὴν τῆς αἴγλης ποιότητα, τὴν δὲ φύσιν τηροῦν τοῖς ἄλλοις τὴν αὐτήν. καὶ τὸ τῆς ἀληθοῦς ἐννοίας ἐνταῦθα κράτος ἡ τοῦ ἄρθρου παρίστησι θέσις, τὴν θεότητα περιγράφουσα, καὶ τὸ ἄφετον καὶ ἀόριστον τῶν σημαινομένων πρὸς τὸ μοναδικὸν καὶ ἑνιαῖον συστέλλουσά τε καὶ περισφίγγουσα. οὐ γὰρ θεότητας ἀπαριθμούμενος ὁ διδάσκαλος μίαν εἶπε θεότητα καὶ τὸ φῶς ἐκεῖνο, ἀλλὰ τοὐναντίον φώτων ἀριθμουμένων πολλῶν ἓν ἐκεῖνο τῶν πάντων εἴρηκεν εἶναι, τιμηθὲν μὲν ὑπὸ θεοῦ πλέον, ἵν' οὕτως εἴπω, τῶν ἄλλων, οὐ μὴν δυνάμενον ἄκτιστον γενέσθαι θεότητα, ἀλλ' ἀκτίστου θεότητος παράδειξιν τυπικήν τε καὶ συμβολικήν, ὡς εἰρήσεται προϊοῦσιν ἡμῖν ἐμφανέστερον. ὥσπερ οὖν πολλῶν ὄντων ἀνδρῶν ἀγαθῶν καὶ θεοφιλῶν προφητῶν ἕνα τῶν πάντων εἶναι καὶ Μωσέα εἰρήκειμεν, τιμηθέντα μὲν πρὸς θεοῦ πλέον τῶν ἄλλων σχεδὸν τῇ τε λαμπρότητι τοῦ προσώπου καὶ τοῖς ἐν Αἰγύπτῳ θαύμασι, καὶ θεὸν γενόμενον Φαραώ, ἄκτιστον δ' οὔ, οὕτω καὶ περὶ τοῦ φωτὸς νοητέον ἐκείνου. αἱ γὰρ τιμαὶ καὶ δόξαι καὶ λαμπρότητες ποιότητές τινες ἐπουσιώδεις οὖσαι καὶ συμβεβηκότων εἴδη, αὐταὶ μὲν ἀλλοίωσιν καὶ μεταβολὴν ὑπομένειν πεφύκασιν, ἡ δ' οὐσία τῶν τοιούτων ἀθῴως μένει πα 3.423 θῶν· ὑποβάθρα γάρ τις καὶ θεμέλιος γίνεται τούτοις ἅπασι, καὶ ταύτης ἄνευ ὑπόστασις ἐκείνοις οὐκ ἔστιν οὐδ' ἡτισοῦν, οὐσιωδῶς γε μὴν αὐτοῖς καὶ αὕτη συναλλοιοῦσθαι ἥκιστα οἶδεν. εἰ δὲ δι' ἀμαθίαν ἔνιοι καὶ ἔκστασιν λογικῆς ἐπιστήμης, δι' ἧς οἱ θεῖοι πατέρες τὰς δογματικὰς συνεστήσαντο βίβλους, ἕπεσθαι ἥκιστα δύνανται, τί τοῦτο πρὸς τὴν ἀληθῆ γνῶσιν; οὐ γὰρ ἀτιμαστέον τὴν παίδευσιν δι' αὐτούς, ἀλλὰ σκαιοὺς καὶ ἀπαιδεύτους ὑποληπτέον τοὺς οὕτως ἔχοντας ὁ μέγας φάσκει διδάσκαλος. πολλοῦ μὲν γὰρ ἂν δεήσειε τοὺς ὅρους ἐκείνους τῆς οἰκείας φυλάττειν φύσεως τά τε ἄλλα δήπουθεν, καὶ τό γε τὴν αὐτὴν καὶ μίαν μένουσαν τῷ ἀριθμῷ τὴν οὐσίαν τῶν ἐναντίων εἶναι δεκτικήν, εἰ ὧν ἀνυποστάτων ὄντων καθ' αὑτὰ ὑπόστασις αὕτη γίνεται, τούτοις συμμεταβάλλοιτο τῆς οἰκείας ἐξισταμένη φύσεως. ἀνούσιοι μὲν γὰρ αἱ περὶ τὰ σώματα ποιότητες καὶ ἀσώματοι, αἰσθηταὶ δ' οὖν, καὶ περὶ τὰ τῇ αἰσθήσει ὑποκείμενα σώματα τὴν ὑπόστασίν τε καὶ σύστασιν ἔχουσαι· πᾶν δὲ τὸ τῇ αἰσθήσει ὑποβαλλόμενον ὁ θεῖος φάσκει Χρυσόστομος μηδ' οὐσίαν εἶναι ἀγγέλου δύνασθαι λέγειν, ἀλλὰ σῶμα πάχος ἔχον καὶ τριχῇ διαστατόν. πῶς οὖν ἂν εἴη θεότης ἄκτιστος ἐκεῖνο τὸ φῶς, αἰσθήσει ὑποβαλλόμενον καὶ ὁρώμενον, ὡς ἅπαντες μὲν καὶ πρό γε πάντων ὑμεῖς μαρτυρεῖτε. ἢ πάντως καὶ ὑμῶν σιωπώντων ἐξ ἀπορίας ὁ θεῖος ἑρμηνεύει Δαμασκηνὸς Ἰω 3.424 άννης, "ἐν τῷ Θαβὼρ" λέγων "τῷ ὄρει ἐλάμπρυνεν μὲν ἡλίου δίκην τὸ πρόσωπον ἑαυτοῦ ὁ Χριστός, ἵν' ὡς θεὸς παραδείξῃ τοῖς μαθηταῖς τὴν τῆς οἰκείας θεότητος δύναμιν· ἀλλ' ἐπειδὴ καὶ Μωσέως ἐλάμπρυνε πάλαι τὸ πρόσωπον ἔξωθεν, ἔλαθε νῦν τὸν διάβολον διὰ τῆς αἰσθητῶς δηλαδὴ κἀνταῦθα φανείσης λαμπρότητος." ἰδοὺ καὶ οὗτος σῶμα καὶ αἰσθήσει ὑποβληθὲν καὶ ὁραθὲν τὸ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

λαμπρυνθὲν τοῦ Χριστοῦ φησὶ τηνικαῦτα πρόσωπον. οὐ γὰρ φαντασία τὸ τῆς ἐνσάρκου μυστήριον οἰκονομίας ἦν· εἰ δὲ σῶμα, καὶ οὐσία πάντως κτιστή· τῇ γὰρ τῶν ἀκτιστιτῶν αἱρέσει περιφανῶς ἔρριπται τὴν τοῦ κυρίου σάρκα δοξάζειν ἄκτιστον· πῶς οὖν ἄκτιστος ἡ αἰσθητῶς φανεῖσα τηνικαῦτα λαμπρότης; καὶ τίς ὁ ταῦτα τολμῶν κηρύττειν πλὴν τῶν εἰκονομάχων μὲν ὕστερον, Μανιχαίων δὲ καὶ Μασσαλιανῶν πρότερον, νῦν δὲ τῶν Παλαμιτῶν; ἢ γὰρ οὐκ ἀκούετε σαφέστατα τῶν ἁγίων λεγόντων, τὸ τῇ αἰσθήσει μὲν ὑποβαλλόμενον ὁρατόν, ὃ δ' ἄκτιστον, μὴ ὅτι οὐχ ὁρατόν, ἀλλὰ καὶ νοῦν καὶ λόγον ὑπερβαῖνον; τοῦτο δὲ τί ἂν εἴη τῶν πάντων ἕτερον ἢ ὃ φῶς ἓν ἀπρόσιτον ἔστι καὶ μόνον ἓν κυρίως ὁ θεός. ὅμως, ἐπειδὴ κανόνι τε καὶ σταθμῷ ἄνω τὰς κοινὰς ἐκείνας καὶ ὡμολογημένας τοῖς πᾶσιν ἐννοίας προεβαλόμεθα, ὡς ἂν πρὸς ἐκεῖνα βλέποντες τὰς ἑξῆς τῶν λόγων διευθύνωμεν ἐργασίας καὶ τὰ ἐπιχειρήματα, ἀναληπτέον ἡμῖν ἐστὶ καὶ ζητητέον πῶς ἐναντία ταῖς κοιναῖς καὶ ὡμολογη 3.425 μέναις ἐκείναις ἐννοίαις ἔνεστι περιφανῶς συμπεραίνειν. πάντα γὰρ οὖσα καὶ καλουμένη ἡ θεότης καλεῖται καὶ φῶς· εἰ οὖν φῶς ἓν ἀπρόσιτον καὶ ἀδιάδοχον ὁ θεὸς καὶ κυρίως ἓν καὶ μόνον ἄκτιστον, πῶς καὶ πόθεν εὕρηται νῦν τῇ Παλαμικῇ φατρίᾳ δεύτερον ἄκτιστον φῶς Θαβωρίῳ διάφορον τῆς θείας οὐσίας, τῶν τῷ θεολόγῳ Γρηγορίῳ ἀριθμηθέντων ἐκείνων φώτων πολλῶν ἓν ὄν; ὃ γὰρ τῶν πολλῶν ἓν ὄν, οὐχ ἓν κυρίως· ὃ δὲ κυρίως ἓν καὶ ἀδιάδοχον, τῶν πολλῶν ἓν εἶναι οὐ δύναται. πῶς γὰρ ἂν ἄκτιστον ἔτ' εἶναι δύναιτο, τοῖς ἄλλοις καὶ διαφόροις αὐτοῦ ποιήμασι συναριθμούμενον; ἢ πῶς τὸ ἀνούσιον τῇ οὐσίᾳ ταὐτόν; εἰ γὰρ ταὐτόν, οὐ διάφορον, εἰ δὲ διάφορον, οὐ ταὐτόν· ἄμικτα γὰρ φύσει παντάπασι ταῦτα, καὶ λίαν ἀσύμβατα καὶ οὐδέποτε σύμφωνα. ἐπὶ δὴ τούτοις αὖθις ἑτέραν ἀντεπῆγον ἀντίθεσιν, οὐ δυνηθέντας ἑαυτοὺς ἀπονίψασθαι τὸν σφίσιν ἐπενηνεγμένον ὑπὸ τῆς θείας καὶ οἰκουμενικῆς ἕκτης συνόδου ἀναθεματισμὸν αἰσθόμενοι. καὶ ἦν ἡ ἀντίθεσις ἔχουσα οὕτως. εἶτα οὐδὲ τὸν μέγαν δέχῃ, φασί, Διονύσιον λέγοντα "ὅταν ἄφθαρτοι καὶ ἀθάνατοι γενώμεθα καὶ τῆς χριστοειδοῦς καὶ μακαρίας ἐφικώμεθα λήξεως, πάντοτε σὺν κυρίῳ κατὰ τὸ λόγιον ἐσόμεθα, τῆς μὲν ὁρατῆς αὐτοῦ θεοφανείας ἐν πανάγνοις θεωρίαις ἀποπληρού 3.426 μενοι, φανοτάταις ἡμᾶς μαρμαρυγαῖς περιαυγαζούσης ὡς 3.426 τοὺς μαθητὰς ἐν ἐκείνῃ τῇ θειοτάτῃ μεταμορφώσει, τῆς δὲ νοητῆς αὐτοῦ φωτοδοσίας ἐν ἀπαθεῖ καὶ ἀύλῳ τῷ νῷ μετέχοντες." Πρὸς ταῦτα ὁ Γρηγορᾶς, "καὶ μήν" φησι "πολλαχόθεν ὁρῶ τὴν τοῖς ὑμετέροις σπουδάσμασιν ἑπομένην αὐτόθεν ἀναίρεσιν· οὐ γὰρ σύνεσιν ὧν λέγετε λαβεῖν ἐδυνήθητε, πρὶν τὸν οὐδὸν ὑπερβῆναι τῶν οἰκείων χείλεων μάλα ὀφείλοντες. πρῶτον μὲν γὰρ τὸ τὴν ἐντελῆ σαφήνειαν τῶν προλεχθέντων ἔχον ἄνω λιπόντες, τὸ συνεχὲς ἡμίτομον ἐκεῖθεν ὑφελόμενοι προηνέγκατε. μεμυήμεθα γάρ, ὁ θεῖός φησι Διονύσιος, νῦν μὲν ἀναλόγως ἡμῖν διὰ τῶν ἱερῶν παραπετασμάτων, τῆς τῶν λογίων καὶ τῶν ἱεραρχικῶν παραδόσεων φιλανθρωπίας αἰσθητοῖς τὰ νοητὰ καὶ τοῖς οὖσι τὰ ὑπερούσια περικαλυπτούσης, καὶ μορφὰς καὶ τύπους τοῖς ἀμορφώτοις τε καὶ ἀτυπώτοις περιτιθείσης, καὶ τὴν ὑπερφυᾶ καὶ ἀσχημάτιστον ἁπλότητα τῇ ποικιλίᾳ τῶν μεριστῶν συμβόλων πληθυνούσης τε καὶ διαπλαττούσης. τούτων δ' οὕτως ἐχόντων, μορφὰς καὶ τύπους καὶ μεριστὰ σύμβολα τις ἄν ποτ' ἄκτιστα φαίη σωφρονῶν καὶ μανίας ὑπάρχων ἐλεύθερος; ὅμως καὶ ἡ τοῦ θείου Μαξίμου τὸ παρὸν χωρίον ἑρμηνεύοντος μαρτυρία τὴν ἐξ ἀμαθίας παράνοιαν τῶν ἄλλως λεγόντων ἐλέγξει· εἶναι γάρ φησι ταῦτα ἐπὶ μὲν θεοῦ, ὅταν φαίνηται ὡς πῦρ καὶ ὡς γέρων ἐν Δανιὴλ καὶ ὡς ἀνὴρ παλαίων τῷ Ἰακώβ, καὶ ὅσα τοι 3.427 αῦτα· ἐπὶ δ' ἀγγέλων, ὅταν τὰ Χερουβὶμ ὡς θηριόμορφα καὶ ἄλλα ἐν τάξει ἀνδρῶν καὶ νεανίσκων φαίνωνται. καὶ πάλιν "σημειωτέον ὅτι τὸ θεῖον σῶμα τοῦ κυρίου ὁρατήν φησι θεοφάνειαν, νοητὴν δὲ ἥτις κατὰ νοῦν ἔσται μεθεκτή." ὁρᾶτε πῶς ὁλοκλήρου τοῦ τῆς γραφῆς σώματος κειμένου, κτίσματα προδήλως εἶναι δείκνυνται μορφαὶ καὶ τύποι καὶ τὰ μεριστὰ καὶ πλασματώδη ταῦτα σύμβολα.



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

πρῶτον μὲν οὖν τοῦτ' ἄτοπον πεπραχότες ἐστέ, τὰς τῆς θείας γραφῆς ἡμιτόμους προφέροντες ῥήσεις· δεύτερον δ' ὅτι τὰ καιριώτερα τῶν τοῦ Διονυσίου λόγων σιωπῇ κρύψαντες μέλλοντά φατε καὶ οὔπω δῆλα· τὸ γὰρ "ὅταν ἄφθαρτοι γενώμεθα καὶ ἀθάνατοι" καὶ τὰ ἑξῆς οὔπω προσγέγονεν ὑμῖν, εἰ μὴ τὸν Ἐνδυμίωνος ὕπνον καθεύδειν δοκεῖτε καὶ λελήθατε τὴν ὑμετέραν κατάλυσιν ἀφ' ἑστίας καθ' ἑαυτῶν ἐπαγόμενοι. ἦ οὐδὲ τοῦ ἀποστόλου βοῶντος ἠκούσατε, ὡς καὶ ἡμεῖς ἐν ἑαυτοῖς στενάζομεν υἱοθεσίαν ἀπεκδεχόμενοι τὴν ἀπολύτρωσιν τοῦ σώματος ἡμῶν· τῇ γὰρ ἐλπίδι ἐσώθημεν, ἐλπὶς δὲ βλεπομένη οὐκ ἔστιν ἐλπίς· ὃ γὰρ βλέπει τις, τί καὶ ἐλπίζει; εἰ δ' ὃ οὐ βλέπομεν ἐλπίζομεν, δι' ὑπομονῆς ἀπεκδεχόμεθα. εἰ οὖν τοῦτ' εἴη τὸ τοῖς Παλαμίταις ὑμῖν ὁρώμενον φῶς, ὡς αὐτοὶ διατείνεσθε, καὶ τῷ μέλλοντι ταὐτὸν ἐκείνῳ φωτὶ ὃ σωμάτων ἀφθάρτων κατὰ τὸν θεῖον εἰπεῖν Διονύσιον δεῖται 3.428 πρὸς θεωρίαν, περιττὸν ἄρα τὸ τοῦ θανάτου μυστήριον, περιττὸν δὲ καὶ ὅ φησι Παῦλος ὁ θεῖος, δεῖν τὸ θνητὸν τοῦτο ἀθανασίαν ἐνδύσασθαι καὶ τὸ φθαρτὸν ἀφθαρσίαν, καὶ πρός γε τὸ ἐν ἐλπίσι μὴ βλεπομέναις κεῖσθαι τὴν υἱοθεσίαν ἡμῶν μετὰ τὴν τοῦ σώματος ἀπολύτρωσιν. εἰ γὰρ μετὰ τοῦ σωματικοῦ πάχους καὶ τῆς Παλαμικῆς κραιπάλης καὶ τρυφῆς ἐξείη καὶ τοῦ μέλλοντος ἐκείνου φωτὸς ἀπολαύειν ἐνταῦθα, τί δεῖ θανάτου πρὸς ἀθανασίαν ἐπηγγελμένην μετάγοντος καὶ ζωὴν ἀίδιόν τε καὶ ἄφθαρτον, εἰ οὐκ εἰς τὸ μέλλον, οὐδ' εἰς ἃ τὰς μετὰ θάνατον ταμιεύει ἐλπίδας, ἀλλ' ὅσα γέμει μὲν τρυφῆς καὶ σαρκικῶν ὀρέξεων, ἐρρῶσθαι δέ πως φράζει μετὰ τῶν σεμνῶν ἐλπίδων, καὶ εἴ τί που ταῖς τοιαύταις ἐπαγγελίαις ἐγκέκρυπται. μία μὲν οὖν αὕτη κατάλυσις αὐτόχρημα καθ' ὑμῶν, οὐ πολλῶν δεηθεῖσα λόγων· δεύτερον δ' ὅτι Διονύσιος θεοφάνειαν μέν φησιν ὁρατήν, οὐ θεότητα δ' ἄκτιστον ὁρατήν· πόρρω δ' ἀλλήλων ἄλληλα, καὶ διεστηκότα μᾶλλον ἢ ὅσον ἐκ δυσμῶν ἀπέχουσιν ἀνατολαί· θεοφανείας μὲν γὰρ ἡμῖν ὁρατὰς διαφόρους καὶ πλείστας γεγονυίας παραδιδόασιν αἱ θεῖαι καὶ ἱεραὶ βίβλοι, καθὰ προϊόντες ἐς πλάτος ἐκθήσομεν· θεότητα δ' ἄκτιστον πλὴν τῆς τρισυποστάτου μιᾶς οὐσίας οὐδείς πω τὸ παράπαν ἑτέραν ἄχρι καὶ τήμερον οὔθ' εὗρεν οὔτε λελάληκεν, οὔτε μὴν οὐδ' εἰς νοῦν βαλέσθαι τετόλμηκεν εὐσεβείᾳ συντεθραμμένος πλὴν τῆς Παλαμικῆς φατρίας. 3.429 Δύο μὲν δὴ ταύτας ἠνέγκαμεν ταῖς ὑμῶν ἀντιθέσεσι λύσεις διὰ βραχέων, εἴη δ' ἂν καὶ τρίτη, ἡ παρὰ τὴν λέξιν, λέγω δὴ τὴν ὥς, μονοσύλλαβον μὲν οὖσαν, ὁμώνυμον δὲ καὶ κατὰ πολλῶν λεγομένην σημαινομένων. ὧν τὰ μὲν πλείω γραμματισταῖς παραπεμπτέον, οἷς προυργιαίτερον τουτοΐ· ἡμῖν δ' ἀπόχρη κατὰ τοὺς τῶν θείων ἐνταῦθα γραφῶν ἐκδέχεσθαι ἑρμηνέας, ποτὲ μὲν ὡς βεβαιωτικὴν δηλαδὴ καὶ τῆς ὑποκειμένης ἐννοίας ἐπίτασιν ἔχουσαν, ποτὲ δ' ὡς ὁμοιωματικὴν ἢ διστακτικὴν καὶ οὐ μάλα ἀναμφισβήτητον. ὧν ὑποδείγματ' ἂν εἴη ταῦτ' ἐκ προχείρου παραστάντα τῇ μνήμῃ, τῆς μὲν βεβαιωτικῆς καὶ τῆς ὑποκειμένης ἐπίτασιν ἐχούσης ἐννοίας τὸ "ἐθεασάμεθα τὴν δόξαν αὐτοῦ δόξαν ὡς μονογενοῦς παρὰ πατρός," ἐν σαρκὶ μὲν κεκρυμμένην δηλονότι, ἀλλ' ὡς τῷ ὄντι μονογενοῦς καὶ κυρίως υἱοῦ καὶ λόγου τοῦ θεοῦ διὰ τῶν παραδόξων ἔργων φαινομένου· τῆς δ' ἑτέρας τὸ "ἔλαμψε τὸ πρόσωπον αὐτοῦ ὡς ὁ ἥλιος·" ἐνταῦθα γὰρ ὁμοιώσεως ἔσχε τρόπον, καὶ οὐ μάλα ἀναμφισβήτητον ἔμεινεν, οὐδ' ἐκτὸς παραλλάξεως. ὁποῖόν ἐστι καὶ τὸ προβληθὲν ἐν τῷ παρόντι θείου Διονυσίου ῥητόν, ὡς τοὺς μαθητὰς ἐν ἐκείνῃ τῇ θειοτάτῃ λέγοντος μεταμορφώσει· ὁμοιότητα γὰρ ἐνταῦθα καὶ οὐ ταυτότητα σημαίνει τὸ ῥῆμα, καὶ ἀπαραλλαξίαν ἔχειν οὐ δύναται· οὔτε γὰρ ὁμοφυᾶ ταυτὶ οὔθ' ὁμογενῆ οὔθ' ὁμοειδῆ· οὐσίας μὲν γὰρ ἡ ταυτότης, ἡ δ' ὁμοιότης ποιότητος· 3.430 ποῦ γὰρ ταυτότητος ἂν εἴη τόπος τοῖς ἐκ διαμέτρου συμφυᾶ τἀναντία κληρωσαμένοις; οἷς γὰρ ἔτι φθαρτῷ συνεῖναι βίῳ καὶ σώματι συνδεδράμηκε, καὶ οἷς μή, τούτοις οὐκ ἔστι καθὸ διεστήκασιν οὐδεμία ταυτότης. ὡς εἶναι τὸ ὥς οὐ ταυτότητος ἐνταῦθα λόγον ἔχον, ἀλλ' ὁμοιότητός τινος σκιαγραφίαν εἰπεῖν. καὶ γὰρ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

καὶ ὁ θεῖος Χρυσόστομος τὸ "ἔλαμψεν ὡς ὁ ἥλιος" ἐξηγούμενος, ἡ τῶν ἀφθάρτων σωμάτων δόξα, φησίν, οὐ τοσοῦτον ἀφίησι τὸ φῶς ὅσον τοῦτο τὸ σῶμα τὸ φθαρτόν, οὐδὲ τοιοῦτον οἷον καὶ θνητοῖς ὄμμασι γενέσθαι χωρητόν, ἀλλ' ἀφθάρτων καὶ ἀθανάτων δεόμενον ὀφθαλμῶν πρὸς τὴν θέαν αὐτοῦ. ἀκούετε τοῦ μεγάλου φωστῆρος τῆς ἐκκλησίας, διδάσκοντος καὶ αὐτοῦ τοῖς ἄλλοις πατράσιν ὁμοίως, ὡς οὐκ ἄφθαρτον ἔλαβε σῶμα ὁ κύριος (τοῦτο γὰρ τῆς Μαρκίωνός ἐστι λέγειν αἱρέσεως), οὐδ' ἄκτιστον αὐτὸ πεποίηκέ τε καὶ ἔκτισε (τοῦτο γὰρ τῆς τῶν εἰκονομάχων καὶ Μανιχαίων ἐστὶ λέγειν μανίας), ἀλλ' ἡ ἀναλλοίωτος φύσις, κατὰ τὸν θεῖον εἰπεῖν μελῳδόν, τῇ βροτείᾳ μιχθεῖσα τῆς ἐμφεροῦς ἀΰλου θεότητος φῶς παραγυμνοῦσα τοῖς ἀποστόλοις ἀπορρήτως ἐξέλαμψε, καὶ πάλιν ἀμυδροὺς θεϊκῆς αὐγῆς παρεγύμνου χαρακτῆρας. ὁρᾶτε πῶς οἱ τῆς εὐσεβοῦς ἐκκλησίας πάντες διδάσκαλοι σωματικῶς τε καὶ συμβολικῶς τὴν ἀμυδρὰν καὶ αἰνιγματώδη πανταχοῦ διὰ τῆς παρά προθέσεως ἐμφαίνουσι δήλωσιν. συμμαρτυρεῖ δ' ἡμῖν καὶ ὁ μέ 3.431 γας ἀπόστολος Παῦλος, λέγων "νῦν μὲν δι' ἐσόπτρου ἐν αἰνίγματι βλέπομεν, τότε δὲ πρόσωπον πρὸς πρόσωπον." ὁρᾶτε δὲ πῶς καὶ οὗτος αἰνιγματώδη φάσκει τὴν ὁρατὴν θεοφάνειαν καὶ οὐκ ἄνευ συμβόλων καὶ τύπων. ἀκουστέον δὲ τί καὶ ὁ εὐαγγελιστὴς ἐνταῦθα Ἰωάννης φησίν· "ἀγαπητοί, νῦν τέκνα θεοῦ ἐσμέν, καὶ οὔπω ἐφανερώθη τί ἐσόμεθα· οἴδαμεν δὲ ὅτι, ἐὰν φανερωθῇ, ὅμοιοι αὐτῷ ἐσόμεθα, ὅτι ὀψόμεθα αὐτὸν καθὼς ἔστιν." ἀκηκόατε πῶς ὁ συμπαρὼν μεταμορφουμένῳ τῷ κυρίῳ σαφῶς ὁμολογεῖ διαρρήδην μήπω πεφανερῶσθαι, σκιαγραφεῖσθαι δ' ἐν ἐπαγγελίαις αἰνιγματώδεσι τὴν ἐς τὸ μέλλον καθαρωτέραν πρόσωπον πρὸς πρόσωπον μετὰ σαρκὸς ἐκείνου φανέρωσιν, ὅτε δήπουθεν τοῖς ἀξίοις ὀφθήσεσθαι φάσκοι μεθ' ἧς ἀνέστη σαρκὸς κατὰ τὸ γεγραμμένον "οὗτος Ἰησοῦς ὁ ἀναληφθεὶς ἀφ' ὑμῶν εἰς τὸν οὐρανόν, οὕτως ἐλεύσεται πάλιν ὃν τρόπον ἐθεάσασθε αὐτὸν πορευόμενον εἰς τὸν οὐρανόν." καὶ ταῦτα τίς καὶ ποῖος ὁ ταῦτα γράφων ἐστίν; ὁ καὶ πρὶν ἀποδύσασθαι τὸ θνητὸν τουτὶ καὶ φθαρτὸν τῆς σαρκός, μεγίστῃ συνοικῶν καθαρότητι. ἀλλ' ὁ Παλαμᾶς ἀπὸ χλιδῆς καὶ πότου καὶ τρυφῆς ὀφθαλμοῖς αἰσθητοῖς ἐνταυθοῖ διατείνεται βλέπειν οὐ τὴν ὁρατὴν αὐτοῦ θεοφάνειαν, ἀλλὰ τὴν ἄκτιστόν τε καὶ ἀγγέλοις ἄγνωστον θεότητα. τί πρὸς ταῦτά φατε οἱ τῶν ἐκείνου προεστηκότες ὑμεῖς; ἢ οὐ 3.432 δακρύων ἄξιος πολλῶν μὲν ἐκεῖνος, πλειόνων δ' οἳ καθάπερ δεσπότῃ πείθονται; ἆρ' οὐκ ἀργαλέον, κατὰ τὸν φάμενον, πρᾶγμα ἐστίν, ὦ γῆ καὶ ἥλιε, δούλους γενέσθαι παραφρονοῦντος δεσπότου; εἰ δέ τις ἐξ ἀμαθίας κεκινημένος αὐτὸν ἑαυτῷ τὸν ἅγιον νῦν μὲν συμφωνεῖν νῦν δ' ἐναντιοῦσθαι λέγοι, ὅτ' ἄνω μὲν "ὃ ἑωράκαμεν" ἔλεγε "καὶ αἱ χεῖρες ἡμῶν ἐψηλάφησαν," καὶ "ὁ λόγος τῆς ζωῆς ἐφανερώθη ἡμῖν," καὶ "ὃ ἑωράκαμεν καταγγέλλομεν ὑμῖν," καὶ ὅσα περὶ τῆς ὁρατῆς τοῦ κυρίου θεοφανείας δίεισι τὸν ἀνθρωπικώτερον τρόπον, βραχὺ δ' ἔπειτα παρακατιὼν ἕτερα μὲν διεξιέναι ἔδοξεν, ἐκείνοις δ' οὖν παραπλήσια, οἷς "θεὸν οὐδεὶς ἑώρακε πώποτε" εὐαγγελιζόμενος ἀποφαίνεται, μὴ τοῦ ἁγίου διχόνοιαν καταψηφιζέσθω, ἀλλ' ἑαυτοῦ μᾶλλον ἀσθένειαν, ὅτι μὴ θεοπρεπῶς τὰ θεῖα διαιρεῖν δύναιτο, μήθ' ὅσα μήθ' ὅπως περὶ τῆς ὁρατῆς τοῦ κυρίου θεοφανείας οἱ ἅγιοι διαφόρως ἀπεφήναντο, μήθ' ὅσα περὶ τῆς ἀκτίστου τε καὶ μακαρίας αὐτοῦ φύσεως, καθάπερ ἐν πολυφωνίᾳ μουσικῶν ὀργάνων, μίαν τοῦ τεχνίτου θεοῦ τὴν ἐναρμόνιον τέχνην καὶ δύναμιν ἐμπνέοντός τε καὶ ἐνηχοῦντος. συνήσει δ', οἶμαι, καὶ εἰ λίαν εἴη νωθρὸς καὶ εὐήθης, τὴν γνώμην Διονυσίου καθαρώτερόν τε καὶ ἀποτάδην ἀκούων διεξίοντος ταυτί· καὶ τοῦτο γάρ, οἶμαι, φησί, τὴν θεολογίαν αἰνίττεσθαι, τὴν τῶν προφητῶν δηλαδή, τὸ ἐκ τοῦ κρυφίου τὸν ὑπερούσιον εἰς τὴν καθ' ἡμᾶς 3.433 ἐμφάνειαν ἀνθρωπικῶς οὐσιωθέντα προεληλυθέναι· κρύφιος δέ ἐστι καὶ μετὰ τὴν ἔκφανσιν, ἢ ἵνα τὸ θειότερον εἴπω, καὶ ἐν τῇ ἐκφάνσει· καὶ τοῦτο γὰρ τοῦ Ἰησοῦ κέκρυπται, καὶ οὐδενὶ λόγῳ οὔτε νῷ τὸ κατ' αὐτὸν ἐξῆκται μυστήριον, ἀλλὰ καὶ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

λεγόμενον ἄρρητον μένει καὶ νοούμενον ἄγνωστον. καὶ μετ' ὀλίγα "καὶ γάρ, ἵνα συνελόντες εἴπωμεν, οὐδὲ ἄνθρωπος ἦν, οὐχ ὡς μὴ ἄνθρωπος, ἀλλ' ὡς ἐξ ἀνθρώπων ἀνθρώπων ἐπέκεινα καὶ ὑπὲρ ἄνθρωπον ἄνθρωπος ἀληθῶς γεγονώς, καὶ τὸ λοιπὸν οὐ κατὰ θεὸν τὰ θεῖα δράσας, οὐ κατὰ ἄνθρωπον τὰ ἀνθρώπινα, ἀλλ' ἀνδρωθέντος θεοῦ καινήν τινα τὴν θεανδρικὴν ἐνέργειαν ἡμῖν πεπολιτευμένος." καὶ πάλιν "ἐν τούτῳ γίνεται πᾶς ὁ θεὸν γνῶναι καὶ ἰδεῖν ἀξιούμενος, αὐτῷ τῷ μὴ ὁρᾶν μηδὲ γινώσκειν ἀληθῶς ἐν τῷ ὑπὲρ ὅρασιν καὶ γνῶσιν γινόμενος." ὁρᾶτε τὴν συμφωνίαν τῶν διδασκάλων τῆς εὐσεβείας; ἣν γὰρ Παῦλος ἔφησεν ὅρασιν ἐν αἰνίγματι νῦν δι' ἐσόπτρου, ἐν δὲ τῷ μέλλοντι πρόσωπον πρὸς πρόσωπον, καὶ ὅπερ αὖθις Ἰωάννης, οὔπω πεφανερῶσθαι τὸν κύριον ἡμῖν, ὀφθήσεσθαι δ' εἰς τὸ μέλλον ἀποθεμένοις τὸ τῆς σαρκὸς φθαρτόν, ταῦθ' οὗτος ἀνθρωπικῶς φησὶν οὐσιωθέντα τὸν κύριον κρύφιον εἶναι καὶ ἐν τῇ ἐκφάνσει καὶ μετὰ τὴν ἔκφανσιν, καὶ τὸ κατ' αὐτὸν μυστήριον μένειν λεγόμενον ἄρρητον καὶ νοούμενον ἄγνωστον. και 3.434 νὴν γάρ τινα τὴν θεανδρικὴν ἐνέργειαν ἡμῖν αὐτὸν πεπολιτεῦσθαι φησί, καὶ ὑπὲρ ἄνθρωπον ἐνηργηκέναι τὰ ἀνθρώπινα· καὶ δηλοῖ παρθένος, φησίν, ὑπερφυῶς κύουσα, καὶ ὕδωρ ἄστατον ὑλικῶν καὶ γεηρῶν ποδῶν ἀνέχον βάρος καὶ μὴ ὑπεῖκον, ἀλλ' ὑπερφυεῖ δυνάμει πρὸς τὸ ἀδιάχυτον συνιστάμενον. καὶ πάλιν "εἴ τις ἰδὼν θεὸν συνῆκεν ὃ εἶδεν, οὐκ αὐτὸν ἑώρακεν, ἀλλά τι τῶν αὐτοῦ τῶν ὄντων καὶ γινωσκομένων· αὐτὸς δὲ ὑπὲρ νοῦν καὶ οὐσίαν ὑπεριδρυμένος αὐτῷ τῷ καθόλου μὴ γινώσκεσθαι μηδ' εἶναι καὶ ἔστιν ὑπερουσίως καὶ ὑπὲρ νοῦν γινώσκεται· καὶ ἡ κατὰ τὸ κρεῖττον παντελὴς ἀγνωσία γνῶσίς ἐστι τοῦ ὑπὲρ πάντα τὰ γινωσκόμενα." Ὥστε καὶ οἱ ἀπόστολοι τὸ ἐν τῷ Θαβωρίῳ λάμψαν τότε θεασάμενοι φῶς οὔτε θεότητα εἶδον ἄκτιστον οὔτε θεόν, ἀλλά τι τῶν ὄντων καὶ γινωσκομένων. ὄντα δὲ καὶ γινωσκόμενα πάντως, εἰ μὴ μεθύοι τις, οὐκ ἔξω τῶν κτισμάτων εἶναι λογίσαιτ' ἄν ποτε, τοῦτο μὲν καὶ ὡς πληθυντικῶς λεγόμενα (ἓν γὰρ ὁ θεὸς καὶ ὑπὲρ τὰ ὄντα), τοῦτο δὲ καὶ ὡς γινωσκόμενα· ὃ μᾶλλον εἰς τὸ χαμερπὲς καὶ ταπεινὸν κατάγει τὴν ἔννοιαν· καὶ ἄγγελοι μὲν γὰρ ὄντα μὲν καὶ κτίσματα εἰσίν, οὐ τῶν γινωσκομένων δ' οὖν, ἅτε ὑπερκειμένης οὐσίας ὄντες ἢ καθ' ἡμᾶς. ὥστε καὶ εἰ τὸ φῶς ἐκεῖνο τῶν ὄντων ἦν καὶ γινωσκομένων καὶ ὁρατῶν, οὐκ αὐτὸ θεότης ἄκτιστος 3.435 ἦν· θεότης γὰρ ἀπείρηται παντάπασιν ὁρᾶσθαι καὶ ἀπηγόρευται· ὃ γὰρ ὑπὲρ νοῦν καὶ οὐσίαν ὑπερίδρυται, πῶς ὀφθαλμοῖς ὑποπεσεῖται σωματικοῖς; ἢ πῶς καὶ ποίᾳ γλώττῃ γένοιτ' ἄν ποτε ῥητόν, ἢ ποίαις ἀκοαῖς ἀκουστόν, οὗ γνῶσίς ἐστιν ἡ κατὰ τὸ κρεῖττον παντελὴς ἀγνωσία καὶ ὃ ὑπὲρ πάντα ἐστὶ τὰ γινωσκόμενα. ἐκ γὰρ τῶν γινωσκομένων δύναταί πως καὶ τὰ ὑπὲρ νοῦν καὶ αἴσθησιν νοεῖσθαι, ἄλλης ἐξ ἄλλου φαντασίας συλλεγομένης εἰς ἕν τι τῆς ἀληθείας ἴνδαλμα. ἄλλως δ' οὐκ ἂν δήπου. ὥσθ' ὁποτέρωθεν ἄν τις ὁρῴη σκεπτόμενος, ὑπὲρ τὴν ἀνθρωπίνην εὑρήσει θεωρίαν τὴν διὰ τοῦ φανέντος ἐκείνου φωτὸς παραδειχθεῖσαν συμβολικῶς τε καὶ τυπικῶς θεότητα. οὐ γὰρ στοχασμῷ καὶ εἰκασίᾳ τινὶ φάσκομεν τὰ τοιάδε, ἵνα πως καὶ ἀπιστώμεθα· ἀλλ' ὁ εὐαγγελιστὴς ὁ τὴν θείαν ἐκείνην διηγούμενος μεταμόρφωσιν, αὐτὸς ἐκεῖνός φησι μὴ εἰδέναι τὸν Πέτρον ἃ λέγει, ἅτε ὑπὲρ τὴν ἐκείνου γνῶσιν ὑπάρχοντα καὶ αὐτὰ τὰ τῆς ἐκφάνσεως τοῦ μεταμορφουμένου τέως Χριστοῦ. κρύφιον γάρ φησι Διονύσιος αὐτὸν καὶ μετὰ τὴν ἔκφανσιν εἶναι, ἢ ἵνα τὸ θειότερον εἴπω, φησί, καὶ ἐν τῇ ἐκφάνσει· καὶ τοῦτο γὰρ τοῦ Ἰησοῦ κέκρυπται καὶ λεγόμενον ἄρρητον μένει καὶ νοούμενον ἄγνωστον· ὃ δὲ καὶ ἀγγέλοις μένει καὶ νοούμενον ἄγνωστον, πῶς ἀνθρώποις γνωσθείη ἄν; ἄλλως τε καὶ ὁ τῶν εὐαγγελίων 3.436 ἐξηγητὴς Χρυσορρήμων ἀτελεῖς ἔτ' εἶναι τότε φάσκει καὶ τοὺς ἀποστόλους, καὶ οὔπω τῶν τοιούτων ἐφικνεῖσθαι ἰσχύοντας, οὐδ' ἐκ τῶν φαινομένων ἃ μὴ πέφυκε φαίνεσθαι βλέπειν. ὥσπερ οὖν οὐδ' αἱ μετὰ ταῦτα ὀφθεῖσαι ὡσεὶ πυρὸς διαμεριζόμεναι γλῶσσαι οὐκ ἦσαν ἄκτιστα πνεύματα, ἀλλὰ τὸ δι' αὐτῶν


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

παραδεικνύμενον ἓν ἄκτιστον πνεῦμα ἅγιον, οὕτως οὐδ' ἐκεῖνο τὸ φανὲν φῶς ἐν Θαβὼρ ἄκτιστον ἦν, ἀλλ' ἡ δι' ἐκείνου παραδειχθεῖσα θεότης. πόθεν οὖν ὁρατὴν εἶναι θεότητα ἄκτιστον καὶ ἀνούσιον ἡ Παλαμικὴ μαθοῦσα φατρία ἐκεῖνο τὸ φῶς ἰσχυρίζεται, μιγνῦσά τε τὰ ἄμικτα καὶ δικτύῳ θηρεύειν ἐπιχειροῦσα τὸν ἄνεμον. ἄλλως τε καὶ εἰ τὸ ἡλιακὸν φῶς οὐσία ἐστὶ κατά τε τὸν Δαμασκηνὸν Ἰωάννην καὶ ὅσοι κατ' ἐπιστήμην περὶ αὐτοῦ λέγουσιν, ἐκεῖνο δ' ἦν καὶ τοῦ ἡλιακοῦ φωτὸς ὑπέρτερόν τε καὶ τιμιώτερον, πῶς καὶ πόθεν ἀνούσιον; πῶς δὲ καὶ ὁρατὸν ὃ καθ' αὑτὸ ἀνούσιον; εἰ γὰρ ἀνούσιον μὲν ὁρατὸν δέ, χρῶμα ἂν ἴσως εἴη· καὶ εἰ χρῶμα, συμβεβηκὸς πάντως· καὶ εἰ συμβεβηκός, πῶς θεός; τὸ γὰρ συμβεβηκὸς οὐ μόνον οὐ θεὸς ἀλλ' οὐδὲ ὄν. ὥστε ὁ τῷ μὴ ὄντι λατρεύων ἔλαθε καὶ ἄθεος ἐκ πολυθέου γινόμενος. καὶ εἰκότως. παραπέπηγε γὰρ ἡ ἀθεΐα τῇ πολυθεΐᾳ, ὥσπερ ταῖς τῶν ἀρετῶν μεσότησιν αἱ καθ' ὑπερβολήν τε καὶ ἔλλειψιν κακίαι. ἔπειτα καὶ θεὸν μὲν ἀκούομεν λεγουσῶν τῶν γρα 3.437 φῶν Μωυσῇ φανῆναι καὶ Μανωέ, καὶ οἷς ἑτέροις ὀφθῆναι συμβολικῶς τε καὶ τυπικῶς λέγεται, οὐ μὴν θεότητα. δημοσιώτερον γὰρ καὶ κοινὸν τὸ τοῦ θεοῦ ὄνομα· θεοὶ γὰρ καὶ τῶν ἀνθρώπων οἱ δίκαιοι λέγονται, θεότητες δ' οὔ. τετήρηται γὰρ τὸ πλεῖστον εἰπεῖν τῇ θείᾳ τοῦτο γραφῇ μὴ λέγειν πληθυντικῶς θεότητας, ἀλλὰ μίαν ἄκτιστον καὶ τρισυπόστατον, καθάπερ καὶ φύσιν. καὶ οὕτω τουτὶ τετήρηταί τε καὶ ἀεὶ τοῖς εὐσεβέσι τηρεῖται, ὥστε καὶ θεὸν μὲν ἐκ παρθένου φησὶ γεννηθῆναι, θεότητα δ' ἀπροσδιορίστως ἥκιστα πάντων· ἡ μὲν γὰρ θεότης ἐν τρισὶν ὑποστάσεσι λεγομένη νοεῖται, ἡ δὲ παρθένος μίαν τὴν τοῦ λόγου γεγέννηκεν ὑπόστασιν. ὥστε σκεπτέον εἰς πόσην ἀτοπίαν ἐξ ἀμαθίας ὁμοῦ καὶ οἰήσεως τὸν Παλαμᾶν ἐκκεκυλίσθαι συμπέπτωκεν, ὡς πολλοῖς μὲν λατρεύειν θεοῖς, αἰσχύνεσθαι δ' οὖν ἐκλαλεῖν, θεότητας δ' ἀπειράκις ἀπείρους αὐτόν τε σέβειν καὶ ἄλλοις παραινεῖν, καὶ ὅσοις ἂν χρῷτο μὴ πειθομένοις, ἀποκηρύττειν, καὶ τοῦτο δ' ὡς μάλα ἀνέγκλητον ἐν ὑπαίθροις ἀναιδῶς ἐκλαλεῖν καὶ δημοσίᾳ παρρησιάζεσθαι. Εἰ μὲν οὖν πρὸς ἁπάσης γραφῆς ἐλεγχόμενος ἥκιστα συνιέναι δύναιτο, οἰκτείρω τῆς ἀπονοίας τὸν ἄνθρωπον· εἰ δὲ συνίησι μέν, κενοδοξίας δ' εἵνεκα ματαίας αὐτοχειροτόνητον ἑαυτῷ τὴν κακοδαίμονα τοῦ κακοῦ προεδρείαν κατεψήφισται, πάσης ἔνοχον αὖθις ἀρᾶς ἡγοῦμαι τὴν ἐμπληξίαν, 3.438 ὅτι νοσῶν προφανῶς οὐ δεῖται φαρμάκων ἀλλ' ἄντικρυς ἑκὼν ἀποποιεῖται καὶ ἀποσπεύδει τὴν ἰατρείαν, καὶ ποιεῖ παραπλήσιον τῶν πενήτων ἐκείνοις οἳ διὰ κενοδοξίαν πλουτεῖν προσποιούμενοι πλείω τὴν πενίαν ἑαυτοῖς ἐπιδαψιλεύουσι· τῶν γὰρ τὰ καίρια νοσούντων καὶ οὗτος ὤν, ἔπειτα συγκαλύπτων τὴν νόσον νοσεῖν ἀνθαιρεῖται διηνεκῶς καὶ θανάτου γείτονα βίον ἀνύειν· οὗ τί τῶν πάντων ἀθλιώτερον; 3.439 ΤΟΥ ΑΥΤΟΥ ΝΙΚΗΦΟΡΟΥ ΤΟΥ ΓΡΗΓΟΡΑ ΔΟΓΜΑΤΙΚΟΣ ΛΟΓΟΣ Ε. Περὶ μὲν οὖν τῆς ὁρατῆς τοῦ κυρίου θεοφανείας, καὶ ὡς ἄλλο θεότης ἄκτιστος καὶ ἄλλο θεοφάνεια, καὶ ὡς ἣ μὲν ἀόρατος ἣ δ' ὁρατή, καὶ ὡς ἡ θεότης διὰ τοῦ ἐν Θαβωρίῳ τῷ ὄρει φωτὸς παρεδείχθη μὲν οὐκ ἐδείχθη δέ, καὶ ὡς ἀδύνατον μὴ μόνον τὰς θεανδρικὰς ἐνεργείας, ὡς ἐγένοντό τε καὶ γίνονται, ἀλλ' οὐδὲ τὰ διὰ τῶν ἁγίων τελούμενα θαύματα, δι' ὧν καὶ αὐτῶν ὁ θεὸς παραγυμνοῦται καὶ παραδείκνυται καὶ δι' αὐτῶν ἡμῖν τὸν ἐφικτὸν γινώσκεται τρόπον παραγυμνούμενος, ἐῶ γὰρ λέγειν οὐρανὸν καὶ γῆν καὶ ὅσα ἐν μέσῳ, περὶ ὧν καὶ Σολομῶν φησὶν ἐκ μεγέθους καὶ καλλονῆς αὐτὸν θαυμάζεσθαι τὸν θεὸν παραγυμνούμενον, εἰ καὶ τὸ κατ' αὐτὸν μυστήριον καὶ λεγόμενον ἄρρητον μένει καὶ νοούμενον ἄγνωστον, κατὰ τὸν θεῖον εἰπεῖν Διονύσιον, καὶ ὡς οὐ χρὴ μιᾶς δοξάζειν πλείους ἀκτίστους θεότητας, 3.440 ἵνα μὴ τῷ τῆς ἁγίας καὶ οἰκουμενικῆς ἕκτης συνόδου καθυποβληθείη ἀναθέματι, ὡς ἀνωτέρω περὶ τῶν οὕτως ἐχόντων διείληπται, περὶ μὲν οὖν τούτων καὶ τῶν τοιούτων ἱκανῶς ἡμῖν οἶμαι εἰρῆσθαι διὰ βραχέων. εἰ δέ τινες ἐριστικῶς ἐνίστασθαι, γλώττης ἀφειδοῦντες, βούλοιντο, κἄπειτα ῥήσεις ἁγίων ὡς ἐν μεταιχμίῳ τὴν ἔννοιαν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀμφιρρεπῆ κεκτημένας καὶ οὐ πάνυ σαφῆ κομίζειν οὐκ ὀκνοῦσι, προσαγέτωσαν ταῖς κοιναῖς ἐκείναις ἐννοίαις τῆς θείας γραφῆς, αἳ καὶ ἡμῖν ἐν προοιμίοις προβέβληνται καθάπερ στάθμαι τινὲς καὶ γνώμονες καὶ κανόνες τὸ αὐτόπιστον ἑκατέρωθεν ἔχοντες ὡμολογημένον, διευθύνουσαί τε καὶ ἐπανάγουσαι οἷά τινες οἰακοστρόφοι καὶ εὐθυντῆρες νεῶν, οἳ τὴν ἑλίκην καὶ τὸν πόλον ἀποσκοποῦντες τὰ ναυτικὰ πλημμελήματα διορθοῦνται, πρὸς ἕνα πλοῦν ἐκ δεξιῶν τε καὶ εὐωνύμων σοφῶς οἰακίζοντές τε καὶ περιστρέφοντες· καὶ ἔσται σφίσιν εὑρημένα τὰ τῆς ἰατρείας αὐτίκα. Ἐπὶ τούτοις αὖθις καὶ τρίτην ἐκεῖνοι παρῆγον ἀντίθεσιν, "ἀλλὰ καὶ τῆς θείας γραφῆς λεγούσης ἀκούομεν" λέγοντες, "3μακάριοι οἱ καθαροὶ τῇ καρδίᾳ, ὅτι αὐτοὶ τὸν θεὸν ὄψονται."3 καὶ πάλιν "3οἱ ἄγγελοι αὐτῶν καθ' ἡμέραν ὁρῶσι τὸ πρόσωπον τοῦ θεοῦ." καὶ ἀλλαχοῦ "3ὤφθη τῷ Ἀβραὰμ ὁ θεὸς πρὸς τῇ δρυῒ τῇ Μαμβρῇ·"3 ἰδεῖν δὲ καὶ Ἡσαΐας φησὶ τὸν κύριον καθήμενον ἐπὶ θρόνου ὑψηλοῦ καὶ ἐπηρμένου. καὶ αὖθις τῆς Μωσαϊκῆς ἀκούομεν ἱστορίας λεγούσης "3ἐλάλησε κύριος τῷ Μωΰσῃ ἐνώπιος ἐνωπίῳ, ὡς 3.441 εἴ τις λαλήσει πρὸς φίλον αὐτοῦ."3 καὶ αὐτὸς δ' ἄντικρύς φησιν ὁ θεὸς "3στόμα κατὰ στόμα λαλήσω αὐτῷ ἐν εἴδει καὶ οὐ δι' αἰνιγμάτων." Πρὸς ταῦτα ὁ Γρηγορᾶς ἀπήντησεν οὑτωσί πως. εἰ ἐμμένειν βούλοισθε ταῖς κοιναῖς ἐκείναις τῆς τοῦ θεοῦ ἐκκλησίας ἐννοίαις, ὡς μία παρὰ πᾶσιν ὁμολογεῖται θεότης ἄκτιστος, ἣ δὴ καὶ οὐσία καὶ φύσις καλεῖται καὶ ἓν φῶς ἀπρόσιτον καὶ ἀδιάδοχον ἀειλαμπὲς καὶ τριλαμπές, εἴη ἂν καὶ λόγος ἡμῖν καὶ διάλεξις· ἐν ἐλπίσι γὰρ κεῖσθαι προϊοῦσι τήν τε τῆς ἀληθείας εὕρεσιν καὶ τὴν τῆς κακίας ἀναίρεσιν· ἄλλως δ' ἄμεινον σιωπᾶν. ἐπεὶ τοίνυν τὴν ἀρχὴν ταῖς κοιναῖς τῆς ἐκκλησίας ἐννοίαις καὶ τῶν δογμάτων ὡμολογήκατε, δέον τὰ ἑπόμενα δέχεσθαι· εἰ δ' οὖν, ἑαυτοὺς ἀφ' ἑστίας αὐτοὶ καταλύετε· καὶ πῶς ἄλλων λεγόντων ἀνέξεσθε; ἢ ἐπὶ τίσιν ἐλπίσιν ἀναμφιβόλοις ὁ προσδιαλεγόμενος τὸν τοῦ λέγειν μόχθον ὑπομενεῖ; ἐπεὶ τοίνυν θεῖον τὸ δόγμα καὶ κοινὴ τῆς ἐκκλησίας ἔννοιά ἐστιν ὡς θεὸν οὐδεὶς ἑώρακε πώποτε οὔτ' ἰδεῖν δύναταί τις οὔτ' ἀγγέλων οὔτ' ἀνθρώπων, εἰ μὲν εὐπορήσαιμεν ἐκ τοῦ εὐθέος μαρτυριῶν γραφικῶν, οὐκέτι χώραν ἔχειν χρεὼν τὸ ἀμφισβητήσιμον· εἰ δὲ μὴ τοῦθ' ἡμῖν ἀρτίως ἐκ τοῦ ῥᾴστου προσγίνοιτο διὰ τὸ γρῖφόν τε καὶ ὁμιχλῶδες τῆς γραφῆς, παραπετάσματι καλυπτομένης ἐνίοτε τῇ ἀσαφείᾳ διά τε τοὺς βεβήλους κατὰ τρόπον οἰκονομίας, ᾗ 3.442 πολλάκις τὴν θείαν ὁρῶμεν γραφὴν κεχρημένην (χρῆται γὰρ κατὰ τὸν μέγαν Βασίλειον ἡ γραφὴ πολλάκις τῇ ἀσαφείᾳ, δυσθεώρητον κατασκευάζουσα τῶν δογμάτων τὸν νοῦν πρὸς τὸ τῶν ἐντυγχανόντων λυσιτελές), καὶ διὰ τὴν τῶν ἄλλως ἀκουόντων ἀγνωμοσύνην, ἀλλὰ τοῦ γε στερροῦ καὶ ἀναντιρρήτου τῶν κοινῶν ἐννοιῶν οὐδὲ τὸ σμικρότατον γοῦν ἐξίστασθαι χρή, ἀλλ' ὁμολογεῖν μὲν μὴ νοεῖν, καθὰ καὶ ὁ μέγας παραινεῖ Βασίλειος, μὴ ἐξάγειν δὲ πρὸς βεβήλους ἀκοὰς τὸ τῶν θείων δογμάτων ὀστῶδες καὶ δυσθεώρητον τοῖς ἀτελέσιν. ὁ θεὸς γάρ, ὡς ὁ θεῖος ἔφη Διονύσιος, τοῖς μὲν ἀτελέσι τέλειος εἶναι δοκεῖ, τοῖς δὲ τελείοις ἀτελής. οἱ μὲν γὰρ ἀτελεῖς εἰδέναι μὲν οἴονται, οὐκ ἴσασι δέ· τοῖς δὲ τελείοις οἴησις μὲν οὐκ ἔστι, γνῶσις δὲ τοῦ μὴ εἰδέναι πρόσεστιν αὐτόχρημα διδάσκουσα ταπεινοῦσθαι· ἐπίτασις γάρ φησι σοφίας ἐπίτασιν ποιεῖ ταπεινώσεως· οὐ γὰρ ἐκ τῆς θεότητος τὸ μέγεθος τοῦ ἀκαταλήπτου νοεῖν ἐκζητοῦσιν, ἀλλ' ἐκ τῶν ποιημάτων τὸν ποιητὴν ἀνεξερεύνητον εἶναι μανθάνουσι, καθὰ καὶ ὁ μέγας διδάσκει Χρυσόστομος, "τὸ μὴ ἐφικνεῖσθαι" λέγων "μηδὲ δύνασθαι τῶν δημιουργηθέντων τὸν λόγον καταλαβεῖν μὴ γινέσθω ἡμῖν ἀπιστίας ὑπόθεσις, ἀλλὰ δοξολογίας ἀφορμή· ὅταν γὰρ ἀτονήσῃ ὁ λογισμὸς καὶ μὴ χωρήσῃ ἡ διάνοια, ἐννόει τοῦ δεσπότου τοῦ σοῦ τὸ μέγεθος καὶ ἐξ αὐ 3.443 τοῦ τούτου, ὅτι τοσαύτη αὐτοῦ ἡ δύναμις ὡς μηδὲ τὸν λόγον ἡμᾶς μετὰ ἀκριβείας εἰδέναι τῶν ὑπ' αὐτοῦ γενομένων. τοῦτο γὰρ διανοίας εὐγνώμονος, τοῦτο ψυχῆς νηφούσης." Καὶ γὰρ ὁ θεὸς διὰ φιλανθρωπίαν οἰκονομικῶς τοῖς ἀνθρώποις ὡς νηπίοις πατὴρ συγκαταβαίνων διὰ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τῶν ἐκδηλοτέρων πρῶτον ἐμφανειῶν καὶ τοῖς οἷον βρέφεσι προσφυεστέρων, οὕτως ἀνάγει διὰ λείας ὁδοῦ πρὸς ἕξιν τελεωτέραν. καὶ Μωσεῖ γάρ, ὁ θεῖος φάσκει Χρυσόστομος, διὰ φωτὸς ἡ τοῦ θεοῦ ἐπιφάνεια ἤρξατο ἐν τῇ βάτῳ· εἶτα διὰ νεφέλης αὐτῷ διαλέγεται ὁ θεός. τελειότερος δὲ γενόμενος καὶ ὑψηλότερος ἐν γνόφῳ τὸν θεὸν βλέπει. εἰσῆλθε γάρ φησιν Μωϋσῆς εἰς τὸν γνόφον οὗ ἦν ὁ θεός· τουτέστιν ἔγνω σαφῶς ὅτι σκοτεινὰ καὶ ἄγνωστα τὰ θεῖα καὶ πᾶσαν ὑπερβαίνοντα γνῶσιν ἀνθρωπίνην. καὶ ἀλλαχοῦ· τὸ "ὁ ἑωρακὼς ἐμὲ ἑώρακε τὸν πατέρα" ἀκούσαντες ἐδιδάχθημεν ὡς ἤδη τέλειοι μὴ προσδοκᾶν δι' ὀφθαλμῶν ὄψεσθαι θεόν, ἀλλ' εἰδέναι τὴν τοῦ θεοῦ ὅρασιν γνῶσιν οὖσαν καὶ νοερὰν κατάληψιν, οὐκ αἴσθησιν σωματικήν. οὐδὲν οὖν καινὸν εἰ τοῖς μαθηταῖς ἀτελέσιν οὖσιν ἔτι, καὶ τὰς ἐλπίδας ἀβεβαίους καὶ ἀσθενεῖς ἐπ' αὐτῷ κεκτημένοις διὰ τὸ μὴ ὡς θεὸν ἀλλ' ὡς ἄνθρωπον ὁρᾶν αὐτὸν διὰ φωτὸς φαινόμενον, πρὸς ἃ μὴ φαίνεσθαι δυνατόν, παρεσκεύαζεν ὁδῷ καὶ τάξει νοητῶς κατὰ δύναμιν ἀνιέναι. τὴν γὰρ σεβασμίαν μακαριότητα, κατὰ τὸν 3.444 θεῖον εἰπεῖν Διονύσιον, αἱ μυστικαὶ τῶν λογίων παραδόσεις καὶ ὡς φῶς ἀναπλάττουσι καὶ ζωὴν ἀποκαλοῦσιν. Ὅτι μὲν οὖν διὰ συμβόλων καὶ τύπων σωματικῶν οὐ μόνον ὁ θεὸς ὁμιλεῖ τοῖς ἀνθρώποις, ἀλλὰ καὶ οἱ ἄγγελοι κτίσμα ὄντες, εἴρηταί τε καὶ νῦν πάλιν διὰ βραχέων ἐροῦμεν. φησὶ γὰρ ὁ μέγας εὐθὺς Διονύσιος ὡς καὶ τὰς θείας ὁράσεις οἱ κλεινοὶ πατέρες ἡμῶν ἐμυοῦντο διὰ μέσων τῶν οὐρανίων δυνάμεων. καὶ τὴν ἱερὰν τοῦ νόμου θεσμοθεσίαν δι' ἀγγέλων εἰς ἡμᾶς προελθεῖν διδάσκει σαφῶς ἡ θεολογία ὡς τῆς θεωνυμικῆς τάξεως ἐκεῖνο νομοθετούσης, τὸ διὰ τῶν πρώτων τὰ δεύτερα πρὸς τὸ θεῖον ἀνάγεσθαι. καὶ τῇ παρθένῳ δὲ τὸ θεῖον μυστήριον ἄγγελος ἦν κομίσας ἀνθρωπίνῳ τύπῳ καὶ σχήματι. καὶ τοῖς ποιμέσιν ἄγγελος κυρίου τότε φησὶν ἐπέστη, καὶ δόξα κυρίου περιέλαμψεν αὐτούς. καὶ τὸν δι' ἀγγέλων λαλούμενον λόγον γίνεσθαι βέβαιον ἀκούομεν· τὰς γὰρ ἀΰλους ἱεραρχίας ὑλαίοις σχήμασι καὶ μορφωτικαῖς συνθέσεσι διαποικίλασα παραδέδωκεν ἡ Διονυσίου τοῦ θείου βίβλος· οὐ γὰρ δυνατόν φησι τῷ καθ' ἡμᾶς νῷ πρὸς τὴν ἄυλον ἐκείνην ἀναταθῆναι τῶν οὐρανίων ἱεραρχιῶν μίμησίν τε καὶ θεωρίαν, εἰ μὴ τῇ κατ' αὐτὸν ὑλαίᾳ χειραγωγίᾳ χρήσαιτο. λειτουργικὰ γὰρ οἱ ἄγγελοι, φησίν, εἰσὶ πνεύματα, πρὸς διακονίαν ἀποστελλόμενα. καὶ τῷ Χριστῷ δὲ ἄγγελοι διηκόνουν, φησὶν ἡ γραφή. καὶ ἀγγέλους 3.445 αὖθις ἐνισχύειν αὐτῷ λέγεται ὡς ἀνθρώπῳ. καὶ πάλιν "ἠδυνάμην πλείους ἢ δώδεκα λεγεῶνας παραστῆσαι ἀγγέλων" φησίν. καὶ πολλὰ τοιαῦτα σωματοειδῶς εἰρημένα περὶ τῶν ἀσωμάτων δυνάμεων σωματικῶς φαινομένων ταῖς θείαις καὶ ἱεραῖς ἐμφέρεται βίβλοις οἰκονομικόν τινα τρόπον· ὥσπερ καὶ μορφωτικὰς δυνάμεων εἰκόνας καλεῖ Διονύσιος, ἀνθρωπομόρφους ἀναγράφων καὶ θηριομόρφους, λεόντων φημὶ καὶ βοῶν καὶ ἵππων καὶ ἀετῶν μορφὰς αὐτοῖς περιτιθείς. ἐῶ λέγειν τὰς τῶν λίθων πολυχρωμάτους ἰδέας καὶ τἆλλα πάντα, ζώνας καὶ τροχοὺς καὶ ῥάβδους λέγω καὶ πελέκεις, δι' ὧν εὑρίσκειν ἡμᾶς παραινεῖ τὴν τῶν τυπικῶν εἰκόνων ἀνακάθαρσιν, ὁποίαν καὶ ὅσην αὐτὸς ἑρμηνεύων ἐκτίθησι. τῆς οὖν γραφῆς λεγούσης "μακάριοι οἱ καθαροὶ τῇ καρδίᾳ, ὅτι αὐτοὶ τὸν θεὸν ὄψονται" τὴν κατὰ διάνοιαν ὄψιν ὁ θεῖος ἐξηγεῖται Χρυσόστομος. καὶ τὸ "οἱ ἄγγελοι δὲ αὐτῶν καθ' ἡμέραν ὁρῶσι τὸ πρόσωπον τοῦ θεοῦ" τὴν αὐτήν, φησίν, ἔχει διάνοιαν· τὸν γὰρ αὐτὸν ἀνθρώποις τε ἐστὶν ἰδεῖν ἀδύνατον, καὶ αὖ μηδὲ τῶν ἀγγέλων τολμᾶν ἀτενίσαι τὰ τάγματα. καὶ δῆλον τοῦτο τίθησι Παῦλος λέγων "ἐφανερώθη ἐν σαρκί, ὤφθη ἀγγέλοις·" πρὸ γὰρ τῆς τοῦ κυρίου σαρκώσεως καὶ ἀγγέλοις ἀθέατος ἦν, ὡς καὶ ὁ θεῖος ἔφη Χρυσόστομος ὅτι αὐτὸ ὅπερ ἐστὶν ὁ θεός, οὐ προφῆται οὐδ' ἄγγελοι εἶδον, οὐδ' ἀρχάγγελοι. εἰ γὰρ καὶ ὁμιλοῦσιν 3.446 ἀνθρώποις ἐκ προσώπου τοῦ θεοῦ καὶ ἄγγελοι, ἀλλ' οὐδὲ προφήταις ἄηθες τουτὶ καὶ ἀνθρώποις οὖσι· ποτὲ μὲν γὰρ προστιθέντες φασὶ καὶ αὐτοὶ "τάδε λέγει κύριος," ποτὲ δ' ἐξ ἑαυτῶν ἁπλῶς. καὶ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

καινὸν οὐδὲν οὐδὲ πόρρω γραφικῆς συνηθείας· καὶ γὰρ καὶ τὰ βασιλικὰ προστάγματα τῶν δημοσίων ἐν ταῖς πόλεσι κηρύκων βοώντων, ὡς ἐξ αὐτοῦ δὴ τοῦ βασιλικοῦ λεγόμενα στόματος ἡμεῖς ἐκδεχόμεθα. καὶ ὁ μὲν προφήτης, ἄνθρωπος ὤν, ὡς ἐξ ἑαυτοῦ φησὶν "ἄκουσον λαός μου, καὶ λαλήσω σοι· Ἰσραὴλ καὶ διαμαρτύρομαί σοι· ὁ θεὸς ὁ θεός σου εἰμὶ ἐγώ." οὐ γὰρ προσέθηκεν ὡς ἐν ἄλλοις "τάδε λέγει κύριος· καὶ εἶπεν ὁ θεὸς τὰ καὶ τά·" ὁ δὲ ἄγγελος ἐκ τῆς βάτου "ἐγώ εἰμι ὁ θεὸς Ἀβραὰμ καὶ ὁ θεὸς Ἰσαὰκ καὶ ὁ θεὸς Ἰακώβ·" προείρηται γὰρ "ὤφθη αὐτῷ ἄγγελος κυρίου." εἰ οὖν κατὰ τὸν θεῖον Χρυσόστομον, ὅσον τυφλοῦ καὶ βλέποντος τὸ μέσον, τοσοῦτόν ἐστιν ἀγγέλων καὶ ἀνθρώπων τὸ διάφορον, πῶς τῶν ἀγγέλων μὴ δυναμένων οὔθ' ὁρᾶν τὴν οὐσίαν οὔτε νοεῖν τοῦ θεοῦ, εἴη ἂν δυνατὸν ἀνθρώποις τουτί; οἷς μηδ' ἀγγέλων οὐσίαν μὴ ὅτι μὴ βλέπειν ἀλλ' οὐδὲ νοεῖν δυνατόν· εἰ γὰρ κατὰ τὸν αὐτὸν Χρυσόστομον οὐσία οὐσίαν ὑπερκειμένην νοεῖν οὐ δύναται, πολλοῦ μέντ' ἂν δεήσειεν ἀνθρώπους ἀγγέλων βλέπειν οὐσίαν, ὑπερκειμένην τούτων ὅσον οἱ βλέποντες τῶν τυφλῶν. μὴ ταραττέτω τοίνυν ὑμῶν τὴν διάνοιαν, ὥστε τῶν κοινῶν τῆς τοῦ θεοῦ ἐκκλησίας ἐννοιῶν ἐκλελῆσθαι, ὅσα κατά τινα 3.447 ἰδιοτροπίαν τῆς ἑβραΐδος ἔστι λεγόμενα διαλέκτου· οἷα τὰ ὑφ' ἡμῶν ἐκεῖνα νῦν προβληθέντα καὶ ὅσα παραπλήσια, λέγω δὴ τὸ "ἐλάλησε κύριος πρὸς Μωσῆν ἐνώπιος ἐνωπίῳ, ὡς εἴ τις λαλήσει πρὸς ἑαυτοῦ φίλον, στόμα πρὸς στόμα ἐν εἴδει καὶ οὐ δι' αἰνιγμάτων," καὶ πάλιν "τὸ δὲ ὄρος τοῦ Σινᾶ ἐκαπνίζετο διὰ τὸ καταβεβηκέναι ἐπ' αὐτὸ τὸν θεὸν ἐν πυρί," καὶ πάλιν "τὸ δὲ εἶδος τῆς δόξης κυρίου ὡς πῦρ φλέγον ἐπὶ κορυφῆς τοῦ ὄρους ἐναντίον τῶν υἱῶν Ἰσραήλ." καὶ τοιαῦτα μυρία, ὁπόσα κτιστὰ ὄντα τῇ μὲν ἀκτίστῳ οὐσίᾳ τοῦ θεοῦ πάντων ἥκιστά ἐστιν ἁρμόττειν ὅσιον, πρός γε μὴν παιδευτικὴν τῶν χρωμένων οἰκονομίαν οὐ μάλα ἀχρήστως ἔχει, ναὶ μὴν οὐδ' ὡς πορρωτάτω τοῦ ὠφελίμου κεῖται. καλεῖν δ' οἶμαι τὰ λόγια τῶν προφητῶν ἐν εἴδει μὲν ὁμιλίαν θεοῦ καὶ ἀγγέλων πρὸς ἀνθρώπους τὴν αἰσθητὴν καὶ ἐγρηγορόσιν αὐτοῖς φαινομένην, ὁποίας καὶ Ἀβραὰμ ἠξίωται πρότερον θεὸν οὐχ ὡς θεὸν ἰδών, ἀλλ' ὡς ἄνθρωπον θρέψας· ὃς καὶ ἐπῃνέθη, φησί, σεβασθεὶς ὁπόσον κατέλαβε. καὶ μετὰ πλείστους ἄλλους ὕστερον Μανωέ· ὃς καὶ ἀπολωλέναι ἐβόα διότι θεὸν ἑώρακεν, ὡς οὐ χωρητῆς ἀνθρώποις οὔσης, φησίν, οὐδὲ φαντασίας θείας, μὴ ὅτι φύσεως. δι' αἰνιγμάτων δ' οὖν τὴν δι' ὀνειράτων· ἀλαμπὴς γάρ τις αὕτη, καὶ οὐ πάνυ τι πρόδηλος· καὶ γὰρ δι' ἄλλων ἄλλα συμπλέκουσα καὶ συγκρύπτουσα, νέφει τινὶ καλυπτομένην ἀσαφείας παρέχει τὴν δήλωσιν. ὧν καὶ πλεῖστοι μὲν ἕτεροι κήρυκες ἀψευδεῖς, ἀλλὰ 3.448 καὶ Δανιὴλ καὶ Ἰωσήφ, οἷς νυκτεριναί τινες ὄψεις καθεύδουσι μήπω γεγονότων ἀληθῆ παρεῖχον τὴν πρόγνωσιν. περὶ ὧν ἀμφοτέρων ὁ σοφώτατος ἀπορῶν θεολόγος Γρηγόριος αὐτὸς μὲν ὁμολογεῖ μὴ εἰδέναι, εἰδέναι δὲ τὸν τῶν προφητῶν θεόν, εἴτε φαντασία τις ἦν ἡμερινή, εἴτε νυκτὸς ἀψευδὴς ὄψις, εἴτε τοῦ ἡγεμονικοῦ τύπωσις συγγινομένη τοῖς μέλλουσιν ὡς παροῦσι· πλὴν οὐδεὶς θεοῦ φύσιν εἶδε, φησίν, ἢ ἐξηγόρευσεν. οἷς τοίνυν τὰ τῶν κοινῶν ἐννοιῶν τῆς τοῦ θεοῦ ἐκκλησίας πέπηγεν ἄσειστα κατὰ γνώμην ἑστῶσαν καὶ ἀναμφίβολον, τούτοις καὶ σφόδρα τι ῥᾴδιον ἀόρατον καὶ μόνην ἄκτιστον δογματίζειν τοῦ θεοῦ τὴν οὐσίαν καὶ γνώμῃ καὶ ψυχῇ καὶ χειρὶ νύκτωρ τε καὶ μεθ' ἡμέραν ἀεί, καὶ πάντα ταῦτα πρὸς κανόνα καὶ στάθμην ἀνάγειν ἐκεῖ. εἰ γὰρ καὶ Μωσῆς τὴν ἀόρατον οὐσίαν ὁρᾶν ἐδύνατο τοῦ θεοῦ, οὐκ ἂν ἁπάσῃ γνώμῃ καὶ ὅλης ψυχῆς προθυμίᾳ οὕτως ᾔτει δεόμενος ὕστερον καὶ λέγων "εἰ εὕρηκα χάριν ἐναντίον σου κύριε, ἐμφάνισόν μοι σεαυτὸν γνωστῶς ἴδω σε, ὅπως ἂν ὦ εὑρηκὼς χάριν ἐναντίον σου," καὶ πάλιν "δεῖξόν μοι τὴν σεαυτοῦ δόξαν." δῆλον γὰρ ὡς σωματικῶς βλέπων ἐπεθύμει καὶ τῆς θείας οὐσίας θεατὴς γενέσθαι. τὸ δὲ ἦν ἀδύνατον· ἀπερίγραπτος καὶ ἀνείδεος ὁ θεός· "τὸ πρόσωπόν μου" γάρ φησιν "οὐκ ὀφθήσεταί σοι· οὐδεὶς γάρ" φησιν "ὄψεται τὸ πρόσωπόν μου 3.449 καὶ ζήσεται. ἀλλ' ὄψει τὰ ὀπίσθιά μου," εἴτε τοὺς λόγους τῶν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ὄντων λέγων, καὶ ὅσα μὲν ἐκεῖνον ἐκείνου γνωρίσματα κατὰ τὸν θεῖον Γρηγόριον, εἴτε τὴν διὰ σαρκὸς ἐπιφάνειαν, τὴν ἐκ παρθένου δηλονότι γέννησιν· περὶ ἧς καὶ ὁ ἀπόστολός φησιν "ἐπεφάνη ἡ χάρις τοῦ θεοῦ ἡ σωτήριος πᾶσιν ἀνθρώποις," ἐπιφάνειαν ἐνταῦθα λέγων οὐ κατὰ τὴν πάλαι τῶν προφητῶν, ἀλλὰ τὴν νῦν τὴν διὰ σώματος ἀληθοῦς· τότε γὰρ διὰ σωματικῶν σχημάτων καὶ τυπικῶν φαντασμάτων ἀναλόγων τῇ τῶν ὁρώντων δυνάμει ἐγίγνοντο. διὰ γὰρ τοῦτο καὶ διάφοροί τε αἱ ὁράσεις καὶ πολυειδεῖς ἐφαίνοντο· καὶ γὰρ "ἐγώ" φησιν "ὁράσεις ἐπλήθυνα, καὶ ἐν χερσὶ προφητῶν ὡμοιώθην." εἰ γὰρ αὐτήν, ὁ Χρυσορρήμων φησίν, ἑώρων τὴν τοῦ θεοῦ φύσιν, οὐκ ἂν διαφόρως ἐθεῶντο· ἁπλῆ γάρ τις καὶ ἀσχημάτιστος καὶ ἀσύνθετος. εἶτα οὐκ ὤφθην ἀλλ' ὡμοιώθην φησίν· οὐ γὰρ ἄλλος ὁ λέγων, ἀλλ' αὐτὸς περὶ ἑαυτοῦ ἐστὶν ὁ θεός· ἡ γὰρ ὁμοίωσις ποιότητος ἔνδειξιν ἔχει καὶ οὐχὶ φύσεως, σχήματος λέγω καὶ χρώματος καὶ ὅσα τῇ ὄψει πέφυκεν ὑποκείμενα, καὶ ὅσα τῇ ἀκοῇ, λέγω δὴ τὸ τῆς λαλιᾶς ἦθος καὶ βούλημα. καὶ γὰρ καὶ ὁ τοῦ ἀνθρώπου νοῦς ἀσώματος ὢν αἰσθήσει οὐχ ὑπόκειται· ἀλλ' ἐπειδὰν εἰς λαλιὰν ἔλθῃ καὶ λόγους ἐνάρθρους, τηνικαῦτα καὶ αἰσθήσει μὲν ὑποβάλλεται· καὶ τὸ τῆς οἰκείας βουλήσεως εἶδος καὶ ἦθος ἐνδείκνυται μὲν σκιωδῶς καὶ σωματικῶς εἰπεῖν, τὴν δὲ φύσιν ἐνδείξασθαι 3.450 ἥκιστα ἔχει· σωματικοῖς γὰρ τοῦτ' ἀδύνατον ὄμμασιν. εἰ δὲ νοῦ φύσιν ἰδεῖν αἰσθητῶς ἀδύνατον, πῶς θεὸν ἰδεῖν δυνατόν; ὅθεν καὶ διπλῆν ὁ θεὸς τὴν τῶν ὄντων εἴργασται φύσιν, διὰ τὸ καὶ τὴν ἀνθρώπου, δι' ὃν τὰ ποιηθέντα πεποίηται, ποίησιν εἶναι διπλῆν, ἔκ τε νοητοῦ καὶ αἰσθητοῦ συγκειμένην· καὶ εἰσὶν οἰκείως ὑποκείμενα τῷ μὲν νῷ τὰ νοητὰ τῇ δ' αἰσθήσει τὰ φαινόμενα πάντα. ὧν οὐδὲν οὐδαμῇ ποτὲ ἄκτιστον· εἴρηται γὰρ ὡς οὐδὲν τῶν τῇ αἰσθήσει ὑποβαλλομένων ἀσώματον· ὃ δὲ μὴ ἀσώματον, πῶς ἄκτιστον; τίς γὰρ οὕτως ἄμοιρος αἰσθήσεώς τε καὶ νοῦ ὡς ἀγγέλων καὶ ψυχῶν καὶ τῶν τοιούτων ἀσωμάτων μὲν ὄντων κτιστῶν δέ, ἔπειθ' ὅσα χρώμασι καὶ σχήμασι καὶ γλυκύτησι καὶ πικρότησι καὶ ὀσμαῖς ὑπόκειται καὶ ἀκοῇ καὶ ὄψει καὶ ἁφῇ κρίνεται, λέγειν ἄκτιστα. τί δ' ἀπεοίκοι ἂν οὗτος τῶν μαινομένων ἢ ἀναισθήτων; καὶ ἵν' ἐκ τῶν καθ' ἕκαστα φαινομένων τὸν λόγον γυμνάσωμεν, τὰ διὰ μέλανος ἢ δι' ἄλλου του χρώματος γράμματα τῶν αἰσθήσεων μὲν ὑπόκεινται πάντως τῇ ὄψει· ἀλλ' ἔχει καὶ νοῦν ἐγκείμενον καὶ κρυπτόμενον ἐν τῷ μέλανι, ἀπηγορευμένου καὶ ἀδυνάτου παντάπασιν ὄντος ὄψει τοῦτον ὑποτεθῆναι. ὅμως ἐπειδήπερ ὁ ἄνθρωπος διπλοῦς ἐκ ψυχῆς συνετέθη καὶ σώματος, καὶ ἀμφοτέρων ἐκείνων οἰκείως ἐπιλαμβάνεται, διὰ μὲν τῆς σωματικῆς καὶ φαινομένης ὄψεως τῶν διὰ σώματος χαρακτήρων, διὰ δὲ τοῦ νοεροῦ καὶ 3.451 ἀφανοῦς τῆς ψυχῆς ὀφθαλμοῦ τῶν τοῖς γράμμασιν ἐκείνοις ἐγκειμένων νοημάτων. καὶ τὸν ἐξ οὐρανοῦ δὲ καὶ γῆς καὶ τῶν ἐν μέσῳ πάντων συγκείμενον κόσμον ὁμοίως ἐξ αἰῶνος ὁρῶντες καταλαμβάνουσιν ἄνθρωποι πῶς μὲν καθόλου πῶς δὲ κατὰ μέρος, κατὰ τὴν ἐνοῦσαν ἑκάστῳ φύσιν καὶ δύναμιν. κἀκ τῶν δυοῖν τούτων πᾶσι πάντων ἡ γνῶσις συνίσταται, τῆς τε δι' ὄψεως αἰσθητικῆς καταλήψεως καὶ τῆς κατὰ τὸν νοῦν ἐνεργείας, ἀφανῶς μὲν κατὰ φύσιν αὐτῆς κινουμένης, ἐμφανιζομένης δ' οὖν διὰ γραμμάτων αὖθις καὶ λαλιᾶς. ἥτις καὶ αὐτὴ μία οὖσα πρὸς πολλὰς μερίζεται ἀκοάς, διπλῆν τὴν ἐνέργειαν δρῶσα· ταῖς μὲν γὰρ ἀκοαῖς σωματικαῖς τισὶν οὔσαις τὸν σωματικὸν δι' ἀέρος ἐνάρθρου δίδωσιν ἦχον, τῷ δὲ μὴ φαινομένῳ τῆς ψυχῆς νοερῷ τὸν ἐμφαινόμενον αὐτῇ καὶ ἐνσημαινόμενον παραπέμπει νοῦν. καὶ οὕτως ἡ τῶν πολιτικῶν καὶ οἰκονομικῶν πραγμάτων καὶ τῶν ἐν βίῳ πάντων κατάληψις ὅσα γένεσις ἄγει καὶ φθορά, δι' αἰσθήσεώς τε καὶ νοῦ, τῆς μὲν φαινομένης τοῦ δὲ κρυπτομένου, τὸν ἐφικτὸν ἡμῖν περιγίνεται τρόπον. διὰ δὴ ταῦτα καὶ ὁ θεὸς λόγος σὰρξ ἐγένετο, μείνας ὅπερ ἦν, νοητὸς καὶ ὑπὲρ νοῦν, προσλαβὼν δ' ὅπερ οὐκ ἦν καὶ γενόμενος διπλοῦς τὴν φύσιν ἀπόρρητον τρόπον, ἵνα διὰ τῶν τῇ αἰσθήσει φαινομένων θαυμάτων τὴν μὴ φαινομένην παραγυμνοῖ καὶ παραδεικνύῃ θεότητα,


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

καὶ οὕτως ἀπὸ τῶν κατ' αἴσθησιν φαινομένων καὶ προσ 3.452 καίρων θαυμάτων ἀνιστᾷ τὴν ψυχὴν ἐμμελῶς καὶ εἰς τὴν ὑπὲρ αἴσθησιν ἀπευθύνῃ νοητήν τε καὶ μακαρίαν ἐκείνην ζωήν. ἐκ γὰρ μεγέθους καὶ καλλονῆς τῶν ἐξ ἀρχῆς ἐν τοῖς κτίσμασι φαινομένων ἀεὶ θαυμάτων ἀναλόγως ὁ δημιουργὸς ὁρᾶται· ἀνεννόητον γάρ, ὁ θεῖός φησι Διονύσιος, πάντῃ κατὰ τὴν οὐσίαν καὶ ἀκατάληπτον τὸ θεῖον, ἀλλ' ἐκ τῶν αἰτιατῶν ὑμνητέον, διὸ καὶ τὸ θεῖον ἡμῖν βάπτισμα διπλοῖς οὖσι διπλοῦν ἐχαρίσθη, δι' ὕδατος ὁμοῦ καὶ πνεύματος, ἵνα τῷ ὕδατι, τοὺς σαρκικοὺς ἡμῶν ἀεὶ ῥύπους καθαίρειν εἰωθότι, προσγενομένου καὶ τοῦ θείου πνεύματος ἀοράτως καὶ ἀφανῶς, ἅμα τῷ σώματι συγκαθαίρηται καὶ ἡ ψυχὴ νοερῶς τε καὶ ἀφανῶς. ὅτι δὲ συμπαραγίνεται τῷ ὕδατι ἁγιαζομένῳ καὶ τὸ πνεῦμα τὸ ἅγιον διὰ τῆς τῶν εὐχῶν ἐπικλήσεως, δῆλον ὁ θεῖος ἡμῖν ποιεῖται Χρυσόστομος, "τότε μὲν" λέγων "ἐπὶ Χριστοῦ διὰ τοῦτο ἐφάνη ἡ περιστερά, ἵνα ὥσπερ δακτύλῳ τινὶ δείξῃ τοῖς παροῦσι καὶ τῷ Ἰωάννῃ τὸν υἱὸν τοῦ θεοῦ· οὐ μόνον δέ, ἀλλ' ἵνα καὶ σὺ μάθῃς ὅτι καὶ ἐπὶ σὲ βαπτιζόμενον τὸ πνεῦμα ἔρχεται. νῦν δ' ἡμῖν αἰσθητῆς οὐ χρεία ὄψεως, τῆς πίστεως ἀντὶ πάντων ἀρκούσης· τὰ γὰρ σημεῖα οὐ τοῖς πιστεύουσιν ἀλλὰ τοῖς ἀπίστοις." ὁρατὴν οὖν θεοφάνειαν οὐ μίαν ἔχομεν καὶ μόνην τὴν μεταμόρφωσιν λέγειν, οὐδ' ἀριθμῷ συγκλειομένας· ἀλλ' ἐν ὅσοις ὁ θεὸς ἐμφανίζεται διὰ συμβόλων θαύμασι μεγίστοις, πάσας θεοφα 3.453 νείας εἰκότως ἂν τις καλέσειεν ὁρατάς. ἀλλὰ καὶ τὸ θεῖον τοῦ Χριστοῦ σῶμα θεοφάνειαν Μάξιμος ὁρατὴν ἐπισημαίνεται λέγειν τὸν μέγαν Διονύσιον. καὶ γὰρ καὶ ἡ κατὰ σάρκα γέννησις ὁρατὴ θεοφάνεια ἦν, ὡς καὶ ὁ μέγας φάσκει Γρηγόριος, οὑτωσὶ λέγων "τὰ δὲ νῦν θεοφάνια ἡ πανήγυρις εἴτουν γενέθλια· λέγεται γὰρ ἀμφότερα· ὄνομα δὲ τῷ φανῆναι μὲν θεοφάνια, τῷ δὲ γεννᾶσθαι γενέθλια." οὐ μόνον δέ, ἀλλὰ καὶ "ὁ ἀόρατος" φησὶν "ὁρᾶται καὶ ὁ ἄναρχος ἄρχεται," καὶ ὅσα ἑξῆς φρικωδέστερα μέν εἰσι τοῦ τὴν σάρκωσιν τοῦ κυρίου θεοφάνειαν ὁρατὴν ὀνομάζειν, ὁμόλογα δὲ τοῖς εὐαγγελικοῖς ῥήμασι τοῖς "ὁ λόγος σὰρξ ἐγένετο" ἀποφαινομένοις. οὐ μὴν ἄκτιστον διὰ τοῦτο θεότητα τὴν τοῦ κυρίου σάρκα φαμέν, ἀλλὰ τῇ προσηκούσῃ γνώσει νοῦν καὶ γλῶτταν ῥυθμίζοντες ἐκ τῶν ὁρατῶν θεοφανειῶν πρὸς τὴν τῶν ἀοράτων κατὰ δύναμιν ἀγόμεθα ἔννοιαν, καὶ κατὰ τὸν θεῖον εἰπεῖν Διονύσιον ἐπὶ τὴν ἁπλῆν καὶ ἡνωμένην τῶν νοητῶν θεαμάτων ἀλήθειαν ἀναλόγως ἀνατεινόμεθα." ἀλλὰ καὶ ὁ μελῳδὸς τὴν σάρκωσιν ὑμνῶν τοῦ κυρίου, "θεοφανείας σου" φάσκει, "Χριστέ, τῆς πρὸς ἡμᾶς συμπαθῶς γενομένης Ἡσαΐας φῶς ἰδὼν ἐκραύγαζεν." καὶ ἁπλῶς τὰ ἐν πᾶσι καιροῖς γενόμενα καὶ γινόμενα θαύματα παλαιά τε καὶ νέα ὁραταὶ θεοφάνειαι λέγοιντ' ἂν καὶ ἱερὰ παραπετάσματα. δηλώσει δὲ περὶ τῶν τοιούτων καὶ ὁ θεῖος ἐκ Δαμάσκου Ἰωάννης· 3.454 "ἐπεὶ" γάρ φησι "διπλοῦς ὁ ἄνθρωπός ἐστι καὶ σύνθετος ἐκ ψυχῆς καὶ σώματος, διπλοῦς γέγονε καὶ ὁ Χριστὸς ἐκ θεότητος ἧς εἶχε καὶ ἧς ὕστερον προσειλήφει σαρκός, ὡς εἶναι τὴν αὐτὴν καὶ μίαν ὑπόστασιν τοῦ κυρίου κτιστὴν καὶ ἄκτιστον, ὁρατὴν καὶ ἀόρατον. διπλῆν οὖν δίδωσι καὶ τὴν κάθαρσιν τῷ διπλῷ ἀνθρώπῳ δι' ὕδατος καὶ πνεύματος. καὶ σωματικῷ εἴδει ὡσεὶ περιστερὰ κατεφοίτησε τὸ πνεῦμα τὸ ἅγιον ἐπὶ τὸν κύριον· τὰ γὰρ ὁρατὰ σύμβολα τῶν νοουμένων εἰσί. καὶ διπλῆν προσκύνησιν ἡμεῖς τῷ θεῷ προσάγομεν, τῷ τε νῷ καὶ τοῖς σωματικοῖς ψάλλοντες χείλεσι. καὶ διπλῶς τῷ κυρίῳ ἑνούμεθα, τῶν τε μυστηρίων μετέχοντες καὶ τῆς τοῦ πνεύματος χάριτος· ἐπεὶ γὰρ ἔθος ἀνθρώποις ἐσθίειν ἄρτον ὕδωρ τε καὶ οἶνον πίνειν, συνέζευξεν αὐτοῖς τὴν αὐτοῦ θεότητα, καὶ πεποίηκεν αὐτὰ σῶμα καὶ αἷμα αὐτοῦ, ἵνα διὰ τῶν συνήθων καὶ κατὰ φύσιν ἐν τοῖς ὑπὲρ φύσιν γινώμεθα. Ἀλλὰ καὶ ὁ θεῖος Μάξιμος, Διονύσιον ἑρμηνεύων, παραπετάσματα λέγειν φησὶ Διονύσιον τὰ σωματικῶς ἐν τῇ λατρείᾳ τελούμενα τῆς χάριτος ἔθη ἐν τῇ ἐκκλησίᾳ, τουτέστι τὸ τοῦ βαπτίσματος, τῆς ἁγίας κοινωνίας καὶ τῶν λοιπῶν. καὶ τί δεῖ πλειόνων ἐνταῦθα λόγων; αὐτὸς γὰρ ὁ μέγας ἐν θεολογίᾳ Γρηγόριος καὶ αὐτὸ δὴ τὸ πάσχα τοῦ κυρίου



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τύπον ἔφησεν εἶναι, μὴ ὅτι τῶν πάλαι προφητῶν ἐκεῖνα ὅσα τούτου 3.455 τύπους εἶναι καὶ σκιὰς αἱ θεῖαι γραφαὶ διειλήφασι. "μεταληψόμεθα" γάρ φησι "τοῦ πάσχα νῦν μὲν τυπικῶς ἔτι, καὶ εἰ τοῦ παλαιοῦ γυμνότερον· τὸ γὰρ νομικὸν πάσχα, τολμῶ καὶ λέγω, τύπου τύπος ἦν ἀμυδρότερος· μικρῷ δ' ὕστερον τελεώτερον καὶ καθαρώτερον, ἡνίκα ἂν αὐτὸ πίνῃ καινὸν μεθ' ἡμῶν ὁ λόγος ἐν τῇ βασιλείᾳ τοῦ πατρός, ἀποκαλύπτων καὶ διδάσκων ἃ νῦν μετρίως παρέδειξε." τοσοῦτον τοίνυν ἔχοντες περικείμενον νέφος μαρτύρων ἀπαραγράπτων καὶ οὕτω μεγίστων καὶ θεοσόφων ἀνδρῶν καὶ διδασκάλων τῆς τοῦ θεοῦ ἐκκλησίας, καὶ πάντων καθάπαξ λεγόντων ἅπανθ' ὅσα διὰ φώτων ἀεὶ τελεῖται θεῖα τεράστια, θεοφανείας μὲν ὁρατάς, θεότητας δ' ἀκτίστους, οὐδαμῶς που δίκαιον καὶ ἡμᾶς, τῇ δημώδει τῶν ἀμαθῶν καὶ ἀγοραίων συμφερομένους ὑπολήψει, θεότητα ὑφειμένην ἄκτιστον δογματίζειν καὶ διάφορον τῆς θείας οὐσίας τὸ πάλαι φανὲν ἐπὶ τοῦ κυριακοῦ προσώπου φῶς ἐν Θαβὼρ τῷ ὄρει, καὶ ὁμοδοξεῖν Μανιχαίοις καὶ Μασαλιανοῖς διὰ μόνην Παλαμικὴν ἀρέσκειαν μωρὰν καὶ παράνομον, μηδὲν νοητὸν ἡγουμένους ἀλλὰ νοητῶς κομιδῇ τὸν ἄλογον τρόπον τῇ αἰσθήσει μόνῃ πάντα χαριζομένους. καίτοι Ἄρειος ἐκεῖνος ὁ δυσσεβὴς κτίσμα μὲν ἔλεγε βλασφημῶν τὸν υἱὸν καὶ λόγον τοῦ θεοῦ, καὶ θεὸν ὑφειμένον· οὐ μὴν εἰς τοσαύτην ἧκεν ἀναισχυντίαν καὶ νηπιῶδες ψέλλισμα ὥστε ἀνούσιον ὁρατὴν ὀνομάσαι θεότητα· μηδὲ γὰρ εἶναι κατ' 3.456 ἐπιστήμην μήτε θείαν μήτ' ἀνθρωπίνην, μήτε λόγον ἔχειν οὐδένα λέγειν τι τῶν ὄντων ἀνούσιον ὁρατόν. καίτοι ἐκεῖνος μὲν κτιστὸν λέγων θεὸν ὅμως ὁρατὸν οὐκ ἐδυνήθη προσειπεῖν· ὑπέρτερον γὰρ τῶν ἀγγελικῶν οὐσιῶν ἀποφηναμένῳ οὐ μέντ' ἂν αὐτῷ δυνατὸν ἔπειτα ἦν, ἀοράτων ἐκείνων οὐσῶν, ὁρατὸν αὐτὸν δογματίσαι· Παλαμᾶς δὲ καὶ συλλογίσασθαι τετόλμηκε τὰ ἀσυλλόγιστα, καὶ ἐξηρεύξατο τὰ ἀσύμβλητά τε καὶ ὡς ἐπίπαν ἀσύμφωνα, οὐ κατὰ ποιητικήν τινα τῶν θύραθεν ἄδειαν, ἀλλὰ κατὰ ἀνεπιστήμονα Παλαμικὴν αὐθάδειαν· οὔτε γὰρ οὐδενὶ τῶν θύραθεν σοφῶν πώποτ' εἰς νοῦν τοιαύτη τις ἠνέχθη τερατεία, οὔτε μὴν βαρβάρων ἔψαυσέ τινος λογισμοῦ τηλικαύτη μωρία μέχρι καὶ τήμερον. λείπεται οὖν ἐνταυθοῖ γενομένοις καὶ ἡμῖν, σιωπῇ τὰ τοιαῦτα βδελυξαμένοις, ἀκοὴν παραδραμεῖν μανιώδη καὶ δυσσεβείας μεστήν. Περὶ μὲν οὖν τοῦ ὅτι φῶς ἓν ἄκτιστόν ἐστιν ἡ μία καὶ μακαρία καὶ ποιητικὴ τῶν μετ' αὐτὴν ἁπάντων θεότης ἡ τρισυπόστατος, ἣν οὐδεὶς οὔτ' εἶδεν οὔτ' ἰδεῖν δύναται, τὰ δὲ μετ' αὐτὴν πάντα κτιστά, καὶ ὅτι ὁρατὴ μὲν θεοφάνεια λέγεται τοῖς ἁγίοις ἥ τε σὰρξ τοῦ κυρίου καὶ τὸ ἐν τῷ Θαβωρίῳ πάλαι τῷ ὄρει περιλάμψαν τὸ τοῦ κυρίου πρόσωπον φῶς, οὐ μὴν ἄκτιστοι θεότητες, καὶ ὅτι δι' αὐτῶν παρεδείχθη μὲν οὐκ ἐδείχθη δ' οὖν 3.457 ἡ μόνη ἄκτιστος ἐκείνη θεότης, καὶ ὅτι Μανιχαίων καὶ Μασαλιανῶν τὸ δόγμα τουτί, καὶ οὐκ ἄλλου τούτων ὅσοι πρεσβύτεροι γεγόνασιν αἱρέσεων ἀρχηγοί, ὁρατὴν εἶναι λέγειν ὀφθαλμοῖς ἀνθρωπίνοις γυμνὴν τὴν ἄκτιστον θείαν οὐσίαν, ἣν καὶ ἀγγελικαῖς δυνάμεσι βλέπειν ἀδύνατον, εἴρηταί τε καὶ εἰρήσεται προϊοῦσι σαφέστερον. τὸ γὰρ τῆς πολυπλόκου ταύτης αἱρέσεως νόσημα Μάνης μὲν πρότερον ὁ τῶν Μανιχαίων πρόεδρος ὠδίνησέ τε καὶ ἔτεκε, Μασαλιανοὶ δ' ἐμαιεύσαντο, ἡ δὲ τῶν εἰκονομάχων εἰς ἀνήμερον ἡμέραν ἐξήνεγκεν ὕστερον τυραννίς· ἡ δὲ νῦν ἐπιπολάσασα Παλαμικὴ φατρία ἐπὶ μείζονι λύμῃ τῆς εὐσεβείας, συμμάχῳ τῇ δυναστευούσῃ τέως χειρὶ χρησαμένη, μέχρις ἤδη καὶ τῆς αἰθερίας λήξεως αὐξηθῆναι τὴν τῆς κακίας πέπραχε φλόγα. διὸ καὶ ἀναληπτέον τὸν εἱρμὸν ἡμῖν ἐκεῖθεν τοῦ λόγου, ὡς ἂν ἐντελέστερον ἔτι καὶ ἡ τῶν τοιούτων ἀφήγησις δέχηται τὸν χρωματισμόν· ἔλαθον γὰρ ἐγὼ συναπενεχθεὶς τῷ τοῦ ζήλου ῥεύματι, μὴ ἀνασχόμενος σιγῇ παρελθεῖν συκοφαντουμένων τῶν μεγάλων τῆς ἐκκλησίας καὶ θείων φωστήρων, Γρηγορίου τε καὶ Διονυσίου. διὸ τὸν περὶ τούτου λόγον πλατυτέρας δεόμενον ἐξετάσεως, βραχέα μὲν ἀρτίως, καὶ ὅσον τὴν προθυμίαν ἀφοσιώσασθαι, διεξῆλθον· τὰ δὲ πλείω τοῖς ἔμπροσθεν ταμιεύεσθαι κρίνας δίκαιον


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐκεῖσε ἐπάνειμι, τοῖς διδασκάλοις κἀν τούτῳ πειθόμενος τουτοισί, τὰς οὕτω βεβήλους καινοφωνίας 3.458 τῶν λόγων καὶ τὴν πολλὴν φλυαρίαν, οἷς σχολὴν ἔπεισιν ἄγειν, ἐπιτάττουσι παραχωρεῖν τε καὶ ἀποτίθεσθαι. εἶναι γάρ φησι τὸ κινοῦν ἄσχετόν τινα θερμότητα χωρὶς λόγου καὶ ἐπιστήμης καὶ πίστεως πλοῦν ἀκυβέρνητον· τὸ γὰρ τῆς ἐπιστήμης πηδάλιον ἥκιστα ἔχειν αὐτοῖς προσγεγέννηται. Ἐμοὶ δὲ σκοπός τε καὶ πρόθεσις ἦν τῆς ψυχῆς, δι' ἣν εἰρήκειμεν ἐξ ἀρχῆς αἰτίαν, πρόμαχον παρασχέσθαι γλῶτταν, ὅσον ἐφικτόν, ἐκείνῳ τῷ σοφῷ Θεοδώρῳ καὶ μάρτυρι τῆς ἀληθείας, περιφανῶς συκοφαντουμένῳ νῦν πρὸς τῶν Παλαμιτῶν, καθάπερ πρὸς τῶν εἰκονομάχων τότε, οἷς καὶ μέχρι θανάτου τὴν οἰκείαν ἐκεῖνος ἀντέστησεν ἔνστασιν, τὸ μὲν σῶμα παντοίαις ὑπὲρ Χριστοῦ προδοὺς κολάσεσιν, τὴν δὲ φιλόσοφον ἐκείνην καὶ ἔντεχνον γλῶτταν κατὰ τῶν ἀντιθέτων ὁπλίσας δογμάτων· οἷς κἀγὼ τήμερον, τοῖς τῶν ἐκείνου λόγων ὅπλοις θαρρήσας, ἀνθίσταμαί τε καὶ ἀντιστήσομαι, καὶ τοὺς ὑπὲρ ἀληθείας ἀνακαινίζειν ἄθλους ἐκείνου τό γε εἰς ἐμὲ ἧκον οὐ κατοκνήσω κατὰ τῶν τὴν αἵρεσιν ἐκείνην ἀνακαινίζειν τολμώντων τήμερον, ἀλλὰ κατὰ τοὺς προμηθεστέρους τῶν ἰατρῶν καὶ αὐτὸς κολάζειν καὶ ἀναστέλλειν, τὸν ἐφικτόν γε τρόπον, πειράσομαι τῆς τῶν ἀντιθέτων γνώμης καὶ γλώττης τὸ ἀσελγὲς καὶ ἀστάθμητον, καθάπερ ἐκεῖνοι τῆς τῶν σωμάτων εὐεξίας τοὺς παρανόμους ἀνασοβεῖν ἐγχειροῦσιν ὀλίσθους, ἕως ἥ τε γλῶττα ἔρρωται σύν γε θεῷ καὶ τὴν ὥραν 3.459 ἀνθοῦσαν δίδωσιν ἐμοὶ δοκεῖν ἔτι κεκτῆσθαι τοὺς λογισμοὺς ὁ χρόνος, μήπως ἡ ζῶσα τῆς εὐσεβείας δύναμις, πολλαχόθεν κατ' αὐτῆς ἀκμάζοντος τοῦ τῆς ἀσεβείας χειμῶνος, πρωϊαίτερον καὶ τῆς ἐνίων ἴσως ὑπολήψεως καὶ δόξης τὸν ἄδικον μαρασμὸν ὑποστῇ, καθάπερ ἄνθος ἐν ἀγρῷ καὶ ῥόδον ἐν λειμῶνι. Πρῶτον οὖν ἐξεταστέον τί ἐστι μεταμόρφωσις, μᾶλλον δὲ τί ἐστι μορφὴ καὶ τί τὸ γένος αὐτῆς· οὕτω γὰρ ἂν καὶ τὰ εἰρημένα σαφέστερα γένοιτ' ἄν. τῶν γὰρ ὁμωνύμων οὖσα ἡ φωνὴ ἐπὶ μὲν θεοῦ λεγομένη ταὐτὸν δύναται τῇ οὐσίᾳ, καθὰ καὶ τοῖς θείοις τῆς ἐκκλησίας φωστῆρσι νενομοθέτηταί τε καὶ παραδέδοται, ἐπί γε μὴν τῶν αἰσθητῶν μορφή ἐστι τὸ περὶ τὴν ἐπιφάνειαν ποιὸν τύπωμα, πρὸς ὃ βλέποντας εὔμορφόν τε λέγειν ἔνεστι καὶ δύσμορφον τὸ ὑποκείμενον ζῶον τυχόν. συμβεβηκὸς γάρ ἐστιν ἐν ὑποκειμένῳ τινὶ θεωρούμενον ἡ μορφή. γένος δ' ἔχουσα τὴν ποιότητα τέταρτον κατὰ διαίρεσιν εἶδος εὑρίσκεται ταύτης. ἐπεὶ δὲ καὶ ἡ κίνησις, συμβεβηκὸς οὖσα καὶ αὐτή, θεωρεῖται μὲν καὶ ἐν οὐσίᾳ καὶ ποσῷ καὶ τόπῳ, θεωρεῖται δὲ μᾶλλον κἀν τῇ ποιότητι τὸ πολυειδὲς ἐργαζομένη τῆς ἀλλοιώσεως, τὴν δ' ἀλλοίωσιν ἐκστατικόν τι εἶναι τοῦ πρότερον ὄντος ὁρίζονται τῆς οὐσίας μενούσης, ἡδέως ἂν ἐροίμην ἔγωγε Παλαμᾶν καὶ τοὺς ἀμφ' αὐτόν, τί ἂν εἶναι νοοίη τὴν μεταμόρφωσιν. οὐδὲν γὰρ ἡ λέξις ἕτερον πάντως δηλοῖ ἢ μορφῆς ἀλλοίωσίν τε καὶ μετα 3.460 ποίησιν. εἰ μὲν οὖν τῆς οὐσίας λέγοι τῆς θείας, Μανιχαίων τὸ νόσημα δείξων ὁ λόγος ἔρχεται· καὶ τί ἂν ἀσεβέστερον εἴη τοῦ μετουσίωσιν λέγοντος τὴν ἐπὶ τοῦ Θαβωρίου ὄρους μεταμόρφωσιν τοῦ Χριστοῦ, καὶ δυοῖν τῶν ἀτοπωτάτων θάτερον πάντως εἰσάγοντος, ἢ τῆς θείας οὐσίας τὸ ἀναλλοίωτον δηλαδὴ καθαιροῦντος εἰς τὸ ὑφειμένον καὶ διάφορον ταύτης, ἢ διαιροῦντος ἐξ ἀμαθοῦς καὶ κακοτρόπου γνώμης εἰς δύο θεοτήτων ἀκτίστων διχοτομήματα τὴν μόνην ἄκτιστόν τε καὶ ἀμερῆ καὶ ἁπλῆν, καὶ τὴν μὲν λέγοντος ὁρατὴν τὴν δ' ἀόρατον, καὶ τὴν μὲν μεθεκτὴν τὴν δ' ἀμέθεκτον, καὶ τὴν μὲν ὑφειμένην τὴν δ' ὑπερκειμένην. ὃ καὶ τὴν τῶν εἰκονομάχων ὑπερβέβληκεν αἵρεσιν, ὡς εἰρήσεται χωροῦντι τῷ λόγῳ πλατύτερον. εἰ δ' ἐξ ὅλων ὅλην μεταβεβλῆσθαι φάσκοι τὴν τοῦ δούλου μορφήν, κατ' αὐτοὺς ἀκριβῶς εἰπεῖν τοὺς εἰκονομάχους, ἐπὶ φῶς ἄρρητόν τε καὶ ἄκτιστον καὶ θεότητα ξένην, καθὰ κἀν τοῖς περὶ φωτὸς διέξεισι λόγοις αὐτοῦ φωναῖς ἀνθρωπίναις κεχρῆσθαι τὸ φῶς ἐκεῖνο, καυχώμενον πρὸς αὐτόν, καὶ "μὴ φοβοῦ" παρακελευόμενον, "μετά σου γάρ εἰμι," τοῦ μέλλοντος ἀρραβῶνα φωτὸς παρεχόμενον, ζητητέον πῶς τὸ κτιστὸν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

μετακεχώρηκεν ἑαυτῷ πρὸς τὸ ἄκτιστον καὶ τὸ ἠργμένον πρὸς τὸ ἄναρχον καὶ τὸ χρονικὸν πρὸς τὸ ἄχρονον, καὶ πρὸς τὸ πεπερασμένον τὸ ἄπειρον. ὅτι μὲν γὰρ τὸ φθαρτὸν τοῦτο κατὰ τὸν θεῖον ἀπόστολον ἐνδύσεται ἀφθαρσίαν, 3.461 ἠκούσαμέν τε καὶ πεπιστεύκαμεν· τὸ δὲ κτιστὸν γενέσθαι ἄκτιστον ἢ τὸ σῶμα ἀσώματον οὔπω ἐς δεῦρο οὔτε τι τῶν λογικῶν ζώων εἴρηκεν οὔτ' ἀκήκοεν οὐδὲν οὐδαμῇ, οὔτε καθάπαξ εἰπεῖν τῶν ἁπάντων κτισμάτων οὐδὲν οὐδαμῇ πω νενόηκεν. οὔτε μὴν οὐδ' αὖ τὸ ἄκτιστόν τε καὶ ἄπειρον οὔτε κατ' οὐδένα λόγον οὔτε κατ' οὐδένα τρόπον ἐπιδέχεται τὴν οἱανδήποτε κίνησιν καὶ τροπὴν εἰς τὸ ὑφειμένον, οὐκ ἔχον οὔθ' ὅπως τραπήσεται οὔθ' ὅπου κινηθήσεται· τροπὴ γὰρ τοῦ κατὰ φύσιν ἀπείρου, κινεῖσθαι μὴ πεφυκότος, [ἤ τ'] ἀλλοίωσις καὶ διαίρεσις εἴη ἄν, ὅπερ ἀδύνατον· πᾶσα γάρ, ὁ θεῖος ἔφησε Μάξιμος, φύσις τῷ οἰκείῳ λόγῳ διὰ παντὸς ἔχει τὸ τέλειον, νοητή τε καὶ αἰσθητή, εἴτ' οὖν ἁπλῆ τε καὶ σύνθετος· ὧν γὰρ οἱ λόγοι παρὰ τῷ θεῷ ἅμα τῷ εἶναι τὸ τέλειον ἔσχον, τούτων ἡ κατὰ τοὺς οἰκείους λόγους παραγωγὴ καὶ οὐσίωσις προσθήκης πάσης καὶ ἐλλείψεως τῆς πρὸς τὸ εἶναι, ᾗπερ ὄντα τυγχάνει, παντελῶς ἐστὶν ἀνεπίδεκτος. εἰ δέ πού τις ἀλλοίωσις γένοιτό πῃ, οὐ μέντοι περὶ τὸν τῆς φύσεως ἀλλὰ περὶ τὸν τοῦ ἀλλοιουμένου γίνεται πράγματος τρόπον. ὁ μὲν γὰρ λόγος μεθαρμοζόμενος φθορὰν αὐτίκα παρέχει τῇ φύσει, ὁ δὲ τρόπος τοῦθ' ὑπομένων θαυματοποιοῦ δυνάμεως ἔνδειξιν ἔχει· τοῦ γὰρ Αἰγυπτίου Νείλου τὸ ὕδωρ ὄψιν μὲν καὶ γεῦσιν πάλαι μεταμεμόρφωται καὶ ἠλλοίωται πρὸς αἵματος χρῶμα καὶ ἀηδίαν, τήν γε μὴν ὑγράν τε καὶ ῥέουσαν ἥκιστα ἤρνηται φύσιν· καὶ ἡ Βαβυλώ 3.462 νιος ἐκείνη κάμινος τοῖς μὲν ὁσίοις παισὶ τὴν ἀναλωτικὴν μεθήρμοσται δύναμιν, οὐκ ἐχούσης τῆς ἀρετῆς φθορὰν ἀναδέχεσθαι ῥᾷστα καὶ ὁπωσοῦν, τὸ μέντοι φωτεινόν τε καὶ πυρῶδες ἦθος καὶ τὸ τῆς φύσεως ἀνωφερὲς οὐ μεθήρμοστο· τοῖς γὰρ Βαβυλωνίοις τὸ κατὰ φύσιν ἔδειξε καυστικόν, φύσει δεκτικοῖς γεγονόσι διὰ τὸ τῆς κακίας ὑλῶδες. Καὶ ἵνα κατὰ ῥῆμα τὰ τῶν εἰκονομάχων εἰς μέσον προενεγκόντες, καὶ τοῖς τοῦ Παλαμᾶ παρεξετάσαντες, δείξωμεν ὡς ἐς τὸ πάνυ τι ἀκριβὲς καὶ αὐτοῖς συμπεφώνηκε μέν, παρήλασε δ' οὖν, τὸ παρ' ἑαυτοῦ συγκεκραγώς, ὡς εἴωθεν, ἐπὶ τὰ αἴσχιστα μάλα φιλότιμον, ἀκούετε δή. μετὰ γὰρ πολλὰς κἀκεῖνοι τὰς ἄλλας αὐτῶν βλασφημίας καὶ τάδε βεβλασφημήκεσαν. ἐν ἀνθρώποις ἔτι, φασί, βιοτεύων ὁ θεὸς λόγος, τοῖς ἐκκρίτοις τῶν ἑαυτοῦ μαθητῶν προαρραβωνιζόμενος τὴν θέαν τῆς αὐτοῦ βασιλείας, μεταβαλὼν τὴν τοῦ δούλου μορφὴν ἐπὶ τοῦ ὄρους, ὑπὲρ τὴν ἀνθρωπείαν φύσιν ἐπιδέδεικται, ὥστε τὸ μὲν πρόσωπον αὐτοῦ ἀπήστραψεν ὡς ὁ ἥλιος, τὰ δὲ ἱμάτια αὐτοῦ ὡς τὸ φῶς. εἰ δὲ τότε ἡ ἐν σαρκὶ αὐτοῦ

μορφὴ τοσαύτης ἔλαχε δυνάμεως πρὸς τῆς ἐνοικούσης ἐν αὐτῇ θεότητος μεταβληθεῖσα, τί χρὴ λέγειν μετὰ τὴν ἀνάστασιν καὶ τὴν εἰς οὐρανοὺς ἄνοδον καὶ τὴν ἐκ δεξιῶν τοῦ πατρὸς ἵδρυσιν, ὅτ' ἐξ ὅλων ὅλη μεταβέβληται ἐπὶ φῶς ἄρρητον καὶ ἀνεκδιήγητον· μεταμεμόρφωται γὰρ καὶ ἀπηθανάτισται καὶ ἄκτιστον γέγονε καὶ ἄφθαρτον. 3.463 Ἀκηκόατε τὴν ἐπὶ κακῷ συμφωνὴν τοῦ Παλαμᾶ περί τε τοῦ ἐν Θαβωρίῳ φωτός, ὅτι μεταμεμόρφωται πρὸς τὸ ἄκτιστον ἐκ τοῦ κτίσματος, καὶ ὅτι ἀρραβὼν τοῦ μέλλοντος οὑτωσὶ φωτὸς ἐγεγόνει. γνοίητε δ' ἂν ἀκριβέστερον καὶ ὅσον τὸ τῆς κακίας ταυτησὶ μέγεθος, ἐπειδὰν καὶ τοὺς κατ' αὐτῆς ἐλέγχους ὑφ' ἡμῶν ἐκτεθέντας ἀκούσητε, ὁποίους καὶ ὅσους οἱ τότε σοφοὶ τῆς τοῦ θεοῦ ἐκκλησίας προστάται, λόγοις ἅμα καὶ ἔργοις ἐρρωμένως ἐνηθληκότες, συνεγράψαντό τε καὶ ἡμῖν τοῖς μετ' ἐκείνους ἰοῦσι συμμαχίας προεμνηστεύσαντο κρατίστης ὑπόμνημα. προῄδεσαν γὰρ ἐκεῖνοι, τῷ θείῳ φωτιζόμενοι πνεύματι, τὴν ἐν τῷ τέλει τῶν αἰώνων τῆς εἰκονομαχίας ἀναβίωσιν ταυτηνί, ἣν Παλαμᾶς μὲν ὠδίνησέ τε καὶ ἔτεκεν, αἱ δὲ τηνικαῦτα ἡγεμονίαι καὶ ἐξουσίαι τοῦ παρόντος αἰῶνος καὶ σκότους ἐπὶ πονήρῳ τῶν πατρίων δογμάτων τῆς τοῦ θεοῦ ἐκκλησίας ἀνειληφυῖαι κακῶς ἐμαιεύσαντό τε καὶ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐξέθρεψαν. ὧν εἷς προβληθεὶς ἐπὶ τοῦ παρόντος ἀρκέσει κάμνοντας ἡμᾶς ἀναρρῶσαι, καὶ ἅμα ἱκανῶς ἐν βραχεῖ παραστῆσαι τὸ τῆς κακίας νεμόμενον ἅπαν, μέχρι πόσου μὲν ἀτοπίας ἐξώκειλε τότε μέχρι πόσου δὲ νῦν προήνεγκεν ηὐξηκὼς Παλαμᾶς, προσλαβὼν μὲν τὰς ἐκεῖθεν εὑρημένας ῥίζας, καὶ προσεπενεγκὼν τὰς οἴκοθεν ἐφευρημένας μιαρωτέρας προφάσεις. Θεόδωρος γὰρ ὁ πολὺς μὲν τὴν σοφίαν πολὺς δὲ καὶ τὴν ἐμπεφυκυῖαν ἀρετήν τε καὶ σύνεσιν, πολλὴν τὴν σπουδὴν ἐν τοῖς κατὰ τῶν εἰκονομάχων ἀγῶσιν ἐπιδειξάμενος ἐς 3.464 τὸ πάνυ τι κράτιστον, ὡς ἐν ταῖς ἀρχαῖς τῶν ἡμετέρων τῶνδε λόγων ἡμῖν τὰ περὶ αὐτοῦ πλατύτερον εἴρηται, πάντων μάλιστα πλεῖστον ἀντεισενεγκὼν ὑπὲρ εὐσεβείας τὸν ζῆλον, καὶ ἀντιστήσας τοῖς τότε κατὰ τῶν θείων εἰκόνων μανεῖσι τυράννοις, ὑφ' ὧν καὶ τὸ πρόσωπον γέγραπταί τε καὶ ἔστικται καὶ τὴν ἐπωνυμίαν Γραπτὸς ἐκεῖθεν κληθεὶς ἀπηνέγκατο, πλείσταις μὲν καὶ ἄλλαις ἱεραῖς αὐτοῦ βίβλοις τὴν τοῦ θεοῦ ἐκκλησίαν κεκόσμηκε, μάλιστα δ' αἷς κατὰ τῶν εἰκονομάχων ἐξέθετο, τοῖς συγγράμμασιν ἐντυγχάνων τοῦ τότε τὰ πρῶτα φέροντος ἐν λόγοις ἀσεβοῦς Εὐσεβίου· ἐν αἷς τά τε ἄλλα καὶ τάδε διέξεισι. κατακομψεύεται, φησίν, Εὐσέβιος ἐπὶ φῶς ἄρρητον καὶ ἀνεκδιήγητον καὶ τῷ θεῷ λόγῳ πρέπον τὴν τοῦ δούλου μεταβεβλῆσθαι μορφὴν ἐν τῷ ὄρει, φῶς ὅπερ ὀφθαλμὸς οὐκ εἶδε καὶ οὖς οὐκ ἤκουσε καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη. καὶ ὁ μὲν Εὐσεβίου λόγος τοιοῦτος καὶ οὕτως ἔχων, καὶ τὸ πᾶν αὐτῷ ἐνταῦθα τῆς ἀσεβείας ἐξήρτηται· ὅποι δ' αὐτῷ φέρει τὰ τῆς καινῆς ταύτης διδασκαλίας καὶ τοῦ δόγματος, ὡς ἔνι μάλιστα, συντομώτερον σκεψώμεθα, καὶ ὁποῖος δὴ καὶ ὅστις ὁ τῆς μεταβολῆς τρόπος, ἐπισκέψασθαι πειρασώμεθα. πᾶν τὸ μεταβαλλόμενον ἢ κατ' οὐσίαν μεταβάλλεται, ὃ δὴ περὶ γένεσιν καὶ φθορὰν θεωρεῖται, ἢ κατά τι τῶν ἐν αὐτῷ, καὶ τοῦτο διχῶς· ἢ γὰρ κατὰ ποσὸν μεταβάλλεται, καθὸ ἡ αὔξησις καὶ ἡ μείωσις δείκνυται, ἢ κατὰ 3.465 τὸ ποιόν, ἐξ οὗ ἐμφαίνεται ἡ ἀλλοίωσις. εἰ μὲν οὖν κατὰ τὸ ποιὸν μεταβέβληται, κεκίνηται μὲν πρὸς ἀλλοίωσιν, ἢ δέ ἐστι μετασχηματισμὸς χαρακτῆρός τινος ἢ κατά τι τῶν τοῦ ὑποκειμένου πράγματος ἐξαλλαγή, χωριστῶς ἢ ἀχωρίστως ἐπισυμβαίνουσα. ἅπερ ἀλλοῖον μὲν καὶ διάφορον τοῦ προτέρου δείκνυσιν, οὐ μὴν δέ γε ἄλλο τι τὸ ἀλλοιούμενον ἀπεργάζεται· οὐ γὰρ οὐσιωδῶς μετέβαλεν, ἀλλ' ἐκ τοιοῦδε τὸν αὐτὸν τοιόνδε κατὰ τὸ ποιὸν γενέσθαι πεποίηκε. τοῦτο δ' οὐκ ἔστιν ἐξ ὅλων ὅλον μεταβεβλῆσθαι· τὸ γὰρ ὑποκείμενον ὑπομένει πάντως σωζόμενον. εἰ δὲ κατὰ τὸ ποσόν, αὔξησίν τινα ἢ μείωσιν ἐδέξατο. ἀλλ' οὐδὲ ταῦτα ἄλλο τι παρὰ τὸ ἐξ ἀρχῆς ὑπάρξαν ποιεῖ, ἀλλ' ἐκ τοσοῦδε τὸν αὐτὸν τοσόνδε κατὰ τὸ πηλίκον γενέσθαι πεποίηκεν. οὐκοῦν οὐδὲ κατὰ τοῦτον τὸν τρόπον ἐξ ὅλων ὅλη μεταβέβληται ἡ μορφή. λείπεται οὖν λέγειν καθ' αὑτὴν μεταβεβλῆσθαι, περὶ τὴν οὐσίαν δηλαδή, ὡς ἀνάγκην εἶναι πᾶσαν ἐκ γενέσεως εἰς φθορὰν καὶ τοῦ ὄντος εἰς τὸ μηδαμῶς εἶναι κεχωρηκέναι. ἀλλὰ τὴν θνητότητα, φησίν, ἀπεδύσατο καὶ τὴν φθορὰν ἀπενίψατο. πρόσθες, εἰ βούλει, ὅτι καὶ εἰς τὸ ἀόρατον τὸ ὁρατὸν μέτεισι καὶ εἰς τὸ ἄχρονον τὸ ὑπὸ χρόνου, καὶ τὸ κτιστὸν εἰς τὸ ἄκτιστον, καὶ ὅσα ἄλλα τοιαῦτα ἀντίκειται. ἀλλ' οὐ τὴν θνητότητα τις γράφει οὐδὲ τὴν μεταμόρφωσιν αὐτὴν καθ' αὑτήν· οὐ γὰρ ἄνευ σώματος ἐφ' ἑαυτήν ποτε θεωρηθήσεται, ἐπεὶ μηδὲ λευκότης ἢ μελανότης ὑποκειμένου 3.466 δίχα ὑποσταῖεν ἄν. ὡς γὰρ οὐ μεταβέβληται ἡ μορφὴ ἐκείνη καὶ τὸ εἶδος εἰς θεότητος φύσιν, ὡς οὗτος νομίζει, (καὶ γὰρ ἀμήχανον τοῦτο γενέσθαι) ἤδη καὶ πρόσθεν εἴρηται, καὶ μαρτυρεῖ ἡ ἀλήθεια αὐτὴ κἀκ τῶν ἀκριβῶς ἐπεσκεμμένων τὴν τῶν πραγμάτων φύσιν καὶ τῶν δογμάτων ἡμῶν τὴν ἀλήθειαν τὸ ἀπλανὲς καὶ ἀνεπίληπτον. ἀλλὰ μεταμεμόρφωται, φησί, καὶ ἀπηθανάτισται καὶ ἄφθαρτον καὶ ἄκτιστον γέγονεν. εἶτα μεταμορφωθὲν καὶ ἀπαθανατισθὲν μεμένηκε σῶμα, ἢ οὔ; εἰ μὲν γὰρ μεμένηκε, μάταιος ὁ Εὐσεβίου ὁρᾶται λόγος καὶ οὐδὲν ἡμῖν πρᾶγμα ἔσται· εἰ δὲ οὐ μεμένηκεν, οὐδὲ μεταμεμόρφωται ἄρα, οὐδ' ἀθανασίαν καὶ ἀφθαρσίαν ἐνδέδυται. οὐδὲ γὰρ εἶχεν εἰς ὃ μεταμορφωθήσεται, οὐδὲ ἦν ὃ τὴν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀθανασίαν ἐνδύσεται, οὐκ ὄντος ἐν ᾧ ταῦτα θεωρηθήσεται. ἀλλ' ἄτοπον καὶ τὸ ἐννοεῖν τοιαῦτα, μᾶλλον δ' ἀδύνατον. καὶ πάλιν, ἀπὸ τοῦ κατὰ τὴν μεταμόρφωσιν τρόπου ἀποσεμνύνων τὴν δουλικὴν μορφὴν πλέον ἢ καλῶς εἶχε, καὶ ταύτῃ τιμῶν ᾗ μηδὲ Χριστὸς τετίμηκε, καὶ τῆς μεταβολῆς ἐντεῦθεν κατάρξας, προϊὼν καὶ αὐτὴν τὴν μορφὴν καὶ τὸ εἶδος ἀπεσκευάσθαι λέγει καὶ μεταβεβλῆσθαι εἰς θεότητα, ὡς καὶ ἐν τοῖς μετέπειτα δηλώσει τὰ παρ' αὐτοῦ ἐκτιθέμενα τηλαυγέστερον, καὶ ἔτι μᾶλλον κατὰ πρόσβασιν ἀπὸ τοῦ τὴν θνητότητα ἀποδεδύσθαι καὶ τὴν φθορὰν ἀπονίψασθαι καὶ εἰς τὴν τοῦ θεοῦ δόξαν μετεσκευάσθαι. ἀλλὰ τὸ μὲν 3.467 φθαρτὸν τοῦτο ἐνδύσασθαι δεῖν ἀφθαρσίαν καὶ τὸ θνητὸν ἀθανασίαν ὁ μέγας μυσταγωγεῖ ἀπόστολος· τὸ δὲ σῶμα ἀσωματότητα ἐνδύσασθαι ἢ τὸ κτιστὸν γενέσθαι ἄκτιστον ἢ τὸ περίγραπτον εἰς ἀπεριγραψίαν μετατεθήσεσθαι οὔπω μέχρι καὶ σήμερον ἤκουσται. ἀλλ' ἐπανακτέον τὸν λόγον, καὶ ζητητέον τὶ ἂν εἴη τοῦτο τὸ φῶς· οὐ γάρ πω σαφῶς ὅ τι ἔστιν ὁ γεννάδας ὑπέδειξε νῦν, ὅτι μὴ μόνον τῷ θεῷ λόγῳ πρέπον προσθείς, ἐσύστερον ἐρεῖν ἐκδηλότερον. ὅμως πρὸς τὰ δεδογμένα αὐτῷ ἐν τῷ παρόντι τὸν λόγον ἡμεῖς ἐξετάζομεν. τί οὖν ἐστίν; ἆρα οὐσία τις καὶ ἐνυπόστατον καθ' ἑαυτὸ ὑφεστὼς καὶ μὴ δεόμενον ἑτέρου πρὸς ὕπαρξιν, ἢ ποιότης ἀσώματος καὶ ἀνούσιος, ἐν ἄλλῳ τὸ εἶναι ἔχουσα, οὐκ ἐν ἑαυτῇ θεωρούμενον; ἀλλ' εἰ μὲν οὐσία ἐστί, πότερον ἀγγελική, ἐπεὶ καὶ ἄγγελος φῶς, καὶ τοῦ πρώτου καὶ ἀνωτάτω φωτὸς μαρμαρυγὴ καὶ ἀπόλαμψις; ἀλλ' οὐκ ἂν τοῦτο εἴποι· οὐ γὰρ ἂν εἰκονισμοῦ καὶ γραφῆς γραφήν που διέφυγε· μάρτυρες ἀπαράγραπτοι τὰ ἱερὰ λόγια, ἡνίκα θεὸν τῶν ἄλλων διδάσκει προστάττοντα καὶ Μωσέα τὸν προστασσόμενον πράττοντα τῶν χερουβὶμ ἐκείνων τὴν ποίησιν. εἰ καὶ οὗτος τὰς θείας φωνὰς ἀπαναίνεται. εἰ δὲ θεία οὐσία ἐστί, πῶς εἰς τοῦτο μετῴχετο; εἰ μὲν ἐν ἰδίᾳ ὑποστάσει καὶ καθ' ἑαυτὴν μετελθοῦσα θεωρουμένη, καὶ οἷον ἄλλο καὶ εἰδικὸν ἀποτεμομένη πρόσωπον, καὶ πρὸς τὴν τοῦ λόγου διαπρέπον ἐμφέρειαν, μηδεμιᾷ τῶν ἐν τῇ τριάδι νοουμένων συμπαρυποστᾶσα καὶ συμφυεῖσα, τετρὰς αὐτῷ σαφῶς ἡ τριὰς ἀποτετέλεσται, καὶ 3.468 ὁρᾶται ὡς φιλότιμος περὶ τὴν θείαν οὐσίαν Εὐσέβιος, ἀφθονίᾳ ὑποστάσεων πληθύνων καὶ αὔξων τὰ ἀπλήθυντα καὶ ἀμείωτα καὶ πάσης τῆς ὁπωσοῦν ὑφέσεως ἢ πλεονασμοῦ παντάπασιν ἀνεπίδεκτα. εἰ δὲ εἰς τὴν τοῦ λόγου συγχεθεῖσα καὶ οἷον συνουσιωθεῖσα παρῆλθεν ὑπόστασιν, μετὰ πλείονος τῆς εὐγνωμοσύνης προσθήκην καὶ αὔξησιν τῇ τοῦ λόγου αὐτῇ δίδωσιν ὑποστάσει· ἥτις οὐκ ἄλλη παρὰ τὴν τοῦ πατρὸς οὐσίαν καὶ φύσιν ἐστί, τῷ χαρακτηριστικῷ τῆς ἰδιότητος μόνον κατὰ τὴν γέννησιν διαφέρουσα. τοιαῦτα μὲν τὰ ἐκ τῶν ἐκείνου ἀρχῶν ἀναφανέντα ἔκτοπα καὶ παράλογα, εἰ τὸ φῶς ἐκεῖνο τὸ ἄρρητον οὐσίαν εἶναι λέγοι· ὑπόλοιπον δ' οὖν ἐστὶ ζητεῖν, εἰ ποιότητα τοῦτο ἀσώματον ἢ ἀνούσιον εἶπε, τί συμβαίνει, οἷον ἀπόρροιάν τινος οὐσίας καὶ ἀπαύγασμα, εἰς ἣν ἡ μορφὴ ἐκείνη μεταβέβληται. ἀλλ' οὐδὲν ἧττον ἡ πασῶν ἐσχάτη ὕβρις καὶ ἀτοπία τῷ θείῳ προστετρίψεται σώματι· λωβήσαιτο γὰρ ἂν τὸν τοῦ εἶναι λόγον· καὶ ταύτῃ τὸ ἀνύπαρκτον εἰσαχθήσεται, ἄλλως τε οὐδὲ ἐνὸν ποιότητα ὑποκειμένου δίχα καθ' ἑαυτὴν ὅ τι ποτέ ἐστι διαδειχθῆναι, κἂν τῶν οὐσιωδῶν αὐτὴν εἴποι τις, ἢ καὶ ἐς οὐσίας μέρος ἀνάγεται· ὡς ἐπὶ παραδείγματος εἰπεῖν, οὐκ ἂν τὸ λογικόν που συσταίη ὑποκειμένου ἄνευ, ὅ ἐστι τὸ ζῶον, εἰ μὴ πρότερόν τις ὑποθοῖτο οὐσίαν ἔμψυχον αἰσθητικήν. Ὅτι μὲν οὖν τοῖς εἰκονομάχοις ἡ μεταμόρφωσις τοῦ σωτῆρος ἐπὶ τοῦ ὄρους οὐ μορφῆς ἀλλοίωσις ἐπὶ τὸ λαμπρότε 3.469 ρον ἐνομίσθη, ἀλλὰ τὸ μὲν σωτήριον σῶμα πρὸς τὸ ἄκτιστον μεταβεβλῆσθαι καὶ ἄφθαρτον, τὸ δὲ φανὲν τηνικαῦτα φῶς θεότης ἄκτιστος καὶ ἀνούσιος εἶναι, τότε μὲν ἐπὶ τοῦ ὄρους οἷον ἀρχῆς γενομένης τῇ ἀκτιστότητι τοῦ ἀνθρώπου καὶ ἀφθαρσίᾳ ὡς ἐν ἀρραβῶνος τρόπῳ, μετὰ δὲ θάνατον καὶ πρὸς οὐρανοὺς ἀνάβασιν τελέως ἤδη γενέσθαι καὶ φύσει ἄκτιστον, καὶ ὅτι ἀρχὴ τῆς εἰκονομάχου αἱρέσεως ἐκείνοις ἡ τῆς μεταμορφώσεως γέγονε πρόφασις, ἀκηκόατε,


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

οὐκ οἴκοθεν ἐμοῦ διηγουμένου, ἀλλὰ τοῦ μεγάλου πατρὸς καὶ διδασκάλου τῆς τοῦ θεοῦ ἐκκλησίας, οὗ τὸ ἀξιόπιστον μηδ' αὐτὸν οἶμαι παραλογίσασθαι τὸν διάβολον, μὴ οὐκ ἀληθῆ λέγειν, οὐχ ὅτι σοφίᾳ πάσῃ τῇ τε θύραθεν καὶ ὅση τῆς καθ' ἡμᾶς εὐσεβείας ὁ μέγας κεκόσμηται, ἀλλ' ὅτι καὶ ὅση κατὰ θεὸν ἀρετή, τελείως ἐξήσκησε πᾶσαν καὶ πρὸς τὸ ἀκρότατον ταύτης ἀφίκετο, ὡς πάντα προέσθαι ῥᾳδίως, μὴ ὅτι γε ὅσα τοῦ σώματος εἴη ἐκτός, ἀλλὰ καὶ αὐτό γε τὸ σῶμα τῆς θείας ἕνεκεν ἀγάπης εἰς τοὺς ὑπὲρ τῆς εὐσεβείας κινδύνους προδοῦναι προθύμως, ὡς ἀνωτέρω προέφημεν. ὅτι δὲ καὶ ἀσεβῶς τὰ σφίσι νομισθέντα νενόμισται, δῆλον καὶ τοῦτ' ἐκ τῶν αὐτοῦ σοφῶν καὶ ἀναντιρρήτων γέγονεν ἀποδείξεων. καίτοι διὰ τὰς περιεστηκυίας κἀμὲ πρὸς τῶν διωκτῶν συμφορὰς οὐδ' ἔσχον ὅπως ὑπ' αὐτῶν κλαπείσας τὰς ἐκείνου βίβλους παμπόλλους οὔσας ἀνειληφώς, ἐξ ὧν καὶ ὅθεν πολλάκις ἀναλαμβάνων πρότερον ἐθεώρουν, προθεῖναι νῦν ἡμῖν τὰ πολλῷ τῶν εἰρημένων πλείω 3.470 τε καὶ ἐναργέστερα, ὡς πᾶσι γνωσθῆναι τελεώτερον τῆς τε ἀσεβείας ἐκείνων τὸ μέγεθος καὶ τοῦ θείου τοῦδε ἀνδρὸς τῆς σοφίας τὸ περιὸν καὶ τοῦ πρὸς εὐσεβείαν ζήλου τὸ σφόδρα διάπυρον. Τούτων ἐκεῖνοι τέως αὐτήκοοι γενόμενοι ἀντιλέγειν μὲν ἐκ τοῦ εὐθέος ἥκιστα εἶχον· οὐδ' ἦν εὐπορία γραφικῶν ἀποδείξεων σφίσι. διὸ καὶ ἐς τὸν δεύτερον καταπεφεύγασι πλοῦν, καὶ κανόνα καὶ νόμον ἑαυτοῖς τὸν παράνομον προύφερον τόμον ἐκεῖνον τὸν λῃστρικόν, καὶ τὰ περὶ τῆς τοῦ κυρίου μεταμορφώσεως ἐκεῖ τοῖς ἀρχιερεῦσι καὶ γραμματεῦσιν ἀσεβῶς κυρωθέντα διὰ στόματος ἦγον· πρὸς οὓς ὁ Γρηγορᾶς "εἶτα οὐδὲ νοῦς τις ἔπεισι" φησὶν "ὑμῖν, ὀψὲ γοῦν αἰσθέσθαι ὡς μείζω τὰ δίκτυα πλέκετε νῦν κατὰ τῆς νέας εἰκονομαχίας τοῦ Παλαμᾶ δι' ὧν εἰσάγετε νῦν, ὡς δειχθήσεται. ἔξεστι μὲν γὰρ καὶ ὑμῖν δήπου παρεξετάζουσιν ἐκ τῶνδε συνορᾶν ὡς καὶ αὐτὸς τὰ αὐτὰ τοῖς αὐτοῦ βλασφημεῖ, εἴ τι ὁρῴη τὰς τῆς κακίας ῥίζας αὐτὰς καὶ τὴν πρώτην βλάστην· ἔξεστι δ' οὐχ ἧττον συνορᾶν καὶ ὅσην αὐτὸς πεποίηται τὴν προσθήκην, βλάστῃ βλάστην ἐφευρὼν καὶ ἀνομίαν ἐπενεγκὼν ἀνομίᾳ. ἢν δέ τι καὶ πρὸς ἐντελεστέραν ἀντίληψιν ἔτι λείπηται, ἐγὼ λοιπὸν" φησὶν "ἀναλαβὼν καὶ νῦν θρηνήσω τὸν νεκρόν μου· ἐγὼ καὶ κλαύσομαι πικρῶς ἐπὶ τὸ σύντριμμα τοῦ γένους μου, κατεπᾴδων καὶ προσεπάγων τὰ ἐκ τῶν θείων γραφῶν φάρμακα, καὶ ταῦτα προσάντη δυσχέρειαν ἔχων οὐ μάλα τι 3.471 σφόδρα ἠγνοημένην ὑμῖν. καὶ τοίνυν ἐπὶ τὴν τῆς μεταμορφώσεως πανήγυριν μέτειμι νῦν καὶ αὐτὸς δι' ὑμᾶς, λογικῷ φραγγελίῳ τελεώτερον τὰς θεοκαπήλους ἐξελάσων κἀκεῖθεν βωμολοχίας τοῦ δυσσεβοῦς Παλαμᾶ, ἐπεὶ καὶ αὐτὸς τὴν αὐτὴν ἑορτὴν ἐποιήσατο πρόφασιν τῆς αὐτοῦ κακίας, σκοτεινὸς περὶ τὸ φῶς ἐκεῖνο κατὰ τοὺς εἰκονομάχους, ὡς ἔφθημεν εἰρηκότες, γενόμενος καὶ αὐτός, καὶ ταῖς εἰωθυίαις αὐτῷ βωμολοχίαις τε καὶ συκοφαντίαις ἐμβαλὼν καὶ αὐτό, καὶ ἅμα ὁπόσα περὶ αὐτοῦ τῶν ἁγίων οἱ πλείους εἰρήκεσαν, τὸν ἐνόντα διεφθαρκὼς νοῦν καὶ ἀνατετροφὼς ὁ νοῦν καὶ φρένας διάστροφος καὶ πάντα πάντῃ διεφθορώς, καὶ παραπλήσιον δρῶν καὶ αὐτὸς τοῖς τε νυκτικόραξι καὶ νυκτερίσι καὶ ταῖς γλαυξίν· ὡς γὰρ ταυτὶ τὰ ὄρνεα τὸν μὲν τοῦ παντὸς ὀφθαλμόν, τὸν τοῦ οὐρανίου πέπλου λέγω λυχνίτην ἥλιον, ὄψεων ἀτονίᾳ βλέπειν ὅλως οὐ δυνάμενα τὸ μὲν φῶς ἡγεῖται σκότος τὸ δὲ σκότος φῶς, οὕτω δῆτα καὶ αὐτὸς τοὺς τῆς διανοίας τόνους κεκλασμένους ἔχων καὶ σφόδρα ἀδρανεῖς, καὶ διὰ σκότους ἰὼν ἀμαθίας, συλᾷ καὶ διαστρέφει πρὸς τὸ οἰκεῖον σκότος γραφῆς ἁπάσης αὐγήν, ἐπεὶ μὴ ἀντιβλέπειν ὅλως εἰς τὸ τῆς ἀληθείας φῶς ἡ νυκτερινοὺς ἄντικρυς ὀφθαλμοὺς κεκτημένη κακότροπος δύναται νυκτερίς. ἐγὼ μὲν οὖν τῶν πάλαι βίβλων τῆς αὐτοῦ μεμνημένος κακίας, μικρὰ μικροῖς ἐδεδώκειν ἐλέγχοις ἐνίοτε· ἐκ πολλοῦ γὰρ μιμητῇ γεγονότι τἀνδρὶ τῆς τῶν εἰκονομάχων αἱρέσεως λίθος αὐτῷ προσκόμματος ἐγεγόνει τὸ φῶς ἐκεῖνο· καὶ μάλα μὲν σκοτεινοὺς εὐ 3.472 θὺς καὶ αὐτὸς ἐξηρεύξατο λόγους περὶ φωτὸς ἐπιγράψας, μάλα δ' ἡμῖν πολλὴν παρέσχε τὴν ὕλην ἐξ ἀντιρρόπου γράφουσιν


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐλέγχειν αὐτὸν τηνικαῦτά τε καὶ κατὰ διαστήματα διηνεκῶς ἐκεῖθεν καιρικά, ὡς εἶναι καὶ ταῦτα ἃ νῦν ἐφ' ὑμῶν μοι διεξιέναι συμπέπτωκε, τῆς πάλαι κακίας αὐτοῦ μικρά τινα ὑπομνήματα. Ἀλλὰ φέρε καὶ νῦν τὸν παράνομον ἀνελίξαντες ἐκεῖνον τόμον, τὰς νέας ἡμῖν παρανάγνωτε βλασφημίας αὐτοῦ, ὁπόσας δὴ καὶ οἵας κἀν τῷδε περὶ τῆς τοῦ κυρίου διεξεληλύθει μεταμορφώσεως, ἵνα καὶ ἄμφω σαφέστερον γνῶμεν, τίνα ποτ' αὐτῷ καὶ ὁποίαν εἴργασται τὴν ἀλλοίωσιν ὁ πάντα κινῶν καὶ μεταβάλλων χρόνος, καὶ ὁποτέρῳ μέρει φέρων ἐκεῖθεν προσένειμεν οὗτος αὐτόν, δυοῖν τε ὄντοιν ἀεὶ καὶ τῷ βίῳ δημοσίᾳ ἐμπολιτευομένοιν, τοῦ τε χείρονος, ᾧ πάλαι φέρων αὐτὸς ἑαυτὸν ἐθελοντὴν παρέσχετο λατρευτήν, καὶ αὖ τοῦ βελτίονος, οὗ φυγάδα καὶ δραπέτην ἔδειξεν ἐθελοντὴν ἐκεῖθεν ἑαυτόν. ἀλλὰ λεληθέναι μοι δοκεῖ καὶ ὁ χρόνος αὐτὸς ἑαυτόν, τὴν ἑαυτοῦ μᾶλλον αὐτὸς περιτρέψας ἐνταῦθα φύσιν ἢ τὴν τοῦ Παλαμᾶ κακίαν. τῷ γὰρ καθάπαξ εἰς βάθος ἐμπεπτωκότι κακῶν παγχάλεπον εἶναι ῥᾳδίως παλινδρομεῖν ἐς τὸ πάνυ τι βέλτιον, εὐκτὸν δ' ἂν ἦν εἰ καὶ βραχεῖαν τὴν ἐκ τοῦ χείρονος ἐποιεῖτο ἀνάδυσιν, ὁπόθεν ἐστὶ καὶ ὁτῳοῦν ἀρχομένῳ ἐλπὶς ὀψὲ γοῦν ἐς τὸν μεταξὺ τοῦ χείρονός τε καὶ βελτίονος χῶρον κατὰ μικρὰ καὶ συχνὰ ποιουμένῳ κινήματα τὴν ἐπιστροφὴν ἀφικέσθαι. οὔτε γὰρ τῷ 3.473 κυρτῷ πρὸς τὸ κοῖλον ὁμόσε, οὔτε μὴν τῷ μέλανι πρὸς τὸ λευκὸν δραμεῖν εὐθὺς εὐχερὲς ἐν οἷς ἐπεφύκει, πρὶν τοῦ μέσου τυχεῖν, ἐκεῖ μὲν τοῦ εὐθέος, ἐνταυθοῖ δὲ τοῦ φαιοῦ. ἐκεῖθεν γὰρ ἔπειτα ῥοπῆς ἐπὶ τὸ βέλτιον ἀμοιβαδὸν ἀεὶ γινομένης ἀφίκοιτ' ἄν τις ἴσως καὶ ἐς αὐτὸ τὸ τῆς ἀρετῆς ὁμαλὸν πεδίον καὶ τοὺς ἀνθεινοὺς αὐτῆς λειμῶνας, ἐρρωμένως συναιρομένου θεοῦ. ἀναγνωστέον οὖν τὰ ἑξῆς, ὡς μὴ ἀτελὲς τὸ ἡμέτερον καταλείποιτο στάδιον. 3.474 ΤΟΥ ΑΥΤΟΥ ΝΙΚΗΦΟΡΟΥ ΤΟΥ ΓΡΗΓΟΡΑ ΛΟΓΟΣ ΡΩΜΑΙΚΗΣ ΜΕΝ ΙΣΤΟΡΙΑΣ ΛΕ΄ ΔΟΓΜΑΤΙΚΟΣ ΔΕ ΄. Ἐπὶ δὴ τούτοις καὶ τοῖς τοιούτοις τὸν παράνομον ἐκεῖνον ἀνελίξαντες τόμον οἱ τῆς ἀντιθέτου φάλαγγος ἐκεῖνοι τάδε παρῆγον ἐς μέσον. Μετὰ ταῦτα, φησίν, ἐζητήθη δειχθῆναι παρὰ τῶν ἁγίων ὅτι τε ἄκτιστόν ἐστι τὸ φῶς τῆς τοῦ κυρίου μεταμορφώσεως καὶ ὅτι οὐκ ἔστιν οὐσία τοῦ θεοῦ· καὶ συνέθεντο πάντες γραμματεῖς καὶ ἀρχιερεῖς. προηνέχθη γὰρ ὁ τῆς θεολογίας ἐπώνυμος Γρηγόριος γράφων "οὐδεὶς ἔστη ἐν ὑποστήματι καὶ οὐσίᾳ κυρίου κατὰ τὸ γεγραμμένον· καὶ θεοῦ φύσιν εἶδεν ἢ ἐξηγόρευσε." καὶ ὁ θεῖος Μάξιμος γράφων ἐν ἑβδόμῳ κεφαλαίῳ τῆς πρώτης τῶν θεολογικῶν ἑκατοντάδος "ὁ 3.475 τοῖς οὖσι μὴ κατ' οὐσίαν ὑπάρχων μεθεκτός, κατ' ἄλλον δὲ τρόπον μετέχεσθαι τοῖς δυναμένοις βουλόμενος, τοῦ κατ' οὐσίαν κρυφίου παντελῶς οὐκ ἐξίσταται." καὶ ὁ θεῖος Χρυσορρήμων εἰς τὴν αὐτὴν ἑορτὴν γράφων "ἐν τῷ ὄρει" φησὶ "μεταμορφωθεὶς ὁ σωτὴρ μικρῶς πως ὡς δεσπότης ἔδειξε τοῖς ἑαυτοῦ μαθηταῖς τῆς ἀθεάτου θεϊκῆς αὐτοῦ βασιλείας τὴν δόξαν." τουτέστι μικρὸν παρήνοιξε τὴν θεότητα, οὐχ ὅση τις ἦν, ἀλλ' ὅσην ἐδύναντο φέρειν οἱ σωματικοὺς ὀφθαλμοὺς περιφέροντες. ἀλλὰ καὶ πάντες οἱ ἅγιοι ἔλλαμψιν λέγουσιν αὐτὸ καὶ λαμπρότητα καὶ χάριν καὶ θέωσιν καὶ θεότητα παραδειχθεῖσαν μικροῦ στερροτέραν καὶ ὄψεως· καὶ φῶς ἀπρόσιτον καὶ φυσικὴν ἀκτῖνα τοῦ υἱοῦ ἔλεγον. Πρὸς ταῦτα ὁ Γρηγορᾶς ἀποκρίνεται οὑτωσί πως εἰπών. ἰδοῦ καὶ νῦν ὁ Παλαμᾶς, ὡς ὁρᾶτε, θέωσιν καὶ θεότητα συμπεραίνει ἐνταῦθα τὸ φῶς τῆς μεταμορφώσεως, καὶ δυοῖν θάτερον, ἢ μετουσίωσιν τῆς τοῦ λόγου θεότητος καὶ μεταβολὴν πρὸς ὑφειμένον καὶ ἀνυπόστατον φῶς, ἢ τῆς τοῦ δούλου μορφῆς ἀλλοίωσιν, ὡς εἰρήκειμεν, εἰς ἄκτιστον φῶς καὶ δευτέραν τῆς πρώτης ἀνούσιον θεότητα. ἀλλ' ὁ μὲν περὶ τούτου λόγος βραχύ τι ἀναβεβλήσθω μοι τέως· ἐκεῖνο δέ μοι θαυμάζειν ἔπεισι, πῶς ἕτερα μὲν ἐν ταῖς τῶν τοῦ τόμου κεφαλαίων ἀρχαῖς ἐπαγγέλλεται, ἕτερα δ' ἀποδεικνύειν ἐπείγεται, καὶ αὖ ἑτέραν ἔχει διάνοιαν ἃ προκομί 3.476 ζει πρὸς ἑαυτοῦ συμμαχίαν ῥητά· ὡς γίνεσθαι τριπλῆν καὶ πολλαπλῆν τὴν ζάλην οἷς πρὸς βουλήσεως εἴη προσέχειν τὸν νοῦν, καὶ ἅμα διπλοῦν καὶ πολλαπλοῦν τῆς ἀμαθίας αὐτοῦ καὶ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

κακοτροπίας τὸν ἔλεγχον· ἔοικε γὰρ ὥσπερ αἰνίγματα συντιθέντι ὁτῳοῦν. διὸ καὶ σκοπεῖν ἔκρινα δεῖν, μήπου ἀποπειρᾶσθαι βούληται Παλαμᾶς, εἰ ἄρα γνώσομαι χαριεντιζομένου αὐτοῦ καὶ σφόδρα λέγοντος ἑαυτοῦ τἀναντία παντάπασιν, ὥσπερ ἂν εἰ ἀντωμοσίαν διαμειψάμενος ἔλεγεν ἄντικρυς, ὅτι ἃ προτείνω καὶ βούλομαι λέγειν, ταῦτα δῆτα οὐ βούλομαι λέγειν, καὶ οἷς ἀπαγορεύω μὴ συμφωνεῖν κακοδόξοις, τούτοις ἐκ τοῦ προφανοῦς συμφωνῶ, παρὰ τοσοῦτον αὐτῶν διιστάμενος παρ' ὅσον αὐτοὺς ἐν κακοῖς ὑπερβάλλω· τῆς γὰρ κακίας ἐπὶ τὸ φιλότιμον κινουμένης, οὐ μάλα βραχεῖαν τὴν παρενθήκην ἐπὶ τοῖς ἐκείνων βλασφήμοις ἐνεδειξάμην ἐγώ, ἵν' οὑτωσὶ περιβόητον κτήσωμαι τοὔνομα· ποιεῖν γὰρ ἤκουσα περιβοήτους οὐ δεξιὰς πράξεις μόνον, ἀλλὰ καὶ κακίαν νικῶσαν πονηρῶν εὐδοκίμησιν. Οὕτως ἄστατος καὶ ἀβέβαιός ἐστι καὶ ἀνέδραστος ἐξ ἀμαθίας, ὡς μήθ' ἃ νοεῖ δύνασθαι λέγειν, μήθ' ἃ λέγει δύνασθαι ξυννοεῖν, ἀλλὰ καὶ οἷς μὲν κοινωνεῖ βλασφημοῦσι, τούτους δοκεῖν ἀποσείεσθαι, οὓς δ' ἀποσείεται, τούτοις δοκεῖν κοινωνεῖν, καὶ ἄμφω μὲν λοιδορεῖν ἀμφοῖν δὲ συμφωνεῖν. καὶ οὐκ οἶδ' ὁπότερον μὲν τῶν κακῶν ἀποσείεται μάλιστα πάντων, ὁποτέρῳ δ' αὖ σπένδεται μάλιστα πάντων· πάντα 3.477 μὲν γὰρ ὅσα οἱ λεχθείη, μεστὰ κακῶν, πάντα δ' ὅσα οἱ γνωσθείη, γέμει νυκτός. βεβαίου δὲ καὶ ἀβεβαίου πέρι, οὔτε θάτερον οὔτ' οὐδέτερον οὔτ' ἀμφότερον εὕροι τις ἂν ἐρριμμένον ἢ ἀνειλημμένον ἐς τὸ ὁπωσδηποτοῦν σαφὲς τἀνδρί. οὕτω πρὸς ἄτοπόν τι καὶ τερατῶδες ὁ γεννάδας μεταπέπλασται χρῆμα· ἐκ μὲν γὰρ τοῦ ὁμοδοξεῖν τοῖς εἰκονομάχοις σπένδεται μὲν καὶ χαίρει τοῖς αὐτὸς αὐτοῖς· ἐκ δ' αὖ τοῦ δεδιέναι μὴ καὶ τοῖς αὐτοῖς ἀναθέμασιν ἔνοχος γένηται ζῶν, ἐναλλάσσειν ἔνια ἐνίοτε δοκεῖ, πλὴν οὐκ ἐπὶ τὸ βέλτιον, ἀλλ' ἐπὶ τὸ μάλα γέ τι σφόδρα χείριστον· ὃ μὲν γὰρ ἐκεῖνοι περὶ τοῦ φωτὸς ἐκείνου τὴν εἰς ἄκτιστον μεταβολὴν τοῦ σώματος βεβλασφημήκεσαν, τούτῳ καὶ αὐτὸς συμφωνεῖ, ὃ δ' ἐκεῖνοι φύσιν ἥκιστ' ἔχειν εἶναι ἐνόμισαν, τοῦτο δὲ προσέθηκε τολμήσας οὗτος, τὸ δευτέραν δηλαδὴ καὶ ὑφειμένην καὶ ἀνούσιον καὶ ἅμα ἄκτιστον θεότητα τὸ φῶς ὑπάρχειν ἐκεῖνο. ὥσθ' ἃ μὲν ἐκείνοις συμφωνεῖ, πάντως ἐκείνων οὐκ ἀπολείπεται· ἃ δ' ἐκεῖνοι μήπω φάναι τετολμήκεσαν, τούτοις δὲ νενίκηκεν αὐτοὺς εἰπὼν αὐτός. ἡδέως δ' ἂν καὶ ἐρέσθαι βουλοίμην αὐτὸν εἰ δύναιτό τις τὰ τῶν εἰκονομάχων τιμῶν μὴ εἶναι εἰκονομάχος· ὅμοιον γὰρ ἂν εἴη ὥσπερ ἂν εἰ παρελθὼν διετείνετό τις κιθαρῳδοὺς μὲν εἶναι, κιθάραν δ' οὔ, καὶ οὐρανίους μὲν ἀστέρας, οὐρανὸν δ' οὔ, καὶ γήινα μὲν πράγματα, γῆν δ' οὐδαμῇ. τί φῄς, ἄνθρωπε; δυοῖν γὰρ 3.478 πάντως νοεῖν δίδως ἡμῖν θάτερον· ἢ γὰρ μαίνῃ, ἢ πάντας μαινομένους εἶναι λογίζῃ. τοῦτο δ' οὐχ ἡμῶν ἀλλὰ σοῦ γε τὸ πάθος, καθάπερ δήπουθεν καὶ εἰ μεθύων τις πάντα τινά, ὅτῳ ἂν συναντῴη, διπλοῦν τινὰ ἀνθ' ἑνὸς ὁρᾶν ἐδόκει, οὐ τῶν ὁρωμένων ἂν τὸ τῆς ἀπάτης πάθος ἦν, ἀλλὰ τοῦ σφαλερῶς ὁρῶντος· πάντες γὰρ ἂν μοναδικῶς ὑπῆρχον ἀριθμούμενοι καθ' ἕκαστον ἐκεῖνοι. προύθετο μὲν γὰρ δεῖξαι ὃ τοῖς ἀρχιερεῦσιν ἐκείνοις καὶ γραμματεῦσιν αὐτὸς ζητηθῆναι φησί· λέγω δὴ τοὺς ἁγίους παραγαγεῖν εἰς μέσον οἳ τὸ φανὲν ἐπὶ τῆς τοῦ κυρίου μεταμορφώσεως φῶς ἄκτιστον μὲν εἶναί φασιν, οὐκ οὐσίαν δὲ θεοῦ, ἀλλ' ἀνούσιόν τε καὶ ἀνυπόστατον. εἶθ' ὥσπερ ἐκλαθόμενος αὐτὸς ἑαυτοῦ, τὸ μὲν ζητούμενον, καὶ ᾧ πολλή τις περικέχυται ἀμφισβήτησις, καὶ περὶ ὃ τῆς ὅλης τῶν δογμάτων συγχύσεως ἡ πρόφασις ἕστηκε, τοῦτο μὲν παρέδραμε σιγῇ· περὶ οὗ δ' οὐκ ἦν ἀμφισβήτησις οὐδεμία, καὶ ᾧ οὐδ' ἂν αὐτὸς ὁ πάσης κακίας γεννήτωρ διάβολος τολμήσειεν ἀντειπεῖν, τούτῳ δὲ κομίζειν δῆθεν ἐπείγεται συστατικὰς μαρτυρίας, ἵνα τι λέγειν δόξῃ τισί. τίς γάρ ποτ' εὐσεβῶς αἱρούμενος ζῆν εἶπέ ποτε ἢ λέγει, ἢ δύναιτ' ἄν ποτ' εἰπεῖν, ὡς ἔστη ἐν ὑποστήματι καὶ οὐσίᾳ θεοῦ, κἀκείνου τὴν φύσιν ἢ εἶδεν ἢ ἐξηγόρευσε, βοώντων ἁπάντων ἀκούων ταυτὶ μὴ ὅτι προφητῶν, ἀλλὰ καὶ οἷς ἐγγυτέρω πολλῷ διδασκάλοις ἡμῶν γεγονέναι συμπέπτωκεν. οἵ τά τ' 3.479 ἄλλα φάσκουσι, καὶ μὲν δὴ καὶ ὡς εἴ τις ἔγνω θεὸν ἢ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐγνωκέναι μεμαρτύρηται, τοσοῦτον ἔγνω ὅσον ἄλλου μὴ τὸ ἴσον ἐλλαμφθέντος φανῆναι φωτοειδέστερος· καὶ τὸ ὑπερβάλλον τέλειον ἐνομίσθη οὐ τῇ ἀληθείᾳ, τῇ δὲ τοῦ πλησίον δυνάμει παραμετρούμενον. Ἀλλ' ὁ Παλαμᾶς τῇ μὲν ἀληθείᾳ μαχόμενος, οὐ δυνάμενος δ' ἀντειπεῖν, οὐδ' ἀποφυγὴν οὐκ ἔχων οὐδεμίαν οὐδαμῇ, πρὸς λαβυρινθώδεις εὐθὺς ὁρᾷ καταδύσεις, καὶ οὐδ' αἰσθέσθαι δύναται ὅτι τοῦτ' ἐστὶν ὃ μάλιστα πάντων ἐπ' αὐτοφώρῳ τοῦτον καταδικάζει, μηδὲν τῶν εὐλόγων ἔχοντα τοῖς αὐτῷ παρανομουμένοις χαρίζεσθαι. τὸ γὰρ λέγειν μὲν ἃ μηδεὶς ἐζήτησε πώποτε πρόδηλα ὄντα, σιγᾶν δ' ἃ προύθετό τε καὶ ἐπηγγείλατο λέγειν αὐτὸς οὐδενὸς ἀναγκάζοντος, ὅμοιόν ἐστιν ὥσπερ ἂν εἴ τις μηδενὸς ἀγνοοῦντος παρελθὼν ἐπηγγέλλετο μὲν λέγειν τί ἔστι ἄνθρωπος, ἔπειτα λέγειν ἀρξάμενος, ὃ μὲν ἐστὶν ἄνθρωπος εἰπεῖν οὐκ εἶχεν, ἃ δ' οὔκ ἐστιν ἄνθρωπος, πάντα σωρηδὸν ἀπηρνεῖτο μὴ εἶναι, βοῦν καὶ ἵππον δηλαδὴ καὶ κύκνον καὶ κορώνην, καὶ ὁπόσα τὸν ὑγρὸν ἐν θαλάττῃ διάγει βίον. ἔπειτα καὶ βραχείας κομίζει ῥήσεις Μαξίμου τοῦ θείου, μηδ' αὐτὰς λελοιπὼς ἀπαθεῖς μηδὲ τῆς αὐτῷ συνήθους ἄνευ παραφθορᾶς· πῶς γὰρ ἂν ὁ ἀνὴρ ἀρνηθείη πάθος ἤδη παλαιωθὲν καὶ μήκει χρόνου βεβαιωθὲν 3.480 καὶ οἷον εἰς φύσιν τούτῳ μεταβληθέν; διελὼν γὰρ διχῇ τὸ συνεχὲς τῆς ἐννοίας, καὶ θάτερον ὑφελόμενος τμῆμα, ἡμίεργόν τινα καὶ ἀτελῆ τὴν τοῦ λόγου καταλέλοιπεν ἑκατέρωθεν ἑκατέρωθι φύσιν, οὐκ οἶδ' ὁπότερον, εἴτ' ἐξ ἀμαθίας ἡλικιώτιδος, εἴτε βλάβην ὑπωπτευκὼς ἑαυτῷ. ὅμως αὐτὰ δήπουθεν ἃ διῄρηται αὐτῷ, παραχθέντα μηνύσει τὸ δρᾶμα, τῆς διαιρέσεως ἐξωσθείσης. ἔχει γὰρ οὑτωσίν. "ὁ τοῖς οὖσι μὴ κατ' οὐσίαν ὑπάρχων μεθεκτός, κατ' ἄλλον δὲ τρόπον μετέχεσθαι τοῖς δυναμένοις βουλόμενος, τοῦ κατ' οὐσίαν κρυφίου παντελῶς οὐκ ἐξίσταται." ἐνταῦθά οἱ τὸ κατ' οὐσίαν κρύφιον ἀκούσαντι ἀποχρῶν ἐνομίσθη μὴ πλέον ζητεῖν· λυσιτελεῖν γὰρ μᾶλλον ἔδοξε τουτί, μονωθὲν τῶν ἑξῆς, πρός γε τὸ ἀνούσιον ἐλλελεῖφθαι τὸ τηνικαῦτα γενόμενον ἐκεῖνο φῶς ἐξαίφνης ἐν ὄρει τῷ Θαβωρίῳ πρὸς τοῦ σωτῆρος Χριστοῦ καὶ ἐκστὰν τοῦ κατ' οὐσίαν κρυφίου ὄντος καὶ μηδόλως ἐξισταμένου, ἵν' ὡς ἐξ ὁρμητηρίου δῆθεν τῆς τοῦ ἁγίου ταύτης γραφῆς δύο κηρύττῃ θεότητας ἀκτίστους καὶ διαφόρους ἀλλήλων. Ἔγνωτε, ὦ οὗτοι, κἀντεῦθεν, πῶς τῆς ὁμοίας ἔχεται κακοηθείας ὁ Παλαμᾶς πανταχῇ. δυοῖν γὰρ κἀνταῦθά οἱ γίνεται θάτερον· ἢ γὰρ δι' ἀμαθίαν οὐδαμῇ συνίησι τῶν λεγομένων, ἢ συνιεὶς διὰ τρόπων ὅμως φαυλότητος τὴν Μαξίμου τοῦ θείου καπηλεύει διάνοιαν· ὁ μὲν γὰρ ἅγιος τὸν τῆς ἐνταυθοῖ διειλημμένης αὐτῷ μεθέξεως τρόπον, καθ' ὃν 3.481 θέλων, φησίν, ὁ θεὸς μετέχεται, αὐτῷ μόνῳ δείκνυσιν εἶναι καταληπτὸν τῷ θεῷ, τοῖς δ' ἄλλοις πᾶσιν ἀνέκφαντον· ὁ δὲ Παλαμᾶς φαινομένην τοῦτον καλῶν ἐνέργειαν, τὴν τοῦ ἁγίου διαστρέφει διάνοιαν, κακομηχάνως μετοχετεύων εἰς ἃ μὴ δεῖ. ἐκεῖνο δὲ πῶς οὐκ ἀναιδές, τῷ μὲν Ἕλληνι Πρόκλῳ, καὶ πάνθ' ὁμοδόξῳ Πλάτωνος, ὁμοδοξεῖν μὲν καὶ ἀλλαχῇ πολλαχῇ, καθὰ καὶ πρόσθεν ἡμῖν κατὰ τῶν πρόσθεν αὐτοῦ βλασφημιῶν ἐν ταῖς προτέραις ἡμῶν ἀντιρρήσεσιν ἀποδέδεικται, ἔπειτα μηδὲ νῦν ἐπὶ τῆσδε τῆς ἐκείνου κοινωνίας ἐκλελῆσθαι ἐνταῦθα; λέγει γάρ που ταῖς αὐτοῦ καὶ Πρόκλος θεολογικαῖς ἐμφιλοσοφῶν ἀποδείξεσιν, ὅτι πᾶν τὸ μετέχον τοῦ μετεχομένου καταδεέστερον καὶ τὸ μετεχόμενον τοῦ ἀμεθέκτου· τὸ γὰρ μετέχον πρὸ τῆς μεθέξεως ἀτελὲς ὄν, τέλειον δὲ τῇ μεθέξει γινόμενον, δεύτερόν ἐστι πάντως τοῦ μετεχομένου, καθὸ τέλειόν ἐστι μετασχόν· ὃ γὰρ ἀτελὲς ἦν, κατὰ τοῦτο τοῦ μετασχεθέντος, ὃ ποιεῖ τέλειον αὐτό, καταδεέστερον. τὸ δὲ μετεχόμενον, τινὸς ὂν καὶ οὐ πάντων, τοῦ πάντων ὄντος καὶ οὐ τινὸς πάλιν ὑφειμένην ἔλαχεν ὕπαρξιν· τὸ μὲν γὰρ τῷ πάντων αἰτίῳ συγγενέστερον, τὸ δὲ ἧττον συγγενές. ἡγεῖται ἄρα τὸ μὲν ἀμέθεκτον τῶν μετεχομένων, ταῦτα δὲ τῶν μετεχόντων. Ὁρᾷς πῶς καὶ Πρόκλος ἐκεῖνος ὁ τοῖς εἰδώλοις προσκείμενος τρεῖς παραδίδωσι τάξεις, καὶ τῇ μὲν πρώτῃ τὸ ἀμέ 3.482 θεκτον ἀπονέμει καὶ τέλειον καὶ ἡγούμενον εἴτουν ὑπερκείμενον, τῇ δὲ δευτέρᾳ τὸ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

μετέχον καὶ μετεχόμενον καὶ τοῦ πρώτου καταδεέστερον, καὶ ἅμα μέσον ἀτελοῦς καὶ τελείου, τῇ δὲ τρίτῃ τό τε ἀτελὲς καὶ μετέχον μέν, οὐ μετεχόμενον δέ. σκεπτέον οὖν καὶ ὅπως συμφώνως ἐκείνῳ καὶ Παλαμᾶς ὄντα διπλοῦν τὸν Χριστὸν κἀκ μόνων δυοῖν φύσεων, θεότητος λέγω καὶ ἀνθρωπότητος, σύνθετον, εἰς τριπλοῦν αὐτὸς αὐτὸν κατὰ τὸ Θαβώριον ἐδογμάτισεν ὄρος μεταπεπλάσθαι· μέσην γὰρ ἄλλην ἄκτιστον παρεμβαλὼν θεότητα, τὸ φῶς ἐκεῖνο, ὑφειμένην ἐκήρυξε καὶ αὐτὸς κατὰ Πρόκλον κεκτῆσθαι τὴν τάξιν μεταξὺ τελείου καὶ ἀτελοῦς, καὶ μετέχον καὶ μετεχόμενον εἶναι. καὶ τό γε εἰθισμένον αὐτῷ πλεονεκτεῖν πανταχῇ τοῖς κακοῖς, προσέθηκε κἀνταῦθα καὶ αὐτὸς οἴκοθεν τῷ ἀκτίστῳ καὶ ἀνουσίῳ τὸ ὁρατόν, ταῦτα δὴ τὰ ἀξύμβλητα. καὶ οὐκ αἰδεῖται συκοφαντῶν καὶ μάρτυρα παράγων τὸν σοφώτατον ἐκεῖνον καὶ θεῖον Μάξιμον τοῖς βρεφικοῖς αὐτοῦ ψελλίσμασι καὶ βλασφήμοις παραληρήμασιν. οὐδὲ γὰρ οὐδ' ἐκεῖνο συνῆκεν ἐκείνου λέγοντος αὖθις, ὡς πάντων τῶν ὄντων καὶ μετεχόντων καὶ μεθεκτῶν ἀπειράκις ἀπείρως ὑπερεξῄρηται ὁ θεός· εἰ γὰρ τὸ μεθεκτὸν ἐκεῖνο φῶς τὴν αὐτὴν τῷ μετέχοντι τάξιν ἔχει, καὶ ἀπειράκις ἀπείρως ὑφεῖται τὸν αὐτὸν τοῖς κτίσμασι τρόπον, ἔσται ἄρα δυοῖν θάτερον· ἢ γὰρ κτίσμα καὶ αὐτὸ κατὰ ταὐτὸν τοῖς μετέχουσι 3.483 ποιήμασιν, ἢ τὰ μετέχοντα πάντα ποιήματα ἔσονται πάντως ἄκτιστα· ὡς γὰρ τὰ τοῦ αὐτοῦ διπλάσια ἴσα ἀλλήλοις ἀναμφιβόλως ἐστί, καὶ αὖ τὰ τοῦ αὐτοῦ γε ἡμίση ἴσα ὁμοίως ἀλλήλοις, ἔπειτ' ἂν πάντως καὶ τὰ τοῦ αὐτοῦ ἀπειράκις ἀπείρως ὑφειμένα ἴσα ἀλλήλοις εἶναι καὶ ὁμότιμα καὶ ὁμοταγῆ κατά γε τὸ ἐκτίσθαι καὶ ὑφεῖσθαι· ὧν γὰρ ἀπειράκις ἀπείρως ὑπερεξῄρηται ὁ θεός, ταῦτα πάντ' ἀπειράκις ἀπείρως ὑφεῖται τοῦ θεοῦ καὶ χώραν ἐπ' ἴσης ἔχει τοῖς κτίσμασι τὴν αὐτήν· μετὰ γὰρ τῆς αὐτῆς ἐπιστήμης καὶ ὁ μέγας φάσκει Βασίλειος τὰ ἐν τῷ αὐτῷ μέτρῳ παρ' ὁτουοῦν ὑπερεχόμενα ἴσα ἀλλήλοις εἶναι. Ἀλλὰ τούτων μὲν ἅλις· ἔχετε γὰρ μαθόντες τὴν αἰτίαν δι' ἣν τὰ ἑξῆς τῆς τοῦ ἁγίου ῥήσεως σεσιγηκὼς ἡμιτελῆ καὶ τὸν ἐκείνου συγκαταλέλοιπε νοῦν. βουλόμενος γὰρ ἵνα τριπλοῦν κατὰ σύνθεσιν ἐν τῷ Θαβωρίῳ πεποιηκὼς τὸν Χριστὸν συνάναρχόν τε καὶ συναΐδιον ἀποδείξῃ τῇ αὐτοῦ θεότητι καὶ τὸ περὶ αὐτὸν ἐκεῖνο τηνικαῦτα γενόμενον φῶς, ὡς εἶναι τῷ Χριστῷ δύο μὲν ἀκτίστους ἐκεῖθεν θεότητας τοῦ λοιποῦ, δύο δ' ἀκολούθως ἀκτίστους θελήσεις, καὶ τρίτην τὴν ἀνθρωπότητα, ἔπειτ' ἀπαγορεύοντα θεασάμενος τὸν θεῖον Μάξιμον ἐν ταὐτῷ, καὶ "τὸ θελήσει τοῦ πεποιηκότος γενόμενον" λέγοντα "οὐκ ἂν εἴη ποτὲ τῷ θελήσαντι αὐτὸ γενέσθαι συναΐδιον," τριχῇ καὶ τετραχῇ τεμαχίσας, ὃ μὲν ἐδυνήθη 3.484 συκοφαντῆσαι καὶ διαστρέψαι μέρος, εἰλήφει, ὃ δ' οὔ, τοῦτο δ' οὔ. Καὶ τάδε μὲν τοιαύτην ἔσχε τὴν λύσιν· νῦν δὲ δεῖξαι πρόκειται, τί τὸ τὴν τῆς ἀθεάτου θεότητος παρανοῖξαι δόξαν ὧδε δηλοῖ· ἐντεῦθεν καὶ γὰρ ὡς ἐκ ῥίζης τινὸς πάλαι μὲν Εὐσεβίῳ τῷ τῶν εἰκονομάχων ἐκείνῳ προέδρῳ, νῦν δὲ Παλαμᾷ συνερρύηκε, τῆς ὁμοίας κακίας ἠργμένῳ, μακρᾶς τῆς πλάνης τὰς τῶν ἁπλουστέρων ἐμπεπληκέναι ἀκοάς, αὐτῷ τε παρανοίᾳ χρησαμένῳ μάλα τι ὀλεθρίῳ, καὶ ἅμα ἑαυτῷ τοὺς ἄλλους ὁμοίως χρῆσθαι βιαζομένῳ· ᾧ γὰρ τὴν γνώμην σκολιά τις παραφροσύνη χειρωσαμένη, καθάπερ τὴν Ἀθηναίων ἀκρόπολιν πάλαι Πεισίστρατος, τῶν λεγομένων αὐτόνομος γίνεται πρύτανις, τούτῳ δὴ μηδὲ μικρὰ φροντίζειν ἔστι μηδαμῇ μηδενός, μήτ' αἰδοῖ τινὶ τὸ τῆς γλώττης συστέλλειν ἀκόλαστον, μήθ' ὧν ἐξαπατᾷ φείδεσθαι μηδενός, ἄχρις ἂν εἰς τὸν αὐτῷ προσήκοντα μάλα τι πλείστους ἅμα αὐτῷ συγκατορύξῃ κρημνόν. ᾧ δ' ὑγιαίνοντι συμβαίνει κεχρῆσθαι τῷ νῷ, οὐκ ἀωρίᾳ δίδωσιν οὑτοσὶ λογισμῶν ἑαυτόν· οὐδὲ δέος ἐξαπατηθέντα ποτὲ δι' ἀκοὴν αὐτὸν οἱασδηποτοῦν λέξεως, δι' οἱονδήτινα τρόπον ἀνθρωποπρεπῶς ἐνίοτε λεχθείσης, ὀλισθαίνειν περὶ τὴν πίστιν, ἄχρις ἂν ὁμολογοῦσαν ἔχῃ τὴν διάνοιαν τῷ τῆς ψυχῆς συνειδότι, μήθ' ὁρᾶσθαι δύνασθαι σωματικοῖς τὴν ἄκτιστον θεότητά ποτ' ὀφθαλμοῖς, μήτ' ἀλλοίωσιν μηδὲ 3.485 τροπήν ποθ' ὑπομένειν ἡντινοῦν. εἰ γὰρ μὴ τοῦτ' εἴη, κωλύσει


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τῶν πάντων οὐδὲν πρὸς ἀσέβειαν ἔχειν ἐπιρρεπῶς ἀεὶ καὶ νύκτωρ καὶ μεθ' ἡμέραν κλονεῖσθαι καὶ περιτρέπεσθαι πάντα τινά, καθάπερ ἀνερμάτιστον σκάφος ἐφ' ὑγρῶν ἀστατούσης θαλάσσης κυμάτων ταλαντευόμενον ἐφ' ἑκάτερα καὶ παντοίαις ἀνέμων πνοαῖς ἀγόμενόν τε καὶ φερόμενον πλημμελῶς. κατὰ γὰρ τὸν μέγαν Βασίλειον, εἴ τις ἀβασανίστως προσέχει τοῖς γράμμασι, πρὸς Ἑλληνικούς τε καὶ Ἰουδαϊκοὺς ὁμοῦ καὶ γραώδεις μύθους ἐκτραπήσεται, καὶ πτωχὸς παντελῶς τῶν ἀξίων περὶ θεοῦ νοημάτων καταγηράσει. ἀλλὰ τῷ γε διπλοῦν τε καὶ σύνθετον ἀκριβῶς τὸν Χριστὸν ἐγνωκότι μὲν ἐκ τῶν θεϊκῶν νῦν δ' ἐκ τῶν ἀνθρωπίνων ... δηλούσης τὸ συναμφότερον, οὐ μέγα ἔργον τὰ μὲν ὑψηλὰ τῇ θεότητι νέμειν, τὰ δ' ὑφειμένα τῇ ἀνθρωπότητι· καὶ ὅταν ἀκούῃ "σάρξ τε ὁ λόγος ἐγένετο" καὶ αὖθις "ὀλίγαι ῥανίδες αἵματος θεοῦ κόσμον ὅλον ὑγίασαν," οὐ μεταβολὴν οὐδὲ τροπὴν ὅλως ὑπολήψεται τῆς θεότητος. οὐδ' ὅτε θεοῦ υἱὸν ἀκούει τὸν ἄνθρωπον, θεῷ φυσικὴν ἐννοήσει τὴν κάτω γέννησιν. ναὶ μὴν οὐδὲ μεταμόρφωσιν ἀκούσας τοῖς τῶν εἰκονομάχων ὑπαχθήσεται λόγοις, ὥστε μεταβολὴν καὶ τροπὴν σαρκὸς εἰς ἄκτιστον ἐννενοηκέναι θεότητα ἢ θεότητος μετουσίωσιν εἰς ὑφειμένην καὶ ἀνυπόστατον ἄλλην καὶ ἀνούσιον θεότητα κατὰ τὸν Παλαμᾶν. εἰ δὲ τοῦθ' οὕτω, πολλῷ μᾶλλον οὐδ' ὅτε δόξαν ἀκού 3.486 σῃ θεότητος μικρὸν παρανοιχθείσης ἢ παραδειχθείσης, πρὸς ἀτόπους ἐννοίας καὶ μάλα τῇ εὐσεβείᾳ ἀπᾳδούσας ἐξενεχθήσεται, μηδαμῇ μηδὲ τῷ τῆς ἐπιστήμης φωτὶ ἁρμοττούσας. ὥστε καὶ σφόδρα θαυμάζειν ἐμοὶ περίεστι, πῶς καὶ πόθεν ὁ Παλαμᾶς εἰς τοιαύτας εὐθὺς ἐκτετόπισται βλασφημίας. οὐ γὰρ ἔχει λέγειν ὡς παραστατικὸν οὔτε τὸ παραδειχθῆναι οὔτε τὸ μικρῶς πως ἀνοιγῆναι θεότητα τοῦ θεότητος νοεῖν ἐκεῖνο τέως γεγενῆσθαι τὸ φῶς. λειπούσης μὲν γὰρ τῆς παρά προθέσεως καὶ τοῦ "μικρῶς πῶς ἔδειξε" καὶ τοῦ "μικρὸν παρήνοιξε" καὶ τῶν ὁμοίων, εἶχεν ἄν πως αὐτός τε καὶ τὸ τῶν εἰκονομάχων σμῆνος, εἰ καὶ μὴ δικαίως, ἀλλ' οὖν εἶχέ τινα πρόφασιν ἴσως τῆς τοιαύτης αὐτῶν αἱρέσεως· νῦν δ' οὐδεμία οἱ λείπεται πρόφασις. καὶ γὰρ τῇ διδασκαλίᾳ τῆς τῶν λέξεων ἐπιστήμης οἱ θεῖοι τῆς ἐκκλησίας πατέρες ἑπόμενοι, θεραπείας τοιαύτας τοῖς οὕτω τόλμης ἔχουσι διανοήμασιν αὐτοί τε ἐπιφέρουσι καὶ ἡμᾶς παραινοῦσι. φασὶ γὰρ καὶ οἱ τῆς Ἑλλάδος σοφίας καὶ ἐπιστήμης ἐφευρεταὶ τά τε ἄλλα καὶ θεραπείαν εἶναι τῶν τοιούτων βραχεῖαν προσθήκην· τὸ γὰρ οἷον καὶ μονονουχί καὶ ἴσως καὶ τὸ τῶν προθέσεων πολύσημον καὶ διάφορον τοῖς λόγοις προσλαμβανόμενον βραχεῖα μέν ἐστι προσθήκη τοῖς λόγοις, ἀλλὰ πάνυ τι σφόδρα τὸ τῆς ἐννοίας ἀκόλαστον καὶ φλεγμαῖνον λεαίνει, καθάπερ τὰ πρὸς τῶν Ἀσκληπιαδῶν τοῖς νοσοῦσιν ἐπαγόμενα φάρμακα· καὶ μεσταὶ μὲν ἱεραὶ τῶν τοιούτων βίβλοι, με 3.487 σταὶ δ' Ἀττικαί, μεστοὶ δ' ὁπόσοι διὰ γλώττης ἐν παντὶ καιρῷ καὶ τόπῳ τοῖς ἀνθρώποις ἀνύονται δίαυλοι. τὸ μὲν γὰρ "ὁ παρὼν καιρός, ὦ Ἀθηναῖοι, μονονουχὶ λέγει φωνὴν ἀφιείς," Δημοσθένους ὄν, καὶ αὖ τὸ "οἷον ἁλμυρὰν ἀκοὴν ἀποκλύσασθαι" Πλάτωνος, καὶ τὸ "μικροῦ δέω λέγειν," καὶ ὅσα τοιαῦτα, συστέλλει πως τὸ αὔθαδες τῆς ἐννοίας, ὡς μήτ' ἐκεῖ λαλητικὸν ζῶον οἴεσθαι τὸν καιρόν, μήτ' ἐνταῦθα θαλαττίας ἅλμης ἄντικρυς ἀπόζειν τὸν λόγον. καὶ ἵνα τἀν μέσῳ παρέντες εἰς τὸν προκείμενον ἀνέλθωμεν δρόμον, τῆς αὐτῆς καὶ οἱ θεῖοι πατέρες ἐχόμενοι γνώμης καὶ ἐπιστήμης, κἀπὶ τῆσδε τῆς ἑορτῆς, τοῦ μὲν γυμνῶς τε καὶ ἀπαρακαλύπτως εἰπεῖν ὀφθαλμοῖς ἀνθρωπίνοις τὴν ἄκτιστον ὁρᾶσθαι θεότητα παντάπασιν ἀπέσχοντο· καὶ οὐκ ἄν τις δείξειέ ποτε, κἂν σωφρονοίη κἂν μαίνοιτο, οὔτε γραφὴν οὔτε βίβλον, οὔθ' ἱερὰν οὔθ' ἑλληνίζουσαν, οὔτε σωφρονοῦσαν οὔτε μαινομένην, τοσαύτης ἀσεβείας μετεσχηκυῖαν ἄχρι καὶ ἐς δεῦρο· πῶς γάρ, οἳ καὶ ψυχὴν ἡμῖν ἡμετέραν ἀθέατον ἴσασιν οὖσαν καὶ φύσιν ἀγγελικήν, καὶ ὃ μὴ σῶμα, μηδ' ἐν σώματι πᾶν; εἰ γὰρ οἱ ἅγιοι, φησὶν ὁ θεῖος Χρυσόστομος, καὶ πνεύματος ἁγίου ἠξιωμένοι, ὥσπερ καὶ ὁ ἀνὴρ τῶν ἐπιθυμιῶν θεασάμενος ἀγγέλου παρουσίαν, οὐκ αὐτὴν τὴν οὐσίαν (πῶς


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

γὰρ οἷόν τε ἀσώματον οὐσίαν ἰδεῖν;) ἀλλὰ μετασχηματισθεῖσαν τὴν ἐνέργειαν, μικροῦ δεῖν καὶ αὐτὴν τὴν ψυχὴν ἀφῆκε, καὶ 3.488 ὁ τοσοῦτος καὶ τηλικοῦτος ἀνὴρ ἄπνους σχεδὸν ἔκειτο, τίς ἄν, κἂν σφόδρα μεμηνὼς ᾖ, καταδέξαιτο τὸ βλάσφημον; τὸ μὲν δὴ οὖν ἀπαρακαλύπτως καὶ γυμνῶς τοιαῦτα λέγειν καὶ νοεῖν οἱ θεῖοι πατέρες καὶ διδάσκαλοι τῆς εὐσεβείας ἥκιστα παντάπασιν ἔσχον· ὃ δὲ κατ' οἰκονομίαν τινὰ παρὰ θεοῦ γεγονὸς λέγειν προήχθησαν, κολάζοντές πως κἀκεῖνο καὶ βραχείᾳ τινὶ θεραπεύοντες προσθήκῃ τὸ ἐπίφθονον ἀπήγγειλαν, ὡς κἀνταῦθα τῆς γε δήπου τελείας ἐμφανείας καὶ δείξεως τὸν ἡμῶν ἀπάγοντες νοῦν βραχείᾳ ταύτῃ, τῇ τῆς παρά προθέσεως δηλαδή, προσθήκῃ τῆς ἐς τὰ ἀδύνατα συνέστειλαν ὁρμῆς οὑτωσί πως τὸ αὔθαδες. ἵνα δὲ καὶ ὑποδείγμασιν ἑτέροις τὸν λόγον διαλευκάνωμεν, ὁ μελῳδὸς ἐκεῖνος αὐτίκα παρίτω μοι, "σύμβολα" φάσκων "τῆς ταφῆς σου παρέδειξας πάλαι τὰς ὁράσεις πληθύνας." μᾶλλον δ' ἐκεῖνα παρίτω ἃ Γρηγορίῳ τῷ θεολόγῳ περὶ τοῦ πάσχα πεφιλοσόφηται· "ὅταν αὐτό" φησι "πίνῃ καινὸν μεθ' ὑμῶν ἐν τῇ βασιλείᾳ τοῦ πατρός, ἀποκαλύπτων καὶ διδάσκων ἃ νῦν μετρίως παρέδειξεν." ὁρᾷς πῶς ἡ παρά πρόθεσις παρακρούεται μὲν τὴν τελείαν τῆς ἀληθείας ἔνδειξιν, ἀντεισάγει δὲ τὴν σκιώδη καὶ ἀτελῆ. καὶ πάλιν ἐγκαινίζεται δὲ καὶ ἡ σκηνὴ τοῦ μαρτυρίου καὶ λίαν πολυτελῶς, ἣν θεὸς παρέδειξε καὶ Μωσῆς ἐπήξατο καὶ Βεσελεὴλ ἐτελείωσε, τυπικῶς δηλαδὴ καὶ ἥκιστά πω κατ' οὐσίαν· "ὅρα" γάρ φησι "ποιήσεις πάντα κατὰ τὸν τύπον τὸν δειχθέντα σοι ἐν τῷ ὄρει." καὶ ἄγγελοι δέ, φη 3.489 σὶν ὁ θεῖος Χρυσόστομος, παρ' ἀνθρώποις φανέντες τὸ τῆς οἰκείας φύσεως ἀπαστράπτον φῶς παρήνοιξαν· ἡ γὰρ παρά πρόθεσις κολαστικόν τινα δείκνυσι τρόπον ἐν τούτοις τε καὶ τοῖς ὁμοίοις τούτοις, οἱονεὶ διὰ παραπετάσματος τὴν ἀλήθειαν κρυπτομένην συμβολικῶς ὑπεμφαίνουσα. διὸ καὶ παραδειχθεῖσαν ἢ παρανοιχθεῖσαν ἀκούοντες θεότητα οὐκ αὐτὴν ἀμέσως νοοῦμεν δειχθεῖσαν τὴν ἄκτιστον οὐσίαν· ἀλλὰ διὰ τῆς παρά μᾶλλον προθέσεως ῥᾷστα παρακρουόμεθα τὴν τοιαύτην ὑπόνοιαν καὶ τὸ ἄτοπον ἐντεῦθεν συστέλλομεν τοῦ τολμήματος, συγκαταβάσεως εἶναι ταῦτα καὶ οὐκ αὐτῆς δηλωτικὰ τῆς οὐσίας· καθὰ καὶ ὁ θεῖος Χρυσόστομος ἑρμηνεύων τὸ "ἐγὼ ὁράσεις ἐπλήθυνα καὶ ἐν χερσὶ προφητῶν ὡμοιώθην," συγκατέβη φησί, καὶ οὐ τοῦτο ὅπερ ἦν ἐφάνη· ἐπειδὴ γάρ, φησίν, ἔμελλεν αὐτοῦ ὁ υἱὸς διὰ σαρκὸς φανήσεσθαι ἡμῖν, ἄνωθεν αὐτοὺς προεγύμναζεν ὁρᾶν τοῦ θεοῦ τὴν οὐσίαν ὡς αὐτοῖς δυνατόν. καὶ πάλιν "σάρκα" φησὶ "περιεβάλετο ὁ θεός, ἵνα μὴ γυμνῇ τῇ θεότητι προσβαλὼν πάντας ἀπολέσῃ, μηδενὸς δυναμένου τὴν ἀπρόσιτον ἐκείνου τοῦ φωτὸς προσβολὴν ἐνεγκεῖν." Τὰ δ' αὐτὰ καὶ ὁ θεῖος διέξεισι Μάξιμος, "οὐκ ἐκ τῆς οὐσίας αὐτοῦ τὸν θεὸν" λέγων "γινώσκομεν, ἀλλ' ἐκ τῆς μεγαλουργίας τῶν ὄντων· διὰ γὰρ τούτων ὡς δι' ἐσόπτρων 3.490 τὴν ἄπειρον ἀγαθότητα καὶ σοφίαν καὶ δύναμιν αὐτοῦ κατα3.490 νοοῦμεν." ὁρᾷς πῶς ἀνάγκῃ πειστέον ἡμῖν ἐστίν, ὡς δι' ἐσόπτρου τοῦ προσλήμματος, συγκαταβάσει χρησάμενον τὸν θεάνθρωπον λόγον κἀπὶ τοῦ ὄρους ἐκείνου παραδειχθῆναι μέν, οὐ δειχθῆναι δέ, καὶ παραγυμνῶσαι μέν, οὐ γυμνῶσαι δὲ τὴν τῆς ἀκτίστου θεότητος οὐσίαν αὐτοῦ, οὐδ' ἑτέραν τῆς οὐσίας αὐτοῦ θεότητα ἀνυπόστατόν τε καὶ ὁρατὴν καὶ ἄκτιστον καὶ ὑφειμένην ἐκεῖ πεπραχέναι κατὰ τὴν τῶν ἀσεβούντων παρανομίαν· ἀνθρωπίνης γὰρ μορφῆς ἀλλοίωσις ἡ μεταμόρφωσις ἦν, καὶ οὐ μετουσίωσις τῆς ἀναλλοιώτου θεότητος. καθὰ καὶ ὁ μελῳδὸς διέξεισι θεῖος Κοσμᾶς, "τὴν ἀνθρωπίνην" λέγων "ἀμαυρωθεῖσαν ἐλάμπρυνας πάλαι φύσιν, καὶ ἀλλοιώσει τῆς μορφῆς σου ἐθεούργησας." εἰ δ' οὖν προσεκτέον τί περὶ τούτου καὶ ὁ θεῖος διέξεισι Χρυσορρήμων, "πορευθῶμεν" φησὶν "ἐπὶ τὸ ὄρος τῷ λόγῳ, ἔνθα μετεμορφώθη Χριστός. ἴδωμεν αὐτὸν λάμποντα ὥσπερ ἔλαμψε. καί τοι οὐδ' οὕτω πᾶσαν ἡμῖν ἔδειξε τὴν τοῦ μέλλοντος αἰῶνος λαμπρότητα. ὅτι γὰρ συγκατάβασις ἦν τὸ φαινόμενον ἀλλ' οὐκ ἐπίδειξις τοῦ πράγματος ἀκριβής, ἀπ' αὐτῶν δῆλον τῶν τοῦ εὐαγγελίου ῥημάτων. τί γάρ φησιν; ἔλαμψεν ὡς ὁ ἥλιος. ἡ δὲ τῶν ἀφθάρτων



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

σωμάτων δόξα οὐ τοσοῦτον ἀφίησι τὸ φῶς ὅσον τοῦτο τὸ σῶμα τὸ φθαρτόν, οὐδὲ τοιοῦτον οἷον καὶ θνητοῖς ὄμμασι γενέσθαι χωρητόν, ἀλλ' ἀφθάρ 3.491 των καὶ ἀθανάτων δεόμενον ὀφθαλμῶν πρὸς τὴν θέαν αὐτοῦ." ἀκούεις; οὐ γὰρ ἄφθαρτον ἔλαβεν ἐκ παρθένου σῶμα (τοῦτο γὰρ τῆς Μαρκίωνός ἐστι λέγειν αἱρέσεως), οὐδ' ἄκτιστον αὐτὸ πεποίηκέ τε καὶ ἔκτισεν ὁ θεῖος λόγος (τοῦτο γὰρ τῆς τῶν εἰκονομάχων ὑπάρχει λέγειν αἱρέσεως)· ἀλλ' ἡ ἀναλλοίωτος φύσις, ὡς ὁ θεῖος αὖθίς φησι μελῳδός, τῇ βροτείᾳ μιχθεῖσα, τῆς ἐμφεροῦς ἀΰλου θεότητος φῶς παραγυμνοῦσα τοῖς ἀποστόλοις ἀπορρήτως ἐξέλαμψε. καὶ πάλιν, ἀμυδροὺς θεϊκῆς αὐγῆς παρεγύμνου χαρακτῆρας. ὁρᾷς πῶς πανταχῇ πάντες οἱ τῆς εὐσεβοῦς ἐκκλησίας διδάσκαλοι τὴν ἀμυδρὰν καὶ οὐ μάλα ἄμεσον διὰ τῆς παρά προθέσεως ἐμφαίνουσι δήλωσιν. εἰ δ' οὖν, παρελθόντες ὁμοῦ πάντες οἱ τῆς Παλαμικῆς θιασῶται φατρίας δεικνύτωσαν ποῦ τῆς γραφῆς εὑρίσκεται λέγων τις τῶν ἁπάντων ἁγίων ἄκτιστον ἄλλην ἀνούσιον καὶ ὑφειμένην φανῆναι τότε θεότητα. ἀλλ' οὐδὲ πολλὰ μογήσαντες δεῖξαί ποτ' ἂν δυνηθεῖεν οὔτ' ἐς τὸ ὑφειμένον οὔτ' εἰς τὸ ὑπερκείμενον μεριζομένην τὴν μόνην ἐκείνην ἄκτιστον καὶ ἀμέριστον οὐσίαν τε καὶ θεότητα. ὅ γε μὴν θεῖος Μάξιμος καὶ σύμβολον καὶ τύπον εἶναι τὸ φῶς ἐκεῖνο καὶ δραματούργημα λέγει· "οἶμαι" γάρ φησι "τοὺς καθόλου δύο τῆς θεολογίας τρόπους μυστικῶς ὑφηγεῖσθαι τὰ ἐπὶ τοῦ ὄρους κατὰ τὴν μεταμόρφωσιν θεοπρεπῆ δραματουργήματα, τόν τε προηγούμενόν φημι καὶ ἁπλοῦν καὶ ἀναίτιον, καὶ τὸν ἑπόμενον τούτῳ καὶ σύνθετον καὶ διὰ καταφάσεως μεγαλο 3.492 πρεπῶς ἐκ τῶν αἰτιατῶν ὑπογράφοντα." καὶ πάλιν "σκοπήσωμεν δὲ εἰ μὴ καλῶς ἑκατέρῳ τῶν εἰρημένων τρόπων κατὰ τὴν θείαν ἐκείνην τοῦ κυρίου μεταμόρφωσιν καὶ σοφῶς ἐνυπάρχοι τὸ σύμβολον· ἔδει γὰρ αὐτόν, καθ' ἡμᾶς ἀτρέπτως κτισθῆναι δι' ἄμετρον φιλανθρωπίαν καταδεξάμενον, ἑαυτοῦ γενέσθαι τύπον καὶ σύμβολον, καὶ παραδεῖξαι ἐξ ἑαυτοῦ συμβολικῶς ἑαυτόν, καὶ δι' αὑτοῦ φαινομένου πρὸς ἑαυτὸν ἀφανῶς πάντῃ κρυπτόμενον χειραγωγῆσαι τὴν ἅπασαν κτίσιν." καὶ πάλιν "ἐπεὶ μηδὲ χωρεῖσθαι τῇ κτίσει τὸ ἄκτιστον πέφυκε, μηδὲ περινοεῖσθαι τοῖς πεπερασμένοις τὸ ἄπειρον." καὶ πάλιν "τὴν μὲν ἀκτινοφανῶς ἐκλάμπουσαν τοῦ προσώπου πανόλβιον αἴγλην, ὡς πᾶσαν ὀφθαλμῶν νικῶσαν ἐνέργειαν, τῆς ὑπὲρ νοῦν καὶ αἴσθησιν καὶ οὐσίαν καὶ γνῶσιν θεότητος αὐτοῦ σύμβολον εἶναι ἐδιδάσκοντο· τὰ δὲ λευκανθέντα ἱμάτια τῶν ῥημάτων τῆς ἁγίας γραφῆς φέρειν σύμβολον ὡς τηνικαῦτα λαμπρῶν καὶ τρανῶν καὶ σαφῶν αὐτοῖς γενομένων, καὶ παντὸς γριφώδους αἰνίγματος καὶ συμβολικοῦ σκιάσματος χωρὶς νοουμένων, καὶ τὸν ἐν αὐτοῖς ὄντα τε καὶ καλυπτόμενον παραδηλούντων λόγον, ὁπηνίκα τὴν τελείαν καὶ ὀρθὴν περὶ θεοῦ γνῶσιν ἔλαβον." καὶ πάλιν "εἴρηται τοίνυν ἀνωτέρω ὅτι διὰ μὲν τῆς γενομένης ἐπὶ τοῦ ὄρους τοῦ προσώπου τοῦ κυρίου φωτοειδοῦς λαμπρότητος πρὸς τὴν πᾶσι καθόλου τοῖς οὖσιν ἄληπτον τοῦ θεοῦ μυστικῶς οἱ τρισμα 3.493 κάριοι ἀπόστολοι κατὰ τὸ ἄρρητόν τε καὶ ἄγνωστον ἐχειραγωγοῦντο δύναμίν τε καὶ δόξαν, τῆς ἀφανοῦς κρυφιότητος τὸ φανὲν αὐτοῖς ὑπὲρ τὴν αἴσθησιν φῶς σύμβολον εἶναι μανθάνοντες." ὁρᾷς πῶς καὶ οὗτος τῆς μὴ φαινομένης ἀκτίστου θείας οὐσίας τοῦ θεανθρώπου λόγου τύπον καὶ σύμβολον, καὶ οὐκ ἄκτιστον ἄλλην ἀνυπόστατον φάσκει θεότητα, τὸ τηνικαῦτα φαινόμενον φῶς ἐν Θαβὼρ ἐπ' αὐτοῦ, καὶ παράδειξιν, οὐ δεῖξιν; μηδὲ γὰρ εἶναι δυνατὸν ὁραθῆναι τοῖς κτίσμασι τὸ ἄκτιστον μηδὲ τοῖς πεπερασμένοις τὸ ἄπειρον λέγει. δηλοῖ δ' ἐναργέστερον ἔτι καὶ ὁ μέγας τῆς ἐκκλησίας τοῦτο φωστὴρ Κύριλλος· "πεπρᾶχθαι γάρ φαμεν τὴν τοῦ κυρίου" λέγει "μεταμόρφωσιν, οὐ δήπου τὸ σχῆμα τὸ ἀνθρώπινον ἀποβαλόντος τοῦ σώματος, ἀλλὰ δόξης τινὸς φωτοειδοῦς περιστελλούσης αὐτό· μείναντος γὰρ τοῦ σώματος ἐπὶ τοῦ σχήματος, ἐπὶ τὸ ἐνδοξότερον οἱ χαρακτῆρες διὰ φωτοειδοῦς χρώματος διεχρώννυντο." εἰ οὖν κατὰ τὰς τῶν ἁγίων γραφὰς τύπος καὶ σύμβολον ἀκτίστου θεότητος ἦν κἀκεῖνο τὸ φῶς,



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἕτερον ἐκείνης ἦν καὶ οὐκ ἐκείνη, οὐδ' ἄκτιστος θεότης εἴτουν οὐσία. ὡς γὰρ τὸ ἕτερον παρὰ τὴν δύναμιν κατὰ τὸν Νυσσαέα Γρηγόριον δύναμις οὐκ ἔστιν, οὕτω καὶ τὸ ἕτερον παρὰ τὴν μόνην ἄκτιστον οὐσίαν θεότης ἄκτιστος οὐκ ἔστιν· εἰ γὰρ ἄλλη, καὶ ἄκτιστος καὶ ἀνούσιος καὶ ἀνυπόστατος. ἀνύπαρκτος ἄρα, καὶ τὸ σέβας ἀθεΐα σαφής. οὕτως ἐκ μὲν 3.494 πολυθεΐας Παλαμικῆς εἰς ἀθεΐαν Παλαμικὴν ἡ ἀνούσιος αὕτη καὶ ἀνυπόστατος νέα τοῦ Παλαμᾶ θεότης εἰς τὸ τοῦ Παλαμᾶ βάραθρον τοὺς ἁπλουστέρους ἐφέλκεται. καὶ ἵνα τελεωτέραν ἔτι τὴν περὶ τοῦ φωτὸς ἐκείνου διδασκαλίαν ἐπιγνῷς, ἀκούετε τοῦ Χρυσορρήμονος αὖθις Ἰωάννου. ἐν γὰρ τῷ κατὰ τὴν τοῦ σωτῆρος ἀνάληψιν λόγῳ τάδε διέξεισι. "θαῦμα" φησὶ "τοῖς ἀποστόλοις καὶ ἔκστασις καὶ θροῦς ἐγένετο. θνητοὶ γὰρ τὴν φύσιν ὄντες, καὶ ἀσυνήθεις τοιούτων θεωριῶν, ἐξέστησαν τῇ διανοίᾳ. ἀλλ' ἐρεῖ τις ὅτι προϊδόντες ἦσαν καὶ τὴν μεταμόρφωσιν ὅ τε Πέτρος καὶ Ἰάκωβος καὶ Ἰωάννης. προεῖδον μὲν ἐκεῖ μεταμορφωθέντα τὸν κύριον καὶ νεφέλην σκιάσασαν αὐτόν· ἀλλ' οὐκ εἶδον τὴν νεφέλην εἰς ἀέρα ἁρπασθεῖσαν καὶ εἰς οὐρανοὺς τὸν δεσπότην ἀναλαμβάνουσαν. θαῦμα ἐκεῖνο, θαῦμα καὶ τοῦτο· ἀλλὰ θαῦμα θαύματος φοβερώτερον, τοῦτο ἐκείνου ὑψηλότερον, κἂν ἑνὸς θεοῦ ἡ δύναμις καὶ τὸ μυστήριον ὑπῆρχε. τότε Μωσῆς καὶ Ἡλίας ὤφθησαν τοῖς περὶ τὸν Πέτρον μετ' αὐτοῦ συλλαλοῦντες· νῦν δὲ θρόνος Χερουβικός, τουτέστιν ἀόρατος δύναμις τῇ νεφέλῃ καλυπτομένη, ἀθρόον ἐπιστᾶσα τὸν δεσπότην τοῖς δούλοις ὁμιλοῦντα ἀφήρπασε. τότε Πέτρος μετὰ παρρησίας ἀπεκρίνατο "3κύριε, καλόν ἐστιν ἡμᾶς ὧδε εἶναι· ποιήσωμεν τρεῖς σκηνάς, σοὶ μίαν καὶ Μωσεῖ μίαν καὶ μίαν Ἡλίᾳ"3. νυνὶ δ' οὐδὲ φθέγξασθαί τις ἐδυνήθη τῶν μαθητῶν, οὐδὲ τὸ 3.495 στόμα διανοῖξαι, ἀλλὰ φόβῳ μεγίστῳ καταπλαγέντες ἐξέστησαν". Ἐνταῦθα καὶ εἰ βασκανίᾳ κάτοχός τις εἴη, καὶ εἰ μακρᾶς εὐηθείας μεστός, πάντας ἄν μοι δοκεῖ τῆς γνώμης ἐμοὶ κοινωνεῖν, μεταθεμένους τὸ ἄγνωμόν τε καὶ δύσερι πρός γε τὸ μήτε πλείονος μήτε μείζονος μήτ' ἐναργεστέρας δεῖσθαι μαρτυρίας, ὅτι τῶν τοῦ Χριστοῦ θαυμάτων ἓν καὶ τὸ ἐν Θαβωρίῳ δειχθῆναι φῶς. ὅμως δυοῖν ἐνταυθοῖ διειλημμένων μεγάλων τοῦ Χριστοῦ θαυμάτων, ἢ καὶ δυοῖν ἐχρῆν Παλαμᾶ τὴν λατρευτικὴν ἀπονέμειν προσκύνησιν ὡς ἀκτίστοις θεότησιν, ἵνα μεῖζον καὶ φανερώτερον ᾖ τὸ νεμόμενον τῆς αὐτοῦ κακίας, ἢ θατέρῳ, τῷ μείζονι δηλαδὴ καὶ ὑψηλοτέρῳ. εἰ δὲ τοῦτο μηδεὶς μηδαμῇ πω τετόλμηκεν οὐδ' εἰς νοῦν εἰληφέναι τρόφιμος εὐσεβείας καὶ ἅμα παιδείας εὐσχήμονος ἔχων ἡλικιῶτιν διάνοιαν, ποῦ δίκαιον τοῖς τε εἰκονομάχοις ἐκείνοις καὶ ἅμα τῇ νέᾳ ταύτῃ τοῦ Παλαμᾶ φάλαγγι προσέχειν τὸν νοῦν ὁπωσοῦν; οἷς πάντα μὲν ἀδεῶς τολμᾶται λέγειν τὰ χείριστα, πάντων δ' οὖν μάλιστα θεϊκὴν ἀπονέμειν λατρείαν τῷ τοῦ ἐν Θαβωρίῳ θαύματος φωτί, καὶ ἀνούσιον αὐτὸ νομίζειν θεότητα ὑφειμένην καὶ ἀνυπόστατον. ἐμὲ μὲν γὰρ ἐνταυθοῖ Παλαμᾶς εὑρήσει πολέμιον, καὶ γλώττῃ πάσῃ καὶ βίβλοις ὅλαις ἀεί, κἂν μὴ βούληται, σιγῶντα δ' οὖν οὐδ' ἐὰν βούληται. ἦ πολλοῦ μέντ' ἂν δεήσειε βαρβαρικῆς ἀπονοίας εἶναι μεστῷ πολλοῦ δ' ἂν πολυθεΐας ἔχειν τὸ ἧττον 3.496 Ἑλληνικῆς, ὅτῳ ἂν πάνθ' ὅσα διὰ φώτων γίνεται θαύματα λατρεύειν εἴη διὰ φροντίδος. οὐδὲ γὰρ οὐδὲ σῶμά τί ἐστιν ἡ ἄκτιστος ἐκείνη τοῦ σωτῆρος οὐσία, ἵνα μέρος μὲν παραφανῇ μέρος δ' οὔ· πῶς γάρ, ἀμερὴς οὖσα δύναμις καὶ κυρίως ἕν, ἀριθμοῦ παντὸς παντάπασιν ὑπέρτερον· οὔτε γὰρ ἐκείνη μερισμῷ τινὶ δυάδα γεγέννηκεν, οὔτ' ἀριθμὸς οὐδεὶς ἐμέρισεν αὐτήν· ἀλλ' ἓν οὖσα φύσει καὶ μονὰς ἀεί, μεμένηκεν ἀεὶ μοναδική τε καὶ ἄτρεπτος καὶ ἀόρατος. φησὶ γὰρ καὶ ὁ θεῖος Χρυσόστομος ὡς εἰ αὐτὴν ἑώρων οἱ προφῆται τὴν φύσιν τοῦ θεοῦ, οὐκ ἂν διαφόρως ἐθεῶντο· ἁπλῆ γάρ τις ἐκείνη καὶ ἀσχημάτιστος καὶ ἀσύνθετος καὶ ἀπερίγραπτος καὶ ἀεὶ ὡσαύτως ἔχουσα. ἀλλ' ἔδειξε φησὶ τῆς ἀθεάτου θεϊκῆς αὐτοῦ βασιλείας τὴν δόξαν. εἶτα οὐ τὸ ἐκκαλύψαι μείζω τὴν δύναμιν ἔχει τοῦ δεῖξαι· κεκαλυμμένου γάρ τινος δηλοῖ φανέρωσιν πράγματος· τὸ δὲ δεῖξαι λέξις ἐστὶ κἀν τοῖς φαινομένοις


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

χρειώδης ἁπλῶς, ὥσπερ ἂν εἰ ἐν βαλαντίῳ καλυπτομένων μαργάρων μόνον δεικνύοι τις τὸ βαλάντιον· οὗτος γὰρ ἔδειξε μέν, οὐκ ἐξεκάλυψε δὲ τὸ ζητούμενον· ὡς καὶ ὁ μέγας διδάσκει Χρυσόστομος, λέγων ὅτι οὐκ ἐνέβη ὁ Ἰησοῦς εἰς τὸ πλοῖον, τὸ θαῦμα μεῖζον ἐργάσασθαι βουλόμενος καὶ ἅμα τὴν θεότητα αὐτοῖς ἐκκαλύψαι τρανότερον. 3.497 Ἐπιστῆσαι δ' ἄξιον πῶς δύο θαυμάτων ἐνταῦθα διειλημμένων, καὶ τοῦ μὲν παράδειξιν δηλοῦντος θεότητος τοῦ δ' ἐκκάλυψιν, καὶ τῆς μὲν εἰληχυίας τὸ ἧττον τῆς δ' ἐκκαλύψεως τὸ μεῖζον, ἣ μὲν τὸ ἧττον ἔχειν ἔλαχε, ταύτῃ Παλαμᾶς λατρευτικὴν νέμει προσκύνησιν, ἣ δὲ τὸ μεῖζον ἔλαχε, ταύτῃ δ' οὖν οὐδ' ἡντινοῦν. γελοῖον γὰρ ἂν εἴη τὸ μὲν ἔλαττον κατὰ δύναμιν μεγίστην καρποῦσθαι τιμήν, τὸ δ' ὑπέρτερον μηδὲ τὴν τοῦ ἥττονος· καὶ ὃ μὲν ἑαυτῷ ἥκιστ' ἔχει, τοῦθ' ἑτέροις ἐπαρκεῖν, ὃ δὲ μάλισθ' ἑαυτῷ, τοῦθ' ἑτέροις μηδαμῇ· καὶ ᾧ μὲν μηδ' ἰσορροπεῖν ταῖς τῆς ἰσότητος πλάστιγξι δύναμις εἴη, τούτῳ πάσης ὁλοσχερῶς συγχωρεῖν τῆς ὁλκῆς, ὃ δὲ πλείω τὴν τῆς ῥοπῆς ἐμβρίθειαν ἔχει πολλῷ, τοῦτο δ' ἐκείνου κουφότερον ἡγεῖσθαι πολλῷ. εἰ δ' εὐηθείας ταυτί, ἦ που πᾶσαν ὑπερήλασεν εὐήθειαν, ὃ τῇ ἐκκαλύψει μὴ συγχωρεῖται μηδ' ἐγγὺς ἐλθεῖν, τούτῳ δὲ καὶ τὴν τῆς ἀκτίστου θεότητος προσνέμειν τιμήν. πῶς γὰρ ἄν ποτέ τι τῶν ἐν αἰσθητῷ φαινομένων εἴδει καὶ ὑποβαλλομένων αἰσθήσει θεότης ἄκτιστος εἴη; ὅπου μηδὲ τὴν τῶν ἀσωμάτων ἀγγέλων φύσιν ἀνθρωπίνοις ὑποπεσεῖν δυνατὸν ὀφθαλμοῖς, ὡς ἄνω καὶ κάτω δέδεικταί τε καὶ αὐτοδίδακτόν ἐστιν ἀνθρωπίνῃ συνέσει πάσῃ. δηλώσει δ' οὖν καὶ ὁ μέγας αὖθις διδάσκαλος ἡμῖν Χρυσορρήμων, μὴ μόνον ὅτι μὴ ἦν ἐκεῖνο τὸ φῶς θεότης ἄκτιστός τε καὶ ἀνούσιος, ἀλλ' οὐδ' ἀσώματον· φησὶ γὰρ ὑμνῶν οὑτωσί πως οὗτος αὐτό "εἰ καὶ σωματικώ 3.498 τερον ὁ σωτὴρ τοῦτ' ἐδείκνυ τὸ φῶς, ἀλλ' οὖν πολλὴν ἐπιθυμίαν τὸ πρᾶγμα εἶχε." καὶ πάλιν "εἰ δ' ἀμυδράν τινα τῶν μελλόντων ὁ Πέτρος ἰδὼν εἰκόνα, καλόν ἐστιν ἡμᾶς ὧδε εἶναι ἔφη, τί ἄν τις εἴπῃ ὅταν αὐτὴ τῶν πραγμάτων ἡ ἀλήθεια παραγένηται;" καὶ πάλιν "ἐθεασάμεθα" φησὶ "τὴν δόξαν αὐτοῦ, οὐκ ἂν θεασάμενοι εἰ μὴ διὰ τοῦ συντρόφου σώματος ἡμῖν ὤφθη." καὶ πάλιν "ἂν θέλωμεν, καὶ ἡμεῖς ὀψόμεθα τὸν Χριστόν, οὐχ οὕτως ὡς οἱ ἀπόστολοι τότε, ἀλλὰ πολλῷ λαμπρότερον· οὐ γὰρ οὕτως ὕστερον ἥξει." Εἰ οὖν λαμπρὸν μὲν ὁ Χριστὸς ἐνταῦθα τὸ φῶς ἐκεῖνο δέδειχε, λαμπρότερον δ' οὖν ἐς τὸ μέλλον τοῖς ἁγίοις δείξει ἀνδράσι, πιστευτέον ἀνάγκη τῷ Χρυσορρήμονι σωματικώτερον εἶναι τὸ φῶς ἐκεῖνο σαφῶς παραινοῦντι, καὶ ἀληθείας ἀμυδρὰν εἰκόνα καὶ οὐκ αὐτὴν τὴν ἀλήθειαν. εἰ δ' οὖν, ἀνάγκη λοιπὸν καὶ τὴν νῦν ὑφειμένην καὶ ἀνούσιον ταύτην τοῦ Παλαμᾶ θεότητα πρὸς τὸ λαμπρότερόν τε καὶ ὑπερκείμενον ἀπαλλάξαι, καὶ γενέσθαι τὸ μὲν ἄκτιστον ἀκτιστότερον τὸ δ' ἀνούσιον ἀνουσιώτερον, καὶ ἅμα τὸ ὁρατὸν ὁρατότερον, εἰ χρὴ καὶ τοιαῦθ' ὅλως ἐνθυμεῖσθαι γοῦν ἢ καὶ γλώττῃ προφέρειν. σκεπτέον δὲ ὅμως τί ἂν εἴη τουτὶ ὃ φανταζόμενος μὲν ἀγνοεῖ, ἀγνοῶν δὲ βλασφημεῖ, βλασφημῶν δ' ἀπατᾷ τοὺς πολλούς· πολλῷ γὰρ ἡμῖν πρεπωδέστερον τοιαῦτ' ἐρευνᾶν ἢ Σωκράτην ἐκεῖνον τὸν Σωφρονίσκου, ὅστις εἴη σοφὸς Ἀθή 3.499 νησι μᾶλλον αὐτοῦ ζητοῦντα, περιιέναι δικαστὰς καὶ ῥήτορας καὶ ποιητὰς τραγῳδιῶν καὶ διθυράμβων καὶ πρὸς τούτοις χειροτέχνας παντοδαπούς, ὡς ἐνταῦθα ἐπ' αὐτοφώρῳ καταληψόμενον τὴν ἀλήθειαν. φασὶ τοίνυν, οἷς λόγῳ καὶ ἔργῳ μεθοδικὴν ἐμπειρίαν ἀσκήσεως ἑαυτοῖς δεδωκέναι συμπέπτωκεν, ὡς ἀρχὴ πλάνης νοῦ κενοδοξία, ἐξ ἧς κινούμενος ὁ νοῦς ἐν σχήμασι καὶ μορφαῖς περιγράφει τὸ θεῖον· καὶ πάλιν "μακάριος ὁ νοῦς ὃς κατὰ τὸν καιρὸν τῆς προσευχῆς τελείαν ἀμορφίαν ἐκτήσατο." καὶ πάλιν "μὴ ζήτει παντελῶς μορφήν τινα ἢ σχῆμα ἢ χρῶμα δέχεσθαι ἐν τῷ τῆς προσευχῆς καιρῷ." καὶ πάλιν "μὴ πόθει ἀγγέλους ἰδεῖν ἢ δυνάμεις ἢ Χριστὸν αἰσθητῶς, ἵνα μὴ τέλεον φρενήρης γένῃ, λύκον ἀντὶ ποιμένος δεχόμενος καὶ προσκυνῶν τοῖς αἰσχροῖς δαίμοσιν. ὅτι γὰρ πᾶν τὸ ἐν σχήματι φαινόμενον τῷ νῷ εἴτε ὡς φῶς εἴτε ὡς πῦρ ἐκ τῆς τοῦ ἐχθροῦ κακοτεχνίας γίνεται, ὁ θεσπέσιος Παῦλος σαφῶς διδάσκει, εἰς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἄγγελον φωτὸς αὐτὸν λέγων μετασχηματίζεσθαι. οὐ δεῖ οὖν ἐπὶ ταύτῃ τῇ ἐλπίδι τινὰ τὸν ἀσκητικὸν μετιέναι βίον, ἵνα μὴ ὁ Σατανᾶς ἑτοίμην εὕρῃ τὴν ψυχὴν ἐντεῦθεν εἰς ἁρπαγήν." καὶ τί δεῖ πλείους ἐνταῦθ' ἀνελίττειν βίβλους ἁγίων ἀνδρῶν, ὁπόσοι σύν γε σοφίᾳ καὶ νόμοις ἀσκήσεως τὸν ἑαυτῶν ἐκεκοσμήκεσαν βίον, οἷς συνέσεως μέτεστιν ἅπασιν, ἐξὸν ἀρκεῖσθαι μόνοις τούτοις οἳ θεραπευταὶ τῆς ἐνεστώσης χρείας ἡμῖν ἐν τῷ παρόντι προβέβληνται. ὅτι μὲν γὰρ αἱ φαινόμεναι τοῖς ἁγίοις ἐνίοτε 3.500 μορφώσεις καὶ οἱ σχηματισμοὶ δι' ἀγγέλων τελοῦνται θεοῦ, πάνυ γέ τι ἱκανῶς ἀποδεδεῖχθαι οἴομαι· μηδὲ γὰρ εἶναι δυνατὸν ἀμέσως γενέσθαι τῷ ποτὲ θεότητος ἐπιφάνειαν καθ' αὑτήν. 3.501 ΤΟΥ ΑΥΤΟΥ ΝΙΚΗΦΟΡΟΥ ΤΟΥ ΓΡΗΓΟΡΑ ΡΩΜΑΙΚΗΣ ΙΣΤΟΡΙΑΣ ΛΟΓΟΣ Λ . Ἐμοὶ δ' ἀρχομένῳ τῆς ἱστορίας τὸ σκοπιμώτατον ἦν τὴν τῶν δημοσίων πραγμάτων τοῖς ἔπειτ' ἀνθρώποις γράφοντι παραπέμπειν διήγησίν τε καὶ δήλωσιν· ἀλλ' ὥσπερ τις ἄγριος ἄνεμος ἐξ ἀρκτώων καταρραγεὶς πηγῶν, πρὶν ἡμᾶς αἰσθέσθαι καὶ πρὶν παρεσκευάσθαι πρὸς τὴν ἀπάντησιν, ἐξαίφνης συνεκύκησέ τε καὶ συνετάραξε τῆς ἡμετέρας καὶ συνήθους ἐκείνης γαλήνης τοὔδαφος, τοὺς κατὰ τῆς τοῦ θεοῦ ἐκκλησίας ἐπενεγκὼν χειμῶνας καὶ κλύδωνας. κἀπειδήπερ διὰ τάδ' ἀναγκαῖον ἅπαξ προελομένῳ διεξιέναι πάνθ' ὅσα περ ἂν καὶ οἷά γε εἴη τὰ τέως παρεκπεσόντα τῆς ἐκκλησιαστικῆς ὑποθέσεως ναυάγια, καὶ οἵτινες εἶεν καὶ ὅπως καὶ μέχρι πόσου καὶ μεθ' οἵας τῆς προθυμίας τοῖς τῶν χειμώνων ἐκείνων 3.502 ἐνεκαρτέρησαν κύμασι συνείρειν καὶ συνυφαίνειν τῷ τῆς ἱστορίας σώματι ταυτησί, καὶ συνάπτειν ἑκατέροις ἑκάτερα ἅτε συναίτια γινόμενα ἀλλήλοις, ὡς δειχθήσεται προϊοῦσιν ἡμῖν, καὶ ὑφ' ἑαυτῶν ἀλλήλοις συμπλεκόμενα, καὶ οὐδαμῇ τῆς πρὸς ἄλληλα συμφυΐας τε καὶ ἀλληλουχίας διασπασθῆναι δυνάμενα, πολυειδῆ καὶ διπλῆν ἀνθ' ἁπλῆς καὶ μονοειδοῦς ἐλάθομεν δρῶντες τὴν ἱστορίαν δημοσίων πραγμάτων καὶ ἅμα ἐκκλησιαστικῶν, παρὰ πᾶσάν τε προσδοκίαν καὶ παρὰ πᾶσαν τὴν ἐξ ἀρχῆς ἡμῶν πρόθεσιν συμβὰν οὑτωσί πως ἐν μέσῃ φάναι πορείᾳ, ὡς ἀναγκάζεσθαι ἡμᾶς συνεχεῖς τὰς ἐκδρομάς τε καὶ ἀνελίξεις καὶ ἐπαναλήψεις τῶν λόγων ποιεῖσθαι καὶ ἐφαρμόττειν καὶ συντιθέναι, καὶ παραπομπὰς παμπόλλους πολλαχῇ ποιεῖσθαι καὶ ἀναμνήσεις καὶ περιόδους πολυτρόπους, νῦν μὲν διὰ μακροῦ τοῦ μεταξύ, νῦν δ' ἐκ τοῦ σύνεγγυς. ἀνεμέσητον οὖν εἶναι χρεὼν τὸ καθ' ἡμᾶς εἰς τοῦτ' ἀνάγκης συνελαθέντας τῇ τῶν ἐξ ἀνάγκης ἄλλοτ' ἄλλως ἐχόντων πραγμάτων φορᾷ. ὑπὸ γὰρ δυοῖν ἐναντίοιν, ψυχαῖς δηλαδὴ καὶ σώμασι, χρωμένων ἀνθρώπων αὐτὰ διοικούμενα, πῶς μὲν ὑπὸ φύσεως καὶ αὐτὰ πῶς δ' ὑπὸ νόμων καὶ ἐθῶν ῥυθμιζόμενα, ἀνάγκη διαφόρους γίνεσθαι τοὺς βίους διαφόρων ὄντων τῶν τε διοικούντων καὶ διοικουμένων τῶν τε ῥυθμιζόντων καὶ ῥυθμιζομένων, ὡς εἴρηται, καὶ ἐξαλλάττεσθαι πῶς μὲν διὰ μακρῶν πῶς δὲ διὰ συχνῶν τῶν μεταξὺ χρονικῶν περιόδων, καὶ πῶς μὲν μετριωτέραν καρπουμένων φαυλότητα, πῶς δ' εἰς μείζω τὴν ἀμετρίαν ἐκφερομένων ἢ κατ' 3.503 ἐκεῖνα, καὶ πῶς μὲν ὑπὸ τῶν αὐτῶν πῶς δ' οὐχ ὑπὸ τῶν αὐτῶν, νῦν μὲν τὰ αὐτὰ διὰ βίου πλημμελούντων ἢ σωφρονούντων, πῶς δ' οὐδαμῇ τὰ αὐτὰ ὅτι μὴ διάφορα καὶ πολυειδῆ καὶ πολυτροπώτατα. ὃ γοῦν πολλάκις ἡμεῖς δεδρακότες οὐ τῶν ἀτόπων οὐδὲν οὐδαμῇ ποτὲ δρᾶν οὔτ' ἐνομίσαμεν οὔτ' ἐνομίσθημεν, τοῦτ' αὐτὸ καὶ νῦν τε καὶ ἔπειτα δρῶντες, φλαῦρον οὐδὲν οὔτε δρῴημεν ἄν ποτε οὔτε δρᾶν ποτὲ νομισθείημεν ἄν. ἢ πολλὴ μέντ' ἂν εἴη νέμεσις πολλὴν πανταχόθεν ἡμῖν τὴν χλεύην ἐπισωρεύουσα, τῷ μεγίστῳ μέρει ζημιοῦν αἱρουμένοις διὰ ῥαστώνην τοὺς ὅσοι τὸ πρὸς θεὸν ἀκήρατον ἔτι σέβας τηροῦντες ἔχουσι λίαν ἐρωτικῶς τῆς ἐς τὰ δόγματα χρείας τε καὶ ζητήσεως. ἢ που σχετλιώτερον μέχρι θανάτου τοῖς ἐντεῦθεν ἐνηθληκότας δεινοῖς ἡμᾶς ὑπὲρ εὐσεβείας περιβλέπτοις πράξεσιν ἰδίᾳ τε καὶ δημοσίᾳ, ἔπειτα ῥαστώνης δοῦναι γαστρί, σιωπῶντας καὶ ὥσπερ ἀωρίαν κατεγνωκότας, ὅσα πάσης ὥρας πέφυκε καὶ πάσης ἄξια σπουδῆς. δι' ἃ δὴ καὶ ἐπανιτέον ὅθεν ἡμῖν πρὸ βραχέος ὁ λόγος καὶ ὅπῃ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τὸν δρόμον ἀνεπεπαύκει. Τοῦ γὰρ χειμῶνος ἐκείνου πάνυ σκληροῦ γενομένου διὰ τὸ πάνυ τι πλείστην καὶ ἐπὶ πλεῖστον καταρραγεῖσαν χιόνα πᾶσαν σχεδὸν ἑαυτῆς οἰκίαν ἐμπλῆσαι, ἐπὶ πλέον ὁ βασιλεὺς τῇ Τενέδῳ ἐνδιατέτριφε, τά τε ἄλλα διοικῶν, καὶ πάντων μάλιστα τὴν εἰς τὸ ἔπειτα τοῦ βασιλέως γυναικαδέλφου Ματθαίου φυλακὴν ἐν φροντίδι μεγίστῃ ποιούμενος. ἔδοξεν οὖν ἀπενεχθέντα εἰς Μιτυλήνην ἐκεῖ παρὰ Καταλούζῳ φυ 3.504 λάττεσθαι τῷ Λατίνῳ, ὃς ἐπ' ἀδελφῇ γαμβρὸς ὑπάρχων τῷ βασιλεῖ πάσης ἐπετρόπευε Λέσβου τῆς νήσου. οὗ γενομένου ἀπῄει μὲν καὶ ἐς Φώκαιαν αὖθις διὰ τὸν τοῦ Ὑρκανοῦ παῖδα ὁ βασιλεύς, ἐπανῆκε δ' οὐδὲν ὧν ἐβούλετο πεπραχώς. καὶ ὁ χειμὼν ἐν τούτοις ἐτελεύτα. ἐπανεληλυθότος δ' ἐς Βυζάντιον αὖθις τοῦ βασιλέως ἐκεῖθεν, ἦρος ἤδη ἀρχομένου, κατῄει καὶ ὁ βάρβαρος Ὑρκανὸς ἐκ τῶν ὑψηλοτέρων τῆς Βιθυνίας μερῶν ἄχρι τῶν παραλίων τῆς Χαλκηδονίας ἠπείρου, καὶ ὡμίλησεν ἐκεῖθεν τῷ βασιλεῖ καὶ ἐκοινολογήσατο περὶ τοῦ υἱέως αὖθις, οὐκ αὐτοπροσώπως ἀλλὰ δι' ἀκατίων καὶ πρέσβεων ἀπὸ βραχέος πάνυ τοῦ διαστήματος, ἐγγυτέρω γενομένου τοῦ βασιλέως διὰ ῥαστώνην τῆς χρείας, καὶ μετὰ τῶν οἰκείων ἐπάνω τοῦ πύργου τὴν σκηνὴν πηξαμένου, ὃς ἐν μέσῳ τῆς μεταξὺ θαλάττης ἐκ παλαιοῦ πεπηγὼς Ἄρκλα καλεῖται πρὸς Βυζαντίων. ὅσα μὲν οὖν καὶ οἷα ἦν ἅπερ σφίσιν εἴρηταί τε καὶ ἐπήγγελται τηνικαῦτα διὰ τῶν μεταξὺ πρέσβεων, ἡμέρας ἀνηλωκόσιν ἐνταῦθα τρεῖς, καὶ οἵας πρὸς ἀλλήλους τάς τε δεξιώσεις καὶ φιλοφροσύνας πεποίηνται, οὐκ ἀναγκαῖον διεξιέναι καθ' ἕκαστα· τὸ δ' οὖν τῆς ἐνταῦθ' ὁμιλίας συμπέρασμα ἦν, ὅτι δεδώκασιν ἀλλήλοις ἐγγύας ἐπὶ θυγατρὶ γενέσθαι γαμβρὸν τῷ βασιλεῖ τὸν ἐλευθερωθησόμενον τοῦ Ὑρκανοῦ παῖδα, καὶ ἅμα εἶναι διηνεκεῖς καὶ ἀλύτους σπονδὰς μεταξὺ Ῥωμαίων τε καὶ βαρβάρων. κἀπὶ τούτοις χρήματα εἰληφὼς ὁ βασιλεὺς οὐκ ὀλίγα πρός τε τοῦ Ὑρκανοῦ 3.505 καὶ ἅμα πρὸς Βυζαντίων, ἔρανον πεπραχότων κοινῇ, πλήρεσιν ἱστίοις ἄρας κατέπλευσεν αὖθις ἐς Φώκαιαν. καὶ χρήματα δοὺς τῷ Καλοθέτῳ μέχρι τῶν ἑκατὸν χιλιάδων ἔγγιστα, καὶ ἅμα ἀξιωμάτων τοῦτον κοσμήσας λαμπρότησιν, ὀψὲ καὶ μόλις εἰλήφει τὸν ζητούμενον παῖδα τοῦ Ὑρκανοῦ, καὶ ἐπανῄει χαίρων ἐς τὸ Βυζάντιον. καὶ ἦν τηνικαῦτα τὸ ἔτος ἐν ταῖς ἀκμαῖς τοῦ θέρους, ὅτε δὴ περὶ ἅλωνας καὶ σίτου κομιδὴν ἀνάγκη συνήλαυνεν ἀσχολεῖσθαι πάντας οἷς ἔργον οἱ πόνοι γῆς, εἰρήνης ἄρτι παντοδαπῆς περιχορευούσης τὰ Ῥωμαίων πράγματα. καὶ μέχρι μὲν ἐς Βυζάντιον ὁ πλοῦς ἦν ἐπανιόντι τῷ βασιλεῖ, μία τριήρης, ἡ βασιλικὴ ναυαρχίς, ἐκόμισεν ἄμφω, τόν τε βασιλέα καὶ τὸν Ὑρκανοῦ παῖδα· αἳ δ' ἄλλαι τριήρεις περιπλέουσαί τε καὶ παραπλέουσαι ἐν ᾠδαῖς ἦσαν πάνυ χαιρούσαις, τὴν ἐπηγγελμένην πρὸς τοῦ τῶν βαρβάρων ἡγεμόνος εἰρήνην οὐκέτ' ἐν ἐλπίδων σκιαῖς καθεύδουσαν βλέπουσαι, ἀλλ' εἰς φῶς προεληλυθυῖαν ἤδη κατάστασιν πρακτικὴν ἀπορρήτοις προνοίαις τοῦ φιλανθρώπου θεοῦ. οἵας μὲν οὖν τὰς βασιλικὰς φιλοφροσύνας καὶ δεξιώσεις ἐν εὐωχίαις καὶ ὅσον τὸ μεγαλοπρεπὲς ἐν ταῖς τῶν ἐνδυμάτων συχναῖς ἀλλαγαῖς ἐνεδείξατο πρὸς τὸν τοῦ Ὑρκανοῦ παῖδα, γαμβρὸν αὐτὸν ἀποκαλῶν καὶ υἱόν, καὶ ὅσα ἐπὶ τούτοις φιλεῖ τὸ ἀνθρώπινον καὶ δημόσιον ἔθος καὶ λέγειν καὶ δρᾶν, περιττόν μοι διεξιέναι δοκεῖ· γνώριμα γὰρ ἂν εἴη πᾶσι καὶ σιωπώμενα, τῶν κοινῶν ἐννοιῶν καὶ τῶν συντρόφων ἐθισμῶν τὴν τῆς ἐνταῦθα γνώσεως ὕλην ἄφθονον χορη 3.506 γούντων αὐτόθεν ἑκάστοις, ἐκ τῶν τοῦ βίου πολυειδῶν πραγμάτων διδασκομένοις ἀεί, καὶ ἀναλεγομένοις τὴν τῶν ἑκάστων ἐμπειρίαν εἰς ἓν ἠθροισμένον συνέσεως ἔμπρακτον σύστημα. ὅσα δ' ἄρτι καταπεπλευκότων ἐς Βυζάντιον τετίμηκε τοῦτον ὁ βασιλεύς, θεωμένων τῶν Βυζαντίων καὶ ὅσοι ἐξ ἀλλοδαπῶν παρῆσαν χωρῶν καὶ πόλεων, παρέλκον καὶ ταῦτα διεξιέναι μοι νενόμισται· εἶδον γὰρ ἅπαντες ὡς ἔφιππος ἔφιππον ὁ βασιλεὺς τὸν βάρβαρον εἰσήνεγκε τὰς βασιλείους αὐλάς, ὃ δὴ μόνοις ἐφεῖται μετὰ βασιλέα βασιλέων παισί τε καὶ ἀδελφοῖς· πλὴν ὅτι αἰσθόμενος ὁ βάρβαρος τὸ τῆς τιμῆς ὑπερβάλλον, καὶ οἷον



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

αἰδεσθείς, τὸ ἀκούσιον τῆς εἰσαγωγῆς εὐθὺς ἐκ τῶν βασιλείων πυλῶν ἐνεδείκνυτο, ἀντιτείνων καὶ ἀνθέλκων τὴν καθέλκουσαν ἐκ χειρὸς χεῖρα τοῦ βασιλέως, καὶ ἐπέχων τὰς ἡνίας οὗπερ αὐτὸς ἐπωχεῖτο ἵππου, καὶ γλώττῃ πάσῃ δεόμενος ἀφεθῆναι. ὅμως οὕτω δυσανασχετῶν καὶ ἀχθόμενος καὶ οἷον ἀφηνιάζων ἧκε μέχρι καὶ ἐς τὸ μέσον τῆς βασιλικῆς αὐλῆς. ἐνταῦθα δὲ καὶ μὴ πάνυ τι βουλομένου τοῦ βασιλέως ἀπεπήδησέ τε τοῦ ἵππου πρὸς γῆν, καὶ τὰς ἡνίας τοῦ βασιλικοῦ χειρωσάμενος ἵππου ἴθυνεν ἄχρι τοῦ βασιλικοῦ πεζευτηρίου. ἔπειτα συνεισῄει τῷ βασιλεῖ πρὸς τοὺς βασιλικοὺς θαλάμους· ἔνθα δὴ καὶ τὴν βασιλίδα Ἑλένην ἰδὼν δουλικῷ τε αὐτῇ τὴν προσκύνησιν ἀπέτισε σχήματι, καὶ ἅμα τοιάδε ἐφθέγξατο ῥήματα. "ἐγώ" φησι "διὰ τρόπους οὓς ὁ τῶν ὅλων οἶδε δημιουργὸς καὶ δε 3.507 σπότης, ἐξαίφνης ἐγεγόνειν αἰχμάλωτος, ἐκ μέσης ἑστίας εἰπεῖν καὶ πατρίδος αὐτῆς ἁρπαγείς, καὶ τὰ μέγιστα ἐπεπόνθειν φεῦ τῶν δεινῶν. ἐπεὶ δὲ πολλοὺς οὑμὸς αὐθέντης οὗτος καὶ βασιλεὺς καὶ μάλα τι πολυτρόπους ὑπὲρ τῆς ἐμῆς ἐλευθερίας κατεβάλετο πόνους καὶ δρόμους, καὶ χειμώνων ὑπέμεινεν ψύξεις μακρῶν καὶ θέρους καύσωνας δυσκαρτέρητον ἐν μέσῃ θαλάττῃ φέροντας κάμινον, καὶ οὕτω με τῶν δεσμῶν τῆς αἰχμαλωσίας ἐξείλετο, ἄξιον μὲν εἰς ἀμοιβὴν ἀποχρῶσαν οὐκ ἄν ποτε σχοίην (ὑπὲρ γὰρ ἐμὲ τοῦτό γε), τὸ δ' οὖν εἰς δύναμιν ἧκον ἐμήν, οὐκ ἂν δυναίμην ἀρνεῖσθαι μὴ οὐχ ἅπαν τελεῖν τὸ εἰκὸς καθ' ἅπαντας τρόπους ὁρμῆς καὶ θελήσεως διὰ παντός μοι τοῦ βίου." ταῦτα δὴ καὶ τοιαῦτα φθεγξάμενος, καὶ ἀκούσας ὁπόσα χρεών, πρὸς τὴν αὐτῷ γε ἀπολεχθεῖσαν ἀπῄει σκηνήν, οὐκ ἔξω τῶν βασιλείων ἀλλὰ τῆς βασιλικῆς ἑστίας ἐγγύς. τὰς δ' ἐπὶ τούτοις τῶν ἐνδυμάτων συχνὰς καὶ λαμπρὰς ἀλλαγάς, καὶ τὰ ποικίλα χαρίσματα νῦν μὲν τῆς βασιλίδος νῦν δὲ τοῦ βασιλέως νῦν δὲ τῶν ἐνδόξων καὶ εὐγενῶν τῆς βασιλείας ἀνδρῶν, καὶ ταῦτα τῶν ἥκιστα ἀναγκαίων μοι λέγειν δοκεῖ, ναὶ μὴν καὶ ὅσα περὶ λουτρῶν ἀναπαύσεις καὶ τραπεζῶν πολυτέλειαν πέφυκεν· ἃ πάντα πᾶσι γινωσκόμενα σιγᾶν παραινεῖ. Ἐκεῖνο δ' ἄξιον μᾶλλον θαυμάσαι. ποῖον δὴ τοῦτο; τὴν τοῦ βασιλέως φημὶ μεγαλοψυχίαν, πῶς μεταξὺ τῶν τοιούτων τέρψεων βραχὺ νοσῆσαν τὸ διετὲς αὐτοῦ βρέφος καὶ 3.508 τεθνηκὸς οὐκ ἐσάλευσε τῶν αὐτοῦ φρενῶν τὰς κρηπῖδας, οὐδ' ἀθυμίαν ἀνήκεστον εὐθυμίας ἀλλάξασθαι προσκαίρου παρέπεισεν· ἀλλ' αὐτοσχέδιον ξενηλασίαν μηχανησάμενος αὐθημερὸν θρηνούντων ἅμα καὶ θρηνουσῶν, ἐπὶ τῆς προτέρας αὖθις κατέστησε θυμηδίας τὰ πράγματα, καὶ προσκαλεσάμενος μετὰ τρίτην ἐκεῖθεν ἡμέραν τὸν νέον μνηστῆρα τὸν βάρβαρον κατά τι κρατῆσαν ἔθος ἐκ παλαιοῦ, τὴν μνηστευομένην ἔδειξεν αὐτῷ κόρην πρὸς δέκατον ἄρτι προβαίνουσαν ἔτος. τούτων δ' οὕτω διῳκημένων, ἐπειδὴ τὴν ἐς τὸν Ἀστακηνὸν κόλπον ὁ βασιλεὺς ἀκήκοε κάθοδον ἐκ Νικαίας τοῦ Ὑρκανοῦ, ἐξέπλευσεν εὐθὺς σύν γε τῷ τοῦ Ὑρκανοῦ παιδί, καὶ ἧκε δευτεραῖος ἐκεῖσε καὶ οὗτος, ἀποδιδοὺς τῷ πατρὶ τὸν παῖδα καὶ ἅμα ἀξιῶν τὰ σύμβολα τῆς διαδοχῆς τῆς τῶν Βιθυνῶν ἀρχῆς τήμερον αὐτῷ ἐγχειρίσαι· δίκαιον γὰρ εἶναι καὶ ὡς τῶν ἄλλων παίδων μᾶλλον αὐτῷ ἀγαπωμένῳ, καὶ ὡς μνηστῆρι τῆς βασιλέως θυγατρός, καὶ ὡς ἀξίῳ τῆς ἀρχῆς διά τε τὸ ἀνδρεῖον τῆς γνώμης καὶ ῥωμαλέον τοῦ σώματος καὶ πρός γε τὸ τῆς φρονήσεως δραστικόν. τοῦτο δὴ οὖν καὶ πάλαι βεβουλημένῳ τε καὶ βεβουλευμένῳ τῷ Ὑρκανῷ, ἐπεὶ καὶ τὸν τοῦ βασιλέως συμπέπτωκε τέως ἐρεθισμὸν συνεργὸν τῇ ἐκείνου ταύτῃ βουλήσει γενέσθαι, ῥᾷστα λοιπὸν καὶ τὰ τῆς αἰτήσεως πεπρᾶχθαι ἔδοξεν. ὅθεν καὶ στρατιωτῶν Βυζαντίων συχνοί τινες, καὶ ἅμα τῶν εὐγενῶν ἀνδρῶν οὐκ ὀλίγοι, τοῖς βαρβάρων ἀναμὶξ στρατιώταις τὸν τοῦ Ὑρκανοῦ προύπεμψαν παῖδα, σύν γε κυμβάλοις καὶ τυμπάνοις καὶ 3.509 ἐπισήμῳ καὶ ἀρχικῇ σημαίᾳ, μέχρι πόλεως τε καὶ ἑστίας τῶν ἐν Βιθυνίᾳ περιβλέπτων τε καὶ ἐνδόξων μιᾶς· Νίκαια ταυτησὶ τὸ ἐπώνυμον· ἔνθα δὴ πάντες συνῄεσαν Βιθυνοί, ὅσοι τε τῶν βαρβάρων καὶ ὁμοφύλων αὐτῷ, καὶ ὅσοι μιξοβάρβαροι, καὶ πρός γε ὅσους τῶν ὁμοφύλων ὄντας ἡμῖν ὅπως ποτὲ τοῖς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

βαρβάροις ἡ τύχη δουλεύειν ἠνάγκασε, δῶρα φέροντες παντοδαπά, πρόβατα καὶ βόας καὶ ἔπιπλα καὶ τοιαῦτα ἄττα πάμπολλά τε καὶ πολυειδῆ. ὀλίγαις δ' ὕστερον ἡμέραις οἱ προπέμψαντες ἐπανῆκον Βυζάντιοι μεθ' ὧν προσῆκεν ἐκεῖθεν χαρίτων καὶ δώρων. Καὶ ταῦτα μὲν τοῦτον ἔσχε τὸν τρόπον, καὶ τὸ θέρος ἐν τούτοις ἐτελεύτα, ξηρὸν ἐς τοσοῦτον γενόμενον καὶ αὐχμῶδες καὶ παντάπασιν ἄνικμον ὡς καὶ ἀπογνώσεως ἤδη παρασχέσθαι τοῖς ἀμπελουργοῖς ὑπονοίας· ἔσεσθαι γὰρ οἴνου μακράν τινα σπάνιν καὶ ἀφορίαν ᾤοντο. τὸ δ' ἐς πᾶν ἀπέβη τοὐναντίον, ὡς ἀνωμολογημένον ἅπασι γεγενῆσθαι θαῦμα ἐπὶ θαύματι τοῦτο παρὰ τοῦ κρείττονος. πρῶτον μὲν γὰρ ἦν ἐκεῖνο θαῦμα θεῖον καὶ μέγιστον, ἐν καιροῖς τοιούτοις, ὅτε τὸ ἀκμαιότατον τῆς βαρβαρικῆς ἰσχύος τὴν Ῥωμαίων πάλαι πολύν τινα χρόνον ἐπιβοσκόμενον γῆν, μικροῦ καὶ αὐτὰς Βυζαντίων τὰς πύλας ἐγκέκλεικεν, ὡς ἀοίκητον εἶναι καὶ ἄβατον ἐρημίαν τὰ ἔξω πυλῶν ἅπαντα, ἔπειτα νεύσει θεοῦ παράδοξόν τινα καὶ ἀπροσδόκητον ἐξαίφνης ἐκ τῆς τοῦ παιδὸς Ὑρκανοῦ κατασχέσεως Ῥωμαίοις ἐλευθερίαν γενέσθαι, ὡς πᾶσι βάσι 3.510 μόν τε καὶ ἥμερον ἐν βραχεῖ τὴν πρὶν ἀγρίαν ἐκείνην καὶ λῃστῶν γέμουσαν Θρᾴκην. δεύτερον δ' ὅτι τοῦ θέρους ἀνίκμου πάνυ τι λίαν φανέντος, τοσοῦτον οἴνου ταῖς ἀμπέλοις πλῆθος καρποφορῆσαι συμπέπτωκεν ὡς μηδ' ἀποχρῶντα τοῖς πολλοῖς ὑπάρχειν εἰς ὑποδοχὴν ἀγγεῖα· διπλάσια γὰρ καὶ τριπλάσια τοῖς πλείστοις ἢ κατὰ τὴν πέρυσι γέγονε γεωργίαν, ἔστι δ' οἷς καὶ ἐς τὸ τετραπλάσιον ἀνήχθη, ὡς κοινὴν ἅπαντας δόξαν κἀξ ὅλης εὐχαριστίαν ψυχῆς τῷ τὰ μέγιστά τε καὶ παράδοξα τοῖς ἐς τὰ τῆς ἀπογνώσεως ἔσχατα ἐρριμμένοις ἀπροσδόκητόν τινα καὶ πάνυ τι θαυμασίαν παρεχομένῳ τὴν ἔγερσιν, κἀκ τῶν ἀβύσσων τῆς γῆς ἀνυψοῦντι, κἀκ πηλοῦ ἰλύος ἀνάγοντι καὶ ἐπὶ πέτραν ἀτίνακτον τοὺς πόδας ἱστῶντι τῶν λογισμῶν. Εἶεν. ἄρτι δ' ἀρχομένου τοῦ φθινοπώρου διατριβῆς εἵνεκά τινος καὶ ψυχαγωγίας μετρίας ἄχρι Σηλυμβρίας ἐξεληλυθότι τῷ βασιλεῖ πρόσεισιν ἐκ Βιζύης Μανουὴλ ὁ Ἀσὰν τὸ τοῦ δεσπότου ἀξίωμα περικείμενος, ὃ πρὸ δυοῖν ἐτῶν εἰλήφει πρὸς Ματθαίου τότε βασιλεύοντός τε καὶ κατὰ Θρᾴκην ὁμιλοῦντος αὐτῷ συμμαχοῦντι κατὰ τῶν Βυζαντίων. ἧκε δὲ τὸν τράχηλον δεδεμένος οἴκοθεν καὶ τυχεῖν συμπαθείας δεόμενος ἅτε ἐπταικὼς οὐ μικρὰ διὰ τὰς τῶν τριῶν ἤδη ἐτῶν ἐπιδρομὰς καὶ καταδρομὰς καὶ λεηλασίας, ἃς ἐκ Βιζύης ὁρμώμενος ἐνεποίει τοῖς προαστείοις τῶν Βυζαντίων, κάων καὶ ληϊζόμενος ἀγροὺς καὶ γεωργίας ἁπάσας αὐτῶν, 3.511 καὶ προσδοκῶν καὶ μηχανώμενος οἷον δή τινα Παλαιολόγου κίνδυνον τοῦ βασιλέως. ἐπεὶ δὲ τὰ τοιαῦτα δεῖται χρημάτων εἰς ἐπίμονον μάχην καὶ πολυχρόνιον, ὃ δὲ καὶ πολυχρόνιον, τοῦτο καὶ πολυδάπανον, ἃ δ' ἐξ ἐπιδρομῆς αὐτῷ καὶ λαφύρων ἠθροίζετο καθ' ἡμέραν, μόλις εἰς αὐθημερινὴν ἐξήρκει τοῖς στρατιώταις δαπάνην, χορηγεῖν δ' οὐκ εἶχεν αὐτὸς ἐξ ἀφθόνων οἴκοθεν πηγῶν, ἔλαθε, πρὶν ὧν ἐπολέμει καὶ ὧν ἐφίετο κινδύνους ἰδεῖν, κινδυνεύων αὐτὸς καὶ πρὸς πενίαν ἀκαταγώνιστον καταρρέων ὁσημέραι. διὰ δὴ ταῦτα τῷ βασιλεῖ προσεληλυθώς, καὶ ἧς ἐδεῖτο συγγνώμης τυχών, καὶ ἅμα τὴν ἐπιτροπὴν καὶ διοίκησιν τῆς Βιζύης ἔχειν ὡς πρότερον τὸ ἐνδόσιμον ἤδη καὶ πρὸς τοῦ βασιλέως αὖθις εἰληφώς, ἐκεῖσε ἐπανῄει χαίρων καὶ ἀγαλλόμενος ὅτι φροντίδων καὶ φόβων νύκτωρ καὶ μεθ' ἡμέραν τὴν αὐτοῦ ψυχὴν σπαραττόντων ἀπήλλακτο. Ἡμῖν δ' ἐν ὀγδόῳ καὶ εἰκοστῷ τῆς παρούσης Ῥωμαϊκῆς ἱστορίας περὶ τῆς παρὰ τὰ ὑπερβόρεια μέρη τῆς οἰκουμένης κειμένης Ῥωσσίας ἔνια διεξεληλυθόσι, καὶ ὅσα τῇ ἐνεστώσῃ χρείᾳ περισπούδαστα ἦν τηνικαῦτα, διὰ πολλῶν αὖθις ἤδη τῶν μεταξὺ παλινδρομεῖν ἀναγκαῖον γίνεται, καὶ συνείρειν τοῖς εἰρημένοις ἐκείνοις ἐκεῖ ἃ μεταξὺ λελάληταί τε καὶ γεγένηται· οὕτω γὰρ ἑκάστων ἑκάστοις κατὰ τὴν δέουσαν ἁρμοζομένων ἀναδρομήν, οὐκ ἄν ποτ' ἀπᾴδειν ἐθελήσειεν οὐδὲ μάχεσθαι οὔτε μέρη μέρεσιν οὔθ' ὅλα μέρεσιν οὔθ' ὅλοις ἃ τῶν ἄλλων πέφυκεν εἶναι μέρη, ἀλλ' εὔρυθμόν τινα καὶ μάλα 3.512 τι ἔμμουσον οἶμαι φανήσεσθαι τὸ τῶν ὑποθέσεων


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

συμμιγὲς καὶ πολύπλοκον, εἰς ἕνα τῆς ἱστορίας εἱρμὸν ἀναγόμενον. εἴρηται τοίνυν ἡμῖν ἀνωτέρω ὡς ἔθνος ἐστὶ πολυανθρωπότατον ἡ Ῥωσία, καὶ ἡ πρὸς αὐτῶν οἰκουμένη γῆ μῆκος καὶ πλάτος οὐ πάνυ τι σφόδρα ῥᾳδίως ἀριθμεῖσθαι ἐθέλουσα, καὶ πλοῦτον ἐτήσιον ἀεὶ γεωργοῦσα καὶ καρπουμένη πάνυ μακρὸν καὶ πολύχουν· ἄσημός τε γὰρ χορηγεῖται πλεῖστος ἐκεῖθεν, μεταλλευόμενος ἐκ τῶν ἐγχωρίων, καὶ ἅμα τῆς γῆς ἐκείνης πολλῷ τῷ ψύχει κρυσταλλουμένης διὰ τὴν ἀποχὴν τοῦ ἡλίου, ζώων, ὡς τὸ εἰκός, πηγεσιμάλλων ὑπὸ τῆς φύσεως γίνεται πλῆθος, ὧν θηρευομένων αἱ σισύραι πρὸς τῶν ἐκεῖ κατοικούντων διὰ πάσης ἄλλης πεμπόμεναι χώρας καὶ πόλεως πολλὰ πορίζονται σφίσι τὰ κέρδη. καὶ μὴν κἀκ τῶν ἐξ ὠκεανοῦ γειτονοῦντος θηρευομένων ἰχθύων ἔστιν ἃ τῶν ὀστῶν τέρψιν χρειώδη παρέχονται σατράπαις καὶ ἄρχουσι καὶ βασιλεῦσι καὶ πᾶσι μικροῦ τοῖς ἐνδόξοις κατὰ τὸν βίον καὶ περιβλέπτοις ἀνθρώποις. ἐῶ λέγειν ὅσα πρὸς τούτοις ξενίζοντα δαψιλέστερον ἐκεῖθεν ἐκείνοις οὑτωσὶ παρέχει τὸν πλοῦτον. τοῦτο τοίνυν τὸ ἔθνος ἀφ' οὗ τῇ εὐσεβεῖ προσερρύη θρησκείᾳ καὶ τὸ τῶν χριστιανῶν θεῖον ἐδέξατο βάπτισμα, ὑφ' ἑνὶ τυποῦσθαι τέτακται καθάπαξ ἀρχιερεῖ, κατὰ τὸ ἀνάλογον τῶν ἑκάστοις ἑκασταχῇ προσηκόντων εἰς ἐπισκοπὰς διαφόρους καὶ μείζους καὶ ἥττους διανειμαμένῳ τὴν τοῦ παντὸς ἔθνους ἐκκλησιαστικὴν διοίκησιν· καὶ εἶναι τὸν πρῶτον τοῦτον ἀρχιε
3.513 ρέα τῷ τῆς Κωνσταντινουπόλεως ὑπείκοντα θρόνῳ, καὶ ὑπὸ τούτου τὰ νόμιμα δέχεσθαι τῆς ἀρχῆς τῆς πνευματικῆς· εἶναι δ' αὐτὸν καὶ νῦν μὲν ἐκ τῶν τῇδε φύντων ὁμοῦ καὶ τραφέντων, ἀμοιβαδὸν τὴν ἐκεῖ προεδρίαν ἀεὶ διαδεχομένων, μετὰ τὸν προτέρου θάνατον παραλλάξ, ὡς ἂν τὸ τοῖν δυοῖν γενοῖν συναφὲς οὑτωσὶ βεβαιούμενον καὶ κυρούμενον βεβαιοτέραν ἐς τὸ ἀκήρατόν τε καὶ ἀκραιφνὲς καὶ τὴν τῆς πίστεως σύμπνοιαν ἔχῃ φυλάττειν ἀεὶ καὶ μονιμωτέραν τὴν οὐσίαν καὶ δύναμιν. καὶ ἵνα τἀν μέσῳ παρέλθω, τῆς ἐνεστώσης ἡμᾶς ἀντιπερισπώσης ἅμα καὶ ἀνθελκούσης χρείας, ἣν πρὸ ἐτῶν ἤδη συχνῶν ἐκ τῶν καθ' ἡμᾶς Ναζιραίων ἐκεῖσε πεμφθεὶς ἐπίσκοπος, συνετὸς ἀνὴρ καὶ θεοφιλής, Θεόγνωστος τοὔνομα· καὶ ἦν ἀποκεκληρωμένον ἐκ πολλοῦ τοῦ παρῳχηκότος ἐκείνῳ τῷ ἔθνει τέμενος ἱερὸν εἰς μητρόπολιν Κύγεβον οὑτωσί πως καλούμενον, ὃ δὴ πρὸ βραχέος ἐπιδραμόντων Σκυθῶν τῶν βορειοτέρων ἐρημία κατὰ τὴν παροιμίαν κατέστη Σκυθῶν, ὡς μηκέθ' ἱκανὸν εἰς προεδρίαν καὶ θρόνον ἄξιον εἶναι τοῦ τῆς καθολικῆς ἐπισκόπου Ῥωσίας. διὸ καὶ μεταθέσθαι τὸ σχῆμα τῆς μητροπόλεως ἀνάγκη γεγένηται πρὸς ἕτερόν τινα τῇ παρούσῃ προσήκοντα χρείᾳ τόπον. τὸ γὰρ ἔθνος ἅπαν ἐκεῖνο τῶν Ῥώς, πολυανθρωπότατόν τε ὂν καὶ πολλούς τινας τόπους καὶ διαφόρους ἐκ παλαιοτέρων τῶν χρόνων νεμόμενον, εἰς τρεῖς που καὶ τέτταρας ἔφθη διαιρεθὲν τὰς ἀρχὰς καὶ ἡγεμονίας ἐκ πολλοῦ. τοῦ δὲ θείου τῆς εὐσεβείας κηρύγματος ἐν ὑστέροις καιροῖς ἐπιδεδημηκότος ἐκεῖ, τὰ πλείω μὲν αὐτῶν αὐτοῦ γε ἐδράξαντο μέρη, ἅμα 3.514 μὲν θειοτέρου πρὸς τὸ θερμότερον ἑαυτοὺς ἐμπλήσαντες ζήλου, ἅμα δὲ καὶ τὸ θεῖον ἀπραγμόνως δεξάμενοι βάπτισμα· ἔνια δ' ἐνιαχοῦ καὶ σποράδην τῆς προτέρας ἔμειναν ἔτι κακίας ἐχόμενα. τῶν οὖν τριῶν τῇ εὐσεβείᾳ προστιθεμένων ἄνωθέν τε καὶ ἐξ ἀρχῆς ἡγεμονιῶν ἐκεῖ τετύχηκέ πως ἡ ῥηθεῖσα μητρόπολις, τὸ Κύγεβον δηλαδή, τῇ τοῦ ἑνὸς ἡγεμονίᾳ παροικοῦσα καὶ πλησιόχωρος οὖσα ᾧ τὸ τῶν Λιτβῶν ὑπήκοον ἅπαν ὑπάρχει γένος, πολυανθρωπότατόν τε ὂν καὶ μαχιμώτατον, πυρσολατροῦν δὲ κατὰ τὸν σφῶν ἡγεμόνα· ὃ δὴ καὶ τὴν μετάθεσιν τῆς οἰκήσεως εἰς τὸ βέλτιον τὴν μητρόπολιν ἠρέθισε γεγενῆσθαι τέως διὰ τὸ τῆς θρησκείας ἀλλόκοτον, οὐκ οἶδα εἴτ' ὀλίγῳ πρότερον ἢ καθ' ἡμᾶς, εἴτε μακρῷ τινὶ πρότερον ἢ καθ' ἡμᾶς. ὅμως, εἴθ' οὕτως εἴτ' ἐκείνως, εὕρηταί τις ἑτέρα πόλις ἐκεῖθεν ὡς πορρωτάτω κειμένη, ἧς τὴν ἡγεμονίαν ἀνὴρ εὐσεβὴς περιεζώννυτό τε καὶ σεμνῶς τὴν ἀρχὴν διεκόσμει, μέγα πρὸς ἀντιδιαστολὴν ἑτέρου κεκλημένη παρὰ τῶν ἐγχωρίων ἐκεῖ Βολοντίμοιρον. ἐν ᾧ δὴ καὶ τὴν οἴκησιν ἑαυτοῦ τηνικαῦτα καὶ αὐτὸς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τε Θεόγνωστος ὁ ἐπίσκοπος ἔχειν ἔκρινε τοῦ λοιποῦ, καὶ ἅμα ἀσμένως, ᾧ τὰ τῆς ἡγεμονίας ἐκείνης ἀνεῖται τῆς γῆς, προσίετό τε καὶ ἥδετο κομιδῇ, τιμὴν ἑαυτῷ τὴν τοῦ πράγματος ἡγούμενος περιπέτειαν, καὶ δόξαν τῆς οἰκείας ἀρχῆς οὐ πάνυ τι δήπου τῶν ἐρριμμένων καὶ φαύλων· οὐ γὰρ ὡς ἄνθρωπον ἐκ γῆς τὸν ἐπίσκοπον ἑώρα, ἀλλ' ὡς ἄγγελόν τινα τῶν οὐρανίων ἄρτι κα 3.515 ταπτάντα ἀντύγων. καὶ γὰρ καὶ ὁπότε τὴν ἱερὰν αὐτὸν ἔδει μυσταγωγίαν τελεῖν τῷ θεῷ, τοῖς οἰκείοις ὁ ῥὴξ οὑτοσὶ χείλεσι κύπτων ἐκείνου κατεφίλει τὰ ἴχνη καὶ ἁβροτέραις ἠμείβετο δωρεαῖς τε καὶ χάρισιν, ὡς ἐντεῦθεν καὶ τῶν ἄλλων ὁρώντων ὁπόσοι ὑπήκοοι, ἐμιμοῦντό τε καὶ τὴν καλὴν πρὸς ἀλλήλους ἤριζον ἔριν. καὶ ἦν οὐδεὶς ὡς εἰπεῖν ὃς οὐ τῶν ἀμφ' αὐτὸν ἁπάντων ἄλλων τῷ βουλομένῳ τῆς γνώμης ἐς τὴν τοῦ βελτίονος μοῖραν ὑπερέχειν ἔσπευδέ τε καὶ κρατεῖν ᾤετο· καὶ πάντας αὖ τοὺς ἄλλους, εἰ μὴ ἀλλήλων, ἀλλ' ἑαυτοῦ γε τοὺς ἄλλους καθάπαξ τὸ ἧττον ἔχειν ἐφρόνει τε καὶ ἐλογίζετο ἕκαστος. καὶ εἰ μὴ περιφανέστερον ἐδόκει τε καὶ ἦν ἑκάστῳ τὸ εὐσεβὲς πρὸς θεὸν ἢ κατὰ πάντας ὅσοι γείτονες ἦσαν ὁμόφυλοι, ἁπάντων ἐκείνων καθάπαξ ἡττᾶσθαι ἐνόμιζεν. οὕτω φιλόθεον ἄνωθεν καὶ ἐξ ἀρχῆς τὸ ἔθνος ὑπῆρχεν ἐκεῖνο, καὶ οὕτω τι πλείστην παρεῖχε τὴν αἰδῶ τῷ τῆς Κωνσταντινουπόλεως θρόνῳ μέχρι καὶ ἐς τὴν Καντακουζηνοῦ βασιλείαν. ἀφ' οὗ δὲ τήν τε βασιλείαν ὁμοῦ καὶ τὴν ἐκκλησίαν αὐτὸς ὡς μὴ ὤφελε τετυράννηκε, τά τε δόγματα τοῦ δέοντος ἐξέστησέ τε καὶ πρὸς αἱρέσεις πολυπλόκους μεθηρμόσατο, καὶ πατριάρχας οὓς αὐτοῦ τῇ κακοδοξίᾳ προσῆκε προυβάλετο (ἃ δὴ καὶ λέγειν μὲν διὰ πάνυ βραχέων ἐνταῦθα ἥκιστά μοι περίεστι, λελέξεται δ' οὖν προϊόντος τοῦ λόγου τῆς ἱστορίας, εἰ καὶ μὴ ἀποτάδην καὶ ἀποχρώντως ἀλλ' ὅσον τῆς ἑξῆς ῥηγνυμένης ἐκεῖθεν διαστροφῆς τὰς πρώτας αἰτίας εἰδέναι), τούτων δὲ 3.516 οὕτως ἐχόντων, ἀκριβῶς μὲν οὐκ ἔχω λέγειν εἴτ' αὐτὸς πρῶτος τὴν τῆς μητροπόλεως ἐκείνης μετάθεσιν ὁ Θεόγνωστος οἴκοθεν πέπραχεν, εἴτε καθεστηκότι καὶ αὐτὸς ἐχρήσατο ἐπεληλυθὼς τῷ πράγματι· ᾤκησε δ' οὖν ὅμως καὶ αὐτὸς ἐπὶ τῆς μητροπόλεως καὶ τῆς ἐπαρχίας ἐκείνης, ἣ μέρος τῆς μεγάλης ἐστὶ Ῥωσίας, ἧς ὁ εὐσεβὴς ἐκεῖνος ῥὴξ ἡγεμὼν ἐτύγχανεν ὤν, καὶ ἦν ἐπιεικῆ βίον ἄγων ἐκεῖ, καὶ τοιοῦτον οἷον εἰκὸς ἐπισκόπῳ θεοφιλεῖ διάγειν, μονονουχὶ βοῶντα τὴν ἀρετὴν αὐτόθεν τῆς τοῦ βίου σεμνότητος, καὶ κοσμοῦντα μὲν τὴν εὐσέβειαν κοσμοῦντα δὲ τὴν μεγαλόπολιν ταύτην, ἐξ ἧς αὐτὸς ἔφυ τε καὶ τέθραπται, καὶ ἣ τοῦτον ἐκεῖσε πεπομφέναι προείλετο. ὡς καὶ ὑπὸ τῆς τοιαύτης τοῦ ἀνδρὸς ἀρετῆς αὐθόρμητοι πάντες τοῦ ἔθνους ἐκείνου ἄνδρες τε καὶ γυναῖκες καὶ νέοι καὶ γέροντες πρὸς τὸν τοῦ καλοῦ ζῆλον ἠγείροντο, καὶ πλέον αὐτῶν οἱ τούτων ἡγεμόνες, ἐξ ὧν καὶ ἐς Βυζάντιον χρήματα ἀπεστάλησαν ἀποχρῶντα πρὸς οἰκοδομίαν τοῦ πεπτωκότος τηνικαῦτα μέρους τοῦ μεγίστου νεὼ τῆς ἁγίας τοῦ θεοῦ σοφίας· περὶ ὧν κἀν τῷ κη´ τῆς ἱστορίας λόγῳ διείληπταί μοι τά τε ἄλλα, καὶ ὡς καλῶς μὲν ἐκεῖθεν ἐπέμφθησαν, οὐ καλῶς δ' οὔτ' ἐνταυθοῖ διῳκήθησαν οὔτ' ἐκεῖσε τὴν φήμην ἀξίαν τοῖς πεπομφόσιν ἀντιπεπόμφασιν, ἀλλ' εἰς οἰκεῖον ἄχαρι κέρδος βωμολοχήσαντες καὶ νειμάμενοι, πρόφασιν δεδώκασι τοῖς ἀκούουσιν αἰσχρὰν κομιδῇ καὶ σφόδρα λοιδορίας ἁπάσας προσκαλουμένην, καὶ τἀναντία λογίζεσθαι 3.517 πείθουσαν τῶν προτέρων· ὅσῳ γὰρ πρὶν ἰσοθέους τιμὰς τοῖς τῆς Κωνσταντινουπόλεως θρόνοις παρεῖχον, τοσούτῳ χαλεπωτάτην ἐξ ἀντιπάλου τὴν νέμεσιν ἀντεδίδουν. καὶ ὁ τρόπος ὃς πρὶν τὴν τοῦ συνειδότος ἐκείνων χειραγωγῶν ἐκόσμει σεμνότητα πρὸς τὸ τῆς ἀκοῆς περίβλεπτον, ἐπιεικῶς ἐρρύη πρὸς τὸ περιφρονούμενον ἀρτίως, εἰ μὴ διὰ πάντων καὶ παντάπασιν, ἀλλὰ διὰ μὲν τῶν πλείστων καὶ ἁπλουστέρων ἐπ' ἔλαττον ἅτε δὴ τῶν τοιούτων μικρὰ συνιέντων, διὰ δ' ἐνίων ὡς ἐπὶ τὸ πλεῖστον ἅτε δὴ βασκάνῳ λογισμῷ καὶ κριτηρίῳ παρεχομένων καὶ οὐχ ὁμοζυγούσας τὰς πλάστιγγας συνορώντων τῆς τε προτέρας φήμης καὶ τῆς κατόπιν ἰούσης ὀψέ. ἀλλ' ἐπαναληπτέον τὸν λόγον. ἔφθημεν γὰρ εἰπόντες τοὺς μὲν τρεῖς τῶν τῆς ὅλης



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Ῥωσίας ἡγεμόνων ὁμοῦ τοῖς σφῶν ὑπηκόοις ὀρθόδοξον ἔχειν σέβας καὶ ἡμῖν ὁμόφρονας εἶναι, τόν γε μὴν τέταρτον καὶ μάλα ἥκιστα· ὃς δὴ καὶ μεῖζον καὶ ἰσχυρότερον ἔχων κράτος κατά τε πλῆθος στρατιᾶς καὶ ὅπλων ἐμπειρίαν ἤδη καὶ τοῖς βορειοτέροις ἀνθίσταται Σκύθαις ἐκ πολλοῦ τοῦ κρείττονος, καὶ τῶν ἄλλων ἐτησίους διδόντων φόρους ἐκείνοις οὐδαμῇ ποτ' αὐτός, ἅτ' ὀχυρούς τινας τόπους οἰκῶν καὶ ἀγχιτέρμονας ἔχων Κελτοὺς καὶ Γαλάτας, οἳ παρὰ τὸν πρὸς ἄρκτους καὶ Θούλην τὴν νῆσον οἰκοῦσιν ὠκεανόν, ὅθεν ζέφυρός τε ἀναρρήγνυται καὶ ὅποι δύνων πορεύεται ἥλιος, μάχιμον ἔθνος ὡς τὰ πολλὰ καὶ οὐ πόρρω που γίνομαι λέγειν ἀνανταγώνιστον. ἀλλ' ἔστιν ἀλλοτριόφρων τε καὶ τῷ ἡλίῳ τὸ τῆς λατρείας σέβας νέμων μέν, ὑπισχνούμε 3.518 νος δ' ἐν τῷ ἄρτι καὶ ὁμόδοξος ἡμῖν κατὰ τὸ τῆς θρησκείας ἔσεσθαι σέβας, εἰ τῷ πρὸς αὐτοῦ πεμφθέντι πρεσβευτῇ Ῥωμανῷ τὴν τῆς ὅλης Ῥωσίας ἐπισκοπὴν καὶ μητρόπολιν ἐγχειρίσαιμεν κατὰ τοὺς νενομισμένους τῆς ἐκκλησίας θεσμοὺς ἐκ διαδοχῆς τοῦ τετελευτηκότος ἀρτίως ἐκείνου Θεογνώστου. ἔστεργε γὰρ αὐτῷ καὶ προσέκειτο λίαν, τοῦτο μὲν καὶ ὡς ἐκ γυναικὸς συγγενεῖ τοῦ κηδεστοῦ ῥηγός, ὃς ὁμοροῦντα μὲν τετύχηκεν ἔχων αὐτόν, εὐσεβὴς δ' ἦν οὑτοσὶ καὶ τοῖς θείοις προσκείμενος δόγμασι καθ' ἡμᾶς, ὡς διὰ ταῦτα φίλον εἶναι κἀκεῖνον Ῥωμανῷ τουτῳΐ, καὶ ἡδέως αὐτοῦ ἀκούειν συχνὰ προσιόντος καὶ παραινοῦντος τὰ τῆς εὐσεβείας καὶ διδάσκοντος τάς τε δὴ τῶν προφητῶν καὶ ἀποστόλων ῥήσεις, ὡς καὶ ἀνὰ στόμα φέρειν κἀκεῖνον αὐτάς. ἔστεργεν οὖν κἀκεῖνος Ῥωμανῷ πῶς μὲν δι' ἐκεῖνα πῶς δὲ διὰ ταῦτα, καὶ μάλιστα ὡς προτελεσθεὶς τὰ τῆς εὐσεβείας ὑπ' αὐτοῦ δόγματα συχναῖς διδασκαλίαις καὶ παραινέσεσι· καὶ ἦν ἐγγὺς τοῦ καὶ τῷ θείῳ τελεσθῆναι βαπτίσματι. ἦν δ' ὁ Ῥωμανὸς οὑτοσὶ τῶν εὐσεβείᾳ καὶ μοναδικῇ πολιτείᾳ καὶ εὐλαβείᾳ συντεθραμμένων ἀνδρῶν, ἱερωμένος τε καὶ πεῖραν ἐξησκημένος τῆς τῶν ἱερῶν βίβλων ἀναγνώσεως ἱκανήν, πέντε που καὶ πεντήκοντα ἐτῶν ἡλικίαν ἄγων ἐγγύς, καὶ εἶδος ἔχων ἐκ φύσεως σεμνὸν κομιδῇ καὶ αἰδέσιμον. καὶ προύβαινεν ἂν εἰς πέρας τὸ πρᾶγμα χρηστὸν περὶ τὸ ἔθνος ἐκεῖνο τῆς θρησκείας ἕνεκα, εἰ ἐγίγνετο τελέως κατὰ τὴν ζήτησιν τοῦ πεπομφότος ἐθνάρχου. ἀλλ' 3.519 ἀντέπραξεν ἡ μηδὲν τῶν χρηστῶν ἐῶσα Ῥωμαίους θεομηνία τελεῖν διὰ τὴν τῆς πολυθεΐας αἵρεσιν, ἣν οἱ τῆς ἐκκλησίας ἄρτι προεστηκότες ἀνόμως εἰσήνεγκαν. εὐθὺς γὰρ χειροτονηθέντος ἐνταῦθα τοῦ Ῥωμανοῦ, ἀθρόον ἐπεφύη τις ἐκεῖθεν ἕτερος, τοὔνομ' Ἀλέξιος, κατεσπουδασμένην ποιούμενος τὴν ἐς Βυζάντιον ἄφιξιν, ὁμοῦ τε σπαρεὶς καὶ ἀναδοθεὶς οὐκ ἐντεῦθεν, ἀλλὰ χρήμασιν ὤνιον πρὸς ἐνίων δῆθεν ἐκεῖθεν δεξάμενος τὴν ἀξίαν ἐπισκόπων, κατὰ τὸ τῶν σπαρτῶν καὶ αὐτὸς αὐθήμερον γιγάντων ἐκεῖνο γένος ὤφθη μητροπολίτης, ἀνὴρ μοχθηρὸς καὶ πανοῦργος καὶ ἔμπληκτος, πάσης τε ἀλλότριος εὐλαβοῦς καταστάσεως, καὶ ἅμα πολλοῖς ἐγκλήμασι καθαιρέσεως ἔνοχος ὤν, ὡς τὰ τῶν ἐγχωρίων ἐκεῖθεν ἐληλυθότα κατόπιν ἐσήμαινε γράμματα. ἀλλὰ χρημάτων πλῆθος κεκομικώς, καὶ δοὺς μὲν Καντακουζηνῷ τῷ τηνικαῦτα βασιλεύοντι, δοὺς δὲ καὶ τῷ τηνικαῦτα πατριαρχεύοντι, τοὔνομα Φιλοθέῳ, ὧν ἐφίεντο δώρων ἑκάτερος, ὧν ἐδεῖτο μετὰ ῥαστώνης αὐτὸς ἀντελάμβανε. καὶ συνελόντι φάναι, ἅπαν ἔφραξε στόμα, καὶ πάσας ἐν τῷ ἀφανεῖ τεθνάναι κατηγορίας ἐκ τοῦ ῥᾴστου κατέπραξε, τὰς μὲν γνώμας σφῶν δουλωσάμενος, τοὺς δὲ νόμους συλήσας καὶ πόρρω μνήμης κεῖσθαι παρωσάμενος. ὅθεν καὶ μεμερίσθαι διὰ ταῦτα συμπέπτωκε τὴν τῆς ὅλης Ῥωσίας μητρόπολιν εἰς δύο μοίρας, εἴς τε Ῥωμανὸν καὶ Ἀλέξιον. καὶ εἴθε ἐνέμενεν ὡς τὴν πρώτην γοῦν ὁ μερισμὸς ἐγεγόνει. ἀλλ' ἀπιόντος Ῥωμανοῦ πρὸς ἣν ἔλαχε 3.520 μοῖραν, πλείω δεδωκὼς Ἀλέξιος χρήματα πλείω καὶ κρείττω καὶ τὴν μοῖραν αὖθις συγκυκήσας ἀνείληφε, ζημιώσας ἐν τοῖς καιρίοις τὸν Ῥωμανόν. διὸ καὶ αὖθις μετὰ βραχὺ πρὸς Βυζάντιον ἐπανεληλυθέναι μεστὸν ἐλπίδων Ῥωμανὸν ἡ ἀνάγκη συνήλαυνεν, ἅτε καὶ μεταπεσεῖν αἰσθόμενον τά τε τῆς μοναρχίας ἐνταῦθα σκῆπτρα πρὸς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Παλαιολόγον καὶ αὐτοὺς τῆς πατριαρχίας θρόνους αὖθις ἐς Κάλλιστον τοὔνομα. ἐληλυθότι δὴ οὖν βοηθεῖν, ὁπόση δύναμις, ἀδικουμένῳ τῶν πάνυ τι σφόδρα κρίνας εἶναι δικαίων ὁ πατριάρχης, ὁμοῦ τοῖς παρατετυχηκόσι τηνικαῦτα ἀρχιερεῦσι, τὰ ἐπὶ τούτοις παρεσκευάζοντο γράμματα καὶ ψηφίσματα. ἀλλὰ πρὶν ἐς πέρας ἰέναι, πάρεστιν αὖθις Ἀλέξιος χρημάτων ἐπιφερόμενος πλεῖστα βαλάντια, δι' ὧν τὴν τοῦ πατριάρχου χειρωσάμενος γνώμην τὰ πρῶτα, ὕλης γηγενοῦς ὑπερφυῶς ὀρέξεσιν ἡλικιῶτιν οὖσαν καὶ δεσμῶτιν οὐκ ἔξω φαυλότητος λογισμῶν, ἔπειτα περιῄει τοὺς ἄλλους ἀναλόγως διδοὺς καὶ δουλούμενος καθ' ἕκαστον ἅπαντας. ἤδη δὲ καὶ τοῖς ἄρχουσι προσιών, καὶ παραβύων ἁβρότερα κέρματα, ῥᾷστα καὶ σφᾶς πρὸς τὸ βουλόμενον εἷλκε, τὸ συγκεχωρηκὸς εἰληφότας ἤδη παρὰ τοῦ πατριάρχου Καλλίστου, ὃς τῶν τῆς ἱερωσύνης κανόνων πρόμαχος εἶναι ὀμωμοκώς, καὶ μὴ προδότης γίνεσθαι τῶν ταύτης θεσμῶν, μηδὲ τὴν ἄπρατον χάριν τοῦ πνεύματος ὤνιον ὡς ἐν ἀγορᾷ προτιθέναι τοῖς κατὰ Σίμωνα τὸν μάγον ζητοῦσιν, ἔπειτα αὐτός τε παραβάτης ὤφθη περιφανής, διακυβεύων τὰ τίμια, καὶ τοὺς ἄλλους προτρεπόμενος ἀπαρακαλύπτως ἐς τὴν τοῦ κακοῦ κοινωνίαν. καὶ διὰ ταῦτα ἀπηνήνατο ἐς προῦπτον 3.521 τὰς πρὶν ὑποσχέσεις ἐκείνας αἳ περὶ τοῦ θείου βαπτίσματος 3.521 ἦσαν αὐτῷ παρεσκευασμέναι σύν γε τοῖς ὑπηκόοις κομιδῇ παμπληθέσιν ὑπάρχουσιν· βέλτιον γὰρ ἔφησεν ἡλίῳ λατρεύειν, κόσμον ὅλον φωτίζοντι καὶ ζωοῦντι καὶ περιθάλποντι, καὶ τῆς τοῦ πάντων εἰκόνος δημιουργοῦ σαφῆ τινὰ φέροντος ἴχνη καὶ σύμβολα, ἢ τῷ τῆς φιλαργυρίας δαίμονι, ᾧ τοὺς τῶν Ῥωμαίων ἀκούω νυνὶ πατριάρχας ἁλίσκεσθαι, εἰ χρὴ κατὰ τὸν τῶν αὐτῶν ἀποφήνασθαι διδάσκαλον, ὃς ὑπισχνουμένῳ τῷ διαβόλῳ δώσειν βασιλείας τε καὶ χρήματα γῆς ἁπάσης, εἰ βούλοιτο προσκυνεῖν καὶ λατρεύειν αὐτῷ, ἐπετίμησέ τε καὶ ἀπεκρούσατο μάλα σφοδρῶς· ὥσθ' ὁ τούτοις ἐκθύμως ἐγκυβιστῶν, καὶ ἀντὶ τούτων αὐτὸν προϊέμενος ὃν εἵλετο δεσπότην ἔχειν καὶ θεόν, ποίων μὲν κολάσεων ποίων δὲ πρηστήρων οὐκ ἄξιος εἴη ἄν, δεσπότου χρηστοῦ τε καὶ εὐεργέτου διάβολον ἀλλαττόμενος ἐχθρὸν καὶ πολέμιον, καὶ οὐδὲ τουτονὶ τὸν ὑπ' ἐμοῦ τιμώμενον ἥλιον αἰδεῖται μάρτυρα τῆς ἀναιδείας δρῶν ἑαυτοῦ, ὅτι τὸν καὶ αὐτοῦ δημιουργὸν γηίνοις ὅλῃ ψυχῆς προαιρέσει προΐεται χρήμασι. σαφῆ γὰρ εἶναι ταύτην ἔγωγε τίθεμαι εἰδωλολατρίαν· τὸν μὲν γὰρ ἥλιον στοιχεῖον ἐξ ἀρχῆς εἶναι κατειλήφεσαν ἄνθρωποι συστατικὸν τῆς τῶν ἐν γῇ πάντων φύσεως· χρυσὸς δὲ καὶ ἄργυρος ἅπας γῆ πατουμένη καὶ τοῖς εὐφρονοῦσι πρὸς μηδὲν ἀγαθὸν χρησιμεύοντα· πῶς γὰρ ἃ μηδ' εἰκόνος εἴδωλον ἡλίου σώζειν δύναται; εἰ δὲ καὶ πρὸς ἀνιέρους καὶ βεβήλους πράξεις κα 3.522 ταδαπανᾷ τῆς φιλαργυρίας τοὺς τρόπους ὁ καὶ προΐστασθαι λαχών, καὶ λαλεῖ μὲν πρὸς ἀργύριον, χρημάτων δ' ὤνιον τὸ τῆς ἱερωσύνης ποιεῖται ἀξίωμα, καὶ τούτων οὐ μικρῶν τινῶν καὶ βραχύτητι περικλειομένων ὄγκου καὶ ἀριθμοῦ πηλικότητι καὶ ποσότητι, ἀλλὰ καὶ τοὺς τοιούτους ὅρους ὑπερβαινόντων τε καὶ ὑπερεκτεινομένων, ποῦ οὐκ ἂν ἐλάσειεν ὕβρεώς τε καὶ ἀτοπίας ἡ ἀκρασία; τίνας δ' οὐκ ἂν ὑπερβαίη Καυκάσους ὀρῶν καὶ Τανάιδος ἐκβολὰς καὶ Σκυθῶν ἀγριότητας ἡ φήμη βαδίζουσα τῆς αἰσχρότητος; ἢ τίς ἂν καὶ ὁποία ποτὲ συσταίη πολιτεία βεβαίας τὰς τοῦ μένειν οὐκ ἐπίπαν αὐχοῦσα κρηπῖδας; τίνες δ' ἂν οἰκιῶν καὶ πόλεων διοικήσεις εὐνομηθεῖεν ὅπουπερ ἂν οἱ τῶν κανόνων καὶ νόμων προστάται, τῶν χρηστῶν ἀμελοῦντες ἠθῶν, παρευημερεῖσθαι δρῶσι τὰ τῆς δικαιοσύνης ἀνάκτορα, καὶ παρὰ φαῦλον τίθενται τὰ τῶν νομίμων κράτη, καὶ τὸ ψεῦδος προτιμῶσι τῆς ἀληθείας, καὶ νόμον τὴν ἀνομίαν ἡγοῦνται, καὶ ψῆφον δικαιοσύνης τὸ τὰς ψήφους τῆς δίκης αἰσχροποιεῖν· καὶ ἣν τῶν πολιτειῶν καὶ πόλεων σφῶν προφανῆ καὶ ὕπαιθρον κατάλυσιν νύκτωρ καὶ μεθ' ἡμέραν οὐ λήγουσιν αὐτοὶ καθ' ἑαυτῶν ἐργαζόμενοι, ταύτην ἕδραν καὶ στάσιν ἐπ' ἴσης τοῖς οὐρανίοις πόλοις πρὸς ἀσφάλειαν τὸ ἀκίνητόν τε καὶ ἀναλλοίωτον ἔχειν οἴονται, κακῶς εἰδότες καὶ λίαν


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀμούσως, καὶ μηδὲν ἄμεινον ἢ ὥσπερ οἱ τυφλώττοντές τε καὶ μηδὲ τὰ ἐν ποσὶν ὅλως ὁρᾶν δυνάμενοι· καὶ οὗτοι γὰρ κατόπιν ἑπομένους ὁρῶντες τοὺς τῆς το 3.523 σαύτης καὶ τηλικαύτης κακοτροπίας καὶ ἀτοπίας καρπούς, μᾶλλον δὲ πρὸ ὀφθαλμῶν κείμενα νύκτωρ καὶ μεθ' ἡμέραν τὰ τῆς σφῶν κακίας ἐπίχειρα, οὐδαμῇ ἐπαΐουσιν, ἀλλ' ἐπ' ἴσης τοῖς μαινομένοις τὰς σφῶν αὐτῶν ἐσθίοντες σάρκας χαίρουσιν· ὥσπερ ἂν εἰ προσετίθεσαν κέρδεσι κέρδη καὶ κλήρῳ κλῆρον γῆς καὶ θαλάσσης, καὶ μὴ πᾶν τοὐναντίον ἔπασχον, ἄχρι πυλῶν καὶ αὐτῶν εἰπεῖν οἰκιῶν τῆς σφῶν ζημίας ἀεὶ προχωρούσης καὶ δίκην πυρὸς αὐξομένης κἀπὶ σφετέρῳ κακῷ νεμομένης τὰ πρόσω, καὶ μάλισθ' ὅταν καλάμης κατὰ πρόσωπον ἱσταμένης λαμπρῶς ἐπιδράττηται τοῦ πυρὸς ἡ φορά. εἰ οὖν ἐμοῦ, φησί, κατηγορεῖν ἐθέλοι τις τοιαῦτα, πολλοῦ μέντ' ἂν δεήσειε τρισαθλίους αὐτοὺς καλεῖν, καὶ ταῦτα ποιμαίνειν λαχόντας καὶ ῥυθμίζειν οὐ ῥέουσαν ὕλην καὶ φθειρομένην ἀεί, ἀλλὰ τὸ μέγα κτῆμα καὶ τιμιώτατον καὶ θανάτου παντὸς ἀνώτερον, τὴν ἀνθρώπου ψυχὴν δηλαδή· ᾧ γὰρ εὐθυντῆρος καὶ κανόνος ἔχειν συμπέπτωκε τόπον, καὶ ὃς ἀρχέτυπον ἄλλων εἶναι πεπίστευται, οὗτος εἰ μὴ κατὰ τοὔνομα πολιτεύοιτο, μηδὲ τὸ προσῆκον ἀποδιδοίη τῇ τοῦ κανόνος καὶ τῆς εὐθύτητος ἀρετῇ ἀλλὰ πράγμασιν ἀνοσίοις ὄνομα περιτιθείη χρηστόν, δείκνυσιν ἐναργῶς μὴ τὸ χεῖρον ὑπὸ τοῦ κρείττονος εἶναι ἀρχόμενον δεῖν, ἀλλὰ τό γε κρεῖττον ὑπὸ τοῦ χείρονος. σχετλιώτερον δ' οἴομαι καὶ οὐ μάλα εὐσχήμονος εἶναι ὀλέθρου δήμοις τε καὶ οἴκοις, ἄρχουσί τε δὴ καὶ ἀρχομένοις, νέοις καὶ γέρουσιν, ἀνδράσι τε καὶ γυναιξί, πλουσίοις τε καὶ 3.524 πένησι, καὶ πᾶσι σχεδὸν λογικοῖς καὶ ἀλόγοις, ὅταν τοῖς βελτίοσι νομοθετῶσιν οἱ κάκιστοι· οὐ γὰρ τὸ διεφθορὸς τῶν ὁρώντων κατευθυνθείη ἄν ποτε πρὸς εὐνομίαν, οὐδ' εἴ τι νοσοίη τῆς πολιτείας, παρασκευασθείη πρὸς τὴν πρὶν εὐεξίαν παλινδρομεῖν, ἀλλὰ πολλῷ τοὐναντίον γένοιτ' ἄν, παραπαιδαγωγοῦντος τοῦ χοροστάτου καὶ διδασκάλου, καὶ χωλεύειν ποιοῦντος τοῦ καλοῦ καὶ τῆς ἀληθείας τὸν δρόμον. πρόξενος γὰρ αὐτὸς ἄντικρυς γίνεται νοσεῖν καὶ τὸ ὑγιαῖνον, καὶ ἐξ οὐρίας ἀεὶ καταβαίνειν πρὸς τὸ φθειρόμενον· καὶ ὃ τὴν ἐρημίαν ὡς ἐπίπαν ἐκτήσατο πάρεδρον, ἀντιφωνοῦντος αὐτῷ τοῦ βίου τοῖς λόγοις καὶ ᾗ τέτακται διοικήσει· ὥσπερ γὰρ δικαιοσύνη κοινωνίας ποιητικόν, οὕτως ἀκοινώνητον ἀδικία καὶ σύνοικον ἐρημίᾳ, θηριώδη ποιοῦσα τὸν βίον καὶ παντάπασιν ἄγριον. τὴν γάρ τοι πόλιν ἐξ οἰκιῶν συγκειμένην κοινωνικῆς εὐταξίας θεμέλιον εἶναι ἀνάγκη καὶ νόμων δικαίων ἐμπεφραγμένην δεσμοῖς· ᾧ γοῦν οἰκίας δι' ἀμαθίαν τοῦ κρείττονος ἥκισθ' ἁρμόττει προστασία, πολλοστοῦ τινὸς μέρους μακρᾶς πολιτείας, πολλοῦ μέντ' ἂν δεήσειε δεόντως πόλεως ὅλης προστῆναι. ὡς γοῦν τῶν ἀνθρώπων ᾧ δίκη καὶ εὐνομία συντέθραπται, τούτῳ καὶ τὸ βελτίστῳ τε εἶναι καὶ κατὰ τὸ βέλτιστον ἄρχειν προσγίνεται, οὕτως ᾧ μή, τούτῳ καὶ χειρίστῳ γίνεσθαι κατὰ τὸ ἀντίπαλον ἕπεται καὶ παγχάλεπον ἄρχειν ἀρχήν. ὄργανα γὰρ ἐκ φύσεως ἄνθρωπος ἔχων πρὸς ἀρετῶν ἐργασίαν πολυειδῶν, εἰ μὴ βούλοιτο δίκῃ τε καὶ εὐνομίᾳ διοικεῖσ 3.525 θαι καὶ διοικεῖν, παγχάλεπον καὶ ἐξίτηλον πόλιν πᾶσαν καὶ πολιτείαν καὶ οἰκίαν καὶ συλλήβδην ἅπαντα φάναι πράγματα δείξειεν ἂν ἐν βραχεῖ· καὶ οὐδὲν ἕτερον τούτῳ λελείψεται ἢ τοῖς τῆς ἀρετῆς ὀργάνοις κακῶς χρωμένῳ δίκην πυρὸς ἐμπιπρᾶν καὶ ᾅδου μυχοῖς παραπέμπειν, καὶ εἴ τι σφίσι χθές που καὶ πρώην προσῆν ἐκείνοις τὸ εὔδαιμον. εἰ δ' οὖν, φρασάτω μοί τις παρελθών, πόθεν ἄλλοθεν ἐς τοιάσδε κακοδαιμονιῶν ἐσχατιὰς τὰ μέγιστ' ἐκεῖνα καὶ τηλικαῦτα κατενήνεκται σφίσι πράγματα. πάντως οὐδαμόθεν ἢ κατ' αὐτῶν ἐξ αὐτῶν, οἴκοθεν οἴκαδε, τὸ λεγόμενον. ἥδιον γοῦν ἔγωγ' ἂν πολλῷ μετὰ δικαιοσύνης καὶ εὐνομίας ἡλίου τε καὶ τοῦ τὸν ἥλιον πεποιηκότος θεοῦ διατελοίην σαφὴς λατρευτής, ἢ διὰ φιλοχρηματίαν, αἰσχίστην νόσον αἰσχίστου τρόπου, μετὰ ἀνομίας καὶ ἀδικίας εἴην ἀνύων τὸν βίον, καὶ παντοδαποῖς τε καὶ ποικίλοις μιάσμασι καταβαπτίζων ὅ φασι ψυχῆς καθαρτήριον βάπτισμα. πῶς γὰρ καὶ τίς με βαπτίσει τηλικούτοις ἑαυτὸν


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐμπιπλὰς ἐφ' ἡμέρᾳ πάσῃ καὶ νυκτὶ μολυσμοῖς, καὶ τοσοῦτον ὑπ' ἐμοῦ καταγινωσκόμενος; οὐ γὰρ οἱ ἀκροαταὶ τοῦ νόμου δίκαιοι, φησί, παρὰ τῷ θεῷ, ἀλλὰ οἱ ποιηταὶ τοῦ νόμου δικαιωθήσονται· καὶ ἐν παντὶ ἔθνει ὁ φοβούμενος τὸν κύριον δεκτὸς αὐτῷ ἐστίν. οὐ γάρ ἐστι προσωποληψία παρὰ τῷ θεῷ, ἀλλὰ πᾶς ὃς ἂν ἐπικαλέσηται τὸ ὄνομα κυρίου σωθήσεται. καὶ θυμὸς καὶ ὀργὴ καὶ θλῖψις καὶ στενοχωρία ἐπὶ 3.526 πᾶσαν ψυχὴν ἀνθρώπου τοῦ κατεργαζομένου τὸ κακόν, Ἰουδαίου τε πρῶτον καὶ Ἕλληνος· δόξα δὲ καὶ τιμὴ καὶ εἰρήνη παντὶ τῷ ἐργαζομένῳ τὸ ἀγαθόν, Ἰουδαίῳ τε πρῶτον καὶ Ἕλληνι. Τοσαῦτα καὶ τοιαῦτα σὺν ὀργῇ καὶ ζήλῳ διεξελθὼν ὁ ῥὴξ ἐκεῖνος ἐνταῦθα τὸν λόγον κατέπαυσε, τὴν δὲ γνώμην εἶχεν ἠρεθισμένην πρὸς ἄμυναν ὑπὲρ ὧν προσῆκε τῷ Ῥωμανῷ. ἔξεστι δ', οἷς τῇ ἀκοῇ σύνεσις ἀπαθὴς συνοικεῖ, κρίνειν εἰ προσήκοντος ἔχεται λόγου τὰ εἰρημένα· ἔξεστι δ' αὖθις συλλογίζεσθαι ἔτι καὶ εἰ χριστιανῶν παισὶν εὐσεβέσιν ἀνεκτὸν οὕτω γῆς καὶ θαλάττης ὡς πορρωτάτω τῆς αἰσχίστης ταυτησὶ κακίας τὴν φήμην δραμοῦσαν μέχρις Ὠκεανοῦ καὶ Σκυθῶν ἀφικνεῖσθαι, καὶ τοσοῦτον τὴν τῆς αἱρέσεως αὐξήσασαν βλάστην διαπεφοιτηκέναι πανταχῇ τῆς Ῥωμαίων ἐκκλησίας τὰς ὕβρεις κομίζουσαν, κρηπῖδας ἀφθόνων πηγῶν εἰληφυῖαν τὰς τῶν νῦν πατριαρχῶν τε καὶ ἐπισκόπων ἀτόπους καὶ παρανόμους πράξεις καὶ ἣν τετυραννηκότες δογμάτων ἐνέπλησαν πονηρῶν ἐκκλησίαν αὐτοί· οὐ γὰρ ἐν παραβύστῳ τὰ βέβηλα δρῶσιν οἱ ἀναιδεῖς, οὐδ' εἰς ἀφεγγές που καταδύντες χωρίον, ἀλλ' ἐν ὑπαίθρῳ καὶ θεάτρῳ πομπεύουσι πάσῃ τῇ οἰκουμένῃ τὴν σφῶν αὐτῶν ἐξάγιστον ἐθελονταὶ μοχθηρίαν αὐτοί. οὕτως ἐξόριστος παντάπασι καὶ κομιδῇ γε ἀλλότριος τῶν τῆς ἀρχαίας γέγονεν ἠθῶν πολιτείας ἡ δικαιοσύνη καὶ φρόνησις, καὶ εἴ τι σεμνότητος καὶ εὐσχημοσύνης ἐνῆν ἀγαθόν, ὡς ἐξεῖ 3.527 ναι λέγειν νῦν ἐνταυθοῖ καὶ ἡμῖν ἃ πάλαι θεὸς διὰ τοῦ προφήτου φθέγγεται Ἰεζεκιὴλ περὶ Ἱερουσαλήμ. "εἰπὲ" γάρ φησι "πρὸς τὴν θυγατέρα τὴν ἀσύνετον Ἱερουσαλήμ· οὐχ ἥμαρτεν ἀδελφή σου Σόδομα κατὰ τὰ ἡμίσεια τῶν ἁμαρτιῶν σου, καὶ ἐδικαιώθη Σόδομα ἐκ σοῦ." τουτέστι Σόδομα δίκαια ἐστὶ κατὰ σύγκρισιν σήν, ὡς ὁ θεῖος φάσκει Χρυσόστομος. ἔστι δὲ οὐκ ἄδηλον, οἶμαι, φρονίμων οὐδέσιν ἀνδρῶν ὡς εἰς τὴν μυθικὴν ἐκείνην ἔριν καὶ οὗτοι τὴν μίμησιν ἀναφέροντες, μεταξὺ τὴν διαίρεσιν ἀντὶ μήλου τῇ τοῦ ἔθνους ἐπαρχίᾳ ἐκείνου παρέρριψαν, τὴν μὲν μίαν εἰς δύο διελόντες μητροπόλεις, τὰς δ' ὑπ' ἐκείνην ἐπισκοπὰς ἄλλοθεν ἄλλοθι μεταθέντες, ὡς ἂν πρὸς ἀλλήλους οἱ ταύτας λαγχάνοντες πρόφασιν ἔριδος ἔμμονον ἔχωσι, καὶ ἅμα ἀνάγκην ὡς εἰς μεῖζον ἰέναι κριτήριον τοὺς τῆς Κωνσταντινουπόλεως πατριάρχας, ἐγκλήματα μὲν κατ' ἀλλήλων, ὑπὲρ δ' ἑαυτῶν ἁδρὰ κομιδῇ κομίζοντες χρήματα, οὔτ' ἐκεῖνοι φαύλην τινὰ καὶ ἄνανδρον σπουδὴν ὑπέρ γε τοῦ τὸν ἕτερον ἕτερος παριέναι δεικνύντες τοῖς ἐκεῖθεν κομιζομένοις τῶν δώρων πλήθεσιν ἐπ' ἀναλήψει τῆς ἱερατείας καὶ τῆς τῶν ἐπισκοπῶν προεδρίας, οὔθ' οὗτοι πρόνοιαν ἐρραθυμημένην καὶ ἀναπεπτωκυῖαν ἐν τούτοις ἄγοντες πρός γε τὸ ἐρεθίζειν τε καὶ ἀναρριπίζειν εἰς ὅτι πλεῖστον τὴν φλόγα τῆς ἔριδος, ἀλλὰ πολλὴν καὶ διάφορον ἐπισωρεύοντες ὑπεκκαύματος ὕλην, μάλα ἀνύσιμον σφίσιν αἰσχροκερδείας ἐφόδιον γινομένην. ὅθεν καὶ ῥᾷστα περαίνοντες διετέ 3.528 λουν ἐφ' οἷς ἐμισθοῦντο, συχνὰ μὲν καταλύοντές τε καὶ μεταρριπτοῦντες ἔνθεν καὶ ἔνθεν ἃ χθὲς ἄλλως ᾠκοδομήθησαν, ἃ δὲ πρότριτα καθ' ἕτερον διενείμαντο τρόπον, ὡς ἑτέρως μεταρρυθμίζοντες σήμερον καὶ ὡς ἑτέρως τὴν ὑστεραίαν, ὅπῃ τὰς ἡνίας ἕλκει τε καὶ ἀνθέλκει τῶν ἐκεῖθεν ἐνταῦθα συχνὰ πεμπομένων διχόθεν χρημάτων ἢ μᾶλλον θατέρου βρίθουσα δεξιά. καὶ τῶν τοιούτων ἀγώνων καὶ παλαισμάτων τῆς κακομηχάνου τε καὶ μυσαρᾶς ἔριδος ταυτησί, δίκην ἕλκους διηνεκῶς ἠρέμα τὰ πρόσω νεμομένης καὶ προχωρούσης, ὅρον εἶναι συμβαίνει μηδένα, μηδὲ λῆξίν τινα τῶν ἀτόπων τε κερδῶν καὶ πονηρῶν λημμάτων. 3.529 ΤΟΥ ΑΥΤΟΥ ΡΩΜΑΙΚΗΣ ΙΣΤΟΡΙΑΣ ΛΟΓΟΣ ΛΖ. Ἐγὼ δὲ τῶν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

εἰρημένων πλείω καὶ μείζω συνείρειν ἔχων τῇ ἱστορίᾳ πρὸς ἐνίων οἳ καλῶς ἀκούειν ἴσασι διόρθωσιν (ἰατρὸν γὰρ τὴν ἱστορίαν τοῖς ὀψιγόνοις πεπείσμεθα γίνεσθαι, ἐπαινοῦσαν μὲν ὁπόσοι τἀγαθὸν ἐπαινοῦσί τε καὶ προσίενται, λοιδοροῦσαν δ' ὅσοι τὸ κακὸν οὐ βούλονται λοιδορεῖν) δέδια μὴ λάθω τοὐναντίον οὗ βούλομαι δρῶν. ἐγχωρεῖ γὰρ ὡς ἐν ἀπείρῳ πελάγει τῷ χρόνῳ πολυτρόπως καὶ ἀγχιστρόφως καὶ ὡς εἰπεῖν ἑλικοειδῶς ἀεὶ ῥεούσης τῆς φύσεως, καὶ ἄλλοτ' ἄλλως περιπετοῦς ἑαυτῇ γινομένης διὰ τὴν ἀτέκμαρτον ἰδιοτροπίαν τῶν ἑκάστοτε φυομένων καὶ ἐπιφυομένων πολυειδῶς προσώπων καὶ πραγμάτων, ἐξελίττειν καὶ ἀνελίττειν ἔστιν οὗ καὶ ἔστιν ὅτε συγγένειαν ὁμοιοτήτων τινῶν περιαγομένην τε καὶ περαινομένην εἰς παράδοξόν τινα τὴν 3.530 ταυτότητα. ὡς εἶναι δέος ἐντεῦθεν μὴ οὐ πάντων εἰς μίμησιν τοῦ βελτίονος παραθήσειν ἑαυτοὺς δυναμένων δι' ἔμφυτον ἔνιοι κακοτροπίαν ἐπὶ τοὐναντίον τῇ μιμήσει χρήσωνται, καὶ τὴν ἐν ἱστορίᾳ διαβολὴν τῶν κακῶν ἐπὶ σφετέρᾳ μιμήσωνται βλάβῃ, τὴν τῶν φθασάντων ἀναισχυντίαν καὶ τόλμαν οἷόν τι παράδειγμα προβαλλόμενοι. ὅθεν ἑνός τινος ἔτι μνησθεὶς ἀπαλλάξομαι, διὰ βραχέων μέντοι καὶ τοῦτον, καὶ δι' ὅσων ἀποχρήσειεν ἂν τῷ τῆς ἱστορίας λόγῳ δεῖξαι πῶς τῆς Παλαμικῆς αἱρέσεως ἐπὶ λύμῃ τῶν ἱερῶν τῆς ἐκκλησίας δογμάτων παραδύσης ἅπανθ' ὁμοῦ συγκέχυται πράγματα, καὶ διέφθαρται τὸ τῆς ἐκκλησίας ἀρχαῖον ἦθος ἐκεῖνο, καὶ ἀνατέτραπται καὶ ἀπόλωλεν εἴ τι σεμνόν τε καὶ τίμιον τῆς ὅλης ἦν πολιτείας, συσταλείσης, οἶμαι, τῆς τοῦ θεοῦ δεξιᾶς ὅσον αἰσθέσθαι τοὺς τῆς κακίας ταύτης προστάτας καὶ ἀρχηγούς, καὶ πρὸς ἐπιστροφὴν ἐλθεῖν πρὶν εἰς καταστροφὴν κατελθεῖν, ἐνδιδόντος θεοῦ τοῦ διὰ Δαβὶδ παραινοῦντος μὴ διδόναι πρὸς σάλον τὸν πόδα, ἵνα μὴ νυστάξῃ μηδὲ ὑπνώσῃ ὁ φυλάσσων τὸν Ἰσραήλ. ὡς εἶναι κἀνταῦθα δέος μὴ πολλῷ κἀκείνων κακίοσιν οὖσι καὶ τοῖς τῆς ἐκκλησίας ταύτης προέδροις ἡ πάλαι κατὰ τῶν Ἰουδαίων ἀποφαντικὴ σὺν θυμῷ κατερράγη ψῆφος, λέγουσα "ἐὰν προσφέρητέ μοι σεμίδαλιν μάταιον, θυμίαμα βδέλυγμά μοι ἐστί· καὶ ἐὰν ἐκτείνητε τὰς χεῖρας ὑμῶν, ἀποστρέψω τοὺς ὀφθαλμούς μου ἀφ' ὑμῶν· καὶ ἐὰν πληθύ 3.531 νητε τὴν δέησιν, οὐκ εἰσακούσομαι ὑμῶν. αἱ γὰρ χεῖρες ὑμῶν αἵματος πλήρεις, καὶ ἀφίεται ὁ οἶκος ὑμῶν ἔρημος." ὧν γὰρ τὰς αὐτὰς εἶναι συμβαίνει πράξεις, τούτοις ἀνάγκη καὶ τὰς αὐτὰς ἐπιέναι θεόθεν εἰσπράξεις. Διδάσκει δὲ καὶ ὁ θεῖος Χρυσόστομος τὴν εἰρημένην ἐνταῦθα ταυτότητα· καὶ γὰρ ἑρμηνεύων τὸ "Καϊάφας ἀρχιερεὺς ἦν τοῦ ἐνιαυτοῦ ἐκείνου," καὶ τοῦτο τῆς Ἰουδαϊκῆς, φησίν, ἐγένετο πονηρίας· κατῄσχυναν γὰρ τὸ τῆς ἱερωσύνης ἀξίωμα ὠνητοὺς ποιήσαντες ἀρχιερέας. ἔμπροσθεν δὲ οὐχ οὕτως ἦν, ἀλλὰ τῇ τελευτῇ μόνῃ κατελύετο ἡ ἱερωσύνη τοῦ ἀρχιερέως. τότε δὲ καὶ ζῶντες παρελύοντο τῆς τιμῆς. οὐδὲν οὖν καινὸν τῶν ὁμοίων ἐκείνοις κἀνταῦθα παθῶν εἰκόνας ὑπάρχειν ἐνυποστάτους, τῶν νῦν πατριαρχῶν εἰς τὴν αὐτὴν ἰόντων πονηρίαν, ἵνα μὴ λέγω τὴν χείρω· κατῄσχυναν γὰρ τὸ τῆς ἱερωσύνης καὶ οὗτοι μᾶλλον ἐκείνων ἀξίωμα, ὠνητοὺς ποιοῦντες ἀρχιερεῖς, καὶ μειρακίων ἐφήβων καὶ ἀγενείων ἑσμὸν ἱερέας, οὔτε πω συλλαβίζειν δυναμένων οὐδὲ τὰ πρῶτα τῶν γραμμάτων στοιχεῖα, οὔτε βίον γοῦν ἐγγὺς καθαροῦ προεισενηνεγμένων, ἀλλ' ἀρκουμένων τῷ τε βούλεσθαι καὶ τῷ τὴν Παλαμικήν, ταὐτὸν δ' εἰπεῖν Μασαλιανικὴν καὶ πολύθεον αἵρεσιν προσκυνεῖν· τῆς γὰρ ἱερωσύνης εἰς ἀγοραίαν πρᾶσιν καθάπαξ ῥιφείσης, ὁ τὰ πλείω διδοὺς τὴν νικῶσαν 3.532 ἐπ' ὀλίγον λαμβάνει καὶ τῶν πρωτείων γίνεται κληρονόμος, 3.532 μέχρις ἂν ὁ κατόπιν ἰὼν χρημάτων ἁβρότερον πεποιηκὼς τὸ βαλάντιον, τὴν νικῶσαν τῆς ἥττης ἀλλάξηται καὶ τῆς κρείττονος χώρας ἐξ ἀμοιβῆς κληρονόμος αὐτὸς καταστῇ. Ἐπεὶ δ' ἑνὸς τῶν πολλῶν ὁτουοῦν ἐπηγγειλάμεθα μνησθέντες ἀπαλλάξασθαι, πέρας τῇ ἐπαγγελίᾳ παρασχεῖν ἀξιώσωμεν. τὴν τῶν Ἀλανῶν ἐπαρχίαν πρὸς ἄρκτους τὴν θέσιν ἔχουσαν, καὶ Σκυθῶν τῶν νομάδων ὅμορον οὖσαν, οἱ πολλοί τε ἴσασι καὶ μάλιστα οἷς ἐξ ἐμπορίας ὁ βίος ἀθροίζεται ἔθος. ταύτης ἐκ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Κωνσταντινουπόλεως Τραπεζούντιός τις, ὄνομα Συμεών, ἀρχιερεὺς τῇ μητροπόλει χειροτονηθεὶς πρὸ ἐτῶν οὐ μικρῶν ἀπεστάλη. μετὰ δὲ χρόνον βραχὺν παρ' ὁτουοῦν τῶν ἐκεῖ μοναζόντων πρὸς τοῖς ἄλλοις καὶ δωροδοκίαν ἐγκέκληται χειροτονιῶν ἀθέσμων, τὸ τῆς ἱερωσύνης καπηλεύων σεμνὸν καὶ προτιθεὶς βεβήλοις ὤνιον ἀνδράσι τὴν χάριν τοῦ πνεύματος. τῶν δὴ τοιούτων ἐγκλημάτων ἐπὶ Φιλοθέου τοῦ μετὰ τὴν Καλλίστου καθαίρεσιν πατριαρχεύσαντος λαληθέντων, ἐπεὶ παρῆν καὶ Ἀλανίας αὐτός, τὸ ἀξιόπιστον ἔχοντας ἐξ Ἀλανίας μάρτυρας προκαλούμενος, ὑπέρθεσιν καιρικὴν ἡ ψῆφος λαμβάνει. μετεώρου τοίνυν τῆς δίκης οὔσης, ἐξαίφνης ἔξωθεν εἰς τὸ Βυζάντιον εἰσπεπηδηκὼς Ἰωάννης ὁ Παλαιολόγος τὴν πατρῴαν ἀνείληφε βασιλείαν, ἐκβεβληκὼς Καντακουζηνόν, ὥς που καὶ πρότερον ἡμῖν εἰρημέ
3.533 νον εἰς μῆκος ἐστί· καί οἱ ἐπηκολούθει ὁ πρὸς Φιλοθέου καθαιρεθεὶς τῆς τε πατριαρχείας καὶ τῆς ἱερωσύνης Κάλλιστος, ὃς καὶ αὐτὸς καθάπερ ἐκ παρατάξεως ἀμυνόμενος αὐτόν τε καθαιρεῖ τῆς ἱερωσύνης Φιλόθεον καὶ τῶν πατριαρχικῶν ἀντ' ἐκείνου καθίσταται θρόνων διάδοχος. ὅπως δ' αὐτοῖς ἐσχεδίασται τὰ τοιαῦτα, καὶ οἷα συμπέπτωκεν ἕτερα μεταξύ, εἴρηταί τε μετρίως ἡμῖν καὶ εἰρήσεται πλείοσιν ἄλλοις τὴν ἱστορίαν ἴσως εἰς μῆκος μᾶλλον ἐκτετακόσιν ἡμῶν ἐνταυθοῖ. καὶ μὲν δὴ πρόσεισιν Ἀλανίας τῷ πάλιν πατριαρχεύσαντι τούτῳ Καλλίστῳ, λήθην τε ἀξιῶν γενέσθαι τῶν πρότριτα ἐπὶ Φιλοθέου ἐγκεκλημένων αὐτῷ, καὶ δῶρα πέμψειν ὑπισχνούμενος ἀποχρῶντα ἐπιδεδημηκὼς ἐς Ἀλανίαν. τῷ οὖν Καλλίστῳ ἔχοντι τὰ ἐπηγγελμένα ἐν ἐλπίσιν ἤδη ἀναμφιλέκτοις, τάχιστα ἐπεραίνετό οἱ ἐφ' οἷς ἐμισθώθη· καὶ ἦν αὐτῷ συλλειτουργὸς ἡδὺς Ἀλανίας ἐν ἑορταῖς τε καὶ πανηγύρεσιν καὶ σύνεδρος ἐν τοῖς καθ' ἡμέραν ψηφίσμασιν. ἐπεὶ δ' ὃ μὲν ἀπῄει, τὰ δ' ἐπηγγελμένα λήθης βυθοῖς παρεπέμπετο, αἰσθόμενος ὁ πρὶν ἐκεῖνος κατήγορος, Κάλλιστος ὄνομα, ἀφίκετο πάσῃ σπουδῇ βριθούσαις παλάμαις ἐκεῖθεν παρὰ τὸν ὁμώνυμον καὶ ὁμότροπον Κάλλιστον, ἃς ἐκεκομίκει πρότερον Φιλοθέῳ, καὶ νῦν κομίζων κατηγορίας κατὰ τοῦ Ἀλανίας, καὶ ἅμα τήν τε ἐκείνου ζητῶν καθαίρεσιν καὶ τὴν τοῦ θρόνου μετάληψιν. τῇ οὖν παρολκῇ τῶν λημμάτων παρελκυσθεὶς ὁ
3.534 Κάλλιστος φυγοδικίας τε ἐκεῖνον ἀπόντα καταδικάζει, καὶ τὸν ὁμώνυμον Κάλλιστον εἰς τὸν τοῦ Συμεὼν θρόνον ἐκπέμπει χειροτονήσας. οὕτω γε μὴν εὐτυχῆ καὶ ταχεῖαν ὁ δεύτερος οὗτος τὴν ἐς Ἀλανίαν ἐπάνοδον ποιησάμενος, καὶ οὕτως ὤνιον ἐκ τοῦ ῥᾷστου τὴν τοῦ προτέρου διαδεξάμενος ἀρχιερατικὴν καθέδραν, ἀτίμως ἐκεῖθεν ἐκπέμπει τὸν Συμεών. καὶ ὃς ἐς Βυζάντιον ἐπιδεδημηκὼς περιῄει πάντας ἐπιβοώμενος ἐπισκόπους καὶ πρεσβυτέρους, τὴν ἄδικον ἑαυτοῦ καταδίκην ἐκτραγῳδῶν, καὶ τὴν προφανῆ τῶν ἱερῶν κανόνων καὶ νόμων κατάλυσιν ἐγκαλῶν τῷ Καλλίστῳ. οὕτω δ' ἐκπύστου γεγονότος τοῦ παρανόμου καὶ ἀνιέρου καὶ μυσαροῦ πράγματος, οὐδὲ τῷ βασιλεῖ τετύχηκεν ἀνηκόῳ τούτου γενέσθαι οὐδ' ἀφθόγγῳ πάντῃ μεῖναι τὴν γλῶτταν, ἀλλ' ἐν θαύματι τὸ τόλμημα πεποίηται καὶ αὐτός. καὶ ἀναλογιζόμενος ἔλεγε πρὸς τὸν πατριάρχην "εἰ μὲν ἰσχυρὰ τὰ πρὶν ἦσαν ἐγκλήματα, διὰ τί ἀκηκοὼς οὐκ ἀπεκρούσω ἀλλὰ συλλειτουργὸν ἐπεποιήκεις; εἰ δὲ μὴ ἰσχυρά, διὰ τί καθαιρέσει σπευδούσῃ παρέπεμψας, καὶ τό γε παραλογώτατόν τε καὶ ἀτοπώτατον, μὴ παρόντα; εἰ δὲ καὶ καθαιρεῖν αὐτὸν ἐνῆν, ἀλλ' οὐ τὸν αὐτοῦ κατήγορον χειροτονεῖν ἀντ' αὐτοῦ κατ' αὐτοῦ· ἢ δῆλον ὡς ἐκεῖνος μὲν τῆς ἐπισκοπικῆς ἀρχῆς ἐραστὴς γεγονὼς ζηλοτυπίας ἐκγόνους ψευδεῖς συνέρραψε δόλους, σὺ δ' ἐραστὴς καὶ αὐτὸς καταστὰς τῶν ἐκείνου χρημάτων ἀδικωτάτην καὶ μάλα ἀνο 3.535 μωτάτην εἰργάσω τὴν τούτου καθαίρεσιν, καὶ τὸ τοῦ Δαβὶδ εἰπεῖν, λάκκον ὤρυξας καὶ βόθρον ἀνέσκαψας, εἰς ὃν ἐμπεσεῖσθαί σε ἄξιον κατὰ τοὺς τῶν ἱερῶν κανόνων καὶ νόμων θεσμούς, εἰ μὴ τὴν διόρθωσιν, εἰ ἐξείη σοι, δράσειας τὴν ταχίστην, καὶ ὁ τρώσας αὐτὸς καὶ τὴν ἴασιν ἁρμόττουσαν ἐπαγάγοις. ὁρᾷς γὰρ καὶ τὴν τῶν ἀρχιερέων ὁρμὴν κατὰ σοῦ κινουμένην βαρεῖαν, καὶ μακρὸν τὸν ὑπὲρ τῆς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ὑποθέσεως θόρυβον ταῖς ἐμαῖς διηνεκῶς ἀκοαῖς ἐπαντλοῦσαν· οἷς καὶ προβαλέσθαι δίκαιόν τι πρὸς ἀντιπαράταξιν καὶ λῆξιν τῶν σοί γ' ἐγκεκλημένων. ἔχω μὲν τῶν πάντων οὐδὲν αὐτός, ἔχουσι δ' αὐτοὶ μὴ μόνον τὸ παρὸν ἀλλὰ καὶ πόλλ' ἕτερα πολυειδῆ τε καὶ ἡλίκα, ὧν ἕκαστον ἀποχρῆναί φασιν εἰς καθαίρεσιν σήν, ὁμοίως ἐπιβοσκομένων ἁπάντων τῆς τῶν ἱερῶν κανόνων χρείας τὴν ὥραν· ἅπερ δὴ καὶ πῶς ἂν εἴποιμι διαθρυλλούμενα πανταχῇ καὶ γλώττας χαιρεκάκων ἀνοίγοντα κατὰ τῆς σῆς κεφαλῆς, οὐ μικρῶς ἀποκνάει καὶ ἀνιᾷ μου τὸ λογιζόμενον τῆς ψυχῆς." Πρὸς ταῦτα ὁ Κάλλιστος διαπορούμενός τε καὶ λίαν ἀχθόμενος ἐπὶ πλείοσι καθ' αὑτόν, καὶ ὅσοι ἀμφ' αὐτὸν οἰκειότατοι, διεσκέπτετο νυχθημέροις τὸ ποιητέον, καὶ δυοῖν μέσος ἐγίγνετο λογισμῶν, χειμῶνα καὶ ζάλην οὐ πάνυ μικρὰν ἀνιστάντων κατὰ τῆς σκέψεως. ἔλεγε γὰρ ὡς δύο μητροπολίτας μιᾶς μητροπόλεως εἶναι μήτε τοῖς τῶν θείων πατέρων 3.536 κανόσι καὶ νόμοις συγκεχωρῆσθαι μήτε τῇ κοινῇ τῶν πολλῶν συνηθείᾳ προκατειλῆφθαι, ἀλλ' εἶναι καθάπαξ ἀλλόκοτόν τι χρῆμα καὶ πάνυ τερατωδέστατον, τὴν τῶν πατρίων αἰσχρῶς ἀφαιρούμενον πρόνοιαν. εἰ οὖν τὸν ὁμώνυμον καθελόντες τῆς ἀξίας Κάλλιστον τὸν Συμεώνην ἀντεισαγάγωμεν αὖθις, ἀφίξεται τὴν ταχίστην καταβοῶν ἐκεῖνος καὶ κατατρέχων ἡμᾶς, καὶ ἀπαιτῶν ἅπερ ἡμῖν ἐδεδώκει δῶρα τῆς ἀρχιερατικῆς ἀξίας ἕνεκα πάντα, δι' ὅσων αὐτὸς ἐπρίατο τὴν μητρόπολιν. ὃ δὴ πολλῶν ξιφῶν δριμυτέραν, μετὰ πάνυ μακρᾶς τῆς αἰσχύνης, τῇ ἐμῇ κομίζει ψυχῇ τὴν ὀδύνην· οἱ γὰρ καὶ πρὶν εἰς ἐξέτασιν ἰέναι τὰς ἐμὰς δίκας καὶ πρὶν ἀνακαλυφθῆναι τὰ προτεινόμενα καθ' ἡμῶν ἐγκλήματα πικρῶς ἡμῖν ἐμβάλλειν οὑτωσὶ τοὺς ὀδόντας ἀπειλοῦντες ἐπίσκοποι, καὶ οἱ μείζους τῶν προτεινομένων ἔτι μελετῶντες ἐπιφέρειν λοιδορίας, ἀσέβειαν οὐχ ἁπλῆν τινὰ καὶ μονοειδῆ ἀλλὰ ποικίλην τε καὶ πολὺ προβαλλομένην τὸ ἀφόρητον, τίνος ἂν φείσαιντο γλώττης εἰς φῶς προηγμένων τῶν θρυλλουμένων μὲν ἀξίως, ἐν νέφεσι δ' ἴσως καὶ δισταγμοῖς τισὶ κρυπτομένων ἔτι. ἐγὼ δ' ἐκεῖνο τεθαύμακα τῶν σκαιῶν τε καὶ χαιρεκάκων, πῶς τὰ ἑαυτῶν αἰσχρὰ παρατρέχοντες τοῖς ἐμοῖς ἀτενὲς ἐνορῶσι καὶ ταῖς ἐμαῖς ἐπιγάννυνται λοιδορίαις, καὶ μάλιστα πάντων τὴν τῶν Μασσαλιανῶν μοι προσονειδίζοντες αἵρεσιν, συχνὰ καὶ πολλάκις ἐνδιαβάλλοντές τε οὐ διαλείπουσι καὶ περὶ τὴν αὐ 3.537 τὴν ἀεὶ στρεφόμενοι καὶ περιειλούμενοι λοιδορίαν. ἐν γὰρ ταῖς τῆς ἐμῆς πατριαρχείας πάλαι ἀρχαῖς ἐπὶ τῆς Καντακουζηνοῦ βασιλείας, πρὶν ὅλον ἐξήκειν ἔτος, ὑβρίστριαν ὁπλίσαντες γλῶτταν καὶ πάνυ βαρεῖαν κατὰ τῆς ἡμετέρας τύχης ἐπενεγκόντες ταύτην μοι τὴν Μασαλιανὴν ἐν πρώτοις ᾐτιάσαντο αἵρεσιν· καὶ τάχα ἄν με τῶν πατριαρχικῶν τουτωνὶ τηνικαῦτα θρόνων σὺν ἀκοσμίᾳ ἐξώθουν, εἰ μὴ τοὺς κοινοὺς τῆς ἐμῆς τε καὶ σφῶν ἀρτιφανοῦς ἐκκλησίας πολεμίους αἰσθόμενοι βοηθοῦντες ἐξ ἀπονοίας ἀπέσχοντο. καὶ τοῦτο μὲν πρῶτον οἱ κακάρατοι καὶ κακόσχολοι κατὰ τῆς ἐμῆς ἐξώπλισαν κεφαλῆς· δεύτερον δ' ἔτι καὶ πλείω συνείραντες ἕτερα τῇ τοιαύτῃ τῶν Μασαλιανῶν αὖθις αἱρέσει, καὶ μανικώτερον κατ' ἐμοῦ κινηθέντες, τῆς πατριαρχείας ἐξήλασαν τέλεον, ἵνα μὴ λέγω καὶ αὐτοῦ γε τοῦ ζῆν, τό γε εἰς αὐτοὺς ἧκον· ἡ γὰρ ἐμὴ πρὸς τὸ Γαλατώνυμον φρούριον τῶν Λατίνων τηνικαῦτα λαθραία φυγὴ τὰς ἐμὰς ἐν τοῖς ζῶσι τετήρηκεν ἄχρι καὶ ἐς τόδε πνοάς. ἐπεὶ δὲ καὶ ἐς Τένεδον ἀφιγμένον με παρὰ βασιλέα τὸν Παλαιολόγον ἐμεμαθήκεσαν, οὐδ' ἐνταῦθα ἠρέμησαν, ἀλλὰ δι' ἐπιστολῶν καὶ κηρύκων ἀναθέμασι καθυπέβαλον, καὶ αὐτὸ προκαταλαμβάνοντες τὸ ὄρος κἀκεῖθεν ἀπήλαυνον, καὶ ὡς Μασαλιανὸν ἐξεκήρυττον πανταχόθεν. τοῦ δὲ βασιλέως ἄρτι τὴν πατρῴαν ἀνειληφότος ἀρχήν, ὁμοῦ συνεληλυθὼς ἐκεῖθεν κἀγὼ πολλῇ τινὶ πρὸς αὐτῶν τῇ ἀντι 3.538 στάσει ἐντετυχήκειν, τά τε ἄλλα καὶ ὡς Μασαλιανὸν ἀποτρεπομένων με. τοῦ δὲ βασιλέως ὅπως ποτὲ τὴν τοιαύτην κοιμίσαντος ἔριν καὶ στάσιν, ἧκον αὖθις ἐξ ὄρους τοῦ Ἄθω καὶ τῶν ἐκεῖ λογάδων καὶ μοναδικῶν ἀνδρῶν γράμματα, τὴν αὐτήν μοι μόνην αὖθις προσάπτοντες αἵρεσιν, τὴν τῶν Μασαλιανῶν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

δηλαδή, καὶ ἅπαξ καὶ δίς. ἃς δὴ καὶ ἄκροις ὠσὶν ἠνεσχόμην ἀκοῦσαι, ἀλλὰ τῇ πρὸς ἐμὲ τοῦ βασιλέως τεθαρρηκὼς εὐμενείᾳ κακῶς τε καὶ ἀκόσμως ἐξέπεμψα. νῦν δὲ καὶ αὐτοῦ γε τοῦ βασιλέως τῇ τούτων βίᾳ παροξυνθέντος καὶ ὠθοῦντός με, τί δράσειν ἕτερον ἥκιστα ἔσχον οὐδὲν εἰς ἀποτροπὴν ἀποχρῶσαν, ἕως ἂν κατὰ γνώμην τἀμὰ διάθωμαι, πλὴν ἢ ἃ μηδένα αὐτῶν προσδοκῆσαι ᾠήθην. τὸ δέ ἐστιν, ἀναθέματι καὶ ἀφορισμῷ καθυποβαλεῖν αὐτούς, καὶ ἀντιπερισπάσαι τὴν σφῶν ἐπίνοιαν εἴς γε τὸ ὑπὲρ ἑαυτῶν αὐτοὺς ἀγωνίζεσθαι, καὶ ἥκιστα καθ' ἡμῶν. ταῦτα δὴ βουλευσαμένῳ καὶ εἰς ἔργον εὐθὺς ἤγετο. καὶ ἅμα ἕῳ τῇ ὑστεραίᾳ συνηθροικὼς ἱερέων ἐκκλησίαν καὶ ὅσοι τοῦ κλήρου καὶ ὅσον τοῦ δήμου πλησιόχωρόν τε καὶ πρόσοικον ὑπῆρχε τῷ περιωνύμῳ τῆς τοῦ θεοῦ σοφίας νεώ, χωρὶς προοιμίου τινὸς καὶ πόρρω πάσης αἰτιολογίας εὐλόγου, ἀφορισμόν τε ἐξεφώνησεν ἐπὶ μέσου στὰς τοῦ τοιούτου θεάτρου, καὶ ἀναθέματι καθυπέβαλεν ὅσοι τῶν ἐπισκόπων τῆς αὐτοῦ κοινωνίας ἐξέστησαν, τά τε ἄλλα κατηγοροῦντες αὐτοῦ καὶ πάντων μάλι 3.539 στα τὸ τῆς Μασαλιανῆς αἱρέσεως μυσαρόν. ἀλλ' ἐκεῖνος μὲν τοιαῦτ' εἰρηκώς τε ἅμα καὶ πεπραχὼς πόρρω κανόνος καὶ νόμου παντός, δέδειχεν ἔνοχον ἑαυτὸν ἀληθῆ τῷ ἐγκλήματι. τοῦτο γὰρ καὶ τοῖς ἐπισκόποις ἀκουσθὲν καὶ αὐτῷ βασιλεῖ δέδοκταί τε καὶ ἀποπέφανται. δέον γὰρ αὐτὸν θαρρεῖν καὶ τῆς δίκης εὐθὺ χωρεῖν καὶ ζητεῖν τοὺς ἐλέγχους καὶ ὡς ψευδεῖς τὰς κατηγορίας ἐλέγχειν, εἴπερ αὐτῷ γε ἐνῆν, ὃ δ' ἐμφανῶς φυγοδικήσας ἐπὶ τὰς ἀτόπους κατέφυγε λοιδορίας, ὥσπερ εἰώθει, καὶ τοὺς οὐδὲν αὐτῷ συντελοῦντας ἀφορισμοὺς ὡς τῆς ἐνεστώσης αἰσχύνης προκάλυμμα καὶ πρόσκαιρον ἀποφυγὴν τῆς ἀνάγκης. ἐπὶ δὴ τούτοις δεδογμένον ἐνίοις τῶν ἐπισκόπων κατέστη ταῖς ἀδίκοις ἐκείνου λοιδορίαις καὶ τοῖς ἀφορισμοῖς δικαίους ἀντιθεῖναι, καὶ καθαιρέσει τελείᾳ παραπέμψαι τὸν ἄσεμνον ἐκεῖνον καὶ τῇ ἀσελγείᾳ τῆς γλώττης ἀεὶ ἐγκαλλωπιζόμενον μᾶλλον ἢ αἰσχυνόμενον. ἀλλ' ὅτι μὴ καὶ βασιλεῖ δεδογμένον τοῦτ' ἦν ματαιότητι καὶ νηπιώδει μωρίᾳ τὴν ἴσην ἀντίδοσιν δρᾶν, ἐν μετεώρῳ τὰ τῆς δίκης ἀποκέκριται μέχρι τῆς τῶν προκληθέντων ἐπισκόπων ἐνδημίας. ὅ γε μὴν πατριάρχης τὰς τῶν πλείστων δυσφήμους αἰσχυνόμενος ἀκοάς, οἴκοι τὸ παράπαν ἀπρόϊτος ἔμεινε τοῦ λοιποῦ, ἀπειλαῖς παραπέμπων τὰ μέλλοντα πλείοσιν. ἐῶ γὰρ λέγειν ὅσα τῇ δυσηνίῳ ἑαυτοῦ γλώττῃ παραδεδωκὼς τὴν διάνοιαν ἐξηρεύξατό τε καὶ λελοιδόρηκεν ἄσεμνα. γέγονε 3.540 δέ τις διαπορία τοῖς [τε] ἀκηκοόσι πῶς τἄλλα τῶν ἐγκλημάτων ἅπαντα ἐν δευτέρῳ θέμενος λόγῳ, τῷ τῆς Μασαλιανῆς αἱρέσεως ἐμπεφιλοχώρηκε μάλιστα καὶ περὶ πλείστου πεποίηκε. καὶ ἄλλοι μὲν ἄλλα, πάντων δ' εἰς ἕνα σκοπὸν τὸ πέρας ἤθροιζεν ἡ συμφωνία ὅτι παλαιὸν αὐτῷ νόσημα ὂν τουτοΐ, καὶ πολλάκις αὐτοῦ κατηγορηθὲν καὶ παρὰ πολλῶν ἀλλοτρίων, νῦν ἄφυκτον ἔσχε τὴν δύναμιν ἡ κατηγορία, ὅτι ἐκ τῶν ἔνδον καὶ τῶν οἰκείων καὶ ἀφ' ἑστίας ὁ τῆς κακίας ἐξελήλυθεν ἔλεγχος, ὡς ὁ τῶν ἐπισκόπων μεμαρτύρηκέ τε καὶ διεβεβαιώσατο λόγος τῷ βασιλεῖ· ἔφασαν γὰρ τά τε ἄλλα κατὰ τοῦ πατριάρχου οἱ τοῦ πατριάρχου, καὶ ὡς ὁ τὸ μοναδικὸν περικείμενος σχῆμα, Σκορπίος τοὐπώνυμον, οὗ πολὺς πολλάκις γέγονε λόγος τοῖς τε ἄλλοις καὶ μάλιστα τοῖς ἐν Ἄθῳ τῷ ὄρει τὴν ἄσκησιν διανύουσιν, καὶ οὗ χάριν δύο καὶ τρεῖς που τομογραφίαι καὶ ὕπαιθροι κατηγορίαι παρ' ἐκείνων ἐν Κωνσταντινουπόλει τῷ τε πατριάρχῃ καὶ τοῖς ἐπισκόποις ἐπέμφθησαν, μηνύουσαι φρικώδη τε καὶ πλεῖστα μυσαρὰ καὶ μὴ μόνον χριστιανῶν ἀκοαῖς ἀποτρόπαια καὶ λίαν φευκτά, ἀλλὰ καὶ τοῖς βαρβάρων ἀθεωτάτοις κατάπτυστα. οὗτος οὖν, φασίν, ὁπότ' ἐκ Τριβαλλῶν, καὶ ὅθεν ἄλλοθεν τὰς ἀδήλους ποιεῖται χρονίας διατριβάς, ἐπιδημοίη τῇ Κωνσταντινουπόλει, μόνῳ Καλλίστῳ ὁμόστεγός τε καὶ ὁμοδίαιτος γίνεται τῷ πατριάρχῃ, καὶ μυσταγωγὸς καὶ μύστης 3.541 ἀπορρήτων ὀργίων. ἔπειτ' ἐκεῖθεν ἰὼν ἐν τῷ κήπῳ ἐνουρεῖ καθήμενος τῇ τῶν πρασιῶν χλόῃ καὶ πόᾳ, ὁπόσην καὶ οἵαν διὰ τὸ οἴκοθεν εὔοσμον ταῖς χύτραις ἐμβάλλουσιν οἱ τὰς τῶν ἐδεσμάτων ἑτοιμάζοντες τῇ τοῦ πατριάρχου



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τραπέζῃ ποικιλίας. καὶ ἡμῶν, φασί, τὴν αἰτίαν τοῦ τολμήματος ἐρομένων καὶ ἅπαξ καὶ δίς, οὐδὲν ἐκεῖνος ἔφη καινὸν εἶναι τουτί· καὶ γὰρ καὶ κύνες ἐνουροῦσιν αὐταῖς καὶ γαλαῖ, καὶ κόπρια ἐπιρραίνουσι ζώων ἀλόγων τε καὶ ἀνθρώπων, εἰ τύχοι που· καὶ τὸ κωλῦον οὐδέν. καὶ ταῦτα μὲν ἐρόμενοι ἠκηκόεισαν, ὡς ἐκεῖνοι φασίν· ἃ δὲ ἰδόντες σιγῇ μὲν ἐπ' ἐκείνου παραδόντες ἥκιστα ἤροντο, πεπεισμένοι λίαν ἀνόσιά τε καὶ βέβηλα εἶναι καὶ ἄντικρυς διαβολικῆς ἔργα διδασκαλίας, τοῖς δ' ἐπισκόποις ἐμήνυσάν τε καὶ διεκωδώνισαν, ταῦτ' ἄρρητα μὲν ἄμεινον κεῖσθαι· ἴσασι γὰρ οἱ τὰς τομογραφίας ἐκείνας ἀνεγνωκότες καὶ ἀποφηνάμενοι Μασαλιανῶν εἶναι τὰ τοιάδε τῶν μυσαρῶν ἐπιτηδευμάτων. μεμνήμεθα γὰρ ὡς καὶ ἐπὶ Ἰωάννου τοῦ πατριάρχου πρὸ ἐτῶν ἐγγὺς πεντεκαίδεκα τόμος ἡμῖν ἐξ ὄρους τοῦ Ἄθω κεκόμισται, ταῖς πάντων σχεδὸν τῶν ἐκεῖ λογάδων σεσημασμένος ὑπογραφαῖς, καὶ πρό γε πάντων καὶ μετὰ πάντων τοῦ τηνικαῦτα τὸ πρωτεῖον ἔχοντος Ἰσαάκ, καὶ ἅμα τοῦ ἀρχιερατεύοντος καὶ ἐπισκοποῦντος ἐκεῖ μετὰ τῆς τοῦ πνεύματος χάριτος θείου ἀνδρός, δηλῶν τῇ καθ' ἡμᾶς ἱερᾷ συνόδῳ πάντας ἐκείνους ὀνομαστὶ καὶ καθ' ἕκα 3.542 στον, ὅσοι προσωπεῖον εὐλαβείας ὑποδυόμενοι λελήθασι μὲν ἐκ πολλοῦ παραδύντες εἰς τοὺς ἱεροὺς ἐκείνους τοῦ ὄρους τόπους, καὶ ὅσοι τῶν ἁπλουστέρων ἐκεῖ πολλοὺς εἰς τὴν οἰκείαν ταύτην παρασύραντες μυσαρὰν αἵρεσιν, ἐμφανεῖς δ' ἐγεγόνεισαν τηνικαῦτα· καὶ πάντων εἰς ἕνα που τόπον ἐκεῖ συναχθέντων, καὶ δημοσίᾳ τῆς κακίας ἐληλεγμένης, ὅσοι μὲν ὡμολογηκότες τὴν ἑαυτῶν ἐξωμόσαντο κακίαν, παρέμειναν ἔτι συγχωρηθέντες ὅπως ποτ' ἐκείνῳ τῷ ὄρει, ὅσοι δ' οὔ, πάντες ἐξώσθησαν ἄκοντές τε καὶ σὺν ἀκοσμίᾳ πάσῃ, πλὴν ἢ ὅσοι ἐλελήθεσαν σιωπῇ καλυφθέντες ὑπὸ τῶν συνειδότων. καὶ ἅμα κατόπιν ἐκ τῶν τοῦ ἁγίου ὄρους ἀνδρῶν ἐκείνων ἀνὰ πᾶσαν πόλιν καὶ νῆσον περιῄεσαν κήρυκες γράμματα ἐπαγόμενοι τήν τε μυσαρὰν αὐτῶν ἀνακαλύπτοντα αἵρεσιν καὶ τῆς αὐτῶν ἀφίστασθαι κελεύοντα ὁμιλίας καὶ κοινωνίας, δι' ὅσα τελοῦσιν ἄθεσμά τε καὶ ἔκφυλα καὶ πάσης ἀνοσιότητος πλήρη τερατουργήματα. πιστοῦνται μὲν οὖν αὐτῷ τὰ εἰρημένα τῇ τῶν Μασαλιανῶν αἱρέσει συνειλημμένῳ πρὸ πλείστων ἐτῶν· πιστοῦνται δ' ἔτι μᾶλλον καὶ ἅπερ ὑπὲρ ἑαυτοῦ τοῖς ἰδίοις προφέρειν ἐξάγεται χείλεσιν οὗτος, ὡς εἶναι λοιπὸν ἀναπόδραστον δίκτυον καὶ παγίδα στερρὰν κατὰ τὴν παροιμίαν τὰ ἴδια χείλη. ἰσχυρίζεται γὰρ εἶναι πάντῃ ψευδῆ ἃ κατὰ διαφόρους φαίνεται κατηγορούμενος τοὺς καιροὺς τὰ αὐτά, καὶ διατείνεται μᾶλλον ἐξ ἀντιθέσεως λέγων ὡς αὐτὸς 3.543 ἦν ὁ δημοσιεύσας καὶ θέατρον ἐξενηνοχὼς κατὰ τῶν ἐν τῷ Ἄθῳ τῷ ὄρει παρεισφθαρέντων ἐκ πολλοῦ Μασαλιανῶν, αὐτὸς ὁ ἐξελέγξας κατ' εἶδος ὅσα ἐκείνοις ἀθέμιτα λάθρᾳ τελεῖται· ἐνίους μὲν γὰρ ἁλῶναι αὐτῷ φησὶν ἐπ' αὐτοφώρῳ ταῖς ἰδίαις χερσὶ ῥιπτοῦντας ἐν κοπρῶνι τὰς θείας τοῦ σωτῆρος εἰκόνας αὐτοῦ τε καὶ τῶν ἁγίων αὐτοῦ, ἐνίους δ' αὖθις καὶ πολλάκις ἕτερα τελοῦντας πῶς μὲν παραπλήσια πῶς δὲ μυσαρώτερά τε καὶ φρικωδέστερα, ὡς μηδὲ λέγειν καὶ γράφειν ἐνταῦθ' ἡμᾶς δύνασθαι διὰ τὸ τῆς ἀτοπίας ὑπερβάλλον. καὶ ταῦτα λέγων ἐπῆγεν οἱονεί τι συναγωγὸν ὑπενθύμημα, ὡς οὐκ ἂν ἐδημοσίευόν ποτ' ἐγὼ τὴν τοσαύτην κακίαν, εἰ ἐμαυτῷ συνειδέναι ἐνῆν μοι τοῖς τοιούτοις τῶν Μασαλιανῶν συνειλημμένῳ τε καὶ ὁμόλογα φθεγγομένῳ ἐγκλήμασι. ταῦτα δ' αὐτὸς ὑπὲρ ἑαυτοῦ προτεινόμενος, ἐπὶ τὰ ἐρρωμένα μᾶλλον τοῦ ψεύδους βαδίζειν ἑκὼν ἐξηλέγχετο, συλλογιζόμενος ἃ μὴ πέπραχεν ἀνθ' ὧν ἐπεπράχει, καὶ ἐλελήθει καθ' ἑαυτοῦ συρράπτων καὶ συσκευάζων οἷς αὐτὸς αὐτίκα περιστοιχίζεσθαι ἤμελλεν ἀφύκτοις καὶ ἰσχυροῖς δικτύοις. οἱ γὰρ κατηγοροῦντες αὐτοῦ τῶν τ' ἐπισκόπων καὶ πρεσβυτέρων τά τ' ἄλλα προύφερον εἰς ἀπόδειξιν τοῦ ψεύδεσθαι προδήλως αὐτόν, καὶ οὐχ ἥκιστα τὴν μακράν τε καὶ ἄρρηκτον τοῦ Σκορπίου φιλίαν, ὃν πολλαὶ μαρτυρίαι καὶ σφόδρα σα 3.544 φεῖς ἐκ πολλοῦ Μασαλιανὸν εἶναι κατεψηφίσαντό τε καὶ ἀεὶ καταψηφίζονται, πολὺ τὸ ἀναμφίλεκτον ἔχουσαι καὶ ἥκιστα νέφει συγκρύπτεσθαι δυνάμεναι πλάσματος


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

οὐδενός. τῷ γὰρ τὴν αὐτοῦ φιλίαν ἐξ ἀρχῆς ἀναπόσπαστα κεκτημένῳ καὶ οἷον ἐν τοῖς τῆς καρδίας θαλάμοις ἀγαλματοφοροῦντι, τίς ἄν ποτε πιστεύσειεν ἄλλους ἐλέγχειν ἐγκαυχωμένῳ, καὶ οὐ μάλα μᾶλλον συμμύστην ἐκείνοις εἶναι καὶ κοινωνὸν ἀεὶ καταψηφίζοιτο προφανῆ; τέτταρας δὴ οὖν ταύτας ξυνειλοχέναι τοῖς κατηγόροις προτάσεις, οὐκ ἄλλοθέν ποθεν ἀλλ' ἐξ ὧν αὐτὸς ὑπὲρ ἑαυτοῦ προήνεγκε, τέως γεγένηται, πρῶτον μὲν ὅτι μυσαρωτέραν καὶ αὐτὸς ἁπασῶν αἱρέσεων τὴν τῶν Μασαλιανῶν ἡγούμενος αἵρεσιν, ὡς φησὶ νῦν, καὶ συνειδὼς τῷ ὄρει τότε ἐπιπολάζουσαν, οὐκ ἀνεκάλυψεν οὔτε πρὸ τῶν ἄλλων οὔτε μετὰ τοὺς ἄλλους, οὔτε τότε οὔτε μετ' ὀλίγον εὐθύς, καὶ ταῦτα τῶν πολλῶν εἷς ὢν καὶ αὐτὸς οἷς συμπαρεῖναι τηνικαῦτα καὶ ἀκροᾶσθαι συνέβαινε. δεύτερον δὲ πῶς τότε μηδὲ συνηγορεῖν γοῦν βουληθεὶς τοῖς ὅπως ποτὲ ἀνακαλύψασιν ἄλλοις τοσαύτην κακίαν ἐκεῖ, ἀλλ' οὕτω μακραῖς ἐτῶν περιόδοις ὥσπερ τινὰ θησαυρὸν θαλαμεύων ἐν καρδίᾳ καὶ μέχρι νῦν περιθάλπων ἀνέκφορον τὴν κατ' εἶδος προαγωγὴν καὶ σαφήνειαν, ἔπειτα νῦν ἐκπομπεύειν ἐθέλει, τοῦ τοῖς ἐλέγχοις πάλαι προσήκοντος χρόνου στάντος ἐκ διαμέτρου, καταφυγὴν λεληθυῖαν οἰόμενος ἴσως θηρᾶσθαί τινα νῦν πρὸς ἀπαλλα 3.545 γήν. τρίτον δὲ πῶς πολὺν ἤδη χρόνον κατηγορούμενον τὸν Σκόρπιον ἐν ἀκμαῖς ἀεὶ πρακτικαῖς τῆς τοιαύτης αἱρέσεως εἶναι, καὶ πολλῶν ἐρχομένων γραμμάτων ἐκ τῶν τοῦ ὄρους τιμίων ἀνδρῶν προδήλως τὴν ἀρχαίαν καὶ μέχρι νῦν ἀνθοῦσαν ἐκείνου κακίαν ἐξελεγχόντων, αὐτὸς ἀεὶ περιέπων ἐγκαρτερεῖ, πρόμαχος ἄμαχος ἐκείνῳ γενόμενος καὶ στῦλος εἰπεῖν ἀδαμάντινος, καὶ θαμὰ βοῶν, καὶ γῆν ἀναμιγνὺς οὐρανῷ, καὶ κατὰ τοὺς μαινομένους τὸ τῆς γνώμης ἱστάμενον ἐλαυνόμενος καὶ πάντας ἀναθέματι μακρῷ παραπέμπων, οὐχ οἳ τούτοις ἐνέχονται τοῖς ἐγκλήμασιν, ἀλλ' οἳ τῷ Σκορπίῳ ἐνεχομένῳ προφέρειν ἥκιστ' ὀκνοῦσι. καὶ τέταρτον ὅτι καὶ μέχρι νῦν ὁρᾶν ἰσχυρίζεται τὸν μόνον ἀναλλοίωτόν τε καὶ ἄκτιστον θεόν, φῶς ἕτερόν τε καὶ ἄκτιστον ἐκ μεταβολῆς πρὸς τὸ ὑφειμένον γινόμενον αὐτῷ τρυφῶντι καὶ βλακευομένῳ. ταῦτα δὴ πάντα, καὶ εἴ τι τούτων ἐπέκεινα, προτάσεις τινὰς ἐκτιθέντες ἀναμφιβόλους ἀναμφισβήτητον ὡς εἰκὸς ἐπῆγον καὶ τὸ συμπέρασμα, λέγω δὴ τὸ Μασαλιανὸν ὑπάρχειν αὐτὸν ἐξ ἀρχῆς τε καὶ μέχρι τήμερον ἀναμφίλεκτον· εἶναι γὰρ ἀξίωμα τοῦτο πάλαι κυρωθὲν τοῖς τε θύραθεν καὶ ἡμετέροις τῶν διδασκάλων, ἐξ ἀληθῶν καὶ ἀναμφιλέκτων ὅρων καὶ προτάσεως ἀληθὲς ὁμοῦ καὶ ἀναντίρρητον ἐξ ἀνάγκης εἶναι καὶ τὸ συμπέρασμα. καὶ τάχ' ἂν ἐξωθεῖτο τῆς ἐπισκοπικῆς ἀξίας τότε, εἰ μὴ δειλίᾳ καὶ φόβῳ συσχεθεὶς αὐτὸς ὑπερβάλλοντι τὴν μὲν 3.546 τῶν δυοῖν βασιλέων εὐμένειαν δεήσεσί τε καὶ δάκρυσι πλείστοις ἐπ' ἀμφοῖν τοῖν καιροῖν ἐπορίζετο, τὴν δὲ τῶν ἀμφὶ τοὺς βασιλέας ἐπικουρίαν θωπείαις ἐξωνεῖτο καὶ ἀντιδόσεσι πολυτρόποις, ὡς εἶναι τοῦ λοιποῦ πρὸς τὰς βασιλικὰς καθάπαξ βουλήσεις αὐτὸν οὐ πάνυ σκληρὸν καὶ θρασύν, οὐδ' ἀντίτυπον ὡς τὸ πρότερον ἄλογόν τε καὶ ἀπροφάσιστον. Ἐγὼ δὲ μυρία καὶ μείζω τῶν εἰρημένων διεξιέναι ἔχων, ἃ τῆς σφῶν ἀτοπίας ἔλεγχον ἔχει σαφῆ, ἑκὼν παρίημι δυοῖν ἕνεκα, ἑνὸς μὲν ὅτι ταῖς τοιαύταις ἐνδιατρίβειν κηλῖσιν ἐθισμὸν τῇ γλώττῃ προστρίβεται ἥκιστ' ἀνδράσιν ἐπιεικέσι προσήκοντα, ἑτέρου δ' ὅτι, ἃ τοῖς πολλοῖς ἐκ πολλοῦ πρόκειται γνώριμα, τούτων πειρᾶσθαι τὴν γνῶσιν τοῖς εἰδόσι παρέχειν ἀρτίως παρὰ τοσοῦτον τοῦ τέρπειν ἀφίσταται παρ' ὅσον καὶ τὸ πιστεύεσθαι πρόχειρον ἔχει. ἃ γὰρ παρόντα προῖκα καὶ πόνων δίχα τὴν γνῶσιν παρέχεται, τούτοις ἐπιπολάζειν ὡς τὰ πολλὰ παρέπεται καὶ τἀηδές, εἴ τις κατόπιν διδάσκειν πειρῷτο. ἃ δ' ὅμως βωμολοχοῦσι καὶ κατὰ τῶν ἐμῶν βίβλων ὑφαιρούμενοι λάθρᾳ, τίς ἂν καὶ αὐτὰ διεξιέναι καθ' ἕκαστα δύναιτο; καὶ ταῦτα δρῶσιν αὐτοῖς καὶ ὑφ' ἡμῶν ἐλεγχομένοις ἀεὶ αἰδώς τις οὐκ ἔπεισιν, ἀλλ' ὕβρις ὕβριν ἔτεκε καὶ ἀσέβεια χαλεπωτέραν ἀσέβειαν. "ἀπηναισχύντησας" γάρ φησιν ἡ γραφὴ τοῖς τοιούτοις· "ὄψις πόρνης ἐγένετό σοι." τί 3.547 νος οὖν ἂν οἱ τοιοῦτοι φείσαιντο καθ' ἡμῶν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

λοιδορίας, τίνος δ' ἂν κατὰ τῶν ἐμῶν ἀπόσχοιντο βιβλίων ἀναισχυντίας, οἳ τὰ
τοιαῦτα διηνεκῶς κατὰ τῶν ἱερῶν τολμῶντες ἁλίσκονται γραφῶν, ἅτε μαχομένων
κἀκείνων τῇ σφῶν αἱρέσει πειρώμενοι. καὶ γὰρ κἀκείνους οἷον εἰπεῖν ἀπὸ δίφρου
τυραννικῶς ἀμυνόμενοι διὰ ταῦτα, καὶ ὡς ἐν ἀθύρματος λόγῳ τιθέμενοι τὰ
σεβάσμια, πάσαις ἀναίδην κατ' αὐτῶν ἐχρήσαντό τε καὶ χρῶνται βωμολοχίαις· καὶ
διασπῶντες ἔνθεν κἀκεῖθεν οὐδὲν ἄμεινον διατίθενται ἢ ὥσπερ τὰς βάκχας
ἀκούομεν κατὰ τοῦ Πενθέως μανείσας. ἀλλ' ἐκείναις μὲν ἀκούσιον πεπονθυίαις τὴν
τῆς μανίας αἰσχύνην, καὶ τὸ ἀνεγκλήτοις εἶναί τε καὶ ἅμα οἴκτου τυγχάνειν ἴσως
κατόπιν ἀκολουθεῖ, τοῦ ἀβουλήτου πρὸς ἑαυτό γε ἐφελκομένου τὰ τῶν
ἀποβαινόντων ἐγκλήματα· τούτοις δ' ἑκουσίοις δρῶσιν ἃ τοῖς μαινομένοις ἁρμόττει,
κόλασιν ἀνήκεστον ἐκκαλεῖται καὶ σφόδρα περίβλεπτον. κἀκείνων μὲν καὶ μάλα
ἑκόντες ἐπιλανθάνονται ἄνθρωποι, μηδεμίαν οὐδένες ἐκεῖθεν ἀτέκμαρτον
ὑφορώμενοι βλάβην· τούτων δὲ καὶ μάλα ἄκοντες μεμνῆσθαι ἅμα καὶ μισεῖν οἱ
πλείους ἀναγκάζονται, τὸν ἐκείνων φυλαττόμενοι κίνδυνον καὶ πρὶν ἰέναι
προαναστέλλοντες. καὶ γὰρ αὐτὰ δὴ ταῦτα καὶ κατὰ τῶν ἐμῶν ἔναγχος ἐπ'
αὐτοφώρῳ βίβλων ἑάλωσαν ἐμπεπαρῳνηκότες οἱ ἀναιδεῖς, τὸ μὲν εὖ προσθήκῃ
3.548 τοῦ φ στοιχείου πρὸς τὸ φεῦ μεταστοιχειώσαντες, τὸ δὲ καλὸν αὖ ἑνὸς
ἀλλοιώσει τοῦ λ στοιχείου μεταβεβληκότες εἰς τὸ κακὸν διὰ τῆς εἰς τὸ κ μεταβολῆς.
καὶ πρός γε ἔτι τὴν περί πρόθεσιν, λέξιν οὖσαν ὅλην, παραξέσαντες καὶ πρὸς τὴν
κατά μετενηνοχότες, ἀντὶ τοῦ περὶ τοῦ φωτός κατὰ τοῦ φωτός μεθηρμόσαντο,
ἀθύρουσι παιδαρίοις προσόμοια δρῶντες, καὶ ταῦτα τῶν ἐλέγχων ἐν ὀφθαλμοῖς
προκειμένων διὰ τῆς ὅλης ἐννοίας τοῦ λόγου καὶ τῶν ἐπιχειρημάτων ὁμοῦ καὶ
ἐργασιῶν, καθ' ὅσον εἰκός, καὶ μάλιστα τῶν γραφικῶν, καὶ πάνθ' ὅσα τῷ λόγῳ
πρόσεστι περὶ τοῦ τοιούτου φωτός. ἀλλὰ ταῦτα ποιοῦντες οὔτε βλάπτειν ἡμᾶς
δύνανται, καὶ ἅμα τὴν σφετέραν καὶ ἄκοντες ὡς ἐπίπαν ὁμολογοῦσιν ἀσθένειαν
μονονουχὶ βοῶντες, καὶ σφᾶς αὐτοὺς ἐκπομπεύοντες ὡς ἄλλως οὐκ ἔχοντες
ἀντιβλέπειν πρὸς τὴν ἀλήθειαν. καὶ πάσχουσι παραπλήσια τῇ τοῦ Αἰσώπου καμήλῳ,
ἣ δι' ἀσθένειαν ἔμφυτον κεράτων ἀμυντηρίων ἐπιθυμήσασα, καὶ τῶν ἰδίων ὤτων
ἐστέρηται. καί μοι λοιπὸν οἴεσθαι ἔπεισιν, ὡς ξίφει τὴν ἐμὴν ἀφελεῖν κεφαλὴν καὶ
τῆς παρούσης ἀπαλλάξαι ζωῆς ἐν βραχεῖ ἐφιέμενοι μὲν οὐ δυνάμενοι δέ, τἀμά, τὸν
δεύτερον πλοῦν, ὑποκλέπτοντες, μαχαίραις ἀποξέουσί τε καὶ ἀπαλλάττουσι πρὸς τὸ
σφίσι βουλόμενον, ἔστι δ' ὅτε καὶ βυθοῖς ἀφανισμῶν πρυτανεύουσιν ὅσον τὸ κατ'
αὐτούς, εἰ καὶ ἄλλως, τῆς θείας ἀντιπραττούσης δεξιᾶς, καιρίαν τε ἐπλήγησαν πολ
3.549 λάκις καὶ ἀεὶ πλήττονται καὶ λύκοι μάτην κεχηνότες δείκνυνται κατὰ τὴν
παροιμίαν. οὕτως ἀναίδειαν πᾶσαν ἐνδέδυνται καὶ ἦθος ἰταμὸν καὶ οὐδαμῇ ποτὲ
ὑπισχνούμενον τὴν διόρθωσιν. δέον γὰρ αὐτοὺς καταδύεσθαι καὶ ἐρυθριᾶν, οἳ δὲ καὶ
ἀναισχυντοῦσί γε, τὰ μείζω τε καὶ χαλεπώτερα κατὰ τῶν ἐμῶν, ὡς εἴρηται, νῦν τε
δρῶντες καὶ δρᾶν ἀεὶ ἀπειλοῦντες ἔτι, μηδενὸς ἕνεκα πάντως ἑτέρου τῶν πάντων ἢ
τοὺς ἐντεῦθεν ἐλέγχους ἀεὶ δεδιότες. ὡς ἀναγκάζεσθαι κἀμὲ παραινεῖν, οἷς μετιέναι
ταύτας ἔπεισι φίλοις οὖσιν ἡμῶν μετὰ τὴν ἐμὴν τελευτήν, ζητεῖν καὶ παρατιθέναι
τὰς τέως αὐτοῖς ἀνὰ χεῖρας ἑτέραις ὁμοίαις καὶ ὁμοίως ὑφ' ἡμετέρων
μετεγγραφείσαις ὀρθῶς φοιτητῶν, καὶ συνορᾶν οὑτωσὶ τἀληθές. τὸ γὰρ τοιοῦτον
ἔγωγε δέος προκαθιστὰς καὶ πόρρωθεν προανασοβῶν, πολλαπλασίαις αὐτὰ
διαφόρων μετεγγραφαῖς ἐδεδώκειν χειρῶν γράφειν ὀρθῶς ἠσκημένων, ἃ μὲν
οἰκείοις ἀναλώμασιν, ἃ δὲ φίλοις αἰτησαμένοις εἰς πλοῦτον, φάναι κατ' αὐτούς,
ἱερόν τε καὶ ἄσυλον. Ἀλλ' ἐν τοιούτοις ἀσχολουμένῳ τε καὶ μοχθοῦντι τῷ Παλαμᾷ
τὸ τοῦ βίου πέρας ἐπῄει μάλα πικρόν τι καὶ αἴσχιστον· τῷ γὰρ συνήθει περιπετὴς
γεγονὼς ἰλεῷ, τῆς ἀνατροπῆς δηλαδὴ τῶν ἐν τῇ κοιλίᾳ σιτίων ἄνω διὰ τοῦ
στόματος, καὶ πρός γε μανιώδει φρενίτιδι, βιαίως οὕτω καὶ λίαν πικρῶς ἀπερράγη



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τοῦ ζῆν. κἄπειτα οἱ αἱρεσιῶται καὶ οἱ 3.550 μάλιστα γνήσιοι καὶ οἰκότριβες, τῷ τε φιλοδοξοῦντι καθελκόμενοι τῆς γνώμης καὶ ἅμα τὸ αἴσχιστον τῆς τελευτῆς καλύπτειν σπεύδοντες, ἀντίπαλον τῷ συμβάντι φήμην ἀνὰ τὴν πόλιν Θεσσαλονίκην ἐξήνεγκάν τε καὶ περιήνεγκαν, ὡς ἰῷτο νοσήματα καὶ θεραπεύοι πυρέττοντας καὶ φυγαδεύοι πληγάς, καὶ τοιαῦτα ἅττα ἀλλοπρόσαλλά τε καὶ ἔκφυλα, ὡς ἂν τῷ τερατώδει τῆς φήμης ἀντιπερισπάσαιέν τε πρὸς τὸ τῆς ἐκπλήξεως μάλα καινότερον τὴν ἀκοήν, καὶ ἀπασχολήσαιεν πόρρω κομιδῇ τἀληθοῦς καὶ ὅποι τὸ τῆς φήμης φέροι πλανώμενον. ἀλλὰ πάντα δὴ τὰ τοιαδὶ φροῦδά τε καὶ ἀνεμιαῖα τῷ τοῦ χρόνου βαδίζοντι ἐξηλέγχοντο· οὐ γὰρ τοῖς οὕτω προδήλοις τῶν ψευδῶν ἡ ἀλήθεια θωπεύεσθαι εἴωθεν· ἀλλ' ὁ χρόνος ἀνιχνεύων ἅπανθ' ὡς εἰκὸς ἔπεισί τε καὶ ἐπιτίθεται ἄλλοτ' ἄλλως, καθάπερ ἐν δίφροις ἡνιοστροφῶν, τὰ τῶν λεγομένων τε καὶ πραττομένων πέρατα, καὶ παρὰ πᾶσαν δόκησιν ἄλλοτ' ἄλλως ἐν τῇ τοῦ βίου θαλάσσῃ στρέφων ἑκάστῳ τοῦ σκάφους τοὺς οἴακας· καὶ οἷς ξυμπέπτωκεν ἄλλως ἐν ἄλλοις προσκροῦσαι θεῷ καιροῖς τε καὶ τόποις καὶ πράγμασι, τούτοις ἄλλως ἐν ἄλλαις πραγμάτων τύχαις ἐπιφέρει τὴν δίκην. ὅμως οἱ τῆς Παλαμικῆς αἱρέσεως θιασῶται τὸ τῆς τελευτῆς, ὡς εἴρηται, αἴσχιστον κρύπτειν ὡς δύναμις ἐπειγόμενοι, συχνὰ παρεῖχον ἀργύρια τῶν ἐν ταῖς ἀγυιαῖς ἐρριμμένων πενήτων ἐνίοις, ὡς τὰ ἐκεῖθεν ἡμῖν ἀφικνούμενα δεδήλωκε γράμματα, καὶ ἅμα προσιέναι τε ἔπειθον τῷ Παλα 3.551 μικῷ τάφῳ καὶ ὀνείρους ἐπιφημίζειν τερατώδεις τινὰς καὶ λίαν ἐφ' οἷς ἐμισθοῦντο συνᾴδοντας. ἃ δ' οἱ ἐκεῖθεν εἰς Βυζάντιον ἀφικνούμενοι συχνότερον ἄνδρες ἄλλοτ' ἄλλοι διηγοῦντο, καὶ ἅμα τὰ ἑτέροις ἕτερα τῶν γραμμάτων, ἦσαν τοιάδε. μετὰ γὰρ τὸ λάθρᾳ τῶν ἡμετέρων, φασίν, ἐνίας ὑφελέσθαι βίβλους οἱ ἐν Βυζαντίῳ τῆς φάλαγγος ὄντες ἐκείνου, ἐπεὶ μὴ ἐδύναντο ἀντιλέγειν, ὡς εἴρηται, πρὸς τὴν συκίνην ἐπικουρίαν ἐξ ἀνάγκης τὸν δεύτερον ἔβλεψαν πλοῦν, καὶ τῷ Παλαμᾷ ἐς Θεσσαλονίκην αὐτὰ ἐπεπόμφεισαν, εἰς ἀμύνης τόλμαν αὐτὸν ἐρεθίζοντες, παραπλήσια δρῶντες οἷς ἀκατίῳ βραχεῖ μεγάλης ὁλκάδος ἐπισωρεύσασι φόρτον ἐς ὑποβρυχίους πυθμένας ὠθεῖν εὐθὺς ἐξεγένετο. τῇ γὰρ εἰθισμένῃ τῆς γνώμης φιλοδοξίᾳ καὶ νῦν ὁ Παλαμᾶς τὸ τῆς γλώττης χαριζόμενος βλασφημούμενον, καὶ ἅμα γλυκείας τινὸς παραγεύων ἐλπίδος οἷς τὸν αἱρεσιώτην δῆμον πληροῦν τηνικαῦτα ξυνέπιπτεν, οὔτ' ἀπηγόρευσεν οὔτ' ἀνεβάλετο, ἀλλ' εἰς μεῖζον μακρῷ τῆς σφετέρας δυνάμεως ἐμβεβληκὼς ἑαυτὸν ἀγώνισμα πέπονθε κατάρας ἄξια μακρᾶς, καὶ ὅσα λέγειν ἡμεῖς αἰδούμεθα τήμερον, μή τις ἡμᾶς τῷ πεπονθότι χαίρειν ὑποπτεύσειε, τοῦ ἤθους ἡμῶν ὁποῖός τις ἂν εἴη πάντῃ διεστηκὼς καὶ καταψευδόμενος. τῷ γὰρ ἀγῶνι τουτωὶ συνδιημερεύων καὶ νύκτας ὅλας ἀγρύπνους διατελῶν, ὡς φασίν, 3.552 ἔλαθε, πρὶν ὁτιοῦν ἀπόνασθαι τῆς σπουδῆς, φρενίτιδι καὶ μανίᾳ κάτοχος, ὡς εἴρηται, γεγονὼς διὰ ξηρότητος ὑπερβολὴν ἐγκεφάλου. καὶ τὰ ἑξῆς λεγόντων ὁμοῦ καὶ γραφόντων ἑτέρων ἔστιν ἀκούειν. οὐ γὰρ ὀνειδίζοντες μεμνήμεθα τῶν τοιούτων ἡμεῖς νῦν· ἴσμεν γὰρ ὡς πονηροῖς τε καὶ ἀγαθοῖς ἐπ' ἴσης ἔπεισι τὰ τοιαδί, οἷς μόνος οἶδε κρίμασι κύριος· ἀλλὰ τῶν τῆς ἱστορίας ἐγκειμένων νομίμων καὶ καθ' ἕκαστα ζητούντων ἅπαντα, μετρίως ἡμεῖς καὶ τῶν τοιούτων ἁπτόμεθα. ἃ πλατύτερον ἕτεροι διεξιέναι ἥκιστ' ὀκνοῦσιν· ἀλλ' ἐκείνῳ τὴν αἰτίαν σαφῶς τῷ δαίμονι παραπέμπουσιν, ᾧ πονηρῷ γενομένῳ διὰ βουλήσεως μοχθηρίαν καθάπερ τις ἐφεῖται κλῆρος ἀΐδιος, τῶν ἀλλοτ' ἄλλως φυομένων τε καὶ ἐπιφυομένων κατὰ τῆς τοῦ θεοῦ ἐκκλησίας ἡγεῖσθαί τε αἱρέσεων καὶ πάντα δρᾶν τὰ χαλεπώτατα κατ' ἐξουσίαν, καὶ ἅμα ἐρεθίζειν ἔς γε τὸ πλάττειν ἁγίους αὐθημερόν, καὶ ταῦτ' ἐκείνους οἳ τὴν τῆς λατρείας ἡγεμονίαν ἐκείνῳ τε ἐκδεδώκασι, καὶ ἅπας αὐτοὺς καὶ βίος καὶ λόγος καὶ πρᾶξις τοῦ τῶν ὀρθοδόξων πάλαι διέγραψέ τε καὶ περιεῖλε χοροῦ, ἵνα μὴ ὁπόσοις λέγω καὶ ὑφ' ὅσων τῶν πατριαρχῶν τε καὶ ἐπισκόπων φυομένης ἤδη τῆς αἱρέσεως ἀναθέμασιν ἐμπεσόντες



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τῷ αἰωνίῳ πυρὶ παρεπέμφθησαν. Καὶ ταῦτα μὲν τοῦτον ἔσχε τὸν τρόπον, ἐγὼ δ' ἐκεῖνο ἐπαναλήψομαι νῦν. οἱ γὰρ τὸ Γαλατώνυμον ἔχοντες φρούριον, 3.553 ἐξότου βραχείας ἐκείνης ἐξ ἀλόγου φορᾶς καὶ παραδόξου τύχης ἐδράξαντο ἀφορμῆς, τῆς τε δηλαδὴ τῶν δυοῖν Ἀνδρονίκων τῶν βασιλέων διαστάσεως, μᾶλλον δ' ἀποστασίας τοῦ νέου πρὸς τὸν οἰκεῖον πάππον, καὶ αὖ τῆς δευτέρας, ἣν τεθνηκότων ἐκείνων κατὰ τοῦ νέου βασιλέως καὶ τῆς τοῦ νέου μητρὸς ὁ Καντακουζηνὸς κεκίνηκεν, παντοδαποῖς καὶ ποικίλοις δόλοις ἐκείνους μὲν πρότερον, τούτους δ' ὕστερον, ἐπαγγελίαις τε ἄλλοτ' ἄλλαις περιιόντες, ὁποῖαι καὶ ὅσαι τοῖς τοιούτοις ἥρμοττον καιροῖς, βουλαῖς δηλαδὴ καὶ χρήμασιν ἀφθονωτέροις καὶ συμμαχίαις ὁπλιτικαῖς καὶ τοιούτοις δή τισιν (ἐῶ γὰρ λέγειν καὶ οἵας ἐπὶ τούτοις λεληθότως δῆθεν ὑπέφαινον τὰς ἀπειλὰς καθ' ὧν ἡ πειθὼ χώραν ἐνίοτε ῥᾳδίαν οὐχ εὕρισκε), καὶ νῦν μὲν θατέρῳ προστιθέμενοι μέρει καὶ πρὸς θάτερον αὖθις ταλαντευόμενοι, καὶ ἀεὶ θάτερον παρὰ θάτερον ἀμοιβαδὸν ἐξαπατῶντες, πῶς μὲν ἑκοντὶ πῶς δ' οὐ μάλα ἑκοντί, τῆς τοῦ καιροῦ περιστάσεως πόρρω τοῦ δέοντος ἐλαυνούσης τὸν δρόμον τῶν ἀνηκόντων λόγων καὶ πράξεων, ἔλαθον τοὺς οἰκείους ὅρους ἐκ πάνυ τι εὐτελοῦς τε καὶ χαμαιζήλου περιοχῆς ἐκτείναντές τε καὶ ὀχυρώσαντες πρῶτον μὲν ξυλίνοις τισὶ θριγκοῖς καὶ τάφροις βαθείαις, ἔπειτα τείχεσιν ὑψηλοῖς τε καὶ ὀχυροῖς καὶ δυσανταγωνίστοις. ἐντεῦθεν ὁρμώμενοι τοὺς τῆς οἰκείας πλεονεξίας ὅρους κατὰ χώραν μένειν ἐᾶν οὐδαμῇ γε ἐγνώκεσαν, ἀλλ' ἐφ' ἑτέροις 3.554 ἕτερα ἐπενόουν καὶ προσετίθεσαν ξένα τε καὶ ὑπέρογκα. ὅθεν καὶ τῆς τρίτης ταυτησὶ λοιπὸν ἀφορμῆς δραξάμενοι, τῆς τοῦ Καντακουζηνοῦ φημὶ πρὸς Παλαιολόγον τὸν νέον περὶ μοναρχίας ἔριδος, τῷ νέῳ προσεληλύθεσαν ἐξορίστῳ τέως εἰπεῖν, Τενέδῳ τηνικαῦτα τῇ νήσῳ ἐνδιατρίβοντι. καὶ ὅρκοις προκαταδήσαντές τε καὶ γράμματα πρὸς ἅπαν ἐκεῖθεν τὸ βουλόμενον εἰληφότες, λάθρᾳ ἐπέραινον ἐφ' οἷς ἐμισθώθησαν τοῦ λοιποῦ προθυμίᾳ πάσῃ ψυχῆς καὶ ὅπλοις καὶ χρήμασιν ἀφειδοῦσιν. οὐ μόνον δὲ ἀλλὰ καὶ Λατῖνος ἕτερος σφίσιν ὁμόφυλός τε καὶ ὁμογνώμων, μίαν ἔχων τριήρη καὶ βίον πειρατικὸν μετιών, κἀκ τοιούτων πόρων πλουτῶν, ὥσπερ ἑρμαίῳ χρησάμενος καὶ αὐτὸς τῷ καιρῷ, ταῖς ὁμοίαις ἐπαγγελίαις τὴν γνώμην καὶ αὐτὸς χειροῦται τοῦ βασιλέως, Τενέδῳ τῇ νήσῳ προσσχών. ὅθεν καὶ μοναρχήσαντος τοῦ νέου τουτουῒ βασιλέως ἐντελῆ τὰ ὑπεσχημένα ἑκάτεροι ἀπειλήφεσαν, οἳ μὲν τὸν τοῦ φρουρίου περίβολον εἰς μῆκος καὶ πλάτος ὅσον πλεῖστον ἐξῆν ηὐξήκοτες πρός τε δύσιν καὶ ἄρκτον καὶ ἑώαν, ὃ δὲ γαμβρὸς ἐπ' ἀδελφῇ τῷ βασιλεῖ καταστὰς καὶ ἅμα Λέσβον τὴν νῆσον εἰς προῖκα λαβών. Τοιαῦτα καὶ οὕτω πολύτροπα διὰ βιαίας ἀνάγκας καὶ τύχας τοὺς ταλαιπώρους Βυζαντίους μᾶλλον δ' ὁμοῦ Ῥωμαίους ἅπαντας κατειλήφεσαν τὰ δεινά, ὥσπερ πηγῆς ἐξερ 3.555 ρυηκότα καὶ ἀποβλύσαντα θολερᾶς καὶ πικρᾶς τῆς τῶν τότε ἀρχόντων τυραννίδος, ἥν τε κατὰ τῆς βασιλείας καὶ ἣν κατὰ τῶν θείων δογμάτων ἐπήνεγκαν, χειμῶνα καὶ διωγμὸν τὸν βαρύτατον ἐγείραντες κατὰ παντὸς ἀγαθοῦ· δι' ὃν καὶ θεός, οἶμαι, τὴν ἑαυτοῦ συνέστειλε πρόνοιαν. κἀντεῦθεν ἅπαν μὲν παιδείας ἐξελήλαται εἶδος καὶ ἀντέστραπται πρὸς τοὐναντίον ἀρετὴ καὶ εἴ τις ἔπαινος ἀγαθοῦ· καὶ ἐπεπόλασε κατὰ πάντων σχεδὸν Ῥωμαίων, ὅσοι τῆς νέας εἰσὶ πολιτείας, ἤθη καινὰ καὶ ἀλλόκοτα καὶ οὐδαμῇ τῆς πρὶν βασιλικῆς ἐκείνης καὶ πολιτικῆς συνέσεως καὶ παιδείας καὶ εὐταξίας. τί δ' ἄν τις φαίη καὶ περὶ τῶν ἐνδυμάτων, ὅσα κἀν τούτοις παρηνομήθη, καὶ ὅπως ἐκτετόπισται τοῦ γνωρίμου τε καὶ συνήθους πολιτεία, ὡς μηδὲ γινώσκεσθαι ἔτι ὅστις Ῥωμαίων καὶ ὅστις τῶν ἄλλως ἐχόντων γενῶν· οὔτε γὰρ Περσική τις ἄκρατος ἡ στολὴ γέγονεν ἤδη Ῥωμαίοις, οὔτε Λατινικὴ τελέως, οὔτε μὴν τις Γοτθικὴ καθάπαξ, οὔτε εἴ τις Τριβαλλῶν καὶ ἅμα Μυσῶν καὶ Παιόνων· ἀλλ' ἐκ πασῶν τὸ διὰ πασῶν εἰπεῖν τῆς μουσικῆς ἐκείνης ἁρμονίας καὶ ἀρετῆς ἐπὶ τῶν ἡμετέρων ἀντέστραπται χρόνων ἐς ἅπαν τοὐναντίον μῖγμα καὶ συμφόρημα· καὶ ὁρῶμεν τῶν ἱερῶν περιβόλων εἴσω τοὺς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τῶν φίλων παῖδας τὴν μὲν κεφαλὴν ἐοικότας Λατίνοις, τὸ δὲ σῶμα πᾶν περσικῶς τε καὶ μηδικῶς ἐσταλμένον, καὶ τοὐναντίον ἐς τὴν ὑστεραίαν τοὺς αὐτοὺς νῦν μὲν ἄλλως νῦν δ' ἄλλως νῦν 3.556 δ' οὐδετέρως, τρόπον δέ τινα τερατωδέστερον καὶ ἀλλόκοτον κατὰ τὴν ἑκάστων ἀδέσποτον βούλησιν, οἶμαι, τοῦ θεοῦ συγκεχωρηκότος εἰς τοῦτο κακίας ῥαγῆναι Ῥωμαίους ὥστε τὸν ἔνδον τῆς ψυχῆς χειμῶνα καὶ τὴν περὶ τὰ θεῖα τῆς ἐκκλησίας δόγματα ποικίλην ζάλην καὶ ἀστασίαν διὰ τῶν ἔξω τοιούτων σχημάτων δηλοῦσθαι, καὶ σφῶν αὐτῶν αὐτοὺς αὐτόθεν εἶναι κατηγόρους, ἐκ πρώτης εὐθὺς ὄψεώς τε καὶ ἐντυχίας. καὶ ὥσπερ ἐπὶ θαλάττης, ἐπειδὰν τῶν σφετέρων ἀγκυρῶν ὀρφανισθεῖσα ναῦς ἐξωσθῇ πρὸς τὸ πέλαγος, μυρίας καὶ ἀτεκμάρτους ἀντλεῖ τὰς πλάνας καὶ τοὺς κινδύνους, οὕτω κἀνταῦθα ἑνὸς ἀτόπου δοθέντος, μυρία τὰ ἄτοπα ἠκολούθησε, πρῶτον μὲν ἡ τῶν μεγίστων ἐκ παλαιοῦ καὶ περιβλέπτων παλατίων καὶ ὅσοι τῶν τούτοις παραπλησίως ἐνδόξων οἴκων καθαίρεσις, καὶ ἅμα ἡ τῶν κιόνων καὶ τῶν ἐπιπέδων καὶ ποικίλων καὶ θαυμασίων μαρμάρων πιπρασκομένων διηνεκὴς πρὸς τὸ Γαλατώνυμον φρούριον ἀπαγωγή, καὶ ἡ τῆς ἐντεῦθεν χάριτος ἐκεῖσε μετάθεσις, καὶ ὅσα κόσμον παρεῖχε τῇ μεγίστῃ ταύτῃ τῶν πόλεων καὶ περιβόητον τὴν λαμπρότητα· εἶτα τῶν ἱερῶν καὶ θείων νεῶν ὁπόσοι μεῖζον πολλῷ τῆς τῶν οἴκων ἐκείνων περιφανείας παρεῖχον τῇ πόλει τὸ κλέος. Τοῦ δ' ἦρος ἀρχομένου ὁ τῶν Τριβαλλῶν ἀρχηγὸς ἐτεθνήκει Κράλης Σερβίας, καὶ θόρυβον ἔσχε καὶ ζάλην ἐντεῦ 3.557 θεν ἐκεῖ τὰ πράγματα τῷ νέῳ τῆς ἀρχῆς διαδόχῳ, οὐ μόνον ἐκ τῶν τῆς χώρας ἐπιτρόπων αὐτοῦ καὶ τῶν πόλεων, ἀλλὰ καὶ Νικηφόρος ὁ κόντου Κεφαλληνίας υἱός, ὃν ὁ λόγος ἄνω που δέδειχε γαμβρὸν ἐπὶ θυγατρὶ καταστάντα καὶ συμπαρομαρτοῦντα τῷ βασιλεῖ Καντακουζηνῷ πρὶν ἢ βασιλείας δράξασθαι, ἔδραμεν εὐθὺς πρὸς Ἀκαρνᾶνας καὶ Αἰτωλούς· καὶ συλλήπτορας εἰληφὼς ἐκείνους, καὶ ἅμα τὸν τηνικαῦτα τῶν ἐκεῖ χωρῶν τε καὶ πόλεων ἀρχηγὸν Σίμωνα τὸν ἐπ' ἀδελφῇ μὲν γαμβρόν, υἱὸν δὲ τοῦ τεθνηκότος Κράλη Σερβίας, ἐπέθετο ταῖς ἄχρι τόθ' ὑπηκόοις τῷ Κράλη πόλεσι τῆς Θετταλίας, προσκαλουμένας μὲν αὐτὸν ἐκ πολλοῦ, νῦν δὲ καὶ προσχωρούσας ἑκοντί. καὶ παρεστήσατο τοῦτον τὸν τρόπον οὐκ ὀλίγην ἀρχήν, προσερρυηκότων τέως εἰς συμμαχίαν καὶ τῶν γειτόνων αὐταῖς Ἀλβανῶν καὶ Ἰλλυριῶν. Κατὰ δὲ τοῦτον τὸν χρόνον ἧκεν ἐκ Μυσῶν τῷ νέῳ βασιλεῖ Ἀνδρονίκῳ, τῷ τοῦ βασιλέως Ἰωάννου τοῦ Παλαιολόγου παιδί, νύμφη Μαρία ἡ τοῦ βασιλέως Μυσῶν Ἀλεξάνδρου θυγάτηρ, τὸν ἔνατον ἄρτι τῆς ἡλικίας ἀμείβοντι χρόνον ὁμῆλιξ οὖσα καὶ αὕτη σχεδόν. εἵπετο δ' ἐκεῖθεν εὐθὺς καὶ Εἰρήνη ἡ τοῦ βασιλέως αὐτοῦ Ἰωάννου τοῦ Παλαιολόγου ἀδελφή, πάλαι μὲν νύμφη πεμφθεῖσα τῷ τοῦ ῥηθέντος Ἀλεξάνδρου παιδί, χηρεύσασα δὲ μετὰ παραδρομὴν ἐνιαυτῶν ἄπαις· ἣ δὴ καὶ διῆγεν ἐκεῖ τὸν βίον ἑξῆς ἄχρι καὶ τήμε 3.558 ρον. ἑνὸς μὲν οὖν ἦσαν τέκνα πατρός, Ἀλεξάνδρου δηλαδὴ τοῦ τῶν Μυσῶνβασιλέως, ὅ τε συζυγεὶς αὐτῇ πρότερον καὶ ἡ νῦν ἐκεῖθεν ἐλθοῦσα νύμφη τῷ ἀδελφιδῷ αὐτῆς Ἀνδρονίκῳ, μητρῶν δὲ δυοῖν· ζῶσαν γὰρ τὴν προτέραν ἐξώσας σύζυγον Ἀλέξανδρος ἀντεισήγαγεν ἄλλην ἐξ Ἰουδαίων, ἄρτι προσαγαγὼν τῷ θείῳ ταύτην αὐτὸς βαπτίσματι, τοῦ κάλλους αὐτῆς, ὡς φασίν, ἐρασθείς. Καὶ ταῦτα μὲν τοῦτον ἔσχε τὸν τρόπον, καὶ τὸ ἔαρ ἐν τούτοις ἐτελεύτα· τοῦ δὲ θέρους ἀρχομένου συνεπεπτώκει τῶν υἱέων ἕνα τοῦ τῆς Βιθυνίας σατράπου Ὑρκανοῦ πειραταῖς ἁλῶναι, συμβὰν οὑτωσί, προσδοκίας ἁπάσης ἐπέκεινα, οἶμαι, τοῦ θεοῦ συγκεχωρηκότος, ἵνα μικρόν τι ἀναπεπνευκέναι Ῥωμαίοις ἐγγένηται, καὶ μὴ τῇ τῶν πολυετῶν κακῶν ἀπειρηκέναι συνεχείᾳ. γέγονε δὲ οὑτωσίν. ἔστι μετὰ τὸν Εὐξείνου πόντου αὐχένα θάλασσά τις βραχεῖα, μέτριον ἔχουσα τό τε μῆκος καὶ πλάτος, καὶ οἷον εἰπεῖν ἑκατέρῳ ἑκάτερον ἰσομέτρητον, μήκει πλάτος καὶ πλάτει μῆκος. ταύτης παρὰ τὰ εὐώνυμα καὶ πρὸς ἕω πλευρὰ κατιὸν ἐκ γῆς ἐπίμηκες ἀκρωτήριον δίεισι μέχρι μέσης σχεδὸν αὐτῆς, ὥσπερ εἴς τινα σκέλη δύο μερίζον ἣν τέμνει θάλασσαν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

καὶ διαιροῦν ἐφ' ἑκάτερα, καὶ γινόμενον μὲν αὐτὸ καθάπερ ἰσθμὸς τοὺς ἑκατέρωθεν κλύδωνας ἀνακόπτον καὶ θραῦον, ποιοῦν δ' ἐκεῖνα καθάπερ δύο πορθμούς, καὶ τὴν αὐτὴν ἑκατέρωθεν ἀνὰ μέρος ἀμφοῖν ἐκείνοις ἐν ταυτῷ παρεχόμενον χρείαν· ἅπερ τοῖς ἐγ 3.559 χωρίοις κόλποι δυσὶν ὀνόμασιν διαφόροις εἰς εὐσύνοπτον σύνεσιν τοῖς ἀκούουσιν ὀνομάζονται, ὁ μὲν Δασκέλιος, ὁ δ' Ἀστακηνός. τὸ δὴ τοιοῦτον μέρος τῆς Βιθυνίας εἰς κλῆρον πρὸς τοῦ πατρὸς Ὑρκανοῦ λαβὼν ὁ μετὰ τὸν πρεσβύτερον καθ' ἡλικίαν τρίτος τῶν παίδων νῦν μὲν θαλάσσης πόρρω που τὰς διατριβὰς ἐποιεῖτο νῦν δ' ἐγγυτέρω κατ' ἐξουσίαν αὐτόνομον. τὰς γοῦν θερινὰς ἐκείνας τοῦ ἡλίου φλόγας ἀποσειόμενος τηνικαῦτα, μίαν τῶν ἐκεῖ που περὶ δίκτυά τε καὶ ἰχθύων ἄγραν ἀσχολουμένων ἁλιάδων προσκαλεσάμενος, εἰσήει τε καὶ ἠρέμα παρέπλει τὸ ἀκρωτήριον ἐκ θαλάττης εἰς θάλατταν, οἵας δηποτοῦν ἀναψύξεως ἕνεκα. ἔτυχε δ' ἐν ταὐτῷ παρὰ τὰς ἐκεῖ που συνηρεφεῖς καὶ κατασκίους τοῖς δένδροις ἀκτὰς ἐλλοχῶσα πειρατική τις μονήρης, εἰωθυῖα κατ' ἄλλοτ' ἄλλους τόπους τῆς βαρβαρικῆς ἐκείνης παραλίου καὶ Ἀσιάτιδος γῆς τοῦτο ποιεῖν, κἀκ τῶν ἐκεῖθεν λαφύρων Περσικὰ κερδαίνειν ἐξ ἀδήλων χρήματα, κἀξ ἀλλοφύλων αἰχμαλώτων ἰδίαν πορίζεσθαι βίου διάρκειαν. αὕτη τοίνυν ἐξαίφνης ἐπεισπεσοῦσα τῇ ἁλιάδι ἐκείνῃ κατά τινα τύχην ἀδόκητον εἰσεπήδησέ τε καὶ εἷλεν, οὐκ ἄνευ μὲν τραυμάτων, εἷλε δ' οὖν. καὶ γέγονεν αὐτῇ τὸ κατὰ τύχην ἀνέλπιστον πάρεργον μεῖζον ἔργου παντὸς καὶ πολυετοῦς. διὸ καὶ μαθοῦσα τὸ τῆς ἄγρας πολύτιμον ᾤχετο παραχρῆμα παρὰ τὴν Φώκαιαν οἴκαδε ἀπιοῦσα, πόλιν Ἑλληνίδα μὲν τὸ ἀρχαῖον, νῦν δὲ βαρβάροις διδοῦσαν φόρους ὑπὲρ ἀφόβου καὶ ἀκινδύνου βίου τινός. κεῖ 3.560 ται γὰρ ἐν ἄκρᾳ κόλπου τινὸς θαλαττίου, μέχρι πλείστου τῆς Αἰολίδος γῆς προϊόντος, καὶ τῶν ὁρίων ἤδη σχεδὸν τῆς τῶν Λυδῶν παραψαύοντος χώρας. ταύτης ἐπιτροπεύει τῆς πόλεως, ὃν ἂν ὁ Ῥωμαίων ἕλοιτο βασιλεὺς καὶ ὃν ἐκ Βυζαντίων ἐκεῖσε πέμψειε, καθ' ὃν ἂν καὶ ἐφ' ὅσον κυρώσειε χρόνον. τὸ δὴ τοιοῦτον μαθόντι τῷ τοῦ ἑαλωκότος πατρὶ Ὑρκανῷ οὐ μάλα τι ἀνεκτὸν ἐνομίσθη, ἀλλ' οἰκείου θανάτου μηδὲ βραχύ τι ἀπεοικός, ὅτι τὸν υἱὸν ἐζημίωται μέν, ὑφ' ὧν δ' οὐκ ᾐσθάνετο· εἰκασμοῖς γάρ τισι καὶ στοχασμοῖς διαφόροις μερίζων τοὺς λογισμούς, μετέωρον παρεῖχεν ἀκοὴν τοῖς ἄλλοτ' ἄλλα θρυλλοῦσι μέχρι πολλοῦ. ὀψὲ δὲ Φωκαέας εἶναι πεπυσμένος τοὺς τὸν υἱὸν ἁρπάσαντας πειρατάς, καὶ τούτους Ῥωμαίους μέν, ἐκ δ' ἀλλοδαπῆς τινὸς καὶ μιξοβαρβάρου τῆς χώρας, καὶ μήτ' ἐκ θαλάττης ἔχων μήτ' ἐξ ἠπείρου τοὺς τὸν υἱὸν κεκτημένους ἀμύνασθαι, πρὸς μόνον ἔβλεψε τὸν βασιλέα, καὶ τούτῳ παρέχειν ὅλον ἑαυτὸν ἀσμένως ὑπισχνεῖτο φίλον τε ἀκραιφνῆ καὶ πρόθυμον ὑπηρέτην πρὸς ἅπαν τὸ κελευόμενον, καὶ χρημάτων ἄφθονον παροχέα τῶν ἀνηκόντων εἰς χρείαν, εἰ μόνον εὕροι λύσιν τοῦ δεινοῦ καὶ ζῶντα τὴν ταχίστην λάβοι τὸν παῖδα. μετεώρου γε μὴν τῆς τοιαύτης οὔσης ἀσχολίας, τεθνάναι τέως συνέβη καὶ τὸν πρεσβύτερον τῶν Ὑρκανοῦ παίδων, ὃν καὶ διάδοχον ἐταμίευεν ἑαυτοῦ καὶ 3.561 τῶν κατ' αὐτὸν μειζόνων τῆς σατραπείας πραγμάτων· ὃ καὶ μάλα μᾶλλον εἰς μείζους τε ἐξέκαυσε θρήνους Ὑρκανόν, καὶ ἅμα πρὸς θερμοτέρας ζητήσεις τοῦ ζῶντος ἔτι παιδὸς ἐν δεσμοῖς. διὸ καὶ πέμπων διηνεκῶς οὐκ ἔληγε τοὺς διαναστήσοντας βασιλέα καὶ πρὸς τοὖργον σπουδαιότερον καταστήσοντας, χρήματά τε ἐπὶ τούτοις ἃ μὲν οἴκοθεν ἐδίδου, ἃ δ' ἠφίει τῶν πρὶν ὀφλημάτων εἰς ἀναλωμάτων χρείαν, ὅσα ἱκανὰ τριήρεις πληρῶσαι καὶ ὁπλίσαι κατὰ Φωκέων. καὶ ἅμα προσετίθει καὶ ἐπηγγέλλετο ἔτι καὶ δέσμιον δώσειν αὐτῷ τὴν ταχίστην Ματθαῖον τὸν τῆς αὐτοῦ βασιλείας ἐχθρὸν καὶ πολέμιον, καὶ μακρῶν ἐν βραχεῖ θορύβων αὐτὸν ἀπαλλάξαι. καὶ δὴ πρῶτον μὲν ὁ βασιλεὺς τῷ τῶν Φωκέων ἐπιτροπεύοντι πρέσβεις ἔπεμπεν ὑπὲρ τούτου· ὃ δ' ἐπαρθεὶς τῷ εὐτυχήματι λόγους ὑπέρφρονας ἀντέπεμπε, καὶ ᾔτει χρήματα καὶ ἀξιωμάτων ὄγκους ὑπὲρ τὴν ἑαυτοῦ τύχην. ἐπεὶ δὲ δὶς καὶ τρὶς καὶ πολλάκις τῆς τοιαύτης δοκιμασθείσης πείρας αὐτός τε καὶ εἰς ἀποστασίαν ἔβλεψε καὶ ἄπρακτον



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐδείκνυ τὴν τοῦ βασιλέως σπουδήν, τριήρεις ὁ βασιλεὺς ἐκ Βυζαντίου μεγίστας μὲν τρεῖς, μικρὰς δὲ διήρεις καὶ μονήρεις πλείους ἀθροίσας ἐκ Τενέδου τε καὶ Λέσβου καὶ Λήμνου, ἄρας κατέπλευσεν ἐς τὸν τῶν Φωκέων λιμένα. καὶ ὁ χειμὼν ἐν τούτοις ἐτελεύτα. ἄρτι δὲ τοῦ ἦρος ἀρχομένου παρεσκευάζετο πρὸς πολιορκίαν. κἀπειδήπερ αὐτῷ ἥκιστα εὔοδον ἦν, εἰ μὴ τὸν τῆς ἔξω πρό 3.562 τερον χώρας, τὸν τῶν Λυδῶν ἡγεμόνα φημί, τῆς τῶν Φωκέων φιλίας ἐκστήσας ἑαυτῷ καταστήσειε φίλον, πέμπει δεξιὰν αὐτῷ, καὶ οἰκειοῦται πρός τε φιλίαν καὶ συγγενείας ἐπαγγελίαν. καὶ θαρρήσας ἤδη περιστρατοπεδεύει τὴν πόλιν ἔκ τε γῆς καὶ θαλάττης, καὶ ῥήγνυσι πόλεμον ἰσχυρὸν κατὰ τοῦ ἀποστάτου. ἀρρώστως δ' ἀμυνομένων ἔνδοθεν τῶν Φωκέων, καὶ ἅμα νότου ταῖς ναυσὶν ἀντιπνεύσαντος κραταιότερον, ἐγγὺς τῆς νίκης γενομένους ἀντέκρουσε τοὺς βασιλικούς. ἐπεὶ δὲ χρόνος ἐτρίβετο ἐπὶ τούτοις συχνός, καὶ ὁ βασιλεὺς ἐξιὼν ἀνυπόπτως ἤδη καὶ σὺν πολλῷ τῷ θάρρει μετὰ τῶν οἰκείων ὡς πρὸς φίλους καὶ ἑστιάτορας τοὺς βαρβάρους, συγκυνηγετῶν αὐτοῖς καὶ συνδιημερεύων ἀδεῶς διετέλει, καὶ ἐπηγγέλλετο μὴ πρότερον ἐκεῖθεν ἀπηλλάχθαι πρὶν λιμῷ κατατρίψας τὴν πόλιν βίᾳ καὶ ἄκουσαν παραστήσασθαι, σκέπτεται καθ' ἑαυτὸν ὁ βάρβαρος, ὁ τῆς Λυδίας λέγω σατράπης ἐκεῖνος, παρασπονδήσας ἀπονητὶ χειρώσασθαι βασιλέα συγκυνηγετοῦντα καὶ συνεστιώμενον, καὶ πολλῶν μὲν χρημάτων ἐν βραχεῖ πολλῶν δὲ πόλεων Ῥωμαϊκῶν γενέσθαι κύριος, καὶ ἅμα μέγα πρὸς τούτοις κτήσασθαι κλέος ἔν τε ὁμοφύλοις καὶ ἀλλοφύλοις. ἀλλὰ τοῦ θεοῦ τὰ κρείττω περὶ τοῦ βασιλέως βουλευσαμένου λέληθεν ὁ βάρβαρος πρὶν δεδρακέναι πεπονθώς. μηνυθέντος γὰρ τῷ βασιλεῖ παρ' ὁτουοῦν τῶν βαρβάρων τοῦ πονηροῦ βουλεύματος, ἀγνοῶν ὁ βάρβα 3.563 ρος ἧκεν ἐς τὴν ὑστεραίαν ἕωθεν, μετὰ τῆς εἰωθυίας ἀστειότητος ἵππους τῷ βασιλεῖ κομίζων καὶ προσκαλούμενος ἐπὶ κυνηγεσίᾳ πάλιν καὶ χαρίτων μεστὰς εὐωχίας καὶ φιλικὰ συμπόσια, ἐξιόντα τῆς ἡγεμονίδος τριήρους. ὁ δὲ βασιλεὺς προσποιησάμενος ἔχειν τι μυστικώτερον βούλευμα προειπεῖν αὐτῷ τῆς τριήρους ἐντὸς πρότερον, ἔπειτα συνεξίεναι, ἐκάλει πρὸς ἑαυτόν· ὃ δ' ὑπήκουε. καὶ εἰσιόντος ἐλύετο τὰ πρυμνήσια παραχρῆμα, καὶ ὤφθη μικρόν τι πρὸς πέλαγος εὐθὺς ἀναχωροῦσα ἡ ναῦς, ἐντὸς δικτύων ἔχουσα τὸν ἠπειρώτην ἐκεῖνον καὶ ἐπίορκον βάρβαρον. καὶ τῶν ἐλέγχων περιστάντων ἐξαίφνης ὡμολόγει καὶ αὐτὸς τὴν ἀτοπίαν τῆς γνώμης καὶ ἀνεκάλυπτε τὰς τῆς καρδίας ἀπορρήτους ἐπιβουλάς. ἧκεν οὖν μεθ' ἡμέρας ἡ τοῦ βαρβάρου σύζυγος, χρήματά τε ὑπὲρ τοῦ ἀνδρὸς κομίζουσα, καὶ ἅμα λέγουσα ὡς εἰ μὴ λάβοι τὸν σύζυγον, λήψεται ἀπιοῦσα ἕτερον ἐπὶ φυλακῇ τῆς ἡγεμονίας, μή πού τις τῶν πέριξ λῃστικῶς ἐπιδραμὼν καὶ ἐπιθέμενος ὀρφανῇ τῇ ἀρχῇ αὐτήν τε καὶ τὰ τέκνα δουλώσῃ. ὅπερ ἀκηκοὼς ὁ βασιλεύς, καὶ ξυννενοηκὼς ὡς ὁπότερον ἂν τῶν τῇ γυναικὶ ῥηθέντων γένοιτο ἐπιζήμιόν τε καὶ ἀκλεᾶ τὴν κατὰ τοῦ σατράπου νίκην τοῦ βασιλέως τίθησι, τά τε κομισθέντα χρήματα τέως ἐλάμβανε, καὶ ἀντὶ τῶν ἔτι ὀφειλομένων ἑξῆς ὅμηρα τὰ ἐκείνης δέχεται τέκνα, καὶ οὕτως ἐλεύθερον ἀφίησι τὸν ἄνδρα τῇ γυναικί.
3.564 Τοῦ δὴ τοιούτου στρατηγήματος εὐτυχῶς τε καὶ τραυμάτων δίχα τῷ βασιλεῖ γεγονότος ἕτερον ἐπιγίνεται μεῖζον, μᾶλλον δὲ τῶν αὐτῷ σπουδαζομένων τὸ μέγιστόν τε καὶ κραταιότατον. καὶ τό γε βέλτιον καὶ θαυμαστότερον, ὅτι καὶ ξὺν οὐδενὶ πόνῳ. ἱσταμένου γὰρ ἤδη τοῦ θέρους, καὶ τῶν ἀσταχύων προκαλουμένων τοὺς θεριστὰς καὶ ἀμαλλοδέτας, τετρακισχιλίους ἱππέας βαρβάρους ἀνειληφὼς πεμφθέντας παρὰ τοῦ Ὑρκανοῦ τοῦ γαμβροῦ Ματθαῖος ὁ βασιλεὺς ὁ τοῦ Καντακουζηνοῦ υἱός, καὶ εἴ τινες εἶεν τῇ αὐτοῦ βασιλίδι ὑπείκοντες στρατιῶται Ῥωμαῖοι περὶ τὸ Βωλερόν, καὶ διαβὰς τὰς περὶ Χριστούπολιν ἐστενωμένας παρόδους, ἐλήϊζετο τὰ ἐπέκεινα Φιλίππων ἄστεα, μᾶλλον δ' ὅσα περίοικα τούτοις χωρία Ῥωμαίων μὲν ὄντα, ὑπήκοα δὲ Τριβαλλοῖς ἐκ πολλοῦ. ὃ προεγνωκότος τοῦ τὴν χώραν ἐκείνην τηνικαῦτα διέποντος Τριβαλλοῦ, καὶ ἀντιστάντος ἐν ὅπλοις,



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΠΤΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἡττήθη κατὰ κράτος Ματθαῖος ὁ βασιλεύς, καὶ ἑάλω μὲν αὐτὸς ζῶν, ἑάλωσαν δὲ καὶ οἱ μετ' αὐτοῦ σχεδὸν ἅπαντες, ὅσοι μὴ ξίφους ἔργον ἐν τῇ μάχῃ γεγένηνται. τοῦτο μαθὼν ὁ βασιλεὺς ἄρας ἐκ Λέσβου, ἔνθα τηνικαῦτα τὴν ναυτικὴν διανέπαυε δύναμιν καὶ τὰ πρὸς πολιορκίαν Φωκέων συντείνοντα ἡτοιμάζετό τε καὶ προηυτρέπιζε, πλήρεσιν ἱστίοις καταίρει ἐς τὰ πέριξ Ἀβδήρων ἐπίνεια· καὶ πρέσβεις ἐκεῖθεν πεπομφὼς τῷ τὸν Ματθαῖον κατέχοντι δέσμιον Τριβαλλῷ, καὶ φιλίαν δοὺς καὶ λα 3.565 βών, καὶ δώροις οὐ μικροῖς φιλοφρονησάμενος, εἴληφε. καὶ αὐτὸν μὲν δέσμιον πρὸς Τένεδον πέμπει τὴν νῆσον ὁμοῦ τῇ συζύγῳ, τὰ δὲ τέκνα φυλάττειν παρέχει τῷ ἐπ' ἀδελφῇ γαμβρῷ Λατίνῳ, τῷ τηνικαῦτα Λέσβου τῆς νήσου ἐπιτροπεύοντι. ἔφθη γὰρ πολέμῳ προειληφὼς ὁ βασιλεὺς καὶ τὴν Γρατιανοῦ πόλιν, ἐν ᾗ καὶ ἡ Ματθαίου μετὰ τῶν τέκνων ᾤκει γυνή. ὁπότε παρ' αὐτῇ καὶ γράμματα εὕρηται Βυζαντίων πολλῶν, λάθρᾳ Ματθαίῳ πεμπόμενα πρὶν ἁλῶναι, δεικνύντα τὴν σφῶν πρὸς αὐτὸν εὔνοιαν καὶ στοργήν, καὶ ὅσα ἐπίβουλα κατὰ τοῦ Παλαιολόγου συνεσκευάζοντο. δι' ἃ δὴ καὶ τὴν ἀνὰ χεῖρας ἄλλην σπουδὴν ὁ βασιλεὺς ὑπερθέμενος, τήν τε στολὴν ἤμειψε πρὸς τὸ ἰδιωτικώτερον, καὶ λαθὼν πάντας οἰκείους ἧκε σπεύσας εἰς Βυζάντιον μετὰ μιᾶς τριήρους. καὶ οὐκ ἔγνωσται Βυζαντίων οὐδενὶ πρὶν εἰσελθεῖν εἰς τὰ βασίλεια καὶ τὴν βασιλίδα ἀσπάσασθαι σὺν ἰδιωτικῷ τῷ σχήματι. ταῦτα μαθὼν Ὑρκανὸς ὁ τῆς Βιθυνίας σατράπης βαρβάρων, πρεσβείαις αὐτὸν πυκνοτέραις ἐπιταχύνειν ἠνάγκαζε τὴν ἐπάνοδον ἐλευθερίας ἕνεκα τοῦ υἱέως, εἰ μὴ βούλοιτο σκανδάλων καὶ θορύβων αὖθις ἀρχὴν γεγονέναι κατὰ Ῥωμαίων τὴν αὐτοῦ βραδυτῆτα. σπεύσας οὖν ὁ βασιλεύς, καὶ ὡς ἐνῆν τοὺς ἐν Βυζαντίῳ θορύβους καταστησάμενος ἐς τὸ πάντη ἀνύποπτον ἐντὸς ἡμερῶν τεσσαράκοντα, μετὰ μιᾶς τὴν ταχίστην ἀνήχθη 3.566 τριήρους. ἀλλὰ πρὶν ἀναχθῆναι, τὸν Ῥωμαϊκὸν ἐθεᾶτο στόλον ἐς Βυζάντιον καταπλέοντα, οὐδαμῇ κατὰ γνώμην αὐτοῦ, ὅτι μὴ λειποτακτήσαντά τε καὶ πάντας δεσμοὺς προσταγῆς βασιλικῆς ἀπορρήξαντα, καὶ ἐς Βυζάντιον ἐκ Τενέδου παλινδρομήσαντα δι' ἀνάγκην, ὡς ἔφασκον, τῶν ἐπιτηδείων ἄρδην ἐπιλιπόντων ἁπάντων, καὶ μένειν οὐκ ἔτι κατὰ χώραν δυναμένης τῆς ναυτικῆς ἀναρχίας. ὀργισθεὶς οὖν τοῖς ναυάρχοις καὶ τὰ εἰκότα ἐπιτιμήσας διὰ βραχέων (τὸ γὰρ τῆς ὥρας στενὸν οὐ παρεῖχεν εὐρυχωρίαν τῷ πλείονι) τῆς προκειμένης εἴχετο σπουδῆς, τῇ βασιλικῇ ναυαρχίδι μονήρεις δύο μόνας ἐπαγόμενος συμπλεούσας. ἐπεὶ δ' ἄχρι καὶ ἐς Προικόννησον ἦν ἀφιγμένος, ἔδοξεν ἐκεῖθεν δεξιὰν ἐξ ἐφόδου τῷ Ὑρκανῷ πεπομφέναι, τὴν ἐκείνου καρδίαν ἠρεθισμένην εἰς ὑποψίας σκανδάλων ἐξομαλίσουσαν, καὶ πράγμασιν οὐ λόγοις δείξουσαν τὸ τῆς βασιλικῆς γνώμης ἀκήρατον, ὡς δόλος οὐδεὶς μεσιτεύει τοῖς πράγμασιν. μετὰ δὲ ταῦτα πλήρεσιν ἱστίοις ἐς Τένεδον πρῶτον ἀφῖκται, βουλευσόμενος ἐκεῖσε σχολῇ περί τε τοῦ παιδὸς Ὑρκανοῦ καὶ τῶν ὑπὲρ αὐτοῦ Φωκεῦσι δοθησομένων λύτρων, καὶ πρός γε περὶ τοῦ γυναικαδέλφου Ματθαίου, ὃς φρουρούμενος μὲν ἦν τῇ τῶν Τενεδίων ἀκροπόλει, διὰ δ' αὐτὸν νεωτερισμός τις ἐξηχεῖτο λαθραῖος, καὶ ὅσα ἐπὶ τούτοις πράττειν χρεών. Καὶ ταῦτα μὲν τῇδέ πῃ ἐφέρετο, καὶ τὸ μετόπωρον ἐν 3.567 τούτοις ἐτελεύτα· ἐγὼ δ' ἐπανάληψιν μετρίαν, ἐνταυθοῖ τοῦ λόγου γενόμενος, ποιήσασθαι βούλομαι τῶν ἄνω που εἰρημένων ὑμῖν περὶ τῶν τοῦ Παλαμᾶ πρὸς ἡμᾶς διαλέξεων, ἵνα μὴ πόρρω που τῆς μνήμης τὸν εἱρμὸν ἐκεῖνον ἀφέντες, λάθωμεν ἀπολωλεκότες τὰ ἀναγκαιότατα τῆς δογματικῆς ὑποθέσεως.


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.